ORATORUM ATTICORUM

VOLUMEN II

PARISIIS, — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

ORATORES ATTICI

LYCURGUS, ÆSCHINES, HYPERIDES, DINARCHUS, GORGIÆ
LESBONACTIS, HERODIS, ALCIDAMANTIS DECLAMATIONES

FRAGMENTA ORATORUM
ATTICORUM

GORGIÆ LEONTINI, ANTIPHONTIS, LYSIÆ, ISOCRATIS, ISÆI, LYCURGI
HYPERIDIS, DINARCHI, DEMADIS, ALIORUMQUE SEXAGINTA

GRÆCE CUM TRANSLATIONE REFICTA

A CAROLO MULLERO

ACCEDUNT SCHOLIA IN ORATIONES ISOCRATIS, ÆSCHINIS, DEMOSTHENIS
ET INDEX NOMINUM ET RERUM ABSOLUTISSIMUS
QUEM COLLEGIT **J. HUNZIKER**

VOLUMEN SECUNDUM



PARISIIS
EDITORE AMBROSIO FIRMIN DIDOT
INSTITUTI IMPERIALIS FRANCIÆ TYPOGRAPHO
VIA JACOB, 56

M DCCC LVIII

ΛΥΚΟΥΡΓΟΣ.

147 ## ΚΑΤΑ ΛΕΩΚΡΑΤΟΥΣ.

ΥΠΟΘΕΣΙΣ.

Μετὰ τὰ ἐν Χαιρωνείᾳ δεινὰ ψήφισμα ποιεῖ ὁ τῶν Ἀθηναίων δῆμος ὥστε μήτε τινὰ ἔξω γενέσθαι τῆς πόλεως μήτε μὴν ἐκθέσθαι παῖδας καὶ γυναῖκας. Λεωκράτης οὖν τις ἐξελθὼν τῆς πόλεως, καὶ ἀφικόμενος ἐν Ῥόδῳ καὶ πάλιν ἐν Μεγάροις, ἦλθεν ἐν Ἀθήναις· καὶ παρρησιαζομένου αὐτοῦ κατηγορίαν ποιεῖται ὁ Λυκοῦργος αὐτοῦ ὡς προδότου. Ἡ δὲ στάσις ὅρος ἀντονομάζων· ὁμολογεῖ γὰρ καὶ Λεωκράτης ἀπολιπεῖν τὴν πόλιν, οὐ μέντοι προδιδόναι. Ἄλλοι στοχασμὸν ἀπὸ γνώμης, ὡς τοῦ μὲν ἐξελθεῖν ὁμολογουμένου, ἀμφιβαλλομένης δὲ τῆς προαιρέσεως, ποίᾳ γνώμῃ ἐξῆλθεν, εἴτ' ἐπὶ προδοσίᾳ εἴτ' ἐπὶ ἐμπορίᾳ. Ἄλλοι δὲ ἀντίστασιν· λέγει γὰρ οὐχ ἐπὶ προδοσίᾳ τῆς πόλεως ἐξελθεῖν, ἀλλ' ἐπὶ ἐμπορίᾳ. Ἔοικε δὲ ἡ τοῦ λόγου ὑπόθεσις τῇ τοῦ κατὰ Αὐτολύκου.

Δικαίαν, ὦ Ἀθηναῖοι, καὶ εὐσεβῆ καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τὴν ἀρχὴν τῆς κατηγορίας Λεωκράτους τοῦ κρινομένου ποιήσομαι. Εὔχομαι γὰρ τῇ Ἀθηνᾷ καὶ τοῖς ἄλλοις θεοῖς καὶ τοῖς ἥρωσι τοῖς κατὰ τὴν πόλιν καὶ τὴν χώραν ἱδρυμένοις, εἰ μὲν εἰσήγγελκα Λεωκράτην δικαίως καὶ κρίνω τὸν προδόντα αὐτῶν καὶ τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη καὶ τὰς ἐν τοῖς
148 νόμοις θυσίας τὰς ὑπὸ τῶν ὑμετέρων προγόνων παραδεδομένας, (2) ἐμὲ μὲν ἄξιον ἐν τῇ τήμερον ἡμέρᾳ τῶν Λεωκράτους ἀδικημάτων κατήγορον ποιῆσαι, ὃ καὶ τῷ δήμῳ καὶ τῇ πόλει συμφέρει, ὑμᾶς δὲ ὡς ὑπὲρ πατέρων καὶ παίδων καὶ γυναικῶν καὶ πατρίδος καὶ ἱερῶν βουλευομένους, καὶ ἔχοντας ὑπὸ τῇ ψήφῳ τὸν προδότην ἁπάντων τούτων, ἀπαραιτήτους δικαστὰς καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον γενέσθαι τοῖς τὰ τοιαῦτα καὶ τηλικαῦτα παρανομοῦσιν· εἰ δὲ μήτε τὸν προδόντα τὴν πατρίδα μήτε τὸν ἐγκαταλιπόντα τὴν πόλιν καὶ τὰ ἱερὰ εἰς τουτονὶ τὸν ἀγῶνα καθίστημι, σωθῆναί αὐτὸν ἐκ τοῦ κινδύνου καὶ ὑπὸ τῶν θεῶν καὶ ὑφ' ὑμῶν τῶν δικαστῶν.

3. Ἐβουλόμην δ' ἄν, ὦ ἄνδρες, ὥσπερ ὠφέλιμόν ἐστι τῇ πόλει εἶναι τοὺς κρίνοντας ἐν ταύτῃ τοὺς παρανομοῦντας, οὕτω καὶ φιλάνθρωπον αὐτὸ παρὰ τοῖς πολλοῖς ὑπειλῆφθαι· νῦν δὲ περιέστηκεν εἰς τοῦτο, ὥστε τὸν ἰδίᾳ κινδυνεύοντα καὶ ὑπὲρ τῶν κοινῶν ἀπεχθανόμενον οὐ φιλόπολιν ἀλλὰ φιλοπράγμονα δοκεῖν εἶναι, οὐ δικαίως οὐδὲ συμφερόντως τῇ πόλει. Τρία γάρ ἐστι τὰ μέγιστα, ἃ διαφυλάττει καὶ διασῴζει τὴν δημοκρατίαν καὶ τὴν τῆς πόλεως εὐδαιμονίαν, (4) πρῶτον μὲν ἡ τῶν νόμων τάξις, δεύτερον δ' ἡ τῶν δικαστῶν ψῆφος, τρίτον δ' ἡ τούτοις τἀδικήματα παραδι-

CONTRA LEOCRATEM.

ARGUMENTUM. (136—138)

Post tolerata Chæroneæ pericula decretum facit Atheniensium populus, ut nemo ex urbe alio se conferret neque aut liberos aut uxores in alium locum traduceret. Leocrates igitur quispiam urbe egressus, Rhodum accessit, dein Megara pervenit, tandem Athenas rediit : atque quum istic cum fiducia ageret, accusationem adversus eum ceu proditorem Lycurgus instituit. Status est appellationum conflictio : fatetur enim Leocrates se reliquisse quidem urbem, sed haudquaquam prodidisse tamen. Alii dicunt conjecturam esse a consilio, ceu ejus qui profectum quidem se ex urbe haud infitietur, de cujus tamen instituto haud satis constet, qua mentis sententia sit egressus, proditionisne an negotiationis causa. Alii intentionem dicunt : affirmat enim se non proditionis, sed negotiationis causa reliquisse urbem. Est autem idem hujus orationis argumentum cum ea, quam adversus Autolycum scripsit.

Justum, Athenienses, et pium et pro nostra et deorum causa exordium accusationis Leocratis rei sum facturus. Precor enim Minervam reliquosque deos et heroas, per urbem passim et regionem constitutos, ut, si ad judicium vocaverim juste Leocratem, accusemque eum prodidisse et delubra et statuas deorum immortalium et lucos nec non legibus instituta sacra a vestris majoribus tradita, (2) me dignum hodierno die Leocratis scelerum accusatorem faciant, quod et populo et urbi est commodum, vos autem ceu pro parentibus et liberis et uxoribus et patria et sacris deliberantes, habentes item sub judicio proditorem horum omnium, faxint inexorabiles judices et nunc et in reliquum tempus adeo graviter et flagitiose delinquentibus : sin vero neque eum patriam prodidisse neque deseruisse urbem et sacra hoc certamine evicero, servatum iri ipsum a periculo et a diis et vobis judicibus efflagito.

3. Optarim autem, viri, quemadmodum utile est urbi esse accusatores eorum, qui scelerate in ea agunt, sic et humanum apud plerosque existimatum fuisset : jam vero eo res rediit, ut per sese periculum subiens ac pro publicis rebus odio expositus non patriæ amans, sed curiosus esse videatur, neque jure neque civitatis aliquo emolumento. Tria enim sunt maxima, quæ custodiunt atque conservant statum popularem urbisque felicitatem : (4) primum quidem legum præcepta, secundum judicum calculus, tertium vero his judicibus agnoscere concedens delicta judicium. Lex enim solet quæ non deceat agere,

δοῦσα κρίσις. Ὁ μὲν γὰρ νόμος πέφυκε προλέγειν ἃ μὴ δεῖ πράττειν, ὁ δὲ κατήγορος μηνύειν τοὺς ἐνόχους τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις καθεστῶτας, ὁ δὲ δικαστὴς κολάζειν τοὺς ὑπ' ἀμφοτέρων τούτων ἀποδειχθέντας αὐτῷ, ὥστ' οὔθ' ὁ νόμος οὔθ' ἡ τῶν δικαστῶν ψῆφος ἄνευ τοῦ παραδώσοντος αὐτοῖς τοὺς ἀδικοῦντας ἰσχύει. (5) Ἐγὼ δέ, ὦ Ἀθηναῖοι, εἰδὼς Λεωκράτην φυγόντα μὲν τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους, ἐγκαταλιπόντα δὲ τοὺς αὑτοῦ πολίτας, προδεδωκότα δὲ πᾶσαν τὴν ὑμετέραν δύναμιν, ἅπασι δὲ τοῖς γεγραμμένοις ἔνοχον ὄντα, ταύτην τὴν εἰσαγγελίαν ἐποιησάμην, οὔτε δι' ἔχθραν οὐδεμίαν οὔτε διὰ φιλονεικίαν οὐδ' ἡντινοῦν τοῦτον τὸν ἀγῶνα προελόμενος, ἀλλ' αἰσχρὸν εἶναι νομίσας τοῦτον περιορᾶν εἰς τὴν ἀγορὰν ἐμβάλλοντα καὶ τῶν κοινῶν ἱερῶν μετέχοντα, τῆς τε πατρίδος ὄνειδος καὶ πάντων ὑμῶν γεγενημένον. (6) Πολίτου γάρ ἐστι δικαίου μὴ διὰ τὰς ἰδίας ἔχθρας εἰς τὰς κοινὰς κρίσεις καθιστάναι τοὺς τὴν πόλιν μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς εἰς τὴν πατρίδα τι παρανομοῦντας ἰδίους ἐχθροὺς εἶναι νομίζειν, καὶ τὰ κοινὰ τῶν ἀδικημάτων κοινὰς καὶ τὰς προφάσεις ἔχειν τῆς πρὸς αὐτοὺς διαφορᾶς.

7. Ἅπαντας μὲν οὖν χρὴ νομίζειν μεγάλους εἶναι τοὺς δημοσίους ἀγῶνας, μάλιστα δὲ τοῦτον ὑπὲρ οὗ νῦν μέλλετε τὴν ψῆφον φέρειν. Ὅταν μὲν γὰρ τὰς τῶν παρανόμων γραφὰς δικάζητε, τοῦτο μόνον ἐπανορθοῦτε καὶ ταύτην τὴν πρᾶξιν κωλύετε, καθ' ὅσον ἂν τὸ ψήφισμα μέλλῃ βλάπτειν τὴν πόλιν· ὁ δὲ νῦν ἐνεστηκὼς ἀγὼν οὐ μικρόν τι μέρος συνέχει τῶν τῆς πόλεως οὐδὲ ἐπ' ὀλίγον χρόνον, ἀλλ' ὑπὲρ ὅλης τῆς πατρίδος καὶ κατὰ παντὸς τοῦ αἰῶνος ἀείμνηστον καταλείψει τοῖς ἐπιγινομένοις τὴν κρίσιν. (8) Οὕτω γάρ ἐστι δεινὸν τὸ γεγενημένον ἀδίκημα καὶ τηλικοῦτον ἔχει τὸ μέγεθος, ὥστε μήτε κατηγορίαν ἐνδέχεσθαι εὑρεῖν ἀξίαν μηδὲ ἐν τοῖς νόμοις ὡρίσθαι τιμωρίαν ἀξίαν τῶν ἁμαρτημάτων. Τί γὰρ χρὴ παθεῖν τὸν ἐκλιπόντα μὲν τὴν πατρίδα, μὴ βοηθήσαντα δὲ τοῖς πατρῴοις ἱεροῖς, ἐγκαταλιπόντα δὲ τὰς τῶν προγόνων θήκας, ἅπασαν δὲ τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις παραδόντα; Τὸ μὲν γὰρ μέγιστον καὶ ἔσχατον τῶν τιμημάτων, θάνατος, ἀναγκαῖον μὲν ἐκ τῶν νόμων ἐπιτίμιον, ἔλαττον δὲ τῶν Λεωκράτους ἀδικημάτων καθέστηκε. (9) Παρεῖσθαι δὲ τὴν ὑπὲρ τῶν τοιούτων τιμωρίαν συμβέβηκεν, ὦ ἄνδρες, οὐ διὰ ῥᾳθυμίαν τῶν τότε νομοθετούντων, ἀλλὰ διὰ τὸ μήτ' ἐν τοῖς πρότερον χρόνοις γεγενῆσθαι τοιοῦτον μηδὲν μήτε ἐν τοῖς μέλλουσιν ἐπίδοξον
149 εἶναι. Διὸ καὶ μάλιστα, ὦ ἄνδρες, δεῖ ὑμᾶς γενέσθαι μὴ μόνον τοῦ νῦν ἀδικήματος δικαστὰς ἀλλὰ καὶ νομοθέτας. Ὅσα μὲν γὰρ τῶν ἀδικημάτων νόμος τις διώρικε, ῥᾴδιον τούτῳ κανόνι χρωμένους κολάζειν τοὺς παρανομοῦντας· ὅσα δὲ μὴ σφόδρα περιείληφεν ἑνὶ ὀνόματι προσαγορεύσας, μείζω δὲ τούτων τις ἠδίκηκεν, ἅπασι δὲ ὁμοίως ἔνοχός ἐστιν, ἀναγκαῖον τὴν ὑμετέραν κρίσιν καταλείπεσθαι παράδειγμα τοῖς ἐπιγιγνομένοις. (10) Εὖ δ' ἴστε, ὦ ἄνδρες, ὅτι οὐ μόνον

edicere, accusator autem denuntiare eos qui sint legum censuræ obnoxii, judex denique punire ab utrisque hisce demonstratos; quare neque lex neque judicum suffragium, nisi ipsis injuste agentes tradantur, quicquam valet. (5) Ego vero, Athenienses, compertum habens Leocratem fugisse pericula quæ pro patriæ defensione toleraret, deseruisse suos cives, prodidisse quoque omnem vestram potentiam, omniumque lege expressarum pœnarum reum, hanc ad judices ejus accusationem institui, neque inimicitia ulla neque contentione quadam adductus hoc certamen suscepi, verum turpe existimans hunc sinere foro inferre sese ac communium sacrorum participem esse, qui sit patriæ dedecus omniumque vestrûm turpitudo. (6) Justi enim est civis non ob privatas inimicitias ad publica judicia deferre eos qui nulla in re urbem injuria affecerint, verum eos qui in patriam quidquam committunt, suos hostes esse reputare, ac si publica crimina sunt, publice etiam profiteri causas, cur ab iis dissideamus.

7. Operæ pretium est itaque vos arbitrari universas publicas actiones esse ingentes, potissimum vero hanc super qua nunc calculum estis vestrum laturi. Etenim, quando de decretis quæ vetustis legibus repugnant causas judicatis, hoc tantummodo corrigitis idque solum cavetis, quatenus istud decretum offendat urbem : at quod nunc præ manibus est certamen haud exiguam quandam partem reipublicæ continet nec ad modicum temporis curriculum, sed pro tota patria perque omne ævum nunquam non memorandum relinquet posteris judicium. (8) Adeo enim dirum est patratum scelus, tam grande commissum facinus, ut neque accusationem liceat invenire dignam, neque legibus definita sit ultio sceleri respondens. Quo enim supplicii genere afficiendus est qui patriam deseruit, neque opem tulit patriis sacris, majorumque suorum reliquit tumulos, universam autem urbem subjugatam hostibus prodidit? Siquidem maximum et novissimum suppliciorum mors, necessaria quidem est ex legibus mulcta, Leocratis autem facinoribus improbis par non exstat. (9) Prætermitti autem super ejusmodi criminibus pœnam contigit, judices, non per socordiam eorum qui tum sancivere leges, sed quod prioribus temporibus nihil ejusmodi acciderit et quia non putarint tale quiddam futuris temporibus eventurum. Proinde quammaxime, viri, operæ pretium est vos esse non solum præsentis flagitii judices, verum etiam legislatores. Quæcumque enim scelera lege quapiam definita sunt, facile est secundum hanc regulam auctores eorum punire : quæcumque autem legislator accuratius non definiens comprehendit uno nomine appellans generatim, in his si quis majora quam legibus explicantur designavit, omnibusque legibus ex æquo obnoxius est, necessarium est vestrum judicium relinqui exemplum posteris. (10) Bene

τοῦτον νῦν κολάσετε κατεψηφισμένοι, ἀλλὰ καὶ τοὺς νεωτέρους ἅπαντας ἐπ' ἀρετὴν προτρέψετε. Δύο γάρ ἐστι τὰ παιδεύοντα τοὺς νέους, ἥ τε τῶν ἀδικούντων τιμωρία καὶ ἡ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς διδομένη δωρεά· πρὸς ἑκάτερον δὲ τούτων ἀποβλέποντες τὴν μὲν διὰ τὸν φόβον φεύγουσι, τῆς δὲ διὰ τὴν δόξαν ἐπιθυμοῦσι. Διὸ δεῖ, ὦ ἄνδρες, προσέχειν τούτῳ τῷ ἀγῶνι καὶ μηδὲν περὶ πλείονος ποιήσασθαι τοῦ δικαίου.

11. Ποιήσομαι δὲ κἀγὼ τὴν κατηγορίαν δικαίαν, οὔτε ψευδόμενος οὐδὲν οὔτ' ἔξω τοῦ πράγματος λέγων. Οἱ μὲν γὰρ πλεῖστοι τῶν εἰς ὑμᾶς εἰσιόντων πάντων ἀτοπώτατον ποιοῦσιν· ἢ γὰρ συμβουλεύουσιν ἐνταῦθα περὶ τῶν κοινῶν πραγμάτων, ἢ κατηγοροῦσι καὶ διαβάλλουσι πάντα μᾶλλον ἢ περὶ οὗ μέλλετε τὴν ψῆφον φέρειν. Ἔστι δ' οὐδέτερον τούτων χαλεπόν, οὔθ' ὑπὲρ ὧν μὴ βουλεύεσθε γνώμην ἀποφήνασθαι, οὔθ' ὑπὲρ ὧν μηδεὶς ἀπολογήσεται κατηγορίαν εὑρεῖν. (12) Ἀλλ' οὐ δίκαιον ὑμᾶς μὲν ἀξιοῦν δικαίαν τὴν ψῆφον φέρειν, αὐτοὺς δὲ μὴ δικαίαν τὴν κατηγορίαν ποιεῖσθαι. Τούτων δὲ αἴτιοι ὑμεῖς ἐστε, ὦ ἄνδρες· τὴν γὰρ ἐξουσίαν ταύτην δεδώκατε τοῖς ἐνθάδε εἰσιοῦσι, καὶ ταῦτα κάλλιστον ἔχοντες τῶν Ἑλλήνων παράδειγμα τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, ὃ τοσοῦτον διαφέρει τῶν ἄλλων δικαστηρίων, ὥστε καὶ παρ' αὐτοῖς ὁμολογεῖσθαι τοῖς ἁλισκομένοις δικαίαν ποιεῖσθαι τὴν κρίσιν. (13) Πρὸς ὃ δεῖ καὶ ὑμᾶς ἀποβλέποντας μὴ ἐπιτρέπειν τοῖς ἔξω τοῦ πράγματος λέγουσιν· οὕτω γὰρ ἔσται τοῖς τε κρινομένοις ἄνευ διαβολῆς ὁ ἀγὼν καὶ τοῖς διώκουσιν ἥκιστα συκοφαντεῖν καὶ ὑμῖν εὐορκοτάτην τὴν ψῆφον ἐνεγκεῖν. Ἀδύνατον γάρ ἐστιν ἄνευ τοῦ ἀλόγου, μὴ δικαίως δεδιδαγμένους δικαίαν θέσθαι τὴν ψῆφον.

14. Δεῖ δ', ὦ ἄνδρες, μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ὅτι οὐχ ὅμοιός ἐστιν ὁ ἀγὼν περὶ τούτου καὶ τῶν ἄλλων ἰδιωτῶν. Περὶ μὲν γὰρ ἀγνῶτος ἀνθρώπου τοῖς Ἕλλησιν ἐν ὑμῖν αὐτοῖς ἐδοκεῖτ' ἂν ἢ καλῶς ἢ καὶ φαύλως ἐψηφίσθαι· περὶ δὲ τούτου ὅ τι ἂν βουλεύσησθε, παρὰ πᾶσι τοῖς Ἕλλησιν ἔσται λόγος. Ἐπιφανής τε γάρ ἐστι διὰ τὸν ἔκπλουν τὸν εἰς Ῥόδον καὶ τὴν ἀπαγγελίαν ἣν ἐποιήσατο καθ' ὑμῶν πρός τε τὴν πόλιν τὴν τῶν Ῥοδίων καὶ τῶν ἐμπόρων τοῖς ἐπιδημοῦσιν ἐκεῖ, (15) οἱ πᾶσαν τὴν οἰκουμένην περιπλέοντες δι' ἐργασίαν ἀπήγγελλον ἅμα περὶ τῆς πόλεως ἃ Λεωκράτους ἀκηκόεσαν· οἳ ἴσασι τὰ τῶν προγόνων τῶν ὑμετέρων ἔργα ἐναντιώτατα τοῖς τούτῳ διαπεπραγμένοις ὄντα. Ὥστε περὶ πολλοῦ ποιητέον ἐστὶν ὀρθῶς βουλεύσασθαι περὶ αὐτοῦ. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι ᾧ πλεῖστον διαφέρετε τῶν ἄλλων ἀνθρώπων, τῷ πρός τε τοὺς θεοὺς εὐσεβῶς καὶ πρὸς τοὺς γονεῖς ὁσίως καὶ πρὸς τὴν πατρίδα φιλοτίμως ἔχειν, τούτων πλεῖστον ἀμελεῖν δόξοιτ' ἄν, εἰ τὴν παρ' ὑμῶν οὗτος διαφύγοι τιμωρίαν.

16. Δέομαι δ' ὑμῶν, ὦ Ἀθηναῖοι, ἀκοῦσαί μου τῆς κατηγορίας διὰ τέλους, καὶ μὴ ἄχθεσθαι ἐὰν ἄρξωμαι ἀπὸ τῶν τῇ πόλει τότε συμβάντων, ἀλλὰ τοῖς αἰτίοις ὀργίζεσθαι καὶ δι' οὓς ἀναγκάζομαι νῦν μεμνῆσθαι περὶ

autem novistis, viri, quod non hunc solum nunc punietis sententia vestra condemnantes, verum etiam juniores omnes ad virtutem adhortabimini. Duo enim sunt quæ erudiunt juvenes, nempe injuste agentium supplicium et quæ bonis viris datur gratia : ad utrumque autem horum respicientes, hoc quidem propter metum defugiunt, illam vero propter gloriam concupiscunt. Quocirca opus est vos, viri, advertere mentem huic certamini neque quicquam anteferre justo.

11. Faciam autem et ego accusationem justam, neque comminiscens quidquam neque extra rem dicens. Plurimi autem eorum qui ad vos adeunt oratores omnium absurdissimum faciunt : aut enim deliberant hic de publicis rebus, aut accusant et calumniantur omnia potius quam de eo agunt de quo sententiam dicturi estis. Atqui neutrum horum difficile est, neque de iis sententiam exponere, de quo vos judices non deliberatis, neque eorum, quorum nemo defensionem suscipiet, accusationem invenire. (12) At non est æquum vos quidem contendere justum calculum ferre, istos autem haud justam accusationem facere. Harum autem rerum vos auctores estis, viri : potestatem enim dedistis huc ingressis oratoribus hanc, quum tamen pulcherrimum Græcorum exemplum vobis in promptu sit Areopagi concilium, quod in tantum ab aliis discrepat dicasteriis, ut et apud ipsos condemnatos constet justum exhiberi judicium. (13) Ad quod respicientes vos operæ pretium est haud permittere ut quidquam a causa alienum patroni causarum dicant. Ita enim futurum est ut reis citra calumniam certamen peragatur actoribusque minime sycophantis esse liceat vosque fidelissimum firmissimumque calculum feratis. Fieri enim non potest (ne dicam absurdum esse), ut non juste edocti, justum feratis suffragium.

14. Opus est autem, judices, neque hoc latere vos, quod non sit idem certamen de hoc aliisque ex vulgo reis. De incognito enim Græcis homine domi inter vos ipsos aut bene aut male sententiam tulisse videremini : de hoc vero quicquid consulueritis omnium Græcorum ore feretur. Celebris enim est nominis tum ob profectionem suam qua hinc in Rhodum insulam enavigavit, tum propter nuntium quem de vobis fecit et ad urbem Rhodiorum et ad mercatores qui illic sunt advenæ, (15) qui universum terrarum orbem circumnavigantes quæstus causa disseminarunt de urbe simul quæ ex Leocrate audiverunt; qui majorum vestrorum facta noverunt longe contraria hisce quæ ab hoc transacta sunt. Plurimi ergo faciendum est recte de eo statuere. Probe enim vobis exploratum est, Athenienses, quod quanto amplius differatis ab aliis hominibus, eo quod erga deos religiose, erga parentes pie, erga patriam vos honeste geratis, tanto negligentiores videamini, si vestrum hic evaserit supplicium.

16. Quæso autem vos, Athenienses, ut accusationem hanc meam ad finem usque patienti animo audiatis, nec ægre feratis si exordium sumam ab iis rebus quæ tum urbi contigerunt, sed auctoribus earum potius indignemini et iis

αὐτῶν. Γεγενημένης γὰρ τῆς ἐν Χαιρωνείᾳ μάχης καὶ συνδραμόντων ἁπάντων ὑμῶν εἰς τὴν ἐκκλησίαν ἐψηφίσατο ὁ δῆμος παῖδας μὲν καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν εἰς τὰ τείχη κατακομίζειν, τοὺς δὲ στρατηγοὺς τάττειν εἰς τὰς φυλακὰς τῶν Ἀθηναίων καὶ τῶν ἄλλων τῶν οἰκούντων Ἀθήνησι, καθ' ὅ τι ἂν αὐτοῖς δοκῇ. (17) Λεωκράτης δὲ τούτων οὐδενὸς φροντίσας, συσκευασάμενος ἃ εἶχε χρήματα μετὰ τῶν οἰκετῶν ἐπὶ τὸν λέμβον κατεκόμισε, τῆς νεὼς ἤδη περὶ τὴν ἀκτὴν ἐξορμούσης, καὶ περὶ δείλην ὀψίαν αὐτὸς μετὰ τῆς ἑταίρας Εἰρηνίδος κατὰ μέσην τὴν ἀκτὴν διὰ τῆς πυλίδος ἐξελθὼν πρὸς τὴν ναῦν προσέπλευσε καὶ ᾤχετο φεύγων, οὔτε τοὺς λιμένας τῆς πόλεως ἐλεῶν, ἐξ ὧν ἀνήγετο, οὔτε τὰ τείχη τῆς πατρίδος αἰσχυνόμενος, ὧν τὴν φυλακὴν ἔρημον τὸ καθ' αὐτὸν μέρος κατέλειπεν· οὐδὲ τὴν ἀκρόπολιν καὶ τὸ ἱερὸν τοῦ Διὸς τοῦ σωτῆρος καὶ τῆς Ἀθηνᾶς τῆς σωτείρας ἀφορῶν καὶ προδιδοὺς ἐφοβήθη, οὓς αὐτίκα σώσοντας ἑαυτὸν ἐκ τῶν κινδύνων ἐπικαλέσεται. (18) Καταχθεὶς δὲ καὶ ἀφικόμενος εἰς Ῥόδον, ὥσπερ τῇ πατρίδι μεγάλας εὐτυχίας εὐαγγελιζόμενος, ἀπήγγελλεν ὡς τὸ μὲν ἄστυ τῆς πόλεως ἑαλωκὸς καταλίποι, τὸν δὲ Πειραιέα πολιορκούμενον, αὐτὸς δὲ μόνος διασωθεὶς ἥκοι· καὶ οὐκ ᾐσχύνθη τὴν τῆς πατρίδος ἀτυχίαν αὑτοῦ σωτηρίαν προσαγορεύσας. Οὕτω δὲ σφόδρα ταῦτ' ἐπίστευσαν οἱ Ῥόδιοι, ὥστε τριήρεις πληρώσαντες τὰ πλοῖα κατῆγον, καὶ τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων οἱ παρεσκευασμένοι δεῦρο πλεῖν αὐτοῦ τὸν σῖτον ἐξείλοντο καὶ τἆλλα χρήματα διὰ τοῦτον. (19) Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας ἁπάντων, πρῶτον μὲν τὰς τῶν γειτόνων καὶ τῶν ἐν τῷ τόπῳ τούτῳ κατοικούντων, οἳ τοῦτον ἴσασιν ἐν τῷ πολέμῳ φυγόντα καὶ ἐκπλεύσαντα Ἀθήνηθεν, ἔπειτα τῶν παραγενομένων εἰς Ῥόδον, ὅτε Λεωκράτης ταῦτ' ἀπήγγελλε, μετὰ δὲ ταῦτα τὴν Φυρκίνου μαρτυρίαν, ὃν καὶ ὑμῶν [ἴσασιν] οἱ πολλοὶ κατηγοροῦντα τούτου ἐν τῷ δήμῳ ὡς καὶ μεγάλα καὶ βλάβους εἴη τὴν πεντηκοστὴν μετέχων αὐτοῖς.

20. Πρὸ δὲ τοῦ ἀναβαίνειν τοὺς μάρτυρας βραχέα βούλομαι διαλεχθῆναι ὑμῖν. Οὐ γὰρ ἀγνοεῖτε, ὦ ἄνδρες, οὔτε τὰς παρασκευὰς τῶν κρινομένων οὔτε τὰς δεήσεις τῶν ἐξαιτουμένων, ἀλλ' ἀκριβῶς ἐπίστασθε ὅτι χρημάτων ἕνεκα καὶ χάριτος πολλοὶ ἐπείσθησαν τῶν μαρτύρων ἢ ἀμνημονεῖν ἢ μὴ ἐλθεῖν ἢ ἑτέραν πρόφασιν εὑρεῖν. Ἀξιοῦτε οὖν τοὺς μάρτυρας ἀναβαίνειν μηδὲ ὀκνεῖν μηδὲ περὶ πλείονος ποιεῖσθαι τὰς χάριτας ὑμῶν καὶ τῆς πόλεως, ἀλλ' ἀποδιδόναι τῇ πατρίδι τἀληθῆ καὶ τὰ δίκαια, μηδὲ λείπειν τὴν τάξιν ταύτην καὶ μιμεῖσθαι Λεωκράτην, ἢ λαβόντας τὰ ἱερὰ κατὰ τὸν νόμον ἐξομόσασθαι. Ἐὰν δὲ μηδέτερον τούτων ποιῶσιν, ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας κλητεύσωμεν αὐτούς. Λέγε τὰς μαρτυρίας.

propter quos cogor hæc ipsa in memoriam revocare. Commisso enim apud Chæroneam prœlio factoque omnium vestrûm ad concionem concursu, decrevit populus liberos et uxores ex agris intra mœnia transferre, imperatores autem ordinare ad excubias quosvis Atheniensium aliorumque demorantium Athenis, quatenus ipsis videretur. (17) Leocrates autem, horum nihil plane curans, omnes quas habebat facultates convasatas cum famulis suis domesticis in lembum transtulit, navi jam circa litus stationem relictura, atque circa crepusculum vespertinum ipse cum amica Irenide juxta medium litus per portulam egressus ad navim adnavigavit abiitque fugiens, neque portus urbis misertus, e quibus in altum abducebatur, neque mœnia patriæ reveritus, quorum custodiam desertam pro virili sua parte reliquit, neque arcem ac delubrum Jovis Servatoris et Minervæ Servatricis respiciens et prodens exterritus est, quos actutum e periculis sibi servatores invocabit. (18) Deductus autem et perveniens in insulam Rhodum, ceu patriæ suæ ingentem felicitatem oblatam prædicans, renuntiavit quod arcem civitatis captam reliquerit, Piræei obsessum emporium, se solum conservatum evasisse affirmans : nec erubuit patriæ infortunium suam salutem appellare. Adeo autem valde hæc crediderunt Rhodii, ut instructis triremibus navigia aliorum in portum suum vi deducerent, atque mercatores et naucleri instructi huc navigare, suum frumentum vi amiserint ceterasque res propter ipsum hunc. (19) Et quod hæc vera dicam, leget vobis testimonia omnium, primum quidem vicinorum et in loco hoc commorantium, qui hunc noverunt in bello fuga sibi consulentem Athenis enavigasse, deinde eorum qui Rhodi erant, quando Leocrates hæc renuntiabat; post hæc audietis Phyrcini testimonium, quem et vestrûm [noverunt] plerique accusasse hunc apud populum, quod socius Leocratis in conducenda quinquagesima, fraude ejus ingens passus esset damnum.

20. Priusquam autem ascendant huc testes, paucis cupio dissertare vobiscum. Non sunt clam vobis, judices, neque clandestinæ machinationes judicandorum neque preces exorantium, denique accurate nostis quod pecunia vel gratia plerique testium persuaderi sibi patiantur, ut aut immemores esse prætendant aut non veniant ad judicium aut aliam excusationem inveniant. Jubete proinde testes ascendere neque resides esse in patefacienda veritate neque pluris facere favorem et beneficia quam vos et urbem hanc ipsam, sed reddere patriæ ea quæ vera et justa sunt, neque relinquere ordinem hunc ita ut imitentur Leocratem, aut aram tangentes eos secundum legem testimonium ejurare. Sin neutrum horum fecerint pro vobis legibusque et republ., vocabimus eos in judicium. Recita testimonia.

MAPTYPIAI.

21. Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ἐπειδὴ χρόνος ἐγένετο καὶ ἀφικνεῖτο Ἀθήνηθεν πλοῖα εἰς τὴν Ῥόδον καὶ φανερὸν ἦν ὅτι οὐδὲν δεινὸν ἐγεγόνει περὶ τὴν πόλιν, φοβηθεὶς ἐκπλεῖ πάλιν ἐκ τῆς Ῥόδου καὶ ἀφικνεῖται εἰς Μέγαρα· καὶ ᾤκει ἐν Μεγάροις πλείω ἢ πέντε ἔτη προστάτην ἔχων Μεγαρέα, οὐδὲ τὰ ὅρια τῆς χώρας αἰσχυνόμενος, ἀλλ' ἐκ γειτόνων τῆς ἐκθρεψάσης αὐτὸν πατρίδος μετοικῶν. (22) Καὶ οὕτως αὐτοῦ κατεγνώκει ἀΐδιον φυγήν, ὥστε μεταπεμψάμενος ἐντεῦθεν Ἀμύνταν τὸν τὴν ἀδελφὴν αὐτοῦ ἔχοντα τὴν πρεσβυτέραν καὶ τῶν φίλων Ἀντιγένην Ξυπεταιῶνα, καὶ δεηθεὶς τοῦ κηδεστοῦ πρίασθαι παρ' αὐτοῦ τἀνδράποδα καὶ τὴν οἰκίαν, ἀποδόσθαι ταλάντου, καὶ ἀπὸ τούτου προσέταξε τοῖς τε χρήσταις ἀποδοῦναι τὰ ὀφειλόμενα καὶ τοὺς ἐράνους διενεγκεῖν, τὸ δὲ λοιπὸν αὐτῷ ἀποδοῦναι. (23) Διοικήσας δὲ ταῦτα πάντα ὁ Ἀμύντας αὐτὸς πάλιν ἀποδίδοται τἀνδράποδα πέντε καὶ τριάκοντα μνῶν Τιμοχάρει Ἀχαρνεῖ τῷ τὴν νεωτέραν ἔχοντι τούτου ἀδελφήν· ἀργύριον δὲ οὐκ ἔχων δοῦναι ὁ Τιμοχάρης, συνθήκας ποιησάμενος καὶ θέμενος παρὰ Λυσικλεῖ, μίαν μνᾶν τόκον ἔφερε τῷ Ἀμύντᾳ. Ἵνα δὲ μὴ λόγον οἴησθε εἶναι, ἀλλ' εἰδῆτε τὴν ἀλήθειαν, ἀναγνώσεται καὶ τούτων ὑμῖν τὰς μαρτυρίας. Εἰ μὲν οὖν ζῶν ἐτύγχανεν ὁ Ἀμύντας, ἐκεῖνον ἂν αὐτὸν παρειχόμην· νυνὶ δὲ ὑμῖν καλῶ τοὺς 151 συνειδότας. Καί μοι λέγε ταύτην τὴν μαρτυρίαν, ὡς ἐπρίατο παρὰ Λεωκράτους ἐν Μεγάροις τὰ ἀνδράποδα Ἀμύντας καὶ τὴν οἰκίαν.

MAPTYPIA.

24. Ἀκούσατε δὲ καὶ ὡς ἀπέλαβε τετταράκοντα μνᾶς παρὰ Ἀμύντου Φιλόμηλος Χολαργεὺς καὶ Μενέλαος ὁ πρεσβεύσας πρὸς βασιλέα.

MAPTYPIA.

Λαβὲ δέ μοι καὶ τὴν Τιμοχάρους τοῦ πριαμένου τἀνδράποδα παρ' Ἀμύντου πέντε καὶ τριάκοντα μνῶν, καὶ τὰς συνθήκας.

MAPTYPIA. ΣΥΝΘΗΚΑΙ.

25. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· ἄξιον δ' ἐστὶν ἐφ' οἷς μέλλω λέγειν ἀγανακτῆσαι καὶ μισῆσαι τουτονὶ Λεωκράτην. Οὐ γὰρ ἐξήρκεσε τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὰ χρήματα μόνον ὑπεκθέσθαι, ἀλλὰ καὶ τὰ ἱερὰ τὰ πατρῷα, ἃ τοῖς ὑμετέροις νομίμοις καὶ πατρῴοις ἔθεσιν οἱ πρόγονοι παρέδοσαν αὐτῷ ἱδρυσάμενοι, ταῦτα μετεπέμψατο εἰς Μέγαρα καὶ ἐξήγαγεν ἐκ τῆς χώρας, οὐδὲ τὴν ἐπωνυμίαν τῶν πατρῴων ἱερῶν φοβηθείς, ὅτι ἐκ τῆς πατρίδος αὐτὰ κινήσας συμφεύγειν αὐτῷ, ἐκλείποντα τοὺς νεὼς καὶ τὴν χώραν ἣν κατεῖχον, ἠξίωσε, καὶ ἱδρύσασθαι ἐπὶ ξένης καὶ ἀλλοτρίας, καὶ εἶναι ὀθνεῖα τῇ χώρᾳ καὶ τοῖς νομίμοις τοῖς κατὰ τὴν Μεγαρέων

TESTIMONIA.

21. Contigit post hæc, judices, ut naves Athenis appellerent Rhodum; patefacto igitur quod nihil periculi aut horrendi obvenisset urbi, perterrefactus rursum e Rhodo solvens Megara adiit, habitavitque Megaris ultra quinquennium patronum habens Megarensem, neque confinia regionis reveritus, verum apud vicinos patriæ quæ eum aluerat educaveratque peregrinus manens. (22) Atque adeo ipse se ad perpetuam condemnabat fugam, ut accerseret hinc Amyntam qui sororem suam grandiorem natu habebat, et amicorum Antigenem Xypetensem, precatusque affinem suum ut ab se emeret mancipia domumque, venderet talento, de eo mandaret creditoribus persolvi debita, et amicis stipem collatitiam refundi, quod vero superesset sibi reddendum juberet. (23) Persecutus hæc omnia Amyntas ipse rursus divendit mancipia triginta quinque minis Timochari Acharnensi qui minorem hujus natu sororem uxorem tenebat : quum autem non haberet quod daret argentum Timochares, ex pacto, quod scriptum apud Lysiclem deposuit, minam pro fœnore solvebat Amyntæ. Ne autem existimetis verba esse sola quæ proloquor, sed veritatem esse sciatis, legentur et horum vobis testimonia. Quodsi adhuc viveret Amyntas, illum ipsum vobis exhiberem : nunc vero accerso rei conscios. Recita proinde mihi hoc testimonium, quomodo nimirum emerit ab Leocrate Megaris mancipia Amyntas et ædes.

TESTIMONIUM.

24. Audite etiam qui acceperit quadraginta minas ab Amynta Philomelus Cholargensis et Menelaus is qui legatione ad regem functus est.

TESTIMONIUM.

Cape etiam testimonium Timocharis qui redemit mancipia ab Amynta triginta quinque minis; pacta etiam cape (quæ cum Amynta fecit).

TESTIMONIUM. PACTA.

25. Testes quidem audivistis, judices : est autem æquum vos succensere Leocrati atque eum odisse ob ea quæ jam dicturus sum. Haud enim satis ei fuit corpus suum facultatesque subducere, verum etiam sacra patria, quæ vestris legitimis et patriis consuetudinibus majores ipsi tradiderunt, hæc ipsa Megara accivit eque regione evexit, neque appellationem patriorum sacrorum metuens quicquam quod ex patria ea movens fugæ suæ consortia esse, relictis delubro et regione hac quam obtinebant, compulit, in extero et alieno solo ea collocans, ut essent peregrina regioni et le-

πόλιν εἰθισμένοις. (26) Καὶ οἱ μὲν πατέρες ὑμῶν τὴν Ἀθηνᾶν ὡς τὴν χώραν εἰληχυῖαν, ὁμώνυμον αὐτῇ τὴν πατρίδα προσηγόρευον Ἀθήνας, ἵν' οἱ τιμῶντες τὴν θεὸν τὴν ὁμώνυμον αὐτῇ πόλιν μὴ ἐγκαταλίπωσι· Λεωκράτης δὲ οὔτε νομίμων οὔτε πατρῴων οὔτε ἱερῶν φροντίσας τὸ καθ' ἑαυτὸν ἐξαγώγιμον ὑμῖν καὶ τὴν παρὰ τῶν θεῶν βοήθειαν ἐποίησε. Καὶ οὐκ ἐξήρκεσεν αὐτῷ τοσαῦτα καὶ τηλικαῦτα τὴν πόλιν ἀδικῆσαι, ἀλλ' οἰκῶν ἐν Μεγάροις, οἷς παρ' ὑμῶν ἐξεκομίσατο χρήμασιν ἀφορμῇ χρώμενος, ἐκ τῆς Ἠπείρου παρὰ Κλεοπάτρας εἰς Λευκάδα ἐσιτήγει καὶ ἐκεῖθεν εἰς Κόρινθον. (27) Καίτοι, ὦ ἄνδρες, καὶ περὶ τούτων οἱ ὑμέτεροι νόμοι τὰς ἐσχάτας τιμωρίας ὁρίζουσιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ ποι σιτηγήσῃ ἢ ὡς ὑμᾶς. Ἔπειτα τὸν προδόντα μὲν ἐν τῷ πολέμῳ, σιτηγήσαντα δὲ παρὰ τοὺς νόμους, μὴ φροντίσαντα δὲ μήτε ἱερῶν μήτε πατρίδος μήτε νόμων, τοῦτον ἔχοντες ἐν τῇ ὑμετέρᾳ ψήφῳ οὐκ ἀποκτενεῖτε καὶ παράδειγμα τοῖς ἄλλοις ἀνθρώποις ποιήσετε; Πάντων ἄρα ἀνθρώπων ῥαθυμότατοι ἔσεσθε καὶ ἥκιστα ἐπὶ τοῖς δεινοῖς ὀργιζόμενοι.

28. Καὶ ταῦτα δέ, ὦ ἄνδρες, ἐμοῦ θεωρήσατε, ὡς δικαίαν τὴν ἐξέτασιν ποιουμένου περὶ τούτων. Οὐ γὰρ οἶμαι δεῖν ὑμᾶς ὑπὲρ τηλικούτων ἀδικημάτων εἰκάζοντας ἀλλὰ τὴν ἀλήθειαν εἰδότας ψηφίζεσθαι, καὶ τοὺς μάρτυρας μὴ δώσοντας ἔλεγχον μαρτυρεῖν ἀλλὰ δεδωκότας. Παρεκαλεσάμην γὰρ αὐτοὺς πρόκλησιν ὑπὲρ τούτων ἁπάντων γράψας καὶ ἀξιῶν βασανίζειν τοὺς τούτου οἰκέτας. Καί μοι λέγε ταύτην.

ΠΡΟΚΛΗΣΙΣ.

29. Ἀκούετε, ὦ ἄνδρες, τῆς προκλήσεως. Ἅμα τοίνυν ταύτην Λεωκράτης οὐκ ἐδέχετο καὶ κατεμαρτύρει αὐτοῦ ὅτι προδότης τῆς πατρίδος ἐστίν· ὁ γὰρ τὸν παρὰ τῶν συνειδότων ἔλεγχον φυγὼν ὡμολόγηκεν ἀληθῆ εἶναι τὰ εἰσηγγελμένα. Τίς γὰρ ὑμῶν οὐκ οἶδεν ὅτι περὶ τῶν ἀμφισβητουμένων πολὺ δοκεῖ δικαιότατον καὶ δημοτικώτατον εἶναι, ὅταν οἰκέται ἢ θεράπαιναι συνειδῶσιν ἃ δεῖ, τούτους ἐλέγχειν καὶ βασανίζειν, καὶ τοῖς ἔργοις μᾶλλον ἢ τοῖς λόγοις πιστεύειν, ἄλλως τε καὶ περὶ πραγμάτων κοινῶν καὶ μεγάλων καὶ συμφερόντων τῇ πόλει; (30) Ἐγὼ τοίνυν τοσοῦτον ἀφέστηκα τοῦ ἀδίκως τὴν εἰσαγγελίαν κατὰ Λεωκράτους ποιήσασθαι, ὅσον ἐγὼ μὲν ἐβουλόμην τοῖς ἰδίοις κινδύνοις ἐν τοῖς Λεωκράτους οἰκέταις καὶ θεραπαίναις βασανισθεῖσι τὸν ἔλεγχον γενέσθαι, οὑτοσὶ δὲ διὰ τὸ συνειδέναι ἑαυτῷ οὐχ ὑπέμεινεν, ἀλλ' ἔφυγε. Καίτοι, ὦ ἄνδρες, πολὺ θᾶττον οἱ Λεωκράτους οἰκέται καὶ θεράπαιναι τῶν λεγομένων ἄν τι ἠρνήθησαν ἢ τὰ μὴ ὄντα τοῦ αὑτῶν δεσπότου κατεψεύσαντο.

152 31. Χωρὶς τοίνυν τούτων Λεωκράτης ἀναβοήσεται αὐτίκα ὡς ἰδιώτης ὢν καὶ ὑπὸ τῆς τοῦ ῥήτορος καὶ συκοφάντου δεινότητος ἀναρπαζόμενος. Ἐγὼ δὲ ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι ὅτι τῶν μὲν δεινῶν καὶ συκοφαντεῖν ἐπιχειρούντων ἔργον ἐστὶν ἅμα τοῦτο

gibus Megarensium urbi consuetis. (26) Patres sane vestri urbem Athenas deæ quæ regionem hanc obtinuit, Athenæ cognominem fecerunt, ut venerantes deam idem nominis obtinentem cum urbe illam ipsam non relinquerent : Leocrates vero neque patriorum rituum neque sacrorum curam gerens, quantum in se fuit, a vobis deorum auxilium eduxit avexitque. Neque satis fuit ei tot tantisque urbem hanc injuriis afficere, verum demorans Megaris, pecuniis quas a vobis asportavit fretus, ex Epiro a Cleopatra in Leucadem frumentum vexit indeque Corinthum. (27) Quanquam leges vestræ, judices, extrema supplicia decernant in ejusmodi delictum, si quis Atheniensium alio quam ad vos frumenta divendenda transvehat. Proinde eum qui tempore belli proditor fuit, qui frumentum alio præter leges vestras transtulit, qui non habuit rationem neque sacrorum neque patriæ, neque legum, hunc habentes vestræ sententiæ subjectum non occidetis, nec exemplum reliquis hominibus facietis? Omnium itaque hominum ignavissimi eritis et minime ob gravissima scelera irascentes.

28. Verum hoc quoque, judices, considerate quam justam de his omnibus ego explorationem fecerim. Non enim arbitror vos decere super adeo grandibus delictis divinantes, sed veritatem contuentes sententiam ferre, atque testes esse non qui daturi sunt testimonium, sed qui dederunt. Provocavi enim eos, libellum de vocandis ad quæstionem super his omnibus scribens, par esse censens examinare tormentis hujus servos. Recita mihi hunc libellum.

LIBELLUS DE PROVOCANDIS TESTIBUS.

29. Auditis igitur, judices, provocationem. Hanc vero Leocrates haud recipiebat eoque testabatur de sese quod patriæ esset proditor : quum enim consciorum denuntiationem fugit, confessus est vera esse quorum causa in judicium est vocatus. Quis enim vestrûm ignorat, omnium multo justissimum admodumque populare esse in rebus controversis fieri inquisitionem in servos et servas conscias, ita ut convincantur quod consciverint, eoque facto rebus ipsis potius quam orationibus adhibere fidem, de rebus præcipue communibus et arduis et conferentibus urbi? (30) Ego itaque tantum absum ab eo ut injustam accusationem adversus Leocratem instituerim, ut ego quidem meo ipsius periculo privato in Leocratis servis et ancillis tormentis examinatis probationem esse voluerim, hic vero, quia sibi ipse mali conscius fuit, haud sustinuerit hoc, sed defugerit. At vero, judices, multo citius Leocratis servi et ancillæ eorum quæ allegantur quicquam infitiati fuissent quam ea quæ non essent contra dominum mentiti.

31. Ad hæc Leocrates vociferabitur actutum, quod expers eloquentiæ ipse ab oratoris et calumniatoris vehementia et versutia percellatur. Ego autem puto omnibus vobis constare, facundia pollentes et calumniari solentes hoc simul

προαιρεῖσθαι καὶ ζητεῖν τὰ χωρία ταῦτα ἐν οἷς τοὺς παραλογισμοὺς κατὰ τῶν ἀγωνιζομένων ποιήσονται, τῶν δὲ δικαίως τὰς κρίσεις ἐνισταμένων καὶ τοὺς ἐνόχους ταῖς ἀραῖς ἀκριβῶς ἀποδεικνύντων τἀναντία φαίνεσθαι τούτοις ποιοῦντας, ὥσπερ ἡμεῖς. (32) Οὑτωσὶ δὲ διαλογίζεσθε περὶ τούτων παρ' ὑμῖν αὐτοῖς. Τίνας ἀδύνατον ἦν τῇ δεινότητι καὶ ταῖς παρασκευαῖς ταῖς τοῦ λόγου παραγαγεῖν; Κατὰ φύσιν τοίνυν βασανιζόμενοι πᾶσαν τὴν ἀλήθειαν περὶ πάντων τῶν ἀδικημάτων ἔμελλον φράσειν οἱ οἰκέται καὶ αἱ θεράπαιναι. Ἀλλὰ τούτους ὁ Λεωκράτης παραδοῦναι ἔφυγε, καὶ ταῦτα οὐκ ἀλλοτρίους ἀλλ' αὑτοῦ ὄντας. (33) Τίνας δὲ δυνατὸν εἶναι δοκεῖ τοῖς λόγοις ψυχαγωγῆσαι καὶ τὴν ὑγρότητα αὐτῶν τοῦ ἤθους τοῖς δακρύοις εἰς ἔλεον προαγαγέσθαι; τοὺς δικαστάς. Ἐνταῦθα Λεωκράτης ὁ προδότης τῆς πατρίδος ἐλήλυθεν, οὐδὲν ἕτερον ἢ φοβούμενος μὴ ἐκ τῆς αὐτῆς οἰκίας οἵ τ' ἐξελέγχοντες τῷ ἔργῳ καὶ ὁ ἐξελεγχόμενος γένηται. Τί γὰρ ἔδει προφάσεων ἢ λόγων ἢ σκήψεως; ἁπλοῦν τὸ δίκαιον, ῥᾴδιον τὸ ἀληθές, βραχὺς ὁ ἔλεγχος. (34) Εἰ μὲν ὁμολογεῖ τὰ ἐν τῇ εἰσαγγελίᾳ ἀληθῆ καὶ ὅσια εἶναι, τί οὐ τῆς ἐκ τῶν νόμων τιμωρίας τυγχάνει; εἰ δὲ μή φησι ταῦτα ἀληθῆ εἶναι, τί οὐ παραδέδωκε τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας; Προσήκει γὰρ τὸν ὑπὲρ προδοσίας κινδυνεύοντα καὶ παραδιδόναι βασανίζειν καὶ μηδένα τῶν ἀκριβεστάτων ἐλέγχων φεύγειν. (35) Ἀλλ' οὐδὲν τούτων ἔπραξεν, ἀλλὰ καταμεμαρτυρηκὼς ἑαυτοῦ ὅτι προδότης ἐστὶ τῆς πατρίδος καὶ τῶν ἱερῶν καὶ τῶν νόμων, ἀξιώσει ὑμᾶς ἐναντία ταῖς αὑτοῦ ὁμολογίαις καὶ μαρτυρίαις ψηφίσασθαι. Καὶ πῶς δίκαιόν ἐστι τὸν τὴν ἐξουσίαν τῆς ἀπολογίας αὑτοῦ ἐξ ἄλλων τε πολλῶν καὶ ἐκ τοῦ μὴ δέξασθαι τὰ δίκαια περιῃρημένον, τοῦτον ἐᾶσαι ὑμᾶς αὐτοὺς ὑπὲρ τῶν ὁμολογουμένων ἀδικημάτων ἐξαπατῆσαι;

36. Περὶ μὲν οὖν τῆς προκλήσεως καὶ τοῦ ἀδικήματος, ὅτι ὁμολογούμενόν ἐστιν, ἱκανῶς ὑμᾶς ἡγοῦμαι, ὦ ἄνδρες, μεμαθηκέναι· ἐν οἷς δὲ καιροῖς καὶ ἡλίκοις κινδύνοις τὴν πόλιν οὖσαν Λεωκράτης προδέδωκεν, ἀναμνῆσαι ὑμᾶς βούλομαι. Καί μοι λαβὲ τὸ ψήφισμα, γραμματεῦ, τὸ Ὑπερείδου, καὶ ἀναγίνωσκε.

ΨΗΦΙΣΜΑ.

37. Ἀκούετε τοῦ ψηφίσματος, ὦ ἄνδρες, ὅτι τὴν βουλὴν τοὺς πεντακοσίους καταβαίνειν εἰς Πειραιᾶ χρηματιοῦσαν περὶ φυλακῆς τοῦ Πειραιέως ἐν τοῖς ὅπλοις ἔδοξε, καὶ πράττειν διεσκευασμένην ὅ τι ἂν δοκῇ τῷ δήμῳ συμφέρον εἶναι. Καίτοι, ὦ ἄνδρες, εἰ οἱ ἀφειμένοι τοῦ στρατεύεσθαι ἕνεκα τοῦ βουλεύεσθαι ὑπὲρ τῆς πόλεως ἐν τῇ τῶν στρατιωτῶν τάξει διέτριβον, ἆρ' ὑμῖν δοκοῦσι μικροὶ καὶ οἱ τυχόντες φόβοι τότε τὴν πόλιν κατασχεῖν; (38) ἐν οἷς Λεωκράτης οὑτοσὶ καὶ αὐτὸς ἐκ τῆς πόλεως ἀποδρὰς ᾤχετο καὶ τὰ χρήματα τὰ ὑπάρχοντα ἐξεκόμισε καὶ ἱερὰ τὰ πατρῷα μετεπέμψατο, καὶ εἰς τοσοῦτον προδοσίας ἦλθεν ὥστε

sibi permittere, ut eos quærant locos quibus fallacias contra adversarios intendere possint; eos vero, qui juste judicia instituant obnoxiosque diris manifesto demonstrent, contraria prorsus atque illos facere deprehendi, sicuti nos. (32) Sic autem cogitate de his apud vosmetipsos: quosnam nemo potuisset vehementia apparatibusque orationis seducere? [Famulos.] Natura igitur tormentis examinati omnem veritatem de omnibus flagitiis dicturi erant servi et ancillæ: sed hos Leocrates tradere devitavit, idque non alienos, sed suos. (33) Quos autem fieri posse videtur ut verborum artificiis demulceas, animique ipsorum mollitiem lacrimis ad misericordiam adducas? Judices. In hunc utique locum Leocrates patriæ proditor pervenit, nihil aliud metuens quam ne ex eadem domo et redarguentes rebus ipsis et redargutus convictusve ipse prodeat. Quid enim opus erat prætextibus aut verbis aut consideratione? Simplex est justitia, facilis res est veritas, brevis redargutio. (34) Si fateatur ea, quorum causa accusatur, vera esse et sancta, cur non juxta legum sententiam supplicio afficitur? sin hæc vera esse infitietur, cur non tradidit servos et ancillas? Decet enim proditionis insimulatum mancipia ad quæstionem subeundam tradere, ac nullam accuratissimarum investigationum subterfugere. (35) Sed nihil horum egit; enimvero testimonium in se ipsum perhibens, quod sit patriæ proditor et religionis et legum, contendet ut vos contraria suis et confessionibus ac testimoniis decernatis. At qui justum est ut eum, qui defendendi se facultatem et aliis rebus multis et eo quod non acceperit justas conditiones sibi præciderit, sinatis vobis ipsis super apertis sceleribus imponere?

36. De provocatione igitur, qua mancipia ad quæstionem tradi jussi, et de crimine, utpote omnibus manifesto, satis puto, judices, vos edoctos esse. Quibus autem temporibus et quantis periculis expositam urbem prodiderit, revocare vobis ad memoriam volo. Cape mihi, scriba, decretum Hyperidis, et recita.

DECRETUM.

37. Auditis decretum, judices, quod senatum quingentorum descendere in Piræeum, ut statueret de custodia Piræei, placuit armatum et instructum transigere quod videretur populo conducere. At vero, judices, si rude donati, ut pro urbe consultarent, in militum ordine perseverarunt, num vobis exigui et vulgares metus videntur tum urbem occupasse? (38) In quibus Leocrates hic et ipse ex urbe fugiens abiit omnesque facultates exportavit sacraque patria abduxit, atque ad tantum proditionis crimen pervenit, ut secundum ipsius quidem institutum de-

κατὰ τὴν αὐτοῦ προαίρεσιν ἔρημοι μὲν ἦσαν οἱ ναοί, ἔρημοι δὲ αἱ φυλακαὶ τῶν τειχῶν, ἐξελέλειπτο δὲ ἡ πόλις καὶ ἡ χώρα. (39) Καίτοι κατ' ἐκείνους τοὺς χρόνους, ὦ ἄνδρες, τίς οὐκ ἂν τὴν πόλιν ἠλέησεν, οὐ μόνον πολίτης ἀλλὰ καὶ ξένος ἐν τοῖς ἔμπροσθεν χρόνοις ἐπιδεδημηκώς; τίς δ' ἦν οὕτως ἢ μισόδημος τότε ἢ μισαθήναιος, ὅστις ἐδυνήθη ἂν ἄτακτον αὑτὸν ὑπομεῖναι ἰδεῖν, ἡνίκα ἡ μὲν ἧττα καὶ τὸ γεγονὸς πάθος τῷ [δήμῳ] προσηγγέλλετο, ὀρθὴ δὲ ἦν ἡ πόλις ἐπὶ τοῖς συμβεβηκόσιν, αἱ δ' ἐλπίδες τῆς σωτηρίας τῷ δήμῳ ἐν τοῖς ὑπὲρ πεντήκοντα ἔτη γεγονόσι καθειστή-
153 κεσαν, (40) ὁρᾶν δ' ἦν ἐπὶ μὲν τῶν θυρῶν γυναῖκας ἐλευθέρας περιφόβους κατεπτηχυίας καὶ πυνθανομένας εἰ ζῶσι, τὰς μὲν ὑπὲρ ἀνδρός, τὰς δ' ὑπὲρ πατρός, τὰς δ' ὑπὲρ ἀδελφῶν, ἀναξίως αὑτῶν καὶ τῆς πόλεως ὁρωμένας, τῶν δ' ἀνδρῶν τοὺς τοῖς σώμασιν ἀπειρηκότας καὶ ταῖς ἡλικίαις πρεσβυτέρους καὶ ὑπὸ τῶν νόμων τοῦ στρατεύεσθαι ἀφειμένους ἰδεῖν ἦν καθ' ὅλην τὴν πόλιν ἐπὶ γήρως ὀδῷ περιφθειρομένους, διπλᾶ τὰ ἱμάτια ἐμπεπορπημένους; (41) Πολλῶν δὲ καὶ δεινῶν κατὰ τὴν πόλιν γινομένων, καὶ πάντων τῶν πολιτῶν τὰ μέγιστα ἠτυχηκότων, μάλιστ' ἄν τις ἤλγησε καὶ ἐδάκρυσεν ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς, ἡνίχ' ὁρᾶν ἦν τὸν δῆμον ψηφισάμενον τοὺς μὲν δούλους ἐλευθέρους, τοὺς δὲ ξένους Ἀθηναίους, τοὺς δ' ἀτίμους ἐπιτίμους· ὃς πρότερον ἐπὶ τῷ αὐτόχθων εἶναι καὶ ἐλεύθερος ἐσεμνύνετο. (42) Τοσαύτῃ δὲ ἡ πόλις ἐκέχρητο μεταβολῇ, ὥστε πρότερον μὲν ὑπὲρ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας ἀγωνίζεσθαι, ἐν δὲ τοῖς τότε χρόνοις ἀγαπᾶν ἐὰν ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἀσφαλῶς δύνηται κινδυνεῦσαι, καὶ πρότερον μὲν πολλῆς χώρας τῶν βαρβάρων ἐπάρχειν, τότε δὲ πρὸς Μακεδόνας ὑπὲρ τῆς ἰδίας κινδυνεύειν· καὶ τὸν δῆμον ὃν πρότερον Λακεδαιμόνιοι καὶ Πελοποννήσιοι καὶ οἱ τὴν Ἀσίαν κατοικοῦντες Ἕλληνες βοηθὸν ἐπεκαλοῦντο, οὗτος ἐδεῖτο τῶν ἐξ Ἄνδρου καὶ Κέω καὶ Τροιζῆνος καὶ Ἐπιδαύρου ἐπικουρίαν αὑτῷ μεταπέμψασθαι. (43) Ὥστε, ὦ ἄνδρες, τὸν ἐν τοῖς τοιούτοις φόβοις καὶ τηλικούτοις κινδύνοις καὶ τοσαύτῃ αἰσχύνῃ ἐγκαταλιπόντα τὴν πόλιν, καὶ μήτε ὅπλα θέμενον ὑπὲρ τῆς πατρίδος μήτε τὸ σῶμα παρασχόντα τάξαι τοῖς στρατηγοῖς, ἀλλὰ φυγόντα καὶ προδόντα τὴν τοῦ δήμου σωτηρίαν, τίς ἂν ἢ δικαστὴς φιλόπολις καὶ εὐσεβεῖν βουλόμενος ψήφῳ ἀπολύσειεν, ἢ ῥήτωρ κληθεὶς τῷ προδότῃ τῆς πόλεως βοηθήσειε, τὸν οὐδὲ συμπενθῆσαι τὰς τῆς πατρίδος συμφορὰς τολμήσαντα, οὐδὲ συμβεβλημένον οὐδὲν εἰς τὴν τῆς πόλεως καὶ τοῦ δήμου σωτηρίαν; (44) Καίτοι κατ' ἐκείνους τοὺς χρόνους οὐκ ἔστιν ἥτις ἡλικία οὐ παρέσχετο ἑαυτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα συνεβάλλετο, οἱ δὲ τετελευτηκότες τὰς θήκας, οἱ δὲ ναοὶ τὰ ὅπλα. Ἐπεμελοῦντο γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς τῶν τάφρων, οἱ δὲ τῆς χαρακώσεως· οὐδεὶς δ' ἦν ἀργὸς τῶν ἐν τῇ πόλει. Ἐφ' ὧν οὐδενὸς τὸ σῶμα τὸ ἑαυτοῦ παρέσχετο

serta fuissent templa ab sacris, desertæ fuissent etiam custodiæ murorum, relicta autem esset civitas et regio. (39) Attamen illis temporibus, viri, quis non urbis misertus fuisset, non solum civis, verum etiam peregrinus qui prioribus temporibus ad nos advenerit? Quis vero erat adeo osor vel populi vel Atheniensium, qui potuisset se ipsum inordinatum sustinere videre, quando victoriæ amissio et quod contigerat malum [populo] annuntiabatur, arrecta autem metu erat civitas propter eas quæ acciderant calamitates, spes autem salutis populo in iis qui ultra quinquaginta annos nati erant collocata erat; (40) quum videre erat ad portas uxores liberas trepidas et consternatas percontantesque num viverent, alias quidem de marito, alias de patre, alias de fratribus, contra dignitatem tam ipsarum quam urbis ita conspectas, viros autem, qui corporibus ad bellum idonei non erant et ætate grandævi et per leges a militia dimissi, videre erat per totam urbem tunc in ipso senectutis limine misere oberrantes et duplicibus palliis, quæ fibulis astrictæ erant, indutos? (41) Quum autem pleraque tristia et horrenda fierent in urbe civesque omnes summa infelicitate premerentur, maxime tum quis doluisset ubertimque fudisset lacrimas super tantis urbis calamitatibus, quando videre erat populum decernentem servos debere esse liberos, peregrinos Athenienses, ignominia notatos fama integros: qui antea eo quod liberi et solo, quod incolebant, innati essent, gloriabantur. (42) In tantam autem permutationem est urbs adacta, ut quum prius pro reliquorum Græcorum salute dimicaret, contenti jam essent, si pro sua ipsorum salute tuto dimicare possent; et qui antehac magnæ barbarorum regioni dominarentur, tunc temporis adversus Macedonas pro sua terra periculis involverentur : et quem antehac populum Lacedæmonii, Peloponnesii, Asiamque incolentes Græci auxilio advocarant, hic jam opus haberet ex Andro, Ceo, Trœzene et Epidauro auxilia sibi accersere. (43) Proinde, judices, eum qui in ejusmodi terroribus, in tantis periculis tantaque turpitudine urbem dereliquerit, neque sese pro patria armaverit neque corpus suum præbuerit ad aciem imperatoribus, sed transfugerit atque populi salutem prodiderit, quisnam judex urbis amans aut pius esse volens sententia sua absolverit, aut quisnam orator huc accitus proditori urbis opem tulerit? qui neque super tantis patriæ calamitatibus una lugere ausus fuerit, neque quicquam contulerit ad urbis et populi salutem? (44) At vero illis temporibus nulla erat ætas quæ non exhibuerit se ipsam ad urbis salutem tuendam, quando regio hæc arbores contulit, mortui vero sepulcra, templa autem arma. Curam enim gerebant alii quidem mœnium constructionis, alii fossarum, alii valli : neque quisquam ex omnibus qui in urbe erant otiosus torpensve inveniebatur. At horum operum nulli corpus suum præbuit admovendum Leocrates. (45) Quæ vos

τάξει Λεωκράτης. (45) Ὧν εἰκὸς ὑμᾶς ἀναμνησθέντας τὸν μηδὲ ξυνενεγκεῖν μηδ' ἐπ' ἐκφορὰν ἐλθεῖν ἀξιώσαντα τῶν ὑπὲρ τῆς ἐλευθερίας καὶ τοῦ δήμου σωτηρίας ἐν Χαιρωνείᾳ τελευτησάντων θανάτῳ ζημιῶσαι, ὡς τὸ ἐπὶ τούτῳ μέρος ἀτάφων ἐκείνων τῶν ἀνδρῶν γεγενημένων· ὧν οὗτος οὐδὲ τὰς θήκας παριὼν ᾐσχύνθη ὀγδόῳ ἔτει τὴν πατρίδα αὐτῶν προσαγορεύων.

46. Περὶ ὧν, ὦ ἄνδρες, μικρῷ πλείω βούλομαι διελθεῖν, καὶ ὑμῶν ἀκοῦσαι δέομαι καὶ μὴ νομίζειν ἀλλοτρίους εἶναι τοὺς τοιούτους [λόγους] τῶν δημοσίων ἀγώνων· αἱ γὰρ τῶν ἀγαθῶν ἀνδρῶν εὐλογίαι τὸν ἔλεγχον σαφῆ κατὰ τῶν τἀναντία ἐπιτηδευόντων ποιοῦσιν. Ἔτι δὲ καὶ δίκαιον τὸν ἔπαινον, ὃς μόνος ἆθλον τῶν κινδύνων τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστί, τοῦτον, ἐπειδὴ κἀκεῖνοι εἰς τὴν κοινὴν σωτηρίαν τῆς πόλεως τὰς ψυχὰς αὑτῶν ἀνήλωσαν, ἐν τοῖς δημοσίοις καὶ κοινοῖς ἀγῶσι τῆς πόλεως μὴ παραλιπεῖν. (47) Ἐκεῖνοι γὰρ τοῖς πολεμίοις ἀπήντησαν ἐπὶ τοῖς ὁρίοις τῆς Βοιωτίας ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας μαχούμενοι, οὐκ ἐπὶ τοῖς τείχεσι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχοντες, οὐδὲ τὴν χώραν κακῶς ποιεῖν προέμενοι τοῖς ἐχθροῖς, ἀλλὰ τὴν μὲν αὑτῶν ἀνδρείαν ἀσφαλεστέραν φυλακὴν εἶναι νομίζοντες τῶν λιθίνων περιβόλων, τὴν δὲ θρέψασαν αὐτοὺς αἰσχυνόμενοι περιορᾶν πορθουμένην. (48) Εἰκότως· ὥσπερ γὰρ πρὸς τοὺς φύσει γεννήσαντας καὶ τοὺς ποιητοὺς τῶν πατέρων οὐχ ὁμοίως ἔχουσιν ἅπαντες ταῖς εὐνοίαις, οὕτω καὶ πρὸς τὰς χώρας τὰς μὴ φύσει προσηκούσας ἀλλ' ὕστερον ἐπικτήτους γενομένας καταδεέστερον διάκεινται. Τοιαύταις δὲ γνώμαις χρησάμενοι, καὶ τοῖς ἀρίστοις ἀνδράσιν ἐξ ἴσου τῶν κινδύνων μετασχόντες, οὐχ ὁμοίως τῆς τύχης ἐκοινώνησαν· τῆς γὰρ ἀρετῆς οὐ ζῶντες ἀπολαύουσιν, ἀλλὰ τελευτήσαντες τὴν δόξαν καταλελοίπασιν, οὐχ ἡττηθέντες, ἀλλ' ἀποθανόντες ἔνθα παρετάχθησαν ὑπὲρ τῆς ἐλευθερίας ἀμύνοντες. (49) Εἰ δὲ δεῖ καὶ παραδοξότατον μὲν εἰπεῖν, ἀληθὲς δέ, ἐκεῖνοι νικῶντες ἀπέθανον. Τὰ γὰρ ἆθλα τοῦ πολέμου τοῖς ἀγαθοῖς ἀνδράσιν ἐστὶν ἐλευθερία καὶ ἀρετή· ταῦτα δὲ ἀμφότερα τοῖς τελευτήσασιν ὑπάρχει. Ἔπειτα δὲ οὐδ' οἷόν τ' ἐστὶν εἰπεῖν ἡττῆσθαι τοὺς ταῖς διανοίαις μὴ πτήξαντας τὸν τῶν ἐπιόντων φόβον. Μόνους γὰρ τοὺς ἐν τοῖς πολέμοις καλῶς ἀποθνήσκοντας οὐδ' ἂν εἷς ἡττῆσθαι δικαίως φήσειε· τὴν γὰρ δουλείαν φεύγοντες εὐκλεᾶ θάνατον αἱροῦνται. (50) Ἐδήλωσε δὲ ἡ τούτων τῶν ἀνδρῶν ἀρετή· μόνοι γὰρ τῶν ἁπάντων τὴν τῆς Ἑλλάδος ἐλευθερίαν ἐν τοῖς ἑαυτῶν σώμασιν εἶχον. Ἅμα γὰρ οὗτοί τε τὸν βίον μετήλλαξαν καὶ τὰ τῆς Ἑλλάδος εἰς δουλείαν μετέπεσεν· συνετάφη γὰρ τοῖς τούτων σώμασιν ἡ τῶν ἄλλων Ἑλλήνων ἐλευθερία. Ὅθεν καὶ φανερὸν πᾶσιν ἐποίησαν οὐκ ἰδίᾳ πολεμοῦντες, ἀλλ' ὑπὲρ κοινῆς ἐλευθερίας προκινδυνεύοντες. Ὥστε, ὦ ἄνδρες, οὐκ ἂν αἰσχυνθείην εἰπὼν στέφανον τῆς πατρίδος εἶναι τὰς ἐκείνων ψυχάς. (51) Καὶ δι' ἃ οὐκ ἀλόγως ἐπετήδευον, ἐπίστασθε, ὦ Ἀθηναῖοι, μόνοι τῶν Ἑλλήνων τοὺς ἀγαθοὺς ἄνδρας τιμᾶν· εὑρήσετε δὲ παρὰ μὲν τοῖς ἄλλοις ἐν ταῖς

recordantes eum, qui neque conferre neque venire dignatus sit ad eos efferendos qui pro libertate populique salute in Chæronea occubuerunt, morte mulctare par est, tanquam, quod ad ipsum attinet, insepulti viri illi relicti sint; quorum hic neque tumulos præteriens erubuit octavo demum anno ipsorum patriam suam appellare.

46. De quibus, judices, paullo plura narrare constitui, vosque audire precor nec alienos putare tales sermones a publicis contentionibus; siquidem bonorum virorum præconia manifestum indicium de iis qui contraria moliuntur faciunt. Præterea justum est laudem, quæ una præmium periculorum est bonis viris, hanc ipsam, quandoquidem et illi in communem salutem urbis animas suas effuderunt, in publicis et communibus certaminibus urbis haud prætermittere. (47) Nam illi hostibus occurrerunt apud confinia Bœotiæ pro Græcorum libertate pugnaturi, non in mœnibus spem salutis habentes, neque terram populandam prodentes hostibus, sed suam fortitudinem propriam tutiorem esse munitionem putantes lapideis propugnaculis, meritoque pudefacti solum quod se educarit cernere vastari. (48) Jure: quemadmodum enim erga naturales parentes et adoptativos non omnes æque sunt benevoli, ad hunc modum erga regiones, quæ natura nos non attingunt, sed post acquisitæ sunt, minus affecti sunt homines. Ejusmodi sententiis impulsi, cum optimis viris ex æquo periculorum consortes facti, non pari ratione participes sunt facti fortunæ: virtute namque non fruuntur cum viventibus, sed mortui gloriam reliquerunt, haud victi, sed mortui ubi in acie collocati fuere pro libertate dimicantes. (49) Quodsi omnium longe mirabilissimum, attamen verum dicere oporteat, illi vincentes mortui sunt. Præmia enim belli bonis viris sunt libertas et virtus: hæc sane ambo defunctis vita præsto sunt. Neque fieri potest ut illi dicantur victi esse qui mentibus suis non trepidaverint ob imminentium malorum pavorem. Solos enim eos qui in bellis honeste moriuntur, nemo victos esse jure dixerit: nam servitutem fugientes celebrem mortem seligunt. (50) Declaravit porro istud horum virorum virtus: soli enim omnium Græciæ libertatem suis in corporibus habebant. Una enim illi vitam permutarunt resque Græcorum ad servitutem deciderunt: simul enim sepulta est cum horum corporibus reliquorum Græcorum libertas. Unde et perspicuum omnibus fecerunt se non privatim fecisse bellum, sed pro publica libertate tuenda sese præ aliis pericula subiisse. Quocirca haud puduerit me, judices, dicere coronam patriæ esse illorum animas. (51) Quapropter ex iis quæ recte illi gesserunt scitis, Athenienses, soli ex Græcis bonos viros honoribus afficere: invenietis enim apud alios quidem in foro gladiatorum statuas positas, apud

ἀγοραῖς ἀθλητὰς ἀνακειμένους, παρ' ὑμῖν δὲ στρατηγοὺς ἀγαθοὺς καὶ τοὺς τὸν τύραννον ἀποκτείναντας. Καὶ τοιούτους μὲν ἄνδρας οὐδ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ὀλίγους εὑρεῖν ῥᾴδιον, τοὺς δὲ τοὺς στεφανίτας ἀγῶνας νενικηκότας εὐπετῶς πολλαχόθεν ἔστι γεγονότας ἰδεῖν. Ὥσπερ τοίνυν τοῖς εὐεργέταις μεγίστας τιμὰς ἀπονέμετε, οὕτω δίκαιον καὶ τοὺς τὴν πατρίδα καταισχύνοντας καὶ προδιδόντας ταῖς ἐσχάταις τιμωρίαις κολάζειν.

52. Σκέψασθε δέ, ὦ ἄνδρες, ὅτι οὐδ' ἐν ὑμῖν ἔστιν ἀποψηφίσασθαι Λεωκράτους τουτουὶ τὰ δίκαια ποιοῦσι. Τὸ γὰρ ἀδίκημα τοῦτο κεκριμένον ἐστὶ καὶ κατεγνωσμένον. Ἡ μὲν γὰρ ἐν Ἀρείῳ πάγῳ βουλή (καὶ μηδείς μοι θορυβήσῃ· ταύτην γὰρ ὑπολαμβάνω μεγίστην τότε γενέσθαι τῇ πόλει σωτηρίαν) τοὺς φυγόντας τὴν πατρίδα καὶ ἐγκαταλιπόντας τότε τοῖς πολεμίοις λαβοῦσα ἀπέκτεινε. Καίτοι, ὦ ἄνδρες, μὴ νομίζετε τοὺς τὰ τῶν ἄλλων φονικὰ ἀδικήματα ὁσιώτατα δικάζοντας αὐτοὺς ἂν εἴς τινα τῶν πολιτῶν τοιοῦτόν τι παρανομῆσαι. (53) Ἀλλὰ μὴν Αὐτολύκου μὲν ὑμεῖς κατεψηφίσασθε, μείναντος μὲν αὐτοῦ ἐν τοῖς κινδύνοις, ἔχοντος δ' αἰτίαν τοὺς υἱεῖς καὶ τὴν γυναῖκα ὑπεκθέσθαι, καὶ ἐτιμωρήσασθε. Καίτοι εἰ τὸν τοὺς ἀχρήστους εἰς τὸν πόλεμον ὑπεκθέσθαι αἰτίαν ἔχοντα ἐτιμωρήσασθε, τί δεῖ πάσχειν ὅστις ἀνὴρ ὢν οὐκ ἀπέδωκε τὰ τροφεῖα τῇ πατρίδι; Ἔτι δὲ ὁ δῆμος, δεινὸν ἡγησάμενος εἶναι τὸ γινόμενον, ἐψηφίσατο ἐνόχους εἶναι τῇ προδοσίᾳ τοὺς φεύγοντας τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον, ἀξίους εἶναι νομίζων τῆς ἐσχάτης τιμωρίας. (54) Ἃ δὴ κατέγνωσται μὲν παρὰ τῷ δικαιοτάτῳ συνεδρίῳ, κατεψήφισται δὲ ὑφ' ὑμῶν τῶν δικάζειν λαχόντων, ὁμολογεῖται δὲ παρὰ τῷ δήμῳ τῆς μεγίστης ἄξια εἶναι τιμωρίας, τούτοις ὑμεῖς ἐναντία ψηφιεῖσθε; πάντων ἄρ' ἀνθρώπων ἔσεσθε ἀγνωμονέστατοι, καὶ ἐλαχίστους ἕξετε τοὺς ὑπὲρ ὑμῶν αὐτῶν κινδυνεύοντας.

55. Ὡς μὲν οὖν ἔνοχός ἐστι τοῖς εἰσηγγελμένοις ἅπασιν, ὦ ἄνδρες, Λεωκράτης, φανερόν ἐστι· πυνθάνομαι δὲ αὐτὸν ἐπιχειρήσειν ὑμᾶς ἐξαπατᾶν λέγοντα ὡς ἔμπορος ἐξέπλευσε καὶ κατὰ ταύτην τὴν ἐργασίαν ἀπεδήμησεν εἰς Ῥόδον. Ἐὰν οὖν ταῦτα λέγῃ, ἐνθυμεῖσθε ᾧ ῥᾳδίως λήψεσθε αὐτὸν ψευδόμενον. Πρῶτον μὲν γὰρ οὐκ ἐκ τῆς ἀκτῆς κατὰ τὴν πυλίδα ἐμβαίνουσιν οἱ κατ' ἐμπορίαν πλέοντες, ἀλλ' ἐκ τοῦ λιμένος, ὑπὸ πάντων τῶν φίλων ὁρώμενοι καὶ ἀποστελλόμενοι· ἔπειτα οὐ μετὰ τῆς ἑταίρας καὶ τῶν θεραπαινῶν, ἀλλὰ μόνος μετὰ παιδὸς τοῦ διακονοῦντος. (56) Πρὸς δὲ τούτοις τί προσῆκεν ἐν Μεγάροις τὸν Ἀθηναῖον ὡς ἔμπορον πέντε ἔτη κατοικεῖν καὶ τὰ ἱερὰ τὰ πατρῷα μετακομίζεσθαι καὶ τὴν οἰκίαν τὴν ἐνθάδε πωλεῖν, εἰ μὴ κατεγνώκει τε αὐτοῦ προδεδωκέναι τὴν πατρίδα καὶ μεγάλα πάντας ἠδικηκέναι; Ὃ καὶ πάντων γένοιτ' ἂν ἀτοπώτατον, εἰ περὶ ὧν αὐτὸς προσεδόκα τεύξεσθαι τιμωρίας, ταῦθ' ὑμεῖς ἀπολύσετε κύριοι γενόμενοι τῆς ψήφου. Χωρὶς δὲ τούτων οὐχ ἡγοῦμαι δεῖν ἀποδέχεσθαι ταύτην τὴν ἀπολογίαν. (57) Πῶς γὰρ οὐ δεινὸν τοὺς μὲν ἐπὶ ἐμπο-

vos autem imperatorum bonorum et qui tyrannum occiderint. Ejusmodi autem viros ne ex universa quidem Græcia facile est invenire paucos; eos autem, qui ludos aut certamina in quibus pro corona certatur vicerint, ex plerisque locis in proclivi est novisse. Ut igitur benefactoribus maximos honores tribuitis, sic justum est ut eos, qui patriam contumelia afficiunt eamque produnt, extremis suppliciis puniatis.

52. Considerate autem, judices, jam non amplius in vestra potestate situm esse Leocratem hunc suffragiis vestris absolvere, si quidem justa facturi estis. Scelus enim hoc jam judicatum est condemnatumque. Nam senatus in Areopago (neque mihi quisquam hic obstrepat; concilium enim Areopagiticum maxime tum fuisse urbi salutare judico) transfugas patriam tunc deserentes ac hostibus dedentes arreptos occidit. Nec existimetis, Athenienses, eos, qui reliquorum scelera quibus cædem commisere sanctissime judicant, in quendam civium adeo inique agere. (53) At vero Autolycum quidem vos condemnastis, quum ipse quidem in periculis perstitisset, habuerit autem criminationem, quod filios et uxorem clam alio transportarit, eumque supplicio affecistis. Quodsi vero eum qui insimulabatur, quod clam exposuisset inutiles ad bellum, supplicio affecistis, quid illum pati convenit qui, quum vir sit, non fuerit patriæ suæ gratus pro educationis beneficiis? Præterea gravem ratus esse rem populus decrevit reos esse proditionis si qui pro patria subire periculum detrectassent; dignos tales extremo supplicio censens. (54) Quæ igitur conclusa sunt apud justissimum concilium, et decreta sunt a vobis sorte delectis ad sententiam ferendam, quæ denique constat apud populum maximo digna esse supplicio, hiscene vos contraria decernetis? Omnium, si istud faciatis, futuri estis insipientissimi, paucissimosque habebitis qui pro vobis sese periculis sint objecturi.

55. Quod itaque reus sit omnium quorum insimulatus est Leocrates, Athenienses, perspicuum exsistit. Audio autem ipsum daturum operam ut vobis imponat dicendo quod mercator enavigaverit atque propter hanc negotiationem Rhodum commigrarit. Si igitur hæc dixerit, cogitate quomodo facile ipsum in mendaciis deprehendatis. Primum enim non ex litore per portulam inscendunt navim qui ad mercatum navigant, sed ex portu, ab omnibus amicis visi et amandati: deinde non cum scorto et ancillis, sed solus cum puero administro. (56) Præterea quid opus erat Megaris Atheniensem ceu mercatorem quinquennium demorari et sacra patria eo transferre domumque hic sitam vendere, nisi agnovisset se prodidisse patriam et magna omnes injuria affecisse? Omnium proinde absurdissimum fuerit, si scelerum, quorum pœnam ipse exspectavit, vos nunc absolvetis eum, quum sitis domini judicii. Insuper non puto oportere ut admittatis hanc defensionem. (57) Qui enim non est horrendum eos, qui ad mercatum

ρίᾳ ἀποδημοῦντας σπεύδειν ἐπὶ τὴν τῆς πόλεως βοήθειαν, τοῦτον δὲ μόνον ἐν τοῖς τότε καιροῖς καὶ κατ' ἐργασίαν ἐκπλεῖν, ἡνίκα οὐδ' ἂν εἷς προσκτήσασθαι οὐδὲν ἂν ἐζήτησεν, ἀλλὰ τὰ ὑπάρχοντα μόνον διαφυλάξαι; Ἡδέως δ' ἂν αὐτοῦ πυθοίμην, τίνα ἐμπορίαν εἰσάγων χρησιμώτερος ἐγένετο ἂν τῇ πόλει τοῦ παρασχεῖν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς καὶ τοὺς ἐπιόντας ἀμύνασθαι μεθ' ὑμῶν μαχόμενος. Ἐγὼ μὲν οὐδεμίαν ὁρῶ τηλικαύτην οὖσαν βοήθειαν. (58) Ἄξιον δέ ἐστιν οὐ μόνον αὐτῷ διὰ τὴν πρᾶξιν ὀργίζεσθαι ταύτην, ἀλλὰ καὶ διὰ τὸν λόγον τοῦτον· φανερῶς γὰρ ψεύδεσθαι τετόλμηκεν. Οὔτε γὰρ πρότερον οὐδὲ πώποτε ἐγένετο ἐπὶ ταύτης τῆς ἐργασίας, ἀλλ' ἐκέκτητο χαλκοτύπους, οὔτε τότε ἐκπλεύσας οὐδὲν εἰσήγαγεν ἐκ Μεγάρων, ἓξ ἔτη συνεχῶς ἀποδημήσας. Ἔτι δὲ καὶ τῆς πεντηκοστῆς μετέχων ἐτύγχανεν, ἣν οὐκ ἂν καταλιπὼν κατ' ἐμπορίαν ἀπεδήμει. Ὥστ' ἂν μέν τι περὶ τούτων λέγῃ, οὐδ' ὑμᾶς ἐπιτρέψειν αὐτῷ νομίζω.

59. Ἥξει δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον φερόμενος, ὃν αὐτῷ συμβεβουλεύκασί τινες τῶν συνηγόρων, ὡς οὐχ ἔνοχός ἐστι τῇ προδοσίᾳ· οὔτε γὰρ νεωρίων κύριος οὔτε πυλῶν οὔτε στρατοπέδων οὔθ' ὅλως τῶν τῆς πόλεως οὐδενός. Ἐγὼ δ' ἡγοῦμαι τοὺς μὲν τούτων κυρίους μέρος ἄν τι προδοῦναι τῆς ὑμετέρας δυνάμεως, τουτονὶ δ' ὅλην ἔκδοτον ποιῆσαι τὴν πόλιν. Ἔτι δ' οἱ μὲν τοὺς ζῶντας μόνον ἀδικοῦσι προδιδόντες, οὗτος δὲ καὶ τοὺς τετελευτηκότας καὶ τὰ ἐν τῇ χώρᾳ ἱερὰ τῶν πατρῴων νομίμων ἀποστερῶν. (60) Καὶ ὑπὸ μὲν ἐκείνων προδοθεῖσαν οἰκεῖσθαι ἂν συνέβαινε δούλην οὖσαν τὴν πόλιν, ὃν δὲ τρόπον οὗτος ἐξέλιπεν, ἀοίκητον ἂν γενέσθαι. Ἔτι δὲ ἐκ μὲν τοῦ κακῶς πράττειν τὰς πόλεις μεταβολῆς τυχεῖν ἐπὶ τὸ βέλτιον εἰκός ἐστιν, ἐκ δὲ τοῦ παντάπασι γενέσθαι ἀνάστατον καὶ τῶν κοινῶν ἐλπίδων στερηθῆναι. Ὥσπερ γὰρ ἀνθρώπῳ ζῶντι μὲν ἐλπὶς ἐκ τοῦ κακῶς πρᾶξαι μεταπεσεῖν, τελευτήσαντι δὲ συναναιρεῖται πάντα δι' ὧν ἄν τις εὐδαιμονήσειεν, οὕτω καὶ περὶ τὰς πόλεις συμβαίνει πέρας ἔχειν τὴν ἀτυχίαν ὅταν ἀνάστατοι γένωνται. (61) Εἰ γὰρ δεῖ τὴν ἀλήθειαν εἰπεῖν, πόλεώς ἐστι θάνατος ἀνάστατον γενέσθαι. Τεκμήριον δὲ μέγιστον· ἡμῶν γὰρ ἡ πόλις τὸ μὲν παλαιὸν ἀπὸ τῶν τυράννων κατεδουλώθη, τὸ δ' ὕστερον ὑπὸ τῶν τριάκοντα, καὶ ὑπὸ Λακεδαιμονίων τὰ τείχη καθῃρέθη· καὶ ἐκ τούτων ὅμως ἀμφοτέρων ἠλευθερώθημεν καὶ τῆς τῶν Ἑλλήνων εὐδαιμονίας ἠξιώθημεν προστάται γενέσθαι. (62) Ἀλλ' οὐχ ὅσαι πώποτ' ἀνάστατοι γεγόνασι. Τοῦτο μὲν γάρ, εἰ καὶ παλαιότερον εἰπεῖν ἐστι, τὴν Τροίαν τίς οὐκ ἀκήκοεν, ὅτι μεγίστη γεγενημένη τῶν τότε πόλεων καὶ πάσης ἐπάρξασα τῆς Ἀσίας, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, τὸν αἰῶνα ἀοίκητός ἐστι; τοῦτο δὲ Μεσσήνην πεντακοσίοις ἔτεσιν ὕστερον ἐκ τῶν τυχόντων ἀνθρώπων συνοικισθεῖσαν;

63. Ἴσως οὖν τῶν συνηγόρων αὐτῷ τολμήσει τις εἰπεῖν, μικρὸν τὸ πρᾶγμα ποιῶν, ὡς οὐδὲν ἂν παρ' ἕνα
156 ἄνθρωπον ἐγένετο τούτων· καὶ οὐκ αἰσχύνονται τοιαύτην

in peregrino consistunt solo, accelerare reditum ad patriæ auxilium, hunc autem solum istis temporibus pro quæstu transmittere maria, quando ne unus quidem quicquam lucrari quæsivit, sed parta tantummodo tueri? Lubens vero audirem, quam negotiationem adducens dicat sese urbi commodiorem fieri potuisse quam si corpus in urbis salutem imperatoribus ordinandum præbuisset invadentesque in patriam arcuisset vobiscum pugnans. Ego quidem nullum tantum auxilium esse video. (58) Dignum autem est ut ipsi non solum ob hoc facinus succenseatis, sed etiam propter hunc sermonem: palam enim mentiri ausus est. Neque enim prius unquam se huic quæstui dedidit, sed possederat fabros ærarios; neque tum solvens quicquam huc Megaris advexit, sex annos integros peregrinatus. Ad hæc quinquagesimæ vectigalis consors erat, qua haud relicta mercaturæ causa apud exteros agere voluisset. Quare si quid de his dixerit, neque vos ipsi permissuros reor.

59. Sed fortasse ad illam rationem citato cursu perveniet, quam ipsi quidam patronorum suaserunt, quo non sit reus proditionis: neque enim se navalium esse dominum neque portarum neque exercituum neque ullius functionis quæ ad urbem pertinet. Atqui horum dominos censeo nonnisi partem quandam potentiæ vestræ prodituros fuisse, hunc autem totam deditițiam facere civitatem. Ad hæc alii quidem proditores viventes tantummodo injuria afficiunt, hic autem et vita defunctos et hujus regionis sacra patriis legibus et jure privans. (60) Atque si ab illis prodita fuisset civitas, inhabitari saltem contingeret etsi in servitutem redactam; relicta vero, sicut ab hoc deserta est, fieret solitudo. Porro civitates ex infelicitate ad meliorem statum transferri probabile est, sin prorsus vastetur urbs, eandem communibus etiam spebus privari verisimile est. Ut enim homini viventi spes est ab infelicitate se tandem liberatum iri, defuncto autem cum vita simul auferuntur omnia per quæ quisquam felix esse queat; sic etiam civitatibus accidit ut extrema malorum assequantur quum eversæ fuerint. (61) Si enim verum dicere oporteat, eversio civitatis mors est. Argumento autem maximo esse poterit, quod nos ipsi experti sumus: nostra enim urbs olim a tyrannis, deinde a triginta viris in servitutem est redacta, muri autem a Lacedæmoniis sunt diruti: et ab his tamen ambobus malis sumus liberati, Græcorumque salutis digni judicati sumus præsides fieri. (62) Sed ejusmodi fortuna non obtigit unquam iis urbibus quotquot eversæ fuerunt. Vetustius equidem est quod dicturus sum, ad rem tamen præsentem facit: Trojam quis non audivit maximam tum urbium fuisse totique dominatam esse Asiæ? hæc ipsa tamen ut semel diruta fuit, perpetuo habitatoribus vacat. Idem confirmat, quod Messene quingentis demum post annis ex vulgaribus hominibus adeoque colluvie sit restaurata.

63. At fortasse patronorum ejus aliquis audebit dicere, rem ipsam extenuans, quod nihil horum fieri potuit unius culpa hominis; nec pudet illos ejusmodi defensionem fa-

ἀπολογίαν ποιούμενοι πρὸς ὑμᾶς, ἐφ' ᾗ δικαίως ἂν ἀποθάνοιεν. Εἰ μὲν γὰρ ὁμολογοῦσι τὴν πατρίδα αὐτὸν ἐκλιπεῖν, τοῦτο συγχωρήσαντες ὑμᾶς ἐάτωσαν διαγνῶναι περὶ τοῦ μεγέθους· εἰ δ' ὅλως μηδὲν τούτων πεποίηκεν, οὐ μανία δή που τοῦτο λέγειν ὡς οὐδὲν ἂν γένηται παρὰ τοῦτον; (64) Ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τοὐναντίον τούτοις, παρὰ τοῦτον εἶναι τῇ πόλει τὴν σωτηρίαν· ἡ γὰρ πόλις οἰκεῖται κατὰ τὴν ἰδίαν ἑκάστου μοῖραν φυλαττομένη· ὅταν οὖν ταύτην ἐφ' ἑνός τις παρίδῃ, λέληθεν ἑαυτὸν ἐφ' ἁπάντων τοῦτο πεποιηκώς. Καίτοι ῥᾴδιόν ἐστιν, ὦ ἄνδρες, πρὸς τὰς τῶν ἀρχαίων νομοθετῶν διανοίας ἀποβλέψαντας τὴν ἀλήθειαν εὑρεῖν. (65) Ἐκεῖνοι γὰρ οὐ τῷ μὲν ἑκατὸν τάλαντα κλέψαντι θάνατον ἔταξαν, τῷ δὲ δέκα δραχμὰς ἔλαττον ἐπιτίμιον· οὐδὲ τὸν μὲν μεγάλα ἱεροσυλήσαντα ἀπέκτεινον, τὸν δὲ μικρὰ ἐλάττονι τιμωρίᾳ ἐκόλαζον· οὐδὲ τὸν μὲν οἰκέτην ἀποκτείναντα ἀργυρίῳ ἐζημίουν, τὸν δὲ ἐλεύθερον εἶργον τῶν νόμων· ἀλλ' ὁμοίως ἐπὶ πᾶσι καὶ τοῖς ἐλαχίστοις παρανομήμασι θάνατον ὥρισαν εἶναι τὴν ζημίαν. (66) Οὐ γὰρ πρὸς τὸ ἴδιον ἕκαστος αὐτῶν ἀπέβλεπε τοῦ γεγενημένου πράγματος, οὐδ' ἐντεῦθεν τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐλάμβανον, ἀλλ' αὐτὸ ἐσκόπουν τοῦτο, εἰ πέφυκε τὸ ἀδίκημα τοῦτο ἐπὶ πλεῖον ἐλθὸν μέγα βλάπτειν τοὺς ἀνθρώπους. Καὶ γὰρ ἄτοπον ἄλλως πως περὶ τούτου ἐξετάζειν. Φέρε γάρ, ὦ ἄνδρες, εἴ τις ἕνα νόμον εἰς τὸ Μητρῷον ἐλθὼν ἐξαλείψειεν, εἶτ' ἀπολογοῖτο ὡς οὐδὲν παρὰ τοῦτον τῇ πόλει ἐστίν, ἆρ' οὐκ ἂν ἀπεκτείνατ' αὐτόν; Ἐγὼ μὲν οἶμαι δικαίως, εἴπερ ἐμέλλετε καὶ τοὺς ἄλλους σώζειν. (67) Τὸν αὐτὸν τοίνυν τρόπον κολαστέον ἐστὶ τοῦτον, εἰ μέλλετε τοὺς ἄλλους πολίτας βελτίους ποιήσειν· καὶ οὐ τοῦτο λογιεῖσθε εἰ εἷς ἐστι μόνος ὁ ἄνθρωπος, ἀλλ' εἰς τὸ πρᾶγμα. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὸ μὴ πολλοὺς τοιούτους γενέσθαι ἡμέτερον εὐτύχημα εἶναι, τοῦτον μέντοι διὰ τοῦτο μείζονος τιμωρίας ἄξιον εἶναι τυχεῖν, ὅτι μόνος τῶν ἄλλων πολιτῶν οὐ κοινὴν ἀλλ' ἰδίαν τὴν σωτηρίαν ἐζήτησεν.

68. Ἀγανακτῶ δὲ μάλιστα, ὦ ἄνδρες, ἐπειδὰν ἀκούσω τῶν μετὰ τούτου τινὸς λέγοντος ὡς οὐκ ἔστι τοῦτο προδιδόναι, εἴ τις ᾤχετο ἐκ τῆς πόλεως· καὶ γὰρ οἱ πρόγονοί ποθ' ἡμῶν τὴν πόλιν καταλιπόντες, ὅτε πρὸς Ξέρξην ἐπολέμουν, εἰς Σαλαμῖνα διέβησαν. Καὶ οὕτως ἐστὶν ἀνόητος καὶ παντάπασιν ὑμῶν καταπεφρονηκώς, ὥστε τὸ κάλλιστον τῶν ἔργων πρὸς τὸ αἴσχιστον συμβαλεῖν ἠξίωσε. (69) Ποῦ γὰρ οὐ περιβόητος ἐκείνων τῶν ἀνδρῶν ἡ ἀρετὴ γέγονε; τίς δ' οὕτως ἢ φθονερός ἐστιν ἢ παντάπασιν ἀφιλότιμος, ὃς οὐκ ἂν εὔξαιτο τῶν ἐκείνοις πεπραγμένων μετασχεῖν; Οὐ γὰρ τὴν πόλιν ἐξέλιπον, ἀλλὰ τὸν τόπον μετήλλαξαν, πρὸς τὸν ἐπιόντα κίνδυνον καλῶς βουλευσάμενοι. (70) Ἐτεόνικος μὲν γὰρ ὁ Λακεδαιμόνιος καὶ Ἀδείμαντος ὁ Κορίνθιος καὶ τὸ Αἰγινητῶν ναυτικὸν ὑπὸ νύκτα τὴν σωτηρίαν αὐτοῖς ἔμελλον πορίζεσθαι· ἐγκαταλειπόμενοι δὲ οἱ πρόγονοι ὑπὸ πάντων τῶν Ἑλλήνων βίᾳ καὶ τοὺς ἄλλους ἠλευθέρωσαν, ἀναγκάσαντες ἐν Σαλαμῖνι μετὰ αὐτῶν πρὸς τοὺς βαρ-

cere apud vos, ob quam jure mori deberent. Si enim confiteantur patriam eum deseruisse, hoc permisso vos sinant de sceleris magnitudine judicare : sin nihil horum fecit, nonne insania jam est dicere, nihil urbi accidisse? (64) Existimo autem ego, judices, contrarium, dissentiens a patronis istius, nempe ab illo uno homine salutem urbis pependisse. Siquidem urbs habitatur secundum propriam uniuscujusque provinciam custodita : quum igitur hanc quispiam in uno neglexerit, ignorat sese in omnibus istuc fecisse. Profecto facile est, judices, ad veterum legislatorum respicientes sententias, veritatem invenire. (65) Non enim illi centum talenta suffuratum morte mulctarunt, decem vero drachmas sublegentem minore pœna affecerunt; neque eum qui ampla spolia e delubris deorum immortalium abstulerit, occiderunt, qui vero pauca spoliarit, minore supplicio puniebant; neque eum, qui servum occidisset, pecunia mulctabant, qui vero liberum, arcebant locis juribusque, a quibus homicidæ excluduntur : verum in iis omnibus, etiam minimis, delictis mortem decreverunt esse mulctam. (66) Non enim ad propriam naturam patrati facinoris unusquisque respiciebat, neque exinde metiebatur magnitudinem scelerum, verum istuc considerabant, quatenus ita comparatum esset facinus, ut si incrementum caperet, magno humanum genus damno affecturum esset. Etenim absurdum est alio modo de hoc examen facere. Agite enim, viri, si quis unam legem Metroum ingressus deleverit, deinde contenderit, nihil per hanc expunctam legem urbi mali evenire, nonne occideretis eum? Ego sane vos hoc jure facere censerem, si quidem ceteras leges conservare velitis. (67) Ad eundem modum hic puniendus est, si reliquos cives meliores reddituri estis. Neque hoc considerabitis, num unus tantummodo hic sit homo qui talia perpetraverit, verum ipsum facinus, quale sit, spectabitis. Ego enim existimo ejusmodi homines non multos esse vestram felicitatem esse, atque hunc propterea majore supplicio dignum, quod solus ex reliquis civibus non publicam, sed privatam salutem quæsiverit.

68. Supra modum autem commoveor, viri, si audiam quendam eorum qui ab hujus partibus stant dicere, quod hoc non sit prodere, si quis ex urbe abierit : etenim majores quoque nostri, aiunt, urbe relicta, quando adversus Xerxem gerebant bellum, Salamina transmigrarunt. Adeoque vesanus est omninoque vestri contemnens, ut pulcherrimum factum istuc ad turpissimum conferre non erubescat. (69) Ubi enim celebrata illorum virorum virtus non fuit? quis adeo aut invidus est aut a virtutis et honoris amore alienus, qui non optarit rerum ab illis ipsis gestarum consors esse? Non enim urbem deseruerunt, sed locum permutarunt, ut imminens periculum effugerent, præclaro et honesto usi consilio. (70) Nam Eteonicus quidem Lacedæmonius et Adimantus Corinthius Æginetarumque classis sub noctem salutem sibi quæsituri erant fuga : deserti vero majores nostri ab omnibus Græcis etiam reliquos vel invitos liberarunt, cogentes eos apud Salamina secum adversum barbaros navali prœlio decertare. Soli autem majores nostri

βάρους ναυμαχεῖν. Μόνοι δὲ ἀμφοτέρων περιγεγόνασι, καὶ τῶν πολεμίων καὶ τῶν συμμάχων, ὡς ἑκατέρων προσῆκε, τοὺς μὲν εὐεργετοῦντες, τοὺς δὲ μαχόμενοι νικῶντες. Ἆρά γε ὅμοιον τῷ φεύγοντι τὴν πατρίδα τεττάρων ἡμερῶν πλοῦν εἰς Ῥόδον; (71) Ἦ που ταχέως ἂν ἠνέσχετό τις ἐκείνων τῶν ἀνδρῶν τοιοῦτον ἔργον, ἀλλ' οὐκ ἂν κατέλευσαν τὸν καταισχύνοντα τὴν αὑτῶν ἀριστείαν. Οὕτω γοῦν ἐφίλουν τὴν πατρίδα πάντες, ὥστε τὸν παρὰ Ξέρξου πρεσβευτὴν Ἀλέξανδρον, φίλον ὄντα αὐτοῖς πρότερον, ὅτι γῆν καὶ ὕδωρ ᾔτησε, μικροῦ δεῖν κατέλευσαν. Ὅπου δὲ καὶ τοῦ λόγου τιμωρίαν ἠξίουν λαμβάνειν, ἦ που τὸν ἔργῳ παραδόντα τὴν πόλιν ὑποχείριον τοῖς πολεμίοις οὐ μεγάλαις ἂν ζημίαις ἐκόλασαν. (72) Τοι-
157 γαροῦν τοιαύταις χρώμενοι γνώμαις ἐνενήκοντα μὲν ἔτη τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, Φοινίκην δὲ καὶ Κιλικίαν ἐπόρθησαν, ἐπ' Εὐρυμέδοντι δὲ καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες ἐνίκησαν, ἑκατὸν δὲ τριήρεις τῶν βαρβάρων αἰχμαλώτους ἔλαβον, ἅπασαν δὲ τὴν Ἀσίαν κακῶς ποιοῦντες περιέπλευσαν, καὶ τὸ κεφάλαιον τῆς νίκης, οὐ τὸ ἐν Σαλαμῖνι τρόπαιον ἀγαπήσαντες ἔστησαν, (73) ἀλλ' ὅρους τοῖς βαρβάροις πήξαντες τοὺς εἰς τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, καὶ τούτους κωλύσαντες ὑπερβαίνειν, συνθήκας ἐποιήσαντο μακρῷ μὲν πλοίῳ μὴ πλεῖν ἐντὸς Κυανέων καὶ Φασήλιδος, τοὺς δ' Ἕλληνας αὐτονόμους εἶναι, μὴ μόνον τοὺς τὴν Εὐρώπην ἀλλὰ καὶ τοὺς τὴν Ἀσίαν κατοικοῦντας. (74) Καίτοι οἴεσθε ἄν, εἰ τῇ Λεωκράτους διανοίᾳ χρησάμενοι πάντες ἔφυγον, τούτων ἄν τι γενέσθαι τῶν καλῶν ἔργων, ἢ ταύτην ἂν ἔτι τὴν χώραν κατοικεῖν ὑμᾶς; Χρὴ τοίνυν, ὦ ἄνδρες, ὥσπερ τοὺς ἀγαθοὺς ἐπαινεῖτε καὶ τιμᾶτε, οὕτω καὶ τοὺς κακοὺς μισεῖν τε καὶ κολάζειν, ἄλλως τε καὶ Λεωκράτην, ὃς οὔτε ἔδεισεν οὔτε ᾐσχύνθη ὑμᾶς.

75. Καίτοι ὑμεῖς τίνα τρόπον νενομίκατε περὶ τούτων, καὶ πῶς ἔχετε ταῖς διανοίαις, θεωρήσατε. Ἄξιον γὰρ ὅμως καίπερ πρὸς εἰδότας διελθεῖν· ἐγκώμιον γὰρ νὴ τὴν Ἀθηνᾶν εἰσι τῆς πόλεως οἱ παλαιοὶ νόμοι καὶ τὰ ἔθη τῶν ἐξ ἀρχῆς ταῦτα κατασκευασάντων, οἷς ἂν προσέχητε, τὰ δίκαια ποιήσετε καὶ πᾶσιν ἀνθρώποις σεμνοὶ καὶ ἄξιοι τῆς πόλεως δόξετ' εἶναι. (76) Ὑμῖν γάρ ἐστιν ὅρκος, ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσι καὶ ἔφηβοι γένωνται, μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν. Ὃν εἰ μὲν ὀμώμοκε Λεωκράτης, φανερῶς ἐπιώρκηκε, καὶ οὐ μόνον ὑμᾶς ἠδίκηκεν ἀλλὰ καὶ εἰς τὸ θεῖον ἠσέβησεν· εἰ δὲ μὴ ὀμώμοκεν, εὐθὺς δῆλός ἐστι παρασκευασάμενος οὐδὲν ποιήσειν τῶν δεόντων, ἀνθ' ὧν δικαίως ἂν αὐτὸν καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσαισθε. (77) Βούλομαι δὲ ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου. Λέγε, γραμματεῦ.

ΟΡΚΟΣ.

[Οὐ καταισχυνῶ ὅπλα τὰ ἱερά, οὐδ' ἐγκαταλείψω τὸν παραστάτην ὅτῳ ἂν στοιχήσω· ἀμυ-

utrosque superabant, et hostes et socios, ut utrosque superare decuit, socios beneficiis, hostes virtute. Similene est ergo majorum nostrorum factum fugienti patriam navigantique Rhodum quattuor dierum spatio? (71) Ægre eorum aliquis sustinuisset ejusmodi opus, sed statim lapidibus obruissent eum qui pudefaceret ipsorum præclarissimam operam. Adeo autem patriam diligebant omnes, ut ab Xerxe missum legatum Alexandrum, prius ipsis amicum, quod terram et aquam petiisset, propemodum lapidibus obruissent. Quodsi tum de verbo supplicium sumendum censuerunt, nonne re ipsa tradentem urbem hostibus magnis pœnis affecissent? (72) Proinde talibus usi consiliis per nonaginta quidem annos Græcorum duces fuerunt, Phœnicen autem et Ciliciam populati sunt, ad Eurymedontem pedestri et navali prœlio decertantes vicerunt, centum triremes barbarorum ceperunt, universam Asiam affligentes circumnavigarunt, et quod summum est victoriæ, non tropæum Salamine statuere contenti, (73) sed terminos barbaris figentes qui ad Græciæ libertatem pertinerent hosque prohibentes transgredi, fœdus pepigerunt, ut longa quidem nave non navigarent intra Cyaneas insulas et Phaselidem amnem, Græci autem sui juris essent, ii etiam qui Asiam incolerent, non solum qui Europam. (74) At vero arbitramini, si omnes Leocratis istius imbuti mente fugissent, horum aliquod factum egregiorum operum esse, aut hanc vos adhuc regionem inhabitare? Operæ pretium est ergo, judices, quemadmodum bonos commendatis et honore afficitis, sic et ignavos odisse et punire; maxime vero Leocratem, qui neque metuit neque vos est reveritus.

75. Sane de his rebus qualiter statueritis, qualesque sint sententiæ vestræ, contemplamini. Dignum vero est eas etiam apud gnaros earundem percensere. Præconium enim, ita mihi Minerva faveat, urbis sunt veteres leges et consuetudines eorum qui hæc primum constituerunt; quibus si advertatis animum, justa facietis omnibusque hominibus honesti dignique urbe judicabimini esse. (76) Vobis enim est jusjurandum, quod jurant omnes cives quando ephebi facti in album inscribuntur, quo cavetur ne sacra arma pudefaciant neque stationem in acie deserant, patriam autem defendant et meliorem reddant. Quodsi illo se jurejurando obstrinxit Leocrates, palam factus est perjurus, atque in deos impius fuit, non solum vos injuria affecit : si autem non juravit, statim aperte indicat se ita paratum esse ut nihil faciat eorum quæ conveniant bonis viris, quocirca jure de eo tum vos tum deos vindicaturi ultionem sumetis. (77) Cupio autem vos audire jusjurandum. Recita, scriba.

JUSJURANDUM.

[Non dedecorabo arma sacra, nec astantem, quisquis fuerit, commilitonem deseram; pugnabo

νῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὁσίων καὶ μόνος καὶ μετὰ πολλῶν· τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παραδώσω, πλείω δὲ καὶ ἀρείω, ὅσην ἂν παραδέξωμαι· καὶ εὐηκοήσω τῶν ἀεὶ κρινόντων· καὶ τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι καὶ οὕστινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως· καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων· καὶ ἱερὰ τὰ πάτρια τιμήσω. Ἴστορες θεοὶ τούτων, Ἄγλαυρος, Ἐνυάλιος, Ἄρης, Ζεύς, Θαλλώ, Αὐξώ, Ἡγεμόνη.]

Καλός γε, ὦ ἄνδρες, καὶ ὅσιος ὁ ὅρκος. Παρὰ τοῦτον τοίνυν ἅπαντα πεποίηκε Λεωκράτης. Καίτοι πῶς ἂν ἄνθρωπος γένοιτο ἀνοσιώτερος ἢ μᾶλλον προδότης τῆς πατρίδος; τίνα δ' ἂν τρόπον ὅπλα καταισχύνειέ τις μᾶλλον, ἢ εἰ λαβεῖν μὴ 'θέλει καὶ τοὺς πολεμίους ἀμύνασθαι; πῶς δ' οὐ καὶ τὸν παραστάτην καὶ τὴν τάξιν λέλοιπεν ὁ μηδὲ τάξαι τὸ σῶμα παρασχών; (78) Ποῦ δ' ὑπὲρ ὁσίων καὶ ἱερῶν ἤμυνεν ἂν ὁ μηδένα κίνδυνον ὑπομείνας; τίνι δ' ἂν τὴν πατρίδα παρέδωκε μείζονα; τὸ γὰρ τούτου μέρος ἐκλελειμμένη τοῖς πολεμίοις ὑποχείριός ἐστιν. Εἶτα τοῦτον οὐκ ἀποκτενεῖτε τὸν ἁπάσαις ταῖς ἀδικίαις ἔνοχον ὄντα; Τίνας οὖν τιμωρήσεσθε; τοὺς ἕν τι τούτων ἡμαρτηκότας; Ῥᾴδιον ἔσται παρ' ὑμῖν ἄρα μεγάλα ἀδικεῖν, εἰ φανεῖσθε ἐπὶ τοῖς μικροῖς μᾶλλον ὀργιζόμενοι.

79. Καὶ μήν, ὦ ἄνδρες, καὶ τοῦθ' ὑμᾶς δεῖ μαθεῖν, ὅτι τὸ συνέχον τὴν δημοκρατίαν ὅρκος ἐστί. Τρία γάρ ἐστιν ἐξ ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων, ὁ δικαστής, ὁ ἰδιώτης. Τούτων τοίνυν ἕκαστος ταύτην πίστιν δίδωσιν. Εἰκότως· τοὺς μὲν γὰρ ἀνθρώπους πολλοὶ ἤδη ἐξαπατήσαντες καὶ διαλαθόντες οὐ μόνον τῶν παρόντων κινδύνων ἀπελύθησαν, ἀλλὰ καὶ τὸν ἄλλον χρόνον ἀθῷοι τῶν ἀδικημάτων τούτων εἰσί· τοὺς δὲ θεοὺς οὔτ' ἂν ἐπιορκήσας τις λάθοι οὔτ' ἂν ἐκφύγοι τὴν ἀπ' αὐτῶν τιμωρίαν, ἀλλ' εἰ μὴ αὐτός, οἱ παῖδές γε καὶ τὸ γένος ἅπαν τὸ τοῦ ἐπιορκήσαντος μεγάλοις ἀτυχήμασι περιπίπτει. (80) Διόπερ, ὦ ἄνδρες δικασταί, ταύτην πίστιν ἔδοσαν αὐτοῖς ἐν Πλαταιαῖς πάντες οἱ Ἕλληνες, ὅτε ἔμελλον παραταξάμενοι μάχεσθαι πρὸς τὴν Ξέρξου δύναμιν, οὐ παρ' αὐτῶν εὑρόντες, ἀλλὰ μιμησάμενοι τὸν παρ' ὑμῖν εἰθισμένον ὅρκον. Ὃν ἄξιόν ἐστιν ἀκοῦσαι· καὶ γὰρ παλαιῶν ὄντων τῶν τότε πεπραγμένων ὅμως ἰσχνῶς
158 ἔστιν ἐν τοῖς γεγραμμένοις ἰδεῖν τὴν ἐκείνων ἀρετήν. Καί μοι ἀναγίνωσκε αὐτόν.

ΟΡΚΟΣ.

81. Οὐ ποιήσομαι περὶ πλείονος τὸ ζῆν τῆς ἐλευθερίας, οὐδ' ἐγκαταλείψω τοὺς ἡγεμόνας οὔτε ζῶντας οὔτε ἀποθανόντας, ἀλλὰ

pro sacris et publicis et solus et cum multis; patriam haud minorem tradam, sed majorem fortioremque quam accepero; atque obediam semper judicibus; atque legibus ritibusque parebo et constitutis et in posterum a populo constituendis unanimiter; ac si quis tollere voluerit leges aut non parere iis, non permittam, sed tuebor eas et solus et cum omnibus; atque colam sacra patria. Testes horum dii sint, Aglaurus, Enyalius, Mars, Juppiter, Thallo, Auxo, Hegemone.]

Honestum sane, judices, et sanctum est hoc jusjurandum. Ergo præter id omnia fecit Leocrates. Atqui qui quisquam poterit impurior aut magis esse patriæ proditor? qua vero ratione arma quisquam majori ignominia affecerit, quam si accipere ea hostesque iis propellere noluit? Quo autem astitem suum et aciem non dereliquerit, qui non exhibuit corpus suum imperatori in aciem ordinandum? (78) Quo modo vero pro sanctis et sacris pugnaverit, qui nihil periculi sustinuit? cui autem patriam suam tradiderit majorem factam? quantum enim ad ipsum attinet, destituta sub hostium potestatem venit. Hunc ergo non occidetis omnium injuriarum reum? Ecquos igitur punietis? qui unum quoddam ex iis multis quorum iste reus est commisit? Facile ergo erit apud vos in magnis delinquere, si ob minora delicta magis irasci videamini.

79. Hoc insuper vos discere opus est, viri, quod firmamentum status reipublicæ popularis est jusjurandum. Tria enim sunt per quæ respublica consistit, princeps, judex, et privatus. Horum igitur quilibet jurejurando se obstringens fidem dat. Merito: hominibus enim qui imposuerunt multi jam latuere nec a præsentibus solum periculis liberati sunt, verum etiam per reliquum vitæ tempus pœnas scelerum istorum haud dederunt; deos autem neque pejerans aliquis fefellerit neque pœnam ab ipsis impendentem aut supplicium evaserit, at si non ipse, liberi ejus tamen et omne genus pejerantis in magna discrimina et infelicitatem incidit. (80) Proinde, judices, hanc fidem invicem sibi dederunt apud Platæas Græci universi, quando prœlio pugnaturi erant contra Xerxis vim, non ab sese invenientes, sed imitantes consuetum apud vos jusjurandum. Quod auditu dignum est: etenim quum antiqua sint tunc temporis facta, aliquo tamen modo scriptis e literis illorum virtutem intelligere licet. Lege ergo mihi ipsum.

JUSJURANDUM.

81. Haud anteferam vitam libertati, neque duces deseram neque viventes neque mortuos, sed socios qui in prœlio occubuerint omnes tu-

τοὺς ἐν τῇ μάχῃ τελευτήσαντας τῶν συμμάχων ἅπαντας θάψω. Καὶ κρατήσας τῷ πολέμῳ τοὺς βαρβάρους τῶν μὲν μαχεσαμένων ὑπὲρ τῆς Ἑλλάδος πόλεων οὐδεμίαν ἀνάστατον ποιήσω, τὰς δὲ τὰ τοῦ βαρβάρου προελομένας ἁπάσας δεκατεύσω· καὶ τῶν ἱερῶν τῶν ἐμπρησθέντων καὶ καταβληθέντων ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνοικοδομήσω παντάπασιν, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγινομένοις ἐάσω καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

82. Οὕτω τοίνυν, ὦ ἄνδρες, σφόδρα ἐνέμειναν ἐν τούτῳ πάντες, ὥστε καὶ τὴν παρὰ τῶν θεῶν εὔνοιαν μεθ' ἑαυτῶν ἔσχον βοηθόν, καὶ πάντων τῶν Ἑλλήνων ἀνδρῶν ἀγαθῶν γενομένων πρὸς τὸν κίνδυνον μάλιστα ἡ πόλις ὑμῶν εὐδοκίμησεν. Ὃ καὶ πάντων ἂν εἴη δεινότατον, τοὺς μὲν προγόνους ὑμῶν ἀποθνήσκειν τολμᾶν ὥστε μὴ τὴν πόλιν ἀδοξεῖν, ὑμᾶς δὲ μὴ κολάζειν τοὺς καταισχύναντας αὐτήν, ἀλλὰ περιορᾶν τὴν κοινὴν καὶ μετὰ πολλῶν πόνων συνειλεγμένην εὔκλειαν, ταύτην διὰ τὴν τῶν τοιούτων ἀνδρῶν πονηρίαν καταλυομένην.

83. Καίτοι, ὦ ἄνδρες, μόνοις ὑμῖν τῶν Ἑλλήνων οὐκ ἔστιν οὐδὲν τούτων περιιδεῖν. Βούλομαι δὲ μικρὰ τῶν παλαιῶν ὑμῖν διελθεῖν, οἷς παραδείγμασι χρώμενοι καὶ περὶ τούτων καὶ περὶ τῶν ἄλλων βέλτιον βουλεύσεσθε. Τοῦτο γὰρ ἔχει μέγιστον ἡ πόλις ὑμῶν ἀγαθόν, ὅτι τῶν καλῶν ἔργων παράδειγμα τοῖς Ἕλλησι γέγονεν· ὅσον γὰρ τῷ χρόνῳ πασῶν ἐστιν ἀρχαιοτάτη, τοσοῦτον οἱ πρόγονοι ἡμῶν τῶν ἄλλων ἀνθρώπων ἀρετῇ διενηνόχασιν. (84) Ἐπὶ Κόδρου γὰρ βασιλεύοντος Πελοποννησίοις γενομένης ἀφορίας κατὰ τὴν χώραν αὐτῶν ἔδοξε στρατεύειν ἐπὶ τὴν πόλιν ἡμῶν καὶ ἡμῶν τοὺς προγόνους ἐξαναστήσαντας κατανείμασθαι τὴν χώραν. Καὶ πρῶτον μὲν εἰς Δελφοὺς ἀποστείλαντες τὸν θεὸν ἐπηρώτων εἰ ἐπιλήψονται τὰς Ἀθήνας· ἀνελόντος δὲ τοῦ θεοῦ αὐτοῖς ὅτι τὴν πόλιν αἱρήσουσιν, ἐὰν μὴ τὸν βασιλέα τῶν Ἀθηναίων Κόδρον ἀποκτείνωσιν, ἐστράτευον ἐπὶ τὰς Ἀθήνας. (85) Κλεόμαντις δὲ τῶν Δελφῶν τις πυθόμενος τὸ χρηστήριον δι' ἀπορρήτων ἐξήγγελλε τοῖς Ἀθηναίοις· οὕτως οἱ πρόγονοι ἡμῶν, ὡς ἔοικε, καὶ τοὺς ἔξωθεν ἀνθρώπους εὔνους ἔχοντες διετέλουν. Ἐμβαλόντων δὲ τῶν Πελοποννησίων εἰς τὴν Ἀττικὴν τί ποιοῦσιν οἱ πρόγονοι ἡμῶν, ἄνδρες δικασταί; οὐ καταλιπόντες τὴν χώραν ὥσπερ Λεωκράτης ᾤχοντο, οὐδ' ἔκδοτον τὴν θρεψαμένην καὶ τὰ ἱερὰ τοῖς πολεμίοις παρέδοσαν, ἀλλ' ὀλίγοι ὄντες κατακλεισθέντες ἐπολιορκοῦντο καὶ διεκαρτέρουν εἰς τὴν πατρίδα. (86) Καὶ οὕτως ἦσαν, ὦ ἄνδρες, γενναῖοι οἱ τότε βασιλεύοντες, ὥστε προῃροῦντο ἀποθνήσκειν ὑπὲρ τῆς τῶν ἀρχομένων σωτηρίας μᾶλλον ἢ ζῶντες ἑτέραν μεταλλάξαι χώραν. Φασὶ γοῦν τὸν Κόδρον παραγγείλαντα τοῖς Ἀθηναίοις προσέ-

mulo condam. Ac si vicero prœlio barbaros victoriamque obtinuero, earum urbium quæ pro Græcia dimicarunt nullam evertam; eas vero quæ pro barbaro stare maluerunt omnes decimabo : templorumque a barbaris incensorum ac dejectorum nullum denuo exstruam omnino, sed monumentum posteris sinam relinqui barbarorum impietatis.

82. Adeo ergo ferventi studio, judices, in hoc permanserunt omnes, ut et deorum benevolentiam secum habuerint adjutricem : atque, quum omnes Græci viri boni fuerint ad istud periculum, urbs tamen vestra sit maxime probata. Unde istuc omnium fuerit acerbissimum, majores vestros mori ausos esse, ut ne urbs ingloria sit, vos autem non punire audere eos qui dedecore hanc ipsam afficiant, sed adeo negligentes esse ut publicam multisque laboribus collectam celebritatem hanc per talium hominum scelus dissolvi sinatis.

83. Enimvero, judices, solis vobis Græcorum non licet quicquam horum posthabere. Volo autem pauca de veteribus vobis commemorare, ut eorum exemplis freti et de his et de is aliis rectius deliberetis. Istud enim urbs vestra maximum bonum habet, quod egregiorum facinorum Græcis exemplum fuerit. Quanto enim tempore omnium est vetustissima, tanto majores nostri aliis hominibus virtute præstiterunt. (84) Temporibus Codri regis Peloponnesiis sterilitate frugum laborantibus, placuit ipsis bellum facere contra urbem nostram ac majoribus nostris sedibus suis pulsis, distribuere regionem. Ac primum quidem Delphos legatione missa Apollinem interrogabant, num essent occupaturi Athenas : datoque oraculo, quod urbem essent capturi, si regem Atheniensium Codrum non interficerent, belligerabant adversus Athenas. (85) Cleomantis autem Delphorum quispiam audiens oraculum secreto Atheniensibus enuntiabat. Adeo majores nostri etiam exteros benevolos sibi continuo habebant. Impressionem itaque facientibus Peloponnesiis in Atticam, quid faciunt progenitores nostri, judices? Non relicta terra, ut Leocrates, abierunt, nec eam quæ se aluisset dediderunt nec delubra hostibus tradiderunt, sed, pauci quum essent, conclusi obsidebantur perseverabantque pro patria. (86) Adeoque fuere strenui qui tunc fuere reges, ut præferrent mori potius pro subditorum salute quam superstites in aliam commigrare terram. Aiunt itaque Codrum demandasse Atheniensibus, ut obser-

γειν ὅταν τελευτήσῃ τὸν βίον, λαβόντα πτωχικὴν στολὴν ὅπως ἂν ἀπατήσῃ τοὺς πολεμίους, κατὰ τὰς πύλας ὑποδύντα φρύγανα συλλέγειν πρὸ τῆς πόλεως, προσελθόντων δ' αὐτῷ δυοῖν ἀνδρῶν ἐκ τοῦ στρατοπέδου καὶ τὰ κατὰ τὴν πόλιν πυνθανομένων τὸν ἕτερον αὐτῶν ἀποκτεῖναι τῷ δρεπάνῳ προσπεσόντα· (87) τὸν δὲ περιλελειμμένον, παροξυνθέντα τῷ Κόδρῳ καὶ νομίσαντα πτωχὸν εἶναι, σπασάμενον τὸ ξίφος ἀποκτεῖναι τὸν Κόδρον. Τούτων δὲ γενομένων οἱ μὲν Ἀθηναῖοι κήρυκα πέμψαντες ἠξίουν δοῦναι τὸν βασιλέα θάψαι, λέγοντες αὐτοῖς ἅπασαν τὴν ἀλήθειαν· οἱ δὲ Πελοποννήσιοι τοῦτον μὲν ἀπέδοσαν, γνόντες δὲ ὡς οὐκέτι δυνατὸν αὐτοῖς τὴν χώραν κατασχεῖν, ἀπεχώρησαν. Τῷ δὲ Κλεομάντει τῷ Δελφῷ ἡ πόλις αὐτῷ τε καὶ ἐκγόνοις ἐν Πρυτανείῳ ἀΐδιον σίτησιν ἔδοσαν. (88) Ὁρᾶτε, ὁμοίως
159 ἐφίλουν τὴν πατρίδα Λεωκράτει οἱ τότε βασιλεύοντες, οἵ γε προῃροῦντο τοὺς πολεμίους ἐξαπατῶντες ἀποθνήσκειν ὑπὲρ αὐτῆς καὶ τὴν ἰδίαν ψυχὴν ἀντὶ τῆς κοινῆς σωτηρίας ἀντικαταλλάττεσθαι. Τοιγαροῦν μονώτατοι ἐπώνυμοι τῆς χώρας εἰσίν, ἰσοθέων τιμῶν τετυχηκότες. Εἰκότως· ὑπὲρ ἧς γὰρ οὕτω σφόδρα ἐσπούδαζον, δικαίως ταύτην καὶ τεθνεῶτες ἐκληρονόμουν. (89) Ἀλλὰ Λεωκράτης οὔτε ζῶν οὔτε τεθνεὼς δικαίως ἂν αὐτῆς μετάσχοι, μονώτατος δ' ἂν προσηκόντως ἐξορισθείη τῆς χώρας ἣν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο· οὐδὲ γὰρ καλὸν τὴν αὐτὴν καλύπτειν τοὺς τῇ ἀρετῇ διαφέροντας καὶ τὸν κάκιστον πάντων ἀνθρώπων.

90. Καίτοι γε ἐπεχείρησεν εἰπεῖν, ὃ καὶ νῦν ἴσως ἐρεῖ πρὸς ὑμᾶς, ὡς οὐκ ἄν ποτε ὑπομεῖναι τὸν ἀγῶνα τοῦτον συνειδὼς ἑαυτῷ τοιοῦτόν τι διαπεπραγμένῳ· ὥσπερ οὐ πάντας καὶ τοὺς κλέπτοντας καὶ ἱεροσυλοῦντας τούτῳ τῷ τεκμηρίῳ χρωμένους. Οὐ γὰρ τοῦ πράγματός ἐστι σημεῖον, ὡς οὐ πεποιήκασιν, ἀλλὰ τῆς ἀναιδείας ἣν ἔχουσιν. Οὐ γὰρ τοῦτο δεῖ λέγειν, ἀλλ' ὡς οὐκ ἐξέπλευσεν οὐδὲ τὴν πόλιν ἐγκατέλιπεν οὐδ' ἐν Μεγάροις κατῴκησε· ταῦτά ἐστι τεκμήρια τοῦ πράγματος, (91) ἐπεί γε τὸ ἐλθεῖν τοῦτον, οἶμαι θεόν τινα αὐτὸν ἐπ' αὐτὴν ἀγαγεῖν τὴν τιμωρίαν, ἵν' ἐπειδὴ τὸν εὐκλεᾶ κίνδυνον ἔφυγε, τοῦ ἀκλεοῦς καὶ ἀδόξου θανάτου τύχοι, καὶ οὓς προὔδωκε, τούτοις ὑποχείριον αὑτὸν καταστήσειεν. Ἑτέρωθι μὲν γὰρ ἀτυχῶν οὔπω δῆλον εἰ διὰ ταῦτα δίκην δίδωσιν· ἐνταῦθα δὲ παρ' οἷς προὔδωκε, φανερόν ἐστιν ὅτι τῶν αὑτοῦ παρανομημάτων ὑπέχει ταύτην τὴν τιμωρίαν. (92) Οἱ γὰρ θεοὶ οὐδὲν πρότερον ποιοῦσιν ἢ τῶν πονηρῶν ἀνθρώπων τὴν διάνοιαν παράγουσι· καί μοι δοκοῦσι τῶν ἀρχαίων τινὲς ποιητῶν ὥσπερ χρησμοὺς γράψαντες τοῖς ἐπιγενομένοις τάδε τὰ ἰαμβεῖα καταλιπεῖν·

Ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,
τοῦτ' αὐτὸ πρῶτον, ἐξαφαιρεῖται φρενῶν
τὸν νοῦν τὸν ἐσθλόν, εἰς δὲ τὴν χείρω τρέπει
γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

(93) Τίς γὰρ οὐ μέμνηται τῶν πρεσβυτέρων ἢ τῶν νεω-

varent quando vita defunctus esset, acceptoque porro mendici habitu ut hostes falleret, per portas egressum sarmenta collegisse ante urbem; quumque duo viri e castris ad eum accessissent scrutantes quid in urbe ageretur, alterum eorum in ipsum incidentem falce interemisse, (87) relictum alterum, exacerbatum adversus Codrum quem putaret mendicum esse, stricto ense occidisse Codrum. Hisce transactis, Athenienses, misso præcone petebant sibi regem suum dari ad sepulturam, exponentes ipsis omnem veritatem: Peloponnesii vero eum dederunt, et cognito jam non amplius fieri posse ut regionem obtinerent, discesserunt. Cleomanti autem Delpho civitas et ipsi et soboli ejus perpetuum ex publico cibum in Prytaneo dederunt. (88) Videte, num æqua ratione patriam cum Leocrate dilexerint viri tum sceptris potiti, qui statuerunt hostibus imponentes pro ipsa emori suamque animam pro publica salute permutare. Quare soli eponymi regionis nostræ sunt, æquales cum diis nacti honores. Idque merito: cujus enim saluti adeo enixe studuerunt, hanc non injuria etiam vita defuncti hereditarunt. (89) At vero Leocrates neque mortuus merito ejus consors fuerit, sed solus ex omnibus jure exterminari queat ejicive e terra hac quam hostibus relinquens discessit; neque enim honestum est eandem contegere virtute eximios et ignavissimum omnium mortalium.

90. Verum tentavit dicere, quod etiamnum fortasse ad vos dicet, quod nunquam hoc certamen forense sustinere ausus esset, si talis sibi sceleris fuisset conscius: quasi non omnes fures templorumque despoliatores idem argumentum obtenderent. Nec enim rei est signum, quod non fecerint, sed impudentiæ quam habent. Non enim hoc, verum illud est dicendum Leocrati, quod hinc non enavigarit neque urbem deseruerit neque Megaris habitarit: hæc sunt indicia rei. (91) Nam quod huc venerit, opinor, deorum aliquem eum ad ipsam pœnam adduxisse, ut, postquam celebre periculum effugerit, incelebrem ingloriamque mortem assequatur, et quos prodidit, iis se subjectum constituat. Nam alibi calamitatibus fractus non satis liqueret an propter ea quæ in hanc urbem commisit pœnam lueret; hic autem apud eos quos prodidit planum est, quod scelerum suorum hoc sustineat supplicium. (92) Dii enim nihil prius faciunt, quam quod pravorum hominum mentem detorquent: ac mihi quidem videntur priscorum nonnulli poetarum, veluti oracula scribentes, posteris hos iambos reliquisse:

Quum enim ira deorum aliquem læserit,
illud primum, ex sensibus auferunt
animum bonum, mentemque ad deteriorem partem
applicant, ut nihil eorum quæ peccaverit intelligat.

(93) Quis enim non meminit e natu grandioribus aut e

τέρων οὐκ ἀκήκοε Καλλίστρατον, οὗ θάνατον ἡ πόλις κατέγνω, τοῦτον φυγόντα, καὶ τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἀκούσαντα ὅτι ἂν ἔλθῃ Ἀθήναζε τεύξεται τῶν νόμων, ἀφικόμενον καὶ ἐπὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν καταφυγόντα καὶ οὐδὲν ἧττον ὑπὸ τῆς πόλεως ἀποθανόντα; δικαίως· τὸ γὰρ τῶν νόμων τοῖς ἠδικηκόσι τυχεῖν τιμωρία ἐστίν. Ὁ δέ γε θεὸς ὀρθῶς ἀπέδωκε τοῖς ἠδικημένοις κολάσαι τὸν αἴτιον· δεινὸν γὰρ ἂν εἴη εἰ ταὐτὰ σημεῖα τοῖς εὐσεβέσι καὶ τοῖς κακούργοις φαίνονται.

94. Ἡγοῦμαι δ' ἔγωγε, ὦ ἄνδρες, τὴν τῶν θεῶν ἐπιμέλειαν πάσας μὲν τὰς ἀνθρωπίνας πράξεις ἐπισκοπεῖν, μάλιστα δὲ τὴν περὶ τοὺς γονέας καὶ τοὺς τετελευτηκότας καὶ τὴν πρὸς αὐτοὺς εὐσέβειαν. Εἰκότως· παρ' ὧν γὰρ τὴν ἀρχὴν τοῦ ζῆν εἰλήφαμεν καὶ πλεῖστα ἀγαθὰ πεπόνθαμεν, εἰς τούτους μὴ ὅτι ἁμαρτεῖν ἀλλ' ὅτι μὴ εὐεργετοῦντας τὸν αὑτῶν βίον καταναλῶσαι μέγιστον ἀσέβημά ἐστι. (95) Λέγεται γοῦν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ ὑμῖν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) ἐκ τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι· τοῦτον δὲ ῥεῖν φασιν ἐπὶ τὴν ἄλλην χώραν καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. Τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι πρὸς φυγήν, τὴν αὑτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ οὐχὶ δυνάμενον ἀποχωρεῖν ἀλλὰ ἐγκαταλαμβανόμενον, ἀράμενον φέρειν. (96) Φορτίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς ἐγκατελήφθη. Ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. Λέγεται γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιρρεῦσαι τὸ πῦρ καὶ σωθῆναι τούτους μόνους, ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν προσαγορεύεσθαι τῶν εὐσεβῶν χῶρον· τοὺς δὲ ταχεῖαν τὴν ἀποχώρησιν ποιησαμένους καὶ τοὺς ἑαυτῶν γονεῖς ἅπαντας ἐγκαταλιπόντας ἀπολέσθαι. (97) Ὥστε καὶ ὑμᾶς δεῖν τὴν παρὰ θεῶν ἔχοντας μαρτυρίαν ὁμογνωμόνως τοῦτον κολάζειν τὸν ἅπασι τοῖς μεγίστοις ἀδικήμασιν ἔνοχον ὄντα κατὰ τὸ ἑαυτοῦ μέρος. Τοὺς μὲν γὰρ θεοὺς τὰς πατρίους τιμὰς ἀπεστέρηκε, τοὺς δὲ γονεῖς τοῖς πολεμίοις ἐγκατέλιπε, τοὺς δὲ τετελευτηκότας τῶν νομίμων οὐκ εἴασε τυχεῖν.

98. Καίτοι σκέψασθε, ὦ ἄνδρες· οὐ γὰρ ἀποστήσομαι τῶν παλαιῶν· ἐφ' οἷς γὰρ ἐκεῖνοι ποιοῦντες ἐφιλοτιμοῦντο, ταῦτα δικαίως ἂν ὑμεῖς ἀκούσαντες ἀποδέχοισθε. Φασὶ γὰρ Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν τῆς χώρας ταύτης ἀμφισβητοῦντα, τυχεῖν δὲ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, γυναῖκα ἔχοντα Πραξιθέαν τὴν Κηφισοῦ θυγατέρα. (99) Μεγάλου δὲ στρατοπέδου μέλλοντος αὐτοῖς εἰσβάλλειν εἰς τὴν χώραν, εἰς Δελφοὺς ἰὼν ἠρώτα τὸν θεὸν τί ποιῶν ἂν νίκην λάβοι παρὰ τῶν πολεμίων. Χρήσαντος δ' αὐτῷ τοῦ θεοῦ, τὴν θυγατέρα εἰ θύσειε πρὸ τοῦ συμβαλεῖν τὼ στρατοπέδω, κρατήσειν τῶν πολεμίων, ὁ δὲ τῷ θεῷ πειθόμενος τοῦτ' ἔπραξε καὶ τοὺς ἐπιστρατευομένους ἐκ τῆς χώρας ἐξέβαλε. (100) Διὸ καὶ δικαίως ἄν τις Εὐριπίδην ἐπαινέσειεν, ὅτι τά τε ἄλλ' ὢν ἀγαθὸς ποιητὴς καὶ τοῦτον τὸν μῦθον προείλετο ποιῆσαι, ἡγού-

natu minoribus non audivit Callistratum, quem civitas capitis condemnaverat, quum fugisset et ex Apolline Delphis audisset, quodsi rediret Athenas, consecuturum se leges, reversum ad aram duodecim deorum confugientem, nihilominus tamen urbis censura morti adjudicatum? Idque haud injuria: leges enim eos qui injuste egerunt consequi, est supplicio ipsos affici. Deus enim recte reddidit hoc injuriam passis, ut punirent auctorem injuriæ: esset enim grave et indignum, si eadem et piis et sceleratis a deo monstrarentur.

94. Existimo, autem, viri, deorum providentiam omnes humanas actiones intueri, potissimum vero erga parentes et vita defunctos ergaque ipsos pietatem. Idque haud immerito: a quibus enim principium vitæ accepimus plurimisque beneficiis aucti sumus, adversum hos non solum peccare, verum beneficium compensando non vitam suam impendere, summa est impietas. (95) Fertur in Sicilia (tametsi paullo fabulosius sit, conveniet tamen vobis natu minoribus audire) ex Ætna fluxus ignis erupisse: hunc autem fluxisse aiunt tum ad aliam terram atque ad urbem quandam ex iis quæ istic habitantur. Alios igitur celeriter arripuisse fugam, ut ita salutem suam quærerent: unum autem quendam ex junioribus, quum cerneret patrem suum grandævum adeo ut non posset discedere jamjamque corripiendum flamma, tollentem humeris asportasse. (96) Onere autem, ut opinor, ingravescente cum patre istic filius pæne correptus est. Unde jam etiam par est intueri animo numen, quod viris bonis clementiam suam impertit. Ferunt enim undique locum istum ignem circumfluxisse atque conservatos esse hos solos, a quibus locus iste hodieque appellatur Piorum locus: reliquos autem qui celerem discessum fecerant suis parentibus relictis, omnes periisse. (97) Proinde et vos hanc a diis sententiam habentes oportet unanimi sententia istum punire, omnibus maximis sceleribus quantum in ipso est obnoxium. Nam deos patriis honoribus suis privavit, parentes vero hostibus reliquit, vita defunctos justa sua non permisit assequi.

98. Ad hæc considerate, judices; haud enim a majoribus desistam: ob quæ enim illi memorabilia facta gloriabantur, hæc vos audientes non immerito recipere debetis. Aiunt enim Eumolpum Neptuni et Chiones filium cum Thracibus venisse de regione hac contendentem; fuisse autem illis temporibus regem Erechthea, conjugemque habuisse Praxitheam Cephisi filiam. (99) Ingenti autem exercitu irruptionem facturo in regionem, Delphos profectus Erechtheus sciscitabatur deum, quid sibi opus sit facto ut victoriam ab hostibus reportet. Respondente autem ipsi deo, si filiam sacrificaret priusquam cum exercitu hostili confligeretur, victoriam cum de hostibus obtenturum, deo morem gerens imperatum peregit eosque qui bellum inferebant ex hac terra ejecit. (100) Propterea etiam jure quispiam Euripidem poetam laudaverit, quod et in ceteris poeta præclarus et hanc fabulam elegerit facere, pulcherri-

μενος κάλλιστον ἂν γενέσθαι τοῖς πολίταις παράδειγμα τὰς ἐκείνων πράξεις, πρὸς ἃς ἀποβλέποντας καὶ θεωροῦντας συνεθίζεσθαι ταῖς ψυχαῖς τὸ τὴν πατρίδα φιλεῖν. Ἄξιον δέ, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἰαμβείων ἀκοῦσαι ἃ πεποίηκε λέγουσαν τὴν μητέρα τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πόλεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.

Τὰς χάριτας ὅστις εὐγενῶς χαρίζεται,
ἥδιον ἐν βροτοῖσιν· οἳ δὲ δρῶσι μέν,
χρόνῳ δὲ δρῶσι, [δρῶσι] δυσγενέστερον.
Ἐγὼ δὲ δώσω τὴν ἐμὴν παῖδα κτανεῖν·
λογίζομαι δὲ πολλά, πρῶτα μὲν πόλιν
οὐκ ἄν τιν' ἄλλην τῆσδε βελτίω λαβεῖν·
ᾗ πρῶτα μὲν λεὼς οὐκ ἐπακτὸς ἄλλοθεν,
αὐτόχθονες δ' ἔφυμεν· αἱ δ' ἄλλαι πόλεις,
πεσσῶν ὁμοίαις διαφοραῖς ἐκτισμέναι,
ἄλλαι παρ' ἄλλων εἰσὶν εἰσαγώγιμοι·
ὅστις δ' ἀπ' ἄλλης πόλεος οἰκίζει πόλιν,
ἁρμὸς πονηρὸς ὥσπερ ἐν ξύλῳ παγείς,
λόγῳ πολίτης ἐστί, τοῖς δ' ἔργοισιν οὔ.
Ἔπειτα τέκνα τοῦδ' ἕκατι τίκτομεν,
ὡς θεῶν τε βωμοὺς πατρίδα τε ῥυώμεθα.
Πόλεως δ' ἁπάσης τοὔνομ' ἕν, πολλοὶ δέ νιν
ναίουσι· τούτους πῶς διαφθεῖραί με χρή,
ἐξὸν πρὸ πάντων μίαν ὑπὲρ δοῦναι θανεῖν;
Εἴ περ γὰρ ἀριθμὸν οἶδα καὶ τοὐλάσσονος
τὸ μεῖζον, οὑμὸς οἶκος οὐ πλεῖον σθένει
πταίσας ἁπάσης πόλεος οὐδ' ἴσον φέρει.
Εἰ δ' ἦν ἐν οἴκοις ἀντὶ θηλέων στάχυς
ἄρσην, πόλιν δὲ πολεμία κατεῖχε φλόξ,
οὐκ ἄν νιν ἐξέπεμπον εἰς μάχην δορός,
θάνατον προταρβοῦσ'; ἀλλ' ἔμοιγ' ἔστω τέκνα,
ἃ καὶ μάχοιτο καὶ μετ' ἀνδράσι πρέποι,
μὴ σχήματ' ἄλλως ἐν πόλει πεφυκότα.
Τὰ μητέρων δὲ δάκρυ', ὅταν πέμπῃ τέκνα,
πολλοὺς ἐθήλυν' εἰς μάχην ὁρμωμένους.
Μισῶ γυναῖκας αἵτινες πρὸ τοῦ καλοῦ
ζῆν παῖδας εἵλοντο καὶ παρήνεσαν κακά.
Καὶ μὴν θανόντες γ' ἐν μάχῃ πολλῶν μέτα
τύμβον τε κοινὸν ἔλαχον εὔκλειάν τ' ἴσην·
τῇ 'μῇ δὲ παιδὶ στέφανος εἷς μιᾷ μόνῃ
πόλεως θανούσῃ τῆσδ' ὕπερ δοθήσεται.
Καὶ τὴν τεκοῦσαν καὶ σὲ δύο θ' ὁμοσπόρω
σώσει· τί τούτων οὐχὶ δέξασθαι καλόν;
Τὴν οὐκ ἐμὴν πλὴν * φύσει δώσω κόρην
θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται
πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;
Οὐκοῦν ἅπαντα τοὔν γ' ἐμοὶ σωθήσεται·
ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν.
Ἐκεῖνο δ' οὗ τὸ πλεῖστον ἐν κοινῷ μέρος,
οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς, ἄνερ,
προγόνων παλαιὰ θέσμι' ὅστις ἐκβαλεῖ·
οὐδ' ἀντ' ἐλάας χρυσέας τε Γοργόνος

mum civibus exemplum esse ratus majorum res gestas, quas respicientes et contuentes assuefaciant animas suas ut patriam amore complectantur. Par est autem, judices, iambos audire, quos fingit matrem dicere de filia : videbitis enim in ipsis magnanimitatem et ingenuitatem dignam et urbe et filia Cephisi.

Beneficium si quis generose præstat,
id gratissimum est mortalibus : qui vero præstant,
sed tarde præstant, [præstant] minus generose.
Ego autem dabo meam filiam immolandam;
multa autem in animo reputo : primum civitatem
nos non posse aliam hac præstantiorem habere,
cui primum populus non aliunde inductus est,
sed indigenæ sumus : ceteræ autem civitates,
velut calculorum variis transpositionibus conditæ,
aliæ ab aliis sunt introductæ.
Quicumque autem ab alia civitate migrans aliam incolit,
ille, tanquam junctura in ligno mala,
verbis quidem est civis, re non item.
Deinde liberos idcirco parimus,
ut deorum aras et patriam tutemur. [multi eam
Civitatis autem totius nomen quidem unum est, sed
habitant : hos perdere quomodo fas sit,
quum possim unam moriendam pro omnibus dare?
Si enim numerum novi et a minore (internoscere possum)
majus, unius meæ familiæ calamitas non magis valet
quam calamitas totius civitatis, imo nec æquat.
Quodsi fuisset in ædibus loco muliebris stirps
mascula, et civitatem hostilis occuparet flamma,
an non ego eam emitterem ad belli discrimen,
præ metu mortis? *immo*. Mihi enim talis contingit proles,
quæ et bella gerat et inter masculos excellat,
non vanæ in urbe figuræ.
Matrum autem lacrimæ, quum dimittunt liberos,
multos effeminarunt ad bellum proficiscentes.
Odi mulieres, quæ honesto posthabito
liberos cupiunt et turpia probant.
Quin et in bello cadentes una cum multis
commune sepulcrum obtinent laudemque parem :
sed meæ filiæ corona una uni soli
pro hac urbe mortuæ dabitur,
eaque et matrem et te (Erechtheu) duasque sorores
servabit Ecquid horum amplecti non pulchrum sit?
Filiam non nisi natalibus meam dabo
immolandam pro patria. Nam si capta fuerit
urbs, quemnam liberorum meorum fructum percipiam?
Omnia igitur, quantum quidem in me est, servabuntur :
regent alii, hancce ego servabo civitatem.
Illud quod ad communem salutem maxime pertinet,
non fiet me consentiente, marite, ut
majorum antiqua instituta aliquis evertat;
neque committam ut pro olea aureoque Gorgonis capite

τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις
Εὔμολπος οὐδὲ Θρᾷξ ἀναστέψει λεὼς
στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.
Χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν,
σώζεσθε, νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς
οὐκ ἔσθ' ὅπως ὑμῖν ἐγὼ οὐ σώσω πόλιν.
Ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε
οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως
οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.

101. Ταῦτα, ὦ ἄνδρες, τοὺς πατέρας ἡμῶν ἐπαίδευε. Φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν ταύτην ἐποίησε τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν, ἐνδεικνύμενος ὅτι εἴπερ αἱ γυναῖκες τοῦτο τολμήσουσι ποιεῖν, τούς γε ἄνδρας ἀνυπέρβλητόν τινα δεῖ τὴν εὔνοιαν ὑπὲρ τῆς πατρίδος ἔχειν, μηδὲ φεύγειν αὐτὴν ἐγκαταλιπόντας μηδὲ καταισχύνειν πρὸς ἅπαντας τοὺς Ἕλληνας ὥσπερ Λεωκράτης.

102. Βούλομαι δ' ὑμῖν καὶ τὸν Ὅμηρον παρασχέσθαι ἐπαινῶν. Οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιητήν, ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ ἔπη, ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας ὅτι τὰ κάλλιστα τῶν ἔργων προῃροῦντο. Εἰκότως· οἱ μὲν γὰρ νόμοι διὰ τὴν συντομίαν οὐ διδάσκουσιν ἀλλ' ἐπιτάττουσιν ἃ δεῖ ποιεῖν, οἱ δὲ ποιηταὶ μιμούμενοι τὸν ἀνθρώπινον βίον, τὰ κάλλιστα τῶν ἔρ-
162 γων ἐκλεξάμενοι, μετὰ λόγου καὶ ἀποδείξεως τοὺς ἀνθρώπους συμπείθουσιν. (103) Ἕκτωρ γὰρ τοῖς Τρωσὶ παρακελευόμενος ὑπὲρ τῆς πατρίδος τάδε εἴρηκεν·

Ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶ διαμπερές· ὃς δέ κεν ὑμέων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ νήπια τέκνα,
καὶ κλῆρος καὶ οἶκος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.

104. Τούτων τῶν ἐπῶν ἀκούοντες, ὦ ἄνδρες, οἱ πρόγονοι ὑμῶν καὶ τὰ τοιαῦτα τῶν ἔργων ζηλοῦντες οὕτως ἔσχον πρὸς ἀρετήν, ὥστε οὐ μόνον ὑπὲρ τῆς αὐτῶν πατρίδος ἀλλὰ καὶ πάσης τῆς Ἑλλάδος ὡς κοινῆς ἤθελον ἀποθνήσκειν. Οἱ γοῦν ἐν Μαραθῶνι παραταξάμενοι τοῖς βαρβάροις τὸν ἐξ ἁπάσης τῆς Ἀσίας στόλον ἐκράτησαν, τοῖς ἰδίοις κινδύνοις κοινὴν ἄδειαν ἅπασι τοῖς Ἕλλησι κτώμενοι, οὐκ ἐπὶ τῇ δόξῃ μέγα φρονοῦντες, ἀλλ' ἐπὶ τῷ ταύτης ἄξια πράττειν, τῶν μὲν Ἑλλήνων προστάτας, τῶν δὲ βαρβάρων δεσπότας ἑαυτοὺς καθιστάντες· οὐ γὰρ λόγῳ τὴν ἀρετὴν ἐπετήδευον, ἀλλ' ἔργῳ πᾶσιν ἐπεδείκνυντο. (105) Τοιγαροῦν οὕτως ἦσαν ἄνδρες σπουδαῖοι καὶ κοινῇ καὶ ἰδίᾳ οἱ τότε τὴν πόλιν οἰκοῦντες, ὥστε τοῖς ἀνδρειοτάτοις Λακεδαιμονίοις ἐν τοῖς ἔμπροσθεν χρόνοις πολεμοῦσι πρὸς Μεσσηνίους ἀνεῖλεν ὁ θεὸς παρ' ἡμῶν ἡγεμόνα λαβεῖν καὶ νικήσειν τοὺς ἐναντίους. Καίτοι εἰ τῶν ἀφ' Ἡρακλέους γεγενημένων,

tridentem erectum in urbis fundaminibus
Eumolpus aut Thracicus cingat populus
coronis, Pallas autem non honoretur.
Utimini, cives, meis puerperiis,
salvi estote, vincite : nihil una anima impediet
quominus hanc urbem ego vobis sospitem præstem.
O patria, utinam omnes qui te incolunt
ita te amarent uti ego! Feliciter
te incoleremus, et nihil acciperes mali.

101. Hæc, judices, docuit patres vestros. Quum enim natura sint amantes sobolis omnes matres, hanc finxit patriam majori amore prosecutam quam liberos, indicans per hoc, quodsi mulieres hoc audeant facere, viros oportere inexsuperabili quadam benevolentia erga patriam inflammatos esse, neque fugiendo ipsam derelinquere neque dedecorare apud omnes Græcos, perinde atque fecit Leocrates.

102. Volo autem vobis Homerum quoque cum laude poetæ allegare. Adeo enim putarunt patres nostri honestum esse poetam, ut legem sanxerint, per singula quinquennalia Panathenæorum festa solius hujus præ aliis omnibus poetæ carmina esse recitanda, Græcis ita argumentum præbentes se rerum præclarissime gestarum expositionem ceteris anteferre. Idque merito : leges enim ob brevitatem suam non docent sed imperant quæ fieri oporteat; poetæ autem imitantes humanam vitam, præclarissimas res eligentes, cum ratione et demonstratione mortalibus persuadent. (103) Hector namque, Trojanis mandans ut pro patria dimicent, hæc dixit,

Verum pugnate ad naves conferti. Qui autem vestrûm
vulneratus vel percussus mortem et fatum assecutus fuerit,
moriatur. Non ei indecorum pugnanti pro patria
mori; sed uxor salva et liberi in posterum,
et domus et patrimonium integrum, si Achivi
abeant cum navibus dilectam in patriam terram.

104. Hæc carmina audientes, judices, majores vestri taliaque opera æmulantes tantopere studuerunt virtuti, ut non solum pro sua ipsi patria, verum etiam universa Græcia ceu communi, voluerint mori. Ad Marathonem itaque opponentes sese barbaris totius Asiæ exercitum vicerunt, propriis periculis communem securitatem omnibus Græcis comparantes, non ob nominis sui celebritatem sese attollentes, sed quod res gloria sua dignas peragerent, Græcorum quidem præsides, barbarorum autem dominos sese constituentes : non enim verbo virtuti studebant, sed opere cunctis demonstrabant. (105) Proinde adeo fuerunt viri honestati dediti et publice et privatim urbem tum incolentes, ut fortissimis Lacedæmoniis prioribus temporibus bellum gerentibus adversum Messenios oraculum deus ediderit, quo jusserit ut a nobis ducem acciperent, victoriam ita de hostibus relaturi. Atqui, si iis qui ab Hercule oriundi apud Spartanos regiam semper tenent dignitatem,

οἱ ἀεὶ βασιλεύουσιν ἐν Σπάρτῃ, τοὺς παρ' ὑμῶν ἡγεμόνας ἀμείνους ὁ θεὸς ἔκρινε, πῶς οὐκ ἀνυπέρβλητον χρὴ τὴν ἐκείνων ἀρετὴν νομίζειν; (106) Τίς γὰρ οὐκ οἶδε τῶν Ἑλλήνων ὅτι Τυρταῖον στρατηγὸν ἔλαβον παρὰ τῆς πόλεως, μεθ' οὗ καὶ τῶν πολεμίων ἐκράτησαν καὶ τὴν περὶ τοὺς νέους ἐπιμέλειαν συνετάξαντο, οὐ μόνον εἰς τὸν παρόντα κίνδυνον ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα βουλευσάμενοι καλῶς. Κατέλιπε γὰρ αὐτοῖς ἐλεγεῖα ποιήσας, ὧν ἀκούοντες παιδεύονται πρὸς ἀνδρείαν· (107) καὶ περὶ τοὺς ἄλλους ποιητὰς οὐδένα λόγον ἔχοντες περὶ τούτου οὕτω σφόδρα ἐσπουδάκασιν, ὥστε νόμον ἔθεντο, ὅταν ἐν τοῖς ὅπλοις ἐκστρατευόμενοι ὦσι, καλεῖν ἐπὶ τὴν τοῦ βασιλέως σκηνὴν ἀκουσομένους τῶν Τυρταίου ποιημάτων ἅπαντας, νομίζοντες οὕτως ἂν αὐτοὺς μάλιστα πρὸ τῆς πατρίδος ἐθέλειν ἀποθνήσκειν. Χρήσιμον δ' ἐστὶ καὶ τούτων ἀκοῦσαι τῶν ἐλεγείων, ἵν' ἐπίστησθε οἷα ποιοῦντες εὐδοκίμουν παρ' ἐκείνοις.

eos qui a vobis propagati essent duces præstantiores deus judicavit, quomodo non inexsuperabilem majorum nostrorum virtutem oportet existimare? (106) Quis enim ignorat Græcorum, quod Tyrtæum imperatorem acceperint ab hac urbe, cujus ope et hostes exsuperarunt atque juventutis suæ curam informationemque instituerunt, non solum ad præsens periculum, verum in omne ævum recte deliberantes. Reliquit enim ipsis elegos quos audientes erudiuntur ad fortitudinem: (107) atque aliorum vatum nullam rationem habentes, hunc tanto sunt studio prosecuti, ut legem tulerint, ut si quando in armis bellum facturi essent Lacedæmonii, ad tentorium regis omnes vocarentur, ut Tyrtæi poemata audirent, existimantes eos ita maxime accendi ut pro patria minime gravarentur mori. Commodum autem fuerit et hæc elegiaca vos audire, ut sciatis qualia carmina pangentes poetæ probati fuerint apud illos.

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθόν, περὶ ᾗ πατρίδι μαρνάμενον·
ἣν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
Ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
Εἶθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
γίγνεται, οὐδ' αἰδὼς εἰσοπίσω τελέθει.
Θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.
163 Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλης ἐν χερσὶν ἔχοντα
(αἰσχρὰ τάδ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
καὶ χρόα γυμνωθέντα. Νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θνητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶν
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

Gloria magna viri est, qui primas ante phalangas
occubuit, patriæ nomine bella gerens.
At miserum est, aliquis patria quum pulsus et agris
mendicans victum quærit ubique suum,
et cara cum matre, sene et genitore vagatur,
uxorem juvenem et pignora parva trahens.
Namque odiosus erit quamcumque migrarit in urbem,
ut qui pauperiem pergrave gestet onus,
et genus infamat, et formæ turpat honorem,
denique et anxietas et dolor omnis adest.
Atque viri tandem per tot discrimina tracti
quis pudor aut quæ animum tangere cura potest.
Hac nos pro patria et natis moriamur in armis,
nec vitam metuat perdere quisque suam.
O juvenes, prope conferti Mavortis obite
prœlia, nec turpi vertite terga metu;
audaces quin este animis et pectore forti,
inter pugnandum nec sit obire grave:
at queis jam nec membra vigent, et quassa pedum vis,
in bello pudeat deseruisse senes.
Infame hoc et turpe nimis, juvenum ante catervas
in primis senior si cadat agminibus,
canos jamque gerens barbæ capitisque capillos,
exhalans animam pulveream per humum,
atque tegens manibus respersa cruore pudenda
cernenda iratis non nisi luminibus.
Omnia contra decent juvenem quæcumque videntur,
Flore juventutis dum splendet viridis.
Ille viris spectandus adest gratusque puellis,
Pulchra adhuc primis cæsus in agminibus.
Progrediens aliquis maneat pede firmus utroque
in terra, stricte dente labella premens.

(108) Καλά γε, ὦ ἄνδρες, καὶ χρήσιμα τοῖς βουλομένοις προσέχειν. Οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν. Εἰκότως· τὰ γὰρ κάλλιστα τῶν

(108) Pulchra sunt hæc, judices, commodaque volentibus huc animum attendere. Adeo ergo ad fortitudinem animabantur hæc carmina audientes, ut cum urbe nostra de imperio contenderent. Idque haud immerito: res enim pul-

ἔργων ἀμφοτέροις ἦν κατειργασμένα. Οἱ μὲν γὰρ πρόγονοι τοὺς βαρβάρους ἐνίκησαν οἳ πρῶτοι τῆς Ἀττικῆς ἐπέβησαν, καὶ καταφανῆ ἐποίησαν τὴν ἀνδρείαν τοῦ πλούτου καὶ τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην· Λακεδαιμόνιοι δ' ἐν Θερμοπύλαις παραταξάμενοι ταῖς μὲν τύχαις οὐχ ὁμοίως ἐχρήσαντο, τῇ δ' ἀνδρείᾳ πολὺ πάντων διήνεγκαν. (109) Τοιγαροῦν ἐπὶ τοῖς ἠρίοις μαρτύρια ἔστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας, ἐκείνοις μέν,

Ὦ ξεῖν', ἄγγειλον Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων πειθόμενοι νομίμοις,

τοῖς δὲ ὑμετέροις προγόνοις,

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

110. Ταῦτα, ὦ Ἀθηναῖοι, καὶ μνημονεύεσθαι καλὰ καὶ τοῖς πράξασιν ἔπαινος καὶ τῇ πόλει δόξα ἀείμνηστος. Ἀλλ' οὐχ ὁ Λεωκράτης πεποίηκεν, ἀλλ' ἑκὼν τὴν ἐξ ἅπαντος τοῦ αἰῶνος συνηθροισμένην τῇ πόλει δόξαν κατῄσχυνεν. Ἐὰν μὲν οὖν ἀποκτείνητε αὐτόν, δόξετε πᾶσι τοῖς Ἕλλησι καὶ ὑμεῖς τὰ τοιαῦτα τῶν ἔργων μισεῖν· εἰ δὲ μή, καὶ τοὺς προγόνους τῆς παλαιᾶς δόξης ἀποστερήσετε καὶ τοὺς ἄλλους πολίτας μεγάλα βλάψετε. Οἱ γὰρ ἐκείνους μὴ θαυμάζοντες τοῦτον πειράσονται μιμεῖσθαι, νομίζοντες ἐκεῖνα μὲν παρὰ τοῖς πολεμίοις εὐδοκιμεῖν, παρὰ δ' ὑμῖν ἀναίδειαν καὶ προδοσίαν καὶ δειλίαν κεκρίσθαι κάλλιστον.

111. Εἰ μὴ δύνασθε ὑπ' ἐμοῦ διδαχθῆναι ὃν τρόπον δεῖ πρὸς τοὺς τοιούτους ἔχειν, σκέψασθε ἐκείνους τίνα τρόπον ἐλάμβανον παρ' αὐτῶν τὴν τιμωρίαν· ὥσπερ γὰρ τὰ καλὰ τῶν ἔργων ἠπίσταντο ἐπιτηδεύειν, οὕτω καὶ τὰ πονηρὰ προῃροῦντο κολάζειν. Ἐκεῖνοι γάρ, ὦ ἄνδρες, θεωρήσατε ὡς ὠργίζοντο τοῖς προδόταις καὶ κοινοὺς ἐχθροὺς ἐνόμιζον εἶναι τῆς πόλεως. (112) Φρυ-
164 νίχου γὰρ ἀποσφαγέντος νύκτωρ παρὰ τὴν κρήνην τὴν ἐν τοῖς οἰσύοις ὑπὸ Ἀπολλοδώρου καὶ Θρασυβούλου, καὶ τούτων ληφθέντων καὶ εἰς τὸ δεσμωτήριον ἀποτεθέντων ὑπὸ τῶν τοῦ Φρυνίχου φίλων, αἰσθανόμενος ὁ δῆμος τὸ γεγονὸς τούς τε εἰρχθέντας ἐξῆγε καὶ βασάνων γενομένων ἀνέκρινε, καὶ ζητῶν τὸ πρᾶγμα εὗρε τὸν μὲν Φρύνιχον προδιδόντα τὴν πόλιν, τοὺς δ' ἀποκτείναντας αὐτὸν ἀδίκως εἰρχθέντας· (113) καὶ ψηφίζεται ὁ δῆμος Κριτίου εἰπόντος τὸν μὲν νεκρὸν κρίνειν προδοσίας, κἂν δόξῃ προδότης ὢν ἐν τῇ χώρᾳ τεθάφθαι, τά τε ὀστᾶ αὐτοῦ ἀνορύξαι καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς, ὅπως ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὀστᾶ τοῦ τὴν χώραν καὶ τὴν πόλιν προδιδόντος. (114) Ἐψηφίσαντο δὲ καὶ ἐὰν ἀπολογῶνταί τινες περὶ τοῦ τετελευτηκότος, ἐὰν ἁλῷ ὁ τεθνηκώς, ἐνόχους εἶναι καὶ τούτους τοῖς αὐτοῖς ἐπιτιμίοις· οὕτως οὐδὲ βοηθεῖν τοῖς τοὺς ἄλλους ἐγκαταλείπουσιν ἡγοῦντο δίκαιον εἶναι, ἀλλ' ὁμοίως ἂν προδοῦναι τὴν πόλιν καὶ τὸν διασώζοντα τὸν προδότην. Τοιγαροῦν οὕτω μισοῦντες

cherrimæ ab utrisque peractæ erant. Siquidem majores nostri barbaros vicerunt, eos qui primi in Atticam invaserunt, ac planum fecerunt fortitudinem divitiis, virtutem autem multitudini præstare : Lacedæmonii autem apud Thermopylas opponentes sese Persis, fortuna quidem dissimili usi sunt, fortitudine autem longe omnibus præstantiores fuere. (109) Quare in tumulis eorum testimonia licet videre quæ de virtute ipsorum sunt perscripta eaque vera ad omnes Græcos; ac de illis quidem hæc :

Hospes, nuntia Lacedæmoniis quod hic
jaceamus eorum parentes institutis;

de vestris autem majoribus :

Pro Græcis pugnantes Athenienses Marathone
Medorum auro ornatorum profligarunt potentiam.

110. Hæc ad memoriam revocare, Athenienses, jucundum est; nam iis qui hæc gesserunt laudem tribuunt atque urbi gloriam sempiternam præbent. Verum Leocrates secundum hæc sese haudquaquam gessit, sed sponte sua ex omni ævo collectam urbi gloriam dedecoravit. Si ipsum itaque occideritis, videbimini cunctis Græcis etiam vos ejusmodi opera odisse : sin minus, etiam progenitores vetere gloria orbabitis reliquosque cives plurimum offendetis. Qui enim illos non demirantur, hunc tentabunt imitari, existimantes illa quidem apud hostes probari, apud vos autem impudentiam et proditionem et ignaviam judicari pulcherrimum quiddam esse.

111. Quodsi a me doceri non possitis quomodo debeatis vos erga adeo sceleratos gerere, considerate illos majores nostros quomodo sumpserint de facinorosis supplicium : ut enim honesta opera noverunt provehere, sic et prava volebant puniri. Illi enim videte, judices, quam fuerint indignati proditoribus et publicos putaverint esse hostes civitatis. (112) Phrynicho enim noctu jugulato apud fontem qui ad salices est, ab Apollodoro et Thrasybulo, hisque captis et in carcerem repositis a Phrynichi amicis, sentiens populus id quod factum esset, mancipatos carceribus eduxit, et quæstione per tormenta habita, accuratius rem examinans invenit Phrynichum quidem patriam fuisse proditurum, eos autem qui ipsum interfecissent injuste custodiæ intrusos; (113) fecitque decretnm populus Critia dicente, quo statuit mortuum accusandum proditionis, ac si appareat, quum proditor esset, eum in Attica esse sepultum, ossa ejus effodienda exterminandaque extra terram Atticam, ut ne in ea regione recubent ne ossa quidem ejus qui regionem et urbem prodiderit. (114) Decreverunt etiam, quodsi qui cæsum illum defenderint, si mortuus fuerit convictus, eisdem eos pœnis obnoxios esse debere : adeo ne opitulari quidem eis qui alios deseruissent arbitrabantur justum esse, sed æqua ratione prodere urbem eum qui proditorem conservare studeret. Quapropter hunc in modum

τοὺς ἀδικοῦντας καὶ τοιαῦτα κατ' αὐτῶν ψηφιζόμενοι ἀσφαλῶς ἐκ τῶν κινδύνων ἀπηλλάττοντο. Λαβὲ δὲ αὐτοῖς τὸ ψήφισμα, γραμματεῦ, καὶ ἀνάγνωθι.

ΨΗΦΙΣΜΑ.

115. Ἀκούετε, ὦ ἄνδρες, τούτου τοῦ ψηφίσματος. Ἔπειτα ἐκεῖνοι μὲν τὰ τοῦ προδότου ὀστᾶ ἀνορύξαντες ἐκ τῆς Ἀττικῆς ἐξώρισαν, καὶ τοὺς ἀπολογουμένους ὑπὲρ αὐτοῦ Ἀρίσταρχον καὶ Ἀλεξικλέα ἀπέκτειναν καὶ οὐδ' ἐν τῇ χώρᾳ ταφῆναι ἐπέτρεψαν· ὑμεῖς δ' αὐτὸ τὸ σῶμα τὸ προδεδωκὸς τὴν πόλιν ζῶν καὶ ὑποχείριον ἔχοντες τῇ ψήφῳ ἀτιμώρητον ἐάσετε; (116) καὶ τοσοῦτον ἔσεσθέ γε τῶν προγόνων χείρους, ὅσον ἐκεῖνοι μὲν τοὺς λόγῳ μόνον τῷ προδότῃ βοηθήσαντας ταῖς ἐσχάταις τιμωρίαις μετῆλθον, ὑμεῖς δὲ αὐτὸν τὸν ἔργῳ καὶ οὐ λόγῳ τὸν δῆμον ἐγκαταλιπόντα ὡς οὐδὲν ἀδικοῦντα ἀφήσετε; Μὴ δῆτα, ὦ ἄνδρες δικασταί· ὑμῖν οὔτοι πάτριον, ἀναξίως ὑμῶν αὐτῶν ψηφίζεσθαι. Καὶ γὰρ εἰ μὲν ἕν τι τοιοῦτον γεγονὸς ἦν ψήφισμα, εἶχεν ἄν τις εἰπεῖν ὡς δι' ὀργὴν μᾶλλον ἢ δι' ἀλήθειαν ἐποιήσαντο· ὅταν δὲ παρὰ πάντων ὁμοίως εἰληφότες ὦσι τὴν αὐτὴν τιμωρίαν, πῶς οὐκ εὔδηλον ὅτι φύσει πᾶσι τοῖς τοιούτοις ἔργοις ἐπολέμουν; (117) Ἵππαρχον γὰρ τὸν Τιμάρχου οὐχ ὑπομείναντα τὴν περὶ τῆς προδοσίας ἐν τῷ δήμῳ κρίσιν, ἀλλ' ἔρημον τὸν ἀγῶνα ἐάσαντα, θανάτῳ τοῦτον ζημιώσαντες, ἐπειδὴ τῆς ἀδικίας οὐκ ἔλαβον τὸ σῶμα ὅμηρον, τὴν εἰκόνα αὐτοῦ ἐξ ἀκροπόλεως καθελόντες καὶ συγχωνεύσαντες καὶ ποιήσαντες στήλην ἐψηφίσαντο εἰς ταύτην ἀναγράφειν τοὺς ἀλιτηρίους καὶ τοὺς προδότας· καὶ αὐτὸς ὁ Ἵππαρχος ἐν ταύτῃ τῇ στήλῃ ἀναγέγραπται, καὶ οἱ ἄλλοι δὲ προδόται. (118) Καί μοι λαβὲ πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ ἡ εἰκὼν τοῦ Ἱππάρχου τοῦ προδότου ἐξ ἀκροπόλεως καθῃρέθη, ἔπειτα τῆς στήλης τὸ ὑπόγραμμα καὶ τοὺς ὕστερον προσαναγραφέντας προδότας εἰς ταύτην τὴν στήλην, καὶ ἀναγίνωσκε, γραμματεῦ.

ΨΗΦΙΣΜΑ ΚΑΙ ΥΠΟΓΡΑΜΜΑ ΤΗΣ ΣΤΗΛΗΣ.

119. Τί δοκοῦσιν ὑμῖν, ὦ ἄνδρες; ἆρά γε ὁμοίως ὑμῖν περὶ τῶν ἀδικούντων γινώσκειν, καὶ οὐχ, ἐπειδὴ καὶ τὸ σῶμα οὐκ ἐδύναντο ὑποχείριον τοῦ προδότου λαβεῖν, τὸ μνημεῖον τοῦ προδότου ἀνελόντες ταῖς ἐνδεχομέναις τιμωρίαις ἐκόλασαν; οὐχ ὅπως τὸν χαλκοῦν ἀνδριάντα συγχωνεύσειαν, ἀλλ' ἵνα τοῖς ἐπιγινομένοις παράδειγμα εἰς τὸν λοιπὸν χρόνον ὡς εἶχον πρὸς τοὺς προδότας καταλίποιεν.

120. Λαβὲ δ' αὐτοῖς καὶ τὸ ἕτερον ψήφισμα περὶ τῶν εἰς Δεκέλειαν μεταστάντων, ὅτε ὁ δῆμος ὑπὸ Λακεδαιμονίων ἐπολιορκεῖτο, ὅπως εἰδῶσιν ὅτι περὶ τῶν προδοτῶν οἱ πρόγονοι ὁμοίας καὶ ἀκολούθους ἀλλήλαις τὰς τιμωρίας ἐποιοῦντο. Ἀναγίνωσκε, γραμματεῦ.

odio prosequentes flagitiosos talesque adversum eos pœnas decernentes tuto e periculis liberabantur. Accipe autem ipsis decretum, scriba, et recita.

DECRETUM.

115. Auditis, judices, hoc decretum. Igitur illi quidem proditoris ossa effodientes ex Attica ejecerunt, atque eos qui ipsum defenderant, Aristarchum et Alexiclem, occiderunt, neque eos in terra hac sepeliri permiserunt: vos autem ipsum corpus, quod urbem prodidit, vivum judicioque vestro subjectum habentes impunitum dimittetis? (116) ac tanto eritis majoribus vestris inferiores, ut illi quidem eos, qui verbo tantum proditori tulissent opem, ultimis suppliciis sint adorti, vos autem ipsum, qui non sermone, sed opere populum deseruit, ceu nihil sceleris admiserit, dimittatis? Minime, judices; vobis non patrium indigna vobis ipsis statuere. Etenim si unum aliquod ejusmodi decretum factum fuisset, posset aliquis dicere, quod ob iram potius quam veritatem fecissent: quando vero de omnibus idem supplicium sumpserint, quomodo non est perspicuum, quod omnibus talibus facinoribus naturaliter restiterint eaque perpetuo impugnarint? (117) Siquidem Hipparchum Timarchi filium non exspectantem proditionis apud populum judicium, sed certamen illud deserentem, morte mulctantes, postquam sceleris reum corpus in potestate non habebant, imaginem ejus ex arce detrahentes et conflantes erigentesque columnam decreverunt in hanc perscribere calumniatores et proditores; atque ipse Hipparchus in hanc columnam perscriptus est, ceterique proditores. (118) Ac mihi cape primum quidem decretum, per quod imago Hipparchi proditoris ex arce detracta est, deinde quod in columnam est perscriptum, et proditores, quorum nomina postea adjecta sunt; atque recita, scriba.

DECRETUM ET INSCRIPTA COLUMNÆ.

119. Quid videntur vobis, judices, majores vestri? anne eadem vobiscum de sceleratis cognoscere? nonne postquam corpus proditoris non potuerunt in sua habere potestate, statuam proditoris apprehensam ac detractam quibus potuerunt suppliciis affecerunt? non ut æream statuam conflarent, sed ut posteris exemplum in reliquum tempus quonam in proditores animo essent relinquerent.

120. Accipe porro et alterum decretum de iis qui Deceleam migraverant, quando populus a Lacedæmoniis obsideretur, ut sciant, de proditoribus majores nostros pares et consentaneas sibi pœnas fecisse. Recita, scriba.

ΨΗΦΙΣΜΑ.

165 121. Ἀκούετε, ὦ ἄνδρες, καὶ τούτου τοῦ ψηφίσματος, ὅτι τῶν ἐν τῷ πολέμῳ μεταστάντων εἰς Δεκέλειαν κατέγνωσαν, καὶ ἐψηφίσαντο, ἐάν τις αὐτῶν ἐπανιὼν ἁλίσκηται, ἀπαγαγεῖν Ἀθηναίων τὸν βουλόμενον πρὸς τοὺς θεσμοθέτας, παραλαβόντας δὲ παραδοῦναι τῷ ἐπὶ τοῦ ὀρύγματος. Ἔπειτα ἐκεῖνοι μὲν τοὺς ἐν αὐτῇ τῇ χώρᾳ μεταστάντας οὕτως ἐκόλαζον, ὑμεῖς δὲ τὸν ἐκ τῆς πόλεως καὶ τῆς χώρας ἐν τῷ πολέμῳ φυγόντα εἰς Ῥόδον καὶ προδόντα τὸν δῆμον οὐκ ἀποκτενεῖτε; πῶς οὖν δόξετε ἀπόγονοι εἶναι ἐκείνων τῶν ἀνδρῶν;

122. Ἄξιον τοίνυν ἀκοῦσαι καὶ τοῦ περὶ τοῦ ἐν Σαλαμῖνι τελευτήσαντος γενομένου ψηφίσματος, ὃν ἡ βουλή, ὅτι λόγῳ μόνῳ ἐνεχείρει προδιδόναι τὴν πόλιν, περιελομένη τοὺς στεφάνους αὐτοχειρὶ ἀπέκτεινεν.

ΨΗΦΙΣΜΑ.

Γενναῖόν γε, ὦ ἄνδρες, τὸ ψήφισμα καὶ ἄξιον τῶν ὑμετέρων προγόνων. Δικαίως· συγγενεῖς γὰρ οὐ μόνον τὰς ψυχὰς ἀλλὰ καὶ τὰς τῶν ἀδικούντων τιμωρίας ἐκέκτηντο.

123. Τί οὖν, ὦ ἄνδρες; ἆρά γε ὑμῖν δοκεῖ βουλομένοις μιμεῖσθαι τοὺς προγόνους πάτριον εἶναι Λεωκράτην μὴ ἀποκτεῖναι; Ὁπότε γὰρ ἐκεῖνοι ἀνάστατον τὴν πόλιν οὖσαν τὸν λόγῳ μόνῳ προδιδόντα οὕτως ἀπέκτειναν, τί ὑμᾶς προσήκει τὸν ἔργῳ καὶ οὐ λόγῳ τὴν οἰκουμένην ἐκλιπόντα ποιῆσαι; ἆρ' οὐχ ὑπερβαλέσθαι ἐκείνους ταῖς τιμωρίαις; καὶ ὅτ' ἐκεῖνοι τοὺς ἐπιχειρήσαντας τῆς παρὰ τοῦ δήμου σωτηρίας ἀποστερεῖν οὕτως ἐκόλασαν, τί ὑμᾶς προσήκει τὸν αὐτὴν τοῦ δήμου τὴν σωτηρίαν προδόντα ποιῆσαι; καὶ ὅτε ὑπὲρ τῆς δόξης ἐκεῖνοι τοὺς αἰτίους οὕτως ἐτιμωροῦντο, τί ὑμᾶς ὑπὲρ τῆς πατρίδος προσήκει ποιεῖν;

124. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τὴν τῶν προγόνων γνῶναι διάνοιαν, ὡς εἶχον πρὸς τοὺς παρανομοῦντας εἰς τὴν πόλιν· οὐ μὴν ἀλλ' ἔτι βούλομαι τῆς στήλης ἀκοῦσαι ὑμᾶς τῆς ἐν τῷ βουλευτηρίῳ περὶ τῶν προδοτῶν καὶ τῶν τὸν δῆμον καταλυόντων· τὸ γὰρ μετὰ πολλῶν παραδειγμάτων διδάσκειν ῥᾳδίαν ὑμῖν τὴν κρίσιν καθίστησι. Μετὰ γὰρ τοὺς τριάκοντα οἱ πατέρες ὑμῶν πεπονθότες ὑπὸ τῶν πολιτῶν οἷα οὐδεὶς πώποτε τῶν Ἑλλήνων, καὶ μόλις εἰς τὴν ἑαυτῶν κατεληλυθότες, ἁπάσας τὰς ὁδοὺς τῶν ἀδικημάτων ἐνέφραξαν, πεπειραμένοι καὶ εἰδότες τὰς ἀρχὰς καὶ τὰς ἐφόδους τῶν τὸν δῆμον προδιδόντων. (125) Ἐψηφίσαντο γὰρ καὶ ὤμοσαν, ἐάν τις τυραννίδι ἐπιθῆται ἢ τὴν πόλιν προδιδῷ ἢ τὸν δῆμον καταλύῃ, τὸν αἰσθανόμενον καθαρὸν εἶναι ἀποκτείναντα, καὶ κρεῖττον ἔδοξεν αὐτοῖς τοὺς τὴν αἰτίαν ἔχοντας τεθνάναι μᾶλλον ἢ πειραθέντας μετὰ ἀληθείας αὐτοὺς δουλεύειν· ἀρχὴν γὰρ οὕτως ᾤοντο δεῖν ζῆν τοὺς πολίτας, ὥστε μηδ' εἰς ὑποψίαν ἐλθεῖν μηδένα τούτων τῶν ἀδικημάτων. Καί μοι λαβὲ τὸ ψήφισμα.

DECRETUM.

121. Auditis, judices, et hoc decretum, quo tempore belli transmigrantes Deceleam condemnarunt, decreveruntque, ut si quis ipsorum reversus deprehendatur, abducat cui libuerit Atheniensium ad thesmothetas, qui assumptum illum tradant præfecto fossæ. Proinde illi eos, qui discedentes ne Atticam quidem ditionem reliquerant, hunc ad modum puniebant, vos autem eum, qui ex urbe et regione tempore belli transfugerit in insulam Rhodum atque prodiderit populum, non occidetis? Quo pacto igitur videbimini orti esse ab illis viris?

122. Dignum est præterea audire quod de eo qui in Salamine obiit factum est decretum, quem, quia solo sermone tentarit prodere urbem, senatus depositis coronis sua manu occidit.

DECRETUM.

Præclarum est decretum, judices, dignumque vestris majoribus. Ac recte quidem: cognatam enim non solum animorum fortitudinem, verum etiam studium et ardorem ulciscendi facinorosorum flagitia habebant.

123. Quid igitur, judices? videturne vobis imitari volentibus majores ex patriæ more esse Leocratem non occidere? Quando enim illi devastatæ urbis solo verbo proditorem ea ratione occiderunt, quid vos convenit facere ei qui re et non verbo ab habitata defecit? nonne nos superare illos supplicio decet? et quum illi conatos salute ab populo impetranda patriam privare ita puniverunt, quid vos decet illi facere qui ipsam populi salutem prodidit? et quando illi pro celebritate famæ suæ tuenda reos ita supplicio afficiebant, quid vos pro patria facere decet?

124. Sufficerent hæc quidem ad cognoscendum quonam animo majores nostri in eos fuerint qui in urbem deliquerint. Cupio tamen adhuc ut columnam audiatis, quæ in curia est erecta de proditoribus populum dissolventibus: nam multis vos exemplis informari facilem vobis judicationem constituit. Post triginta enim tyrannorum tempestatem patres vestri a civibus ea passi qualia nemo unquam Græcorum a suis passus est, et ægre ad suam urbem et statum reipubl. reversi, omnes vias scelerum obstruxerunt, quum experti essent ac scirent principia et aditus vel exordia eorum qui populum prodituri sunt. (125) Decreverunt enim edito juramento, si quis tyrannidem affectaret aut urbem proderet aut popularem statum subverteret, ut is, qui istud perciperet atque reum flagitii occideret, a cæde purus esset. Satius enim visum est eis, ut qui suspicione tenerentur, morerentur potius, quam ut experti revera ad servitutem redigerentur: omnino enim putabant oportere ita vivere cives, ut ne in suspicionem quidem quisquam horum scelerum perveniret. Ac mihi recipe decretum.

ΨΗΦΙΣΜΑ.

126. Ταῦτα, ὦ ἄνδρες, ἔγραψαν εἰς τὴν στήλην, καὶ ταύτην ἔστησαν εἰς τὸ βουλευτήριον ὑπόμνημα τοῖς καθ' ἑκάστην ἡμέραν συνιοῦσι καὶ βουλευομένοις ὑπὲρ τῆς πατρίδος ὡς δεῖ πρὸς τοὺς τοιούτους ἔχειν. Καὶ διὰ τοῦτο ἄν τις αἴσθηται μόνον μέλλοντας αὐτοὺς τούτων τι ποιεῖν, ἀποκτείνειν συνώμοσαν. Εἰκότως· τῶν μὲν γὰρ ἄλλων ἀδικημάτων ὑστέρας δεῖ τετάχθαι τὰς τιμωρίας, προδοσίας δὲ καὶ δήμου καταλύσεως προτέρας. Εἰ γὰρ προήσεσθε τοῦτον τὸν καιρὸν ἐν ᾧ μέλλουσιν ἐκεῖνοι κατὰ τῆς πατρίδος φαῦλόν τι πράττειν, οὐκ ἔστιν ὑμῖν μετὰ ταῦτα δίκην παρ' αὐτῶν ἀδικούντων λαβεῖν· κρείττους γὰρ ἤδη γίνονται τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας.

127. Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες, τῆς προνοίας ταύτης καὶ τῶν ἔργων ἀξίως, καὶ μὴ ἐπιλανθάνεσθε ἐν τῇ ψήφῳ οἵων ἀνδρῶν ἔκγονοί ἐστε, ἀλλὰ παρακελεύεσθε ὑμῖν αὐτοῖς ὅπως ὅμοια ἐκείνοις καὶ ἀκόλουθα ἐν τῇ τήμερον ἡμέρᾳ ἐψηφισμένοι ἐκ τοῦ δικαστηρίου ἐξίητε. Ὑπομνήματα δ' ἔχετε καὶ παραδείγματα τῆς ἐκείνων τιμωρίας τὰ ἐν τοῖς περὶ τῶν ἀδικούντων ψηφίσμασιν ὡρισμένα· διομωμόκατε δ' ἐν τῷ ψηφίσματι τῷ Δημοφάντου κτείνειν τὸν τὴν πατρίδα προδιδόντα καὶ λόγῳ καὶ ἔργῳ καὶ χειρὶ καὶ ψήφῳ. Μὴ γὰρ οἴεσθε τῶν 166 μὲν οὐσιῶν ἃς ἂν οἱ πρόγονοι καταλίπωσι κληρονόμοι εἶναι, τῶν δὲ ὅρκων καὶ τῆς πίστεως ἣν δόντες οἱ πατέρες ὑμῶν ὅμηρον τοῖς θεοῖς τῆς κοινῆς εὐδαιμονίας τῆς πόλεως μετεῖχον, ταύτης δὲ μὴ κληρονομεῖν.

128. Οὐ μόνον τοίνυν ἡ πόλις ὑμῶν οὕτως ἔσχε πρὸς τοὺς προδιδόντας, ἀλλὰ καὶ Λακεδαιμόνιοι. Καὶ μή μοι ἀχθεσθῆτε, ὦ ἄνδρες, εἰ πολλάκις μέμνημαι τῶν ἀνδρῶν τούτων· καλὸν γάρ ἐστι πόλεως εὐνομουμένης περὶ τῶν δικαίων παραδείγματα λαμβάνειν· ἀσφαλέστερον γὰρ ἕκαστος ὑμῶν τὴν δικαίαν καὶ τὴν εὔορκον ψῆφον θήσεται. Παυσανίαν γὰρ τὸν βασιλέα αὐτῶν προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα λαβόντες, ἐπειδὴ ἔφθασε καταφυγὼν εἰς τὸ τῆς Χαλκιοίκου ἱερόν, τὴν θύραν ἀποικοδομήσαντες καὶ τὴν ὀροφὴν ἀποσκευάσαντες καὶ κύκλῳ περιστρατοπεδεύσαντες οὐ πρότερον ἀπῆλθον πρὶν ἢ τῷ λιμῷ ἀπέκτειναν, καὶ πᾶσιν ἐπίσημον ἐποίησαν τὴν τιμωρίαν, ὅτι οὐδ' αἱ παρὰ τῶν θεῶν ἐπικουρίαι τοῖς προδόταις βοηθοῦσιν. (129) Εἰκότως· οὐδὲν γὰρ πρότερον ἀδικοῦσιν ἢ περὶ τοὺς θεοὺς ἀσεβοῦσι, τῶν πατρῴων νομίμων αὐτοὺς ἀποστεροῦντες. Μέγιστον δὲ τῶν ἐκεῖ γεγενημένων τεκμήριόν ἐστιν ὃ μέλλω λέγειν· νόμον γὰρ ἔθεντο περὶ ἁπάντων τῶν μὴ 'θελόντων ὑπὲρ τῆς πατρίδος κινδυνεύειν διαρρήδην λέγοντα ἀποθνήσκειν, εἰς αὐτὸ τοῦτο τὴν τιμωρίαν τάξαντες εἰς ὃ μάλιστα φοβούμενοι τυγχάνουσι, καὶ τὴν ἐκ τοῦ πολέμου σωτηρίαν ὑπεύθυνον κινδύνῳ ἐποίησαν μετ' αἰσχύνης. Ἵνα δὲ εἰδῆτε ὅτι οὐ λόγον ἀναπόδεικτον εἴρηκα, ἀλλὰ μετ' ἀληθείας παραδείγματα, φέρε αὐτοῖς τὸν νόμον.

DECRETUM.

126. Hæc, viri, scripserunt in columnam, hancque collocarunt in curia monimentum in singulos dies convenientibus atque consultantibus pro patria senatoribus, quo admonerentur quomodo sese erga tales gerere deberent. Ac propterea, si quis sensisset tantum nonnullos horum quicquam facturos, occidere talem debere eos conjurarunt. Idque non immerito; aliorum enim delictorum oportet posteriora esse supplicia, proditionis autem populique dissolutionis priora. Nam si remiseritis id tempus q o sunt illi pravi quiddam adversus patriam acturi, non est quod deinceps pœnam ab ipsis sceleratis sumatis : superiores enim redduntur quam ut ab iis quos læserunt supplicio affici possint.

127. Cogitate igitur in animo, judices, digne hac providentia et operibus, nec tradite oblivioni in sententia vestra qualium virorum soboles sitis, verum adhortamini vos ipsos ut similia illis et consentanea hodierno die decernentes e foro egrediamini. Habetis autem et exempla pœnarum a majoribus vestris irrogatarum, illa quæ sunt decretis super delinquentibus definita : dejerastis porro in decreto per Demophantum facto vos occisuros eum qui patriam proderet et verbo et opere et manu et judicio. Neque enim existimetis facultatum quidem, quas majores vestri reliquerint, vos heredes esse; sacramentorum autem et fide quam dantes patres nostri pro pignore diis immortalibus publicæ urbis felicitatis erant participes, hujus non esse heredes.

128. Non modo autem urbs vestra sic affecta fuit erga proditores, verum etiam Lacedæmonii. Neque mihi succensebitis, judices, si sæpius horum virorum mentionem fecero : honestum est enim urbis legibus bene constitutæ de iis quæ justa sunt exempla sumere. Tutius enim hoc pacto quilibet vestrûm justam et religiosam sententiam dixerit. Pausaniam enim regem suum prodentem Persæ Græciam capientes, ad templum Minervæ ubi confugisset, januam obstruentes et culmen destruentes circumque circa obsidentes non prius abierunt quam fame enecassent, omnibusque supplicium hoc perspicuum fecissent documentum, unde pateret neque deorum auxilia proditoribus quidquam prodesse. (129) Et merito : nihil enim citius delinquunt quam in deos sunt impii, patriis ritibus et cæremoniis eos privantes. Maximum autem rerum ab ipsis statutarum indicium est quod dicturus sum : legem enim tulerunt de omnibus nolentibus pro patria subire periculum, palam demandantem ut moriantur; ad illud ipsum pœnam statuentes, quod maxime metuunt, atque salutem, quam fugientes bellum quærunt transfugæ, periculo cum probro subjecerunt. Ut autem sciatis me sermonem indemonstrabilem haud dixisse, sed exempla veritate confirmata, age recita ipsis legem.

ΝΟΜΟΣ.

130. Ἐνθυμεῖσθε δὴ ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμφορος οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις. Ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν· τίς γὰρ ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην ἐν τοῖς κινδύνοις ἐκλείψει τὴν πατρίδα; ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως φιλοψυχήσει εἰδὼς ὑποκειμένην αὐτῷ τιμωρίαν; Οὐδεμίαν γὰρ ἄλλην δεῖ ζημίαν εἶναι τῆς δειλίας ἢ θάνατον· εἰδότες γὰρ ὅτι δυοῖν κινδύνοιν ὑποκειμένοιν ἀναγκαῖον ἔσται θατέρου μετασχεῖν, πολὺ μᾶλλον αἱρήσονται τὸν πρὸς τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας.

131. Τοσούτῳ δ' ἂν δικαιότερον οὗτος ἀποθάνοι τῶν ἐκ τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν ἥκουσιν ὡς ὑπὲρ ταύτης μαχούμενοι ἢ κοινῇ μετὰ τῶν ἄλλων πολιτῶν συνατυχοῦντες, οὑτοσὶ δ' ἐκ τῆς πατρίδος ἔφυγεν ἰδίᾳ τὴν σωτηρίαν ποριζόμενος, οὐδὲ ὑπὲρ τῆς ἰδίας ἑστίας ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάντων ἀνθρώπων καὶ τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα προδέδωκεν, ἃ καὶ τοῖς ἀλόγοις ζῴοις μέγιστα καὶ σπουδαιότατα διείληπται. (132) Τὰ γοῦν ζῷα τὰ πετεινὰ ἃ μάλιστα πέφυκε πρὸς τάχος, ἔστιν ἰδεῖν ὑπὲρ τῆς αὑτῶν νεοττιᾶς ἐθέλοντα ἀποθνήσκειν· ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν,

Οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον,
ἄλλῃ νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν.

Ἀλλὰ Λεωκράτης τοσοῦτον ὑπερβέβληκε δειλίᾳ, ὥστε τὴν πατρίδα τοῖς πολεμίοις ἐγκατέλιπε. (133) Τοιγαροῦν οὐδεμία πόλις αὐτὸν εἴασε παρ' αὑτῇ μετοικεῖν, ἀλλὰ μᾶλλον τῶν ἀνδροφόνων ἤλαυνεν. Εἰκότως· οἱ μὲν γὰρ φόνου φεύγοντες εἰς ἑτέραν πόλιν μεταστάντες οὐκ ἔχουσιν ἐχθροὺς τοὺς ὑποδεξαμένους, τοῦτον δὲ τίς ἂν ὑποδέξαιτο πόλις; Ὃς γὰρ ὑπὲρ τῆς αὑτοῦ πατρίδος οὐκ ἐβοήθησε, ταχύ γε ἂν ὑπὲρ τῆς ἀλλοτρίας κίνδυνόν τινα ὑπομείνειε. Κακοὶ γὰρ καὶ πολῖται καὶ ξένοι καὶ ἰδίᾳ φίλοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων εἰσίν, οἳ τῶν μὲν ἀγαθῶν τῶν τῆς πόλεως μεθέξουσιν, ἐν δὲ ταῖς ἀτυχίαις οὐδὲ βοηθείας ἀξιώσουσι. (134) Καίτοι τὸν ὑπὸ τῶν
167 μηδὲν ἀδικουμένων μισούμενον καὶ ἐξελαυνόμενον τί δεῖ παθεῖν ὑφ' ὑμῶν τῶν τὰ δεινότατα πεπονθότων; ἆρ' οὐ τῆς ἐσχάτης τιμωρίας τυγχάνειν; Καὶ μήν, ὦ ἄνδρες, τῶν πώποτε προδοτῶν δικαιότατ' ἂν Λεωκράτης, εἴ τις μείζων εἴη τιμωρία θανάτου, ταύτην ὑπόσχοι. Οἱ μὲν γὰρ ἄλλοι προδόται μέλλοντες ἀδικεῖν, ὅταν συλληφθῶσι, τιμωρίαν ὑπέχουσιν· οὗτος δὲ μόνος διαπεπραγμένος ὅπερ ἐπεχείρησε, τὴν πόλιν ἐγκαταλιπὼν κρίνεται.

135. Θαυμάζω δὲ καὶ τῶν συνηγορεῖν αὐτῷ μελλόντων, διὰ τί ποτε τοῦτον ἀξιώσουσιν ἀποφυγεῖν. Πότερον διὰ τὴν πρὸς αὐτοὺς φιλίαν; Ἀλλ' ἔμοιγε δοκοῦσι δικαίως οὐκ ἂν χάριτος τυχεῖν, ἀλλ' ἀποθανεῖν, ὅτι

LEX.

130. Expendite autem, quam bona sit lex, viri, et utilis non modo illis, verum etiam aliis hominibus. Metus enim civium quum magnam vim habeat, coget eos adversum hostes pericula sustinere. Quis enim cernens morte damnatum proditorem in periculis patriam deseret? aut quis præter commoditatem urbis vitam suam patriæ saluti anteferet, præsertim quum sciat sibi propositam pœnam? Nullam enim aliam timiditatis pœnam esse decet quam mortem: compertum enim habentes, quod duobus propositis discriminibus necessarium sit alterius esse consortem, multo potius eligent id quod contra hostes quam quod contra leges ac cives.

131. Tanto autem rectius morietur iste quam qui ex exercitibus fugiunt, quanto illi quidem ad urbem veniunt ceu pro ea prœliaturi aut publice cum aliis civibus passuri infelicitatem; atqui hic ex patria aufugit privatim salutem sibi comparans, ne proprio quidem pro lare certare ausus, sed solus e cunctis mortalibus et naturæ peculiaria et necessaria prodidit, quæ vacantibus etiam ratione belluis maxima sunt et gravissima. (132) Sic alites quæ maxime ad celeritatem habiles sunt, videre est pro suis pullis sponte mori: unde et poetarum quidam dixere,

Neque silvestris ales, si nidum finxerit,
in alio pullos progignere velit.

At Leocrates adeo modum transiliit metu, ut patriam hostibus reliquerit. (133) Quare nulla civitas ei permisit apud se inquilinum esse aut habitare, sed magis etiam quam homicidas expulit. Idque non injuria: cædis enim rei in aliam urbem migrantes non habent hostes eos a quibus recipiuntur, hunc autem quæ civitas susceperit? Qui enim suæ patriæ non tulit opem, ægre pro aliena quicquam periculi sustinuerit. Nam mali et cives et hospites et privatim amici tales homines sunt, qui bonorum urbis consortes esse volunt, in adverso autem rerum statu ne auxilio quidem esse dignabuntur. (134) At vero eum qui ab illis, quibus tamen nihil nocuit, odio habetur ejiciturque, quid opus est pati a vobis maxima ab eo injuria affectis? nonne extremum supplicium eum assequi decet? Ex omnibus porro, viri, qui unquam fuere proditoribus justissime Leocrates, si qua major esset morte pœna, hanc sustineret. Alii enim proditores injuriam illaturi, priusquam reapse intulerint, si capti fuerint, pœnam sustinent: hic autem solus peractis quæ instituit, quum urbem deseruerit, accusatur apud judices.

135. Admiror autem patrocinaturos ipsi; quare hunc dignum censeant evadere. Anne ob amicitiam quam cum ipsis contraxit? At eam ob rem videntur mihi jure non gratiam assequi, sed morti potius item adjudicandi, quod ejus

χρῆσθαι τούτῳ τολμῶσι. Πρὶν μὲν γὰρ τοῦτο πρᾶξαι Λεωκράτην ἄδηλον ἦν ὁποῖοί τινες ὄντες ἐτύγχανον, νῦν δὲ πᾶσι φανερὸν ὅτι τοῖς αὐτοῖς ἤθεσι χρώμενοι τὴν πρὸς τοῦτον φιλίαν διαφυλάττουσιν, ὥστε πολὺ πρότερον ὑπὲρ αὐτῶν αὐτοῖς ἐστιν ἀπολογητέον ἢ τοῦτον παρ' ὑμῶν ἐξαιτητέον.

136. Ἡγοῦμαι δ' ἔγωγε καὶ τὸν πατέρα αὐτῷ τὸν τετελευτηκότα, εἴ τις ἄρα ἔστιν αἴσθησις τοῖς ἐκεῖ περὶ τῶν ἐνθάδε γινομένων, ἁπάντων ἂν χαλεπώτατον γενέσθαι δικαστήν, οὗ τὴν χαλκῆν εἰκόνα ἔκδοτον κατέλιπε τοῖς πολεμίοις ἐν τῷ τοῦ Διὸς τοῦ σωτῆρος ἱεροσυλῆσαι καὶ αἰκίσασθαι, καὶ ἣν ἐκεῖνος ἔστησε μνημεῖον τῆς αὐτοῦ μετριότητος, ταύτην αὐτὸς ἐπονείδιστον ἐποίησε· τοιούτου γὰρ υἱοῦ πατὴρ προσαγορεύεται. (137) Διὸ καὶ πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες, ἐρωτῶντες διὰ τί οὐκ ἐνέγραψα τοῦτο εἰς τὴν εἰσαγγελίαν, προδεδωκέναι τὴν εἰκόνα τὴν τοῦ πατρὸς, τὴν ἐν τῷ τοῦ Διὸς τοῦ σωτῆρος ἀνακειμένην. Ἐγὼ δέ, ὦ ἄνδρες, οὐχ ἠγνόουν τοῦτο τὸ ἀδίκημα ἄξιον τῆς μεγίστης τιμωρίας, ἀλλ' οὐχ ἡγούμην δεῖν περὶ προδοσίας τοῦτον κρίνων ὄνομα Διὸς σωτῆρος ἐπιγράψαι πρὸς τὴν εἰσαγγελίαν.

138. Ἐκπέπληγμαι δὲ μάλιστα ἐπὶ τοῖς μήτε γένει μήτε φιλίᾳ μηδὲν προσήκουσι, μισθοῦ δὲ συναπολογουμένοις ἀεὶ τοῖς κρινομένοις, εἰ λελήθασιν ὑμᾶς τῆς ἐσχάτης ὀργῆς δικαίως ἂν τυγχάνοντες. Τὸ γὰρ ὑπὲρ τῶν ἀδικημάτων ἀπολογεῖσθαι τεκμήριόν ἐστιν ὅτι καὶ τῶν πεπραγμένων οἱ τοιοῦτοι ἂν μετάσχοιεν. Οὐ γὰρ δεῖ καθ' ὑμῶν γεγενῆσθαι δεινόν, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῶν νόμων καὶ τῆς δημοκρατίας.

139. Καίτοι τινὲς αὐτῶν οὐκέτι τοῖς λόγοις ὑμᾶς παρακρούσασθαι ζητοῦσιν, ἀλλ' ἤδη ταῖς αὐτῶν λειτουργίαις ἐξαιτεῖσθαι τοὺς κρινομένους ἀξιώσουσιν· ἐφ' οἷς ἔγωγε καὶ μάλιστ' ἀγανακτῶ. Εἰς γὰρ τὸν ἴδιον οἶκον αὐτὰς περιποιησάμενοι κοινὰς χάριτας ὑμᾶς ἀπαιτοῦσιν. Οὐ γὰρ εἴ τις ἱπποτετρόφηκεν ἢ κεχορήγηκε λαμπρῶς ἢ τῶν ἄλλων τῶν τοιούτων τι δεδαπάνηκεν, ἄξιός ἐστι παρ' ὑμῶν τοιαύτης χάριτος (ἐπὶ τούτοις γὰρ αὐτὸς μόνος στεφανοῦται, τοὺς ἄλλους οὐδὲν ὠφελῶν), ἀλλ' εἴ τις τετριηράρχηκε λαμπρῶς ἢ τείχη τῇ πατρίδι περιέβαλεν ἢ πρὸς τὴν κοινὴν σωτηρίαν ἐκ τῶν ἰδίων συνευπόρησε· (140) ταῦτα γάρ ἐστι κοινῶς ὑπὲρ ἡμῶν ἁπάντων, καὶ ἐν μὲν τούτοις ἔστιν ἰδεῖν τὴν ἀρετὴν τῶν ἐπιδεδωκότων, ἐν ἐκείνοις δὲ τὴν εὐπορίαν μόνον τῶν δεδαπανηκότων. Ἡγοῦμαι δ' ἔγωγε οὐδένα οὕτω μεγάλα τὴν πόλιν εὐηργετηκέναι, ὥστ' ἐξαίρετον ἀξιοῦν λαμβάνειν χάριν τὴν κατὰ τῶν προδιδόντων τιμωρίαν, οὐδ' οὕτως ἀνόητον, ὥστε φιλοτιμεῖσθαι μὲν πρὸς τὴν πόλιν, τούτῳ δὲ βοηθεῖν ὃς αὐτοῦ πρῶτον τὰς φιλοτιμίας ἠφάνισεν· εἰ μὴ νὴ Δία μὴ ταὐτὰ τῇ πατρίδι καὶ τούτοις ἐστὶ συμφέροντα.

141. Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, εἰ καὶ περὶ οὐδενὸς ἄλλου νόμιμόν ἐστι παῖδας καὶ γυναῖκας παρακαθισαμένους ἑαυτοῖς τοὺς δικαστὰς δικάζειν, ἀλλ' οὖν γε περὶ

familiaritate uti audeant. Priusquam enim Leocrates id committeret, qualesnam essent haud constabat; nunc vero omnibus perspicuum quod iisdem moribus imbuti amicitiam cum illo conservent; quare multo potius pro sese primum est illis ratio reddenda quam hunc a vobis dimittendum exorent.

136. Arbitror porro ego et patrem ipsi fato suo perfunctum — si quis sensus inest defunctis earum rerum quæ hic fiunt — omnium severissimum fore judicem, cujus æream imaginem hostibus expositam reliquit, ut eam in templo Jovis Servatoris deprædarentur contumelioseque tractarent, et quam ipse statuit monumentum moderationis suæ, hanc ille ignominiosam reddidit: talis enim filii pater appellatur. (137) Hanc ob rem multi etiam accesserunt me, judices, interrogantes cur istuc non inscripserim accusationi, quod nimirum prodiderit imaginem patris sui, in Jovis Servatoris delubro consecratam. Ego vero, viri, haud ignorabam hoc delictum ejus dignum maximo supplicio, sed non putabam oportere, quum ipsum proditionis nomine judicio sistam, nomen Jovis Servatoris inscribere accusationi.

138. Obstupui autem vehementer super iis, qui neque genere neque amicitia reis conjuncti sunt, pro mercede autem conducti defensionem parare cuivis solent, si ignoretis vos extrema erga ipsos indignatione justissime commoveri. Nam, quod pro sceleribus defensionem instituunt, argumentum est, quod et perpetratorum scelerum illi ipsi socii esse velint. Non enim contra vos arte dicendi uti decet, sed pro vobis et legibus et statu reipubl. populari.

139. At vero nonnulli non orationum artificiis vos decipere quærunt, sed ob sumptuosa munera, quæ in republica ediderint, reos in ipsorum gratiam dimitti volunt: ob quæ illis ego plurimum succenseo. Nam quum eorum officiorum fructum privatim domum retulerint, publicas gratias a vobis reposcunt. Non enim, si quis equos aluit aut sumptum fecit in ludos scenicos præclare aut in alia non dissimilia quicquam impendit, dignus est tali tantaque a vobis gratia ornari — ob ejusmodi enim ministeria sua solus ipse coronatur, aliis nihil commodans —, sed, si quisquam triremium præfecturam splendide administravit aut mœnia patriæ firmavit aut in publicam salutem a suis facultatibus quicquam liberaliter contulit: (140) hæc enim in commune vestri omnium emolumentum vergunt, atque in his videre est virtutem eorum qui impertierunt, in illis autem copiam tantummodo qua in faciendis sumptibus exuberarunt. Arbitror autem neminem adeo ingenti beneficio urbem affecisse, ut hanc eximiam petat accipere gratiam a vobis, scilicet ut pœna proditoribus remittatur, neque quenquam adeo esse dementem ut gloriam urbis ambiat, simulque huic opem ferat qui ipsius primum celebrem ambitionem et gloriam obscuravit: nisi medius fidius non eadem et patriæ et hisce sint utilia.

141. Oportebat itaque, viri, tametsi in nulla alia causa lege sancitum sit liberos et uxores apud sese constituentes judices ipsos ita sententiam ferre, de proditione tamen judi-

προδοσίας κρίνοντας οὕτως ὅσιον εἶναι τοῦτο πράττειν, ὅπως ὁπόσοι τοῦ κινδύνου μετεῖχον, ἐν ὀφθαλμοῖς ὄντες καὶ ὁρώμενοι καὶ ἀναμιμνήσκοντες ὅτι τοῦ κοινοῦ παρὰ
168 πᾶσιν ἐλέου οὐκ ἠξιώθησαν, πικροτέρας τὰς γνώσεις κατὰ τοῦ ἀδικοῦντος παρασκευάζωσιν. Ἐπειδὴ δ' οὐ νόμιμον οὐδ' εἰθισμένον ἐστίν, ἀλλ' ἀναγκαῖον ὑμᾶς ὑπὲρ ἐκείνων δικάζειν, τιμωρησάμενοι οὖν Λεωκράτην καὶ ἀποκτείναντες αὐτόν, ἀπαγγείλατε τοῖς ὑμετέροις αὐτῶν παισὶ καὶ γυναιξὶν ὅτι ὑποχείριον λαβόντες τὸν προδότην αὐτῶν ἐτιμωρήσασθε. (142) Καὶ γὰρ δεινὸν καὶ σχέτλιον, ὅταν νομίζῃ δεῖν Λεωκράτης ἴσον ἔχειν ὁ φυγὼν ἐν τῇ τῶν μεινάντων πόλει καὶ ὁ μὴ κινδυνεύσας ἐν τῇ τῶν παραταξαμένων καὶ ὁ μὴ διαφυλάξας ἐν τῇ τῶν σωσάντων· ἀλλ' ἥκει ἱερῶν θυσιῶν ἀγορᾶς νόμων πολιτείας μεθέξων, ὑπὲρ ὧν τοῦ μὴ καταλυθῆναι χίλιοι τῶν ὑμετέρων πολιτῶν ἐν Χαιρωνείᾳ ἐτελεύτησαν καὶ δημοσίᾳ αὐτοὺς ἡ πόλις ἔθαψεν· ὧν οὗτος οὐδὲ τὰ ἐλεγεῖα τὰ ἐπιγεγραμμένα τοῖς μνημείοις ἐπανιὼν εἰς τὴν πόλιν ᾐδέσθη, ἀλλ' οὕτως ἀναιδῶς ἐν τοῖς ὀφθαλμοῖς τῶν πενθησάντων τὰς ἐκείνων συμφορὰς ἡγεῖται δεῖν ἀναστρέφεσθαι. (143) Καὶ αὐτίκα μάλ' ὑμᾶς ἀξιώσει ἀκούειν αὐτοῦ ἀπολογουμένου κατὰ τοὺς νόμους· ὑμεῖς δ' ἐρωτᾶτε αὐτὸν ποίους; οὓς ἐγκαταλιπὼν ᾤχετο. Καὶ ἐᾶσαι αὐτὸν οἰκεῖν ἐν τοῖς τείχεσι τῆς πατρίδος· ποίοις; ἃ μόνος τῶν πολιτῶν οὐ συνδιεφύλαξε. Καὶ ἐπικαλέσεται τοὺς θεοὺς σώσοντας αὐτὸν ἐκ τῶν κινδύνων· τίνας; οὐχ ὧν τοὺς νεὼς καὶ τὰ ἕδη καὶ τὰ τεμένη προὔδωκεν; Καὶ δεήσεται καὶ ἱκετεύσει ἐλεῆσαι αὐτόν· τίνων; οὐχ οἷς τὸν αὐτὸν ἔρανον εἰς τὴν σωτηρίαν εἰσενεγκεῖν οὐκ ἐτόλμησεν; Ῥοδίους ἱκετευέτω· τὴν γὰρ ἀσφάλειαν ἐν τῇ ἐκείνων πόλει μᾶλλον ἢ ἐν τῇ ἑαυτοῦ πατρίδι ἐνόμισεν εἶναι. (144) Ποία δὲ ἡλικία δικαίως ἂν τοῦτον ἐλεήσειε; πότερον ἡ τῶν πρεσβυτέρων; ἀλλ' οὐδὲ γηροτροφηθῆναι οὐδ' ἐν ἐλευθέρῳ ἐδάφει τῆς πατρίδος αὐτοῖς ταφῆναι τὸ καθ' αὑτὸν μέρος παρέδωκεν. Ἀλλ' ἡ τῶν νεωτέρων; καὶ τίς ἂν ἀναμνησθεὶς τῶν ἡλικιωτῶν τῶν ἐν Χαιρωνείᾳ ἑαυτοῖς συμπαραταξαμένων καὶ τῶν κινδύνων τῶν αὐτῶν μετασχόντων σώσειε τὸν τὰς ἐκείνων θήκας προδεδωκότα, καὶ τῇ αὐτῇ ψήφῳ τῶν μὲν ὑπὲρ τῆς ἐλευθερίας τελευτησάντων παρανοίας καταγνοίη, τὸν δ' ἐγκαταλιπόντα τὴν πατρίδα ὡς εὖ φρονοῦντα ἀθῷον ἀφήσει; (145) Ἐξουσίαν ἄρα δώσετε τῷ βουλομένῳ καὶ λόγῳ καὶ ἔργῳ τὸν δῆμον καὶ ὑμᾶς κακῶς ποιεῖν. Οὐ γὰρ μόνον νῦν οἱ φεύγοντες κατέρχονται, ὅταν ὁ ἐγκαταλιπὼν τὴν πόλιν καὶ φυγὴν αὐτὸς ἑαυτοῦ καταγνοὺς καὶ οἰκήσας ἐν Μεγάροις ἐπὶ προστάτου πλείω πέντ' ἢ ἓξ ἔτη ἐν τῇ χώρᾳ καὶ ἐν τῇ πόλει ἀναστρέφηται, ἀλλὰ καὶ ὁ μηλόβοτον τὴν Ἀττικὴν εἶναι φανερᾷ τῇ ψήφῳ καταψηφισάμενος, οὗτος ἐν ταύτῃ τῇ χώρᾳ σύνοικος ὑμῶν γενήσεται.

146. Βούλομαι δ' ἔτι βραχέα πρὸς ὑμᾶς εἰπὼν καταβῆναι καὶ τὸ ψήφισμα τοῦ δήμου παρασχόμενος ὃ περὶ εὐσεβείας ἐποιήσατο· χρήσιμον γὰρ ὑμῖν ἐστι τοῖς μέλλουσι τὴν ψῆφον φέρειν. Καί μοι λέγε αὐτό.

cantes, pium esse et sanctum hoc facere, ut quotquot periculi consortes fuerint, ante conspectum constituti et visi vobisque ad memoriam revocantes quod publica apud omnes misericordia digni habiti non fuissent, acerbiores in delinquentem judicum sententias redderent. Quandoquiden: autem non est legibus constitutum neque consuetum ut istud fiat, sed necessarium est ut vos pro illis judicio fungamini, supplicio itaque simulatque affeceritis Leocratem atque occideritis ipsum, denuntiate vestris propriis liberis atque uxoribus, quod deprehensum atque captum proditorem ipsorum affeceritis supplicio. (142) Ac sane horrendum est et miserum, si existimet Leocrates eundem debere habere et locum et honorem transfugam cum iis qui in urbe remanserint, et eum qui non subierit pericula cum iis qui sese hosti opposuerunt, et eum qui non conservarit urbem cum iis qui tutati sint; sed venit jam sacrorum, fori, legum, reipublicæ status futurus socius, pro quibus omnibus ne dissiparentur mille vestrorum civium in Chæronea sunt desiderati ac publice eos civitas sepulturæ mandavit. Quorum iste ne elegiaca quidem carmina inscripta monumentis eorum reversus in urbem reveritus est, sed adeo impudenter adhuc ante ora illorum, qui horum calamitates luxere, putat oportere sese versari. (143) Ac valde vos rogabit actutum, ut audiatis ipsum defensionem sui facturum juxta leges. Vos autem quærite ex ipso, qualesnam? Quas solus deserens abiit. Rogabit ut sinatis ipsum morari in mœnibus patriæ; in quibusnam? In iis quæ cum civibus non asservavit. Et invocabit deos servaturos ipsum e periculis? quosnam? nonne quorum delubra et sedes et lucos prodidit? Et precabitur et supplicabit, ut misericordiam sibi impertiant! Quibus vero supplicabit? nonne iis, cum quibus symbolam ad salutem conferre noluerit? Rhodiis supplicet : securitatem enim in ipsorum urbe potius quam in sua ipsius patria esse censuit. (144) Qualis autem ætas hujus jure misereatur? natune grandiorum? At neque ut in senio suo alerentur neque in libero patriæ solo tumularentur quantum in ipso fuit concessit. At natu minorum? Ecquis revocatis ad memoriam æqualibus, qui in Chæronea secum hostibus se opposuerunt atque eadem pericula participarunt, servaverit hunc qui sepulcra eorum prodiderit, atque eodem judicio eos, qui pro libertate oppetierunt mortem, dementiæ condemnaverit, deserentem vero patriam, ceu bene affectum recteque sentientem, innocentem dimittet? (145) Potestatem ergo dabitis volenti et verbo et opere tum populo tum vobis malefaciendi. Non enim transfugæ solum nunc redibunt, quando is qui patriam deseruit ac quum ipse se suo suffragio exilio mulctasset, Megaris habitavit sub patrono constitutus ultra quinque aut sex annos, in terra hac et urbe versetur; verum etiam qui solitudinem pecoribus relinquendam Atticam esse aperto suo suffragio voluit, hic in hac regione vicinus noster nobis cohabitabit.

146. Dehinc ubi pauca quædam ad vos dixero, descendere volo, atque ubi decretum populi quod de pietate fecit exhibuero : commodum enim id vobis est sententiam laturis. Recita ergo mihi id decretum.

ΨΗΦΙΣΜΑ.

Ἐγὼ τοίνυν μηνύω τὸν ἀφανίζοντα ταῦτα πάντα πρὸς ὑμᾶς τοὺς κυρίους ὄντας κολάσαι, ὑμέτερον δέ ἐστι καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσασθαι Λεωκράτην. Τὰ γὰρ ἀδικήματα, ἕως μὲν ἂν ᾖ ἄκριτα, παρὰ τοῖς πράξασίν ἐστιν, ἐπειδὰν δὲ κρίσις γένηται, παρὰ τοῖς μὴ δικαίως ἐπεξελθοῦσιν. Εὖ δὲ ἴστε, ὦ ἄνδρες, ὅτι νῦν κρύβδην ψηφιζόμενος ἕκαστος ὑμῶν φανερὰν ποιήσει τὴν αὑτοῦ διάνοιαν τοῖς θεοῖς. (147) Ἡγοῦμαι δέ, ὦ ἄνδρες, ὑπὲρ ἁπάντων τῶν μεγίστων καὶ δεινοτάτων ἀδικημάτων μίαν ὑμᾶς ψῆφον ἐν τῇ τήμερον ἡμέρᾳ φέρειν, οἷς ἅπασιν ἔνοχον ὄντα Λεωκράτην ἔστιν ἰδεῖν, προδοσίας μὲν ὅτι τὴν πόλιν ἐγκαταλιπὼν τοῖς πολεμίοις ὑποχείριον ἐποίησε, δήμου δὲ καταλύσεως ὅτι οὐχ ὑπέμεινε τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, ἀσεβείας δ' ὅτι τοῦ τὰ τεμένη τέμνεσθαι καὶ τοὺς νεὼς
169 κατασκάπτεσθαι τὸ καθ' ἑαυτὸν γέγονεν αἴτιος, τοκέων δὲ κακώσεως τὰ μνημεῖα αὐτῶν ἀφανίζων καὶ τῶν νομίμων ἀποστερῶν, λιποταξίου δὲ καὶ ἀστρατείας οὐ παρασχὼν τὸ σῶμα τάξαι τοῖς στρατηγοῖς. (148) Ἔπειτα τούτου τις ἀποψηφιεῖται καὶ συγγνώμην ἕξει τῶν κατὰ προαίρεσιν ἀδικημάτων; καὶ τοσοῦτόν ἐστιν ἀνόητος ὥστε τοῦτον σώζων τὴν ἑαυτοῦ σωτηρίαν προέσθαι τοῖς ἐγκαταλιπεῖν βουλομένοις, καὶ τοῦτον ἐλεήσας αὐτὸς ἀνελέητος ὑπὸ τῶν πολεμίων ἀπολέσθαι προαιρήσεται, καὶ τῷ προδότῃ τῆς πατρίδος χάριν θέμενος ὑπεύθυνος εἶναι τῇ παρὰ τῶν θεῶν τιμωρίᾳ;

149. Ἐγὼ μὲν οὖν καὶ τῇ πατρίδι βοηθῶν καὶ τοῖς ἱεροῖς καὶ τοῖς νόμοις ἀποδέδωκα τὸν ἀγῶνα ὀρθῶς καὶ δικαίως, οὔτε τὸν ἄλλον τούτου βίον διαβαλὼν οὔτ' ἔξω τοῦ πράγματος οὐδὲν κατηγορήσας· ὑμῶν δ' ἕκαστον χρὴ νομίζειν τὸν Λεωκράτους ἀποψηφιζόμενον θάνατον τῆς πατρίδος καὶ ἀνδραποδισμὸν καταψηφίζεσθαι, καὶ δυοῖν καδίσκοιν κειμένοιν τὸν μὲν προδοσίας, τὸν δὲ σωτηρίας εἶναι, καὶ τὰς ψήφους φέρεσθαι τὰς μὲν ὑπὲρ ἀναστάσεως τῆς πατρίδος, τὰς δὲ ὑπὲρ ἀσφαλείας καὶ τῆς ἐν τῇ πόλει εὐδαιμονίας. (150) Ἐὰν μὲν Λεωκράτην ἀπολύσητε, προδιδόναι τὴν πόλιν καὶ τὰ ἱερὰ καὶ τὰς ναῦς ψηφιεῖσθε· ἐὰν δὲ τοῦτον ἀποκτείνητε, διαφυλάττειν καὶ σώζειν τὴν πατρίδα καὶ τὰς προσόδους καὶ τὴν εὐδαιμονίαν παρακελεύσεσθε. Νομίζοντες οὖν, ὦ Ἀθηναῖοι, ἱκετεύειν ὑμῶν τὴν χώραν καὶ τὰ δένδρα, δεῖσθαι τοὺς λιμένας τὰ νεώρια καὶ τὰ τείχη τῆς πόλεως, ἀξιοῦν δὲ καὶ τοὺς νεὼς καὶ τὰ ἱερὰ βοηθεῖν αὐτοῖς, παράδειγμα ποιήσατε Λεωκράτην, ἀναμνησθέντες τῶν κατηγορουμένων, ὅτι οὐ πλέον ἰσχύει παρ' ὑμῖν ἔλεος οὐδὲ δάκρυα τῆς ὑπὲρ τῶν νόμων καὶ τοῦ δήμου σωτηρίας.

DECRETUM.

Ego igitur ad vos defero qui estis domini judicii, ut istum qui hæc omnia delevit puniatis; vestrum autem est et vestro nomine ac deorum supplicio afficere Leocratem. Delicta enim, dum non judicata fuerint, apud auctores suos manent; simulac vero de iis judicium factum fuerit, apud eos manent qui non jure illa ipsa ulciscuntur. Bene autem novistis, judices, quod quamvis clanculum unusquisque vestrûm suffragium laturus sit, perspicuam tamen sententiam suam faciet diis. (147) Arbitror autem, viri, de omnibus maximis et gravissimis delictis unam vos sententiam hodierno die laturos esse, quibus omnibus Leocratem esse obnoxium licet videre, de proditione quidem quod deserens urbem hostibus subjecerit, de populi autem dissolutione quia non sustinuit pro libertate periculum, de impietate quia ut luci desecarentur delubraque suffoderentur quantum in ipso fuit auctor exstitit, de parentum autem afflictione quod monumenta ipsorum obscurarit et legitimis ea privarit ceremoniis, de desertione aciei et ignavia in militia quippe qui corpus suum non obtulerit ordinandum imperatoribus. (148) Quis ergo ab his absolvet istum? quis ignoscet flagitiis hisce e proposito commissis? ecquis adeo est mentis expers, ut hunc servans salutem suam prodat desertoribus patriæ? et ut hujus misertus ipse misericordiam nullam impetrans ab hostibus perire velit, proditorique patriæ gratificans obnoxius fieri divinæ vindictæ?

149. Ego itaque et patriæ opem ferens et sacris et legibus certamen hoc exhibui recte et juste, neque reliquam istius vitam calumnians neque extra rem quicquam accusans: vestrûm autem unumquemlibet oportet reputare eum qui Leocratem a morte liberat suffragio suo, patriam morti et servituti adjudicare, ac duabus suffragiorum urnis propositis, alteram quidem proditionis, alteram salutis causa calculos recipere, hos quidem pro desertione patriæ, illos vero pro securitate et felicitate urbis. (150) Si Leocratem absolveritis, proditionem urbis et sacrorum et navium decreto vestro sancietis: sin hunc occideritis, ad custodiendam conservandamque patriam et vectigalia et felicitatem adhortabimini. Arbitrantes igitur, Athenienses, supplicare vobis regionem et arbores, orare portus, navalia et mœnia urbis, contendere denique etiam templa et delubra deorum ut sibi opitulemini, in exemplum aliis statuite Leocratem, recordati ea quæ accusavimus, et quod non pluris valeat apud vos misericordia neque lacrimæ, quam in qua leges et populus conservantur, salus.

ΑΙΣΧΙΝΗΣ.

I.

ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.

(17—27)

ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι πολεμήσαντες πρὸς Φίλιππον τὸν Ὀλυνθιακὸν πόλεμον, ὕστερον δόξαν αὐτοῖς εἰρήνην ἐποιήσαντο πρὸς Φίλιππον, καὶ συμμαχίαν αὐτῷ καὶ τοῖς ἐγγόνοις ψηφισάμενοι ἔπεμψαν πρὸς αὐτὸν δέκα πρέσβεις τοὺς ἀποληψομένους παρ' αὐτοῦ τοὺς ὅρκους, ἐν οἷς ἦσαν Δημοσθένης τε καὶ Αἰσχίνης. Ἐπανηκούσης δὲ τῆς πρεσβείας γράφονται παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε ὁ ῥήτωρ καὶ Τίμαρχος Ἀριζήλου Σφήττιος, διάσημος ὢν ἐν τῇ πολιτείᾳ καὶ δημηγορῶν καὶ πλέον ἢ ἑκατὸν ψηφίσματα γεγραφώς. Ἐτύγχανε δὲ νεωστὶ γεγραφὼς ψήφισμα βουλεύων, τὸν ἐκφέροντα ὅπλα πρὸς Φίλιππον θανάτῳ ζημιοῦσθαι. Ἀποτεθείσης οὖν τῆς γραφῆς, πρὶν τὸν ἀγῶνα εἰσελθεῖν, ἐγράψατο Αἰσχίνης τὸν Τίμαρχον ὡς δημηγοροῦντα παρὰ τοὺς νόμους· οὐκ ἐξεῖναι γὰρ αὐτῷ δημηγορεῖν ἡταιρηκότι. Ἔνιοι μὲν οὖν φασιν ὡς ἀπήγξατο ὁ Τίμαρχος, τὴν κρίσιν οὐχ ὑπομείνας, οἱ δὲ ὅτι ἁλοὺς ἠτιμώθη, ὡς Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας. Οὕτω δὲ περιβόητον τὸ πρᾶγμα ἐγένετο, ὥστε ἀπὸ τῆς κρίσεως ταύτης τοὺς πόρνους τὸ λοιπὸν ἐκάλουν Τιμάρχους. Τὸ δὲ προοίμιόν ἐστι τραγικώτερον· ἐν αὐτῷ δὲ διασυστήσας ἑαυτὸν μέτριον, ἵνα εὔνοιαν ἐπισπάσηται, καὶ τὸν Τίμαρχον διαβαλών, καὶ περὶ τῆς πολιτείας εἰπών, μεταβαίνει ἐπὶ κεφάλαια οὐ τῆς ὑποθέσεως ἴδια, ἀλλὰ κοινὰ κατὰ πάντων τῶν ἑταιρήσεως κρινομένων. Ἔστι δὲ τάδε· εἰ καλῶς καὶ ἀκριβῶς τοὺς νόμους ἔθεντο οἱ παλαιοὶ τοὺς περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ μειρακίων καὶ τῶν ἄλλων ἡλικιῶν· εἰ ὀρθῶς ἀπεῖπον τοῖς ἡταιρηκόσι μὴ δημηγορεῖν, καὶ ἑξῆς εἰ παρὰ τοὺς νόμους δημηγορεῖ Τίμαρχος ἡταιρηκώς· ἐν ᾧ, εἰ ἔνοχος τῇ γραφῇ ἑταιρήσας· εἰ παρὰ Μισγόλᾳ ἡταίρησε μισθοῦ περὶ τὰ τοιαῦτα ὄντι δεινῷ· εἰ παρὰ Ἀντικλεῖ: εἰ ἐν τῷ κυβευτηρίῳ διατρίβων καὶ κυβεύων ἀνελήφθη ὑπὸ Πιτταλάκου, δημοσίου δούλου τῆς πόλεως, καὶ παρ' αὐτῷ διέτριψεν ἑταιρῶν· εἰ παρὰ Ἡγησάνδρῳ τῷ Τιμομάχου ταμίᾳ διέτριψε χρόνον ἑταιρῶν.

ΑΛΛΩΣ. Τοῦτον τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου. Ἦν δὲ ὁ Τίμαρχος τῶν ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν τὸν Αἰσχίνην σεσυκοφαντηκώς. Νόμοι δέ εἰσι περὶ τῶν ῥητόρων κείμενοι, οὕστινας χρὴ εἴργεσθαι τοῦ λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκότας, τοὺς ἡταιρηκότας· εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥστε δοκιμάζεσθαι εἰ ἐπιτήδειοί εἰσι λέγειν. Δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε καὶ ὅτι τὰ πατρῷα κατεδήδοκε, περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ πλέον τῆς κατηγορίας διὰ ταύτην ἐστί. Φαίνεται δὲ νενικηκὼς τὸν ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. Δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας γράφεσθαι.

1 Οὐδένα πώποτε τῶν πολιτῶν, ὦ Ἀθηναῖοι, οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας, ἀλλ' ὡς ἔγωγε νομίζω μέτριον ἐμαυτὸν πρὸς ἕκαστα τούτων παρεσχηκώς, ὁρῶν δὲ τήν τε πόλιν μεγάλα βλαπτο-

I.

CONTRA TIMARCHUM.

ARGUMENTUM.

Quum Atheniensibus post bellum Olynthiacum visum esset pacem cum Philippo facere, societate ipsi et posteris ejus decreta, decem ad eum legatos, inter quos Æschines etiam et Demosthenes fuerunt, exigendi jurisjurandi gratia miserunt. Reversa legatione, Demosthenes orator, et Timarchus Arizeli F. Sphettius, vir in republica illustris, et conciones habere solitus, quique supra centum decreta scripserat, Æschinem perperam obitæ legationis reum faciunt. Recens autem senatusconsultum promulgarat, ut is qui ad Philippum arma veheret, capite plecteretur. Actione porro ad prætorem relata, antequam in judicium ventum esset, Æschines Timarchum accusavit, ut qui contra legum edictum conciones haberet: neque enim fas esse ei habere conciones, quum pudicitiam prostituerit. Itaque alii dicunt, Timarchum laqueo sibi necem conscivisse, non exspectato judicio: alii, condemnatum atque infamia notatum esse, ut Demosthenes in oratione Falsæ legationis. Res autem hæc ita celebrata est, ut ab hoc judicio homines impudicos Timarchos appellarent. Exordium vehementius est, in quo et sua modestia commendata, captandæ benevolentiæ causa, et Timarcho in odium adducto, et disputatione de republica absoluta, transit ad capita, non propria causæ, sed communia in omnes eos, qui prostitutæ pudicitiæ accusantur. Sunt autem hæc: an veteres recte et accurate leges de modestia puerorum et adolescentum ceterarumque ætatum tulerint: an effeminatis recte interdixerint concionibus: et, an Timarchus, qui pudicitiam prostituerit, contra legum interdictum concionetur: in quo illud etiam inest, utrum Timarchus impudicitiæ crimen in sese, ut accusetur, admiserit: item, an apud Misgolam in hoc genere exercitatum, quæstum corpore fecerit: an apud Anticlem in ganeo versans, et alea ludens, receptus sit a Pittalaco ministro publico: et apud illum, atque etiam apud Hegesandrum Timomachi quæstorem, pro scorto ad tempus se gesserit.

ALITER. Censoria est hæc Æschinis in Timarchum oratio, hominem oratorem et calumniatorem suum. Sunt autem latæ leges de oratoribus, qui sint a concionibus repellendi: velut ii, qui patrimonium profuderunt: qui pudicitiam prostituerunt: qui nisi iis legibus paruerint, cuivis licere judicio in eorum mores inquirere, utrum sint tales, ut ad populum verba facere possint. Quum autem duarum rerum Æschines Timarchum criminaretur, et pudicitiæ prostitutæ, et absumpti per luxum patrimonii, oratio de impudicitia inscribitur, quod major ejus pars in eo crimine tractando consumitur. Vicit autem causam hanc, ut ex affirmatione veterum constat. Orationes vero post actas causas mihi esse scriptæ videntur.

Ego, judices, nulli civium unquam vel in judicio periculum creavi, vel in referendis rationibus molestus fui, sed, ut mihi persuadeo, moderate me in rebus hujusmodi gessi: verum quum et rempublicam graviter a Timarcho

μένην ὑπὸ Τιμάρχου τουτουὶ δημηγοροῦντος παρὰ τοὺς νόμους καὶ αὐτὸς ἰδίᾳ συκοφαντούμενος (ὃν δὲ τρόπον, ἐπιδείξω προϊόντος τοῦ λόγου), (2) ἕν τι τῶν αἰσχίστων ἡγησάμην εἶναι μὴ βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ, εἰδὼς δ' αὐτὸν ἔνοχον ὄντα οἷς ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινώσκοντος τοῦ γραμματέως, ἐπήγγειλα αὐτῷ τὴν δοκιμασίαν ταυτηνί. Καὶ ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, οἱ εἰωθότες λόγοι λέγεσθαι ἐν τοῖς δημοσίοις ἀγῶσιν οὐκ εἰσὶ ψευδεῖς· αἱ γὰρ ἴδιαι ἔχθραι πολλὰ πάνυ τῶν κοινῶν ἐπανορθοῦνται. (3) Τοῦ μὲν οὖν ὅλου ἀγῶνος φανήσεται οὔθ' ἡ πόλις αἰτία οὖσα Τιμάρχῳ οὔθ' οἱ νόμοι οὔθ' ὑμεῖς οὔτ' ἐγώ, ἀλλ' αὐτὸς οὗτος αὑτῷ. Οἱ μὲν γὰρ νόμοι προεῖπον αὐτῷ αἰσχρῶς βεβιωκότι μὴ δημηγορεῖν, ἐπίταγμα, ὥς γε δὴ ἐγὼ κρίνω, οὐ χαλεπὸν ἐπιτάξαντες, ἀλλὰ καὶ πάνυ ῥᾴδιον· ἐμὲ δ' ἐξῆν αὐτῷ, εἰ ἐσωφρόνει, μὴ συκοφαντεῖν. Περὶ μὲν οὖν τούτων μετρίως ἐλπίζω μοι προειρῆσθαι.

4. Οὐκ ἀγνοῶ δὲ ὅτι ἃ μέλλω ἐν πρώτοις λέγειν φανεῖσθε καὶ ἑτέρων ἤδη πρότερον ἀκηκοότες· ἀλλά μοι δοκεῖ καιρὸς εἶναι καὶ ἐμὲ νῦν πρὸς ὑμᾶς τῷ αὐτῷ λόγῳ τούτῳ χρήσασθαι. Ὁμολογοῦνται γὰρ τρεῖς εἶναι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. (5) Εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τὰ μὲν τῶν δημοκρατουμένων σώματα καὶ τὴν πολιτείαν οἱ νόμοι σῴζουσι, τὰ δὲ τῶν τυράννων καὶ ὀλιγαρχικῶν ἀπιστία καὶ ἡ μετὰ τῶν ὅπλων φρουρά. Φυλακτέον δὴ τοῖς μὲν ὀλιγαρχικοῖς καὶ τοῖς τὴν ἄνισον πολιτείαν πολιτευομένοις τοὺς ἐν χειρῶν νόμῳ τὰς πολιτείας καταλύοντας, ὑμῖν δὲ τοῖς τὴν ἴσην καὶ ἔννομον πολιτείαν ἔχουσι τοὺς παρὰ τοὺς νόμους ἢ λέγοντας ἢ βεβιωκότας· ἐντεῦθεν γὰρ ἰσχύσετε, ὅταν εὐνομῆσθε καὶ μὴ καταλύησθε ὑπὸ τῶν παρανομούντων καὶ ἀσελγῶς βιούντων. (6) Προσήκειν δὲ ἔγωγε νομίζω, ὅταν μὲν νομοθετῶμεν, τοῦθ' ἡμᾶς σκοπεῖν, ὅπως καλῶς ἔχοντας καὶ συμφέροντας νόμους τῇ πόλει θησόμεθα, ἐπειδὰν δὲ νομοθετήσωμεν, τοῖς νόμοις τοῖς κειμένοις πείθεσθαι, τοὺς δὲ μὴ πειθομένους κολάζειν, εἰ δεῖ τὰ τῆς πόλεως καλῶς ἔχειν. Σκέψασθε γάρ, ὦ Ἀθηναῖοι, ὅσην πρόνοιαν περὶ σωφροσύνης ἐποιήσατο ὁ Σόλων ἐκεῖνος, ὁ παλαιὸς νομοθέτης, καὶ ὁ Δράκων καὶ οἱ κατὰ τοὺς χρόνους ἐκείνους νομοθέται. (7) Πρῶτον μὲν γὰρ ἐνομοθέτησαν περὶ τῆς σωφροσύνης τῶν παίδων τῶν ἡμετέρων, καὶ διαρρήδην ἀπέδειξαν
2 ἃ χρὴ τὸν παῖδα τὸν ἐλεύθερον ἐπιτηδεύειν καὶ ὡς δεῖ αὐτὸν τραφῆναι, ἔπειτα δεύτερον περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς περὶ τῶν ἄλλων ἡλικιῶν, οὐ μόνον περὶ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ περὶ τῶν ῥητόρων. Καὶ τούτους τοὺς νόμους ἀναγράψαντες ὑμῖν παρακατέθεντο, καὶ ὑμᾶς αὐτῶν ἐπέστησαν φύλακας. (8) Βούλομαι δὴ καὶ ἐγὼ νυνὶ πρὸς ὑμᾶς τὸν αὐτὸν τρόπον χρήσασθαι τῷ λόγῳ ὅνπερ τοῖς νόμοις ὁ νομοθέτης· πρῶτον μὲν γὰρ διέξειμι πρὸς ὑμᾶς τοὺς νόμους οἳ κεῖνται περὶ τῆς εὐ-

lædi, contra leges habente conciones, viderem, et privatim ab eo calumniis agitarer (quo autem pacto, in orationis progressu ostendam): (2) turpissimum facinus fore duxi, si nec universæ civitati, nec legibus, nec vobis, nec mihi ipsi opitularer. Quum autem iis eum teneri legibus scirem, quæ paullo ante scriba recitante audivistis, hoc eum censorio judicio reum feci. Omnino enim, Athenienses, ea quæ in publicis causis dici solent de privatis inimicitiis, non vana sunt; nam per eas multa reipublicæ incommoda depelluntur. (3) Neque vero totius hujus actionis culpam vel civitati, vel legibus, vel vobis, vel mihi Timarchus ascribere potest, sed sibimet ipsi tantum. Leges enim ei denunciarunt, quum flagitiose vixisset, ne conciones haberet; atque id ei edixerunt quod meo judicio ferre graviter non potest, sed id quod omnibus facile est: licuit etiam ei non lacessere me per calumniam, si sapuisset. Ac de his satis me præfatum esse arbitror.

4. Non autem ignoro, Athenienses, ea quæ principio dicturus sum, ex aliis etiam ante vos audisse: sed tamen res postulare videtur, ut eadem et ipse utar oratione. Constat inter omnes, tres esse formas rerumpublicarum, principatum unius, potestatem paucorum, et populare imperium. Ac duo priora genera eorum arbitratu reguntur, qui rerum potiuntur: liberæ autem civitates, usitatis legibus. (5) Satis autem scitis, Athenienses, populi vitam et libertatem conservari legibus, principum et paucorum, diffidentia et armorum præsidiis. Paucis igitur, atque iis qui republica inæquali utuntur, ii sunt cavendi, qui manu et vi respublicas evertunt: vos autem decet, qui æqualem et legibus fundatam rempublicam habetis, in eos qui contra quam leges jubent, aut dixerint aut vixerint, animadvertere. Nam vires in eo vestræ sunt, si leges tueamini, neque libertatis periculum adeatis a legum violatoribus et turpis vitæ hominibus. (6) Equidem illud existimo in sanciendis legibus spectandum esse nobis, ut eæ justæ atque e republica sint: ubi autem eas sciverimus, legibus sancitis ut pareamus, et contumaces puniamus, si modo rempublicam incolumem et florentem esse volumus. Considerate, Athenienses, quantam modestiæ rationem habuerit Solo antiquus ille, et Draco, ceterique illius ætatis legumlatores. (7) Primum enim leges de liberorum nostrorum disciplina tulerunt, planeque demonstrarunt, quæ puer ingenuus studia sequi debeat, utque sit educandus: secundo loco de adolescentibus, ac deinceps de reliquis ætatibus; neque vero ad plebeios duntaxat homines, sed etiam ad oratores hæc pertinere voluerunt. Et has leges in litteras relatas apud vos deposuerunt, earumque custodiæ vos præfecerunt. (8) Quem igitur legum ordinem est secutus legislator, eundem et ipse præscribam orationi meæ. Primum enim eas leges exponam vobis, quæ de puerorum vestrorum, deinde eas quæ de adolescentum, postremo eas quæ de reliquarum

κοσμίας τῶν παίδων τῶν ὑμετέρων, ἔπειτα δεύτερον τοὺς περὶ τῶν μειρακίων, τρίτον δ' ἐφεξῆς τοὺς περὶ τῶν ἄλλων ἡλικιῶν. Οὕτω γὰρ ἄν μοι μάλιστα ὑπολαμβάνω τοὺς λόγους εὐμαθεῖς γενέσθαι. Ἅμα δὲ καὶ βούλομαι, ὦ Ἀθηναῖοι, προδιεξελθεῖν πρῶτον πρὸς ὑμᾶς ὡς ἔχουσιν οἱ νόμοι, πάλιν δὲ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοὺς Τιμάρχου· εὑρήσετε γὰρ αὐτὸν ἐναντίως ἅπασι τοῖς νόμοις βεβιωκότα.

9. Ὁ γὰρ νομοθέτης πρῶτον μὲν τοῖς διδασκάλοις, οἷς ἐξ ἀνάγκης παρακατατιθέμεθα τοὺς ἡμετέρους αὐτῶν παῖδας, οἷς ἐστιν ὁ μὲν βίος ἀπὸ τοῦ σωφρονεῖν, ἡ δ' ἀπορία ἐκ τῶν ἐναντίων, ὅμως ἀπιστῶν φαίνεται, καὶ διαρρήδην ἀποδείκνυσι πρῶτον μὲν ἣν ὥραν προσήκει ἰέναι τὸν παῖδα τὸν ἐλεύθερον εἰς τὸ διδασκαλεῖον, ἔπειτα μετὰ πόσων παίδων εἰσιέναι καὶ πηνίκα ἀπιέναι, (10) καὶ τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει μὴ πρότερον πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλείειν δὲ προστάττει πρὸ ἡλίου δεδυκότος, τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος· καὶ τοὺς νεανίσκους τοὺς εἰσφοιτῶντας οὕστινας δεῖ εἶναι καὶ ἅστινας ἡλικίας ἔχοντας, καὶ ἀρχὴν ἥτις ἔσται ἡ τούτων ἐπιμελησομένη, καὶ περὶ παιδαγωγῶν ἐπιμελείας καὶ περὶ Μουσείων ἐν τοῖς διδασκαλείοις καὶ περὶ Ἑρμαίων ἐν ταῖς παλαίστραις, καὶ τὸ τελευταῖον περὶ τῆς συμφοιτήσεως τῶν παίδων καὶ τῶν χορῶν τῶν ἐγκυκλίων· (11) κελεύει γὰρ τὸν χορηγὸν τὸν μέλλοντα τὴν οὐσίαν τὴν ἑαυτοῦ ἀναλίσκειν ὑπὲρ τετταράκοντα ἔτη γεγονότα τοῦτο πράττειν, ἵν' ἤδη ἐν τῇ σωφρονεστάτῃ αὑτοῦ ἡλικίᾳ ὤν, οὕτως ἐντυγχάνῃ τοῖς ὑμετέροις παισίν. Ἀναγνώσεται οὖν ὑμῖν τούτους τοὺς νόμους ὁ γραμματεύς, ἵν' εἰδῆτε ὅτι ὁ νομοθέτης ἡγήσατο τὸν καλῶς τραφέντα παῖδα ἄνδρα γενόμενον χρήσιμον ἔσεσθαι τῇ πόλει· ὅταν δ' ἡ φύσις τοῦ ἀνθρώπου εὐθὺς πονηρὰν ἀρχὴν λάβῃ τῆς παιδείας, ἐκ τῶν κακῶς τεθραμμένων παίδων παραπλησίους ἡγήσατο πολίτας ἔσεσθαι Τιμάρχῳ τουτῳί. Λέγε δ' αὐτοῖς τοὺς νόμους τούτους.

ætatum disciplina sunt latæ. Sic enim orationem meam arbitror maxime perspicuam fore. Simul etiam disseram, Athenienses, quid edicant leges, et rursus post hoc Timarchi mores cum iis conferam. Eum enim egisse vitam legibus omnibus contrariam reperietis.

9. Legislator primum ludimagistris, quorum fidei liberos nostros necessario committimus, quorumque vita in temperantia sita est, inopia vero in contrariis rebus, tamen diffidit: ac plane definit, qua hora puerum ingenuum in ludum ire deceat, deinde, cum quot pueris ingredi, et quando abire: (10) ac præceptores ludos, pædotribas aperire palæstras vetat ante solis ortum, et claudere jubet ante occasum, ut qui solitudinem et tenebras maxime suspectas habeat: edicit item, adolescentulos ea loca frequentantes, quales esse oporteat, et qua ætate, et qui magistratus eorum habere curam debeat: et de pædagogorum diligentia, et de Museis ludorum, et de Hermæis palæstrarum, denique de congressibus puerorum choreisque. (11) Jubet enim ædilem, qui suis sumptibus vestris servire commodis studeat, id facere, ubi quadragesimum ætatis annum excesserit, ut is in sobria et severa jam ætate positus liberos vestros accedat. Has igitur leges scriba vobis recitabit, ut sciatis, existimasse legislatorem, puerum recte educatum, virili ætate utilem fore civitati: si autem hominis ingenium malum disciplinæ initium ceperit, male institutos pueros in viros evasuros Timarcho similes censuisse. Recita leges has.

12. ΝΟΜΟΙ. [Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος. Καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφὸς ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ, θανάτῳ ζημιούσθω. Καὶ οἱ γυμνασιάρχαι τοῖς Ἑρμαίοις μὴ ἐάτωσαν συγκαθιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. Οἱ δὲ χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.]

12. LEGES. [Puerorum magistri ludos ante solis ortum ne aperiunto, et ante occasum iterum claudunto. Neque fas esto iis qui puerilem ætatem excesserunt eo ingredi, dum pueri sunt intus, præter filium magistri aut fratrem aut generum: his exceptis si quis fuerit ingressus, capite mulctator. Et gymnasiarchæ Mercurialibus nullo modo quenquam adultum ingredi cum pueris sinunto: sin permiserit neque gymnasio excluserit, teneatur gymnasiarcha lege de corruptela ingenuorum puerorum. Choragi autem qui a populo constituuntur annum ætatis quadragesimum excessisse debent.]

13. Μετὰ ταῦτα τοίνυν, ὦ Ἀθηναῖοι, νομοθετεῖ περὶ ἀδικημάτων μεγάλων μέν, γινομένων δ' οἶμαι ἐν τῇ πόλει· ἐκ γὰρ τοῦ πράττεσθαί τινα ὧν οὐ προσῆκεν, ἐκ τούτου τοὺς νόμους ἔθηκαν οἱ παλαιοί. Διαρρήδην γοῦν λέγει ὁ νόμος, ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὰς ἑταιρήσεως εἶναι, κατὰ δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δὲ ὅτι, φησίν, ἐμισθώσατο. Καὶ ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ πεποίηκε, καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβήσαντι τρέφειν τὸν πατέρα μηδὲ οἴκησιν παρέχειν, ὃς ἂν ἐκμισθωθῇ ἑταιρεῖν· ἀποθανόντα δὲ αὐτὸν θαπτέτω καὶ τἆλλα ποιείτω τὰ νομιζόμενα. (14) Σκέψασθε δὴ ὡς καλῶς, ὦ Ἀθηναῖοι· ζῶντος μὲν αὐτοῦ ἀφαιρεῖται τὴν ὄνησιν τῆς παιδοποιίας, ὥσπερ ἐκεῖνος τοῦ παιδὸς τὴν παρρησίαν, τελευτήσαντα δὲ αὐτόν, ἡνίκα ὁ μὲν εὐεργετούμενος οὐκ αἰσθάνεται ὧν εὖ πάσχει, τιμᾶται δὲ ὁ νόμος καὶ τὸ θεῖον, θάπτειν ἤδη κελεύει καὶ τἆλλα ποιεῖν τὰ νομιζόμενα. Καὶ τίνα ἕτερον νόμον ἔθηκε φύλακα τῶν ἡμετέρων παίδων; τὸν τῆς προαγωγείας, τὰ μέγιστα ἐπιτίμια ἐπιγράψας ἐάν τις ἐλεύθερον παῖδα ἢ γυναῖκα προαγωγεύῃ. (15) Καὶ ποῖον ἄλλον; τὸν τῆς ὕβρεως, ὃς ἑνὶ κεφαλαίῳ ἅπαντα τὰ τοιαῦτα συλλαβὼν ἔχει· ἐν ᾧ διαρρήδην γέγραπται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα (ὑβρίζει δὲ δή που ὁ μισθούμενος) ἢ ἄνδρα ἢ γυναῖκα, ἢ τῶν ἐλευθέρων τινὰ ἢ τῶν δούλων, ἢ ἐὰν παράνομόν τι ποιῇ εἰς τούτων τινά, γραφὰς ὕβρεως εἶναι πεποίηκε καὶ τίμημα ἐπέθηκεν ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. Λέγε τὸν νόμον.

13. Post hæc, judices, edicit de injuriis, magnis illis quidem, sed tamen fieri scilicet in urbe nostra solitis. Nam ea de causa leges a majoribus sancitæ sunt, quod quædam contra quam deceat committuntur. Lex certe quidem aperte ait : si pater aut frater aut patruus aut tutor aut denique is cujus est auctoritas aliquem mercede prostituat, non licere puerum accusare, sed tam eum qui elocarit quam qui conduxerit, illum quod elocarit, hunc, inquit, quod conduxerit, et parem in utrumque pœnam statuit. Neque necessitatem imponit puero ubi adoleverit patrem alendi aut domicilio excipiendi, si fuerit ab eo ad turpem quæstum elocatus, defunctum tamen sepelire jubet ac cetera parentalia obire ut moris est. (14) Considerate, Athenienses, quam recte : viventi ei eripit fructum procreationis liberorum, quemadmodum ipse puero dicendi libertatem : defunctum tamen, quum is quidem qui beneficium accipit, non jam sentit commodum quo afficitur, legi vero et numini honos habetur, sepelire jubet, et cetera de more præstare. Jam quamnam aliam legem tulit, nostrorum liberorum custodem? Legem de lenocinio, maximis pœnis ascriptis, si quis ingenui pueri aut mulieris lenonem agat. (15) Et quam aliam? Legem contumeliæ, quæ uno capite quæ sunt hujus generis omnia complectitur; in qua plane scriptum habetur, si quis puero contumeliam fecerit — facit autem utique contumeliam qui conducit, — aut viro, aut mulieri, sive ingenuo sive servo, aut aliquid legibus interdictum in horum aliquem commiserit, in eum contumeliæ actionem dat lex, pœnamque definivit quid is pati debeat, aut solvere. Recita legem.

16. ΝΟΜΟΣ. [Ἄν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ, γραφέσθω ὁ κύριος τοῦ παιδὸς πρὸς τοὺς θεσμοθέτας, τίμημα ἐπιγραψάμενος. Ὧ ἂν τὸ δικαστήριον καταψηφισθῇ, παραδοθεὶς τοῖς ἕνδεκα τεθνάτω αὐθημερόν. Ἐὰν δὲ εἰς ἀργύριον καταψηφισθῇ, ἀποτισάτω ἐν ἕνδεκα ἡμέραις μετὰ τὴν δίκην, ἐὰν μὴ παραχρῆμα δύνηται ἀποτίνειν· ἕως δὲ τοῦ ἀποτῖσαι εἱρχθήτω. ἔνοχοι δὲ ἔστωσαν ταῖσδε ταῖς αἰτίαις καὶ οἱ εἰς τὰ οἰκετικὰ σώματα ἐξαμαρτάνοντες.]

16. LEX. [Si quis Atheniensis puero ingenuo contumeliam fecerit, is in cujus potestate puer est illum ad thesmothetas deferat, litis æstimatione in libello ascripta. Quodsi morte judicium eum condemnarit, undecimviris traditus eadem die perimatur : sin ei mulcta pecuniaria irrogata fuerit, intra dies undecim post judicium solvat, si statim solvere non potuerit; donec vero solverit, in carcere teneatur. Iisdem porro criminibus teneantur ii etiam qui servilia corpora violarint.]

17. Ἴσως ἂν οὖν τις θαυμάσειεν ἐξαίφνης ἀκούσας, τί δή ποτ' ἐν τῷ νόμῳ τῷ τῆς ὕβρεως προσεγράφη τοῦτο τὸ ῥῆμα, τὸ τῶν δούλων. Τοῦτο δὲ ἐὰν σκοπῆτε, ὦ Ἀθηναῖοι, εὑρήσετε ὅτι τοῦτο πάντων ἄριστα ἔχει· οὐ γὰρ περὶ τῶν οἰκετῶν ἐσπούδακεν ὁ νομοθέτης, ἀλλὰ βουλόμενος ὑμᾶς ἐθίσαι πολὺ ἀπέχειν τῆς τῶν ἐλευθέρων ὕβρεως προσέγραψε μηδ' εἰς τοὺς δούλους ὑβρίζειν. Ὅλως δὲ ἐν τῇ δημοκρατίᾳ τὸν εἰς ὀντινοῦν ὑβριστήν, τοῦτον οὐκ ἐπιτήδειον εἶναι ἡγήσατο συμπολιτεύεσθαι. (18) Κἀκεῖνο δέ μοι συνδιαμνημονεύσατε, ὦ Ἀθηναῖοι, ὅτι ἐνταῦθ' ὁ νομοθέτης οὔπω διαλέγεται

17. Fortassis autem aliquis statim miretur, qua de causa legi contumeliæ etiam servorum nomen sit ascriptum. Id vero si considerabitis, Athenienses, omnium rectissimum esse invenietis. Neque enim servi tantæ curæ fuerunt legislatori, sed quia nos consuefacere voluit, ut a contumelia ingenuorum magnopere nobis temperaremus, ascripsit, ne servis quidem contumeliam esse faciendam. Denique qui in libera civitate quemcunque contumelia afficeret, eum ad civilem consuetudinem minime idoneum judicavit. (18) Atque illud una mecum, Athenienses, memineritis velim, legislatorem hic nondum loqui cum puero, sed cum

αὐτῷ τῷ σώματι τοῦ παιδός, ἀλλὰ τοῖς περὶ τὸν παῖδα, πατρί, ἀδελφῷ, ἐπιτρόπῳ, διδασκάλοις καὶ ὅλως τοῖς κυρίοις· ἐπειδὰν δ' ἐγγραφῇ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ τοὺς νόμους γνῷ καὶ εἰδῇ τοὺς τῆς πόλεως καὶ ἤδη δύνηται διαλογίζεσθαι τὰ καλὰ καὶ τὰ μή, οὐκέτι ἑτέρῳ διαλέγεται, ἀλλ' ἤδη αὐτῷ. Καὶ πῶς λέγει; (19) Ἄν τις Ἀθηναίων, φησίν, ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, ὅτι οἶμαι στεφανηφόρος ἡ ἀρχή, μηδ' ἱερωσύνην ἱεράσασθαι, ὡς οὐδὲ καθαρῷ διαλέγεται τῷ στόματι, μηδὲ συνδικῆσαι, φησί, τῷ δημοσίῳ· μηδὲ ἀρξάτω ἀρχὴν μηδεμίαν μηδέποτε, μήτ' ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν· μηδὲ κηρυκευσάτω, μηδὲ πρεσβευσάτω, μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω, μηδὲ μισθωθεὶς συκοφαντείτω, (20) μηδὲ γνώμην εἰπάτω μηδέποτε μήτε ἐν τῇ βουλῇ μήτε ἐν τῷ δήμῳ, μηδ' ἂν δεινότατος ᾖ λέγειν. Ἐὰν δέ τις παρὰ ταῦτα πράττῃ, γραφὰς ἑταιρήσεως πεποίηκε καὶ τὰ μέγιστα ἐπιτίμια ἐπέθηκεν. Λέγε αὐτοῖς καὶ τοῦτον τὸν νόμον, ἵν' εἰδῆτε οἵων νόμων ἡμῖν κειμένων, ὡς καλῶν καὶ σωφρόνων, τετόλμηκε Τίμαρχος δημηγορεῖν ὁ τοιοῦτος τὸν τρόπον οἷον ὑμεῖς ἐπίστασθε.

NOMOΣ.

21. [Ἐάν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι μηδ' ἱεράσασθαι μηδὲ συνδικῆσαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτὴν μήτε χειροτονητήν, μηδ' ἐπὶ κηρυκείαν ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω,
4 μηδ' εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μηδ' ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς τῆς ἀγορᾶς τῶν περιρραντηρίων πορευέσθω. Ἐὰν δέ τις ταῦτα ποιῇ, καταγνωσθέντος αὐτοῦ ἑταιρεῖν θανάτῳ ζημιούσθω.]

22. Τοῦτον μὲν τὸν νόμον ἔθηκε περὶ τῶν μειρακίων τῶν προχείρως εἰς τὰ ἑαυτῶν σώματα ἐξαμαρτανόντων· οὓς δὲ ὀλίγῳ πρότερον ὑμῖν ἀνέγνω, περὶ τῶν παίδων· οὓς δὲ νυνὶ μέλλω λέγειν, περὶ τῶν ἄλλων Ἀθηναίων. Ἀπαλλαγεὶς γὰρ τῶν νόμων τούτων, ἐσκέψατο τίνα χρὴ τρόπον συλλεγομένους ἡμᾶς εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ τῶν σπουδαιοτάτων πραγμάτων. Καὶ πόθεν ἄρχεται; νόμοι, φησί, περὶ εὐκοσμίας. Ἀπὸ σωφροσύνης πρῶτον ἤρξατο, ὡς ὅπου πλείστη εὐκοσμία ἐστί, ταύτην ἄριστα τὴν πόλιν οἰκησομένην. (23) Καὶ πῶς δὲ κελεύει τοὺς προέδρους χρηματίζειν; ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται, προχειροτονεῖν κελεύει τοὺς προέδρους περὶ ἱερῶν τῶν πατρίων καὶ κήρυξι καὶ πρεσβείαις καὶ ὁσίων, καὶ μετὰ ταῦτα ἐπερωτᾷ ὁ κῆρυξ « Τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ

pueri necessariis, patre, fratribus, tutore, magistris, denique iis in quorum is potestate est : ubi autem in album civitatis inscriptus fuerit, et leges civitatis didicerit ac cognorit, et jam inter honesta et turpia discernere potuerit, non jam cum aliis agit, sed cum ipso. Quomodo autem dicit? (19) Si quis, inquit, Atheniensium corpore quæstum fecerit, ei non liceat in novem archontum numerum cooptari — eo fortasse quod coronam gestat is magistratus — : neque sacerdotio fungatur — ut qui ne ore quidem puro loquatur — : neque cum populo judicet : neque ullum magistratum unquam administrato, vel domi vel peregre, sive sortitione, sive suffragio mandari solitum : neque fecialem neque legatum agat, neque legatione functos accuset, aut calumnietur mercede conductus : (20) neque unquam sententiam dicat, vel in senatu, vel apud populum, tametsi eloquentissimus fuerit Atheniensium. Qui secus fecerit, eum impudicitiæ accusandi lex potestatem dedit, pœnasque gravissimas statuit. Recita et hanc legem, ut sciatis, quum tam pulcras et honestas leges habeamus, Timarchum fuisse ausum verba facere pro concione, quum iis moribus sit, quibus eum vos esse nostis.

LEX.

21. [Si quis Atheniensis se prostituerit, ei ne liceat in novem archontes cooptari, nec rem divinam facere, non cum populo judicare, nec ullo fungi magistratu sive domi sive peregre sive sortito sive suffragio mandari solito, neque fecialis mittatur, neque sententiam dicat, neque in publica fana ingrediatur, neque in festis solennibus de more coronam gestet, neque intra fori spatium aqua lustrali circumscriptum progrediatur : si quis autem hæc fecerit, impudicitiæ condemnatus, morte mulctetur.]

22. Hanc legem in adolescentulos tulit, qui facile in sua corpora nefas admittunt : quas autem paulo ante recitavi, eæ ad pueros pertinent : quas nunc dicturus sum, ad ceteros Athenienses. Absolutis enim his legibus, consideravit, quo pacto nos in concionem convenire, ac de rebus gravioribus deliberare deceat. Unde autem auspicatur? Leges, inquit, de disciplina. A modestia primum auspicatur : quasi, ubi optima disciplina sit, ibi civitatem maxime florere sit necesse. (23) Et quo pacto jubet præsides de publicis negotiis agere? Ubi lustralia circumgestata fuerint, et præco patria vota peregerit, in primis ad concionem referre jubet præsides de patriis sacris et caduceatoribus et legatis et publicis negotiis : deinde rogat præco, Quis eorum

πεντήκοντα ἔτη γεγονότων; » Ἐπειδὰν δὲ οὗτοι πάντες εἴπωσι, τότ' ἤδη κελεύει λέγειν τῶν ἄλλων Ἀθηναίων τὸν βουλόμενον, οἷς ἔξεστιν. (24) Σκέψασθε δὴ ὡς καλῶς, ὦ Ἀθηναῖοι. Οὐκ ἠγνόει, οἶμαι, ὁ νομοθέτης ὅτι οἱ πρεσβύτεροι τῷ μὲν εὖ φρονεῖν ἀκμάζουσιν, ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν διὰ τὴν ἐμπειρίαν τῶν πραγμάτων. Βουλόμενος δὴ συνεθίσαι τοὺς ἄριστα φρονοῦντας, τούτους ἐπάναγκες περὶ τῶν πραγμάτων λέγειν, ἐπειδὴ ὀνόματι αὐτῶν ἕνα ἕκαστον ἀπορεῖ προσειπεῖν, τὴν ἐπωνυμίαν τῆς ὅλης ἡλικίας ὑπολαβὼν παρακαλεῖ ἐπὶ τὸ βῆμα καὶ προτρέπει δημηγορεῖν. Ἅμα δὲ τοὺς νεωτέρους διδάσκει αἰσχύνεσθαι τοὺς πρεσβυτέρους καὶ πάνθ' ὑστέρους πράττειν καὶ τιμᾶν τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν ἄρα διαγενώμεθα. (25) Καὶ οὕτως ἦσαν σώφρονες οἱ ἀρχαῖοι ἐκεῖνοι ῥήτορες, ὁ Περικλῆς καὶ Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης ὁ τὴν ἀνόμοιον ἐπωνυμίαν ἔχων Τιμάρχῳ τούτῳ, ὁ δίκαιος ἐπικαλούμενος, ὥστε ὃ νυνὶ πάντες ἐν ἔθει πράττομεν, τὸ τὴν χεῖρα ἔξω ἔχοντες λέγειν, τότε τοῦτο θρασύ τι ἐδόκει εἶναι καὶ εὐλαβοῦντο αὐτὸ πράττειν. Μέγα δὲ πάνυ τούτου σημεῖον ἔργῳ ὑμῖν οἶμαι ἐπιδείξειν· εὖ γὰρ οἶδ' ὅτι πάντες ἐκπεπλεύκατε εἰς Σαλαμῖνα καὶ τεθέασθε τὴν Σόλωνος εἰκόνα, καὶ αὐτοὶ μαρτυρήσαιτ' ἂν ὅτι ἐν τῇ ἀγορᾷ τῇ Σαλαμινίων ἀνάκειται ὁ Σόλων ἐντὸς τὴν χεῖρα ἔχων. Τοῦτ' ἔστιν, ὦ Ἀθηναῖοι, ὑπόμνημα καὶ μίμημα τοῦ Σόλωνος σχήματος, ὃν τρόπον ἔχων αὐτὸς διελέγετο τῷ δήμῳ τῶν Ἀθηναίων. (26) Σκέψασθε δέ, ὦ Ἀθηναῖοι, ὅσον διαφέρει ὁ Σόλων Τιμάρχου καὶ οἱ ἄνδρες ἐκεῖνοι ὧν ὀλίγῳ πρότερον ἐν τῷ λόγῳ ἐπεμνήσθην. Ἐκεῖνοι μέν γε ᾐσχύνοντο ἔξω τὴν χεῖρα ἔχοντες λέγειν, Τίμαρχος δὲ οὑτοσὶ οὐ πάλαι ἀλλὰ πρῴην ποτὲ ῥίψας θοἰμάτιον γυμνὸς ἐπαγκρατίαζεν ἐν τῇ ἐκκλησίᾳ, οὕτω κακῶς καὶ αἰσχρῶς διακείμενος τὸ σῶμα ὑπὸ μέθης καὶ βδελυρίας, ὥστε τούς γε εὖ φρονοῦντας ἐγκαλύψασθαι, αἰσχυνθέντας ὑπὲρ τῆς πόλεως εἰ τοιούτοις συμβούλοις χρώμεθα. (27) Ἃ συνιδὼν ὁ νομοθέτης διαρρήδην ἀπέδειξεν οὓς χρὴ δημηγορεῖν καὶ οὓς οὐ δεῖ λέγειν ἐν τῷ δήμῳ. Καὶ οὐκ ἀπελαύνει ἀπὸ τοῦ βήματος εἴ τις μὴ προγόνων ἐστὶ τῶν ἐστρατηγηκότων, οὐδέ γε εἰ τέχνην τινὰ ἐργάζεται ἐπικουρῶν τῇ ἀναγκαίᾳ τροφῇ· ἀλλὰ τούτους καὶ μάλιστα ἀσπάζεται, καὶ διὰ τοῦτο πολλάκις ἐπερωτᾷ τίς ἀγορεύειν βούλεται. (28) Τίνας δ' οὐκ ᾤετο δεῖν λέγειν; τοὺς αἰσχρῶς βεβιωκότας, τούτους οὐκ ἐᾷ δημηγορεῖν. Καὶ ποῦ τοῦτο δηλοῖ; δοκιμασία, φησί, ῥητόρων. Ἐάν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν, τοῦτον οὐκ ἐᾷ λέγειν. Νὴ Δία καλῶς γε, ὥς ἐγώ φημι. Διὰ τί; ὅτι εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησίν, ὑπ' αὐτοῦ πείσονται οἱ ἀλλότριοι καὶ ἡ πόλις ὅλη; (29) Καὶ τίσι δεύτερον ἀπεῖπε μὴ λέγειν; ἢ τὰς στρατείας, φησί, μὴ ἐστρατευμένος ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκώς, δίκαια λέγων.

qui annum ætatis quinquagesimum excesserint verba facere vult? Ubi autem hi omnes dixerint, tum demum jubet ceterorum Atheniensium quemvis ex iis quibus liceat, dicere (24) Considerate, Athenienses, quam recte. Non ignorabat nimirum legislator, in natu majoribus vigere prudentiam, audaciam autem incipere jam deficere in eis, ob usum rerum. Volens igitur prudentissimos quosque consuefacere, ut sententiam necessario sibi dicendam putarent : quum uniuscujusque nominatim appellandi facultatem non haberet, communi totius ætatis cognomine usurpato, ad suggestum eos vocat, et ad habendas conciones adhortatur : eademque opera etiam adolescentes reverentiam erga seniores adhibendam esse docet, eisque priorem in rebus omnibus locum concedendum, et honorem senectuti habendum, ut ad quam perventuri simus omnes, nisi nos fata interceperint. (25) Itaque veteres illi oratores, Pericles, Themistocles, Aristides, qui dissimile Timarcho cognomen habet, quippe qui justus appelletur, adeo modesti fuerunt, ut, quod nunc de more omnes facimus, ut prolata manu dicamus, id tum audaciæ tribuerint, et verecundati sint. Cujus ego consuetudinis me re ipsa magnum vobis argumentum ostensurum arbitror. Satis enim scio, vos omnes trajecisse Salaminem, et Solonis spectasse statuam : itaque ipsi testari potestis, Solonem in foro Salaminiorum positum esse manu intra vestem condita. Illud est monumentum, Athenienses, et simulacrum gestus Solonis, quo pacto cum populo Atheniensium sermonem habuerit. (26) Considerate autem, Athenienses, quantum inter Solonem et Timarchum intersit, et eos viros quorum paulo ante mentionem feci. Illos enim puduit extenta manu verba facere : iste autem non olim sed nuper aliquando abjecta veste nudus toto corpore pugilem agebat in concione : et quidem corpore ob ebrietatem et petulantiam ita male turpiterque affecto, ut homines cordati oculos velarent, verecundantes reipublicæ vicem, quæ talibus consultoribus uteretur. (27) Quibus rebus legislator perspectis, plane demonstravit, quibus conciones sint habendæ, et quibus apud populum verba facienda non sint. Neque vero a suggestu repellit quemquam qui viro prætorio natus non est, aut qui artem aliquam exercet victus parandi causa : sed hos vel maxime amplectitur, eaque de causa sæpe interrogat, quis dicere velit? (28) Quos vero a dicendo repulit? Qui turpem vitam egerunt, eos concionari non sinit. Atque ubi id declarat? In capite De oratorum exploratione. Si quis, inquit, publice verba facere velit, qui patrem aut matrem verberat, aut non alit, aut eis domum non præbet, hunc verba facere non sinit. Idque recte mehercule, mea quidem sententia. Cur? Quodsi quis erga eos officio non fungitur, qui pari cum diis immortalibus honore sunt afficiendi : is quo pacto alios homines tractabit et totam civitatem? (29) Quibus secundo loco habendis concionibus interdixit? Si quis, inquit, imperatas sibi expeditiones non obierit, aut clypeum abjecerit.

Τί δή ποτε; ἄνθρωπε, τῇ πόλει ὑπὲρ ἧς τὰ ὅπλα μὴ τίθεσαι ἢ διὰ δειλίαν μὴ δυνατὸς εἶ ἐπαμῦναι, μηδὲ συμβουλεύειν ἀξίου. Τρίτον τίσι διαλέγεται; ἢ πεπορνευμένος, φησίν, ἢ ἡταιρηκώς· τὸν γὰρ τὸ σῶμα τὸ ἑαυτοῦ ἐφ' ὕβρει πεπρακότα καὶ τὰ κοινὰ τὰ τῆς πόλεως ῥᾳδίως ἡγήσατο ἀποδώσεσθαι. (30) Τέταρτον τίσι διαλέγεται; ἢ τὰ πατρῷα, φησί, κατεδηδοκὼς ἢ ὧν ἂν κληρονόμος γένηται· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν, καὶ οὐκ ἐδόκει οἷόν τ' εἶναι τῷ νομοθέτῃ τὸν αὐτὸν ἄνθρωπον ἰδίᾳ μὲν εἶναι πονηρὸν δημοσίᾳ δὲ χρηστόν, οὐδ' ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα ἥκειν ἐπὶ τὸ βῆμα τῶν λόγων ἐπιμεληθέντα πρότερον ἀλλ' οὐ τοῦ βίου. (31) Καὶ παρὰ μὲν ἀνδρὸς καλοῦ καὶ ἀγαθοῦ, κἂν πάνυ κακῶς καὶ ἁπλῶς ῥηθῇ, χρήσιμα τὰ λεγόμενα ἡγήσατο εἶναι τοῖς ἀκούουσι· παρὰ δὲ ἀνθρώπου βδελυροῦ καὶ καταγελάστως μὲν κεχρημένου τῷ ἑαυτοῦ σώματι, αἰσχρῶς δὲ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότος, οὐδ' ἂν εὖ πάνυ λεχθῇ συνοίσειν ἡγήσατο τοῖς ἀκούουσι. (32) Τούτους οὖν ἐξείργει ἀπὸ τοῦ βήματος, τούτους ἀπαγορεύει μὴ δημηγορεῖν. Ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ, ἀλλὰ καὶ συκοφαντῇ καὶ ἀσελγαίνῃ καὶ μηκέτι τοιοῦτον ἄνθρωπον δύνηται φέρειν ἡ πόλις, δοκιμασίαν μέν, φησίν, ἐπαγγειλάτω Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν, ὑμᾶς δ' ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγινώσκειν· καὶ νῦν ἐγὼ κατὰ τοῦτον τὸν νόμον ἥκω πρὸς ὑμᾶς.

33. Ταῦτα μὲν οὖν πάλαι νενομοθέτηται· ὑμεῖς δ' ἔτι προσέθεσθε καινὸν νόμον μετὰ τὸ καλὸν παγκράτιον ὃ οὗτος ἐπαγκρατίασεν ἐν τῇ ἐκκλησίᾳ, ὑπεραισχυνθέντες ἐπὶ τῷ πράγματι, καθ' ἑκάστην ἐκκλησίαν ἀποκληροῦν φυλὴν ἐπὶ τὸ βῆμα ἥτις προεδρεύσει. Καὶ τί προσέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι κελεύει τοὺς φυλέτας βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, ὡς, εἰ μὴ βοήθειάν ποθεν μεταπεμψόμεθα ἐπὶ τοὺς οὕτω βεβιωκότας, οὐδὲ βουλεύεσθαι δυνησομένους ἡμᾶς περὶ τῶν σπουδαιοτάτων πραγμάτων. (34) Ἔστι δ' οὐδὲν ὄφελος, ὦ Ἀθηναῖοι, ζητεῖν τοὺς τοιούτους ἀνθρώπους ἀπελαύνειν ἀπὸ τοῦ βήματος ταῖς κραυγαῖς· οὐ γὰρ αἰσχύνονται· ἀλλὰ ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή· μόνως γὰρ ἂν οὕτως ἀνεκτοὶ γένοιντο.

Ἀναγνώσεται οὖν ὑμῖν τοὺς νόμους τοὺς περὶ τῆς εὐκοσμίας κειμένους τῶν ῥητόρων καὶ τὸν περὶ τῆς προεδρείας τῶν φυλῶν νόμον, ὃν Τίμαρχος οὑτοσὶ καὶ ἕτεροι τοιοῦτοι ῥήτορες συνελθόντες γεγραμμένοι εἰσὶ μὴ ἐπιτήδειον εἶναι, ἵν' ἐξῇ πράττειν αὐτοῖς καὶ λέγειν καὶ ζῆν ὡς αὐτοὶ βούλονται.

ΝΟΜΟΙ.

35. [Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν βουλῇ ἢ ἐν δήμῳ περὶ τοῦ εἰσφερομένου μὴ χωρὶς περὶ ἑκάστου, ἢ δὶς περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς τῆς αὐτῆς, ἢ λοιδορῆται, ἢ κακῶς ἀγορεύῃ τινά,

Recte. Cur tandem? Homo, ei civitati, pro qua arma non sumis, cuique ob ignaviam opem ferre non potes, ne consilium quidem dare velis. Tertio cum quibus agit? Si quis, inquit, meretricium quæstum fecerit aut pudicitiam prostituerit. Nam qui suum corpus ad ignominiam vendiderit, eum etiam reipublicæ negotia facile venditurum putavit. (30) Quarto loco, cum quibus agit? Si quis patrimonium, aut hereditaria bona, per luxum absumpserit. Nam qui suam familiam male administrarit, eodem modo rempublicam etiam curaturum censuit. Neque fieri posse existimavit legislator, ut idem homo et privatim esset improbus, et publice bonus: aut decere, ut orator suggestum conscenderet, qui orationis habendæ prius quam degendæ vitæ rationem duxisset. (31) Nam viri boni orationem quamvis nudam, quamvis simplicem, auditoribus profuturam: hominis autem improbi, qui et corpus suum risui exposuerit, et patrimonium turpiter devorarit, quantumvis ornatam, non e re fore auditorum. (32) Hos ergo repellit a suggestu: his concionibus interdicit. Quodsi quis contra hæc non tantum verba faciat, sed et calumniatorem agat, et petulanter sese gerat, ut eum civitas diutius ferre non possit: in eum, inquit, civium quilibet, cui fas est, censoriam actionem instituat: vosque jubet de eo jam pro tribunali decernere. Ego itaque nunc ex hac lege venio ad vos.

33. Et hæc quidem olim sancita sunt, vos vero adjecistis novam legem, post bellam istius pro concione luctam. Summo enim ob istud facinus pudore affecti, legem tulistis, in singulis concionibus sortito decernendam esse tribum, quæ præsideat circa suggestum. Et quid legis auctor jussit? Sedere tribules et defendere leges atque rempublicam: quod nisi alicunde auxilia contra homines his moribus præditos accersiverimus, ne deliberandi quidem gravissimis de rebus facultatem simus habituri. (34) Inanis autem opera sumitur, Athenienses, si tales homines clamoribus a suggestu depellere studeatis, — neque enim eos pudet —, sed suppliciis eorum consuetudo est coercenda: nam ita demum ferri possunt.

Recitabuntur igitur vobis leges de oratorum disciplina latæ, et ea quæ de præsidente tribu agit: quam Timarchus et alii hujusmodi oratores per conspirationem, quasi e republica non esset, abrogare studuerunt, ut eis suo arbitratu et facere et dicere omnia, et vivere liceret.

LEGES.

35. [Si quis oratorum in senatu, aut pro concione, vel non seorsum de re proposita, vel bis de eadem re apud eosdem dixerit, sive conviciando, sive maledicendo alicui, sive pede supplodendo,

ἢ ὑποκρούῃ, ἢ χρηματιζόντων μεταξὺ ἀνεστηκὼς λέγῃ περί του μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται ἢ ἕλκῃ τὸν ἐπιστάτην, ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα δραχμῶν καθ' ἕκαστον ἀδίκημα ἐπιγράφειν τοῖς πράκτορσιν. Εἰ δὲ πλέονος ἄξιός ἐστι ζημίας, ἐπιβαλόντες μέχρι πεντήκοντα δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν πρώτην ἐκκλησίαν. Ὅταν δ' ἐξίωσι κλήσεις, κρινάτωσαν· καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ κρύβδην ψηφιζομένων, ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσιν.]

vel inter decernendum assurgens importune locutus fuerit de rebus a suggestu alienis, vel aliquem concitarit, vel præfectum traxerit, dimissa concione aut senatu, ejus mulctandi potestas esto penes præsides usque ad L drachmas in singula delicta mulctam imponendi et in tabulas exactoribus tradendas inscribendi. Quodsi graviorem meruisse pœnam videbitur, indicta mulcta usque ad L drachmas, deferunto ad senatum aut ad primam concionem in curia. Ubi autem citationes recensuerint, judicanto; quod si condemnatus fuerit, clam suffragia ferentibus senatoribus, præsides mulctam in tabulas exactorum referunto.]

36. Τῶν μὲν οὖν νόμων ἀκηκόατε, ὦ Ἀθηναῖοι, καὶ εὖ οἶδ' ὅτι δοκοῦσιν ὑμῖν καλῶς ἔχειν. Τούτους μέντοι τοὺς νόμους εἶναι χρησίμους ἢ ἀχρήστους ἐφ' ὑμῖν ἐστιν· ἐὰν μὲν γὰρ κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ' ἀφιῆτε, καλοὶ μόνον, κύριοι δὲ οὐκέτι.

36. Leges audivistis, Athenienses : neque dubito quin eæ vobis probandæ esse videantur. Ceterum utrum eæ leges ratæ irritæve sint, id penes vos est. Nam si quidem injurios homines punieritis, leges vobis et bonæ et ratæ erunt : sin absolveritis, bonæ illæ quidem erunt, ratæ non erunt.

6 37. Βούλομαι δ', ὥσπερ ὑπεθέμην ἀρχόμενος τοῦ λόγου, ἐπειδὴ περὶ τῶν νόμων εἴρηκα, πάλιν τὸ μετὰ τοῦτο ἀντεξετάσαι τοὺς τρόπους τοὺς Τιμάρχου, ἵν' εἰδῆτε ὅσον διαφέρουσι τῶν νόμων τῶν ὑμετέρων. Δέομαι δ' ὑμῶν, ὦ Ἀθηναῖοι, συγγνώμην μοι ἔχειν, ἐὰν ἀναγκαζόμενος λέγειν περὶ ἐπιτηδευμάτων φύσει μὲν μὴ καλῶν, τούτῳ δὲ πεπραγμένων, ἐξαχθῶ τι ῥῆμα εἰπεῖν ὅ ἐστιν ὅμοιον τοῖς ἔργοις τοῖς Τιμάρχου. (38) Οὐδὲ γὰρ ἂν δικαίως ἐμοὶ ἐπιτιμήσαιτε, εἴ τι σαφῶς εἴποιμι διδάσκειν βουλόμενος, ἀλλὰ πολὺ μᾶλλον τούτῳ, εἰ αἰσχρῶς οὕτω τυγχάνει βεβιωκὼς ὥστε τὸν τὰ τούτῳ πεπραγμένα διεξιόντα ἀδύνατον εἶναι εἰπεῖν ὡς αὐτὸς βούλεται, ἐὰν μή τι καὶ τῶν τοιούτων φθέγξηται ῥημάτων. Εὐλαβήσομαι δ' αὐτὸ ποιεῖν ὡς ἂν δύνωμαι μάλιστα.

37. Volo autem, quemadmodum orationis initio proposui, postquam dixi de legibus, jam tandem Timarchi mores cum eis conferre : ut sciatis quantum ii discrepent a vestris legibus. A vobis vero peto, Athenienses, ut veniam mihi detis, si quid fuero dicere coactus de studiis, non quidem natura honestis, sed ab isto tamen usurpatis, atque verbum aliquod mihi exciderit factis Timarchi simile. (38) Neque enim jure me reprehendetis, si quid plane dixero, quo vos edoceam : sed multo magis istum, qui adeo flagitiose vixit, ut qui facta ejus commemorat, suo arbitratu dicere non possit, nisi verba etiam quædam hujusmodi proferat. Dabo tamen operam, ut quam modestissime id faciam.

39. Σκέψασθε δέ, ὦ Ἀθηναῖοι, ὡς μετρίως μέλλω προσφέρεσθαι Τιμάρχῳ τουτῳί. Ἐγὼ γὰρ ὅσα μὲν παῖς ὢν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἡμάρτηκεν ἀφίημι, καὶ ἔστω ταῦτα ἄκυρα ὥσπερ τὰ ἐπὶ τῶν τριάκοντα καὶ τὰ πρὸ Εὐκλείδου ἢ εἴ τις ἄλλη πώποτε τοιαύτη γέγονε προθεσμία· ἃ δὲ ἤδη φρονῶν καὶ μειράκιον ὢν καὶ τοὺς νόμους ἐπιστάμενος τοὺς τῆς πόλεως διαπέπρακται, περὶ τούτων ἔγωγε τὰς κατηγορίας ποιήσομαι καὶ ὑμᾶς ἐπ' αὐτοῖς ἀξιῶ σπουδάζειν.

39. Velim autem consideretis, Athenienses, quanta æquitate sim acturus cum Timarcho. Nam quæ delicta puer adhuc in suum corpus admisit, omitto, eaque nihil valeant, ut ea quæ sub triginta tyrannorum dominatu, aut ante præturam Euclidis acta sunt, aut si quod aliud hujusmodi præfinitum tempus exstitit : quæ vero jam sui compos, quæ adolescens, quæ legum civitatis gnarus admisit, ea demum accusabo, eaque vobis uti curæ sint, oro.

40. Οὗτος γὰρ πρῶτον μὲν πάντων, ἐπειδὴ ἀπηλλάγη ἐκ παίδων, ἐκάθητο ἐν Πειραιεῖ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου, προφάσει μὲν τῆς τέχνης μαθητής, τῇ δ' ἀληθείᾳ πωλεῖν αὑτὸν προῃρημένος, ὡς αὐτὸ τοὔργον ἔδειξεν. Ὅσοι μὲν οὖν τῶν ἐμπόρων ἢ τῶν ἄλλων ξένων ἢ τῶν πολιτῶν τῶν ἡμετέρων κατ' ἐκείνους τοὺς χρόνους ἐχρήσαντο τῷ σώματι Τιμάρχου, ἑκὼν καὶ τούτους ὑπερβήσομαι, ἵνα μή μέ τις εἴπῃ ὡς ἄρα λίαν ἀκριβολογοῦμαι ἅπαντα· ὧν δ' ἐν ταῖς οἰκίαις γέγονε

40. Iste primum omnium pueritiam egressus sedit in Piræeo, in Euthydici medici taberna, per speciem discendæ artis, quum, si res ipsa spectetur, se venditare instituisset, ut eventus declaravit. Qui porro mercatores, aut alii hospites, aut nostri cives illis temporibus Timarchi corpore fuerint abusi, hoc quoque ultro præteribo : ne quis fortasse dicat, me accuratius omnia persequi : quorum autem in

καταισχύνων τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πόλιν, μισθαρνῶν ἐπ' αὐτῷ τούτῳ ὃ ἀπαγορεύει ὁ νόμος μὴ πράττειν ἢ μὴ δημηγορεῖν, περὶ τούτων ποιήσομαι τοὺς λόγους. (41) Μισγόλας ἐστι τις Ναυκράτους, ὦ Ἀθηναῖοι, Κολλυτεύς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κἀγαθός, καὶ οὐδαμῇ ἄν τις αὐτὸν μέμψαιτο, περὶ δὲ τὸ πρᾶγμα τοῦτο δαιμονίως ἐσπουδακὼς καὶ ἀεί τινας ἔχειν εἰωθὼς περὶ αὑτὸν κιθαρῳδοὺς ἢ κιθαριστάς. Ταυτὶ δὲ λέγω οὐ τοῦ φορτικοῦ ἕνεκα, ἀλλ' ἵν' αὐτὸν γνωρίσητε ὅστις ἐστίν. Οὗτος αἰσθόμενος ὧν ἕνεκα τὰς διατριβὰς ἐποιεῖτο Τίμαρχος ουτοσὶ ἐπὶ τοῦ ἰατρείου, ἀργύριόν τι προαναλώσας ἀνέστησεν αὐτὸν καὶ ἔσχε παρ' ἑαυτῷ, εὔσαρκον ὄντα καὶ νέον καὶ βδελυρὸν καὶ ἐπιτήδειον πρὸς τὸ πρᾶγμα ὃ προῃρεῖτο ἐκεῖνος μὲν πράττειν, οὗτος δὲ πάσχειν. (42) Καὶ ταῦτα ποιεῖν οὐκ ὤκνησεν ἀλλ' ὑπέστη Τίμαρχος οὑτοσὶ οὐδενὸς ὢν τῶν μετρίων ἐνδεής· πολλὴν γὰρ πάνυ κατέλιπεν ὁ πατὴρ αὐτῷ οὐσίαν, ἣν οὗτος κατεδήδοκεν, ὡς ἐγὼ προϊόντος ἐπιδείξω τοῦ λόγου· ἀλλ' ἔπραξε ταῦτα δουλεύων ταῖς αἰσχίσταις ἡδοναῖς, ὀψοφαγίαις καὶ πολυτελείαις δείπνων καὶ αὐλητρίσι καὶ ἑταίραις καὶ κύβοις καὶ τοῖς ἄλλοις, ὑφ' ὧν οὐδενὸς δεῖ κρατεῖσθαι τὸν γενναῖον καὶ ἐλεύθερον. Καὶ οὐκ ᾐσχύνθη ὁ μιαρὸς οὗτος ἐκλιπὼν μὲν τὴν πατρῴαν οἰκίαν, διαιτώμενος δὲ παρὰ Μισγόλᾳ οὔτε πατρικῷ ὄντι φίλῳ οὔθ' ἡλικιώτῃ οὔτε παρ' ἐπιτρόπῳ, ἀλλὰ παρ' ἀλλοτρίῳ καὶ πρεσβυτέρῳ ἑαυτοῦ, καὶ παρ' ἀκολάστῳ περὶ ταῦτα ὡραῖος ὤν. (43) Πολλὰ μὲν οὖν καὶ ἄλλα καταγέλαστα πέπρακται Τιμάρχῳ κατ' ἐκείνους τοὺς χρόνους, ἓν δὲ ὃ καὶ διηγήσασθαι ὑμῖν βούλομαι. Ἦν μὲν Διονυσίων τῶν ἐν ἄστει ἡ πομπή, ἐπόμπευον δ' ἐν τῷ αὐτῷ ὅ τε Μισγόλας ὁ τοῦτον ἀνειληφὼς καὶ Φαῖδρος Καλλίου Σφήττιος. Συνθεμένου δ' αὐτοῖς συμπομπεύειν Τιμάρχου τουτουί, οἱ μὲν περὶ τὴν ἄλλην παρασκευὴν διέτριβον, οὗτος δὲ οὐκ ἐπανῆκε. Παρωξυμμένος δὲ πρὸς τὸ πρᾶγμα ὁ Μισγόλας ζήτησιν αὐτοῦ ἐποιεῖτο μετὰ τοῦ Φαίδρου, ἐξαγγελθέντος δ' αὐτοῖς εὑρίσκουσι τοῦτον ἐν
7 συνοικίᾳ μετὰ ξένων τινῶν συναριστῶντα. Διαπειλησαμένου δὲ τοῦ Μισγόλα καὶ τοῦ Φαίδρου τοῖς ξένοις καὶ κελευόντων ἤδη ἀκολουθεῖν εἰς τὸ δεσμωτήριον, ὅτι μειράκιον ἐλεύθερον διέφθειραν, φοβηθέντες οἱ ξένοι ᾤχοντο φεύγοντες, καταλιπόντες τὰ παρεσκευασμένα. (44) Καὶ ταῦθ' ὅτι ἐγὼ ἀληθῆ λέγω, ἅπαντες ὅσοι κατ' ἐκείνους τοὺς χρόνους ἐγίνωσκον Μισγόλαν καὶ Τίμαρχον, ἴσασιν. Ἦ δὴ καὶ πάνυ χαίρω ὅτι μοι γέγονεν ἡ δίκη πρὸς ἄνθρωπον οὐκ ἠγνοημένον ὑφ' ὑμῶν, οὐδ' ἀπ' ἄλλου γινωσκόμενον οὐδενὸς ἢ ἀπ' αὐτοῦ τοῦ ἐπιτηδεύματος περὶ οὗ καὶ τὴν ψῆφον μέλλετε φέρειν. Περὶ μὲν γὰρ τῶν ἀγνοουμένων σαφεῖς ἴσως προσήκει τὰς ἀποδείξεις ποιεῖσθαι τὸν κατήγορον, περὶ δὲ τῶν ὁμολογουμένων οὐ λίαν ἔγωγε μέγα ἔργον εἶναι νομίζω τὸ κατηγορεῖν· ἀναμνῆσαι γὰρ μόνον προσήκει τοὺς ἀκούοντας. (45) Ἐγὼ τοίνυν καίπερ ὁμολογουμένου τοῦ πράγματος, ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, γέγραφα μαρτυρίαν Μισγόλᾳ ἀληθῆ μὲν οὐκ ἀπαίδευτον δέ, ὡς ἐγὼ ἐμαυτὸν πείθω. Αὐτὸ

ædibus cum sui corporis et civitatis probro vixerit, quæstus ob eam rem faciendi causa, quam rem lex aut vitare aut concionibus abstinere et: his de rebus verba faciam. (41) Est quidam Collytensis Misgolas, Naucratis filius, Athenienses, vir cetera sane bonus nec ullo nomine reprehendendus, ceterum istius rei impotenter studiosus, quique continenter secum habere solet aliquos citharœdos aut citharistas. Hæc dico non arguendi luxus causa, sed ut noveritis quis sit. Is ubi animadvertit, quibus de causis Timarchus in taberna medica versaretur, quum nonnihil nummorum insumpsisset, inde hominem abduxit ad se, ut et habito corpore et adolescentem et petulantem et aptum ad eam rem, quam et ipse perpetrare et iste tolerare instituerat. (42) Neque vero id recusavit Timarchus, sed recepit, quum nulla re mediocri egeret (permagnas enim opes ei pater reliquerat, quas iste decoxit, ut ego vobis in progressu orationis ostendam), sed ista fecit, ut turpissimis voluptatibus obsequeretur, deliciis ciborum et sumptuosis cœnis et tibicinis et meretricibus, et tesseris ceterisque rebus, quarum nulla vinci debet generosum et liberale ingenium. Neque nefarium istum in flore ætatis suæ puduit, relictis paternis ædibus apud Misgolam vivere: qui neque paternus ejus amicus neque æqualis neque curator erat, sed alienus et ipso natu grandior, et in ejusmodi rebus incontinens. (43) Timarchus igitur quum alia deridenda fecit illis temporibus, tum unum quiddam, quod vobis narrabo. Agebatur urbanorum Bacchanalium celebritas. Una porro festum celebrabant Misgolas, istius hospes, et Phædrus Calliæ F. Sphettius. Quum autem Timarchus promisisset, se una cum iis festum acturum: illi dum ceteris rebus apparandis occupantur, iste non revertitur. Quam rem iniquo animo ferens Misgolas, una cum Phædro eum inquirit: factoque indicio, deprehendunt in ædibus cum hospitibus quibusdam prandentem. Interminato autem Misgola et Phædro hospitibus, et jubente statim eos ambulare in carcerem, quod adolescentem ingenuum corrupissent: hospites perterriti, fugam arripuerunt, relictis epulis. (44) Hæc vere a me dici, norunt omnes, qui iis temporibus Misgolam et Timarchum noverunt: unde gaudeo mihi rem esse cum homine vobis non ignoto, neque ex alia re ulla noto, nisi ex eo flagitio, de quo pronuntiaturi estis. Nam ignotæ res accusatori fortassis perspicue sunt demonstrandæ: in confessis autem equidem non magni operis esse puto accusare; nam excitanda duntaxat est auditorum memoria. (45) Sed tamen ego, quum de re constet, quando in prætorio sumus, testimonium Misgolæ perscripsi: verum illud quidem, non tamen incivile, ut mihi persuadeo. Nam ipsius rei, quam cum isto

μὲν γὰρ τοὔνομα τοῦ ἔργου ὃ ἔπραττε πρὸς τοῦτον οὐκ ἐγγράφω, οὐδ' ἄλλο γέγραφα οὐδὲν ὃ ἐπιζήμιόν ἐστιν ἐκ τῶν νόμων τῷ τἀληθῆ μαρτυρήσαντι· ἃ δέ ἐστιν ὑμῖν ἀκούουσι γνώριμα, ἀκίνδυνα δὲ καὶ μὴ τῷ μαρτυροῦντι αἰσχρά, ταῦτα γέγραφα. (46) Ἐὰν μὲν οὖν ἐθελήσῃ ὁ Μισγόλας δεῦρο παρελθὼν τἀληθῆ μαρτυρῆσαι, τὰ δίκαια ποιήσει· ἐὰν δὲ προαιρῆται ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ ὅλον πρᾶγμα σύνιστε. Εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖται καὶ προαιρήσεται χιλίας μᾶλλον δραχμὰς ἀποτῖσαι τῷ δημοσίῳ, ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ ὑμῖν, ὁ δὲ πεπονθὼς δημηγορήσει, σοφὸς ὁ νομοθέτης ὁ τοὺς οὕτω βδελυροὺς ἐξείργων ἀπὸ τοῦ βήματος. (47) Ἐὰν δ' ἄρα ὑπακούσῃ μέν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέστατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας, ὡς Τιμάρχῳ μὲν χάριτας ἀποδιδούς, ἑτέροις δ' ἐπίδειξιν ποιούμενος ὡς εὖ ἐπίσταται τὰ τοιαῦτα συγκρύπτειν, πρῶτον μὲν εἰς ἑαυτὸν ἐξαμαρτήσεται ἐπιορκῶν, ἔπειτα οὐδὲν αὐτῷ ἔσται πλέον. Ἑτέραν γὰρ ἐγὼ γέγραφα μαρτυρίαν τοῖς εἰδόσι Τίμαρχον τουτονὶ ἐκλιπόντα τὴν πατρῴαν οἰκίαν καὶ διαιτώμενον παρὰ Μισγόλᾳ, πρᾶγμα (οἶμαι) χαλεπὸν ἐξεργάζεσθαι ἐπιχειρῶν· οὔτε γὰρ ἐμὲ δεῖ τοὺς ἐμαυτοῦ φίλους μάρτυρας παρασχέσθαι οὔτε τοὺς τούτων ἐχθροὺς οὐδὲ τοὺς μηδετέρους ἡμῶν γιγνώσκοντας, ἀλλὰ τοὺς τούτων φίλους. (48) Ἂν δ' ἄρα καὶ τούτους πείσωσι μὴ μαρτυρεῖν (ὡς οὐκ οἴομαί γε· εἰ δὲ μή, ἀλλ' οὐχ ἅπαντας), ἐκεῖνό γε οὐδέποτε δυνήσονται, ἀφελέσθαι τὴν ἀλήθειαν οὐδὲ τὴν ἐν τῇ πόλει περὶ Τιμάρχου φήμην, ἣν οὐκ ἐγὼ τούτῳ παρεσκεύασα, ἀλλ' αὐτὸς οὗτος ἑαυτῷ. Οὕτω γὰρ καθαρὸν χρὴ τὸν βίον εἶναι τοῦ σώφρονος ἀνδρὸς ὥστε μὴ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

49. Βούλομαι δὲ κἀκεῖνο προειπεῖν, ἐὰν ἄρα ὑπακούσῃ ὁ Μισγόλας τοῖς νόμοις καὶ ὑμῖν. Εἰσὶ φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν ἡλικίαν· ἔνιοι μὲν γὰρ νέοι ὄντες προφερεῖς καὶ πρεσβύτεροι φαίνονται, ἕτεροι δὲ πολὺν ἀριθμὸν χρόνου γεγονότες παντάπασι νέοι. Τούτων δ' ἐστὶ τῶν ἀνδρῶν ὁ Μισγόλας. Τυγχάνει μὲν γὰρ ἡλικιώτης ὢν ἐμὸς καὶ συνέφηβος, καὶ ἔστιν ἡμῖν τουτὶ πέμπτον καὶ τετταρακοστὸν ἔτος· καὶ ἐγὼ μὲν τοσαυτασὶ πολιὰς ἔχω, ὅσας ὑμεῖς ὁρᾶτε, ἀλλ' οὐκ ἐκεῖνος. Διὰ τί οὖν ταῦτα προλέγω; ἵνα μὴ ἐξαίφνης αὐτὸν ἰδόντες θαυμάσητε καὶ τοιοῦτόν τι τῇ διανοίᾳ ὑπολάβητε « ὦ Ἡράκλεις, ἀλλ' οὗτός γε τούτου οὐ πολὺ διαφέρει. » Ἅμα μὲν γὰρ ἡ φύσις ἐστὶ τοιαύτη τοῦ ἀνθρώπου, ἅμα δὲ ἤδη μειρακίῳ ὄντι αὐτῷ ἐπλησίαζεν.

50. Ἵνα δὲ μὴ διατρίβω, πρῶτον μὲν κάλει μοι τοὺς εἰδότας Τίμαρχον τουτονὶ διαιτώμενον ἐν τῇ Μισγόλα οἰκίᾳ, ἔπειτα τὴν Φαίδρου μαρτυρίαν ἀναγίνωσκε. Καὶ
8 τελευταίαν δέ μοι λαβὲ τὴν αὐτοῦ Μισγόλα μαρτυρίαν, ἵνα καὶ τοὺς θεοὺς δεδιὼς καὶ τοὺς συνειδότας αἰσχυνόμενος καὶ τοὺς ἄλλους πολίτας καὶ ὑμᾶς τοὺς δικαστὰς ἐθελήσῃ τἀληθῆ μαρτυρεῖν.

patravit, nomen non inscribo, neque scripsi quicquam aliud ob quod pœna a legibus metuenda sit vera testificato : sed quæ et vobis audituris nota, et testificanti tuta sunt, ea scripsi. (46) Quodsi igitur volet Misgolas huc progressus verum testificari, recte faciet : sin se citatione adigi, quam verum profiteri maluerit, tota res in conspectu vobis erit. Nam si is qui patravit, verecundetur, et reipublicæ mille drachmas pendere maluerit, quam vestra ora intueri, is vero qui passus est, concionari audeat : sapienter fecit legislator, qui tales a suggestu repulerit. (47) Sin sese stiterit quidem, sed ad rem omnium impudentissimam se converterit, ad ejurandum veritatem, ut qui et Timarcho gratiam referat, et apud alios ostentet quam solerter hujusmodi facinora contegere possit : primum perjurio erga semetipsum delinquet, deinde nihil ea re proficiet. Nam aliud ego dictavi testimonium iis qui sciunt Timarchum relictis paternis ædibus apud Misgolam habitasse. Ac video profecto, quam arduam rem aggrediar. Neque enim vel amici mei, vel ipsorum inimici, testes producendi sunt, neque ii etiam qui neutros nostrûm norunt : sed amici istorum. (48) Si vero iis etiam persuaserint ne testificentur, — quod non existimo, aut certe non omnibus persuasuros existimo —, eo tamen nunquam evertent veritatem, aut sparsam in urbe de Timarcho famam, cujus non ego isti sum auctor, sed ipse sibi. Vitam enim viri temperantis adeo puram esse decet, ut in eam nullius flagitii cadat suspicio.

49. Verum illud etiam præfari volo, si forte Misgolas vobis et legibus paruerit. Ea sunt naturarum humanarum discrimina, ut ætas ex aspectu satis dijudicari non possit. Quidam enim adolescentes provectæ ætatis et senectutis speciem præ se ferunt : alii multos annos nati, omnino juvenes videntur. Quorum unus est Misgolas. Est enim æqualis meus, unaque mecum adolevit : atque annum nunc agimus quintum et quadragesimum. Ac ego quidem tot canos habeo, quot videtis : ille vero non item. Quamobrem igitur hoc prædico? Ne vel ex primo statim ejus aspectu miremini, et tale quippiam in mentem vobis veniat : « mehercule iste (Misgolas) ab illo non multum differt. » Nam partim natura hominis talis est, partim cum eo jam adolescente consuevit.

50. Ne vero moram faciam, voca mihi primum eos qui sciunt Timarchum versari solitum in Misgolæ ædibus : deinde Phædri testimonium lege : postremo ipsius Misgolæ testimonium sumito : ut et deorum immortalium metu, et consciorum ceterorumque civium et vestrûm, qui pro tribunali sedetis, pudore verum perhibere testimonium velit.

ΜΑΡΤΥΡΙΑ.

[Μισγόλας Νικίου Πειραιεὺς μαρτυρεῖ. Ἐμοὶ ἐγένετο ἐν τῇ συνηθείᾳ Τίμαρχος ὁ ἐπὶ τοῦ Εὐθυδίκου ἰατρείου ποτὲ καθεζόμενος, καὶ κατὰ τὴν γνῶσίν μοι τὴν πρὸς αὐτὸν πολυωρῶν εἰς τὴν νῦν οὐ διέλιπον.]

51. Εἰ μὲν τοίνυν, ὦ Ἀθηναῖοι, Τίμαρχος οὑτοσὶ διέμεινε παρὰ τῷ Μισγόλᾳ καὶ μηκέτι ὡς ἄλλον ἧκε, μετριώτερ' ἂν διεπέπρακτο, εἴ δή τι τῶν τοιούτων ἐστὶ μέτριον, καὶ ἔγωγε οὐκ ἂν ὤκνησα αὐτὸν οὐδὲν αἰτιᾶσθαι ἢ ὅπερ ὁ νομοθέτης παρρησιάζεται, ἡταιρηκέναι μόνον· ὁ γὰρ πρὸς ἕνα τοῦτο πράττων, ἐπὶ μισθῷ δὲ τὴν πρᾶξιν ποιούμενος, αὐτῷ μοι δοκεῖ τούτῳ ἔνοχος εἶναι. (52) Ἐὰν δ' ὑμᾶς ἀναμνήσας ἐπιδείξω, ὑπερβαίνων τούσδε τοὺς ἀγρίους, Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον, ἀλλ' ἐπιδείξω αὐτοὺς λέγων ὧν ἐν ταῖς οἰκίαις ἀνειλημμένος γέγονε, καὶ μὴ μόνον παρὰ τῷ Μισγόλᾳ μεμισθαρνηκότα αὐτὸν ἐπὶ τῷ σώματι, ἀλλὰ καὶ παρ' ἑτέρῳ καὶ πάλιν παρ' ἄλλῳ, καὶ παρὰ τούτου ὡς ἕτερον ἐληλυθότα, οὐκέτι δήπου φαίνεται μόνον ἡταιρηκώς, ἀλλὰ καί (μὰ τὸν Διόνυσον οὐκ οἶδ' ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν) καὶ πεπορνευμένος· ὁ γὰρ εἰκῇ τοῦτο καὶ πρὸς πολλοὺς πράττων καὶ μισθοῦ αὐτῷ μοι τούτῳ δοκεῖ ἔνοχος εἶναι.

53. Ἐπειδὴ τοίνυν ὁ Μισγόλας τῇ τε δαπάνῃ ἀπεῖπε καὶ τοῦτον ἐξέπεμψε παρ' ἑαυτοῦ, μετὰ τοῦτον ἀναλαμβάνει αὐτὸν Ἀντικλῆς Καλλίου Εὐωνυμεύς. Οὗτος μὲν οὖν ἄπεστιν ἐν Σάμῳ μετὰ τῶν κληρούχων· ἀλλὰ τὰ μετὰ ταῦτα ἐρῶ. Ὡς γὰρ ἀπηλλάγη παρὰ τοῦ Ἀντικλέους καὶ τοῦ Μισγόλα Τίμαρχος οὗτος, οὐκ ἐνουθέτησεν ἑαυτὸν οὐδὲ βελτιόνων διατριβῶν ἥψατο, ἀλλὰ διημέρευεν ἐν τῷ κυβείῳ, οὗ ἡ τηλία τίθεται καὶ τοὺς ἀλεκτρυόνας συμβάλλουσι καὶ κυβεύουσιν· ἤδη γὰρ οἶμαί τινας ὑμῶν ἑωρακέναι ἃ λέγω, εἰ δὲ μή, ἀλλ' ἀκηκοέναι γε. (54) Τῶν δὲ ἐκ τῆς διατριβῆς ταύτης ἔστι τις Πιττάλακος, ἄνθρωπος δημόσιος οἰκέτης τῆς πόλεως. Οὗτος εὐπορῶν ἀργυρίου καὶ ἰδὼν τοῦτον ἐν τῇ διατριβῇ ταύτῃ ἀνέλαβεν αὐτὸν καὶ εἶχε παρ' ἑαυτῷ. Καὶ ταῦτ' οὐκ ἐδυσχέραινεν ὁ μιαρὸς οὑτοσί, μέλλων ἑαυτὸν καταισχύνειν πρὸς ἄνθρωπον δημόσιον οἰκέτην τῆς πόλεως· ἀλλ' εἰ λήψεται χορηγὸν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ, τοῦτο μόνον ἐσκέψατο, τῶν δὲ καλῶν ἢ τῶν αἰσχρῶν οὐδεμίαν πώποτε πρόνοιαν ἐποιήσατο. (55) Καὶ τοιαῦτα ἁμαρτήματα καὶ τοιαύτας ὕβρεις ἐγὼ ἀκήκοα γεγονέναι ὑπὸ τοῦ ἀνθρώπου τούτου εἰς τὸ σῶμα τοῦ Τιμάρχου, οἵας ἐγὼ μὰ τὸν Δία τὸν Ὀλύμπιον οὐκ ἂν τολμήσαιμι πρὸς ὑμᾶς εἰπεῖν· ἃ γὰρ οὗτος ἔργῳ πράττων οὐκ ᾐσχύνετο, ταῦτ' ἐγὼ λόγῳ σαφῶς ἐν ὑμῖν εἰπὼν οὐκ ἂν ἐδεξάμην ζῆν. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τούτους ἐν οἷς οὗτος ἦν παρὰ τῷ Πιτταλάκῳ, καταπλεῖ δεῦρο ἐξ Ἑλλησπόντου Ἡγήσανδρος ὁ τοῦτον ἀνειλη-

TESTIMONIUM.

[Misgolas Niciæ filius Piræensis testatur: Timarchum sibi fuisse familiarem, qui aliquando in Euthydici medici taberna sederit, seque pro notitia quæ cum eo intercesserit nunquam ejus summam habere curam destitisse.]

51. Quodsi Timarchus, Athenienses, apud Misgolam mansisset, neque ad alium se contulisset, rectius sibi consuluisset, — si quicquam tamen hujusmodi rectum esse potest —, neque ego quicquam aliud ei objecissem, quam quod legislator aperte dicit, eum pudicitiam duntaxat prostituisse. Nam qui id cum uno perpetrat, ac mercedis ergo facit, eo ipso teneri mihi videtur. (52) Sin refricata vestra memoria, omissis istis agrestibus viris, Cedonide, Autoclide, Thersandro, demonstraro singulos commemorans quorum in ædes fuerit receptus: unde constet eum non solum apud Misgolam corpus suum mercede prostituisse, sed apud alium etiam, et rursus apud alium, atque ab illo ad alium venisse: non modo jam eum prostituisse pudicitiam apparebit, sed — nescio medius fidius quomodo rem per ambages efferam totum diem — pro scorto subagitatum esse. Qui enim petulanter hoc, et apud multos, et mercede facit, is eo ipso teneri mihi videtur.

53. Postquam igitur Misgolas, sumptibus exhaustus, istum a se dimisit, Anticles Calliæ filius Euonymensis recipit. Ac is quidem Sami abest cum colonis. Ea igitur quæ secuta sunt, referam. Timarchus ut ab Anticle et Misgola recessit, non ipse in sese descendit, nec meliorem vitæ rationem est amplexus: sed in aleatorum circulis totos dies versatus, ubi tabula ponitur, et coturnices ac galli gallinacei committuntur, et alea luditur. Vestrûm enim aliquos ea vidisse arbitror, quæ dico, aut saltem audivisse. (54) Est autem ex ejus loci cœtu homo quidam Pittalacus, servus publicus nostræ urbis: qui quum argento abundaret, istum in ea palæstra visum, ad se recepit, et domi habuit. Neque vero impurus iste conditionem illam repudiavit, quum se probro affecturus esset apud hominem servum publicum: sed illud solum spectavit, an præbitorem petulantiæ suæ inventurus esset, nulla unquam honestatis aut turpitudinis habita ratione. (55) Talia porro delicta et tales contumelias audivi ego ab illo homine in istius corpus esse factas, quas ego, ita me Jupiter Opt. Max. juvet, narrare apud vos non audeo. Quibus enim iste re ipsa committendis non erubuit, iis ego aperte duntaxat a me nominatis, vivere recusarim. Sub eadem tempora, quibus apud Pittalacum iste fuit, Hegesander ex Hellesponto huc appellit, qui istum ad

φώς, περὶ οὗ πάλαι εὖ οἶδ' ὅτι θαυμάζετε διότι οὐ μέμνημαι· οὕτως ἐναργές ἐστιν ὃ ἐρῶ. (56) Οὗτος ὁ Ἡγήσανδρος ἀφικνεῖται, ὃν ὑμεῖς ἴστε κάλλιον ἢ ἐγώ. Ἔτυχε δὲ τότε συμπλεύσας εἰς Ἑλλήσποντον ταμίας Τιμομάχῳ τῷ Ἀχαρνεῖ τῷ στρατηγήσαντι, καὶ ἧκε δεῦρο ἀπολελαυκώς, ὡς λέγεται, τῆς ἐκείνου εὐηθείας, ἔχων οὐκ ἐλάττους ἢ ὀγδοήκοντα μνᾶς ἀργυρίου· καὶ τρόπον τινὰ οὐχ ἥκιστα αἴτιος ἐγένετο οὗτος Τιμομάχῳ τῆς συμφορᾶς. (57) Ὢν δ' ἐν τοιαύτῃ ἀφθονίᾳ καὶ φοιτῶν ὡς τὸν Πιττάλακον συγκυβευτὴν ὄντα, καὶ τοῦτον ἐκεῖ πρῶτον ἰδών, ἥσθη τε καὶ ἐπεθύμησε καὶ ἐβουλήθη ὡς αὑτὸν ἀναλαβεῖν, καί πως ἴσως ἡγήσατο εἶναι αὐτὸν ἐγγὺς τῆς αὑτοῦ φύσεως. Πρῶτον μὲν οὖν τῷ Πιτταλάκῳ διελέχθη δεόμενος παραδοῦναι τοῦτον· ὡς δ' οὐκ ἔπειθεν αὐτόν, αὐτῷ τούτῳ προσβάλλει, καὶ οὐ πολὺν
9 ἀνήλωσε χρόνον, ἀλλ' εὐθὺς ἐπεπείκει· καὶ γὰρ εἰς αὐτὸ τὸ πρᾶγμα δεινὴ ἡ κακία καὶ ἀπιστία, ὥστε καὶ ἐξ αὐτῶν τούτων εἰκότως ἂν μισοῖτο. (58) Ὡς δ' ἀπήλλακτο μὲν παρὰ τοῦ Πιτταλάκου, ἀνείληπτο δὲ ὑπὸ τοῦ Ἡγησάνδρου, ὠδυνᾶτο (οἶμαι) ὁ Πιττάλακος τοσοῦτον ἀργύριον μάτην, ὡς ᾤετο, ἀνηλωκώς, καὶ ἐζηλοτύπει τὰ γινόμενα καὶ ἐφοίτα ἐπὶ τὴν οἰκίαν. Ὅτι δὲ αὐτοῖς ἠνώχλει, σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου καὶ Τιμάρχου· (59) μεθυσθέντες γάρ ποτε καὶ αὐτοὶ καὶ ἄλλοι τινὲς ὧν οὐ βούλομαι τὰ ὀνόματα λέγειν, εἰσπηδήσαντες νύκτωρ εἰς τὴν οἰκίαν οὗ ᾤκει ὁ Πιττάλακος, πρῶτον μὲν συνέτριβον τὰ σκευάρια καὶ διερρίπτουν εἰς τὴν ὁδόν, ἀστραγάλους τέ τινας διασείστους καὶ φιμοὺς καὶ κυβευτικὰ ἕτερα ὄργανα, καὶ τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας οὓς ἠγάπα ὁ τρισκακοδαίμων ἄνθρωπος, ἀπέκτειναν, τὸ δὲ τελευταῖον δήσαντες πρὸς τὸν κίονα αὐτὸν τὸν Πιττάλακον ἐμαστίγουν τὰς ἐξ ἀνθρώπων πληγὰς οὕτω πολὺν χρόνον ὥστε καὶ τοὺς γείτονας αἰσθέσθαι τῆς κραυγῆς. (60) Τῇ δ' ὑστεραίᾳ ὑπεραγανακτήσας τῷ πράγματι ὁ Πιττάλακος ἔρχεται γυμνὸς εἰς τὴν ἀγορὰν καὶ καθίζει ἐπὶ τὸν βωμὸν τὸν τῆς μητρὸς τῶν θεῶν. Ὄχλου δὲ συνδραμόντος, οἷον εἴωθε γίνεσθαι, φοβηθέντες ὅ τε Ἡγήσανδρος καὶ ὁ Τίμαρχος μὴ ἀνακηρυχθῇ αὐτῶν ἡ βδελυρία εἰς πᾶσαν τὴν πόλιν (ἐπῄει δὲ ἐκκλησία), θέουσι πρὸς τὸν βωμὸν καὶ αὐτοὶ καὶ τῶν συγκυβευτῶν τινες, (61) καὶ περιστάντες ἐδέοντο τοῦ Πιτταλάκου ἀναστῆναι, λέγοντες ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν. Καὶ αὐτὸς δὲ οὗτος, οὐδέπω μὰ Δία ὥσπερ νῦν ἀργαλέος ὢν τὴν ὄψιν, ἀλλ' ἔτι χρήσιμος, ὑπογενειάζων τὸν ἄνθρωπον καὶ πάντα φάσκων πράξειν ἃ ἂν ἐκείνῳ συνδοκῇ. Πέρας πείθουσιν ἀναστῆναι ἀπὸ τοῦ βωμοῦ τὸν ἄνθρωπον ὡς τευξόμενόν τινος τῶν δικαίων. Ὡς δ' ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, οὐκέτι προσεῖχον αὐτῷ τὸν νοῦν. (62) Βαρέως δὲ φέρων τὴν ὕβριν αὐτῶν ὁ ἄνθρωπος δίκην ἑκατέρῳ αὐτῶν λαγχάνει. Ὅτι δ' ἐδικάζετο (σκέψασθε μεγάλην ῥώμην Ἡγησάνδρου), ἄνθρωπον οὐδὲν αὐτὸν ἠδικηκότα ἀλλὰ τοὐναντίον ἠδικημένον, οὐδὲν προσήκοντα αὐτῷ ἀλλὰ δημόσιον οἰκέτην τῆς πόλεως, ἦγεν εἰς δουλείαν φάσκων ἑαυτοῦ εἶναι

se recepit : cujus satis scio mirari vos cur non dudum mentionem fecerim : adeo evidens est id quod dicam. (56) Is igitur Hegesander rediit : quem vos nostis melius quam ego. Navigarat autem tum pro quæstore cum Timomacho Acharnensi, viro prætorio : et venit huc locupletatus, ut aiunt, illius simplicitate : nec minus quam octoginta argenti minas attulit; et quodammodo non minima illi causa calamitatis fuerat. (57) Tantis igitur opibus affluens, et Pittalaci in ludenda alea sodalis ædes frequentans, isto statim viso gavisus est : eumque expetivit, et ad se recipere voluit, ut quem ab ingenio suo non abhorrere existimaret. Primum igitur ad Pittalacum verba fecit, orans, ut eum sibi traderet. Quo recusante, istum ipsum aggreditur : neque vero longa oratione erat opus : persuadet statim. Nam ad istam rem conficiendam magnas vires habet improbitas et perfidia; quamobrem vel ob hæc ipsa dignus est odio. (58) Ut autem a Pittalaco discesserat et ad Hegesandrum se contulerat, ægre ferebat scilicet Pittalacus, se tantum in istum argenti frustra, ut putabat, insumpsisse : et ea quæ gerebantur ferebat ut rivales solent, et itabat ad ædes illius. Quia vero eis molestus erat, spectate quantum fuerit robur Hegesandri et Timarchi. (59) Nam aliquando inebriati et ipsi, cum collusorum nonnullis, et aliis, quorum nomina non dicam, noctu in ædes, in quibus habitabat Pittalacus, impetu facto, primum vascula contriverunt, et projecerunt in viam talos agitabiles et pyrgos et alia instrumenta aleatoria; et coturnices atque gallos, quos adamabat miserrimus ille homo, occiderunt. Tandem ad columnam alligatum ipsum Pittalacum maximis quæ ab hominibus infligi possent flagris ceciderunt, idque tam longo tempore, ut vicini etiam clamorem exaudirent. (60) Postridie Pittalacus id facinus indignissime ferens, nudus in forum venit, et in ara Matris deorum sedet : quum autem, ut fit, turba hominum concurrisset, metuentes Hegesander et Timarchus, ne sua petulantia per totam urbem proclamaretur, — instabat autem concio, — et ipsi et collusorum quidam accurrunt ad aram, (61) ac circumsistentes orant Pittalacum ut surgat, quum dicerent, totam rem per ebrietatem factam esse : atque iste profecto nondum hirto et aspero vultu, ut nunc, sed adhuc utilis, hominem barba prehendit, et illius arbitratu se omnia facturum promittit; tandem persuadent homini, ut ab ara surgat, ut cui aliquid æqui præstare vellent. Ut autem e foro discesserat, non jam eum curabant. (62) Homo igitur injuriam eorum graviter ferens, diem utrique dicit. Quod autem in jus vocasset — videte magnum robur Hegesandri — hominem a quo nulla sibi orta fuerat injuria, imo contra, quem ipse injuria læserat, eumque non ad se attinentem, sed servum publicum civitatis, abduxit in servitutem, suum

δοῦλον. Ἐν παντὶ δὲ κακῷ γενόμενος ὁ Πιττάλακος προσπίπτει ἀνδρὶ καὶ μάλα χρηστῷ. Ἔστι τις Γλαύκων Χολαργεύς· οὗτος αὐτὸν ἀφαιρεῖται εἰς ἐλευθερίαν. (63) Τὸ δὲ μετὰ τοῦτο δικῶν λήξεις ἐποιήσαντο. Προϊόντος δὲ τοῦ χρόνου ἐπέτρεψαν διαγνῶναι τὸ πρᾶγμα Διοπείθει τῷ Σουνιεῖ, δημότῃ τε ὄντι τοῦ Ἡγησάνδρου καὶ ἤδη ποτὲ καὶ χρησαμένῳ, ὅτ' ἦν ἐν ἡλικίᾳ· παραλαβὼν δὲ τὸ πρᾶγμα ὁ Διοπείθης ἀνεβάλλετο χαριζόμενος τούτοις χρόνους ἐκ χρόνων. (64) Ὡς δὲ παρῆν ἐπὶ τὸ βῆμα τὸ ὑμέτερον ὁ Ἡγήσανδρος, ὅτε καὶ προσεπολέμει Ἀριστοφῶντι τῷ Ἀζηνιεῖ, πρὶν αὐτῷ τὴν αὐτὴν ταύτην ἠπείλησεν ἐπαγγελίαν ἐν τῷ δήμῳ ἥνπερ ἐγὼ Τιμάρχῳ ἐπήγγειλα, καὶ ἐπειδὴ Κρωβύλος ὁ ἀδελφὸς αὐτοῦ ἐδημηγόρει καὶ ὅλως ἀπετόλμων ὑμῖν πρῶτοι οὗτοι περὶ τῶν Ἑλληνικῶν συμβουλεύειν, ἐνταῦθα δὴ καταμεμψάμενος ἑαυτὸν ὁ Πιττάλακος, καὶ ἐκλογισάμενος τίς ὢν πρὸς οὕστινας ἐπολέμει, εὖ ἐβουλεύσατο (δεῖ γὰρ τἀληθῆ λέγειν) ἡσυχίαν ἔχειν, καὶ ἠγάπησεν εἴ τι μὴ προσλάβοι καινὸν κακόν. Ἐνταῦθα δὴ τὴν καλὴν ταύτην νίκην νενικηκὼς ὁ Ἡγήσανδρος ἀκονιτὶ εἶχε παρ' ἑαυτῷ Τίμαρχον τουτονί. (65) Καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, πάντες ἴστε· τίς γὰρ ὑμῶν οὐ πώποτε εἰς τοὖψον ἀφῖκται καὶ τὰς δαπάνας τὰς τούτων οὐ τεθεώρηκεν; ἢ τίς οὐ τοῖς τούτων κώμοις καὶ μοιχείαις περιτυχὼν οὐκ ἠχθέσθη ὑπὲρ τῆς πόλεως; ὅμως δ' ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, κάλει μοι Γλαύκωνα Χολαργέα τὸν ἀφελόμενον εἰς ἐλευθερίαν τὸν Πιττάλακον, καὶ τὰς ἑτέρας μαρτυρίας ἀναγίνωσκε.

esse servum asserens. Pittalacus igitur malis undique oppressus ad genua accidit homini perquam bono. Est quidam Glaucon Cholargensis. Is eum asserit in libertatem. (63) Post hoc sortitiones judiciorum fecerunt. Sed progressu temporis cognitorem sumpserunt Diopithem Suniensem, popularem Hegesandri, et per ætatem illius consuetudine usum. Diopithes suscepta re differt negotium, aliud ex alio tempus reis condonans. (64) Ut autem Hegesander vestrum suggestum conscenderat, — quo tempore Aristophontem quoque Azeniensem oppugnabat, priusquam is ei actionem illam minatus esset apud populum, qua ego Timarchum reum feci —, Crobylus item frater ejus conciones habebat, denique impuri isti primi apud vos ausi fuerunt de rebus Græciæ consilia vobis dare : tum demum Pittalacus, repudiato suo consilio, et ratione inita, quis et ipse esset, et cum quibus bellum gereret, recte sibi consuluit — vera enim dicenda sunt — et quiescere statuit, bene secum agi putans, si nihil novi mali sibi daretur. Hic demum Hegesander pulchram istam victoriam adeptus, Timarchum apud se nulla cum molestia habuit. (65) Et hæc vere a me dici, scitis omnes. Nam quis vestrûm est, qui unquam in forum cupedinarium venerit nec sumptus istorum spectarit? aut quis, quum in istorum comessationes incidisset atque adulteria, reipublicæ vicem non doluit? Tamen, quando in foro sumus, voca mihi Glauconem Cholargensem, qui Pittalacum asseruit in libertatem : et reliqua testimonia lege.

ΜΑΡΤΥΡΙΑ.

66. [Μαρτυρεῖ Γλαύκων Τιμαίου Χολαργεύς. Ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν. Χρόνῳ δ' ὕστερον ἐλθὼν πρὸς ἐμὲ Πιττάλακος ἔφη βούλεσθαι διαλυθῆναι τὰ πρὸς Ἡγήσανδρον, καὶ προπέμψαι αὐτῷ ἄρασθαι ἥν τε αὐτὸς ἐνεκαλέσατο Ἡγήσανδρον καὶ Τίμαρχον καὶ ἣν Ἡγήσανδρος τῆς δουλείας αὐτόν· καὶ διελύθησαν ὡσαύτως.

TESTIMONIUM.

66. [Testatur Glauco Timæi F. Cholargensis. Ego Pittalacum asserui in libertatem, quum ab Hegesandro ad servitutem abduceretur. Aliquanto post me convenit Pittalacus seque dixit transigere velle cum Hegesandro, et misisse ad eum de tollendis actionibus, tam ea qua ipse reum fecisset Hegesandrum et Timarchum, quam illa qua se Hegesander de servitute, eodemque modo transegisse.

ΜΑΡΤΥΡΙΑ.

Ἀμφισθένης μαρτυρεῖ. Ἐγὼ ἀγόμενον εἰς δουλείαν ὑπὸ Ἡγησάνδρου Πιττάλακον ἀφειλόμην εἰς ἐλευθερίαν, καὶ τὰ ἑξῆς.]

TESTIMONIUM.

Amphisthenes testatur. Ego Pittalacum in libertatem asserui quum ab Hegesandro ad servitutem peteretur. Et reliqua.]

67. Οὐκοῦν καὶ αὐτὸν ὑμῖν καλέσω τὸν Ἡγήσανδρον. Γέγραφα δ' αὐτῷ μαρτυρίαν κοσμιωτέραν μὲν ἢ κατ' ἐκεῖνον, μικρῷ δὲ σαφεστέραν ἢ τῷ Μισγόλᾳ. Οὐκ ἀγνοῶ δ' ὅτι ἀπομεῖται καὶ ἐπιορκήσει. Διὰ τί οὖν αὐτὸν καλῶ ἐπὶ τὴν μαρτυρίαν; ἵν' ὑμῖν ἐπιδείξω οἵους ἀπεργάζεται ἀνθρώπους τὸ ἐπιτήδευμα τοῦτο, ὡς καταφρονοῦντας μὲν τῶν θεῶν, ὑπερορῶντας δὲ τοὺς νό-

67. Igitur et ipsum Hegesandrum vocabo vobis. Scripsi autem ei testimonium modestius quam mores ejus postulent, sed paulo tamen evidentius quam Misgolæ. Neque vero nescio ejuraturum esse, et pejeraturum. Cur igitur eum cito ad dicendum testimonium? Ut vobis demonstrem, quales soleat homines reddere istud studium, quam et contemptores deorum, et despectores legum, et prorsus

μους, ὀλιγώρως δὲ ἔχοντας πρὸς ἅπασαν αἰσχύνην. (68) Κάλει μοι τὸν Ἡγήσανδρον.

ΜΑΡΤΥΡΙΑ.

[Ἡγήσανδρος Διφίλου Στειριεὺς μαρτυρεῖ. Ὅτε κατέπλευσα ἐξ Ἑλλησπόντου, κατέλαβον παρὰ Πιτταλάκῳ τῷ κυβευτῇ διατρίβοντα τὸν Τίμαρχον τὸν Ἀριζήλου, καὶ ἐξ ἐκείνης τῆς γνώσεως ἐχρησάμην Τιμάρχῳ ὁμιλῶν τῇ αὐτῇ ἄρσει ᾗ καὶ τὸ πρότερον Λαοδάμαντι.]

69. Οὐκ ἠγνόουν ὅτι ὑπερόψεται τὸν ὅρκον, ὦ Ἀθηναῖοι, ἀλλὰ καὶ προεῖπον ὑμῖν. Κἀκεῖνο δέ μοι πρόδηλόν ἐστιν, ὅτι ἐπειδὴ νῦν οὐκ ἐθέλει μαρτυρεῖν, αὐτίκα πάρεισιν ἐν τῇ ἀπολογίᾳ. Καὶ οὐδὲν μὰ Δία θαυμαστόν· ἀναβήσεται γὰρ ὑμῖν δεῦρο πιστεύων τῷ ἑαυτοῦ βίῳ, ἀνὴρ καλὸς κἀγαθὸς καὶ μισοπόνηρος καὶ τὸν Λεωδάμαντα ὅστις ἦν οὐ γινώσκων, ἐφ' ᾧ ὑμεῖς ἐθορυβήσατε τῆς μαρτυρίας ἀναγινωσκομένης. (70) Ἆρά γε προαχθήσομαί τι σαφέστερον εἰπεῖν ἢ κατὰ τὴν ἐμαυτοῦ φύσιν; εἴπατέ μοι πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ὦ Ἀθηναῖοι, ὅστις αὐτὸν κατῄσχυνε πρὸς Ἡγήσανδρον, οὐ δοκεῖ ὑμῖν πρὸς τὸν πόρνον πεπορνεῦσθαι; ἢ τίνας αὐτοὺς οὐκ οἰόμεθα ὑπερβολὰς ποιεῖσθαι βδελυρίας παροινοῦντας καὶ μονουμένους; οὐκ οἴεσθε τὸν Ἡγήσανδρον ἀπολογούμενον τὰς πρὸς τὸν Λεωδάμαντα πράξεις τὰς περιβοήτους, ἃς ὑμεῖς ἅπαντες σύνιστε, ὑπερήφανα τὰ ἐπιτάγματα ἐπιτάττειν, ὡς ταῖς τούτου ὑπερβολαῖς αὐτὸν δόξοντα μέτρια διαπεπρᾶχθαι; (71) Ἀλλ' ὅμως ὄψεσθε ὅτι καὶ μάλα ἐπιστρεφῶς καὶ ῥητορικῶς αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Κρωβύλος αὐτίκα μάλα δεῦρο ἀναπηδήσαντες ταῦτα μὲν εἶναι πολλῆς ἀβελτερίας φήσουσιν ἃ ἐγὼ λέγω, ἀξιώσουσι δέ με μάρτυρας παρασχέσθαι διαρρήδην μαρτυροῦντας ὅπου ἔπραττεν, ὅπως ἐποίει, ἢ τίς εἶδεν, ἢ τίς ἦν ὁ τρόπος, πρᾶγμα (οἶμαι) ἀναιδὲς λέγοντες. (72) Οὐ γὰρ ἔγωγε ὑπολαμβάνω οὕτως ὑμᾶς ἐπιλήσμονας εἶναι, ὥστε ἀμνημονεῖν ὧν ὀλίγῳ πρότερον ἠκούσατε ἀναγινωσκομένων τῶν νόμων, ἐν οἷς γέγραπται, ἐάν τις μισθώσηταί τινα Ἀθηναίων ἐπὶ ταύτην τὴν πρᾶξιν ἢ ἐάν τις ἑαυτὸν μισθώσῃ, ἔνοχον εἶναι τοῖς μεγίστοις καὶ τοῖς ἴσοις ἐπιτιμίοις. Τίς οὖν οὕτω ταλαίπωρός ἐστιν ἄνθρωπος, ὅστις ἂν ἐθελήσειε σαφῶς τοιαύτην μαρτυρίαν μαρτυρῆσαι, ἐξ ἧς ὑπάρχει αὐτῷ, ἐὰν τἀληθῆ μαρτυρήσῃ, ἐπιδεικνύναι ἔνοχον ὄντα ἑαυτὸν τοῖς ἐσχάτοις ἐπιτιμίοις; (73) Οὐκοῦν ὑπόλοιπόν ἐστι τὸν πεπονθότα ὁμολογεῖν. Ἀλλὰ διὰ τοῦτο κρίνεται, ὅτι ταῦτα πράξας παρὰ τοὺς νόμους ἐδημηγόρει. Βούλεσθε οὖν τὸ ὅλον πρᾶγμα ἀφῶμεν καὶ μὴ ζητῶμεν; Νὴ τὸν Ποσειδῶ καλῶς ἄρα τὴν πόλιν οἰκήσομεν, εἰ ἃ αὐτοὶ ἔργῳ ἴσμεν γινόμενα, ταῦτα ἐὰν μή τις δεῦρο παρελθὼν σαφῶς ἅμα καὶ ἀναισχύντως
11 μαρτυρήσῃ, διὰ τοῦτο ἐπιλησόμεθα.

74. Σκέψασθε δὲ καὶ ἐκ παραδειγμάτων· ἀνάγκη δ' ἴσως ἔσται παραπλήσια παραδείγματα εἶναι τοῖς

omnis verecundiæ negligentes. (68) Voca mihi Hegesandrum.

TESTIMONIUM.

[Hegesander Diphili filius Stiriensis testatur. Quum ex Hellesponto sum reversus, deprehendi apud Pittalacum aleatorem agentem Timarchum Arizeli filium, atque ex illa notitia Timarcho usus sum, eadem cum eo ver·atus ratione qua prius etiam cum Laodamante.]

69. Non ignorabam eum neglecturum esse jusjurandum, Athenienses, sed prædixi vobis. Quin illud etiam prævideo, quum nunc testimonium dicere nolit, statim in defensione proditurum : idque profecto minime mirum. Ascendet autem huc, vita anteacta fretus, quippe vir bonus, et malorum osor, et ignarus qui fuerit Laodamas, ob quem vos inter legendum testimonium tumultum excitastis. (70) Nunquid audebo evidentius, quam pro natura mea, dicere? Dicite mihi, per Jovem deosque reliquos quæso, Athenienses : qui sese dedecore affecit apud Hegesandrum, non videtur vobis scortatus esse cum scorto? Aut quid insignis improbitatis eos putemus prætermisisse, in ebrietate et solitudine? Nonne creditis Hegesandrum ad elevandam infamiam decantatæ illius et vobis omnibus notæ patientiæ, quam ipse Laodamanti præstitisset, res omnem impudentiam excedentes Timarcho imperasse; ut præ summa hujus turpitudine ipse non immodeste se gessisse videatur? (71) Sed tamen videbitis ipsum, et fratrem ejus Crobylum, perquam accurate et oratorie statim huc prosilire ac dicere, quæ ego dicam, ea magnæ esse stultitiæ : ac postulaturos, ut testes producam, qui aperte dicant, ubi egerit, quomodo fecerit, aut quis viderit, aut quæ ratio fuerit : impudenti utentes oratione. (72) Neque enim ego vos tam obliviosos esse arbitror, ut non memineritis legum, quas recitari paulo ante audivistis, in quibus scriptum est : si quis aliquem Atheniensium ad id negotium conduxerit, aut si quis sese elocarit, teneri maximis et paribus pœnis. Quis ergo adeo miser est, qui perspicue velit tale perhibere testimonium, unde, si verum dixerit, ostendat se extremum supplicium commeruisse? (73) Itaque illud est reliquum, ut qui passus est confiteatur. Verum ob hoc accusatur, quod his admissis contra leges conciones habeat. Vultis igitur, ut totam rem omittamus, nec inquiramus scilicet? Egregie profecto urbs administrabitur, si quæ ipsi re ipsa fieri scimus, ea nisi quis nobis huc progressus, simul evidenter et impudenter suo testimonio confirmarit, propterea obliviscemur.

74. Idque vel exemplis intelligite. Est autem necessarium scilicet, exempla esse consimilia Timarchi moribus.

τρόποις τοῖς Τιμάρχου. Ὁρᾶτε τουτουσὶ τοὺς ἐπὶ τῶν οἰκημάτων καθεζομένους, τοὺς ὁμολογουμένως τὴν πρᾶξιν πράττοντας. Οὗτοι μέντοι ὅταν πρὸς τῇ ἀνάγκῃ ταύτῃ γίνωνται, ὅμως πρό γε τῆς αἰσχύνης προβάλλονταί τι καὶ συγκλείουσι τὰς θύρας. Εἰ δή τις ὑμῶν ἔροιτο τοὺς ὁδῷ πορευομένους τί νῦν οὗτος ὁ ἄνθρωπος πράττει, εὐθὺς ἂν εἴποιτε τοῦ ἔργου τοὔνομα, οὐχ ὁρῶντες τὸν εἰσεληλυθότα ὅστις ἦν, ἀλλὰ τὴν προαίρεσιν τῆς ἐργασίας τοῦ ἀνθρώπου συνειδότες καὶ τὸ πρᾶγμα γνωρίζοντες. (75) Οὐκοῦν τὸν αὐτὸν τρόπον προσήκει ὑμᾶς περὶ Τιμάρχου ἐξετάζειν, καὶ μὴ σκοπεῖν εἴ τις εἶδεν, ἀλλ' εἰ πέπρακται τούτῳ ἡ πρᾶξις. Ἐπεὶ πρὸς θεῶν τί δεῖ λέγειν, Τίμαρχε, ἢ τί σὺ ἂν εἴποις αὐτὸς περὶ ἑτέρου ἀνθρώπου ἐπὶ τῇ αἰτίᾳ ταύτῃ κρινομένου; ἢ τί χρὴ λέγειν ὅταν μειράκιον νέον καταλιπὸν τὴν πατρῴαν οἰκίαν ἐν ἀλλοτρίαις οἰκίαις νυκτερεύῃ, τὴν ὄψιν ἑτέρων διαφέρον, καὶ πολυτελῆ δεῖπνα δειπνῇ ἀσύμβολον, καὶ αὐλητρίδας ἔχῃ καὶ ἑταίρας πολυτελεστάτας, καὶ κυβεύῃ, καὶ μηδὲν ἐκτίνῃ αὐτὸς ἀλλ' ἕτερος ὑπὲρ αὐτοῦ; (76) Ἔτι ταῦτα μαντείας προσδεῖται; οὐκ εὔδηλον ὅτι πᾶσα ἀνάγκη τὸν τὰ τηλικαῦτα ἐπιτάγματά τισιν ἐπιτάττοντα καὶ αὐτὸν ἀντὶ τούτων ἡδονάς τινας παρασκευάζειν τοῖς τὸ ἀργύριον προαναλίσκουσιν; Οὐ γὰρ ἔχω μὰ τὸν Δία τὸν Ὀλύμπιον τίνα τρόπον εὐφημότερον μνησθῶ τῶν σοὶ καταγελάστως πεπραγμένων ἔργων.

77. Θεωρήσατε δ', εἰ βούλεσθε, τὸ πρᾶγμα καὶ ἐκ πολιτικῶν τινων παραδειγμάτων, καὶ μάλιστα ἐκ τούτων ἃ νυνὶ μετὰ χεῖρας ἔχετε. Γεγόνασι διαψηφίσεις ἐν τοῖς δήμοις, καὶ ἕκαστος ὑμῶν ψῆφον δέδωκε περὶ τοῦ σώματος, ὅστις Ἀθηναῖος ὄντως ἐστὶ καὶ ὅστις μή. Καὶ ἔγωγε, ἐπειδὰν προσίω πρὸς τὸ δικαστήριον καὶ ἀκροάσωμαι τῶν ἀγωνιζομένων, ὁρῶ ὅτι ἀεὶ τὸ αὐτὸ παρ' ὑμῖν ἰσχύει. (78) Ἐπειδὰν γὰρ εἴπῃ ὁ κατήγορος « ἄνδρες δικασταί, τουτουὶ κατεψηφίσαντο οἱ δημόται ὀμόσαντες, οὐδενὸς ἀνθρώπων οὔτε κατηγορήσαντος οὔτε μαρτυρήσαντος, ἀλλ' αὐτοὶ συνειδότες, » εὐθὺς θορυβεῖτε ὑμεῖς ὡς οὐ μετὸν τῷ κρινομένῳ τῆς πόλεως· οὐδὲν γὰρ (οἶμαι) δοκεῖ προσδεῖσθαι ὑμῖν λόγου οὐδὲ μαρτυρίας ὅσα τις σαφῶς οἶδεν αὐτός. (79) Φέρε δὴ πρὸς τοῦ Διός, εἰ ὥσπερ περὶ τοῦ γένους, οὕτω καὶ περὶ τοῦ ἐπιτηδεύματος τούτου ἐδέησε δοῦναι ψῆφον Τίμαρχον, εἴτ' ἔνοχός ἐστιν εἴτε μή, ἐκρίνετο δὲ τὸ πρᾶγμα ἐν τῷ δικαστηρίῳ, εἰσήγετο δ' εἰς ὑμᾶς ὥσπερ νυνί, μὴ ἐξῆν δ' ἐκ τοῦ νόμου ἢ ψηφίσματος μήτε ἐμοὶ κατηγορεῖν μήτε τούτῳ ἀπολογεῖσθαι, ὁ δὲ κῆρυξ ὁ νυνὶ παρεστηκὼς ἐμοὶ ἐπηρώτα ὑμᾶς τὸ ἐκ τοῦ νόμου κήρυγμα, « τῶν ψήφων ἡ τετρυπημένη, ὅτῳ δοκεῖ πεπορνεῦσθαι Τίμαρχον, ἡ δὲ πλήρης, ὅτῳ μή, » τί ἂν ἐψηφίσασθε; ἀκριβῶς εὖ οἶδ' ὅτι κατέγνωτ' ἂν αὐτοῦ. (80) Εἰ δή τίς με ἔροιτο ὑμῶν « σὺ δὲ τί οἶσθα εἰ ἡμεῖς ἂν τούτου κατεψηφισάμεθα; » εἴποιμ' ἂν « διότι ἐπαρρησιάσασθέ μοι καὶ διείλεχθε. » καὶ ὁπότε καὶ ποῦ ἕκαστος, ἐγὼ ὑμᾶς ὑπομνήσω. Ὅταν οὑτοσὶ ἀναβῇ

Videtis eos qui in prostibulis sedent, et scelus istud admittunt, ut infitias ire non possint. Tamen isti, quum ei necessitati est parendum, dedecus id velamento quodam tegunt, et foris occludunt. Quodsi quis vestrûm illac transeuntes percontetur, quid homo ille tunc agat, statim dicatis nomen illius facinoris : quanquam non videritis quis fuerit ingressus, sed quæstum sciatis ab illo homine institutum, et rem intelligatis. (75) Eodem igitur modo vos decet in Timarchum etiam inquirere : nec illud considerare, an aliquis viderit, sed an res ab eo perpetrata sit. Nam quid per deos, Timarche, dicendum est? aut quid ipse tu diceres de alio homine, qui eodem crimine accusaretur? aut quid dicendum est, quum homo adolescens, paternis ædibus relictis, in aliena domo pernoctat, aliis vultu præstans; quum sumptuosis cœnis fruitur sine suo sumptu; quum et tibicinas habet atque meretrices sumptuosissimas; quum alea ludit, nec ipse quicquam solvit, sed alius pro eo? (76) Numquid adhuc ista divinationem requirunt? non planum est, aliter fieri non posse, quin is qui tot res aliquibus imperet, et ipse pro his voluptates aliquas iis suppeditet, qui argentum in antecessum ei erogant? Neque enim, ita me Jupiter amet, qua alia ratione modestius turpium facinorum tuorum mentionem faciam, invenio.

77. Æstimate autem rem, si vultis, e civilibus exemplis; iisque potissimum quæ nunc in manibus habetis. Suffragia lata sunt in municipiis : et de unoquoque nostrûm in suffragia itum est, sitne vere suffragium Atheniensis, an non sit. Atque ego quum accedo ad judicium, et reos audio, idem apud vos semper valere video. (78) Nam quum dicit accusator : « Judices, hunc populares condemnarunt jurati, nemine accusante aut testimonium in eum dicente, sed ex sua ipsorum conscientia, » statim vos conclamatis, quod quasi reus non habeat jus civitatis. Neque enim vobis opus esse videtur verbis aut testimoniis, iis in rebus, quas quis ipse evidenter novit. (79) Age vero, si quemadmodum de genere, sic de acta vita Timarchi suffragium ferendum fuisset, utrum teneretur necne : et res in vestro judicio disceptata, vobisque proposita fuisset, ut nunc; non licuisset autem per legem aut decretum vel mihi accusare, vel isti causam dicere : sed præco, qui nunc mihi astat, vos legitimo illo præconio hortatus esset : « perforato calculo suam sententiam declaret is cui videtur scortum egisse Timarchus, integro autem cui non » : quidnam pronuntiassetis? Satis scio, vos illum fuisse condemnaturos. (80) Quodsi me quis vestrûm roget, unde ego sciam utrum vos istum condemnaturi fueritis : dixerim, eo quod libere et aperte verbis de hoc erga me verba feceritis : quando et ubi quisque id fecerit, ego vos commonefaciam. Quum

ἐπὶ τὸ βῆμα ἐν τῷ δήμῳ, καὶ ὅτε ἐβούλευσε πέρυσιν, ὅταν μνησθῇ τειχῶν ἐπισκευῆς ἢ πύργου ἢ ὡς ἀπήγετό πού τις, εὐθὺς ἐβοᾶτε καὶ ἐγελᾶτε καὶ αὐτοὶ ἐλέγετε τὴν ἐπωνυμίαν τῶν ἔργων ὧν σύνιστε αὐτῷ. (81) Καὶ τὰ μὲν παλαιὰ ἐάσω, τὰ δὲ ἐν αὐτῇ τῇ ἐκκλησίᾳ γενόμενα, ὅτε ἐγὼ τὴν ἐπαγγελίαν ταύτην Τιμάρχῳ ἐπήγγειλα, ταῦθ' ὑμᾶς ἀναμνῆσαι βούλομαι. Τῆς γὰρ βουλῆς τῆς ἐν Ἀρείῳ πάγῳ πρόσοδον ποιουμένης πρὸς τὸν δῆμον κατὰ τὸ ψήφισμα τὸ τούτου, ὃ οὗτος εἰρήκει περὶ τῶν οἰκήσεων τῶν ἐν τῇ Πνυκί, ἦν μὲν ὁ τὸν λόγον λέγων ἐκ τῶν Ἀρεοπαγιτῶν Αὐτόλυκος, καλῶς νὴ τὸν Δία τὸν Ὀλύμπιον καὶ τὸν Ἀπόλλω καὶ σεμνῶς καὶ ἀξίως ἐκείνου τοῦ συνεδρίου βεβιωκώς· (82) ἐπειδὴ δέ που προϊόντος τοῦ λόγου εἶπεν ὅτι τὸ εἰσήγημα τὸ Τιμάρχου ἀποδοκιμάζει ἡ βουλή, « καὶ περὶ τῆς ἐρημίας ταύτης καὶ τοῦ τόπου τοῦ ἐν τῇ Πνυκὶ μὴ θαυμάσητε, ὦ Ἀθηναῖοι, εἰ Τίμαρχος ἐμπειροτέρως ἔχει τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου, » ἀνεθορυβήσατε ὑμεῖς ἐνταῦθα καὶ ἔφατε τὸν Αὐτόλυκον ἀληθῆ λέγειν· εἶναι γὰρ αὐτὸν ἔμπειρον τούτων. (83) Ἀγνοήσας δ' ὑμῶν τὸν θόρυβον ὁ Αὐτόλυκος, μάλα σκυθρωπάσας καὶ διαλιπὼν εἶπεν « ἡμεῖς τοι, ὦ Ἀθηναῖοι, οἱ Ἀρεοπαγῖται οὔτε κατηγοροῦμεν Τιμάρχου οὔτε ἀπολογούμεθα (οὐ γὰρ ἡμῖν πάτριόν ἐστιν), ἔχομεν δὲ τοιαύτην τινὰ συγγνώμην Τιμάρχῳ· οὗτος ἴσως » ἔφη « ᾠήθη ἐν τῇ ἡσυχίᾳ ταύτῃ μικρὸν ὑμῶν ἑκάστῳ ἀνάλωμα γίνεσθαι· » καὶ πάλιν ἐπὶ τῇ ἡσυχίᾳ καὶ τῷ μικρῷ ἀναλώματι μείζων ἀπήντα παρ' ὑμῶν μετὰ γέλωτος θόρυβος. (84) Ὡς δ' ἐπεμνήσθη τῶν οἰκοπέδων καὶ τῶν λάκκων, οὐδ' ἀναλαβεῖν αὐτοὺς ἠδύνασθε. Ἔνθα δὴ καὶ παρέρχεται Πύρρανδρος ἐπιτιμήσων ὑμῖν, καὶ ἤρετο τὸν δῆμον εἰ οὐκ αἰσχύνοιντο γελῶντες παρούσης τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου. Ὑμεῖς δ' ἐξεβάλετε αὐτὸν ὑπολαβόντες « ἴσμεν, ὦ Πύρρανδρε, ὅτι οὐ δεῖ γελᾶν τούτων ἐναντίον· ἀλλ' οὕτως ἰσχυρόν ἐστιν ἡ ἀλήθεια ὥστε πάντων ἐπικρατεῖ τῶν ἀνθρωπίνων λογισμῶν. » (85) Ταύτην ἐγὼ ὑπολαμβάνω τὴν μαρτυρίαν μεμαρτυρῆσθαι ὑμῖν ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων, ἣν ἁλῶναι ψευδομαρτυριῶν οὐ καλῶς ἔχει. Οὐκοῦν ἄτοπον ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ μηδὲν μὲν ἐμοῦ λέγοντος αὐτοὶ βοᾶτε τὴν ἐπωνυμίαν τῶν ἔργων ὧν σύνιστε τούτῳ, ἐμοῦ δὲ λέγοντος ἐπιλέλησθε, καὶ μὴ γενομένης μὲν κρίσεως περὶ τοῦ πράγματος ἥλω ἄν, γεγονότος δὲ ἐλέγχου ἀποφεύξεται.

86. Ἐπεὶ δὲ ἐμνήσθην τῶν διαψηφίσεων καὶ τῶν Δημοφίλου πολιτευμάτων, βούλομαι καὶ ἄλλο τι παράδειγμα περὶ τούτων εἰπεῖν. Ὁ γὰρ αὐτὸς οὗτος ἀνὴρ καὶ πρότερόν τι τοιοῦτον πολίτευμα ἐπολιτεύσατο. Ἠτιάσατό τινας εἶναι οἵπερ ἄρα ἐνεχείρουν συνδεκάζειν τὴν ἐκκλησίαν καὶ τἆλλα δικαστήρια, ὥσπερ καὶ νυνὶ Νικόστρατος· καὶ περὶ τούτων κρίσεις αἱ μὲν ἐγένοντο πάλαι, αἱ δὲ νῦν ἐνεστᾶσιν ἔτι. (87) Φέρε δὴ πρὸς τοῦ Διὸς καὶ τῶν θεῶν, εἰ ἐπὶ τὴν αὐτὴν ἐτράποντο ἀπολογίαν ἥνπερ Τίμαρχος νυνὶ καὶ οἱ συναγορεύοντες αὐτῷ, καὶ ἠξίουν διαρρήδην μαρτυρεῖν περὶ τῆς αἰτίας ἢ τοὺς

iste apud populum suggestum conscenderet, quum in senatu anno superiore esset, quum mentionem faceret mœnium aut turrium reficiendorum, vel ut aliquis quopiam abductus esset : tum statim ridebatis, et clamabatis, et ipsi dicebatis cognomina rerum, quarum ei estis conscii. (81) Ac multa quidem vetera omittam : quæ vero in ipsa concione acta sunt, quum ego Timarcho judicium hoc denuntiavi, ea vobis in memoriam revocabo. Nam quum senatus Areopagiticus populum ex istius decreto accederet, quod iste fecerat de domiciliis in Pnyce : orationem nomine senatus Areopagitici habebat Autolycus, qui, ita me dii ament, bene honesteque et pro ejus concilii dignitate vixerat : (82) sed ubi tandem in orationis progressu dixit, senatum Timarchi sententiam improbare : « Et quod hanc solitudinem et locum in Pnyce attinet, ne miremini, inquit, Athenienses, si Timarchus in his peritia senatum superat » : ibi vos plausum excitastis, et Autolycum vera loqui dixistis; esse enim eum locorum illorum peritum. (83) Autolycus autem plausu vestro non intellecto, severo admodum vultu post intervallum dixit : « Nos Areopagitæ, Athenienses, Timarchum nec accusamus, nec defendimus, — neque enim patrium id nobis est, — sed hanc veniam Timarcho damus. Is fortassis, inquit, putavit in hoc silentio parvum a nostrûm unoquoque sumptum fieri. » Rursus ob silentium et parvum sumptum, major vester eum excepit cum risu plausus. (84) Ut vero mentionem fecit arearum et canalium, risu pene emortui estis. Ibi Pyrrhander prodit vos objurgaturus : et rogat populum, an non puderet ridere præsente senatu Areopagitico. Vos autem repudiato eo respondistis : « Scimus, Pyrrhander, coram his non esse ridendum : sed res adeo fortis est veritas, ut omnes humanas cogitationes vincat. » (85) Hoc ego testimonium vobis esse perhibitum existimo a populo Atheniensi, quod mendacii coargui nefas est. Absurdum igitur fuerit, Athenienses, si, me nihil dicente, ipsi proclamatis cognomentum facinorum, quorum isti estis conscii, me vero dicente obliti estis; et si, quum de ea re judicium non haberetur, condemnatus esset, nunc vero, quum judicio de eadem inquiratur, absolvetur.

86. Quoniam autem populi recensionem sive Demophili institutum modo memoravi, aliud etiam his de rebus exemplum adducam. Idem enim hic vir prius etiam hujusmodi quippiam gessit. Conquestus est, esse quosdam qui instituerent corrumpere concionem, ceteraque judicia, quemadmodum etiam nunc Nicostratus; et his de rebus judicia quædam olim facta sunt, quædam etiam nunc fiunt. (87) Agite vero, per deos immortales, si eadem qua nunc Timarchus ejusque patroni defensione usi fuissent, ac postulassent, ut aut aliquis perspicue testificaretur de crimine, aut judices non cre-

δικασταῖς μὴ πιστεύειν, ἅπασα δήπου ἀνάγκη ἦν ἐκ τοῦ λόγου τούτου μαρτυρεῖν τὸν μὲν ὡς ἐδέκαζε, τὸν δὲ ὡς ἐδεκάζετο, προκειμένης ἑκατέρῳ ζημίας ἐκ τοῦ νόμου θανάτου, ὥσπερ ἐνθάδ' ἐάν τις μισθώσηταί τινα Ἀθηναίων ἐφ' ὕβρει, καὶ πάλιν ἐάν τις Ἀθηναίων ἐπὶ τῇ τοῦ σώματος αἰσχύνῃ ἑκὼν μισθαρνῇ. (88) Ἔστιν οὖν ὅστις ἐμαρτύρησεν, ἢ κατήγορος ὃς ἐνεχείρησε τοιαύτην τὴν ἀπόδειξιν ποιεῖσθαι τοῦ πράγματος; οὐ δῆτα. Τί οὖν; ἀπέφυγον οἱ κρινόμενοι; μὰ τὸν Ἡρακλέα, ἐπεὶ θανάτῳ ἐζημιώθησαν, πολὺ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω ἔλαττον ἁμάρτημα ἡμαρτηκότες τουτουὶ τοῦ ἀνθρώπου. Ἐκεῖνοι μέν γε οἱ ταλαίπωροι οὐ δυνάμενοι γῆρας ἅμα καὶ πενίαν ὑπενεγκεῖν, τὰ μέγιστα τῶν ἐν ἀνθρώποις κακῶν, ταύταις ἐχρήσαντο ταῖς συμφοραῖς, οὗτος δ' οὐκ ἐθέλων τὴν ἑαυτοῦ βδελυρίαν κατέχειν.

89. Εἰ μὲν τοίνυν ἦν ὁ ἀγὼν οὑτοσὶ ἐν πόλει ἐκκλήτῳ, ὑμᾶς ἂν ἔγωγε ἠξίωσα μάρτυράς μοι γενέσθαι, τοὺς ἄριστα εἰδότας ὅτι ἀληθῆ λέγω· εἰ δ' ὁ μὲν ἀγών ἐστιν Ἀθήνησιν, οἱ δ' αὐτοὶ δικασταί μοι καὶ μάρτυρές ἐστε τῶν λόγων, ἐμοὶ μὲν ἀναμιμνήσκειν προσήκει, ὑμᾶς δέ μοι μὴ ἀπιστεῖν. Καὶ γάρ μοι δοκεῖ Τίμαρχος οὑτοσὶ οὐχ ὑπὲρ αὑτοῦ μόνον, ὦ Ἀθηναῖοι, ἐσπουδακέναι, ἀλλὰ καὶ περὶ τῶν ἄλλων τῶν ταὐτὰ διαπεπραγμένων αὐτῷ. (90) Εἰ γὰρ ἡ μὲν πρᾶξις αὕτη ἔσται,
13 ὥσπερ εἴωθε γίνεσθαι, λάθρᾳ καὶ ἐν ἐρημίᾳ καὶ ἐν ἰδίαις οἰκίαις, ὁ δὲ ἄριστα μὲν εἰδώς, καταισχύνας δέ τινα τῶν πολιτῶν, ἐὰν τἀληθῆ μαρτυρήσῃ, ἔνοχος ἔσται τοῖς μεγίστοις ἐπιτιμίοις, ὁ δὲ κρινόμενος καταμεμαρτυρημένος ὑπὸ τοῦ βίου τοῦ ἑαυτοῦ καὶ τῆς ἀληθείας ἀξιώσει μὴ ἐξ ὧν γινώσκεται, ἀλλ' ἐκ τῶν μαρτυριῶν κρίνεσθαι, ἀνῄρηται ὁ νόμος καὶ ἡ ἀλήθεια, καὶ δέδεικται φανερὰ ὁδὸς δι' ἧς οἱ τὰ μέγιστα κακουργοῦντες ἀποφεύξονται. (91) Τίς γὰρ ἢ τῶν λωποδυτῶν ἢ τῶν κλεπτῶν ἢ τῶν μοιχῶν ἢ τῶν ἀνδροφόνων ἢ τῶν τὰ μέγιστα μὲν ἀδικούντων, λάθρᾳ δὲ τοῦτο πραττόντων δώσει δίκην; καὶ γὰρ τούτων οἱ μὲν ἐπ' αὐτοφώρῳ ἁλόντες, ἐὰν μὲν ὁμολογῶσι, παραχρῆμα θανάτῳ ζημιοῦνται, οἱ δὲ λαθόντες καὶ ἔξαρνοι γενόμενοι κρίνονται ἐν τοῖς δικαστηρίοις· εὑρίσκεται γὰρ ἡ ἀλήθεια ἐκ τῶν εἰκότων.

92. Χρήσασθε δὴ παραδείγματι τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου, τῷ ἀκριβεστάτῳ συνεδρίῳ τῶν ἐν τῇ πόλει. Πολλοὺς γὰρ ἤδη ἔγωγ' ἐνάγχος τεθεώρηκα ἐν τῷ βουλευτηρίῳ τούτῳ εὖ πάνυ εἰπόντας καὶ μάρτυρας πορισαμένους ἁλόντας· ἤδη δέ τινας πάνυ κακῶς διαλεχθέντας καὶ πρᾶγμα ἀμάρτυρον ἔχοντας οἶδα νικήσαντας. Οὐ γὰρ ἐκ τοῦ λόγου μόνον οὐδ' ἐκ τῶν μαρτυριῶν, ἀλλ' ἐξ ὧν αὐτοὶ ἴσασι καὶ ἐξητάκασι, τὴν ψῆφον φέρουσι. Τοιγάρτοι διατελεῖ τοῦτο τὸ συνέδριον εὐδοκιμοῦν ἐν τῇ πόλει. (93) Τὸν αὐτὸν τοίνυν τρόπον, ὦ Ἀθηναῖοι, καὶ ὑμεῖς τὴν κρίσιν ταύτην ποιήσασθε, καὶ πρῶτον μὲν μηδὲν ὑμῖν ἔστω πιστότερον ὧν αὐτοὶ σύνιστε καὶ πέπεισθε περὶ Τιμάρχου τούτου. ἔπειτα τὸ

derent, ea ratione omnino scilicet necessarium fuisset, illum testari se corrupisse, alium, se corruptum esse, quum in utrumque pœna capitis legibus sancitum sit: quemadmodum hic, si quis aliquem Atheniensem ad contumeliam conduxerit, ac vicissim si quis Atheniensis ultro ad dedecus mercede se prostituerit. (88) Est vero aut testis qui testificatus sit, aut accusator qui factum eo pacto demonstrare instituerit? Nullus utique. Quid ergo? absoluti sunt rei? Non mehercule, sed capite pœnas dederunt: quum quidem eorum peccatum sit longe minus istius flagitiis. Nam illi miseri, quum non possent paupertatem simul et senectutem tolerare, quæ gravissima in rebus humanis mala sunt, in eas calamitates inciderunt: iste eo quod suam petulantiam noluit coercere.

89. Quodsi causa hæc in alia urbe ageretur, vos ego testes citassem, ut qui optime sciretis, me dicere verum: sed quum Athenis agatur, atque iidem meæ sitis et judices et testes orationis, meum est vos admonere, vestrum credere. Timarchus etenim mihi videtur, judices, non suum dumtaxat negotium agere, sed ceterorum etiam, qui eadem cum ipso facinora commiserunt. (90) Nam si scelus ipsum, ut solet, clam committetur atque in solitudine et in ædibus privatis, qui autem optime novit, atque civium aliquem probro afficit, si verum testimonium dixerit, in maximis periculis versabitur; reus autem, suæ vitæ ac veritatis oppressus testimonio, postulabit ut de se judicium fiat, non ex sui notitia, sed ex testimoniis: tolletur et lex et veritas, et evidens monstrata erit via, qua homines maximis constricti facinoribus elabantur. (91) Quis enim aut grassator, aut fur, aut adulter, aut homicida, aut gravissimorum scelerum patrator, modo occulte faciat, dabit pœnas? Inter hos enim, ii qui in ipso facinore deprehenduntur, et fatentur, statim occiduntur: qui autem clam fecerunt, et infitiando sunt, in judicium adducuntur. Veritas enim conjecturis quibusdam verisimilibus indagatur.

92. In quo uti potestis exemplo senatus Areopagitici, quo nullum est in urbe diligentius concilium. Multos enim ego vidi nuper in ea curia, quum optime dixissent, et testes produxissent, succubuisse: atque etiam aliquos, causa male perorata et nullis testibus confirmata, vicisse. Neque enim ex oratione dumtaxat, neque ex testibus, sed ex sua conscientia et indagatione suffragium ferunt. Itaque hoc concilium in urbe semper est cum auctoritate. (93) Ad eundem igitur modum et vos, Athenienses, in hac facite controversia; ac primum nihil vobis sit credibilius eo quod ipsi scitis ac persuasum habetis de hoc Timarcho: deinde

πρᾶγμα θεωρεῖτε μὴ ἐκ τοῦ παρόντος, ἀλλ' ἐκ τοῦ παρεληλυθότος χρόνου. Οἱ μὲν γὰρ ἐν τῷ παρεληλυθότι χρόνῳ λόγοι λεγόμενοι περὶ Τιμάρχου καὶ τῶν τούτου ἐπιτηδευμάτων διὰ τὴν ἀλήθειαν ἐλέγοντο, οἱ δ' ἐν τῇδε τῇ ἡμέρᾳ ῥηθησόμενοι διὰ τὴν κρίσιν τῆς ὑμετέρας ἀπάτης ἕνεκα. Ἀπόδοτε οὖν τὴν ψῆφον τῷ πλείονι χρόνῳ καὶ τῇ ἀληθείᾳ καὶ οἷς αὐτοὶ ὑμεῖς σύνιστε.

94. Καίτοι λογογράφος γέ τίς φησιν, ὁ μηχανώμενος αὐτοῖς τὴν ἀπολογίαν, ἐναντία με λέγειν ἐμαυτῷ. Οὐ γὰρ δὴ δοκεῖ εἶναι αὐτῷ δυνατὸν τὸν αὐτὸν ἄνθρωπον πεπορνεῦσθαι καὶ τὰ πατρῷα κατεδηδοκέναι· τὸ μὲν γὰρ ἡμαρτηκέναι τι περὶ τὸ σῶμα παιδὸς εἶναί φησι, τὸ δὲ τὰ πατρῷα κατεδηδοκέναι ἀνδρός. Ἔτι δὲ τοὺς καταισχύνοντας αὑτοὺς μισθούς φησι πράττεσθαι τοῦ πράγματος· ἀποθαυμάζων οὖν περιέρχεται καὶ τερατευόμενος κατὰ τὴν ἀγοράν, εἰ ὁ αὐτὸς πεπόρνευταί τε καὶ τὰ πατρῷα κατεδήδοκεν. (95) Εἰ δέ τις ἀγνοεῖ ταῦθ' ὅπως ἔχει, ἐγὼ σαφέστερον αὐτὰ πειράσομαι διορίσαι τῷ λόγῳ. Ἕως μὲν γὰρ ἀντήρκει ἡ τῆς ἐπικλήρου οὐσία, ἣν ὁ Ἡγήσανδρος ὁ τοῦτον ἔχων ἔγημε, καὶ τὸ ἀργύριον ὃ ἦλθεν ἔχων ἐκ τῆς μετὰ Τιμομάχου ἀποδημίας, ἦσαν ἐπὶ πολλῆς ἀσελγείας καὶ ἀφθονίας· ἐπειδὴ δὲ ταῦτα μὲν ἀπωλώλει καὶ κατεκεκύβευτο καὶ κατωψοφάγητο, οὑτοσὶ δ' ἔξωρος ἐγένετο, ἐδίδου δ' εἰκότως οὐδεὶς ἔτι οὐδέν, ἡ δὲ βδελυρὰ φύσις καὶ ἀνόσιος ἡ τούτου ἀεὶ τῶν αὐτῶν ἐπεθύμει καὶ καθ' ὑπερβολὴν ἀκρασίας ἕτερον ἐφ' ἑτέρῳ ἐπίταγμα ἐπέταττε καὶ ἀπεφέρετο εἰς τὸ καθ' ἡμέραν ἔθος, ἐνταῦθα δὴ ἐτράπετο ἐπὶ τὸ καταφαγεῖν τὴν πατρῴαν οὐσίαν. (96) Καὶ οὐ μόνον κατέφαγεν, ἀλλ' εἰ οἷόντ' ἐστὶν εἰπεῖν, καὶ κατέπιεν. Καὶ γὰρ οὐδὲ τῆς ἀξίας ἕκαστον τῶν κτημάτων ἀπέδοτο, οὐδ' ἐδύνατ' ἀναμένειν τὸ πλέον οὐδὲ τὸ λυσιτελοῦν, ἀλλὰ τοῦ ἤδη εὑρίσκοντος ἀπεδίδοτο· οὕτως ἠπείγετο σφόδρα πρὸς τὰς ἡδονάς. (97) Τούτῳ γὰρ κατέλιπεν ὁ πατὴρ οὐσίαν ἀφ' ἧς ἕτερος μὲν ἂν καὶ ἐλειτούργει, οὗτος δὲ οὐδ' αὑτῷ διαφυλάξαι ἐδυνήθη. Οἰκίαν μὲν γὰρ ὄπισθεν τῆς πόλεως, ἐσχατιὰν δὲ Σφηττοῖ, Ἀλωπεκῆσι δ' ἕτερον χωρίον, χωρὶς δὲ οἰκέτας δημιουργοὺς 14 τῆς σκυτοτομικῆς τέχνης ἐννέα ἢ δέκα, ὧν ἕκαστος τούτῳ δύ' ὀβολοὺς ἀποφορὰν ἔφερε τῆς ἡμέρας, ὁ δ' ἡγεμὼν τοῦ ἐργαστηρίου τριώβολον· ἔτι δὲ πρὸς τούτοις γυναῖκα ἀμόργινα ἐπισταμένην ἐργάζεσθαι καὶ ἔργα λεπτὰ εἰς τὴν ἀγορὰν ἐκφέρουσαν, καὶ ἄνδρα ποικιλτήν, καὶ ὀφείλοντάς τινας αὐτῷ ἀργύριον, καὶ ἔπιπλα. (98) Ὅτι δὲ ταῦτ' ἀληθῆ λέγω, ἐνταῦθα μέντοι νὴ Δία σαφῶς πάνυ καὶ διαρρήδην ἐγὼ μαρτυροῦντας ὑμῖν τοὺς μάρτυρας παρέξομαι· οὐδεὶς γὰρ κίνδυνος, ὥσπερ ἐκεῖ, οὐδ' αἰσχύνη πρόσεστιν οὐδεμία τῷ τἀληθῆ μαρτυροῦντι. Τὴν μὲν γὰρ οἰκίαν τὴν ἐν ἄστει ἀπέδοθ' οὗτος Ναυσικράτει τῷ κωμικῷ ὑποκριτῇ, ὕστερον δ' αὐτὴν ἐπρίατο παρὰ τοῦ Ναυσικράτους εἴκοσι μνῶν Κλεαίνετος ὁ χοροδιδάσκαλος· τὴν δ' ἐσχατιὰν ἐπρίατο παρ' αὐτοῦ Μνησίθεος ὁ Μυρρινούσιος, τόπον μὲν πολύν, δεινῶς δ' ἐξηγριωμένον ὑπὸ τούτου· (99) τὸ

rem æstimate non ex præsenti, sed ex præterito tempore. Nam qui sermones superiori tempore fiebant de Timarcho ejusque studiis, eo quod veri essent, fiebant: qui autem hoc die dicentur, propter hoc discrimen, vestri decipiendi gratia fiunt. Appendite ergo calculum longiori tempori et veritati et conscientiæ vestræ.

94. Enimvero scriptor quidam orationum, qui defensionem eis concinnat, me ipsum pugnare mecum asserit. Neque enim ei posse fieri videtur, ut idem homo et quæstum corpore fecerit et decoxerit. Nam peccatum aliquod in suum corpus admisisse, id pueri esse ait; patrimonium autem per luxum absumpsisse, viri. Præterea eos qui semetipsos probris afficiant, ob eam rem exigere mercedes asserit. Proinde admirabundus circuit in foro, portenti esse simile dictitans, si idem et quæstum corpore fecerit, et decoxerit. (95) Quæ si quis est qui nesciat quomodo se habeant, ego dabo operam ut verbis ea definiam planius. Nam dum opes orbæ, quam Hegesander Timarchi maritus duxerat, sumptus tolerare poterant, et ea pecunia quam ex Timomachea peregrinatione retulerat: luxuriosissime lautissimeque vivebant. Sed quum et illa perissent, alea et cupediis exhausta, et iste jam exoletus esset, nemoque jam, ut fieri solet, quicquam ei largiretur; ingenium autem ejus importunum et nefarium eadem subinde postularet, et pro inexplebili intemperantiæ siti aliud atque aliud imperaret, quod pro quotidiana consuetudine absumeretur: tum demum ad paternas facultates devorandas se convertit. (96) Neque vero vorando solum, sed, si dici fas est, etiam potando exhausit. Neque enim justo quamque possessionem pretio distraxit, neque auctionatus est, aut utilitatis rationem ducere potuit, sed tanti vendidit, quantum in præsentia offerebatur. Tanto impetu ad voluptates ferebatur. (97) Nam eas illi pater facultates reliquerat, unde alius etiam reipublicæ contulisset: eas vero iste ne conservare quidem potuit. Videlicet domum pone acropolin sitam, fundum Sphettium, aliud prædium Alopecense: præterea servos sutoriæ artis peritos novem aut decem, quorum quisque binos isti obolos in dies singulos pendebat, opificii vero magister ternos: ad hæc mulierem byssi texendæ peritam, et subtilia opera in forum afferre solitam, et hominem phrygionem, et æs quod nonnulli ei debebant, supellectilem denique. (98) Et hæc ut vere a me dici constet, nunc eos producam, qui plane atque aperte testificentur. Neque enim hic ullum periculum aut dedecus, ut illic, verum testimonium perhibenti accedet. Nam urbanas ædes Nausicrati comico histrioni vendidit; post autem eas a Nausicrate xx minis emit Cleænetus, chori magister: fundum emit ab eo Mnesitheus Myrrhinusius, amplum illum quidem, sed istius culpa prorsus tribulis et sentibus obsitum:

δ' Ἀλωπεκῆσι χωρίον, ὃ ἦν ἄποθεν τοῦ τείχους ἕνδεκα ἢ δώδεκα στάδια, ἱκετευούσης καὶ ἀντιβολούσης τῆς μητρός (ὡς ἐγὼ πυνθάνομαι) ἐᾶσαι καὶ μὴ ἀποδόσθαι, ἀλλ' εἰ μή τι ἄλλο, ἐνταφῆναι ὑπολιπεῖν αὐτῇ, οὐδὲ τούτου τοῦ χωρίου ἀπέσχετο, ἀλλὰ καὶ τοῦτ' ἀπέδοτο δισχιλίων δραχμῶν. Καὶ τῶν θεραπαινῶν καὶ τῶν οἰκετῶν οὐδένα κατέλιπεν, ἀλλ' ἅπαντα πέπρακε. Καὶ ταῦθ' ὅτι οὐ ψεύδομαι, ἐγὼ μὲν ὡς κατέλιπεν αὐτῷ ὁ πατὴρ μαρτυρίας παρέξομαι, οὗτος δ' εἰ μὴ φήσει πεπρακέναι, τὰ σώματα τῶν οἰκετῶν ἐμφανῆ παρεχέσθω. (100) Ὡς δὲ καὶ ἀργύριόν τισιν ἐδάνεισεν, ὃ κομισάμενος οὗτος ἀνήλωκε, μάρτυρα παρέξομαι Μεταγένην ὑμῖν τὸν Σφήττιον, ὃς ὠφείλησε μὲν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς, ὃ δ' ἦν ὑπόλοιπον τελευτήσαντος τοῦ πατρός, τούτῳ ἀπέδωκεν ἑπτὰ μνᾶς Τιμάρχῳ. Καί μοι κάλει Μεταγένην τὸν Σφήττιον. Πασῶν δὲ πρώτην ἀνάγνωθι τὴν Ναυσικράτους μαρτυρίαν τοῦ τὴν οἰκίαν πριαμένου· καὶ τὰς ἄλλας ἁπάσας λαβὲ περὶ ὧν ἐμνήσθην ἐν τῷ αὐτῷ λόγῳ.

ΜΑΡΤΥΡΙΑΙ.

101. Ὡς τοίνυν ἐκέκτητο ὁ πατὴρ αὐτοῦ ἀργύριον οὐκ ὀλίγον, ὃ οὗτος ἠφάνικε, τοῦθ' ὑμῖν ἐπιδείξω. Φοβηθεὶς γὰρ τὰς λειτουργίας ἀπέδοτο ἃ ἦν αὐτῷ κτήματα, ἄνευ τῶν ἀρτίως εἰρημένων χωρίον Κηφισιᾶσιν ἕτερον, ἀγρὸν Ἀμφιτροπῆσιν, ἐργαστήρια δύο ἐν τοῖς ἀργυρείοις, ἓν μὲν ἐν Αὐλῶνι, ἕτερον δ' ἐπὶ Θρασύλλῳ. Ὅθεν δὲ ταῦτ' ηὐπόρησεν, ἐγὼ ἐρῶ. (102) Ἦσαν οὗτοι τρεῖς ἀδελφοί, Εὐπόλεμός τε ὁ παιδοτρίβης καὶ Ἀρίζηλος ὁ τούτου πατὴρ καὶ Ἀρίγνωτος, ὃς ἔτι καὶ νῦν ἔστι, πρεσβύτης διεφθαρμένος τοὺς ὀφθαλμούς. Τούτων πρῶτος ἐτελεύτησεν Εὐπόλεμος, ἀνεμήτου τῆς οὐσίας οὔσης, δεύτερος δ' Ἀρίζηλος ὁ Τιμάρχου πατήρ· ὅτε δ' ἔζη, πᾶσαν τὴν οὐσίαν διεχείριζε διὰ τὴν ἀσθένειαν καὶ τὴν συμφορὰν τὴν περὶ τὰ ὄμματα τοῦ Ἀριγνώτου καὶ διὰ τὸ τετελευτηκέναι τὸν Εὐπόλεμον, καί τι καὶ εἰς τροφὴν συνταξάμενος ἐδίδου τῷ Ἀριγνώτῳ. (103) Ἐπεὶ δὲ καὶ ὁ Ἀρίζηλος ἐτελεύτησεν ὁ Τιμάρχου τουτουὶ πατήρ, τοὺς μὲν πρώτους χρόνους ἕως παῖς ἦν οὗτος, ἅπαντα τὰ μέτρια ἐγίνετο παρὰ τῶν ἐπιτρόπων τῷ Ἀριγνώτῳ· ἐπειδὴ δ' ἐνεγράφη Τίμαρχος οὗτος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον καὶ κύριος ἐγένετο τῆς οὐσίας, παρωσάμενος ἄνδρα πρεσβύτην καὶ ἠτυχηκότα, θεῖον ἑαυτοῦ, τήν τε οὐσίαν ἠφάνισε καὶ τῶν ἐπιτηδείων οὐδὲν ἐδίδου τῷ Ἀριγνώτῳ, ἀλλὰ περιεῖδεν ἐκ τοσαύτης οὐσίας ἐν τοῖς ἀδυνάτοις μισθοφοροῦντα. (101) Καὶ τὸ τελευταῖον, ὃ καὶ δεινότατον, ἀπολειφθέντος τοῦ πρεσβύτου τῆς γινομένης τοῖς ἀδυνάτοις δοκιμασίας, ἱκετηρίαν θέντος εἰς τὴν βουλὴν ὑπὲρ τοῦ μισθοῦ, βουλευτὴς ὢν καὶ προεδρεύων ἐκείνην τὴν ἡμέραν, οὐκ ἠξίωσεν αὐτῷ συνειπεῖν, ἀλλὰ περιεῖδεν ἀπολέσαντα τὸν τῆς πρυτανείας μισθόν. Ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι καὶ Ἀρίγνωτον τὸν Σφήττιον καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε.

(99) Alopecense porro prædium quod a mœnibus XI aut XII stadia distat, supplicante et obtestante matre ut retineret, neque venderet, et, si non in aliud, saltem ad sepulturam suam reservaret, ne ab eo quidem prædio abstinuit: sed id quoque duobus drachmarum millibus vendidit. Neque ancillarum aut servorum ullum retinuit, sed omnes venumdedit. Quæ non fingi a me ex eo intelligetur, quod testimoniis declarabitur, hæc ei a patre relicta fuisse: quæ si se vendidisse negat, corpora servorum in conspectum producat. (100) Eundem etiam isti æs alienum reliquisse, idque ab isto absumptum esse, Metagenis Sphettii testimonio probabo: qui quidem illi amplius XXX minas debuerat; id vero quod reliquum fuerat, defuncto patre, Timarcho reddidit, septem minas. Accerse mihi Metagenem Sphettium. Sed primum omnium lege Nausicratis testimonium, qui ædes emit, et cetera cape omnia, quorum in oratione mentionem feci.

TESTIMONIA.

101. Jam patrem ejus argenti non parum possedisse, quod iste dissipavit, hoc vobis demonstrabo. Veritus enim munera publica, possessiones quas habuit vendidit, præter prædia supra commemorata: videlicet aliud prædium Cephisiense, agrum Amphitropensem et officinas duas in argentifodinis: alteram in Aulone, alteram ad Thrasyllum. Eas possessiones autem unde sit consecutus exponam. (102) Tres fuerunt fratres: Eupolemus lanista, Arizelus istius pater, et Arignotus, etiam nunc superstes, senex, orbus oculis. Horum primus obiit Eupolemus, non diviso patrimonio: secundus Arizelus, Timarchi pater. Qui, dum vivebat, omnes facultates tractabat propter Arignoti morbum et oculorum calamitatem atque obitum Eupolemi, certamque Arignoto pecuniam, quam ei pro victu ordinarat, pensitabat. (103) Ut autem Arizelus etiam, Timarchi pater, obierat: primis quidem temporibus, dum iste puer adhuc erat, Arignoto a tutoribus æqua omnia præstabantur; posteaquam vero in album civitatis inscriptus erat Timarchus, atque opes in suam redegerat potestatem, repulso homine sene et calamitoso, eoque patruo suo, facultates ipse disperdidit et ad victum necessaria tum Arignoto non suppeditavit: sed tantis opibus privatum nomen inter invalidos dare passus est. (1C4) Denique, id quod est omnium gravissimum, quum senex invalidorum explorationi non interfuisset atque senatui pro mercede impetranda supplicasset, iste quum et senator et præses eo die esset, illi patrocinari noluit, sed amittere eum stipem, quam prytanes invalidis erogare soleat, passus est. Quæ ut vere me dicere constet, voca Arignotum, ejusque testimonium recita.

ΜΑΡΤΥΡΙΑ.

105. Ἀλλ' ἴσως ἄν τις εἴποι ὡς ἀποδόμενος τὴν πατρῴαν οἰκίαν ἑτέραν ἄλλοθί που τοῦ ἄστεος ἐκτήσατο, ἀντὶ δὲ τῆς ἐσχατιᾶς καὶ τοῦ χωρίου τοῦ Ἀλωπεκῆσι καὶ τῶν δημιουργῶν καὶ τῶν ἄλλων εἰς τἀργυρεῖά τι κατεσκευάσατο, ὥσπερ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον. Ἀλλ' οὐκ ἔστι τούτῳ λοιπὸν οὐδέν, οὐκ οἰκία, οὐ συνοικία, οὐ χωρίον, οὐκ οἰκέται, οὐ δάνεισμα, οὐκ ἄλλ' οὐδὲν ἀφ' ὧν ἄνθρωποι μὴ κακοῦργοι ζῶσιν. Ἀλλὰ τούτῳ ἀντὶ τῶν πατρῴων περίεστι βδελυρία, συκοφαντία, θράσος, τρυφή, δειλία, ἀναίδεια, τὸ μὴ ἐπίστασθαι ἐρυθριᾶν ἐπὶ τοῖς αἰσχροῖς· ἐξ ὧν ἂν ὁ κάκιστος καὶ ἀλυσιτελέστατος πολίτης γένοιτο.

106. Οὐ τοίνυν μόνον τὰ πατρῷα κατεδήδοκεν, ἀλλὰ καὶ τὰ κοινὰ τὰ ὑμέτερα, ὅσων πώποτε κύριος γέγονεν. Οὗτος γὰρ ταύτην τὴν ἡλικίαν ἔχων ἣν ὑμεῖς ὁρᾶτε, οὐκ ἔστιν ἥντινα πώποτ' οὐκ ἦρξεν ἀρχήν, οὐδεμίαν λαχὼν οὐδὲ χειροτονηθείς, ἀλλὰ πάσας παρὰ τοὺς νόμους πριάμενος. Ὧν τὰς μὲν πλείστας παρήσω, δυεῖν δ' ἢ τριῶν μόνον μνησθήσομαι. (107) Λογιστὴς γὰρ γενόμενος πλεῖστα μὲν τὴν πόλιν ἔβλαψε δῶρα λαμβάνων παρὰ τῶν οὐ δικαίως ἀρξάντων, μάλιστα δ' ἐσυκοφάντησε τῶν ὑπευθύνων τοὺς μηδὲν ἠδικηκότας. Ἦρξε δ' ἐν Ἄνδρῳ πριάμενος τριάκοντα μνῶν τὴν ἀρχήν, δανεισάμενος ἐπ' ἐννέα ὀβολοῖς τὴν μνᾶν, εὐπορίαν τῇ βδελυρίᾳ τῇ ἑαυτοῦ τοὺς συμμάχους τοὺς ὑμετέρους ποιούμενος· καὶ τοσαύτην ἀσέλγειαν ἐπεδείξατο εἰς ἐλευθέρων ἀνθρώπων γυναῖκας, ἡλίκην οὐδεὶς πώποθ' ἕτερος. Ὧν οὐδένα ἐγὼ παρακαλῶ δεῦρο τὴν ἑαυτοῦ συμφοράν, ἣν εἵλετο σιγᾶν, εἰς πολλοὺς ἐκμαρτυρῆσαι· ἀλλ' ὑμῖν τοῦτο καταλείπω σκοπεῖν. (108) Τί δὲ προσδοκᾶτε; τὸν Ἀθήνησιν ὑβριστὴν οὐκ εἰς τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ εἰς τὸ σῶμα τὸ ἑαυτοῦ, νόμων ὄντων, ὑμῶν ὁρώντων, ἐχθρῶν ἐφεστηκότων, τοῦτον αὐτὸν λαβόντα ἄδειαν καὶ ἐξουσίαν καὶ ἀρχὴν τίς ἂν ἐλπίσειεν ἀπολελοιπέναι τι τῶν ἀσελγεστάτων ἔργων; Ἤδη νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω πολλάκις ἐνεθυμήθην τὴν εὐτυχίαν τὴν τῆς ὑμετέρας πόλεως κατὰ πολλὰ μὲν καὶ ἄλλα, οὐχ ἥκιστα δὲ καὶ κατὰ ταῦτα, ὅτι κατ' ἐκείνους τοὺς χρόνους οὐδεὶς ἐγένετο τῆς Ἀνδρίων πόλεως ὠνητής.

109. Ἀλλ' ἴσως καθ' αὑτὸν μὲν ἄρχων φαῦλος ἦν, μετὰ πλειόνων δὲ ἐπιεικής. Πόθεν; οὗτος, ὦ Ἀθηναῖοι, βουλευτὴς ἐγένετο ἐπὶ ἄρχοντος Νικοφήμου. Ἅπαντα μὲν οὖν διεξελθεῖν ἃ ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε, πρὸς μικρὸν μέρος τῆς ἡμέρας οὐκ ἄξιον ἐπιχειρεῖν· ἃ δ' ἐστὶν ἐγγυτάτω τῆς αἰτίας καθ' ἣν ἡ παροῦσα κρίσις ἐστί, ταῦτ' ἐρῶ διὰ βραχέων. (110) Ἐπὶ τοίνυν τοῦ αὐτοῦ ἄρχοντος ὅθ' οὗτος ἐβούλευε, ταμίας ἦν τῶν τῆς θεοῦ Ἡγήσανδρος οὗτος ὁ Κρωβύλου ἀδελφός, ἔκλεπτον δὲ τῆς πόλεως κοινῇ καὶ μάλα φιλεταίρως χιλίας δραχμάς. Αἰσθόμενος δὲ τὸ πρᾶγμα ἀνὴρ ἐπιεικὴς Πάμφιλος ὁ Ἀχερδούσιος, προσκρούσας τι τούτῳ καὶ παρο-

TESTIMONIUM.

105. At vero, dicet quispiam, eum, paternis ædibus venditis, quasdam alias in urbe comparasse : ac pro fundo et Alopecensi prædio et opificibus ac ceteris, in argentifodinas aliquid contulisse, ut et patrem ejus olim. Atqui nihil ei restat, non domus, non insula, non fundus, non servi, non æs alienum, non aliud quicquam, unde homines non malefici vivunt. Sed isti loco patrimonii superest improbitas, calumnia, confidentia, deliciæ, ignavia, impudentia, erubescendi ob turpitudinem inscitia : quibus e rebus civis pessimus et nequissimus conflari queat.

106. Neque vero patrimonium dumtaxat absumpsit, sed etiam publica vestra, quibus unquam potitus fuit. Nam is quum ea sit ætate, quam vos videtis, nullus magistratus est omnium, quem non gesserit, non illum quidem sorte oblatum, aut suffragio mandatum, sed omnes pretio contra leges redemptos. Quorum ego plurimis omissis, duorum dumtaxat aut trium faciam mentionem. (107) Logista factus, plurimum reipublicæ nocuit, quum muneribus ab iis accipiendis, qui rem male gesserant, tum iis maxime calumniandis, qui rationes referebant, et nihil peccarant. Imperavit etiam Andri, imperio triginta minis redempto, ac novenis obolis in minam pecunia mutuo sumpta : ut vestrorum sociorum opibus suam improbitatem expleret. Tantamque petulantiam in hominum ingenuorum uxores ostentavit, quantam nemo alius unquam : quorum ego neminem huc voco ad suam calamitatem, quam silentio tegere statuit, publice testandam : sed id vobis relinquo cogitandum. (108) Quid vero exspectatis? Qui se Athenis insolenter gerit, non in alios dumtaxat, sed et in suum ipsius corpus, quum leges sint, quum vos videatis, quum inimici ei immineant : eum licentiam nactum et auctoritatem atque imperium, quis speret ullum prætermisisse spurcissimum facinus? Ac mihi profecto sæpe subiit felicitatem nostræ urbis mirari, quum ob alia multa, tum ob illud maxime, quod eo tempore nullus urbis Andriorum emptor exstitit.

109. Sed fortassis ubi solus erat magistratus fuit improbus, cum collegis autem moderatus. Unde? Iste, Athenienses, senator factus] est prætore Nicophemo. Attamen omnia ejus facinora illo anno edita, exigua diei parte velle recensere, absurdum fuerit : quæ autem crimini hujus judicii maxime sunt affinia, ea exponam breviter. (110) Eodem igitur archonte, quum iste senator esset, Minervæ quæstor fuit Hegesander, Crobyli frater. Furabantur autem clam et communi consilio et concordia conjunctissimis sodalibus digna mille drachmas civitati. Qua re vir bonus, Pamphilus Acherdusius, cui cum isto simultatis aliquid intercedebat,

ξυνθείς, ἐκκλησίας οὔσης εἶπεν ἀναστάς « ὦ Ἀθηναῖοι, κλέπτουσιν ὑμῶν ἀνὴρ καὶ γυνὴ κοινῇ χιλίας δραχμάς. » (111) Θαυμασάντων δ' ὑμῶν πῶς ἀνὴρ καὶ γυνὴ καὶ τίς ὁ λόγος, εἶπε μικρὸν διαλιπών « ἀγνοεῖτε » ἔφη « ὅ τι λέγω; ὁ μὲν ἀνήρ ἐστιν Ἡγήσανδρος ἐκεῖνος νυνί, » ἔφη, « πρότερον δ' ἦν καὶ αὐτὸς Λεωδάμαντος γυνή· ἡ δὲ γυνὴ Τίμαρχος οὑτοσί. Ὃν δὲ τρόπον κλέπτεται τὸ ἀργύριον, ἐγὼ ἐρῶ. » Μετὰ ταῦτα ἤδη διεξῄει περὶ τοῦ πράγματος καὶ μάλα εἰδότως καὶ σαφῶς. Διδάξας δὲ ταῦτα « τί οὖν ἐστιν, » ἔφη, « ὦ Ἀθηναῖοι, ὃ συμβουλεύω ὑμῖν; ἐὰν μὲν ἡ βουλὴ καταγνοῦσα τουτονὶ ἀδικεῖν καὶ ἐκφυλλοφορήσασα δικαστηρίῳ παραδῷ, δότε τὴν δωρεὰν αὐτοῖς, ἐὰν δὲ μὴ κολάσωσι, μὴ δῶτε, ἀλλ' εἰς ἐκείνην αὐτοῖς τὴν ἡμέραν ἀπομνημονεύσατε. » (112) Μετὰ ταῦτα ὡς ἐπανῆλθεν ἡ βουλὴ εἰς τὸ βουλευτήριον, ἐξεφυλλοφόρησε μὲν αὐτόν, ἐν δὲ τῇ ψήφῳ κατεδέξατο.
16 Ὅτι δ' οὐ παρέδωκε δικαστηρίῳ οὐδ' ἐξήλασεν ἐκ τοῦ βουλευτηρίου, ἄχθομαι μὲν λέγων, ἀνάγκη δ' ἐστὶν εἰπεῖν ὅτι τῆς δωρεᾶς ἀπετύγχανε. Μὴ τοίνυν φανῆτε, ὦ Ἀθηναῖοι, τῇ μὲν βουλῇ χαλεπήναντες καὶ πεντακοσίους ἄνδρας τῶν πολιτῶν ἀστεφανώτους ποιήσαντες, ὅτι τοῦτον οὐκ ἐτιμωρήσατο, αὐτοὶ δὲ ἀφῆτε, καὶ τὸν τῇ βουλῇ μὴ συνενεγκόντα ῥήτορα, τοῦτον τῷ δήμῳ μὴ περιποιήσητε.

113. Ἀλλὰ περὶ μὲν τὰς κληρωτὰς ἀρχάς ἐστι τοιοῦτος, περὶ δὲ τὰς χειροτονητὰς βελτίων. Καὶ τίς ὑμῶν οὐκ οἶδεν ὡς περιβοήτως ἐξηλέγχθη κλέπτης ὤν; Πεμφθεὶς γὰρ ὑφ' ὑμῶν ἐξεταστὴς τῶν ἐν Ἐρετρίᾳ ξένων, μόνος τῶν ἐξεταστῶν ὡμολόγει λαβεῖν ἀργύριον, καὶ οὐ περὶ τοῦ πράγματος ἀπελογεῖτο, ἀλλ' εὐθὺς περὶ τοῦ τιμήματος ἱκέτευεν ὁμολογῶν ἀδικεῖν. Ὑμεῖς δὲ τοῖς μὲν ἐξάρνοις ἐτιμήσατε ταλάντου ἑκάστῳ, τούτῳ δὲ τριάκοντα μνῶν. Οἱ δὲ νόμοι κελεύουσι τῶν κλεπτῶν τοὺς μὲν ὁμολογοῦντας θανάτῳ ζημιοῦσθαι, τοὺς δ' ἀρνουμένους κρίνεσθαι. (114) Τοιγάρτοι οὕτως ὑμῶν κατεφρόνησεν, ὥστ' εὐθὺς ἐπὶ ταῖς ἐν τοῖς δήμοις διαψηφίσεσι δισχιλίας δραχμὰς ἔλαβε. Φήσας γὰρ Φιλωτάδην τὸν Κυδαθηναιέα, ἕνα τῶν πολιτῶν, ἀπελεύθερον εἶναι ἑαυτοῦ καὶ πείσας ἀποψηφίσασθαι τοὺς δημότας, ἐπιστὰς τῇ κατηγορίᾳ ἐπὶ τοῦ δικαστηρίου καὶ λαβὼν εἰς τὴν ἑαυτοῦ χεῖρα τὰ ἱερὰ καὶ ὀμόσας μὴ λαβεῖν δῶρα μηδὲ λήψεσθαι, καὶ ἐπομόσας τοὺς ὁρκίους θεοὺς καὶ τὴν ἐξώλειαν αὐτῷ ἐπαρασάμενος, (115) εἰληφὼς ἠλέγχθη παρὰ Λευκωνίδου τοῦ Φιλωτάδου κηδεστοῦ διὰ Φιλήμονος τοῦ ὑποκριτοῦ εἴκοσι μνᾶς, ἃς ἐν ὀλίγῳ χρόνῳ πρὸς Φιλοξένην ἀνήλωσε τὴν ἑταίραν, καὶ προὔδωκε τὸν ἀγῶνα καὶ τὸν ὅρκον ἐπιώρκησεν. Ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Φιλήμονα τὸν δόντα τὸ ἀργύριον Τιμάρχῳ καὶ Λευκωνίδην τὸν Φιλωτάδου κηδεστήν, καὶ τῶν συνθηκῶν ἀνάγνωθι τὰ ἀντίγραφα, καθ' ἃς τὴν πρᾶσιν ἐποιήσατο τοῦ ἀγῶνος.

animadversa, commotus in concione surrexit, ac dixit: « Athenienses, furantur vobis communiter maritus et uxor mille drachmas. » (111) Vobis autem admiratis, quo pacto maritus et uxor, et quid ea sibi vellet oratio, paullo post: « Ignoratis quid dicam? Maritus nunc est, inquit, Hegesander ille, qui uxor olim et ipse fuit Leodamantis: uxor, Timarchus. Quo autem pacto pecunia surripiatur, ego dicam. » Ac deinde rem exponebat valde dilucide, ut qui optime compertam haberet. His commemoratis, « Quid ergo, inquit, consilii do vobis? Si senatus istum injuriæ condemnatum et frondium suffragio ordine motum judicio tradiderit, præmium de more senatoribus datote: si vero non punierint, ne datote, sed illo die, quo de corona decernenda agetur, hoc illis in animum revocetis. » (112) Post senatus in curiam reversus frondium quidem suffragio istum ejecit, re ad calculorum suffragationem deducta eum recepit. Quia vero nec judicio tradiderat, nec e curia ejecerat (equidem cum dolore dico, sed dico necessario), præmio caruit. Nolite igitur committere, Athenienses, quum senatui succensueritis, et quingentis civibus coronas ademeritis propter istum non punitum, ut eundem ipsi non puniatis, et oratorem qui senatui non profuit, populo conservetis.

113. At in magistratibus sorte obvenientibus est talis: in iis autem qui electione creantur, melior. Ecquis vero vestrûm ignorat, quanta cum infamia peculatus sit convictus? Missus enim a vobis ad inquirendum de peregrinis in Eretria, solus collegarum se argentum accepisse fatebatur: neque causam dicebat, sed statim injuriam confitens, mulctam graviorem deprecabatur. Vos autem eorum cuique qui infitias ierant mulctam talento æstimastis, isti triginta minis: quum leges jubeant furem confitentem capite plecti, negantem in judicium adduci. (114) Proinde ita vos contempsit, ut in disquisitione, in qua de singulorum demotarum jure civitatis suffragia ferebantur, bis mille drachmas acceperit. Nam quum Philotadem Cydathenæensem, hominem civem, libertum esse suum asseruisset, ac popularibus persuasisset, ut eum repudiarent: demandata a demotis Timarcho accusatione coram judicibus instituenda, sacrisque in manus acceptis, datoque jurejurando testatus, se dona nec cepisse neque capturum esse, deos jurisjurandi præsides obtestatus, et exitium sibi ipsi imprecatus, (115) nihilominus convictus est a Leuconide Philotadis affine per Philemonem histrionem viginti minas accepisse (quas exiguo tempore in Philoxenam meretricem impendit), et a causa prosequenda per prævaricationem destitit et pejeravit. Ac ut vera dicere me constet, voca mihi Philemonem, qui argentum Timarcho dedit, et Leuconidem Philotadis affinem, et pactionis exemplum recita, ut videant quo pacto causam vendiderit.

ΜΑΡΤΥΡΙΑΙ. ΣΥΝΘΗΚΑΙ.

116. Περὶ μὲν οὖν τοὺς πολίτας καὶ τοὺς οἰκείους οἷος γεγένηται, καὶ τὴν πατρῴαν οὐσίαν ὡς αἰσχρῶς ἀνήλωκε, καὶ τὴν ὕβριν τὴν εἰς τὸ ἑαυτοῦ σῶμα ὡς ὑπερεώρακε, σύνιστε μὲν καὶ πρὶν ἐμὲ λέγειν, ἱκανῶς δ' ὑμᾶς ὑπομιμνήσκει καὶ ὁ παρ' ἐμοῦ λόγος· δύο δέ μοι τῆς κατηγορίας εἴδη λέλειπται, ἐφ' οἷς ἐμαυτόν τ' εἰπεῖν εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις ὑπὲρ τῆς πόλεως ὡς προῄρημαι, ὑμᾶς τε βουλοίμην ἂν οἷς ἐγὼ μέλλω λέγειν προσέχειν τὸν νοῦν καὶ παρακολουθεῖν εὐμαθῶς. (117) Ἔστι δ' ὁ μὲν πρῶτός μοι λόγος προδιήγησις τῆς ἀπολογίας ἧς ἀκούω μέλλειν γίνεσθαι, ἵνα μὴ τοῦτο ἐμοῦ παραλιπόντος ὁ τὰς τῶν λόγων τέχνας κατεπαγγελλόμενος τοὺς νέους διδάσκειν ἀπάτῃ τινὶ παραλογισάμενος ὑμᾶς ἀφέληται τὸ τῆς πόλεως συμφέρον. Ὁ δὲ δεύτερός ἐστί μοι λόγος παράκλησις τῶν πολιτῶν πρὸς ἀρετήν. Ὁρῶ δὲ πολλοὺς μὲν τῶν νεωτέρων προσεστηκότας πρὸς τῷ δικαστηρίῳ, πολλοὺς δὲ τῶν πρεσβυτέρων, οὐκ ὀλίγους δὲ ἐκ τῆς ἄλλης Ἑλλάδος συνειλεγμένους ἐπὶ τὴν ἀκρόασιν· (118) οὓς μὴ νομίσητ' ἐμὲ θεωρήσοντας ἥκειν, ἀλλὰ πολὺ μᾶλλον ὑμᾶς εἰσομένους εἰ μὴ μόνον εὖ νομοθετεῖν ἐπίστασθε, ἀλλὰ καὶ κρίνειν τὰ καλὰ καὶ τὰ μὴ καλὰ δύνασθε, καὶ εἰ τιμᾶν ἐπίστασθε τοὺς ἀγαθοὺς ἄνδρας, καὶ εἰ 'θέλετε κολάζειν τοὺς ὀνείδη τὸν ἑαυτῶν βίον τῇ πόλει παρασκευάζοντας. Λέξω δὲ πρῶτον πρὸς ὑμᾶς περὶ τῆς ἀπολογίας.

119. Ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις Δημοσθένης ἢ τοὺς νόμους φησὶν ὑμᾶς ἐξαλείφειν δεῖν, ἢ τοῖς ἐμοῖς λόγοις οὐκ εἶναι προσεκτέον. Ἀποθαυμάζει γὰρ εἰ μὴ πάντες μεμνήμεθα ὅτι καθ' ἕκαστον ἐνιαυτὸν ἡ βουλὴ πωλεῖ τὸ πορνικὸν τέλος· καὶ τοὺς πριαμένους τὸ τέλος οὐκ εἰκάζειν, ἀλλ' ἀκριβῶς εἰδέναι τοὺς ταύτῃ
17 χρωμένους τῇ ἐργασίᾳ. Ὁπότε δὴ οὖν τετόλμηκα ἀντιγράψασθαι πεπορνευμένῳ Τιμάρχῳ μὴ ἐξεῖναι δημηγορεῖν, ἀπαιτεῖν φησι τὴν πρᾶξιν αὐτὴν οὐκ αἰτίαν κατηγόρου, ἀλλὰ μαρτυρίαν τελώνου τοῦ παρὰ Τιμάρχου τοῦτο ἐκλέξαντος τὸ τέλος. (120) Ἐγὼ δὲ πρὸς ταῦτ', ὦ Ἀθηναῖοι, σκέψασθ' ἂν ἁπλοῦν καὶ ἐλευθέριον δόξω λόγον ὑμῖν λέγειν. Αἰσχύνομαι γὰρ ὑπὲρ τῆς πόλεως εἰ Τίμαρχος, ὁ τοῦ δήμου σύμβουλος καὶ τὰς εἰς τὴν Ἑλλάδα τολμῶν πρεσβείας πρεσβεύειν, μὴ τὸ πρᾶγμα ὅλον ἀποτρίψασθαι ἐπιχειρήσει, ἀλλὰ τοὺς τόπους ἐπερωτήσει ὅπου ἐκαθέζετο, καὶ τοὺς τελώνας, εἰ πώποτε παρ' αὐτοῦ τὸ πορνικὸν τέλος εἰλήφασιν. (121) Ταύτης μὲν οὖν τῆς ἀπολογίας ὑμῶν ἕνεκα παραχωρησάτω· ἕτερον δ' ἐγώ σοι λόγον ὑποβαλῶ καλὸν καὶ δίκαιον, ᾧ χρήσῃ εἰ μηδὲν αἰσχρὸν σαυτῷ σύνοισθα. Τόλμησον γὰρ εἰς τοὺς δικαστὰς βλέψας εἰπεῖν ἃ προσήκει ἀνδρὶ σώφρονι τὰ περὶ τὴν ἡλικίαν, « ἄνδρες Ἀθηναῖοι, τέθραμμαι μὲν ἐκ παιδὸς καὶ μειρακίου παρ' ὑμῖν, οὐκ ἀφανεῖς δὲ διατριβὰς διατρίβω, ἀλλ' ἐν ταῖς ἐκκλησίαις μεθ' ὑμῶν ὁρῶμαι. (122) Οἶμαι δ' ἄν, εἰ πρὸς ἄλλους

TESTIMONIA. PACTIO.

116. Qualis igitur in cives et cognatos suos fuerit, et patrimonium quam turpiter absumpserit, et ut suum corpus affici probris non recusarit, id quidem scivistis, prius etiam quam ego dixissem : sed et mea vos oratio, quantum satis est, commonefecit. Reliqua porro mihi duo sunt accusationis genera : de quibus ut et ego ita dicere queam pro republica, ut institui, deos immortales precor; et vos ea quæ dicturus sum, attente atque intelligenter audire vellem. (117) Continet autem prior orationis meæ pars prænarrationem defensionis, quam institutum iri audio : ne ea prætermissa, is qui se dicendi artem adolescentes edocturum pollicetur, fraude aliqua injecta, id vobis eripiat quod est e republica. Altera vero pars orationis continet cohortationem civium ad virtutem. Multos enim et adolescentes et senes astare judicio video; neque paucos etiam e reliqua Græcia ad audiendum convenisse : (118) quos adesse non mei, sed vestri potius spectandi causa, putare debetis : ut intelligant, an non modo bonas leges sancire sciatis, sed etiam, quæ honesta, quæ inhonesta sint, rite dijudicare queatis; et an honorem habere sciatis viris bonis; et an velitis eos punire, qui sic vitam instituerunt, ut ea in reipublicæ ignominiam redundaret. Dicam autem primum apud vos de defensione.

119. Nam eloquentiæ copiis affluens Demosthenes ait, vobis aut delendas esse leges, aut non dandum esse locum orationi meæ. Admiratur enim, si vos omnes non meminerítis, senatum quotannis vendere vectigal meretricium : ejusque vectigalis redemptores non conjectare, sed compertum habere, qui faciant eum quæstum. Postquam igitur ego ausus sim ad prætorem referre, Timarcho non licere conciones habere, ut qui pudicitiam prostituerit : postulare hoc negotium non crimen accusatoris, sed testimonium redemptoris, qui vectigal istud a Timarcho collegerit. (120) Ego vero, Athenienses, considerate, an ad hæc simpliciter liberaliterque sim responsurus. Nam me civitatis pudebit, si Timarchus, qui populo sit a consiliis, qui legationes in Græcia obire audeat, non totam rem a se amovere studuerit, sed de locis interrogarit, ubi sederit, et publicanos, an se unquam meretricium vectigal exegerint. (121) Hac igitur defensione vestra causa cedat. Ego vero aliam rationem tibi suggeram, honestam et æquam, qua utaris, si nullius tibi turpitudinis es conscius. Audeto judices intuens ea dicere, quæ dicenda sunt viro modeste ætatis flore uso : « Athenienses, ego a pueritia et adolescentia sum apud vos educatus : neque vero studiis obscuris occupor, sed vobiscum conspicior in concionibus. (122) Arbi-

τινὰς ἦν ὁ λόγος μοι περὶ τῆς αἰτίας ἧς κρίνομαι, ταῖς ὑμετέραις μαρτυρίαις ῥᾳδίως ἂν ἀπολύσασθαι τοὺς τοῦ κατηγόρου λόγους. Μὴ γὰρ ὅτι εἰ πέπρακταί μοί τι τούτων, ἀλλ' εἰ δοκῶ ὑμῖν παραπλησίως βεβιωκέναι ταῖς λεγομέναις ὑπὸ τούτου αἰτίαις, ἀβίωτον εἶναι ἡγούμενος ἐμαυτῷ τὸν λοιπὸν βίον, παραδίδωμι τὴν εἰς ἐμαυτὸν τιμωρίαν ἐναπολογήσασθαι τῇ πόλει πρὸς τοὺς Ἕλληνας, οὐδ' ἥκω παραιτησόμενος ὑμᾶς, ἀλλὰ καταχρήσασθέ μοι, εἰ δοκῶ τοιοῦτος εἶναι. » (123) Αὕτη μέν ἐστιν, ὦ Τίμαρχε, ἀνδρὸς ἀγαθοῦ καὶ σώφρονος ἀπολογία καὶ πεπιστευκότος τῷ βίῳ καὶ καταφρονοῦντος εἰκότως ἁπάσης βλασφημίας· ἃ δὲ πείθει σε Δημοσθένης λέγειν, οὐκ ἀνδρός ἐστιν ἐλευθέρου, ἀλλὰ πόρνου περὶ τῶν τόπων διαφερομένου. Ἐπειδὴ δ' εἰς τὰς ἐπωνυμίας τῶν οἰκήσεων καταφεύγεις, κατ' οἴκημα τὸ πρᾶγμα ἐξετάζεσθαι ἀξιῶν, ὅπου ἐκαθέζου, ἃ μέλλω λέγειν ἀκούσας εἰσαῦθις οὐ χρήσῃ τοιούτῳ λόγῳ, ἐὰν σωφρονῇς. Οὐ γὰρ τὰ οἰκήματα οὐδ' αἱ οἰκήσεις τὰς ἐπωνυμίας τοῖς ἐνοικήσασι παρέχουσιν, ἀλλ' οἱ ἐνοικήσαντες τὰς τῶν ἰδίων ἐπιτηδευμάτων ἐπωνυμίας τοῖς τόποις παρασκευάζουσιν. (124) Ὅπου μὲν γὰρ πολλοὶ μισθωσάμενοι μίαν οἴκησιν διελόμενοι ἔχουσι, συνοικίαν καλοῦμεν, ὅπου δ' εἷς ἐνοικεῖ, οἰκίαν. Ἐὰν δ' εἰς ἕν δήπου τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων ἰατρὸς εἰσοικίσηται, ἰατρεῖον καλεῖται· ἐὰν δ' ὁ μὲν ἐξοικίσηται, εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς εἰσοικίσηται, χαλκεῖον ἐκλήθη· ἐὰν δὲ κναφεύς, κναφεῖον, ἐὰν δὲ τέκτων, τεκτονεῖον· ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρναι, ἀπὸ τῆς ἐργασίας εὐθὺς ἐκλήθη πορνεῖον. Ὥστε σὺ πολλὰ πορνεῖα τῇ τῆς πράξεως εὐχερείᾳ πεποίηκας. Μὴ οὖν ὅπου ποτὲ ἔπραττες ἐρώτα, ἀλλ' ὡς τοῦτο οὐ πεποίηκας ἀπολογοῦ.

125. Ἥξει δ', ὡς ἔοικε, καὶ ἕτερος λόγος τις ὑπὸ τοῦ αὐτοῦ σοφιστοῦ συγκείμενος. Λέγει γὰρ ὡς οὐδέν ἐστιν ἀδικώτερον φήμης, ἀγοραῖα τεκμήρια καὶ παντελῶς ἀκόλουθα τῷ αὐτοῦ βίῳ παρεχόμενος. Πρῶτον μὲν γὰρ τὴν ἐν Κολωνῷ συνοικίαν τὴν Δήμωνος καλουμένην ψευδῆ φησι τὴν ἐπωνυμίαν ἔχειν· οὐ γὰρ εἶναι Δήμωνος· ἔπειτα τὸν Ἑρμῆν τὸν Ἀνδοκίδου καλούμενον οὐκ Ἀνδοκίδου, ἀλλ' Αἰγηίδος φυλῆς εἶναι ἀνάθημα. (126) Παραφέρει δ' αὑτὸν ἐν σκώμματος μέρει, (ὡς ἡδὺς ἀνὴρ καὶ περὶ τὰς ἰδίας διατριβὰς γελοῖος) « εἰ μὴ καὶ ἐμὲ δεῖ » φησίν « ὑπακούειν τοῖς ὄχλοις μὴ Δημοσθένην καλούμενον, ἀλλὰ Βάταλον, ὅτι ταύτην ἐξ ὑποκορίσματος τίτθης τὴν ἐπωνυμίαν ἔχω. » Εἰ δὲ Τίμαρχος ὡραῖος ἐγένετο καὶ σκώπτεται τῇ τοῦ πράγματος διαβολῇ καὶ
18 μὴ τοῖς αὐτοῦ ἔργοις, οὐ δήπου διὰ τοῦτ' αὐτόν φησι δεῖν συμφορᾷ περιπεσεῖν. (127) Ἐγὼ δέ, ὦ Δημόσθενες, περὶ μὲν τῶν ἀναθημάτων καὶ τῶν οἰκιῶν καὶ τῶν κτημάτων καὶ πάντων ὅλως τῶν ἀφώνων πολλοὺς καὶ παντοδαποὺς καὶ οὐδέποτε τοὺς αὐτοὺς ἀκούω λόγους λεγομένους· οὐ γάρ εἰσιν ἐν αὐτοῖς οὔτε καλαὶ οὔτε αἰσχραὶ πράξεις, ἀλλ' ὁ προσαψάμενος αὐτῶν καὶ παρατυχών, ὅστις ἂν ᾖ, κατὰ τὸ μέγεθος τῆς αὐτοῦ δόξης λόγον

tror autem, si id crimen, cujus arguor, apud alios mihi defendendum esset, vestris testimoniis me accusatoris orationem facile fuisse refutaturum. Neque enim tum dumtaxat, si reapse quid istorum egi, sed si videor solummodo vobis egisse vitam ab istis criminibus non abhorrentem: vitam posthac acerbam mihi existimans, non recuso quominus civitas de me supplicium sumat, ut se apud Græcos excusare queat: neque ad vos deprecandi causa venio, imo corpore meo pro libitu vestro utimini, si me talem existimatis. » (123) Hæc, Timarche, defensio fuerit viri boni et modesti et vita anteacta freti et omnia maledicta non sine ratione contemnentis: quæ vero dicendi Demosthenes tibi auctor est, ea non sunt hominis ingenui, sed scorti de locis contendentis. Quoniam autem ad cognomenta domiciliorum confugis, et rem ostiatim coargui postulas, ubi sederis: auditis iis quæ dicturus sum, eandem orationem si sapis non repetes. Neque enim domicilia aut habitationes cognomenta faciunt habitatoribus, sed habitatores suorum studiorum cognomenta locis indunt. (124) Ubi enim complures una domo conducta, eam in partes discretam separatim obtinent, συνοικίαν dicimus: sed in qua unus degit, οἰκίαν appellamus. Quodsi in earum tabernarum quæ in viis sunt quapiam medicus habitarit, medici officina vocatur: ubi is emigrarit, ac faber ærarius immigrarit, fabri ærarii officina nominatur: sin fullo, fullonia; sin lignarius faber, fabrica lignaria; sin leno et lupæ, ab eo quæstu lupanar appellatur. Tu igitur, qui in isto genere tam fueris expeditus et facilis, multa lupanaria effecisti. Ne igitur, ubinam feceris, interroga; sed hoc te fecisse nega.

125. Afferetur porro alia quoque oratio ab eodem rhetore composita. Ait enim fama nihil esse iniquius, circumforanea argumenta et vitæ suæ omnino consentanea proferens. Primum ædes in Colono, quæ Demonis dicantur, falsum habere cognomen: neque enim esse Demonis. Deinde Mercurium, qui Andocidis vocetur, non esse Andocidis, sed Ægeidis tribus donarium. (126) Interseret etiam se ridiculi gratia, quippe homo suavis, et in privatis congressibus facetus: « Nisi me quoque, inquit, moveri oportet turbæ dicterio, ut qui non Demosthenes nominer, sed Batalus, quod id cognomen per nutricis blanditias tributum mihi fuit. » Quodsi vero Timarchus formosus fuit, atque ob ipsius formæ crimen, et non propter facinora sua, male audit: non ideo profecto eum plecti oportet. (127) Ego vero, Demosthenes, de donariis et ædibus et possessionibus, omnibus denique rebus mutis, multas ac varias, neque unquam inter se consentientes orationes haberi audio. Neque enim eis ipsis insunt vel honestæ vel turpes actiones, sed is qui eas attigerit, quique illo accesserit, pro suæ famæ magnitudine famam illis excitat: de vita autem hominum

παρέχει· περὶ δὲ τὸν τῶν ἀνθρώπων βίον καὶ τὸν λόγον καὶ τὰς πράξεις ἀψευδής τις ἀπὸ ταυτομάτου πλανᾶται φήμη κατὰ τὴν πόλιν, καὶ διαγγέλλει τοῖς πολλοῖς τὰς ἰδίας πράξεις, πολλὰ δὲ καὶ μαντεύεται περὶ τῶν μελλόντων ἔσεσθαι. (128) Καὶ οὕτως ἐναργές ἐστι καὶ οὐ πεπλασμένον ὃ λέγω, ὥσθ' εὑρήσετε καὶ τὴν πόλιν ἡμῶν καὶ τοὺς προγόνους φήμης ὡς θεοῦ μεγίστης βωμὸν ἱδρυμένους, καὶ τὸν Ὅμηρον πολλάκις ἐν τῇ Ἰλιάδι λέγοντα πρὸ τοῦ τι τῶν μελλόντων γενέσθαι « φήμη δ' εἰς στρατὸν ἦλθε, » καὶ πάλιν τὸν Εὐριπίδην ἀποφαινόμενον τὴν θεὸν ταύτην οὐ μόνον τοὺς ζῶντας ἐμφανίζειν δυναμένην, ὁποῖοί τινες ἂν τυγχάνωσιν ὄντες, ἀλλὰ καὶ τοὺς τετελευτηκότας, ὅταν λέγῃ,

Φήμη τὸν ἐσθλὸν κἂν μυχῷ δείκνυσι γῆς.

(129) Ὁ δ' Ἡσίοδος καὶ διαρρήδην θεὸν αὐτὴν ἀποδείκνυσι, πάνυ σαφῶς φράζων τοῖς βουλομένοις συνιέναι· λέγει γάρ,

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Καὶ τούτων τῶν ποιημάτων τοὺς μὲν εὐσχημόνως βεβιωκότας εὑρήσετε ἐπαινέτας ὄντας· πάντες γὰρ οἱ δημοσίᾳ φιλότιμοι παρὰ τῆς ἀγαθῆς φήμης ἡγοῦνται τὴν δόξαν κομιεῖσθαι· οἷς δ' αἰσχρός ἐστιν ὁ βίος, οὐ τιμῶσι τὴν θεὸν ταύτην· κατήγορον γὰρ αὐτὴν ἀθάνατον ἔχειν ἡγοῦνται. (130) Ἀναμνήσθητε οὖν, ὦ ἄνδρες, τίνι κέχρησθε φήμῃ περὶ Τιμάρχου. Οὐχ ἅμα τοὔνομα λέγεται καὶ τὸ ἐρώτημα εὐθὺς ἐρωτᾶτε « ποῖος Τίμαρχος; ὁ πόρνος; » Ἔπειτα εἰ μὲν μάρτυρας παρειχόμην περί τινος, ἐπιστεύετ' ἄν μοι, εἰ δὲ τὴν θεὸν μάρτυρα παρέχομαι, οὐ πιστεύετε; ᾗ οὐδὲ ψευδομαρτυριῶν θέμις ἐστὶν ἐπισκήψασθαι. (131) Ἐπεὶ καὶ περὶ τῆς Δημοσθένους ἐπωνυμίας, οὐ κακῶς ὑπὸ τῆς φήμης, ἀλλ' οὐχ ὑπὸ τῆς τίτθης, ὁ Βάταλος προσαγορεύεται, ἐξ ἀνανδρίας καὶ κιναιδίας ἐνεγκάμενος τοὔνομα. Εἰ γάρ τίς σου τὰ κομψὰ ταῦτα χλανίσκια περιελόμενος καὶ τοὺς μαλακοὺς χιτωνίσκους, ἐν οἷς τοὺς κατὰ τῶν φίλων λόγους γράφεις, περιενέγκας δοίη εἰς τὰς χεῖρας τῶν δικαστῶν, οἶμαι ἂν αὐτούς, εἴ τις μὴ προειπὼν τοῦτο ποιήσειεν, ἀπορῆσαι εἴτε ἀνδρὸς εἴτε γυναικὸς εἰλήφασιν ἐσθῆτα.

132. Ἀναβήσεται δ' ἐν τῇ ἀπολογίᾳ καὶ τῶν στρατηγῶν τις, ὡς ἀκούω, ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτόν, ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς· ὃς ἐπιχειρήσει διασύρειν τὴν ὅλην ἔνστασιν τοῦ ἀγῶνος, οὐ κρίσιν ἐξευρηκέναι με φάσκων, ἀλλὰ δεινῆς ἀπαιδευσίας ἀρχήν, παραφέρων πρῶτον μὲν τοὺς εὐεργέτας τοὺς ὑμετέρους, Ἁρμόδιον καὶ Ἀριστογείτονα, καὶ τὴν πρὸς ἀλλήλους πίστιν καὶ τὸ πρᾶγμα ὡς συνήνεγκε τῇ πόλει διεξιών· (133) οὐκ ἀφέξεται δ', ὥς φασιν, οὐδὲ τῶν Ὁμήρου ποιημάτων οὐδὲ τῶν ὀνομάτων τῶν ἡρωϊκῶν, ἀλλὰ καὶ τὴν λεγομένην γενέσθαι φιλίαν δι' ἔρωτα Πατρόκλου καὶ Ἀχιλλέως ὑμνήσει, καὶ τὸ κάλλος, ὥσπερ οὐ πάλαι μακαριζόμενον, ἂν τύχῃ σωφροσύνης, νῦν ἐγκωμιάσεται. Εἰ γὰρ τὴν τοῦ σώματος εὐπρέπειαν,

et oratione et actionibus, vera quadam et minime fallax ultro fama per urbem oberrat, et vulgo actiones privatorum nuntiat : multa etiam de rebus futuris vaticinatur. (128) Atque id quod dico, adeo est evidens et non commentitium, ut videatis nostram civitatem et majores nostros aram Famæ, ut maximæ deæ, consecrasse : et Homerum in Iliade sæpe dicere, antequam aliquid eveniat quod futurum est, « Fama in castra venit. » Euripidem item pronuntiare, deam hanc non viventes tantum posse ostendere quales sint, sed etiam defunctos, ubi ait :

Bonum vel imis Tartari recessibus
vetat latere Fama.

(129) Hesiodus autem plane deam illam esse demonstrat, idque perspicuis verbis, si quis intelligere velit. Ait enim :

Quam populi sermo celebrat creber, irrita numquam
Fama cadit penitus : dea quædam quum sit et ipsa.

Et hæc poemata laudari ab iis omnibus qui honeste vixerunt reperietis; omnes enim honoris publici appetentes, gloriam se a bona fama consecuturos arbitrantur : quorum autem vita turpis est, ii non honorant hanc deam, ut quam immortalem habituri sint accusatricem. (130) Recordamini ergo qualem de Timarcho famam audiatis. Nonne statim audito nomine rogatis, « Quis Timarchus? num ille impudicus? » Jam si de re aliqua testes produxissem, crederetis mihi : at ubi deam produxero testem, non credetis? in quam vel solam falsi testimonii actio non competit. (131) Nam quod etiam ad Demosthenis cognomentum attinet, non male certe quidem is, haud sane a nutrice, verum a fama Batalus appellatur : nomen id ex mollitie et habitu cinædico assecutus. Si quis enim tibi elegantes istas lænas avulsas, et molles tuniculas, in quibus illas in amicos orationes scribis, in orbem circumferat singulisque judicibus in manus tradat, equidem arbitror eos, nisi præmoniti fuerint, dubitaturos, virine an mulieris vestem accepissent.

132. In causæ porro defensione ascendet etiam imperator quidam, ut audio, resupinato vultu sese respectans, ut in palæstris et elegantiorum in congressibus versatus : qui constitutionem totius causæ convellere nitetur, me non judicium dictasse, sed magnæ inscitiæ principium apportasse dicens : ac primum commemorabit viros de vobis bene meritos, Harmodium et Aristogitonem, eorumque fidem mutuam, et consecutas ex ea reipublicæ utilitates : (133) neque etiam, ut aiunt, Homeri versibus abstinebit, aut heroicis nominibus, sed et Achillis et Patrocli ortam ex amore amicitiam, ut fertur, celebrabit, et formam, quasi vero ea non olim in felicitatis numero poni solita sit, si quidem cum modestia conjuncta erat, nunc laudabit. Nam si calumnia

ταύτην τινὲς διαβάλλοντες συμφορὰν τοῖς ἔχουσι καταστήσουσιν, οὐ ταὐτὰ κοινῇ ψηφιεῖσθαί φησιν ὑμᾶς καὶ
19 ἰδίᾳ εὔχεσθαι. (134) Ἄτοπον γὰρ εἶναι δοκεῖν αὐτῷ, εἰ τοὺς μὲν υἱεῖς τοὺς μηδέπω γεγονότας ἅπαντες εὔχεσθε οἱ μέλλοντες παιδοποιεῖσθαι καλοὺς κἀγαθοὺς τὰς ἰδέας φῦναι καὶ τῆς πόλεως ἀξίους, τοὺς δ' ἤδη γεγονότας, ἐφ' οἷς προσήκει σεμνύνεσθαι τὴν πόλιν, ἐὰν κάλλει καὶ ὥρᾳ διενεγκόντες ἐκπλήξωσί τινας καὶ περιμάχητοι ἐξ ἔρωτος γένωνται, τούτους, ὡς ἔοικεν, Αἰσχίνῃ πεισθέντες ἀτιμώσετε. (135) Κἀνταῦθα δή τινα καταδρομήν, ὡς ἀκούω, μέλλει ποιεῖσθαι περὶ ἐμοῦ, ἐπερωτῶν εἰ οὐκ αἰσχύνομαι αὐτὸς μὲν ἐν τοῖς γυμνασίοις ὀχληρὸς ὢν καὶ πλείστων ἐραστὴς γεγονώς, τὸ δὲ πρᾶγμα εἰς ὄνειδος καὶ κινδύνους καθιστάς. Καὶ τὸ τελευταῖον, ὡς ἀπαγγέλλουσί τινές μοι, εἰς γέλωτα καὶ λῆρόν τινα προτρεπόμενος ὑμᾶς, ἐπιδείξεσθαί μού φησιν ὅσα πεποίηκα ἐρωτικὰ εἴς τινας ποιήματα, καὶ λοιδοριῶν καὶ πληγῶν τινων ἐκ τοῦ πράγματος, αἳ περὶ ἐμὲ γεγένηνται, μαρτυρίας φησὶ παρέξεσθαι. (136) Ἐγὼ δὲ οὔτε ἔρωτα δίκαιον ψέγω, οὔτε τοὺς κάλλει διαφέροντάς φημι πεπορνεῦσθαι, οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ γεγονέναι ἐρωτικὸς καὶ ἔτι καὶ νῦν εἶναι, τάς τε ἐκ τοῦ πράγματος γινομένας πρὸς ἑτέρους φιλονεικίας καὶ μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ συμβεβηκέναι μοι. Περὶ δὲ τῶν ποιημάτων ὧν φασιν οὗτοί με πεποιηκέναι, τὰ μὲν ὁμολογῶ, τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον ὃν οὗτοι διαφθείροντες παρέξονται. (137) Ὁρίζομαι δ' εἶναι τὸ μὲν ἐρᾶν τῶν καλῶν καὶ σωφρόνων φιλανθρώπου πάθος καὶ εὐγνώμονος ψυχῆς, τὸ δὲ ἀσελγαίνειν ἀργυρίου τινὰ μισθούμενον ὑβριστοῦ καὶ ἀπαιδεύτου ἀνδρὸς ἔργον εἶναι ἡγοῦμαι· καὶ τὸ μὲν ἀδιαφθόρως ἐρᾶσθαι φημὶ καλὸν εἶναι, τὸ δ' ἐπαρθέντα μισθῷ πεπορνεῦσθαι αἰσχρόν. Ὅσον δ' ἑκάτερον τούτων ἀπ' ἀλλήλων διέστηκε καὶ ὡς πολὺ διαφέρει, ἐν τοῖς ἐφεξῆς ὑμᾶς πειράσομαι λόγοις διδάσκειν. (138) Οἱ γὰρ πατέρες ἡμῶν ὅθ' ὑπὲρ τῶν ἐπιτηδευμάτων καὶ τῶν ἐκ φύσεως ἀναγκαίων κακῶν καὶ ἀγαθῶν ἐνομοθέτουν, ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν. « Δοῦλον » φησὶν ὁ νόμος « μὴ γυμνάζεσθαι μηδὲ ξηραλοιφεῖν ἐν ταῖς παλαίστραις. » καὶ οὐκέτι προσέγραψε « τὸν δ' ἐλεύθερον ἀλείφεσθαι καὶ γυμνάζεσθαι. » Ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν, τούτῳ αὐτῷ ἡγοῦντο, ᾧ ἐκείνους ἐκώλυον, τοὺς ἐλευθέρους προτρέπειν ἐπὶ τὰ γυμνάσια. (139) Πάλιν ὁ αὐτὸς οὗτος εἶπε νομοθέτης « δοῦλον ἐλευθέρου παιδὸς μήτ' ἐρᾶν μήτ' ἐπακολουθεῖν, ἢ τύπτεσθαι τῇ δημοσίᾳ μάστιγι πεντήκοντα πληγάς. » Ἀλλ' οὐ τὸν ἐλεύθερον ἐκώλυσεν ἐρᾶν καὶ ὁμιλεῖν καὶ ἀκολουθεῖν, οὐδὲ βλάβην τῷ παιδί, ἀλλὰ μαρτυρίαν σωφροσύνης ἡγήσατο συμβαίνειν. Ἀκύρου δ' οἶμαι καὶ ἀδυνάτου ἔτι ὄντος κρῖναι τὸν ὄντως εὔνουν καὶ μή, τὸν ἐρῶντα σωφρονίζει, καὶ τοὺς τῆς φιλίας λόγους εἰς τὴν φρονοῦσαν καὶ πρεσβυτέραν ἡλικίαν ἀναβάλλεται· τὸ δ' ἐπα-

quorundam effecerit, ut corporis decor aliquibus calamitati sit, non ea vos publice decreturos dicet, quæ privatim exoptetis. (134) Absurdum enim videri sibi, quum omnes vos liberis operam daturi vota faciatis, ut filii nondum nati forma præstantes, et civitate digni evadant : eos qui jam nati sunt, quos rempublicam laudi sibi ducere conveniat, si formæ elegantia præstantes, aliquos in sui admirationem convertant, et contentione quadam amoris expetantur, a vobis Æschini obsecutis ignominia notari. (135) Et hoc in loco, ut audio, me quoque perstringet, rogitans, an me non pudeat, quum ipse in gymnasiis frequens, et plurimorum amore captus fuerim, eam rem efficiam ignominiosam et periculosam. Postremo, ut quidam mihi nuntiant, vos ad risum et nugas cohortans, se vobis monstraturum dicet, quam multa in quosdam amatoria poemata fecerim : ac testes producturum pollicebitur de conviciis ac verberibus ob eam rem mihi factis. (136) Ego vero nec honestum amorem reprehendo, neque homines forma præstantes impudicitiæ arguo, nec ipse infitias eo, me propensum ad amores et fuisse et etiam nunc esse, neque etiam æmulationes et pugnas cum aliis, ex ea re oriri solitas, et mihi accidisse nego. De poematis autem quæ me fecisse dicunt, eorum quædam agnosco, quædam ita esse, ut ab istis corrupta proferuntur, non concedo. (137) Amorem porro honestorum et modestorum, humani affectus et liberalis animi esse statuo : sed pecunia redimendi aliquem petulantiam, viri injurii et inscîti munus esse arbitror. Atque etiam citra corruptelam amari, honestum esse affirmo; sed mercede adductum se prostituere, turpe. Quantum autem inter horum utrumque intersit, quantoque opere differant, post vos edocere conabor. (138) Patres enim vestri, quum de vitæ ratione, et de malis bonisque, quæ naturæ afferret necessitas, leges conderent, quæ ingenuis affectanda esse censuerunt, hæc servis interdixerunt. Servus, inquit lex, ne exerceatur nec sicce ungatur in palæstris. » Neque vero ascripsit etiam : « Ingenuus autem ungatur et exerceatur. » Nam ubi legumlatores perspecta exercitationum honestate, ab earum usu servos repulerunt, eadem lege putarunt, qua illos prohiberent, se ingenuos exhortari ad exercitationes. (139) Rursus idem legislator edixit, ne servus ingenuum puerum vel amet vel assectetur, aut publico flagello quinquaginta plagis afficiatur. Ingenuo autem non interdixit, ne vel amaret, vel colloqueretur, vel assectaretur : neque id puero incommodare, sed integritatis testimonium perhibere putavit. Nam quum puer nondum sit eo judicio præditus, ut verum amatorem a falso possit discernere, ipsum amatorem castigat, et amicitiæ dijudicationem ætati prudentiori et graviori asservat :

χολουθεῖν καὶ ἐφορᾶν φρουρὰν καὶ φυλακὴν σωφροσύνης ἡγήσατο εἶναι μεγίστην. (140) Τοιγάρτοι τοὺς τῆς πόλεως μὲν εὐεργέτας, ταῖς δ' ἀρεταῖς ὑπερενηνοχότας, Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὁ σώφρων καὶ ἔννομος, εἴτε ἔρωτα εἴτε τρόπον αὐτὸν χρὴ προσειπεῖν, τοιούτους ἐπαίδευσεν ὥστε τοὺς ἐπαινοῦντας τὰ ἐκείνων ἔργα καταδεεστέρους δοκεῖν εἶναι ἐν τοῖς ἐγκωμίοις τῶν ἐκείνοις πεπραγμένων.

141. Ἐπειδὴ δὲ Ἀχιλλέως καὶ Πατρόκλου μέμνησθε καὶ Ὁμήρου καὶ ἑτέρων ποιητῶν, ὡς τῶν μὲν δικαστῶν ἀνηκόων παιδείας ὄντων, ὑμεῖς δὲ εὐσχήμονές τινες προσποιεῖσθε εἶναι καὶ περιφρονοῦντες ἱστορίᾳ τὸν δῆμον, ἵν' εἰδῆτε ὅτι καὶ ἡμεῖς τι ἤδη ἠκούσαμεν καὶ ἐμάθομεν, λέξομέν τι καὶ ἡμεῖς περὶ τούτων. Ἐπειδὴ γὰρ ἐπιχειροῦσι φιλοσόφων ἀνδρῶν μεμνῆσθαι καὶ καταφεύγειν ἐπὶ τοὺς εἰρημένους ἐν τῷ μέτρῳ λόγους, θεωρήσατε ἀποβλέψαντες, ὦ Ἀθηναῖοι, εἰς τοὺς ὁμολογουμένως ἀγαθοὺς καὶ χρηστοὺς ποιητάς, ὅσον κεχωρίσθαι ἐνόμισαν τοὺς σώφρονας καὶ τῶν ὁμοίων ἐρῶντας καὶ τοὺς ἀκρατεῖς ὧν οὐ χρὴ καὶ τοὺς ὑβριστάς. (142) Λέξω δὲ πρῶτον μὲν περὶ Ὁμήρου, ὃν ἐν τοῖς πρεσβυτάτοις καὶ σοφωτάτοις τῶν ποιητῶν εἶναι τάττομεν. Ἐκεῖνος γὰρ πολλαχοῦ μεμνημένος περὶ Πατρόκλου καὶ Ἀχιλλέως, τὸν μὲν ἔρωτα καὶ τὴν ἐπωνυμίαν αὐτῶν τῆς φιλίας ἀποκρύπτεται, ἡγούμενος τὰς τῆς εὐνοίας ὑπερβολὰς καταφανεῖς εἶναι τοῖς πεπαιδευμένοις τῶν ἀκροατῶν. (143) Λέγει γάρ που Ἀχιλλεὺς ὀδυρόμενος τὸν τοῦ Πατρόκλου θάνατον, ὡς ἕν τι τοῦτο τῶν λυπηροτάτων ἀναμιμνησκόμενος, ὅτι τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν πατέρα τὸν Πατρόκλου Μενοίτιον ἄκων ἐψεύσατο· ἐπαγγείλασθαι γὰρ εἰς Ὀποῦντα σῶν ἀπάξειν, εἰ συμπέμψειεν αὐτὸν εἰς τὴν Τροίαν καὶ παρακαταθεῖτο αὐτῷ· ᾧ καταφανής ἐστιν ὡς δι' ἔρωτα τὴν ἐπιμέλειαν αὐτοῦ παρέλαβεν. (144) Ἔστι δὲ τὰ ἔπη ἃ ἐγὼ νῦν ὑμῖν μέλλω λέγειν·

> Ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ
> θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν.
> Φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
> Ἴλιον ἐκπέρσαντα λαχόντα τε ληΐδος αἶσαν.
> Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
> ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεύθειν.

(115) Οὐ τοίνυν ἐνταῦθα μόνον σχετλιάζων φαίνεται, ἀλλ' οὕτως αὐτὸν ἰσχυρῶς ἐπένθησεν, ὥστε παρὰ Θέτιδος τῆς αὐτοῦ μητρὸς προακούσας ὅτι μὴ μετελθὼν μὲν τοὺς ἐχθρούς, ἀλλ' ἐάσας ἀτιμώρητον τὸν τοῦ Πατρόκλου θάνατον, ἐπανελθὼν οἴκαδε γηραιὸς ἐν τῇ αὑτοῦ πατρίδι ἀποθανεῖται, τιμωρησάμενος δὲ διὰ ταχέων μέλλοι τὸν βίον τελευτᾶν, εἵλετο τὴν τοῦ τεθνεῶτος πίστιν μᾶλλον ἢ τὴν σωτηρίαν. Οὕτω δὲ μεγαλοψύχως ἠπείγετο τὸν φονέα τὸν ἐκείνου τιμωρήσασθαι, ὥστε πάντων αὐτὸν παραμυθουμένων, καὶ κελευόντων λούσασθαι καὶ σῖτον προσενέγκασθαι, ἀπόμνυσι μηδὲν τούτων πράξειν πρὶν ἂν τὴν τοῦ Ἕκτορος κεφαλὴν ἐπὶ τὸν

assectationem porro et inspectionem, modestiæ custodiam esse maximam existimavit. (140) Proinde viros de republica bene meritos et virtute præstantissimos, Harmodium atque Aristogitonem, modestus ille ac legitimus, sive amor sive mos est appellandus, sic erudiit, ut qui eorum facta celebrant, laudes rerum ab illis gestarum non assequi videantur.

141. Quando autem Achillis et Patrocli meministis, atque Homeri aliorumque poetarum, quasi judices nullis disciplinis sint eruditi, vos autem gravitatem quandam affectatis et populo majorem eruditionem : ut videatis nos quoque jam aliquid audivisse ac didicisse, hisce de rebus et ipsi aliquid disseremus. Postquam enim eruditorum hominum facere mentionem et ad expositas versu sententias confugere instituunt, videte, Athenienses, poetis omnium consensu præstantibus et bonis consideratis, quantum interesse existimarint inter modestos ac sui similium amantes, et inter immodestos, qui ea desiderant quæ non decet, ac contumeliosos. (142) Primum autem de Homero dicam, quem in antiquissimis et sapientissimis poetis numeramus. Qui quum multis locis Patrocli et Achillis meminerit, amorem et cognomentum amicitiæ illorum dissimulat, quum insignem illam benevolentiam eruditis auditoribus esse conspicuam existimet. (143) Quodam enim loco Achilles Patrocli necem deplorans, ut rem earum rerum quæ sibi acciderint omnium acerbissimam : dum recordatur, se invitum fefellisse fidem Menœtio Patrocli patri datam cui promisisset, se Patroclum Opuntem salvum reducturum, si eum secum ad Trojam ablegasset et fidei suæ commisisset : unde apparet eum amoris causa illius curam suscepisse. (144) Eos autem versus dicit, quos ego nunc recitabo :

> Heu quam stulta meæ venit sententia menti,
> quo spondere die potui tibi, clare Menœti,
> incolumem illustremque ad Opuntia mœnia natum
> eversa Troja, spoliis insignibus auctum,
> victorem! Sed non deus omnibus omnia vota
> indulget : siquidem sic impia fata tulerunt,
> nos eadem ut tegeret tellus, utriusque cruore
> sparsa ruberet humus.

(145) Neque vero hic dumtaxat lamentatur, sed eum adeo vehementer luget, ut quum a Thetide matre audisset, se, si hostes non persequeretur, sed inultam Patrocli necem pateretur, domum reversum, senem in sua patria obiturum; sin ultus esset, celeriter vitam cum morte commutaturum : fidem erga mortuum suæ prætulerit incolumitati; tantaque animi magnitudine ad ulciscendum illius interfectorem properarit, ut omnibus eum consolantibus, et lavare ac cibum capere jubentibus, abjurarit se quicquam illorum facturum, priusquam caput Hectoris ad Patrocli sepulcrum attulisset.

τοῦ Πατρόκλου τάφον ἐνέγκῃ. (146) Καθεύδοντος δ' αὐτοῦ ἐπὶ τῇ πυρᾷ, ὥς φησιν ὁ ποιητής, εἴδωλον ἐφίσταται τὸ Πατρόκλου, καὶ τοιούτων ἐπεμνήσθη καὶ τοιαῦτα ἐπέσκηψε τῷ Ἀχιλλεῖ, ἐφ' οἷς καὶ δακρῦσαι καὶ ζηλῶσαι τὴν ἀρετὴν καὶ τὴν φιλίαν ἄξιον αὐτῶν ἐστιν. Ἐπισκήπτει μὲν γὰρ αὐτῷ, προειπὼν ὅτι οὐδὲ ἐκεῖνος ἀπέχει μακρὰν τῆς τοῦ βίου τελευτῆς, εἴ πως εἴη δυνατόν, προδιοικήσασθαι ὅπως τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἐτράφησαν καὶ ἐβίωσαν ἐν τῷ αὐτῷ, οὕτω καὶ τελευτησάντων αὐτῶν τὰ ὀστᾶ ἐν τῇ αὐτῇ σορῷ κείσεται· (147) ὀδυρόμενος δὲ καὶ τὰς διατριβὰς διεξιὼν ἃς μετ' ἀλλήλων ζῶντες διέτριβον, λέγει ὅτι « οὐκέτι περὶ τῶν μεγίστων, ὥσπερ τὸ πρότερον, καθεζόμενοι μετ' ἀλλήλων μόνοι ἄποθεν τῶν ἄλλων φίλων βουλευσόμεθα, » τὴν πίστιν (οἶμαι) καὶ τὴν εὔνοιαν ποθεινοτάτην ἡγούμενος εἶναι. Ἵνα δὲ καὶ διὰ τοῦ μέτρου τὰς γνώμας ἀκούσητε τοῦ ποιητοῦ, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὰ ἔπη τὰ περὶ τούτων, ἃ Ὅμηρος πεποίηκε. (148) Λέγε πρῶτον τὰ περὶ τῆς Ἕκτορος τιμωρίας.

> Ἀλλ' ἐπεὶ οὖν, φίλ' ἑταῖρε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
> οὔ σε πρὶν κτεριῶ πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
> τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆος.

(149) Ἀναγίνωσκε δὴ ἃ περὶ τοῦ ὁμοτάφους αὐτοὺς γε-
21 νέσθαι λέγει ἐν τῷ ὕπνῳ ὁ Πάτροκλος, καὶ περὶ τῶν διατριβῶν ἃς συνδιέτριβον ἀλλήλοις.

> Οὐ γὰρ ἔτι ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
> βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν Κὴρ
> ἀμφέχανε στυγερή, ἥπερ λάχε γεινόμενόν περ·
> καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
> τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι,
> μαρνάμενον δηίοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
> Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
> μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
> ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθῃ,
> χρυσέῳ ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ.
> Ὡς ὁμοῦ ἐτράφεμέν περ ἐν ὑμετέροισι δόμοισιν,
> εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
> ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὕπο λυγρῆς,
> ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος,
> νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς,
> ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς
> ἔτρεφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
> ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι.

(150) Ὡς τοίνυν ἐξῆν ἂν αὐτῷ σωθῆναι μὴ τιμωρησαμένῳ τὸν τοῦ Πατρόκλου θάνατον, ἀνάγνωθι ἃ λέγει ἡ Θέτις.

> Ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγορεύεις·
> αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
> Τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
> Αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
> κτεινομένῳ ἐπαμῦναι, ὅ μοι πολὺ φίλτατος ἔσκεν.

151. Ὁ τοίνυν οὐδενὸς ἧττον σοφὸς τῶν ποιητῶν Εὐριπίδης, ἕν τι τῶν καλλίστων ὑπολαμβάνων εἶναι τὸ σωφρόνως ἐρᾶν, ἐν εὐχῆς μέρει τὸν ἔρωτα ποιούμενος λέγει που,

> Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
> ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ.

(146) Ei porro in rogo dormienti, ut ait poeta, simulacrum Patrocli obversatum, hujusmodi rerum memoriam refricat et ea mandat Achilli, quæ nobis lacrimas excutere possint, et efficere ut virtutem eorum atque amicitiam admiremur. Nam eum jubet, præfatus in primis illum etiam non longe a morte abesse, si quo modo fieri possit, dare operam, ac providere, ut quemadmodum una sint educati et versati, sic eorum etiam defunctorum ossa eodem in loculo reponantur. (147) Præterea lamentans, et actam una vitam recensens, ait, se posthac maximis de rebus, ut soliti prius fuerint, in eodem consessu, seorsum a ceteris non esse deliberaturos: fidem, opinor, et benevolentiam, rem summi esse desiderii existimans. Ut autem poetæ sententias versibus inclusas audiatis, recitabit vobis scriba versus quos his de rebus fecit Homerus. (148) Eos primum narra, quos de Hectoris supplicio fecit.

> Nunc postquam, Patrocle, tuæ sum postera vitæ
> tempora sortitus, non ante ego debita solvam
> funeri justa tuo, quam huc Hectoris arma superbi
> et caput attulero.

(149) Recita ergo ea quæ Patroclus in somnis illi dicit de communi sepultura, et de vitæ actæ una consuetudine:

> Non dabitur tecum posthac de rebus agendis
> consulere, ut nuper viventes fecimus ambo;
> sed me letiferi cohibet vis ferrea fati,
> quod mihi nascenti sævæ statuere sorores.
> Hoc quod te quoque, Achille, manet, sub mœnibus altis
> Laomedonteæ parvo post tempore Trojæ.
> Hoc quoque te repetens iterumque iterumque precabor,
> ne procul a nostris tua mandes ossa reponi
> ossibus: et quoniam primos simul egimus annos,
> quum puerum pater ex Opoente Menœtius olim
> me tulit ad vestros studio properante penates,
> tempore quo infelix natum Amphidamante peremi
> ludendo invitus: tum me domus inclyta Pelei
> suscepit, cura et tecum nutrivit eadem:
> nunc etiam nostra ossa una condantur in urna
> conjuncta aureola, sed quæ capere utraque possit.
> Quam tibi (nam memini) dono dedit inclyta mater.

(150) Licuisse porro ei esse incolumi, nisi Patrocli necem ultus esset, ea legito quæ Thetis ait:

> Cito moriturus mihi, fili, es, quum talia dicas;
> ilico enim tibi deinde post Hectorem fatum paratum est.
> Illam autem vicissim affatus est pedibus velox Achilles:
> Ilico moriar, quandoquidem non eram socio,
> dum interficeretur, auxiliaturus, qui mihi omnium carissimus erat.

151. Jam qui nulli poetarum sapientia cedit Euripides, in rebus honestissimis amorem modestum numerans, quodam eum loco votis exoptans, sic ait:

> Amor modestus, et virtutis assecla,
> est expetendus, isque contingat mihi.

(152) Πάλιν τοίνυν ὁ αὐτὸς ἐν τῷ Φοίνικι ἀποφαίνεται, ὑπὲρ τῆς γεγενημένης αὐτῷ πρὸς τὸν πατέρα διαβολῆς ἀπολογούμενος, καὶ ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας μηδ' ἐκ διαβολῆς, ἀλλ' ἐκ τοῦ βίου τὰς κρίσεις ποιεῖσθαι.

Ἤδη δὲ πολλῶν ᾑρέθην λόγων κριτής,
καὶ πόλλ' ἁμιλληθέντα μαρτύρων ὕπο,
τἀναντί' ἔγνων συμφορᾶς μιᾶς πέρι.
Κἀγὼ μὲν οὕτω, χὤστις ἔστ' ἀνὴρ σοφός,
λογίζομαι τἀληθές, εἰς ἀνδρὸς φύσιν
σκοπῶν δίαιτάν θ' ἥντιν' ἐμπορεύεται·
ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν οἷς περ ἥδεται ξυνών.

(153) Σκέψασθε δ', ὦ Ἀθηναῖοι, τὰς γνώμας ἃς ἀποφαίνεται ὁ ποιητής. Ἤδη πολλῶν πραγμάτων φησὶ γεγενῆσθαι κριτής, ὥσπερ νῦν ὑμεῖς δικασταί· καὶ τὰς κρί-
22 σεις οὐκ ἐκ τῶν μαρτυριῶν, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων καὶ τῶν ὁμιλιῶν φησι ποιεῖσθαι, ἐκεῖσε ἀποβλέπων, πῶς τὸν καθ' ἡμέραν βίον ζῇ ὁ κρινόμενος καὶ ὄντινα τρόπον διοικεῖ τὴν ἑαυτοῦ οἰκίαν, ὡς παραπλησίως αὐτὸν καὶ τὰ τῆς πόλεως διοικήσοντα, καὶ τίσι χαίρει πλησιάζων· καὶ τελευτῶν οὐκ ὤκνησεν ἀποφήνασθαι τοιοῦτον αὐτὸν εἶναι οἷς περ ἥδεται ξυνών. Οὐκοῦν δίκαιον καὶ περὶ Τιμάρχου τοῖς αὐτοῖς ὑμᾶς Εὐριπίδῃ χρήσασθαι λογισμοῖς. (154) Πῶς διῴκηκε τὴν ἑαυτοῦ οὐσίαν; κατεδήδοκε τὰ πατρῷα καὶ τὰ τῶν φίλων, μεμισθαρνηκὼς τῷ σώματι καὶ δωροδοκῶν δημοσίᾳ πάντ' ἠφάνικεν, ὥστε μηδὲν ἄλλ' ἢ τὰς αἰσχύνας αὐτῷ περιεῖναι. Χαίρει δὲ τῷ ξυνών; Ἡγησάνδρῳ. Ὁ δ' Ἡγήσανδρος ἐκ τίνων ἐστὶν ἐπιτηδευμάτων; ἐκ τούτων ἐξ ὧν αὐτὸν πράξαντα οἱ νόμοι ἀπαγορεύουσι μὴ δημηγορεῖν. Ἐγὼ δὲ τί λέγω κατὰ Τιμάρχου, καὶ τίνα ποτ' ἐστὶν ἃ ἀντιγέγραμμαι; μὴ δημηγορεῖν Τίμαρχον πεπορνευμένον καὶ τὴν πατρῴαν οὐσίαν κατεδηδοκότα. Ὑμεῖς δὲ τί ὀμωμόκατε; ὑπὲρ αὐτῶν ψηφιεῖσθαι ὧν ἂν ἡ δίωξις ᾖ.

155. Ἵνα δὲ μὴ μακρολογῶ περὶ τῶν ποιητῶν διεξιών, ἀνδρῶν ἐρῶ πρεσβυτέρων καὶ γνωρίμων ὑμῖν ὀνόματα καὶ μειρακίων καὶ παίδων, ὧν τοῖς μὲν διὰ τὴν εὐπρέπειαν πολλοὶ γεγόνασιν ἐρασταί, ἐνίοις δὲ τῶν ἐν ἡλικίᾳ ἔτι καὶ νῦν εἰσίν, ὧν οὐδεὶς πώποτ' εἰς τὰς αὐτὰς αἰτίας ἀφῖκται Τιμάρχῳ· καὶ πάλιν ὑμῖν ἀντιδιέξειμι ἀνθρώπων πεπορνευμένων αἰσχρῶς καὶ φανερῶς ὀνόματα, ἵνα ὑμεῖς ἀναμνησθέντες κατανείμητε εἰς τὴν προσήκουσαν τάξιν Τίμαρχον. (156) Πρῶτον δὲ λέξω τὰ τῶν ἐλευθέρων καὶ καλῶς βεβιωκότων ὀνόματα. Γιγνώσκετε, ὦ Ἀθηναῖοι, Κρίτωνα τὸν Ἀστυόχου καὶ Περικλείδην τὸν Περιθοίδην καὶ Πολεμαγένην καὶ Πανταλέοντα τὸν Κλεαγόρου καὶ Τιμησίθεον τὸν δρομέα, καλλίστους οὐ μόνον τῶν πολιτῶν ἀλλὰ καὶ τῶν Ἑλλήνων γεγενημένους καὶ πλείστων καὶ σωφρονεστάτων τυχόντας ἐραστῶν· ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἔψεξε. (157) Πάλιν ἐκ τῶν μειρακίων καὶ τῶν ἐν παισὶν ἔτι καὶ νῦν ὄντων πρῶτον μὲν τὸν ἀδελφιδοῦν τὸν Ἰφι-

(152) Rursus idem poeta in Phœnice, de calumnia qua delatus Phœnix fuerat apud patrem, pronuntiat, defendens eum et homines consuefaciens, ne ex suspicionibus aut criminationibus, sed ex ante acta vita judicium faciant :

Jam sæpe lectus acris litis arbiter,
quum multa concurrissent dicta testium,
statui diversum, causa adductus unica.
Et ego quidem sic (ratio ut ipsa postulat)
inquiro vera, mores intuens viri, et
quotidianæ vitæ consuetudinem.
Nanque improborum cui placet sodalitas,
is qui siet vir, non rogo : sciens satis,
sodalium illum convenire moribus.

(153) Considerate sententias, Athenienses, quas poeta profert. Ait se jam multarum rerum fuisse disceptatorem, ut et vos nunc judices : seque asserit judicia non e testimoniis, sed e studiis et familiaritatibus fecisse : illuc respicientem quæ fuisset reo quotidianæ vitæ consuetudo, et ut suam familiam gubernasset, quasi eodem modo et rempublicam esset administraturus; et quorum commercio gavisus esset; denique pronuntiare non dubitat, talem eum esse, quales ii sint, quorum consuetudine delectetur. Æquum igitur est, vos de Timarcho etiam iisdem cum Euripide uti rationibus. (154) Quomodo suam rem familiarem curavit? Patrimonium et suum et amicorum per luxum absumpsit, prostituta mercede pudicitia, acceptisque ob rem judicandam muneribus omnia strenue confecit, ut nihil ei sit reliquum præter dedecus. Cujus autem consuetudine delectatur? Hegesandri. Hegesandri porro studia quæ sunt? Ea, propter quæ legibus a concionibus habendis repellitur. Ego vero de Timarcho quid dico? et quænam ad prætorem retuli? Ne conciones habeat Timarchus, pudicitia prostituta, et per luxum absumpto patrimonio. Vos quid jurastis? De iis rebus pronuntiaturos, quæ in accusatione præscriptæ sint.

155. Ne vero poetarum auctoritate inculcanda sim prolixior, virorum dicam seniorum notorumque vobis nomina, adolescentum item et puerorum, quorum alii ob formæ venustatem multos habuerunt amatores, alii per ætatem nunc etiam habent : quorum nemini unquam eadem quæ Timarcho crimina sunt objecta. Visissimque vobis commemorabo nomina hominum, qui libidini turpiter aperteque indulserunt : ut vos eorum recordati, Timarchum in convenientem ei ordinem reponatis. (156) Primum autem commemorabo ingenuorum nomina, qui ætatem honeste exegerunt. Nostis, Athenienses, Critonem Astyochi, et Periclidem Perithœdam, et Polemagenem, et Pantaleontem Cleagoræ F., et Timesitheum cursorem, qui non civium dumtaxat, sed et Græcorum omnium formosissimi fuerunt, atque amatores plurimos et modestissimos habuerunt : tamen nemo unquam eos vituperavit. (157) Rursus ex adolescentibus et iis qui etiam nunc inter pueros censentur, primum

κράτους, υἱὸν δὲ Τισίου τοῦ Ῥαμνουσίου, ὁμώνυμον δὲ τοῦ νυνὶ κρινομένου Τιμάρχου· ὃς εὐπρεπὴς ὢν ἰδεῖν τοσοῦτον ἀπέχει τῶν αἰσχρῶν, ὥστε πρῴην ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολλυτῷ, καὶ Παρμένοντος τοῦ κωμικοῦ ὑποκριτοῦ εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον ἐν ᾧ ἦν εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες· οὕτω κληρονόμος εἶ τοῦ ἐπιτηδεύματος. Πάλιν Ἀντικλέα τὸν σταδιοδρόμον καὶ Φειδίαν τὸν ἀδελφὸν τοῦ Μιλησίου. Ἔτι δὲ εἰπεῖν ἔχων πολλοὺς παύσομαι, ἵνα μὴ δοκῶ τὸν ἔπαινον θεραπείᾳ τινὶ κατ' αὐτῶν ποιεῖσθαι. (158) Περὶ δὲ τῶν ὁμοτρόπων τῶν Τιμάρχου, φεύγων τὰς ἀπεχθείας, ὧν ἥκιστά μοι μέλει μνησθήσομαι. Τίς γὰρ ὑμῶν τὸν ὀρφανὸν καλούμενον Διόφαντον οὐκ οἶδεν, ὃς τὸν ξένον πρὸς τὸν ἄρχοντα ἀπήγαγεν ᾧ παρήδρευεν Ἀριστοφῶν ὁ Ἀζηνιεύς, ἐπαιτιασάμενος τέτταρας δραχμὰς αὐτὸν ὑπὲρ τῆς πράξεως ταύτης ἀπεστερηκέναι, καὶ τοὺς νόμους λέγων οἳ κελεύουσι τὸν ἄρχοντα τῶν ὀρφανῶν ἐπιμελεῖσθαι, τοὺς ὑπὲρ τῆς σωφροσύνης κειμένους αὐτὸς ὑπερϐεϐηκώς; ἢ τίς τῶν πολιτῶν οὐκ ἐδυσχέραινε Κηφισόδωρον τὸν τοῦ Μόλωνος καλούμενον, κάλλιστην ὥραν ὄψεως ἀκλεέστατα διεφθαρκότα; ἢ Μνησίθεον τὸν τοῦ μαγείρου καλούμενον; ἢ πολλοὺς ἑτέρους, ὧν ἑκὼν ἐπιλανθάνομαι; (159) Οὐ γὰρ ἐπεξελθεῖν αὐτῶν ἕκαστον κατ' ὄνομα πικρῶς βούλομαι, ἀλλὰ μᾶλλον τῶν τοιούτων ἔργων ἀπορεῖν ἂν εὐξαίμην ἐν τῷ λόγῳ διὰ τὴν πρὸς τὴν πόλιν εὔνοιαν. Ἐπειδὴ δὲ ἑκατέρων προελόμενοί τινας διεξεληλύθαμεν, χωρὶς μὲν τοὺς διὰ σωφροσύνην ἐρωμένους, χωρὶς δὲ τοὺς εἰς ἑαυτοὺς ἐξαμαρτάνοντας, ὑμεῖς ἤδη τοῦτ' ἐρωτηθέντες ἀποκρίνασθε πρὸς ἐμέ, εἰς ὁποτέραν τάξιν Τίμαρχον κατανέμετε, πότερα εἰς τοὺς ἐρωμένους ἢ εἰς τοὺς πεπορνευμένους. Οὐκοῦν μὴ καταλιπὼν ἣν εἵλου συμμορίαν αὐτομολήσῃς εἰς τὰς τῶν ἐλευθέρων διατριϐάς.

160. Ἐὰν δ' ἐπιχειρῶσι λέγειν ὡς οὐχ ἡταίρηκεν ὅστις μὴ κατὰ συγγραφὰς ἐμισθώθη, καὶ γραμματεῖον καὶ μάρτυρας ἀξιῶσί με τούτων παρασχέσθαι, πρῶτον μὲν τοὺς περὶ τῆς ἑταιρήσεως νόμους μέμνησθε, ἐν οἷς οὐδαμοῦ μνείαν ὁ νομοθέτης περὶ συνθηκῶν πεποίηται. Οὐ γὰρ εἰ κατὰ γραμματεῖόν τις ἑαυτὸν κατῄσχυνε, τοῦτ' ἐξήτασεν, ἀλλὰ παντελῶς, ὅπως ἂν ἡ πρᾶξις γένηται, τὸν πράξαντα κελεύει μὴ μετέχειν τῶν τῆς πόλεως κοινῶν. Εἰκότως· ὅστις γὰρ νέος ὢν ἀπέστη δι' αἰσχρὰς ἡδονὰς τῆς εἰς τὰ καλὰ φιλοτιμίας, τοῦτον οὐκ ᾠήθη δεῖν πρεσϐύτερον γενόμενον ὁ τοὺς νόμους εἰσφέρων ἐπίτιμον εἶναι. (161) Ἔπειτα καὶ τὴν εὐήθειαν τοῦ λόγου τούτου ῥᾴδιόν ἐστιν ἐξετάσαι. Πάντες γὰρ ἂν τοῦθ' ὁμολογήσαιμεν, ὅτι τὰς συνθήκας τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα, ἵνα ὁ μὴ παραϐὰς τὰ γεγραμμένα δίκην λάϐῃ τῇ ψήφῳ παρὰ τοῦ παραϐάντος. Οὐκοῦν εἴπερ τὸ πρᾶγμα δίκης προσδεῖται, τοῖς κατὰ γραμματεῖον ἡταιρηκόσιν, ἂν ἀδικῶνται, ἡ τῶν νόμων ὡς οὗτοί φασιν ἐπικουρία καταλείπεται. Καὶ τίς

Iphicratis ex fratre nepotem, Tisiæ Rhamnusii F., Timarcho nunc reo cognominem, qui quum sit decorus aspectu, tantum abest a turpitudine, ut nuper, quum in suburbanis Bacchanalibus comœdiæ in Colytto agerentur, et Parmeno comicus histrio dixisset ad cœtum versum anapæsticum : esse quosdam magnos catamitos, Timarcho similes : nemo id in adolescentem, sed in te omnes dici putarint. Adeo illius studii crevisti hereditatem. Anticlem porro cursorem, et Phidiam Milesii fratrem. Quum autem multos adhuc haberem commemorandos, desinam, ne de industria gratiam illorum videar aucupari. (158) Jam quod illos attinet qui sunt Timarcho similes, quum inimicitias fugiam, eorum solummodo, quorum iras minime curo, faciam mentionem. Quis enim vestrûm Diophantum, qui orbus appellatur, non novit? qui hospitem ad prætorem traxit, cujus assessor fuit Aristopho Azeniensis, conquestus se quattuor ab illo drachmis ob rem istam promissis, fraudari : et leges recitavit, quæ prætorem pupillorum curam gerere jubent, neglectis iis, quæ modestiæ tuendæ causa latæ sunt. Eum ergo quis non oderat? quis civium non adversabatur Cephisodorum, qui Molonis F. nominabatur, quod pulcherrimi aspectus elegantiam summis probris contaminarat? aut Mnesitheum, qui coqui filius dicitur, aut multos alios, quorum ultro obliviscor? (159) Neque enim eorum quemlibet acerbe et nominatim recensere volo; sed multo magis optarim, in oratione me talium factorum inopia laborare, pro mea erga urbem benevolentia. Sed quia utrorumque quosdam delectu habito commemoravimus, seorsum eos qui ob modestiam diliguntur, eos item seorsum, qui semetipsos violant : vos jam ad quæstionem hanc respondeatis mihi velim, in utro Timarchum ordine collocetis? eorumne qui diliguntur, an qui pro scortis subiguntur? Ne igitur ea quam delegisti classe relicta, pro transfuga in cœtus ingenuorum irrumpito.

160. Quodsi dicere instituerint, non in scortorum numero habendum esse, qui non ex syngrapha fuerit mercede elocatus, ac postularint, ut tabulas et testes exhibeam : vos primum memineritis legum de impudicitia, in quibus nullam pactionum mentionem fecit legislator. Neque enim an aliquis ex syngrapha se coinquinarit, id spectavit; sed omnino, quocunque modo res acta fuerit, eum qui fecerit, administratione reipublicæ abstinere jussit. Idque merito. Nam qui adolescens ob turpes voluptates gloriam honestatis neglexisset, eum non censuit legis auctor, ætate provectiore ullum oportere honorem consequi. (161) Deinde rationis istius ineptias facile est ostendere. Omnes enim fatemur, nos pactiones inter nos ex diffidentia facere : ut qui eas servarit, judicio pœnas de eo sumat, qui fidem fregerit. Igitur si impudicorum actio judicium ex syngrapha postulat, si injuriis afficiantur : earum legum quas isti proferunt, præsidium eis est reliquum. Ecquæ autem utriusque possit esse oratio?

ἂν ὁ λόγος ἑκατέρου φανείη; μὴ γὰρ ὑπ' ἐμοῦ λεγόμενον, ἀλλὰ γινόμενον τὸ πρᾶγμα νομίσαθ' ὁρᾶν. (162) Ἔστω γὰρ ὁ μὲν μισθωσάμενος δίκαιος εἰς τὸ πρᾶγμα, ὁ δὲ μισθωθεὶς ἄδικος καὶ μὴ βέβαιος, ἢ πάλιν τοὐναντίον ὁ μὲν μισθωθεὶς μέτριος καὶ ποιῶν τὰ ὡμολογημένα, ὁ δὲ τὴν ἡλικίαν προλαβὼν καὶ μισθωσάμενος ἐψεύσθω· καὶ δικαστὰς ὑμᾶς αὐτοὺς ὑπολάβετε καθῆσθαι. Οὐκοῦν ὁ πρεσβύτερος, ἀποδοθέντος τοῦ ὕδατος αὐτῷ καὶ λόγου, κατηγορῶν μετὰ σπουδῆς, βλέπων δηλονότι πρὸς ὑμᾶς, λέξει (163) « ἐμισθωσάμην, ὦ Ἀθηναῖοι, Τίμαρχον ἑταιρεῖν ἐμαυτῷ κατὰ τὸ γραμματεῖον τὸ παρὰ Δημοσθένει κείμενον, » (οὐδὲν γὰρ κωλύει οὕτως εἰρῆσθαι·) » ὁ δ' οὐ ποιεῖ μοι τὰ ὡμολογημένα. » Καὶ ταῦτ' ἤδη διέξεισι δηλονότι πρὸς τοὺς δικαστὰς λέγων ἃ χρὴ τὸν τοιοῦτον ποιεῖν. Ἔπειτα οὐ καταλευσθήσεται ὁ μισθούμενος τὸν Ἀθηναῖον παρὰ τοὺς νόμους, καὶ προσοφλὼν ἄπεισιν ἐκ τοῦ δικαστηρίου οὐ τὴν ἐπωβελίαν μόνον, ἀλλὰ καὶ ἄλλην ὕβριν; (164) Ἀλλ' οὐχ οὗτος, ἀλλ' ὁ μισθωθεὶς δικάζεται. Λεγέτω δὴ παρελθὼν ὁ σοφὸς Βάταλος ὑπὲρ αὐτοῦ, ἵν' εἰδῶμεν τί ποτ' ἐρεῖ. « Ἄνδρες δικασταί, ἐμισθώσατό με ἑταιρεῖν αὐτῷ ἀργυρίου ὁστισδηποτοῦν » (οὐδὲν γὰρ διαφέρει οὕτως εἰρῆσθαι) » κἀγὼ μὲν ἅπαντα καὶ πεποίηκα καὶ ἔτι καὶ νῦν ποιῶ κατὰ τὸ γραμματεῖον, ἃ χρὴ ποιεῖν τὸν ἑταιροῦντα· οὗτος δὲ ὑπερβαίνει τὰς συνθήκας. » Ἔπειτ' οὐ πολλὴ κραυγὴ παρὰ τῶν δικαστῶν αὐτῷ ἀπαντήσεται; Τίς γὰρ οὐκ ἐρεῖ » ἔπειτα ἐμβάλλεις εἰς τὴν ἀγορὰν ἢ στεφανοῖ ἢ πράττεις τι τῶν αὐτῶν ἡμῖν; » οὐκοῦν οὐδὲν ὄφελος τῆς συγγραφῆς. (165) Πόθεν οὖν ἴσχυκε καὶ σύνηθες γεγένηται λέγειν ὡς κατὰ γραμματεῖον ἤδη τινὲς ἡταίρησαν, ἤδη ἐρῶ. Ἀνὴρ εἷς τῶν πολιτῶν (τὸ δ' ὄνομα οὐ λέξω· τὰς γὰρ ἀπεχθείας φεύγω) οὐδὲν προϊδόμενος ὧν ὀλίγῳ πρότερον ἐγὼ διεξῆλθον πρὸς ὑμᾶς, λέγεται κατὰ συνθήκας ἡταιρηκέναι τὰς παρ' Ἀντικλεῖ κειμένας, οὐκ ὢν ἰδιώτης, ἀλλὰ πρὸς τὰ κοινὰ προσιών· καὶ λοιδορίαις περιπίπτων εἰς συνήθειαν ἐποίησε τοῦ λόγου τούτου τὴν πόλιν καταστῆναι, καὶ διὰ τοῦτο ἐρωτῶσί τινες εἰ κατὰ γραμματεῖον ἡ πρᾶξις γεγένηται. Ὁ δὲ νομοθέτης οὐχ ὅπως τὸ πρᾶγμα γεγένηται ἐφρόντισεν, ἀλλ' ἐὰν ὁπωσοῦν μίσθωσις γένηται, κατέγνωκε τοῦ πράξαντος αἰσχύνην.

166. Ἀλλ' ὅμως οὕτω σαφῶς τούτων διωρισμένων πολλαὶ παρεμβολαὶ λόγων ὑπὸ Δημοσθένους εὑρεθήσονται. Καὶ ταῖς μὲν ὑπὲρ τοῦ πράγματος κακοηθείαις λεγομέναις ἧττον ἄν τις ἀγανακτήσειεν· ἃ δὲ ἔξωθεν ἐπεισάξεται λυμαινόμενος τὰ τῆς πόλεως δίκαια, ἐπὶ τούτοις ἄξιόν ἐστιν ὀργισθῆναι. Πολὺς μὲν γὰρ ὁ Φίλιππος ἔσται, ἀναμιχθήσεται δὲ καὶ τὸ τοῦ παιδὸς ὄνομα Ἀλεξάνδρου. Καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς ἄμουσός τις οὗτος καὶ ἀπαίδευτος ἄνθρωπός ἐστι. (167) Τὸ μὲν γὰρ εἰς τὸν Φίλιππον τῷ λόγῳ πλημμελεῖν ἀμαθὲς μὲν καὶ ἄκαιρον, ἔλαττον δ' οὗ μέλλω λέγειν ἁμάρτημα· ὁμολογουμένως γὰρ εἰς ἄνδρα, καίπερ οὐκ ὢν αὐτὸς ἀνήρ, τὰς βλασφημίας ποιήσεται· ὅταν δὲ ταῖς εἰς τὸν παῖδα

Putate enim vos, rem non a me narrari, sed a vobis aspici. (162) Esto enim conductor æquus in contractu, conductus autem iniquus et inconstans : aut contra conductus æquus et stans conventis, alter natu grandior et conductor fallax. Vos ipsos autem pro tribunali sedere fingite. Itaque natu major, dato sibi tempore dicendique potestate, seriam accusationem instituet, vos nimirum intuens : (163) « Conduxi, Athenienses, Timarchum, ut meum scortum esset, ex tabula, quæ sita est apud Demosthenem, — nihil enim prohibet ita dici — neque vero ille stat pactis, » eaque jam exponit scilicet ac judicibus narrat, quæ tali homini facienda sint. Nonne vero is qui Atheniensem contra leges conduxerit, lapidibus obruetur, atque e judicio discedet, non sexta dumtaxat æstimatæ litis parte condemnatus, sed et ob contumeliam punitus? (164) Verum non ille, sed conductus litem intendat, et sapiens iste Batalus causam illius agat : ut sciamus quid dicturus sit. « Conduxit me, judices, ad libidinem pecunia sua, quicunque sit, — nihil enim interest, si ita dicatur — ac ego omnia et feci, et adhuc facio, ut tabulæ jubent, quæ scorto facienda sunt; iste autem fidem frangit. » Nonne vero magnum clamorem tollent judices? Quis enim non dicet : « Et adhuc in forum prodit? aut coronam gestat? aut aliquid eorum agit quæ nos agimus? » Itaque nulla est syngraphæ utilitas. (165) Unde autem inoleverit consuetudo illa, ut dicatur, quosdam ex tabulis sui fecisse copiam, jam explicabo. Quidam civium — nomen taceo, vitandæ offensionis causa — nulla earum rerum habita ratione, quas paullo ante apud vos commemoravi, fertur contra pactionem, apud Anticlem sitam, se prostituisse : et is quidem non homo plebeius, sed rempublicam administrans; qui quum dicteriis incessi soleat, effecit, ut hæc oratio de more usurparetur in urbe : eaque de causa quidam interrogent, an res ex syngrapha sit peracta? Legislator autem non curavit, quo pacto res facta sit : sed si ullo pacto locatio intercesserit, eum condemnavit, qui dedecus in sese admisit.

166. Quæ quamvis tam aperte constituta sint, tamen a Demosthene multæ verborum cavillationes interponentur. Ac eæ quidem imposturæ, quas rei natura postulat, æquiore animo ferri possunt : quas vero extrinsecus infarciet, ad jura civitatis corrumpenda, eæ demum dignæ sunt iracundia. (167) Frequens enim erit Philippi mentio : admiscebitur etiam nomen pueri Alexandri. Nam præter cetera mala, iste a musis alienus et rudis homo est. Nam oratione Philippum perstringere, est illud quidem inscitiæ et importunitatis : minus tamen delictum eo quod dicturus sum. Nam licebit ei in virum convicia jacere, quum ipse vir non sit : quum vero excogitatis in puerum translationi-

πεπραγματευμέναις μεταφοραῖς ὀνομάτων αἰσχρὰς ὑποψίας παρεμβάλῃ, καταγέλαστον τὴν πόλιν ποιεῖ. (168) Ὡς γὰρ τὰς ἐμὰς εὐθύνας βλάπτων, ἃς ὑπὲρ τῆς πρεσβείας μέλλω διδόναι, φησί με, ὅτ' αὐτὸς πρώην πρὸς τὴν βουλὴν ὑπὲρ τοῦ παιδὸς Ἀλεξάνδρου διεξῄει ὡς ἐν τῷ πότῳ ἡμῶν κιθαρίζοι καὶ λέγοι ῥήσεις τινὰς καὶ ἀντικρούσεις πρὸς ἕτερον παῖδα, καὶ περὶ τούτων ἃ δή ποτε αὐτὸς ἐτύγχανε γινώσκων πρὸς τὴν βουλὴν ἀπεφήνατο, οὐχ ὡς συμπρεσβευτήν, ἀλλ' ὡς συγγενῆ τοῖς εἰς τὸν παῖδα σκώμμασιν ἀγανακτῆσαι. (169) Ἐγὼ δ' Ἀλεξάνδρῳ μὲν εἰκότως διὰ τὴν ἡλικίαν οὐ διείλεγμαι, Φίλιππον δὲ νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ, ἐὰν δ' ὁ αὐτὸς ἐν τοῖς πρὸς ἡμᾶς ἔργοις γένηται οἷος νῦν ἐστιν ἐν τοῖς ἐπαγγέλμασιν, ἀσφαλῆ καὶ ῥᾴδιον τὸν καθ' αὑτοῦ ποιήσει ἔπαινον. Ἐπετίμησα δὲ ἐν τῷ βουλευτηρίῳ Δημοσθένει οὐ τὸν παῖδα ἐκθεραπεύων, ἀλλ' ἐὰν τὰ τοιαῦτα ἀποδέχησθε, ὁμοίαν νομίζων τὴν πόλιν φανήσεσθαι τῇ τοῦ λέγοντος ἀκοσμίᾳ.

170. Ὅλως δ', ὦ Ἀθηναῖοι, τὰς ἔξωθεν τοῦ πράγματος ἀπολογίας μὴ προσδέχεσθε, πρῶτον μὲν τῶν ὅρκων ἕνεκεν οὓς ὠμόσατε, δεύτερον δὲ ὑπὲρ τοῦ μὴ παρακρουσθῆναι ὑπὸ ἀνθρώπου τεχνίτου λόγων. Μικρὸν δ' ἄνωθεν ἄρξομαι διδάσκειν ὑμᾶς. Δημοσθένης γὰρ ἐπειδὴ τὴν πατρῴαν οὐσίαν ἀνάλωσε, περιῄει περὶ τὴν πόλιν θηρεύων νέους πλουσίους ὀρφανούς, ὧν οἱ μὲν πατέρες τετελευτήκεσαν, αἱ δὲ μητέρες διῴκουν τὴν οὐσίαν. Πολλοὺς δ' ὑπερβὰς ἑνὸς τῶν δεινὰ πεπονθότων ὑπὸ τούτου μνησθήσομαι. (171) Κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐχ εὐνομουμένην, ἧς ἡγεμὼν μὲν ἦν γυνὴ μέγα φρονοῦσα καὶ νοῦν οὐκ ἔχουσα, νεανίσκος δὲ ὀρφανὸς ἡμιμανὴς διεχείριζε τὴν οὐσίαν, Ἀρίσταρχος ὁ τοῦ Μόσχου, τούτου προσποιησάμενος ἐραστὴς εἶναι καὶ τὸ μειράκιον εἰς τὴν φιλανθρωπίαν ταύτην προσκαλεσάμενος, ἐλπίδων κενῶν ἐμπλήσας ὡς αὐτίκα δὴ μάλα τῶν ῥητόρων πρωτεύσοντα, κατάλογον ἀποφαίνων, (172) τοιούτων εἰσηγητὴς αὐτῷ καὶ διδάσκαλος ἔργων ἐγένετο, ἐξ ὧν ἐκεῖνος μὲν φεύγει τὴν πατρίδα, οὗτος δ' αὐτοῦ τὰ τῆς φυγῆς ἐφόδια προλαβὼν τρία τάλαντα ἀπεστέρηκε, Νικόδημος δ' ὁ Ἀφιδναῖος ὑπ' Ἀριστάρχου τετελεύτηκε βιαίῳ θανάτῳ, ἐκκοπεὶς ὁ δείλαιος ἀμφοτέρους τοὺς ὀφθαλμοὺς καὶ τὴν γλῶτταν ἀποτμηθεὶς ᾗ ἐπαρρησιάζετο πιστεύων τοῖς νόμοις καὶ ὑμῖν. (173) Ἔπειθ' ὑμεῖς, ὦ Ἀθηναῖοι, Σωκράτην μὲν τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα τῶν τριάκοντα τῶν τὸν δῆμον καταλυσάντων, Δημοσθένης δ' ὑμῖν ἑταίρους ἐξαιτήσεται ὁ τηλικαύτας τιμωρίας λαμβάνων παρὰ τῶν ἰδιωτῶν καὶ δημοτικῶν ἀνθρώπων ὑπὲρ τῆς ἰσηγορίας; ᾧ παρακεκλημένοι τινὲς τῶν μαθητῶν ἥκουσιν ἐπὶ τὴν ἀκρόασιν· κατεπαγγέλλεται γὰρ πρὸς αὐτοὺς ἐργολαβῶν ἐφ' ὑμᾶς, ὡς ἐγὼ πυνθάνομαι, λήσειν μεταλλάξας τὸν ἀγῶνα καὶ τὴν ὑμετέραν ἀκρόασιν, (174) καὶ παραστήσειν τῷ μὲν φεύγοντι θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ, ἐκπεπλῆχθαι δὲ τῷ κατηγόρῳ καὶ πεφοβῆσθαι περὶ αὑτοῦ, τοσούτους

bus verborum, turpes suspiciones injecerit, ridiculam faciet civitatem. (168) Quasi enim rationes obitæ legationis, quas redditurus sum, læsurus ait: quum ipse nuper apud senatum de puero Alexandro dixisset, eum in compotatione nostra citharam pulsasse, et dicta quædam recitasse, et cum alio puero esse æmulatum: quumque de his quid sentiret, apud senatum exposuisset, doluisse me, non ut legationis collegam, sed ut pueri cognatum, ob illa dicteria. (169) Ego vero cum Alexandro non collocutus sum ob ætatem illius, Philippum autem nunc ob orationis commoditatem laudo: qui si re ipsa sic erga vos se gesserit ut nunc benigne pollicetur, tutam et facilem efficiet laudandi sui rationem. Objurgavi autem Demosthenem in curia, non pueri demerendi causa, sed, quod existimabam, vos si talia probaretis, similem fore de civitate atque de dicentis immodestia opinionem.

170. In universum denique, Athenienses, a re alienas defensiones repudiatote, primum ob jusjurandum quod dedistis, deinde ne fallamini ab homine artifice. Sed paullo altius incipiam docere vos. Demosthenes, quum patrimonium absumpsisset, per totam urbem circumibat, ut pupillos adolescentes divites venaretur: quorum patribus defunctis, matres familiam gubernabant. Multis autem præteritis, unius mentionem faciam, cum quo inique actum est. (171) Quum enim locupletem domum conspexisset, quæ non recte gubernaretur, ut cujus dux esset mulier, superba illa quidem, sed minime cordata, adolescens autem pupillus vesanus, opum administrator, Aristarchus Moschi filius hujus se amatorem esse simulavit: ad eamque amicitiam adolescentem invitavit, et vana spe inflavit, pollicens eum sicuti alii ex discipulis suis brevi oratorum principem futurum. (172) Talium autem ei operum auctor et magister factus est, ob quæ et ille patria exulat, et iste tribus cum talentis exilii viatico spoliavit: et Nicodemus Aphidnæus violenta morte ab Aristarcho occubuit miser exsectis etiam oculis ambobus, et lingua præcisa, qua libere locutus fuerat, legibus fretus et vobis. (173) Et vos, Athenienses, Socratem sapientem illum occidistis, quod Critiam instituisset, unum XXX virorum, qui populum oppresserunt: Demosthenis autem precibus, qui ab hominibus indoctis et popularibus propter dicendi libertatem tantas pœnas sumit, condonabitis alios? Ad quem audiendum, rogatu ejus, quidam adolescentes veniunt. Pollicetur enim eis, quæstu in vestram fraudem instituto, ut ego audio, se occultis artificiis mutaturum et causam et auscultationem vestram, (174) atque effecturum, ubi ipse prodierit, ut et reus bono animo sit, et accusator percellatur, et de se ipso sit in metu: et tot ac tantos tumultus a judicibus evo-

δὲ καὶ τηλικούτους ἐκκαλέσεσθαι παρὰ τῶν δικαστῶν θορύβους παρεμβάλλων τὰς ἐμὰς δημηγορίας καὶ ψέγων τὴν εἰρήνην τὴν δι' ἐμοῦ καὶ Φιλοκράτους γεγενημένην, ὥστ' οὐδὲ ἀπαντήσεσθαί με ἐπὶ τὸ δικαστήριον ἀπολογησόμενον ὅταν τὰς τῆς πρεσβείας εὐθύνας διδῶ, ἀλλ' ἀγαπήσειν ἐὰν μετρίῳ τιμήματι περιπέσω καὶ μὴ θανάτῳ ζημιῶμαι. (175) Μηδενὶ δὴ τρόπῳ καθ' ὑμῶν αὐτῶν γέλωτα τῷ σοφιστῇ καὶ διατριβὴν παράσχητε, ἀλλ' ὑπολάβεθ' ὁρᾶν εἰσεληλυθότα ἀπὸ τοῦ δικαστηρίου οἴκαδε, καὶ σεμνυνόμενον ἐν τῇ τῶν μειρακίων διατριβῇ, καὶ διεξιόντα ὡς εὖ τὸ πρᾶγμα ὑφείλετο τῶν δικαστῶν· « ἀπαγαγὼν γὰρ αὐτοὺς ἀπὸ τῶν περὶ Τίμαρχον αἰτιῶν ἐπέστησα φέρων ἐπὶ τὸν κατήγορον καὶ Φίλιππον καὶ Φωκέας, καὶ φόβους ἐπήρτησα τοῖς ἀκροωμένοις, ὥσθ' ὁ μὲν φεύγων κατηγόρει, ὁ δὲ κατηγορῶν ἐκρίνετο, οἱ δὲ δικασταί, ὧν μὲν ἦσαν δικασταί, ἐπελάθοντο, ὧν δ' οὐκ ἦσαν κριταί, περὶ τούτων ἤκουον. » (176) Ὑμέτερον δ' ἔργον ἐστὶ πρὸς ταῦτα ἀντιτετάχθαι, καὶ πανταχῇ παρακολουθοῦντας μηδαμῇ παρεκκλίνειν αὐτὸν ἐᾶν μηδὲ τοῖς ἔξω τοῦ ἀγῶνος λόγοις διισχυρίζεσθαι· ἀλλ' ὥσπερ ἐν ταῖς ἱπποδρομίαις εἰς τὸν τοῦ πράγματος αὐτὸν δρόμον εἰσελαύνετε. Κἂν ταῦτα ποιῆτε, οὐ καταφρονηθήσεσθε, ἀλλὰ τὴν αὐτὴν ἕξετε γνώμην νομοθετοῦντες καὶ δικάζοντες· εἰ δὲ μή, δόξετε μελλόντων μὲν γίνεσθαι τῶν ἀδικημάτων προαισθάνεσθαι καὶ ὀργίζεσθαι, γεγονότων δὲ οὐκέτι φροντίζειν.

177. Ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν μὲν κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι, ἐὰν δ' ἀφιῆτε, καλοὶ μέν, κύριοι δ' οὐκέτι. Ὧν δ' ἕνεκα ταῦτα λέγω, οὐκ ὀκνήσω πρὸς ὑμᾶς παρρησιάσασθαι. Ἔσται δ' ὁ λόγος ἐπὶ παραδείγματος. Διὰ τί οἴεσθε, ὦ Ἀθηναῖοι, τοὺς νόμους μὲν καλῶς κεῖσθαι, τὰ δὲ ψηφίσματα εἶναι τῆς πόλεως καταδεέστερα καὶ τὰς κρίσεις ἐνίοτε τὰς ἐν τοῖς δικαστηρίοις ἔχειν ἐπιπλήξεις; Ἐγὼ τὰς τούτων αἰτίας ἐπιδείξω. (178) Ὅτι τοὺς μὲν νόμους τίθεσθε ἐπὶ πᾶσι τοῖς δικαίοις, οὔτε κέρδους ἕνεκ' ἀδίκου οὔτε χάριτος οὔτ' ἔχθρας, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ δίκαιον καὶ τὸ συμφέρον ἀποβλέποντες· ἐπιδέξιοι δ' οἶμαι φύντες ἑτέρων μᾶλλον εἰκότως καλλίστους νόμους τίθεσθε. Ἐν δὲ ταῖς ἐκκλησίαις καὶ τοῖς δικαστηρίοις πολλάκις ἀφέμενοι τῶν εἰς αὐτὸ τὸ πρᾶγμα λόγων ὑπὸ τῆς ἀπάτης καὶ τῶν ἀλαζονευμάτων ἄγεσθε, καὶ πάντων ἀδικώτατον ἔθος εἰς τοὺς ἀγῶνας παραδέχεσθε· ἐᾶτε γὰρ τοὺς ἀπολογουμένους ἀντικατηγορεῖν τῶν κατηγορούντων. (179) Ἐπειδὰν δ' ἀπὸ τῆς ἀπολογίας ἀποσπασθῆτε καὶ τὰς ψυχὰς ἐφ' ἑτέρων γένησθε, εἰς λήθην ἐκπεσόντες τῆς κατηγορίας, ἐξέρχεσθ' ἐκ τῶν δικαστηρίων οὐδὲ παρ' ἑτέρου δίκην εἰληφότες, οὔτε παρὰ τοῦ κατηγόρου (ψῆφος γὰρ κατ' αὐτοῦ οὐ δίδοται) οὔτε παρὰ τοῦ ἀπολογουμένου (ταῖς γὰρ ἀλλοτρίαις αἰτίαις ἀποτριψάμενος τὰ ὑπάρχοντα αὐτῷ ἐγκλήματα ἐκπέφευγεν ἐκ τοῦ δικαστηρίου)· οἱ δὲ νόμοι καταλύονται, καὶ ἡ δημοκρατία διαφθείρεται, καὶ τὸ ἔθος ἐπὶ

caturum, meis concionibus inserendis, et pace per me et Philocratem facta reprehendenda, ut ne in judicium quidem venturus sim ad mei defensionem, quum obitæ legationis rationes reddendæ mihi erunt: sed mediocrem mulctam æqui bonique facturus, modo ne capitis condemner. (175) Nullo igitur pacto, judices, contra vos ipsos isti rhetori risum et ludum præbueritis: sed putate videre vos e foro domum reversum, et gloriantem in adolescentulorum cœtu, et commemorantem, quam commode judicibus causam extorserit. Nam abduxisse eos a criminibus Timarcho objectis, et magna vi ad accusatorem et Philippum et Phocenses traduxisse; et eum metum auditoribus injecisse, ut et reus accusaret, et accusator causam diceret: et judices, cujus rei essent judices, obliti essent, ea vero audirent, quorum judices non essent. (176) Vestrum autem officium est ut istis vos artibus opponatis, ut ubique istum assectemini, neque usquam aberrare patiamini, aut rationibus alienis a causa niti: sed, quemadmodum in decursionibus, in ipsum negotii cursum compellatis. Quæ si feceritis, non contemnemini, sed iisdem animis eritis in sententiis dicendis, quibus estis in legibus ferendis: sin minus, existimabunt, vos, quum committenda erunt maleficia, præsentire atque irasci, ubi commissa fuerint, nihil ea curare.

177. Ac ut summatim dicam, si puniveritis maleficos, leges vestræ et honestæ erunt et ratæ: sin absolveritis, honestæ dumtaxat, non item ratæ. Quibus autem de causis hæc dicam, non dubitabo libere apud vos exponere, idque adducto exemplo. Cur putatis, Athenienses, leges vos habere bonas, decreta vero deteriora, et sententias judiciorum aliquando reprehendi? Ego causas ostendam. (178) Quod leges sancitis, omnis æquitatis habita ratione, non injusti lucri causa, non ex inimicitiis, sed in ipsam justitiam dumtaxat et utilitatem intuentes; quum autem dexteritate ingeniorum aliis antecellatis, non mirum est, vos pulcherrimas sancire leges: in concionibus autem et judiciis, sæpe neglectis ipsorum negotiorum rationibus, ab impostoribus et ostentatoribus in fraudem illicimini, consuetudine in controversias omnium injustissima introducta. Permittitis enim, ut ii qui causas dicunt, recriminentur eos, a quibus accusantur. (179) Itaque avulsi a defensione, animisque ad alia traductis, in accusationis oblivionem impulsi, ex prætoriis disceditis, de neutro pœnis sumptis: neque de accusatore (calculus enim contra eum non datur), neque de reo (aliis enim criminandis, objecta sibi crimina propulsando effugit e judicio): leges autem abrogantur, et respublica interit, et consuetudo hæc late vaga-

πολὺ προβαίνει· εὐχερῶς γὰρ ἐνίοτε λόγον ἄνευ χρηστοῦ βίου προσδέχεσθε.

180. Ἀλλ' οὐ Λακεδαιμόνιοι· καλὸν δ' ἐστὶ καὶ τὰς ξενικὰς ἀρετὰς μιμεῖσθαι. Δημηγοροῦντος γάρ τινος ἐν τῇ τῶν Λακεδαιμονίων ἐκκλησίᾳ, ἀνδρὸς βεβιωκότος μὲν αἰσχρῶς, λέγειν δ' εἰς ὑπερβολὴν δυνατοῦ, καὶ τῶν Λακεδαιμονίων (ὥς φασι) κατὰ τὴν ἐκείνου γνώμην ψηφίζεσθαι μελλόντων, παρελθών τις τῶν γερόντων, οὓς ἐκεῖνοι καὶ αἰσχύνονται καὶ δεδίασι, καὶ τὴν τῆς ἡλικίας αὐτῶν ἐπωνυμίαν ἀρχὴν μεγίστην εἶναι νομίζουσι, καθιστᾶσι δ' αὐτοὺς ἐκ τῶν ἐκ παιδὸς εἰς γῆρας σωφρόνων, τούτων εἷς (ὡς λέγεται) παρελθὼν ἰσχυρῶς ἐπέπληξε τοῖς Λακεδαιμονίοις, καί τι τοιοῦτον κατ' αὐτῶν ἐβλασφήμησεν, ὡς οὐ πολὺν χρόνον τὴν Σπάρτην ἀπόρθητον οἰκήσουσι τοιούτοις ἐν ταῖς ἐκκλησίαις συμβούλοις χρώμενοι. (181) Ἅμα δὲ παρακαλέσας ἄλλον τινὰ τῶν Λακεδαιμονίων, ἄνδρα λέγειν μὲν οὐκ εὐφυᾶ, τὰ δὲ κατὰ πόλεμον λαμπρὸν καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέροντα, ἐπέταξεν αὐτῷ τὰς αὐτὰς εἰπεῖν γνώμας οὕτως ὅπως ἂν δύνηται, ἃς εἶπεν ὁ πρότερος ῥήτωρ, « ἵν' » ἔφη « οἱ Λακεδαιμόνιοι ἀνδρὸς ἀγαθοῦ φθεγξαμένου ψηφίσωνται, τὰς δὲ τῶν ἀποδεδειλιακότων καὶ πονηρῶν ἀνθρώπων φωνὰς μηδὲ τοῖς ὠσὶ προσδέχωνται. » Ταῦθ' ὁ γέρων ὁ ἐκ παιδὸς σεσωφρονηκὼς παρῄνεσε τοῖς ἑαυτοῦ πολίταις. Ταχύ γ' ἂν Τίμαρχον ἢ τὸν κίναιδον Δημοσθένην εἴασε πολιτεύεσθαι.

182. Ἵνα δὲ μὴ δοκῶ Λακεδαιμονίους θεραπεύειν, καὶ τῶν ἡμετέρων προγόνων μνησθήσομαι. Οὕτω γὰρ ἦσαν πρὸς τὰς αἰσχύνας χαλεποὶ καὶ περὶ πλείστου τῶν τέκνων τὴν σωφροσύνην ἐποιοῦντο, ὥστ' ἀνὴρ εἷς τῶν πολιτῶν, εὑρὼν τὴν ἑαυτοῦ θυγατέρα διεφθαρμένην καὶ τὴν ἡλικίαν οὐ καλῶς διαφυλάξασαν μέχρι γάμου, ἐγκατῳκοδόμησεν αὐτὴν μεθ' ἵππου εἰς ἔρημον οἰκίαν, ὑφ' οὗ προδήλως ἔμελλεν ἀπολεῖσθαι διὰ λιμὸν συγκαθειργμένη. Καὶ ἔτι καὶ νῦν τῆς οἰκίας ταύτης ἕστηκε τὰ οἰκόπεδα ἐν τῷ ὑμετέρῳ ἄστει, καὶ ὁ τόπος οὗτος καλεῖται Παρ' ἵππον καὶ κόραν. (183) Ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. Τὴν γὰρ γυναῖκα ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς οὐκ ἐᾷ κοσμεῖσθαι οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ τὰς ἀναμαρτήτους τῶν γυναικῶν ἀναμιγνυμένη διαφθείρῃ· ἐὰν δ' εἰσίῃ ἢ κοσμῆται, τὸν ἐντυχόντα κελεύει καταρρηγνύναι τὰ ἱμάτια καὶ τὸν κόσμον ἀφαιρεῖσθαι καὶ τύπτειν, εἰργόμενον θανάτου καὶ τοῦ ἀνάπηρον ποιῆσαι, ἀτιμῶν τὴν τοιαύτην γυναῖκα καὶ τὸν βίον ἀβίωτον αὐτῇ παρασκευάζων. (181) Καὶ τοὺς προαγωγοὺς γράφεσθαι κελεύει, κἂν ἁλῶσι, θανάτῳ ζημιοῦν, ὅτι τῶν ἐξαμαρτάνειν ἐπιθυμούντων ὀκνούντων καὶ αἰσχυνομένων ἀλλήλοις ἐντυγχάνειν αὐτοὶ τὴν αὑτῶν ἀναίδειαν παρασχόντες ἐπὶ μισθῷ τὸ πρᾶγμα εἰς διάπειραν καὶ λόγον κατέστησαν.

185. Ἔπειθ' οἱ μὲν πατέρες ὑμῶν οὕτω περὶ τῶν αἰσχρῶν καὶ καλῶν διεγίνωσκον, ὑμεῖς δὲ Τίμαρχον τὸν τοῖς αἰσχίστοις ἐπιτηδεύμασιν ἔνοχον ἀφήσετε; τὸν ἄν-

tur. Facile enim sæpenumero absque vita honesta probatis orationem.

180. Lacedæmonii vero non ita faciunt : honestum autem est, etiam exterorum virtutes imitari. Nam quum quidam apud illos concionem habuisset, vir ut vitæ flagitiosæ, ita summæ eloquentiæ, atque Lacedæmonii, ut aiunt, in ejus sententiam ituri essent, senum quidam prodit, quos illi et verentur et metuunt : est enim moris eorum, summum magistratum illius ætatis cognomento honestare; deliguntur autem homines, qui a pueritia usque ad senectutem modeste vixerunt : horum igitur unus prodiisse fertur, et acriter objurgasse Lacedæmonios, ac tale quoddam in eos maledictum jecisse, non diu Spartam fore ab hostili violentia incolumem, si talibus in concione suasoribus uterentur. (181) Eademque opera accersisse alium quendam Lacedæmonium, virum haud sane disertum, sed rebus bello gestis illustrem, justitiaque et continentia præstantem : ac jussisse, ut easdem sententias, quas prior ille orator dixisset, pro sua virili utcunque repeteret : ut, inquit, Lacedæmonii de viri boni sententia decernant, ignavorum autem atque improborum hominum ne vocem quidem auribus admittant. Hæc senex ille, a puero temperanter acta ætate, suis civibus consuluit. Qui num Timarchum aut cinædum Demosthenem rempublicam administrare passus esset?

182. Ne vero Lacedæmoniis assentari videar, majorum etiam nostrorum mentionem faciam. Hi enim tam iniquis animis probra ferebant, suorumque liberorum modestiam tanti faciebant, ut civium quidam, deprehenso filiæ suæ stupro, quum puella formam suam usque ad nuptias non diligenter custodisset, eam una cum equo in desertam domum incluserit, a quo in illo carcere citra dubitationem fame efferato interitura esset. Ac solum illius domus etiam nunc in vestra urbe exstat, et locus ille Ad equum et puellam appellatur. (183) Solon autem, legumlatorum celeberrimus, scripsit more antiquorum et graviter de disciplina matronarum. Mulierem enim, apud quam adulter fuerit deprehensus, ornari non sinit, nec in fana publica ingredi, ne suo interventu integras matronas corrumpat : quodsi intraverit aut sese ornaverit, quemvis dilacerare ejus vestimenta et ornatum diripere jubet, et eam verberare, hactenus tamen, ne vel occidat, vel mutilet : sic talem mulierem omni dignitate privat, et vitam ei acerbam reddit ac morte duriorem. (184) Lenones item accusari jubet, et convictos capite plecti : propterea quod mercede locata sua impudentia iis, qui quidem delinquere cupiunt, et tamen inter se colloqui dubitant ac verentur, efficere solent, ut periculum faciant et colloquantur.

185. Patres igitur nostri sic de turpibus rebus et honestis statuerunt : vos autem Timarchum turpissimis studiis obnoxium absolvetis? Qui quum vir sit, et masculo corpore,

δρα μὲν καὶ ἄρρενα τὸ σῶμα, γυναικεῖα δὲ ἁμαρτήματα ἡμαρτηκότα; τίς οὖν ὑμῶν γυναῖκα λαβὼν ἀδικοῦσαν τιμωρήσεται; ἢ τίς οὐκ ἀπαίδευτος εἶναι δόξει τῇ μὲν κατὰ φύσιν ἁμαρτανούσῃ χαλεπαίνων, τῷ δὲ παρὰ φύσιν ἑαυτὸν ὑβρίσαντι συμβούλῳ χρώμενος; (186) τίνα δ' ἔχων ἕκαστος ὑμῶν γνώμην ἐπάνεισιν οἴκαδε ἐκ τοῦ δικαστηρίου; οὔτε γὰρ ὁ κρινόμενος ἀφανής, ἀλλὰ γνώριμος, οὔθ' ὁ νόμος ὁ περὶ τῆς τῶν ῥητόρων δοκιμασίας φαῦλος, ἀλλὰ κάλλιστος, τό τ' ἐρέσθαι τοῖς παισὶ καὶ τοῖς μειρακίοις τοὺς ἑαυτῶν οἰκείους ὅπως τὸ πρᾶγμα κέκριται πρόχειρον. (187) Τί οὖν δὴ λέξετε οἱ τῆς ψήφου νυνὶ γεγονότες κύριοι, ὅταν οἱ ὑμέτεροι παῖδες ὑμᾶς ἐρωνται εἰ κατεδικάσατε ἢ ἀπεψηφίσασθε; οὐχ ἅμα Τίμαρχον ἀπολῦσαι ὁμολογήσετε καὶ τὴν κοινὴν παιδείαν ἀνατρέψετε; τί δ' ὄφελος παιδαγωγοὺς τρέφειν ἢ παιδοτρίβας καὶ διδασκάλους τοῖς παισὶν ἐφιστάναι, ὅταν οἱ τὴν τῶν νόμων παρακαταθήκην ἔχοντες πρὸς τὰς αἰσχύνας κατακάμπτωνται;

188. Θαυμάζω δ' ὑμῶν, ὦ Ἀθηναῖοι, κἀκεῖνο, εἰ τοὺς μὲν πορνοβοσκοὺς μισεῖτε, τοὺς δ' ἑκόντας πεπορνευμένους ἀφήσετε· καὶ (ὡς ἔοικεν) ὁ αὐτὸς οὗτος ἀνὴρ ἱερωσύνην μὲν οὐδενὸς θεῶν κληρώσεται, ὡς οὐκ ὢν ἐκ τῶν νόμων καθαρὸς τὸ σῶμα, γράψει δ' ἐν τοῖς ψηφίσμασιν εὐχὰς ὑπὲρ τῆς πόλεως ταῖς Σεμναῖς θεαῖς. Εἶτα τί θαυμάζομεν τὴν κοινὴν ἀπραξίαν, τοιούτων ῥητόρων ἐπὶ τὰς τοῦ δήμου γνώμας ἐπιγραφομένων; καὶ τὸν αἰσχρῶς οἴκοι βεβιωκότα ἔξω τῆς πόλεως πρεσβευτὴν πέμψομεν, καὶ τούτῳ περὶ τῶν μεγίστων διαπιστεύσομεν; τί δ' οὐκ ἂν ἀποδοῖτο ὁ τὴν τοῦ σώματος ὕβριν πεπρακώς; τίνα δ' ἂν οὗτος ἐλεήσειεν ὁ αὑτὸν οὐκ ἐλεήσας;

189. Τίνι δ' ὑμῶν οὐκ εὔγνωστός ἐστιν ἡ Τιμάρχου βδελυρία; Ὥσπερ γὰρ τοὺς γυμναζομένους, κἂν μὴ παρῶμεν ἐν τοῖς γυμνασίοις, εἰς τὰς εὐεξίας αὐτῶν ἀποβλέποντες γινώσκομεν, οὕτω τοὺς πεπορνευμένους, κἂν
27 μὴ παρῶμεν αὐτῶν τοῖς ἔργοις, ἐκ τῆς ἀναιδείας καὶ τοῦ θράσους καὶ τῶν ἐπιτηδευμάτων γινώσκομεν. Ὁ γὰρ περὶ τῶν μεγίστων τοὺς νόμους καὶ τὴν σωφροσύνην ὑπεριδὼν ἔχει τινὰ ἕξιν τῆς ψυχῆς, ἣ διάδηλος ἐκ τῆς ἀκοσμίας τοῦ τρόπου γίνεται.

190. Πλείστους δ' ἂν εὕροιτ' ἐκ τῶν τοιούτων ἀνθρώπων πόλεις ἀνατετροφότας καὶ ταῖς μεγίσταις συμφοραῖς αὐτοὺς περιπεπτωκότας. Μὴ γὰρ οἴεσθε, ὦ Ἀθηναῖοι, τὰς τῶν ἀδικημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλ' οὐχ ὑπ' ἀνθρώπων ἀσελγείας γίνεσθαι, μηδὲ τοὺς ἠσεβηκότας καθάπερ ἐν ταῖς τραγῳδίαις Ποινὰς ἐλαύνειν καὶ κολάζειν δᾳσὶν ἡμμέναις· (191) ἀλλ' αἱ προπετεῖς τοῦ σώματος ἡδοναὶ καὶ τὸ μηδὲν ἱκανὸν ἡγεῖσθαι, ταῦτα πληροῖ τὰ λῃστήρια, ταῦτ' εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάζει, ταῦτά ἐστιν ἑκάστῳ Ποινή, ταῦτα παρακελεύεται σφάττειν τοὺς πολίτας, ὑπηρετεῖν τοῖς τυράννοις, συγκαταλύειν τὸν δῆμον. Οὐ γὰρ τὴν αἰσχύνην οὐδ' ἃ πείσονται λογίζονται, ἀλλ' ἐφ' οἷς κατορθώσαντες εὐφρανθήσονται, τούτοις κεκήληνται. Ἐξαιρεῖτ' οὖν, ὦ Ἀθηναῖοι, τὰς

muliebria in se probra admisit. Quis ergo vestrûm uxorem in scelere deprehensam ulciscetur? aut quis non rudis existimabitur, si ei succenseat, quæ secundum naturam deliquerit: quum ejus consiliis auscultet, qui scelere, a quo natura abhorret, se contaminarit? Quo porro animo quis vestrûm e prætorio domum revertetur? Neque enim reus obscurus est, sed notissimus: neque lex de oratorum exploratione mala, sed pulcherrima: jam pueri etiam et adolescentuli statim necessarios suos cupide interrogare solent, quo pacto causa sit dijudicata. (187) Quid ergo dicetis, qui nunc cum potestate ferendæ sententiæ estis, ubi vos liberi vestri rogarint, utrum eum condemnaveritis, an vero absolveritis? nonne eadem opera vos Timarchum absolvisse fatebimini, et publicam disciplinam evertetis? Quæ porro utilitas erit alendi pædagogos, aut artis gymnasticæ aliarumque rerum magistros præficiendi pueris, ubi ii, quorum fidei leges commissæ sunt, in probrorum criminibus connivent?

188. Illud etiam in vobis miror, Athenienses, si lenones odistis, eos autem qui pudicitiam ultro prostituerunt, absolvetis. Igitur idem iste vir nullius dei sacerdotium sortietur, ut qui non puro corpore sit, quemadmodum leges jubent: in decretis autem, vota pro republica faciet sanctis deabus. Quid ergo miramur publice nihil rite regi, quum istiusmodi oratorum nomina plebiscitis inscribantur; quum eum qui domi turpiter vixit, legatum extra urbem mittamus, eique de rebus maximis fidem habeamus? Quid autem non venderet is, qui corporis dedecus pecunia addixit? cujus ille miserebitur, qui sui ipsius misertus non est?

189. Cui porro vestrûm non satis nota est Timarchi improbitas? Ut enim pugiles, tametsi in gymnasiis non adfuerimus, considerato habitu corporum cognoscimus: sic profligatæ libidinis homines, tametsi facinoribus eorum non interfuerimus, ex impudentia atque audacia et quotidianæ vitæ consuetudine agnoscimus. Qui enim maximis in rebus leges et modestiam despexit, habitum quendam animo suo impressit, qui ex immodestia morum elucet.

190. Invenietis etiam plurimos ex isto hominum genere, qui et urbes everterint, et in maximas ipsi calamitates inciderint. Neque enim putetis, Athenienses, facinorum initia a diis, non ab hominum petulantia proficisci, aut impios homines, ut in tragœdiis a Furiis agitari facibus ardentibus et puniri: (191) sed temerariæ corporis voluptates, et inexplebilis cupiditatis sitis, hæc demum sunt quæ compleant prædonum receptacula: hæc in myoparones piraticos impellunt: hæc unumquemque cruciant: hæc inducunt ad cives occidendos, ad tyrannos custodiendos, ad rempublicam opprimendam. Neque enim aut ipsius dedecus, aut suppliciorum atrocitatem considerant, sed spe successuum deliniti ruunt in facinus. Exscindite igitur, exscindite,

τοιαύτας φύσεις, καὶ τὰ τῶν νέων ζηλώματα ἐπ' ἀρετὴν προτρέψασθε.

192. Εὖ δ' ἐπίστασθε (καί μοι σφόδρα τὸ μέλλον ῥηθήσεσθαι διαμνημονεύετε)· εἰ μὲν δώσει τῶν ἐπιτηδευμάτων Τίμαρχος δίκην, ἀρχὴν εὐκοσμίας ἐν τῇ πόλει κατασκευάσετε· εἰ δ' ἀποφεύξεται, κρείττων ἦν ὁ ἀγὼν μὴ γεγενημένος. Πρὶν μὲν γὰρ εἰς κρίσιν Τίμαρχον καταστῆναι φόβον τισὶ παρεῖχεν ὁ νόμος καὶ τὸ τῶν δικαστηρίων ὄνομα· εἰ δ' ὁ πρωτεύων βδελυρίᾳ καὶ γνωριμώτατος εἰσελθὼν περιγενήσεται, πολλοὺς ἁμαρτάνειν ἐπαρεῖ, καὶ τελευτῶν οὐχ ὁ λόγος, ἀλλ' ὁ καιρὸς ὑμᾶς ἐξοργιεῖ. (193) Μὴ οὖν εἰς ἀθρόους, ἀλλ' εἰς ἕνα ἀποσκήψατε, καὶ τὴν παρασκευὴν καὶ τοὺς συνηγόρους αὐτῶν παρατηρεῖτε· ὧν οὐδενὸς ἐγὼ ὀνομαστὶ μνησθήσομαι, ἵνα μὴ ταύτην ἀρχὴν τοῦ λόγου ποιήσωνται, ὡς οὐκ ἂν παρῆλθον εἰ μή τις αὐτῶν ὀνομαστὶ ἐμνήσθη. Ἀλλ' ἐκεῖνο ποιήσω· ἀφελὼν τὰ ὀνόματα, διεξιὼν δὲ τὰ ἐπιτηδεύματα αὐτῶν καὶ τὰ σώματα γνώριμα καταστήσω. Ἔσται δ' αὐτὸς ἑαυτῷ ἕκαστος αἴτιος, ἐὰν δεῦρο ἀναβῇ καὶ ἀναισχυντῇ. (194) Τούτῳ γὰρ πάρεισιν ἐκ τριῶν εἰδῶν συνήγοροι, οἱ μὲν ταῖς καθ' ἡμέραν δαπάναις ἀνηλωκότες τὰς πατρῴας οὐσίας, οἱ δὲ ταῖς ἡλικίαις καὶ τοῖς ἑαυτῶν σώμασιν οὐ καλῶς κεχρημένοι καὶ δεδιότες οὐ περὶ Τιμάρχου, ἀλλὰ περὶ ἑαυτῶν καὶ τῶν ἐπιτηδευμάτων, μή ποτε εἰς κρίσιν καταστῶσιν· ἕτεροι δ' ἐκ τῶν ἀκολάστων καὶ τῶν τοῖς τοιούτοις κεχρημένων ἀφθόνως, ἵνα ταῖς βοηθείαις αὐτῶν πιστεύοντες ῥᾷόν τινες ἐξαμαρτάνωσιν. (195) Ὧν πρὶν τῆς συνηγορίας ἀκοῦσαι τοὺς βίους ἀναμιμνήσκεσθε, καὶ τοὺς μὲν εἰς τὰ σώματα ἡμαρτηκότας μὴ ὑμῖν ἐνοχλεῖν, ἀλλὰ παύσασθαι δημηγοροῦντας κελεύετε (οὐδὲ γὰρ ὁ νόμος τοὺς ἰδιωτεύοντας, ἀλλὰ τοὺς πολιτευομένους ἐξετάζει)· τοὺς δὲ τὰ πατρῷα κατεδηδοκότας ἐργάζεσθαι καὶ ἑτέρωθεν κτᾶσθαι τὸν βίον κελεύετε· τοὺς δὲ τῶν νέων, ὅσοι ῥᾳδίως ἁλίσκονται, θηρευτὰς ὄντας εἰς τοὺς ξένους καὶ τοὺς μετοίκους τρέπεσθαι κελεύετε, ἵνα μήτ' ἐκεῖνοι τῆς προαιρέσεως ἀποστερῶνται μήθ' ὑμεῖς βλάπτησθε.

196. Τὰ μὲν οὖν παρ' ἐμοῦ δίκαια πάντα ἀπειλήφατε· ἐδίδαξα τοὺς νόμους, ἐξήτασα τὸν βίον τοῦ κρινομένου. Νῦν μὲν οὖν ὑμεῖς ἐστε τῶν ἐμῶν λόγων κριταί, αὐτίκα δ' ὑμέτερος ἐγὼ θεατής· ἐν γὰρ ταῖς ὑμετέραις γνώμαις ἡ πρᾶξις καταλείπεται.

Athenienses, talia ingenia, et indolem adolescentum ad virtutis admirationem excitate.

192. Unum autem quiddam satis scitote (atque id quod dicturus sum, in memoria reponite) : si facinorum suorum pœnas Timarchus dederit, disciplinam civitatis erigetis : sin fuerit absolutus, præstitisset causam hanc in judicium non venisse. Nam priusquam Timarchus in judicium adduceretur, terrorem aliquibus incussit lex et nomen judiciorum : si autem princeps improbitatis et nobilissimus, in judicium adductus evaserit indemnis, multos ad peccandum incitabit, ac tandem vestram iracundiam non oratio, sed tempus ipsum commovebit. (193) Ne vero eam in multos, sed in unum exserite, eorumque (Timarchi et consortium) apparatum et advocatos cavete : de quorum ego nemine dicam nominatim, ne hoc orationis suæ principium sumant, se prodituros non fuisse, nisi nominatim compellati fuissent. Illud autem faciam : nominibus dissimulatis, sed eorum studiis commemoratis, etiam personas reddam notas. Igitur quisque sibi ipse causa erit si huc ascenderit et frontem perfricuerit. (194) Adsunt isti tria advocatorum genera : alii, qui luxu quotidiano patrimonia sua exhauserunt : alii, qui flore ætatis et corporibus suis non recte usi sunt, nec de Timarcho sollicitantur, sed de semetipsis suisque studiis, ne quando in judicium adducantur : alii homines libidine perditi, quique istiusmodi hominibus ad satietatem sunt abusi, ut eorum auxiliis freti facilius quidam delinquant. (195) Quorum defensionem antequam audiatis, qualem vitam egerint, recordamini. Ac eos quidem, qui sua corpora dedecorarunt, non vobis obturbare, sed concionibus abstinere jubete (neque enim lex hæc in homines privatos, sed in eos qui publicis negotiis se immiscent, inquirit : eos porro qui decoxerunt, rem facere et aliunde victum quæritare jubete : qui vero adolescentulos venantur, qui facile se in fraudem sinunt illici, ad peregrinos et inquilinos converti jubete, ut nec ipsi suam cupiditatem non expleant, et vos nihil detrimenti capiatis.

196. Quæ igitur a me præstari fuit æquum, ea præstita sunt omnia; exposui leges, vitam rei excussi. Nunc vos estis meæ judices orationis; statim autem ego vester spectator ero; tota enim res jam a vestris pendet voluntatibus.

II.

28 ## ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι Φιλίππῳ πολεμήσαντες ὕστερον ἐπείσθησαν ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος εἰρήνην πρὸς αὐτὸν ποιήσασθαι, καὶ ἔπεμψαν δύο πρεσβείας, τὴν μὲν προτέραν περὶ τῆς εἰρήνης, τὴν δευτέραν δὲ ἀποληψομένην τοὺς ὅρκους, ἐν αἷς ἀμφοτέραις ἦσαν πρεσβευταὶ Δημοσθένης καὶ Αἰσχίνης. Ὡς οὖν ἐπανῆκον ἐκ τῆς ὑστέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, ἐγράψαντο παραπρεσβείας Αἰσχίνην Δημοσθένης τε καὶ Τίμαρχος. Τὸν μὲν οὖν Τίμαρχον πρὸ τοῦ τῆς παραπρεσβείας ἀγῶνος γραψάμενος Αἰσχίνης ἑταιρήσεως ἠτίμωσε, πρὸς δὲ Δημοσθένην ἀπολογεῖται. Ἔνιοι μὲν οὖν φασι γεγραφέναι μὲν τοὺς λόγους ἀμφοτέρους, οὐ μέντοι γε εἰρῆσθαι· οἱ δὲ καὶ εἰρῆσθαί φασι, καὶ κεκινδυνευκέναι τὸν Αἰσχίνην τριάκοντα ψήφοις ἁλῶναι, ὅμως μέντοι ἀποφυγεῖν Εὐβούλου αὐτῷ τοῦ δημαγωγοῦ συναγωνισαμένου, οὐ μέντοι παρὰ πᾶσιν ἀπογνωσθῆναι αὐτοῦ τὸ φιλιππίζειν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ παραδηλοῖ καὶ Δημοσθένης ἐν τῷ Περὶ τοῦ στεφάνου. Ἐν μὲν οὖν τῷ πρώτῳ προοιμίῳ κατ' ἀρχὴν εἰς εὔνοιαν παρακαλεῖ τοὺς δικαστάς, τὸν ἀντίδικον καὶ τὴν κατηγορίαν διαβάλλων, καὶ τοῦ κινδύνου τὸ μέγεθος, καὶ ὡς ψευδῶς συκοφαντεῖται· Ἐν δὲ τῷ δευτέρῳ νοήματι πρᾶγμα εἰρημένον ἐν τῇ κατηγορίᾳ διαβάλλει, καὶ πιστοῦται ἀξιοπίστως, ὡς καὶ αὐτῶν εἰδότων ὅτι ψεῦδός ἐστι. Καὶ τοῦτο δὲ εἰς διαβολὴν τοῦ ἀντιδίκου· καὶ τὰ ἑξῆς ὁμοίως εἰς εὔνοιαν ἑαυτοῦ καὶ διαβολὴν τοῦ ἀντιδίκου.

Δέομαι ὑμῶν, ὦ Ἀθηναῖοι, ἐθελῆσαι μετ' εὐνοίας ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ τὸ πλῆθος τῶν αἰτιῶν πρὸς ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα, ὃς ἐτόλμησε παρακελεύσασθαι πρὸς ἄνδρας ὀμωμοκότας τῶν ἀντιδίκων ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν. (2) Καὶ ταῦτ' εἶπεν οὐ δι' ὀργήν· οὐδεὶς γὰρ τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται, οὐδ' οἱ τἀληθῆ λέγοντες κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα· οὐ γὰρ πρότερον κατήγορος παρὰ τοῖς ἀκούουσιν ἰσχύει, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχὼν ἀδυνατήσῃ τὰς προειρημένας αἰτίας ἀπολύσασθαι. (3) Ἀλλ' οἶμαι Δημοσθένης οὐ χαίρει δικαίοις λόγοις, οὐδ' οὕτω παρεσκεύασται, ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται καὶ κατηγόρηκε δωροδοκίας, ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν ταύτην· τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις προτρεπόμενον τοὺς δικαστὰς ὀργίζεσθαι αὐτὸν χρὴ τῶν τοιούτων ἔργων πολὺ ἀφεστάναι. (4) Ἐμοὶ δ', ὦ Ἀθηναῖοι, συμβέβηκε τῆς Δημοσθένους ἀκούοντι κατηγορίας μήτε δεῖσαι πώποθ' οὕτως ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν, μήτ' εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι. Ἐφοβήθην μὲν γάρ, καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις· ἐξέστην δ' ἐμαυτοῦ καὶ τὴν αἰτίαν βαρέως ἤνεγκα, ὅθ' ὕβριν καὶ παροινίαν

II.

ORATIO DE MALE GESTA LEGATIONE.

ARGUMENTUM.

Gesto bello cum Philippo, Aristodemus tandem, Neoptolemus et Ctesipho auctores fuerunt Atheniensibus pacis cum eo faciendæ. Itaque bis legatos miserunt, principio propter pacem, deinde ad exigendum jusjurandum. Inter quos utroque tempore Demosthenes et Æschines fuerunt. Ut igitur ex posteriore legatione ad jusjurandum exigendum missa reversi fuerunt, Æschinem Demosthenes et Timarchus perperam obitæ legationis accusarunt. Ac Timarchum quidem, antequam in judicium veniret ea causa, Æschines prostitutæ pudicitiæ convictum, infamia notavit : contra Demosthenem autem se defendit. Sunt qui dicant, utrumque has orationes scripsisse, sed non habuisse : sunt qui etiam habitas esse affirment, et Æschinem triginta duntaxat calculorum præsidio evasisse, atque absolutum esse Eubuli opera, viri in republica magnæ auctoritatis, non tamen ab omnibus liberatum ea suspicione, quasi cum Philippo faceret, ut et ipse in exordio innuit, et Demosthenes in oratione De corona. In primi exordii initio benevolentiam captat judicum, adversario et accusatione criminanda, et magnitudine periculi ac falsitate calumniæ conquerenda. In altera sententia, partem quandam accusationis perstringit, et magna gravitate confirmat eam ipsa etiam judicum conscientia esse falsam. Quod et ipsum ad criminationem adversarii pertinet. Referuntur et cetera deinceps tum ad benevolentiam ipsi comparandam, tum ad odium adversario conflandum.

I. Oro vos, Athenienses, ut me dicentem benevole audire velitis, considerata et periculi magnitudine, et multitudine criminum, quæ refutanda mihi sunt, et accusatoris artibus, insidiis atque crudelitate : qui non dubitarit eos viros exhortari, qui sacramento adacti sunt se æquis animis utrumque adversarium audituros, ut rei ne vocem quidem tolerent. (2) Idque dixit, non per iracundiam : nemo enim mentiens iis irascitur, qui iniquo crimine petuntur, et qui vera dicunt, ii dicendæ causæ potestatem non adimunt reo, neque enim accusatio prius apud auditores valet, quam reus defensionis facultate concessa, objecta crimina refellere non potuerit; (3) sed illud in causa est, quod Demosthenes veris orationibus non delectatur, neque ita se paravit, sed vestram iracundiam inflammare voluit, meque acceptorum munerum accusavit, homo ad eam suspicionem inferendam ineptus. Nam qui judices hortatur ut largitionum corruptelis irascantur, eum oportet ipsum ab ejusmodi factis plurimum abhorrere. (4) Sic autem accidit, Athenienses, ut audita Demosthenis accusatione, neque unquam sic ut hoc die pertimuerim, nec magis indignatus sim quam nunc, neque etiam pari lætitia exsultarim. Timui enim, idque nunc etiam me turbat, ne qui vestrûm me ignorent, deliniti insidiosis istis et malitiosis contrapositis. Et extra me ipsum raptus sum, crimenque graviter tuli, quum me contumeliæ et proter-

εἰς γυναῖκα ἐλευθέραν καὶ τὸ γένος Ὀλυνθίαν κατηγόρει μου· ᾔσθην δὲ ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ὄντα ταύτης ἐξεβάλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω. (5) Ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅτι τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων πιστεύετε ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ' οὐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας. Εἰ γάρ τις ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισται (σχεδὸν δ' οἱ πλεῖστοι τῶν πολιτῶν πάρεισιν) ἢ τῶν δικαζόντων ὑμῶν, ὡς ἐγὼ τοιοῦτόν τι διαπέπραγμαι μὴ μόνον εἰς ἐλεύθερον σῶμα, ἀλλὰ καὶ εἰς τὸ τυχόν, ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νομίζω· κἂν μὴ προϊούσης τῆς ἀπολογίας ἐλέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ καὶ
29 τὸν τολμήσαντ' εἰπεῖν ἀνόσιον καὶ συκοφάντην, κἂν τἆλλα πάντα μηδὲν ἀδικῶν φαίνωμαι, θανάτου τιμῶμαι. (6) Παράδοξος δέ μοι κἀκεῖνος ὁ λόγος ἐφάνη καὶ δεινῶς ἄδικος, ὅθ' ὑμᾶς ἐπηρώτα εἰ οἷόντ' ἐστὶν ἐν τῇ αὐτῇ πόλει Φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ' ἀπογνῶναι. Ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ δικαίως ἂν ὑπολαμβάνω μάλιστα σωθήσεσθαι· εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ καὶ μὴ παρὼν ἀδικεῖ, ὁ δὴ ἀπογνοὺς καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς πολίταις παραδοὺς οὐκ ἀδικεῖ.

7. Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄνδρες, ἐάν τι παραλίπω καὶ μὴ μνησθῶ, ἐπερωτᾶν με καὶ δηλοῦν ὅ τι ἂν ποθῆτε ἀκοῦσαι, μηδὲν προκατεγνωκότας ὡς ἀδικῶ, ἀλλ' ἴσῃ τῇ εὐνοίᾳ ἀκούοντας. Ἀπορῶ δ' ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. Σκέψασθε δ' ἂν ὑμῖν εἰκός τι πρᾶγμα πάσχειν δόξω. (8) Εἰμὶ μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος, τῆς δὲ κατηγορίας τὴν πλείστην πεποίηται Φιλοκράτους καὶ Φρύνωνος καὶ τῶν ἄλλων συμπρέσβεων καὶ Φιλίππου καὶ τῆς εἰρήνης καὶ τῶν Εὐβούλου πολιτευμάτων, ἐν ἅπασι δὲ τούτοις ἐγὼ τέταγμαι. Μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς πόλεως Δημοσθένης, οἱ δ' ἄλλοι προδόται· διατετέλεκε γὰρ εἰς ἡμᾶς ὑβρίζων, καὶ λοιδορίας ψευδεῖς οὐκ ἐμοὶ μόνον λοιδορούμενος, ἀλλὰ καὶ τοῖς ἄλλοις. (9) Ὃν δ' οὕτως ἀτιμάζει, πάλιν ἐκ μεταβολῆς, ὅπου τύχοι, ὥσπερ Ἀλκιβιάδην ἢ Θεμιστοκλέα κρίνων, οἳ πλεῖστον τῶν Ἑλλήνων δόξῃ διήνεγκαν, ἀνῃρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν Φωκεῦσι πόλεις, ἀπηλλοτριωκέναι δ' ἀφ' ὑμῶν τὸν ἐπὶ Θρᾴκης τόπον, ἐκβεβληκέναι δὲ καὶ τῆς ἀρχῆς Κερσοβλέπτην, ἄνδρα φίλον καὶ σύμμαχον τῆς πόλεως. (10) Ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ τῷ Σικελίας τυράννῳ, καὶ μετὰ σπουδῆς καὶ κραυγῆς πολλῆς παρεκελεύσαθ' ὑμῖν τὸ θηρίον φυλάξασθαι, καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ διηγήσατο. Οὕτω δ' ἄνω τὸ πρᾶγμα ἐξάρας, ἐφθόνησέ μου ταῖς διαβολαῖς τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων οὐ τοῖς ἐμοῖς λόγοις, ἀλλὰ τοῖς ὅπλοις τοῖς Φιλίππου. (11) Πρὸς δὲ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου χαλεπὸν καὶ διαμνημονεῦσαι τὰ λεχθέντα καθ' ἕκαστα καὶ λέ-

vitatis in mulierem ingenuam et genere Olynthiam admissæ accusaret. Delectatus autem sum, quum eum id crimen tractantem ejecistis; quo facto, vitæ modeste actæ gratiam mihi persolutam esse existimo. (5) Vos igitur laudo, et singulari amore prosequor, qui vitæ reorum magis credatis, quam criminationibus inimicorum; ipse tamen hac defensione non cedam. Nam sive foris circumstantis coronæ — fere autem maxima pars civium adest —, sive vestrûm qui pro tribunali sedetis cuiquam persuasum est, me tale aliquid commisisse non tantum in hominem ingenuum, sed vel in quemlibet, reliquum vitæ mihi tempus acerbum puto. Quod nisi in defensionis progressu, et crimen illud esse falsum demonstraro, et qui id afferre ausus fuit, nefarium calumniatorem, etsi cetera omni crimine vacaro, mori non recuso. (6) Mira illa etiam mihi visa est oratio et supra modum injusta, quum vos percontaretur, num fieri posset ut in eadem civitate Philocrates capitis condemnaretur, quod facinorum conscientia perterritus, judicio se non stitisset; ego vero absolverer. At ego ob id ipsum maxime conservandum esse me arbitror. Nam si is qui ipse sese condemnavit atque e medio excessit, peccat, is nimirum qui sese absolvit et corpus suum legibus et civibus tradit, non peccat.

7. De reliqua accusatione vos oro, Athenienses, si quid prætermisero et silentio præteriero, ut me sciscitemini, et significetis quid ex me audire velitis, meque sine præjudicio ullius delicti, sed pari benevolentia audiatis. Dubito autem unde mihi primum sit ordiendum, ob accusationis confusionem. Cujus dubitationis an causam habeam, sic considerate. (8) Ego nunc in capitis discrimen sum adductus: accusationis autem maxima pars consumpta est criminando Philocrate, Phrynone et reliquis legatis, Philippo item et pace et Eubuli actis. Atque iis omnibus ego sum insertus. Solum autem in tota oratione de republica sollicitum esse apparet Demosthenem: ceteri omnes sunt proditores. Nunquam enim nos probris afficere destitit, et falsa maledicta jacere, non in me dumtaxat, sed etiam in ceteros. (9) Quem vero sic deprimit, rursus mutata sententia, quasi Alcibiadem aut Themistoclem accusaret, quorum summa fuit inter Græcos auctoritas, criminatur, ut qui et Phocenses civitates everterim, et Thraciæ locum a vobis alienarim, et Cersoblepten etiam regno ejecerim, virum amicum et fœderatum civitatis: (10) quin et Dionysio Siciliæ tyranno me comparare instituit, et a bellua vos magna severitate et clamore multo est hortatus ut vobis caveretis, et Siculæ sacrificulæ somnium recitavit. Quum autem rem tantopere exaggerasset, in ipsis criminibus, quorum me incusat, mihi invidit, et causam rerum gestarum ascripsit non meis verbis, sed Philippi armis. (11) Contra igitur tantam audaciam et præstigias hominis, difficile est vel meminisse singula, et cum periculo dicere contra

γειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς. Ἧι δ' ἡγοῦμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι καὶ γνωρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν περὶ τῆς εἰρήνης λόγων καὶ τῆς αἱρέσεως τῆς πρεσβείας· οὕτω γὰρ μάλιστα μεμνήσομαι καὶ εἰπεῖν δυνήσομαι, καὶ ὑμεῖς μαθήσεσθε.

12. Ἅπαντας γὰρ ὑμᾶς οἴομαι τοῦτό γε αὐτὸ μνημονεύειν, ὅθ' οἱ πρέσβεις οἱ παρὰ τῶν Εὐβοέων, ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον ὅτι καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς καὶ τὴν εἰρήνην ἄγειν. Οὐ πολλῷ δ' ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιοις ἑάλω ὑπὸ λῃστῶν ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς, ὡς αὐτὸς ᾐτιᾶτο· ἐπειδὴ δ' ἐπανῆλθε δεῦρο λυτρωθείς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον ἑλέσθαι, ἵν' εἴ πως δύναιτο ἀπολάβοι τὰ λύτρα. Πεισθέντες δ' ὑμεῖς προείλεσθε αὐτῷ Κτησιφῶντα πρεσβευτήν. (13) Ἐπειδὴ δὲ ἐπανῆλθε δεῦρ' ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη, καὶ πρὸς τούτοις ὅτι φαίη Φίλιππος ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου. Εἰπόντος δὲ ταῦτα τοῦ Κτησιφῶντος καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν, καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου καὶ τὸν Κτησιφῶντα ἐπαινέσαντος, ἀντειπόντος δ' οὐδενός, ἐνταῦθα ἤδη δίδωσι ψήφισμα Φιλοκράτης ὁ Ἁγνούσιος, καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν ἐχειροτόνησεν, ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης. Πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτ' ἐκωλύετο ὑπό τινων, οἷς ἦν τοῦτ' ἐπιμελές, ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν. (14) Γράφονται δ' οὗτοι παρανόμων τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν ἐπιγραψάμενοι, καὶ τίμημα ἑκατὸν τάλαντα. Καὶ μετὰ ταῦτ' εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον, ἀρρώστως δ' ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν Δημοσθένην, ἀλλ' οὐκ ἐμέ. Παρελθὼν δ' ὁ μισοφίλιππος Δημοσθένης κατέτριψε τὴν ἡμέραν ὅλην ἀπολογούμενος· καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης, ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταλαμβάνει. Καὶ ταῦθ' ὑμεῖς ἅπαντες ἴστε. (15) Ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς Ὄλυνθος ἥλω, καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν, ὧν ἦν Ἰατροκλῆς ὁ Ἐργοχάρους ἀδελφὸς καὶ Εὐκρατος ὁ Στρομβίχου υἱός. Ὑπὲρ δὲ τούτων ἱκετηρίαν θέντες οἱ οἰκεῖοι ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι. Παρελθόντες δ' αὐτοῖς συνηγόρουν Φιλοκράτης καὶ Δημοσθένης, ἀλλ' οὐκ Αἰσχίνης. Καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς Φίλιππον, διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης. (16) Ὡς δ' ἐπανήκων ἀπὸ τῆς πρεσβείας ὁ Ἀριστόδημος διά τινας ἀσχολίας οὐ προσῄει πρὸς τὴν βουλήν, ἀλλ' ἔφθασεν αὐτὸν Ἰατροκλῆς ἐλθὼν ἐκ Μακεδονίας ἀφεθεὶς ὑπὸ Φιλίππου ἄνευ λύτρων, γενόμενος αἰχμάλωτος, ἐνταῦθ' ἠγανάκτουν πολλοὶ ὅτι τὴν πρεσβείαν οὐκ ἀπήγγειλεν ὁ Ἀριστόδημος, τοὺς αὐτοὺς λό-

inexspectatas calumnias. Sed tamen qua ratione meam orationem dilucidissimam vobisque notam et æquam fore arbitror, inde auspicabor : videlicet ab oratione de pace et delectu legationis. Sic enim ego maxime et meminero, et dicere potero, et vos rem cognoscetis.

12. Vos omnes illud ipsum meminisse arbitror, legatos Eubœensium, quum de pace a sese cum populo facienda egissent, dixisse, etiam Philippum nuntiari jussisse vobis, se velle transigere vobiscum et pacem agere. Non multo autem post, Phrynonem Rhamnusium a prædonibus esse captum in Olympicis induciis, ut ipse querebatur : eumque, quum huc rediisset redemptus, orasse vos, ut sibi legatum ad Philippum decerneretis, an forte pecuniam suam recuperare posset. Vos obsecuti, legatum ei decrevistis Ctesiphontem. (13) Is huc a legatione reversus, ea vobis renuntiavit, ob quæ fuerat missus, prætereaque dixisse Philippum, se et invitum vobiscum gessisse bellum, et nunc eo velle liberari. Quæ quum dixisset Ctesipho, et magnopere humanitatem regis prædicasset, populus item eam rem valde probasset, ac Ctesiphontem collaudasset, nemo autem adversatus esset : ibi demum decretum facit Philocrates Hagnusius, et populus uno animo decernit, licere Philippo præconem huc mittere et legatos de pace. Prius enim id ipsum etiam a nonnullis prohibebatur, quibus ea res studio erat, ut res ipsa declaravit. (14) Isti autem id decretum ut contra leges factum accusant, Lycino accusatore inscripto, et mulcta centum talentis æstimata. Deinde causa in foro agebatur. Philocrates, quum adversa valetudine laboraret, Demosthenem sibi patronum advocavit, non me. Progressus Philippi osor Demosthenes, in defensione totum diem contrivit. Denique Philocrates absolvitur, accusator autem quintam suffragiorum partem non accepit. Et hæc vos omnes scitis. (15) Sub eadem tempora Olynthus capta est, in eaque multi nostrorum civium sunt comprehensi. Quorum fuit Iatrocles Ergocharis frater, et Eucratus Strombichi filius. Horum cognati vos rogarunt supplices, ut curam eorum susciperetis. Iis Demosthenes et Philocrates patrocinati sunt, non Æschines. Et legatum ad Philippum mittunt Aristodemum histrionem, ob notitiam et artis gratiam. (16) Ut autem a legatione reversus Aristodemus, propter occupationes quasdam non accedebat senatum, sed Iatrocles eum antevertit, profectus ex Macedonia, ubi captivus fuerat, et sine pretio dimissus a Philippo, ibi multi indignabantur, quod Aristodemus legationem non

γους ἀκούοντες τοῦ Ἰατροκλέους παρὰ τοῦ Φιλίππου. (17) Τελευταῖον δ' εἰς τὴν βουλὴν εἰσελθὼν Δημοκράτης ὁ Ἀφιδναῖος ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν Ἀριστόδημον· εἷς δὲ τῶν βουλευτῶν ἦν Δημοσθένης ὁ ἐμὸς κατήγορος. Παρελθὼν δ' Ἀριστόδημος πολλήν τινα εὔνοιαν ἀπήγγειλε τοῦ Φιλίππου πρὸς τὴν πόλιν, καὶ προσέθηκεν ὅτι καὶ σύμμαχος βούλοιτο τῇ πόλει γενέσθαι. Καὶ ταῦτ' οὐχ ἐν τῇ βουλῇ μόνον εἶπεν, ἀλλὰ καὶ ἐν τῷ δήμῳ. Κἀνταῦθ' οὐδὲν ἀντεῖπε Δημοσθένης, ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγραψε. (18) Ῥηθέντων δὲ τούτων ἐν τῷ δήμῳ ψήφισμα ἔγραψεν ὁ Φιλοκράτης ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς Φίλιππον, ἄνδρας δέκα, οἵτινες διαλέξονται Φιλίππῳ περὶ εἰρήνης καὶ τῶν κοινῇ συμφερόντων Ἀθηναίοις καὶ Φιλίππῳ. Χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων ἐγὼ μὲν προεβλήθην ὑπὸ Ναυσικλέους, Δημοσθένης δ' ὑπ' αὐτοῦ Φιλοκράτους ὁ νυνὶ Φιλοκράτους κατηγορῶν. (19) Οὕτω δ' ἦν πρόθυμος εἰς τὰ πράγματα, ὥστε ἐν τῇ βουλῇ γράφει, ἵνα ἀζήμιος ὢν ἡμῖν συμπρεσβεύῃ ὁ Ἀριστόδημος, ἑλέσθαι πρέσβεις ἐπὶ τὰς πόλεις ἐν αἷς ἔδει τὸν Ἀριστόδημον ἀγωνίζεσθαι, οἵτινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας. Καὶ ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, λαβέ μοι τὰ ψηφίσματα, καὶ τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταὶ τίς ἦν Φιλοκράτους ἑταῖρος καὶ τίς ὁ τὰς δωρεὰς Ἀριστοδήμῳ φάσκων πείσειν δοῦναι τὸν δῆμον.

ΨΗΦΙΣΜΑΤΑ. ΕΚΜΑΡΤΥΡΙΑ. ΜΑΡΤΥΡΙΑΙ.

20. Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων ἐγένετο οὐ δι' ἐμοῦ, ἀλλὰ διὰ Δημοσθένους καὶ Φιλοκράτους· ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν ἡμῖν ἐσπούδασεν, οὐχ ἐμὲ πείσας, ἀλλὰ τοὺς μετ' ἐμοῦ, Ἀγλαοκρέοντα τὸν Τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε, καὶ Ἰατροκλέα. Ἐν δὲ τῇ πορείᾳ παρακελεύεσθαί μέ φησιν αὐτῷ ὅπως τὸ θηρίον κοινῇ φυλάξομεν, τὸν Φιλοκράτην, πρᾶγμα λέγων πεπλασμένον· πῶς γὰρ ἂν ἐγὼ Δημοσθένην ἐπὶ Φιλοκράτην παρεκάλουν, ὃν ᾔδειν συνειπόντα μὲν Φιλοκράτει ὅτ' ἦν ἡ τῶν παρανόμων γραφή, προβληθέντα δ' εἰς τὴν πρεσβείαν ὑπὸ Φιλοκράτους; (21) Πρὸς δὲ τούτοις οὐχ ἐν τοιούτοις ἦμεν λόγοις οἱ συμπρέσβεις, ἀλλ' ὅλην τὴν πορείαν ἠναγκαζόμεθα ὑπομένειν Δημοσθένην ἀφόρητον ὄντα καὶ βαρὺν ἄνθρωπον· ὃς διασκοπούντων ἡμῶν ὅ τι χρὴ λέγειν
31
καὶ Κίμωνος εἰπόντος ὅτι φοβοῖτο μὴ δικαιολογούμενος περιγένοιτο ἡμῶν ὁ Φίλιππος, πηγάς τε δὴ λόγων ἀφθόνους ἔχειν ἐπηγγέλλετο, καὶ περὶ τῶν δικαίων τῶν ὑπὲρ Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα
6 ἐρεῖν ἔφη, ὥστε ἀπορράψειν τὸ Φιλίππου στόμα ὁλοσχοίνῳ ἀβρόχῳ, καὶ πείσειν Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένην, Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν ἀποδοῦναι. (22) Ἵνα δὲ μὴ μακρολογῶ τὴν τούτου διεξιὼν ὑπερηφανίαν, ὡς τάχιστα ἥκομεν εἰς Μακεδονίαν, συνετάξαμεν ἡμᾶς αὐτούς, ὅταν προσίωμεν Φιλίππῳ,

renuntiasset, quum eadem de Philippo ab Iatrocle referri audirent. (17) Postremo senatum ingressus Democrates Aphidnæus, senatui auctor est Aristodemi revocandi. Fuit autem tum senator Demosthenes, accusator meus. Progressus Aristodemus magnopere prædicavit Philippi benevolentiam, quam erga nostram urbem haberet, et adjecit, Philippum etiam societatem cum republica coire velle. Neque in curia dumtaxat hæc, sed et pro concione dixit. Atque ibi nihil contra dixit Demosthenes, sed et coronam Aristodemo decrevit. (18) His apud populum dictis, decrevit Philocrates, decem legatos a vobis esse creandos, qui cum Philippo de pace agerent, et iis de rebus quæ ex æquo Atheniensium et Philippi interessent. Decretis decem legatis, ego designatus sum a Nausicle, Demosthenes a Philocrate, quem nunc accusat. (19) Ea porro alacritate rem gerendam suscepit, ut in senatu scriberet, quo citra suum detrimentum nobiscum iret Aristodemus, legatos creandos esse in eas urbes, in quibus Aristodemo fabulis agendis certandum esset, qui mulctas pro eo deprecarentur. Quæ ut vera esse constet, sume decreta, et scriptum Aristodemi testimonium recita, et eos voca, qui absentem eum testificantem coram audierunt, ut sciant judices, quis fuerit Philocratis amicus, quis item qui polliceretur se munera Aristodemo impetraturum esse a populo.

DECRETA. EXTESTIMONIUM. TESTIMONIA.

20. Prima igitur totius rei institutio, non a me, sed a Demosthene et Philocrate est profecta. In legatione porro mensa eadem nobiscum uti studuit, idque non a me obtinuit, sed a meis convictoribus, ab Aglaocreonte Tenedio, quem a sociis delegeratis, et ab Iatrocle. Jam in itinere ait me sibi auctorem fuisse belluæ communiter cavendæ, nimirum Philocratis: commentum referens. Quo pacto enim ego Demosthenem contra Philocratem concitassem, quem scirem et patrocinatum esse Philocrati in violatarum legum actione, et legatum a Philocrate designatum? (21) Præterea non in hujusmodi dumtaxat verbis nos legati, sed in toto itinere tolerare coacti sumus Demosthenem, hominem intolerabilem et molestum. Nam quum nos legati meditaremur, quid nobis dicendum esset, et Cimo dixisset, vereri se, ne Philippus jure suo defendendo nos superaret, iste se fontes eloquentiæ uberrimos habere pollicebatur, ac de jure Amphipolis bellique principio talia dicturum dicebat, ut os Philippi grandi siccoque junco consueret, ac persuasurum, ut et Athenienses Leosthenem reciperent, et Philippus Amphipolim Atheniensibus restitueret. (22) Ne vero longus sim istius arrogantia recensenda, quum primum in Macedoniam venissemus, constituimus inter nos, quum Philippum accessuri

τοὺς πρεσβυτάτους πρώτους λέγειν καὶ τοὺς λοιποὺς καθ' ἡλικίαν· ἐτύγχανε δ' ἡμῶν νεώτατος ὤν, ὡς ἔφη, Δημοσθένης. Ἐπειδὴ δὲ εἰσεκλήθημεν, — καὶ τούτοις ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν· ἐντεῦθεν γὰρ κατόψεσθε ἀνθρώπου φθόνον ὑπερβάλλοντα καὶ δεινὴν δειλίαν ἅμα καὶ κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσσίτων καὶ συμπρέσβεων, ἃς οὐδ' ἂν κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο. Τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος (εἰρήσεται γάρ) οὐδ' ἐγγενής. (23) Ἡμεῖς δέ, οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι καὶ διατριβαὶ καὶ συνήθειαι μεθ' ὑμῶν ἐλευθέριοι καὶ γάμοι κατὰ τοὺς νόμους καὶ κηδεσταὶ καὶ τέκνα, Ἀθήνησι μὲν ἦμεν ἄξιοι τῆς ὑμετέρας πίστεως (οὐ γὰρ ἄν ποτε ἡμᾶς εἵλεσθε), ἐλθόντες δ' εἰς Μακεδονίαν ἐξαίφνης ἐγενόμεθα προδόται. Ὁ δὲ οὐδὲν ἄπρατον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὢν Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν, ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει καὶ καταπτύει δωροδοκίας. (24) Ἀκούσατε δὴ τούς τε ἡμετέρους λόγους, οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἴρηκε, Δημοσθένης, ἵν' ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν κατηγορημένων ἀπολογήσωμαι. Ἐπαινῶ δ' εἰς ὑπερβολὴν πάντας ὑμᾶς, ὦ ἄνδρες, ὅτι σιγῇ καὶ δικαίως ἡμῶν ἀκούετε· ὥστε ἐάν τι μὴ λύσω τῶν κατηγορημένων, οὐχ ὑμᾶς, ἀλλ' ἐμαυτὸν αἰτιάσομαι.

25. Ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος, τὰ μὲν καθ' ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ' ἐμοῦ καὶ τοὺς πρὸς ταῦτα λεχθέντας ὑπὸ Φιλίππου λόγους ἐν τῷ δήμῳ σαφῶς ἀπήγγειλα πρὸς ἅπαντας Ἀθηναίους, νυνὶ δὲ πειράσομαι διὰ κεφαλαίων ὑμᾶς ὑπομιμνήσκειν. (26) Πρῶτον μὲν γὰρ πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν καὶ τὰς εὐεργεσίας ἃς ὑμεῖς ὑπήρξατε Ἀμύντᾳ τῷ Φιλίππου πατρί, οὐδὲν παραλείπων, ἀλλ' ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων, δεύτερον δὲ ὧν αὐτὸς ἦν μάρτυς εὖ παθών. Ἀμύντου μὲν γὰρ νεωστὶ τετελευτηκότος καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν προδεδομένης ὑπὸ τῶν δοκούντων αὐτοῖς εἶναι φίλων, (27) Παυσανίου δ' ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ' ἰσχύοντος, πολλῶν δ' αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ Στρέψαν καὶ ἄλλ' ἄττα χωρία, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων, ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτόνησαν Ἀθηναῖοι στρατηγὸν ἐπ' Ἀμφίπολιν Ἰφικράτην, Ἀμφιπολιτῶν αὐτῶν ἐχόντων τὴν πόλιν καὶ τὴν χώραν τότε καρπουμένων. (28) Ἀφικομένου δ' εἰς τοὺς τόπους Ἰφικράτους μετ' ὀλίγων τὸ πρῶτον νεῶν, ἐπὶ κατασκοπῇ μᾶλλον τῶν πραγμάτων ἢ πολιορκίᾳ τῆς πόλεως, ἐνταῦθ', ἔφην ἐγώ, μετεπέμψατο αὐτὸν Εὐρυδίκη ἡ μή-

essemus, ut natu maximi primi verba facerent, et reliqui pro ætate. Erat autem nostrûm natu minimus, ut aiebat, Demosthenes. Ut intro vocati sumus — hæc diligenter velim vos animadvertere. Hinc enim perspicietis hominis invidiam immensam, ingentem timiditatem simul et malitiam, et tales insidias contra ejusdem et mensæ et legationis socios, quales non facile quisquam vel contra inimicissimos compararet. Nam quum salem civitatis et mensam publicam maximi se facere dicat, non est ex nostro solo (dicetur enim) neque nostri generis. (23) Nos vero, qui sacra et monumenta majorum habemus in patria, et commercia atque familiaritates vobiscum liberales, et legitima connubia, et affines et liberos, Athenis quidem fuimus digni, quibus fides a vobis haberetur (alioquin enim nos non legassetis), in Macedoniam autem profecti, subito sumus facti proditores. Ipse vero, qui nullam partem corporis non venalem habet, ne eam quidem unde vocem emittit, quasi Aristides esset qui tributa Græcis ordinavit, et justus cognominatur, aversatur et despuit largitiones. (24) Audite igitur eas orationes, quas nos habuimus pro vobis ac vicissim eas, quas magnum reipublicæ munimentum Demosthenes recitavit, ut ordine ac pedetentim singula capita accusationis dissolvam. Laudo autem supra modum omnes vos, judices, quod cum silentio, et ut æquum est, nos auditis. Itaque si quod crimen non refellero, me ipsum, non vos culpabo.

25. Quum igitur natu majores pro legatione verba fecissent, ad nos pervenit series orationis. Ea porro singula quæ illic a me dicta sunt, et vicissim quæ a Philippo sunt responsa, pro concione perspicue renuntiavi apud universos Athenienses; nunc per capita dumtaxat vobis in memoriam ea revocare conabor. (26) Primum apud eum commemoravi paternam benevolentiam, et beneficia quæ in Amyntam patrem Philippi contulissetis, nihil prætermittens, sed ordine omnia commemorans: et deinde merita, quorum ipse testis erat. Nam Amynta recens defuncto, et Alexandro fratrum natu maximo, Perdicca et Philippo pueris, Eurydice autem matre eorum ab iis quos amicos sibi esse putabat destituta, (27) et Pausania in imperium eorum invadente, qui quamvis exul, tamen propter tempora multum poterat, ut qui et multorum studia haberet, et Græcis copiis munitus esset, et Anthemuntem, Thermam, Strepsam et alia quædam oppida cepisset, Macedonibus non consentientibus, sed plerisque Pausaniæ faventibus: his igitur temporibus Athenienses Iphicratem ad Amphipolim misisse cum imperio, quum ipsi Amphipolitæ urbem tenerent et agri fructus perciperent. (28) Quum igitur in ea loca venisset Iphicrates, principio cum paucis navibus explorandarum rerum causa magis quam obsidendæ urbis, tum, inquam, eum accersivit mater tua Eurydice et (ut ii dicunt qui

τηρ ἡ σή, καὶ ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες, 32 Περδίκκαν μὲν τὸν ἀδελφὸν τὸν σὸν καταστήσασα εἰς τὰς χεῖρας τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ γόνατα τὰ ἐκείνου θεῖσα παιδίον ὄντα, εἶπεν ὅτι « Ἀμύντας ὁ πατὴρ τῶν παίδων τούτων ὅτ' ἔζη υἱὸν ἐποιήσατό σε, τῇ δὲ Ἀθηναίων πόλει οἰκείως ἐχρήσατο, ὥστε συμβαίνει σοι καὶ ἰδίᾳ τῶν παίδων τούτων γεγενῆσθαι ἀδελφῷ καὶ δημοσίᾳ φίλῳ ἡμῖν εἶναι. » (29) Καὶ μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο καὶ ὑπὲρ τῆς ἀρχῆς καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας. Ἀκούσας δὲ ταῦτα Ἰφικράτης ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. Καὶ μετὰ ταῦτα εἶπον περὶ Πτολεμαίου, ὃς ἦν ἐπίτροπος καθεστηκὼς τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν ἔργον διεπράξατο, διδάσκων ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέπραττε τῇ πόλει καὶ πρὸς Θηβαίους διαφερομένων Ἀθηναίων συμμαχίαν ἐποιήσατο, καὶ πάλιν ὡς Περδίκκας εἰς τὴν ἀρχὴν καταστὰς ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει. (30) Καὶ τὴν ὑμετέραν ἠδικημένων ὅμως φιλανθρωπίαν διεξῄειν, λέγων ὅτι κρατοῦντες τῷ πολέμῳ Περδίκκαν Καλλισθένους ἡγουμένου ἀνοχὰς πρὸς αὐτὸν ἐποιήσασθε, ἀεί τινος προσδοκῶντες τῶν δικαίων τεύξεσθαι. Καὶ τὴν διαβολὴν ταύτην ἐπειρώμην διαλύειν, διδάσκων ὅτι Καλλισθένην ὁ δῆμος ἀπέκτεινεν οὐ διὰ τὰς πρὸς Περδίκκαν ἀνοχάς, ἀλλὰ δι' ἑτέρας αἰτίας. Καὶ πάλιν οὐκ ὤκνουν κατ' αὐτοῦ λέγειν, ἐπιτιμῶν ὅτι τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου. (31) Καὶ πάντων ὧν εἴποιμι μάρτυρας τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην καὶ τὰ ψηφίσματα τοῦ δήμου καὶ τὰς Καλλισθένους ἀνοχάς. Περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας καὶ τῶν καλουμένων Ἐννέα ὁδῶν καὶ περὶ τῶν Θησέως παίδων, ὧν Ἀκάμας λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν ταύτην, τότε μὲν ἥρμοττε λέγειν καὶ ἐρρήθη ὡς ἐνεδέχετο ἀκριβέστατα, νυνὶ δὲ ἴσως ἀνάγκη συντέμνειν τοὺς λόγους· ἃ δὲ ἦν τῶν σημείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις, ἀλλ' ἐφ' ἡμῶν γεγενημένα, τούτων ἐπεμνήσθην. (32) Συμμαχίας γὰρ Λακεδαιμονίων καὶ τῶν ἄλλων Ἑλλήνων συνελθούσης, εἷς ὢν τούτων Ἀμύντας ὁ Φιλίππου πατὴρ καὶ πέμπων σύνεδρον καὶ τῆς καθ' αὑτὸν ψήφου κύριος ὢν ἐψηφίσατο Ἀμφίπολιν τὴν Ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλλων Ἑλλήνων Ἀθηναίοις. Καὶ τούτων τὸ κοινὸν δόγμα τῶν Ἑλλήνων καὶ τοὺς ψηφισαμένους ἐκ τῶν δημοσίων γραμμάτων μάρτυρας παρεσχόμην. (33) Ὧν δὲ Ἀμύντας ἀπέστη ὁ Φιλίππου πατὴρ ἐναντίον τῶν Ἑλλήνων ἁπάντων, οὐ μόνον λόγοις, ἀλλὰ καὶ ψήφῳ, τούτων, ἔφην ἐγώ, σὲ τὸν ἐξ ἐκείνου γεγενημένον οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι. Εἰ δ' ἀντιποιῇ κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν, εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας δοριάλωτον τὴν πόλιν εἷλες, κυρίως ἔχεις τῷ τοῦ πολέμου νόμῳ κτησάμενος· εἰ δ' Ἀμφιπολίτας ἀφείλου τὴν Ἀθηναίων πόλιν, οὐ τὰ ἐκείνων ἔχεις, ἀλλὰ τὴν Ἀθηναίων χώραν.

34. Ῥηθέντων δὲ τούτων καὶ ἑτέρων λόγων, ἤδη

affuerunt omnes) Perdicca fratre tuo in manus Iphicratis tradito, te autem, qui puer esses adhuc, in genua illius imposito, dixit: « Amyntas, pater horum puerorum, dum vixit, et te adoptavit, et urbe Atheniensium familiariter usus est; unde fit ut et privatim horum puerorum sis frater, et publice nobis amicus. » (29) His dictis, vehementer eum obtestata est, tum pro vobis, tum pro se, tum pro regno, denique pro incolumitate. Quibus Iphicrates auditis Pausaniam Macedonia expulit, et vobis imperium conservavit. Post hæc locutus sum de Ptolemæo, cujus auctoritati summa rerum commissa fuerat, quam is ingrate et improbe se gessisset, docens primum, eum de Amphipoli adversatum fuisse nostræ urbi, et cum Thebanis, Atheniensium hostibus, fœdus icisse. Ac rursus, ut Perdiccas suscepto regno, de Amphipoli bellum gessisset cum nostra urbe, (30) et vestram quanquam injuriis affectorum humanitatem narrans, commemorabam, ut quamvis Perdicca bello superiores, Callisthene Atheniensium duce, inducias tamen cum eo fecissetis, subinde sperantes, vos tandem æqui aliquid impetraturos. Et calumniam illam refellere studebam, docens, Callisthenem a populo non propter inducias fuisse interfectum cum Perdicca factas, sed ob alias causas. Ac rursus contra ipsum Philippum dicere non dubitabam, increpans quod belli contra urbem nostram gerendi successor exstitisset. (31) Atque omnium eorum quæ referebam, testes proferebam literas illorum, et plebiscita, et Callisthenis inducias. Ac de prima regionis illius acquisitione et Novemviarum quæ vocabantur, et de Thesei filiis, quorum Acamas doti accepisse fertur eam provinciam, hæc et tunc dici conveniebat, et dicta sunt quam fieri potuit accuratissime, nunc autem fortassis opus est verba conferre in compendium. Quæ vero signa non in antiquis fabulis posita erant, sed nostra ætate facta, eorum mentionem faciam. (32) Referebam ut, congressa Lacedæmoniorum ceterorumque Græcorum societate, eorum unus Amyntas, pater Philippi, misso assessore, suique suffragii libero arbitrio præditus, decrevisset, Amphipolim, Atheniensium urbem, esse Atheniensibus reliquorum Græcorum auxiliis expugnandam et restituendam. Et hoc commune Græcorum decretum, eosque qui decrevissent, e publicis monumentis testata proferebam. (33) Jam quibus rebus Amyntas, tuus pater, coram Græcis omnibus cessit, non oratione dumtaxat, sed etiam suffragio, eas, aiebam, te ex illo natum tibi vindicare, non est æquum. Sin ut bello captam, jure te habere censes, si quidem bello adversus nos gesto nobis vi eripuisses urbem, sine controversia teneres eam, quippe jure belli partam: sed si Amphipolitis urbem Atheniensium eripuisti, non ea quæ illorum fuerunt, habes, sed regionem Atheniensium.

34. His et aliis orationibus habitis, legationis vices jam

καθῆκεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος, καὶ πάντες προσεῖχον ὡς ὑπερβολάς τινας δυνάμεως ἀκουσόμενοι λόγων· καὶ γὰρ πρὸς αὐτὸν τὸν Φίλιππον, ὡς ἦν ὕστερον ἀκούειν, καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ ἐξηγγέλθη ἡ τῶν ἐπαγγελιῶν ὑπερβολή. Οὕτω δὲ ἁπάντων διακειμένων πρὸς τὴν ἀκρόασιν, φθέγγεται τὸ θηρίον τοῦτο προοίμιον σκοτεινόν τι καὶ τεθνηκὸς δειλίᾳ, καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη, τελευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου. (35) Ἰδὼν δὲ αὐτὸν ὁ Φίλιππος ὡς διέκειτο, θαρρεῖν τε παρεκελεύετο καὶ μὴ νομίζειν, ὥσπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι, ἀλλ' 33ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι καὶ λέγειν ὡς προείλετο. Ὁ δ' ὡς ἅπαξ ἐταράχθη καὶ τῶν γεγραμμένων διεσφάλη, οὐδ' ἀναλαβεῖν αὑτὸν ἠδυνήθη, ἀλλὰ καὶ πάλιν λέγειν ἐπιχειρήσας ταὐτὸν ἔπαθεν. Ὡς δ' ἦν σιωπή, μεταστῆναι ἡμᾶς ὁ κῆρυξ ἐκέλευεν.

36. Ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν ἐγενόμεθα, σφόδρα πάνυ σκυθρωπάσας ὁ χρηστὸς οὗτος Δημοσθένης ἀπολωλεκέναι με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους. Ἐκπλαγέντος δὲ οὐκ ἐμοῦ μόνου, ἀλλὰ καὶ τῶν συμπρέσβεων ἁπάντων, καὶ τὴν αἰτίαν πυνθανομένων δι' ἣν ταῦτ' εἶπεν, ἤρετό με εἰ τῶν Ἀθήνησι πραγμάτων ἐπιλέλησμαι, καὶ τὸν δῆμον καταπεπονημένον καὶ σφόδρα ἐπιθυμοῦντα τῆς εἰρήνης εἰ μὴ μέμνημαι. (37) « Ἦ μέγα φρονεῖς » ἔφη « ἐπὶ ταῖς ἐψηφισμέναις μὲν πεντήκοντα ναυσίν, οὐδέποτε δὲ πληρωθησομέναις; οὕτω γὰρ ἠρέθικας Φίλιππον καὶ τοιαῦτα εἴρηκας, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ' ἂν ἐκ πολέμου, ἀλλ' ἐξ εἰρήνης πόλεμος ἀκήρυκτος. » Ἀρχομένου δέ μου πρὸς ταῦτα ἀντιλέγειν, ἐκάλουν ἡμᾶς οἱ ὑπηρέται οἱ τοῦ Φιλίππου. (38) Ὡς δ' ἤλθομεν καὶ ἐκαθεζόμεθα, ἐξ ἀρχῆς πρὸς ἕκαστον τῶν εἰρημένων ἐνεχείρει τι λέγειν ὁ Φίλιππος, πλείστην δὲ εἰκότως ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους (ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν, ὥς γε οἶμαι, παρέλιπον) καὶ πολλάκις μου τοὔνομα ἐν τοῖς λόγοις ὠνόμαζε· πρὸς δὲ Δημοσθένην τὸν οὕτω καταγελάστως ἀπαλλάξαντα οὐδ' ὑπὲρ ἑνὸς οἶμαι διελέχθη. (39) Τοῦτο δὲ ἦν ἄρα ἀγχόνη καὶ λύπη τούτῳ. Ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν τοὺς λόγους Φίλιππος, καὶ τὸ συκοφάντημα ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμπρέσβεις οὗτος, ὡς ἐσομένου πολέμου καὶ διαφορᾶς αἰτίου, διέπιπτεν αὐτῷ, ἐνταῦθα ἤδη καὶ παντελῶς ἐξιστάμενος αὑτοῦ καταφανὴς ἦν, ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ ξένια δεινῶς ἀσχημονεῖν.

40. Ἀφορμώντων δ' ἡμῶν οἴκαδε ἐκ τῆς πρεσβείας, ἐξαίφνης κατὰ τὴν ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο. Ὅ τι μὲν οὖν ἦν ποθ' ὁ κέρκωψ ἢ τὸ καλούμενον παιπάλημα ἢ τὸ παλίμβολον ἢ τὰ τοιαῦτα ῥήματα, οὐκ ᾔδειν πρότερον· νῦν δ' ἐξηγητὴν τοῦτον λαβὼν τῆς ἁπάσης κακοηθείας μεμάθηκα. (41) Διαλαμβάνων γὰρ ἕκαστον ἡμῶν ἐν μέρει τῷ μὲν ἔρανον συστήσειν ἐπηγγέλλετο καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς στρατηγίαν καταστήσειν· ἐμοὶ δὲ πα-

Demosthenis erant: atque omnes intenti ora tenebant, ut invictam excellentis eloquentiæ vim audituri. Nam et ipsi Philippo — ut post audire licuit, — et amicis ejus enuntiata fuerat pollicitationum ejus magnitudo. Sic autem affectis omnibus ad auscultationem, sonat bellua ista exordium tenebricosum et præ metu exanime, et quum in rerum commemoratione paullum altius processisset, subito obticuit, inops consilii: tandem excidit oratione. (35) Philippus autem quum vidisset ut affectus esset, eum et bono animo esse jussit, et non existimare, ut in theatris, sic sibi propterea mali aliquid accidisse; sed per otium ac paulatim redire in memoriam, et pro suo instituto verba facere. At iste ut semel fuerat conturbatus, et a scriptis aberrarat, ad sese redire non potuit, sed et rursus dicere aggresso idem accidit. Ut autem silentium erat, secedere nos præco jussit.

36. Deinde quum nos legati soli essemus, bonus iste Demosthenes vultu admodum tetrico, perdidisse me urbem et socios aiebat. Perculso autem non me tantum, sed et ceteris legatis omnibus, ac causam sciscitantibus, cur id dixisset, me rogabat, an oblitus essem, ut se res Athenis haberent, et ut populus esset defatigatus, et quantopere pacem expeteret, non meminissem. (37) « An vero animos, inquit, tibi faciunt L triremes, decretæ illæ quidem, sed nunquam complendæ? Sic enim irritasti Philippum, et ea fecisti verba, unde non bellum in pacem mutetur, sed pax in bellum infestissimum. » Incipiente autem me hæc refutare, accersebant nos ministri Philippi. (38) Ut venimus, et denuo consedimus, Philippus ad singula quæ dicta fuerant, respondere aliquid parabat, neque vero mirum fuit, eum in mea oratione diutissime fuisse immoratum — fortassis enim nihil quod dici poterat, ut arbitror, prætermiseram —, et sæpe nominatim me compellavit, contra Demosthenem autem, qui tam ridicule discesserat, ne ulla quidem de re disseruit scilicet. (39) Quæ summa isti crux et molestia fuit. Ut autem Philippi oratio tandem in fine ad humanitatem conversa est, et iste calumniam, qua me prius apud collegas onerarat, quasi belli et dissidii auctor futurus essem, amiserat, ibi vero palam apparebat eum nec animi jam esse compotem; adeo ut ad hospitium nobis invitatis, ineptissime se gereret.

40. Quum autem a legatione jam nos ad reditum pararemus, subito in itinere, præter opinionem nostram, humaniter cum singulis colloquebatur. Quid igitur esset Cercops, aut Vertumnus, aut Chamæleo, aut si quid aliud est ejusmodi nominum, prius ignorabam: nunc istum totius malitiæ nactus interpretem, didici. (41) Nam unoquoque nostrûm seducto, alii collectam se constituturum pollicebatur et de suo laturum esse opem, alium ad imperium evectu-

ρακολουθῶν, καὶ τὴν φύσιν μακαρίζων καὶ τοὺς λόγους οὓς εἶπον ἐγκωμιάζων, πολὺς ἦν τοῖς ἐπαίνοις καὶ ἐπαχθής. Συνδειπνούντων δ' ἡμῶν ἁπάντων ἐν Λαρίσσῃ, εἰς αὑτὸν μὲν ἔσκωπτε καὶ τὴν ἀπορίαν τὴν ἐν τῷ λόγῳ συμβᾶσαν ἑαυτῷ, τὸν δὲ Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον. (42) Συναποφηναμένου δὲ κἀμοῦ τι τοιοῦτον, ὡς καὶ μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα, Κτησιφῶντος δὲ, ὅσπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος καὶ πλήθους ἐτῶν εἰπόντος, καὶ προσθέντος ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑωρακὼς εἴη, (43) ἀνακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας « Ταῦτα μέντοι » ἔφη « ὦ Κτησιφῶν, οὔτ' ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ' ἂν οὗτος » ἐμὲ δὴ λέγων « τολμήσειεν εἰπεῖν πρὸς Ἀθηναίους ὡς ἦν Φίλιππος δεινὸς εἰπεῖν καὶ μνημονικός. » Ἀναισθήτως δὲ ἡμῶν ἐχόντων καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων ἣν αὐτίκα ἀκούσεσθε, εἰς συνθήκην τινὰ ἡμᾶς κατέκλεισεν ὑπὲρ τοῦ ταῦτ' ἐρεῖν πρὸς ὑμᾶς. Ἐμοῦ δὲ καὶ δέησιν ἰσχυρὰν ἐδεήθη μὴ παραλιπεῖν, ἀλλ' εἰπεῖν ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης εἴποι.

44. Μέχρι μὲν οὖν τούτων οἱ συμπρέσβεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε· τῶν δ' ἐπὶ τοῦ βήματος παρ' ὑμῖν λόγων ὑμεῖς ἀκηκόατε, ὥστε οὐκ ἐνέσται μοι
34 ψεύδεσθαι. Δέομαι δὲ ὑμῶν προσεπιπονῆσαι ἀκούοντας καὶ τὴν λοιπὴν διήγησιν. Ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν καὶ τὰς περὶ Φωκέων αἰτίας, σαφῶς οἶδα, καὶ πρὸς ταῦτα σπεύδω, ἀλλ' ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ' ἐκείνοις ὁμοίως παρακολουθήσετε· ἐὰν δ' ἐμοὶ τῷ κινδυνεύοντι εἰπεῖν δῶτε ὡς βούλομαι, καὶ σῶσαί με, εἰ μηδὲν ἀδικῶ, δυνήσεσθε, ἱκανὰς εἰληφότες ἀφορμάς, καὶ θεάσασθαι ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα.

45. Ὡς γὰρ δεῦρ' ἤλθομεν καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφαλαίων τὴν πρεσβείαν ἀπηγγείλαμεν καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης πρὸς τοὺς βουλεύοντας, καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν συγχαίρειν τῇ πόλει ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν, οἳ καὶ τοῖς λόγοις καὶ τῇ πίστει ἦσαν ἄξιοι τῆς πόλεως. (46) Ὑπὲρ ἐμοῦ δὲ εἶπέ τι τοιοῦτον, ὡς οὐ ψευσαίμην τὰς τῶν ἑλομένων με ἐπὶ τὴν πρεσβείαν ἐλπίδας. Τέλος δὲ πάντων ἔγραψεν ἡμᾶς στεφανῶσαι θαλλοῦ στεφάνῳ ἕκαστον εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον. Ὅτι δ' οὐδὲν ψεῦδος εἴρηκα πρὸς ὑμᾶς, λαβέτω μοι τὸ ψήφισμα ὁ γραμματεὺς καὶ τὰς τῶν συμπρέσβεων μαρτυρίας ἀναγνώτω.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

47. Ἐπειδὴ τοίνυν ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ δήμῳ, εἶπε παρελθὼν πρῶτος ἡμῶν διὰ τὴν ἡλι-

rum; me vero assectans, et ingenii mei felicitatem prædicans, atque habitam orationem celebrans, multus erat me laudando et molestus. Quum autem nos omnes Larissæ concœnaremus, se ipsum ludebat, ac dicendi qua usus erat inopiam : Philippum autem eorum qui sub sole essent eloquentissimum esse asserebat. (42) Ut autem et ego tale aliquid pronuntiaram, quam memoriter nostris orationibus respondisset, et quum Ctesipho, qui nostrûm erat natu maximus, insignem senectutem suam et annorum multitudinem narrasset, atque adjecisset se tanto temporis spatio nullum hominem adeo suavem et festivum vidisse, (43) Sisyphus iste cum plausu manuum, « Hæc quidem, inquit, Ctesipho, neque tu, neque iste — me autem dicebat — ad populum dicere audebit, fuisse Philippum eloquentem, et memoria valuisse. » Nos autem qui illa non intelligeremus, neque insidias prospiceremus, quas statim audietis, pactione quadam conclusit, ut apud vos hæc diceremus; me vehementer etiam obtestatus est, ne prætermitterem quin dicerem, etiam Demosthenem aliquid dixisse de Amphipoli.

44. Hactenus igitur testes mihi sunt legationis collegæ, quos per totam orationem exagitare non destitit : orationes autem, quæ pro suggestu apud vos habitæ sunt, ipsi audivistis. Quare mihi mentiri non licebit. Oro autem vos, ut id laboris capiatis, ut et reliquam audiatis narrationem. Nam quemque vestrûm de Cersoblepte et Phocensi crimine audire cupere, satis scio, et ad illa festino. Verum nisi ea quæ antecedunt audiveritis, illa etiam minus percipietis : sin periclitanti mihi arbitratu meo dicendi potestatem dederitis, et conservare me, si innocens sum, poteritis satis edocti, et ex iis quæ in confesso sunt etiam controversa perspicietis.

45. Ut enim huc reversi, apud senatum capita legationis exposuimus, et literas Philippi reddidimus, laudator noster fuit Demosthenes apud senatores, et per aram curialem juravit, se gratulari civitati, quæ tales legatos misisset, qui et eloquentia et fide se republica dignos præbuissent : (46) de me autem hujusmodi quippiam dixit, me spem eorum, qui me legatum creassent, non fefellisse. Postremo omnium scripsit, nostrûm unumquemque sacræ oleæ corona ornandum esse, ob benevolentiam erga populum, et ad cœnam in curiam in crastinum invitandum. Ut autem constet me nihil falsi dixisse apud vos, capiat scriba decretum, et collegarum testimonia recitet.

DECRETUM. TESTIMONIA.

47. Postquam igitur legationis acta apud populum exposuimus, Ctesipho primus inter nos, propter ætatem,

χίαν Κτησιφῶν ἄλλους τέ τινας λόγους καὶ τοὺς πρὸς Δημοσθένην αὐτῷ συγκειμένους ὑμῖν ἐρεῖν, περί τε τῆς ἐντεύξεως τῆς Φιλίππου καὶ τῆς ἰδέας αὐτοῦ καὶ τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος. Καὶ μετὰ τοῦτον Φιλοκράτους εἰπόντος μικρὰ καὶ Δερκύλου παρῆλθον ἐγώ. (48) Ἐπειδὴ δὲ τὴν ἄλλην διεξῆλθον πρεσβείαν, ἀπήντησα καὶ πρὸς τὸν λόγον ὃν ἐν τοῖς συμπρέσβεσι διωμολογησάμην, εἰπὼν ὅτι καὶ μνημονικῶς καὶ δυνατῶς ὁ Φίλιππος εἴποι· καὶ τὴν δέησιν οὐκ ἐπελαθόμην τὴν Δημοσθένους, ὅτι ταχθείη λέγειν, ἐάν τι παραλίπωμεν ἡμεῖς, ὑπὲρ Ἀμφιπόλεως. (49) Ἐφ' ἅπασι δ' ἡμῖν ἀνίσταται τελευταῖος Δημοσθένης, καὶ τερατευσάμενος ὥσπερ εἴωθε τῷ σχήματι καὶ τρίψας τὴν κεφαλήν, ὁρῶν ἐπισημαινόμενον τὸν δῆμον καὶ δεδεγμένον τοὺς παρ' ἐμοῦ λόγους, ἀμφοτέρων ἔφη θαυμάζειν, καὶ τῶν ἀκουόντων καὶ τῶν πρεσβευσάντων, ὅταν παρέντες τὸν χρόνον, οἱ μὲν τὸν τοῦ βουλεύσασθαι, οἱ δὲ τὸν τοῦ συμβουλεύειν, ἀποδιατρίβωσι τὴν ὑπερόριον λαλιὰν ἀγαπῶντες ἐν τοῖς οἰκείοις πράγμασιν· οὐδὲν γὰρ εἶναι ῥᾷον ἢ πρεσβείαν ἀπαγγεῖλαι. (50) « Βούλομαι δ' ὑμῖν » ἔφη « καὶ ἐπιδεῖξαι ὡς δεῖ τὸ πρᾶγμα γίνεσθαι· » ἅμα δ' ἐκέλευεν ἀναγνωσθῆναι τὸ ψήφισμα τοῦ δήμου· ἀναγνωσθέντος δὲ εἶπεν ὅτι « κατὰ τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα ἐπράττομεν ἃ ἐνταυθοῖ γέγραπται. Λαβὲ δή μοι καὶ τὴν ἐπιστολὴν ἣν ἥκομεν παρὰ Φιλίππου φέροντες. » Ἐπειδὴ δὲ ἀνεγνώσθη, « Ἀπέχετε » ἔφη « τὴν ἀπόκρισιν, καὶ λοιπὸν ὑμῖν ἐστι βουλεύσασθαι. » (51) Θορυβησάντων δ' ἐπ' αὐτῷ τῶν μὲν ὡς δεινός τις εἴη καὶ σύντομος, τῶν δὲ πλειόνων ὡς πονηρὸς καὶ φθονερός, « Καὶ σκέψασθε δέ » ἔφη « ὡς συντόμως καὶ τἄλλα πάντα ἀπαγγελῶ. Ἐδόκει δεινὸς εἶναι λέγειν Αἰσχίνῃ Φίλιππος, ἀλλ' οὐκ ἐμοί· ἀλλ' εἴ τις αὐτοῦ τὴν τύχην περιελὼν ἑτέρῳ περιθείη, οὐκ ἂν πολύ τι καταδεὴς εἴη. (52) Ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι· ἐμοὶ δ' οὐ χείρων Ἀριστόδημος ὁ ὑποκριτής » (ὃς παρῆν ἡμῖν καὶ συνεπρέσβευε). « Μνημονικόν τις αὐτόν φησιν εἶναι· καὶ γὰρ ἕτεροι. Συμπιεῖν δεινὸς ἦν· Φιλοκράτης ὁ μεθ' ἡμῶν δεινότερος. Λόγον τίς φησιν ἐμοὶ καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως· ἀλλ' οὔτ' ἂν ὑμῖν ὁ ῥήτωρ οὗτος οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη. (53) Ταῦτα μὲν οὖν λῆρός ἐστιν, » ἔφη· « ἐγὼ δὲ ψήφισμα γράψω καὶ τῷ κήρυκι σπείσασθαι τῷ παρὰ Φιλίππου ἥκοντι καὶ τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις, ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις, ἐκκλησίαν ἐπὶ δύο ἡμέρας ποιεῖν μὴ μόνον ὑπὲρ εἰρήνης, ἀλλὰ καὶ περὶ συμμαχίας· καὶ τοὺς πρέσβεις ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαινέσαι καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον. » (54) Ὅτι δ' ἀληθῆ λέγω, λαβέ μοι τὰ ψηφίσματα, ἵνα εἰδῆτε, ὦ ἄνδρες, καὶ τὴν ἀνωμαλίαν αὐτοῦ καὶ τὸν φθόνον καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινωνίαν καὶ τὸ ἦθος, ὡς ἐπίβουλον καὶ ἄπιστον. Κάλει δέ μοι καὶ τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι καὶ τὰ ψηφίσματα τὰ τοῦ Δημοσθένους.

quum alia dixit, tum ea quæ dicturos esse nos cum Demosthene pepigeramus, de affabilitate Philippi, et forma ejus, et dexteritate in compotationibus. Post hunc, quum Philocrates et Dercyllus pauca dixissent, ego prodii. (48) Recitatis autem ceteris legationis actis, ad eam etiam commemorationem, quæ cum collegis mihi convenerat, quum accessissem, dixi Philippum memoriter et eloquenter respondisse. Neque oblitus precum Demosthenis adjeci, ei partes dicendi de Amphipoli attributas fuisse, si quid nos prætermisissemus. (49) Post omnes nos postremus surgit Demosthenes, et vultu, ut solet, præstigiis factis, atque capite perfricto, quum populum videret gestu dare signum, et meam approbasse orationem, utrosque se mirari dixit, tum qui audirent, tum qui legationem obiissent, quod omisso tempore illi deliberandi, hi in medium consulendi, moram facerent, nugis peregrinis contenti in rebus domesticis; nihil enim esse facilius, quam legationem recensere. (50) « Demonstrabo autem, inquit, vobis, quæ ratio hujus rei esse debeat », ac simul recitari jussit plebiscitum. Quo recitato, dixit, « Nos ex hoc ablegati sumus, et quæ hic scripta sunt, ea egimus. Cape ergo etiam literas, quas a Philippo afferimus. » Quibus lectis, « Habetis, inquit, responsum, restat ut deliberetis. » (51) Excitato autem tumultu, ab aliis, quod brevis et acutus, a pluribus, quod improbus atque invidus videretur, « Videte porro, inquit, quanto compendio et cetera omnia sim renuntiaturus. Visus est memoria valere, et eloquentia Philippus Æschini. Mihi vero non item. Nam si quis fortunam ei ademptam alteri tribueret, is non multo esset illo inferior. (52) Visus est Ctesiphonti splendido esse vultu. Mihi vero illo non deterior Aristodemus histrio, qui nostræ legationi interfuit. Memoria eum pollere, ait aliquis. Sunt et alii. Egregius compotor fuit? At Philocrates, qui nobiscum fuit, longe illum superat. Dicendi de Amphipoli se mihi reliquisse locum ait aliquis. At nec vobis orator iste dicendi locum daret, nec mihi. (53) Verum istæ nugæ sunt, inquit, ego vero decretum scribam, et cum caduceatore a Philippo misso inducias faciam, et cum mittendis huc legatis : curiones porro jubebo, ubi legati venerint, eis bidui concionem convocare, qua deliberetur, non de pace tantum, sed etiam de societate, et nos legatos, si digni videmur, laudare, et vocare ad cœnam in curiam in crastinum. » (54) Ut autem me vera dicere constet, cape decreta : ut videatis inconstantiam ejus, et malignitatem, et actionum cum Philocrate societatem, et mores insidiosos ac perfidos. Voca ergo mihi legatos, eorumque testimonia recita, et decreta Demosthenis.

ΨΗΦΙΣΜΑΤΑ.

55. Οὐ τοίνυν μόνον ταῦτα ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐν τῇ βουλῇ θέαν εἰς τὰ Διονύσια κατανεῖμαι τοῖς πρέσβεσιν, ἐπειδὰν ἥκωσι, τοῖς Φιλίππου. Λέγε καὶ τοῦτο τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν, ἵν' εἰδῆτε, ὦ Ἀθηναῖοι, ὅτι Δημοσθένης οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμοσπόνδους μελετᾷ.

ΜΑΡΤΥΡΙΑ.

56. Τὴν μὲν τοίνυν κοινωνίαν τῶν περὶ τῆς εἰρήνης πράξεων οὐκ ἐμὴν καὶ Φιλοκράτους, ἀλλὰ Δημοσθένους καὶ Φιλοκράτους εὑρίσκετε, καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν οἶμαι παρεσχῆσθαι. Τῶν μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες, τῶν δ' ἐν Μακεδονίᾳ ῥηθέντων καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην. Τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ τῆς δημηγορίας ἣν εἶπον ἐγὼ περὶ τῆς εἰρήνης. (57) Πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε. Τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι, οὓς ἔπεμψαν πρὸς ὑμᾶς οἱ Ἕλληνες μεταπεμφθέντας ὑπὸ τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι, Φιλίππῳ μετὰ Ἀθηναίων, καὶ τῆς εἰρήνης, εἰ τοῦτο εἶναι δοκοίη συμφέρον, μετέχοιεν. Σκέψασθε δὴ πράγματος μεγάλην κλοπὴν καὶ δεινὴν ἀναισχυντίαν ἀνθρώπου. (58) Τῶν γὰρ πρέσβεων οὓς ἐξεπέμψατε εἰς τὴν Ἑλλάδα ἔτι τοῦ πολέμου πρὸς Φίλιππον ὑμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως ὅτε ἐξεπέμφθησαν καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα ἐν τοῖς δημοσίοις ἀναγέγραπται γράμμασι, τὰ δὲ σώματα αὐτῶν ἐστιν οὐκ ἐν Μακεδονίᾳ, ἀλλ' Ἀθήνησι· ταῖς δὲ ξενικαῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει· οὗτος δέ φησιν ἐφεστάναι τὰς ἀπὸ τῶν Ἑλλήνων πρεσβείας. (59) Παρελθὼν τοίνυν, Δημόσθενες, ἐπὶ τὸ βῆμα τοῦτο ἐν τῷ ἐμῷ λόγῳ εἰπὲ πόλεως ἧστινος βούλει Ἑλληνίδος τοὔνομα, ἐξ ἧς ἀφῖχθαι τότε φῂς τοὺς πρέσβεις· καὶ τὰ προβουλεύματα αὐτῶν ἐκ τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι, καὶ τοὺς Ἀθηναίων κάλει πρέσβεις, οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις, μάρτυρας. Κἂν παρεῖναι καὶ μὴ ἀποδημεῖν, ὅτε ἡ πόλις τὴν εἰρήνην ἐποιεῖτο, μαρτυρήσωσιν, ἢ τὰς πρὸς τὴν βουλὴν αὐτῶν προσόδους καὶ τὰ ψηφίσματα ἂν παράσχῃ ἐν ᾧ σὺ φῂς ὄντα χρόνῳ, καταβαίνω καὶ θανάτου τιμῶμαι.

60. Ἀνάγνωθι δὴ καὶ τὸ τῶν συμμάχων δόγμα, τί λέγει, ἐν ᾧ διαρρήδην γέγραπται, ἐπειδὴ βουλεύεται

DECRETA.

55. Neque vero hæc dumtaxat scripsit, sed post etiam in senatu dixit, spectandi locum Bacchanalibus assignandum esse Philippi legatis, ubi venerint. Recita etiam hoc decretum.

DECRETUM.

Recita etiam legatorum testimonium, ut videatis, Athenienses, Demosthenem non posse verba facere pro republica, sed declamitare contra sodales convivii et libaminum.

TESTIMONIUM.

56. Communionem igitur pacificationis non meam et Philocratis, sed Demosthenis et Philocratis fuisse reperietis : et argumenta eorum quæ dixi me fide digna reor attulisse. Nam eorum quæ renuntiavi, vos mihi testes estis; quæ in Macedonia dicta sunt, atque in itinere nobis acciderunt, collegarum testimonio vobis demonstravi; accusationem autem modo a Demosthene allatam audistis, et meministis, cujus initium sumpsit a concione, quam de pace habui. (57) Quum autem in ea parte accusationis ementitus fuerit omnia, in eo articulo prorsus se sceleratum gessit. Ea enim verba coram legatis ait esse facta, quos Græci ad vos misissent, a populo accersiti, ut communiter et bellum gererent contra Philippum, si esset opus, cum Atheniensibus; et pacis, si id expedire videretur, essent participes. Considerate igitur, quantam rem homo surripuerit, quantaque sit impudentia. (58) Nam eo tempore legati creati sunt quos in Græciam ablegastis, quo bellum vobis adhuc cum Philippo intercedebat; ac tempora, quibus designabantur, et legatorum nomina quidem in publica relata sunt monimenta, eorum autem corpora non sunt in Macedonia, sed Athenis; et senatus de adducendis ad populum peregrinis legationibus decernit. Iste autem ait, affuisse Græcanicas legationes. (59) Igitur conscenso hoc suggesto, Demosthenes, dum meæ sunt dicendi partes, cujusvis Græcanicæ urbis nomen profer, ex qua tum legatos advenisse dicis, de iisque senatusconsulta e curia dato legenda, et Atheniensium legatos citato testes, quos populus ablegavit ad invitandas civitates : qui si se affuisse, non autem peregre abfuisse testificati fuerint, si accessum eorum ad senatum et decreta exhibueris, eo facta tempore, quo tu ais : descendo, et capitis ipse me condemno.

60. Lege et sociorum decretum, quid in eo dicatur. In quo aperte scriptum est : quum deliberet populus Athenien-

ὁ δῆμος ὁ Ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς Φίλιππον, οἱ δὲ πρέσβεις οὔπω πάρεισιν οὓς ἐξέπεμψεν ὁ δῆμος εἰς τὴν Ἑλλάδα παρακαλῶν τὰς πόλεις ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων, δεδόχθαι τοῖς συμμάχοις, ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις καὶ τὰς πρεσβείας ἀπαγγείλωσιν Ἀθηναίοις καὶ τοῖς συμμάχοις, προγράψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο κατὰ τὸν νόμον, ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς εἰρήνης Ἀθηναίους· ὅ τι δ' ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ' εἶναι κοινὸν δόγμα τῶν συμμάχων. Ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων δόγμα.

ΔΟΓΜΑ ΣΥΝΕΔΡΩΝ.

61. Παράνάγνωθι δή μοι καὶ τὸ τοῦ Δημοσθένους ψήφισμα, ἐν ᾧ κελεύει τοὺς πρυτάνεις μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει καὶ τὴν ἐν Διονύσου ἐκκλησίαν προγράψαι δύο ἐκκλησίας, τὴν μὲν τῇ ὀγδόῃ ἐπὶ δέκα, τὴν δὲ τῇ ἐνάτῃ ἐπὶ δέκα, ὁρίζων τὸν χρόνον καὶ προϋφαιρῶν τὰς ἐκκλησίας πρὶν ἐπιδημῆσαι τοὺς ἀπὸ τῶν Ἑλλήνων πρέσβεις. Καὶ τὸ μὲν τῶν συμμάχων δόγμα κελεύει, ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολογῶ, ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι, Δημοσθένης δὲ καὶ περὶ συμμαχίας κελεύει. Λέγε δὲ αὐτοῖς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

62. Τῶν μὲν ψηφισμάτων ἀμφοτέρων ἠκούσατε, ὦ Ἀθηναῖοι· ὑφ' ὧν ἐξελέγχεται Δημοσθένης τὰς ἀποδημούσας πρεσβείας ἐπιδημεῖν φάσκων, καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι τὸ τῶν συμμάχων ἄκυρον πεποιηκὼς δόγμα. Οἱ μὲν γὰρ ἀπεφήναντο ἀναμεῖναι τὴν πόλιν τὰς Ἑλληνικὰς πρεσβείας, Δημοσθένης δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ πάντων αἴσχιστα καὶ τάχιστα μετατιθέμενος, ἀλλ' ἔργῳ καὶ ψηφίσματι, προστάξας ἤδη βεβουλεῦσθαι.

63. Εἴρηκε δὲ ὡς ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος Φιλοκράτους ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἣν εἰσηγεῖτο ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶναι φάσκων, τῇ δ' ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς συναγορεύοιμι τῷ Φιλοκράτει, καὶ τὴν ἐκκλησίαν εὐημερήσας ᾠχόμην φέρων, πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς Ἕλλησι βοηθεῖν. (64) Ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα γενέσθαι, μίαν μὲν αὐτὸς καθ' αὑτοῦ Δημοσθένης μαρτυρίαν μαρτυρήσει, ἑτέραν δὲ πάντες Ἀθηναῖοι καὶ ὑμεῖς ἀναμιμνησκόμενοι, τρίτην δὲ ἡ τῆς αἰτίας ἀπιθανότης, τετάρτην δὲ ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης καὶ ἀνεκοινοῦτο εἰ δῷ τῷ γραμματεῖ, οὐχ ὑπεναντίον, ἀλλὰ ταὐτὸν γεγραφὼς Φιλοκράτει. (65) Καί μοι λαβὲ τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους, ἐν ᾧ φαίνεται γεγραφὼς τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' ὑστεραίᾳ τοὺς

sis de pace Philippica, legati autem nondum domum redierint, quos ablegarit populus in Græciam, qui urbes ad tuendam Græcorum libertatem exhortentur : visum esse sociis, ubi redierint legati, et acta sua renuntiarint Atheniensibus, eorumque sociis, ut curiones duas conciones secundum leges indicant, atque in iis de pace deliberent Athenienses : quicquid autem populus decreverit, id fore commune sociorum decretum. Recita ergo decretum assessorum.

DECRETUM ASSESSORUM.

61. Confer cum hoc etiam Demosthenis decretum, quo jubet curiones, post urbana Bacchanalia et concionem in Bacchi sede haberi solitam, indicere duas conciones, alteram die duodevicesimo, alteram undevicesimo, definiens tempus, et conciones præripiens, ante legatorum ad Græcos missorum reditum. Ac sociorum quidem decretum jubet, quod me quoque defendisse fateor, vos de pace dumtaxat deliberare; Demosthenes autem, etiam de societate jubet. Recita decretum.

DECRETUM.

62. Decretum utrumque audivistis, Athenienses, unde convincitur, Demosthenem affirmare, legationes eas quæ abfuerunt, affuisse, et quum vos audire velletis, irritum fecisse decretum sociorum. Nam illi quidem pronunciarant, Græcanicas legationes esse urbi exspectandas : Demosthenes autem non verbis tantum obstitit, quominus exspectarentur, mentem omnium turpissime ac celerrime immutare solitus, sed re ipsa et decreto, quippe qui statim deliberari jusserit.

63. Dixit autem, me priore concione, quum verba fecisset Philocrates, post eum suggestu conscenso reprehendisse pacem, cujus auctor ille fuerit; eamque turpem et civitate indignam judicasse : postridie autem suffragatum Philocrati, et concionem magno applausu in sententiam meam perduxisse, quum suaderem vobis, ne auscultaretis iis, qui prœlia et triumphos majorum commemorarent, neve Græcis auxiliaremini. (64) Id vero crimen non tantum esse falsum, sed etiam fieri sic non potuisse, primum ipsius Demosthenis, deinde omnium Atheniensium atque vestro, si vos admoneamini, testimonio, tum ipsius calumniæ absurditate, et quarto loco testimonio ostendetur viri magnæ in republica auctoritatis, Amyntoris, cui Demosthenes decretum ostendit, quemque consuluit, utrum id daret scribæ : quum quidem non contrarium, sed idem quod Philocrates scripsisset. (65) Cape Demosthenis decretum, et recita : in quo eum priore concione scripsisse constat, licere cuivis in medium consulere, posteriore autem populum a præsidibus

προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ προτιθέναι· ἐν ᾗ μέ φησιν αὐτὸς Φιλοκράτει συνειπεῖν.

ΨΗΦΙΣΜΑ.

66. Οὐκοῦν τὰ μὲν ψηφίσματα, ὡς ἐξ ἀρχῆς ἐγράφη, μένει, οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς λέγονται. Ποιεῖ δέ μου τὴν δημηγορίαν ὁ μὲν κατήγορος διαιρετήν, τὸ ψήφισμα δὲ καὶ τἀληθὲς μίαν· λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν, τῶν προέδρων κωλυόντων οὐκ ἐνῆν εἰπεῖν. Τί δὲ καὶ βουλόμενος, εἴπερ ταὐτὰ Φιλοκράτει προειλόμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; πότερα ὡς αὐτὸς εὐδοξήσων ἢ ὡς ἐκεῖνον ὠφελήσων; ἀλλ' οὐκ ἐνῆν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν.

67. Κάλει δέ μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. Ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. Μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ τὸ Δημοσθένους ψήφισμα ἐν τῇ ὑστέρᾳ τῶν δυεῖν ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, (68) ἐν ταύτῃ τῇ ἐκκλησίᾳ Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο τὸ Δημοσθένους ὄνομα, καὶ ἀνακοι-
37 νοῦσθαι αὐτὸν αὐτῷ εἰ δῷ ἐπιψηφίσαι τοῖς προέδροις, καὶ εἶναι, ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι, ἐπὶ τοῖς αὐτοῖς ἐφ' οἷσπερ καὶ Φιλοκράτης ἐγεγράφει. Κάλει δέ μοι Ἀμύντορα Ἐρχιέα· καὶ ἐκκλήτευε, ἐὰν μὴ 'θέλῃ δευρὶ παρεῖναι.

ΜΑΡΤΥΡΙΑ.

69. Τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες· σκοπεῖτε δὴ πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι ἢ τοὐναντίον αὐτὸς αὑτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. Ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν μου διαβάλλει καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ φιλοτιμοῦμαι. (70) Βούλομαι δ' ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύεσθε. Τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως, συνέβαινε δ' ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ ἑβδομήκοντα μὲν καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος καὶ κατέστησεν εἰς τὸ συνέδριον (προῄρημαι γὰρ παρρησιάσασθαι καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σώζεσθαι· ἐὰν δὲ ἄλλως πως γινώσκητε, καταχρήσασθέ μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην), (71) ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι (καὶ ταῦτα ὑμῖν ἐν τοῖς ἀγῶσιν ἀεὶ τοῖς Χάρητος οἱ κατήγοροι δεικνύουσι), χίλια δὲ καὶ πεντακόσια τάλαντα οὐκ εἰς στρατιώτας, ἀλλ' εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι, Δηιάρην τε καὶ

in suffragia mittendum, et non dicendi potestatem esse dandam, quo tempore ipse me ait Philocrati esse suffragatum.

DECRETUM.

66. Itaque decreta ut principio scripta sunt, ita manent; calumniatorum autem verba in dies pro tempore mutantur. Facit autem concionem meam accusator geminam; decretum et veritas, unam. Quum enim posteriore concione dicendi potestas data non esset, sed præsides prohiberent, verba facere non licuit. Quid vero mihi voluissem, si Philocratis sectam sequebar, eo pridie apud eosdem auditores accusando, et post intervallum noctis unius defendendo? Utrum ut ipsi mihi accederet auctoritas? an ut illi commodum aliquod per me compararetur? Verum non licuit neque hoc neque illud consequi: sed illud restabat, ut et omnium voluntates a me alienarem, et nihil promoverem.

67. Voca mihi Amyntorem Erchiensem, et ejus testimonium recita. Quo autem pacto id scriptum sit, in primis exponam vobis. Testimonium perhibet Amyntor Æschini, quum populus de societate cum Philippo ineunda de sententia Demosthenis in posteriore duarum concionum deliberaret, ac verba facere non liceret, sed decreta de pace et societate facta comprobanda aut improbanda essent, (68) in ea concione Demosthenem assidentem sibi ostendisse scriptum decretum, cui nomen Demosthenis præscriptum esset, ac consuluisse, an daret scribæ, ut præsidibus offerret: in quo scripsisset, pacem et societatem iisdem conditionibus esse faciendam, quibus Philocrates scripserat. Voca mihi Amyntorem Erchiensem, et citato, nisi huc prodire voluerit.

TESTIMONIUM.

69. Testimonium quidem audivistis, Athenienses. Considerate igitur, utrum videatur vobis Demosthenes me accusasse, an contra sub meo nomine semetipsum. (24) Quoniam autem concionem quoque meam criminatur, et habitas a me orationes male narrando depravat: ego nec defugio eorum quæ tum dixi, neque negarim quicquam; quorum adeo me non pudet, ut ea laudi quoque mihi ducam. (70) Revocabo autem vobis in memoriam temporum conditionem, quibus deliberabatis. Bellum principio suscepimus pro Amphipoli. Res autem eo redierat: noster imperator fœderatas urbes quinque et septuaginta amiserat, quibus Timotheus Cononis filius potitus erat, quasque nostro concilio adjunxerat (decrevi enim nihil dissimulare, et libere simul vereque loquendo conservari; sin aliter senseritis, agite de me pro lubitu: neque enim tergiversabor): (71) et quum centum quinquaginta triremes e navalibus accepisset, eas non (*nonnisi* 48?) reduxerat (atque hæc vobis accusatores in Charetis periculis subinde ostendunt), et mille quingenta talenta non in milites, sed in ducum insolentiam insumpta erant, in Deiarem, Deipyrum,

Δηίπυρον καὶ Πολυφόντην, δραπέτας ἀνθρώπους, ἐκ τῆς Ἑλλάδος συνειλεγμένους, καὶ χωρὶς εἰς τοὺς περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους, οἳ τοὺς μὲν ταλαιπώρους νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης. (72) Ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἡ πόλις ἡμῶν Μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης ἀνεπίμπλατο· Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας οὐκέθ' ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο, ἀλλ' ἤδη περὶ Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου, τῶν ἡμετέρων κτημάτων· ἐξέλιπον δὲ Χερρόνησον ἡμῶν οἱ πολῖται, τὴν οὖσαν ὡμολογημένως Ἀθηναίων· πλείους δὲ ἐκκλησίας συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων. (73) Οὕτω δ' ἦν σφαλερὰ καὶ ἐπικίνδυνα τὰ πράγματα, ὥστε ἠναγκάσθη γράψαι ψήφισμα Κηφισοφῶν ὁ Παιανιεύς, εἷς τῶν φίλων καὶ ἑταίρων τῶν Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει τεταγμένον, κἂν ἐντύχῃ που, φράζειν ὅτι θαυμάζει ὁ δῆμος τῶν Ἀθηναίων εἰ Φίλιππος μὲν ἐπὶ Χερρόνησον τὴν Ἀθηναίων πορεύεται, Ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν οὐδὲ τὴν δύναμιν ἣν ἐξέπεμψαν, ὅπου ἐστιν. Ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην τοὺς τῶν πολέμων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε.

ΨΗΦΙΣΜΑ.

74. Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν, ἐν οἷς οἱ περὶ τῆς εἰρήνης ἐγένοντο λόγοι· ἀνιστάμενοι δὲ οἱ συντεταγμένοι ῥήτορες περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδὲν ἐνεχείρουν λέγειν, ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς ἀκροπόλεως ἐκέλευον ἡμᾶς καὶ τῆς ἐν Σαλαμῖνι πρὸς τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι καὶ τῶν τάφων τῶν προγόνων καὶ τῶν τροπαίων. (75) Ἐγὼ δὲ ἁπάντων μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι, τὴν μὲν ἐν Πλαταιαῖς πρὸς τοὺς Πέρσας πεζομαχίαν καὶ τοὺς
38 ἀγῶνας τοὺς περὶ Σαλαμῖνα καὶ τὴν ἐν Μαραθῶνι μάχην καὶ τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν καὶ τὴν Τολμίδου ζηλοῦν στρατηγίαν κελεύων, ὃς χιλίους ἐπιλέκτους ἔχων Ἀθηναίων διὰ μέσης Πελοποννήσου πολεμίας οὔσης ἀδεῶς διεξῄει, (76) τὴν δ' εἰς Σικελίαν στρατείαν φυλάττεσθαι, ἣν ἐξέπεμψαν Λεοντίνοις βοηθήσοντες, τῶν πολεμίων ἐμβεβληκότων εἰς τὴν χώραν ἡμῶν καὶ Δεκελείας ἐπιτετειχισμένης, καὶ τὴν τελευταίαν ἀβουλίαν φυλάξασθαι, ὅθ' ἡττημένοι τῷ πολέμῳ, προκαλουμένων αὐτοὺς Λακεδαιμονίων εἰρήνην ἄγειν ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ Ἴμβρον καὶ Σκῦρον καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν, πολεμεῖν δὲ προῃροῦντο οὐ δυνάμενοι, Κλεοφῶν δὲ ὁ λυροποιός, ὃν πολλοὶ δεδεμένον ἐν πέδαις

Polyphontem, fugitivos homines ex Græcia collectos, ac seorsum in mercenarios istos, qui in suggesto et concionibus versantur, qui a miseris insularibus quotannis sexaginta talenta exigebant tributi nomine, qui naves et Græcos in communi mari deprædabantur. (72) Nostra vero urbs loco auctoritatis et principatus Græcorum, eandem opinionem quam Myonnesus et piratæ consecuta erat. Philippus porro e Macedonia progressus, non ut hactenus de Amphipoli nobiscum pugnabat, sed jam de Lemno et Imbro et Scyro, nostris possessionibus : et Chersonesum cives nostri deserebant, quæ citra controversiam est Atheniensium. Cogebamini autem ut plures conciones extraordinarias cum tumultu et metu haberetis, quam statas ac legitimas. (73) Res porro ita labefactatæ ac periculosæ erant, ut Cephisopho Pæaniensis, amicus et familiaris Charetis, decretum scribere cogeretur, ut Antiochus actuariis navigiis præfectus, quam primum solveret, imperatorem quæsitum, cui commissus esset exercitus : quodsi in eum incidisset, ei narraret, mirari populum Atheniensem, Philippum Chersonesum, quæ sit Atheniensium, invadere; Athenienses autem nescire, nec dux nec copiæ quas miserint, ubi sint. Ut autem vera me loqui intelligatis, decretum audite et belli recordamini, et pacem a belli ducibus, non a legatis repetitote.

DECRETUM.

74. Ac tempora quidem civitatis, quibus de pace verba fiebant, erant hujusmodi. Oratores autem isti factiosi, quum ad dicendum surgebant, de civitatis quidem incolumitate nihil in medium afferebant, sed vos arcis vestibulum intueri jubebant, et Salaminiæ pugnæ contra Persas, et sepulcrorum majorum nostrorum et triumphorum meminisse. (75) Ego vero horum sane omnium recordandum esse dicebam, sed tamen prudentiam majorum esse imitandam, peccata vero et intempestivam contentionem vitandam; pedestre prœlium ad Platæas contra Persas, et contentiones de Salamine, et Marathoniam pugnam, et navale prœlium ad Artemisium, et Tolmidæ imperium jubebam imitari, qui quum haberet mille delectos Athenienses, infestis armis secure per mediam Peloponnesum pervasisset; (76) expeditionem autem Siciliensem cavendam esse, qua Leontinis auxilia misissent, quum hostes in nostrum agrum impetum fecissent et Decelea contra nos munita esset, postremum item temeritatem illam cavendam, quum bello victi, postulantibus Lacedæmoniis ut pacem agerent, et præter Atticam etiam Lemnum, Imbrum et Scyrum tenerent, et constituta legibus libertate uterentur, horum nihil admittere voluerunt, sed bellum quod gerere non poterant, prætulerunt : quum quidem Cleopho lyrarum faber, quem

ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις τῆς εἰρήνης μνησθήσεται· (77) τελευτῶντες δὲ εἰς τοῦτο τὴν πόλιν προήγαγον ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι ἀποστάντας πάντων καὶ τὰ τείχη καθελόντας καὶ παραδεξαμένους φρουρὰν καὶ Λακεδαιμονίων ἁρμοστὴν καὶ τῆς δημοκρατίας τοῖς τριάκοντα ἀφεμένους, οἳ χιλίους καὶ πεντακοσίους ἀκρίτους τῶν πολιτῶν ἀπέκτειναν. Τὴν μὲν τοιαύτην ἀβουλίαν ὁμολογῶ παραγγέλλειν φυλάττεσθαι, τὰ δ' ὀλίγῳ πρότερον εἰρημένα μιμεῖσθαι. Οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων, ἀλλὰ παρὰ τοῦ πάντων οἰκειοτάτου ταῦτα ἐπυνθανόμην. (78) Ἀτρόμητος γὰρ ὁ πατὴρ ὁ ἡμέτερος (ὃν σὺ λοιδορεῖς οὔτ' εἰδὼς οὔτ' ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας ὅστις ἦν, καὶ ταῦτα, ὦ Δημόσθενες, ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γένος ὤν) ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα, συγκατήγαγε δὲ τὸν δῆμον· καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός, θεῖος δὲ ἡμέτερος, Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς μετὰ Δημαινέτου τοῦ Βουζύγου συγκατεναυμάχησε Χίλωνα τὸν Λακεδαιμονίων ναύαρχον· ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν.

79. Ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκαδίᾳ δημηγορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φῂς αὐτὸς ὢν ἀνδραποδώδης καὶ μόνον οὐχ ἐστιγμένος αὐτόμολος. Ἐγὼ δ' ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ' ὅσον ἦν δυνατός, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας ἐπὶ Φίλιππον· οὐδενὸς δ' ἀνθρώπων ἐπικουροῦντος τῇ πόλει, ἀλλὰ τῶν μὲν περιορώντων ὅ τι συμβήσεται, τῶν δὲ συνεπιστρατευόντων, τῶν δ' ἐν τῇ πόλει ῥητόρων χορηγὸν ταῖς καθ' ἡμέραν δαπάναις τὸν πόλεμον ποιουμένων, ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ διαλύσασθαι πρὸς Φίλιππον καὶ τὴν εἰρήνην συνθέσθαι, ἣν σὺ νομίζεις νῦν αἰσχρὰν οὐδὲ πώποθ' ἁψάμενος ὅπλων, ἐγὼ δὲ ταύτην εἶναί φημι πολλῷ καλλίω τοῦ πολέμου. (80) Χρὴ δέ, ὦ Ἀθηναῖοι, τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρὸν καθ' ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνάμεις ὧν ἡγοῦντο. Καὶ γὰρ τὰς εἰκόνας ἵστατε καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ τὰς ἐν πρυτανείῳ σιτήσεις δίδοτε οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν, ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν. Εἰ δ' ἔσονται τῶν πολέμων αἱ μὲν εὔθυναι τῶν πρέσβεων, αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ ἐθελήσει πρεσβεύειν.

81. Περὶ δὲ Κερσοβλέπτου καὶ Φωκέων καὶ τῶν ἄλλων ἃ πρὸς τούτοις διαβέβλημαι, ὑπόλοιπον εἰπεῖν. Ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν τῇ ὑστέρᾳ πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον, ὑμῖν ἀπήγγελλον, ἃ δ' ἤκουον, ὡς ἤκουσα. Τίνα οὖν ἦν ἑκάτερα τούτων, ἅ τε εἶδον ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; Εἶδον μὲν ἐγὼ καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν Κερσοβλέπτου παρὰ Φιλίππῳ· καὶ ἔτι καὶ νῦν τοῦθ' οὕτως ἔχει. (82) Συνέβαινε δ' ὅτε τὴν προτέραν ἐπρεσβεύομεν πρε-

multi compedibus vinctum meminerant, per fraudem ac turpiter in civium album inscriptus, populo largitionibus corrupto, se gladio collum ei præcisurum minitaretur, qui pacis mentionem fecisset: (77) tandem eo rem illi perduxerunt, ut cupide pacem amplecterentur, cedentes omnibus possessionibus, mœnibus dejectis, præsidio recepto et præfecto Lacedæmonio, et populi auctoritate ad triginta tyrannos translata, qui mille quingentos cives indicta causa occiderunt. Talem temeritatem esse cavendam monuisse me profiteor, ea vero quæ paullo ante dixi, esse imitanda. Neque enim ab alienis illa, sed ab omnium conjunctissimo audiebam. (78) Nam Atrometus pater noster (cui tu maledicis, quum eum ignores, neque videris quisnam sua ætate fuerit, idque, Demosthenes, quum maternum tuum genus a vagabundis Scythis originem trahat) sub triginta tyrannis profugit, et unus ex iis fuit qui populum restituerunt. Et matris nostræ frater, avunculus noster, Cleobulus, Glauci Acharnensis filius, cum Demæneto Buzygarum genere Chilonem Lacedæmonium navali prœlio vicit. Itaque domesticum mihi est et usitatum, urbis adversos casus auribus accipere.

79. Objicis mihi præterea concionem in Arcadia apud decies mille viros habitam, et legationem illam, meque immutatum esse dicis, quum sis ipse mancipii similis, et tantum non notis compunctus transfuga. Ego vero in bello, quantum fieri potuit, Arcadas et ceteros Græcos contra Philippum concitavi; quum autem mortalium nemo reipublicæ opem ferret, sed alii eventum otiose exspectarent, alii nos oppugnarent, urbani autem oratores ex bello quotidiano suo luxui sumptus suppeditarent, populo me suasisse fateor, ut cum Philippo reconciliaretur, et pacem jungeret, quam tu nunc turpem existimas, quum arma nunquam attigeris. Ego vero eam longe honestiorem bello esse affirmo. (80) Sunt autem, Athenienses, legati spectandi ex eo tempore, quo legationem obiverunt; duces e copiis, quibus cum imperio præfuerunt. Etenim et statuas erigitis, et principem locum assignatis, et coronas, et victum in curia datis, non iis qui pacem renuntiarint, sed iis qui hostes prœlio superarint. Quodsi bellorum rationes a legatis reposcentur, præmia ducibus tribuentur, efficietis ut nulla unquam bella vel humaniter gerantur, vel placide componantur: nemo enim legatus ire volet.

81. Nunc reliquum est ut de Cersoblepte et Phocensibus, ac ceteris objectis mihi criminibus dicam. Ego, Athenienses, et in priore et in posteriore legatione, quæ vidi, ut vidi, quæ audivi, ut audivi, renuntiavi. Quæ igitur hæc utraque fuerunt, quæ et vidi et audivi de Cersoblepte? Vidi ego, et legati omnes, Cersobleptis filium obsidem Philippo datum: idque etiam nunc ita se habet. (82) Accidit autem, dum priore legatione fungebamur, ut ego cum collegis huc

σβείαν ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο, Φιλίππῳ δ' ἐπὶ Θρᾴκην ἐξιέναι, πρὸς δ' ἡμᾶς ὡμολογηκέναι, ἕως ἂν ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύσησθε, μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χερρονήσου. Ἐν ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερσοβλέπτου· ἤδη δὲ ἡμῶν κεχειροτονημένων ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ ἀπηρκότων ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἐκκλησία γίνεται, ἐν ᾗ Δημοσθένης ὁ νυνὶ κατηγορῶν ἐμοῦ λαγχάνει προεδρεύειν. (83) Ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελθὼν ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης, ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσιν καὶ συναναγραφῆναι Κερσοβλέπτην ἐν τοῖς ὑμετέροις συμμάχοις. Ῥηθέντων δὲ τῶν λόγων τούτων, Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις, ἐν ᾧ ἐγέγραπτο ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου. (84) Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος (καὶ ταῦτα οἶμαι πάντας ὑμᾶς μνημονεύειν), ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύσειν τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γινώσκειν τῶν συμμάχων τοὺς συνεφαπτομένους ὥσπερ ἐν τοῖς σπένδουσι τῶν ἱερῶν· ἀποδοθῆναι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν. Βοώντων δὲ ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα καλούντων, οὕτως ἄκοντος αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη. (85) Ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα Ἀλεξίμαχον καὶ τοὺς συμπροέδρους Δημοσθένους, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

Ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθοῖ Δημοσθένης μνησθεὶς Κερσοβλέπτου φαίνεται τῆς συμμαχίας ἐκκλείων αὐτόν. Ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη, ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις ἐν τῷ στρατηγίῳ τῷ ὑμετέρῳ. (86) Τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν ὁ κατήγορος ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν παρὰ Κερσοβλέπτου, παρόντων μὲν τῶν συμμάχων, ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθημένων δὲ τῶν στρατηγῶν· πόθεν τοσαύτην ῥώμην λαβών; ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη; εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο ποιεῖν, ἐπέτρεψας ἄν, ὦ Δημόσθενες, καὶ οὐκ ἐνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγοράν, ὁρῶν με (ὡς ἔφης ἀρτίως) ὠθοῦντα ἀπὸ τῶν ἱερῶν τὸν πρεσβευτήν; Καλείτω δέ μοι τοὺς στρατηγοὺς ὁ κῆρυξ καὶ τοὺς συνέδρους τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε.

ΜΑΡΤΥΡΙΑΙ.

87. Οὐκ οὖν δεινόν, ὦ Ἀθηναῖοι, εἴ τις κατ' ἀνδρὸς πολίτου, οὐχ ἑαυτοῦ, ἀλλ' ὑμετέρου (τοῦτο γὰρ προσδιορθοῦμαι), τολμᾷ τηλικαῦτα καταψεύδεσθαι, κινδυνεύοντος ὑπὲρ τοῦ σώματος; ἢ πῶς οὐκ εἰκότως οἱ πατέρες ἡμῶν ἐν ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κα-

redirem, Philippus autem in Thraciam egrederetur, qui nobiscum pepigisset, dum vos de pace deliberaretis, se Chersonesum armis non invasurum. Illo igitur die, quo vos pacem decrevistis, nulla facta est mentio Cersobleptis. Jam vero nobis ad exigendum jusjurandum delectis, nondum vero ad posteriorem legationem profectis, concio fit, in qua Demostheni, qui nunc me accusat, obvenit ut præsideret. (83) In ea concione Critobulus Lampsacenus progressus dixit se missum esse a Cersoblepte, qui peteret ut jusjurandum Philippi legatis daretur, et Cersobleptes inter vestros socios inscriberetur. Hac oratione habita, Aleximachus Pelex decretum præsidibus legendum dat, in quo scriptum erat, ut is qui a Cersoblepte venisset, jusjurandum Philippo cum ceteris sociis daret. (84) Recitato decreto (et hoc vos omnes arbitror meminisse), surrexit Demosthenes a præsidibus, seque de hoc decreto sententias rogaturum esse negavit, neque factam cum Philippo pacem irritam redditurum, neque agnoscere socios, qui tanquam in libationibus, manus sacris admoverent : huic enim negotio aliam concionem datum iri. Clamantibus autem vobis, et præsides ad suggestum vocantibus, sic invito isto comprobatum est decretum. (85) Quæ ut vere a me dici constet, voca mihi Aleximachum, qui decretum scripsit, et collegas Demosthenis, ac testimonium recita.

TESTIMONIUM.

Is igitur, qui modo hic ad Cersobleptis mentionem illacrimavit, societate illum exclusit. Ut vero ea concio dimissa fuit, fœderatos Philippi legati jurejurando in vestro prætorio obstrinxerunt. (86) Ausus autem est ad vos dicere accusator, me Critobulum, Cersobleptis legatum, a sacris repulisse, quum et socii adessent, et populus scivisset, et duces assiderent. Unde tantas vires accepi? aut quo pacto res tacita est? Quodsi istud ego facinus non reformidassem, tu passus esses, Demosthenes? non vociferationibus et clamoribus forum complesses, quum videres me, ut modo aiebas, a sacris legatum repellere? Accersat mihi duces præco, et sociorum assessores, ut eorum testimonia audiatis.

TESTIMONIA.

87. Nonne intolerabile est, Athenienses, si quis contra hominem civem, non suum, sed vestrum (hanc enim correctionem addo), tanta non veretur mendacia comminisci, quibus in capitis discrimen adducatur? Maximam igitur approbationem meretur is mos, cujus in capitalibus ad Pal-

τέδειξαν τέμνοντας τὰ τόμια τοὺς νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι (καὶ τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν) τἀληθῆ καὶ τὰ δίκαια ψηφίζεσθαι τῶν δικαστῶν ὅσοι τὴν ψῆφον ἤνεγκαν αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι, εἰ δὲ μή, ἐξώλη τε αὐτὸν εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικασταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ εἶναι; (88) Καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς, ὦ Ἀθηναῖοι· εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἦ που ἀδίκου γε φυλάξαιτ' ἂν τὴν ψυχὴν ἢ τὴν οὐσίαν ἢ τὴν ἐπιτιμίαν τινὸς ἀφελόμενος, ἐξ ὧν αὑτοὺς ἀνῃρήκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν. Ἆρ' οὖν, ὦ Ἀθηναῖοι, δοίητ' ἄν μοι συγγνώμην, εἰ κίναιδον αὐτὸν προσειπὼν καὶ μὴ καθαρεύοντα τῷ σώματι, μηδ' ὅθεν τὴν φωνὴν ἀφίησιν, ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ περὶ Κερσοβλέπτην ἐπ' αὐτοφώρῳ δείξαιμι ψεῦδος ὄν;

89. Κάλλιστον γὰρ (οἶμαι) πρᾶγμα καὶ χρησιμώτατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται· καὶ γὰρ τοὺς χρόνους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον φυλάττετε. Εἴρηκε δὲ οὑτοσὶ πρὸς ὑμᾶς παρὰ τοῦτο διαφθαρῆναι τὰ Κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὢν ἡγεμὼν ἐγὼ καὶ κατευημερηκὼς παρ' ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θρᾴκην ἡμᾶς ἰέναι Κερσοβλέπτου πολιορκουμένου καὶ διαμαρτύρασθαι Φιλίππῳ ταῦτα μὴ ποιεῖν, οὐκ ἠθέλησα, ἀλλ' ἐκαθήμην ἐν Ὠρεῷ, καὶ οἱ συμπρέσβεις, προξενίας κατασκευαζόμενοι. (90) Ἀκούσατε δὴ τῆς Χάρητος ἐπιστολῆς, ἣν ἐπέστειλε τότε τῷ δήμῳ, ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν καὶ Ἱερὸν ὄρος κατείληφε Φίλιππος ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος· Δημοσθένης δ' ἐν τῷ δήμῳ προήδρευε τούτου τοῦ μηνός, εἷς ὢν τῶν πρέσβεων, ἑβδόμῃ φθίνοντος.

ΕΠΙΣΤΟΛΗ.

91. Οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνός, ἀλλὰ μουνυχιῶνος ἐξωρμήσαμεν. Καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι· ἔστι γὰρ αὐτῆς ψήφισμα, ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους. Καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα.

ΨΗΦΙΣΜΑ.

Παρανάγνωθι δὴ καὶ τὸν χρόνον ὅστις ἦν.

ΧΡΟΝΟΣ.

92. Ἀκούετε ὅτι μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου. Ὁ δὲ Κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν ἀρχὴν πρὶν ἐμὲ ἀπιέναι; ὥς φησι Χάρης ὁ στρατηγὸς καὶ ἡ ἐπιστολή, τοῦ προτέρου μηνός, εἴπερ ἐλαφηβολιὼν ἐστι μουνυχιῶνος πρότερος. Ἐδυνάμην οὖν ἐγὼ σῶσαι Κερσοβλέπτην, ὃς πρὶν ἐμὲ ἐξορμᾶν οἴκοθεν ἀπωλώλει; Ἔπειτα οἴεσθέ τι τοῦτον ἀληθὲς εἰρηκέναι ἢ περὶ τῶν ἐν Μακεδονίᾳ πραχθέντων ἢ περὶ τῶν ἐν Θετταλίᾳ, ὃς τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων

ladium causis patres nostri auctores fuerunt: quum victimis secandis, eos qui suffragio superiores sunt, jurejurando obstringunt (idque vobis etiam nunc patrium est) eos judices vere justeque pronuntiasse, qui suffragium pro se tulerint, et nullum dixisse mendacium: quod ni ita fit, sibi et familiæ suæ exitium imprecantur; judicibus autem optima quæque et faustissima optant. (88) Idque rectissime, ac civiliter, Athenienses. Nam si nemo vestrûm est, qui justæ cædis in se piaculum admittere vellet, quanto magis injustam cavebitis, erepta alicui vita, aut re familiari, aut dignitate? ob quas res alii sibi manus attulerunt, alii publice perierunt. Non igitur veniam mihi dabitis, Athenienses, si eum cinædum appellaro, et hominem polluto corpore, ea etiam parte unde vocem edit, ac deinde reliquam accusationis partem de Cersoblepte evidenter falsam esse ostendero?

89. Iis enim, qui vocantur in crimen, res apud vos contingit mea opinione pulcherrima et utilissima. Etenim tempora, et decreta, et nomina eorum qui in suffragia miserunt, in publicis monumentis perpetuo asservatis. Dixit autem iste, eam esse causam, cur Cersobleptis res perierint, quod ego legationis dux, et secunda aura vestra usus, se nos in Thraciam ire jubente, quum Cersobleptes obsideretur, et cum contestatione Philippo interdicere ne ista faceret, noluerim, sed Orei sederim, ceterique legati, hospitia nobis conciliantes. (90) Audite igitur Charetis literas, quas misit ad populum, quibus continetur, Cersobleptem imperium amisisse, et Sacrum montem a Philippo occupatum esse die vicesimo quinto Elaphebolionis mensis: Demosthenes autem præses pro concione fuit ejusdem mensis die vicesimo quarto.

LITERÆ.

91. Neque vero reliquos dumtaxat hujus mensis dies morati, sed Munychione demum profecti sumus: cujus rei testem vobis senatum exhibebo. Senatusconsultum enim est, quod legatos ad exigendum jusjurandum abire jubet. Recita mihi senatusconsultum.

SENATUSCONSULTUM.

Etiam tempus recita, quodnam id fuerit.

TEMPUS.

92. Auditis, hoc fuisse decretum die tertio Munychionis. Cersobleptes autem quot diebus ante imperium amiserat, quam ego discederem? Ut Chares imperator et literæ indicant, priore mense, si modo Elaphebolion Munychione prior est. Ergone Cersobleptem ego conservare potui, qui ante me domo egressum perierat? Et putatis istum aliquid dixisse veri de rebus, sive in Macedonia, sive in Thessalia actis, qui contra curiam, contra publica monumenta, contra

γραμμάτων καὶ τοῦ χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; (93) Καὶ τὸν Κερσοβλέπτην Ἀθήνησι μὲν ἔκσπονδον ἐποίεις πρόεδρος ὤν, ἐν Ὠρεῷ δ' ἠλέεις; καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς, πρότερον δ' ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου οὐκ ἐπεξιὼν τῇ τοῦ τραύματος γραφῇ, ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ὄντα, ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν; καὶ σεμνολογεῖς ἡμῖν ὡς οὐκ εἰδόσι τούτοις ὅτι Δημοσθένους υἱὸς εἶ νόθος τοῦ μαχαιροποιοῦ;

94. Ἐπεχείρησας δ' εἰπεῖν ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβείαν ἐξομοσάμενος παρεπρέσβευσα, καὶ ψήφισμα τὸ μὲν ἀνέγνως, τὸ δὲ ὑπερέβης. Ἐγὼ δ' αἱρεθεὶς πρεσβευτὴς ἐπὶ τοὺς Ἀμφικτύονας, ἀρρώστως δ' ἔχων καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἧκον πρεσβείας πρὸς ὑμᾶς, τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην, ἀλλ' ὑπεσχόμην πρεσβεύσειν, ἐὰν ὦ δυνατός, πρὸς δὲ τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων, τὸν ἀδελφὸν τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν καὶ τὸν ἰατρὸν ἔπεμψα, (95) οὐκ ἐξομουμένους (οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι), ἀλλὰ τὴν ἀρρωστίαν μου δηλώσοντας. Ἐπειδὴ δὲ οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φωκέας συμβάντα ἀνέστρεψαν, γενομένης ἐκκλησίας ἤδη παρὼν καὶ δυνάμενος τῷ σώματι, προσαναγκάζοντος τοῦ δήμου μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας ἅπαντας, ἀψευδεῖν πρὸς Ἀθηναίους ᾤμην δεῖν. (96) Καὶ ταύτης τῆς πρεσβείας οὐ κατηγόρεις μου διδόντος τὰς εὐθύνας, ἀλλ' ἐπὶ ταύτην ἥκεις τὴν ἐπὶ τοὺς ὅρκους, ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι. Σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις μεταφέρειν τοὺς χρόνους, ἐμοὶ δ' ἐφεξῆς λέγειν, ἀναλαβόντι τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους.

97. Πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἑνδεκάτου δὲ τοῦ συμπεμφθέντος ἡμῖν ἀπὸ τῶν συμμάχων, οὐδεὶς αὐτῷ συσσιτεῖν, ὅτ' ἐξῄειμεν ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἤθελεν, οὐδὲ ἐν ταῖς ὁδοῖς, ὅπου δυνατὸν ἦν, εἰς ταὐτὸ πανδοχεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα. (98) Περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ οὐκ ἐγένετο μνεία· οὔτε γὰρ τὸ ψήφισμα τοῦθ' ἡμῖν προσέταττεν, ἀλλ' ἀπολαβεῖν μόνον τοὺς ὅρκους καὶ ἄλλ' ἄττα, οὔτ' ἐλθόντας πράττειν οὐδὲν ἐνεδέχετο, περὶ Κερσοβλέπτην ἤδη γεγενημένων ὧν ἀρτίως ἠκούσατε, οὔθ' οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται καὶ κατηγορεῖν οὐδὲν ἀληθὲς ἔχων τερατεύεται. (99) Συνηκολούθουν δ' αὐτῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες· ἐν δὲ τῷ ἑτέρῳ τούτων, ὡς αὐτὸς ἔφη, τάλαντον ἐνῆν ἀργυρίου. Ὥστε τοὺς συμπρέσβεις ἀναμιμνήσκεσθαι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ· ἐν παισὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ καὶ κιναιδίαν Βάταλος, ἐκ παίδων δὲ ἀπαλλαττόμενος καὶ δεκαταλάντους δίκας ἑκάστῳ τῶν ἐπιτρόπων λαγχάνων Ἀργᾶς ἐκλήθη, ἀνὴρ δὲ γενόμενος προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν, συκοφάντης.

tempus, contra populi conventus mentiatur? (93) Tu Cersobleptem Athenis fœdere excludebas, quum præses esses: ejusdem Orei te miserescebat? Nunc me corruptelæ accusas: prius autem mulctam ab Areopagitico senatu inflictam tolerasti, non persecutus vulneris actionem, qua reum feceras Demomelem Pæaniensem, consobrinum tuum, quum ipse tuum caput incidisses? Tamen verba fundis apud nos magnifica, quasi hi ignorent, te filium adulterinum esse Demosthenis gladiorum fabri?

94. Præterea dicere ausus es, me legatione Amphictyonica ejurata, officio non esse functum: ac decretum aliud recitasti, aliud transiliisti. Ego vero legatus ad Amphictyones creatus, quamvis infirma valetudine, magna tamen cum alacritate, eam, unde redieram, legationem apud vos renuntiavi, legationem autem non ejuravi, sed promisi me obiturum, si ullo modo possem: quum autem collegæ abscederent, ad senatum fratrem meum ejusque filium et medicum misi, (95) non meo nomine ejuraturos — neque enim lex sinit, populi suffragiis decreta munera in senatu ejurare —, sed infirmitatem meam indicaturos. Quum autem collegæ mei, Phocensi excidio audito, revertissent, habita concione, jam præsens, et corpore confirmato, quum populus nihilominus nos omnes qui primum delecti fueramus ad obeundam legationem adigeret, non danda esse verba Atheniensibus existimavi. (96) At illam quidem legationem, me rationes referente, non accusabas, hanc autem invadis, qua ad jusjurandum profectus sum: quam ego perspicue et jure optimo defendam. Nam tibi quidem et mentientibus omnibus est accommodatum, transferre tempora; mihi vero, ordine disserere, orationis initio repetito a profectione, et legatione propter exigendum jusjurandum suscepta.

97. Primum quum legati essent decem, atque undecimus accederet, is quem fœderati nobiscum miserant, nemo cum isto cibum capere, quum secunda legatione exiremus, voluit, neque in itinere, ubi vitari potuit, in eadem caupona divertere, quippe qui viderent, eum priore legatione omnibus insidiatum esse. (98) De itinere porro in Thraciam suscipiendo, nulla facta est mentio — neque enim decreto id nobis injungebatur, sed id duntaxat, ut jusjurandum exigeremus, ac alia quæpiam —, nec si suscepissemus, proficere quidquam potueramus, quum ita Cersobleptis res sese haberent, ut modo audivistis, neque iste quicquam veri dixit, sed mentitur, et quia verum nullum crimen objicere potest, præstigias agit. (99) Sequebantur autem eum homines duo, sarcinas lectulorum ferentes, in quarum altera, ut ipse aiebat, talentum argenti inerat. Itaque collegæ veterum ejus cognominum recordabantur. Nam puer dum esset, ob flagitium quoddam aut mollitiem Batalus est vocatus, quum pueritiam excessisset, et in suos tutores denûm talentûm actiones instituisset, Argas est appellatus, vir porro factus, commune omnium improborum cognomentum assumpsit, ut calumniator vocaretur. (100) Ibat

(100) Ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὡς ἔφη καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν, εἰδὼς μὲν Φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε Ἀθηναίων λύτρα πραξάμενον, ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων ὅτι καὶ τοὺς λοιπούς, ἐὰν εἰρήνη γένηται, ἀφήσει, πολλῶν δ' ἠτυχηκότων τάλαντον φέρων, ἑνὸς ἀνδρός, οὐδὲ τούτου λίαν εὐπόρου, ἱκανὰ λύτρα. (101) Ὡς δ' ἦμεν ἐν Μακεδονίᾳ καὶ συνήλθομεν εἰς ταὐτὸν καὶ Φίλιππον ἐκ Θρᾴκης παρόντα κατειλήφαμεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα καθ' ὃ ἐπρεσβεύσαμεν, καὶ τὰ προστεταγμένα ἡμῖν πρὸς τῷ τοὺς ὅρκους ἀπολαβεῖν συνηριθμούμεθα· ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους οὓς ἀναγκαῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι. (102) Καὶ πρὸς τῶν θεῶν, ὦ Ἀθηναῖοι, ὥσπερ καὶ τῆς κατηγορίας ἠκούσατε ὡς αὐτὸς ὁ κατήγορος ἐβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπολογίας εὐτάκτως ἀκούσατε, καὶ τὸν αὐτόν μοι τρόπον διαμείνατε ὅνπερ ἐξ ἀρχῆς ἐν τοῖς προειρημένοις ἤδη λόγοις ἠκροᾶσθε. Ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην, ὦ Ἀθηναῖοι, εἶπον συνειλεγμένων τῶν πρέσβεων ὅτι μοι δοκοίησαν τὸ μέγιστον πρόσταγμα τοῦ δήμου δεινῶς ἀγνοεῖν. (103) « Τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν καὶ περὶ τῶν ἄλλων διαλεχθῆναι καὶ περὶ τῶν αἰχμαλώτων εἰπεῖν, κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις περιθεῖσα πίστιν αὐτοῖς, ἅπαντ' ἂν πραχθῆναι νομίζω· τὸ δὲ ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι ὅσα καθ' ἡμᾶς ἐστιν ἢ Φίλιππον, τοῦτο ἤδη ἔργον ἐστὶ πρέσβεων φρονίμων. Λέγω δὲ » ἔφην ἐγὼ « περὶ τῆς εἰς Πύλας στρατείας, ἣν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. Ὅτι δὲ οὐ κακῶς στοχάζομαι περὶ τοῦ πράγματος, μεγάλα τούτων ὑμῖν σημεῖα δείξω. (104) Πάρεισι μὲν γὰρ Θηβαίων, ἥκουσι δὲ Λακεδαιμονίων πρέσβεις, ἀφίγμεθα δ' ἡμεῖς ἔχοντες τοῦ δήμου ψήφισμα, ἐν ᾧ γέγραπται « πράττειν δὲ τοὺς πρέσβεις καὶ ἄλλ' ὅ τι ἂν δύνωνται ἀγαθόν· » ἅπαντες δὲ οἱ Ἕλληνες πρὸς τὸ μέλλον ἔσεσθαι βλέπουσιν. Εἰ μὲν οὖν ἡγεῖτο ὁ δῆμος αὐτῷ καλῶς ἔχειν ἐξενεγκεῖν μετὰ παρρησίας πρὸς Φίλιππον, Θηβαίων μὲν περιελεῖν τὴν ὕβριν, Βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦτ' ἂν ἠξίωσεν ἐν τῷ ψηφίσματι· νῦν δὲ αὐτοῖς μὲν κατέλιπον τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν, ἂν μή τι πείθωσιν, ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν. (105) Δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν ἑτέρων χώραν πρέσβεων, οὓς ἐξῆν πέμπειν ἀνθ' ἡμῶν Ἀθηναίους, αὐτοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύγειν, ὧν εἷς ὢν Ἐπαμινώνδας, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαρρήδην ἐν τῷ πλήθει τῶν Θηβαίων ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας. » (106) Ταῦτα δ' ἐμοῦ μεταξὺ λέγοντος ἀναβοᾷ παμμέγεθες Δημοσθένης, ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν· καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς βοιωτιάζει. Ἦν δ' οὖν παρ' αὐτοῦ τοιαυτὶ τὰ λεγόμενα· « Ἄνθρωπος οὑτοσὶ ταραχῆς καὶ τόλμης ἐστὶ μεστός· ἐγὼ δὲ ὁμολογῶ μαλακὸς εἶναι καὶ τὰ δεινὰ

autem captivos, ut aiebat, redempturus, ut modo apud vos etiam dixit, quum sciret, Philippum a nemine Atheniensi captivo pretium unquam postulasse, et ex ejus amicis omnibus audiret, eum etiam reliquos, pace facta, dimissurum; et quum multi ea calamitate conflictati essent, ferebat talentum quo vix unus vir, nec is admodum locuples, redimi potuisset. (101) Ut autem in Macedoniam venimus, ac congressi sumus, et Philippum ex Thracia reversum deprehendimus, recitatum est decretum, ex quo legati missi eramus, et quæ in mandatis acceperamus de jurejurando exigendo, enumeravimus. Quum autem maximarum rerum mentionem fecisset nemo, sed de rebus minutioribus egissent omnes, orationem ego habui, quam necesse est apud vos exponi. (102) Obtestor autem vos, Athenienses, quemadmodum accusationem audivistis, ut ipse accusator verba facere voluit, ita etiam defensionem audiatis ordine eademque attentione operam mihi detis, qua superiora audivistis. Dixi enim, ut modo posui, Athenienses, in conventu legatorum, eos mihi visos esse præcipuum populi jussum omnino ignorare. (103) « Nam jusjurandum exigere, et ceteris de rebus agere, et de captivis eloqui, etiam si ministros urbs misisset, data eis auctoritate, illi videntur mihi rem omnem fuisse confecturi : summæ autem rerum recte consulere, quatenus eæ ad nos aut Philippum attinent, id vero cordatorum legatorum munus est. Dico autem, inquam, de expeditione, quam in Pylas apparari videtis, atque ostendam vobis magna signa, unde intelligatis, me ea de re non male conjectare. (104) Nam et Thebanorum legati adsunt, et Lacedæmoniorum adventant, et nos ex plebiscito advenimus, in quo scriptum est, Legati autem quicquid præterea boni possunt, agunto. Omnes porro Græci exspectatione eventus sunt suspensi. Quodsi populus se decere censuisset, libere in decreto promulgare, ut Philippus Thebanorum insolentiam compesceret, et Bœotias civitates instauret, hæc in decreto petiisset : nunc id sibi reliquit, ut rem ad incertum eventum referre possit, si legati non persuaserint, nostro autem periculo rem explorandam censuit. (105) Decet igitur eos, qui suam industriam reipublicæ probatam cupiunt, non eorum legatorum occupare locum, quos Atheniensibus nostro loco mittere licuisset; nos ipsos autem vitare offensionem Thebanorum. Quorum unus Epaminondas imperator, non perterritus auctoritate Atheniensium, apud Thebanos dixit, Atheniensis arcis propylæa transferenda esse ad Cadmeæ frontispicium. » (106) Hæc me dicente, maxima voce exclamat Demosthenes, ut sciunt omnes collegæ : nam præter cetera mala, etiam Bœotiis favet. Hæc vero ab isto afferebantur : « Homo iste est tumultus et audaciæ plenus. Ego vero me fateor esse mollem, et pericula, etiam dum longe absunt, per-

πόρρωθεν δεδιέναι, ἀπαγορεύω μέντοι μὴ συνταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις, τὸ μὴ πολυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδέν, τοῦτ' ἀγαθὸν ὑπολαμβάνων εἶναι. (107) Πορεύεται Φίλιππος εἰς Πύλας, ἐγὼ δὲ ἐγκαλύπτομαι. Οὐδείς με τῶν ὅπλων ἕνεκα τῶν Φιλίππου κρινεῖ, ἀλλ' ἂν εἴπω τι μὴ δέον ἢ πράξω τι τῶν μὴ προστεταγμένων. » Πέρας δὲ τοῦ πράγματος ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος ἕκαστος ἡμῶν, ὅ τι νομίζει συμφέρειν, τοῦτο λέγειν. Ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις καὶ τὴν μαρτυρίαν αὐτῶν λέγε.

ΜΑΡΤΥΡΙΑ.

108. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, συνελέχθησαν μὲν εἰς Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ Φίλιππος καὶ τοὺς Ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῄειμεν οὐ καθ' ἡλικίαν ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ, ὃ παρά τισιν εὐδοκίμει καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο, ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν. Φάσκων γὰρ νεώτατος εἶναι πάντων, τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινὶ (αἰνιττόμενος εἰς ἐμέ) προκαταλαβόντα τὰ Φιλίππου ὦτα τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. (109) Ἀρξάμενος δὲ τοῦ λέγειν, διαβολήν τινα ὑπειπὼν κατὰ τῶν συμπρέσβεων, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμένας εἰς Φίλιππον αὐτῷ, πρώτην μὲν τὴν ἐν τῷ ψηφίσματι τοῦ Φιλοκράτους συνηγορίαν, ὅτε ἔφευγε παρανόμων, ἐξεῖναι γράψας Φιλίππῳ πρέσβεις πρὸς Ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν· δεύτερον δὲ ὑπανέγνω τὸ ψήφισμα ὃ γεγραφὼς αὐτὸς ἦν, σπείσασθαι τῷ κήρυκι καὶ τῇ παρὰ Φιλίππου πρεσβείᾳ, τρίτον δὲ τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν τακταῖς ἡμέραις. (110) Καὶ προσέθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ, ὅτι πρῶτος ἐπιστομίσαι τοὺς τὴν εἰρήνην ἐκκλείοντας, οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις. Ἔπειθ' ἕτερον ἐπήγετο ψήφισμα, τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον, καὶ μετὰ ταῦτ' ἤδη τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ Διονύσια τοῖς πρέσβεσι τοῖς Φιλίππου ψήφισμα. (111) Καὶ προσέθηκε τὴν ἐπιμέλειαν τὴν ἐπ' αὐτοὺς καὶ προσκεφαλαίων θέσιν καὶ φυλακάς τινας καὶ ἀγρυπνίας διὰ τοὺς φθονοῦντας καὶ βουλομένους εἰς τὴν αὐτοῦ φιλοτιμίαν ὑβρίσαι, καὶ τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις τοὺς Φιλίππου, ὡς ἐμισθώσατ' αὐτοῖς, ὅτ' ἀπῄεσαν, ὀρικὰ ζεύγη καὶ συμπαρῄει ἐφ' ἵππου, οὐ καταδὺς εἰς τὸ σκότος ὥσπερ ἕτεροί τινες, ἀλλὰ φανερῶς ἐπιδεικνύμενος τὴν τῶν πραγμάτων θεραπείαν. (112) Ἐκεῖνα δὲ δὴ καὶ σφόδρα διωρθοῦτο· « Οὐκ εἶπον ὡς καλὸς εἶ· γυνὴ γὰρ τῶν ὄντων ἐστὶ κάλλιστον· οὐδ' ὡς δεινὸς συμπιεῖν, σπογγιᾶς τὸν ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι· οὐδ' ὡς μνημονικὸς εἶ, σοφιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολαβοῦντος ἐγκώμια εἶναι. » Ἵνα

timescere. Cavendum dico, ne nos urbes inter se committamus: atque id e re nostra esse puto, ne quid nos legati temere moveamus. (107) Proficiscitur Philippus ad Pylas? Ego me abscondo. Nemo me propter arma Philippi in judicium adducet, sed si quid dixero, quod non oportet, aut si quid egero, quod in mandatis non accepi. » Ut rem finiam, decreverunt collegæ, ut viritim quisque sententiam rogatus, quod e republica esse putaret, id diceret. Hæc ut a me vere dici constet, voca mihi collegas, eorumque recita testimonium.

TESTIMONIUM.

108. Postquam igitur legationes Pellam convenerant, ac Philippus aderat, et præco legatos Atheniensium vocabat, primum processimus, non observata ætate, ut in priore legatione, quod apud quosdam celebrabatur et ornamentum civitatis putabatur, sed pro Demosthenis impudentia. Nam quum se omnium natu minimum esse profiteretur, primas dicendi partes se nemini concessurum affirmabat, neque commissurum, ut quidam (me innuens), Philippi auribus occupatis, dicendi vices aliis præriperet. (109) Ut autem exorsus est, cum quadam collegarum criminatione, quos neque omnes iisdem de rebus, neque consentientibus animis adesse significabat, sua officia Philippo præstita commemorabat: primum, ut Philocratis decreto suffragatus esset, violatarum legum accusati, quum is scripsisset, licere Philippo legatos de pace Athenas mittere; deinde recitavit decretum quod ipse scripserat, pacem faciendam cum caduceatore et legatis a Philippo missis; denique illud, ut populus intra certos dies de pace deliberaret. (110) Ac talem verbis suis significationem interjecit, se primum iis, qui pacem excluderent, os obturasse, non verbis, sed temporibus. Deinde aliud decretum adduxit, quo scripsisset, deliberandum esse populo de ineunda societate. Post aliud decretum de Philippi legatis, principem eis locum dandum Bacchanalibus. (111) Et adjecit, quantæ sibi curæ illi fuissent, ut cervicalia apponi curasset, suamque custodiam et vigilias commemoravit, propter invidos, qui splendorem suum contumeliis afficere cupivissent. Adjecit illa etiam maxime ridenda, quorum collegas ita pudebat, ut faciem obtegerent: ut Philippi legatos hospitio excepisset, ut eis discessuris bigas mulorum conduxisset, et equo eos comitatus esset, non in tenebras demersus, ut alii quidam, sed aperte ostendisset observantiam et studium suum. (112) Illa vero demum vehementer etiam corrigebat, se non dixisse Philippum esse formosum; nihil enim esse muliere formosius: neque potando eum valere; quod eam laudem spongiæ esse existimaret: neque memoria pollere; quod eam putaret rhetoris mercenarii esse commendationem. Ne longum faciam, ejusmodi

δὲ μὴ μακρολογῶ, τοιαῦτ' ἦν ἃ ἔλεγε παρόντων τῶν πρέσβεων ὡς ἔπος εἰπεῖν ἐξ ἁπάσης τῆς Ἑλλάδος, ἐφ' οἷς γελῶντες οὐχ οἱ τυχόντες ἐγένοντο. (113) Ἐπειδὴ δέ ποτ' ἐπαύσατο καὶ σιωπὴ ἐγένετο, ἠναγκαζόμην ἐγὼ λέγειν μετὰ τοιαύτην ἀπαιδευσίαν καὶ κολακείας 43 αἰσχρᾶς ὑπερβολήν. Καὶ μικρὰ προεῖπον ἐξ ἀνάγκης πρὸς τὴν προειρημένην κατὰ τῶν συμπρέσβεων ὑπ' αὐτοῦ διαβολήν, λέγων ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι πρέσβεις οὐχ ἀπολογησομένους ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν, ἀλλ' οἴκοθεν ἐκ τοῦ βίου δεδοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι. (114) Βραχέα δ' ὑπὲρ τῶν ὅρκων προειπὼν ἐφ' οὓς ἥκομεν ἀποληψόμενοι, καὶ περὶ τῶν ἄλλων ἃ προσετάξατε ὑμεῖς διεξῄειν· ὁ γὰρ περιττὸς κἀν τοῖς λόγοις δεινὸς Δημοσθένης οὐδενὸς τῶν ἀναγκαίων ἐμνήσθη· καὶ δὴ καὶ περὶ τῆς εἰς Πύλας στρατείας εἶπον καὶ περὶ τῶν ἱερῶν καὶ περὶ Δελφῶν καὶ περὶ τῶν Ἀμφικτυόνων, καὶ μάλιστα μὲν Φίλιππον ἠξίουν μὴ μεθ' ὅπλων, ἀλλὰ μετὰ ψήφου καὶ κρίσεως τάκεῖ καθιστάναι, εἰ δ' ἄρα μὴ δυνατὸν εἴη (τοῦτο δ' ἦν πρόδηλον· τὸ γὰρ στρατόπεδον παρῆν καὶ συνηθροιστο), εἶπον ὅτι τὸν μέλλοντα ὑπὲρ Ἑλληνικῶν ἱερῶν βουλεύεσθαι πολλὴν προσήκει πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν καὶ τοῖς περὶ τῶν πατρίων ἐγχειροῦσι διδάσκειν προσέχειν τὸν νοῦν. (115) Ἅμα δ' ἐξ ἀρχῆς διεξῆλθον τὴν κτίσιν τοῦ ἱεροῦ καὶ τὴν πρώτην σύνοδον γενομένην τῶν Ἀμφικτυόνων, καὶ τοὺς ὅρκους αὐτῶν ἀνέγνων, ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις μηδεμίαν πόλιν τῶν Ἀμφικτυονίδων ἀνάστατον ποιήσειν μηδ' ὑδάτων ναματιαίων εἵρξειν μήτ' ἐν πολέμῳ μήτ' ἐν εἰρήνῃ, ἐὰν δέ τις ταῦτα παραβῇ, στρατεύσειν ἐπὶ τοῦτον καὶ τὰς πόλεις ἀναστήσειν, καὶ ἐάν τις ἢ συλᾷ τὰ τοῦ θεοῦ ἢ συνειδῇ τι ἢ βουλεύσῃ τι κατὰ τῶν ἱερῶν, τιμωρήσειν καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πάσῃ δυνάμει· καὶ προσῆν τῷ ὅρκῳ ἀρὰ ἰσχυρά. (116) Τούτων δὲ ἀναγνωσθέντων ἀπεφηνάμην ὅτι ἐμοὶ δοκεῖ δίκαιον εἶναι μὴ περιορᾶν κατεσκαμμένας τὰς ἐν Βοιωτοῖς πόλεις. Ὅτι δ' ἦσαν Ἀμφικτυονίδες καὶ ἔνορκοι, κατηριθμησάμην ἔθνη δώδεκα τὰ μετέχοντα τοῦ ἱεροῦ, Θετταλούς, Βοιωτούς (οὐ Θηβαίους μόνους), Δωριέας, Ἴωνας, Περραιβούς, Μάγνητας, [Δόλοπας,] Λοκρούς, Οἰταίους, Φθιώτας, Μαλιεῖς, Φωκεῖς. Καὶ τούτων ἔδειξα ἕκαστον ἔθνος ἰσόψηφον γινόμενον, τὸ μέγιστον τῷ ἐλάττονι, τὸν ἥκοντα ἐκ Δωρίου καὶ Κυτινίου ἴσον δυνάμενον Λακεδαιμονίοις (δύο γὰρ ψήφους ἕκαστον φέρει ἔθνος), πάλιν ἐκ τῶν Ἰώνων τὸν Ἐρετριέα καὶ Πριηνέα τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους κατὰ ταὐτά. (117) Τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης ὁσίαν καὶ δικαίαν ἀπεφηνάμην εἶναι· συλλεγέντων δὲ τῶν Ἀμφικτυόνων εἰς τὸ ἱερὸν καὶ τυχόντων σωτηρίας καὶ ψήφου τοὺς αἰτίους τῆς ἐξ ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ δίκης ἠξίουν τυχεῖν, μὴ τὰς πατρίδας αὐτῶν, ἀλλ' αὐτοὺς τοὺς χειρουργήσαντας καὶ βουλεύσαντας, τὰς δὲ πόλεις παρεχούσας εἰς κρίσιν τοὺς ἀδικήσαντας ἀζημίους εἶναι. « Εἰ δ' ἐπεξελθὼν δυνάμει βεβαιώσεις τὰ Θη-

erant ea quæ dicebat, præsentibus legatis, ut breviter complectar, totius Græciæ, unde risus maximus concitabatur. (113) Ut autem aliquando finierat, factoque silentio, ego post tantam rusticitatem et tam insignem adulationem dicere cogebar, necessario pauca præfatus sum de calumnia collegis facta : missos esse nos ab Atheniensibus legatos, non ut in Macedonia causam ipsi diceremus, sed domi judicio de nobis facto, quod digni essemus civitate. (114) Pauca item de jurejurando sum præfatus, cujus exigendi gratia venissemus, ceterasque res, quas nobis mandaveratis, exposui — nam copiosus et eloquentia præstans Demosthenes nullius rei necessariæ meminerat —, itaque et de expeditione ad Pylas feci mentionem, et de sacris, et de Delphis et Amphictyonibus; in primis autem a Philippo petii, ut res eas non vi et armis, sed suffragio et judicio constitueret. Quodsi fieri non posset — ut dubium non erat, quum exercitus convenisset, atque in procinctu staret —, dicebam, ei, qui de sacris Græcanicis deliberaturus esset, magnam religionis curam esse suscipiendam, et iis, qui de patriis ritibus docere vellent, auscultandum. (115) Eademque opera a primordio commemorabam, ut templum ædificatum esset, ut Amphictyones principio convenissent, eorumque jusjurandum recitabam, quo veteres obstricti essent, se nullam urbem Amphictyonicam eversuros, neque aqua profluente prohibituros, sive pace sive bello; quodsi quis contra fecisset, ei se bellum illaturos, et urbes eorum excisuros. Si quis vero Apollinem vel spoliaret, vel conscius esset illius injuriæ, vel consilium daret contra templum, eum se ulturos et pede et manu et voce et omnibus viribus. Annexam etiam esse jurijurando atrocem exsecrationem. (116) His recitatis, pronuntiabam justum videri mihi, ne Bœotiæ urbes eversas jacere pateremur, ut quæ et Amphictyonicæ essent, et jurejurando comprehensæ. Enumerabam porro gentes duodecim, quæ templi participes essent, Thessalos, Bœotios (non Thebanos solos), Dorienses, Ionas, Perrhæbos, Magnetes, [Dolopes,] Locrenses, Œtæos, Phthiotas, Malienses, Phocenses : et harum gentium unamquamque demonstrabam par suffragii jus habere, maximam idem quod minimam, eum qui venisset Dorio et Cytinio, tantum valere quantum Lacedæmonios (binum enim quamque gentem suffragium ferre); ex Ionibus item Eretriensem et Prienensem, quantum Athenienses, ac ceteros eodem modo. (117) Principium igitur expeditionis illius pronuntiabam oportere justum esse. Ubi ergo Amphictyones in templo convenissent, ac securitatem et suffragium adepti essent, eos qui auctores fuissent templi principio occupandi, in judicium adducendos censebam, non patrias eorum, sed eos ipsos qui manum admovissent et consilium dedissent, urbes autem, quæ facinorosos exhibuissent, indemnes esse oportere. « Sin armis rem exsecutus, injurias Thebanorum confirmabis, ab iis

βαίων ἀδικήματα, παρ' ὧν μὲν βοηθεὶς οὐκ ἀπολήψῃ χάριν (οὐ γὰρ ἂν δύναιο αὐτοὺς τηλικαῦτα εὐεργετῆσαι ἡλίκα Ἀθηναῖοι πρότερον, ὧν οὐ μέμνηνται), οὓς δ' ἐγκαταλείψεις, ἀδικήσας χρήσῃ ἐχθροῖς μείζοσιν, ἀλλ' οὐ φίλοις.»

118. Ἵνα δὲ μὴ διατρίβω τοὺς ἐκεῖ λόγους ῥηθέντας νῦν πρὸς ὑμᾶς ἀκριβῶς διεξιών, ἐν κεφαλαίῳ περὶ πάντων εἰπὼν παύσομαι. Ἡ μὲν τύχη καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι, ἐγὼ δὲ τῆς εἰς ὑμᾶς εὐνοίας καὶ τῶν λόγων. Παρ' ἐμοῦ μὲν οὖν ἐρρήθη τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῖν, ἀπέβη δὲ οὐχ ὡς ἡμεῖς ηὐχόμεθα, ἀλλ' ὡς Φίλιππος ἔπραξε. Πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἐργάσασθαι ἀγαθὸν δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν ὧν ἦν δυνατὸς ἐλλείπων; Ἐν δὲ τῷ παρόντι νυνὶ πολλὰ διὰ τὸν καιρὸν παραλείπω.

119. Εἶπε δὲ ὡς ἐψευδολόγουν φάσκων ὀλίγων ἡμερῶν τὰς Θήβας ἔσεσθαι ταπεινάς, καὶ τοὺς Εὐβοέας ὡς ἐφόβουν προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς. Ὃ δὲ ποιεῖ, καταμάθετε, ὦ Ἀθηναῖοι. Ἐγὼ γὰρ παρὰ Φιλίππῳ μὲν ὢν ἠξίωσα, πρὸς δ' ὑμᾶς ἥκων ἀπήγγελλον
44 ὅτι τὰς Θήβας Βοιωτίαν δίκαιον ἡγοίμην εἶναι καὶ μὴ τὴν Βοιωτίαν Θήβας. Τοῦτο οὐκ ἀπαγγεῖλαι, ἀλλ' ὑποσχέσθαι μέ φησιν. (120) Ἔλεγον δὲ πρὸς ὑμᾶς ὅτι Κλεοχάρης ὁ Χαλκιδεὺς θαυμάζειν ἡμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁμόνοιαν, ὡς καὶ τὸ προστεταγμένον ἡμῖν, πράττειν ἀγαθὸν ὅ τι ἂν δυνώμεθα, ἐν τῷ ψηφίσματι· τοὺς γὰρ μικροπολίτας, ὥσπερ αὐτούς, φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα. Ταῦτα οὐ διηγήσασθαί μέ φησιν, ἀλλ' ἐπηγγέλθαι τὴν Εὔβοιαν παραδώσειν. Ἐγὼ δὲ ὑπειλήφειν δεῖν τὴν πόλιν τὴν ὑπὲρ τῶν ὅλων μέλλουσαν βουλεύεσθαι μηδενὸς λόγου Ἑλληνικοῦ ἀνήκοον εἶναι.

121. Διέβαλλε δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον, ὡς ἀπαγγέλλειν τἀληθῆ βουλόμενος ὑπ' ἐμοῦ καὶ Φιλοκράτους κωλυθείη. Ἐγὼ δ' ὑμᾶς ἡδέως ἂν ἐροίμην εἴ τις πώποτε Ἀθηναίων πρεσβευτὴς ἐκπεμφθεὶς ἐφ' οἷς πεπρέσβευκε κεκώλυται πρὸς τὸν δῆμον ἀπαγγέλλειν, καὶ ταῦτα παθὼν καὶ ἀτιμασθεὶς ὑπὸ τῶν συμπρέσβεων τούτους ἔγραψεν ἐπαινέσαι καὶ καλέσαι ἐπὶ δεῖπνον. Δημοσθένης τοίνυν ἥκων ἀπὸ τῆς ὑστέρας πρεσβείας, ἐν ᾗ φησι τὰ τῶν Ἑλλήνων πράγματα ἀνατραπῆναι, οὐχ ἐν τῷ ψηφίσματι μόνον ἡμᾶς ἐπῄνει, (122) ἀλλ' ἀπαγγείλαντος πρὸς τὸν δῆμον ἐμοῦ τοὺς περὶ τῶν Ἀμφικτυόνων λόγους καὶ Βοιωτῶν, οὐχ ὥσπερ νῦν συντέμνοντος οὐδ' ἐπειγομένου, ἀλλ' ὡς ἐδυνάμην κατὰ ῥῆμα ἀκριβέστατα, καὶ τοῦ δήμου σφόδρα ἀποδεχομένου, παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν ἄλλων συμπρέσβεων, καὶ διερωτώμενος εἰ τἀληθῆ καὶ ταὐτὰ ἀπαγγέλλω πρὸς Ἀθηναίους ἅπερ πρὸς Φίλιππον εἶπον, πάντων μαρτυρούντων καὶ ἐπαινούντων με τῶν συμπρέσβεων ἐπαναστὰς ἐπὶ πᾶσιν οὐκ ἔφη με, ὥσπερ ἐκεῖ εἶπον, οὕτως ἐν τῷ παρόντι λέγειν, ἀλλ' ἐκεῖ διπλασίως ἄμεινον. Καὶ τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν ἐστέ μοι μάρτυρες. (123) Καίτοι τίς ἂν αὐτῷ καλλίων και-

quos juveris gratiæ non referentur (neque enim tanta in eos possis conferre beneficia, quanta olim contulerunt Athenienses, quorum illi immemores sunt); quos vero deserueris, eos injuria affectos hostes potius majores, quam amicos babebis. »

118. Ne vero sermonibus illic habitis accurate apud vos commemorandis immorer, ubi summatim de omnibus dixero, desinam. Penes fortunam et Philippum rerum gerendarum fuit auctoritas; penes me, benevolentiæ erga vos et orationis habendæ potestas. Ea porro a me dicta sunt, quæ dici fuit æquum, quæque e re vestra fuerunt : eventus autem is consecutus est, qui non optatis nostris, sed Philippi actis respondit. Utrum igitur æquius est auctoritate florere, eumne, qui ne studuit quidem commodare quicquam, an eum, qui nihil quod potuit prætermisit? Nunc autem, propter tempora, multa prætermitto.

119. Dixit autem, mentitum esse me, quum profiterer intra paucos dies Thebas fore humiles; et me Eubœensibus terrorem incussisse, quum vos spe aliqua producerem. Quid autem faciat, cognoscite, Athenienses. Ego dum apud Philippum essem, petii, quum ad vos reverterer, renuntiavi, censere me, esse æquum ut Thebæ essent Bœotiæ, non, ut Bœotia Thebarum esset. Hoc iste me non renuntiasse, sed promisisse ait. (120) Dixi autem apud vos, Cleocharem Chalcidensem dixisse, mirari se vestram et Philippi subitam concordiam, atque illam etiam mandatorum nostrorum ex decreto clausulam, agendum esse nobis quicquid præterea possimus boni. Nam qui parvorum, ut ipsi, oppidorum essent cives, iis terrori esse arcana majorum civitatum. Hæc iste me non renuntiasse ait, sed promisisse, Philippum vobis Eubœam traditurum. Ego vero in ea eram opinione, urbem de summa rerum deliberaturam, nullam non a Græcis habitam orationem audire oportere.

121. Illam etiam orationem insidiosa distinctione calumniatus est, se, vera renunciaturum, a me et Philocrate esse prohibitum. Ego vero vos rogatos volo, an unquam quisquam Atheniensium legatus prohibitus fuerit, quominus acta sua populo renuntiaret, idque per collegas, et ab iisdem contumeliis affectus, tamen scripserit, eos laudandos et ad cœnam invitandos. Demosthenes autem a posteriore legatione reversus, qua statum Græciæ queritur eversum, non decreto dumtaxat nos laudavit, (122) sed quum apud populum renuntiassem habitam de Amphictyonibus orationem, deque Bœotiis, non per compendium et festinationem, ut nunc, sed quam accuratissime potui, totidem verbis, eamque populus vehementer approbasset, advocatus a me et collegis, et accurate rogatus de singulis, utrum vera et eadem renuntiarem apud Athenienses, quæ apud Philippum dixissem, omnibus legatis attestantibus et me collaudantibus, surrexit post omnes, et dixit, me non, quemadmodum in præsentia dicerem, tunc etiam dixisse, sed illic duplo melius. Horum vos, qui suffragia feretis, testimonium mihi perhibebitis (123) Enimvero quæ pulchrior ei dari potuit occasio redar-

ρὸς ἐγένετο ἢ τότ' ἐξελέγχειν εὐθύς, εἴ τι τὴν πόλιν ἐξηπάτων; Φὴς γάρ με ἐν μὲν τῇ πρώτῃ πρεσβείᾳ λαθεῖν σαυτὸν συνεστηκότα ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ ὑστέρᾳ αἰσθέσθαι, ἐν ᾗ συναγορεύων μοι φαίνῃ. Κἀκείνης μὲν ἅμα κατηγορῶν οὐ φῂς κατηγορεῖν, τῆς δ' ἐπὶ τοὺς ὅρκους κατηγορεῖς. Καίτοι εἰ τὴν εἰρήνην ψέγεις, σὺ καὶ τὴν συμμαχίαν ἔγραψας· καὶ Φίλιππος εἴ τι τὴν πόλιν ἐξηπάτα, διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης ἧπερ συνέφερεν αὐτῷ τύχοι. Οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν, ἡ δ' ὑστέρα ἐπὶ πεπραγμένοις ἐγίνετο.

124. Τίνες οὖν ἦσαν αἱ ἀπάται; ταῦτα γὰρ τοῦ γόητος ἀνθρώπου ἐξ ὧν εἴρηκε λογίσασθε. Εἰσπλεῖν μέ φησιν ἐν μονοξύλῳ πλοίῳ κατὰ τὸν Λυδίαν ποταμὸν τῆς νυκτὸς ὡς Φίλιππον, καὶ τὴν ἐπιστολὴν τὴν δεῦρο ἐλθοῦσαν Φιλίππῳ γράψαι. Ὁ μὲν γὰρ Λεωσθένης, ὁ φεύγων ἐνθένδε διὰ τοὺς συκοφάντας, οὐ δυνατὸς ἦν ἐπιδεξίως ἐπιστολὴν γράψαι, ὃν οὐκ ὀκνοῦσί τινες ἀποφαίνεσθαι μετὰ Καλλίστρατον τὸν Ἀφιδναῖον τῶν ἄλλων μάλιστα εἰπεῖν δύνασθαι· (125) οὐδ' αὐτὸς ὁ Φίλιππος, πρὸς ὃν ἀντειπεῖν Δημοσθένης ὑπὲρ ὑμῶν οὐκ ἠδυνήθη· οὐδ' ὁ Βυζάντιος Πύθων, ἄνθρωπος περὶ τὸ γράφειν λόγους μέγα φρονῶν· ἀλλ' ὡς ἔοικε, τὸ πρᾶγμα ἐμοῦ προσεδεῖτο. Καὶ λέγεις μὲν ὅτι Φιλίππῳ μεθ' ἡμέραν πολλάκις μόνος μόνῳ διελεγόμην, αἰτιᾷ δὲ εἰσπλεῖν με νύκτωρ κατὰ τὸν ποταμόν· οὕτω νυκτερινῆς ἐπιστολῆς τὸ πρᾶγμα ἐδεῖτο. (126) Ὅτι δ' οὐδὲν ἀληθὲς λέγεις, ἥκουσι μὲν μαρτυρήσοντες μεθ' ὧν συνεσίτουν, Ἀγλαοκρέων ὁ Τενέδιος καὶ Ἰατροκλῆς ὁ Πασιφῶντος, μεθ' ὧν ἑξῆς ἅπαντα τὸν χρόνον τὰς νύκτας ἀνεπαυόμην, οἳ συνίσασιν ἐμοὶ μηδεμίαν πώποτε ἀπ' αὐτῶν νύκτα ἀπογενομένῳ, μηδὲ μέρος νυκτός· ἄγωμεν δὲ καὶ τοὺς οἰκέτας καὶ παραδιδῶμεν εἰς βάσανον. Καὶ τὸν μὲν λόγον, εἰ συγχωρήσει ὁ κατήγορος, καταλύω· παρέσται δὲ ἤδη ὁ δήμιος καὶ βασανιεῖ ἐναντίον ὑμῶν, ἂν κελεύητε. Ἐνδέχεται δὲ τὸ λοιπὸν μέρος τῆς ἡμέρας ταῦτα πρᾶξαι· πρὸς ἕνδεκα γὰρ ἀμφορέας ἐν διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι. (127) Κἂν φῶσιν ἀπόκοιτόν με τουτωνὶ πώποτε τῶν συσσίτων βασανιζόμενοι γεγονέναι, μὴ φείσησθέ μου, ὦ Ἀθηναῖοι, ἀλλ' ἀναστάντες ἀποκτείνατε. Ἐὰν δ' ἐξελεγχθῇς ψευδόμενος, Δημόσθενες, τοιαύτην δίκην δός· ὁμολόγησον ἀνδρόγυνος εἶναι καὶ μὴ ἐλεύθερος ἐναντίον τούτων. Κάλει μοι τοὺς οἰκέτας δεῦρο ἐπὶ τὸ βῆμα, καὶ τὴν τῶν συμπρέσβεων ἀναγίνωσκε μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ. ΠΡΟΚΛΗΣΙΣ.

128. Ἐπειδὴ τοίνυν οὐ δέχεται τὴν πρόκλησιν οὐδ' ἄν φησιν ἐν βασάνοις ἀνδραπόδων γενέσθαι, λαβέ μοι τὴν ἐπιστολὴν ταύτην, ἣν ὁ Φίλιππος ἔπεμψε. Δῆλον γὰρ ὅτι μεγάλα τὴν πόλιν παραλογίζεται, δι' ἣν ἠγρυπνοῦμεν γράφοντες.

guendi mei, quam tum statim, si qua in re urbem decipiebam? Ais, prima legatione te non animadvertisse meam contra rempublicam conspirationem, sed in posteriore intellexisse, in qua te patrocinari mihi constat. Et quum illam interim accuses, accusationem tamen dissimulas: hanc vero accusas, qua jusjurandum exegimus. Atqui si pacem vituperas, tu etiam societatem decrevisti: Et Philippus, si qua in re urbem decipiebat, propterea mentiebatur, ut eam consequeretur pacem, quæ e re sua esset. Hæc igitur ratio prioris legationis fuit: posterior autem, rebus jam confectis facta est.

124. Quæ igitur in ea fraudes fuerunt? nam quantus iste sit impostor, ex ejus oratione colligitur. Ait, me noctu per Lydiam amnem celoce ad Philippum trajecisse, et literas quæ huc missæ sunt, Philippo scripsisse. Nimirum Leosthenes, qui propter calumniatores urbe exulat, non satis habuit dexteritatis ad scribendas literas; quamvis sint qui dicant, eum post Callistratum Aphidnæum omnium esse eloquentissimum; (125) neque ipse Philippus contra quem vos Demosthenes defendere non potuit; neque Byzantius Pytho, homo qui scribendi artem laudi sibi ducit: sed mea scilicet opera ad rem conficiendam opus erat. Alias dicis, me sæpe interdiu solum cum solo Philippo esse collocutum; alias criminaris, me noctu fluvium trajecisse: usque adeo nocturnis literis fuit opus. (126) Te autem nihil dicere veri, adsunt qui testentur, ii cum quibus victu communi sum usus, Aglaocreo Tenedius, et Iatrocles Pasiphontis filius, cum quibus omni tempore continenter singulis noctibus dormivi, qui conscii sunt, me nullam unquam noctem aut noctis partem a se abfuisse. Adducimus etiam famulos, et ad quæstionem damus, ac orationem, si concesserit accusator, omitto. Adesto autem carnifex jam, et coram vobis torqueat, si jusseritis. Satis adhuc diei reliquum est ad hæc peragenda: nam distributo diei tempore, ad undecim aquæ amphoras accusor. (127) Quodsi in quæstione dixerint, me unquam ab his convictoribus ullam noctem abfuisse, ne parcitote mihi, Athenienses, sed surgite, meque occiditote. Sin tu, Demosthenes, mendacii convictus fueris, has dato pœnas: confitere coram his, et semivirum esse, et non ingenuum. Accerse mihi servos huc ad tribunal, et collegarum recita testimonium.

TESTIMONIUM. PROVOCATIO.

128. Quando autem provocationem repudiat, neque se commissurum ait, ut ipse pendeat e mancipiorum quæstione: cape has literas, quas Philippus misit. Nimirum fieri non potest quin magnis in rebus civitatem decipiant literæ, ob quas scribendas nobis lucubrandum fuit.

ΕΠΙΣΤΟΛΗ.

129. Ἀκούσατε, ὦ ἄνδρες, ὅτι « τοὺς ὅρκους ἀπέδωκα » φησὶ « τοῖς ὑμετέροις πρέσβεσι, » καὶ τῶν συμμάχων τῶν ἑαυτοῦ τοὺς παραγενομένους κατ' ὄνομα γέγραφε, καὶ αὐτοὺς καὶ τὰς πόλεις αὐτῶν, τοὺς δ' ὑστερήσαντας τῶν συμμάχων ἀποστελεῖν φησι πρὸς ὑμᾶς. Ταῦτ' οὖν οὐκ ἂν οἴεσθε δύνασθαι γράψαι Φίλιππον μεθ' ἡμέραν ἄνευ ἐμοῦ;

130. Ἀλλ' ἔμοιγε νὴ τοὺς θεοὺς οὑτοσὶ δοκεῖ τοῦτο μόνον λογίζεσθαι, ὅπως μεταξὺ λέγων εὐδοκιμήσει· εἰ δὲ μικρὸν ἐπισχὼν δόξει πονηρότατος τῶν Ἑλλήνων εἶναι, οὐδὲ μικρὸν φροντίζει. Τί γὰρ ἄν τις τοιούτῳ πιστεύσειεν ἀνθρώπῳ, ὃς ἐγκεχείρηκε λέγειν ὡς Φίλιππος οὐ τοῖς αὑτοῦ στρατηγήμασιν, ἀλλὰ ταῖς ἐμαῖς δημηγορίαις εἴσω Πυλῶν παρῆλθε; Καὶ λογισμόν τινα ἡμερῶν συνηριθμεῖτο πρὸς ὑμᾶς ἐν αἷς ἐγὼ μὲν ἀπήγγελλον τὴν πρεσβείαν, οἱ δὲ Φαλαίκου τοῦ Φωκέων τυράννου δρομοκήρυκες τἀνθένδε ἐκεῖσε διήγγελλον, πιστεύσαντες δὲ οἱ Φωκεῖς ἐμοὶ εἴσω Πυλῶν αὐτὸν παρεδέξαντο καὶ τὰς πόλεις τὰς αὑτῶν παρέδοσαν. (131) Ταῦτα μὲν οὖν ὁ κατήγορος μεμηχάνηται, τὰ δ' ἐν Φωκεῦσι διεφθάρη πράγματα πρῶτον μὲν διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία, ἔπειτα διὰ τὸ μῆκος τοῦ χρόνου καὶ τὸν δεκαετῆ πόλεμον. Τὸ γὰρ αὐτὸ ηὔξησέ τε τῶν ἐν Φωκεῦσι τυράννων τὰ πράγματα καὶ καθεῖλε· κατέστησαν μὲν γὰρ εἰς τὴν ἀρχὴν τολμήσαντες τῶν ἱερῶν χρημάτων ἅψασθαι καὶ διὰ ξένων τὰς πολιτείας μετέστησαν, κατελύθησαν δ' ἀπορίᾳ χρημάτων, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα. (132) Τρίτον δ' αὐτοὺς καθεῖλεν ἡ τοῖς ἀπορουμένοις στρατοπέδοις συνήθως παρακολουθοῦσα στάσις, τέταρτον δ' ἡ Φαλαίκου περὶ τῶν μελλόντων ἔσεσθαι πραγμάτων ἄγνοια. Ἡ μὲν γὰρ Θετταλῶν καὶ Φιλίππου στρατεία πρόδηλος ἦν, οὐ πολλῷ δὲ χρόνῳ πρότερον πρὶν ἢ τὴν πρὸς ἡμᾶς εἰρήνην γενέσθαι πρέσβεις πρὸς ὑμᾶς ἦλθον ἐκ Φωκέων, βοηθεῖν αὐτοῖς κελεύοντες καὶ ἐπαγγελλόμενοι παραδώσειν Ἄλπωνον καὶ Θρόνιον καὶ Νίκαιαν, τὰ τῶν παρόδων τῶν εἰς Πύλας χωρία κύρια. (133) Ψηφισαμένων δ' ὑμῶν παραδοῦναι Προξένῳ τῷ στρατηγῷ τοὺς Φωκέας ταῦτα τὰ χωρία καὶ πεντήκοντα πληροῦν τριήρεις καὶ τοὺς μέχρι τριάκοντα ἔτη γεγονότας ἐξιέναι, ἀντὶ τοῦ παραδοῦναι τὰ χωρία Προξένῳ ἔδησαν οἱ τύραννοι τοὺς πρέσβεις τοὺς ἐπαγγελλομένους ὑμῖν παραδώσειν τὰ φυλακτήρια, καὶ τοῖς σπονδοφόροις τοῖς τὰς μυστηριώτιδας σπονδὰς ἐπαγγέλλουσι μόνοι τῶν Ἑλλήνων Φωκεῖς οὐκ ἐσπείσαντο. Καὶ πάλιν Ἀρχιδάμου τοῦ Λάκωνος παραλαμβάνειν ὄντος ἑτοίμου τὰ χωρία καὶ φυλάττειν, οὐκ ἐπείσθησαν, ἀλλ' ἀπεκρίναντο αὐτῷ τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι καὶ μὴ τὰ παρ' αὐτοῖς. (134) Κἀνταῦθα οὔπω διελέλυσθε Φιλίππῳ, ἀλλ' ἐν τῇ αὐτῇ ἡμέρᾳ περί τε τῆς εἰρήνης ἐβουλεύεσθε καὶ τῆς ἐπιστολῆς ἠκούετε τῆς Προξένου ὅτι Φωκεῖς οὐ παραδεδώκασιν αὐτῷ τὰ χωρία, καὶ οἱ τὰ μυστήρια

LITERÆ.

129. Audite, Athenienses: « Dedi, ait, jusjurandum vestris legatis; » et socios suos qui adfuerint, nominatim quum ipsos, tum urbes eorum inscripsit, eos vero socios qui non adfuerint, pollicetur se ad vos missurum esse. Hæc ergo putatis Philippum non interdiu scribere potuisse sine me?

130. Sed ita me dii ament, isti non aliud curæ esse apparet, nisi ut interim dum verba facit, eloquentiæ gloriam consequatur; an vero paullo post omnium Græcorum improbissimus sit perhibendus, pro nihilo putat. Quid enim tali homini quisquam credat, qui dicere non veritus est, Philippum non suis artibus imperatoriis, sed meis concionibus intra Pylas penetrasse? Atque etiam numerum dierum iniit apud vos, intra quos ego legationem renuntiarim, et Phalæci, Phocensium tyranni, præcones cursorii decreta nostra illuc renuntiarint, et Phocenses me freti illum intra Pylas receperint, atque urbes suas ei tradiderint. (131) Et hæc quidem commentus est accusator, res autem Phocensium interierunt, primum per fortunam, quæ omnibus dominatur; deinde propter spatium temporis et decennale bellum — eadem enim res Phocensium tyrannorum opes et auxit et destruxit; nam imperium susceperunt, quum ausi essent sacram pecuniam invadere, et peregrinorum militum opera respublicas mutassent; tandem interierunt inopia pecuniæ, quum eam omnem in stipendia militum insumsissent —; (132) tertio loco eos evertit seditio, quæ exercitus penuria laborantes comitari solet; quarto loco Phalæci futurarum rerum ignoratio. Nam Thessalorum quidem et Philippi expeditio in conspectu erat, non multo autem ante quam pax vobiscum iniretur, legati Phocensium ad vos venerant, auxilia petentes, et vobis se traditures pollicentes Alponum, Thronium et Nicæam, quæ loca qui obtinent transitu Pylarum potiuntur. (133) Quum vero vos decrevissetis, ea loca Proxeno duci vestro a Phocensibus tradenda esse, et quinquaginta triremes complendas, et iis qui intra trigesimum ætatis annum essent in aciem exeundum, tyranni ea loca Proxeno adeo non tradiderunt, ut legatos, qui se arces illas vobis tradituros promiserant, in vincula conjecerint, et cum fecialibus, qui mysteriorum Eleusiniorum inducias per Græciæ urbes annuntiabant, soli Græcorum Phocenses pacisci recusaverint. Deinde quum Archidamus Laco paratus esset loca illa accipere ac tueri, non assenserunt, sed ei responderunt, se Spartæ pericula timere et non sua ipsorum. (134) Eo autem tempore nondum inter vos et Philippum convenerat, sed eodem die et de pace deliberabatis, et Proxeni literas audiebatis, quibus significabatur, Phocenses loca illa non tradidisse, et ii qui mysteria

ἐπαγγέλλοντες μόνους τῶν ἄλλων Ἑλλήνων ἀπέφηναν 46 Φωκέας οὐ δεδεγμένους τὰς σπονδάς, ἀλλὰ καὶ τοὺς δεῦρο ἐληλυθότας πρέσβεις δεδηκότας. Ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι τοὺς σπονδοφόρους καὶ τοὺς παρὰ Προξένου τοῦ στρατηγοῦ πρεσβεύσαντας εἰς Φωκέας, Καλλικράτην καὶ Μεταγένην. Καὶ τῆς ἐπιστολῆς ἀκούσατε τῆς Προξένου.

ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΗ.

135. Ἀκούετε, ὦ Ἀθηναῖοι, τῶν χρόνων παραναγινωσκομένων ἐκ τῶν δημοσίων γραμμάτων καὶ τῶν μαρτύρων ἡμῖν προσδιαμαρτυρησάντων, ὅτι πρὶν ἐμὲ χειροτονηθῆναι πρεσβευτὴν Φάλαικος ὁ τῶν Φωκέων τύραννος ὑμῖν μὲν καὶ Λακεδαιμονίοις ἠπίστει, Φιλίππῳ δ' ἐπίστευεν.

136. Ἀλλ' οὗτος μόνος τὸ συμβησόμενον ἠγνόει; ὑμεῖς δὲ αὐτοὶ δημοσίᾳ πῶς διέκεισθε; οὐ πάντες προσεδοκᾶτε Φίλιππον ταπεινώσειν Θηβαίους ὁρῶντα αὐτῶν τὴν θρασύτητα, καὶ τὸ μὴ βούλεσθαι δύναμιν ἀνθρώπων ἀπίστων ἐπαυξῆσαι; Λακεδαιμόνιοι δὲ οὐ μεθ' ἡμῶν τἀναντία Θηβαίοις ἐπρέσβευον, καὶ τελευτῶντες προσέκρουον φανερῶς ἐν Μακεδονίᾳ καὶ διηπείλουν τοῖς τῶν Θηβαίων πρέσβεσιν; αὐτοὶ δὲ οὐκ ἠπόρουν καὶ ἐφοβοῦντο οἱ τῶν Θηβαίων πρέσβεις; Θετταλοὶ δὲ οὐ κατεγέλων τῶν ἄλλων, ὑπὲρ αὑτῶν φάσκοντες τὴν στρατείαν εἶναι; (137) τῶν δ' ἑταίρων τινὲς τῶν Φιλίππου οὐ διαρρήδην πρός τινας ἡμῶν ἔλεγον ὅτι τὰς ἐν Βοιωτοῖς πόλεις κατοικιεῖ Φίλιππος; Θηβαῖοι δ' οὐκ ἐξεληλύθεσαν πανδημεί, ἀπιστοῦντες τοῖς πράγμασιν; ὑμῖν δὲ ταῦθ' ὁρῶν οὐκ ἔπεμψεν ἐπιστολὴν ὁ Φίλιππος ἐξιέναι πάσῃ τῇ δυνάμει βοηθήσοντας τοῖς δικαίοις; οἱ δὲ νῦν πολεμικοὶ καὶ τὴν εἰρήνην ἀνανδρίαν καλοῦντες οὐ διεκώλυσαν ὑμᾶς ἐξελθεῖν, εἰρήνης καὶ συμμαχίας ὑμῖν γεγενημένης, δεδιέναι φάσκοντες μὴ τοὺς στρατιώτας ὑμῶν ὁμήρους λάβῃ Φίλιππος; (138) Πότερον οὖν ἐγὼ τοὺς προγόνους ἐκώλυσα τὸν δῆμον μιμεῖσθαι, ἢ σὺ καὶ οἱ μετὰ σοῦ συνεστηκότες ἐπὶ τὰ κοινά; καὶ πότερον ἦν ἀσφαλεστέρα καὶ καλλίων Ἀθηναίοις ἡ ἔξοδος ἡνίκα ἤκμαζον ἐν τῇ μανίᾳ Φωκεῖς, ἐπολέμουν δὲ Φιλίππῳ, εἶχον δὲ Ἄλπωνον καὶ Νίκαιαν οὔπω παραδόντος Φαλαίκου Μακεδόσι, τὰς σπονδὰς δέ, οἷς ἐμέλλομεν βοηθεῖν, τὰς μυστηριώτιδας οὐκ ἐδέχοντο, Θηβαίους δ' ὄπισθεν κατελείπομεν, ἢ μεταπεμπομένου μὲν Φιλίππου, ὅρκων δ' ἡμῖν καὶ συμμαχίας γεγενημένης, Θετταλῶν δὲ καὶ τῶν ἄλλων Ἀμφικτυόνων στρατευόντων; (139) Οὐ πολλῷ καλλίων οὗτος ἦν ὁ καιρὸς ἐκείνου, ἐν ᾧ διὰ τὴν σὴν ἀνανδρίαν καὶ ἅμα φθόνον ἐσκευαγώγησαν ἐκ τῶν ἀγρῶν Ἀθηναῖοι, πρεσβεύοντος ἐμοῦ τὴν τρίτην ἤδη πρεσβείαν ἐπὶ τὸ κοινὸν τῶν Ἀμφικτυόνων, ἐφ' ἣν τολμᾷς με λέγειν ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ' ὢν οὔπω καὶ τήμερον ἠθέληκάς με εἰσαγγεῖλαι παραπρεσβεύσασθαι; οὐ γὰρ δὴ φθονεῖς γέ μοι τῶν εἰς τὸ σῶμα τιμημάτων. (140) Τοιγάρτοι Θηβαίων μὲν παρακαθημένων καὶ δεομένων, τῆς δ' ἡμετέρας πό-

annuntiaverant, indicabant, solos inter ceteros Græcos Phocenses fœdus non admisisse, sed etiam legatos, qui huc profecti essent, in vincula conjecisse. Quæ ut vere a me dici constet, accerse feciales, et Callicratem ac Metagenem, quos Proxenus dux ad Phocenses legatos misit. Audite item literas Proxeni.

TESTIMONIA. LITERÆ.

135. Auditis, Athenienses, una etiam tempora recitari ex publicis monumentis, testes quoque dixisse, priusquam ego legatus crearer, Phalæcum, Phocensium tyrannum, nobis et Lacedæmoniis diffisum, Philippo credidisse.

136. Numquid vero iste solus, quid eventurum esset, ignorabat? Imo vos ipsi publice quomodo affecti fuistis? nonne omnes exspectabatis, fore ut Philippus Thebanos opprimeret, quippe quorum et audaciam videret, et perfiderum hominum potentiam augeri nollet. Nonne Lacedæmonii legati una cum vestris, Thebanis refragabantur, ac tandem aperto odio eos in Macedonia lacessebant, et legatis illorum minitabantur? nonne vero ipsi æstuabant, et de sese pertimuerant legati Thebanorum? nonne Thessali ceteros deridebant, et sua causa illam expeditionem susceptam esse jactabant? (137) nonne vero quidam amicorum Philippi aperte ad vestrûm quosdam dicebant, Philippum Bœotiæ urbes instauraturum esse? nonne Thebani omnes suas copias eduxerunt, diffisi rebus suis? Nonne Philippus ea quum videret, vos per literas cum omnibus copiis exire jubebat, pro æquitatis defensione? Nonne vero isti qui nunc bellicosi sunt et pacem ignaviam vocant, vos prohibuerunt ne exiretis, quamvis pax et societas facta esset, se vereri dicentes ne Philippus milites vestros obsides caperet? (138) Utrum igitur ego populum prohibui majores imitari, an tu, et ii qui tecum contra rempublicam conspirarunt? Utra porro expeditio tutior fuit et honestior Atheniensibus? eane, quum Phocensium summa audacia erat, quum Philippo resisterent, quum Alponum et Nicæam tenerent, nec dum ea loca Phalæcus Macedonibus tradidisset: quum inducias mysteriorum ii, quibus suppetias ituri eramus, repudiassent; quum Thebanos a tergo reliquissemus; quum a Philippo accerseremur, jurejurando et societate cum eo nobis intercedente; quum Thessali et ceteri Amphictyones militarent? (139) Nonne hæc occasio longe fuit honestior illa, qua propter et ignaviam et invidentiam tuam Athenienses res suas ex agris in urbem convexerunt, quum ego jam tertiam legationem obirem apud concilium Amphictyonum, quam tu me obiisse non delectum, dicere non dubitas: et tamen quum inimicus mihi sis, hactenus nunquam ausus es me falsæ hujus legationis accusare? neque enim scilicet mihi mulctas invides, quæ corpore sunt luendæ. (140) Itaque quum Thebani (Philippo in Pylæa) assiderent, eumque orarent (ut Phocenses delere vellet), quum nostra urbs propter te metu vano perturbata esset,

λεως διὰ σὲ τεθορυβημένης καὶ τῶν Ἀθηναίων ὁπλιτῶν οὐ παρόντων, Θετταλῶν δὲ Θηβαίοις προσθεμένων διὰ τὴν ὑμετέραν ἀβουλίαν καὶ τὴν πρὸς Φωκέας ἔχθραν, ἣ προϋπῆρχε Θετταλοῖς ἐκ παλαιῶν χρόνων ὅτε αὐτῶν τοὺς ὁμήρους λαβόντες Φωκεῖς κατηλόησαν, Φαλαίκου δὲ πρὶν ἐμὲ ἐλθεῖν καὶ Στέφανον καὶ Δερκύλον καὶ τοὺς Ἀμφικτύονας πρέσβεις ἀπεληλυθότος ὑποσπόνδου, (141) Ὀρχομενίων δὲ περιφόβων ὄντων καὶ σπονδὰς τοῖς σώμασιν αἰτησάντων ὥστε ἀπελθεῖν ἐκ τῆς Βοιωτίας, παρεστηκότων μὲν τῶν Θηβαίων πρέσβεων, ὑπολειπομένης δ' ἔχθρας φανερᾶς Φιλίππῳ πρὸς Θηβαίους καὶ Θετταλούς, τότε ἀπώλοντο αἱ πράξεις οὐ δι' ἐμέ, ἀλλὰ διὰ τὴν σὴν προδοσίαν καὶ τὴν πρὸς Θηβαίους προξενίαν. Μεγάλα δ' οἶμαι τούτων ἐγὼ σημεῖα ἐπιδείξειν. (142) Εἰ γάρ τι τούτων ἀληθὲς ἦν ὧν σὺ λέγεις, κατηγόρουν ἄν μου Βοιωτοὶ καὶ Φωκέων οἱ φεύγοντες, ὧν τοὺς μὲν ἐξεβεβλήκειν, τοὺς δ' ἐκώλυσα κατελθεῖν· νῦν δ' οὐχὶ τὰ συμβάντα λογιζόμενοι, ἀλλὰ τὴν εὔνοιαν τὴν ἐμὴν ἀποδεχόμενοι, συλλεγέντες οἱ φεύγοντες Βοιωτῶν ᾕρηνταί μοι συνηγόρους, ἥκουσι δ' ἀπὸ τῶν ἐν Φωκεῦσι πόλεων πρέσβεις, οὓς ἐγὼ τὴν τρίτην πρεσβείαν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβεύων ἔσωσα Οἰταίων ἐγχειρούντων λέγειν ὡς δεῖ τοὺς ἡβῶντας ὠθεῖν κατὰ τοῦ κρημνοῦ, καὶ παρήγαγον εἰς τοὺς Ἀμφικτύονας ὥστε ἀπολογίας τυχεῖν. Ὁ μὲν γὰρ Φάλαικος ὑπόσπονδος ἀφεῖτο, οἱ δὲ ἀναίτιοι ἀποθνήσκειν ἔμελλον, συναγορεύοντος δ' ἐμοῦ διεσώθησαν. (143) Ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι Μνάσωνα τὸν Φωκέα καὶ τοὺς συμπρέσβεις καὶ τοὺς ἀπὸ τῆς τῶν Βοιωτῶν φυγῆς ᾑρημένους. Ἀνάβηθι δεῦρο, Λίπαρε καὶ Πύθων, καὶ τὴν αὐτὴν ἀπόδοτέ μοι χάριν εἰς τὴν τοῦ σώματος σωτηρίαν ἥνπερ ἐγὼ ὑμῖν.

ΣΥΝΗΓΟΡΙΑ ΒΟΙΩΤΩΝ ΚΑΙ ΦΩΚΕΩΝ.

Πῶς οὖν οὐκ ἂν δεινὰ πάθοιμι, εἰ κατηγοροῦντος μὲν Δημοσθένους τοῦ Θηβαίων προξένου καὶ πονηροτάτου τῶν Ἑλλήνων, συναγορευόντων δέ μοι Φωκέων καὶ Βοιωτῶν ἁλοίην;

144. Ἐτόλμησε δ' εἰπεῖν ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω. Φησὶ γάρ με εἰπεῖν, ὅτ' ἔκρινον Τίμαρχον, ὅτι πάντες κατ' αὐτοῦ τὴν τῆς πορνείας φήμην παρειλήφασι, τὸν δ' Ἡσίοδον ποιητὴν ἀγαθὸν ὄντα λέγειν,

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα λαοὶ
πολλοὶ φημίζωσι· θεός νύ τίς ἐστι καὶ αὐτή·

τὴν δ' αὐτὴν ταύτην θεὸν ἥκειν νῦν κατηγοροῦσαν ἐμοῦ· πάντας γὰρ λέγειν ὡς χρήματα ἔχω παρὰ Φιλίππου. (145) Εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι πλεῖστον διαφέρει φήμη καὶ συκοφαντία. Φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ, διαβολὴ δὲ ἀδελφόν ἐστι καὶ συκοφαντία. Διοριῶ δ' αὐτῶν ἑκάτερον σαφῶς. Φήμη μέν ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ ὡς γεγενημένην πρᾶξιν· συκοφαντία δ' ἐστίν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν

quum Atheniensium legiones non adessent, quum Thessali se cum Thebanis conjunxissent, propter vestram cunctationem atque odium Phocensium, quod ab antiquis temporibus in eos gerebant, quod Phocenses eorum obsides acceptos fustibus ad mortem cecidissent, quum Phalæcus ante meum, Stephani, Dercyli ceterorumque legatorum, qui ad Amphictyonas missi erant, adventum per inducias dimissus esset, (141) quum Orchomenii metu perterriti, salute corporibus suis pacta, polliciti essent, se Bœotia excessuros, quum Thebanorum legati astarent, quum aperte inimicitiæ Philippi erga Thebanos et Thessalos restarent : tum res perierunt, non propter me, sed per tuam proditionem et amicitiam cum Thebanis. Harum ego rerum me magna argumenta prolaturum arbitror. (142) Nam si quid eorum quæ tu dicis, verum esset, Bœotii et Phocensium exules me accusarent, quorum alios ejecissem, alios ab exilio revocari prohibuissem. Nunc non eventu considerato, sed studio meo comprobato, Bœotiorum exulum concilium advocatos mihi creavit. Adsunt et e Phocensium urbibus legati, quos ego tertia ad Amphictyonas legatione conservavi, quum Œtæi censerent, puberes de rupe præcipitandos esse, atque ad Amphictyonas adduxi, ut eis dicendi pro se potestas daretur. Nam Phalæcus tyrannus certis conditionibus dimissus erat, hominibus autem insontibus exitium imminebat, qui me patrocinante sunt conservati. (143) Ut autem vera me dicere constet, voca mihi Mnasonem Phocensem, ejusque legationis collegas, et eos qui a Bœotio exilio sunt delecti. Ascendite huc, Lipare et Pytho, eandemque ad vitæ incolumitatem mihi gratiam referte, quam ego vobis contuli.

ADVOCATIO BŒOTIORUM ET PHOCENSIUM.

Non vero inique mecum ageretur, si accusante me Demosthene, Thebanorum procuratore, ac Græcorum improbissimo, Phocensibus autem et Bœotiis mihi patrocinantibus, condemnarer?

144. Ausus porro est dicere, meis ipsius verbis me convinci. Ait enim me dixisse, quum Timarchum accusarem, omnes impudicitiæ famam de eo accepisse; Hesiodum autem præstantem poetam dicere,

Quam populi sermo celebrat creber, irrita nunquam
Fama cadit penitus, dea quædam quum sit et ipsa.

Eandem igitur deam nunc venire me accusatum; omnes enim dicere, me pecuniam accepisse a Philippo. (145) Satis autem scitis, Athenienses, inter famam et calumniam plurimum interesse. Fama enim cum criminatione nihil habet commune : criminatio vero et calumnia germanæ sunt sorores. Quarum utramque perspicue definiam. Fama est, quum multitudo civium ultro, nulla de causa, de re aliqua loquitur, quasi facta sit : calumnia vero est, quum unus vir apud multos crimine conjecto, tam in concionibus

ἐμβαλὼν ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις πρός τε τὴν βουλὴν διαβάλλῃ τινά. Καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν ὡς θεῷ, τῶν δὲ συκοφαντῶν ὡς κακούργων δημοσίᾳ προβολὰς ποιούμεθα. Μὴ οὖν σύναγε εἰς ταὐτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις.

146. Ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων ἠγανάκτησα, μάλιστα δὲ ἡνίκα ᾐτιᾶτό με εἶναι προδότην· ἅμα γὰρ ταῖς αἰτίαις ταύταις φανῆναί με δεῖ θηριώδη καὶ τὴν ψυχὴν ἄστοργον καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασι πρότερον ἔνοχον. Τοῦ μὲν οὖν ἐμοῦ βίου καὶ τῆς καθ' ἡμέραν διαίτης ὑμᾶς δοκιμαστὰς ἱκανοὺς εἶναι νομίζω· ἃ δ' ἐστὶ τοῖς μὲν πολλοῖς ἀσύνοπτα τοῖς δὲ χρηστοῖς τὰς ψυχὰς μέγιστα, τούτων ὑμῖν τὰ πλεῖστα καὶ καλῶς ἔχοντα ἐκ τῶν ἐμῶν ὁρᾶν ἀναβιβῶμαι, ἵν' εἰδῆτε τὰς ἐμὰς παρακαταθήκας, ἃς οἴκοι καταλιπὼν εἰς Μακεδονίαν ἐπρέσβευσα. (147) Σὺ μὲν γάρ, ὦ Δημόσθενες, ταῦτα ἐπλάσω ἐπ' ἐμέ, ἐγὼ δ' ὡς ἐπαιδεύθην καὶ δικαίως ἐξηγήσομαι. Οὑτοσὶ μέν μοί ἐστι πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος τῶν πολιτῶν· ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτταρα, καὶ συμβέβηκεν αὐτῷ νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι δὲ ὑπὸ τῶν τριάκοντα στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ, ἀριστεύειν δ' ἐν τοῖς κινδύνοις, εἶναι δ' ἐκ φρατρίας τὸ γένος ἣ τῶν αὐτῶν βωμῶν Ἐτεοβουτάδαις μετέχει, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια, συγκατάγειν δὲ τὸν δῆμον, ὥσπερ καὶ ὀλίγῳ πρότερον εἶπον. (148) Ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι καὶ τοὺς πρὸς μητρὸς ἅπαντας, ἣ νῦν ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας καὶ διηπορημένη. Καίτοι, ὦ Δημόσθενες, ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ αὑτῆς ἀνδρὸς εἰς Κόρινθον καὶ μετέσχε τῶν πολιτικῶν κακῶν· σὺ δὲ ἀμφισβητῶν ἀνὴρ εἶναι (οὐ γὰρ ἂν τολμήσαιμι εἰπεῖν ὡς ἀνὴρ εἶ) ἐνεγράφης λειποταξίου καὶ τὸν γραψάμενον, Νικόδημον τὸν Ἀφιδναῖον, χρήμασι πείσας ἐσώθης, ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας καὶ οὐ καθαρὸς ὢν τὰς χεῖρας εἰς τὴν ἀγορὰν ἐμβάλλεις. (149) Φιλοχάρης δ' οὑτοσὶ ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ ἀγεννεῖς διατριβὰς (ὡς σὺ βλασφημεῖς) ἔχων, ἀλλ' ἐν γυμνασίοις διατρίβων καὶ μετὰ Ἰφικράτους συνεστρατευμένος καὶ συνεχῶς ἔτος ἤδη τουτὶ τρίτον στρατηγῶν ἥκει δεησόμενος ὑμῶν ἐμὲ σῶσαι. Ἀφόβητος δ' οὑτοσὶ ὁ νεώτατος ἀδελφὸς ἡμῶν, πεπρεσβευκὼς μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως πρὸς τὸν τῶν Περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν ὑμετέρων προσόδων ἐπιμεληθεὶς ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος κατὰ τοὺς νόμους, ἀλλ' οὐ Κνωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων ὥσπερ σύ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν· τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. (150) Ἐτόλμησας δὲ καὶ κατὰ τῶν κηδεστῶν ἐμῶν εἰπεῖν· οὕτως ἀναιδὴς καὶ πόρρωθεν ἀχάριστος εἶ, ὃς Φιλόδημον τὸν Φίλωνος πατέρα καὶ Ἐπικράτους οὐκ ἀγαπᾷς οὐδὲ προσκυνεῖς,

omnibus, quam apud senatum, aliquem criminatur. Ac Famæ quidem sacra publice facimus, ut deæ : de calumniatoribus autem, tanquam maleficis publice conqueri licet. Noli igitur conjungere turpissima cum honestissimis.

146. Ego vero, quum alia multa in accusatione iniquo animo tuli, tum vero illud, quum me proditionis insimulavit. Nam una cum his criminibus ostendendum est, me esse ferum atque impium, et multis aliis criminibus olim constrictum. Sed ego vos meæ vitæ ac quotidianæ consuetudinis idoneos existimo censores : quæ vero vulgo perspici non satis possunt, hominibus autem animo liberali præditis sunt maxima, horum ego plurima quum recte se habeant apud me, in conspectum producam, ut sciatis, quæ pignora, quum hinc legatus irem in Macedoniam, post me reliquerim. (147) Tu quidem, Demosthenes, ista contra me commentus es : ego vero ut educatus sim, vere exponam. Hic pater meus est Atrometus, fere natu maximus omnium civium : annos enim jam vixit quattuor et nonaginta. Accidit autem ut adolescens, ante rem familiarem bello amissam, pugilem ageret, post a triginta tyrannis ejectus, in Asia militaret, atque in prœliis victoriam cum laudis insignibus consequeretur. Ejus porro genus est ex ea curia, quæ aras cum Eteobutadis communes habet, unde Minervæ urbanæ sacrificula deligitur. Ad hæc, ut paulo prius dixi, populi in patriam reducendi adjutor fuit. (148) Præterea materni cognati mei omnes ingenui sunt, quæ mihi nunc ob oculos versatur, sollicita de salute mea, et inops consilii. Enimvero, Demosthenes, mater mea cum suo marito Corinthum abiit exulatum, et publicorum malorum particeps fuit. Tu autem, qui te virum profiteris — valde enim dubito an vir sis appellandus — inscriptus es ut ordinum desertor, et accusatore Nicodemo Aphidnæo pecunia placato evasisti, cujus postea Aristarcho adjutor fuisti occidendi, et quum manus cæde inquinatas habeas, in forum irrumpis. (149) Philochares porro frater meus natu maximus, qui non degeneri studio occupatur, ut tu conviciaris, sed in gymnasiis versatur, et cum Iphicrate militavit, et tertium jam annum continenter est cum imperio, adest, oraturus vos, uti me conservetis. Aphobetus autem, frater meus natu minimus, legationem pro vobis apud regem Persarum obiit, pro dignitate civitatis, vestrosque reditus recte justeque curavit, quum eum publicis vectigalibus præfecissetis, et legitimos liberos procreavit, non, ut tu, suam uxorem Cnosioni ad stuprum obtulit, atque adstat, contemptis conviciis tuis. Falsum enim probrum ultra aures non penetrat. (150) Ausus etiam es in affines meos dicere, adeo impudens es, et veteris beneficii immemor atque ingratus, qui Philodemum, Philonis patrem et Epicratis, non diligas et adores, cujus opera in

δι' ὃν εἰς τοὺς δημότας ἐνεγράφης, ὡς ἴσασιν οἱ πρεσβύτατοι Παιανιέων. Ἐκπέπληγμαι δὲ εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι δικάσοντες ἕνεκα τοῦ βελτίστου τῆς πόλεως καὶ μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν ἢ τοῖς λόγοις. (151) Πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς εὔξασθαι, μυρίους ὁπλίτας ὁμοίους Φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω διακειμένους καὶ τὴν ψυχὴν οὕτω σώφρονας, ἢ τρισμυρίους κιναίδους οἵους περ σύ; Καὶ τὴν Ἐπικράτους εὐαγωγίαν τοῦ Φίλωνος ἀδελφοῦ ἐπανάγεις εἰς ὀνείδη. Καὶ τίς αὐτὸν εἶδε πώποτε ἀσχημονήσαντα ἢ μεθ' ἡμέραν, ὡς σὺ φῄς, ἐν τῇ πομπῇ τῶν Διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν τοῦτό γ' εἴποις, ὡς ἔλαθεν· οὐ γὰρ ἠγνοεῖτο. (152) Ἐμοὶ δέ, ὦ Ἀθηναῖοι, ἐκ τῆς Φιλοδήμου θυγατρὸς καὶ Φίλωνος ἀδελφῆς καὶ Ἐπικράτους τρεῖς παῖδές εἰσι, μία μὲν θυγάτηρ, δύο δὲ υἱεῖς· οὓς ἐγὼ ἥκω μετὰ τῶν ἄλλων κομίζων ἑνὸς ἐρωτήματος ἕνεκα καὶ τεκμηρίου πρὸς τοὺς δικαστάς, ᾧ νῦν ἤδη χρήσομαι. Ἐρωτῶ γάρ, ὦ Ἀθηναῖοι, εἰ δοκῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι καὶ τῇ τῶν φίλων συνηθείᾳ καὶ ἱερῶν καὶ τάφων πατρῴων μετουσίᾳ τούτους τοὺς πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ, καὶ περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τούτων σωτηρίας ποιήσασθαι. Ποίᾳ κρατηθεὶς ἡδονῇ; ἢ τί πώποτε ἄσχημον ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ Μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις· οὐδ' ἐσμὲν ἕτεροί τινες ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ἐξεπέμψατε.

153. Συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν ἀνθρώπῳ γόητι καὶ πονηρῷ, ὃς οὐδ' ἂν ἄκων ἀληθὲς οὐδὲν εἴποι. Ἡγεῖται δ' ὅταν τι ψεύδηται τῶν λόγων ὅρκος κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν, κᾆτα οὐ γεγενημένα οὐ μόνον ὡς ἔστι λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν ἐν ᾗ φησὶ γενέσθαι· καὶ προστίθησιν ἅμα τινὸς ὄνομα πλασάμενος, ὃς ἔτυχε παρών, μιμούμενος τοὺς τἀληθῆ λέγοντας. Ἓν δὲ εὐτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες, ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου καὶ τῇ τῶν ὀνομάτων συνθέσει νοῦν οὐκ ἔχει. Σκέψασθε γὰρ ἀφροσύνην ἅμα καὶ ἀπαιδευσίαν ἀνθρώπου, ὃς τοιοῦτον ἔπλασε τὸ περὶ τὴν Ὀλυνθίαν γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ὑφ' ὑμῶν ἐξερρίφη· τὸν γὰρ πλεῖστον ἀφεστηκότα τῶν τοιούτων πρὸς τοὺς εἰδότας διέβαλλε. (154) Σκέψασθε δὲ ὡς πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην παρεσκευάζετο. Ἔστι γάρ τις ἐπιδημῶν Ἀριστοφάνης Ὀλύνθιος· τούτῳ συσταθεὶς ὑπό τινων καὶ πυθόμενος ὡς εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν καὶ προσαγαγόμενος ἔπειθεν ἐμοῦ τὰ ψευδῆ καταμαρτυρεῖν πρὸς ὑμᾶς, κἂν παρελθὼν ἐθελήσῃ σχετλιάσαι καὶ λέγειν ὡς εἰς οἰκείαν αὐτοῦ γυναῖκα καὶ αἰχμάλωτον γεγενημένην πεπαρῴνηκα, πεντακοσίας μὲν ἤδη δραχμὰς ὑπισχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας δ' ἑτέρας, ἐπειδὰν καταμαρτυρήσῃ. (155) Ὁ δ' αὐτῷ ἀπεκρίνατο, ὡς αὐτὸς διηγεῖτο, ὅτι τῆς μὲν φυγῆς καὶ τῆς παρούσης ἀπορίας αὐτῷ οὐ κακῶς ἀλλ' ὡς οἷόντε

municipes es inscriptus, ut e Pæaniensibus natu maximi meminerunt. Itaque stupore quodam afficior, si tu Philoni conviciari audes, idque apud modestissimos Atheniensium, qui huc ingressi sunt, publici boni causa jus dicturi, vitasque nostras spectant magis quam orationes. (151) Utrum enim eos censes optare, ut decem millia militum exsistant, qui sint similes Philonis, et corporibus sic affecti, et animis ita modesti; an vero tricies mille cinædi, qualis tu es? Atque etiam Epicratis tractabilitatem, fratris Philonis, loco probri commemoras. Et quis eum unquam vidit indecore se gerentem vel interdiu, ut tu ais, in celebritate Bacchanalium, vel noctu? neque enim dicere potes, eum latuisse. Neque enim ignotus fuit. (152) Mihi vero, Athenienses, ex Philodemi filia, Philonis et Epicratis sorore, tres nati sunt liberi, una filia, et filii duo. Quos ego cum ceteris affero, unius interrogationis ergo, et argumenti apud judices, quo nunc utar. Rogo enim vos, Athenienses, num videar vobis una cum patria et amicorum consuetudine et sacris, et patriorum monumentorum communione, hos omnium mortalium mihi carissimos prodidisse Philippo, et pluris fecisse illius amicitiam quam salutem horum. Qua victus voluptate? Aut quod unquam dedecus pecuniæ causa in me suscepi? Neque enim Macedonia bonos aut malos facit, sed suum quemque ingenium. Neque alii sumus a legatione reversi, sed tales, quales nos ablegastis.

153. Sed implicatus sum in republica cum mirifico præstigiatore, et insigni prædito improbitate, qui ne invitus quidem veri quicquam dicat. Quum autem mentitur, primum orationis locum tenet jusjurandum quod per impudentes suos oculos pejorat. Deinde vero quæ facta non sunt, non modo facta esse dicit, sed et diem quo facta esse ait, adjicit, et fictitium alicujus nomen adjungit qui interfuerit, ut eos qui vera loquuntur imitetur. Sed una res nobis insontibus est præsidio, quod in istis morum præstigiis et compositione fabularum mentem non habet. Nam quanta sit hominis vecordia simul et inscitia, ex eo æstimate, quod ejusmodi mendacium contra me de Olynthia muliere commentus est, ut inter dicendum a vobis ejiceretur. Eum enim, qui ab ejusmodi crimine remotissimus esset, apud eos qui vitam illius perspectam haberent, criminabatur. (154) Videte autem quam longe ante ad crimen istud se pararit. Est quidam frequentare nostram urbem solitus Aristophanes Olynthius. Is quum isti a quibusdam esset commendatus, atque illud etiam adjectum esset, dicendi esse peritum, hominem omni obsequiorum genere demereri studuit, atque adducere, ut falso me apud vos testimonio opprimeret. Quodsi progressus miserabili gestu, dicere vellet, me mulieri suæ captivæ insultasse, statim ei se quingentas drachmas daturum pollicebatur, atque alias quingentas post dictum falsum testimonium. (155) Ille autem ei respondit, ut ipse narrabat, eum, quod ad exilium attineret atque inopiam qua urgeretur, non mala,

ἄριστα στοχάζοιτο, τοῦ δὲ τρόπου πλεῖστον εἴη διημαρτηκώς· οὐδὲν γὰρ ἂν τοιοῦτον πρᾶξαι. Ὅτι δὲ ἀληθῆ λέγω, αὐτὸν Ἀριστοφάνην μαρτυροῦντα παρέξομαι. Κάλει μοι Ἀριστοφάνην Ὀλύνθιον, καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε, καὶ τοὺς ἀκηκοότας αὐτοῦ καὶ πρὸς ἐμὲ ἀγγείλαντας, Δερκύλον Αὐτοκλέους Ἁγνούσιον καὶ Ἀριστείδην Εὐφιλήτου Κηφισιέα.

ΜΑΡΤΥΡΙΑΙ.

156. Τῶν μὲν μαρτύρων διομνυμένων καὶ μαρτυρούντων ἀκούετε· τὰς δ' ἀνοσίους ταύτας τέχνας, ἃς οὗτος πρὸς τοὺς νέους ἐπαγγέλλεται καὶ κέχρηται νυνὶ κατ' ἐμοῦ, ἆρα μέμνησθε, ὡς ἐπιδακρύσας καὶ τὴν Ἑλλάδα κατοδυράμενος καὶ Σάτυρον τὸν κωμικὸν ὑποκριτὴν προσεπαινέσας, ὅτι ξένους τινὰς αὐτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργίῳ καὶ δεδεμένους παρὰ τὸν πότον ἐξῃτήσατο παρὰ τοῦ Φιλίππου, (157) ταῦθ' ὑποθεὶς ἐπεῖπεν ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν καὶ ἀνόσιον φωνήν, ὡς δεινὸν εἴη εἰ ὁ μὲν τοὺς Καρίωνας καὶ Ξανθίας ὑποκρινόμενος οὕτως εὐγενὴς καὶ μεγαλόψυχος γένοιτο, ἐγὼ δ' ὁ τῆς μεγίστης πόλεως σύμβουλος, ὁ τοὺς μυρίους Ἀρκάδων νουθετῶν, οὐ κατάσχοιμι τὴν ὕβριν, ἀλλὰ παραθερμανθείς, ὅθ' ἡμᾶς εἱστία Ξενόδοκος τῶν ἑταίρων τις τῶν Φιλίππου, ἕλκοιμι τῶν τριχῶν καὶ λαβὼν ῥυτῆρα μαστιγοίην αἰχμάλωτον γυναῖκα. (158) Οὐκοῦν εἰ ὑμεῖς αὐτῷ ἐπιστεύσατε ἢ Ἀριστοφάνης μου συγκατεψεύσατο, ἐπ' αἰσχραῖς αἰτίαις ἀδίκως ἀπωλόμην ἄν. Ἐάσετε οὖν αὐτὸν τὸν τοιοῦτον αὑτοῦ προστρόπαιον (μὴ γὰρ δὴ τῆς πόλεως) ὥστε ἐν ὑμῖν ἀναστρέφεσθαι; καὶ τὴν μὲν ἐκκλησίαν καθαίρετε, ἐν δὲ τοῖς ψηφίσμασι διὰ τούτου τὰς εὐχὰς ποιήσεσθε καὶ στρατιὰν ἢ πεζὴν ἢ ναυτικὴν ἐκπέμψετε; Καὶ μὴν ὅ γε Ἡσίοδος λέγει

Πολλάκι τοι ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.

159. Ἓν δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ἔτι βούλομαι. Εἰ γάρ πού τις ἔστι κακία κατ' ἀνθρώπους, ἂν μὴ πρωτεύοντα περὶ ταύτην ἀποδείξω Δημοσθένην, θανάτου τιμῶμαι. Ἀλλ' οἶμαι πολλὰ καὶ χαλεπὰ παρακολουθεῖ τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς ὀργῆς ὁ κίνδυνος ἐπὶ τοὺς ὑπὲρ τῆς σωτηρίας λόγους, καὶ διαλογισμὸν παρίστησι μή τι παραλίπῃ τῶν κατηγορημένων. Ὥστε ἅμα μὲν ὑμᾶς ἅμα δὲ ἐμαυτὸν εἰς ἀνάμνησιν τῶν κατηγορημένων ἀγαγεῖν βούλομαι. (160) Σκοπεῖτε γὰρ δὴ καθ' ἕκαστον, ὦ Ἀθηναῖοι, ποῖον ἐγὼ ψήφισμα γράψας κρίνομαι, ἢ ποῖον νόμον λύσας, ἢ ποῖον γενέσθαι κωλύσας, ἢ τίνας ὑπὲρ τῆς πόλεως συνθήκας ποιησάμενος, ἢ τί τῶν δεδογμένων περὶ τῆς εἰρήνης ἀπαλείψας, ἢ τί τῶν μὴ δοξάντων ὑμῖν προσγράψας. (161) Οὐκ ἤρεσκέ τισι τῶν ῥητόρων ἡ εἰρήνη· ἔπειτα οὐ τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; Ἐπλούτουν τινὲς ἐκ τοῦ πολέμου ἀπὸ τῶν ὑμετέρων εἰσφορῶν καὶ τῶν δη-

sed quam sagacissima conjectura esse usum, verum ab ingenio suo longissime aberrasse. Nihil enim ejusmodi se commissurum. Ut autem vera me dicere constet, ipsum Aristophanem testem producam. Accerse Aristophanem Olynthium, ejusque testimonium recita, eos item qui hoc ex illo audiverunt, mihique nunciarunt, Dercylum Autoclis filium, Hagnusium, et Aristidem Euphileti filium Cephisiensem.

TESTIMONIA.

156. Testes jurantes et testificantes auditis, nefarias autem istas verborum artes, quas iste adolescentibus pollicetur, quibusque nunc contra me est abusus, numquid meministis, ut obortæ sint ei lacrimæ, ut Græciam deplorarit, ut Satyrum comicum histrionem laudarit, quod hospites quosdam suos captivos fodientes in Philippi vinea et vinctos, in compotatione a Philippo impetrasset: (157) et hoc fundamento jacto, adjecerit, contenta acuta ista et nefaria voce, quam acerbum sit, quum is qui Cariones et Xanthias repræsentet, adeo generosum et magnanimum se præbuerit, me qui sim urbi maximæ a consiliis, qui illos decies mille Arcadas admoneam, petulantiam meam non coercuisse, sed vini calore evectum, quum nos quidam ex Philippi amicis Xenodocus convivio excepisset, capillis traxisse et loris arreptis captivam mulierem flagellasse? (158) Igitur si vos ei credidissetis, et Aristophanes una cum eo me per mendacium oppressisset, ob turpe crimen injuste periissem. Sinetis igitur eum qui tale sit sibi ipsi piaculum (absit enim ut vobis sit), sinetis, inquam, versari inter vos? Ac concionem quidem lustrabitis, in decretis autem vota per istum facietis, et exercitum sive pedestrem sive navalem ablegabitis? Atqui Hesiodus ait:

Sæpe viri gens tota luit scelus unius atrox,
Qui præceps agitur male sani pectoris æstu.

159. Unum adhuc superioribus adjiciam. Nam si qua est in rebus humanis improbitas, cujus ego non principem esse Demosthenem demonstraro, mori non recuso. Sed multis reus difficultatibus conflictatur, et animum ab ira periculum ad salutis revocat defensionem, ac dispicere jubet, ne ullum accusationis caput prætermiserit. Itaque simul et vobis et mihi objecta crimina in memoriam revocabo. (160) Considerate igitur singula, Athenienses, quo decreto ego scripto accuser, aut qua lege abrogata, aut qua impedita quominus perferretur, aut quibus pactionibus pro republica factis, aut quibus decretis de pace deletis, aut quibus quæ vobis probata non fuerunt, ascriptis? (161) Non placebat pax quibusdam oratorum. Nonne vero tum refragari, non nunc me accusare debebant? Ditabantur quidam bello de vestris tributis et publicis vectigalibus: quo-

μοσίων προσόδων, νῦν δὲ πέπαυνται· εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει· ἔπειτα οἱ μὲν οὐκ ἀδικούμενοι ἀλλ' ἀδικοῦντες τὴν πόλιν τιμωρήσονται τὸν προστάντα τῆς εἰρήνης, οἱ δ' ὠφελούμενοι τοὺς χρησίμους εἰς τὰ κοινὰ γενομένους ἐγκαταλείψετε; (162) Συνῇδον γὰρ τοὺς παιᾶνας Φιλίππῳ κατεσκαμμένων τῶν ἐν Φωκεῦσι πόλεων, ὥς φησιν ὁ κατήγορος. Καὶ ποίῳ τεκμηρίῳ δύναιτ' ἄν τις σαφῶς τοῦτο ἐπιδεῖξαι; Ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων, ἦσαν δ' οἱ κλητοὶ καὶ συνδειπνοῦντες σὺν ταῖς ἀπὸ τῶν Ἑλλήνων πρεσβείαις οὐκ ἐλάττους ἢ διακόσιοι. Ἐν δὲ τούτοις, ὡς ἔοικεν, ἐγὼ διαφανὴς ἦν οὐχ ὑποσιγῶν ἀλλὰ συνᾴδων, ὥς φησι Δημοσθένης οὔτ' αὐτὸς παρὼν οὔτε τῶν ἐκεῖ παρόντων οὐδένα παρασχόμενος μάρτυρα. (163) Καὶ τῷ γε δῆλος ἦν, εἰ μή γε ὥσπερ ἐν τοῖς χοροῖς προῇδον; Οὐκοῦν εἰ μὲν ἐσίγων, ψευδῆ μου κατηγορεῖς· εἰ δὲ ὀρθῆς ἡμῖν τῆς πατρίδος οὔσης καὶ τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούντων συνῇδον μετὰ τῶν ἄλλων τὸν παιᾶνα, ἡνίκα ὁ θεὸς μὲν ἐτιμᾶτο, Ἀθηναῖοι δὲ μηδὲν ἠδόξουν, εὐσέβουν ἀλλ' οὐκ ἠδίκουν, καὶ δικαίως ἂν σωζοίμην. Ἔπειτα ἐγὼ μὲν διὰ ταῦτα ἀνηλεήτός τίς εἰμι ἄνθρωπος, σὺ δὲ εὐσεβὴς ὁ τῶν ἀσυσπόνδων κατήγορος;

164. Ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν, εἰ πεπρεσβευκὼς πρὸς Φίλιππον πρότερον παρεκάλουν ἐπ' ἐκεῖνον τοὺς Ἕλληνας. Καίτοι ταύτην, εἰ βούλει, τὴν κατηγορίαν καὶ τῶν ἄλλων Ἀθηναίων δημοσίᾳ κατηγορήσεις. Ἐπολεμεῖτε Λακεδαιμονίοις, καὶ μετὰ τὴν ἐν Λεύκτροις συμφορὰν τοῖς αὐτοῖς ἐβοηθεῖτε· κατηγάγετε εἰς τὴν πατρίδα φεύγοντας Θηβαίους, καὶ πάλιν τούτοις ἐμάχεσθε ἐν Μαντινείᾳ· ἐπολεμήσατε Ἐρετριεῦσι καὶ Θεμίσωνι, καὶ πάλιν ἐσώσατε. Καὶ μυρίοις ἄλλοις ἤδη τῶν Ἑλλήνων οὕτω κέχρησθε· τοῖς γὰρ καιροῖς συμπεριφέρεσθαι ἀνάγκη πρὸς τὸ κράτιστον καὶ τὸν ἄνδρα καὶ τὴν πόλιν. (165) Τὸν δὲ ἀγαθὸν σύμβουλον τί χρὴ ποιεῖν; οὐ τῇ πόλει πρὸς τὸ παρὸν τὰ βέλτιστα συμβουλεύειν; Τὸν δὲ πονηρὸν κατήγορον τί χρὴ λέγειν; οὐ τοὺς καιροὺς ἀποκρυπτόμενον τῆς πράξεως κατηγορεῖν; Τὸν δὲ ἐκ φύσεως προδότην πῶς χρὴ θεωρεῖν; ἆρά γε οὐχ ὡς σὺ τοῖς ἐντυγχάνουσι καὶ πιστεύσασι κέχρησαι, λόγους εἰς δικαστήρια γράφοντα μισθοῦ τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγραψας λόγον Φορμίωνι τῷ τραπεζίτῃ χρήματα λαβών· τοῦτον ἐξήνεγκας Ἀπολλοδώρῳ τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα. (166) Εἰσῆλθες εἰς εὐδαιμονοῦσαν οἰκίαν τὴν Ἀριστάρχου τοῦ Μόσχου· ταύτην ἀπώλεσας. Προὔλαβες τρία τάλαντα παρ' Ἀριστάρχου φεύγοντος· τοῦτον τὰ τῆς φυγῆς ἐφόδια ἀπεστέρησας, οὐκ αἰσχυνθεὶς τὴν φήμην ἣν προσεποιήσω, ζηλωτὴς εἶναι τῆς ἡλικίας τοῦ μειρακίου. Οὐ γὰρ δὴ τῇ γε ἀληθείᾳ· οὐ γὰρ προσδέχεται δίκαιος ἔρως πονηρίαν. Ταῦτ' ἐστὶν ὁ προδότης καὶ τὰ τούτοις ὅμοια.

167. Ἐμνήσθη δέ που περὶ τῆς στρατείας, καὶ τὸν καλὸν στρατιώτην ἐμὲ ὠνόμασεν. Ἐγὼ δὲ οὐχ ἕνεκα τῆς τούτου βλασφημίας, ἀλλὰ τοῦ παρόντος κινδύνου

rum messis nunc desiit. Pax enim otium non alit. Ii ergo qui non læduntur, sed lædunt rempublicam, pacis interpretem mulctabunt; vos vero qui fructum percipitis, eos qui utilem reipublicæ operam navarunt, deseretis? (162) Una cum Philippo pæanes cecini, eversis Phocensium urbibus, ut ait accusator. Quo autem id argumento perspicue poterit demonstrare? Sum enim cum ceteris nostris legatis ad hospitium invitatus; fuerunt autem vocati, et concœnati sunt cum legationibus Græcorum non pauciores ducentis. Inter quos ego scilicet conspicuus fui, non subticens, sed concinens, ut ait Demosthenes: qui nec ipse ibi adfuit, nec eorum qui interfuerunt ullum testem produxit. (163) Et quis me nosse potuit, nisi forte, ut in cœtibus, præcinui? Itaque si tacui, falso me accusas: sin patria nostra incolumi, et civibus nulla calamitate publica conflictantibus, pæanem cum ceteris legatis concinui, quum et deo honos haberetur, et Athenienses nulla ignominia afficerentur, pie feci, non injuste, et jure conservabor. Et ego propter hæc immisericors homo sum: tu vero pius, qui sis eorum, qui iisdem tecum et libationibus et epulis usi sunt, accusator?

164. Atque etiam inconstantiam in gerenda republica mihi objecisti, quod quum prius Græcos contra Philippum concitassem, legatus ad eum iverim. Enimvero idem crimen publice omnibus Atheniensibus objicies. Bellum gessistis cum Lacedæmoniis: eosdem post Leuctricam calamitatem defendistis. Thebanos exulantes in patriam restituistis: et rursus eosdem ad Mantineam oppugnastis. Oppugnastis Eretrienses et Themisonem: atque eosdem conservastis. Et Græcos infinitos eodem modo tractastis. Nam tempori servire, et optima quæque amplecti publice et privatim, omnes necesse habent. (165) Quid autem bono senatori est agendum? nonne reipublicæ pro re nata, ea quæ utilissima sint, suadenda? Improbo porro accusatori quid est dicendum? nonne temporibus dissimulatis res gestæ accusandæ? Unde porro homo ad proditionem natus, est spectandus? non ita, ut tu iis usus es qui tibi familiares fuerunt, et fidem habuerunt; qui ob mercedem orationes ad judicia scribat, easque prodat adversariis? Orationem scripsisti Phormioni mensario, pecunia accepta: eandem Apollodoro tradidisti, qui Phormionem capitis accusabat. (166) Ingressus es in florentem Aristarchi domum, Moschi filii; eam perdidisti. Præcepisti tria talenta ab Aristarcho qui exulat: eum exilii viatico spoliasti, famam nihil veritus, quum te mirari formam adolescentis simulasses. Neque enim vere miratus es: neque enim verus amor improbitatem admittit. Ex his similibusque rebus æstimandus est proditor.

167. Quodam etiam loco militiæ mentionem fecit, meque egregium illum militem appellavit; ego vero non propter illius convicium, sed discriminis hujus habita ratione, sine

προνοούμενος καὶ περὶ τούτων ἀνεπίφθονον λέγειν εἶναί μοι νομίζω· ποῦ γὰρ ἢ πότε αὐτῶν ἢ πρὸς τίνας, παραλιπὼν τήνδε τὴν ἡμέραν, μνησθήσομαι; ἐκ παίδων μὲν γὰρ ἀπαλλαγεὶς περίπολος τῆς χώρας ταύτης ἐγενόμην δύ' ἔτη, καὶ τούτων ὑμῖν τοὺς συνεφήβους καὶ τοὺς ἄρχοντας ἡμῶν μάρτυρας παρέξομαι· (168) πρώτην δ' ἐξελθὼν στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν καὶ τῶν Ἀλκιβιάδου ξένων τὴν εἰς Φλιοῦντα παραπομπήν, κινδύνου συμβάντος ἡμῖν περὶ τὴν Νεμεάδα καλουμένην χαράδραν οὕτως ἠγωνισάμην ὥστε ὑπὸ τῶν ἡγεμόνων ἐπαινεῖσθαι· καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους τὰς ἐν τοῖς ἐπωνύμοις καὶ τοῖς μέρεσιν ἐξῆλθον, (169) καὶ τὴν ἐν Μαντινείᾳ μάχην συνεμαχεσάμην οὐκ αἰσχρῶς οὐδ' ἀναξίως τῆς πόλεως, καὶ τὰς εἰς Εὔβοιαν στρατείας ἐστρατευσάμην, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις οὕτως ἐκινδύνευσα, ὥστε κἀκεῖ στεφανωθῆναι καὶ δεῦρο ἥκων πάλιν ὑπὸ τοῦ δήμου, τήν τε νίκην τῆς πόλεως ἀπαγγείλας, καὶ Τεμενίδου τοῦ τῆς Πανδιονίδος ταξιάρχου καὶ συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου μοι δευρὶ καὶ τὰ περὶ τὸν γενόμενον κίνδυνον, οἷος ἦν, ἀπαγγείλαντος. (170) Ὅτι δὲ ἀληθῆ λέγω, λαβέ μοι τοῦτο τὸ ψήφισμα, καὶ κάλει τὸν Τεμενίδην καὶ τοὺς συνεστρατευμένους μοι τὰς ὑπὲρ τῆς πόλεως στρατείας καὶ Φωκίωνα τὸν στρατηγόν, μήπω συνήγορον, ἂν μὴ τούτοις συνδοκῇ, ἀλλ' ὑπεύθυνον τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται.

invidia de his etiam a me dici et posse et debere existimo. Ubi enim, aut quando eorum, aut apud quos, hac die prætermissa, faciam mentionem? Quum igitur pueritiam excessissem, custos nostræ ditionis fui per biennium, cujus rei æquales et collegæ mihi apud vos testimonium perhibebunt. (168) Prima autem militia mihi fuit *in partibus* quam vocant, et cum æqualibus atque Alcibiadis mercenariis Phliuntem subsidii ferendi causa missus, quum circa Nemeæam fossam prœlium committeretur, sic decertavi, ut a ducibus laudarer : ceteris etiam expeditionibus quæ per vices mittebantur, ordinariis et extraordinariis interfui, (169) et ad Mantineam depugnavi, non turpiter, aut cum dedecore civitatis. In Eubœa item militavi, et Tamynæa pugna inter delectos ita me gessi, ut et ibi a ducibus corona ornarer, et huc reversus iterum a populo, quum et victoriam publice renunciassem, et Temenides Pandioniæ tribus centurio, qui a castris legatus huc mecum profectus erat, qualem in prœlio me præbuissem, indicasset. (170) Quæ ut vere a me dici constet, cape decretum hoc, et Temeniden voca et eos commilitones qui mecum pro republica militarunt, et Phocionem imperatorem nondum advocatum, nisi judicibus visum fuerit, sed testem calumniatori obnoxium, si mentitus fuerit.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ.

DECRETUM. TESTIMONIA.

171. Ἀπαγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην ὑμῖν καὶ τὴν τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν, πρώτην ταύτην ὑμᾶς ἀπαιτῶ χάριν, τὴν τοῦ σώματος σωτηρίαν, οὐ μισόδημος ὤν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ μισοπόνηρος, οὐ τοὺς Δημοσθένους ὑμᾶς οὐκ ἐῶν προγόνους μιμεῖσθαι (οὐ γὰρ εἰσίν), ἀλλὰ τῶν καλῶν τῇ πόλει βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν. Νῦν δ' αὐτὰ πόρρωθεν ἀρξάμενος μικρῷ δίειμι σαφέστερον. (172) Πρότερον ἡ πόλις ἡμῶν εὐδόξησε μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν πρὸς τὸν Πέρσην, καὶ τῶν τειχῶν ὑπὸ τῶν βαρβάρων πεπτωκότων, εἰρήνης δ' ὑπαρχούσης πρὸς Λακεδαιμονίους, διέμεινεν ἡμῖν τὸ τῆς δημοκρατίας πολίτευμα. Συνταραχθέντες δὲ ὑπό τινων καὶ καταστάντες πρὸς Λακεδαιμονίους εἰς πόλεμον, πολλὰ καὶ παθόντες κακὰ καὶ ποιήσαντες, Μιλτιάδου τοῦ Κίμωνος προκηρυκευσαμένου πρὸς Λακεδαιμονίους, ὄντος προξένου, σπονδὰς τοῦ πολέμου πεντηκονταετεῖς ἐποιησάμεθα, ἐχρησάμεθα δὲ αὐταῖς ἔτη τρισκαίδεκα. (173) Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐτειχίσαμεν τὸν Πειραιᾶ καὶ τὸ βόρειον τεῖχος ᾠκοδομήσαμεν, ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα, τριακοσίους δ' ἱππέας προσκατεσκευασάμεθα, καὶ τριακοσίους Σκύθας ἐπριάμεθα, καὶ τὴν δημοκρατίαν βεβαίως εἴχομεν. Παρεμπεσόντων δ' εἰς τὴν πολιτείαν ἡμῶν οὐκ ἐλευθέρων ἀνθρώπων, καὶ τοῖς

171. Quum igitur primus urbis victoriam vobis renunciarim, et liberorum vestrorum successus, primam hanc a vobis gratiam repeto, ut vitam meam tueamini, quum non sim populo inimicus, ut accusator ait, sed improbis infestus, quippe qui vetem vos Demosthenis majores imitari (nulli enim sunt), sed cohorter, ut honestorum consiliorum æmulatores sitis. Quæ altius repetita paulo dilucidius explanabo. (172) Primum nostra urbs gloriam consecuta est post navale contra Persam prœlium ad Salaminem gestum, quum mœnibus a barbaris dirutis, et pace cum Lacedæmoniis constituta, libertatem civitatis retinuimus. Post a quibusdam concitati, belloque contra Lacedæmonios suscepto, multis malis et datis et acceptis, intercessione Cimonis, Miltiadis filii, cui hospitium erat cum Lacedæmoniis, fœdus annorum quinquaginta percussimus, eoque tredecim annos sumus usi. (173) Hoc tempore Piræeum muro cinximus, et septentrionalem murum exstruximus, et præter eas, quas ante habueramus, centum triremes ædificavimus, et trecentos equites nostris copiis adjunximus, trecentos item Scythas sagittarios mercati sumus, et populare imperium constanter retinuimus. Quum autem in rempublicam nostram homines non ingenui nec moderati ir-

τρόποις οὐ μετρίων πάλιν πρὸς Αἰγινήτας εἰς πόλεμον κατέστημεν, (174) κἀνταῦθα οὐκ ὀλίγα βλαβέντες τῆς μὲν εἰρήνης ἐπεθυμήσαμεν, Ἀνδοκίδην δ' ἐκπέμψαντες πρὸς τοὺς Λακεδαιμονίους καὶ τοὺς συμπρέσβεις εἰρήνην ἔτη τριάκοντα ἠγάγομεν, ἣ τὸν δῆμον ὑψηλὸν ἦρεν· χίλια μὲν γὰρ τάλαντα ἀνηνέγκαμεν νομίσματος εἰς τὴν ἀκρόπολιν, ἑκατὸν δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα καὶ νεωσοίκους ᾠκοδομήσαμεν, χιλίους δὲ καὶ διακοσίους ἱππέας κατεστήσαμεν καὶ τοξότας ἑτέρους τοσούτους, καὶ τὸ μακρὸν τεῖχος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι. (175) Πάλιν δὲ εἰς πόλεμον διὰ Μεγαρέας πεισθέντες καταστῆναι, καὶ τὴν χώραν τμηθῆναι προέμενοι καὶ πολλῶν ἀγαθῶν στερηθέντες εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα διὰ Νικίου τοῦ Νικηράτου. Καὶ πάλιν ἐν τῷ χρόνῳ τούτῳ ἑπτακισχίλια τάλαντα ἀνηνέγκαμεν εἰς τὴν ἀκρόπολιν διὰ τὴν εἰρήνην ταύτην, τριήρεις δ' ἐκτησάμεθα πλοίμους καὶ ἐντελεῖς οὐκ ἐλάττους ἢ τριακοσίας, φόρος δ' ἡμῖν κατ' ἐνιαυτὸν προσῄει πλέον ἢ χίλια καὶ διακόσια τάλαντα, καὶ Χερρόνησον καὶ Νάξον καὶ τὴν Εὔβοιαν εἴχομεν, πλείστας δ' ἀποικίας ἐν τοῖς χρόνοις τούτοις ἀπεστείλαμεν. (176) Καὶ τοσαῦτ' ἔχοντες ἀγαθὰ πόλεμον δι' Ἀργείους πρὸς Λακεδαιμονίους ἐξηνέγκαμεν, πεισθέντες ὑπ' Ἀργείων, καὶ τελευτῶντες ἐκ τῆς τῶν ῥητόρων ἀψιμαχίας εἰς φρουρὰν τῆς πόλεως καὶ τοὺς τετρακοσίους καὶ τοὺς ἀσεβεῖς τριάκοντα ἐνεπέσομεν, οὐχ εἰρήνην ποιησάμενοι, ἀλλ' ἐκ προσταγμάτων ἠναγκασμένοι. Πάλιν δὲ σωφρόνως πολιτευθέντες, καὶ τοῦ δήμου κατελθόντος ἀπὸ Φυλῆς, Ἀρχίνου καὶ Θρασυβούλου προστάντων τοῦ δήμου καὶ τὸ μὴ μνησικακεῖν πρὸς ἀλλήλους ἔνορκον ἡμῖν καταστησάντων, ὅθεν σοφωτάτην πάντες τὴν πόλιν ἡγήσαντο εἶναι, (177) κἀνταῦθα ἀναφύντος τοῦ δήμου καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος ἄνθρωποι παρέγγραπτοι γεγενημένοι πολῖται, καὶ τὸ νοσοῦν τῆς πόλεως ἀεὶ προσαγόμενοι καὶ πόλεμον ἐκ πολέμου πολιτευόμενοι, ἐν μὲν
52 εἰρήνῃ τὰ δεινὰ τῷ λόγῳ προορώμενοι καὶ τὰς ψυχὰς τὰς φιλοτίμους καὶ λίαν ὀξείας ἐρεθίζοντες, ἐν δὲ τοῖς πολέμοις ὅπλων οὐχ ἁπτόμενοι, ἐξετασταὶ δὲ καὶ ἀποστολεῖς γινόμενοι, παιδοποιούμενοι δὲ ἐξ ἑταιρῶν, ἄτιμοι δ' ἐκ συκοφαντίας, εἰς τοὺς ἐσχάτους κινδύνους τὴν πόλιν καθιστᾶσι, τὸ μὲν τῆς δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν ἀλλὰ τῇ κολακείᾳ θεραπεύοντες, καταλύοντες δὲ τὴν εἰρήνην, ᾗ ἡ δημοκρατία σώζεται, συναγωνιζόμενοι δὲ τοῖς πολέμοις, ἐξ ὧν ὁ δῆμος καταλύεται. (178) Οὗτοι νῦν ἐπ' ἐμὲ συστραφέντες ἥκουσι, καὶ φασὶ μὲν τὸν Φίλιππον τὴν εἰρήνην πρίασθαι καὶ προλαβεῖν ἡμῶν ἐν ταῖς συνθήκαις ἅπαντα, ἣν δ' αὐτὸς εὗρεν εἰρήνην αὐτῷ συμφέρουσαν, ταύτην παραβεβηκέναι. Ἐμὲ δ' οὐχ ὡς πρεσβευτὴν κρίνουσιν, ἀλλ' ὡς ἐγγυητὴν Φιλίππου καὶ τῆς εἰρήνης· καὶ τὸν τῶν λόγων κύριον τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι. Τὸν αὐτὸν δὲ ἐν μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην δείκνυμι, ἐν δὲ τῷ δικαστηρίῳ κατηγόρῳ κέχρημαι. Δεκα-

ruissent, rursus Æginetis bellum intulimus: (174) in eoque non mediocribus affecti damnis, pacem expetivimus, Andocide cum collegis misso ad Lacedæmonios, et pacem triginta annos servavimus, quæ magnifice populum extulit. Nam mille talenta signatæ pecuniæ in arcem retulimus, et centum alias triremes fabricati sumus, et navalia exstruximus, et equites mille ducentos comparavimus, et alios totidem sagittarios; erectus item est longus murus australis, neque quisquam statum popularem evertere est aggressus. (175) Rursus quum persuasum nobis esset, ut bellum adversus Megarenses susciperemus, agros nostros vastari passi, multis bonis amissis, pacem petivimus, atque fecimus per Niciam Nicerati filium. Sic iterum hoc tempore septem millia talentûm ob pacis istius commoda in arcem retulimus, et triremes expeditas atque integras non pauciores trecentis comparavimus, item tributi nomine quotannis mille ducenta talenta et amplius nobis fuere pensitata; tenuimus Chersònesum, Naxum, Eubœam, plurimasque colonias iis temporibus deduximus. (176) Et quum tot bonis afflueremus, propter Argivos bellum intulimus Lacedæmoniis, Argivis obsecuti, donec tandem per oratorum velitationes eo devenimus, ut præsidium urbi imponeretur, et quadringenti, ac post impii triginta tyranni, rerum potirentur, pace non ultro facta, sed vi nobis imperata. Rursus bene moderata republica usi sumus populo e Phyle reducto, Archino et Thrasybulo populi partes defendentibus, oblivione injuriarum jurejurando sancita, unde omnes civitatem nostram sapientissimam judicarunt; (177) tunc populo recreato, atque iterum viribus aucto, cives adulterini, et fraude in album civitatis relati, subinde laborantem urbis partem sibi conciliarunt, et bellum ex bello severunt. Nam in pace verbis pericula amplificabant, et præmonebant, atque animos liberales et nimis celeres exstimulabant, in bellis autem arma non attingebant, quamvis et censores essent, et classium præfecti, qui quidem liberos e scortis suscipiebant, et ob calumniandi studium infames erant. Hi igitur nostram urbem in extrema pericula conjiciunt, quum popularis imperii nomen non moribus, sed assentatione colant, et pacem turbent, qua popularis status conservatur, atque iis navent operam, qui populum bellis opprimunt: (178) hi nunc conglobati me invadunt, ac Philippum pacem emisse dictitant, atque in pactionibus omnia nobis præripuisse; quam autem pacem commentus est sibi conducibilem, eam violasse. Me vero sic accusant, non ut legatum, sed ut Philippi atque ipsius pacis sponsorem: et quum verborum tantum potestas penes me fuerit, rerum speratarum præstationem a me reposcunt. Jam eundem hominem in decretis laudatorem meum ostendo,

τος δ' αὐτὸς πρεσβεύσας μόνος τὰς εὐθύνας δίδωμι. (179) Κἀμοὶ μὲν οἱ συνδεησόμενοι πάρεισιν ὑμῶν πατὴρ μέν, οὗ τὰς τοῦ γήρως ἐλπίδας μὴ ἀφέλησθε, ἀδελφοὶ δέ, οἳ διαζυγέντες ἐμοῦ ζῆν οὐκ ἂν προέλοιντο, κηδεσταὶ δέ, καὶ ταυτὶ μὲν τὰ μικρὰ παιδία καὶ τοὺς κινδύνους οὔπω συνιέντα, ἐλεεινὰ δ', εἴ τι συμβήσεται ἡμῖν παθεῖν. Ὑπὲρ ὧν ἐγὼ δέομαι καὶ ἱκετεύω πολλὴν πρόνοιαν ποιήσασθαι, καὶ μὴ τοῖς ἐχθροῖς αὐτοὺς μηδ' ἀνάνδρῳ καὶ γυναικείῳ ἀνθρώπῳ τὴν ὀργὴν παραδοῦναι. (180) Παρακαλῶ δὲ καὶ ἱκετεύω σῶσαί με πρῶτον μὲν τοὺς θεούς, δεύτερον δ' ὑμᾶς τοὺς τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς ἕκαστον τῶν κατηγορημένων εἰς μνήμην εἶναι τὴν ἐμὴν ἀπολελόγημαι· καὶ δέομαι σῶσαί με καὶ μὴ τῷ λογογράφῳ καὶ Σκύθῃ παραδοῦναι, ὅσοι μὲν ὑμῶν πατέρες εἰσὶ παίδων ἢ νεωτέρους ἀδελφοὺς περὶ πολλοῦ ποιεῖσθε, ἀναμνησθέντες ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ τῆς περὶ Τίμαρχον κρίσεως ἀειμνήστως αὐτοὺς παρακέκληκα, (181) τοὺς δ' ἄλλους ἅπαντας, οἷς ἐμαυτὸν ἄλυπον παρέσχημαι, τὴν μὲν τύχην ἰδιώτης ὢν καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος, ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ' ὑμᾶς οὐ συνεστηκώς· αἰτῶ παρ' ὑμῶν τὴν σωτηρίαν, μετὰ πάσης εὐνοίας τῇ πόλει πεπρεσβευκὼς καὶ μόνος ὑπομείνας τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν οὐχ ὑπέστησαν. Οὐ γὰρ ὁ θάνατος δεινόν, ἀλλ' ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά. (182) Πῶς δὲ οὐκ οἰκτρὸν βλέπειν ἐχθροῦ πρόσωπον ἐπεγγελῶντος, καὶ τοῖς ὠσὶ τῶν ὀνειδῶν ἀκοῦσαι; Ἀλλ' ὅμως τετόλμηται· δέδοται τὸ σῶμα τῷ κινδύνῳ. Παρ' ὑμῖν ἐτράφην, ἐν ταῖς ὑμετέραις διατριβαῖς βεβίωκα. Οὐδεὶς ὑμῶν διὰ τὰς ἐμὰς ἡδονὰς κάκιον οἰκεῖ, οὐδὲ ἐστέρηται τῆς πατρίδος κατηγόρου τυχὼν ἐν τοῖς δήμοις, ὅτ' ἦσαν αἱ διαψηφίσεις, οὐδ' ὑπεύθυνος ὢν ἀρχῆς ἐκινδύνευσεν.

183. Μικρὰ δ' εἰπὼν ἤδη καταβαίνω. Ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, τοῦ μὲν μηδὲν ἀδικεῖν ὑμᾶς κύριος ἦν, τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη, ἥ συνεκλήρωσέ με ἀνθρώπῳ συκοφάντῃ βαρβάρῳ, ὃς οὔτε ἱερῶν οὔτε σπονδῶν οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς τὸν μέλλοντα αὐτῷ χρόνον ἀντεροῦντας ἐκφοβῶν, ἥκει ψευδῆ συντάξας καθ' ἡμῶν κατηγορίαν. Ἐὰν οὖν ἐθελήσητε σώζειν τοὺς τῆς εἰρήνης καὶ τῆς ὑμετέρας ἀδείας συναγωνιστάς, πολλοὺς βοηθοὺς λήψεται τὸ τῆς πόλεως συμφέρον καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους.

184. Παρακαλῶ δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ σωφρόνων ἀνδρῶν συνήγορον, Φωκίωνα δ' ἐκ τῶν στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων, ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν τῶν ἐμαυτοῦ Ναυσικλέα καὶ τοὺς ἄλλους ἅπαντας οἷστισιν ἐγὼ κέχρημαι καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα. Ὁ μὲν οὖν ἐμὸς λόγος εἴρηται, τὸ δὲ σῶμα τοὐμὸν ἤδη παραδίδωσιν ὑμῖν καὶ ἐγὼ καὶ ὁ νόμος.

et in judicio accusatorem reperio. Et quum decimus ipse legatus fuerim, solus rationes reddo. (179) Adsunt mihi quidem qui una mecum vos deprecentur, pater meus, cui spem senectutis ne eripiatis : et fratres, qui a me sejuncti vitam sibi acerbam putabunt : affines item et hi puelli quidem, qui pericula nondum intelligunt, sed miserabiles tamen sunt futuri, si quid nobis acciderit. Pro quibus ego vos oro atque obtestor, ut eos etiam atque etiam commendatos habeatis, neque inimicis et effeminati ac mulierosi hominis iracundiæ tradatis. (180) Oro porro, et supplex peto, primum a diis immortalibus, uti me conservent, secundo loco a vobis, qui ferendi suffragii jus habetis, apud quos ego singula crimina quantum quidem meminisse potui, refutavi. Conservate igitur me, neque orationum scriptori et improbo Scythæ me tradite. Et qui vestrûm patres sunt liberorum, aut qui fratres natu minores magni facitis, recordamini, me immortalem ad modestiam adhortationem accusatione Timarchi reliquisse : (181) a ceteris autem omnibus, erga quos me comem præbui, quum fortuna sim plebeius et mediocrium similis, in civilibus autem certaminibus solus inter reliquos contra vos non conspirarim, peto salutem, summa erga rempublicam benevolentia legatione functus, et solus calumniatorum tumultum perpessus, quem multi jam, qni in bellis egregia facinora edidere, non sustinuerunt. Neque enim terribilis est interitus, sed contumelia in morte est metuenda. (182) Quanta vero miseria est, inimici insultantis vultum intueri, et ejus probra auribus accipere? Sed tamen in discrimen ventum est, vita mea est periculis exposita. Apud vos sum educatus, in vestris congressibus sum versatus, cum nemine vestrûm propter meas voluptates pejus agitur, neque patria quisquam privatus est me accusatore, quum in pagis civium recensiones fierent, neque ob gestum magistratum in periculum venit.

183. Sed ubi pauca dixero, descendam. Illud, Athenienses, in potestate mea fuit, ut nulla vos afficerem injuria : ne vero in crimen venirem, id penes fortunam fuit, quæ me cum homine calumniatore, eoque harbaro, conflictari coegit, qui, neque sacrorum, neque libationum, nec mensæ communis habita ratione; sed iis qui in posterum adversari ei possent terrore injecto, adest, falsa contra nos accusatione concinnata. Quodsi eos conservare volueritis, qui pacem vestramque securitatem defenderunt, multi erunt, qui reipublicæ commoda tueri velint, et alacriter pro vobis decertare.

184. Peto autem ut advocatus mihi esse dignetur, e viris modestis et in republica versatis Eubulus, ex imperatoriis Phocio, qui præterea etiam justitia omnibus antecellit, ex amicis et æqualibus meis Nausicles, ceterique omnes, quibus ego familiariter usus, atque in iisdem studiis versatus sum. Ac mea quidem oratio jam absoluta est : corpus autem meum vobis et a me traditur et a lege.

III

ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Κτησιφῶν ἔγραψε ψήφισμα στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν, ὅτι διατελεῖ τὰ ἄριστα καὶ λέγων καὶ πράττων τῷ δήμῳ τῶν Ἀθηναίων. Τοῦτο τὸ ψήφισμα ἐγράψατο Αἰσχίνης παρανόμων, καὶ εἰσάγει κεφάλαια γενικὰ τρία, ἓν μὲν ὅτι ὑπεύθυνον ὄντα τὸν Δημοσθένην ἐστεφάνωσε τοῦ νόμου κελεύοντος μὴ ἐξεῖναι ὑπεύθυνον ἄρχοντα στεφανοῦν, περὶ οὐσίας· δεύτερον δὲ ὅτι ἐν τῷ θεάτρῳ ἀνεκήρυξε τὸν στέφανον ἀπαγορεύοντος τοῦ νόμου μηδένα στεφανοῦν ἐν τῷ θεάτρῳ, περὶ ποιότητος· τρίτον καὶ τελευταῖον, ὅτι καὶ τὰ ψευδῆ ἔγραψεν ἐν τῷ ψηφίσματι· οὐκ εἶναι γὰρ καλὸν καὶ ἀγαθὸν τὸν Δημοσθένην, οὐδὲ ἄξιον τοῦ στεφάνου. Καὶ τοῦτο εἰς τὸ παράνομον ἀνακτέον, ἐπειδὴ καὶ νόμος ἐστὶν ὁ κωλύων τὰ ψευδῆ γράφειν ἐν τοῖς ψηφίσμασιν· ἔστι δὲ περὶ ποιότητος. Ὑποφορὰς δὲ λαμβάνει τρεῖς· πρὸς μὲν τὸ πρῶτον διссῶς ἐροῦντος Δημοσθένους, ὅτι οὐκ ἦν ἄρχων οὐδὲ ἔστιν ἀρχὴ ἡ τῶν τειχῶν οἰκοδομὴ ἀλλὰ διακονία τις καὶ ἐπιμέλεια, εἰ δὲ καὶ ἀρχή, τῷ γε ἐπιδεδωκέναι ἐκ τῶν ἰδίων καὶ μηδὲν εἰληφέναι ἐκ τῆς πόλεως οὐκ ἦν ὑπεύθυνος, περὶ ποιότητος ἀμφότερα· πρὸς δὲ τοῦτο ὁ Αἰσχίνης εἰσάγει στοχαστικὸν κεφάλαιον, οὐ μέντοι κατασκευάζει· εἰ δὲ μὴ παρ' ἑαυτοῦ ἐπέδωκεν, ἀλλ' εἶχε παρὰ τῆς βουλῆς εἰς τοῦτο δέκα τάλαντα, περὶ οὐσίας. Πρὸς δὲ τὸ δεύτερον κεφάλαιον παρεχομένου Δημοσθένους νόμον ἕτερον, κελεύοντα ἀνακηρύττειν ἐν τῷ θεάτρῳ ἂν ψηφίσηται ὁ δῆμος, Αἰσχίνης οὐ περὶ τῶν πολιτικῶν αὐτὸν εἶναί φησιν ἀλλὰ περὶ τῶν ξενικῶν στεφάνων, περὶ οὐσίας. Πρὸς δὲ τὸ τρίτον πολλὰ κατὰ μέρος. Οἴεται δὲ τὸν Δημοσθένην εἰς τέσσαρας καιροὺς διῃρηκέναι τὴν ἀπολογίαν, τὰ πράγματα καθ' ἕκαστα εἰς τούτους μερίσαντα. Πρῶτον μὲν οὖν φησιν εἶναι καιρὸν τοῦ πολέμου τοῦ πρώτου τοῦ πρὸς Φίλιππον περὶ Ἀμφιπόλεως γενομένου, δεύτερον δὲ τὸν τῆς εἰρήνης, τρίτον δὲ τὸν τοῦ πολέμου τοῦ δευτέρου καὶ τῆς περὶ Χαιρώνειαν ἥττης, τέταρτον δὲ τὸν παρόντα καιρὸν τὸν περὶ τῶν πρὸς Ἀλέξανδρον πολιτευμάτων. Ἐν μὲν οὖν τῷ πρώτῳ αἴτιον αὐτόν φησι γεγονέναι τῆς εἰρήνης, αἰσχρᾶς οὔσης καὶ ἀδόξου, καὶ τοῦ μὴ μετὰ κοινοῦ τῶν Ἑλλήνων συνεδρίου τὴν πόλιν αὐτὴν πεποιῆσθαι· ἐν δὲ τῷ δευτέρῳ, ὅτι τὸν πόλεμον τὸν πρὸς Φίλιππον αὐτὸς παρεσκεύασεν· ἐν δὲ τῷ τρίτῳ, ὅτι τοῦ ἱεροῦ πολέμου καὶ τῶν περὶ Φωκέας συμβάντων αἴτιος ἐγένετο, καὶ τῆς ἥττης τῆς ἐν Χαιρωνείᾳ, πείσας μετὰ Θηβαίων ἀραμένους τὸν πόλεμον πρὸς Φίλιππον παρατάξασθαι· ἐν δὲ τῷ τελευταίῳ, ὅτι κατὰ τὸν πρὸς Ἀλέξανδρον οὐκ ἐπολιτεύσατο. Μετὰ ταῦτα καὶ τοῦ βίου παντὸς τοῦ Δημοσθένους κατηγορεῖ, καὶ δὴ καὶ Κτησιφῶντος ἐν ὀλίγοις, ἐν οἷς ἀξιοῖ αὐτὸν ὑπὲρ ἑαυτοῦ τὸν Κτησιφῶντα ἀπολογεῖσθαι. Τὰ μὲν οὖν κεφάλαια ταῦτ' ἐστίν. Ἐνίκα δὲ τὸν ἀγῶνα Δημοσθένης.

Μέμφονται μέντοι τινὲς τὸν Αἰσχίνην ὅτι οὐκ ἐνδιέτριψεν ἐν τῷ παρανόμῳ, ἀλλὰ καὶ τῆς πολιτείας κατηγορεῖ τοῦ Δημοσθένους, καλῶς πεπολιτευμένου τοῦ ἀνδρός. Αὐτὸς δὲ τοὐναντίον τούτῳ μάλιστα ἰσχυρίζεται, λέγων οὕτως, « ἔστι δ' ὑπόλοιπον μέρος τῆς κατηγορίας ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δ' ἐστὶν ἡ πρόφασις δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. » Μήποτε δὲ ἄριστα τοῦτο ἔπραξεν· ἐπειδὴ γὰρ εἶχε δόξαν μεγάλην παρὰ πᾶσι καὶ ὑπόληψιν ὁ Δημοσθένης ὡς λαμπρότατα πεπολιτευμένος, εἰκότως ᾠήθη ψυχροὺς καὶ οὐδενὸς ἀξίους φανήσεσθαι τοὺς περὶ τῶν παρανόμων λόγους, εἰ μὴ δόξαν, αὐτοῖς ἐμποιήσει τὴν ἐναντίαν, ὡς ἄρα ὁ Δημο-

III.

CONTRA CTESIPHONTEM.

ARGUMENTUM.

Scitum fecit Ctesiphon, ut Demosthenes Demosthenis f. Pæaniensis corona aurea donaretur, eaque donatio in theatro palam fieret diebus Bacchanalium tragœdis, propterea quod ea quæ e re essent populi Atheniensis et dicere et facere semper perstiterit. Scitum illud Æschines ut contra leges factum in judicium vocavit, et tria accusationis capita summa profert, unum, quod Demosthenem rationibus nondum relatis corona donandum decreverit, quum lege cautum sit ne quis magistratus corona donaretur priusquam rationes retulisset, et hoc caput ad essentiam causæ pertinet: alterum, quod coronæ præconium in theatro fieri jusserit, quum lex vetet quemquam in theatro coronari, et hoc ad quæstionis qualitatem spectat: tertium et postremum, quod falsa in decreto scripserit; non enim esse bonum virum Demosthenem, neque corona dignum. Hoc quoque est ad crimen de decretis contra leges factis referendum, quum exstet lex quæ falsa scribere prohibeat in decretis: pertinet autem ad qualitatem. Adversarii vero tres objectiones anticipat; nam ad primum caput bifariam respondebit Demosthenes, se non fuisse in magistratu, nec murorum refectionem esse magistratum, sed ministerium quoddam et curationem; et ut magistratus sit, tamen quum de suo sit largitus et e publico nihil acceperit, non sibi referendas esse rationes: utrumque pertinet ad qualitatem. Contra hoc autem Æschines conjecturale caput opponit, quamvis id non confirmet: si non de suo largitus est, sed decem talenta ad operis sumptum a senatu accepit: respicit hoc essentiam quæstionis. Adversus alterum caput quum Demosthenes aliam proferat legem quæ coronam in theatro promulgare jubeat, si jusserit populus, eam Æschines non ad civicas, sed ad hospitales coronas spectare contendit: refertur ad essentiam. Ad tertium multa singulatim regerit. Existimat autem Demosthenem in quattuor tempora defensionem suam partitum esse, singulasque actiones suas in ea distribuisse. Primum porro tempus id ait esse quo bellum primum cum Philippo de Amphipoli gestum fuerit, alterum factæ pacis, tertium secundi belli et cladis Chæronensis, quartum denique tempus præsens, earum scilicet rerum quæ ipsis cum Alexandro intercedant. Primo igitur tempore pacis eum fuisse auctorem dicit, turpis et infamis, atque obstitisse quominus eam una cum communi Græcorum consessu sanciret civitas: secundo, bellum Philippicum ab eo esse concitatum; tertio, sacri belli et casus Phocensium causam fuisse, quin et cladis Chæronensis, quum persuasisset civibus, ut suscepto contra Philippum bello, cum Thebanis socia arma jungerent: postremo, quod Alexandri tempore remp. deseruit. His absolutis totam Demosthenis vitam criminatur, in paucis etiam Ctesiphontis, ubi postulat ut pro se ipse causam dicat. Et capita quidem hæc sunt: judicio tamen vicit Demosthenes.

Æschinem quidem culpant nonnulli, quod crimini de decretis legibus adversis non fuerit immoratus, sed et acta Demosthenis exagitarit, quum is remp. præclare administrasset. Hic contra hac in re quam maxime nititur. *Superest mihi*, inquit, *pars accusationis, in qua plurimum studii colloco: ea vero est causa, cur illum Ctesipho corona donandum censuerit.* Videant autem isti an non rectissime sit factum. Quum enim magna apud omnes esset Demosthenis auctoritas atque existimatio, ut qui splendidissime remp. administrasset, non injuria putavit disputationem de decretis illicitis frigidam fore et inanem, nisi contrariam opinionem auditoribus

σθένης κακόνους ἐστὶ τῷ δήμῳ καὶ αἰσχρῶς καὶ ἐπιμέμπτως πεπολίτευται. Διὰ τοῦτο ἐσπούδασε περὶ τοῦτο μάλιστα, καὶ ἐν τούτῳ τῷ μέρει τῆς κατηγορίας τὸ πλεῖστον ἐνδιέτριψε. Μέμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός.

Ἡ στάσις τοῦ λόγου ἐστὶ πραγματικὴ ἔγγραφος, ὥσπερ καὶ ἡ τοῦ ὑπὲρ τοῦ στεφάνου. Τὰ δὲ κεφάλαια δηλονότι τῆς πραγματικῆς περιέχει ἅπερ καὶ ἐκεῖ, οἷον τὸ νόμιμον τεμνόμενον εἰς τρεῖς νόμους, τὸ δὲ δίκαιον εἰς τέσσαρας καιρούς. Ὅρα δὲ πῶς ἐπιλογικῶς ἤρξατο ἀπὸ συνηγόρων ἐκβολῆς, ὥσπερ καὶ Δημοσθένης.

Τινὲς εἶπον ὅτι οὐκ ἔχει κατασκευὴν τὸ προοίμιον· οὐκοῦν οὐδὲ συμπέρασμα δεῖ ζητεῖν. Ἀλλ' οὐκ ἔστιν ἀκατάσκευον· ἔστι γὰρ αὐτοῦ κατασκευὴ « ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίνεσθαι ἐν τῇ πόλει. » Εἰ γὰρ ἡ αἰτία τῆς προτάσεώς ἐστιν ἡ κατασκευή, διὰ δὲ τὸ τὰ μέτρια μὴ γίνεσθαι ἐν τῇ πόλει αἱ δεήσεις, κατασκευὴ ἂν εἴη. Ἔχει δὲ καὶ συμπέρασμα, « ἐγὼ δὲ πεπιστευκὼς ἥκω » ἕως τοῦ « μεῖζον τῶν νόμων καὶ τῶν δικαίων. »

incuteret, Demosthenem malevolo esse in populum animo et in rebus publicis turpem se et reprehensione dignum ostendisse. Quocirca in hanc accusationis partem summo studio incubuit, et in ea diutissime est immoratus. In culpa fortasse ponet aliquis exordium, ut tragicum et inflatius et ad perorationem propius accedens.

Status orationis est negotialis scripto constans, ut et orationis Pro corona: capita vero status negotialis, sicuti in illa, habet legitimum quod in tres leges, et justum quod in quattuor tempora dividitur. Observabis autem ut instar perorationis sit exorsus a rejectione advocatorum, quemadmodum et Demosthenes.

Quidam dixerunt, non habere confirmationem exordium, itaque ne conclusionem quidem esse quærendam. Verum confirmatione non caret: quæ inest verbis: *ne ea quæ æqua et usitata sunt in civitate fiant*. Nam si ratio propositionis confirmationem efficit, ratio autem est quorundam deprecationes ne ea quæ æqua sunt et usitata in civitate fiant, adest utique confirmatio. Quin et conclusionem habet, *ego vero fretus adsum*, usque ad illud, *plus apud vos quam leges atque jura valiturum*.

Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ Ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες ὑπὲρ τοῦ τὰ μέτρια καὶ τὰ συνήθη μὴ γίνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω πρῶτον μὲν τοῖς θεοῖς, δεύτερον δὲ τοῖς νόμοις καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν ἰσχύειν παρ' ὑμῖν μεῖζον τῶν νόμων καὶ τῶν δικαίων. (2) Ἐβουλόμην μὲν οὖν, ὦ Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας ἰσχύειν, ἵνα ἐξῇ πρῶ-
54 τον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν, ὥσπερ οἱ νόμοι κελεύουσι, σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι ἄνευ θορύβου καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν, δεύτερον δ' ἤδη καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν χωρὶς καὶ ἐν μέρει περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι· οὕτω γὰρ ἄν μοι δοκεῖ ἥ τε πόλις ἄριστα διοικεῖσθαι αἵ τε κρίσεις ἐλάχισται γίνεσθαι. (3) Ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν νυνὶ καταλέλυται, καὶ γράφουσί τέ τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, ἂν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πολιτείαν κοινὴν οὐκέτι ἀλλ' ἰδίαν αὑτῶν ἡγούμενοι ἀπειλοῦσιν εἰσαγγέλλειν, καταδουλούμενοι τοὺς ἰδιώτας καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες, (4) καὶ τὰς κρίσεις τὰς μὲν ἐκ τῶν νόμων καταλελύκασι, τὰς δ' ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσι, σεσίγηται μὲν τὸ κάλλιστον καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει « τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων καὶ πάλιν ἐν μέρει τῶν ἄλλων Ἀθηναίων »; τῆς δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκέτι κρατεῖν δύνανται οὔθ' οἱ νόμοι οὔθ' οἱ πρυτάνεις οὔθ' οἱ πρόεδροι οὔθ' ἡ προεδρεύουσα φυλή, τὸ δέκατον μέρος τῆς πόλεως. (5) Τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ

Quantus istic apparatus sit, Athenienses, quantaque acies instructa, quibus denique in foro precibus sint usi quidam, ne ea quæ et æqua et usitata sunt, in civitate fiant, videtis. Ego vero diis primum immortalibus, deinde legibus ac vobis fretus adsum, nullum existimans apparatum plus apud vos quam leges atque jura valiturum. (2) Vellem quidem, Athenienses, ut et quingentorum senatus et conciones publicæ a præfectis suis recte administrarentur; vellem leges, quas Solon de oratorum disciplina tulit, valerent, ut ei primum qui ex civibus esset ætate provectior, sicut leges jubent, in suggestum pudenter adscendenti, sine strepitu ac tumultu ex usu rerum optima reipublicæ consilia dare liceret; deinde ut jam cuivis civium, pro sua cujusque ætate, seorsum et per vices singulis de rebus sententiæ dicendæ potestas esset. Sic enim mihi videtur et civitas optime regi posse, et contentiones forenses rarissimæ futuræ. (3) Quum autem cuncta, quæ olim consensu omnium erant præstantissima, nunc abrogata sint, nonnulli sententias legibus contrarias non dubitent perscribere, easque alii populi suffragiis permittant, non justissima ratione proedrorum munus sortito adepti, sed facta coitione consecuti; si quis autem ex reliquis senatoribus munus illud revera sortitus sit et suffragia vestra rite pronuntiaverit, huic isti, qui remp. non jam communem sed privatim suam existimant, delationem nominis minitentur, redacta in servitutem plebe et dominationem sibi vindicantes, (4) adeo ut judiciorum rationes quæ legibus constitutæ sunt abrogarint, quæque plebiscitis sancitæ sunt, eas pro lubitu tractent: silet præconium illud omnium quæ in urbe sunt et pulcerrimum et modestissimum, Quis quinquagenario major concionem habere vult, deinde per vices qui alii Athenienses? — sed oratorum immodestiam jam neque leges neque prytanes neque proedri neque præsidens tribus, decima pars civitatis, possunt coercere. (5) Quum igitur hæc ita se habeant, ac talia reip. obvene-

πόλει τοιούτων ὁποίους τινὰς αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι, ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γινώσκων, αἱ τῶν παρανόμων γραφαί. Εἰ δὲ καὶ ταύτας καταλύσετε ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω ὑμῖν ὅτι λήσετε κατὰ μικρὸν τῆς πολιτείας τισὶ παραχωρήσαντες. (6) Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τρεῖς εἰσι πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς καὶ ὀλιγαρχία καὶ δημοκρατία, διοικοῦνται δ' αἱ μὲν τυραννίδες καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. Μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παρρησίας. Διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ, « ψηφιοῦμαι κατὰ τοὺς νόμους », ἐκεῖνό γε εὖ εἰδώς, ὅτι ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει, σώζεται καὶ ἡ δημοκρατία. (7) Ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς μισεῖν τοὺς τὰ παράνομα γράφοντας, καὶ μηδὲν ἡγεῖσθαι μικρὸν εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι, μήτε τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺν ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων, παράνομον πολιτείαν πολιτευόμενοι· ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν ἣν τέταχθε ὑπὸ τῶν νόμων φύλακες τῆς δημοκρατίας τήνδε τὴν ἡμέραν. (8) Κἀκεῖνο δὲ χρὴ διαμνημονεύειν, ὅτι νῦν ἅπαντες οἱ πολῖται παρακαταθέμενοι τὴν πόλιν ὑμῖν καὶ τὴν πολιτείαν διαπιστεύσαντες οἱ μὲν πάρεισι καὶ ἐπακούουσι τῆσδε τῆς κρίσεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων οὓς ὠμόσατε μεμνημένοι καὶ τῶν νόμων, ἐὰν ἐξελέγξωμεν Κτησιφῶντα καὶ παράνομα γράψαντα καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει, λύετε, ὦ Ἀθηναῖοι, τὰς παρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς ὑπεναντίως τῷ νόμῳ καὶ τῇ πόλει καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους. Κἂν ταύτην ἔχοντες τὴν διάνοιαν ἀκούσητε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, εὖ οἶδ' ὅτι δίκαια καὶ εὔορκα καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε καὶ πάσῃ τῇ πόλει.

9. Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω προειρῆσθαι· περὶ δὲ αὐτῶν τῶν νόμων οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τοῦτο τυγχάνει γεγραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. Ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰς μεγίστας ἀρχὰς καὶ τὰς προσόδους διοικοῦντες, καὶ δωροδοκοῦντες περὶ ἕκαστα τούτων, προσλαμβάνοντες τούς τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας καὶ τοὺς ἐκ τοῦ δήμου, πόρρωθεν προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις

rint tempora, qualia vos esse ipsi intelligitis, una adhuc pars civilis rationis reliqua est, si quid modo ego intelligo, judiciorum de decretis contra leges factis vindicatio. Quodsi hæc quoque tolletis vel iis qui tollere conantur permittetis, prædico vobis fore ut paulatim universæ reip. statum certis hominibus imprudentes concedatis. (6) Probe enim nostis, Athenienses, tria esse apud omnes homines reip. administrandæ genera : unius, paucorum, et populi principatum. Ac regnum quidem paucorumque dominatus eorum qui præsunt administrantur arbitrio; liberæ vero civitates legibus obtemperant. Neminem igitur vestrûm hoc lateat; sed plane sciat unusquisque, se, eo ipso die quo forum judiciale ingreditur actionem de decretis contra leges factis disceptaturus, de sua etiam ipsius dicendi libertate laturum esse sententiam. Idcirco et legislator primum hoc posuit in judicum jurejurando, « Sententiam feram secundum leges; » illud nimirum pro comperto habuit, conservatis reip. legibus, salvum simul esse imperium populare. (7) Quæ quidem vos memoria tenentes oportet eos qui decreta scribunt legibus contraria odisse, neque ullum hujusmodi crimen leve, sed gravissimum esse unumquodque arbitrari, denique hoc jus neminem mortalium vobis pati eripere, repudiatis et imperatorum patrociniis, qui jamdiu oratoribus quibusdam adjutores adsciti remp. labefactant, et hospitum deprecationibus, quibus aliqui subornatis e judiciis effugiunt, quum legibus contrariam sequantur reipublicæ gerendæ rationem : sed quemadmodum quemque vestrûm puderet stationem in bello sibi assignatam deserere, ita etiam nunc pudeat ab eo loco migrare, in quo a legibus, dominationis popularis custodes, hodierno die collocati estis. (8) Illud etiam memoria est tenendum, universos cives reip. statum atque regimen vestræ nunc fidei commisisse, quorum alii hodiernæ intersunt causæ, alii vero absunt suis occupati negotiis : quos reveriti, et jurisjurandi, quo obstricti estis, legumque memores, si Ctesiphontem convicerimus et legibus contrarium falsumque et civitati incommodum decretum conscripsisse, evertite, Athenienses, iniqua proposita, dominationem popularem civitati stabilite, de iis qui in gerenda rep. neque legibus neque civitati neque communi omnium vestrûm utilitati consulunt, pœnas desumite. Quodsi his animis ea quæ dicturus sum audieritis, certe scio vos et justam religiosamque et vobis reipublicæque perutilem sententiam esse laturos.

9. Ac de universa quidem accusatione satis multa me præfatum esse confido : de legibus autem, quæ ad eos pertinent qui rationibus referendis sunt obnoxii, contra quas decretum hoc scripsit Ctesiphon, paucis jam mihi esse dicendum videtur. Superioribus igitur temporibus, nonnulli summis in repub. magistratibus functi et vectigalibus præfecti curandis, quique in eorum singulis sordidum quæstum facerent, adjungendis sibi tum a senatu tum a plebe oratoribus, rationum referendarum judicia laudibus et præconiis

καὶ κηρύγμασιν, ὥστ' ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων εἰς τὴν μεγίστην μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλλον τοὺς δικαστάς. (10) Πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι διεφύγγανον ἐκ τῶν δικαστηρίων· εἰκότως· ᾐσχύνοντο γὰρ οἶμαι οἱ δικασταί, εἰ φανήσεται ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρῴην μέν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ, ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν ἔξεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου. (11) Κατιδὼν δέ τις ταῦτα νομοθέτης τίθησι νόμον καὶ μάλα καλῶς ἔχοντα, τὸν διαρρήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν. Καὶ ταῦτα οὕτως εὖ προκατειληφότος τοῦ νομοθέτου, εὕρηνται κρείττονες λόγοι τῶν νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες. Τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους οἱ μὲν φύσει μέτριοί εἰσιν, εἰ δή τίς ἐστι μέτριος τῶν τὰ παράνομα γραφόντων· ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ τῆς αἰσχύνης. Προσεγγράφουσι γὰρ πρὸς τὰ ψηφίσματα στεφανοῦν τὸν ὑπεύθυνον ἐπειδὰν λόγον καὶ εὐθύνας τῆς ἀρχῆς δῷ. (12) Καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται (προκαταλαμβάνονται γὰρ ἐπαίνοις καὶ στεφάνοις αἱ εὐθῦναι), ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν ὅτι γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε. Κτησιφῶν δέ, ὦ Ἀθηναῖοι, ὑπερπηδήσας τὸν νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον, καὶ τὴν πρόφασιν ἣν ἐγὼ ἀρτίως προεῖπον ὑμῖν ἀνελών, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα στεφανοῦν.

13. Λέξουσι δέ, ὦ Ἀθηναῖοι, καὶ ἕτερον λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ, ὡς ἄρα ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχὴ ἀλλ' ἐπιμέλειά τις καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ Θησείῳ, κἀκείνας ἃς ὁ δῆμος εἴωθε χειροτονεῖν ἐν ἀρχαιρεσίαις, στρατηγοὺς καὶ ἱππάρχους καὶ τὰς μετὰ τούτων ἀρχάς, τὰς δ' ἄλλας ταύτας πραγματείας προστεταγμένας κατὰ ψήφισμα. (14) Ἐγὼ δὲ πρὸς τοὺς λόγους τοὺς τούτων νόμον ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετήσατε λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ διαρρήδην γέγραπται, « τὰς χειροτονητάς » φησιν « ἀρχάς » ἁπάσας ἑνὶ περιλαβὼν ὀνόματι ὁ νομοθέτης, καὶ προσειπὼν ἀρχὰς ἁπάσας εἶναι ἃς ὁ δῆμος χειροτονεῖ, « καὶ τοὺς ἐπιστάτας » φησὶ « τῶν δημοσίων ἔργων » (ἔστι δὲ ὁ Δημοσθένης τειχοποιός, ἐπιστάτης τοῦ μεγίστου τῶν ἔργων) « καὶ πάντας ὅσοι διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν ἡγεμονίας δικαστηρίων » (οἱ δὲ τῶν ἔργων

ex longinquo antevertebant, ita ut in rationibus magistratuum reddendis accusatores, multoque etiam magis judices, in maximas redacti essent angustias. (10) Multi enim eorum qui rationes reddere tenebantur, quum apertissime peculatus arguerentur, e judiciis tamen evaserunt. Neque id sane mirum. Pudebat scilicet judices, in eadem urbe, fortassis etiam eodem anno, virum eundem, de quo nuper ludis publicis prædicaretur, eum virtutis ergo et justitiæ aurea corona a populo donari, mox e judicio videri exeuntem furti causa repetundarum damnatum. Itaque sententiam ferre judices cogebantur, non quam objectum crimen postularet, sed qua civium pudori consuleretur. (11) Hæc quum legislator quidam animadvertisset, legem tulit eamque præclaram, quæ diserte vetat, ne qui rationes nondum retulerunt corona donentur. Quæ quum a legislatore tam prudenter sint provisa, inventa tamen quædam sunt aucupia verborum legibus superiora, quorum nisi quis certiores vos faciat, imprudentes decipiemini. Eorum enim, qui aliquos ante relatas rationes coronandos contra leges censent, nonnulli natura sunt modesti, si quis modo eorum modestus esse potest qui decreta scribunt legibus adversa : sed tamen velamentum quoddam dedecori prætendunt. Decretis enim adscribunt, coronandum esse hominem, postquam gesti magistratus rationes reddiderit. (12) Ac civitas quidem pari utrobique injuria afficitur; nam rationes referendæ laudibus et coronis prævertuntur : is autem qui decretum scribit significat auditoribus se quidem contra leges id scripsisse, delicti autem ipsum pudere. Ctesiphon vero, Athenienses, et legem trangressus quæ ad rationes relaturos pertinet, eumque, quem modo vobis exposui, prætextum rejiciens, scito jussit Demosthenem, etiam tum magistratum gerentem, priusquam rationes retulerit, corona donari.

13. Aliam porro, Athenienses, afferent orationem ab ea quæ modo exposita est diversam, si quid aliquis electus ex plebiscito gerat, id non magistratum esse, sed curationem quandam et ministerium : magistratus autem illos esse dicent, quos Thesmothetæ in Thesei fano sortito distribuant, eos item, quos populus in comitiis suffragio creare solet, ut imperatores, ut equitum magistros ceterosque id genus magistratus, reliqua vero omnia negotia esse dumtaxat ex plebiscito mandata. (14) Ego vero istorum orationi legem vestram opponam, quam eo consilio tulistis, ut hujusmodi commenta præcidantur. In qua diserte scriptum est : *Magistratus*, inquit legislator, *qui populi suffragio creantur* (uno omnes vocabulo complexus, cunctosque eos edicens esse magistratus, quos populus suffragio creat), *et publicis operibus præfectos* (est autem Demosthenes, curator quum esset muris reficiendis, maximo præfectus operi), *et omnes, quotquot aliquid quod civitatis sit tractant ultra triginta dies, et quicumque jurisdictionem acceperint*

56 ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου), (15) τί τούτους κελεύει ποιεῖν; οὐ διακονεῖν ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι, καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λογιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς, κελεύει. Ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους αὐτοὺς ὑμῖν ἀναγνώσεται.

ΝΟΜΟΙ.

16. Ὅταν τοίνυν, ὦ Ἀθηναῖοι, ὁ μὲν νομοθέτης ἀρχὰς ὀνομάζῃ, οὗτοι δὲ προσαγορεύωσι πραγματείας καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν καὶ ὑποβάλλειν αὐτοῖς ὅτι οὐ προσδέχεσθε κακοῦργον σοφιστὴν οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἄν τις ἄμεινον λέγῃ παράνομα γεγραφώς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται. Χρὴ γάρ, ὦ Ἀθηναῖοι, τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναισχυντίᾳ.

17. Πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὅν φησι Δημοσθένης, βραχέα βούλομαι προειπεῖν. Λέξει γὰρ οὗτος « τειχοποιός εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατὸν καὶ τὸ ἔργον μεῖζον ἐξείργασται. Τίνος οὖν εἰμὶ ὑπεύθυνος, εἰ μή τίς ἐστιν εὐνοίας εὐθύνη; » Πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια καὶ συμφέροντα. Ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ καὶ τηλικαύτῃ τὸ μέγεθος οὐδείς ἐστιν ἀνυπεύθυνος τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων. (18) Διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων· οἷον τοὺς ἱερεῖς καὶ τὰς ἱερείας ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, καὶ συλλήβδην ἅπαντας καὶ χωρὶς ἑκάστους κατὰ σῶμα, τοὺς τὰ γέρα μόνα λαμβάνοντας καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους, καὶ οὐ μόνον ἰδίᾳ ἀλλὰ καὶ κοινῇ τὰ γένη, Εὐμολπίδας καὶ Κήρυκας καὶ τοὺς ἄλλους ἅπαντας. (19) Πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος οὐ τὰ κοινὰ διαχειρίσαντας οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους βραχέα δὲ κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα, ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν. Οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστηρίων ἔρχεται ψῆφον. (20) Πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον καὶ εὐθύνας διδόναι, καὶ τὴν ἐκεῖ σκυθρωπὸν καὶ τῶν μεγίστων κύριον ἄγει ὑπὸ τὴν ὑμετέραν ψῆφον. Οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου; οὐδὲ γὰρ πάτριον αὐτοῖς ἐστιν. Οὐκ ἄρα φιλοτιμοῦνται; πάνυ γε, ἀλλ' οὐκ ἀγαπῶσιν ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ, ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ, κολάζουσιν· οἱ δὲ

(omnes autem operibus præfecti jurisdictionem exercent) : (15) quid hos jubet facere? non obire ministerium, sed magistratu fungi postquam in foro judiciali approbati sint, siquidem ne ii quidem quibus sortito magistratus obvenere, nisi spectati prius et approbati sint, magistratum gerunt; jubet etiam eos, quemadmodum ceteros magistratus, apud scribam et ratiociniorum præfectos in tabulas referre rationes. Hæc ut a me vere dici constet, ipsæ vobis leges recitabuntur.

LEGES.

16. Quum igitur, Athenienses, quos legislator magistratus appellat, isti negotia et curationes nominarint, vestrum est hanc legem recordari et eorum opponere impudentiæ, subjicere eis denique, neutiquam vobis acceptum fore malitiosum cavillatorem, qui se verborum captionibus leges eversurum putet, sed quo quisque lingua melior sit qui legibus contraria scribit, eo graviorem iram vestram sensurum. Oportet enim, Athenienses, idem loqui legem et oratorem; ubi vero aliam vocem lex, aliam orator mittat, secundum legis æquitatem ferenda sententia est, non dicentis impudentiam.

17. Jam de illa, quam Demosthenes inexpugnabilem ait, ratione pauca præmittam. Dicet enim iste, *ego muris reficiendis curator sum, fateor; sed minas centum largitus sum civitati, atque opus inde amplius multo effeci. Cujus igitur rei mihi ratio referenda est, nisi forte et benevolentiæ sit ratio aliqua referenda?* Adversus eum autem prætextum audite me paucis, quam æqua et vobis utilia sim dicturus. In hac enim tanta et tam veteri republica, nemo est eorum qui ad remp. quomodocumque accesserint qui referendarum rationum judicio sit solutus. (18) Idque vos iis edocebo primum quæ plerisque mira videantur. Cujusmodi est, quod sacerdotes mares feminasque lex rationibus reddendis subjicit, et generatim omnes et unumquemque sigillatim, qui dumtaxat honorarium aliquod accipiunt et vota pro vobis diis faciunt : idque non privatim tantum, sed communiter etiam totas familias, Eumolpidas, Cerycas et reliquos omnes. (19) Rursus trierarchos rationem reddere lex jubet, qui neque publica tractarunt, neque e vectigalibus vestris multum suffurati, exiguum vero quiddam numerantes, largiri se de suo dicunt, quum vestra vobis restituant, sed qui citra controversiam patrimonia sua vestri studio insumpserunt. Neque vero trierarchi soli, sed maxima omnium quæ in civitate sunt concilia, judicum suffragium subeunt. (20) Primum enim Areopagiticum senatum jubet lex rationes suas apud præfectos ratiociniorum referre, illosque maximarum et gravissimarum causarum arbitros vestro subjicit suffragio. Nunquamne ergo coronabitur senatus Areopagiticus? Non; neque enim hoc illis patrium aut usitatum est. Non ducuntur studio honoris? Ducuntur sane, verum non satis habent, si quis apud se ipsos nemini faciat injuriam, sed si quis deliquerit, castigant : vestri autem oratores licentia efferuntur. Præterea

ὑμέτεροι ῥήτορες τρυφῶσι. Πάλιν τὴν βουλὴν τοὺς πεντακοσίους ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης, (21) καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ τοῖς ὑπευθύνοις, ὥστ' εὐθέως ἀρχόμενος τῶν νόμων λέγει, « ἀρχὴν ὑπεύθυνον » φησί « μὴ ἀποδημεῖν. » Ὦ Ἡράκλεις, ὑπολάβοι ἄν τις, ὅτι ἦρξα, μὴ ἀποδημήσω; ἵνα γε μὴ προλαβὼν χρήματα τῆς πόλεως ἢ πράξεις δρασμῷ χρήσῃ. Πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν οὐδὲ ἀνάθημα ἀναθεῖναι οὐδ' ἐκποίητον γενέσθαι οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ οὐδ' ἄλλα πολλά· ἑνὶ δὲ λόγῳ ἐνεχυράζει τὰς οὐσίας ὁ νομοθέτης τὰς τῶν ὑπευθύνων, ἕως ἂν λόγον ἀποδῶσι τῇ πόλει. (22) Ναί, ἀλλ' ἔστι τις ἄνθρωπος ὃς οὔτ' εἴληφεν οὐδὲν τῶν δημοσίων οὔτ' ἀνήλωκε, προσῆλθε δὲ πρός τι τῶν κοινῶν. Καὶ τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστάς. Καὶ πῶς ὅ γε
57 μηδὲν λαβὼν μηδ' ἀναλώσας ἀποίσει λόγον τῇ πόλει; αὐτὸς ὑποβάλλει καὶ διδάσκει ὁ νόμος ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι « οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως οὔτ' ἀνήλωσα. » Ἀνεύθυνον δὲ καὶ ἀνεξέταστον καὶ ἀζήτητον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει. Ὅτι δὲ ἀληθῆ λέγω, αὐτῶν ἀκούσατε τῶν νόμων.

ΝΟΜΟΙ.

23. Ὅταν τοίνυν μάλιστα θρασύνηται Δημοσθένης λέγων ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἔστιν ὑπεύθυνος, ἐκεῖνο αὐτῷ ὑποβάλλετε « οὐκ οὖν ἐχρῆν σε, ὦ Δημόσθενες, ἐᾶσαι τὸν τῶν λογιστῶν κήρυκα κηρῦξαι τὸ πάτριον καὶ ἔννομον κήρυγμα τοῦτο, τίς βούλεται κατηγορεῖν; ἔασον ἀμφισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν ὡς οὐκ ἐπέδωκας, ἀλλ' ἀπὸ πολλῶν ὧν ἔχεις εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκας, δέκα τάλαντα εἰς ταῦτα ἐκ τῆς πόλεως εἰληφώς. Μὴ ἅρπαζε τὴν φιλοτιμίαν, μηδὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους ἐκ τῶν χειρῶν, μηδ' ἔμπροσθεν τῶν νόμων ἀλλ' ὕστερος πολιτεύου. Ταῦτα γὰρ ὀρθοῖ τὴν δημοκρατίαν. »

24. Πρὸς μὲν οὖν τὰς κενὰς προφάσεις, ἃς οὗτοι προφασιοῦνται, μέχρι δεῦρο εἰρήσθω μοι· ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης ὅθ' οὗτος εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τῷ θεωρικῷ ἀρχήν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δέ πω τῶν ἀρχῶν τούτων λόγον ὑμῖν οὐδ' εὐθύνας δεδωκώς, ταῦτ' ἤδη πειράσομαι ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων. Καί μοι ἀνάγνωθι ἐπὶ τίνος ἄρχοντος καὶ ποίου μηνὸς καὶ ἐν τίνι ἡμέρᾳ καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη Δημοσθένης τὴν ἀρχὴν τὴν ἐπὶ τῷ θεωρικῷ.

ΔΙΑΛΟΓΙΣΜΟΣ ΤΩΝ ΗΜΕΡΩΝ.

Οὐκοῦν εἰ μηδὲν ἔτι περαιτέρω τούτου δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν· αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμὴ ἀλλὰ τὰ δημόσια γράμματα.

25. Πρότερον μὲν τοίνυν, ὦ Ἀθηναῖοι, ἀντιγραφεὺς ἦν χειροτονητὸς τῇ πόλει, ὃς καθ' ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον γενομένην πίστιν ὑμῖν οἱ ἐπὶ τὸ θεωρικὸν

senatum Quingentorum legislator referendis rationibus fecit obnoxium, (21) atque iis qui rationes nondum retulerunt usque adeo diffidit, ut statim legum initio dicat: *Magistratus rationibus non relatis ne peregre proficiscitor.* Dii boni! exclamet aliquis, eone quod magistratum gessi, non peregre proficiscar? Scilicet ne intercepta pecunia publica aut negotiis mala fide gestis in fugam te conjicias. Rursus eum qui rationes debet neque facultates suas consecrare sinit, neque donaria templis suspendere, neque adoptari, neque testamentum facere, aliave permulta. Uno ut dicam verbo, eorum, qui hoc judicio tenentur, bona legislator in pignus arripit, donec civitati rationem retulerint. (22) Esto, sed est qui ex pecunia publica neque sumpsit quicquam neque insumpsit, ad aliquam tamen reip. accessit partem. Etiam hunc jubet lex rationes referre apud præfectos ratiociniis. Quo pacto tandem, qui nec sumpsit nec insumpsit quicquam, rationem reddet civitati? Lex ipsa subjicit ac declarat quæ scribenda sint. Jubet enim hoc ipsum tabulis inscribere, *se nec sumpsisse quicquam e publico nec insumpsisse.* Omnino autem eorum, quæ in hac civitate sunt, nihil est, de quo non reddenda sit ratio, de quo non sit quærendum, quod non sit explorandum. Quæ ut a me vere dici pernoscatis, ipsas audite leges.

LEGES.

23. Quum igitur in hoc maxime se jactabit Demosthenes, dicetque se propter largitionem suam rationibus reddendis non esse obnoxium, illud statim ei opponite, *Nonne te, Demosthenes, sinere oportebat ratiocinatorum præconem patrium illud et legitimum præconium usurpare,* QUIS ACCUSARE VULT? *Sinito disceptare tecum quemvis civium, an nihil sis largitus, sed de multis, quæ accepta habes in murorum refectionem, pauca impenderis, quum decem talenta eo nomine a civitate accepisses: ne tibi liberalitatis laudem rapito, neque calculos e judicum manibus extorqueto, neque leges antecedere sed sequi velis in rep. gerenda. Hæc enim dominationem erigunt popularem.*

24. Itaque adversus futiles, quos fingent isti, prætextus hactenus a nobis dictum sit. Revera autem referendis rationibus obnoxium fuisse Demosthenem, ubi scitum istud Ctesiphon rogavit, quum pecuniæ theatrali et murorum simul refectioni præpositus esset, neutriusque magistratus rationem reddidisset, ego jam vos ex tabulis publicis conabor edocere. Recita ergo mihi, quo prætore, quo mense, quo die, et in qua concione Demosthenes theatralis pecuniæ curator sit electus.

SUPPUTATIO DIERUM.

Itaque si nihil amplius probaverim, jure tamen optimo damnaretur Ctesiphon. Neque enim eum accusatio mea, sed acta publica coarguunt.

25. Erat olim quidem, Athenienses, custos a civitate delectus, qui in singulis tribuum imperiis rationes vectigalium populo referebat: propter eam autem quam apud vos Eubulus consecutus est auctoritatem, ii quibus theatralis pe-

κεχειροτονημένοι ἦρχον μὲν πρὶν ἢ τὸν Ἡγήμονος νόμον γενέσθαι τὴν τοῦ ἀντιγραφέως ἀρχήν, ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν, καὶ νεώριον καὶ σκευοθήκην ᾠκοδόμουν, ἦσαν δὲ καὶ ὁδοποιοὶ καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως. (26) Καὶ οὐ κατηγορῶν αὐτῶν οὐδ' ἐπιτιμῶν λέγω, ἀλλ' ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ πρὶν ἂν λόγους καὶ εὐθύνας δῷ στεφανοῦν, ὁ δὲ Κτησιφῶν Δημοσθένην τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς ἄρχοντα οὐκ ὤκνησε γράψαι στεφανῶσαι.

27. Ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν ὅθ' οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια χρήματα διεχείριζε καὶ ἐπιβολὰς ἐπέβαλλε καθάπερ οἱ ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε, τούτων ὑμῖν αὐτὸν Δημοσθένην καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι. Ἐπὶ γὰρ Χαιρώνδου ἄρχοντος θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἐκκλησίας οὔσης ἔγραψε ψήφισμα Δημοσθένης ἀγορὰν ποιῆσαι τῶν φυλῶν σκιροφοριῶνος δευτέρᾳ ἱσταμένου καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστῃ τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν' ἡ πόλις ἔχοι ὑπεύθυνα σώματα, παρ' ὧν ἔμελλε τῶν ἀνηλωμένων λόγον ἀπολήψεσθαι. Καί μοι λέγε τὰ ψηφίσματα.

ΨΗΦΙΣΜΑΤΑ.

28. Ναί, ἀλλ' ἀντιδιαπλέκει πρὸς τοῦτο εὐθέως λέγων ὡς οὔτ' ἔλαχε τειχοποιὸς οὔτ' ἐχειροτονήθη ὑπὸ τοῦ δήμου. Καὶ περὶ τούτου Δημοσθένης μὲν καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δέ γε νόμος βραχὺς καὶ σαφὴς καὶ ταχὺ λύων τὰς τούτων τέχνας.
58 Μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐτῶν πρῶτον προειπεῖν βούλομαι. (29) Ἔστι γάρ, ὦ Ἀθηναῖοι, τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία, ὧν ἓν μὲν καὶ φανερώτατον οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ ἄρχοντες, δεύτερον δὲ ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται· τρίτον δ' ἐν τῷ νόμῳ γέγραπται, καὶ εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι, καὶ τούτους ἄρχειν δοκιμασθέντας. (30) Ἐπειδὰν δ' ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπεται, οὓς αἱ φυλαὶ καὶ αἱ τριττύες καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι. Τοῦτο δὲ γίνεται ὅταν, ὥσπερ νῦν, ἐπιταχθῇ τι ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι ἢ τριήρεις ναυπηγεῖσθαι. Ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε.

ΝΟΜΟΙ.

31. Ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ μὲν νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην, ὃς ἐκ τῆς

cunia suffragio mandata erat, fungebantur quidem, ante legem illam Hegemonis, et custodis magistratu, et quaestorum muneribus, quin et navale et armarium aedificabant, et refectionem curabant viarum, denique totius fere civitatis administrationem obierunt. (26) Neque haec dico, quo eos aut incusem aut reprehendam, sed illud vobis ostensum volo, latorem legis, si quis unius vel infimi magistratus rationes referre debeat, nolle eum, prius quam rationes illas reddiderit, corona donari : Ctesiphon autem Demostheni, qui ad summam omnes Athenarum magistratus una gerebat, coronam decernere non dubitavit.

27. Jam muris eum reficiendis curatorem fuisse, quum iste hoc plebiscitum scripsit, et publicam tractasse pecuniam, et irrogasse mulctas, quemadmodum et alii magistratus, et fori judicialis principatum obtinuisse, harum ego rerum testes vobis ipsum Demosthenem et Ctesiphontem citabo. Nam Chaeronda praetore, mensis Thargelionis die XXIX, quum concio haberetur, scitum fecit Demosthenes, ut convocarentur tribus diebus secundo et tertio Scirophorionis; eodemque scito praescripsit, ut ex unaquaque tribu deligantur moenium reficiendorum curatores et quaestores. Prudenter sane, nimirum ut certos homines haberet civitas inquisitioni obnoxios, a quibus esset sumptuum factorum rationem repetitura. Recita mihi decreta.

DECRETA.

28. Esto, verum huic statim e contrario replicabit, sibi nec sorte, nec suffragio populi moenium instaurationem obvenisse. Et de hoc quidem Demosthenes et Ctesiphon orationem bene longam habituri sunt; lex autem brevis et perspicua est, quaeque cito istorum dissolvit fallacias. Pauca tamen in primis hac de re praefabor. (29) Tria sunt, Athenienses, magistratuum genera : ex quibus unum omnibusque notissimum est eorum qui sorte aut populi suffragio creantur : alterum, qui aliquid quod ad civitatem pertinet ultra triginta dies tractant, quique publicis operibus sunt praefecti : tertium verbis legis expressum est, *et si qui alii delecti in foro aliquo judiciali praefecturam susceperint, ii quoque postquam spectati fuerint magistratu fungantur.* (30) Jam si demantur magistratus, qui populi suffragio et qui sorte sunt creati, superest ut ii, quos tribus et trientes tribuum et municipia ex suis deligunt ad pecuniam publicam tractandam, sint delecti magistratus : id autem fit, quando, uti nunc, tribubus aliquid mandatum fuerit, sive sint fossae egerendae sive triremes fabricandae. Quae vere a me dici, ex ipsis legibus cognoscetis.

LEGES.

31. In memoriam igitur revocate, quae modo diximus, latorem legis jubere eos, qui ex tribubus delecti sint, postquam in judiciali foro probarentur, magistratu fungi : atqui tribus Pandionia Demosthenem magistratum et moenium

διοικήσεως εἰς ταῦτα ἔχει μικροῦ δεῖν δέκα τάλαντα, ἕτερος δ' ἀπαγορεύει νόμος ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν, ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι, ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν μὴ προσθεὶς « ἐπειδὰν δῷ λόγον καὶ εὐθύνας », ἐγὼ δὲ ἐξελέγχω τὸ παράνομον μάρτυρας ἅμα τοὺς νόμους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἀντιδίκους παρεχόμενος. Πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παρανομώτατα γεγραφότα;

32. Ὡς τοίνυν καὶ τὴν ἀνάρρησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίνεσθαι, καὶ τοῦθ' ὑμᾶς διδάξω. Ὁ γὰρ νόμος διαρρήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλή, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ, ἄλλοθι δὲ μηδαμοῦ. Καί μοι λέγε τὸν νόμον.

ΝΟΜΟΣ.

33. Οὗτος ὁ νόμος, ὦ Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει. Οὐ γὰρ (οἶμαι) ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ' ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασιν. Ὁ μὲν οὖν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν πῶς; ἀναγίνωσκε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

34. Ἀκούετε, ὦ Ἀθηναῖοι, ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ ἀνακηρύττειν τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ μηδαμοῦ, Κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ, οὐ τοὺς νόμους μόνον ὑπερβὰς ἀλλὰ καὶ τὸν τόπον μετενεγκών, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν, οὐδ' ἐναντίον τοῦ δήμου ἀλλ' ἐναντίον τῶν Ἑλλήνων, ἵν' ἡμῖν συνειδῶσιν οἷον ἄνδρα τιμῶμεν.

35. Οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφώς, παραταχθεὶς μετὰ Δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες. Οὗτοι γάρ, ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω τῆς ἐκκλησίας, οὐχ ἕξουσι λέγειν, οἴσουσι δὲ εἰς τὴν ἀπολογίαν τὸν Διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, (36) καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇ γραφῇ τῇδε, καὶ λέξουσιν ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, εἷς μὲν ὃν νῦν ἐγὼ παρέχομαι διαρρήδην ἀπαγορεύων τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας, ἕτερον δ' εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ, τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάρρησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος· κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα. (37) Ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους, ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν. Εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς

instauratorem delegit, quin ad eam rem paulo minus decem talentis ex ærario habet : jam vero alia lex vetat magistratum ante rationes relatas coronari; vos autem jurejurando adacti estis sententiam ferre secundum leges : at orator iste decrevit, hominem rationibus reddendis obnoxium esse coronandum, neque illud adjecit *posteaquam rationes reddiderit* : ego vero crimen plebisciti contra leges facti tum legum, tum decretorum, tum adversariorum testimoniis evinco. Quo tandem pacto apertius quisquam demonstrare possit hominem legibus inimicissima scripsisse?

32. Porro et coronæ prædicationem eum in scito suo jubere contra leges fieri, id quoque vos edocebo. Lex enim diserte jubet, si quem corona donet senatus, ut in curia prædicetur, sin populus, in concione, alibi vero nusquam. Recita mihi legem.

LEX.

33. Præclara sane lex ista est, Athenienses. Neque enim, opinor, censuit legislator oratorem decere se apud exteros magnifice jactare, sed satis habere, si in urbe a populo ornetur, neque in præconiis quæstum aucupari. Atque ita quidem lator legis : Ctesiphon autem quomodo? Recita decretum.

DECRETUM.

34. Auditis, Athenienses, jubere legislatorem, ut qui a populo corona donetur, de eo apud populum in Pnyce concione habita præconium fiat, alibi vero nusquam : at Ctesiphon in theatro, non legibus modo spretis, sed etiam loco commutato, non Atheniensibus ad concionem convocatis, sed novis tragœdis fabulas agentibus, non coram populo, sed spectantibus Græcis, ut nobis conscii sint, quali nos viro honorem habeamus.

35. Quum igitur tam aperte legibus contraria scripserit, conjunctis cum Demosthene viribus technas quasdam legibus intendet, quas ego vobis indicabo et prædicam, ne imprudentes in errorem inducamini. Negare enim isti non poterunt, quin leges vetent, ne is quem populus coronet, extra concionem prædicetur : addúcent vero qua se defendant legem Dionysiacam, ejusque partem quandam citabunt, quo auribus vestris abutantur, (36) legem denique proferent nihil ad hoc judicium pertinentem, dicentque duas esse in civitate de præconiis receptas leges, unam, quam ego nunc profero, diserte vetantem ne quem populus corona donet extra concionem prædicetur; alteram autem dicent esse huic contrariam, quæ coronæ prædicationem in theatro tragœdis fabulas agentibus fieri permittit, modo id sciverit populus. Ex hac igitur lege dicent decretum tulisse Ctesiphontem. (37) Ego vero adversus istorum captiones leges vestras patronas advocabo, quod mihi per totam quidem accusationem summo studio est. Nam si hoc verum est, si talis in rempublicam vestram consuetudo irrepsit, ut leges irritæ inter

τὴν πολιτείαν ὥστ' ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις, τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταὐτὰ προστάττουσιν οἱ νόμοι ποιεῖν καὶ μὴ ποιεῖν; (38) Ἀλλ' οὐκ ἔχει ταῦθ' οὕτως· μήθ' ὑμεῖς ποτε εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προβαίητε, οὔτε ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαρρήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους εἴ τις ἀναγέγραπται νόμος ἐναντίος ἑτέρῳ νόμῳ ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ πού εἰσι νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως· (39) κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν σανίσιν ἐκτιθέναι κελεύει πρόσθεν τῶν ἐπωνύμων, τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐπιγράψαντας νομοθέταις, τὸν δ' ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ, καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων τοὺς δὲ καταλείπειν, ὅπως ἂν εἷς ᾖ νόμος καὶ μὴ πλείους περὶ ἑκάστης πράξεως. Καί μοι λέγε τοὺς νόμους.

ΝΟΜΟΙ.

40. Εἰ τοίνυν, ὦ Ἀθηναῖοι, ἀληθὴς ἦν ὁ παρὰ τούτων λόγος καὶ ἦσαν δύο κείμενοι νόμοι περὶ τῶν κηρυγμάτων, ἐξ ἀνάγκης (οἶμαι) τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδόντων τοῖς νομοθέταις, ἀνῄρητ' ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γεγένηται, φανερῶς δή που ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες ἀλλὰ καὶ παντελῶς ἀδύνατα γενέσθαι. (41) Ὅθεν δὲ δὴ τὸ ψεῦδος τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς, προειπὼν ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. Γινομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν ἀνεκήρυττόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δ' ὑπὸ τῶν δημοτῶν· ἄλλοι δέ τινες ὑποκηρυξάμενοι τοὺς αὑτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους, μάρτυρας τῆς ἀπελευθερίας τοὺς Ἕλληνας ποιούμενοι. (42) Ὃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν ταῖς ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων ἢ Χίων ἢ καὶ ἄλλης τινὸς πόλεως ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας. Καὶ ταῦτ' ἔπραττον οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγματος ὑμετέρου. (43) Ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς καὶ τοὺς χορηγοὺς καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι, τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ μείζοσι τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων. Τοῖς μὲν γὰρ ἀπεδέδεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρῆν στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι, οἱ δὲ ἀνηγορεύοντο ἐνώπιον ἁπάντων τῶν Ἑλλήνων· κἀκεῖνοι μὲν μετὰ ψηφίσματος, πείσαντες

ratas sint adscriptæ, et binæ de eadem re inter se pugnantes, qualem tandem eam dicat aliquis esse rempublicam, in qua leges eadem facere et non facere jubeant? (38) Verum ista non ita se habent; et absit ut vos unquam ad talem legum confusionem prolabamini, neque hæc sunt a legislatore qui populare imperium constituit neglecta, quin diserte imperatum est thesmothetis ut leges quotannis in populo corrigant, quum diligenter inquisiverint, et considerent, utrum lex alteri legi contraria obtineat, aut irrita inter ratas, aut sicubi plus quam una sit de qualibet re perscripta: (39) quodsi quid hujusmodi deprehenderint, jubet eas in tabulis descriptas pro decem heroum statuis proponi, prytanes vero concionem habere, programmati suo titulum nomothetis inscribentes, tum præsidum præfectum populum in suffragia mittere, et leges alias abrogare, alias retinere, ut una sit lex, non plures, de unaquaque re. Recita mihi leges.

LEGES.

40. Si igitur vera essent, Athenienses, quæ ab iis dicuntur, duæque de præconiis leges exstitissent, aliter, opinor, fieri non potuisset, quin a thesmothetis deprehensæ fuissent, et a prytanibus nomothetarum judicio traditæ, et sic altera ex legibus tolleretur, vel ea quæ præconium fieri extra concionem permitteret, vel ea quæ vetaret. Quum autem nihil tale factum sit, aperte nimirum constat, eos non tantum quæ vera non sint affirmare, sed etiam quæ ne fieri quidem ullo modo possint. (41) Verum unde hoc mendacium eruerint, ego vos docebo, si prius quas ob causas leges de præconiis theatralibus latæ sint exposuero. Quum ludi tragici urbani fierent, alii, re a populo non impetrata, prædicandum curabant se corona donari a tribulibus, alii a popularibus, nonnulli etiam silentio per præconem facto servos suos libertate donabant, Græcosque manumissionis illius testes adhibebant: (42) et quod omnium erat invidiosissimum, quidam apud exteras civitates hospitia consecuti perfecerunt ut præconium fieret, se a populo, puta fortasse Rhodio vel Chio vel alio quocumque, virtutis ergo et fortitudinis, corona donari. Atque hæc non ita agebant, quomodo ii qui a senatu vestro vel a populo coronantur, re a vobis impetrata et cum plebiscito, postquam magnam a vobis iniverint gratiam, sed ipsi sibi honorem præripientes absque decreto vestro. (43) Ea porro ratione fiebat, ut spectatores et ludorum præfecti et histriones interturbarentur, qui autem in theatro prædicabantur majorem honorem consequerentur, quam ii quibus coronam donavit populus. His enim locus erat certus constitutus, concio scilicet, in qua essent coronandi, atque interdictum erat ne uspiam alibi proclamarentur; de illis vero coram universis Græcis erat prædicatum: ac hi quidem cum decreto, vobis annuentibus, illi

ὑμᾶς, οὗτοι δ' ἄνευ ψηφίσματος. (44) Συνιδὼν δή τις ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ, οὔτε λύσας ἐκεῖνον (οὐδὲ γὰρ ἡ ἐκκλησία ἠνοχλεῖτο, ἀλλὰ τὸ θέατρον) οὔτ' ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθεὶς (οὐ γὰρ ἔξεστιν), ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαρρήδην ἀπαγορεύει μήτ' οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ μήθ' ὑπὸ τῶν φυλετῶν ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλλου (φησί) μηδενός, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. (45) Ὅταν οὖν ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις εἰς τὸ βουλευτήριον ἀναρρηθῆναι, τοῖς δ' ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν, τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται, προσαπείπῃ δὲ ἐν τῷ νόμῳ μηδ' ὑπὸ ἄλλου μηδενὸς ἀνακηρύττεσθαι, ἀπούσης βουλῆς καὶ δήμου καὶ φυλετῶν καὶ δημοτῶν, — ὅταν δέ τις ταῦτα ἀφέλῃ, τί τὸ καταλειπόμενόν ἐστι πλὴν οἱ ξενικοὶ στέφανοι; (46) Ὅτι δ' ἀληθῆ λέγω, μέγα σημεῖον ὑμῖν τούτου ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω. Αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ τῷ ἐν ἄστει ἀναρρηθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς κελεύει ὁ νόμος, ἀφελόμενος τὸν στεφανούμενον. Καίτοι τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι τοῦ δήμου τῶν Ἀθηναίων; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδεὶς οὕτως ἀγεννὴς γένοιτο, ὥστε ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν καὶ ἀφαιρεῖσθαι καὶ καθιεροῦν. Ἀλλ', οἶμαι, διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον καὶ ἡ καθιέρωσις γίνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων γένηται τὴν ψυχήν. (47) Ἀλλ' οὐχ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλησίᾳ στέφανον ἀναρρηθέντα οὐδεὶς καθιεροῖ, ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτὸς ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου, ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ ὑπόμνημα, μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίνωνται. Καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης μὴ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ὑμετέρων στεφανοῦν πρέσβεις πέμψασα δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ὅτι κηρῦξαι ἐπετρέψατε. Ὅτι δ' ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν ἀκούσατε.

NOMOI.

48. Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν ὡς προσγέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑποβάλλειν· Ναί, εἴ γέ σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆμος ὁ Ἀθηναίων, ἀποδέδεικταί σοι τόπος ὅπου δεῖ τοῦτο γενέσθαι, ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ

autem absque decreto. (44) Hæc quum legislator quidam animadvertisset, legem rogat nihil cum lege de iis qui a populo coronantur commune habentem, neque ea abrogata (non enim concio turbabatur, sed theatrum), neque lege suasa prius receptis legibus adversa (non enim fas est), sed de iis illam tulit, qui sine vestro decreto corona donarentur a tribulibus aut popularibus, de iis qui servos suos manumitterent, de coronis denique hospitalibus. Ac diserte vetat, ne quis in theatro servum manumittat, neve de iis præconium fiat, quos tribules aut populares aut alii quivis corona donent, alioqui infamia notari jubet præconem. (45) Quum igitur iis, qui a senatu coronantur, curiam designarit in qua prædicentur, iis qui a populo, concionem, de iis autem qui a tribulibus aut popularibus honestantur, præconium fieri vetuerit in ludis tragicis, ne quis coronas et præconia tanquam stipem corrogans falsa meritorum fama perfruatur, vetuerit insuper in lege ne ab ullo alio prædicetur, exclusis senatu et populo et tribulibus et popularibus: hæc, inquam, ubi dempseris, quid reliquum est præter hospitales coronas? (46) Quæ vere a me dici, magno vobis argumento ex ipsis deprompto legibus ostendam. Ipsam enim auream coronam, quæ in theatro urbano promulgetur, Minervæ sacram lex esse jubet, ademptam ei qui coronatur. Enimvero quis vestrûm tantæ illiberalitatis damnare ausit populum Atheniensem? Non modo enim civitas, sed ne privatus quidem quisquam tam parum esset generosus, ut, quam ipse donaverat coronam, eodem tempore promulget auferatque et devoveat. Sed eo nimirum quod hospitalis est corona, etiam fit consecratio, ut ne cujus animus, dum alienam benevolentiam pluris quam patriam faciat, corrumpatur. (47) At non eam quæ in concione prædicatur coronam quisquam consecrat, sed libere possidere licet, ut non is tantum qui accepit, verum etiam ipsius posteri monimentum illud domi asservantes nunquam animos habeant a populo alienos. Hac etiam de causa adscripsit legislator, ne extera corona in theatro a præcone promulgetur, nisi populus sciverit, ut ea civitas, quæ vestrûm aliquem corona donare velit, missis legatis, id a populo petat, adeoque is de quo prædicetur majorem gratiam vobis habeat, quam iis qui coronam dederunt, quod eam promulgari permiseritis. Ac me vera dicere, ex ipsis legibus accipite.

LEGES.

48. Quum igitur vos decepturi dicent, adscriptum esse legi licere aliquem corona donare, si populus sciverit, facite vobis in mentem veniat subjicere, *Ita sane, si qua te alia civitas coronarit; sin populus Atheniensis, designatus tibi locus est, ubi id fieri oporteat. Interdictum tibi est, ne extra concionem prædiceris.* Nam ea verba « alibi

κηρύττεσθαι. τὸ γὰρ « ἄλλοθι δὲ μηδαμοῦ » ὅ τι ἐστιν ὅλην τὴν ἡμέραν λέγε· οὐ γὰρ ἀποδείξεις ὡς ἔννομα γέγραφας.

49. Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι. Λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι, « καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας ὅτι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας » καὶ τὸ μέγιστον » ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ. » (50) Ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γὰρ δή που τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι, ὡς εἰσιν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ. Κἂν τοῦτ' ἐπιδείξω, δικαίως δή που τὴν γραφὴν ἁλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράμματα ἐγγράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασι. Τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἐστίν· ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί. Ἔχει δ' οὕτως.

51. Ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι. Τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν· ἢ τὰ περὶ τὴν Κηφισοδότου
61 στρατηγίαν καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον, (52) ὅτε εἷς ὢν τῶν τριηράρχων Δημοσθένης καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεὼς καὶ συσσιτῶν καὶ συνθύων καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου περὶ θανάτου κατήγορος γενέσθαι· καὶ ταῦτα ἤδη τὰ περὶ Μειδίαν καὶ τοὺς κονδύλους οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τήν τε εἰς αὐτὸν ὕβριν καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου. (53) Ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἄλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι, οὐ προδιδοὺς ὑμᾶς οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος μή μοι παρ' ὑμῶν ἀπαντήσῃ, τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα. Καίτοι, ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ καὶ γνώριμα τοῖς ἀκούουσιν, ὥστε τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν ἀλλὰ παλαιὰ καὶ λίαν προωμολογημένα, πότερα αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι ἢ ψέγεσθαι; καὶ σὲ τὸν ψευδῆ καὶ παράνομα τολμῶντα γράφειν πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων ἢ δίκην τῇ πόλει διδόναι; (54) Περὶ δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέστερον εἰπεῖν. Καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη

nusquam autem » quid sibi velint, totum diem dicas licet : nunquam certe ostendes te decretum scripsisse legibus consentaneum.

49. Restat nunc mihi accusationis pars, in qua plurimum studii colloco. Ea porro est causa, propter quam istum corona dignum arbitratur Ctesiphon. Ita enim in decreto scribit : *et præconem in theatro coram Græcis pronuntiare, Demosthenem a populo Atheniensi corona donari virtutis ergo ac fortitudinis,* et quod est omnium maximum, *quia illa et dicere et facere non desistat quæ populo sunt utilissima.* (50) Jam vero simplex omnino in posterum mihi erit oratio, vobisque audientibus intellectu ac judicatu facillima. Me enim qui accuso scilicet ostendere oportet, falsas esse laudes quæ Demostheni tribuuntur, eumque neque optima dicere unquam cœpisse, neque jam in iis agendis quæ civitati prosunt perseverare. Quodsi hæc evicero, jure nimirum causa cadet Ctesiphon : omnes enim leges vetant, ne quis in decretis publicis falsa perscribat scripta. Reo autem hujus contrarium est ostendendum. Vos nobis eritis eorum quæ utrimque dicentur judices. Atque ita quidem se res habet.

51. Enimvero totam Demosthenis vitam excutere longioris ego orationis opus esse arbitror. Quid enim nunc ista commemorem, quæ illi in actione vulneris acciderunt, quum in Areopagum citavit Demomelem Pæaniensem, consobrinum suum, utque ipse sibi caput inciderit? quid ea quæ in Cephisodoti præfectura, classe in Hellespontum profecta, contigerunt, (52) quo tempore Demosthenes, quum unus esset ex trierarchis, et sua nave ducem circumveheret, una cum eo vesceretur, sacrificaret, libaret, eumque honorem propterea quod paternus ei amicus erat consequeretur, non dubitavit tamen, quum is læsæ majestatis reus in judicium capitis esset adductus, accusatorem sese ejus profiteri? quid ea quæ ipsi cum Midia intercesserunt, et colaphos, quos in orchestra choro præfectus accepit, utque et injuriam sibi factam et populi simul judicium damnatorium, in templo Bacchi contra Midiam pronuntiatum, triginta minis vendiderit? (53) Hæc igitur atque alia his similia recte mihi videor esse silentio præteriturus, non quod aut vos prodere, aut causam hanc indulgenter velim remittere, sed quod verear ne mihi statim ita occurratis, me vera quidem dicere videri, sed antiqua jam et usquequaque confessa. Atqui, Ctesiphon, cujus summa flagitia ab auditoribus ita cognita sunt et comperta, ut accusator non falsa dicere, sed vetera et pervulgata videatur, utrum eum aurea corona donari, an vituperari convenit? Te vero, qui et falsa et legibus contraria scribere ausus sis, utrum judiciorum auctoritatem contemnere oportet, an civitati pœnas dare? (54) De publicis autem criminibus planius eloqui conabor. Siquidem audio Demosthenem, quum ad eos dicendi vices redierint, quattuor apud vos tempora præterita enumeraturum, quibus ipse rempublicam administravit.

γεγένηνται καιροὶ ἐν οἷς αὐτὸς πεπολίτευται· ὧν ἕνα μὲν καὶ πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται τῇ γενομένῃ εἰρήνῃ καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε καὶ αὐτὸς οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω. (55) Δεύτερον δέ φησι γενέσθαι ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς οὗτος ῥήτωρ ἔγραψε τὸν πόλεμον· τρίτον δὲ ὃν ἐπολεμοῦμεν χρόνον μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ, τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. Ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με παρακαλεῖν καὶ ἐπερωτᾶν ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ 'θέλω ἀποκρίνασθαι ἀλλ' ἐγκαλύπτωμαι καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθὼν καὶ ἄξειν ἐπὶ τὸ βῆμα καὶ ἀναγκάσειν ἀποκρίνασθαι. (56) Ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται ὑμεῖς τε προειδῆτε, ἐγὼ ἀποκρίνομαι ἐναντίον σοι τῶν δικαστῶν, Δημόσθενες, καὶ τῶν ἄλλων πολιτῶν ὅσοι δὴ ἔξωθεν περιεστᾶσι καὶ τῶν Ἑλλήνων ὅσοις ἐπιμελὲς γέγονεν ὑπακούειν τῆσδε τῆς κρίσεως (ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους) — ἀποκρίνομαι ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρῇ, (57) κἂν οἵ τε θεοὶ 'θέλωσι καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούσωσι κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι ἅ σοι σύνοιδα, πάνυ προσδοκῶ ἐπιδείξειν τοῖς δικασταῖς τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον. Καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ ἣν τοῦτον πυνθάνομαι ποιεῖσθαι μέλλειν, λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ καὶ δεύτερον περὶ τοῦ δευτέρου καὶ τρίτον περὶ τοῦ ἐφεξῆς καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων. Καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

58. Ὑμῖν γὰρ ἐξεγένετ' ἄν, ὦ Ἀθηναῖοι, τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου 62 τῶν Ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας ἃς ἦτε ἐκπεπομφότες κατ' ἐκεῖνον τὸν καιρὸν εἰς τὴν Ἑλλάδα, παρακαλοῦντες ἐπὶ Φίλιππον, — μετασχεῖν Ἑλληνικοῦ συνεδρίου καὶ προϊόντος τοῦ χρόνου παρ' ἑκόντων τῶν Ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην καὶ Φιλοκράτην καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον. (59) Εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούσασιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα ἐπὶ τοὺς λογισμούς. Ἐρχόμεθα δή που ψευδεῖς οἴκοθεν ἐνίοτε

Quorum unum quidem, ut ego accepi, idque omnium primum recenset, quo de Amphipoli bellum cum Philippo gerebamus; id autem tempus definit pace illa et societate facta, quam decreto sanxit Philocrates Hagnusius, et iste ipse cum eo conjunctus, uti ego ostendam. (55) Secundum fuisse tempus ait, quo pacem habebamus, nimirum ad eum usque diem, quo pace qua utebatur civitas dirempta idem iste orator bellum decrevit. Tertium vero quum bellum gessimus, usque ad infelicem illum in Chæronea conflictum. Quartum denique in quo nunc versamur. His igitur enumeratis, me, ut audio, appellaturus est et rogaturus, utrius horum quatuor temporum eum incusem, et quando eum quæ populo utilissima sint in republica administranda gessisse negem: quodsi respondere nolim, sed oculos obduxero et aufugiam, ait se accessurum, ac integumentum meum revulsurum, abreptum denique ad suggestum, vi me coacturum ut respondeam. (56) Ut igitur nec iste ita viribus confidat, et vos præmoneamini, ego tibi respondeo coram judicibus, Demosthenes, reliquisque civibus, qui foris circumsistunt, et coram Græcis quibus curæ fuit huic judicio interesse (video autem non paucos adstare, sed tot quot nemo unquam meminit ad ullam causam publicam convenisse) — respondeo, me omnium eorum quattuor temporum, quæ tu distinguis, te incusare. (57) Quodsi dii voluerint, si judices paribus nos animis audierint, si demum ipse, quæ te admisisse scio, memoria consequi potuero, omnino me judicibus ostensurum confido, salutem civitati deos primum immortales attulisse, deinde eos qui reipublicæ negotia prudenter humaniterque gesserunt, calamitatum vero omnium unum Demosthenem auctorem exstitisse. Et hunc quidem orationis ordinem persequi instituo, quo eum usurum esse accepi, dicamque primum de primo tempore, deinde de secundo, tum de eo quod ordine proximum est, postremo de hoc rerum statu in quo nunc versamur. Ad eam igitur me pacem refero, quam tu et Philocrates decrevistis.

58. Vobis enim licuisset, Athenienses, priorem illam pacem una cum communi Græcorum concilio facere, si certi homines vos essent passi legatos operiri, quibus eo tempore in Græciam missis omnes cohortabamini, ut adversus Philippum communi Græcorum concilio interessent, licuisset et processu temporis ultro vobis delatum a Græcis imperium obtinuisse. Hæc erepta vobis sunt per Demosthenem et Philocratem eorumque turpes corruptelas, quibus inducti contra vestram rempublicam conjurarunt. (59) Quodsi vestrûm nonnullis raptim hæc et derepente audientibus paulo incredibilior hæc accidat oratio, ad ea quæ consequuntur ita animos attendite, quemadmodum quum de insumptis pecuniis post longum temporis intervallum ad rationes reposcendas sedemus: nonnunquam utique falsas domo de rationibus opiniones afferimus, verum ubi eæ in summam

δόξας ἔχοντες κατὰ τῶν λογισμῶν· ἀλλ' ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅστις οὐκ ἀπέρχεται τοῦθ' ὁμολογήσας καὶ ἐπινεύσας ἀληθὲς εἶναι ὅ τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ. (60) Οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε. Εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν, ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ Φιλίππου συστὰς μετὰ Φιλοκράτους, — ὅστις οὕτω διάκειται, μήτ' ἀπογνώτω μηδὲν μήτε καταγνώτω πρὶν ἂν ἀκούσῃ· οὐ γὰρ δίκαιον· ἀλλ' ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς καὶ τὸ ψήφισμα παρεχομένου ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην πλείω μὲν γεγραφότα ψηφίσματα Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης καὶ συμμαχίας, (61) καθ' ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα Φίλιππον καὶ τοὺς παρ' ἐκείνου πρέσβεις, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον δὲ Φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον καὶ σύμμαχον τῇ πόλει, — ἐὰν ταῦθ' ὑμῖν σαφῶς ἐπιδείξω, δεήσομαι ὑμῶν μετρίαν δέησιν· ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι. Λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε.

62. Ἔγραψε Φιλοκράτης ἐξεῖναι Φιλίππῳ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης· τοῦτο τὸ ψήφισμα ἐγράφη παρανόμων. Ἧκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Λυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο δὲ Φιλοκράτης, συναπελογεῖτο δὲ καὶ Δημοσθένης· ἀπέφυγε Φιλοκράτης. Μετὰ ταῦτα ἐπῄει χρόνος Θεμιστοκλῆς ἄρχων· ἐνταῦθ' εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχὼν οὔτ' ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος, ἵν' εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον. (63) Νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης, ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης. Τούτων εἷς ἦν Δημοσθένης. Κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης, καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγελλε, καὶ μόνος τῶν ἄλλων βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ ἀπὸ τοῦ Φιλίππου καὶ τοῖς πρέσβεσιν, ἀκόλουθα γράφων Φιλοκράτει· ὁ μὲν γε τὴν ἐξουσίαν δέδωκε τοῦ δεῦρο κήρυκα καὶ πρέσβεις πέμπεσθαι, ὁ δὲ τῇ πρεσβείᾳ σπένδεται. (64) Τὰ δὲ μετὰ ταῦτα ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν. Ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τοὺς πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην καὶ Δημοσθένην (εἰκότως· τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας), πρῶτον μὲν ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις οὓς ἦτε ἐκπεπομφότες παρακαλοῦντες ἐπὶ

collectæ fuerint, nemo nostrûm adeo præfracto est ingenio, quin illud discedens fateatur et annuat esse verum, quodcumque ipsa rationum subductio evicerit. (60) Ita etiam nunc animos attendite. Si quis vestrûm talem opinionem jamdudum comprehensam domo detulit, nihil unquam Demosthenem, coitione facta cum Philocrate, pro Philippo dixisse, qui eo, inquam, animo est, is neque absolvat neque condemnet, priusquam audierit; neque enim id æquum est : at si me paucis auscultaretis et tempora commemorantem et decretum, quod Philocrate socio scripsit Demosthenes, proferentem, si ipsa veritatis ratiocinatio Demosthenem implicatum coarguerit plura Philocrate decreta de prima illa pace et societate conscripsisse, (61) per summum porro dedecus Philippo ejusque legatis adulatum esse, in causa præterea fuisse quominus respublica consentiente Græcorum concilio pacem faceret, postremo Cersobleptem regem Thraciæ, amicum atque socium nostræ civitatis, Philippo tradidisse : hæc si vobis luculenter ostendero, rem æquissimam a vobis petam, fateamini mihi, per deos immortales, Demosthenem hoc tempore, quod e quattuor primum est, rempublicam non bene administrasse. Inde autem ordiar, unde facillime subsequi possitis.

62. Decrevit Philocrates, ut caduceatores huc et legatos de pace ac societate mittendi copia daretur Philippo. Scitum hoc, tanquam legibus adversum, in jus vocatur. Venit judicii dies. Accusabat Lycinus qui dicam scripserat, causam dicebat Philocrates, patronus erat Demosthenes. Absolutus est Philocrates. Post hæc subibat tempus, quo Archon erat Themistocles. Tum in curiam senator venit Demosthenes, neque sorte neque subsortito munus illud consecutus, sed coitione facta nundinatus, ut omnibus et dictis et factis Philocrati subserviret, quomodo res ipsa declaravit. (63) Pervincit enim alterum decretum Philocrates, quo jubet decem legatos deligi, qui ad Philippum profecti postulent ab eo, ut legatos de pace plena potestate instructos huc mandaret. Ex his unus erat Demosthenes. Qui illinc reversus laudator pacis fuit, eademque atque reliqui legati renuntiavit, solus autem ex senatoribus decrevit, ut cum Philippi caduceatore et legatis fœdus feriremus, plane iis consentanea scribens quæ decreverat Philocrates : ille enim potestatem dedit ut caduceatores huc et legati mitterentur, hic cum legatis fœdus icit. (64) Jam vero ad ea quæ sequuntur vehementer quæso animos attendite. Acta enim sunt non jam apud ceteros legatos a Demosthene postea mutatione facta per calumniam multum exagitatos, sed seorsum apud Philocratem et Demosthenem (neque id mirum, quippe qui una legationem obierant, una decreta fecerant), primum, ut legatos, qui a vobis missi Græcos in Philippum concitabant, non exspectaretis, ne communiter

Φίλιππον, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην· (65) δεύτερον δ' ὅπως μὴ μόνον τὴν εἰρήνην ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν' εἴ τινες προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι· τρίτον δὲ ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μηδὲ μετέσται τῆς συμμαχίας καὶ τῆς εἰρήνης αὐτῷ. Παρηγγέλλετο δ' ἐπ' αὐτὸν ἤδη στρατεία. (66) Καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει (πρὸ γὰρ τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα), οἱ δ' ἀποδόμενοι καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως ἰσχυρὰ μεγάλης ὀργῆς ἦσαν ἄξιοι· ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι καὶ τότε μισοφίλιππος Δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου, γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, (67) ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ Ἐλαφηβολιῶνος μηνός, ὅτ' ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία καὶ ὁ προαγών, ἐν τῇ ἱερᾷ ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον, τίνα πρόφασιν ποιησάμενος; ἵνα, φησίν, ἐὰν ἤδη παρῶσιν οἱ τοῦ Φιλίππου πρέσβεις, βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς Φίλιππον, τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλησίαν καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων Ἑλλήνων ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων ἀλλὰ μόνοι ποιήσησθε τὴν εἰρήνην. (68) Μετὰ δὲ ταῦτα, ὦ Ἀθηναῖοι, ἧκον οἱ τοῦ Φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς Ἕλληνας ἐπὶ Φίλιππον. Ἐνταῦθ' ἕτερον ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ τῆς εἰρήνης ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους ἀλλ' εὐθὺς μετὰ τὰ Διονύσια τὰ ἐν ἄστει, τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα. Ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων.

ΨΗΦΙΣΜΑΤΑ.

69. Ἐπειδὴ τοίνυν, ὦ Ἀθηναῖοι, παρεληλύθει τὰ Διονύσια, ἐγίνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα κοινὸν τῶν συμμάχων, — οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ. Πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι, τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα, (70) καὶ προσέγραψαν ἐν τῷ δόγματι ἐξεῖναι τῷ βουλομένῳ τῶν Ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' Ἀθηναίων καὶ μετέχειν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, δύο μέγιστα προκαταλαμβάνοντες, πρῶτον μὲν τὸν χρόνον τὸν τῆς τριμήνου ταῖς τῶν Ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευά-

cum ceteris Græcis sed privatam cum eo pacem faciatis: (65) deinde ut non pacem tantum sed etiam societatem cum Philippo sciseeretis, ut, si qui forte populo Atheniensi auscultaverant, ad summam adigantur desperationem, quum viderent vos sibi quidem belli suscipiendi hortatores esse, domi vero non modo pacem cum eo sed et societatem ineundam decrevisse: postremo ne rex Thraciæ Cersobleptes fœdere contineretur, neve pacis ac societatis esset particeps. Jam autem expeditio in eum erat indicta. (66) Atque is quidem qui hæc redimebat nihil fecit iniqui (nam priusquam sacramenta et fœdera confirmarentur, non erat ei vitio dandum, si suis commodis serviret); qui vero præsidia civitatis vendebant et cum eo communicabant, ii demum magna digni erant iracundia. Nam qui se nunc Alexandri tunc Philippi osorem fuisse dictitat Demosthenes, qui hospitium Alexandri mihi exprobrat, decreto jubet, reipublicæ temporibus interceptis, (67) ut prytanes concionem habeant octavo die mensis Elaphebolionis, quum Æsculapio sacra fierent et præludia agerentur, in die festo scilicet, id quod nemo ante factum esse meminit. Quamnam causam prætendens? Scilicet, ut simul atque advenerint a Philippo legati, populus quam maturrime consultet de rebus ad Philippum pertinentibus; sic eis qui nondum aderant legatis concionem præoccupavit, et tempora vestra intercepit; rem denique acceleravit, ne cum ceteris Græcis, vestris legatis jam reversis, sed soli pacem faceretis. (68) Post hæc, Athenienses, advenerunt a Philippo legati, vestri autem aberant Græcos contra Philippum concitantes. Hic alterum etiam Demosthenes expugnat plebiscitum, quo decernit, ut vos non de pace solum verum etiam de societate consilium capiatis, non exspectatis legatis vestris, sed statim post Dionysia urbana decimo octavo et nono mensis die. Ut autem me vera dicere intelligatis, audite decreta.

DECRETA.

69. Quum igitur, Athenienses, præterierant Dionysia, et habitæ sunt conciones, et in priore recitatum est commune sociorum decretum — sed ejus summa ego capita breviter prædicam. Primum itaque decrevere ut de pace tantum consultaretis, societatis autem nomen prætererunt, non quod obliti essent, sed quod ipsam etiam pacem necessariam magis quam honestam esse existimarent. Deinde prudenti remedio Demosthenis sordibus occurrerunt, (70) atque decreto adscripserunt, ut cuilibet Græcorum liceret intra tres menses in eandem columnam cum Atheniensibus referri, eadem sacramenti et fœderum communione contineri, duas res maximas ea ratione ante occupantes, primum quidem spatium trimestre quod Græcorum legationibus satis esset sumpserunt, deinde Græcorum benevolentiam

ζοντες, ἔπειτα τὴν τῶν Ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι, ἵν' εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν, ἃ νῦν ἡμῖν παθεῖν συνέβη διὰ Δημοσθένην. Ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτοῦ τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε.

ΔΟΓΜΑ ΣΥΜΜΑΧΩΝ.

71. Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφώς, ὡς ἔσται μὲν ἡ εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν βουλεύσασθαι, ἔσται δὲ κοινῇ μετὰ τῶν Ἑλλήνων ἁπάντων. Νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν. Ἐνταῦθα δὴ προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, εἰ ταῦθ' οἱ Φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γινώσκειν ἔφη τὴν εἰρήνην ἀπούσης συμμαχίας. (72) Οὐ γὰρ ἔφη δεῖν (καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε, διὰ τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος) ἀπορρῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτοὺς ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι. Καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον ἐρώτημά τι ἠρώτα, προειπὼν μὲν ἃ ἐρήσεται, προδιδάξας δὲ ἃ χρὴ κατὰ τῆς πόλεως ἀποκρίνασθαι. Καὶ τέλος ταῦτ' ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου Δημοσθένους, τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους. (73) Ὃ δὲ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ' ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ Ἐλαφηβολιῶνος, πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος καὶ μισοφίλιππος ὑμῖν οὑτοσὶ ῥήτωρ δὶς ἐπρέσβευσεν ἐν Μακεδονίᾳ, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν. Εἰς δὲ τὴν ἐκκλησίαν, τὴν τῇ ἕκτῃ λέγω, καθεζόμενος βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε. (74) Λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας, ὁ δ' ἐπιψηφίσας, Δημοσθένης, ἐν ᾧ γέγραπται « ἀποδοῦναι τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων. » Παρὰ δὲ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν ὅρκων. (75) Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθί μοι τίς ἦν ὁ ταῦτα γράψας καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος.

ΨΗΦΙΣΜΑ. ΠΡΟΕΔΡΟΣ.

Καλόν, ὦ Ἀθηναῖοι, καλὸν ἡ τῶν δημοσίων γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι καὶ οὐ συμμεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ' ἀπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν

civitati nostræ una cum communi Græciæ consessu conciliarunt, ut, si forte violarentur fœdera, nos neque soli neque imparati bellum gereremus, quæ nunc nobis culpa Demosthenis acciderunt. Me autem vera dicere, ipso decreto audito, perdiscetis.

DECRETUM SOCIORUM.

71. Huic me decreto assensum esse fateor, assensi sunt et omnes oratores qui in priore illa concione verba fecerunt. Ac populus cum hac utique opinione discessit, pacem quidem futuram esse, de societate vero consultius fore, quum jam ad communem consessum Græcos convocaret, non nunc expedire, sed communiter cum Græcis universis. Nox interfuit; postridie in concionem convenimus. Tum vero Demosthenes, suggestu occup..to, nemini aliorum dicendi loco relicto, nihil quicquam aiebat ea quæ heri dicta sint verba profutura, nisi iis Philippi legati assentirentur, neque se satis scire professus est quomodo pax fieri possit absque societate. (72) Non enim oportet, inquit (ipsum enim quod usurpavit verbum memoria teneo, propter asperitatem et ejus qui dicebat et vocabuli), disrumpere societatem a pace, neque Græcorum exspectare cunctationem, sed vel nosmetipsos bellum gerere vel pacem privatim facere. Et tandem, Antipatro ad suggestum advocato, quædam ex eo requirebat, quem multo ante certiorem fecerat quid esset rogaturus, simulque præmonuisset quænam ille adversus rempublicam responderet. Postremo hæc vicerunt, quum primum Demosthenes dicendo quasi vim adhibuisset, deinde Philocrates plebiscitum scripsisset. (73) Jam vero quod eis restabat, ut Cersobleptem et Thraciæ loca Philippo dederent, id quoque vigesimo quinto Elaphebolionis confecerunt, priusquam posteriorem illam legationem, jurisjurandi exigendi causa, Demosthenes obiret: nam vester ille et Alexandro et Philippo infensus orator bis legatus profectus est in Macedoniam, quum ne semel quidem proficisci licuisset, is qui nunc consputare jubet Macedonas. Veruntamen in concione, quæ vigesimo quinto die habita est, senator quum esset, facta coitione in eum ordinem cooptatus, Cersobleptem socio et adjutore Philocrate hosti dedidit. (74) Clam enim hoc quoque inter cetera decreto suo inscripsit Philocrates, populi vero suffragiis permisit Demosthenes, ut eo ipso die Philippi legatis jusjurandum darent sociorum consessores. A Cersoblepte porro qui in concilio sederet aderat nemo: quum igitur scripsisset ut ii qui assidebant jurarent, Cersobleptem, a quo nullus aderat consessor, jurejurando exclusit. (75) Ut autem vera me dixisse constet, recita mihi, quis hæc scripserit, quis item proedrus hæc in suffragia miserit.

DECRETUM. PROEDRUS.

Præclara, Athenienses, præclara profecto res est actorum publicorum custodia. Immota enim manet, neque una cum iis qui in republica administranda transfugas agunt immutatur, sed populo, ubicumque voluerit, potestatem

πονηρούς, ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς.

76. Ὑπόλοιπον δέ μοί ἐστιν τὴν κολακείαν αὐτοῦ διεξελθεῖν. Δημοσθένης γὰρ ἐνιαυτὸν βουλεύσας οὐδεμίαν πώποτε φανεῖται πρεσβείαν εἰς προεδρίαν καλέσας, ἀλλὰ τότε μόνον καὶ πρῶτον πρέσβεις εἰς προεδρίαν ἐκάλεσε καὶ προσκεφάλαια ἔθηκε καὶ φοινικίδας περιεπέτασε καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην καὶ κολακείαν. Καὶ ὅτ' ἀπῄεσαν, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικὰ καὶ προὔπεμψεν εἰς Θήβας, καταγέλαστον τὴν πόλιν ποιῶν. Ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λαβέ μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας.

ΨΗΦΙΣΜΑ.

77. Οὗτος τοίνυν, ὦ Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτήν, τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον κατεψεύσατο, ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ' ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν ἐβουθύτει καὶ παρενόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. (78) Καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. Ὁ γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποθ' ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἂν γένοιτο δημοσίᾳ χρηστός, οὐδ' ὅστις ἐστὶν οἴκοι φαῦλος, οὐδέποτ' ἦν ἐν Μακεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον ἀλλὰ τὸν τόπον μόνον μετήλλαξεν.

79. Πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων (οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρός), καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται, Δημοσθένης δὲ ἐπέστη τῶν ἄλλων κατήγορος, καὶ πόθεν ποθ' ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι. (80) Ὡς γὰρ τάχιστα εἴσω Πυλῶν Φίλιππος παρῆλθε καὶ τάς τε ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δέ, ὡς τόθ' ὑμῖν ἐδόκει, περαιτέρω τοῦ καιροῦ καὶ τοῦ ὑμετέρου συμφέροντος ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς δὲ ἐκ τῶν ἀγρῶν φοβηθέντες ἐσκευαγωγήσατε, ἐν ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις οἱ περὶ τῆς εἰρήνης πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης καὶ Δημοσθένης διὰ τὸ μὴ μόνον πρεσβεύειν ἀλλὰ καὶ τὰ ψηφίσματα γεγραφέναι, (81) συνέβη δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι τὸν Δημοσθένην καὶ Φιλοκράτην σχεδὸν ὑπὲρ τούτων ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπω-

facit eos perspiciendi, qui quum olim scelerati sint, nunc vice versa virtutis speciem præ se ferunt.

76. Reliquum est ut ipsius adulationem commemorem. Nam quum per annum, Athenienses, senator fuisset Demosthenes, nullos eum unquam legatos ad principem locum vocasse compertum erit, sed illo dumtaxat tempore et tunc primum Philippi legatos in sedes primas vocavit, et pulvinos apposuit, et stragula punicea circumstravit, et primo diluculo iis in theatrum præivit, ut etiam sibilis exciperetur ob gestum indecorum et fœditatem adulationis. Denique quum Thebas abirent, tria conduxit iis mulorum juga, eosque ipse Thebas usque deduxit, ridiculam reddens civitatem nostram. Sed, ut in proposito maneam, cape mihi decretum de primis sedibus.

DECRETUM.

77. Iste igitur, Athenienses, tam insignis assentator, quum per Charidemi exploratores primus omnium de interitu Philippi certior factus esset, divino quodam somnio sibi conficto ementitus est, proinde quasi non a Charidemo, sed a Jove et Minerva nuncium accepisset, quos interdiu perjuriis violans noctu secum colloquia habere ait et quæ sint futura prædicere : at septimo die ex quo filia mortem obiverat, priusquam eam luxisset, priusquam ejus funeri justa solvisset, coronatus et alba veste indutus bovem immolabat et instituta patriæ violabat, unica filia, miser, quæ prima eum patrem appellaverat, amissa. (78) Neque vero calamitatem ei exprobro, sed mores hominis perpendo. Nunquam enim, qui liberos odio habet paterque improbus est, bonus erit reipublicæ gubernator; nunquam, qui capita amicissima summaque necessitudine sibi conjuncta non diligit, vos pluris faciet alienos; nunquam, qui privatim malus est, publice frugi erit, neque unquam, qui domi nequam fuit, in Macedonia legatus erat integer et eximius : non enim ingenium, sed locum tantum mutavit.

79. Unde igitur ad tam diversum rerum statum pervenerit (hoc enim secundum tempus est) et quæ tandem causa sit, cur Philocrates, iisdem ipsis rebus cum Demosthene publice gestis, læsæ majestatis postulatus et in exilium actus sit, Demosthenes vero etiam aliorum nobis exstiterit accusator, denique quonam pacto homo impurissimus in ærumnas hasce omnes nos conjecerit, hæc jam vel in primis operæ pretium est audire. (80) Ut primum Philippus intra Pylas penetravit, urbesque Phocensium præter omnium opinionem delevit, Thebanos autem potentiores quam, ut tum vobis videbatur, tempora et commoda vestra ferebant effecit, quum vos perterriti agris relictis vasa colligeretis, et gravissime accusabantur legati qui de pace egerant, præ ceteris tamen omnibus Philocrates et Demosthenes, quippe qui non solum legationem obierant, sed et decreta conscripserant, (81) et sub hoc porro tempus natum est dissidium aliquod inter Demosthenem et Philocratem iis fere de rebus, de quibus etiam vos eos inter se

πτεύσατε διενεχθῆναι,— τοιαύτης δ' ἐμπιπτούσης ταραχῆς μετὰ τῶν συμφύτων νοσημάτων, αὐτῷ ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο, μετὰ δειλίας καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις κινδυνεύσειν, αὐτὸς δ' εὐδοκιμήσειν καὶ προδότης ὢν τῶν φίλων καὶ πονηρὸς πιστὸς τῷ δήμῳ φανήσεσθαι. (82) Κατιδόντες δ' αὐτὸν οἱ τῇ τῆς πόλεως προσπολεμοῦντες ἡσυχίᾳ ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα, τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ παριὼν ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου καὶ ταραχῆς. Οὗτός ἐστιν, ὦ Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος καὶ Δορίσκον καὶ Ἐργίσκην καὶ Μυρτίσκην καὶ Γάνος καὶ Γανίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον. Καὶ εἰς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ' εἰ μὲν μὴ πέμποι Φίλιππος πρέσβεις, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους πέμπειν ἀλλ' οὐ πρέσβεις. (83) Εἰ δὲ ἐπιτρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη καὶ Φιλίππῳ. Ἁλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος. Καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν καὶ Μαγνησίαν παρὰ τὰς τῆς εἰρήνης συνθήκας ἐπιστρατεύσαντας τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμφορὰν καὶ τὸν πόλεμον παρεσκεύασεν.

84. Ναί, ἀλλὰ χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν, ὥς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων καὶ Θηβαίων συμμαχίᾳ. Ἀλλ', ὦ Ἀθηναῖοι, περὶ ταῦτα τρία μέγιστα ἠδίκησθε καὶ μάλιστα ἠγνοήκατε. Σπεύδων δ' εἰπεῖν περὶ τῆς μεγίστης συμμαχίας τῆς τῶν Θηβαίων, ἵν' ἐφεξῆς εἴπω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθήσομαι.

85. Ὑμεῖς γάρ, ὦ Ἀθηναῖοι, πολλὰ καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου καὶ Ταυροσθένους πατρός, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν Ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλαθόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ πεζικῇ δυνάμει, καὶ πρὶν τριάκονθ' ἡμέρας διελθεῖν ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι, καὶ τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις, οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι. (86) Καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας, ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι, ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν καὶ τὸ Κοτύλαιον ὀνο-

dissentire suspicabamini, — his igitur turbis excitatis, pro insitis ei vitiis et innatis consilia jam inde inivit, quæ ipsi suggessit timiditas et Philocraticæ largitionis invidia, existimavitque, si eorum quibuscum una legatus fuerat et Philippi accusatorem se præstiterit, Philocratem quidem citra dubium periturum, et reliquos legatos in discrimen venturos, se vero gloriam consecuturum et, amicorum proditor quum esset et improbus, animi tamen in populum fidelissimi speciem habiturum. (82) Cujus consilia quum perspexissent ii qui tranquillitatem publicam oppugnabant, avide eum accersebant in suggestum, hunc solum in civitate pecunia incorruptum prædicantes: is vero progressus in medium initia eis subministravit belli ac tumultus. Hic ille est, Athenienses, qui primus Serrium murum, Doriscum, Ergiscam, Myrtiscam, Ganos et Ganidem invenit, loca quorum ne nomina quidem antea noveramus. Eoque tandem res nostras redegit, ut si quidem Philippus legatos non mitteret, contemni ab eo civitatem nostram, sin mitteret, exploratores, non legatos, mitti diceret; (83) si vellet ille civitati alicui æquæ et in neutram partem propensæ controversias disceptandas permittere, negabat ullum nobis et Philippo æquum judicem reperiri posse. Dabat ille Halonnesum: vetabat hic accipere, si dederit, sed non reddiderit, de syllabis scilicet altercatus. Postremo, quum Aristodemum sociosque ejus, qui Thessaliam et Magnesiam, contra pacis fœdera, invaserant, corona donasset, pacem utique diremit, calamitatem nobis bellumque suscitavit.

84. Esto, at enim æneis et adamantinis, ut ipse jactat, muris regionem nostram munivit, Eubœensium ac Thebanorum societate. Imo vero, Athenienses, tres gravissimæ hac in re injuriæ omnino insciis vobis sunt illatæ. Quanquam autem ad miram illam Thebanorum societatem explicandam festinem, tamen ut suo quæque loco persequar, Eubœensium primum mentionem faciam.

85. Multis vos ac magnis, Athenienses, affecti injuriis tum a Mnesarcho Chalcidensi, Calliæ et Taurosthenis patre, quos iste nunc accepta mercede non dubitat cives Atticos decreto nominare, tum a Themisone Eretriensi, qui vobis pacis tempore Oropum ademit, horum tamen omnium ultro obliti, statim ac Thebani in Eubœam trajecissent et urbes ejus in servitutem redigere conarentur, intra quinque dies Eubœensibus et classe et pedestribus copiis opem tulistis, et priusquam triginta dies præterierant, Thebanos accepta fide dimisistis, et Eubœa potiti urbesque et reipublicæ statum iis qui hæc vobis commiserant, uti rectum et justum erat, reddidistis, iniquum esse rati, ubi fides habetur, iræ meminisse. (86) At vero tantis vestris beneficiis affecti Chalcidenses nequaquam parem vobis referebant gratiam, sed quum in Eubœam copias trajecistis opem Plutarcho laturi, primis quidem certe temporibus amicitiam simulabant, verum statim ut ad Tamynas processimus, et

μαζόμενον ὄρος ὑπερεβάλλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεύς, ὃν Δημοσθένης μισθὸν λαβὼν ἐνεκωμίαζεν, (87) ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἴς τινας δυσχωρίας κατακεκλειμένον, ὅθεν μὴ νικήσασι μάχην οὐκ ἦν ἀναχώρησις οὐδὲ βοηθείας ἐλπὶς οὔτ' ἐκ γῆς οὔτ' ἐκ θαλάττης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον καὶ παρὰ Φιλίππου δύναμιν προσμεταπεμψάμενος, ὅ τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας δεξιούμενος καὶ προσγελῶν, τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ' ἡμᾶς ὡς ἀναιρήσοντες. (88) Καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται οἱ ὑμέτεροι καὶ πεζοὶ καὶ ἱππεῖς ἄνδρες ἀγαθοὶ ἐγένοντο καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν ἡ πόλις αἴσχιστα παθεῖν· οὐ γὰρ τὸ δυστυχῆσαι κατὰ πόλεμον μέγιστόν ἐστι κακόν, ἀλλ' ὅταν τις πρὸς ἀνταγωνιστὰς ἀναξίους αὑτοῦ διακινδυνεύων ἀποτύχῃ, διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν. Ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα πεπονθότες πάλιν διελύσασθε πρὸς αὐτούς. (89) Τυχὼν δὲ παρ' ὑμῶν συγγνώμης Καλλίας ὁ Χαλκιδεὺς μικρὸν διαλιπὼν χρόνον πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὑτῷ τυραννίδα περιποιούμενος. Καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φίλιππον λήψεσθαι ἀπῆλθεν εἰς Μακεδονίαν καὶ περιῄει μετὰ Φιλίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο. (90) Ἀδικήσας δὲ Φίλιππον κἀκεῖθεν ἀποδρὰς ὑπέβαλλεν ἑαυτὸν φέρων Θηβαίοις. Ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου παρ' ὃν ᾤκει, εἰς μέσον πίπτει τῆς τε Θηβαίων ἔχθρας καὶ τῆς Φιλίππου. Ἀπορῶν δ' ὅ τι χρήσαιτο αὑτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη στρατείας, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας ἔνορχον λαβεῖν τὸν Ἀθηναίων δῆμον, σύμμαχον ὀνομασθέντα, βοηθήσειν εἴ τις ἐπ' αὐτὸν ἴοι· ὃ πρόδηλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύσαιτε. (91) Ταῦτα δὲ διανοηθεὶς ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ μὲν δήμῳ ἐλπίδας κενάς, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς περὶ αὐτόν. Τρία δ' ἦν ἃ ἅμα ἐξωνεῖτο, πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ Χαλκίδος ἢ τεθνάναι ἐγκαταληφθέντι· τηλικαῦται δυνάμεις ἐπ' αὐτὸν ἐπεστράτευον, ἥ τε Φιλίππου καὶ ἡ Θηβαίων. Δεύτερον δ' ἧκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας, τρίτον δὲ ὥστε μὴ τελεῖν συντάξεις. (92) Καὶ τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε Καλλίας, ἀλλ' ὁ μισοτύραννος Δημοσθένης, ὡς αὐτὸς προσποιεῖται, ὅν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς

Cotylæum quem vocant montem superavimus, tum illico Callias ille Chalcidensis, quem Demosthenes accepta mercede collaudabat, (87) quum videret civitatis nostræ exercitum in angustias quasdam conclusum, unde nisi prœlio vicisset nullus erat receptui locus, nulla vel terra vel mari auxilii spes, is, inquam, coacto ex omni Eubœa exercitu, copiisque a Philippo accersitis, et simul cum eo frater ejus Taurosthenes, qui nunc omnibus dextram porrigit atque arridet, trajectis Phocensibus mercenariis, in vos impetum fecerunt tanquam funditus deleturi. (88) Quod nisi primum deorum aliquis exercitum servasset, deinde milites vestri, pedites atque equites, se viros fortes præbuissent, et juxta circum equestrem ad Tamynas collatis signis vicissent, hostibus deinde data fide dimissis, omnino periculum fuit ne civitas nostra gravissimum dedecus subiret. Neque enim in bellis adverso Marte pugnare maximum est malum : sed ubi quis cum adversariis se indignis congressus excidat victoria, dubium non est conduplicari calamitatem. Vos tamen, talibus injuriis acceptis, iterum eos in gratiam recepistis. (89) Callias vero Chalcidensis, quum sibi a vobis veniam impetrasset, brevi post tempore ad ingenium remigrabat; quum enim Euboicum concilium verbo Chalcidem convocaret, re vera Eubœam contra vos muniebat, insignem sibi dominationem comparans. Et ejus obtinendæ adjutorem sibi futurum Philippum sperans, abiit in Macedoniam, et cum Philippo passim profectus est, et in familiaribus ejus numerabatur. (90) Verum læso per injuriam Philippo, aufugit inde et Thebanis ultro se in potestatem tradidit. Mox illis quoque relictis, quum plures quam Euripus ille juxta quem habitabat reciprocas fecisset conversiones, medius incidit et in Thebanorum et Philippi inimicitias. Incertus igitur quo se verteret, quum jam milites contra eum scriberentur, unicam sibi spem salutis reliquam esse vidit, si populum Atheniensem, socii nomine appellatum, jurejurando obstrinxerit, eum opem sibi laturum, si ab aliquo invaderetur, quod sine dubio erat futurum, nisi vos prohiberetis. (91) Hæc igitur cum animo suo reputans mittit huc legatos Glaucetam, Empedonem et Diodorum illum cursu longo pollentem, qui quidem populo spes inanes, Demostheni et gregalibus ejus nummos afferebant. Tria autem erant quæ simul redimebat : primum, ut ne societatis vestræ spe decideret : nihil enim ei erat medium, si populus superiorum injuriarum memor societatem ejus repudiasset, quin aut Chalcide profugiendum esset aut undique intercepto moriendum; tot et tantæ in eum a Philippo et Thebanis ingruebant copiæ. Secundo autem, stipendia ei delata sunt qui societatem decreverat, ne Chalcidenses communi concilio Athenis convocato interesse cogerentur : tertio denique, ne tributa penderent. (92) Et Calliam quidem nullius eorum quæ sibi proposuerat spes fefellit, sed ille tyrannis, ut ipse fingit, infensus Demosthenes, quem ait Ctesiphon optima semper dicere, oblatas reipublicæ occasiones vendidit, et in societate de-

πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος ἀντὶ τούτων, εὐφημίας ἕνεκα προσγράψας Χαλκιδέας βοηθεῖν ἐάν τις
67 ἴῃ ἐπ' Ἀθηναίους· (93) τὰς δὲ συνεδρίας καὶ τὰς συντάξεις, ἐξ ὧν ἰσχύσειν ὁ πόλεμος ἤμελλεν, ἄρδην ἀπέδοτο, καλλίστοις ὀνόμασι αἰσχίστας πράξεις γράφων καὶ τῷ λόγῳ προσβιβάζων ὑμᾶς, τὰς μὲν βοηθείας ὡς δεῖ τὴν πόλιν πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων, τὰς δὲ συμμαχίας ὑστέρας ποιεῖσθαι μετὰ τὰς εὐεργεσίας. Ἵνα δ' εὖ εἰδῆτε ὅτι ἀληθῆ λέγω, λαβέ μοι τὴν Καλλίου γραφὴν καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

94. Οὔπω τοίνυν τοῦτ' ἐστὶ δεινόν, εἰ καιροὶ πέπρανται τηλικοῦτοι καὶ συνεδρίαι καὶ συντάξεις, ἀλλὰ πολὺ τούτου δεινότερον ὑμῖν φανήσεται ὃ μέλλω λέγειν. Εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δέ, ὃν ἐπαινεῖ Κτησιφῶν, δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων φρονούντων βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ καλούμενον Εὐβοϊκὸν συνέδριον συνήγαγον. Ὃν δὲ τρόπον καὶ δι' οἵων κακουργημάτων, ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι. (95) Ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκέτι δι' ἀγγέλων ἀλλ' αὐτὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους. Εἶπε γὰρ ὡς ἥκοι ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογίζετο ὅσον ἑκάστους ἔδει συντελεῖν, Ἀχαιοὺς μὲν πάντας καὶ Μεγαρέας ἑξήκοντα τάλαντα, τὰς δ' ἐν Εὐβοίᾳ πόλεις ἁπάσας τετταράκοντα· (96) ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν καὶ πεζικὴν δύναμιν· εἶναι δὲ πολλοὺς ἄλλους τῶν Ἑλλήνων οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, ὥστε οὔτε χρημάτων οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν. Καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀπορρήτων, καὶ τούτων εἶναί τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ παρεκάλει Δημοσθένην καὶ συνειπεῖν ἠξίου. (97) Ὁ δὲ σεμνῶς πάνυ παρελθὼν τόν τε Καλλίαν ὑπερεπῄνει τό τε ἀπόρρητον προσεποιήσατο εἰδέναι· τὴν δ' ἐκ Πελοποννήσου πρεσβείαν, ἣν ἐπρέσβευσε, καὶ τὴν ἐξ Ἀκαρνανίας ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι. Ἦν δ' αὐτῷ κεφάλαιον τῶν λόγων πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύνταγμα χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα καὶ εἰς πεζοὺς στρατιώτας μυρίους καὶ ἱππεῖς χιλίους, (98) ὑπάρξειν δὲ πρὸς τούτοις καὶ τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελοποννήσου μὲν πλείονας ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους· δεδόσθαι δὲ ἀπὸ πάντων

cernenda censuit ut Chalcidensibus opem nos ferremus, locutione tantum pro his commutata; honestæ scilicet orationis causa adscripsit, ut Chalcidenses opem ferrent, si quis in Athenienses invaserit; (93) consessum autem communem et tributa, ex quibus belli robora pendebant, prorsus vendidit, speciosissimis verbis res turpissimas complexus, eoque vos dicendo perducens, ut crederetis oportere civitatem nostram semper Græcis auxilio egentibus in primis opem ferre, societates vero post collata demum beneficia pacisci. Ut autem me vera dicere pernoscatis, cape scriptum illud Calliæ et societatem, et recita decretum.

DECRETUM.

94. Nondum vero hoc grave aut indignum est, si tantæ venum dantur opportunitates et consessus et tributa, sed multo illud, quod dicturus sum, indignius videbitur. Eo enim contumeliæ et avaritiæ processit Callias, eo sordidæ nundinationis Demosthenes, quem laudibus effert Ctesiphon, ut tributa quæ tum ab Oreo tum ab Eretria pendebantur, decem talenta, vobis videntibus, prudentibus, inspectantibus, furtim subduxerint, quique ab his civitatibus mitti solebant consessores a vobis avocaverint, atque iterum Chalcidem et in Euboicum quod appellatur concilium transtulerint. Qua autem ratione et quibus improbis præstigiis, id nunc operæ pretium est audire. (95) Venit enim non jam per legatos, sed ipse ad vos Callias, et progressus in concionem orationem habuit sibi a Demosthene elaboratam. Dixit se nuper ex Peloponneso venisse, ibi stipendii collectam adversus Philippum ad centum talenta depactum esse, rationemque inibat, quantum quosque populos conferre oporteret, Achæos omnes et Megarenses talenta sexaginta, Euboicas civitates universas quadraginta: (96) his pecuniis posse comparari et classem et copias pedestres; esse porro multos Græcorum alios, qui hujus collationis partem subire vellent: ita neque pecuniæ neque militum fore penuriam. Atque hæc quidem aperta esse; alias autem moliri se aiebat res arcanas, quarum testes esse nonnullos civium vestrorum; postremo nominatim Demosthenem advocabat, utque hæc una secum dicendo confirmaret petebat. (97) Hic vero grandi admodum incessu in medium progressus mirifice laudabat Calliam, et arcani se conscium esse simulabat; legationem autem a se obitam, tum in Peloponneso tum in Acarnania, velle se jam vobis renuntiare dicebat. Orationis porro ejus hæc summa erat, Peloponnesios omnes, omnesque item Acarnanas esse a se ordine descriptos ad pecuniam adversus Philippum conferendam: descriptionem autem eam esse factam, quæ ad centum naves celeres implendas, ad decem millia peditum, equites mille alendos suppeteret: (98) his accessuras singularum etiam civitatum copias, ex Peloponneso amplius duo millia gravis armaturæ, ex Acarnania totidem altera: ab his omnibus delatum ultro vobis esse principatum; neque

τούτων τὴν ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ αὐτὰ οὐκ εἰς μακρὰν ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ Ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑφ' ἑαυτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν πανσέληνον. (99) Καὶ γὰρ τοῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ. Οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες ὅταν τι ψεύδωνται, ἀόριστα καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν ἐπαρώμενος ἑαυτῷ, δεύτερον δέ, ἃ εὖ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται, καὶ ὧν τὰ σώματά οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει, κλέπτων τὴν ἀκρόασιν καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας. Διὸ καὶ μάλιστα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς ὢν καὶ τὰ τῶν χρηστῶν σημεῖα διαφθείρει. (100) Ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ μακρότερον μὲν τῆς Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων οὓς εἴωθε λέγειν καὶ τοῦ βίου ὃν βεβίωκε, 68 μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων οὐδέποτε συλλεγησομένων. Ἀπαγαγὼν δ' ὑμᾶς ἄποθεν ἀπὸ τοῦ κλέμματος καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐνταῦθα δὴ συστρέψας γράφει κελεύων ἑλέσθαι πρέσβεις εἰς Ἐρέτριαν, οἵτινες δεήσονται τῶν Ἐρετριέων (πάνυ γὰρ ἔδει δεηθῆναι) μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν τὰ πέντε τάλαντα, ἀλλὰ Καλλίᾳ, καὶ πάλιν ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας πρέσβεις, οἵτινες δεήσονται αὐτοῖς τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶναι. (101) Ἔπειτα ἀναφαίνεται περὶ ἅπαντ' ὢν ἐν τῷ ψηφίσματι πρὸς τῷ κλέμματι, γράψας τὰ πέντε τάλαντα τοὺς πρέσβεις ἀξιοῦν τοὺς Ὠρείτας μὴ ὑμῖν ἀλλὰ Καλλίᾳ διδόναι. Ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν ἀνάγνωθι καὶ τοῦ κλέμματος ἅψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὅν φησι Κτησιφῶν καὶ ἐν τῷδε τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων.

ΨΗΦΙΣΜΑ.

102. Οὐκοῦν τὰς μὲν τριήρεις καὶ τὴν πεζὴν στρατιὰν καὶ τὴν πανσέληνον καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε.

103. Ὑπόλοιπον δέ μοί ἐστιν εἰπεῖν ὅτι λαβὼν τρία τάλαντα μισθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ, δι' ὃ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. Ἐξανηλωμένοι γὰρ ἐν τῷ πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμενοι πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον τὸν Χαριγένους υἱὸν τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον αὐτοῦ τὸ μὲν τάλαντον ἀφεῖναι τῇ πόλει, ἐπαγγελλόμενον δ' αὐτῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ. (104) Ὁ δὲ ἀπεκρίνατο

vero longum fore quum hæc perficerentur, sed ad decimum sextum mensis Anthesterionis; singulis enim civitatibus a se prædictum esse ac denuntiatum, ut omnes Athenas in concilium convenirent ad plenilunium. (99) Etenim hanc sibi homo propriam et non jam omnium communem habet facultatem. Ceteri enim vaniloqui jactatores, quum quid mentiuntur, dant operam ut indefinita quædam et obscura proferant, veriti ne coarguantur; at Demosthenes, si quid arrogantius confingit, primum quidem perjurio mendacium cumulat, exitium sibi imprecans, deinde, quæ certo scit nunquam futura, audet affirmare, ratione etiam inita quando sint eventura definit, et quos ne de facie quidem novit, eorum nomina in ore habet, auribus vestris abusus, eosque qui vera loquuntur imitatus. Quocirca odio vel acerbissimo dignus est, quod improbus quum sit, etiam bonorum virorum indicia corrumpit. (100) His igitur dictis, decretum dat scribæ recitandum, Iliade quidem prolixius, verbis autem, quæ loqui solet, et vita, quam egit, inanius, spe denique fallaci et exercitibus nunquam conventuris cumulatum. Quum autem vos a furti suspicione abduxisset, et spe futili suspensos tenuisset, illic vero se totum colligens decretum scribit, quo legatos Eretriam mitti jubet, qui orent Eretrienses (omnino enim orandi erant) ut tributum suum, quinque illa talenta, non vobis posthac, sed Calliæ, pensitarent, rursusque alteros legari censet ad Oritas, qui et ipsi peterent, ut eundem sibi atque Athenienses amicum eundemque inimicum haberent. (101) Deinde apparet eum circa omnia in decreto illo esse furto intentum. Scripsit enim ut legati ab Oritis postulent ne vobis sed Calliæ quinque sua talenta penderent. Ut autem me vera dicere pateat, demptis ex decreto verborum fastu et triremibus et inani jactatione, recita, et furtum illud attinge, quod fecit impurus ac nefarius homo, quem ait Ctesiphon in hoc etiam decreto assidue et dicere et agere quæ maxime sint populo Atheniensi salutaria.

DECRETUM.

102. Itaque triremes quidem et pedestres copias et plenilunium et consessores verbo audistis, sociorum vero tributa, decem talenta, re amisistis.

103. Reliquum est ut ostendam, Demosthenem trium talentorum mercede accepta decretum hoc tulisse, uno talento ex Chalcide a Callia, altero ex Eretria a Clitarcho tyranno, tertio autem ex Oreo; ex quo etiam furta ejus patefacta sunt, quod Oritarum libera civitas est, et nihil illi agunt nisi per plebiscitum. Ii enim bello quod cum Philippo gesserant exhausti, et summa inopia laborantes, mittunt ad eum Gnosidemum Charigenis filium, ejus qui quondam Orei principatum tenuit, qui ab eo supplex peteret ut talentum civitati remitteret, promitteret autem æneam ei statuam in Oreo ponendam. (104) At iste Gnosidemo re-

τῷ Γνωσιδήμῳ ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰσπράττειν. Ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐποροῦντες ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν. Καὶ πάντ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. (105) Ὅτι δὲ τἀληθῆ λέγω, λαβέ μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν.

ΨΗΦΙΣΜΑ.

Τοῦτ' ἐστὶ τὸ ψήφισμα, ὦ Ἀθηναῖοι, αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία τοῦ Κτησιφῶντος· τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν, ἃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι.

106. Ἐνταῦθ' ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ' ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν Ἑλλήνων καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας. Ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν.

107. Ἔστι γάρ, ὦ Ἀθηναῖοι, τὸ Κιρραῖον ὠνομασμένον πεδίον καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος. Ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιρραῖοι καὶ Κραγαλίδαι, γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς καὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς Ἀμφικτύονας. Ἀγανακτήσαντες δ' ἐπὶ τοῖς γενομένοις μάλιστα μέν, ὡς λέγεται, οἱ πρόγονοι οἱ ὑμέτεροι, ἔπειτα δὲ καὶ οἱ ἄλλοι Ἀμφικτύονες μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν. (108) Καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιρραίοις καὶ Κραγαλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας καὶ αὐτοὺς ἀνδραποδισαμένους
69 ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ καὶ Ἀρτέμιδι καὶ Λητοῖ καὶ Ἀθηνᾷ Προναίᾳ ἐπὶ πάσῃ ἀεργίᾳ, καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι μήτ' ἄλλον ἐᾶν. Λαβόντες δὲ τὸν χρησμὸν οἱ Ἀμφικτύονες ἐψηφίσαντο Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς κατὰ τὴν μαντείαν τοῦ θεοῦ· (109) καὶ συναθροίσαντες δύναμιν ἱκανὴν τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους καὶ τὸν λιμένα ἔχωσαν καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν μήτ' αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι μήτ' ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ [καὶ φωνῇ] καὶ πάσῃ δυνάμει. (110) Καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ

spondit, sibi pauxillulo æris nihil esse opus, talentum vero per Calliam se exacturum. Coacti igitur Oritæ, neque unde sumerent habentes, vectigalia publica talenti nomine ei oppignerarunt, et pecuniæ illius turpiter conciliatæ usuram solverunt Demostheni singulis mensibus unam in minam drachmam, donec sortem reddidissent. Atque hæc acta sunt cum populi scito. (105) Quod ut vere a me dici constet, sume hoc Oritarum plebiscitum.

PLEBISCITUM.

Hoc est illud plebiscitum, Athenienses, probrum ac dedecus nostræ civitatis, rerum a Demosthene publice gestarum non leve indicium, perspicua Ctesiphontis criminatio. Nam qui tam turpiter muneribus se corrumpendum dederit, fieri non potest ut vir bonus sit, quod tamen iste in suo ausus est decreto perscribere.

106. Hic vero tertium jam collocatum tempus est, vel potius omnium acerbissima tempestas, qua Demosthenes et Græcorum et civitatis nostræ rempublicam funditus evertit, primum quum in templum Delphicum impie deliquit, deinde quum injustam et omnino imparem cum Thebanis societatem decrevit. Sed a sceleribus, quæ in deos immortales suscepit, initium ducam.

107. Campus est, Athenienses, quem Cirrhæum nominant, portusque qui hodie Sacer et Sceleratus appellatur. Eam regionem tenuerunt olim Cirrhæi et Cragalidæ, gentes a legibus alienissimæ, qui et templum Delphicum et quæ in eo erant donaria violarunt, simulque Amphictyonum concilio injurias intulerunt. Ob hæc igitur facta indignati, quum reliqui Amphictyones, tum vero maxime, ut ferunt, majores vestri, oraculum dei scitabantur, quibus suppliciis in istos homines animadvertere oporteret. (108) Respondit Pythia, uti Cirrhæos et Cragalidas omni tempore dies noctesque bello vexarent, direptisque eorum finibus ipsisque in servitutem abstractis, agros illos Apollini Pythio, Dianæ, Latonæ, Minervæ Pronææ, ut in perpetuum inculti essent, consecrarent, eosque neque ipsi colerent neque ab alio coli paterentur. Hoc oraculo accepto, Amphictyones decreverunt, sententiam dicente Solone Atheniensi, viro et legum scribendarum peritissimo et in poeticæ ac philosophiæ studiis exercitato, ut ex oraculi præscripto exercitus contra sceleratos duceretur. (109) Justis itaque ex Amphictyonibus collectis copiis, homines illos in servitutem redegerunt, portum obstruxerunt, urbem funditus diruerunt, regionem omnem ex oraculo consecrarunt, quin et religiosissimo se sacramento devinxerunt, neque se terram sacram culturos neque ab aliis coli passuros, sed opem deo terræque sacræ, manibus, pedibus, voce, omni virium contentione pelaturos. (110) Neque vero satis habuerunt, jusjurandum hoc sanxisse, sed devotionem insuper et

καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο. Γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ, « εἴ τις τάδε » φησί « παραβαίνοι ἢ πόλις ἢ ἰδιώτης ἢ ἔθνος, ἐναγής « φησιν » ἔστω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος καὶ Λητοῦς καὶ Ἀθηνᾶς Προναίας. » (111) Καὶ ἐπεύχεται αὐτοῖς μήτε γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα ἀλλὰ τέρατα, μηδὲ βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἧττταν δὲ αὐτοῖς εἶναι πολέμου καὶ δικῶν καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας καὶ γένος τὸ ἐκείνων. « Καὶ μήποτε » φησίν « ὁσίως θύσαιεν τῷ Ἀπόλλωνι μηδὲ τῇ Ἀρτέμιδι μηδὲ τῇ Λητοῖ μηδ' Ἀθηνᾷ Προναίᾳ, μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά. » (112) Ὅτι δ' ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν. Ἀκούσατε τῆς ἀρᾶς· ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν.

MANTEIA.

[οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
πρίν γε θεοῦ τεμένει κυανώπιδος Ἀμφιτρίτης
κῦμα ποτικλύζῃ, κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.]

APA. OPKOI.

113. Ταύτης τῆς ἀρᾶς καὶ τῶν ὅρκων καὶ τῆς μαντείας γενομένης, ἀναγεγραμμένων ἔτι καὶ νῦν, οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν, ἄνδρες παρανομώτατοι, ἐπειργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν καὶ συνῴκισαν, καὶ τέλη τοὺς καταπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς πυλαγόρων ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης. (114) Χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν πυλαγόρας λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων ὑπὲρ τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι. Διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧτε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνησι κατὰ πάντα τρόπον· ὅθεν μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ, ὅτου ἂν προσάψηται ἀνδρὸς ἰδιώτου ἢ δυνάστου ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν.

115. Σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην, ὡς περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας. Ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου, πυλαγόρους ὑμεῖς εἵλεσθε Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν Λέκκιον, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ. Συνέβη δ' ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συνεπε-

exsecrationem validam adjecerunt. Ita enim in exsecratione scriptum est : *Si quis*, inquit, *hæc violaverit*, *sive civitas sive quis privatus*, *sive natio*, *caput ejus Apollini*, *Dianæ*, *Latonæ*, *Minervæ Pronææ devotum esto* : (111) imprecatur iis porro, ut neque ipsis terra fructum ferat, neque conjuges eorum liberos parentibus similes sed portenta enitantur, neque pecudes fœtus naturales edant; ut e bello, e judiciis, e foro victi discedant, et internecione deleantur et ipsi et ædes et genus ipsorum; neque *unquam*, inquit, *Apollini aut Dianæ aut Latonæ aut Minervæ Pronææ sancte libanto, neque numinibus illis eorum sacra accepta sunto.* (112) Atque ut hæc vera dicere me pateat, recita dei oraculum. Audite exsecrationem; jurisjurandi, quod cum ceteris Amphictyonibus majores vestri juraverunt, memoriam repetite.

ORACULUM.

[Non prius hanc urbis captam delebitis arcem,
Quam mea templa mihi fervens maris alluat unda,
Litoribusque sacris resonet Neptunia conjunx.]

EXSECRATIO. JUSJURANDUM.

113. Hac exsecratione facta, hoc jurejurando, hoc oraculo dato, quæ omnia in tabulas publicas relata adhuc exstant, Locri Amphissenses, ac potius eorum principes, homines iniquissimi, campum illum excoluerunt, portum sacrum et sceleratum rursus munierunt et habitarunt, ac portoria ab adnavigantibus exegerunt; nonnullos etiam ex Pylagoris qui Delphos proficiscebantur pecunia corruperunt, quo quidem in numero fuit Demosthenes. (114) Nam suffragio creatus a vobis Pylagoras mille drachmas ab Amphissensibus accepit, ne quam eorum apud Amphictyonas mentionem faceret. Pacto etiam promissum erat, ut in posterum viginti minæ ex devota illa et exsecrata pecunia singulis annis Athenas ei mitterentur, ut ibi omni contentione Amphissensibus opitularetur. Unde magis etiam quam unquam alias ei contigit, ut quemcunque vel privatum vel potestate præditum vel liberam civitatem attingeret, eorum singulos insanabilibus ærumnis implicaret.

115. Sed videte, quæso, quantopere vicerit Amphissensium impietatem divinum numen et fortuna. Archonte Theophrasto, hieromnemone Diogneto Anaphlystio, vos Pylagoras legistis Midiam illum Anagyrasium, quem ego multis de causis velim nunc superstitem, et Thrasyclem Leccium, et me una cum his tertium. Accidit autem quum primum Delphos delati sumus, ut Diognetus hieromnemon in febrim inciderit; eodemque morbo correptus est Midias. Ceteri

πτώκει καὶ τῷ Μειδίᾳ. Οἱ δ' ἄλλοι συνεκάθηντο Ἀμφικτύονες. (116) Ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως, πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι χρυσᾶς ἀσπίδας ἀνέθηκε πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξαράσασθαι, καὶ ἐπεγράψαμεν τὸ προσῆκον ἐπίγραμμα « Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο. » Μεταπεμψάμενος δέ με ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον. (117) Ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον, τῶν ἄλλων πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος καὶ (ὡς ἐμοὶ ἐφαίνετο) οὐδεμιᾶς παιδείας μετεσχηκώς, ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου, « ἀρχὴν δέ γε » ἔφη « ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ' ἂν ὠνομάζετο τοὔνομα τοῦ δήμου τῶν Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς ἐξῄγετε ἐκ τοῦ ἱεροῦ. » (118) Ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρωβύλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει λέγων, ἃ ἐγὼ οὔτε τοτ' ἐκαρτέρουν ἀκούων οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν. Ἀκούσας δὲ οὕτω παρωξύνθην ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ. Καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπῆλθε δέ μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν Ἀμφισσέων περὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτύοσιν· ὑπόκειται γὰρ τὸ Κιρραῖον πεδίον τῷ ἱερῷ καὶ ἔστιν εὐσύνοπτον. (119) « Ὁρᾶτ', » ἔφην ἐγώ, « ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τοῦτο τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ αὔλια· ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον· ἴστε τούτους αὐτοὶ (καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων) τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος. » Ἅμα δὲ ἀναγιγνώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην, καὶ διωριζόμην ὅτι (120) « ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δ' ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε. Ἐνῆρκται μὲν τὰ κανᾶ, παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ. (121) Σκοπεῖτε δὲ ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους. Οὐ γὰρ δι' αἰνιγμάτων ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ

Amphictyones in concessum coibant. (116) Interea affertur ad nos ab iis qui suam in civitatem vestram benevolentiam declarare cuperent, Amphissenses, subjectos tunc et mirum in modum subservientes Thebanis, decretum adversus civitatem nostram attulisse, quo populus Atheniensis quinquaginta talentis mulctaretur, propterea quod novo templo priusquam esset dedicatum aureos clypeos suspendissemus, addita inscriptione quam addi par erat, *Athenienses de Medis ac Thebanis, quo tempore adversum Græcos hi pugnarunt.* Hieromnemon autem accersitum me rogabat, ut in concilium ingressus aliquid apud Amphictyonas pro civitate nostra dicerem, quum ipse ultro id in animo haberem. (117) Postquam igitur verba facere cœperam, et quidem paullo cupidius in concilium ingressus eram, quod ceteri Pylagoræ nostri abessent, exclamans quidam ex Amphissensibus, homo procacissimus et, ut mihi videbatur, omnis doctrinæ liberalis expers, fortassis etiam a deo aliquo irato in hanc amentiam impulsus, *Omnino, si saperetis*, inquit, *vos Græci, ne nomen quidem Atheniensium his diebus nominaretis, sed eos tanquam impios et contaminatos templo exturbaretis.* (118) Et simul Phocensium societatem, quam Crobylus ille suaserat, commemorabat, multaque alia acerba et odiosa in civitatem nostram expromebat, ea percensens quæ neque tunc aures meæ sustinere poterant, neque nunc memoria libenter excito. Ceterum his auditis, tanta ego ira exarsi, quanta nunquam alias per totum vitæ meæ cursum. Atque alia quidem quæ tum locutus sum prætermittam : verum in mentem mihi venit Amphissensium in terram sacram impietatis facere mentionem, quam terram eodem e vestigio in quo insistebam Amphictyonibus monstrabam. Nam campus Cirrhæus templo subjacet, indeque facilis est conspectu. (119) *Videtis*, inquam, *Amphictyones, campum hunc ab Amphissensibus excultum, videtis figlinas et diversoria exstructa. Cernitis oculis sacrum et sceleratum portum illum munitum. Scitis ipsi, neque aliis testibus egetis, istos ex sacro portu vectigalia exigere pecuniamque cogere.* Simul iis dei oraculum, majorum jusjurandum, exsecrationem factam recitari jubebam, ac distinctis verbis, (120) *Ego*, dicebam, *pro populo Atheniensi, pro me, pro liberis domoque mea, ex majorum jurisjurandi præscripto, deo terræque sacræ, manibus, pedibus, voce, quibuscumque denique rebus possum, opem feram, et civitatem nostram piaculo liberabo : vos vero vobis ipsi jam consulite. Canistrorum cœpta est circumvectatio, admotæ sunt altaribus hostiæ, bona tum publica tum privata a diis immortalibus estis petituri.* (121) *Vobiscum itaque reputate, qua voce, qua mente, quibus oculis, qua fidentia freti supplicationes facietis, si consceleratos et diris devotos homines inultos dimittetis. Non enim obscure sed apertissime in exsecratione scriptum est, quibus sint afficiendi suppliciis tum sa-*

κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται, μηδ᾽ ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντες, φησί, τῷ Ἀπόλλωνι μηδὲ τῇ Ἀρτέμιδι μηδὲ τῇ Λητοῖ μηδ᾽ Ἀθηνᾷ Προναίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά. »

122. Τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολλὴ καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ λόγος ἦν οὐκέτι περὶ τῶν ἀσπίδων ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ᾽ ἤδη περὶ τῆς τῶν Ἀμφισσέων τιμωρίας. Ἤδη δὲ πόρρω τῆς ἡμέρας οὔσης προελθὼν ὁ κῆρυξ ἀνεῖπε, Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι, καὶ δούλους καὶ ἐλευθέρους, ἥκειν ἅμα τῇ ἡμέρᾳ ἔχοντας ἄμας καὶ δικέλλας πρὸς τὸ Θύστιον ἐκεῖ καλούμενον· καὶ πάλιν ὁ αὐτὸς κῆρυξ ἀνηγόρευε τοὺς ἱερομνήμονας
71 καὶ πυλαγόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· « ἥτις δ᾽ ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ καὶ ἐναγὴς ἔσται καὶ τῇ ἀρᾷ ἔνοχος. » (123) Τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιρραῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν. Ταῦτα δὲ ἡμῶν πραττόντων οἱ Λοκροὶ οἱ Ἀμφισσεῖς, ἑξήκοντα στάδια ἄποθεν οἰκοῦντες Δελφῶν, ἦλθον πρὸς ἡμᾶς μεθ᾽ ὅπλων πανδημεί· καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφούς, ἐκινδυνεύσαμεν ἂν ἀπολέσθαι. (124) Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος ὁ τὰς γνώμας ἐπιψηφίζων ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσιν, ὅταν μὴ μόνον τοὺς πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας καὶ χρωμένους τῷ θεῷ. Ἐνταῦθ᾽ ἤδη πολλαὶ μὲν ἐγίνοντο τῶν Ἀμφισσέων κατηγορίαι, πολὺς δ᾽ ἔπαινος ἦν κατὰ τῆς ἡμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα καθ᾽ ὅ τι δίκας δώσουσιν οἱ Ἀμφισσεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον. Ὅτι δὲ ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

125. Τοῦ δόγματος τούτου ἀποδοθέντος ὑφ᾽ ἡμῶν ἐν τῇ βουλῇ καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ, καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος, ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐχ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον καὶ μεταστησάμενος τοὺς ἰδιώτας ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· (126) τὸ δ᾽ αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι καὶ γενέσθαι δήμου ψήφισμα ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ (οὐ γὰρ ἄν ποτε ἐπέτρεψα) καὶ τῶν πολλῶν δὲ ἀφειμένων· οὗ τὸ κεφάλαιόν

crilegi, tum ii qui impietatem permiserint, ac postrema exsecrationis clausula est : NE PURE, *inquit*, LIBANTO APOLLINI, DIANÆ, LATONÆ, MINERVÆ PRONÆÆ, QUI NON POENAS EXEGERINT, NEQUE HIS EORUM SACRA ACCEPTA SUNTO.

122. Quum hæc et alia hujusmodi multa dixissem, cessi atque e consessu migravi; clamor illico ingens et fremitus inter Amphictyonas coortus est, neque jam de clypeis, quos dicaveramus, sed de pœnis ab Amphissensibus sumendis agebatur. Die igitur jam provecta, præco procedens nuntiavit, ut quotquot ex Delphis biennio pubertatem superassent, tum servi tum liberi, statim ubi diluxerit, cum falcibus et ligonibus ad Thystium quem appellant locum convenirent. Iterum idem præco edixit, ut hieromnemones et Pylagoræ eodem venirent deo et terræ sacra auxilium laturi : si qua vero civitas non affuerit, templo arceretur, scelerata foret et exsecrationi obnoxia. (123) Postridie mane in prædictum locum convenimus, in campum Cirrhæum descendimus, et effosso portu ædificiisque incensis rediimus. Interea dum hæc agimus, Locri Amphissenses qui sexaginta circiter stadia a Delphis distabant, armati in nos impetum fecerunt universi, et nisi in pedes conjecti vix tandem Delphos pervenissemus, periculum certe fuit ne funditus periremus. (124) Die proximo Cottyphus, qui sententias suffragiis permittebat, concionem indicit Amphictyonum; concionem autem nominant, quando non solum Pylagoras et hieromnemonas convocant, sed eos etiam qui sacra simul faciunt, quique oraculum dei adeunt. Ibi vero multis accusationibus urgentur Amphissenses, nostra civitas contra magnis laudibus ornatur. Totius autem orationis hic exitus fuit : decernitur ut hieromnemones ante proximum Pylæum consessum constituto tempore in Pylas coirent, unaque decretum afferrent, ex quo essent Amphissenses scelerum suorum in deum inque terram sacram et Amphictyones pœnas daturi. Ut autem vera me loqui per noscatis, decretum ipsum vobis scriba recitabit.

DECRETUM.

125. Hoc igitur decreto a nobis tum in senatu renuntiato, tum in concione ad populum prolato, et actionibus nostris a populo comprobatis, et universa civitate ad studium pietatis excitata, quum Demosthenes propter mercedis sponsionem illam Amphissensem contradiceret, a me vero coram vobis manifeste coargueretur, neque jam posset homo in propatulo civitatem decipere, ingressus in curiam et summotis privatis præconsultum senatus scribendum curat et in concionem defert, ejus qui scripserat imperitia abusus : (126) perfecit porro, ut hoc ipsum senatus consultum in concione suffragiis permitteretur atque a populo sciseretur, quum surrexisset jam concio, egoque discessissem (neque enim unquam passus essem), plurimique alii jam abiissent;

ἐστι, « τὸν ἱερομνήμονα » φησί « τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων », εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε χρόνου γίνεσθαι. (127) Καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει, « τὸν ἱερομνήμονα » φησί « τῶν Ἀθηναίων καὶ τοὺς πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις μήτε λόγων μήτε ἔργων μήτε δογμάτων μήτε πράξεως μηδεμιᾶς. » Τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τἀληθὲς εἴπω ἢ τὸ ἥδιστον ἀκοῦσαι; τὸ ἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον ουτωσὶ τὴν πόλιν διατέθεικεν. Οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς ἡμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

128. Ἡμεῖς μὲν οὖν Ἀθηναῖοι κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτῆς μηδενὶ τῶν Ἑλλήνων. Καὶ συνελθόντες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας, καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μακρὰν ἀπόντος· ὃν αὐτίκα μάλα τολμήσει λέγειν Δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς Ἕλληνας ἐπήγαγον. (129) Καὶ παρελθόντες τῇ πρώτῃ στρατείᾳ καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν· ἀντὶ
72 γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτ' ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι, καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο, τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον. Ἐπειδὴ δὲ οὔτε τὰ χρήματα ἐξέτινον τῷ θεῷ τούς τ' ἐναγεῖς κατήγαγον καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξέβαλον, οὕτως ἤδη τὴν δευτέραν στρατείαν ἐπὶ τοὺς Ἀμφισσεῖς ἐποιήσαντο, πολλῷ χρόνῳ ὕστερον, ἐπανεληλυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης.

130. Ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι, μόνον οὐχ ἀνθρώπων φωνὰς προσκτησάμενοι; Οὐδεμίαν τοι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σωζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην. Οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι, ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν ὅ τι χρὴ πράττειν, Δημοσθένης δὲ ἀντέλεγε φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας; (131) οὐ τὸ τελευταῖον ἀθύτων καὶ

cujus quidem sciti caput hoc fuit: *Hieromnemon*, inquit, *Atheniensium et Pylagoræ quotquot in posterum futuri sunt ad Pylas et Delphos proficiscantur iis temporibus quæ a majoribus nostris constituta sunt*, verbo quidem honeste, re turpiter et flagitiose: prohibet enim quominus ad consessum illum Pylæum occurrant, qui necessario ante præstitutum tempus erat futurus. (127) Sed aliud ei scito adscriptum est multo et apertius et acerbius. *Atheniensium*, inquit, *Hieromnemon et Pylagoræ, qui posthac futuri sunt, cum iis qui illuc conveniunt neque verborum neque factorum neque scitorum neque ullius rei habeant commercium.* Quorsum autem illud est, Ne habeant commercium? Verumne dicam, an id quod sit auditu jucundissimum? Verum dicam; nam quod ita semper ad voluptatem dictum fuit, id vero civitatem nostram huc redegit. Non sinit vos jurisjurandi meminisse, quod majores vestri juraverunt, non exsecrationis, non oraculi.

128. Nos igitur Athenienses propter hoc plebiscitum hic mansimus, at vero reliqui Amphictyones ad Pylas convenerunt præter unam civitatem, cujus ego neque nomen proferam, et absit precor ut Græcorum cuiquam similis accidat calamitas! Ibique congregati exercitum in Amphissenses ducendum censuerunt, et imperatorem legerunt Cottyphum illum Pharsalium, qui tum sententias suffragiis subjiciebat; quo tempore non erat in Macedonia Philippus, quin ne in Græcia quidem, sed in Scythia versabatur adeo longe abhinc remotus, quem tamen mox audebit dicere Demosthenes impudenter a me esse in Græcos immissum. (129) Ac prima quidem expeditione victores valde se moderatos in Amphissenses præbuerunt. Pro atrocissimis enim injuriis pecuniis tantum eos mulctarunt, quas præstituto tempore deo persolvi decreverunt, et sceleratos commissorumque facinorum auctores abegerunt, eos vero qui pietatis causa profugerant revocarunt. Sed quum illi neque pecuniam deo persolverent, sceleratos autem restituerent, et pios illos homines ab Amphictyonibus revocatos ejicerent, jam tum alteram in Amphissenses aciem instruxerunt, longo post intervallo, quum ab expeditione Scythica reversus erat Philippus, quumque defendendæ religionis principatum dii immortales nobis detulerant, Demosthenis autem avaritia et sordes impedimento erant.

130. At non prædicebant, non præmonstrabant nobis dii ut caveremus, tantum non humanis vocibus eloquentes? Nullam unquam ego civitatem vidi deorum præsidio insignius custodiri, ab oratoribus rursus quibusdam pessumdari. Non satis ad præmonendum valebat portentum illud mysteriorum diebus visum, mystarum interitus? non ob hæc Amyniades prædixerat ut caveremus, ut certos homines Delphos mitteremus, qui quid facto opus esset oraculum sciscitarentur; Demosthenes vero obstitit, quum Pythiam Philippo studere prædicaret, vir illiberalis et hac quam ei datis licentia insolenter perfruens et inflatus? (131) Postremo

ἀκαλλιερήτων τῶν ἱερῶν ὄντων ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; Καίτοι γε πρῴην ἀπετόλμησε λέγειν ὅτι παρὰ τοῦτο Φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά. Τίνος οὖν ζημίας ἄξιος εἶ τυχεῖν, ὦ τῆς Ἑλλάδος ἀλιτήριε; Εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι πρὶν καλλιερῆσαι τοὺς στρατιώτας ἐξέπεμψας, πότερον στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις ἢ ὑπερωρίσθαι;

132. Τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ἡμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν. Οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεύς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; Καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὸν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἳ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν. (133) Θῆβαι δέ, Θῆβαι, πόλις ἀστυγείτων, μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, εἰ καὶ δικαίως, περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως ἀλλὰ δαιμονίως κτησάμενοι. Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς ὅ τι ἂν ἐκείνῳ δόξῃ, καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθήσονται. (134) Ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν Ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς Ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκέτι περὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους. Καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξ ὅτου Δημοσθένης πρὸς τὴν πολιτείαν προσελήλυθεν. Εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται. Λέγει γάρ που, παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι.

73 (135) Λέξω δὲ κἀγὼ τὰ ἔπη· διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐτοῖς χρώμεθα.

Πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγα πῆμα δῶκε Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ λαοί·
ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅ γε τεῖχος,
ἢ νέας ἐν πόντῳ ἀποτίνυται εὐρύοπα Ζεύς.

nonne hostiis non litatis, non addicentibus, milites ad manifestum misit vitæ periculum? Atque is nuper ausus est dicere, Philippum idcirco in nostram regionem non invasisse, quod sacra ei haud pulcre cessissent. Quo igitur supplicio dignus es, o Græciæ clades? Si enim ipse victor in eorum qui victi erant fines non invasit, quod sacra ei non pulcre cessissent, tu autem nescius quid esset omnino futurum, priusquam litasses milites emisisti, utrum oportuit te propter clades civitatis corona donari, an ejici atque exterminari?

132. Nam quid insperati, quid inexspectati nostra ætate non evenit? Non enim vitam nos humanam viximus, sed ut incredibilia de nobis loquantur posteri, in lucem editi sumus. Non Persarum rex, qui Athon perfodit Hellespontumque junxit, qui terram et aquam Græcos postulavit, qui se in literis ausus est mortalium omnium ab ortu solis usque ad occasum dominum appellare, jam non de dominatu in alios, sed de sui corporis salute dimicat? At eosdem cernimus hac gloria et belli adversus Persam principatu dignatos, qui etiam templum Delphicum liberarunt. (133) Thebæ vero, Thebæ, urbs vicina, uno die ex media Græcia funditus abrepta est, ac ni fallor jure, quippe quæ nullum rectum consilium de summa rerum agitaverat, veruntamen non humano sed divino quodam impulsu in hanc fatuitatem et amentiam fuerat protrusa. Jam Lacedæmonii miserrimi, qui leviter tantum et initio rebus illis quum templum diriperetur se immiscuerant, qui sibi Græciæ principatum quondam arrogabant, nunc ut Macedonibus dent obsides suæque calamitatis indicium haud obscurum edant ad Alexandrum legationem sunt missuri, pœnas ipsi cum sua patria, quascumque illi visum fuerit, daturi, denique et victoris et injuria lacessiti judicio et moderationi sese tradituri. (134) Civitas vero nostra, commune Græcorum perfugium, ad quam legationes olim ex singulis Græciæ civitatibus ventitabant, salutem omnes a vobis paraturæ, jam non de Græcorum imperio dimicat, sed de patrio ipsius solo. Et hæc omnia nobis acciderunt mala, ex quo Demosthenes ad rempublicam accessit. Præclare sane de hujusmodi viris cecinit poeta Hesiodus. Dicit enim alicubi, populos erudiens et civitatibus consulens, ne improbos oratores admittant. (135) Atqui carmina ipsa vobis recitabo. In hunc enim finem arbitror nos, dum pueri sumus, poetarum sententias perdiscere, ut iis ætate jam adulta utamur.

Sæpe viri gens tota luit scelus unius atrox,
Demens qui peccat, qui res molitur iniquas.
Juppiter hos contra summo demittit Olympo
Omne mali genus exitii, pestemque famemque:
Vel aciem immanem perimit, vel mœnia sternit,
Vel rapidis naves jactatas obruit undis.

(136) Ἐὰν δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον τὰς γνώμας ἐξετάζητε, οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν· καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνηρπασμέναι ἐκ τῆς τούτου πολιτείας.

137. Ἀλλ' οἶμαι, οὔτε Φρυνώνδας οὔτε Εὐρύβατος οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες καὶ ἄνθρωποι ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ἡμῖν ἐποιήσαντο οὐ διὰ τὸν καιρόν, οὐ διὰ τὸν φόβον τὸν περιστάντα αὐτούς, οὐ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας. (138) Καίτοι πολλὰς μὲν πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι, πρῶτος μὲν Θρασύβουλος ὁ Κολλυτεύς, ἀνὴρ ἐν Θήβαις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος, πάλιν Θράσων ὁ Ἐρχιεύς, πρόξενος ὢν Θηβαίοις, Λεωδάμας ὁ Ἀχαρνεύς, οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος ἀλλ' ἔμοιγε καὶ ἡδίων, (139) Ἀρχέδημος ὁ Πήληξ, καὶ δυνατὸς εἰπεῖν καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους, Ἀριστοφῶν ὁ Ἀζηνιεύς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, Πύρρανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ. Ἀλλ' ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἐδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν. Τὸ δ' αἴτιον οἶδα μέν, λέγειν δ' οὐδὲν δέομαι διὰ τὰς ἀτυχίας αὐτῶν. (140) Ἀλλ' οἶμαι ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ' αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ' ἤδη, ἐπεὶ τὸ δεινὸν αὐτῶν ἥπτετο, μετεπέμψαντο Ἀθηναίους, καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῄειτε εἰς τὰς Θήβας ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοί, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. (141) Ὁ δ' εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος καὶ χρεία συμμαχίας, ἀλλ' οὐ Δημοσθένης, ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε, πρῶτον μὲν ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ' ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε, καὶ τί δεῖ τὰ πλείω λέγειν; ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, (142) προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι οὐ διὰ τοὺς καιροὺς ἀλλὰ διὰ τὰς αὑτοῦ πρεσβείας, πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ' ἀγαπᾶν μόνον εἰ γίνεται, τοῦτο δὲ προλαβὼν ἔκδοτον μὲν τὴν Βοιωτίαν πᾶσαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ

(136) Quodsi detractis poetæ numeris, sententias perpendatis, puto vobis non Hesiodi carmen, sed oraculum de publica Demosthenis administratione visum iri. Istius enim in republica gerenda institutis classes, exercitus, urbes penitus dissipatæ sunt.

137. Sed neque Phrynondam, arbitror, neque Eurybatum neque alium quenquam eorum qui olim improbitate excelluerunt, talem magum aut præstigiatorem exstitisse, qualis hic noster est, qui, o tellus, o dii immortales, dæmones atque homines, quicumque vera audire curatis! audet, os vestrum directo contuens, audet affirmare, Thebanos societatem vobiscum iniisse, non temporum ratione, non metu instanti, non vestra existimatione commotos, sed Demosthenis concionibus adductos. (138) Atqui multas ante istum legationes Thebas obierant homines, quibus summa cum illis familiaritas intercessit, primo quidem imperator ille Thrasybulus Collytensis, vir apud Thebanos fide et auctoritate valens ut nemo alius : deinde Thrason Erchiensis, hospes publicus Thebanorum : Leodamas porro Acharnensis, dicendi viribus Demostheni non inferior, ac mihi quidem multo suavior visus orator : (139) Archedemus Pelex, ipse quoque facundus et qui multa in rep. gerenda propter Thebanos pericula adiit : Aristophon Azeniensis, qui perdiu Bœotorum partibus studuisse insimulatus est : Pyrrhander denique Anaphlystius orator, qui etiam nunc vivit. Sed tamen nemo unquam ex iis Thebanos potuit ad vestram amicitiam perducere; causam equidem scio, sed propter eorum calamitates non necesse est exponere. (140) At enim, opinor, postquam Philippus ademptam iis Nicæam Thessalis tradiderat, bellumque, quod olim ex Bœotorum finibus depulerat, nunc denuo per Phocidem in ipsas Thebas revexerat, postquam denique Elateam occupatam vallo munierat, in eamque præsidium imposuerat, ibi demum illi, instantium malorum metu incumbente, Athenienses accersiverunt, et vos copias eduxistis et Thebas introiistis armati equites peditesque, priusquam vel unicam syllabam de societate scripsisset Demosthenes. (141) Thebas autem quod intromittebat vos, tempus fuit, metus, societatis necessitas, non Demosthenes, siquidem his in rebus tria vel gravissima Demosthenes in vos peccavit. Primum, quod quum Philippus verbo quidem vobiscum bellum gereret, revera multo acriori odio in Thebanos incenderetur, quomodo res ipsæ declararunt, et quid pluribus opus est? hæc tanta tantique ponderis celavit, (142) et societatem nobis cum Thebanis futuram simulans, quæ non ex temporum necessitate, sed suis legationibus oriretur, primum populo persuasit ne magnopere spectaret quibus conditionibus societatem fieri conveniret, sed satis haberet si fieret modo : hoc primo autem occupato universam Bœotiam Thebanis dedidit, quum in decreto scripserit, ut, si qua civitas a Thebanis descisceret, Athenienses Bœotis qui Thebis essent opitularentur, verbis, ut solet, res suffurans alioque trans-

74 εἴωθεν, ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ' οὐ μᾶλλον ἐφ' οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας· (143) δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι, τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλατταν ἐποίησε κοινήν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον, τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις, ὥστε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ἡμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας. (144) Καὶ ταῦτ' οὐχ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν, ἀλλὰ κἀγὼ λέγω καὶ πάντες ἐπιτιμῶσι καὶ ὑμεῖς σύνιστε καὶ οὐκ ὀργίζεσθε. Ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένην· συνείθισθ' ἤδη τἀδικήματα τὰ τούτου ἀκούειν, ὥστε οὐ θαυμάζετε. Δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν.

145. Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν, τὴν κοινωνίαν τῶν πράξεων τοῖς Βοιωτάρχαις συνθέμενος· καὶ τηλικαύτην αὐτὸς αὐτῷ δυναστείαν κατεσκεύασεν, ὥστ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα πρεσβεύσειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε, (146) εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν διαδικασίαν ἔφη γράψειν τῷ βήματι πρὸς τὸ στρατήγιον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέναι ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγίου. Μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις, καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων ἀναρπασθέντων τῶν ξένων τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει. (147) Τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς προγεγενημένης; Καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης οὐκ ἀγαπᾷ εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ μὴ καὶ χρυσῷ στεφάνῳ στεφανωθήσεται ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναρρηθήσεται, τοῦτ' ἀγανακτεῖ. Οὕτως, ὡς ἔοικε, πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη δημοσίας ἀπεργάζεται συμφοράς.

148. Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ μέλλω λέγειν. Φιλίππου γὰρ οὐ καταφρονοῦντος τῶν Ἑλλήνων, οὐδ' ἀγνοοῦντος (οὐ γὰρ ἦν ἀσύνετος) ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας μικρῷ μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλομένου ποιή-

ferens, quasi vero Bœoti, re ipsa injuriam passi, in callido Demosthenis verborum contextu acquiescerent, ac non potius damna illa accepta gravissime essent laturi : (143) deinde bellicorum sumptuum duas partes vobis adscripsit, qui longius a periculo aberatis, tertiam Thebanis, turpem in his singulis quæstum aucupatus; porro imperium maritimum cum illis communicavit, impensam vero proprie vestram esse voluit; terrestre, si nugis indulgere nolumus, totum prorsus ad Thebanos transtulit, adeo ut in eo quod natum est bello Stratocli imperatori vestro facta non sit de militum salute consulendi potestas. (144) Neque vero hæc ego incuso, alii prætermittunt, sed et ego commemoro et omnes reprehendunt, et vos scitis neque irascimini. Sic enim in Demosthenem estis animati : insuevistis jam istius facinora exaudire, ut nihil amplius miremini. At non ita facere vos oportet, sed indignari, sed acerbe punire, siquidem reliqua civitati bene prospereque vultis procedere.

145. Secundam vero et antedicta multo graviorem injuriam fecit, quum senatum populique majestatem penitus furtim submovit et Thebas in Cadmeam traduxit, rebus nostris cum Bœotorum principibus pactione facta communicatis; quin vero tantam sibi dominationem comparavit, ut jam conscenso suggestu gloriaretur se quo velit legatum profecturum, etiamsi vos non mitteretis : (146) quodsi quis imperatorum ei contradiceret, quo prætores in servitutem redigat eosque assuefaciat ne sibi refragarentur, minaretur se suggesti nomine litem intentaturum prætorio; plura enim ad vos commoda sua opera e suggesto, quam per imperatores e prætorio pervenisse. In externo autem exercitu, quum ex ordinibus non completis quæstum faceret, militare stipendium furaretur, et decem illa millia externorum militum Amphissensibus mercede accepta locaret, multum licet obtestante et in concionibus quiritante me, civitati imparatæ, surreptis mercenariis subsidiis, periculum summum injecit. (147) Quid enim putatis Philippum temporibus illis in votis habuisse? non ut seorsum cum urbana acie, seorsum cum conductis copiis ad Amphissam decertaret? Græcos tanta plaga accepta exanimatos opprimeret? Et tamen horum omnium malorum opifex Demosthenes non satis habet, si pœnas effugerit, sed nisi etiam aurea corona donetur, indignum putat : neque ei sufficit præconium coram vobis fieri, sed nisi et coram Græcis prædicetur, ferendum negat. Ita nimirum prava indoles magnam potestatem adepta publicas semper excudit calamitates.

148. Tertia vero et superiorum omnium gravissima est injuria, de qua sum dicturus. Quum enim Philippus Græcos non contemneret, nec ignoraret (neque enim intelligentia caruit) se de bonis fortunisque omnibus in parvo diei spatio esse decertaturum, atque idcirco pacem fa-

σασθαι τὴν εἰρήνην καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον (εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος δεκαετὴς γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε), (149) τούτων δὲ ἐχόντων οὕτως αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι χρυσίον ἄνευ αὐτοῦ παρὰ Φιλίππου λαβόντας, ἀβίωτον ἡγησάμενος εἶναι εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς Φίλιππον εἰρήνην οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο, τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων ἀναφέρειν αὐτῷ τὰ μέρη τῶν λημμάτων, (150) διώμνυτο τὴν Ἀθηνᾶν (ἥν, ὡς ἔοικε, Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθήνει) ἦ μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς Φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου, ὡς λέγεται, τὴν πόλιν ἀπώλεσεν. Ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους πάλιν ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ τῆς εἰρήνης, ἐνταῦθα παντάπασιν ἔκφρων ἐγένετο, (151) καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν Ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ γράψειν ἔφη ψήφισμα ὁ τοῖς πολεμίοις οὐδέποτ' ἀντιβλέψας πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας αἰτήσοντας Θηβαίους δίοδον ἐπὶ Φίλιππον. Ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν Ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετρέποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν.

152. Ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τῶν τετελευτηκότων ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν. Ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα πάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσεις αὐτίκα μάλα, βλέπων εἰς τὰ τούτων πρόσωπα, λέγειν ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; (153) Γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίσαθ' ὁρᾶν προϊόντα τὸν κήρυκα καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίνεσθαι, καὶ λογίσασθε πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις καὶ τοῖς ἡρωικοῖς πάθεσι τοῖς μετὰ ταῦτ' ἐπεισιοῦσιν ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ. (154) Τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ

cere vellet, legatosque missurus esset; quum Thebarum principes imminens jam periculum reformidarent (neque injuria: non enim eos orator militiæ rudis ordinisque desertor monuerat, sed Phocense illud decennale bellum æternum animis documentum infixerat), (149) quum hæc igitur ita se haberent, quumque animadverteret ea Demosthenes, ac suspicaretur Bœotorum principes pacem privatim coituros, auro sine se a Philippo accepto, non sibi vivendum arbitratus, si qua largitionis societate excluderetur, repente in concione prosiliit, et neque dicente quoquam mortalium, pacem cum Philippo facere oportere, neque negante, sed quia censeret se hoc veluti præconio Bœotorum principibus denuntiaturum esse, ut secum acceptorum munerum partem communicarent: (150) per Minervam jurabat (quam scilicet eo fabricatus est Phidias ut inde quæstum faceret et pejeraret Demosthenes), si quis pacem esse cum Philippo faciendam diceret, se eum capillis arreptum in carcerem abducturum, Cleophontis imitatus in administranda rep. rationem, qui bello Lacedæmonio civitatem dicitur perdidisse. Sed quum Thebanorum principes ei non attenderent, militesque vestros jam egressos remisissent, ut vos de pace consultaretis, ibi vero omnino amens evasit, (151) et conscenso suggestu Bœotorum principes Græciæ proditores appellavit, scitumque se facturum dixit is qui nunquam hostem rectis oculis intuitus est, ut vos legatos Thebas mitteretis, qui a Thebanis transitum postularent contra Philippum. Summo igitur pudore affecti Thebanorum principes, ac veriti ne revera Græcorum proditores esse viderentur, a pace divertebant, atque ad aciem instruendam properabant.

152. Hoc loco optimorum virorum meminisse dignum est, quos iste quum sacris non litatis, non annuentibus, in apertum periculum ablegasset, ausus est, fugacibus et ordinis desertoribus pedibus in tumulum mortuorum ascendere, eorumque fortitudinem collaudare. O ad res magnas seriasque agendas hominum omnium futilissime, ad orationis confidentiam omnium accommodatissime! hoccine mox agere contendes, in ora istorum intuens, debere te propter civitatis calamitates corona honestari? vos, si is dixerit, patiemini, unaque cum iis qui defuncti sunt vestra quoque commorietur memoria? (153) Adeste mihi paulisper animis, Athenienses, non jam in judicio, sed in theatro; ponite vobis ante oculos præconem prodeuntem prædicationemque ex plebiscito facturum, ac vobiscum considerate, utrum putetis mortuorum propinquos plures lacrimas profusuros ob tragœdiarum spectacula et acerbos heroum casus, qui mox in scenam producentur, an ob civitatis iniquitatem et dementiam. (154) Quis enim, vir Græcus et liberaliter institutus, non ingemiscat, si nihil aliud, illud saltem in theatro recordatus, hoc quondam die tragœdis, ut nunc,

ἡμέρᾳ μελλόντων ὥσπερ νυνὶ τῶν τραγῳδῶν γίνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προελθὼν ὁ κῆρυξ καὶ παραστησάμενος τοὺς ὀρφανοὺς ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα καὶ προτρεπτικώτατον πρὸς ἀρετήν, ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε, νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. (155) Τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν, ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον τί ποτ' ἀνερεῖ ἢ τί φθέγξεται; Καὶ γὰρ ἐὰν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὔ τό γ' ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται, ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι, ὅτι τόνδε τὸν ἄνδρα, εἰ δὴ καὶ οὗτος ἀνήρ, στεφανοῖ ὁ δῆμος τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα τὸν κάκιστον, καὶ ἀνδραγαθίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν. (156) Μὴ πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ἱκετεύω ὑμᾶς, ὦ Ἀθηναῖοι, μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν Ἑλλήνων τὸν δῆμον τῶν Ἀθηναίων, μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους, οὓς φυγόντας διὰ τοῦτον ὑποδέδεχθε τῇ πόλει, ὧν ἱερὰ καὶ τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία καὶ τὸ βασιλικὸν χρυσίον· (157) ἀλλ'
76 ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ἀλλὰ ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφοράς, καὶ νομίσαθ' ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφάς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις ἀλλὰ τοῖς τούτων αἰτίοις, ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς Ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι. (158) Οὔτε πόλις γὰρ οὔτ' ἰδιώτης ἀνὴρ οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος. Ὑμεῖς δ', ὦ Ἀθηναῖοι, οὐκ αἰσχύνεσθε εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι, ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν Ἑλλήνων σώματα, τὸν δὲ τὴν Ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα, τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά;

159. Ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως, τριήρη προσλαβὼν ὑμῶν, καὶ τοὺς Ἕλληνας ἠργυρολόγησε. Καταγαγούσης δ' αὐτὸν εἰς τὴν πόλιν τῆς

tragœdis, ut nunc, in scenam prodituris, quo tempore melius erat morata civitas et melioribus gubernatoribus utebatur, progressum præconem, productisque pupillis, quorum patres in prœlio ceciderant, adolescentulis integra armatura instructis, pulcherrimum et ad virtutem commendandam aptissimum præconium facere consuevisse, *hos adolescentes quorum patres in bello fortiter pugnantes occubuerunt, ad pubertatem usque populum aluisse, nunc autem integra hac armatura tectos, faustis ominibus, ut ad res suas revertantur, dimittere, et ad principem in theatro locum vocare.* (155) Hæc quidem olim prædicabat, nunc vero non item : producto enim eo qui liberis orbitatis causa fuit, quid prædicabit, quid clamabit? Nam etsi ipsa decreti præscripta recitarit, nunquam tamen obmutescet vera rei turpitudo, sed præconis verbis contraria prorsus eloqui videbitur, *populum Atheniensem hunc virum, si quidem iste vir est, corona donare, virtutis ergo nequissimum, fortitudinis ergo timidissimum locique desertorem.* (156) Ne quæso vos, Athenienses, per Jovem reliquosque deos immortales, ne tropæum de vobis ipsis in Liberi patris orchestra statuatis! ne populum Atheniensem in conspectu Græcorum amentiæ condemnetis! ne miseris Thebanis insanabilium et desperatorum malorum memoriam refricetis, quos hujus culpa profugos in urbem vestram excepistis, quorum fana, sepulcra, liberos Demosthenis nundinatio atque aurum regium perdiderunt! (157) Sed quoniam corporibus non affuistis, animis saltem eorum calamitates intuemini, ponite vobis ante oculos civitatem captam, diruta mœnia, ædes incendio vastatas, conjuges liberosque in servitutem abductos, viros ac mulieres graves annis sero libertatem dediscentes, plorantes, supplicantes vobis, irascentes non iis qui a se pœnas expetiverunt, sed iis qui harum calamitatum auctores exstitere, enixe flagitantes ne vos ullo modo perniciem Græciæ corona donetis, sed ut genium etiam et fortunam quæ hominem istum comitatur caveatis : (158) neque enim aut civitas aut privatus quisquam pulcre unquam discessit, Demosthenis usus consilio. Non pudet vos, Athenienses, in portitores qui Salamina transvehunt hanc legem tulisse, ut si quis eorum navigium in trajectu etiam invitus everterit, ne ei postea liceat esse portitori, ne quis in hominum Græcorum capitibus temere negligenterque versetur; huic vero, qui et Græciam civitatemque nostram funditus everterit, iterum rempublicam permittere gubernandam?

159. Jam vero ut de quarto etiam tempore et præsenti rerum statu dicam, illud vos admonitos velim, Demosthenem non solum in acie locum deseruisse verum etiam civitatis vestræ,.... accepta triremi pecunias a Græcis exegisse. Quum autem inopinata salus eum in urbem reduxisset, primis quidem temporibus tremebundus homo fuit, et se-

ἀπροσδοκήτου σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα εἰρηνοφύλακα ὑμᾶς αὐτὸν ἐκέλευε χειροτονεῖν· ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προσετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ. (160) Ἐπειδὴ δ' ἐτελεύτησε Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ τερατευόμενος ἱερὰ μὲν ἱδρύσατο Παυσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων θυσίας τὴν βουλὴν κατέστησεν, ἐπωνυμίαν δ' Ἀλεξάνδρῳ Μαργίτην ἐτίθετο, ἀπετόλμα δὲ λέγειν ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας· ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα καὶ τὰ σπλάγχνα φυλάττοντα. Καὶ ταῦτα λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀκριβῶς εἰδὼς ὅτι αἵματός ἐστιν ἡ ἀρετὴ ὠνία, αὐτὸς οὐκ ἔχων αἷμα καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως ἀλλ' ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας. (161) Ἤδη δ' ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ' ὑμῶν χειροτονηθείς, ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἧκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων. Καὶ τὸ πάντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς νῦν προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται. (162) Ὡς γάρ φασιν οἱ Πάραλοι καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον (καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται), ἔστι τις Ἀριστίων Πλαταϊκός, ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός, εἴ τις ἄρα καὶ ὑμῶν γινώσκει. Οὗτός ποτε ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος ᾤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ· ὅ τι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ λέγειν. Οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις ποτ' ἐστὶ καὶ πῶς βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει καὶ πλησιάζει ἐκείνῳ. Διὰ τούτου γράμματα πέμψας ὡς Ἀλέξανδρον ἄδειάν τινα εὕρηται καὶ διαλλαγὰς καὶ πολλὴν κολακείαν πεποίηται. (163) Ἐκεῖθεν δὲ θεωρήσατε ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ. Εἰ γάρ τι τούτων ἐφρόνει Δημοσθένης καὶ πολεμικῶς εἶχεν,
77 ὥσπερ καὶ φησί, πρὸς Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος. Εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος ἀπαρασκεύων αὐτῷ τῶν ἰδίων ὄντων εἰς τὴν Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἄσμενος δ' ἂν ὑμᾶς εἰς τὴν συμμαχίαν προσεδέξατο διὰ τοὺς ἐπιφερομένους αὐτῷ κινδύνους. Εἶπάς τινα ἐνταῦθα λόγον, Δημόσθενες, ἢ ἔγραψάς τι ψήφισμα; βούλει σε θῶ φοβηθῆναι καὶ χρήσασθαι τῷ αὑτοῦ τρόπῳ; καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. (164) Ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος κατεβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κι-

mimortuus in concionem progressus postulavit ut se pacis custodem crearetis. Vos autem initio ne nomen quidem Demosthenis decretis adscribi permisistis, sed hoc negotium Nausicli mandastis : jam vero iste etiam coronam sibi deberi contendit. (160) Mortuo deinde Philippo, et Alexandro ad regni successionem vocato, rursum iste præstigias et portenta moliens, sacella exstruxit Pausaniæ, et senatum in sacrificii ob lætum nuncium facti crimen conjecit, Alexandro autem Margitæ cognomen indidit, aususque est affirmare, nunquam eum e Macedonia pedem elaturum, satis vero habiturum, si Pellæ deambularet et exta inspiceret. Atque hæc se dicere prædicabat, non conjectura ductum, sed quod certo sciret, virtutem non nisi sanguine comparari, ipse penitus sanguine destitutus, et Alexandrum non ex Alexandri ingenio, sed suapte ignavia dimensus. (161) Quum vero censuissent jam Thessali civitati nostræ bellum inferendum, et juvenis principio, neque injuria, irritatus esset, quumque castra jam ad Thebas admoverentur, legatus a vobis delectus Demosthenes arrepta fuga e medio Cithærone reversus est, neque in pace neque in bello utilem se civem reipublicæ præbens. Et quod est omnium acerbissimum, vos eum non prodidistis, neque in judicium coram concilio Græcorum adduci permisistis : ille autem vos jam plane prodidit, si quidem vera sunt quæ dicuntur. (162) Ut enim aiunt Paralii iique qui legati ad Alexandrum profecti sunt (et rei merito sane adhibetur fides), est Aristion quidam Plataicus, Aristobuli pharmacopolæ, si quis forte vestrûm cognorit, filius. Is aliquando adolescens, quum suis æqualibus forma præstaret, diu in Demosthenis domo diversabatur : quid vero aut fecerit aut passus sit, quum dubium atque incertum sit, tum res mihi nequaquam dictu est honesta. Hic igitur, ut ego audio, quum et quis esset et quomodo antea vixerit nemini esset compertum, in Alexandri gratiam subrepit, et cum eo familiariter versatur. Per hunc Demosthenes missis ad Alexandrum literis, aliquid tandem securitatis nactus est et gratiæ reconciliationem, multisque eum blanditiis demulcivit. (163) Inde autem spectate, quam valde res sit criminationi consentanea. Nam si quid horum revera sentiret Demosthenes, si hostili in Alexandrum, uti jactat, esset animo, tria ei pulcherrima tempora oblata sunt, quorum nullo unquam usus esse apparet. Primum quum in regno non ita pridem constitutus Alexander, suis rebus nondum satis compositis, in Asiam transiret; Persarum autem rex classe, pecunia, peditatu floreret, libenterque vos in societatem recepisset propter ea quæ sibi ipsi ingruebant pericula. Num tu orationem tunc unam habuisti, Demosthenes, ullumve decretum conscripsisti? Vis ponam metuisse te tuoque ingenio obsecundasse? Atqui timiditatem oratoriam reip. tempora non exspectant. (164) Sed postquam Darius cum universo exercitu descenderat, Alexander au-

λικίᾳ πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα μάλα δ' ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατηθήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀηδίαν ἡ πόλις οὐκ ἐχώρει καὶ τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων ἀποκαλῶν καὶ κατεστέφθαι φάσκων εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδέν, ἀλλ' εἴς τινα καιρὸν ἀνεβάλλου καλλίω. (165) Ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα, ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω. Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ καὶ διέφθειραν τοὺς περὶ Κόρραγον στρατιώτας, Ἠλεῖοι δ' αὐτοῖς συμμετεβάλοντο καὶ Ἀχαιοὶ πάντες πλὴν Πελληναίων καὶ Ἀρκαδία πᾶσα πλὴν Μεγάλης πόλεως, αὕτη δὲ ἐπολιορκεῖτο καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι, ὁ δ' Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης μεθειστήκει, ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ' ἐσόμενον ἄδηλον ἦν. Ἐνταῦθ' ἡμῖν ἀπόδειξιν ποίησαι, Δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας ἢ τί ποτ' ἦν ἃ ἔλεγες· καὶ εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. (166) Ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι, ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νῦν λέξω. Οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς, ὦ σιδήρεοι, ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθὼν « ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου, ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων, φορμορραφούμεθα, ἐπὶ τὰ στενά τινες ὥσπερ τὰς βελόνας διείρουσι. » (167) Ταῦτα δὲ τί ἐστιν, ὦ κίναδος; ῥήματα ἢ θαύματα; Καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ « ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι, ὁμολογῶ Θετταλοὺς καὶ Περραιβοὺς ἀφιστάναι. » Σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν ὅπου κίνδυνος πρόσεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προσκαθιζήσει, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ, προσποιήσῃ καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις· ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ, ἐὰν δὲ θαρρήσωμεν, δωρεὰς αἰτήσεις καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι.

168. Ναί, ἀλλὰ δημοτικός ἐστιν. Ἐὰν μὲν τοίνυν πρὸς τὴν εὐφημίαν τῶν λόγων αὐτοῦ ἀποβλέπητε, ἐξαπατηθήσεσθε ὥσπερ καὶ πρότερον· ἐὰν δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε. Ἐκείνως δὲ ἀπολάβετε παρ' αὐτοῦ τὸν λόγον. Ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω ποῖόν τινα εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον· ὑμεῖς δ' ἀντιθέντες ἑκάτερα τούτων θεωρήσατ' αὐτόν, μὴ ὁποτέρου τοῦ λόγου ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν. (169) Οἶμαι τοίνυν ἅπαντας ἂν ὁμολογήσειν ὑμᾶς τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ, πρῶτον μὲν ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός, ἵνα μὴ

tem in Cilicia intercludebatur, rerum omnium inopia, ut ipse tum dixisti, laborans, quum illum continuo, ut tua pariter ferebat oratio, Persicus equitatus conculcaturus erat, jamque importunitatem tuam civitas capere non poterat et epistolas tuas, quas digitis suspensas circumferebas nonnullis os meum tanquam hominis perculsi et exanimati ostendens, quum me auratis cornibus hostiam nuncupabas, et, si quid laberetur Alexander, jam coronatum esse dicebas : ne tum quidem egisti quicquam, sed rem in aliud tempus nescio quod magis commodum distulisti. (165) His igitur omnibus prætermissis, de iis dicam rebus quæ nunc sunt. Lacedæmonii et exercitus externus secundo Marte pugnarant, militesque Corrhagi deleverant : Elei una cum iis a Macedonibus defecerant, Achæi præterea omnes præter Pellenæos, Arcadia omnis præter Megalopolim; ipsa autem obsidione pressa erat, et de die in diem capi sperabatur : Alexander extra septentriones et orbem pæne terrarum habitabilem excesserat : Antipater multum jam temporis in comparando exercitu consumpserat : quid futurum esset, incertum erat. Hic tu nobis ostende, Demosthenes, quæ gesseris, quæve dixeris; quod si velis, cedam tibi suggestu, quoad dicendi finem feceris. (166) Sed quoniam taces, sane tibi quod hæsites ignosco : quæ vero tum dixisti, ego nunc exponam. Excideruntne vobis e memoria verba illa odiosa, immania, quæ vos olim, o ferrei, quo pacto audire sustinuistis? Quum pro concione hæc effutiret, *civitatem nonnulli tanquam vitem amputant, populi palmites quidam resecuerunt, rerum nervi succiduntur, storearum instar consuimur, in angustum quidam quasi acus inserunt.* (167) Hæccine vero, o bellua, verba sunt an portenta? Quid quum in suggestu te in orbem circumagens clamitabas tanquam Alexandro adversatus, *Fateor me Laconicam conjurationem excitasse, fateor me Thessalos et Perrhæbos ad defectionem impulisse.* Tu vero vel villam ad defectionem impellas? tu non dico, ad urbem, sed ad domum ullam, ubi quid sit discriminis, accedas? Verum sicubi pecuniæ impendantur, adsidebis, nihil vero dignum geres : sin boni quid fortuito eveniat, id tibi vindicabis, te ipsum rei jam peractæ auctorem inscribes : si quis metus ingruerit, profugies; si in spem bonam erecti simus, præmia posces et aureas coronas flagitabis.

168. Esto : at popularis est. Si vos ad honestam verborum ejus speciem respiciatis, nunc etiam, uti et olim, eritis decepti : sin naturam ejus reique veritatem exquiratis, nequaquam fallemini. Hoc igitur modo rationem ab eo reposcite. Ego jam vobiscum expendam, quæ insita esse debeant in ingenio viri popularis ac moderati, eque contra ponam, qualem esse verisimile sit hominem paucorum potentiæ studiosum atque improbum : vos, his duobus inter se comparatis, spectate jam mihi, non qualis lingua sit, sed qualem vitam egerit. (169) Vos igitur omnes arbitror mihi assensuros, hæc in homine populari inesse oportere : primum ut a paterna maternaque stirpe liber sit, ne ob generis infortunium infensus sit legibus, quæ potestatem

78 διὰ τὴν περὶ τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις οἳ σώζουσι τὴν δημοκρατίαν· δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ τό γ' ἀναγκαιότατον μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν· (170) τρίτον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ' ἡμέραν δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου, τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μή, τήν γ' εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου. Πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχήν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς πολέμους ἐγκαταλείπῃ τὸν δῆμον. Τὸν δ' ὀλιγαρχικὸν πάντα δεῖ τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι; Σκέψασθε δὴ τί τούτων ὑπάρχει Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις.

171. Τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι· τὰ δ' ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς πῶς ἔχει αὐτῷ; ἐγὼ φράσω. Γύλων ἦν ἐκ Κεραμέων. Οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν τῷ Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἐκ τῆς πόλεως ἐγένετο θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους Κήπους, (172) καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ Δία καὶ χρυσίον ἐπιφερομένην πολύ, Σκύθιν δὲ τὸ γένος, ἐξ ἧς γίνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων στείλας συνῴκισε τὴν μὲν ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ' ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ Παιανιεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης Δημοσθένης γεγένηται. Οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς πολέμιος ἂν εἴη τῷ δήμῳ (θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε), τὰ δ' ἀπὸ τῆς μητρὸς Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός ἐστι. (173) Περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν τίς ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος· ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον δ' ἐκ τῆς πόλεως εἰληφὼς ἀργύριον ἐλάχιστα περιεποιήσατο. Νῦν μέντοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ, ἔσται δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. Καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων. (174) Περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι. Οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιίᾳ, ὥστ' ἐμὲ μὴ βούλεσθαι λέγειν ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν

populi tuentur. Deinde ut a majoribus suis alicujus erga populum beneficentiæ hæreditatem acceperit, vel, quod est summe necessarium, nullius inimicitiæ, ne calamitatum in quas majores inciderunt se vindicem præbens, malum moliatur civitati. (170) Tertio ut in quotidiani victus ratione natura frugi sit ac temperans, ne ob perditam in sumptibus nequitiam largitiones contra rempublicam accipiat. Quarto ut et vir bonus sit et dicendi peritus : præclarum est enim mente et consilio res optimas eligere easdemque eruditione oratoria et dicendi facultate instructum auditoribus probare posse; sin minus ita contingat, utique bona mens anteponenda eloquentiæ est. Quinto forti animo esse oportet, ne in temporum angustiis et in bellis populum deserat. At homini paucorum potentiæ faventi his omnibus adversa esse studia convenit : quid enim ea vobis iterare opus est? Jam vero dispicite, quodnam ex his insit in Demosthene : ratio autem summa cum æquitate subducatur.

171. Huic pater erat Demosthenes Pæaniensis, vir ingenuus quidem—neque enim mentiendum est— : sed a materno avique materni genere quomodo se habet? Ego jam exponam. Gylo quidam erat Ceramensis. Hic Nymphæo quod in Ponto est, quo tempore oppidum illud civitas in ditione sua tenebat, hostibus prodito, delatus urbe exulavit, quum capitis damnatus judicii pœnam non exspectasset. Hinc Bosporum concessit, ubi Hortorum qui vocantur a tyrannis largitionem nactus, (172) uxorem ducit opulentam sane magnamque vim auri secum afferentem, sed genere Scythidem, ex qua quum filias duas suscepisset, easque cum grandi pecunia huc misisset, collocavit alteram nescio cui, ne multorum in me odia concitem; alteram spretis civitatis nostræ legibus duxit Demosthenes Pæaniensis, ex qua natus est nobis percuriosus hic ardelio et calumniator Demosthenes. Quamobrem ab avo quidem materno hostis erit populi; ejus enim majores capitis damnavistis : a materno genere Scytha barbarus, lingua duntaxat Græcus Unde fit, ut improbitate etiam indigenam non referat. (173) In quotidiani autem victus ratione qualis est? Ex trierarcho scriptor oratiuncularum evasit, bonis paternis ridicule dissipatis. Deinde quum in hoc etiam negotio perfidus haberetur, quod orationes adversariis impertiret, repente in suggestum prosiliit. Quum ingentem a civitate pecuniam accepisset, perpusillam sibi reliquam fecit. Nunc vero aurum regale sumptus ejus exhaustos inundans replevit, sed neque hoc quidem satis erit : nullæ enim unquam divitiæ pravæ indolis libidinem exsuperarunt. Ad summam, vitam non ex suis vectigalibus, sed vestris ex periculis sustentat. (174) Quod ad bonitatem autem mentis dicendique facultatem attinet, qualem eum natura finxit? Oratione disertum, vita turpem. Ita enim corpore suo liberorum procreatione est abusus, ut flagitia, quæ admisit, nollem exponere : vidi enim jam ante, odium esse consecutos eos

πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας. Ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοί, τὰ δ' ἔργα φαῦλα. (175) Πρὸς δὲ ἀνδρίαν βραχύς μοι λείπεται λόγος. Εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι ἢ ὑμεῖς μὴ συνῄδειτε, διατριβὴν ὁ λόγος ἄν μοι παρέσχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. Ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί. Καίτοι θαυμάσειεν ἄν τις ὑμῶν εἰ εἰσὶ φύσεως γραφαί. Εἰσίν. Τίνος ἕνεκα; Ἵν' ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους **79** ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ. (176) Ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν καὶ τὸν λιπόντα τὴν τάξιν ἔξω τῶν περιρραντηρίων τῆς ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι οὐδ' εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν οὐ προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα.

Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε ὅταν φῇ δημοτικὸς εἶναι. Θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι ἀλλὰ τίς ἐστιν.

177. Ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν, ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται· τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε. Ὅτι δ' ἀληθῆ λέγω, μεγάλα τούτων οἶμαι σημεῖα δείξειν ὑμῖν. (178) Εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε, ἐπὶ τῶν προγόνων. Ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολλῷ καταδεέστεροι. Δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ πότερον τότε ἦσαν πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε. (179) Οὐκ οὖν ἄτοπον οὑτωσὶ διαλογιζομένοις τὰς μὲν δωρεὰς νῦν πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νῦν μὲν χείρους εἶναι, τότε δ' ἀμείνους; ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν. Οἴεσθ' ἄν ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Ὀλύμπια ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων παγκράτιον ἢ καὶ ἄλλο τινῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδεὶς ἂν ποτ' ἠθέλησεν ἐπασκεῖν. (180) Νῦν

qui vicinorum dedecora nimis aperte declararunt. Sed quid tandem inde civitati quæritur? Præclara verba, facta humilia atque abjecta. (175) Jam de fortitudine per mihi brevis restat oratio. Nam si vel se ipse ignavum esse negaret vel vos nesciretis, diutius esset mihi in hoc loco commorandum: nunc autem quando et ipse fatetur in concionibus vosque omnes intelligitis, reliquum est ut leges, quæ his de rebus latæ sunt, vobis in memoriam redigam. Solon enim antiquus ille legislator iisdem pœnis obstringi debere censuit et eum qui militiam detrectaret et eum qui de statione decederet et eum simul qui timidus miles sit: dantur enim et timiditatis actiones. Atqui mirabitur fortasse quispiam, etiam propter naturæ defectum actiones esse constitutas. Sunt. Quid ita? Ut unusquisque nostrûm pœnas legibus irrogatas magis quam hostem extimescens, tanto fortius pro patria propugnet. (176) Legislator itaque eum qui militiam subterfugiat et timidum et desertorem lustralibus vasis fori prohibet, et corona donari vetat et sacrificiis arcet publico nomine institutis; tu vero eum nos coronare jubes, cui coronam leges interdicunt, tuoque decreto hominem indignissimum ludis tragicis in orchestram arcessis, in templum Liberi patris eum deducis, qui timiditate sua templa prodidit.

Sed ne vos a proposito divertam, facite vobis in mentem veniat, quum se dicit esse popularem, non orationem ejus sed vitam spectare, neque quem se esse prædicet, sed quis sit, attendite.

177. Verum quoniam in coronarum et præmiorum mentionem incidi, antequam mihi e memoria excidat, prædico vobis, Athenienses, nisi hæc præmia infinita et temere concessas coronas reprimetis, neque eos quos honore afficitis gratiam vobis habituros, neque res civitatis meliores fore. Improbos enim nunquam in melius mutabitis, bonos ad summam desperationem adigetis. Vere hæc a me dici, magnis me vobis argumentis monstraturum puto. (178) Si quis vos roget, utrum his temporibus nostra civitas gloria magis florere videatur an majorum nostrorum, omnes credo assensuros ætate majorum insignius eam floruisse. Utrum tunc temporis an nunc viri meliores? Tunc quidem excellentes; nunc longe deteriores. At præmia et coronæ et præconia et quotidianus victus in Prytaneo utrum tunc erant an nunc crebriora? Tunc rari apud nos honores, tunc virtutis nomen in pretio erat, nunc vero res ipsa obsolescit, et coronas vos non consilio sed ex consuetudine donatis. (179) Nonne hæc igitur expendentibus vobis absurdum merito videtur præmia nunc increbuisse, civitatis opes tum majores quam nunc fuisse; viros nunc esse nequiores, tunc multo præstantiores? Ego autem, quamobrem hoc ita fiat, ostendere vobis conabor. Putatisne, Athenienses, futurum unquam fuisse, qui se vel ad Olympia vel ad aliud aliquod certamen in quo coronæ donentur, exercere vellet pancratio aut alio quopiam gravioris luctæ genere, si corona traderetur non præstantissimo, sed ei qui malis artibus ipsam consecutus esset? Nemo hercle se exerceret. (180) Nunc autem, opinor, propter

δ' οἶμαι διὰ τὸ σπάνιον καὶ τὸ περιμάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσί τινες τὰ σώματα παρακαταθέμενοι καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν. Ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς, κἀκεῖνο ἐκλογίσασθε, ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς, ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθερεῖτε. (181) Ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι. Πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς ὁ στρατηγήσας ὅτε τῇ Σαλαμῖνι ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης ὁ τὴν τάξιν λιπών; Μιλτιάδης δὲ ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες; Ἀριστείδης δ' ὁ δίκαιος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; (182) Ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου καὶ ἐκείνων τῶν ἀνδρῶν. Ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ εἴ που γέγραπταί τινα τῶν ἀνδρῶν τούτων στεφανῶσαι. Ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὐχ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ τετιμημένοι τῆς πόλεως ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἢ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει. Δωρεὰς δὲ τίνας ἐλάμβανον; ὧν ἄξιόν ἐστι μνησθῆναι.

183. Ἦσάν τινες κατὰ τοὺς τότε καιροὺς οἳ πολὺν πόνον ὑπομείναντες καὶ μεγάλους κινδύνους ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους Ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν Ἑρμῶν, ἐφ' ᾧτε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα. (184) Ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε. Ἐπιγέγραπται γὰρ ἐπὶ τῷ μὲν πρώτῳ τῶν Ἑρμῶν

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
  παισὶν ἐπ' Ἠιόνι, Στρυμόνος ἀμφὶ ῥοάς,
λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα
  πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

Ἐπὶ δὲ τῷ δευτέρῳ

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν
  ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
  ἀμφὶ περὶ ξυνοῖς πράγμασι μόχθον ἔχειν.

(185) Ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται Ἑρμῇ

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
  ἡγεῖτο ζάθεον Τρωικὸν ἂμ πεδίον,
ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων

raritatem, propter contentionem, decus, gloriam denique sempiternam quæ victoriam sequitur, reperiuntur nonnulli qui, corporibus suis fortunæ permissis gravissimisque laboribus exantlatis, periculum adire cupiunt. Quocirca fingite vos esse certaminis de virtute civili arbitros constitutos, atque illud simul cogitate, si paucis et dignis et secundum leges præmia tribuatis, complures vos virtutis certatores habituros; sin cuivis et eis qui ambierint gratificemini, etiam bona ingenia corrupturos. (181) Hæc autem recte a me dicta esse, luculentius paulo vobis libet exponere. Uter vobis vir melior fuisse videtur, Themistocles, quo duce navali apud Salamina prœlio Persam vicistis, an qui locum in acie deseruit Demosthenes? Miltiades, qui Marathonia pugna barbaros superavit, an iste? ii denique, qui populum exulantem a Phyle reduxerunt? et Aristides ille, qui cognomine, multum illi quod Demosthenes habet dissimili, Justus appellatus est? (182) Verum ego, per deos immortales, ne iisdem quidem diebus fas esse existimo de hac bellua et de viris illis meminisse. Ostendat igitur in oratione sua Demosthenes, sicubi decretum sit, ut quisquam illorum virorum corona donaretur. Ingratus ergo erat populus? Minime, imo et excelsi animi populus fuit, et illi qui hunc honorem non adepti sunt civitate hac dignissimi. Non enim se in tabulis decretoriis honorem suum ponere debere censebant, sed in eorum quibus bene fecissent memoria, quæ quidem ex illo tempore ad hunc usque diem manet immortalis. Quibus vero præmiis ornati sunt? Iis quæ operæ pretium est commemorare.

183. Fuerunt quidam iis temporibus, qui multis gravibusque periculis defuncti Medos apud Strymonem fluvium prœlio fuderunt. Ii igitur huc reversi præmium a populo petiverunt, deditque eis populus magna, ut tum videbantur, præmia, ut tres Hermæ lapidei in Hermarum porticu iis ponerentur, ea lege tamen ne sua nomina inscriberent, ut non imperatorum sed populi inscriptio videretur. (184) Esse autem vera quæ a me dicuntur, ex ipsis versibus cognoscetis. Inscriptum est enim in primo Herma :

Ili quoque præstanti valuerunt pectore, Medis
  Strymonias ad aquas, Eionisque locum
perdomitis, diraque famo ferroque cruento
  hostiles primi qui minuere manus.

Secundi hæc inscriptio est :

Præmia Cecropidæ hæc ducibus memoranda dederunt,
  pro virtute virûm pro meritisque piis :
ut, quum progenies lustrent hæc sera nepotum,
  læti pro patria ferre pericla velint.

(185) Tertio autem Hermæ inscriptum est :

Ex hac urbe olim Mnestheus comitatus Atridas
  examen duxit Pergama ad alta virûm,
gnarum præ reliquis quem cantat Homerus Achivis

κοσμητῆρα μάχης ἔξοχον ἄνδρα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Ἔστι που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου.

186. Προσέλθετε δὴ τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται. Τί οὖν ἐστιν, ὦ Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται. Τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἂν ὅτι Μιλτιάδης· ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται. Πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι, παρακαλοῦντι τοὺς στρατιώτας. (187) Ἐν τοίνυν τῷ Μητρῴῳ παρὰ τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγοῦσιν, ἔστιν ἰδεῖν. Ἦν μὲν γὰρ ὁ τὸ ψήφισμα γράψας καὶ νικήσας Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον· ἔγραψε δὲ πρῶτον μὲν αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς (καὶ τοῦτ' ἐστὶν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον), ἔπειτα κελεύει στεφανοῦσθαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται. Καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι αὐτῶν ἐπὶ Φυλῇ ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον τοῖς καταλαβοῦσι Φυλήν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων. (188) Ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΠΕΡΙ ΔΩΡΕΑΣ ΤΟΙΣ ΑΠΟ ΦΥΛΗΣ.

Παρανάγνωθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει τῷ τῶν μεγίστων κακῶν αἰτίῳ.

ΨΗΦΙΣΜΑ.

81 Τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά. Εἰ τοῦτ' ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατ' ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται.

189. Καίτοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν ὡς οὐ δίκαια ποιῶ παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμωνά φησι τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς, ὥσπερ ὑμᾶς ἀγνοοῦντας ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι πρὸς αὐτὴν τὴν ἀρετὴν ἧς καὶ ἕνεκα στεφανοῦνται. Δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας. Μὴ οὖν ἡμῖν ὡς Παταικίωνος ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει.

compositis acies dirigere ordinibus.
Sic non immerito primi dicentur ubique
virtute insigni Marteque Cecropidæ.

Usquamne hic reperitur ducum nomen? Nusquam, sed populi tantum.

186. Adeste igitur mihi animis et ad porticum picturatam: omnium enim facinorum egregiorum exstant vobis in foro monumenta. Quid igitur illud est quod dico, Athenienses? Hic pugna Marathonia depicta est. Sed quis erat imperator? Omnes, opinor, hoc ita rogati responderetis, Miltiades, at illic nomen ejus non inscribitur. Quid ita? non petivit hoc præmii? Petivit quidem, sed populus non dedit, verum ei pro nominis inscriptione concessit, ut primo loco pingeretur milites cohortans. (187) Ergo et in æde Matris deûm juxta Curiam, quodnam iis præmium qui populum exulantem a Phyla reduxerunt dederitis, intueri licet. Qui enim populi scitum scripsit et obtinuit Archinus erat Cœleus, unus ex iis qui populum reduxerunt: scripsit autem primum ut iis mille drachmæ darentur in sacrificia et dona templis appendenda—estque hoc minus quam decem drachmæ in singulos viros—, deinde jubet unumquemque oleagina corona ornari, non aurea; erat enim tum oleagina corona pretiosa, nunc etiam aurea in fastidio est. Verum ne hoc quidem temere fieri decernit, sed tum demum quum senatus accurate perquisiverit, quot eorum in Phyla obsessi fuissent, quum Lacedæmonii et triginta tyranni in eos invaserunt qui Phylam occuparant, non quot ad Chæroneam quum instarent hostes a statione recessissent. (188) Ut autem vera me dicere cognoscatis, recitabitur vobis decretum.

DECRETUM DE REDUCIBUS A PHYLA.

Recitetur jam ex adverso decretum id quod Ctesiphon scripsit Demostheni gravissimarum calamitatum auctori.

DECRETUM.

Hoc decreto obliteratur eorum præmium, qui populum reduxerunt. Hoc si honestum est, illud turpe fuit: si illi merito honore affecti sunt, hic immerito corona ornatur.

189. At enim audio dicturum esse Demosthenem, me parum juste facere qui majorum res gestas cum suis contendam. Neque enim (aiet) Philammon coronam adeptus est, quod veterem illum pugilem Glaucum, sed quod suæ ætatis certatores superarit. Quasi vero nesciatis, pugilibus inter sese propositum esse certamen, iis autem qui coronam poscunt cum ipsa virtute, cujus etiam causa coronantur. Oportet enim mendacio vacare præconem, quum quid in theatro coram Græcis prædicat. Quare noli nobis pluribus verbis demonstrare, te in republica administranda Patæcione fuisse meliorem, sed ubi virtutis compos fueris, ita demum gratias a populo deposce.

190. Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσιν.

ΕΠΙΓΡΑΜΜΑ.

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

191. Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι. Ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. Καὶ γάρ τοι, ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην, ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει, ὃς πολλάκις πρὸς ἐμὲ διεξῄει ἐπὶ σχολῆς· ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσίοι γραφὴν παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον. Τί γάρ ἐστιν ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος; (192) Καὶ τὴν ἀκρόασιν, ὡς ἐκεῖνος ἀπήγγελλεν, οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο ὥσπερ νῦν γίνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς τὰ παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα καὶ ἐκέλευον πάλιν ἀναγινώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες οὐχ εἰ πάντας παραπηδήσαιεν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλαβὴν παραλλάξαιεν. Τὸ δὲ νυνὶ γινόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀναγινώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν. (193) Ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε. Μετενήνεκται γὰρ τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κατήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ, οἱ δὲ δικασταὶ ἐνίοτε ὧν μέν εἰσι κριταὶ ἐπιλανθάνονται, ὧν δ' οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν. Λέγει δὲ ὁ φεύγων, ἂν ἄρα ποθ' ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερον ἕτερος τοιαῦτα γράψας ἀπέφυγεν· ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα. (194) Ἐτόλμα δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεὺς λέγων ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε· ἀλλ' οὐχὶ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος, ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς (οἶμαι) σεμνυνόμενος. Ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ
82 τι ἐξαμαρτάνοιεν εἰς τὴν πόλιν. (195) Ἐκεῖθεν δὲ

190. Verum ne vos a proposito abducam, scriba vobis epigramma recitabit, quod in eos scriptum est qui populum a Phyla reduxerunt.

EPIGRAMMA.

Hosce coronarum gens antiqua Attica pulcræ
virtutis causa jussit honore coli,
qui quondam injustos arcebant urbe tyrannos,
objicere haud veriti corpora pro patria.

191. Propterea quod eos qui contra leges dominati sunt everterint, honore affectos esse dicit poeta. Adhuc enim omnium aures vox ea personabat, populum illo maxime tempore eversum fuisse, postquam judicia de decretis contra leges factis nonnulli sustulissent. Equidem ut ego de patre meo audiebam, qui anno ætatis suæ quinto et nonagesimo diem obiit, quum omnium reip. ærumnarum particeps fuisset, quas sæpe mecum per otium conferebat — : is, inquam, dicebat, primis illis temporibus quibus populus reductus fuerat, si qua de decretis contra leges scriptis actio in judicium venerit, similia plane fuisse et nomen et factum. Quid enim est sceleratius homine qui res legibus adversas dicit aut facit? (192) Neque vero, judices, ut ille referebat, eadem ratione, qua nunc, de causa cognorunt; erant enim in eos qui decreta legibus adversa tulerant, multo infestiores quam ipse etiam accusator, et sæpenumero scribam revocabant, jubebantque leges et decretum iterum recitare, damnabantur denique ii qui contra leges scripserant, non si universas leges transgressi fuissent, sed si unam duntaxat syllabam immutassent. At perridiculum est quod nunc fieri solet. Scriba decretum recitat contra leges factum; judices, quasi cantilenam aut rem a judicio alienam audirent, ad aliud aliquod animum advertunt. (193) Jam vero ex Demosthenis artibus turpem consuetudinem in judicia irrepere sinitis. Inversa enim nobis sunt jura civitatis : accusator quidem defendit, reus accusat; judices, quarum rerum disceptatores sedeant, interdum obliviscuntur; de iis vero rebus, quarum judices non sunt, sententiam ferre coguntur. Reus, si quando rem ipsam attigerit, non se dicit legitima scripsisse, sed alium etiam antea quum talia scripsisset absolutum esse : quo quidem argumento magnopere jam nunc elatum esse audio Ctesiphontem. (194) Ausus est aliquando apud vos gloriari Aristophon ille Azeniensis, se septuaginta quinque actionibus de decretis contra leges factis postulatum fuisse. At non ita priscus ille Cephalus, qui omnium maxime popularis est habitus, non ita, inquam : sed plane contrariis gloriabatur factis, quod nempe, quum plura quam quis alius plebiscita scripsisset, nunquam tamen de decretis contra leges scriptis reus factus esset, præclara mea quidem sententia gloriatio. Nam de decretis adversum leges factis alii alios postulabant, non ii tantum qui in reip. partibus dissiderent, verum etiam amici amicos, si quid in rempublicam commisissent. (195) Id autem inde

τοῦτο γνώσεσθε. Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα γράψαντά τι παρὰ τοὺς νόμους, ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίσαντο οἱ δικασταί· ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κατήγαγεν, οὕτω νῦν μένοντας ἐξελαύνειν παρὰ τοὺς νόμους γράφοντά τι. (196) Ἀλλ' οὐ νῦν, ἀλλὰ πᾶν τοὐναντίον γίνεται· οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος, ἐν τοιαύτῃ πολιτείᾳ ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σώζουσι, τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν ὑφ' ἧς τετίμηται. (197) Τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ συνηγόρῳ δικαίῳ καὶ σώφρονι; ἐγὼ λέξω. Εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον. Ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ καὶ τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ, τὸ δὲ δεύτερον ὕδωρ τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας. (198) Ὅστις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰτεῖ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ, δημοκρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ οὔτ' αἰτηθέντα ἑτέρῳ δοῦναι. Κελεύσατε οὖν αὐτούς, ἐάσαντας ὑμᾶς τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν, ἀπαντᾶν εἰς τὴν τίμησιν. (199) Ὅλως δ' ἔγωγε, ὦ Ἀθηναῖοι, ὀλίγου δέω εἰπεῖν ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς γραφαῖς μόνον τῶν παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ κατηγόρῳ συνηγόρους παρασχέσθαι μήτε τῷ τὴν γραφὴν τῶν παρανόμων φεύγοντι. Οὐ γὰρ ἀόριστόν ἐστι τὸ δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις. Ὥσπερ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ ὀρθὸν καὶ τὸ μή, τὸν κανόνα προσφέρομεν ᾧ διαγινώσκεται, (200) οὕτω καὶ ἐν ταῖς γραφαῖς τῶν παρανόμων παράκειται κανὼν τοῦ δικαίου τουτὶ τὸ σανίδιον, καὶ τὸ ψήφισμα καὶ οἱ παραγεγραμμένοι νόμοι. Ταῦτα συμφωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε Δημοσθένην παρακαλεῖν; ὅταν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇς κακοῦργον ἄνθρωπον καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν.

201. Τίς οὖν ἐστιν ἀποτροπὴ τῶν τοιούτων λόγων; ἐγὼ ἐρῶ. Ἐπειδὰν προσελθὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ καὶ μὴ ἀπολογῆται, ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ σανίδιον λαβεῖν καὶ τοὺς νόμους τῷ ψηφίσματι παραναγνῶναι. Ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ ὑμεῖς ἐκείνου ἐθέ-

cognoscetis. Archinus Cœleus violatarum legum postulabat Thrasybulum Stiriensem, quod contra leges decretum fecerat, unum scilicet ex iis qui secum a Phyla revertissent, et reum peregit, recentibus etiam tunc ejus erga populum beneficiis, quorum tamen rationem nequaquam judices habuerunt: existimabant enim, quemadmodum tum ipsos exulantes Thrasybulus revocasset, ita etiam nunc eundem se in urbe constitutos exturbare, quum aliquid contra leges decerneret. (196) Nunc autem non ita fit, quin plane aliter. Vestri enim eximii imperatores, eorumque nonnulli qui victum quotidianum in Prytaneo meruerunt, actiones de decretis contra leges factis deprecationibus suis evertunt, quos jure vos ingratos existimare debeatis. Si quis enim in libera republica honorem consecutus, in ea præsertim civitate, quam dii legesque conservant, iis qui decreta legibus adversa scribunt opitulari audet, is eam ipsam rempublicam evertit, a qua est honestatus. (197) Quænam igitur defensionis ratio patrono justo ac modesto præscripta est? Dicam. In tres partes distribuitur dies, quo actio de decretis contra leges factis in judicium venit. Infunditur enim prima aqua accusatori, legibus, libertati denique populari, secunda reo iisque qui in rem ipsam loqui volunt; quum vero prima sententia non solutum fuerit violatarum legum crimen, tertia jam aqua litis æstimationi infunditur vestræque iræ magnitudini. (198) Quicunque igitur in æstimanda lite vos suffragium vestrum rogat, is iram vestram deprecatur: at qui in prima contentionis parte suffragium petit, jusjurandum petit, legem petit, populi libertatem petit, quorum neque quicquam rogare fas est, neque rogatum alteri concedere. Jubete igitur, ut, vos primam sententiam secundum leges ferre passi, exinde ad litis æstimationem vires convertant. (199) Ad summam autem parum mihi abest, Athenienses, quin dicam legem in actionibus duntaxat de decretis contra leges factis ferri debere, ne liceat aut accusatori, aut ei qui hujus criminis postulatur, advocatos sibi adsciscere: non enim hic interminatum jus est, sed legibus vestris definitum. Ut enim in arte fabrili, quum quid rectum sit quid non, scire volumus, regulam adhibemus, qua dijudicetur, (200) ita in accusationibus de decretis contra leges factis juris regula proponitur, tabella scilicet hæcce et decretum (Ctesiphontis) et leges descriptæ ac juxta positæ. Hæc si inter se consentire ostenderis, descende, et quid opus te Demosthenem advocare? Quum vero justa illa defensionis ratione neglecta hominem maleficum accersis et verborum artificem, insidias struis auditoribus, civitatem labefactas, populi dominationem evertis.

201. Quænam igitur ratio est hujusmodi orationum propulsandarum? Ego jam exponam. Simulatque huc progressus Ctesiphon illud compositum sibi *a Demosthene* exordium pronuntiabit, deinde tempus absumet nihilque ad defensionem afferet, commonete eum, ut citra tumultum tabellam hanc in manus sumat legesque cum decreto suo recitatas conferat. Quodsi vos audire se dissimulaverit,

λετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς οὐ δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλλὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι. (202) Ἐὰν δ' ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρακαλῇ, μάλιστα μὲν μὴ προσδέχεσθε κακοῦργον ἄνθρωπον, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερομένου Κτησιφῶντος « ἦ καλέσω Δημοσθένην; » πρῶτος ἀναβοήσῃ « κάλει, κάλει. » Ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. Ἂν δ' ἄρα ὑμῖν δόξῃ ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι ὅνπερ κἀγὼ κατηγόρηκα. (203) Ἐγὼ δὲ πῶς κατηγόρηκα; ἵνα καὶ ὑπομνήσω ὑμᾶς.

83 Οὔτε τὸν ἴδιον βίον τὸν Δημοσθένους πρότερον διεξῆλθον οὔτε τῶν δημοσίων ἀδικημάτων οὐδενὸς πρότερον ἐμνήσθην, ἄφθονα δήπου καὶ πολλὰ ἔχων λέγειν· ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος· ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν οὐδὲν προβαλλόμενον, οὐδὲ προσεγγράψαντα « ἐπειδὰν δῷ τὰς εὐθύνας », ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα· καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν. (204) Δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαρρήδην ἀπείρηται τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναρρήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάρρησιν γίνεσθαι, οὐδ' ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι. Ταῦτα δ' εἰπὼν μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων. (205) Οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιώσατε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον, τρίτον δὲ τὸ μέγιστον λέγω, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς. Ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν. (206) Ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως ἀλλήλοις διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε, καὶ μὴ ἐᾶτε αὐτὸν ἔξω τοῦ παρανόμου περιίστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες ἐν τῇ ἀκροάσει εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ τῶν λόγων ἐπιτηρεῖτε. (207) Ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ'

ne vos quidem eum audiatis : non enim huc convenistis, ut reos qui legitimam defensionem respuunt audiatis, sed illos qui se recte atque ordine defendere parati sunt. (202) Sin autem justa defensione prætermissa Demosthenem accersat, potissimum nolite ferre hominem veteratorem, spectantem se verborum aucupiis leges sublaturum, neque hoc quispiam vestrûm sibi in laudis loco deputet, si interrogante Ctesiphonte, liceatne per vos Demosthenem advocare, primus exclamavit *voca, voca :* — contra te ipsum vocas, contra leges vocas, contra populi libertatem vocas — : quodsi vobis audire placeat Demosthenem, postulate ab eo, ut ad eam normam defensionem instituat, quam ego in accusatione sum secutus, (203) sic quodammodo, ut id vobis in memoriam revocem. Nec privatam Demosthenis vitam prius explicavi, nec ullius publici criminis mentionem feci, quum eorum ingens mihi adesset copia — aut omnium certe hominum essem infantissimus —, sed primo loco ostendi leges diserte vetare, ne corona donentur ii qui rationibus referendis sunt obnoxii; deinde oratorem redargui, quod Demosthenem, qui rationibus reddendis obnoxius est, corona donari jusserit, nullo prætextu interposito, non excusatione ea adscripta « *posteaquam rationes retulerit,* » sed vobis atque legibus penitus despectis : porro cavillationes quas contra hæc allaturi sunt exposui, quarum etiam ut vos memores sitis exoro. (204) Secundo loco leges vobis de præconiis percurri, quibus diserte interdictum est, ne quis a populo corona donatus extra concionem prædicetur : orator vero qui est reus non leges tantum transgressus est, sed et tempus et locum prædicationis commutavit, siquidem non in concione sed in theatro, non Atheniensibus in concionem congregatis sed tragœdis in scenam jam prodituris, præconium fieri decrevit. His expositis, pauca de privatis dixi, magnam autem partem in publicis ipsius criminibus oratio mea versata est. (205) Sic igitur et a Demosthene postuletis ut defensionem instituat, primo ad legem de iis qui rationibus reddendis sunt obnoxii, deinde ad legem de præconiis respondeat, tertio loco ad illud quod maximum dico, non esse dignum eum corona. Quodsi vos oret, ut de ordine dicendi suo se arbitrio uti concedatis, pollicitus se sub finem defensionis crimen de decreto contra leges facto soluturum, nequaquam concedite, neque vos fugiat callidam hanc esse technam ad eluctandum judicium : nunquam enim postea ad crimen decreti contra leges facti respondebit, sed, quum nihil habeat quod juste possit dicere, aliarum rerum injectione in oblivionem accusationis vos adducere cogitat. (206) Quemadmodum igitur in certaminibus gymnicis videtis pugiles inter se de statu decertare, sic et vos cum eo totum diem pro republica de dicendi ordine depugnate, neque eum sinite extra crimen violatæ legis per ambages evadere, sed audiendo illi immorantes atque insidentes intra causæ ipsius limites hominem coercete, verborumque ejus diverticula et anfractus observate. (207) Quæ autem vobis eventura sint, si hoc modo Demosthenem audiatis, æquum est ut prædicem. Intro-

ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν. Ἐπεισάξει γὰρ τὸν γόητα καὶ βαλαντιοτόμον καὶ διατετμηκότα τὴν πολιτείαν. Οὗτος κλαίει μὲν ῥᾷον ἢ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα· οὐκ ἂν θαυμάσαιμι δὲ εἰ μεταβαλλόμενος τοῖς ἔξω περιεστηκόσι λοιδορήσεται, φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας διηριθμημένους ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς πρὸς τὸ τοῦ φεύγοντος. (208) Ὅταν δὴ ταῦτα λέγῃ, πρὸς μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε « ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποθ' ἡ δημοκρατία κατέστη. Νῦν δὲ ἐκεῖνοι μὲν μεγάλων κακῶν συμβάντων ἔσωσαν τὴν πόλιν τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν· σὺ δὲ ἑλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερὸν λόγων ἢ τῆς σωτηρίας τῆς πόλεως. » Ὅταν δ' ἐπίορκος ὢν εἰς τὴν διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι ἀεὶ δὲ πρὸς τοὺς αὐτοὺς μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι δυοῖν θάτερον ὑπάρξαι δεῖ, ὧν οὐδέτερόν ἐστι Δημοσθένει ὑπάρχον, ἢ τοὺς θεοὺς καινοὺς ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς. (209) Περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ « ποῖ φύγω, ἄνδρες Ἀθηναῖοι; περιγράψατέ με ἐκ τῆς πολιτείας· οὐκ ἔστιν ὅποι ἀναπτήσομαι, » ἀνθυ-
84 ποβάλλετε αὐτῷ « ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; πρὸς ποίαν συμμάχων παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν. Ἐκλιπὼν μὲν τὸ ἄστυ οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως, ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα. » (210) Ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ δ' ἀγὼν οὐκ ἀτίμητος, σὺ δ' οὔτε περὶ τῆς οὐσίας οὔτε περὶ τοῦ σώματος οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ; ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους· (211) ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος ἢ τῶν καθεστηκότων ἐπιλελησμένος ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν αὐτόν, παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν « ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω ἐν ᾧ τὸ κήρυγμα γίνεται· οὐ γὰρ δεῖ ἐφ' οἷς ἡ πόλις ἐπένθησε καὶ ἐκείρατο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι. » Ἀλλ' οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλοτυποῦν ἀρετήν. (212) Οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γε ὑμῶν οὐδεὶς φοβήσεται, μὴ ὁ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῶν ἀριστείων οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσηται· ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μιαρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος

ducet enim *Ctesiphon* præstigiatorem illum et crumenarum sectorem et reipublicæ carnificem. Hic et facilius plorat quam alii rident, et mortalium omnium est ad pejerandum promptissimus : neque vero mirabor, si subita mutatione facta in eos qui foris circumsistunt maledicta congeret, dicetque homines paucorum potentiæ studiosos, ab ipsa etiam veritate discretos et dinumeratos, ad accusatoris suggestum, populares autem ad rei subsellia, convenisse. (208) Hæc igitur quum dicet, id ei contra seditiosas has orationes opponite : *Si tui similes fuissent, Demosthenes, qui populum exulantem a Phyla reduxerunt, nunquam hic popularis status fuisset constitutus. Nunc illi post gravissimas clades rempublicam conservarunt, pulcherrimo illo et ab humanitate disciplinaque profecto verbo usurpato,* NE QUIS INJURIARUM REMINISCERETUR : *at tu vulnera nobis refricas, majorque tibi quotidianarum orationum cura est quam publicæ salutis.* Quum autem homo in perjuriis versatus ad fidem jurejurando faciendam confugerit, illud eum commonete, viro, qui et sæpe pejerat semperque apud eosdem sibi fidem esse jurato postulat, duorum alterum suppetere oportere, quorum neutrum consecutus est Demosthenes, aut deos novos aut non eosdem auditores. (209) Jam quod ad lacrimas attinet et contentionem vocis, quum vos rogabit : *Quo confugiam, Athenienses? circumscribatis me ex republica ; non est quo me recipiam*, hæc ei contra referte : *At populus Atheniensis quo confugiet, Demosthenes? ad quem sociorum apparatum vel ad quam pecuniam? quæ dum tu rempublicam gereres populo munimenta comparasti? nam quibus rebus tibi ipsi consulueris, omnes videmus. Urbe enim relicta non, ut te videri velis, in Piræeo habitas, sed fugam ex civitate spectas, jamque ignaviæ tuæ viatica providisti aurum regium et peculatu quæsitas opes.* (210) Denique quorsum lacrimæ? quorsum ejulatio? quorsum tanta illa vocis contentio? Nonne is qui causam dicit Ctesiphon est, causaque ipsa nequaquam ex iis quæ certationem de mulcta (ab actore constituta) non admittat, tu vero neque de fortunis neque de vita neque existimatione tua decertas? Qua tandem igitur de re laborat? De aureis coronis et præconiis in theatro legibus interdictis. (211) Quem, si populus aut furore præceps aut præsentis rerum status immemor tam alieno tempore eum corona donare vellet, in concionem progressum dixisse oportebat, *Athenienses, coronam quidem accipio, tempus autem, in quo fit præconium, non probo : nec enim decet propter quæ respublica luctu obruta est et comam totondit, propter ea me corona donari.* Hac opinor oratione uteretur vir bonus, qui vitam cum vera virtute conjunctam vixisset : quæ tu dices vero, scelerati sunt nebulonis inanem virtutis umbram consectantis. (212) Neque enim mehercule hoc quisquam vestrûm pertimescat, ne Demosthenes, magni vir animi et virtute bellica præcellens, præmiis fortitudinis frustratus se domum reversus interficiat; qui usque adeo laudis et gloriæ apud vos studium deridet, ut nefandum illud caput et rationibus referendis obnoxium,

παρὰ τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε καὶ τούτων μισθοὺς εἴληφε τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλὴν ἀλλὰ πρόσοδον κέκτηται.

213. Περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην βραχέα βούλομαι εἰπεῖν, τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγινώσκειν· ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι πρὸς ὑμᾶς, τοῦτ' ἐρῶ. Περιέρχονται γὰρ τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας καὶ λόγους οὐ ψευδεῖς λέγοντες. (214) Ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ' ἑαυτόν φησι φοβεῖσθαι (ἐλπίζειν γὰρ δόξειν ἰδιώτης εἶναι), ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὑτὸν μὲν ἀποβλέπων θαρρεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι. Τοὺς δὲ δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε.

215. Περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν. Πυνθάνομαι γὰρ λέξειν Δημοσθένην ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται πολλά, ὑπ' ἐμοῦ δὲ καταβέβλαπται, καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ. Οὕτω γάρ ἐστιν, ὡς ἔοικε, δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' ὑμῖν ἐγὼ ἢ εἴ τινας δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν, (216) ἀλλὰ καὶ τὴν ἡσυχίαν μου τοῦ βίου διαβάλλει καὶ τῆς σιωπῆς μου κατηγορεῖ, ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλείπηται, καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου διατριβὰς καταμέμφεται, καὶ κατὰ τῆσδε τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. (217) Καὶ νὴ Δί', ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν διὰ τί τὸ μὲν κεφάλαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστον οὐκ ἐκώλυον οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπὼν καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν. Ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι βουλοίμην, οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας ἐδεξάμην ἂν ζῆν. (218) Τὴν δ' ἐμὴν σιωπήν, ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης παρεσκεύασεν· ἀρκεῖ γάρ μοι μικρὰ καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ, ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος ἀλλ' οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης. Σὺ δ' οἶμαι λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας. Λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν· οὐκ αἰσχύνῃ δὲ ἀλαζονευόμενος ἃ παραχρῆμα ἐξελέγχῃ ψευ-

quod iste contra leges omnes coronandum decrevit, decies millies dissecuerit, ejusque rei mercedem tulerit, accusationibus de vulnere consulto illato institutis, pugnisque ita est a Midia concisus, ut eorum credam vestigia adhuc in corpore ejus eminere. Homo enim non tam caput gestat, quam reditum.

213. Jam porro de Ctesiphonte, qui scitum hoc scripsit, pauca mihi dicenda sunt; plurima autem præteribo, ut vestri faciam periculum, utrum homines improbitate præcellentes ipsi per vos, etiamsi nemo præmonuerit, internoscere possitis. Id tantum, quod istorum utriusque commune est quodque de iis apud vos merito dici potest, exponam. In foro igitur circumcursant veram alter de altero opinionem habentes, vocesque minime falsas jactantes. (214) Negat se Ctesiphon sibi quicquam timere; sperat enim se stolidum quendam et imperitum visum iri : sed Demosthenis in administranda republica quæstus flagitiosos et consternationem et ignaviam, ea vero se pertimescere confirmat. Demosthenes contra, quum in se ipse intuetur, securo se animo esse prædicat; at Ctesiphontis improbitatem et lenocinia vehementer perhorrescere. Quos igitur sua mutua sententia flagitiorum arguit, vos communes utriusque judices criminibus ne absolvite.

215. De iis vero quæ in me congeret maledictis pauca nunc præfabor. Audio enim Demosthenem dicturum, rempublicam a se quidem multa commoda, a me autem multa damna suscepisse, et simul Philippum et Alexandrum atque inde nata crimina in me rejecturum. Est enim, ut videtur, adeo callidus verborum artifex, ut jam non satis habeat, si quid ego in republica gessi vel si quas orationes apud vos habui, incusare, (216) sed ipsum vitæ meæ otium criminatur meumque silentium insimulat, ne quis ei locus scilicet calumniæ vacuus relinquatur; cœtus porro et colloquia, quæ in gymnasiis cum adolescentulis habeo, reprehendit; quin et contra hanc ipsam actionem statim orationis suæ initio crimen quoddam afferet, me litem ei intendisse non studio reipublicæ adductum, sed ut me Alexandro ostentarem propter inimicitias quæ illi cum isto intercedunt. (217) Enimvero, ut accepi, ex me etiam quæsiturus est, cur ego rerum a se gestarum summam reprehendam, singulas vero neque interpellarim neque in judicium adduxerim, sed longo demum intervallo, et quum in republica administranda non assidue versatus essem, ad accusandum accesserim. Ego vero neque Demosthenis consuetudinem et colloquia mihi unquam invidenda duxi, neque meorum me pudet, neque quæ coram vobis a me dicta sunt indicta esse velim, neque, si quales iste habuit conciones habuissem, mihi diutius vivendum putarem. (218) Meum vero silentium, Demosthenes, vitæ meæ continentia peperit : parvo enim sum contentus, nec majora turpiter concupisco, itaque et silentio utor et ad dicendum venio consilio adductus, non insita ingenio luxuria coactus. At tu opinor accepto munere siluisti, consumpto vociferatus es; dicis autem, non quum tibi videatur neque ea quæ velis, sed quum ii qui operam tuam mercantur imperarint : neque ea te pudet arroganter decantare, quæ paulo post a te conficta esse ar-

δόμενος. (219) Ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῆς εἰς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου. Πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ, εἴ γε μὴ ταὐτὸ ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν; (220) Ἐπιτιμᾷς δέ μοι εἰ μὴ συνεχῶς ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν μεταφέρων οὐκ ἐκ δημοκρατίας ἀλλ' ἐξ ἑτέρας πολιτείας. Ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος ἀλλ' ὁ δυναστεύων κατηγορεῖ, ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος καὶ ὅταν αὐτῷ δοκῇ. Καὶ τὸ μὲν διὰ χρόνου λέγειν σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου, τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν ἐργαζομένου καὶ μισθαρνοῦντος. (221) Ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις ἢ σαυτὸν παραλογίζῃ. Τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν· (222) τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα τίς ἂν ἀποκρύψαι χρόνος δύναιτ' ἄν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων, καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφῃρημένος, πλέον τῆς πόλεως ἀφανίζων ναυτικὸν ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν; (223) Οὕτω δὲ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι, πολὺν μὲν τὸν Ἀλέξανδρον καὶ Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιρούς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος. Οὐ τὸ τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατασκευάσας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος, (224) καὶ τὸν αὐτὸν ἄνδρα δὶς στρεβλώσας τῇ σαυτοῦ χειρὶ ἔγραψας αὐτὸν θανάτῳ ζημιῶσαι; καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου, καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες ἄνδρα φίλον καὶ ξένον ποιούμενος. Καὶ τοῦτον ἀπέκτεινας, καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ καὶ κληθεὶς ξενοκτόνος οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνου ἐφ' ᾧ ἀνεβόησεν ὁ δῆμος καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης. (225) Ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς καὶ κατασκόπων συλλήψεις καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομέ-

guentur. (219) Namque in judicium deducta est hæc de scito Ctesiphontis actio, quam tu me intendisse dictitas, non quo reipublicæ studerem, sed quo me Alexandro venditarem, Philippo etiam tum vivente, priusquam Alexander regnum obtineret, quum tu nondum illud de Pausania somnium videras, nondum cum Minerva et Junone noctu collocutus esses. Quomodo igitur me Alexandro ante tempus venditarem, nisi vero idem somnium ego et Demosthenes viderimus? (220) At in eo me criminaris, quod non continenter sed interjecto tempore ad populum accedam, idque nos latere arbitraris, istam te sententiam non ex populari imperio, sed alia quadam reipublicæ forma traduxisse. Namque ubi obtinet paucorum dominatus, non is qui vult, sed qui dominatur, accusat; in civitatibus vero liberis, qui vult et quandocunque ei videtur. Et vero cum aliqua temporis intermissione dicere virum indicat, qui quum tempora postulant et utilitas communis, ad rempublicam accedit; nec unum vero diem interponere, operarii est et quæstum aucupantis. (221) Quod autem nondum a me in judicium fueris adductus, nondum tuorum facinorum pœnas dederis, ad has rationes quum confugeris, vel auditores obliviosos esse existimas vel ipse tibi illudis. Quæ enim in Amphissensi negotio impie commisisti, quæ in rebus Euboicis quæstus causa fecisti, quoniam tempora jam effluxerunt quibus a me manifesto convictus es, eorum nunc fortasse populum oblitum esse speras : (222) rapinas vero tuas in triremium et trierarchorum negotio, quod unquam tempus obscurare queat, quum tu lege de trecentis navibus lata, perpulsoque populo ut te rei nauticæ curatorem præficeret, a me coram convictus es sexaginta quinque naves actuarias trierarchis ademisse, quo facto majorem civitati nostræ classem subripuisti, quam *quæ suppeteret* quum Athenienses navali apud Naxum prœlio Lacedæmonios Pollimque devicerunt? (223) Ita vero criminationibus pœnas tibi debitas obsepsisti, ut periculum sit non tibi qui injusta feceris, sed iis qui te judicio persequuntur, dum tu Alexandrum et Philippum inter calumniandum assidue in ore habes, dum certos homines reipublicæ opportunitates impedire insimulas, dum res quidem præsentes semper labefactas, deque futuris mirifice polliceris. Non denique, quum diem ego jam tibi dicturus essem, subdole effecisti ut Anaxinus Orita comprehenderetur, qui Olympiadi merces coemebat, (224) atque ipsum illum virum bis cruciatum decreto tuapte manu conscripto capitis damnasti? apud quem in Oreo diversabare, quocum ex eadem mensa ederas, biberas, libaveras, cujus dextræ dextram junxeras, cum quo amicitiam hospitiumque iniveras. Hunc, *inquam*, occidisti, et, quum a me coram universo populo sceleris hujus convictus esses atque hospitis occisor nominatus, impium facinus non negasti, sed illud respondisti, ad quod et populus, et quicunque advenæ concionem circumsistebant, clamorem sustulerunt: dixisti quippe, te reipublicæ salem hospitali mensæ prætulisse. (225) Jam falsas epistolas prætermitto, speculatorum comprehensiones, tormenta adhibita ob crimina nunquam admissa, quasi ego cum quibusdam hominibus

νου. Ἔπειτα ἐπερωτᾷν με, ὡς ἐγὼ πυνθάνομαι, μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους ἃ ἐπιτηδεύσας ὑγιὴς ἂν ἐγένετο. (226) Σαυτὸν δ' οὐκ ἀντερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος ὅστις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς ἐν οἷς ἦν σώζεσθαι τὴν πόλιν ἀποδοῖτο, τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κινδύνων καὶ τὴν πόλιν ἀνηκέστοις κακοῖς περιβαλὼν ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδέν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς, ἐπερωτῴη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν ὅτ' ἐνῆν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν· (227) ἀποκρύπτοιτο δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγενομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν· ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ' ἐνέστην καὶ τὴν γραφὴν ἀπήνεγκα.

228. Καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, ὧν ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν, ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ἀγανακτῶ μάλιστα. Ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς Σειρῆσιν, ὡς ἔοικε· καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους ἀλλ' ἀπόλλυσθαι, διόπερ οὐδ' εὐδοκιμεῖν τὴν τῶν Σειρήνων μουσικήν· καὶ δὴ καὶ τὴν τῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων. Καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· (229) εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ' ἀνδρὸς στρατηγοῦ μεγάλα μὲν τῇ πόλει κατειργασμένου, λέγειν δὲ ἀδυνάτου καὶ τὴν τῶν ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὐτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν. Ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ τὴν γλῶτταν ὥσπερ τῶν αὐλῶν ἐάν τις ἀφέλῃ, τὸ λοιπὸν οὐδέν ἐστιν.

230. Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ ζητῶ πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσαισθε τὴν γραφήν. Πότερον ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται. Ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρ' εἰσὶ παρ' ὑμῖν εὔθυναι βίου, εἰ τοῦτον ἀφήσετε. Ἐκεῖνο δ' οὐ λυπηρόν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι καὶ ἀκήρυκτοι γί-

in civitate rebus novis studerem. At enim, ut audio, ex me porro quæsiturus est, qualis ille medicus habendus sit, qui ægro interea dum ægrotet nihil det consilii, postquam vero obierit, ad inferias accedens mortui necessariis ea commemoret, quæ si æger observasset convaluisset. (226) Te ipsum vero non contra rogas, qualis ille reipublicæ administrator sit, qui populum blanditiis delinire sciat; tempora, quibus civitas conservari poterat, vendiderit; cives rite sentientes calumniando ne consilia communicent deterreat; qui, quum periculis timide se subtraxerit remque publicam insanabilibus ærumnis implicarit, se virtutis ergo corona donandum esse contendat, quum nihil unquam boni fecerit, omnium vero calamitatum auctor unus exstiterit; qui nunc eos interroget qui illis temporibus, quibus civitas servari poterat, a republica administranda calumniis depulsi sunt, cur sibi quominus delinqueret non obstiterint? (227) qui denique celare studeat, quum prœlium supervenisset, otium nobis non fuisse de tuo supplicio cogitandi, sed de salute civitatis legatis huc illuc missis egisse: verum enimvero quando tibi non satis erat pœnas non dedisse, nisi etiam et præmia posceres civitatemque nostram Græcis omnibus deridendam objiceres, tum denique tibi obviam ivi litemque intendi.

228. Ceterum, per deos immortales, eorum omnium quæ dicturum esse Demosthenem audio, hoc quod jam vobis dicam indignissime fero. Ingenium meum cum Sirenibus comparat, si diis placet. Ab illis enim non tam permulcentur, inquit, auditores, quam ad perniciem adiguntur; quocirca male audit Sirenum harmonia. Ita meam in dicendo peritiam, meum ingenium, iis qui audiunt semper esse exitiosum. Atqui quum hanc de me orationem neminem omnino decere putem; turpe enim accusatori est, si criminationes suas re nequeat comprobare: (229) tum si cui illud dicendum fuisset, non ea Demosthenis oratio erat, sed imperatoris alicujus qui res quidem præclaras pro republica gesserit, dicendi autem facultate deseratur, quique ideo adversario ingenium suum miratus invideret, quum intelligat se nihil eorum quæ patraverit oratione explicare posse, accusatorem contra videat etiam ea quæ nunquam gesserit perinde auditoribus in conspectu ponere, quasi a se revera essent perfecta. Nunc vero quum homo totus ex vocabulis conflatus, iisque amaris et inaniter exquisitis, tandem ad orationis simplicitatem et facta confugit, quis æquo animo ferat? cui si quis linguam, ut tibiis, dempserit, reliquum nihil erit.

230. Ego equidem vos demiror, Athenienses, et scire velim, quibus demum rebus permoti actionem hanc sententiis vestris improbaretis. An quod scitum legitimum est? At nulla unquam sententia legibus magis adversa fuit. An quod is qui scitum fecit non dignus est supplicio? Ergo nullæ sunt apud vos rationum vitæ referendarum leges, si hunc absolveritis. Illud vero nonne ingemiscendum, si quidem olim aureis coronis, quibus populus a Græcis donabatur, referta erat orchestra, eo quod dies hic hospitalibus coronis constitutus erat: nunc ex Demosthenis in rep. administranda institutis vos neque coronis neque præconiis donati

νεσθε, οὗτος δὲ κηρυχθήσεται; (231) Καὶ εἰ μέν τις τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ, τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ. (232) Καὶ φατὲ μὲν εὐ-
87 τυχεῖς εἶναι, ὡς καὶ ἐστέ, καλῶς ποιοῦντες, ψηφιεῖσθε δ' ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι; καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ τῶν Διονυσίων, ἐὰν μὴ δικαίως τοὺς κυκλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐ κυκλίων χορῶν καθεστηκότες ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους οὐδ' ὀλίγοις καὶ τοῖς ἀξίοις ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; (233) Ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτὴς ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα. Ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν αὐτὸς τὴν αὑτοῦ δυναστείαν. Ἔπειθ' ὁ μὲν ὅρκος, ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' αὐτὸν γὰρ οἶμαι γέγονε τὸ ἁμάρτημα· ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται.

234. Δοκοῦμεν δ' ἔμοιγε, ὦ Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες. Ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐεσθε τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν. Πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον· ἔχαιρε γὰρ κολακευόμενος, ἔπειτ' αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε, κατέλυσαν· (235) ἔνιοι δὲ καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, οἳ πλείους ἢ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν πρὶν καὶ τὰς αἰτίας ἀκοῦσαι ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν, καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων εἴων τοὺς προσήκοντας παραγενέσθαι. Οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ' ὅτι οὐδεὶς πώποτε ἐπέθετο πρότερον τῇ τοῦ δήμου καταλύσει, πρὶν ἂν μεῖζον τῶν δικαστηρίων ἰσχύσῃ;

236. Ἡδέως δ' ἂν ἔγωγε, ὦ Ἀθηναῖοι, ἐναντίον ὑμῶν ὁμολογησαίμην πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι. Εἰ μὲν γὰρ λέγεις, ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιή-

sitis, iste autem prædicatione sit ornandus? (231) Atqui si quis ex poetis tragicis, qui paulo post fabulas in scenam producturi sunt, faceret in tragœdia Thersitem a Græcis coronari, nemo vestrûm ferret, quoniam dicit eum Homerus ignavum et sycophantam fuisse : vos autem quum istiusmodi homini coronam imponetis, non putatis vos Græcorum omnium judiciis exsibilatum iri? Majores enim vestri, si quid rebus suis splendidum ac præclarum messet, id populo adscribebant; si quid abjectum atque infimum, in malos oratores conferebant : at Ctesiphon arbitratur, quam Demostheni detraxeritis ignominiam, populo vos circumjicere oportere. (232) Enimvero dicitis vos fortunatos esse, quemadmodum estis, et merito quidem, decreto autem confirmabitis vos a fortuna derelictos, a Demosthene beneficiis esse affectos, et quod est omnium absurdissimum, in iisdem judiciis eos qui repetundarum sunt damnati, infamia notatis, huic, quem ipsi scitis mercede remp. administrasse, coronam imponetis : ludorum etiam Dionysiacorum judices, si iniquam de choris cyclicis sententiam tulerint, mulctatis, iidem autem vos, non chororum cyclicorum judices constituti, sed legum virtutisque civilis, præmia non secundum leges neque paucis ac dignis, sed ei qui hæc ambiendo assecutus sit, largiemini. (233) Ergo ex judicio discedit talis judex, suis quidem opibus diminutis, oratoris autem auctis et confirmatis. Vir enim privatus in civitate libera lege et calculo suo rex est : quum vero hæc alteri concesserit, suum ipse principatum dissipavit. Deinde jurisjurandi quidem religio, qua obstrictus judicat, assidue ipsum comitans affligtat; ex illius scilicet violatione crimen natum est : gratia vero ei, cui beneficium facere studebat, non innotescit; nam calculus secreto redditur.

234. Videmur autem, Athenienses, simul et fortunati esse et de republica periclitari pari imprudentia. Nam quod his temporibus liberæ civitatis firmamenta multi paucis projicitis, non laudo : quod autem inde non increbuit in nos seges oratorum improborum simul et petulantium, eo nomine fortunati sumus. Talia enim ingenia tulit quondam respublica, quæ populum adeo facile perdiderunt. Gaudebat quippe assentationibus; ita illum non ii quos metuebat, sed ii quorum fidei se commiserat, everterunt. (235) Quorum quidem nonnulli etiam ipsi in triginta tyrannorum numero fuerunt, qui plus quam mille et quingentos cives indicta causa necaverunt, ne criminibus quidem auditis ob quæ erant morituri, neque ad mortuorum tumulos, ad cadaver efferendum, cognatis conveniendi copiam fecerunt. Ergo eos qui remp. administrant in potestate vestra non continebitis? non eos qui nunc elati insolentia sunt submissos ablegabitis? non meministis, nunquam quemquam prius se ad libertatem populi diluendam accinxisse, quam judiciorum auctoritate major evaserit?

236. Libenter equidem, Athenienses, rationem coram vobis inire velim cum isto qui decretum scripsit, quænam propter beneficia Demosthenem censeat corona esse donandum. Nam si dicis unde auspicatus es decretum, pro-

σω, ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. Τοῦ γὰρ ταῦτ' ἐξεργασθῆναι καλῶς τὸ γεγενῆσθαι τούτων αἴτιον μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει. (237) Εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν ὡς ἔστιν ἀνὴρ ἀγαθὸς καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ τι λέγεις. Τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δ' εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. Ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, οἴει λανθάνειν ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς. (238) Ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι. Ὁ γὰρ τῶν Περσῶν βασιλεὺς οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν, ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ, « ἐγώ » φησίν « ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε· οὐ γὰρ λήψεσθε· » (239) Οὗτος μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων Ἀθηναίων, αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ· ἃ σωφρονῶν οὐκ ἐδέξατο. Ὁ δὲ κομίζων ἦν τὸ χρυσίον καιρὸς καὶ φόβος καὶ χρεία συμμάχων. Τὸ δὲ αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο. Σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας. (240) Οὐ δι' ἔνδειαν μὲν χρημάτων ἕνεκα πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ ἐννέα δὲ τάλαντα ἀργυρίου πάντων Ἀρκάδων ἐξεληλυθότων καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν ἡ πρᾶξις οὐ γεγένηται; σὺ δὲ πλουτεῖς καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς. Καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν.

241. Ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι. Εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίνεται. Ὅπου γὰρ δὴ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθούς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἐὰν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων;

242. Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν σωφρονῇς, ἀποστήσῃ, ποίησαι δέ, ὦ Κτησιφῶν, διὰ

pterea quod fossas mœnibus obductas pulchre descripserit, demiror te. Nam in causa fuisse cur istæ *necessariæ* sint, culpam habet graviorem, quam quæ pulchra earundem descriptione *eluatur* : non enim, quod muros obvallarit, quod publica sepulcra diruerit, fidum oportet reipublicæ administratorem præmia postulare, sed quod bonum aliquod civitati compararit. (237) Quodsi venies ad secundam decreti partem, in qua scribere ausus es, virum bonum esse eum atque ea constanter et dicere et facere quæ maxime sint e re populi Atheniensis, demptis ex decreto arrogantia ac jactatione verborum ad facta redi, ostende nobis quid sit quod dicis. Quæstus enim sordidos, quos in rebus Amphissensium atque Euboicis fecit, prætermitto : quum vero societatis cum Thebanis factæ causas Demostheni adscribis, rei quidem ignaros decipis, eos vero qui sciunt atque sentiunt contumelia afficis. Nam dissimulato tempore sublataque horum amplitudine, propter quæ hæc societas facta est, illud nos latere arbitraris, te reipublicæ dignitatem Demostheni affinxisse. (238) Quanta autem hæc sit arrogantia, magno vos argumento conabor edocere. Persarum enim rex, non multo ante quam Alexander in Asiam trajecisset, misit ad populum contumeliosam admodum et barbaram epistolam, in qua quum multa alia dixerit a liberali disciplina alienissima, tum illud etiam sub fine scripsit : *Ego*, inquit, *vobis aurum non dabo; nolite a me petere, non enim accipietis.* (239) Idem tamen ille periculis in quibus etiam nunc versatur circumventus, populo Atheniensi non petenti trecenta talenta ipse ultro misit, quæ is prudens non accepit. Quod autem aurum illud vobis pertulit, tempus fuit, metus, sociorum indigentia. Eadem porro ipsa et Thebanorum societatem effecerunt. Tu vero Thebanorum nomen et infelicissimam illam societatem semper in ore habens nos obtundis, septuaginta autem talenta retices, quæ ex auro regio præcepta avertisti. (240) Nonne ob inopiam pecuniarum, quum quinque duntaxat talentis opus fuit, externi milites arcem Thebanis non tradiderunt? nonne propter novem talenta argenti, quum Arcades omnes in expeditionem egrederentur ducesque eorum ad opem ferendam essent parati, res confecta non est? At tu dives es habesque unde voluptatibus tuis sumptum suggeras, et ut in summa dicam, aurum regium apud istum, pericula penes vos sunt.

241. Operæ vero pretium est et vecordiam eorum spectare. Nam si Ctesiphon Demosthenem advocare ausus fuerit apud vos verba facturum, is autem conscenso suggestu se ipsum laudarit, gravior erit ipsis cladibus, quas perpessi estis, audita ista oratio. Nam quum eos qui revera sunt viri excellentes, quorum multas et præclaras esse res gestas probe scimus, si laudes ipsi suas prædicent, non sustinemus : ubi is homo, qui reipublicæ opprobrium fuit, se ipsum laudibus efferre cœperit, quis ea patienter audire poterit?

242. Ab impudenti igitur instituto, si sapis, desistes; causamque tuam, Ctesiphon, ipse defendes. Neque enim

σαυτοῦ τὴν ἀπολογίαν. Οὐ γὰρ δή που τοῦτό γε σκήψῃ, ὡς οὐ δυνατὸς εἶ λέγειν. Καὶ γὰρ ἄτοπόν σοι συμβαίνει, εἰ πρῴην μέν ποθ' ὑπέμεινας πρεσβευτὴν ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ, νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν. Ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; (243) ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γινώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τίς σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστὰς εἰ ἐγίνωσκον Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδοσαν καὶ τὰς εἰκόνας ἔστησαν. Ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται ὅτι Χαβρίᾳ μὲν διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικράτει δὲ ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ καλὰ κατὰ πόλεμον ἔργα πέπρακται. (244) Δημοσθένει δ' ἐάν τις ἐρωτᾷ διὰ τί; ὅτι δωροδόκος, ὅτι δειλός, ὅτι τὴν τάξιν ἔλιπε. Καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμώσετε καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίζεθ' ὁρᾶν σχετλιάζοντας εἰ οὗτος στεφανωθήσεται. Καὶ γὰρ ἂν εἴη δεινόν, ὦ Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν, (245) Δημοσθένην δέ, ὦ Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. Οὐκοῦν ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίνονται ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν. Τὸ δὲ μέγιστον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι πρὸς ποῖον χρὴ παράδειγμα αὑτοὺς τὸν βίον ποιεῖσθαι, τί κρινεῖτε; (246) Εὖ γὰρ ἴστε, ὅτι οὐχ αἱ παλαῖστραι οὐδὲ τὰ διδα-
89 σκαλεῖα, οὐδ' ἡ μουσικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα. Κηρύττεταί τις ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας ἄνθρωπος ἀσχημονῶν τῷ βίῳ καὶ βδελυρός· ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη. Δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς ὥσπερ Κτησιφῶν· οἱ δέ γε ἄλλοι πεπαίδευνται. Τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν· ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνταῦθα ἐνοχλεῖν ἤδη καὶ δικαίως ὀνομάζεται. (247) Ὡς οὖν μὴ μόνον κρίνοντες ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε, εἰς ἀπολογισμὸν τοῖς νῦν μὲν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος· ἔστι δὲ ὄνειδος μὴ τοῖς προγόνοις ἀλλὰ τῇ Δημοσθένους ἀνανδρίᾳ προσεικασθῆναι. (248) Πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς προκαταλαμβάνοντας

hoc scilicet prætextu inniteris, te non esse dicendi peritum. Namque absurdum tibi acciderit, si nuper quidem te legatum ad Cleopatram Philippi filiam populi suffragiis creari passus es, ut cum ea de Alexandri Molossorum regis interitu condoleres, nunc autem te dicendi facultate instructum esse negabis. Mulierem igitur peregrinam lugentem consolari potes, scripto autem abs te mercedis ergo plebiscito te ipse non defendes? (243) An vero talis est is quem corona donandum decrevisti, ut ab iis in quos beneficia contulit ignoretur, nisi quis se tibi in dicendo adjutorem præbeat? Percontare judices, norintne Chabriam, Iphicratem, Timotheum, et quære ab iis, qua de causa præmia illis tribuerint imaginesque collocarint. Omnes tibi uno ore respondebunt, Chabriæ honorem concessum ob navalem illam ad Naxum pugnam, Iphicrati quod moram Lacedæmoniorum occiderit, Timotheo propter navigationem illam ad Corcyram liberandam, ceteris itidem, quorum multas quisque res ac præclaras bello confecerat. (244) At Demostheni præmium quamobrem tribuetis, si quis roget? Quod muneribus corruptus, quod timidus sit, quod locum in acie deseruerit. Utrum igitur huic honorem habebitis, an potius et vos ipsos et eos qui pro vobis in prœlio occubuerunt ignominia afficietis? quos fingite vos videre indigne ferentes et quiritantes, si iste coronabitur. Acerbum utique illud esset, Athenienses, siquidem ligna, lapides, ferrum, res mutas sensuque carentes, si quem delapsa exanimarint, exterminemus; ejusque, qui sibi necem consciverit, manum quæ hoc commisit separatim sepeliamus: (245) Demosthenem, eum, Athenienses, qui ultimam hanc expeditionem decrevit, qui milites prodidit, honore vos ornabitis. Ergo contumelia afficiuntur mortui, vivi ad desperationem adiguntur, quum videant virtuti quidem mortem esse præmium propositum, memoriam autem suam interire. Jam quod est omnium maximum, si a vobis quærant adolescentes, quodnam ad exemplum vitam suam conformare debeant, quid sitis pronuntiaturi? (246) Probe enim nostis, non palæstra, non literarum ludis, non musica tantum juvenes erudiri, sed multo etiam magis publicis præconiis. Prædicatur aliquis in theatro, quod corona donatur virtutis ergo ac fortitudinis et benevolentiæ, homo vita immodestus atque contaminatus? Adolescens hisce visis corrumpitur. Pœnas dedit improbus aliquis et in lenocinio versatus, ut Ctesiphon? Ceteri erudiuntur. Scitumne aliquis honesto atque æquo adversum tulit, inde domum reversus filium instituere aggreditur? At is jure non auscultat; monere enim et præcipere, merito hic obtundere nominatur. (247) Quocirca non solum quasi judicantes, sed quasi omnium oculis observati, ita sententiam ferte, ut iis civibus rationem reddere possitis qui nunc quidem non adsunt, sed vos quid judicaveritis interrogabunt. Probe enim nostis, Athenienses, talem visum iri civitatem, qualis est ille de quo fit præconium: atqui turpissimum sit, vos non cum majoribus vestris sed cum Demosthenis ignavia comparari. (248) Quonam igitur modo hujusmodi dedecus evitari possit? Si eos scilicet qui nomina popularia et humanitatis

τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε. Ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ, φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπὶ πολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες. (249) Ὅταν οὖν λάβητε ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς Ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε τῶν λόγων, ὥσπερ καὶ τὰς βεβαιώσεις τῶν κτημάτων ὁ νόμος κελεύει ποιεῖσθαι, εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα. Ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς. (250) Ἦ οὐ δεινὸν δοκεῖ ὑμῖν εἶναι εἰ τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παροράται, αἱ δ' ἐπιστολαὶ καὶ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ τῇ Εὐρώπῃ; καὶ ἐφ' οἷς ἐστιν ἐκ τῶν νόμων ζημία θάνατος, ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγινώσκουσιν, καὶ παρακελεύονται ὑμῖν οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ' αἰτοῦσι δωρεὰς ὡς σωτῆρες τῆς πόλεως ὄντες. (251) Ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλωκὼς αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται, τῶν δ' ἔργων ἑτέροις παρακεχώρηκεν. Ἔπειτ' ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ' ὥσπερ ἐκ τῶν ἐράνων, τὰ περιόντα νειμάμενοι. Ὅτι δ' οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε. (252) Ἐγένετό τις (ἄχθομαι δὲ πολλάκις μεμνημένος τὰς ἀτυχίας τῆς πόλεως) ἐνταῦθ' ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῖν εἰς Σάμον ἐπιχειρήσας ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη. Ἕτερος δ' ἐκπλεύσας ἰδιώτης εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρῴην ποτὲ εἰσηγγέλθη καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ' ἂν ἢ ἀπέθανεν. (253) Ἀντιθῶμεν δὴ τὸ νῦν γινόμενον. Ἀνὴρ ῥήτωρ, ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ' ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ καὶ κηρύττεσθαι οἴεται δεῖν. Οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον ὡς κοινὴν τῶν Ἑλλήνων συμφοράν; ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε; (254) Καὶ τὸν καιρὸν μέμνησθε ἐν ᾧ τὴν ψῆφον φέρετε. Ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίνεσθαι καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ' ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευμάτων περὶ τοὺς νῦν καιρούς· δόξετε δ', ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην, ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῶν αἰτιῶν.

255. Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε. Καὶ μὴ μόνον τοῖς

plena præoccupant, moribus autem sunt infidi, caveatis. Benevolentia enim et popularis status nomen in medio posita sunt; verum ea verbis plerumque ante alios occupant, qui factis longissime ab iis distant. (249) Itaque quum oratorem nacti fueritis coronarum externarum et præconiorum apud Græcos faciendorum cupidum, revocare eum jubete verborum probationes, sicuti bonorum possessionem confirmare lex jubet, ad vitam laudabilem et mores modestos : cui vero hæc testimonia desunt, ei suas laudes constabilire nolite. Ita enim popularis imperii curam habebitis, vobis jam paulatim de manibus elabentis. (250) Quid enim? non indignum vobis videtur, senatum populumque despici, literas autem ac legationes in privatas domos pervenire, non eas a vulgaribus quidem hominibus missas, sed ab iis qui in Asia atque Europa principatum obtinent? Et quibus facinoribus capitale legibus supplicium constitutum est, ea se nonnulli committere non infitiantur, sed palam apud populum confitentur, et literas inter se conferunt recitantque, atque alii vos hortantur ut in ora sua, quasi popularis imperii sint custodes, oculos figatis, alii præmia poscunt, tanquam publicæ salutis conservatores : (251) populus autem ob ea quæ acciderunt animo fractus, quasi senio confectus aut delirio captus sit, nomen solum dominationis popularis retinet, res ipsas aliis concessit. Deinde ex concionibus disceditis, non ut qui consultaritis, sed veluti ex cœna collatitia fragmentis quæ supersunt distributis. Ut autem non inania me effutire constet, id quod dico ex his considerate. (252) Fuit hic—magnò equidem cum dolore miserias civitatis sæpius commemoro—vir quidam privatus, qui ad Samum tantum navigare aggressus, tanquam proditor patriæ eo ipso die a senatu Areopagitico morte mulctatus est. Alter item privatus Rhodum navi profectus, quod metum publicum non viriliter tulisset, nuper læsæ majestatis postulatus est, et pares calculos habuit : quod si unus dumtaxat calculus aliter cecidisset, aut exterminatus esset aut morti addictus. (253) Cum his igitur id quod nunc fit conferamus. Orator quidam malorum omnium civitati auctor locum in acie deseruit, ex urbe profugit : is se corona donari postulat et præconis voce prædicari oportere censet. Non vos hominem ut communem Græcorum pestem amandabitis, aut comprehensum, tanquam rerum prædonem verbis quasi navigio per rempublicam navigantem, supplicio afficietis? (254) Ac temporis quoque memores sitis, in quo sententiam pronuntiatis. Paucos jam intra dies Pythia futura sunt Græcorumque cogetur conventus; magna hoc ipso tempore invidia laborat civitas nostra propter Demosthenis in republica gerenda consilia : si igitur hunc corona donabitis, cum iis qui communem pacem violant consentire videbimini; sin aliter feceritis, populum his criminibus absolvetis.

255. Ne igitur quasi de aliena civitate sed ut de vestra propria consulite, neque honores spargite sed judicio adhibito tribuite; et præmia in melioribus personis virisque magis probatis collocate, neque solum auribus exquirentes,

ῶσιν ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες Δημοσθένει, πότερον οἱ συγκυνηγέται ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ' ἦν ἐν ἡλικίᾳ. Ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον, οὐχ ὗς ἀγρίους κυνηγετῶν οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελόμενος, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται. (256) Ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες, ὅταν φῇ Βυζαντίους μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τοῦ Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας· οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι ὥστε καὶ ταῦτα ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας ἀλλ' οὐ συκοφάντην ἄνθρωπον ἐν τῇ πόλει. (257) Ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἑστηκὼς ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν τοὺς τῆς πόλεως εὐεργέτας, Σόλωνα μὲν τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον καὶ νομοθέτην ἀγαθόν, σωφρόνως, ὡς προσῆκεν αὐτῷ, δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων, (258) Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος, σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ, καὶ ἐπερωτῶντα εἰ οὐκ αἰσχύνεσθε εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν, (259) ὑμεῖς δὲ Δημοσθένην, οὐ κομίσαντα τὸ ἐκ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαντα καὶ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν. Θεμιστοκλέα δὲ καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας καὶ τοὺς ἐν Πλαταιαῖς καὶ αὐτοὺς τοὺς τάφους τοὺς τῶν προγόνων οὐκ ἂν οἴεσθε στενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς Ἕλλησιν ἀντιπράττειν στεφανωθήσεται;

260. Ἐγὼ μὲν οὖν, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ σύνεσις καὶ παιδεία, ᾗ διαγινώσκομεν τὰ καλὰ καὶ τὰ αἰσχρά, βεβοήθηκα καὶ εἴρηκα. Καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην, εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. Ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων καὶ ἐκ τῶν παραλελειμμένων αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

sed etiam oculis in vosmet ipsos conversis, dispicite, quinam vestrûm Demostheni sint opem laturi? utrumne qui ipsi in venatu, an qui in certaminibus gymnicis, dum esset adolescens, socii fuerunt? At medius fidius! non in apris silvestribus insectandis, non in corporis valetudine curanda versatus est, sed in machinis adversus locupletium fortunas struendis vitam produxit. (256) Sed vos arrogantiam hominis spectantes, quum dicet se Byzantium legatione e Philippi manibus extorsisse, Acarnanas ad deficiendum concitasse, Thebanos concionibus suis attonitos rapuisse, — vos enim eo jam stultitiæ processisse arbitratur, ut etiam hæc credituri sitis, proinde quasi Suadam in urbe vestra, non calumniatorem alatis. (257) Quum denique in extrema jam orationis parte sordium suarum socios sibi accerset, fingite vos intueri hoc ipso in suggestu, quo ego nunc insistens loquor, contra petulantem istorum improbitatem veluti acie instructos viros optime de republica meritos; Solonem qui pulcherrimis legibus popularis dominationis statum exornavit, virum et sapientiæ studio deditum et legum scriptorem præstantem, pudenter, ut ei conveniebat, vos obtestantem ne ullo modo Demosthenis conciones pluris quam sacramenta et leges faciatis; (258) Aristidem qui vectigalia Græcis descripsit, cujus defuncti filias populus in matrimonium collocavit, contumeliosum justitiæ ludibrium stomachantem, percunctantem porro, an non vos pudeat, quum majores vestri Arthmium Zelitam, quod aurum a Medis in Græciam deportasset, virum in civitate diversantem, cum populo Atheniensi hospitio conjunctum, tantum non interfecerint, ex urbe autem et ex omni, quod Atheniensium ditione tenetur, solo præconio exterminarint: (259) vos Demosthenem, qui non aurum a Medis in Græciam deportavit, sed muneribus se corrumpi passus est eaque etiam nunc domi possidet, aurea corona donare. Themistoclem autem eosque qui apud Marathonem et Platæas mortem oppetiverunt, ipsa denique majorum sepulcra non putatis graves gemitus editura, si is, qui cum barbaris adversus Græcos se conspirasse profitetur, corona exornabitur?

260. Ego igitur, o Terra, Sol, Virtus, Intelligentia, Doctrina, qua honesta ab inhonestis discernimus! opem tuli et peroravi. Quodsi recte et pro magnitudine criminis accusavi, dixi ut volui: sin deterius, ut potui. Vos autem, quum ex iis quæ dicta sunt, tum ex iis quæ silentio prætermissa, ipsi justam reique publicæ utilem sententiam pronuntiate.

[ΑΙΣΧΙΝΟΥ] ΕΠΙΣΤΟΛΑΙ.

Ὅτι Αἰσχίνης μὴ ἑλὼν Κτησιφῶντα, μᾶλλον δὲ Δημοσθένην, οὗ κατηγόρει, μηδὲ τὸ πέμπτον μέρος τῶν ψήφων μεταλαβὼν, τὴν ἀτιμίαν οὐ φέρων, τὰς μὲν Ἀθήνας ἀπέλιπεν, εἰς δὲ Ῥόδον μετῴκησεν, παντί που γνώριμον. Ἐκεῖ τοίνυν ταυτασὶ τὰς ἐπιστολὰς σχεδὸν ἁπάσας γράψας, πῇ μὲν τοῖς φίλοις τάς τε ἀποδημίας καὶ τἄλλα τὰ καθ' αὑτὸν ἐδήλωσε, πῇ δὲ τὴν τῶν ἐχθρῶν ἐπιχαιρεκακίαν ἠμύνατο, πῇ δὲ τοῖς Ἀθηναίοις ὑπὲρ ἑαυτοῦ, ὡς μηδὲν ἐξαμαρτόντος, ἀπολογούμενος, καὶ συμβουλεύων γνωσιμαχεῖν, καθόδου τυχεῖν ἐφίεται.

I. ΦΙΛΟΚΡΑΤΕΙ.

Λύσαντες ἐκ Μουνυχίας ἑσπέρας λαμπρῷ σφόδρα Σκίρωνι περὶ μέσην ἡμέραν κατήχθημεν εἰς Κορησσὸν τὴν Κείων. Καθίσαντες δὲ ἡμέρας ἐννέα (καὶ γὰρ ἦν ἄνεμος ἐναντίος), εἶτα ἑσπέρας λύσαντες ἅμα τῇ ἕῳ εἰς Δῆλον ἤλθομεν. (2) Δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον· τὰ μὲν πρόσωπα ἐπίμπλαντο λεύκης καὶ τὰς τρίχας λευκοὶ ἐγίνοντο, ὁ δὲ τράχηλος καὶ τὰ στέρνα ἀνῴδει, πυρετοὶ δ' οὐκ ἐγίνοντο οὐδὲ ἀλγηδόνες μεγάλαι, οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν οὐδέν τι. Ταῦτα δ' ἐπείθοντο κατὰ μῆνιν Ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός· ἐκ τούτου προσβαλεῖν αὐτοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπελάμβανον. (3) Ἡμεῖς δὲ ὥσπερ εἴς τι ἔθνος ἀλλόφυλον ἢ νῆσον ἐν τῇ ἔξω θαλάσσῃ ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης ποικίλους ἀνθρώπους, νυκτὸς ἔτι ἀποφεύγοντες ᾠχόμεθα, πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχει ἕκαστος οἷον ἐκόμιζεν οἴκοθεν, καὶ τὰς τρίχας. Ζάλη δὲ καὶ ἄνεμος ἐξώστης ἐμπεσὼν ἀπήνεγκεν ἡμᾶς ὑπὲρ Κρήτην πλησίον Ψαμαθοῦντος. (4) Ὡς δὲ ἐν συνόπτῳ ἦμεν ἤδη, ἀντιπνεῖ πνεῦμα Λιβυκόν. Εἶτα πνεύσαντος ἡμῖν ἀπ' ἄρκτου πάλιν πέντε νύκτας ἐν θαλάττῃ ἐφερόμεθα, ἐν αἷς προσέσχομεν Ἀθρώνῃ, ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴ τις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους ἢ μὴ στεφανοῦται. Κἀκεῖθεν τέτταρσιν ἡμέραις ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς Ῥοδίας, ὅπου νοσῆσαί μοι συνέβη τὴν περὶ τὸ ἆσθμα νόσον. (5) Ὡς δὲ ἐπιμείναντος αὐτόθι οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς Ῥόδον, καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος· εὐθὺς γὰρ ὡς ἀφικόμην πολὺ ῥάων ἐγενόμην. Καὶ ταυτὶ μὲν ἔχομέν σοι τέως ἐπιστέλλειν· τὰ δ' ἄλλα ὡς ἂν ἕκαστα συμβαίνῃ, δηλώσομεν. Εὐτύχει, καὶ μὴ πολιτεύου μηδὲ πρόσκρουε μήτε τοῖς πλέον σοῦ μήτε τοῖς ἔλαττον δυναμένοις.

II. ΚΤΗΣΙΦΩΝΤΙ.

Ἐπέστειλεν ἡμῖν Νικόστρατος, ὁ πρὸς μητρὸς θεῖος, ὡς ἐπηρεάζεις μὲν εἰς αὐτὸν οὐ μετρίως, ἐμοὶ δὲ ὀνειδίζεις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. Ἐγὼ δὲ θαυμάζω τί παθὼν ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν τοσαῦτα διε-

[ÆSCHINIS] EPISTOLÆ.

Notum est, Æschinem ob judicii ignominiam, quo accusatum Ctesiphontem, vel Demosthenem potius, reum non peregerat, quinta suffragiorum parte non accepta, cessisse Athenis, ac Rhodum se contulisse. Ubi has epistolas fere omnes scripsit, in quibus partim amicos de itineribus et statu rerum suarum certiores reddit; partim inimicorum insolentiam retundit; partim innocentiam suam apud Athenienses, quos monet ut resipiscant, defendit, utque ab eis in patriam revocetur, petit.

I. AD PHILOCRATEM.

Quum ex Munychia vesperi solvissemus, circa meridiem, serenissimo Scirone flante, ad Coressum, Ceiorum oppidum, appulimus. Ibi novem dies ob adversum ventum desedimus: post rursus vesperi profecti, sub auroram Delum pervenimus. (2) Sed Delii pestilenti quodam morbo laborabant. Nam facies eorum albugine opplebantur, capilli etiam candescebant, collum autem et pectus intumescebat: ceterum nulla febris accedebat, neque etiam dolores magni, neque partes corporis inferiores quicquam mutabantur. Hæc audierant ex Apollinis ira sibi accidisse, quod vir quidam illustris, contra morem veterem, in insula sepultus esset: ea igitur de causa deum sibi morbum immittere putabant. (3) Nos autem, quasi ad gentem aliquam peregrinam, aut in exteri maris insulam, pervenissemus, et subito varium hominum colorem vidissemus, noctu aufugimus: alius alium inter navigandum sciscitantes, utrum eum colorem et capillum, quem domo quisque attulisset, retineret? Sed tempestas exorta, et ventus impetuosus, nos supra Cretam prope Psamathuntem abstulit. (4) Terram quum jam in conspectu haberemus, reflat ventus Libycus. Deinde, quum septentrio nobis spiraret, rursus ferebamur, quinque noctes in mari versati, quibus Athronæ (?) appulimus: ut disceremus non curare, si quis in sua patria, sive secundum sive contra leges, corona donaretur. Atque inde quattuor diebus in navale quoddam Rhodiæ pervenimus, ubi in morbum et difficultatem spirandi incidi. (5) Quo in loco dum manebam, quum morbus nihil levaretur, Rhodum trajeci, ac placide nos urbs excepit: statim enim ut eo transieram, multo melius habere cœpi. Atque hæc hactenus habuimus, quæ tibi scriberemus: cetera porro, uti quæque acciderint, significabimus. Felix sis: et caveas velim, ne quem te vel potentiorem vel imbecilliorem offendas.

II. AD CTESIPHONTEM.

Scripsit nobis Nicostratus, avunculus noster, te quum sibi non mediocriter insultare, tum mihi exprobrare quam propter te accepi calamitatem. Ego vero miror quid tibi acciderit, ut nobiscum domo egressis tam multa colloque-

λέχθης, ὥστε πεισθῆναί με μηδὲν ὧν διελέχθης πεπλάσθαι σε μηδ' ἄλλως φρονεῖν, βλέποντα πρῶτον μὲν εἰς τὴν ἐμὴν συμφοράν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον, ἔπειτα δὲ εἰς τὸ σκυθρωπόν σου καὶ ὅμοιον δεδακρυμένῳ· (2) ὥστ' ἔγωγε καὶ ἐπέσκηψα ἐνίοις τῶν προσηκόντων ἡμῖν, εἴ του δέοιντο, προσιέναι σοι, καὶ μηδενὸς ὑστερήσειν ὑπεσχόμην αὐτοῖς, καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθήνησί μοι γενέσθαι πολλάκις· νῦν δ' οὔτ' ἐμποδὼν ἔτι οὖσιν ἡμῖν, οὔτε διοχλοῦσι σοὶ οὐδ' ἄλλῳ τινὶ Ἀθηναίων, ἐπηρεάζεις, καὶ οὔτε εἰς τὴν τύχην ἀποβλέπεις οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων, ἀλλ' ἐπαγωνίζῃ ἔτι καὶ ἐκπεπτωκόσι τῆς πατρίδος καὶ ἀπεστερημένοις ἐπιτιμίας καὶ πόλεως καὶ πολιτῶν καὶ φίλων. (3) Καὶ ὅσα μὲν εἰς ἐμὲ ἀπόντα ἐβλασφήμεις, σοὶ μὲν ἴσως φέροι ἄν τινα εἰκότως καὶ φθόνον καὶ μῖσος, ὥσπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ τε καὶ φιλανθρώπῳ πόλει· ἐγὼ δὲ οὐκ ἂν διὰ ταῦτα φαυλότερος νομισθείην, ἀπὼν ὑπὸ σοῦ λοιδορούμενος, ἀτυχέστερος μέντοι καὶ ἐλεεινότερος ἴσως, φανεὶς ποτὲ μὲν οὐδενὸς ἥττων, νῦν δὲ οὐδεμίαν ὑπὲρ αὑτοῦ φωνὴν ἐκπέμπειν ἀλλ' οὐδὲ ἀκούειν λοιδορούμενος δύναμαι. (4) Τὸ δὲ γέροντα ἐπιεικῆ ὑβρίζεσθαι, μηδεμίαν ἐλπίδα ἔτι ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ' ἡμῖν αὐτοῖς ἀκμὴν ἔχει τοῖς μηδ' αὐτοὺς σώζειν ἔτι δυναμένοις, πῶς οὐκ αἰσχρόν ἐστιν; (5) Ἀλλὰ μὴ πρὸς Διός, μὴ σύ γε, ὦ Κτησιφῶν, μηδὲ εἰ τὰ μάλιστα ἡμᾶς ἀνιᾶν ἔτι βούλει καὶ εἰ μὴ πεπλήρωκέ σε μηδὲν τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο προσθῇς αὑτῷ τε καὶ τοῖς παισίν, οὓς τρέφεις βοηθοὺς ἔσεσθαι δηλονότι τοῦ γήρως σου προσδοκῶν. Καὶ μέμνησο ὅτι οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν, οὐδ' ἄλλοι πολλοὶ καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πόλει καὶ πολλῷ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

III.

Οἱ μὲν ἄλλοι πάντες, ὅσοι φεύγουσιν ἀδίκως, ἢ δέονται τῶν πολιτῶν ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες τούτου λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας ὡς φαύλως αὐτοῖς προσφερομένας· ἐγὼ δὲ ἐπεί περ ἀναξίως ὧν ἐπολιτευσάμην ἠτύχησα καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων, ἄχθομαι μὲν ὥσπερ εἰκός ἐστιν, ἀγανακτῶ δὲ οὐδέν. (2) Οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥστε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς ὁ τὴν Ἑλλάδα ἐλευθερώσας ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης, ὅτι μικρὸν ὦφλε τῷ δημοσίῳ, γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε, ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνησιν ἔπαθον· (3) ἀλλ' ἔγωγε καὶ λαμπρὸν εἰκότως μοι νομίσαιμ' ἂν αὐτὸ γενέσθαι, τὸ μετ' ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις γεγονέναι.

reris, ut crederem, te nihil eorum quæ dixisses, simulasse, intuens primum calamitatem meam, quam non incredibile putabam inimicis etiam esse miserabilem, deinde vultum tuum tristem et pæne lacrimabundum (2) (itaque necessariorum nostrorum quibusdam mandavi, si qua re egerent, ut te accederent, eosque quidvis impetraturos esse promisi eis, atque ipse etiam sæpe ad te scripsi, iis de rebus quas Athenis consequi cupiebam), nunc vero nobis, qui tibi jam impedimento non sumus, qui nec tibi nec cuiquam Atheniensium obturbamus, insultas, nulla vel fortunæ vel ullius humanitatis habita ratione, atque post victoriam certamen renovas contra nos, qui et patria excidimus et dignitate privati sumus, et civitate et civibus et amicis. (3) Ac quæ in me absentem convicia dicis, ea probabile est tibi quidem aliquid et invidiæ et odii paritura (non secus ac si mortuum aliquem insectareris) in urbe adeo leni et humana : ego vero propterea nihilo deterior existimabor qui absens a te male audiam. Calamitosior quidem et miserabilior haberi queam : ut, qui olim nihilo vobis inferior fuerim, nunc autem nullam pro me vocem edere, ac ne audire quidem possim convicia. (4) Jam senem moderatum (Nicostratum) exagitare, qui nullam ultionis spem habet, ut qui spem omnem in nobis ipsis adhuc habeat, qui ne nostræ ipsorum quidem saluti amplius prospicere possimus, nonne turpe est? (5) Ne feceris, obsecro te, ne feceris, Ctesipho; neque si maxime nobis molestus esse studes, neque ullis malis nostris satiatus es, isto piaculo te liberosque tuos obstrinxeris, quos ea spe alis, ut senectutis tuæ imbecillitas in eorum præsidio conquiescat. Memento potius, ne Æschinem quidem huc se redactum iri unquam putasse, nec multos alios, qui majorem etiam in sua patria auctoritatem habuerunt, et splendore me ac te superarunt.

III.

Omnes alii qui per injuriam exulant, aut reditum a civibus precantur, aut frustrati eo, patriæ maledicunt, ut quæ inique secum egerit : ego vero postquam in calamitatem actis in republica meis indignam incidi, et dum alios accuso, ipse sum condemnatus, moleste fero equidem, uti par est, sed nihil prorsus succenseo. (2) Neque enim adeo vecors ego sum, ut, ex qua urbe Themistocles, qui Græciæ libertatem asseruit, pulsus est, atque ubi Miltiades ob exiguum debitum senex in carcere mortuus est : ei urbi Æschines Atrometi filius exulans succensendum esse arbitretur, si quid sibi Athenis usitatum acciderit. (3) Imo potius ego hoc jure præclarum duco, me cum illis apud posteros in ignominia esse, et dignum habitum, qui similem cum eis fortunam experirer.

IV.

Ἐπεὶ δοκεῖ σοι πυνθάνεσθαι περὶ Κλεοκράτους, ὅστις ἐστὶν ὁ Κλεοκράτης, ἄκουε· παύσῃ γὰρ οὐ προῖκα πολυπραγμονῶν, οὐδ' ἄπει πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. Τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων οὐκ ἐν ἀφανεστάτοις, Ἀρίφρονα τὸν ἐκ Δαμαγήτου εἴ που πυνθάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. (2) Ἀλλ' ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν ὅστις ἐστὶν ὁ Πίνδαρος. Τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα· καὶ εἰ μηδενὸς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανώπου ἑκάστοτε ἀκούεις λέγοντος· « Ὦ ταὶ λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι », (3) καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τοῦτο τὸ ἔπος ἐστὶ λέγοντος, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος, οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν, μετὰ τοῦ καὶ εἰκόνι χαλκῇ τιμῆσαι· καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι, πρὸ τῆς Βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. (4) Οὗτος δὴ ὁ Πίνδαρος Δαμάγητον ᾄδει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. Λέγει δέ που ὁ αὐτὸς Πίνδαρος καὶ τὰ περὶ τοὺς Διαγορείους καὶ τὰ περὶ τὴν πρεσβῦτιν, ἧς τὸ μητρῷον αὐτοῦ γένος ἅπτεται. Καὶ εἰ μὴ σφόδρα ᾔδειν ποιητῶν ὑπέρφρονα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον περιέποντα, κἂν ἀποχρῆν ὑπελάμβανόν σε ὑπομνῆσαι μόνον τὰ περὶ τοὺς Διαγορείους, εἰπὼν ἔπη Πινδάρου· νῦν δὲ οἶδα ὅτι μάτην σοι ταύτην τὴν λύραν λέξομεν. (5) Δοκεῖ οὖν μοι ἀνάγκη εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο· ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προσῆκον Κλεοκράτει. Λέγεται γὰρ γυνή ποτε πρεσβῦτις Ὀλυμπίασι παρελθοῦσα εἰς τὸ στάδιον ἑστάναι τε ἅμα τοῖς ἀνδράσι καὶ θεᾶσθαι τοὺς ἀγωνιζομένους, ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν, ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι « τίνι γὰρ ἄλλῃ γυναικὶ τοῦτο δέδωκε καυχήσασθαι οὕτως ὁ θεός, ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας ἔχει καὶ υἱὸν ἐπ' Ὀλύμπια ἄγει; » (6) Ταύτης οὖν τῆς πρεσβύτιδος καὶ τούτου τοῦ γένους ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης, ὡς ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. Καὶ πλείω μὲν οὐ βούλομαι λέγειν, μὴ οὐ μηνῦσαί σοι ὅπερ ἠξίωσας, ὅστις ἐστὶν ὁ Κλεοκράτης, βούλεσθαι μόνον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι αὐτόν, ὥσπερ καὶ Θρασύμαχος τὸν ξένον, συντετάχθαι, καὶ ἀποτίνειν ταύτην τὴν χάριν τοῦ λαμπρῶς ἑστιᾶσθαι, δοκῶ. Τοσοῦτον μέντοι εἴποιμ' ἄν, ὅτι ἡ πρεσβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτη, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ ἢ ἐπὶ τοῖς πέντε Ὀλυμπιονίκαις ἐσεμνύνετο.

IV.

Posteaquam percontari tibi libet de Cleocrate, quis sit Cleocrates, audi. Non enim gratis inquirere desines : neque abibis, priusquam longam audieris narrationem. Nam genere quidem inter omnes Græciæ viros non est obscurissimo, si de Ariphrone, qui est a Demageto oriundus, perconteris, quem magnus etiam extollit Pindarus. (2) Sed vide ne ridiculus fias, si quæras, quis sit Pindarus. Nam id scriptum te arbitror aliquando una mecum apud Mantiam literatorem didicisse : et si nihil jam Mantianæ doctrinæ meministi, in concionibus certe Melanopum subinde dicentem audis, BEATÆ ET CELEBRES GRÆCIÆ PROPUGNACULUM ATHENÆ, (3) atque addentem, Pindari esse hoc carmen : ob quod factum a Thebanis mulctatus fuerit; majores autem nostros duplam ei reddidisse mulctam, præterquam quod eum ærea statua ornarint : quæ quidem etiam usque ad nostram ætatem ante regiam porticum fuit : Pindarus cum veste et lyra sedens, diadema gerens, et in genubus complicatum libellum habens. (4) Is igitur Pindarus Demagetum illum celebrat, ad quem refertur Cleocratis genus. Mentionem facit etiam idem Pindarus Diagoreorum, et aniculæ, quam maternum ejus genus attingit. Quod nisi compertum haberem, te poetarum esse contemptorem, et forensia ista studia, quæ nos perdiderunt, magis complecti, satis esse putassem, te admonere tantum Diagoreorum, recitatis Pindari versibus : nunc scio nos frustra tibi lyram illam recitaturos. (5) Itaque necessarium mihi videtur, eam tibi rem narrare. Est enim audire operæ pretium, tametsi nihil ad Cleocratem attineat. Memoriæ proditum est, senem olim mulierem Olympiæ in stadium progressam, et viris adstitisse, et spectasse certamina. Quum autem Græcorum judices eam appellassent, cur ausa esset in stadium progredi? respondisse : Cui vero alteri mulieri deus hanc gloriæ prærogativam dedit? nam ego et patrem habeo, et tres fratres, qui Olympia vicerunt, et filium ad Olympia duco. (6) Hujus igitur anus, et hujus stirpis germen est Cleocrates : idque ex omnibus potius quam ex ipso cognosces. Ac plura dicere nolo : ne non solum indicare tibi, quod voluisti, quisnam sit Cleocrates, sed et laudationem ejus instituisse videar, ut Thrasymachus hospitis sui, et hanc ei referre gratiam pro splendido convivio. Illud tantum dico, si anus illa hunc Cleocratem novisset, magis eo fuisse gloriaturam, quam quinque illis Olympiæ victoribus.

V.

Ὁ μὲν Ἰουλιάδης, ᾧ μάλιστ' ἐπεποίθεις, οὔτε ὅτε ἀφίγμεθα εἰς Ῥόδον παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν, οὔτ' ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἡσμένισεν ἡμᾶς ἔξω δὴ τοῦ τὰ κοινὰ ταῦτα προστάξαι, λέγειν εἴ τινων χρῄζομεν. Ὁ δὲ Κλεοκράτης οὐδὲ μὰ τοὺς θεοὺς ἐπιστεῖλαί σοι δυναίμην ἂν αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας, ὅσῃ κέχρηται περὶ ἐμέ. (2) Καὶ γὰρ οἰκίαν δημοσίᾳ δοθῆναί μοι παρεσκεύασε καὶ χωρίον ἐν Καμείρῳ, καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια καὶ εἰς ἐνιαυτὸν ἄφθονα, οὐκ ἐμοὶ μόνον ἀλλὰ καὶ Τεύθραντι καὶ Ὁπλιστίᾳ, τὰ μὲν ἄλλα εἰ καὶ φαυλότερα τῶν Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων οὐδὲν ἂν τῶν ἐκεῖθεν δεηθείημεν, οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν, καὶ ἐκ στροβίλου ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα, ὧν καὶ πέπομφά σοι. (3) Ταῦτά θ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους, ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτὸν ἀλλὰ καὶ πάντας Κοθωκίδας διαρκεῖν ἂν ἐδυνάμην· καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις, ἃ γράφειν αἰσχύνομαι, ἵνα μή τινα δηλοῦν ἐμὴν μικρολογίαν δόξω. Τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπερασπάζεσθαι μικρολογίας μέν τινος εἶναί φημι καὶ ἀπειροκαλίας, φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. (4) Παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω, συῶν τε ἀγρίων καὶ δορκάδων τῶν πέραθεν ἀπολαύσματα. Ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι, καὶ μεταδίδωσι τῆς αὑτοῦ σοφίας, ᾗ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστιν· ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται, σοφίᾳ καὶ οὐχ ὥσπερ οἱ ἄφρονες πείρᾳ διδασκόμενος· οὐ γὰρ πολιτεύεται. (5) Καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει, οὐδεμιᾶς πόλεως ἄλλης οὐδὲ ἀνθρώπων ἐπιθυμῶ, ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ, καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας. Καὶ οὕτω μὲν ὑπεραγαπῶ τὰ παρόντα, καὶ ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι ποτὲ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς· ᾧ καὶ ὅταν ὁ νοῦς ἐπικρατῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς, ἣν φεύγω, φαίνομαι· (6) ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τε καὶ μνήμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ Κολλυτοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ Ἁλῆσι χωρίου καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γενομένων, μεταρρεῖ ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων πάλιν, καί μοι δήποτε καὶ λοιδορίαι, αἷς ἐλοιδορούμην ὑπὸ Δημοσθένους, ἥδισται δοκοῦσι, καὶ σκώμματα, ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. (7) Ἀλλὰ γὰρ ἅλις μὲν ἡμῖν δακρύων, σὺ δ' εὐτυχοίης, καὶ μὴ μόνον πολιτείαν ἅπασαν ἀλλὰ καὶ Λεπτίνην φεῦγε, ὅτι πρὸς ἡμᾶς ἔχει φιλαπεχθημόνως, καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν, ὅτου περιεῖναι μὲν μηδὲν λαμπρότερον, ἡττᾶσθαι δὲ ἀδοξότατον. Καὶ μάλιστα μὲν παραινῶ, φεῦγε

V.

Iuliades, quo maxime confisus fuisti, neque quum Rhodum venissemus, affuit, sed Lindi fuit: neque Rhodum reversus, admodum nos humaniter accepit, nisi quod vulgaria ista nunciari jussit, si qua re egeamus. Cleocrates autem quam insigni erga nos usus sit humanitate, ita me deus amet, scribendo satis consequi non possum. (2) Effecit enim ut ædes mihi publice darentur, et fundus Camiri, atque ipse etiam misit nobis commeatum qui vel in annum sufficiat, non mihi tantum, sed et Teuthranti et Hoplistiæ: qui quidem etsi minus lautus sit quam Atticus, veluti mel et oleum, talis tamen est, ut hoc instructi, illum non requiramus. Vinum autem vestrati multo præstantius, et bellaria confecta ex nuce pinea, farina et aromatibus: de quibus etiam tibi aliquid misi. (3) Hæc nobis misit, et tot frumenti medimnos, unde non me tantum, sed omnes etiam Cothocidas sustentare possim: ac multa etiam alia præterea, quæ scribere pudet, ne minuta quædam consectari videar. Tametsi enim res perexiguas maximi facere, pusillitatis cujusdam et inscitiæ esse puto: tamen vel tenuissimis humanitatis officiis me devinciri fateor. (4) Suppeditat nobis etiam ex Peræa Rhodiorum aprorum et caprearum delicias. Præterea et ipse quotidie nobiscum est, suaque nos impertit sapientia, quæ nostram præcellit. Nam quæ ego accepto malo didici, ea ille, antequam accipiat malum, sua sapientia præcavet, et non, ut vecordes, experientia magistra. Neque enim capessit rempublicam. (5) Ac quantum ad Cleocratem attinet, nullam aliam civitatem, homines alios nullos desidero, sed admodum mihi placet mea calamitas, ac vitæ principium videtur Atheniensis reipublicæ effugium. Et hoc statu usque adeo delector, ut (id quod Sophoclem jam senem de alia quadam voluptate dixisse ferunt) efficiat ut voluptate reipublicæ gerendæ, tanquam rabioso cane, liberatus mihi videar. Unde, quum ratio dominatur, ter quaterque beatum me judico ob hoc exilium: (6) quum autem vicissim in mentem venit, non tantum amicorum quos istic habeo, sed et cognatorum et concionis et Colytti (quo in loco quinque et quadraginta annos habitavi) et prædii in Halarum pago, et colloquiorum, quæ ibi tecum et cum Philino habuimus, sanguis omnis in alium viscerum locum refluit, ac mihi aliquando et convicia quæ Demosthenes in me dixit, jucundissima videntur, et dicteria, quibus præter Ctesiphontem nemo unquam arrisit. (7) Sed modus esto lacrimarum nostrarum. Tu vero felix sis, neque omnia dumtaxat munera publica, sed et Leptinem fugito, quod et nobis infensus est, et alioqui talis ut eum vicisse nihil splendoris, ab eo superari plurimum ignominiæ habeat.

τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθοις ἐκ τύχης καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν, ἂν ἰσχύῃς, καὶ γελᾶν. (8) Ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην τῷ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος· σὺ δέ, εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτε, καὶ παρασχὼν σεαυτὸν ἰδεῖν ἡμῖν ἐπανίοις πάλιν.

VI. ΦΙΛΟΚΡΑΤΕΙ.

Ἀρίστων οὗτος, ὁ κομίζων σοι τὴν ἐπιστολήν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ. Πέπλευκε δὲ Ἀθήναζε κατὰ χρείαν κηδεστοῦ γέροντος, ἀργύριον εἰσπράξων παρὰ τοῦ τραπεζίτου Χαρμόλα. Σκόπει οὖν ὅπως αὐτὸν ὑποδέξῃ φιλοφρόνως· ἔστι δὲ κομιδῇ εὐτελὴς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. Ὧ καὶ τὰ ἄλλα συμπράξεις, ὡς μάθῃ ὅτι οὐ παντελῶς ἔρημον φίλων ὑπέλαβεν, ἀλλ' ἔστιν ἔτι τις Ἀθήνησιν Αἰσχίνου λόγος καὶ μνήμη.

VII. ΤΗ ΒΟΥΛΗ ΚΑΙ ΤΩ ΔΗΜΩ.

Ἐπυθόμην τὰ ῥηθέντα τῷ Μελανώπῳ πρὸς ὑμᾶς, καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν, Μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον νομίζω τοῖς βεβιωμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ πατρίδος ἐστερημένος ὅμως ἀρκέσαι πειράσομαι. (2) Ἐγὼ γάρ, ὦ Μελάνωπε, κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ, φημὶ μέντοι βοηθῶν ταῦτα τοῖς νόμοις πεπονθέναι, καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ' αὐτοὺς ἀγωνιζόμενος. Ἐμοὶ μὲν οὖν τὸ δεδυστυχηκέναι πολιτευομένῳ κοινόν ἐστι πρὸς Θεμιστοκλέα καὶ Ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ποτὲ ἐν τῇ πόλει γενομένων· (3) σοὶ δὲ τὸ μὲν μέχρι χθὲς καὶ πρώην θεσμοθετοῦντος ἤδη σοῦ προεστάναι τὴν μητέρα, τρὶς δὲ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον, σὲ δὲ πραθέντα τρισχιλίων δραχμῶν τὴν ἀκμὴν ἡταιρηκέναι, τοῖς περὶ Τίμαρχον νέοις κοινὰ ταῦτ' εἶναι, οὐ τοῖς περὶ Θεμιστοκλέα ἢ Ἀριστείδην τὸν δίκαιον ὑπολαμβάνω. (4) Ἀλλὰ Μελανώπῳ μὲν αὖθις, ἐὰν ὑμῖν δοκῇ, διαλέξομαι παρών· ὑμῖν δὲ τῆς εὐνοίας, ἣν ἀπόντι μοι παρέσχεσθε, θορυβοῦντες δὴ καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω, δικαιότερον μέντοι καὶ ἄμεινον ἐμὲ αὐτὸν ἐᾶσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν, ψηφισαμένους ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς. (5) Εἰ δὲ μή, τό γε δεύτερον ἂν δεηθείην, ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων ἡμᾶς ἢ χαρίζεσθαι δοκοῦντας, ὅτι τῶν βλασφημιῶν οὐκ ἀκροᾶσθε, μείζω τὴν ὑποψίαν τῶν δυναμένων λέγεσθαι ποιεῖν.

VIII.

Σὺ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς, ἀλλὰ καὶ νόσους καὶ δίκας καὶ πάντα μᾶλλον τοῦ μὴ βούλεσθαι ἐλθεῖν πρὸς ἡμᾶς αἰτιᾷ· Νικίας δὲ ἀφῖκται πά-

Atque in primis moneo, ut ejus congressus fugias : sin casu in eum incideris, atque ille in nos aliquid dixerit, operam dato ut taceas, si potes, et rideas. (8) Verum ille quidem satis graves pœnas dat, ut qui et risu et odio omnium dignus habeatur. Tu vero, nisi mare penitus extremiscis, ad nos aliquando venito, factaque nobis tui videndi copia, domum revertitor.

VI. PHILOCRATI.

Aristo, qui has tibi literas reddit, primus nos Rhodi excepit. Profectus autem est Athenas ob negotium senis cujusdam affinis sui, pecuniam redacturus a Charmola mensario. Eum igitur humaniter excipias velim. Est autem minime delicatus, et nobis dignus. Cui ceteris etiam in rebus operam navabis : ut intelligat se hominem excepisse amicis non plane destitutum, sed Athenis nomen adhuc aliquod et memoriam Æschinis exstare.

VII. SENATUI POPULOQUE.

Audivi quæ Melanopus apud vos dixerit, vestramque probavi humanitatem : Melanopo autem me non modo reversum ad vos dignam acta ejus vita gratiam relaturum arbitror, sed quamvis patria carens adhuc, tamen ut par sim fortassis, operam dabo. (2) Nam ego, Melanope, secundum leges hac me calamitate esse usum fateor : accidisse mihi tamen hoc leges defendenti, atque id agenti, ne quis contra eas corona donaretur. Adversus igitur in gerenda republica casus communis mihi est cum Themistocle, et Aristide, et multis aliis, quorum summus in urbe splendor fuit : (3) illud autem quod mater tua tibi non ita pridem adhuc prostitit, te jamjam thesmothetæ munere fungente; et quod pater tuus ter in carcerem conjectus est, tu autem bis mille drachmis venundatus florem ætatis tuæ prostituisti, hæc cum Timarchi gregalibus adolescentibus tibi, non jam cum Themistocle et Aristide justo communia esse existimo. (4) Sed quum vobis aliquando visum fuerit, denuo coram cum Melanopo agam : nunc autem vobis de benevolentia, quam absenti mihi præstitistis, quum obturbaretis et audire nolletis eos qui nobis maledicebant, magnam habeo gratiam. Æquius tamen et melius fuerit, me ipsum sinere respondere conviciatoribus, iis decretis, quæ sæpe multis jam decrevistis, qui maxima in vos peccata commiserunt : (5) sin minus, secundo loco vos oratos volo, ut potius maledicos nostros audiatis, quam gratificandi specie conviciatoribus non audiendis, gravioris injuriæ faciatis suspicionem, quam quæ dici verecunde possit.

VIII.

Tu quidem hactenus non venisti ad nos, sed morbos et judicia et quævis potius causaris, quam non veniendi ad nos voluntatem : Nicias vero pridem venit, et Andronidas

λαι καὶ Ἀνδρωνίδας. Εἰ μὲν οὖν νῦν γε σὺν Φιλίνῳ (πυνθάνομαι γὰρ αὐτὸν ἐξιέναι) διέγνωκας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἔτι ἀπολογία καὶ λυθείη ὁ πόλεμος· εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ ἔγνωκας ἐξιέναι, σὺ μὲν ἐπιστελεῖς διὰ παντὸς ἡμῖν ἀφίξεσθαι, ἐγὼ δὲ ἅπαξ ἀνιάσομαι.

IX.

Περαιωθεὶς ἐπὶ Φύσκον, ἡσυχάσας ἐκείνην τὴν ἡμέραν (οὐχ ὑπ' ἀργίας, ἀλλὰ μηκυνεῖν ἔδοξεν ἡ περὶ τὸ ἆσθμα νόσος), ὡς τὴν νύκτα ἐνέδωκε καὶ ῥᾴων ἐγενόμην, βαδίσας εἰς τὴν Ἄμμον ἐπεῖδον τὰ χωρία. Καί μοι ἔδοξε καλὰ μὲν ἄλλως καὶ ποικίλα εἶναι τὰ χωρία· καὶ γὰρ ἐλαιὼν ἦν καὶ πολλὰ φυτὰ καὶ ἄμπελοι συχναὶ καὶ σπόριμα πλείονα καὶ νομαὶ καλαί· ἐπαύλιον δὲ οὐδὲ μέτριον, ἀλλὰ πάντα ἐρείπια. (2) Ἐδέξατο δ' ἡμᾶς ὁ Μυρωνίδης φιλανθρώπως σφόδρα. Τὰ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριάμην, καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι τοιοῦτον, οἷον ἂν μηχανῴμην ἐγὼ κεκτημένος βραχέα καὶ μέλλων ὅμως οἰκεῖν ἐνθάδε, μὰ τοὺς θεοὺς οὐχ ἡδέως στερόμενος τῆς ἐμαυτοῦ πόλεως, καὶ μάλιστα τοιαύτης ἐν ᾗ δύναιτο ἄν τις ἧσσον ἀλγεῖν ὑπολαμβάνων οἰκεῖν. Ἔρρωσο.

X.

Ὁ δὴ Κίμων οἷα κατὰ πόλιν ἑκάστην καὶ αἰγιαλὸν ἡμᾶς δέδρακεν, οὐκ ἔθους, οὐ νόμου φειδόμενος οὐδενός. Κατὰ θέαν εἰς Ἴλιον ἀφικόμην τῆς τε γῆς καὶ θαλάττης. Καὶ ἃ μὲν εἶδον αὐτόθι, γράφειν ἐπεὶ δοκεῖ ἄφθονον ἔχειν τὴν ὕλην, σιωπήσω· δέδοικα γὰρ μὴ ποιητικῆς λαβόμενος φλυαρίας ἀπειροκαλεύεσθαι δόξω· τὰ δὲ Κίμωνος ἔργα καὶ τὴν ἀκρασίαν, οὐδ' εἴ μοι δέκα γλῶσσαι, δυναίμην ἂν ἀρκέσαι λέγων. (2) Διατριβόντων γὰρ ἡμῶν πολλὰς ἡμέρας ἐν Ἰλίῳ καὶ μὴ πληρουμένων τῆς θέας τῶν τάφων (ἦν δέ μοι γνώμη μένειν, ἕως ἅπαντα διεξέλθω τὰ ἐν τῇ Ἰλιάδι ἔπη πρὸς αὐτοῖς ἑκάστοις ὑπὲρ ὧν τὰ ἔπη ἐστὶ γεγενημένα), ἐμπίπτει ἡμέρα, ἐν ᾗ πειρῶνται τοὺς γάμους οἱ πλεῖστοι τῶν θυγατέρων, ὅσων ἐπιτρέπει ἡ ὥρα, ποιεῖν. Ἐγένοντο δὲ συχναὶ αἱ γαμούμεναι. (3) Νενόμισται δὲ ἐν τῇ Τρῳάδι γῇ τὰς γαμουμένας παρθένους ἐπὶ τὸν Σκάμανδρον ἔρχεσθαι, καὶ λουσαμένας ἀπ' αὐτοῦ τὸ ἔπος τοῦτο ὥσπερ ἱερόν τι ἐπιλέγειν « Λαβέ μου, Σκάμανδρε, τὴν παρθενίαν. » Ἐν δὴ ταῖς ἄλλαις Καλλιρρόη ὄνομα παρθένος [καλὴ καὶ] μεγάλη, πατρὸς δὲ οὐ τῶν ἐπιφανῶν, ἐπὶ τὸν ποταμὸν ἧκε λουσομένη. (4) Καὶ ἡμεῖς ἅμα τοῖς τε οἰκείοις τῶν γαμουμένων καὶ τοῖς ἄλλοις ὄχλοις πόρρωθεν τὴν ἑορτὴν καὶ τὰ λουτρὰ τῶν παρθένων, ᾗ θέμις αὐτοῖς ἐξωτέρω δρᾶν, ἐθεώμεθα. Ὁ δὲ καλὸς κἀγαθὸς Κίμων ἐγκρύπτεται εἰς θάμνον τοῦ Σκαμάνδρου, καὶ στέφει ἑαυτὸν δόναξιν· ἦν δὲ αὐτῷ δηλαδὴ τὸ στρατήγημα τοῦτο καὶ ὁ λόχος ἐξ ἡμέρας ἐπὶ τὴν Καλλιρρόην εὐτρεπής. (5) Λουομένης δὲ καὶ τὸ

Quodsi nunc saltem cum Philino (audio enim eum abiturum esse) ad nos proficisci decreveris, fortassis adhuc aliqua tibi defensio relinquetur, bellumque hoc componetur. Sin ne cum illo quidem exire decreveris, tu quidem subinde scribes te venturum, ego vero semel duntaxat moleste feram.

IX.

Quum ad Physcum trajecissem, ac diem illum quievissem, non ex ignavia, sed quod spirandi difficultas ingravescere videbatur, ut noctu id malum remisit, atque ego melius habere cœpi, ad Ammum profectus, fundos inspexi. Ac illi quidem mihi pulcri ac varii sunt visi. Nam et olivetum est, et multæ arbores, et vites crebræ, et sata plura, et pascua pulcra : domicilium vero nullum vel mediocre, sed rudera omnia. (2) Excepit nos Myronides valde humaniter. Fundos igitur duobus talentis comparavi. Et nunc tale domicilium molior, quale ego tenui moliri queam, quique hic habitaturus sum, non, ita me dii ament, æquo animo, civitate mea privatus, præsertim tali, in qua si quis se habitare reputet, minus dolere possit. Vale.

X.

Cimo quantis in qualibet urbe et litore nos incommodis affecit, eo quod nullius neque moris neque legis rationem habet! — Ilium perveni, spectandæ terræ marisque causa. Quæ ibi viderim, quoniam uberem suppeditare materiam videntur, scribere supersedebo—vereor enim ne poeticis nugis instituendis ineptire videar—, Cimonis autem facinora et immodestiam, non mihi si centum sint linguæ, dicere possim. (2) Nam quum multos Ilii dies versaremur, et spectaculo tumulorum non satiaremur, mihique in animo esset manere, donec omnes Iliadis versus ad ea contulissem, de quibus illi facti essent : incidit dies, qua plerique periclitantur conjugia filiarum, quas ætas nubere sinit. Fuerunt autem complures nupturæ. (3) Et moris est in Trojana terra, nupturas virgines ad Scamandrum ire, ex eoque lotas, verba hæc tanquam sacrum quiddam recitare : « Cape meam, Scamander, virginitatem. » Inter alias igitur virgo quædam nomine Callirrhoe, formosa et procera, non tamen illustri patre nata, ad fluvium venit lavandi gratia. (4) Nos una cum cognatis nupturarum, et ceteris turbis, eminus festum et lavacra virginum, quatenus fas Trojanis erat, spectabamus. At bonus iste Cimo se occulit in frutice Scamandri, atque arundinibus coronat : instruxerat autem nimirum de die strategema illud atque insidias contra Callirrhoen. (5) Quum

εἰωθὸς ἔπος, ὡς μετὰ ταῦτα ἐπυθόμην, λεγούσης, « Λαβέ μου, Σκάμανδρε, τὴν παρθενίαν », ἐκθορὼν ἐκ τῶν θάμνων ὁ Σκάμανδρος Κίμων « Ἡδέως, » ἔφη, « δέχομαι καὶ λαμβάνω Καλλιρρόην Σκάμανδρος ὤν, καὶ πόλλ' ἀγαθὰ ποιήσω σοι. » Ταῦτα ἅμα λέγων καὶ ἁρπάσας τὴν παῖδα ἀφανὴς γίνεται. (6) Οὐ μὴν καὶ τὸ πρᾶγμα ἀφανὲς γίνεται, ἀλλὰ τέτταρσιν ὕστερον ἡμέραις πομπὴ μὲν ἦν Ἀφροδίτης, ἐπόμπευον δὲ αἱ νεωστὶ γεγαμημέναι, καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα. Ἡ δὲ νύμφη ἰδοῦσα τὸν Κίμωνα, ὡς μηδὲν αὐτῷ κακὸν συνειδότα ἅμα ἐμοὶ θεώμενον, προσεκύνησε, καὶ ἀποβλέψασα εἰς τὴν τροφόν, « Ὁρᾷς, » ἔφη, « τίτθη, τὸν Σκάμανδρον, ᾧ τὴν παρθενίαν ἔδωκα; » Καὶ ἡ τίτθη ἀκούσασα ἀνέκραγε, καὶ τὸ πρᾶγμα ἔκπυστον γίνεται. (7) Ὡς δὲ οἴκαδε εἰσέρχομαι, καταλαμβάνω τὸν Κίμωνα, καὶ οἷα ἦν εἰκὸς ἐργάζομαι, καλῶν ἀνόσιον καὶ δι' αὐτὸν ἀπολωλέναι λέγων ἡμᾶς. Ὁ δὲ οὐδὲν δι' αὐτὸ ἔδεισεν, οὐδὲ ᾐσχύνθη τοῖς πεπραγμένοις, ἀλλὰ μύθους ἐπεβάλλετο λέγειν μακρούς, τοὺς ἁπανταχόθι τροχῶν ἄξια εἰργασμένους καταριθμούμενος. (8) Καὶ γὰρ ἐν Μαγνησίᾳ τοῦτο περὶ Μαίανδρον τὸν ποταμὸν ἔφη γεγονέναι ὑπό τινος τῶν ἐκεῖ νέων· ἀφ' οὗ καὶ ἔτι σήμερον Ἄτταλον τὸν ἀθλητὴν ὁ πατήρ, ἔφη, αὐτοῦ οὐχ ἑαυτοῦ υἱὸν ἀλλὰ τοῦ Μαιάνδρου εἶναι πείθεται, καὶ διὰ τοῦτο αὐτὸν οὕτω πάνυ νομίζει σαρκῶν τε καὶ ῥώμης εὖ ἔχειν· ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς καὶ ἀπειπάμενος ἐξίῃ, τὸν ποταμὸν αὐτῷ νεμεσῆσαι λέγει, ὅτι νικήσας οὐ πατέρα ἀνηγόρευεν αὐτόν. Οὐκ ἄρ' ἀπορεῖ γε ἡττώμενος προφάσεως. (9) Καὶ περὶ Ἐπίδαμνον δ' ὁμοίως, πόλιν κατ' Ἰόνιον, ἔφη μουσικὸν ὑπ' εὐηθείας πεπεῖσθαι ὅτι Ἡρακλέους εἴη τὸ ἐκ μοιχοῦ γεγονὸς αὐτῷ παιδίον. Ἐγὼ δὲ οὐκ ἐπαιδοποιησάμην, ἔφη, ἅπαξ δὲ διελέχθην παιδὶ ὑπερώρῳ τε ἤδη, καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. Καὶ ἄλλως δ' ἐδόκει μοι, ἔφη, ὡς μὴ παντάπασι τὰ ἐν Ἰλίῳ τραγικά τε καὶ φοβερὰ ᾖ παθεῖν, δεῖν καί τι ἡμᾶς καὶ οἷον ἐν κωμῳδίαις περὶ τὸν Σκάμανδρον ἐργάσασθαι. (10) Κἀγὼ μὲν ἄλλο οὐδὲν ἢ ὅποι λήξει ἡ τοσαύτη ἀναισχυντία προσμένων, λίθινος ὑπ' ἀπιστίας ἐγεγόνειν· ὁ δὲ ἐῴκει καὶ τρίτην Ἀπόλλωνός μοι δοκῶ καὶ Διονύσου μοιχείαν ἐπάξειν, ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ « Τοῦτ' ἐκεῖνο, » ἔφην, « καταπρήσοντες ἡμᾶς πάρεισι, » καὶ δι' ὀπισθοδόμου τινὸς εὐθέως πρὸς Μελανιππίδην φεύγων ᾠχόμην, ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θάλατταν· εἶτα πρόσθεν ἀξένῳ καὶ ὥστη ἀνέμῳ κατηχθημεν, ὃν μηδεὶς ἂν ἄλλος ἢ φεύγων τὸ Κιμώνειον ἄγος ὑπομείναι πλέων. Τοιαῦτα μὲν παθὼν δεῖν σοι γράφειν, ὡς σχετλιάσοντι καὶ ἐμοῦ μᾶλλον, ᾤμην· σὺ δὲ ἂν ἱκανῶς, οἶμαι, γελάσειας.

autem lavaretur, et de more verba illa pronunciaret, ut posterius cognovi, « Cape meam, Scamander, virginitatem, » prosiliens e fruticibus Scamander Cimo, « Libenter, inquit, accipio, et sumo Callirrhoen Scamander: et multa in te conferam beneficia. » Hæc quum diceret, simulque abripuisset puellam, se occultat: (6) non tamen res etiam occultatur. Sed quum quatriduo post pompa esset Veneris, et recens nuptæ ei pompæ interessent, nos quoque illam spectabamus. Sponsa autem Cimonem conspicata, ut nullius mali sibi conscium una mecum spectantem, honorem ei præbuit: et nutricem intuita, « Vides, inquit, mea nutrix, Scamandrum, cui virginitatem dedi. » Quo illa audito exclamat: itaque facinus divulgatur. (7) Ut vero domum ingredior, prehendo Cimonem, et ita cum eo ago, uti par est, vocans nefarium, et dicens per eum periisse nos. Is vero nihil ea re perterritus, neque verecundatus ob ea quæ fecerat, fabulas narrare cœpit prolixas, undique eos connumerans, qui cruciatu digna commiserant. (8) Nam et in Magnesia idem circa Mæandrum fluvium aiebat esse factum a quodam indigena adolescente. Ex quo etiam hodie Attalum pugilem pater, inquit, non suum, sed Mæandri esse filium, persuasum habet : eaque de causa illum adeo carnoso et robusto esse corpore. Quum vero multis acceptis plagis, viribus destitutus abit, fluvium ei indignatum ait, quod victor eum patrem non proclamasset. Quum igitur succumbit, non ei deest excusatio. (9) Et circa Epidamnum urbem ad mare Ionium sitam rursus eodem modo aiebat musicum quemdam præ stultitia credidisse, puerum sibi ex adultero natum esse filium Herculis. Ego vero, non procreavi puerum, inquit; sed collocutus semel sum cum puella jam exoleta, lavantem cum una anicula conspicatus. Præterea mihi videtur, inquit, ne usquequaque res Ilienses terribiles et tragicæ sint, nobis etiam hilare aliquid, quale fit in comœdiis, circa Scamandrum patrandum esse. (10) Tum ego nihil aliud nisi, quo tandem evaderet tanta impudentia exspectans, lapis pene factus sum, adeo mihi res incredibilis videbatur. Ille vero tertium etiam Apollinis et Bacchi adulterium expositurus erat, quum ego vidi turbam ad januam accedentem. Tum, « Hoc illud est, inquam, combustum nos adveniunt », et statim per posticum ad Melanippidem confugi, inde vesperi ad mare contendi; hinc deinde per altum in portum delatus sum vento inhospitali trucique, quem nemo navigans toleret, nisi qui Cimonium piaculum fugiat. Talia quum perpessus sim, ea tibi scribenda esse duxi, ut qui gravius etiam quam ego ipse laturus esses: tu vero, ut arbitror, affatim ridebis.

XI.

ΤΗ͂Ι ΒΟΥΛΗ͂Ι ΚΑΙ ΤΩ͂Ι ΔΗΜΩ͂Ι ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Τὰ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν, περὶ ὧν ἐβουλόμην, καὶ πρότερον ᾠόμην· οὐ γὰρ ἀφῃρῆσθαί γε τοῦτο ἀτυχήσαντα τῶν παρ' ὑμῖν ὑπελάμβανον· συμβουλεύειν δὲ καὶ πολυπραγμονεῖν οὐ μικρᾶς ἔμοιγε ἀκρασίας ἔργον ἐφαίνετο εἶναι, δεδωκότι τηλικαύτην δίκην τοῦ πολιτεύεσθαι, πλὴν εἴ τι δέοι καλούντων ὑμῶν. (2) Ἄλλως δὲ μηδὲ ῥᾴδιά τισιν ἐπιτηδείων, οὐχ ὅτι πόλει, συμβουλεύειν, ἃ προσήκει, ᾠόμην· ὑμῖν δὲ ἑώρων ἄλλους καὶ λέγειν καὶ πράττειν δυναμένους τὰ κοινά· κατέλιπον γὰρ οὐκ ὀλίγους. Ἐπεὶ δὲ οἱ μὲν τεθνᾶσι, πολλοὶ δὲ ἠτυχήκασιν ὥσπερ ἐγώ, περιέστηκε δὲ ἡ πόλις εἰς ἐρημίαν τῶν πολιτευομένων, ἀκούω δὲ τοὺς μὲν αὐτοῦ παρόντας τοὺς δὲ καὶ δι' ἐπιστολῶν κινεῖν τι τῶν τῆς πόλεως πραγμάτων, ἕτοιμος ἤδη τὰ δοκοῦντα τῇ πόλει συμφέρειν, ὡς μόνον ἔξεστί μοι, δι' ἐπιστολῶν λέγειν. (3) Εἰ δὲ καὶ νῦν τὰ Μακεδόνων φρονεῖν ἐροῦσί με, καὶ παραπρεσβείας πάλιν γράφονταί τινες ἀπόντα με ἢ προδοσίας τῆς Ἑλλάδος, ἕτοιμος ἤδη καὶ Ῥόδου καὶ γῆς ἁπάσης Ἑλληνίδος πρόσω φεύγειν, ἐὰν βούλωνται, καὶ πρὸς τὸν ἐν Πέρσαις ἄπειμι καὶ Μήδοις βασιλέα. Καίτοι τὰ Περσῶν με καὶ Μήδων οὐδεὶς ἔφη ποτὲ φρονεῖν, καὶ πάντων ἥκιστα Δημοσθένης. Ἀλλ' οὐδ' ἐκεῖθεν παύσομαι γράφων, ἃ τῇ πόλει δόξω συμφέρειν, οὐ χαρίζεσθαι μέλλων ὑμῖν, ὥσπερ ἄλλοι τινές, ἀλλ' ἐλευθέρως νουθετεῖν. (4) Εὖ γὰρ εἰδέναι χρὴ ὅτι τῶν πολιτευομένων οἱ μᾶλλον ἐπιπλήττειν ἢ χαρίζεσθαι θέλοντες ὑμῖν δοκεῖν, οὗτοι καὶ μάλιστα πρὸς ἡδονὴν λέγουσι, τὴν ὑπὸ προσχήματι τῆς παρρησίας ὁδὸν τοῦ κολακεύειν ἑλόμενοι· καὶ γὰρ αὕτη τίς ἐστι τοῦ χαρίζεσθαι πολίταις καὶ ἡγεμόσι πολὺ κακουργοτέρα προαίρεσις· ἣν βαδίζοντές τινες Ἀθήνησι καὶ περιόντος ἐμοῦ παρ' ὑμῖν (οὕτω γὰρ χρὴ λέγειν) καὶ νῦν ὅσον ἐφ' ὑμῖν τεθνεῶτος, αἰτιῶνται μὲν ὑμῶν τὴν ὀλιγωρίαν ὡς οὐκ ἐθελόντων ἄρχειν τῆς Ἑλλάδος, προτρέπονται δὲ ἐπὶ τὴν ἡγεμονίαν ὡς δυναμένους. (5) Ὑμεῖς δὲ μετὰ τοῦ δοκεῖν ἀργοὶ γεγονέναι δύνασθαι τῶν Ἑλλήνων ἄρχειν νομίζεσθαι θέλετε μᾶλλον, ἢ μετὰ τοῦ μένειν ὑμῶν τὰς προθυμίας ἐνδεῖσθαι τῆς δυνάμεως. Πυνθάνομαι γὰρ τελευτήσαντος Ἀλεξάνδρου προτρέπειν τινὰς ὑμᾶς καινοτέρων ἅπτεσθαι πραγμάτων· ἐγὼ δὲ βουλοίμην ἂν ταῦτα συμβουλεύειν ὑμῖν μετὰ τοῦ ταῦτα συμφέρειν. (6) Οὐ γὰρ ἠγνόουν, μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεούς, ὅτι λαμπρόν ἐστι τὸ τοῖς μὲν βαρβάροις πολεμεῖν τοὺς δὲ Ἕλληνας ἐλευθεροῦν, καὶ ταῦτά γε καὶ τοὺς πατέρας ἡμῶν προελομένους· ἀλλ' εἰς μὲν τὸ βούλεσθαι τὰ κράτιστα τὴν γνώμην οὖσαν ἱκανήν, εἰς δὲ τὸ δύνασθαι καὶ τύχης ἀγαθῆς ὑμᾶς δεομένους. (7) Προσήκειν οὖν μεμνῆσθαι καὶ ὑμᾶς ὑπελάμβανον ὅτι Ἀθηναίοις μὲν ἐπιστέλλομεν, Ἀθηναίοις δὲ οὐκ ἐν οἷς Θεμιστοκλῆς ἐπολιτεύσατο, ἀλλ' οἳ τὰς μὲν γνώμας καὶ τὰς νοήσεις

XI.

SENATUI POPULOQUE ATHENIENSI.

Aliis de rebus quibusvis prius etiam ad vos mihi scribendum esse putabam—neque enim id quoque ei, cui vestram rempublicam calamitas ademisset, ereptum arbitrabar—, sed dare consilia, et negotiis alienis implicari, non parvæ incontinentiæ mihi esse videbatur in eo, qui administratæ reipublicæ tam graves dedisset pœnas, nisi quum et res postularet, et vos peteretis. (2) Alioqui ne familiarium quidem aliquibus facile esse suadere existimabam, nedum civitati : et vobis esse alios qui reipublicæ dicendo agendoque consulere possent. Reliqui enim non paucos. Sed quia eorum alii obierunt, multi simili mecum calamitate sunt conflictati, et respublica eorum a quibus gubernetur penuria laborat, — audio autem quosdam præsentes, quosdam etiam per literas turbare statum civitatis—, jam non recuso, ea quæ mihi e republica esse videntur qua sola ratione licet, per literas explicare. (3) Quodsi me nunc etiam facere cum Macedonibus dicunt, et falsæ legationis aut Græciæ proditæ etiam absentem aliqui accusant, paratus sum ultra et Rhodum et universam Græciam fugere, si volent, et ad Persarum et Medorum regem proficiscar. Etsi me stare a Persis et Medis nemo unquam dixit, et omnium minime Demosthenes. Sed ne ibi quidem ea scribere desistam, quæ urbi profutura videbuntur, non gratificaturus vobis, ut alii quidam, sed libere moniturus. (4) Sciendum enim est, eos magistratus, qui magis objurgare vos, quam gratiam vestram aucupari videri volunt, maxime ad gratiam loqui, delecta ea assentandi via, quæ sub velamento libertatis delitescat—nam hæc est gratificandi civibus et ducibus via multo malitiosior—, quam ingressi quidam Athenis, me et adhuc apud vos superstite (sic enim mihi dicendum est), et nunc, quantum in vobis est, mortuo, vestram culpant ignaviam, ut qui nolitis imperare Græciæ, et ad principatum adhortantur, ut quem obtinere possitis. (5) Vos vero malle debetis cum opinione ignaviæ videri Græcis imperare posse, quam, retenta vestra alacritate, viribus destitui. Audio enim, Alexandro defuncto, quosdam exbortari vos ad rerum novarum studium : ego vero ea me vobis suadere vellem, quæ in posterum prodessent. (6) Neque enim ignorabam, testor Jovem optimum maximum ceterosque deos, magnificum esse barbaros perpetuo oppugnare, et Græcos in libertatem vindicare, et hoc patrum etiam nostrorum fuisse institutum : verum, ut optima quæque velitis, id in vestris animis esse situm, ut autem exsequi etiam possitis, secunda etiam fortuna vobis esse opus. (7) Existimabam igitur, vos quoque meminisse oportere, nos, etsi ad Athenienses scribamus, ad eos tamen scribere Athenienses, non apud quos rempublicam Themistocles administravit, sed ad eos, qui, quum animis nihilo sint illis inferiores, non easdem habent ad ge-

ἐκείνων ἴσας, τὰς μέντοιγε πρὸς τοὺς πολέμους ἀφορμὰς οὐχ ὁμοίας ἔχουσιν. Ἐπεὶ δότωσαν μὲν ἡμῖν τριακοσίας τριήρεις οἱ τὰ τῆς Ἑλλάδος ἄξια γράφοντες ἡμῖν, δότωσαν δὲ τρισμύρια τάλαντα ἀργυρίου καὶ χρυσίου ἀπέφθου δισχίλια, δότωσαν δὲ ἀνδρῶν ἐν ἥβῃ νέων τοσοῦτο πλῆθος, ἤδη γεγυμνασμένων ἐν ὅπλοις· καὶ μηκέτι συμβουλευέτωσαν. (8) Αὐτοὶ γὰρ εἰδήσομεν ἃ χρὴ πράττειν, δυνάμενοι τὰ δόξαντα πράττειν, μηδὲ ῥαψῳδείτωσαν μάτην ἐπαινοῦντες ἡμῶν τοὺς προγόνους τε καὶ τὴν χώραν, ὅτι ἐγένοντο ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς, εἰσεγένοντο ἐν αὐτῇ οἱ θεοί. Ἐπεὶ πύθεσθε αὐτῶν, τί ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ τὴν πόλιν ὤνησε τῶν Ἀθηναίων, ὅτι Ἄρης πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίου ἐν Ἀρείῳ πάγῳ ἐκρίθη; (9) ἀλλ' εἰ πρὸς Ἀντίπατρον, ἢ ὅστις ἄλλος Μακεδόνων βασιλεύς, ἱκανοί ἐσμεν ἀγωνίσασθαι, τοῦτο χρὴ σκοπεῖν. Κἂν ἱκανοὶ ὦμεν, ἀγαθῇ τύχῃ ἀναλαβόντες τὰ ὅπλα εὐθέως ἐλευθερῶμεν τοὺς Ἕλληνας· εἰ δὲ τούτου μὲν ὀλιγωρήσομεν, κολακευόμενοι δὲ ἡσθησόμεθα, πῶς οὐ μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι γεγονέναι τῶν συμφορῶν, ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει τοῖς κακῶς πράττουσιν, ἀτυχήσομεν; (10) Ἔστι δὲ καὶ πόλεως καὶ ἀνδρὸς εὖ φρονοῦντος ἔργον πρὸς τὰς παρούσας ἀφορμὰς ὑπὲρ τῶν παρόντων βουλεύσασθαι· τὸ δὲ τὴν μὲν τόλμαν εἰς τὰ πράγματα, οἷς ἐπιχειρεῖτε, ἐκ τῆς πρόσθεν ἰσχύος ἔχειν, τὴν δὲ ἰσχὺν πάλαι ποτ' ἐσχηκέναι μεγάλην, ὅμοιά γε φαίνεται ὥσπερ ἂν εἴ τις Ὀλυμπίασι πολλάκις νικήσας, ὕστερον γέρων ὢν ἀπογράφοιτο ἔτι καὶ προκαλοῖτο τοὺς ἀντιπάλους, ἀναμιμνησκόμενος ἧς ἔσχηκεν, οὐ τῆς παρούσης, δυνάμεως. (11) Ἄξιον δὲ καὶ ἃ λέγειν αὐτοὺς πυνθάνομαι λογίσασθαι μεθ' ὑμῶν, ὡς καινὰ καὶ θαυμαστὸν ὅσον εἰς ἃ βούλονται τῇ πράξει συλλαβεῖν δυνάμενα. Φάσκουσι γὰρ δεῖν ὑμᾶς ὁμονοεῖν, ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους ὅτι τοῦτο μὲν πάσῃ πόλει, καὶ πολεμεῖν καὶ εἰρηνεύειν βουλομένῃ, κράτιστόν ἐστιν. (12) Δεῖ δὲ οὐ τοῦτο σκοπεῖν, εἰ ὁμονοητέον πολεμοῦσιν· ὁμονοητέον γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς ἕνεκα· ἀλλ' εἰ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. Ἕως δ' ἂν μήτε συστρατείας πολεμοῦντες ἔχωμεν, μήτε χρημάτων πόρους δεικνύωσιν, ἀλλὰ τὴν Ἀθηνᾶν ἔγγυον διδῶσι τοῦ πολέμου, μηδὲν διαφέρειν αὐτοὺς αὐτίκα νομίζωμεν. (13) Ἀλλ' ἐκεῖνον μέν, ὥσπερ ἦν ἄξιος παραπλὴξ τὴν διάνοιαν ὤν, κατελύσατε εἰκότως· τούτοις δὲ ἀποχρησάτω μηδὲν παθεῖν κακὸν παραδόξους λόγους μελετῶσι καὶ μηδὲ λείψανον ἐῶσιν ὑμῖν τι τῶν πραγμάτων, ἀλλὰ καὶ τούτων φθονοῦσι πράττειν ἃ δεῖ βουλομένοις, ἕως ἂν τὸ Θηβαίων πολιτεύσωνται πολίτευμα, μηλόβοτον ὑμῶν γενέσθαι τὴν χώραν καὶ κατασκαφῆναι τὴν πόλιν ἀναγκάσαντες. Οὐ γάρ, εἰ κακῶς ἔχει τὰ πράγματα, διὰ τοῦτο μηδέν, ὅπως μὴ χεῖρον ἕξει, φροντιστέον.

renda bella facultates. Nam qui Græcia digna scribunt, danto vobis trecentas triremes: danto triginta millia talentûm argenti, et auri puri puti tria millia: danto virorum ætate et robore florentium tantam multitudinem, in armis jam exercitatorum: et suadere desinunto — (8) Ipsi enim sciemus quid sit agendum, ubi ea quæ probata nobis fuerint, exsequi poterimus—, neque nugas agunto, frustra laudandis majoribus nostris, et regione, quod dii in ea nati fuerint et pro ea steterint, (*et judicia in ea subierint*). Rogate eos, quid in Chæronensi pugna urbi Atheniensium profuerit, quod Mars suam causam cum Neptuno in Areopago disceptarit? (9) Enimvero illud considerandum est, an ad prœlio decertandum cum Antipatro aut quovis alio Macedonum rege, justas vires habeamus. Quod si erit, diis approbantibus, sumptis armis, Græcos in libertatem asseramus. Sin hoc quidem neglexerimus, assentationibus autem inducti, superati fuerimus, qui fieri poterit ut in calamitatem non incidamus; præterquam quod nosmet ipsi in mala conjecisse videbimur, quæ sola res in miseriis nullam consolationem habet? (10) Est autem et reipublicæ et viri sapientis officium, de statu rerum pro ratione horum temporum deliberare: audaciam vero, ad res quas gerendas suscipias, ex veteri potentia concipere, qua olim magna præditus fueris, id perinde esse videtur, ac si quis sæpe Olympiæ victor, post ubi consenuerit, adhuc nomen suum profiteatur, et adversarios evocet, memor roboris, non quod jam habet, sed quod olim habuit. (11) Sunt etiam consideratu digna, quæ ab eis dici audio, quasi nova et quæ mirum quantum ad rem ipsis propositam afferre possint adjumentum. Nimirum debere vos dictitant esse concordes, quasi vos ignoretis, id quidem cuivis urbi sive bellum gerenti, sive pacem agenti, esse optimum: (12) illud autem nobis spectandum esse, non an bellum suscepturis concordia sit ineunda—nam concordes esse nos, sive bellum gerentes, sive quiescentes, omnibus de causis oportet—, sed an justas vires habeamus, si et bellum gerere et concordes esse voluerimus, ut scimus omnes. Quoad autem non ostenderint, nec quos bellum gesturi exercitus habituri simus, nec quam pecuniæ copiam, sed Minervam belli vadem nobis dederint, statim eos nihil *ab insanis* differre existimabimus. (13) Ac illum quidem, ut merebatur, homo nimirum mentis errore affectus, jure repudiastis: isti autem contenti esse debent, si nihil mali patiantur, dum absurdas excogitant orationes, et ne reliquias quidem ullas vobis superesse sinunt, sed has etiam iis invident, qui fungi officio cupiunt; donec Thebanorum exemplo republica administrata, regionem nostram in ovium pascua converti, urbem everti coegerint. Nec enim eo quod res male se habent, providendum non est, ne deteriores etiam fiant.

XII.

Τῌ ΒΟΥΛῌ ΚΑΙ ΤΩ͂Ι ΔΗΜΩ͂Ι ΤΩΝ ΑΘΗΝΑΙΩΝ.

Ἐγὼ προσῆλθον τῷ πολιτεύεσθαι γεγονὼς ἔτη τρία καὶ τριάκοντα, μὰ Δί' οὐ τριταγωνιστεῖν μαθών, ὡς Δημοσθένης ἔλεγεν, ἀλλὰ καὶ τραφεὶς ἐλευθερίως, καὶ παιδείας φροντίσας τὰ μέτρια, καὶ λόγους οἵους λέγειν ἐν Ἀθήναις ἔπρεπε. (2) Καὶ τούτους οὐκ εἰς συκοφαντίαν γυμνάσας, οὐδέ τινι τῶν πολιτῶν δίκην δικασάμενος εὑρεθήσομαι λαβὼν ἀργύριον, οὐδὲ ὕβρεις ἀποδόμενος, ἀλλ' οὐδὲ ὑβρισθεὶς ὅλως οὐδὲ ἀφορμὴν προπηλακισμοῦ παρασχών, οὐδὲ εἰς δίκην τινὰ τῶν πολιτῶν καταστήσας ἔξω Τιμάρχου μόνου. (3) Καὶ οὐκ ἀλαζονεύομαι πρὸς ὑμᾶς ὡς πολλὰ πάνυ λαβεῖν ἐξόν μοι χρήματα μὴ λαβών, ἀλλ' ὡς ἦν προσῆκον, δίκην κατὰ τοὺς νόμους λαβών. Καὶ μετὰ ταῦτα πάλιν Κτησιφῶντα, πολλὰ μὲν ὑπ' αὐτοῦ παθὼν πολλὰ δὲ ὑπὸ Δημοσθένους, παρανόμων ἐγραψάμην, δικαιοτάτην, ὦ θεοί, γραφήν. (4) Καὶ οὐδὲν θαυμαστὸν εἰ καὶ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λόγων ἡ Δημοσθένους δεινότης κρείσσων ἐγένετο. Ἐφάνη δὲ ἴσως ἐφ' οἷς κατηγορήθην πρότερον ὑπὸ Δημοσθένους, πολὺ μείζοσι δηλονότι τούτων οὖσι δι' ἃ νῦν ἐξέπεσον, οὐ μικρὸν δεῖγμα τοῦτο τοῦ καλῶς πολιτεύεσθαι νομίζεσθαι, ὅτι οὐδὲ Δημοσθένους κατηγοροῦντος ἑάλων. (5) Μετὰ δὲ ταύτην τὴν συμφορὰν καὶ τελέως καταφανῆ πᾶσι τοῖς Ἕλλησιν, οὐχ ὅπως μόνοις ὑμῖν, ἐμαυτὸν οἴομαι γεγονέναι. Τίς γὰρ οὐκ οἶδεν ὅτι ἀποθανόντες οἱ ἄνθρωποι καὶ φεύγοντες ἐκ τῆς πατρίδος, τότε δὴ καὶ μάλιστα, ὁποῖοί τινες ἐγένοντο τοὺς τρόπους, διαδείκνυνται; (6) Καὶ γὰρ ἃ συνέκρυπτον αὐτοὶ πρότερον, ἐκ μέσου γενομένων ἀναφαίνεται καθαρῶς· αἰτιᾶται γὰρ πολὺ μᾶλλον τῶν ἐχθρῶν ἕκαστος οὐδὲν ἀντειπεῖν δυναμένους. Οἱ δὲ δὴ φεύγοντες ἐπὶ τοιαύταις αἰτίαις, ὡς τὰ τῶν πολεμίων ἀεὶ προαιρούμενοι, καὶ παντελῶς δεικνύουσι καὶ τοὺς τρόπους καὶ τὰς ἐν τῷ πολιτεύεσθαι γενομένας αὐτοῖς γνώμας καταφανεῖς· καὶ γὰρ καὶ ὅπως φέρουσι τὰς συμφορὰς καὶ ὡς διάκεινται πρὸς τὰς ἑαυτῶν πατρίδας, ἐξετάζονται σαφῶς. (7) Ἆρ' οὖν καὶ Φιλίππῳ προδοὺς τὴν ἐμαυτοῦ πατρίδα καὶ παραπρεσβεύσας τοιαῦτα κατὰ τῆς πόλεως, καὶ δὴ θεραπεύσας Μακεδόνας, ἐπειδὴ τάχιστα φεύγων παρ' ὑμῶν ᾠχόμην, πρὸς Ἀλέξανδρον ἀπηλλάγην, χάριν τε ὧν παρεσχόμην αὐτῷ κομιούμενος καὶ προμηθείας δηλονότι τευξόμενος παρ' αὐτῷ; (8) Καὶ οὐκ ἔσθ' ὅπως οὐχ ἑώρων τὰ μὲν ἐν Βοιωτίᾳ πανδοχεῖα Δημάδην ἔχοντα καὶ χωρία ζευγῶν εἴκοσιν ἀροῦντα καὶ χρυσᾶς ἔχοντα φιάλας, Ἡγήμονα δὲ καὶ Καλλιμέδοντα, τὸν μὲν ἐν Πέλλῃ τὸν δὲ ἐν Βερροίᾳ, καὶ δωρεὰς ἅμα εἰληφότας καὶ γυναῖκας εὐπρεπεστάτας γεγαμηκότας. (9) Καὶ μὴν οὐδὲ πρὸς Θηβαίους οὐδ' εἰς Θετταλίαν ᾠχόμην παρ' ὑμῶν, οὐδὲ πρὸς ἄλλους τινάς, παρ' οἷς ἢ λοιδορεῖν ἔδει με τὴν πατρίδα τὴν ἐμὴν ἢ λοιδορουμένης αὐτῆς ἀκούειν, ἀλλ' εἰς Ῥόδον ἀφικόμην, οὔτε μὰ τὸν Δία δυσμενῶν ὑμῖν

XII.

SENATUI POPULOQUE ATHENIÉNSI.

Ego ad rempublicam accessi annos tres et triginta natus, quum mehercule non tertias actitare partes didicissem, ut Demosthenes dicebat, sed educatus fuissem liberaliter, et doctrinæ mediocri, et ejusmodi orationibus operam navassem, quales haberi Athenis deceret. (2) Atque eas non ad calumniam contulisse, neque ulli civium, accepta pecunia, periculum creasse reperiar, neque etiam contumelias vendidisse, sed prorsus contumeliis non affectus fuisse, neque causam contumeliæ mihi faciendæ ulli suppeditasse, ac ne in judicium quidem ullum civem adduxisse, extra solum Timarchum. (3) Neque jacto apud vos, me, quum permultas apud vos pecunias accipere potuissem, non accepisse: sed, ut conveniebat, pœnas legibus sumpsisse. Post etiam Ctesiphontem, multa ab eo perpessus, multa item a Demosthene, violatarum legum reum feci, justissimo, o dii immortales, judicio. (4) Neque vero mirum est, Demosthenis eloquentiam et legibus vestris et verbis meis fuisse superiorem. Illud autem non exiguum fortassis apud vos argumentum exstitit bene gestæ a me reipublicæ, quod ne Demosthene quidem accusante, illorum criminum, quorum ille me reum fecerat — quum quidem iis ob quæ nunc exsulo longe graviora essent —, fuerim condemnatus. (5) Post hanc autem calamitatem, me penitus non vobis dumtaxat, sed omnibus etiam Græcis notum esse factum opinor. Quis enim nescit, homines ut mortuos, ita etiam patria exsulantes, qui et quibus moribus fuerint, maxime cognosci? (6) Nam et quæ prius ipsi contegebant, ea illis e medio sublatis perspicue cernuntur; et omnes inimici multo magis eos criminantur, quum jam se defendere non possunt. Qui autem ob id crimen exsulant, quasi hostium commodis perpetuo studuerint, omnino et mores et consilia in gerenda republica sua evidenter demonstrant. Neque enim quo pacto calamitates ferant, et ut erga patriam sint affecti, ulla ratione celare possunt. (7) Numquid ergo, ut qui patriam meam Philippo prodiderim, et in reipublicæ fraudem mala fide legationem obierim, quippe Macedonum cultor, ut primum a vobis ejectus abii, ad Alexandrum me contuli, ut et gratia pro meritis ab eo mihi referretur, et rationibus meis consuleretur? (8) Neque vero non videbam, Demadem cauponas Bœotias tenere, et fundos XX boum jugis arare, et aureas habere phialas, Hegemonem autem et Callimedontem, alterum Pellæ, alterum Berrhœæ, quum munera accepisse, tum matronas honestissimas uxores duxisse. (9) Neque etiam a vobis ad Thebanos aut in Thessaliam abii, aut ad alios quosdam, apud quos mihi convicia in patriam aut dicenda, aut ab aliis audienda essent, sed Rhodum sum profectus, in hominum urbem, qui nec vobis inimici sunt, nec inimicitiarum ap-

οὔτ' ἄλλως φιλαπεχθημόνων ἀνθρώπων πόλιν. (10) Τὸ μὲν γὰρ ἄγχιστα τῆς ἑαυτοῦ πατρίδος ἑστάναι κατειρωνευομένων ἔμοιγε τῆς συμφορᾶς εἶναι μᾶλλον ἢ στεργόντων ἐδόκει τὴν πόλιν· τὸν δὲ ὄντως στέργοντα τὴν ἑαυτοῦ πόλιν ὡς πορρωτάτω μᾶλλον αὐτῆς ἐχρῆν ἀπιέναι, καὶ μηδὲν ἐν τοῖς ὀφθαλμοῖς ὑπόμνημα ἔχειν, ὃ τὴν γνώμην ἀμύξει. (11) Καὶ γὰρ οὐδ' ἐνταῦθα μείνας, ἐν Ῥόδῳ, φανείην ἄν, ἀλλὰ τῆς περαίας ἑλόμενός τι μικρὸν φρούριον, Ἄμμον· κἀνταῦθα πριάμενος χωρία τοσούτων ταλάντων, ὅσων εἰκὸς ἦν τὸν Φιλίππου μὲν πρότερον εἶτ' Ἀλεξάνδρου μισθωτὸν ὕστερον γενόμενον καὶ Φωκεῖς προδόντα καὶ τὴν τῶν Ἑλλήνων ἐλευθερίαν Μακεδόσι, κάθημαι μεθ' ἑπτὰ θεραπόντων ἐνταῦθα καὶ δυοῖν μόνων γνωρίμων καὶ τῆς μητρός, (12) ἣ τρίτον ἔχουσα καὶ ἑβδομηκοστὸν ἔτος ἔπλευσε σὺν ἐμοὶ μεθέξουσα τῆς δι' ὑμᾶς μοι συμφορᾶς γενομένης, καὶ μετὰ γυναικός, ἣ συνεξέπεσέ μοι κωλύοντος αὐτὴν τοῦ πατρὸς καὶ μένειν ἴσως ἀναγκαζόντων τῶν νόμων, τὸν τρόπον τῆς πόλεως μᾶλλον ἢ τοὺς νόμους ἐπισταμένη, καὶ μετὰ τριῶν παίδων οὐδέπω καὶ νῦν τῆς ἑαυτῶν συμφορᾶς ἐπαισθομένων, οὐδὲ ὁποίαν αὐτοῖς ὁ θεὸς δέδωκε γινομένοις πατρίδα, τὴν Ἀθηναίων πόλιν, ὁποίαν δ' εὐθέως γενομένων αὖ ἀφῄρηται πάλιν. (13) Καὶ ἕτεροι μέν, ὡς ἔοικε, τοὺς ἑαυτῶν παῖδας, τοὺς ἢ ἐν Βοιωτίᾳ γεννηθέντας ἢ ἐν Αἰτωλίᾳ, πρὸς ὑμᾶς πέμπουσι τῆς αὐτόθι παιδείας μεθέξοντας· οἷς δὲ ταῦτα παρὰ τῆς φύσεως ὑπῆρξεν, οὐ δημοποιήτου πατρὸς οὖσιν οὐδ' ἐπ' αἰτίαις αἰσχραῖς ἑαλωκότος, φεύγουσιν ἔτι νήπιοι, καὶ τρέφονται πένητες ἐν ἐρημίᾳ τε καὶ φυγῇ πατρῴᾳ. (14) Καὶ περὶ μὲν τῶν Λυκούργου παίδων Δημοσθένης ὑμῖν ἐπιστέλλει, καὶ δεῖται καλῶς ποιῶν χαρίσασθαι τὸ πατρῷον αὐτοῖς ὄφλημα, καὶ ὑμεῖς οὐδὲν ἀλλ' ἢ Ἀθηναίων ἔργον, ἐλεήσαντες αὐτοὺς καὶ χαρισάμενοι, ἐποιήσατε· καὶ γὰρ ὀργίζεσθαι ῥᾳδίως ὑμῖν ἔθος ἐστὶ καὶ χαρίζεσθαι πάλιν· (15) ἐγὼ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ παίδων οὐκ ἂν ὑμᾶς πείσαιμ' ἂν δεόμενος, ὡς μή μοι μὴ μόνον ἐν ὀρφανίᾳ τραφῶσιν, ἀλλ' ὀρφανοὶ ἅμα καὶ φυγάδες ὄντες, οὔτε ἀδικήσαντες παῖδες ὄντες, ἀλλ' οὐδὲ ἄλλως ἑαλωκότες, τὰ μέντοι τῶν ἑαλωκότων πάντα πεπονθότες; εἶτα τελευτήσαντος ἀναμνήσθητέ μου, καὶ χαρίσασθε τὰς δεήσεις, νῦν προσέχοντες ἡμῖν. Ἀλλὰ καὶ πράξατε, ἄνδρες Ἀθηναῖοι, καὶ πείσθητε, τὰ συνήθη αὑτοῖς καὶ μέτρια ποιοῦντες. (16) Οὐ γὰρ ἂν δὴ τῶν τρόπων ἀποσταίητε καὶ καταλύσαιτε τὴν τῆς πόλεως δόξαν, ἣν ἐπὶ χρηστότητι μείζω καὶ φιλανθρωπίᾳ διὰ παντὸς ἔσχεν ἢ ταῖς ἄλλαις πάσαις [ἀρεταῖς] ἡ πόλις. Οὐδ' ἂν Μελάνωπος ἰσχύσειε πλεῖον κωλύων ὑμᾶς μιμεῖσθαι τὴν ἑαυτῶν χρηστότητα καὶ φιλανθρωπίαν, ἢ παρακαλῶν — οὐκ Αἰσχίνης, οὐδαμῶς μὰ τοὺς θεούς· (17) οὐ γὰρ αὐτάρκης οὐδ' εὐτυχὴς πείθειν ἔγωγε τὴν πατρίδα τὴν ἐμήν, καὶ μάλιστα νῦν, ἐμαυτοῦ χάριν πείθειν δοκῶν —ἀλλ' ὁ τῆς πόλεως τρόπος καὶ τὸ πάλαι ὑμῶν ὄνομα καὶ τὸ τῶν προγόνων ἦθος, ᾧ ἀναγκαιότερον δήπουθεν ἢ Μελανώπῳ καθ' ἡμῶν δεομένῳ προσέχειν.

petentes. (10) Nam proxime patriam consistere mihi videbatur magis eorum esse, qui calamitatem suam cavillantes parvi facerent, quam eorum quibus cara sua est patria. Nam qui sincere patriam dilexerit, ei quam longissime potius ab ea discedendum fuerit, neque ullum in oculis habendum monimentum, quod animum cruciaret. (11) Ac ne Rhodi quidem mansi : sed in continente, quæ e regione insulæ est, delegi parvum quoddam castellum, Ammon, ibique emi prædia tot talentis, quot emi ab eo consentaneum erat, qui olim Philippi, post Alexandri mercenarius fuerat, quique Macedonibus et Phocenses et Græcorum prodiderat libertatem. Hic sedeo cum septem famulis, et duobus dumtaxat sodalibus et matre, (12) quæ anno ætatis tertio et septuagesimo navigavit mecum, particeps futura inflictæ mihi per vos calamitatis; et cum uxore, quæ una mecum ex urbe excessit, prohibente eam patre, et legibus fortasse manere cogentibus, magis gnara morum civitatis, quam legum; et cum tribus liberis, qui ne nunc quidem suam calamitatem intelligunt, nec qualem sibi nascentibus patriam dii dederint, Atheniensium civitatem, et quali, statim ut nati fuerant, sint urbe privati. (13) Ac alii quidem, ut video, suos liberos vel in Bœotia vel in Ætolia natos ad vos mittunt, ut vestra disciplina erudiantur : quibus vero hæc a natura tributa fuerant, quum patris essent, non populi beneficio in urbem adscripti, aut ob turpia facinora condemnati, ii exsulant adhuc infantes, et in paupertate educantur, in solitudine et exsilio paterno. (14) Ac de Lycurgi liberis ad vos scribit Demosthenes, et recte facit, qui paternum eis debitum condonari petat, et vos nihil aliud egistis nisi quod Athenienses decebat, ac miserti eorum condonastis — vestri enim moris est, facile et irasci et redire in gratiam — : (15) ego vero a vobis impetrare non potero, si pro meis liberis orem, non modo ne in orbitate alantur, sed etiam ne simul et orbi sint et exsules? quum nihil peccarint, quippe pueri, neque aliqua ratione sint condemnati, et perpessi tamen omnia quæ condemnatis usu veniunt. Tandem recordamini mei, Athenienses, et precibus meis benigne locum date, nunc nostri rationem habentes. Agite ergo, Athenienses, concedite ea quæ vestri moris sunt, et moderatione utimini. (16) Neque a vestris moribus recedetis, neque gloriam vestram destruetis, quam bonitatis et humanitatis nomine majorem quam ceteris virtutibus civitas vestra consecuta est. Neque plus valeat Melanopus, qui vobis obstat, quominus vestram bonitatem et humanitatem imitemini, quam qui vos adhortatur, et is quidem non Æschines—nequaquam medius fidius, (17) neque enim ego satis aut virium aut facundiæ habeo, ad persuadendum patriæ meæ, præsertim quum nunc meam causam agere videar —, sed civitatis mos, et antiquum vestrum nomen, et majorum consuetudo. Quæ pluris facienda est scilicet, quam Melanopus, qui ea flagitat quæ vobis sunt indecora.

ΔΕΙΝΑΡΧΟΣ.

I. ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

Pag. Steph.

Ὁ μὲν δημαγωγὸς ὑμῖν, ὦ Ἀθηναῖοι, καὶ θανάτου
90 τετιμημένος ἑαυτῷ ἐὰν ἐξελεγχθῇ ὁτιοῦν εἰληφὼς παρ' Ἁρπάλου, οὗτος φανερῶς ἐξελήλεγκται δῶρα εἰληφὼς παρὰ τούτων οἷς ἐναντία πράττειν ἔφη τὸν ἄλλον χρόνον· πολλῶν δ' ὑπὸ Στρατοκλέους εἰρημένων καὶ τῶν πλείστων προκατειλημμένων κατηγορημάτων, καὶ περὶ μὲν αὐτῆς τῆς ἀποφάσεως τῆς ἐξ Ἀρείου πάγου βουλῆς δικαίας καὶ ἀληθεῖς ἀποδείξεις εἰρηκυίας, περὶ δὲ τῶν ἀκολούθων τούτοις Στρατοκλέους εἰρηκότος καὶ τὰ ψηφίσματα ἀνεγνωκότος ἤδη τὰ περὶ τούτων, (2) ὑπόλοιπον ἡμῖν, ὦ Ἀθηναῖοι, καὶ ταῦτ' ἀγωνιζομένοις ἀγῶνα τηλικοῦτον ἡλίκος οὐδὲ πώποτε γέγονε τῇ πόλει, κοινῇ πᾶσιν ὑμῖν παρακελεύεσθαι, πρῶτον μὲν ἡμῖν τοῖς λοιποῖς συγγνώμην ἔχειν, ἂν τῶν αὐτῶν ἐνίοις περιπίπτωμεν (οὐ γὰρ ἵνα ἐνοχλῶμεν ὑμᾶς, ἀλλ' ἵνα ὀργίζησθε μᾶλλον παροξυνόμενοι, δὶς περὶ τῶν αὐτῶν ἐροῦμεν), ἔπειτα μὴ προΐεσθαι τὰ κοινὰ τῆς πόλεως ἁπάσης δίκαια, μηδὲ τὴν κοινὴν σωτηρίαν ἀντικαταλλάξασθαι τῶν τοῦ κρινομένου λόγων. (3) Ὁρᾶτε γάρ, ὦ Ἀθηναῖοι, ὅτι παρὰ μὲν ὑμῖν Δημοσθένης οὑτοσὶ κρίνεται, παρὰ δὲ τοῖς ἄλλοις ὑμεῖς· οἳ σκοποῦσι τίνα ποτὲ γνώμην ἕξετε περὶ τῶν τῇ πατρίδι συμφερόντων, καὶ πότερον τὰς ἰδίας τούτων δωροδοκίας καὶ πονηρίας ἀναδέχεσθε εἰς ὑμᾶς αὐτούς, ἢ φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε διότι μισεῖτε τοὺς κατὰ τῆς πολιτείας δῶρα λαμβάνοντας, καὶ οὐχ ἵν' ἀφῆτε ζητεῖν προσετάξατε τῇ ἐξ Ἀρείου πάγου βουλῇ, ἀλλ' ἵνα ἀποφηνάντων τούτων ὑμεῖς τιμωρήσησθε τῶν ἀδικημάτων ἀξίως. (4) Νυνὶ τοίνυν τοῦτο ἐφ' ὑμῖν ἐστι. Ψηφισαμένου γὰρ τοῦ δήμου δίκαιον ψήφισμα, καὶ πάντων τῶν πολιτῶν βουλομένων εὑρεῖν τίνες εἰσὶ τῶν ῥητόρων οἱ τολμήσαντες ἐπὶ διαβολῇ καὶ κινδύνῳ τῆς πόλεως χρήματα παρὰ Ἁρπάλου λαβεῖν, καὶ πρὸς τούτοις ψήφισμά τι γράψαντος, ὦ Δημόσθενες, σοῦ καὶ ἑτέρων πολλῶν, ζητεῖν τὴν βουλὴν περὶ αὐτῶν, ὡς αὐτῇ πάτριόν ἐστιν, εἴ τινες εἰλήφασι παρὰ Ἁρπάλου χρυσίον, (5) ζητεῖ ἡ βουλή, οὐκ ἐκ τῶν προκλήσεων μαθοῦσα τὸ δίκαιον, οὐδὲ τὴν ἀλήθειαν καὶ τὴν πίστιν τὴν περὶ αὑτῆς ἐπὶ σοῦ καταλῦσαι βουλομένη, ἀλλ' ὅπερ καὶ αὐτοὶ οἱ Ἀρεοπαγῖται εἶπον, προορῶσα ἡ βουλή, ὦ ἄνδρες, τὴν τούτων ἰσχὺν καὶ τὴν ἐν τῷ λέγειν καὶ πράττειν δύναμιν, οὐκ οἰομένη δὲ δεῖν οὐδεμίαν ὑπολογίζεσθαι τῶν περὶ αὑτῆς ἐσομένων βλασφη-

I. CONTRA DEMOSTHENEM.

Iste quidem populi ductor, Athenienses, qui ipse capitis se condemnavit si quidquam ab Harpalo accepisse convinceretur, manifesto convictus est acceptorum ab iis munerum, quibus se hactenus adversari est professus; quum autem Stratocles multa verba fecerit, et pleraque crimina jam occupata sint, ac senatus Areopagiticus ipsius indicii æquas et veras rationes attulerit, de iis vero quæ inde consequantur Stratocles sit locutus ac decreta jam quæ huc pertinent recitarit : (2) relinquitur nobis, Athenienses, tantam præsertim causam agentibus quanta nulla unquam oblata est reipublicæ, ut vos ex æquo omnes hortemur primum ut nobis reliquis veniam detis, si forte in quædam ab aliis jam allata inciderimus (nec enim eo repetemus eadem ut vos obtundamus, sed ut ad majorem iracundiam concitemini), deinde ne commune jus totius civitatis negligatis, sed salutem publicam cum rei eloquentia commutetis. (3) Illud enim videtis, Athenienses, apud vos quidem de Demosthene fieri judicium, apud alios autem de vobis : qui observant quemadmodum patriæ commodis studeatis, atque utrum propriam istorum corruptionem et improbitatem in vos recipiatis, an vero mortalibus omnibus declaraturi sitis vestrum in eos odium qui largitionibus in reipublicæ fraudem corrumpuntur, neque vos inquisitionem istam senatui Areopagitico mandasse ut delatos absolveretis, sed ut, ejus indicio cognito, vos illos, ut eorum facinora merentur, ulcisceremini. (4) Id igitur nunc vobis in manu. Nam quum justum plebiscitum sit, omnesque cives investigare cupiant quinam isti oratores sint qui cum ignominia et periculo reipublicæ pecuniam ab Harpalo accipere non dubitarint, prætereaque tu ipse, Demosthenes, ac multi alii decreto hac de re inquiri jusseritis a senatu, instituto majorum, num qui aurum ab Harpalo acceperint : (5) inquisivit senatus; neque vero is ex istis cohortationibus quid justum sit didicit, neque veritatem et fidem suam in tua causa perdere voluit, sed, ut et ipsi Areopagitæ dixerunt, eo quod senatus istorum vires ac tum verbis faciendis tum rebus gerendis potentiam prospexit, neque committendum censuit, ut

μιῶν, εἴ τις μέλλει τῇ πατρίδι [ἀπ'] αὐτῆς αἰτία μοχθηρὰ καὶ κίνδυνος ἔσεσθαι. (6) Τούτων, ὡς ἐδόκει τῷ δήμῳ, καλῶς καὶ συμφερόντως πεπραγμένων αἰτίαι νῦν καὶ προκλήσεις καὶ συκοφαντίαι παρὰ Δημοσθένους ἥκουσιν, ἐπειδὴ οὗτος ἀποπέφανται εἴκοσι τάλαντα ἔχων χρυσίου· καὶ ἡ τῶν ἐκ προνοίας φόνων ἀξιόπιστος οὖσα βουλὴ τὸ δίκαιον καὶ ἀληθὲς εὑρεῖν, καὶ κυρία δικάσαι τε περὶ τοῦ σώματος καὶ τῆς ψυχῆς 91 ἑκάστου τῶν πολιτῶν, καὶ τοῖς μὲν βιαίῳ θανάτῳ τετελευτηκόσι βοηθῆσαι, τοὺς δὲ παράνομόν τι τῶν ἐν τῇ πόλει διαπεπραγμένους ἐκβαλεῖν ἢ θανάτῳ ζημιῶσαι, νῦν ἐπὶ τοῖς κατὰ Δημοσθένους ἀποπεφασμένοις χρήμασιν ἄκυρος ἔσται τοῦ δικαίου;

7. Ναί· κατέψευσται γὰρ ἡ βουλὴ Δημοσθένους. Τουτὶ γάρ ἐστιν ὑπερβολὴ τοῦ πράγματος. Σοῦ κατέψευσται καὶ Δημάδου; καθ' ὧν οὐδὲ τἀληθὲς εἰπεῖν, ὡς ἔοικεν, ἀσφαλές ἐστιν; οἳ πολλὰ πρότερον τῶν κοινῶν ἐκείνῃ ζητεῖν προσετάξατε καὶ διὰ τὰς γενομένας ζητήσεις ἐπῃνέσατε; οὓς δ' ἡ πόλις ἅπασα οὐ δύναται ἀναγκάσαι τὰ δίκαια ποιεῖν, κατὰ τούτων ἡ βουλὴ ψευδεῖς ἀποφάσεις πεποίηται; ὦ Ἡράκλεις. (8) Διὰ τί οὖν ἐν τῷ δήμῳ συνεχώρεις, ὦ Δημόσθενες, ἐὰν ἀποφήνῃ σου ἡ βουλή, θάνατον ἑαυτῷ τὴν ζημίαν; καὶ διὰ τί πολλοὺς ἀνῄρηκας σὺ ταῖς τῆς βουλῆς ἰσχυριζόμενος ἀποφάσεσιν; ἢ ποῖ νῦν ἐλθὼν ὁ δῆμος ἢ τίσι προστάξας ζητεῖν περὶ τῶν ἀφανῶν καὶ μεγάλων ἀδικημάτων εὕρῃ τὴν ἀλήθειαν; (9) Τὸ μὲν γὰρ συνέδριον τὸ πρότερον δοκοῦν εἶναι πιστὸν σὺ καταλύεις ὁ δημοτικὸς εἶναι φάσκων, ᾧ τὴν τῶν σωμάτων φυλακὴν ὁ δῆμος παρακαταθήκην ἔδωκεν, ᾧ τὴν πολιτείαν καὶ δημοκρατίαν πολλάκις ἐγκεχείρικεν, ὃ διαπεφύλαχε τὸ σὸν σῶμα τοῦ βλασφημεῖν περὶ αὐτοῦ μέλλοντος πολλάκις (ὡς σὺ φῄς) ἐπιβουλευθέν, ὃ φυλάττει τὰς ἀπορρήτους διαθήκας, ἐν αἷς τὰ τῆς πόλεως σωτήρια κεῖται.

10. Δίκαια μὲν οὖν, δίκαια τρόπον γέ τινα πάσχει τὸ συνέδριον· εἰρήσεται γὰρ ἃ γινώσκω. Δυοῖν γὰρ θάτερον ἐχρῆν αὐτούς, ἢ καὶ τὴν προτέραν ζήτησιν τὴν ὑπὲρ τῶν τριακοσίων ταλάντων τῶν παρὰ τοῦ Περσῶν βασιλέως ἀφικομένων ζητεῖν, καθάπερ συνέταξεν ὁ δῆμος, ἵνα τότε δόντος δίκην τοῦ θηρίου τούτου, καὶ τῶν μερισαμένων ἐκεῖνα τὰ χρήματα φανερῶν γενομένων, καὶ τῆς περὶ Θηβαίους προδοσίας ἐξελεγχθείσης ἣν οὗτος προδέδωκεν, ἀπηλλάγμεθα τούτου τοῦ δημαγωγοῦ δίκην ἀξίαν δόντος· (11) ἢ εἰ ταῦθ' ὑμεῖς ἐβούλεσθε Δημοσθένει συγχωρεῖν καὶ πολλοὺς ἐν τῇ πόλει τοὺς καθ' ὑμῶν δωροδοκήσοντας εἶναι, τὴν περὶ τῶν νῦν ἀποπεφασμένων ζήτησιν χρημάτων μὴ προσδέχεσθαι, πεῖραν ὑμῶν ἐν τοῖς πρότερον εἰληφότας· ὅπου γε οὕτω καλῶς καὶ δικαίως τῆς ἀποφάσεως τῆς κατὰ τούτου καὶ τῶν ἄλλων νυνὶ γεγενημένης, καὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς οὔτε τὴν Δημοσθένους οὔτε τὴν Δημάδου δύναμιν ὑποστειλαμένης, ἀλλὰ τὸ δίκαιον αὐτὸ καὶ τἀληθὲς προὐργιαίτερον πεποιημένης, (12)

ullius contra se jaciendi maledicti metu patriæ suæ ullum crimen aut periculum crearetur. (6) Hæc quum populi judicio recte et utiliter acta essent, nunc querelæ et provocationes et calumniæ a Demosthene afferuntur, posteaquam indicatum est eum viginti auri talenta accepisse: is ergo senatus, cujus gravis est auctoritas in vere pervestigandis et recte dijudicandis cædibus consulto factis, qui potestatem habet tum de corpore et vita civis cujusvis pronuntiandi, tum violenta morte peremtis opitulandi, eos autem qui aliquid legibus in hac urbe interdictum commiserunt, vel ejiciendi vel capite plectendi: is ergo nunc, indicio de pecunia contra Demosthenem facto, jus suum et auctoritatem amittet?

7. Quidni? falso enim præjudicio senatus Demosthenem oppressit. Eo enim usque procedit summa ejus impudentia. Te scilicet ac Demadem mendacio oppressit, contra quos, ut res declarat, nec vera dicere tutum est? qui prius multa publica negotia ei inquirenda mandastis factasque inquisitiones laudastis? et quos universa civitas cogere non potest ut ea quæ æqua sint faciant, contra eos senatus falsum indicium fecit? O Juppiter! (8) Cur ergo in concione capite pœnas dare non recusabas, Demosthenes, si te senatus detulisset? Cur tu multos sustulisti indiciis senatus nitens? Quo se nunc populus convertat, aut quibusnam inquisitionem obscurorum et magnorum facinorum mandet ad comperiendam veritatem? (9) Nam id concilium quod prius fide dignum habitum est, tu qui te popularem perhiberi postulas, evertis, cujus fidei populus vitam civium commisit, cui rempublicam et libertatem sæpe custodiendam tradidit, quod tuum corpus, ut scilicet se nunc conviciis incesseres, defendit sæpe (ut tu ais) insidiis appetitum, quod denique arcana pacta conservat, in quibus sita est salus reipublicæ.

10. At jure hoc, jure quodammodo accidit concilio: nec enim dissimulabo sententiam meam. Decuit enim senatores, aut prius etiam de trecentis talentis a rege Persarum allatis inquirere quemadmodum populus constituerat, ut tum ista bellua supplicio affecta, et iis qui pecuniam istam partiti erant cognitis, et proditione qua Thebanos iste perdidit in lucem prolata, isto populi duce liberati essemus pro merito mulctato: (11) aut, si vos ista condonare Demostheni voluissetis, quo multi in urbe exsisterent qui contra vos munera caperent, hanc indicatæ jam pecuniæ inquisitionem non suscipere, ut qui prius quibus animis essetis periculum fecissent; quippe quum indicio nunc adeo recte et juste contra istum et ceteros facto senatus Areopagiticus neque Demosthenis neque Demadis opes formidarit, sed majorem æquitatis et veritatis rationem habue-

οὐδὲν ἧττον περιέρχεται Δημοσθένης περί τε τῆς βουλῆς βλασφημῶν καὶ περὶ ἑαυτοῦ λέγων οἷσπερ ἴσως καὶ πρὸς ὑμᾶς αὐτίκα χρήσεται λόγοις ἐξαπατῶν ὑμᾶς, ὡς « ἐγὼ Θηβαίους ὑμῖν ἐποίησα συμμάχους· » οὔκ, ἀλλὰ τὸ κοινῇ συμφέρον ἀμφοτέραις ἔλυμήνω ταῖς πόλεσιν, ὦ Δημόσθενες. « Ἐγὼ παρέταξα πάντας εἰς Χαιρώνειαν· » οὔκ, ἀλλὰ ἔλιπες μόνος αὐτὸς τὴν ἐκεῖ τάξιν· « Ἐγὼ πολλὰς ὑπὲρ ὑμῶν ἐπρέσβευσα πρεσβείας· » (13) ἐφ' οἷς οὐκ οἶδ' ὅ τί ποτ' ἂν ἐποίησεν ἢ τίνας ἂν εἶπε λόγους, εἰ συνέβη κατορθῶσαι αὐτῷ ἃ συνεβούλευσεν, ὃς ἐπὶ τοῖς τοιούτοις ἀτυχήμασι καὶ κακοῖς ἅπασαν ἐπεληλυθὼς τὴν οἰκουμένην ὅμως ἀξιοῖ δωρεὰς αὑτῷ δεδόσθαι τὰς μεγίστας, λαμβάνειν δῶρα κατὰ τῆς πατρίδος καὶ λέγειν καὶ πράττειν κατὰ τοῦ δήμου ἃ ἂν βούληται. (14) Καὶ Τιμοθέῳ μέν, ὦ Ἀθηναῖοι, Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν νικήσαντι Λακεδαιμονίους καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐχ ἐποιήσασθε ὑπόλογον, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως οὐδὲ τῶν ὅρκων, οὓς ὀμωμοκότες 92 ἐφέρετε τὴν ψῆφον, ἀντικατηλλάξασθε τὰς τοιαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων ἐτιμήσατε, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων. (15) Τὸν δὲ κατάπτυστον τοῦτον καὶ Σκύθην (ἐξάγομαι γάρ), ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέφαγκε χρήματα ἔχειν καθ' ὑμῶν, καὶ ὃς ἀποπέφανται μισθαρνῶν καὶ δωροδοκῶν κατὰ τῆς πόλεως καὶ ταῦτα ἐξελήλεγκται, τοῦτον οὐ τιμωρησάμενοι παράδειγμα ποιήσετε τοῖς ἄλλοις; ὃς οὐκ ἐκ τῶν βασιλικῶν μόνον εἰληφὼς χρυσίον φανερός ἐστιν, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πόλεως κεχρηματισμένος· ὁ νῦν οὐδὲ τῶν ὑπὸ Ἁρπάλου κομισθέντων χρημάτων εἰς τὴν πόλιν ἀποσχόμενος. (16) Καίτοι τί μέρος ἐστὶ τῶν ὑπὸ Τιμοθέου πεπραγμένων ἀγαθῶν ἃς Δημοσθένης ἐπρέσβευσεν εἰς Θήβας πρεσβείας; ἢ τίς οὐκ ἂν καταγελάσειεν ὑμῶν τῶν τοῦτο τολμώντων ἀκούειν, ἀντιθεὶς ἐφ' αἷς οὗτος σεμνύνεται πράξεσιν ἐκείνας ἃς Τιμόθεος ὑμᾶς καὶ Κόνων εὐεργέτησαν; ἀλλὰ γὰρ οὐ πρὸς τοῦτο τὸ κάθαρμα παραβάλλειν δεῖ τοὺς ἄξια καὶ τῆς πόλεως καὶ τῶν προγόνων ὑπὲρ ὑμῶν πράξαντας. Παρασχόμενος οὖν τὸ ψήφισμα τὸ Τιμοθέῳ γενόμενον πάλιν ἐπὶ τοὺς περὶ τούτου λόγους βαδιοῦμαι. Λέγε.

ΨΗΦΙΣΜΑ.

17. Ὁ τοιοῦτος, ὦ Δημόσθενες, πολίτης, ὃς δικαίως ἂν καὶ συγγνώμης καὶ χάριτος ἐτύγχανε παρὰ τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμπολιτευομένων, οὐ λόγοις ἀλλ' ἔργοις μεγάλα τὴν πόλιν ἀγαθὰ ποιήσας, καὶ διαμείνας ἐπὶ τῆς πολιτείας καὶ οὐκ ἄνω καὶ κάτω μεταβαλλόμενος ὥσπερ σύ, ἐτελεύτησεν οὐ τηλικαύτας τὸν δῆμον αἰτήσας δωρεὰς ὥστε τῶν νόμων εἶναι κρείττων, οὐδ' οἰόμενος δεῖν τοὺς ὀμωμοκότας κατὰ τοὺς νόμους

rit, (12) nihilominus Demosthenes circumit senatum insectans et semetipsum jactans iis verbis quibus fortasse apud vos statim utetur decipiendi gratia, quum dicet : *ego effeci ut Thebani societatem vobiscum inirent;* non, sed id quod æque civitati utrique expediebat, tu corrupisti, Demosthenes; *ego omnes ad Chæroneam in aciem eduxi;* non, sed solus illic aciem deseruisti; *ego multas pro vobis legationes obii* : (13) quibus elatus equidem nescio quid egisset aut quæ verba fecisset, si consilia ejus successum habuissent, qui ad tales calamitates et tanta mala conflanda totum orbem terrarum peragravit, et tamen præmia sibi maxima decerni postulat, ut et in patriæ fraudem munera capiat et contra populum quidvis et dicat et faciat impune. (14) Ac Timotheo quidem, Athenienses, qui Peloponnesum classe circumvectus est quique Lacedæmonios navali ad Corcyram prælio superavit, et qui Conone, Græcis libertatis restitutore, natus fuit, et a quo captæ sunt Samus, Methone, Pydna, Potidæa et præter has aliæ viginti urbes, nihil apud vos ista profuerunt, neque talia beneficia cum judicio tum constituto et jurejurando, quo dato suffragia ferebatis, commutastis, sed centum talentis mulctastis, quod eum Aristophon dixit a Chiis et Rhodiis pecuniam accepisse : (15) impurum autem istum Scytham (neque enim temperare mihi queo), quem non unus vir, sed totus ex Areopago senatus, facta inquisitione, pecuniam contra vos habere indicavit, quem esse mercenarium et captatorem munerum contra rempublicam declaravit et harum rerum convicit, eum non ulciscemini? in eum exempla non edetis? quem non modo regium aurum accepisse constat, sed ipsam etiam rempublicam esse depeculatum, et nunc ne ab Harpalo quidem allata pecunia abstinuisse. (16) Enimvero quam meritorum Timothei partem constituunt Demosthenis legationes Thebis obitæ? aut quis non derideat vos, qui audire ista non gravemini, si conferat eas actiones quibus iste gloriatur cum Timothei et Cononis beneficiis? Sed non decet cum quisquiliis istis eos comparari qui res pro vobis et republica nostra et majoribus dignas gesserunt. Quare senatus consulto de Timotheo exhibito, revertar ad orationem de isto institutam. Recita.

SENATUS CONSULTUM.

17. Talis fuit ille civis, Demosthenes, qui jure et veniam et gratiam invenisset a suis civibus, quippe qui non dictis sed factis multa officia reipublicæ præstitit, qui idem semper institutum usque ad obitum tenuit, non ut tu crebris mutationibus fluctuavit, neque tantas remunerationes a populo flagitavit ut superior esset legibus, neque postula-

οἴσειν τὴν ψῆφον ἄλλο τι προυργιαίτερον ποιεῖσθαι τῆς εὐσεβείας, ἀλλ' ὑπομένων καταχρίνεσθαι, εἰ δόξειε τοῖς δικασταῖς, καὶ οὐ καιροὺς λέγων, οὐδ' ἕτερα φρονῶν καὶ δημηγορῶν.

18. Οὐκ ἀποκτενεῖτε, ἄνδρες Ἀθηναῖοι, τὸν μιαρὸν τοῦτον ἄνθρωπον, ὃς πρὸς ἑτέροις πολλοῖς καὶ μεγάλοις ἁμαρτήμασι καὶ τὴν Θηβαίων πόλιν περιεῖδεν ἀνάστατον γενομένην, τριακόσια τάλαντα λαβὼν εἰς τὴν ἐκείνων σωτηρίαν παρὰ τοῦ Περσῶν βασιλέως, καὶ Ἀρκάδων ἡκόντων εἰς Ἰσθμὸν καὶ τὴν μὲν παρὰ Ἀντιπάτρου πρεσβείαν ἄπρακτον ἀποστειλάντων, τὴν δὲ παρὰ Θηβαίων τῶν ταλαιπώρων προσδεξαμένων, οἳ κατὰ θάλατταν μόλις ἀφίκοντο πρὸς ἐκείνους, ἱκετηρίαν ἔχοντες καὶ κηρύκια συμπεπλεγμένα (ὡς ἔφασαν) ἐκ τῶν θαλλῶν, (19) ἐροῦντες τοῖς Ἀρκάσιν ὅτι οὐ τὴν πρὸς τοὺς Ἕλληνας φιλίαν Θηβαῖοι διαλῦσαι βουλόμενοι τοῖς πράγμασιν ἐπανέστησαν, οὐδ' ἐναντίον τῶν Ἑλλήνων οὐδὲν πράξοντες, ἀλλὰ τὰ παρ' αὐτοῖς ὑπὸ τῶν Μακεδόνων ἐν τῇ πόλει γινόμενα φέρειν οὐκέτι δυνάμενοι, οὐδὲ τὴν δουλείαν ὑπομένειν, οὐδὲ τὰς ὕβρεις ὁρᾶν τὰς εἰς τὰ ἐλεύθερα σώματα γινομένας. (20) Οἷς ἑτοίμων γενομένων τῶν Ἀρκάδων βοηθεῖν, καὶ ἐλεησάντων ἐν οἷς ἦσαν κακοῖς, καὶ φανερὸν ποιησάντων ὅτι τοῖς μὲν σώμασι μετὰ Ἀλεξάνδρου διὰ τοὺς καιροὺς ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μετὰ Θηβαίων καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἦσαν, καὶ τοῦ στρατηγοῦ αὐτῶν Ἀστύλου ὠνίου ὄντος (ὥσπερ καὶ Στρατοκλῆς εἶπε) καὶ δέκα τάλαντα αἰτοῦντος ὥστε ἀγαγεῖν τὴν βοήθειαν τοῖς Θηβαίοις, καὶ τῶν πρεσβευτῶν ὡς τοῦτον ἐλθόντων, ὃν ᾔδεσαν ἔχοντα τὸ βασιλικὸν χρυσίον, καὶ δεομένων καὶ ἱκετευόντων δοῦναι τὰ χρήματα εἰς τὴν τῆς πόλεως σωτηρίαν, (21) οὐκ ἐτόλμησεν ὁ μιαρὸς οὗτος καὶ ἀσεβὴς καὶ αἰσχροκερδὴς ἀπὸ τῶν πολλῶν χρημάτων ὧν εἶχε δέκα μόνον τάλαντα δοῦναι, τοσαύτας ὁρῶν ἐλπίδας ὑποφαινούσας εἰς τὴν Θηβαίων σωτηρίαν, ἀλλὰ περιεῖδεν ἑτέρους δόντας τοῦτο τὸ ἀργύριον (ὥσπερ καὶ Στρατοκλῆς εἶπεν) ὑπὲρ τοῦ πάλιν ἀπελθεῖν οἴκαδε τοὺς ἐξεληλυθότας Ἀρκάδων καὶ μὴ βοηθῆσαι τοῖς Θηβαίοις. (22)
93 Ἄρ' ὑμῖν δοκεῖ μικρῶν κακῶν ἢ τῶν τυχόντων ὅλῃ τῇ Ἑλλάδι αἴτιος γεγενῆσθαι Δημοσθένης καὶ ἡ τούτου φιλαργυρία; ἢ προσήκειν αὐτὸν ὑφ' ὑμῶν ἐλέου τινὸς τυγχάνειν τοιαῦτα διαπεπραγμένον, ἀλλ' οὐ τῆς ἐσχάτης τιμωρίας καὶ ὑπὲρ τῶν νῦν καὶ ὑπὲρ τῶν πρότερον γεγενημένων ἀδικημάτων; Ἀκούσονται τὴν κρίσιν, ὦ Ἀθηναῖοι, τὴν ὑφ' ὑμῶν ἐν τῇ τήμερον ἡμέρᾳ γεγενημένην πάντες ἄνθρωποι· θεωρήσουσιν ὑμᾶς τοὺς κρίνοντας, ὅπως χρῆσθε τῷ τὰ τοιαῦτα διαπεπραγμένῳ. (23) Ὑμεῖς ἐσθ' οἱ διὰ πολλῷ τῶν ὑπὸ τούτου πεπραγμένων ἀδικημάτων ἐλάττω μεγάλας καὶ ἀπαραιτήτους ἐνίοις ἐπιτεθεικότες τιμωρίας. Ὑμεῖς Μένωνα μὲν τὸν μυλωθρὸν ἀπεκτείνατε, διότι παῖδα ἐλεύθερον ἐκ Πελλήνης ἔσχεν ἐν τῷ μυλῶνι· Θεμίστιον δὲ τὸν Ἀφιδναῖον, διότι τὴν Ῥοδίαν κιθαρίστριαν ὕβρισεν

vit ut qui jurarunt se ex legibus pronuntiaturos pietate supersedendum esse censerent, sed etiam condemnari voluit, si judicibus visum esset, qui non excusationes temporum attulit, neque aliud sensit, aliud pro concione dixit.

18. Non occidetis, Athenienses, sceleratum istum hominem, qui præter alia multa et magna peccata etiam Thebanorum urbem everti passus est, quum a rege Persarum trecenta talenta ad eorum conservationem accepisset? Nam quum Arcades in Isthmum venissent atque Antipatri legatos re infecta dimisissent, et infelicium Thebanorum admisissent, qui mari ægre ad eos pervenerant, supplices et caduceos oleaginos gestantes, (19) dicturi apud Arcades, Thebanos non eo animo res novas moliri quod Græcorum amicitiam desertam vellent, aut Græcis adversaturi essent, sed quod Macedonum in suam urbem violentiam diutius tolerare non possent, neque perpeti servitutem, neque intueri contumelias quæ ingenuis hominibus factæ essent. (20) Quibus quum opem ferre Arcades parati essent, adductique essent misericordia malorum in quibus versabantur, ac declarassent se corporibus Alexandrum propter tempora sequi coactos, voluntate autem cum Thebanis et Græcorum libertate fuisse conjunctos, eorumque dux Astylus venalis esset (ut et Stratocles narravit) et decem talenta postularet ob adducenda Thebanis auxilia, ac legati ad istum venissent, quem aurum regium habere scirent, et orarent atque obtestarentur ut pecuniam illam ad civitatis suæ salutem conferret, (21) recusavit nefarius iste atque impius et sordidus de magna pecunia quam habebat decem tantum talenta dare, quum quidem videret tantam spem salutis Thebanorum affulgere, neque obstitit quominus alii darent illud argentum (ut et Stratocles dixit), quo Arcadica expeditio domum reverteretur nec opem ferret Thebanis. (22) Numquid videtur vobis parvorum malorum ac vulgarium universæ Græciæ auctor exstitisse Demosthenes et ejus avaritia? num deberi ei venia a vobis his factis, ac non potius ultimum supplicium ob injurias tam recentes quam veteres illas? Audient judicium, Athenienses, hoc die a vobis factum omnes homines; spectabunt vos, judices, quo pacto tractaveritis hominem tam facinorosum. (23) Vos estis qui ob delicta ejus injuriis multo leviora magna supplicia nullis mitigati deprecationibus inflixeritis. Vos Menonem molitorem occidistis, quod ingenuum puerum Pellenæum in pistrino habuisset; vos Themistium Aphidnæum, quod initiis Eleu-

Ἐλευσινίοις, θανάτῳ ἐζημιώσατε, Εὐθύμαχον δέ, διότι τὴν Ὀλυνθίαν παιδίσκην ἔστησεν ἐπ' οἰκήματος. (24) Διὰ δὲ τοῦτον τὸν προδότην παῖδες καὶ γυναῖκες αἱ Θηβαίων ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διενεμήθησαν, πόλις ἀστυγείτων καὶ σύμμαχος ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασται, ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ τῶν κοινωνησάντων ὑμῖν τοῦ πρὸς Φίλιππον πολέμου· ἀροῦται, φημί, καὶ σπείρεται· καὶ οὐκ ἠλέησε, φημί, ὁ μιαρὸς οὗτος πόλιν οἰκτρῶς ἀπολλυμένην οὕτω, εἰς ἣν ἐπρέσβευσεν ὑφ' ὑμῶν ἀποσταλείς, οἷς ὁμόσπονδος καὶ ὁμοτράπεζος πολλάκις γέγονεν, ἣν αὐτός φησι σύμμαχον ὑμῖν ποιῆσαι· ἀλλὰ πρὸς οὓς εὐτυχοῦντας πολλάκις ἦλθε, τούτους ἀτυχοῦντας προδέδωκε. (25) Κἀκεῖνοι (ὡς οἱ πρεσβύτεροι λέγουσι) καταλελυμένης τῆς δημοκρατίας τῆς παρ' ἡμῖν καὶ συνάγοντος ἐν Θήβαις Θρασυβούλου τοὺς φυγάδας ἐπὶ τὴν Φυλῆς κατάληψιν, καὶ Λακεδαιμονίων ἰσχυόντων καὶ ἀπαγορευόντων μηδένα Ἀθηναίων ὑποδέχεσθαι μηδ' ἐκπέμπειν, ὅμως συνέπραττον τῷ δήμῳ τὴν κάθοδον καὶ τὸ πολλάκις ἀνεγνωσμένον παρ' ὑμῖν ἐψηφίσαντο ψήφισμα, μὴ περιορᾶν ἐάν τις ὅπλα διὰ τῆς χώρας τῆς Ἀθηναίων ἔχων πορεύηται· (26) οὗτος δὲ ὁ κοινὸν αὑτὸν τοῖς συμμάχοις, ὡς αὐτίκα φήσει, παρέχων οὐδὲν τοιοῦτον ἔπραξεν, οὐδὲ τῶν χρημάτων ὧν ἔλαβεν εἰς τὴν τούτων σωτηρίαν οὐδὲν ἠθέλησε προέσθαι. Ὧν ὑμεῖς, ὦ ἄνδρες, μνησθέντες, καὶ τὰ ἀτυχήματα τὰ γινόμενα διὰ τοὺς προδότας θεωρήσαντες ἐν ταῖς Ὀλυνθίων καὶ Θηβαίων συμφοραῖς, ὑπὲρ ὑμῶν αὐτῶν ὀρθῶς νυνὶ βουλεύεσθε, καὶ τοὺς δωροδοκεῖν ἐθέλοντας κατὰ τῆς πατρίδος ἀνελόντες ἐν ὑμῖν αὐτοῖς καὶ τοῖς θεοῖς τὰς ἐλπίδας τῆς σωτηρίας ἔχετε. (27) Μόνως γὰρ οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, μόνως καὶ τοὺς ἄλλους ποιήσετε βελτίους, ἐὰν τοὺς ἐνδόξους τῶν πονηρῶν ἐξελέγξαντες κολάσητε τῆς πονηρίας ἀξίως. Τοὺς μὲν γὰρ τυχόντας τῶν κρινομένων, ὅταν ἁλῶσιν, οὐδεὶς οἶδεν οὐδὲ ζητεῖ πυθέσθαι τί πεπόνθασι· τοὺς δ' ἐνδόξους πάντες πυνθάνονται, καὶ τοὺς δικάζοντας ἐπαινοῦσιν, ὅταν τὸ δίκαιον μὴ πρόωνται ταῖς τῶν κρινομένων δόξαις. Ἀνάγνωθι τὸ ψήφισμα τὸ Θηβαίων. Λέγε τὰς μαρτυρίας. Ἀναγίνωσκε τὰς ἐπιστολάς.

ΨΗΦΙΣΜΑ. ΜΑΡΤΥΡΙΑΙ. ΕΠΙΣΤΟΛΑΙ.

28. Μισθωτὸς οὗτος, ὦ Ἀθηναῖοι, μισθωτὸς οὗτός ἐστι παλαιός. Οὗτος ἦν ὁ τὴν πρεσβείαν τὴν παρὰ Φιλίππου πορευομένην ὡς ἡμᾶς ἐκ Θηβῶν καλέσας, καὶ τοῦ λυθῆναι τὸν πρῶτον πόλεμον αἴτιος γενόμενος· οὗτος Φιλοκράτει συνωμολογεῖτο τῷ γράψαντι πρὸς Φίλιππον εἰρήνην, δι' ἣν ὑμεῖς ἐκεῖνον ἐξεβάλετε, καὶ ζεύγη τοῖς πρέσβεσιν ἐμισθώσατο τοῖς μετ' Ἀντιπάτρου δεῦρ' ἐλθοῦσιν, ἀναλαμβάνων αὐτοὺς καὶ τὸ κολακεύειν τοὺς Μακεδόνας πρῶτος εἰς τὴν πόλιν εἰσάγων. (29) Μὴ ἀφῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ἀφῆτε τὸν ἐπὶ τοῖς

siniis Rhodiam citharistriam violasset, capite mulctastis; Euthymachum item, quod puellam Olynthiam prostituisset. (24) Ob istum vero proditorem liberi et uxores Thebanorum in tabernacula barbarorum sunt distributæ, urbs finitima et fœderata e media Græcia est abrepta, aratur et conseritur urbs Thebanorum qui nobiscum una bellum Philippo intulerunt; aratur, inquam, et conseritur; nec misertus, inquam, est impurus iste civitatis adeo miserabiliter pereuntis, in quam legatus a vobis missus est, cujus sacris et mensis sæpe interfuit, et quam ipse ait sua opera sociam vobis esse factam. Verum ad quos rebus secundis sæpe est profectus, eos rebus adversis deseruit. (25) Illi (ut seniores narrant) abrogata nostra libertate et Thrasybulo Thebis exules colligente ad Phylam occupandam, quamvis Lacedæmonii rerum potirentur et quemquam Atheniensium recipi vetarent aut dimitti, tamen adjutores populo fuerunt ad patriam recuperandum, et sæpe recitatum apud vos decretum fecerunt, non esse connivendum si quis *Atheniensium* armatus regionem *Thebanorum* transiret : (26) iste autem qui, ut mox gloriabitur, se communem præbet sociis, nihil simile fecit, neque quidquam ejus pecuniæ, quam ad illorum salutem procurandam acceperat, amittere voluit. Quorum vos, judices, recordati, præsertim quum quæ mala proditionis sint in Olynthiorum et Thebanorum calamitatibus spectaveritis, vestræ incolumitati nunc ipsi recte consulite, ac largitionum contra patriam avidis e medio sublatis, in vobis ipsis et diis immortalibus spem salutis collocate. (27) Sola enim hac ratione, Athenienses, sola hac ratione alios quoque corrigetis, si principes improborum convictos ita puniveritis ut eorum meretur improbitas. Nam si quis vulgares rei condemnentur, id nemo resciscit neque etiam scire avet quid iis acciderit : de illustribus autem omnes sciscitantur et laudant judices, ubi jus et æquum gloriæ reorum non condonarint. Recita decretum Thebanorum. Dic testimonia. Lege literas.

DECRETUM. TESTIMONIA. LITERÆ.

28. Mercenarius iste est, Athenienses; mercenarius iste fuit jam olim. Iste est qui legationem a Philippo proficiscentem ad nos Thebis vocavit, et primi belli deponendi auctor fuit; iste cum Philocrate consilia contulit qui pacem decrevit cum Philippo faciendam, ob quam vos illum ejecistis, et bigas legatis conduxit qui cum Antipatro huc profecti erant, et excepit eos et Macedonibus assentandi consuetudinem primus in urbem introduxit. (29) Ne absolvite, Athenienses, ne dimittite impunitum hominem

94 τῆς πόλεως καὶ τῶν ἄλλων Ἑλλήνων ἀτυχήμασιν ἐπιγεγραμμένον ἀτιμώρητον, εἰλημμένον ἐπ' αὐτοφώρῳ δῶρα ἔχοντα κατὰ τῆς πόλεως, μηδὲ τῆς ἀγαθῆς τύχης ὑμᾶς ἐπὶ τὸ βέλτιον ἀγούσης, καὶ τὸν μὲν ἕτερον τῶν τὴν πατρίδα λελυμασμένων ἐκ τῆς πόλεως ἐκβεβληκυίας, τοῦτον δ' ὑμῖν ἀποκτεῖναι παραδούσης, αὐτοὶ τοῖς πᾶσι συμφέρουσιν ἐναντιωθῆτε, ἀλλὰ μετοιωνίσασθε τὰς τῆς πόλεως πράξεις, εἰς τούτους τοὺς ἡγεμόνας τὰς ἀποτυχίας τρέψαντες. (30) Εἰς ποῖον γὰρ καιρὸν ἀποθήσεσθε τοῦτον ὑπολαβόντες χρήσιμον ὑμῖν αὐτοῖς ἔσεσθαι; ἔχοι τις ἂν εἰπεῖν ἢ ὑμῶν ἢ τῶν περιεστηκότων, εἰς ποῖα οὗτος πράγματα εἰσελθὼν ἢ ἴδια ἢ κοινὰ οὐκ ἀνατέτραφεν; οὐχ εἰς μὲν τὴν Ἀριστάρχου οἰκίαν εἰσελθών, βουλεύσας μετ' ἐκείνου τὸν Νικοδήμῳ θάνατον κατασκευασθέντα, ὃν ἴστε πάντες, ἐξέβαλε τὸν Ἀρίσταρχον ἐπὶ ταῖς αἰσχίσταις αἰτίαις; καὶ τοιούτῳ φίλῳ Δημοσθένει ἐχρήσατο, ὥστε δαίμονα αὐτῷ τοῦτον καὶ τῶν γεγενημένων συμφορῶν ἡγεμόνα νομίσαι προσελθεῖν; (31) Οὐχ ἐπειδὴ τῷ δήμῳ συμβουλεύειν ἤρξατο, ὡς μήποτε ὤφελεν (ἀφήσω γὰρ αὐτοῦ τὰ ἴδια· ὁ γὰρ χρόνος οὐκ ἐπιδέχεται μακρολογεῖν), ἀγαθὸν μὲν ἁπλῶς εἰπεῖν οὐδὲν γέγονε τῇ πόλει, ἐν κινδύνοις δὲ καὶ κακοῖς καὶ ἀδοξίᾳ πᾶσα ἡ Ἑλλάς, οὐ μόνον ἡ πόλις, καθέστηκε; καὶ πλείστοις καιροῖς ἐν ταῖς δημηγορίαις χρώμενος ἅπαντας ἀφῆκε τοὺς ὑπὲρ ὑμῶν καιρούς; καὶ ἐν οἷς τις ἂν φιλόπολις ἀνὴρ καὶ κηδεμὼν προείλετό τι πρᾶξαι, τοσοῦτον ἐδέησεν ὁ δημαγωγὸς καὶ χρήσιμος αὐτίκα φήσων ὑμῖν γεγενῆσθαι πρᾶξίν τινα προφέρειν, ὥστε καὶ τοὺς πράττοντας ὑπὲρ ὑμῶν τι τῆς αὑτοῦ τύχης ἀνέπλησεν. (32) Ἀπῆρε Χαρίδημος πρὸς τὸν Περσῶν βασιλέα, χρήσιμος ὑμῖν οὐ λόγοις ἀλλ' ἔργοις βουλόμενος γενέσθαι, καὶ τοῖς ἰδίοις τοῖς αὑτοῦ κινδύνοις ὑμῖν καὶ τοῖς ἄλλοις Ἕλλησι βουλόμενος τὴν σωτηρίαν παρασκευάσαι· περιιὼν οὗτος κατὰ τὴν ἀγορὰν ἐλογοποίει καὶ τῶν πραττομένων εἰσεποίει κοινωνὸν αὑτόν· οὕτω κατέστρεψεν ἡ τύχη ταῦτα ὥστ' ἐναντία γίνεσθαι τοῖς προσδοκωμένοις. (33) Ἐξέπλευσεν Ἐφιάλτης μισῶν μὲν τοῦτον, ἀναγκαζόμενος δὲ τῶν πραγμάτων κοινωνεῖν· ἀφείλετο καὶ τοῦτον ἡ τύχη τῆς πόλεως. Εὐθύδικος προῃρεῖτο τὰς ὑπὲρ τοῦ δήμου πράξεις· ἔφη τούτῳ Δημοσθένης φίλος εἶναι· οὗτος ἀπώλετο. (34) Καὶ ταῦθ' ὑμεῖς ὁρῶντες καὶ ἐπιστάμενοι πολὺ βέλτιον ἢ ἐγὼ οὐ λογίζεσθε, οὐ σκοπεῖσθε πρὸς ὑμᾶς αὐτούς, τεκμαιρόμενοι τὰ μέλλοντα ἐκ τῶν γεγενημένων, ὅτι οὐδὲν οὗτος χρήσιμος ἀλλ' ἢ τοῖς ἐχθροῖς κατὰ τῆς πόλεως συστῆσαι κατασκευὴν ἑτέραν οἵα ἐπ' Ἄγιδος ἐγένετο; ὅτε Λακεδαιμόνιοι μὲν ἅπαντες ἐξεστράτευσαν, Ἀχαιοὶ δὲ καὶ Ἠλεῖοι τῶν πραγμάτων ἐκοινώνουν, ὑπῆρχον δὲ ξένοι μύριοι, Ἀλέξανδρος δέ (ὡς οἱ * λέγοντες) ἐν Ἰνδοῖς ἦν, ἡ δὲ Ἑλλὰς ἅπασα διὰ τοὺς ἐν ἑκάστῃ τῶν πόλεων προδότας ἀχθομένη τοῖς παροῦσι πράγμασιν ἡσμένει μεταβολήν τινα τῶν κακῶν τῶν παρεστηκότων, — (35) τί οὖν; ἐν τούτοις τοῖς καιροῖς Δημοσθένης τίς ἦν, ὁ

cujus nomine urbis celerorumque Græcorum clades sunt inscriptæ, palam convictum acceptorum contra rempublicam munerum, neque quum vos fortunæ benignitas in melius provehat, atque alteram patriæ pestem urbe ejecerit, istum autem vobis occidendum tradiderit, omnibus utilitatis rationibus adversamini, sed mutatis auguriis res urbis corrigite, atque in istos duces eventus adversos convertite. (30) Ad quod enim tempus reponetis istum, quo eum vobis usui futurum existimetis? Estne vestrum aut circumstantis coronæ quisquam qui dicere possit, quæ isto vel privata vel publica negotia, ubi tractanda suscepit, non everterit? Nonne iste Aristarchi domum ingressus, initis cum eo consiliis de Nicodemi cæde, adornata illa eo quem omnes nostis modo, Aristarchum maxima cum infamia ejecit? Is igitur tali amico usus est Demosthene, ut existimet istius accessum non aliud fuisse quam malum quendam genium et ortarum calamitatum ducem atque auctorem. (31) Nonne, quum populo suadere cœpit, quod utinam nunquam factum esset (nam privata ejus mala omittam; tempus enim prolixitatem orationis non patitur), boni quidem omnino nihil reipublicæ contigit, in periculis vero et malis et ignominia tota Græcia, non tantum nostra urbs, versata est? et quum plurimæ ei, dum conciones habuit, occasiones oblatæ fuerint, omnes nobis utiles occasiones neglexit? Quibus porro temporibus bonus civis aut reipublicæ studiosus aliquid gerendum suscepisset, iis tantum abfuit ut iste populi dux, qui se mox vobis utilem fuisse dicet, actionem aliquam proferret, ut eos etiam qui aliquid quod e re vestra esset, gerebant, sua fortuna oppleverit. (32) Proficiscebatur Charidemus ad Persarum regem, quum prodesse vobis non verbis sed re ipsa cuperet, et privato suo periculo vestram et reliquorum Græcorum salutem procuraret: quum autem iste in foro obambulans verba faceret seque rerum gerendarum socium adscisceret, sic eas fortuna invertit, ut contraria eorum quæ exspectabantur evenirent. (33) Solvit hinc Ephialtes, ac oderat quidem ille istum, sed tamen actionum socium habere cogebatur: etiam hunc ademit fortuna reipublicæ. Euthydicus populi commodis inservire decreverat; huic se amicum esse Demosthenes professus est; is periit. (34) Quæ quum vos videatis et sciatis multo melius quam ego, non consideratis, non cogitatis ipsi vobiscum, de præteritis futura conjectantes, nullum istius esse usum nisi ut inimicis adjumento sit ad aliquid aliud mali contra rempublicam comparandum quale illud fuit sub Agide (ἐπ' Αἰγὸς *codd.*; *v. Diodor.* XVII, 62), quum et Lacedæmonii omnes cum exercitu exiissent et Achæi et Elei se cum iis conjunxissent, et decem millia peregrinorum militum in procinctu essent, et Alexander in India esse diceretur, et Græcia universa ob singularum urbium proditores iniquo animo rerum illarum statum patiens aliquod urgentium malorum remedium optaret: (35) quid tum? iis temporibus Demosthenes quis fuit, consulendi decer-

τοῦ συμβουλεῦσαι και γράψαι κύριος καὶ φήσων αὐτίκα δὴ μισεῖν τὰ καθεστηκότα πράγματα; ἐῶ γὰρ τοὺς ἄλλους κινδύνους. Ἔγραψάς τι περὶ τούτων τῶν κινδύνων; συνεβούλευσας; ἐπόρισας χρήματα; μικρὸν χρήσιμος ἐγένου τοῖς ὑπὲρ τῆς κοινῆς σωτηρίας πράττουσιν; οὐδ' ὁτιοῦν, ἀλλὰ περιῄεις κατασκευάζων λογοποιούς, καὶ παρ' αὑτῷ γράφων ἐπιστολήν, καὶ καταισχύνων τὴν τῆς πόλεως δόξαν, ἐκ τῶν δακτύλων ἀναψάμενος περιεπορεύετο, τρυφῶν ἐν τοῖς τῆς πόλεως κακοῖς, καὶ ἐπὶ φορείου κατακομιζόμενος τὴν εἰς Πειραιᾶ ὁδόν, καὶ τὰς τῶν πενήτων ἀπορίας ὀνειδίζων. (36) Εἶθ' οὗτος εἰς τοὺς μέλλοντας ὑμῖν καιροὺς ἔσται χρήσιμος, παραβεβηκὼς ἅπαντας τοὺς παρεληλυθότας; Τοιούτων, ὦ δέσποιν' Ἀθηνᾶ καὶ Ζεῦ σῶτερ, συμβούλων καὶ ἡγεμόνων ὤφελον τυχεῖν οἱ πολεμήσαντες τὴν πόλιν, καὶ μηδέποτε βελτιόνων.

37. Οὐκ ἀναμνήσεσθε, ὦ ἄνδρες, τὰς τῶν πρεσβυτέρων πράξεις, οἳ μεγάλων καὶ πολλῶν κινδύνων καταλαμβανόντων [τὴν πόλιν ἀξίως τῆς πατρίδος καὶ τῆς αὑτῶν ἐλευθερίας καὶ τῆς δόξης τῆς δικαίας ὑπὲρ τῶν τοῦ δημοσίου συμφερόντων ἐκινδύνευσαν, ὧν τοὺς μὲν ἀρχαίους ἐκείνους μακρὸν ἂν εἴη λέγειν, Ἀριστείδην καὶ Θεμιστοκλέα, τοὺς ὀρθώσαντας τὰ τείχη τῆς πόλεως καὶ τοὺς φόρους εἰς ἀκρόπολιν ἀνενεγκόντας παρ' ἑκόντων καὶ βουλομένων τῶν Ἑλλήνων, (38) ἀλλὰ ταυτὶ τὰ μικρὸν πρὸ τῆς ἡμετέρας ἡλικίας γεγενημένα ὑπὸ Κεφάλου τοῦ ῥήτορος καὶ Θράσωνος τοῦ Ἐρχιέως καὶ Ἠλείου [καὶ] Φορμισίου καὶ ἑτέρων ἀνδρῶν ἀγαθῶν, ὧν ἐνίων ἔτι καὶ νῦν ζῇ τὰ σώματα. (39) Τούτων γὰρ οἱ μὲν φρουρουμένης ὑπὸ Λακεδαιμονίων τῆς Καδμείας βοηθήσαντες τοῖς εἰς Θήβας κατιοῦσι τῶν φυγάδων τοῖς ἰδίοις κινδύνοις ἠλευθέρωσαν πόλιν ἀστυγείτονα καὶ πολὺν χρόνον δουλεύουσαν, οἱ δὲ πείσαντες ἐξελθεῖν ὑμῶν τοὺς προγόνους, Κεφάλου τούτου ψήφισμα γράψαντος, ὃς οὐ καταπλαγεὶς τὴν Λακεδαιμονίων δύναμιν, οὐδὲ λογισάμενος ὅτι τὸ κινδυνεύειν καὶ τὸ γράφειν ὑπὲρ τῆς πόλεως ἐπισφαλές ἐστιν, ἔγραψεν ἐξιέναι βοηθήσοντας Ἀθηναίους τοῖς κατειληφόσι τῶν φυγάδων Θήβας· καὶ ἐξελθόντων ἐκεῖσε τῶν ὑμετέρων πατέρων ὀλίγαις ἡμέραις ἐξεβλήθη ὁ τῶν Λακεδαιμονίων φρούραρχος, ἠλευθεροῦντο Θηβαῖοι, διεπέπρακτο ἡ πόλις ἡ ὑμετέρα ἄξια τῶν προγόνων. (40) Ἐκεῖνοι ἦσαν, ἐκεῖνοι, ὦ Ἀθηναῖοι, ἄξιοι σύμβουλοι καὶ ἡγεμόνες ὑμῶν καὶ τοῦ δήμου, μὰ Δί' οὐ τὰ τοιαῦτα κινάδη, οἳ πεποιήκασι μὲν οὐδὲν οὐδὲ πράξουσιν ἀγαθὸν ὑπὲρ τῆς πόλεως, τὴν δὲ αὑτῶν ἀσφάλειαν τηροῦντες καὶ πάντοθεν ἀργυριζόμενοι καὶ πεποιηκότες τὴν πόλιν ἀδοξοτέραν ἑαυτῶν, καὶ νῦν εἰλημμένοι δῶρα καθ' ὑμῶν εἰληφότες, παρακρούονται ὑμᾶς, καὶ ἀξιοῦσι τοιοῦτοι γεγενημένοι περὶ τῆς ἑαυτῶν πλεονεξίας * παραγγέλλειν· οὓς χρῆν τεθνάναι κατὰ τὸ ἑαυτῶν ψήφισμα πάλαι, τοιαῦτα διαπεπραγμένους.

41. Οὐκ αἰσχύνεσθε, ἄνδρες Ἀθηναῖοι, τὴν κατὰ Δημοσθένους τιμωρίαν ἐκ τῶν ἡμετέρων λόγων μόνων

nendique auctoritate præditus, qui statim dicet hunc statum esse odio dignum? nam omitto cetera discrimina. Num quid decrevisti de his discriminibus? consuluisti? pecuniam suppeditasti? ullam vel parvam operam iis navasti qui communem salutem defensuri erant? Nihil penitus, sed circumibas nugigerulos instruens, et tuopte ingenio literas confingebas; et cum reipublicæ infamia iis de digitis suspensis obambulabat, delicias faciens in publicis malis, et in lectica deferebatur via Piræensi, pauperibus inopiam opprobrans. (36) Et iste vobis ad futuras occasiones utilis erit, qui omnes superiorum temporum neglexit occasiones? Utinam, o domina Minerva et servator Juppiter, hujusmodi consultores et duces civitatis hostibus contigissent, et nunquam meliores!

37. Non in memoriam revocabitis, Athenienses, res gestas majorum, qui, quum multa magnaque pericula urbem oppressissent, e dignitate patriæ et suæ libertatis et honestæ opinionis pro publica utilitate dimicarunt? Quorum veteres illos commemorare prolixum fuerit, ut Aristidem et Themistoclem, qui mœnia civitatis erexerunt et tributa in arcem retulerunt quæ Græci sponte et volentes conferebant : (38) sed ea quæ paulum supra nostram ætatem a Cephalo oratore gesta sunt et Thrasone Erchiensi et Eleo et Phormisio atque aliis viris præstantibus, quorum etiamnum quidam in vivis sunt. (39) Nam horum alii, quum Cadmea præsidio Laconico teneretur, auxiliati exulibus Thebas revertentibus suis periculis urbem finitimam et longo jam tempore servientem liberarunt, alii persuaserunt nostris majoribus ut expeditionem susciperent, senatus consulto a Cephalo illo facto, qui non perterritus Lacedæmoniorum potentia, neque ratione habita incerti expeditionum eventus et periculosæ pro republica decernendi aleæ, jussit Athenienses suppetias ire exulibus qui Thebas occuparant : egressis igitur illuc patribus vestris intra paucos dies Laconici præsidii dux ejectus est, Thebanis libertas restituta, urbs vestra rem gessit majoribus dignam. Illi fuerunt, Athenienses, illi fuerunt digni vobis et populo senatores atque duces; non, medius fidius, istiusmodi vulpeculæ, qui quum pro utilitate reipublicæ neque egerint neque acturi sint quidquam, sed securitati suæ consulant atque undique argentum faciant, remque publicam sese ipsis reddiderint obscuriorem, nunc acceptæ contra vos pecuniæ comperti vos decipiunt, atque his rebus gestis suam avaritiam laudi ac præsidio sibi esse opportere censent (?); quos dudum occidi oportebat ex ipsorum decreto, quum talia perpetrarint.

41. Non pudet vos existimare, Athenienses, ex solis verbis nostris judicium esse de Demosthene faciendum?

ἡγούμενοι δεῖν κρίνειν; οὐκ ἴστε τοῦτον αὐτοὶ δωροδόκον ὄντα καὶ κλέπτην καὶ προδότην τῶν φίλων καὶ τῆς πόλεως ἀνάξιον καὶ αὐτὸν καὶ τὴν περὶ τοῦτον τύχην γεγενημένην; ἀπὸ ποίων ψηφισμάτων οὗτος ἢ ποίων νόμων οὐκ εἴληφεν ἀργύριον; (42) Εἰσί τινες ἐν τῷ δικαστηρίῳ τῶν ἐν τοῖς τριακοσίοις γεγενημένων, ὅθ' οὗτος ἐτίθει τὸν περὶ τῶν τριηράρχων νόμον; οὐ φράσετε τοῖς πλησίον ὅτι τρία τάλαντα λαβὼν μετέγραφε καὶ μετεσκεύαζε τὸν νόμον καθ' ἑκάστην ἐκκλησίαν, καὶ τὰ μὲν ἐπώλει ὧν εἰλήφει τὴν τιμήν, τὰ δ' ἀποδόμενος οὐκ ἐβεβαίου; (43) Εἴπατέ μοι, πρὸς Διός, ὦ ἄνδρες, προῖκα τοῦτον οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν Πρυτανείῳ σίτησιν καὶ τὴν εἰς τὴν ἀγορὰν ἀναθησομένην εἰκόνα; ἢ τὸ ποιῆσαι πολίτας ὑμᾶς Χαιρέφιλον καὶ Φείδωνα καὶ Πάμφιλον καὶ Φίλιππον καὶ πάλιν Ἐπιγένην καὶ Κόνωνα τοὺς τραπεζίτας; ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ στῆσαι Βιρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς ἐκ τοῦ Πόντου τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μέδιμνοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται, τῷ οὐδ' ὅποι καταφύγῃ αὐτίκα φήσοντι εἶναι; (44) ἢ τὸ Ταυροσθένην Ἀθηναῖον εἶναι, τοὺς μὲν αὐτοῦ πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγενημένον; ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας ἐπιβαίνειν, εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι κελεύουσιν οἷσπερ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου πάγου κατίῃ. Καὶ τοῦτον οὗτος ὁ δημοτικὸς ὑμέτερον ἔγραψε πολίτην εἶναι. (45) Περὶ τούτων οὖν μάρτυρας ὑμῖν δεῖ καλεῖν, ἢ περὶ τῶν ἄλλων ὅσους οὗτος γέγραφε προξένους εἶναι καὶ Ἀθηναίους; πρὸς τῆς Ἀθηνᾶς, οἴεσθε αὐτὸν ἀργύριον μὲν χαίρειν λαμβάνοντα, χρυσίου δ' εἴκοσι τάλαντα οὐκ ἂν λαβεῖν, ἢ κατὰ μικρὸν μὲν δωροδοκεῖν, ἀθρόον δ' οὐκ ἂν προσδέξασθαι τοσοῦτον λῆμμα; ἢ τὴν ἐξ Ἀρείου πάγου βουλὴν Δημοσθένην καὶ Δημάδην καὶ Κηφισοφῶντα ζητήσασαν ἓξ μῆνας ἀδίκως εἰς ὑμᾶς πεποιῆσθαι τὰς ἀποφάσεις;

46. Πολλοί, ὦ ἄνδρες, πολλοὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων, ὅπερ καὶ πρότερον εἶπον, θεωροῦσιν ὑμᾶς πῶς τοῦτον δικάσετε τὸν ἀγῶνα, καὶ πότερον εἰσαγωγίμους καὶ τὰς τῶν ἄλλων δωροδοκίας ποιήσετε, ἢ ἀνέδην ἐξέσται δῶρα λαμβάνειν καθ' ὑμῶν, καὶ τὰ πρότερον δοκοῦντα πιστὰ καὶ βέβαια εἶναι νῦν ἄπιστα διὰ τὴν Δημοσθένους κρίσιν γενήσεται, ὃν ἐκ τῶν ἄλλων προσῆκεν ἀπολωλέναι τῶν πεπολιτευμένων αὐτῷ, ὃς ἁπάσαις ταῖς ἀραῖς ταῖς ἐν τῇ πόλει γινομέναις ἔνοχος καθέστηκεν, (47) ἐπιωρκηκὼς μὲν τὰς σεμνὰς θεὰς ἐν Ἀρείῳ πάγῳ καὶ τοὺς ἄλλους θεοὺς οὓς ἐκεῖ διόμνυσθαι νόμιμόν ἐστι, κατάρατος δὲ καθ' ἑκάστην ἐκκλησίαν γινόμενος, ἐξεληλεγμένος δῶρα κατὰ τῆς πόλεως εἰληφώς, ἐξηπατηκὼς δὲ καὶ τὸν δῆμον καὶ τὴν βουλὴν παρὰ τὴν ἀράν, καὶ ἕτερα μὲν λέγων ἕτερα δὲ φρονῶν, ἰδίᾳ δὲ συμβεβουλευκὼς Ἀριστάρχῳ δεινὰς καὶ παρανόμους συμβουλάς· ἀνθ' ὧν (εἴ περ ἔστι που δικαία τιμωρία κατὰ τῶν ἐπιόρκων καὶ πο-

Non scitis ipsi eum esse captatorem munerum et peculatorem et amicorum proditorem, et urbe indignum tum ipsum tum fortunam ejus exstitisse? De quibus iste decretis, de quibus legibus, nummos non accepit? (42) Sunt quidam in prætorio qui in trecentorum numero fuerant, quum hic legem ferret trierarchicam? Non dicetis assessoribus vestris ut tribus talentis acceptis eam transcripserit et reconcinnarit singulis concionibus, atque alia vendiderit accepto pretio, aliorum quæ vendidisset nullam dederit evictionem? (43) Dicite mihi, per Deos, num putetis eum Diphilo gratis victum in Curia decrevisse, et statuam in foro collocandam? aut vobis auctorem fuisse donandæ civitatis Charipbilo, Phidoni, Pamphilo, Philippo, atque iterum Epigeni et Cononi mensariis? aut æreæ statuæ in foro erigendæ Birisadæ Satyroque et Gorgippo Ponticis tyrannis, a quibus ei quotannis mille frumenti modii mittuntur, qui statim se nullum habere confugium dicet? (44) aut Taurosthenem fecisse Atheniensem, qui et cives suos servitute oppressit et totam Eubœam Philippo cum fratre suo Callia prodidit? quem leges agrum Atheniensium ingredi non patiuntur, aut eadem teneri pœna jubent qua eum qui, a senatu Areopagitico in exilium actus, in urbem revertitur. Et hunc popularis iste homo vestrum civem esse jussit. (45) Harum rerum num testes vobis sunt citandi, uti de ceteris quos iste hospites et Athenienses esse jussit? Nunquid, pro divum fidem, putatis eum qui argento accipiendo delectetur, auri viginti talenta repudiasse? aut minuta munuscula acceptasse, tantam pecuniæ vim esse aspernatum? aut Areopagiticum senatum post semestrem inquisitionem nomina Demosthenis et Demadis et Cephisophontis per injuriam ad vos detulisse?

46. Multi, judices, multi civium et aliorum Græcorum (ut et prius dixi) observant vos quo pacto hanc causam disceptaturi, atque utrum aliorum quoque corruptelas in judicium adducturi, an vero sine metu accipiendi munera contra vos potestatem daturi sitis, an ea quæ prius firma et rata putabantur nunc ob Demosthenis hanc causæ dictionem auctoritatem omnem sint amissura, quem ob alias administrationes suas periisse oportebat, qui caput suam omnibus exsecrationibus quæ in urbe factæ sunt obstrinxit, (47) qui Furiarum nomen ceterorumque deorum quos in Areopago obtestari moris est perjurio violavit, qui singulis concionibus diris est devotus, qui munera cepisse contra rempublicam est compertus, qui et populo et senatui verba dedit contra exsecrationem, quum alia sentiat alia dicat, qui privatim Aristarcho atrocia et contraria legibus consilia dedit, pro quibus (si qua est justa

νηρῶν, ὥσπερ ἔστι) δώσει δίκην οὗτος ἐν τῇ τήμερον ἡμέρᾳ. Ἀκούσατε, ἄνδρες δικασταί, τῆς ἀρᾶς.

ΑΡΑ.

48. Ἀλλ' ὅμως, ἄνδρες δικασταί, οὕτω Δημοσθένης τῷ ψεύδεσθαι καὶ μηδὲν ὑγιὲς λέγειν ἑτοίμως χρῆται, καὶ οὔτε αἰσχύνης οὔτε ἐλέγχου οὔτε ἀρᾶς οὐδὲν αὐτῷ μέλει, ὥστε καὶ περὶ ἐμοῦ τολμήσει λέγειν, ὡς ἀκούω, ὡς ἄρα κἀμοῦ κατέγνω πρότερον ἡ βουλή, καὶ ποιῶ πάντων ἀτοπώτατον, ὡς οὗτός φησι, πρότερον μὲν ἐναντίον τῇ τῆς βουλῆς ἀποφάσει ἀγῶνα ἀπολογούμενος ὑπὲρ ἐμαυτοῦ, νυνὶ δὲ συνηγορῶν αὐτῇ, κατηγορῶν τούτου, περὶ τῆς γεγενημένης ἀποφάσεως· πρᾶγμα κατασκευάζων οὐ γεγενημένον, ἀλλὰ ψεύδεσθαι πρὸς ὑμᾶς τολμῶν. (49) Ἵν' οὖν ἐὰν ἐπὶ τοῦτον ἴῃ τὸν λόγον, μὴ ἐπιτρέπητε αὐτῷ, ἀλλ' εἰδῆτε ἀκριβῶς ὅτι οὔτ' ἐμὲ ἀπέφηνεν ἡ βουλὴ οὔτ' ἐμέλλησεν, ἠδικήθην δὲ ὑφ' ἑνὸς ἀνθρώπου πονηροῦ καὶ δίκην δεδωκότος παρ' ὑμῖν, ἀκούσατέ μου βραχέα· ἔπειτ' ἐπὶ τοῦτον πάλιν βαδιοῦμαι.

50. Ἀνάγκη τὴν βουλήν, ὦ ἄνδρες, τὴν ἐξ Ἀρείου πάγου κατὰ δύο τρόπους ποιεῖσθαι τὰς ἀποφάσεις πάσας. Τίνας τούτους; ἤτοι αὐτὴν προελομένην καὶ ζητήσασαν, ἢ τοῦ δήμου προστάξαντος αὐτῇ. (51) Χωρὶς τούτων οὐκ ἔστιν ὅντιν' ἂν τρόπον ποιήσειεν. Εἰ μὲν τοίνυν φῄς, ὦ μιαρὸν σὺ θηρίον, τοῦ δήμου προστάξαντος ζητήσασαν τὴν βουλὴν περὶ ἐμοῦ ποιήσασθαι τὴν ἀπόφασιν, δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι γενομένης τῆς ἀποφάσεως, ὥσπερ νῦν ἀμφότερα γέγονε, καὶ ψήφισμα καθ' ὃ ἐζήτησεν ἡ βουλή, καὶ κατήγοροι χειροτονήσαντος τοῦ δήμου, παρ' ὧν νῦν οἱ δικασταὶ τἀδικήματα πυνθάνονται. Κἂν ᾖ ταῦτα ἀληθῆ, ἀποθνήσκειν ἕτοιμός εἰμι. Εἰ δ' αὐτὴν προελομένην ἀποφῆναί με φῄς, παράσχου μάρτυρας τοὺς Ἀρεοπαγίτας, ὥσπερ ἐγὼ παρέξομαι ὅτ' οὐκ ἀπεφάνθην. (52) Καταψευσάμενον μέντοι κἀμοῦ καὶ τῆς βουλῆς ὥσπερ σύ, καὶ πονηρὸν προδότην εἰσαγγελίας, καὶ ἐξελέγξας ἐν πεντακοσίοις καὶ δισχιλίοις τῶν πολιτῶν ὅτι μισθώσας αὑτὸν Τιμοκλεῖ κατ' ἐμοῦ ταῦτ' ἔπραξεν, ἐτιμωρησάμην μετὰ τῶν τότε δικασάντων. Λαβέ μοι σὺ τὴν μαρτυρίαν, ἣν καὶ πρότερος παρεσχόμην μαρτυρουμένην τοῖς δικασταῖς καὶ οὐδεὶς ἐπεσκήψατο ὡς ψευδεῖ οὔσῃ, ἣν καὶ νῦν παρέξομαι. Λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

53. Εἶτ' οὐ δεινόν, ὦ Ἀθηναῖοι, εἰ ὅτι μὲν εἷς ἀνὴρ ἔφησε Πιστίας Ἀρεοπαγίτης ὢν ἀδικεῖν με, καταψευ-
97 δόμενος κἀμοῦ καὶ τῆς βουλῆς, ἴσχυσεν ἂν τὸ ψεῦδος τῆς ἀληθείας μᾶλλον, καὶ διὰ τὴν ἀσθένειαν τὴν τότε καὶ τὴν ἐρημίαν τὴν ἐμὴν ἐπιστεύθησαν αἱ κατ' ἐμοῦ ψευδεῖς γινόμεναι κατασκευαί· ἐπειδὴ δὲ τἀληθὲς παρὰ πάσης τῆς ἐξ Ἀρείου πάγου βουλῆς ὁμολογεῖται, Δη-

in perjuros et sceleratos vindicta, sicut est) pœnas iste dabit easque hoc ipso die. Audite, judices, exsecrationem.

EXSECRATIO.

48. Demosthenes tamen ad mentiendum et absurdissima quæque dicenda ita paratus est, adeo frontem perfricuit nec demonstratæ veritatis nec exsecrationis ullius rationem habens, ut de me quoque dicere non dubitaverit, sicut audio, me quoque prius ab hoc senatu condemnatum, remque facere omnium absurdissimam, ut iste ait, qui prius contra senatus hujus indicium pro me causam dixerim, nunc vero ei patrociner, seque accusem de facto isto indicio : in quo ille rem non factam concinnat, et apud vos mentiri audet. (49) Ut igitur, ubi se ad istam orationem converterit, non patiamini, sed certo sciatis senatum nomen meum non detulisse neque delaturum fuisse, sed ab uno homine improbo et apud vos pœna affecto injuriam mihi esse factam, paucis me audite : post iterum istum aggrediar.

50. Necesse habet senatus Areopagiticus duobus indicia omnia referre modis. Quibus istis? vel suopte consilio facta inquisitione vel ex mandato populi. Præter hos nullus alius est. (51) Quod si tu, nefaria bellua, dicis, populo mandante senatum inquisivisse ac detulisse nomen meum, ostendito plebiscitum, et qui mei fuerint accusatores delatione facta, quemadmodum nunc utrumque factum est, tum decretum quo inquisivit senatus, tum accusatores delecti a populo, e quibus nunc judices maleficia audiunt. Quæ si vera fuerint, mori non recuso. Sin senatum ipsum suopte consilio me detulisse dicis, testes producito ipsos Areopagitas, quemadmodum ego eos producam ut constet me non esse delatum. (52) Eum autem hominem atque improbum proditorem, qui per mendacium, ut tu quoque, et me et senatum violavit, læsæ majestatis reum feci, et apud quingentos et bis mille cives convici eum opera sua Timocli contra me locata id fecisse, atque ultus sum ope illius temporis judicum. Cape tu mihi testimonium, quod prius etiam in judicio quum causa ageretur exhibui judicibus, neque id quisquam criminatus est tanquam falsum; id ergo nunc quoque proferam. Recita testimonium.

TESTIMONIUM.

53. Num vero grave non est, Athenienses, si, eo quod unus vir Pistias ex Areopagitarum numero me perperam egisse dixit, quum et contra me et contra senatum mentiretur, mendacium veritatem superasset, atque ob imbecillitatem eo tempore et solitudinem meam falsæ illæ contra me machinationes valuissent : nunc, quum rei veritas apud omnes Areopagitas in confesso sit, et constet

μοσθένην εἰληφέναι εἴκοσι τάλαντα χρυσίου καθ' ὑμῶν καὶ ταῦτα πεποιηκότα ἀδικεῖν, καὶ ὁ δημαγωγὸς ὑμῖν, ἐν ᾧ τὰς ἐλπίδας ἔχουσί τινες, ἐπ' αὐτοφώρῳ χρήματα λαμβάνων εἴληπται, (54) νῦν τὰ νόμιμα τἀκεῖθεν καὶ τὰ δίκαια καὶ τἀληθῆ ἀσθενέστερα γενήσεται τῶν Δημοσθένους λόγων, καὶ ἰσχύσει μᾶλλον τῆς ἀληθείας ἡ παρὰ τούτου ῥηθησομένη κατὰ τοῦ συνεδρίου διαβολή, ὡς ἄρα πολλοὺς ἡ βουλὴ ἀποπέφαγκεν ἀδικεῖν τὸν δῆμον, οἳ ἀποπεφεύγασιν εἰσελθόντες εἰς τὸ δικαστήριον, καὶ ἡ βουλὴ ἐπ' ἐνίων τὸ πέμπτον μέρος οὐ μετείληφε τῶν ψήφων; Τοῦτο δὲ ὃν τρόπον γίνεται, ῥᾳδίως ἅπαντες μαθήσεσθε. (55) Ἡ βουλή, ὦ ἄνδρες, ζητεῖ τὰ προσταχθέντα ὑφ' ὑμῶν καὶ τὰ γεγενημένα παρ' αὐτοῖς ἀδικήματα οὐχ ὡς ὑμεῖς (καί μοι μὴ ὀργισθῆτε) δικάζειν ἐνίοτε εἴθισθε, τῇ συγγνώμῃ πλέον ἢ τῷ δικαίῳ ἀπονέμοντες, ἀλλ' ἁπλῶς τὸν ἔνοχον ὄντα τοῖς ζητουμένοις καὶ τὸν ὁποιονοῦν ἠδικηκότα κατὰ τὰ πάτρια, νομίζουσα τὸν ἐν τοῖς μικροῖς συνεθιζόμενον ἀδικεῖν, τοῦτον τὰ μεγάλα τῶν ἀδικημάτων εὐχερέστερον προσδέξεσθαι. (56) Διόπερ τὸν παρ' αὑτῶν ἀποστερήσαντα τὸ ναῦλον τὸν πορθμέα ζημιώσασα πρὸς ὑμᾶς ἀπέφηνε· πάλιν τὸν τὴν πεντεδραχμίαν ἐπὶ τῷ τοῦ μὴ παρόντος ὀνόματι λαβεῖν ἀξιώσαντα, καὶ τοῦτον ὑμῖν ἀπέφηνε, καὶ τὸν τὴν μερίδα τὴν ἐξ Ἀρείου πάγου τολμήσαντα ἀποδόσθαι παρὰ τὰ νόμιμα τὸν αὐτὸν τρόπον ζημιώσασα ἐξέβαλε. (57) Τούτους ὑμεῖς κρίναντες ἀφήκατε οὐ τῆς ἐξ Ἀρείου πάγου βουλῆς καταγινώσκοντες ψεύδεσθαι, ἀλλὰ τῇ συγγνώμῃ μᾶλλον ἢ τῷ δικαίῳ προσθέμενοι, καὶ τὴν τιμωρίαν μείζω νομίζοντες εἶναι τῆς ὑπὸ τῶν κρινομένων γεγενημένης ἁμαρτίας. Ἦ που ἄρα ἡ βουλή, Δημόσθενες, τὰ ψευδῆ ἀπέφηνεν; οὐ δήπου. Τούτους μέντοι, ὦ ἄνδρες, καὶ τοιούτους ἑτέρους ἀδικεῖν παρ' ἑαυτῆς ἀποφηνάσης τῆς βουλῆς ὑμεῖς ἀφήκατε. (58) Πολύευκτον δὲ τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλήν, εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. Κατηγόρους εἵλεσθε κατὰ τοὺς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς, ὁμολογοῦντος Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὐτοῦ μητέρα τοῦτον. Οὐδὲν οὖν ἄτοπον οὐδὲ δεινὸν ἐφαίνετο ποιεῖν ὑμῖν τῷ τῆς μητρὸς ἀνδρὶ διαλεγόμενος ἠτυχηκότι καὶ συνευπορῶν, καθ' ὅσον δυνατὸς ἦν, ἀπεστερημένῳ τῆς πατρίδος. (59) Αὕτη, Δημόσθενες, τῆς βουλῆς ἡ ἀπόφασις οὐκ ἐξηλέγχθη ψευδὴς οὖσα, ἀληθινῆς δὲ αὐτῆς οὔσης ἔδοξε τοῖς δικασταῖς ἀφιέναι τὸν Πολύευκτον· τὸ μὲν γὰρ ἀληθὲς τῇ βουλῇ προσετάχθη ζητεῖν, τὸ δὲ συγγνώμης ἄξιον, φημί, τὸ δικαστήριον ἔκρινε. Διὰ τοῦτο οὐ πιστευτέον τῇ βουλῇ περὶ τῶν γενομένων ἀποφάσεων, ἐπειδὴ σὲ καὶ τοὺς μετὰ σοῦ τὸ χρυσίον ἔχοντας ἀποπέφαγκε; δεινὸν μέντ' ἂν εἴη. (60) Δεῖξον γὰρ τοῖς δικασταῖς σύ, Δημόσθενες, νυνὶ ὡς τούτων τι τῶν ἡμαρτηκότων ὅμοιόν ἐστι τοῖς σοῖς ἀδικήμασι,

Demosthenem viginti auri talenta in fraudem vestram accepisse eoque facto deliquisse, et istum populi ducem, in quo quidam spem collocatam habent, evidenter comprehensum sit corrumpi largitionibus, (54) instituta illius concilii et veritas eloquentiæ Demosthenis cedent, et calumnia quam contra senatum illum Demosthenes afferet veritate plus valebit? Dicet enim senatum detulisse multos ut in populum injurios, qui in judicio sint absoluti, ac senatum in quibusdam quintam suffragiorum partem non tulisse. Hoc vero quo pacto fiat, facile omnes cognoscetis. (55) Senatus inquirit ea quæ mandata sunt a vobis et apud se commissa facinora, non ut vos (neque vero mihi irascamini) dijudicare interdum soletis, misericordiæ potius quam justitiæ rationem habentes, sed simpliciter eum defert qui inquisitione tenetur et quomodocunque patria instituta violavit, existimans fore ut is qui parvis in rebus delinquere assueverit facile ad majora facinora impellatur. (56) Eaque de causa collegam suum, qui portitorem naulo fraudarat, mulctatum apud vos detulit; rursus eum etiam qui quinque drachmas nomine absentis postularat, apud vos detulit; eum item qui portionem Areopagiticam contra majorum morem vendere non dubitarat, eodem modo mulctatum ejecit. (57) Eos vos causa cognita absolvistis, non quo mendacii senatum argueretis, sed quia humanitatis potius quam summi juris rationem ducebatis, quodque supplicium admisso a reis facinore gravius putabatis. Numquid ergo, Demosthenes, falsum indicium fecit senatus? Non utique. Hos igitur et alios similes ut injurios a senatu delatos vos absolvistis. (58) Polyeuctum porro Cydantidam, quum populus inquirere senatum jussisset, utrum Megara se ad exsules conferret, atque re explorata deferre apud vos, indicavit rem ita se habere. Accusatores delegistis ex legibus, in judicium venit, vos absolvistis, quamvis confiteretur Polyeuctus se itare Megara ad Nicophanem, cui mater sua nupta esset. Nihil igitur vobis absurdum aut grave committere visus est, si cum matris suæ marito colloqueretur calamitate conflictato, et patria privatum pro sua virili parte sublevaret. (59) Hoc, Demosthenes, senatus indicium non est falsitatis convictum, sed quum verum esset, tamen judicibus placuit absolvere Polyeuctum; nam senatui quidem mandatum fuerat exquirere verum, id vero judices venia dignum esse censuerunt. Propterea igitur senatui de factis judiciis non est credendum, posteaquam te et gregales tuos aurum habere indicavit? Iniquum profecto fuerit. (60) Ostendito enim tu, Demosthenes, in hac causa eorum qui deliquerunt facinus aliquod tuis esse simile injuriis aut venia dignum esse

καὶ ὡς τὸ δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος συγγνώμης ἐστὶν ἄξιον, ὥστε ἀποφύγοις ἂν παρὰ τούτοις εἰκότως. Ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφείλειν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παράδειγμα γίνηται τοῖς ἄλλοις, ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων, ἵνα μὴ λυσιτελὲς ᾖ τοῖς τοῦτο τολμῶσι ποιεῖν.

98 61. Ἢ τοῦτο μὲν οὐκ ἐπιχειρήσεις λέγειν, ὅτι δὲ τῶν πρότερον ἀποφανθέντων ὑπὸ τῆς βουλῆς τοῖς μὲν ἄλλοις ὡμολογηκέναι συμβέβηκεν ἀξίαν εἶναι τὴν τῆς βουλῆς ζήτησιν, σοὶ δὲ μόνῳ τὰ περὶ αὐτῆς ἠναντιῶσθαι; Ἀλλὰ μόνος σὺ τῶν πώποτε ἀποπεφασμένων ἠξίωσας ἑκὼν σαυτῷ τούτους κριτὰς καὶ ζητητὰς γενέσθαι, καὶ ἔγραψας κατὰ σαυτοῦ τὸ ψήφισμα, καὶ τὸν δῆμον ἐποιήσω μάρτυρα τῶν ὡμολογημένων, ὁρισάμενος σεαυτῷ ζημίαν εἶναι θάνατον, ἐὰν ἀποφήνῃ ἡ βουλὴ τῶν χρημάτων εἰληφότα τι τῶν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου κομισθέντων. (62) Ἀλλὰ μὴν πρότερον ἔγραψας σύ, ὦ Δημόσθενες, κατὰ πάντων τούτων καὶ τῶν ἄλλων Ἀθηναίων κυρίαν εἶναι τὴν ἐξ Ἀρείου πάγου βουλὴν κολάσαι τὸν παρὰ τοὺς νόμους πλημμελοῦντα, χρωμένην τοῖς πατρίοις νόμοις· καὶ παρέδωκας σὺ καὶ ἐνεχείρισας τὴν πόλιν ἅπασαν ταύτῃ, ἣν αὐτίκα φήσεις ὀλιγαρχικὴν εἶναι· καὶ τεθνᾶσι κατὰ τὸ σὸν ψήφισμα δύο τῶν πολιτῶν, πατὴρ καὶ υἱός, παραδοθέντες τῷ ἐπὶ τῷ ὀρύγματι· (63) ἐδέθη τῶν ἀφ' Ἁρμοδίου γεγονότων εἷς κατὰ τὸ σὸν πρόσταγμα· ἐστρέβλωσαν Ἀντιφῶντα καὶ ἀπέκτειναν οὗτοι τῇ τῆς βουλῆς ἀποφάσει πεισθέντες· ἐξέβαλες σὺ Ἄρχινον ἐκ τῆς πόλεως ἐπὶ προδοσίᾳ κατὰ τὰς τῆς βουλῆς ἀποφάσεις καὶ τιμωρίας. Κατὰ δὲ σαυτοῦ καὶ ταῦτα γράψας αὐτὸς τὸ ψήφισμα ἀκυροῖς; καὶ ποῦ ταῦτα δίκαια ἢ νόμιμά ἐστιν;

64. Μαρτύρομαι τὰς σεμνὰς θεάς, ἄνδρες Ἀθηναῖοι, καὶ τὸν τόπον ὃν ἐκεῖναι κατέχουσι, καὶ τοὺς ἥρωας τοὺς ἐγχωρίους, καὶ τὴν Ἀθηνᾶν τὴν Πολιάδα, καὶ τοὺς ἄλλους θεοὺς οἳ τὴν χώραν καὶ τὴν πόλιν ἡμῶν εἰλήχασιν, ὅτι τοῦ δήμου παραδεδωκότος ὑμῖν τιμωρήσασθαι τὸν εἰληφότα τι κατὰ τῆς πατρίδος, τὸν λελυμασμένον καὶ ἐφθαρκότα τὴν τῆς πόλεως εὐδαιμονίαν, τὸν περικεχαρακωμένην παραδεδωκότα τὴν πατρίδα ταῖς αὑτοῦ συμβουλίαις, (65) ὃν οἱ μὲν ἐχθροὶ καὶ κακόνοι τῆς πόλεως ζῆν ἂν βούλοιντο, συμφορὰν ἡγούμενοι τῆς πόλεως εἶναι, ὅσοι δὲ εὖνοι τοῖς ὑμετέροις πράγμασι, καὶ μεταπεσούσης τῆς τύχης ἐλπίζουσιν ἐπὶ τὸ βέλτιον ἂν τὰ τῆς πόλεως πράγματα ἐλθεῖν, τὴν ἀξίαν δίκην δόντα τῶν πεπραγμένων ἀπολωλέναι βούλονται, καὶ ταῦτ' εὔχονται τοῖς θεοῖς, — οὓς κἀγὼ συμπαρακαλῶ σῶσαι τὴν πατρίδα, κινδυνεύουσαν ὁρῶν ὑπὲρ σωτηρίας, ὑπὲρ παίδων, ὑπὲρ γυναικῶν, ὑπὲρ δόξης, ὑπὲρ τῶν ἄλλων ἀγαθῶν ἁπάντων. (66) Τί

capere munera contra patriam, eoque te jure ab istis absolutum iri. Verum leges in aliis pecuniariæ rationis injuriis duplum rependere jubent; in eos autem qui largitionibus corrupti sunt, duas duntaxat mulctas constituerunt, vel mortem, ut hoc supplicio nummarius ille affectus aliis exemplo esset, aut decuplam accepti muneris mulctam, ut ea res iis qui ab illo facinore non abhorrerent nihil emolumenti afferret.

61. Aut hoc quidem dicere non institues, sed illud sic accidisse ut ceteri omnes qui hucusque a senatu delati essent, rectam fuisse inquisitionem confiterentur, tu vero solus auctoritatem ejus detrectares? At tu vero solus eorum omnium qui unquam delati sunt ultro postulasti hos judices et quæsitores, et ipse contra te decretum scripsisti, et populum fecisti testem pactionis tuæ, et capitale in te supplicium statuisti, si retulisset senatus te quidquam ejus pecuniæ accepisse quam Harpalus in nostram regionem attulisset. (62) Enimvero prius scripsisti tu, Demosthenes, auctoritatem habere senatum Areopagiticum contra hos et ceteros Athenienses patriis legibus puniendi ejus qui patria instituta violasset: atque etiam commisisti huic senatui et tradidisti totam civitatem, quem statim dices esse oligarchicum: atque ex senatusconsulto tuo duo cives sunt interfecti, pater et filius traditi ei qui fossæ præest; (63) ex edicto tuo unus ex Harmodiana familia in vincula est conjectus; torserunt Antiphontem et occiderunt hi, senatus indicio adducti: tu Archinum civitate ejecisti proditionis insimulatum ex senatus indicio et pœna. Contra te vero, idque quum ipse decretum scripseris, id decretum abrogas? Atqui ubi ista æqua aut usitata sunt?

64. Testabor severas deas, Athenienses, et locum quem illæ tenent, et heroes nostræ regionis et Minervam urbanam ceterosque deos qui regionem nostram et urbem sortiti sunt, (*pœnam sumite,*) quum a populo vobis traditum sit de eo pœnam capere, qui contra patriam aliquid accepit, qui violavit et corrupit urbis felicitatem, qui suis consiliis effecit ut quasi hostili vallo patria circumdaretur, (65) quem inimici et malevoli patriæ vivere vellent, exitio fore patriæ existimantes, qui vero vestris rebus consultum volunt, et mutata fortuna sperant res civitatis fore meliores, persoluto factis digno supplicio perditum cupiunt, et hoc a diis immortalibus votis exoptant, — cum quibus ego una vota facio, ut patriam conservent, quam in periculo versari video salutis, liberum, uxorum, existimationis, bonorum ceterorum omnium. (66) Quid enim dicere

γὰρ ἐροῦμεν, ὦ Ἀθηναῖοι, πρὸς τοὺς περιεστηκότας ἐξελθόντες ἐκ τοῦ δικαστηρίου, ἐὰν (ὃ μὴ γένοιτο!) παρακρουσθῆτε ὑπὸ τῆς τούτου γοητείας; τίσιν ὀφθαλμοῖς ἕκαστος ὑμῶν τὴν πατρῴαν ἑστίαν οἴκαδε ἀπελθὼν ἰδεῖν τολμήσει, ἀπολελυκότες μὲν τὸν προδότην τὸν πρῶτον εἰς τὸν ἴδιον οἶκον εἰσενεγκάμενον τὸ δεδωροδοκημένον χρυσίον, κατεγνωκότες δὲ μηδὲν ἀληθὲς μήτε ζητεῖν μήθ' εὑρίσκειν τὸ παρὰ πᾶσιν ἀνθρώποις εἶναι σεμνότατον νομιζόμενον συνέδριον; (67) Τίνας δέ, ὦ Ἀθηναῖοι (σκοπεῖτε γὰρ πρὸς ὑμᾶς αὐτούς), τίνας τὰς ἐλπίδας ἕξομεν, ἐὰν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τὸ μὲν δῶρα λαμβάνειν κατὰ τῆς πατρίδος ἀσφαλὲς εἶναι πεποιηκότες, τὸ δὲ τὴν φυλακὴν ἔχον συνέδριον τῆς πόλεως ἐν τοῖς τοιούτοις κινδύνοις ἀδόκιμον καταστήσαντες; (68) Τί δὲ ἄν (τιθῶμεν γὰρ ταῦτα), ἐὰν κατὰ τὸ ψήφισμα τὸ Δημοσθένους ἀπαιτῇ πέμψας ἡμᾶς Ἀλέξανδρος τὸ χρυσίον τὸ κομισθὲν εἰς τὴν χώραν ὑπὸ Ἁρπάλου, καὶ πρὸς τῷ γεγενῆσθαι τὴν τῆς βουλῆς ἀπόφασιν τοὺς παῖδας καταπέμψῃ πρὸς ἡμᾶς τοὺς νῦν ὡς ἑαυτὸν ἀνακεκομισμένους, καὶ τούτων ἀξιοῖ πυνθάνεσθαι τὴν ἀλήθειαν ἡμᾶς, πρὸς θεῶν, ὦ ἄνδρες, τί ἐροῦμεν; (69) Γράψεις σύ, Δημόσθενες, πολεμεῖν ἡμᾶς, ἐπειδὴ καὶ τοὺς πρότερον πολέ-
99 μους καλῶς διῴκησας; καὶ πότερόν ἐστι δικαιότερον, ἂν ταῦτα δόξῃ καὶ τοῖς ἄλλοις Ἀθηναίοις, εἰς τὸν πόλεμον ὑπάρχειν μετὰ τῶν ἄλλων καὶ τὸ παρὰ σοῦ χρυσίον, ἢ τοὺς μὲν ἄλλους ἀπὸ τῶν ἰδίων κτημάτων ἕκαστον εἰσφέρειν καὶ καταχωνεύειν τὸν ἴδιον κόσμον τῶν γυναικῶν καὶ τὰ ἐκπώματα καὶ πάντα τὰ ἐν τῇ χώρᾳ ἀναθήματα τῶν θεῶν, ὥσπερ ἔφησθα σὺ γράψειν, αὐτὸς εἰσενεγκὼν πεντήκοντα δραχμὰς ἀπὸ τῆς οἰκίας τῆς ἐν Πειραιεῖ καὶ τῆς ἐν ἄστει; Τοσοῦτον γὰρ κατὰ τὴν προτέραν εἰσφορὰν εἰσενηνοχὼς εἴκοσι τάλαντα ἔχεις. (70) Ἢ πολεμεῖν μὲν οὐ γράψεις, ἀποδιδόναι δὲ κατὰ τὸ γεγραμμένον ὑπὸ σοῦ ψήφισμα κελεύσεις Ἀλεξάνδρῳ τὸ κεκομισμένον χρυσίον; οὐκοῦν ὑπὲρ σοῦ τὸν δῆμον ἀποδιδόναι δεήσει. Καὶ ποῦ τοῦτ' ἐστὶ δίκαιον ἢ κοινὸν ἢ δημοτικόν, τοὺς μὲν ἐργαζομένους εἰσφέρειν, σὲ δὲ ἁρπάζειν; καὶ τοὺς μὲν φανερὰν κεκτῆσθαι τὴν οὐσίαν καὶ ἀπὸ ταύτης εἰσφέρειν, σὲ δὲ πλείω ἢ πεντήκοντα καὶ ἑκατὸν τάλαντα τὰ μὲν ἐκ τῶν βασιλικῶν τὰ δὲ ἐκ τῶν Ἀλεξάνδρου πραγμάτων εἰληφέναι, μηδὲν δὲ φανερὸν ἐν τῇ πόλει κεκτῆσθαι, ἀλλὰ διεσκευάσθαι πρὸς τὸν δῆμον ὡς οὐ πιστεύοντα τοῖς ἑαυτῷ πολιτευομένοις; (71) καὶ τοὺς μὲν νόμους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμενον, οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου· σὲ δὲ τὴν πατρῴαν γῆν πεπρακέναι, τοὺς δὲ οὐ γεγενημένους υἱεῖς σαυτῷ προσποιεῖσθαι παρὰ τοὺς νόμους τῶν ἐν ταῖς κρίσεσιν ἕνεκα γινομένων ὅρκων, ἐπιτάττειν δὲ τοῖς ἄλλοις στρατεύεσθαι λιπόντα αὐτὸν τὴν κοινὴν τάξιν;

mus, Athenienses, ad eos qui circumstant, egressi prætorio, si (quod absit!) istius præstigiis fueritis decepti? Quibus quisque vestrum oculis domum reversus patrios lares audebit intueri, si et proditorem qui primus in suas ædes intulit aurum ex corruptela acceptum absolveritis, et id concilium quod apud omnes mortales gravissimum habetur, nihil veri exquirere vel invenire statueritis? (67) Quam vero, Athenienses (cogitate ipsi vobiscum!), quam spem habituri sumus, si quod periculum patriam invaserit, ubi munerum contra patriam acceptationem tutam feceritis, id vero concilium cui patriæ salus in ejusmodi periculis committitur, auctoritate privaveritis? (68) Quid vero (ponamus enim hoc), si ex decreto Demosthenis missis legatis Alexander aurum ab Harpalo in nostram regionem allatum repetiverit, et præter factum jam senatus indicium juvenes illos ad nos miserit qui nunc ad eum se contulerunt, atque ex iis postularit nos audire veritatem? Quid, per deos, dicturi sumus? (69) Tu bellum scilicet decernes, Demosthenes, quandoquidem superiora quoque bella rite administrasti? Utrum porro æquius est, si idem ceteris etiam Atheniensibus visum fuerit, nos ad bellum habere præter cetera etiam id aurum quod penes te est, an alios de suis quemque possessionibus tributum conferre, et mundum muliebrem conflare, et pocula et omnia nostræ ditionis donaria, id quod te in decreto tuo positurum aiebas, quum ipse de ædibus in Piræeo atque in urbe tuis quinquaginta drachmas contuleris? Tantum enim priore exactione pependisti, quum viginti talenta haberes. (70) An vero bellum non decernes, sed ex decreto tuo allatum aurum Alexandro reddi jubebis? Ergo pro te reddere populum oportebit. Atqui ubi istud justum aut æquum aut populare est, ut ii qui opus faciunt conferant, tu rapias? ut alii manifestas opes possideant eque iis conferant, tu vero ultra centum quinquaginta talenta, partim ex Persicis, partim ex Alexandri negotiis acceperis, nihil tamen manifesti in urbe possideas, et opum tuarum ratione in populum te geras sicut vir actis suis diffidens? (71) porro quum leges et oratori et imperatori edicant, si fidem a populo haberi sibi velit, ut liberos suscipiat, ut fundum intra limites possideat, et omnibus æquis pignoribus depositis sic demum præesse populo instituat: ut tu patrios fundos vendideris, et non natos tibi liberos contra leges adoptes, propter sacramenta quæ in judiciis exiguntur, et ut alios militare jubeas, quum communes ipse ordines deserueris?

72. Ὦ Ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν εὖ τοτὲ δὲ φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας. Ἐπιβλέψατε γὰρ ἐπὶ τὴν Θηβαίων πόλιν. Ἐγένετο πόλις, ἐγένετο μεγίστη, καὶ τίνων τυχοῦσα ἡγεμόνων καὶ στρατηγῶν; (73) Ἅπαντες ἂν ὁμολογήσαιεν οἱ πρεσβύτεροι, παρ' ὧνπερ κἀγὼ τοὺς λόγους ἀκούων ἐρῶ, ὅτε Πελοπίδας, ὥς φασιν, ἡγεῖτο τοῦ ἱεροῦ λόχου καὶ Ἐπαμινώνδας ἐστρατήγει καὶ οἱ μετὰ τούτων· τότε τὴν ἐν Λεύκτροις μάχην ἐνίκησεν ἡ τῶν Θηβαίων πόλις, τότε εἰς τὴν ἀπόρθητον νομιζομένην εἶναι Λακεδαιμονίων χώραν εἰσέβαλον, κατ' ἐκείνους τοὺς χρόνους πολλὰ καὶ καλὰ διεπράξαντο ἔργα, Μεσσήνην τετρακοσιοστῷ ἔτει κατῴκισαν, Ἀρκάδας αὐτονόμους ἐποίησαν, ἔνδοξοι παρὰ πᾶσιν ἦσαν. (74) Πότε δ' αὖ τοὐναντίον ταπεινὰ καὶ τοῦ φρονήματος ἀνάξια διεπράξαντο; ὅτ' ἐδωροδόκει μὲν λαμβάνων χρήματα παρὰ Φιλίππου Τιμόλαος ὁ τούτου φίλος, ἐπὶ δὲ τοῖς ξένοις τοῖς εἰς Ἄμφισσαν συλλεγεῖσι Πρόξενος ὁ προδότης ἐγένετο, ἡγεμὼν δὲ τῆς φάλαγγος κατέστη Θεαγένης, ἄνθρωπος ἀτυχὴς καὶ δωροδόκος ὥσπερ οὗτος. Τότε διὰ τρεῖς γε ἀνθρώπους οὓς εἶπον ἅπασα ἡ πόλις μετὰ τῶν Ἑλλήνων ἁπάντων ἀπώλετο καὶ διεφθάρη. Οὐ γὰρ ψεῦδός ἐστιν ἀλλὰ καὶ λίαν ἀληθὲς τὸ τοὺς ἡγεμόνας αἰτίους ἁπάντων γίνεσθαι καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τοῖς πολίταις. (75) Θεωρήσατε δὴ πάλιν καὶ ἐπὶ τῆς ἡμετέρας πόλεως, τὸν αὐτὸν τρόπον ἐξετάσαντες. Ἡ πόλις ἡμῶν ἦν μεγάλη καὶ ἔνδοξος παρὰ τοῖς Ἕλλησι καὶ τῶν προγόνων ἀξία, μετά γε τὰς ἀρχαίας ἐκείνας πράξεις, ὅτε Κόνων, ὡς οἱ πρεσβύτεροι λέγουσιν, ἐνίκησε τὴν ἐν Κνίδῳ ναυμαχίαν, ὅτε Ἰφικράτης ἀνεῖλε τὴν Λακεδαιμονίων μόραν, ὅτε Χαβρίας ἐν Νάξῳ κατεναυμάχησε τὰς Λακεδαιμονίων τριήρεις, ὅτε Τιμόθεος τὴν ἐν Κερκύρᾳ ναυμαχίαν ἐνίκησε. (76) Τότε, ὦ Ἀθηναῖοι, τότε οἱ μὲν πρότερον ὄντες λαμπροὶ διὰ τοὺς ἡγεμόνας Λακεδαιμόνιοι καὶ ὑπὸ τοῖς ἐκείνων ἤθεσι τραφέντες ταπεινοὶ πρὸς τὴν πόλιν ἡμῶν ἧκον, δεόμενοι τῆς παρὰ τῶν προγόνων ἡμῶν σωτηρίας, ὁ δὲ καταλυθεὶς ὑπ' ἐκείνων δῆμος διὰ τοὺς τότε γενομένους παρ' ὑμῖν συμβούλους πάλιν ἡγεμὼν ἦν τῶν Ἑλλήνων, δικαίως, οἶμαι, στρατηγῶν μὲν τοιούτων τετυχηκὼς οἵων εἶπον ἀρτίως, συμβούλους δ' ἔχων Ἀρχῖνον καὶ Κέφαλον τὸν Κολλυτέα. Μία γὰρ αὕτη σωτηρία καὶ πόλεως καὶ ἔθνους ἐστί, τὸ προστατῶν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων τυχεῖν. (77) Διόπερ, ὦ Ἀθηναῖοι, δεῖ ταῦθ' ὑμᾶς ὁρῶντας καὶ λογιζομένους μὴ μὰ τὸν Δία πλείω χρόνον τῆς Δημοσθένους δωροδοκίας καὶ ἀτυχίας κοινωνεῖν, μηδ' ἐν τούτῳ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, μηδὲ οἴεσθαι ἀπορήσειν ἀνδρῶν ἀγαθῶν καὶ συμβούλων σπουδαίων, ἀλλὰ τὴν τῶν προγόνων λαβόντας ὀργὴν τὸν ἐπ' αὐτοφώρῳ κλέπτην εἰλημμένον καὶ προδότην, τὸν οὐκ ἀπεχόμενον τῶν εἰς τὴν πόλιν ἀφικνουμένων χρημάτων, τὸν εἰς τὰς δεινοτά-

72. Qua de causa putatis, Athenienses, urbes alias secundis rebus, alias adversis uti? Nihil reperietis aliud quam senatores et imperatores. Intuemini Thebanorum civitatem. Fuit urbs, fuit maxima; at quales nacta duces, quales imperatores? (73) Omnes sane fateantur seniores (e quibus et ego hæc quæ refero audivi), quum Pelopidas, ut aiunt, sacræ cohortis dux esset, et Epaminondas imperator eorumque collegæ, tum Leuctricam pugnam vicit urbs Thebanorum, tum in agrum Lacedæmoniorum, qui vastari posse non putabatur, impressionem fecerunt, illis temporibus multa egregia facinora ediderunt, Messenam quadringentesimo anno post excidium instaurarunt, Arcades in libertatem vindicarunt, apud omnes gloria floruerunt. (74) Quando rursus humiliter et non ut eorum animi magnitudinem decebat se gesserunt? Quum munera captaret ac pecuniam acciperet a Philippo Timolaus istius amicus, et peregrinis militibus adversus Amphissam conscriptis Proxenus proditor ille præesset, et dux phalangi, creatus esset Theagenes, homo infelix et corruptus ut iste. Tum per tres homines quos dixi universa civitas una cum Græcis omnibus periit atque interiit. Neque enim falsum sed nimis verum est duces causam esse civibus omnium et bonorum et adversorum. (75) Spectate idem in nostra quoque civitate, eodemque modo inquirite. Urbs nostra fuit magna et illustris apud Græcos et digna majoribus, post antiqua illa facinora, quum Conon, ut seniores noverunt, navali ad Cnidum prœlio vicisset, quum Iphicrates Lacedæmoniorum legionem cecidisset, quum Chabrias Lacedæmoniorum triremes ad Naxum superasset, quum Timotheus navali pugna Corcyræ victor exstitisset. (76) Tum, o Athenienses, tum Lacedæmonii, qui prius ob duces splendidi fuerant illorumque moribus educati, humiles ad nostram urbem venerunt, salutem a majoribus nostris expetentes, populus autem ab illis abrogatus per eos qui tum civitati nostræ consulebant, iterum dux Græcorum factus est, jure, opinor, quippe qui et tales duces esset nactus quales modo dixi, et senatores haberet Archinum et Cephalum Colyttensem. Sola enim hæc et civitatis et gentis salus est, bonos puta duces cordatosque senatores habere. (77) Quamobrem, Athenienses, hæc vos intuentes et considerantes decet non mehercule diutius Demosthenis sordes et infelicitatem perpeti, neque in eo spem habere salutis, aut putare vos penuria bonorum virorum et cordatorum senatorum laboraturos, sed sumta majorum vestrorum iracundia eo, qui evidenter compertus est peculatus et proditionis, qui pecuniis in urbem

τας ἀτυχίας ἐμβεβληκότα τὴν πόλιν, τὸν τῆς Ἑλλάδος ἀλιτήριον ἀποκτείναντας ἐξόριστον ἐκ τῆς πόλεως ποιῆσαι, καὶ μεταβαλέσθαι τὴν τῆς πόλεως τύχην ἐᾶσαι, καὶ προσδοκῆσαι τούτων γενομένων βέλτιον πράξειν.

78. Ἀκούσατε, ὦ Ἀθηναῖοι, κἀκείνου τοῦ ψηφίσματος τοῦ γραφέντος ὑπὸ Δημοσθένους, ὃ τεταραγμένης τῆς πόλεως μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην ἔγραψεν ὁ δημοτικὸς οὗτος, καὶ τῆς μαντείας τῆς ἐλθούσης ἐκ Δωδώνης παρὰ τοῦ Διὸς τοῦ Δωδωναίου· σαφῶς γὰρ ὑμῖν πάλαι προείρηκε φυλάττεσθαι τοὺς ἡγεμόνας καὶ τοὺς συμβούλους. Λέγε τὴν μαντείαν πρῶτον.

ΜΑΝΤΕΙΑ.

Λέγε δὴ τὸ καλὸν ψήφισμα τὸ τούτου.

ΨΗΦΙΣΜΑ.

79. Δημοτικός γε ὁ διατάττων ἑαυτὸν μέν, ἐπειδὴ ἀνδρεῖος καὶ εὔψυχός ἐστιν, ἐν τοῖς ὅπλοις μένειν, οὓς δ' ἂν αὐτὸς ἀποδοκιμάσῃ τῶν πολιτῶν, ἐπὶ τὰ ἔργα ἀπιέναι, καὶ ἐάν τι ἄλλο τούτῳ δόξῃ ἐπιτήδειον εἶναι, τοῦτο ποιεῖν. Λέγε τὰ λοιπά.

ΨΗΦΙΣΜΑ.

80. Ἀκούετε, ὦ ἄνδρες δικασταί. Ἀπιέναι φησὶ τὸ ψήφισμα τὰς ᾑρημένας πρεσβείας· ἐπειδὴ δ' ἤκουσε μετὰ τὴν μάχην τὴν ἐν Χαιρωνείᾳ Φίλιππον εἰς τὴν χώραν ἡμῶν μέλλειν εἰσβάλλειν, αὐτὸς ἑαυτὸν πρεσβευτὴν κατασκευάσας, ἵν' ἐκ τῆς πόλεως ἀποδραίη, συσκευασάμενος τῆς διοικήσεως ὀκτὼ τάλαντα, οὐδὲν φροντίσας τῆς τότε παρούσης ἀπορίας, ἡνίχ' οἱ ἄλλοι πάντες ἐκ τῶν ἰδίων ἐπεδίδοσαν εἰς τὴν ὑμετέραν σωτηρίαν. (81) Τοιοῦτος ὑμῖν ὁ σύμβουλος, καὶ δύο ταύτας μόνας ἐν τῷ βίῳ Δημοσθένης πεποίηται ἀποδημίας, μετὰ τὴν μάχην ὅτε ἀπεδίδρασκεν ἐκ τῆς πόλεως, καὶ νῦν εἰς Ὀλυμπίαν, ἐπεὶ Νικάνορι διὰ τῆς ἀρχιθεωρίας ἐντυχεῖν ἐβούλετο. Ἄξιόν γε τούτῳ παρακαταθέσθαι τὴν πόλιν καὶ ἐπιτρέψαι κινδυνεύειν μέλλοντας, ὃς ὅτε μὲν ἔδει μάχεσθαι μετὰ τῶν ἄλλων τοῖς πολεμίοις, λιπὼν τὴν τάξιν ᾤχετο ἀπιὼν οἴκαδε, ἐπειδὴ δὲ προσῆκεν οἴκοι κινδυνεύειν μετὰ τῶν ἄλλων, πρεσβευτὴν αὐτὸς αὑτὸν προβαλόμενος ᾤχετο ἐκ τῆς πόλεως ἀποδράς, (82) ἐπειδὴ δὲ πρεσβεύειν ἔδει περὶ τῆς εἰρήνης, οὐκ ἂν ἔφασκεν ἐκ τῆς πόλεως ἐξελθεῖν οὐδὲ τὸν ἕτερον πόδα, ἐπειδὴ δὲ τοὺς φυγάδας Ἀλέξανδρον ἔφασαν κατάγειν καὶ Νικάνωρ εἰς Ὀλυμπίαν ἧκεν, ἀρχιθεωρὸν αὑτὸν ἐπέδωκε τῇ βουλῇ. Τοιοῦτος οὗτος, ἐν μὲν ταῖς παρατάξεσιν οἰκουρός, ἐν δὲ τοῖς οἴκοι μένουσι πρεσβευτής, ἐν δὲ τοῖς πρεσβευταῖς δραπέτης ἐστίν.

Λέγε δὴ καὶ τὸ περὶ ζητήσεως τῶν χρημάτων ψήφισμα, ὃ ἔγραψε Δημοσθένης τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ αὑτοῦ τε καὶ ἡμῶν, ἵνα παρ' ἄλληλα θεωρήσαντες εἰδῆτε τὴν Δημοσθένους ἀπόνοιαν.

allatis non abstinet, qui in gravissimas calamitates urbem conjecit, occiso, Græciæ pestem urbe exterminare, ac pati fortunam urbis immutari, atque exspectare, si hæc fiant, fore ut melius cum republica agatur.

78. Audite, Athenienses, illud etiam decretum scriptum a Demosthene, quod turbata republica post Chæronensem pugnam fecit popularis iste, et oraculum quod allatum est Dodona a Dodonæo Jove: perspicue namque olim vobis prædixit, cavendos esse duces et consiliarios. Recita oraculum in primis.

ORACULUM.

Jam recita pulcrum decretum istius.

DECRETUM.

79. Popularis nimirum est qui se, nempe virum fortem et animosum, inter armatos referat, quos vero civium ipse improbarit, ad opus faciendum abire jubeat, et si quid aliud ipsi factu commodum videatur, id scribat faciendum. Recita reliqua.

DECRETUM.

80. Auditis, judices. Abire jubet decretum delectos legatos; postquam autem iste audivit post Chæronensem pugnam Philippum in agrum nostrum impressionem facturum, ipse sibi legationem decrevit, ut ex urbe aufugeret, octo talentis publicæ pecuniæ convasatis, nullaque habita ratione inopiæ tum urgentis, quum ceteri omnes de suo largirentur ad tuendam salutem vestram. (81) Talis est consiliarius iste vester, ac duas has solas peregrinationes per omnem ætatem suscepit, post pugnam, quum ex urbe aufugit, et nunc ad Olympiam, posteaquam cum Nicanore fretus festi solennitate colloqui voluit. Consultum profecto fuerit hujus fidei urbem credere et committere vos periculum adituros, qui, quando cum reliquis contra hostes pugnandum fuit, ordinibus desertis domum refugit, quando autem domi pugnandum fuit una cum ceteris, ipse suo suffragio legatus designatus excessit atque ex urbe aufugit, (82) quum porro legatio de pace obeunda esset, negavit se vel altero pede urbe excessurum, quum autem Alexander exsules revocare diceretur et Nicanor Olympiam venisset, legatum sacrificulum senatui sese obtulit. Talis iste est, in prœliis *desertor* (δραπέτης); quando domi manendum, legatus; quando legationes obeundæ, *domi custos* (οἰκουρός).

Recita etiam decretum de investigatione pecuniarum, quod retulit Demosthenes senatui Areopagitico de sese et nobis, ut iis inter se collatis videatis Demosthenis dementiam.

ΨΗΦΙΣΜΑ.

83. Ἔγραψας σὺ τοῦτο, Δημόσθενες; ἔγραψας· οὐκ ἔστιν ἀντειπεῖν. Ἐγένετο ἡ βουλὴ κυρία σοῦ προστάξαντος; ἐγένετο. Τεθνᾶσι τῶν πολιτῶν ἄνδρες; τεθνᾶσι. Κύριον ἦν τὸ σὸν ψήφισμα κατ' ἐκείνων; ἀδύνατον ἀντειπεῖν.

Λέγε δὴ πάλιν ὃ Δημοσθένης κατὰ Δημοσθένους ἔγραψε. Προσέχετε, ἄνδρες.

ΨΗΦΙΣΜΑ.

84. Ἡ βουλὴ εὕρηκε Δημοσθένην. Τί δεῖ πολ-
101 λῶν λόγων; ἀποπέφαγκεν, ὦ Ἀθηναῖοι. Τὸ μὲν τοίνυν δίκαιον ἦν ὑφ' ἑαυτοῦ κεκριμένον εὐθὺς ἀποθνήσκειν· ἐπειδὴ δ' εἰς τὰς ὑμετέρας ἥκει χεῖρας, τοὺς ὑπὲρ τοῦ δήμου συνειλεγμένους καὶ τοὺς ὀμωμοκότας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς τοῦ δήμου ψηφίσμασι, τί προήσεσθε; πρᾳήσεσθε τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν καὶ τὰ παρὰ πᾶσιν ἀνθρώποις δίκαια νομιζόμενα; (85) μή, ὦ Ἀθηναῖοι, μή· αἰσχρὸν γὰρ καὶ δεινὸν ἑτέρους μὲν ὑπὸ τῶν Δημοσθένους ψηφισμάτων, οὐδὲν ὄντας τούτου χείρους οὐδὲ τοσαῦτ' ἠδικηκότας ὅσα περ οὗτος, ἀπολωλέναι, τουτονὶ δὲ καταφρονοῦντα ὑμῶν καὶ τῶν νόμων ἀτιμώρητον περιιέναι ἐν τῇ πόλει, αὐτὸν ὑφ' ἑαυτοῦ καὶ τῶν ψηφισμάτων ὧν ἔγραψεν ἑαλωκότα. Ταὐτὸ συνέδριον, ὦ Ἀθηναῖοι, καὶ ὁ αὐτὸς τόπος, καὶ ταὐτὰ δίκαια. (86) Ὁ αὐτὸς ῥήτωρ ἐκείνοις τε αἴτιος ἐγένετο τῶν συμβάντων κακῶν καὶ αὑτῷ τῶν νῦν συμβησομένων. Ἐπέτρεψεν ὁ αὐτὸς οὗτος ἐν τῷ δήμῳ τῷ συνεδρίῳ τούτῳ κρῖναι περὶ αὑτοῦ, μάρτυρας ὑμᾶς πεποιημένος· ἔθετο συνθήκας μετὰ τοῦ δήμου, γράψας τὸ ψήφισμα καθ' ἑαυτοῦ, παρὰ τὴν μητέρα τῶν θεῶν, ἣ πάντων τῶν ἐν τοῖς γράμμασι δικαίων φύλαξ τῇ πόλει καθέστηκε. Διὸ καὶ οὐχ ὅσιον ὑμῖν ἐστι ταύτας ἀκύρους ποιεῖν, οὐδὲ τοὺς θεοὺς ὀμωμοκόσι περὶ ταύτης τῆς κρίσεως ταῖς αὐτῶν τῶν θεῶν πράξεσιν ἐναντίαν τὴν ψῆφον ἐνεγκεῖν. (87) Κρίσει Ποσειδῶν ἀποτυχὼν τῇ ὑπὲρ Ἁλιρροθίου πρὸς Ἄρη γενομένῃ ἐνέμεινεν· αὐταὶ αἱ σεμναὶ θεαὶ τῇ πρὸς Ὀρέστην ἐν τούτῳ τῷ συνεδρίῳ κρίσει γενομένῃ, καὶ τῇ τούτου ἀληθείᾳ συνοίκους ἑαυτὰς εἰς τὸν λοιπὸν χρόνον κατέστησαν. Ὑμεῖς δὲ τί ποιήσετε οἱ πάντων εἶναι φάσκοντες εὐσεβέστεροι; τὴν τοῦ συνεδρίου γνώμην ἄκυρον καταστήσετε τῇ Δημοσθένους ἐπακολουθήσαντες πονηρίᾳ; οὐκ, ἐὰν σωφρονῆτε, ὦ Ἀθηναῖοι· (88) οὐ γὰρ περὶ μικρῶν οὐδὲ τῶν τυχόντων ἐν τῇ τήμερον ἡμέρᾳ δικάζετε, ἀλλὰ περὶ σωτηρίας τῆς πόλεως ἁπάσης καὶ πρὸς τούτοις περὶ δωροδοκίας, ἔθους πονηροῦ καὶ πράγματος ἀλυσιτελοῦς ὑμῖν καὶ πάντας ἀνθρώπους ἀπολωλεκότος. Εἰ μὲν καθ' ὅσον ἐστὲ δυνατοὶ ἐκβαλεῖτε ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα θεῶν βουλομένων· εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων.

89. Ἔγραψεν αὐτὸς ἐν τῷ δήμῳ Δημοσθένης, ὡς

DECRETUM.

83. Tune istud scripsisti, Demosthenes? Scripsisti; inficias ire non potes. Data est senatui auctoritas ex edicto tuo? Data est. Perempti sunt homines cives? Perempti sunt. Ratum contra illos decretum tuum fuit? Refragari nullo modo potes.

Age denuo id recita quod Demosthenes contra Demosthenem scripsit. Animadvertite, Athenienses.

DECRETUM.

84. Senatus reum invenit Demosthenem. Quid multis verbis est opus? Detulit eum, Athenienses. Id igitur jus in se ipsum statuit ut statim occideretur. Postquam autem in vestras manus venit, qui pro populo convenistis, qui vos legibus et plebiscitis obtemperaturos jurastis, quid facietis? Negligetis deorum immortalium religionem et ea quæ a mortalibus omnibus sacrosancta habentur? (85) Absit; Athenienses, absit! turpe enim fuerit atque iniquum, quum alii per Demosthenis decreta, nihilo isto deteriores neque tot facinoribus constricti, perierint, istum, qui et vos et leges contemnit, indemnem in urbe obambulare, a semet ipso et decretis suis condemnatum. Idem est concilium, Athenienses, idem locus, eademque sunt jura. (86) Idem iste orator et illis auctor fuit malorum illorum, et eorum est quæ ipsi nunc contingent. Idem ipse pro concione huic concilio judicium de se permisit, vobis testibus adhibitis. Pactum fecit cum populo, scripto senatus consulto contra sese, idque apud Matrem deorum deposuit, quæ omnia jura in literas relata custodit reipublicæ. Quare nefas vobis erit id pactum abolere, aut, quum deorum numen in hoc judicio juraveritis, contrarium ipsis deorum actis ferre suffragium. (87) Neptunus judicio victus in causa Halirrhothii contra Martem acquievit; severæ deæ ipsæ instituto in hoc concilio contra Orestem judicio acquieverunt et ejus veritati cohabitare deinceps voluerunt. Vos autem quid agetis, qui vos omnium religiosissimos perhiberi vultis? Concilii sententiam irritam facietis, secuti Demosthenis improbitatem? Non, si sapitis, Athenienses. (88) Neque enim parvis aut vulgaribus hodie de rebus judicatis, sed de salute totius civitatis et de corruptione, prava consuetudine et re vobis perniciosa quæque mortalibus omnibus exitio fuit. Quod si, quantum potestis, urbe ejicietis atque coercebitis eos qui temere contra vos munera acceptant, incolumes erimus, diis volentibus; sin oratoribus permittetis ut vosmet ipsos vendant, per vestram incuriam urbs ab iis evertetur.

89. Ipse Demosthenes pro concione auctor fuit, quasi

δηλονότι δικαίου τοῦ πράγματος ὄντος, φυλάττειν Ἀλεξάνδρῳ τὰ εἰς τὴν Ἀττικὴν ἀφικόμενα μετὰ Ἁρπάλου χρήματα. Οὕτως οὖν, ὦ ἄριστε, εἰπέ μοι, φυλάξομεν, ἐὰν σὺ μὲν εἴκοσι τάλαντα λαβὼν ἔχῃς ἰδίᾳ, ἕτερος δὲ πεντεκαίδεκα, Δημάδης δὲ ἑξακισχιλίους χρυσοῦ στατῆρας, ἕτεροι δὲ ὅσα δή ποτε ἀποπεφασμένοι εἰσί; τέτταρα γὰρ τάλαντά ἐστι καὶ ἑξήκοντα ἤδη εὑρημένα, ὧν οἴεσθε τὴν αἰτίαν τουτοισὶν ἀναθεῖναι. (90) Καὶ πότερα κάλλιόν ἐστι, πρὸς δὲ δικαιότερον, ἅπαντ' ἐν τῷ κοινῷ φυλάττεσθαι, ἕως ἄν τι δίκαιον ὁ δῆμος βουλεύσηται, ἢ τοὺς ῥήτορας καὶ τῶν στρατηγῶν ἐνίους διηρπακότας ἔχειν; ἐγὼ μὲν γὰρ οἶμαι τὸ μὲν ἐν τῷ κοινῷ φυλάττειν παρὰ πάντων ὁμολογούμενον εἶναι δίκαιον, τὸ δὲ τούτους ἔχειν μηδέν' ἂν εἰπεῖν ὡς ἔστι καλῶς ἔχον.

91. Πολλοὺς οὗτος ἐρεῖ καὶ παντοδαποὺς λόγους, ὦ ἄνδρες, καὶ οὐδέποτε τοὺς αὐτούς. Ὁρᾷ γὰρ ὑμᾶς τὸν ἅπαντα χρόνον ἐλπίσι κεναῖς καὶ ψευδέσι λόγοις ἐξηπατημένους ὑφ' ἑαυτοῦ, καὶ μέχρι τούτου μνημονεύοντας τὰς ὑποσχέσεις μέχρις ἂν ῥηθῶσιν. Εἰ μὲν οὖν ἔτι δεῖ τὴν πόλιν τῆς Δημοσθένους πονηρίας καὶ ἀτυχίας ἀπολαύειν, ἵνα πλέον κακοδαιμονῶμεν (οὐδὲ γὰρ ἔχω τί ἄλλο εἴπω), στερκτέον εἴη τοῖς συμβαίνουσιν· (92) εἰ δ' ἔτι κηδόμεθα τῆς πατρίδος καὶ τοὺς πονηροὺς καὶ δωροδόκους μισοῦμεν καὶ μετοιωνίσασθαι τὴν τύχην καὶ μεταλλάξασθαι βουλόμεθα, οὐ προετέον ἐστὶν ὑμᾶς αὐτούς, ὦ Ἀθηναῖοι, ταῖς τοῦ
102 μιαροῦ καὶ γόητος τούτου δεήσεσιν, οὐδὲ προσδεκτέον τοὺς οἴκτους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου· ἱκανὴν γὰρ εἰλήφατε πεῖραν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων καὶ τῆς τύχης. (93) Τίς οὕτως εὔελπις ὑμῶν ἐστιν, ὦ Ἀθηναῖοι, τίς οὕτως ἀλόγιστος, τίς τῶν προγεγενημένων καὶ νῦν ἐνεστηκότων πραγμάτων ἄπειρος, ὅστις ἐλπίζει τὸν ἐκ τοσαύτης εὐδαιμονίας εἰς τοσαύτην ἀδοξίαν καταστήσαντα τὴν πόλιν δι' ἡντιναδήποτε αἰτίαν ἢ τύχην (ἐῶ γὰρ τοῦτο νῦν), ἐπειδὴ πρὸς ταῖς ἄλλαις ἀπορίαις καὶ τοῖς περιεστηκόσιν ἡμᾶς κινδύνοις καὶ ἡ τῶν ἐξ αὐτῆς τῆς πόλεως δωροδοκία προσγέγονε, καὶ περὶ αἰσχρᾶς αἰτίας κοινῇ πάντες ἀγωνιζόμεθα καὶ περὶ τοῦ μὴ δοκεῖν τὰ ἰδίᾳ παρά τισιν ὄντα χρήματα κοινῇ τὸν δῆμον ἔχειν, τηνικαῦτα συμβουλεύοντα καὶ διοικοῦντα τοῦτον σώσειν ἡμᾶς; (94) Ἐῶ γὰρ τἄλλα ὅσα μεταβαλλόμενος ἐν τοῖς πράγμασι καὶ δημηγορῶν οὐδὲν ὑγιὲς διατετέλεκε, καὶ ποτὲ μὲν γράφων καὶ ἀπαγορεύων μηδένα ἄλλον νομίζειν θεὸν ἢ τοὺς παραδεδομένους, τοτὲ δὲ λέγων ὡς οὐ δεῖ τὸν δῆμον ἀμφισβητεῖν τῶν ἐν οὐρανῷ τιμῶν Ἀλεξάνδρῳ, ὅταν δὲ μέλλῃ κριθήσεσθαι παρ' ὑμῖν, Καλλιμέδοντα εἰσαγγέλλων συνιέναι ἐν Μεγάροις τοῖς φυγάσιν ἐπὶ καταλύσει τοῦ δήμου, καὶ ταύτην τὴν εἰσαγγελίαν εὐθὺς παραχρῆμα ἀναιρούμενος, (95) ἐν δὲ τῇ ἐκκλησίᾳ ταύτῃ τῇ πρῴην γεγενημένῃ προσάγων καὶ κατασκευάζων ψευδῆ μηνυτὴν ὡς ἐπιβουλευομένων τῶν νεωρίων, καὶ περὶ τούτων γράφων μὲν οὐδέν, αἰ-

res justa esset, pecuniæ cum Harpalo in Atticam allatæ Alexandro custodiendæ. Sic ergo, dic mihi, vir optime, eam custodiemus, si tu privatim viginti talenta teneas, alius quindecim, Demades sexies mille statores aureos, alii tantum quantum ex indicio relatum est? Nam talenta sexaginta quatuor jam comperta sunt, quorum peculatuum culpam in istos conferendam censetis. (90) Utrum porro honestius est, atque etiam æquius, omnia in ærario asservari, donec populus id statuat quod æquum sit, an ut oratores et ducum quidam ea direpta teneant? Ego enim existimo constare inter omnes æquum esse ut publice custodiantur, nemini autem rectum videri ut ab istis teneantur.

91. Multa iste dicet, judices, et varia neque unquam eadem. Videt enim vos omni tempore spe vana et falsis òrationibus a se fuisse deceptos, et tantisper pollicitationum meminisse dum dicuntur. Verum si urbem adhuc Demosthenis improbitate atque infelicitate frui oportet, ut diutius iratos deos habeamus (neque enim aliud quod dicam reperio), boni consulendum erit quidquid evenerit; (92) sin patriam adhuc curamus atque improbos et largitionibus inhiantes odimus et adversæ fortunæ auguria avertere ac mutare volumus, non committendum est, Athenienses, ut vosmet ipsos nefarii istius impostoris deprecationibus dedatis, nec admittendæ sunt querelæ et fuci istius; satis enim et dicta et facta et fortunam ejus periclitati estis. (93) Et quis vestrum adeo confidens est, Athenienses, quis adeo incogitans, quis adeo rudis rerum et ante et modo gestarum, ut speret eum per quem ex tanta felicitate ad tantam infamiam urbs dejecta est, quacunque de causa aut casu (omitto enim hoc), nunc, postquam præter ceteras difficultates et urgentia nos pericula etiam ipsorum hujus urbis civium corruptio accessit, et turpi crimine omnes conflictamur, ut ne eam pecuniam quæ privatim penes quosdam est populus habere putetur, nunc istum consiliis suis et administratione nos conservaturum? (94) Nam prætereo cetera quæ inconstanter agendo et imprudenter concionando perfecit, dum alias scribit et vetat ne quem deum existimemus præter eos qui sunt nobis traditi a majoribus, alias dicit non debere populum contendere cum Alexandro de cœli honoribus; quum autem in judicium vestrum adducendum se prævidet, Callimedontem læsæ majestatis reum facit quasi is Megaris cum exsulibus colloquia habeat opprimendæ reipublicæ ergo, eamque actionem statim e vestigio tollit; (95) in concione porro nuper convocata adduxit atque instruxit falsum delatorem quasi navalibus insidiæ fierent, quum quidem ea de re nihil decerneret, sed hujus judicii causa crimina conflaret: horum enim omnium

τίας δ' ἕνεκα τοῦ παρόντος ἀγῶνος παρασκευάζων· τούτων γὰρ ἁπάντων ὑμεῖς τούτῳ μάρτυρές ἐστε. Γόης οὗτος, ἄνδρες Ἀθηναῖοι, καὶ μιαρὸς ἄνθρωπός ἐστι, καὶ οὔτε τῷ γένει τῆς πόλεως πολίτης οὔτε τοῖς πεπολιτευμένοις αὐτῷ καὶ πεπραγμένοις. (96) Ποῖαι γὰρ τριήρεις εἰσὶ κατεσκευασμέναι διὰ τοῦτον, ὥσπερ ἐπὶ Εὐβούλου τῇ πόλει; ἢ ποῖοι νεώσοικοι τούτου πολιτευομένου γεγόνασι; πότε οὗτος ἢ διὰ ψηφίσματος ἢ νόμου ἐπηνώρθωσε τὸ ἱππικόν; τίνα κατεσκεύασε δύναμιν τοιούτων καιρῶν παραγενομένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, ἢ πεζὴν ἢ ναυτικήν; τίς ἀνενήνεκται τῇ θεῷ κόσμος εἰς ἀκρόπολιν ὑπὸ τούτου; τί κατεσκεύακε Δημοσθένης οἰκοδόμημα ἐν τῷ ἐμπορίῳ τῷ ὑμετέρῳ ἢ ἐν τῷ ἄστει ἢ ἄλλοθί που τῆς χώρας; οὐδεὶς ἂν οὐδαμοῦ δείξειεν. (97) Ἔπειτα τὸν μὲν ἐν ταῖς πολεμικαῖς πράξεσιν ἄπιστον γεγενημένον, ἐν δὲ ταῖς κατὰ τὴν πόλιν οἰκονομίαις ἄχρηστον, περιεωρακότα δὲ τοὺς ἀντιπολιτευομένους ἅπαντα διαπεπραγμένους ὅσα ἐβουλήθησαν, μεταβεβλημένον δὲ αὐτὸν καὶ τὰς ὑπὲρ τοῦ δήμου πράξεις ἐγκαταλελοιπότα, τοῦτον περιποιῆσαι βούλεσθε; (98) οὔχ, ἐὰν σωφρονῆτε καὶ καλῶς καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως βουλεύησθε· ἀλλὰ δέξασθε τὴν ἀγαθὴν τύχην, ἣ τιμωρήσασθαι παρέδωκε τῶν ῥητόρων τοὺς τὴν πόλιν διὰ τὴν αὐτῶν δωροδοκίαν ταπεινὴν πεποιηκότας, καὶ φυλάξασθε (καθάπερ οἱ θεοὶ προειρήκασιν ὑμῖν ἐν ταῖς μαντείαις πολλάκις) τοὺς τοιούτους ἡγεμόνας καὶ συμβούλους. Ἀκούσατε δὲ αὐτῆς τῆς μαντείας. Λέγε τὴν μαντείαν.

ΜΑΝΤΕΙΑ.

99. Πῶς οὖν μίαν γνώμην ἕξομεν, ὦ Ἀθηναῖοι, πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προΐωνται τὰ τῆς πατρίδος συμφέροντα καὶ ὑμεῖς μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὑτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα πειθομένους τοῖς τούτων λόγοις; (100) Τί γάρ ἐστι ῥήτορος δημοτικοῦ καὶ μισοῦντος τοὺς κατὰ τῆς πόλεως λέγοντας καὶ γράφοντας; ἢ
103 τί φασι τοὺς πρὸ ἡμῶν γεγενημένους, ὦ Δημόσθενες καὶ Πολύευκτε, διατελεῖν ποιοῦντας; καὶ ταῦτα οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεστηκότος. Οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ; (101) Γέγραψαι ψήφισμα, Δημόσθενες, πολλῶν ὄντων καὶ δεινῶν παρανόμων ὧν Δημάδης γέγραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖνος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἡντινοῦν. Εἰσήγγελκας τὸν παρὰ τὸ τοῦ δήμου ψήφισμα καὶ τοὺς νόμους πολλὰ διαπεπραγμένον; οὐδεπόποτε,

vos ei testes estis. Præstigiator iste est, judices, et homo nefarius, neque natura civis neque rebus publice gestis neque ceteris actionibus suis. (96) Nam quæ triremes sunt ab isto ædificatæ civitati, ut sub Eubulo? aut quæ navalia isto rempublicam gubernante facta sunt? quando iste vel senatusconsulto vel lege ordinem equestrem emendavit? quas copias vel pedestres vel navales comparavit, quum quidem post pugnam ad Chæroneam commissam tantæ harum rerum essent opportunitates? quis ornatus Minervæ in arcem ab isto est allatus? quod ædificium Demosthenes exstruxit vel in emporio vestro vel in urbe vel alibi in regione? Nemo certe usquam ostendat. (97) Eum ergo qui bellicis in rebus fidem non servavit, qui in urbanis administrationibus nullam operam navavit, qui non obstitit quominus adversarii civitatis omnia confecerint quæ voluerunt, qui sese immutavit et populi causam deseruit, eum vos conservabitis? (98) Non, si sani eritis et recte tum vobis tum reipublicæ consuletis: amplectimini potius bonam fortunam quæ vobis ulciscendos obtulit oratores qui suis sordibus urbem humilem reddiderunt, et cavete (quemadmodum vos deorum immortalium oracula sæpe monuerunt) tales duces et consiliarios. Audite ipsum oraculum. Recita oraculum.

ORACULUM.

99. Quomodo igitur eodem animo futuri sumus, Athenienses? quomodo consentiemus omnes de reipublicæ commodis, si militum et populi duces accepta pecunia patriæ utilitatem neglexerint, et vos quidem et populus universus in periculum adducetur de solo civitatis et aris atque focis et uxoribus ac liberis, isti autem inter se reconciliati in concionibus quidem alii alios conviciis proscindent ac de industria exagitabunt, privatim autem agent eadem decipientes vos qui verbis eorum facillime creditis? (100) Quid enim est oratoris popularis et infesti iis qui rempublicam concionibus et decretis oppugnant? aut quid aiunt ætate vestra superiores, Demosthenes et Polyeucte, studio perpetuo habuisse, idque quum eo tempore nulla clades rempublicam urgeret? non se mutuo accusasse? non majestatis læsæ criminatos esse? non violatarum legum fecisse reos? Est vero horum quidquam quod feceritis vos, qui vos curare populum profitemini, qui salutem vestram in horum suffragio dicitis esse collocatam? (101) Scripsisti tu decretum, Demosthenes, quum multa atrocia et contraria legibus Demades decrevisset? impedivisti aliquid eorum quæ ille suscepta contra populum administravit? Nihil penitus. Majestatis reum fecisti eum qui contra plebiscitum et leges multa

ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα καὶ τῆς ἐν Πρυτανείῳ σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις. (102) Ἔπειτα ποῦ τῆς εὐνοίας τῆς σῆς ὁ δῆμος ἔλαβε πεῖραν, ἢ ποῦ τὴν τοῦ ῥήτορος βοήθειαν καὶ δύναμιν ἐξεταζομένην εἴδομεν; ἢ ἐνταῦθα φήσετ' εἶναι δεινοί, εἰ παρακρούσετε τούτους ἀεὶ λέγοντες ὡς οὐκ ἔστιν ἔξω τῆς πατρίδος ὑμῖν ἐξελθεῖν, οὐκ ἔστιν ἄλλη καταφυγὴ χωρὶς τῆς ἡμετέρας εὐνοίας; φανεροὺς ἐχρῆν γεγενημένους ἀντιπράττοντας καὶ λόγῳ καὶ ἔργῳ τοῖς κατὰ τοῦ δήμου γραφομένοις ψηφίσμασιν, οὕτω πείθειν τούτους λέγοντας ὡς οὐκ ἔστιν ὑμῖν οὐδεμία σωτηρία χωρὶς τῆς παρὰ τοῦ δήμου βοηθείας. (103) Ὑμεῖς δ' ἐν τοῖς ἔξω τὰς ἐλπίδας ἔχετε, ἁμιλλώμενοι ταῖς κολακείαις πρὸς τοὺς ὁμολογοῦντας ὑπὲρ Ἀλεξάνδρου πράττειν καὶ δῶρα εἰληφέναι παρὰ τῶν αὐτῶν ὧνπερ νῦν ἀποπέφαγκεν ὑμᾶς ἡ βουλή. Καὶ σὺ πάντων τῶν Ἑλλήνων ἐναντίον διειλεγμένος Νικάνορι, καὶ κεχρηματικὼς ἐν Ὀλυμπίᾳ περὶ ὧν ἐβουλήθης, ἐλεεινὸν νῦν σεαυτὸν κατασκευάζεις προδότης ὢν καὶ δωροδόκος, ὡς ἐπιμελησομένους τούτους τῆς σῆς πονηρίας, καὶ οὐ δώσων δίκην ὑπὲρ ὧν εἴληψαι πεποιηκώς, τοσούτῳ τολμηρότερον Δημάδου, ὥσθ' ὁ μὲν προειρηκὼς ἐν τῷ δήμῳ τὸν αὑτοῦ τρόπον καὶ τὴν ἀπόνοιαν, καὶ ὁμολογῶν λαμβάνειν καὶ λήψεσθαι, ὅμως οὐ τετόλμηκε τούτοις δεῖξαι τὸ πρόσωπον, οὐδ' ἐναντία τῇ τῆς βουλῆς ἀποφάσει λέγειν ἠξίωσε. (104) Καίτοι οὐχ ἔγραψεν ἐκεῖνος περὶ αὑτοῦ κυρίαν εἶναι τὴν βουλήν, οὐδὲ θάνατον ὡρίσατο, ἐὰν ἀποφανθῇ χρήματα εἰληφώς· σὺ δὲ οὕτω σφόδρα πεπίστευκας τοῖς σεαυτοῦ λόγοις καὶ καταπεφρόνηκας τῆς τούτων εὐηθείας, ὥστε πείσειν οἴει τοὺς δικαστὰς ὡς μόνου σοῦ κατέψευσται τὸ συνέδριον καὶ μόνον οὐκ εἰληφότα σὲ τὸ χρυσίον ἀποπέφαγκεν. Καὶ τίς ἂν ταῦτα πεισθείη;

105. Ὁρᾶτε, ὦ Ἀθηναῖοι, τί μέλλετε ποιεῖν. Παρειλήφατε παρὰ τοῦ δήμου τὸ πρᾶγμα τὸ γεγενημένον ὄνειδος, τιμωρίας δ' ἕνεκα τῆς κατὰ τῶν ἐνόχων ὄντων ταῖς ἀποφάσεσι Δημοσθένης εἰσάγεται πρῶτος. Κατηγορήκαμεν ἡμεῖς οὐδενὶ καταχαρισάμενοι τῶν κοινῶν δικαίων. (106) Πότερ' ἀμελήσαντες τῶν γεγενημένων ἁπάντων ἀφήσετε τὸν πρῶτον εἰσεληλυθότα πρὸς ὑμᾶς καὶ τὰ δίκαια τὰ παρὰ τῷ δήμῳ καὶ τῇ βουλῇ τῇ ἐξ Ἀρείου πάγου δόξαντ' εἶναι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις, ταῦθ' ὑμεῖς οἱ κύριοι πάντων λύσετε, καὶ τὴν πονηρίαν αὐτοὶ τὴν τούτων ἀναδέξεσθε; (107) ἢ πᾶσιν ἀνθρώποις παράδειγμα ἐξοίσετε κοινὸν ὑπὲρ τῆς πόλεως, ὅτι μισεῖτε τοὺς προδότας καὶ τοὺς χρημάτων ἕνεκα προϊεμένους τὰ τοῦ δήμου συμφέροντα; Ταῦτα γὰρ ἅπαντά ἐστιν ἐφ' ὑμῖν νῦν, καὶ πεντακόσιοι καὶ χίλιοι ὄντες τὴν ἁπάσης τῆς πόλεως σωτηρίαν ἐν ταῖς χερσὶν ἔχετε, καὶ ἡ τήμερον ἡμέρα καὶ ἡ ὑμετέρα ψῆφος πολλὴν ἀσφάλειαν τῇ πόλει καταστήσει τὰ δίκαια ὑμῶν ἐθελόντων κρίνειν, ἢ μοχθηρὰς ἐλπίδας ποιήσετε πάντας ἔχειν τοιαῦθ' ὑμῶν ἔθη καθιστάντων.

perpetravit? Nunquam prorsus; sed æream ei statuam in foro erigi passus es et pari honore victus in curia cum Harmodii et Aristogitonis posteris frui. (102) Deinde ubi populus benevolentiæ tuæ periculum fecit, et ubi oratoris auxilium et vim declaratam vidimus? An ibi vos disertos esse dicetis, ubi hos deceperitis, quum subinde dicatis non licere vobis egredi patria, non vobis ullum esse confugium nisi ad horum benevolentiam? Oportebat vos aperte dictis et factis adversatos decretis contra populum scriptis, sic demum postulare vobis fidem haberi ab his, quum dicitis vobis nullam salutis spem esse reliquam extra populi auxilium. (103) At vos in exteris spem habetis, cum contentione quadam assentationis adversus eos qui se Alexandri negotium agere confitentur, et dona ab iisdem accepisse a quibus vos quoque accepisse senatus indicavit. Atque tu quum coram omnibus Græcis cum Nicanore sis collocutus, et Olympiæ quibus de rebus voluisti responsa acceperis, nunc miserabilem te facis, homo proditor et corruptus, quasi isti rationem habituri sint tuæ improbitatis, tuque pœnas non daturus sis eorum facinorum in quibus es deprehensus, tanto Demade audacior, quod ille quum jam explicasset pro concione mores suos atque dementiam, ac profiteretur se et accipere et accepturum esse, tamen faciem iis suam ostendere non-ausus fuit, neque senatus delationi contradicendum esse putavit. (104) Quamquam ille se auctoritati senatus per decretum non commisit, neque pœnam capitis in se statuit, si ut qui pecuniam accepisset a senatu deferretur : tu vero usque adeo fretus fuisti eloquentia tua et horum bonitatem contempsisti, ut te persuasurum putares judicibus, concilium contra te solum dixisse falsum ac te solum accepti auri culpa vacuum detulisse. Et quis ista credat?

105. Videte, Athenienses, quid facturi sitis. Accepistis a populo rem, commissum istud flagitium; Demosthenes supplicii causa in eos qui delatione tenentur constituti primus in judicium adducitur. Nos accusavimus, jure publico nemini condonato. (106) Utrum neglectis iis quæ acta sunt omnibus, demittetis eum qui primus ad vos ingressus est, et quæ tum populo tum Areopagitico senatui tum omnibus hominibus æqua visa sunt, ea vos quorum omnis est auctoritas tolletis, atque ipsi improbitatem istorum in vos recipietis? (107) An vero mortalibus omnibus commune exemplum proponetis vestri in proditores odii atque in eos qui pecuniæ causa utilitatem populi neglexerunt? Hæc enim omnia nunc penes vos sunt; vos mille quingenti numero totius civitatis salutem in manibus habetis; hæc dies vestrumque suffragium aut in magna securitate rempublicam collocabit, si ita ut æquum est pronuntiare volueritis, aut efficietis ut spem omnes malam concipiant, si tales mores introduxeritis.

108. Οὐ καταπληκτέον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι,
104 οὐδὲ προετέον, ἐὰν σωφρονῆτε, τοῖς Δημοσθένους ἐλέοις τὴν κοινὴν καὶ δικαίαν ὑπὲρ τῆς πόλεως ἀπολογίαν. Οὐδεὶς γὰρ ὑμῶν ἠνάγκαζε τοῦτον τὰ μὴ προσήκοντα χρήματα λαμβάνειν καθ' ὑμῶν, πολλῷ πλείω τῶν ἱκανῶν δι' ὑμᾶς ἕτερα κεκτημένον, οὐδ' ἀπολογεῖσθαι νῦν ὑπὲρ τῶν ὡμολογημένων ἀδικημάτων, γράψαντα καθ' ἑαυτοῦ θάνατον τὴν ζημίαν· ἀλλ' ἡ ἐκ τοῦ ἄλλου βίου ἔμφυτος αἰσχροκέρδεια καὶ πονηρία ταῦτα εἰς τὴν κεφαλὴν αὐτῷ τέτραφε. (109) Μὴ οὖν ἄχθεσθε αὐτοῦ κλαίοντος καὶ ὀδυρομένου· πολὺ γὰρ ἂν δικαιότερον ἐλεήσαιτε τὴν χώραν, ἣν οὗτος καθίστησιν εἰς τοὺς κινδύνους τοιαῦτα πράττων, ἣ τοὺς ἐξ αὑτῆς γεγενημένους ὑμᾶς ἱκετεύει, παραστησαμένη τὰ ὑμέτερα τέκνα καὶ γυναῖκας, τιμωρήσασθαι τὸν προδότην καὶ σώζειν ἑαυτήν, ὑπὲρ ἧς οἱ πρόγονοι καλοὺς καὶ πολλοὺς κινδύνους ὑπομείναντες ἐλευθέραν αὐτὴν ὑμῖν παραδεδώκασιν, ἐν ᾗ πολλὰ καὶ καλὰ παραδείγματα λέλειπται τῆς τῶν τελευτησάντων ἀρετῆς. (110) Εἰς ταύτην ἀποβλέψαντας, ὦ Ἀθηναῖοι, καὶ τὰς ἐν αὐτῇ γινομένας πατρίους θυσίας καὶ τὰς τῶν προγόνων θήκας φέρειν δεῖ τοὺς εὖ φρονοῦντας τὴν ψῆφον. Καὶ ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλόμενος καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται καὶ δακρύῃ, ὑμεῖς εἰς τὸ τῆς πόλεως σῶμα ἀποβλέψαντες καὶ τὴν πρότερον δόξαν αὐτῇ ὑπάρχουσαν ἀντίθετε, πότερον ἡ πόλις ἐλεεινοτέρα διὰ τοῦτον γέγονεν ἢ διὰ τὴν πόλιν Δημοσθένης. (111) Εὑρήσετε γὰρ τοῦτον μὲν λαμπρὸν ἐξ οὗ προσελήλυθε πρὸς τὸ πολιτεύεσθαι γεγενημένον, καὶ ἀντὶ μὲν λογογράφου καὶ μισθοῦ τὰς δίκας λέγοντος ὑπὲρ Κτησίππου καὶ Φορμίωνος καὶ ἑτέρων πολλῶν πλουσιώτατον ὄντα τῶν ἐν τῇ πόλει, ἀντὶ δ' ἀγνῶτος καὶ οὐδεμίαν πατρικὴν δόξαν παρὰ τῶν προγόνων παρειληφότος ἔνδοξον γεγενημένον, τὴν δὲ πόλιν οὐκ ἀξίως ἑαυτῆς οὐδὲ τῆς τῶν προγόνων δόξης διακειμένην. Ἀφέντες οὖν τοὺς ἐλέους καὶ τοὺς φενακισμοὺς τοὺς τούτου τὴν ὁσίαν καὶ δικαίαν φέρετε ψῆφον, καὶ σκοπεῖτε τὸ τῇ πατρίδι συμφέρον, μὴ τὸ Δημοσθένει· τοῦτο γάρ ἐστι καλῶν κἀγαθῶν δικαστῶν ἔργον.

112. Καὶ ὅταν ἀναβαίνῃ τις συνηγορήσων Δημοσθένει, λογίζεσθε ὅτι οὗτος ὁ ἄνθρωπος, εἰ μὲν μὴ ἔνοχος ὢν ταῖς μελλούσαις ἀποφάσεσιν ἀναβαίνει, κακόνους ἐστὶ τῇ πολιτείᾳ, καὶ τοὺς ἐπὶ τῷ δήμῳ δῶρα λαμβάνοντας οὐ βουλόμενος δίκην δοῦναι, καὶ τὴν κοινὴν τῶν ὑμετέρων σωμάτων φυλακήν, ἐφ' ᾗ τέτακται τὸ ἐν Ἀρείῳ πάγῳ συνέδριον, καταλυθῆναι βούλεται καὶ συγκεχύσθαι πάντα τὰ ἐν τῇ πόλει δίκαια· εἰ δὲ ῥήτωρ ἢ στρατηγός, οἳ τὴν καθ' αὑτῶν προσδοκωμένην ἀπόφασιν ἄπιστον βουλόμενοι γενέσθαι συνηγοροῦσιν, οὐ προσεκτέον ὑμῖν ἐστὶ τοῖς τούτων λόγοις, εἰδότας ὅτι ἐκ πάντων τούτων γίνεται συνεργία περὶ τὸν Ἁρπάλου κατάπλουν καὶ τὴν ἄφεσιν. (113) Νομίσαντες οὖν, ὦ Ἀθηναῖοι, καθ' ὑμῶν πάντας τούτους ἀναβαίνειν καὶ κοινοὺς ἐχθροὺς εἶναι τῶν νόμων καὶ τῆς πόλεως ἀπά-

108. Non percelli debetis, Athenienses, neque commiseratione Demosthenis, si sapitis, communis et æqua urbis nostræ defensio est amittenda. Nemo enim vestrum coegit istum pecuniam alienam in vestram fraudem accipere, qui per vos pecuniæ plus satis possidet, neque causam dicere pro confessis criminibus, quum suo decreto se capitis condemnarit, sed anteactæ ejus vitæ insitæ sordes et improbitas hæc in caput ejus converterunt. (109) Nolite igitur moveri ploratu ejus et lamentationibus; multo enim æquius fuerit misereri regionis nostræ, quam iste his factis in pericula conjecit, quæ vos ex se natos obsecrat, liberos vestros et uxores adducens, ut et proditorem ulciscamini et se tueamini, pro qua majores nostri multis egregiis prœliis commissis eam vobis liberam tradiderunt, in qua multa illustria exempla relicta sunt virtutis defunctorum. (110) Hanc intuentes, Athenienses, et patria quæ in hac fiunt sacrificia et monumenta majorum cordatos judices suffragia ferre decet. Et quum Demosthenes vos decepturus et seducturus commiserationem movebit et lacrymabit, vos urbis corpus intuentes, priorem quoque ejus gloriam conferte, utrum urbs per istum facta sit miserabilior, an vero per urbem Demosthenes. (111) Reperietis enim istum, ex quo ad rempublicam accessit splendidum esse factum, et ex scriptore orationum et Ctesippi et Phormionis aliorumque multorum causidico evasisse virum in hac urbe ditissimum, et ex obscuro et nulla patria majorum gloria ornato illustrem; urbem autem aliter affectam quam pro dignitate sua et gloria majorum. Itaque repudiata misericordia et imposturis istius sanctum et justum ferte suffragium, et quid patriæ, non quid Demostheni conducat, considerate: hoc enim est bonorum judicum officium.

112. Quod si quis adscenderit Demostheni patrocinaturus, cogitate eum hominem, si non sit obnoxius futuris delationibus, male velle reipublicæ, qui nec contra populum munera acceptantes pœnas dare sinat, et communem vestrorum custodiam, quæ Areopagitico est consilio commissa abrogari velit, et confundi totius jura civitatis; sin orator vel imperator, ex iis qui exspectatum contra se indicium fide carere volunt, ei patrocinabuntur, non vobis auscultandum erit illorum orationi, sed sciendum ab omnibus istis mutuas tradi operas in Harpalo et recipiendo et dimittendo. (113) Existimantes igitur, Athenienses, contra vos istos omnes adscendere atque communes hostes esse legum et totius civitatis, ne approbetis eos, sed accusationis

σης, μὴ ἀποδέχεσθε αὐτῶν, ἀλλὰ κελεύετε ἀπολογεῖσθαι περὶ τῶν κατηγορημένων· μηδὲ τὴν αὐτοῦ τούτου μανίαν, ὃς μέγα φρονεῖ ἐπὶ τῷ δύνασθαι λέγειν· καὶ ἐπειδὰν φανερὸς ὑμῖν γένηται δωροδοκῶν, ὅτι μᾶλλον ἐξελήλεγκται φενακίζων ὑμᾶς, τιμωρήσασθε ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ἀξίως· εἰ δὲ μή, μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι πάντας τοὺς ἀποπεφασμένους καὶ τοὺς μέλλοντας ἀφέντες εἰς ὑμᾶς αὐτοὺς καὶ τὸν δῆμον τὴν τούτων δωροδοκίαν τρέψετε, καὶ ὕστερον ἐγκαλεῖτε τοῖς ἀφεῖσιν, ὅτε οὐδὲν ἔσται πλέον ὑμῖν.

114. Ἐγὼ μὲν οὖν, ὅσον εἰς τὸ μέρος τοὐμὸν τῆς κατηγορίας ἧκει, βεβοήθηκα, τἆλλα πάντα παριδὼν πλὴν τοῦ δικαίου καὶ τοῦ συμφέροντος ὑμῖν. Οὐχ ἐγκαταλέλοιπα τὴν πόλιν, οὗ χάριν προὐργιαιτέραν τῆς τοῦ δήμου χειροτονίας ἐποιησάμην. Ἀξιῶν δὲ καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχειν παραδίδωμι τὸ ὕδωρ τοῖς ἄλλοις κατηγόροις.

II. ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ.

105 Πάνθ', ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, προσδοκητέα ἐστὶ καὶ ἀκοῦσαι καὶ ἰδεῖν ἐν ταῖς γεγενημέναις ἀποφάσεσι· θαυμασιώτατον δὲ πάντων, ὡς ἐμοὶ δοκεῖ, τὸ νῦν γινόμενον. Ὁ γὰρ πονηρότατος τῶν ἐν τῇ πόλει, μᾶλλον δὲ καὶ τῶν ἄλλων ἀνθρώπων, Ἀριστογείτων διαδικασόμενος ἥκει τῇ ἐξ Ἀρείου πάγου βουλῇ περὶ ἀληθείας καὶ δικαιοσύνης, καὶ νυνὶ μείζονα κίνδυνον ἡ τὴν ἀπόφασιν πεποιημένη βουλὴ κινδυνεύει ἢ ὁ δῶρα λαμβάνων καθ' ὑμῶν καὶ τὴν ὑπὲρ τῶν δικαίων παρρησίαν ἀποδόμενος εἴκοσι μνῶν. (2) Τούτῳ μέν γε καινὸν οὐδὲν οὐδὲ δεινόν, ἐὰν ἁλῷ, συμβήσεται· καὶ γὰρ θανάτου ἄξια πολλὰ πρότερον ἕτερα διαπέπρακται, καὶ ἐν τῷ δεσμωτηρίῳ πλείων χρόνον ἢ ἔξω διατέτριφε, καὶ ὀφείλων τῷ δημοσίῳ κατὰ τῶν ἐπιτίμων γέγραφεν οὐκ ἐξὸν αὐτῷ, καὶ ἕτερα πολλὰ καὶ δεινὰ πεποίηκε, περὶ ὧν ἀκριβέστερον ὑμεῖς ἐμοῦ γιγνώσκετε· τῇ δὲ βουλῇ τὸ δόξαι ψευδῆ κατὰ Ἀριστογείτονος ἀποφαίνειν καὶ τοῦτον ἐκείνης παρ' ὑμῖν ὑποληφθῆναι δικαιότερα λέγειν τῶν αἰσχίστων καὶ δεινοτάτων ἐστίν. (3) Διόπερ, ὦ Ἀθηναῖοι, οὗτός μοι δοκεῖ, τὸν ἀγῶνα αὐτῷ ἀσφαλῆ εἶναι νομίζων, διαπειρασόμενος ἥκειν τῆς ὑμετέρας γνώμης· ἅπαντα γὰρ αὐτῷ πολλάκις τὰ δεινὰ συμβέβηκε, πλὴν τοῦ ἀποθανεῖν· τοῦτο δ', ἂν θεὸς θέλῃ καὶ ὑμεῖς σωφρονῆτε, ἐν τῇ τήμερον ἡμέρᾳ συμβήσεται. Οὐ γὰρ δή, μὰ τὸν Ἡρακλέα, βελτίω γενήσεσθαι αὐτὸν προσδοκᾶτε συγγνώμης νυνὶ τυγχάνοντα παρ' ὑμῶν, οὐδὲ τὸ λοιπὸν ἀφέξεσθαι τοῦ λαμβάνειν χρήματα καθ' ὑμῶν, ἐὰν νῦν ἀφῆτε αὐτόν. Πονηρίαν γὰρ ἀρχομένην μὲν κωλῦσαι τάχ' ἄν τις κολάζων δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγευμένην τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι λέγουσιν. (4) Εἰ μὲν οὖν ἐγγενήσεσθαι βούλεσθε δευσοποιὸν ἐν τῇ πόλει πονηρίαν, διαφυλάττειν ὑμᾶς Ἀριστογείτονα δεῖ, καὶ ἐᾶν ὅ τι ἄν τις βούληται ἐν τῇ πόλει διαπράτ-

capita diluere jubetote, neque istius ipsius insaniam, qui eloquentia sua magnopere fretus est; quem ubi constiterit vobis acceptare munera, quo magis vobis fucum fecit, eo magis eum pro dignitate vestra et urbis ulciscimini: alioqui uno suffragio unoque judicio omnibus iis qui vel delati vel deferendi sunt, absolutis, in vosmetipsos et populum corruptelam eorum transferetis, ac post eos qui absolverunt accusabitis, quum accusando nihil proficietis.

114. Ego, quantum ad meam accusationis partem attinet, opem tuli, ceteris rebus neglectis omnibus præter jus et utilitatem vestram. Reipublicæ non defui, non plus gratiæ tribui quam a populo decreto mihi muneri. Quo eodem animo ut et vos sitis peto, atque aliis accusatoribus aquam trado.

II. CONTRA ARISTOGITONEM.

Ad omnia, ut videtur, Athenienses, et audienda et videnda in hisce delationum causis parati esse debemus; omnium vero maxime mirandum, opinor, id est quod nunc fit. Adest enim vir in hac urbe, immo vero omnium mortalium scelestissimus, Aristogiton, qui judicio contendat cum senatu Areopagitico de veritate et justitia; atque majus nunc periculum delationis auctor senatus subit quam qui dona contra vos accepit et pro justis dicendi libertatem viginti minis vendidit. (2) Huic quidem, si condemnetur, neque novum aliquid neque grave accidet; etenim ultimo supplicio digna alia multa jam olim perpetravit, et in carcere plus temporis quam foris exegit, et quum ærario publico deberet, tamen, contra quam licebat ei, in cives integro jure gaudentes actiones criminales intendit, atque alia multa graviaque commisit quæ vos me accuratius nostis; senatui autem accidere ut mendacia contra Aristogitonem detulisse videatur et hic quam ille justiora dicere apud vos credi possit, id turpissimum est gravissimumque. (3) Quapropter, Athenienses, iste, certamen sibi periculo vacuum esse existimans, eo consilio adesse mihi videtur ut vestram sententiam exploret. Omnia enim sæpius ei mala acciderunt, præter capitis supplicium; hoc ipsum vero, si deus voluerit et vos sapiatis, hodierna die accidet. Haud enim, Hercule, exspectate eum, si nunc a vobis veniam nactus fuerit, meliorem futurum, et, si nunc absolvatur, deinceps cauturum esse ne pecuniam contra vos accipiat. Nam nascentem quidem improbitatem facile aliquis in eam animadvertens coerceat, inveteratam vero et quæ jam gustarit solitas pœnas, inhiberi omnino non posse asseverant. (4) Quod si igitur indelebili pravitate urbem inficere vultis, servare vos Aristogitonem oportet, et permittere quodcunque aliquis voluerit in civitate per-

τισθαι· εἰ δὲ τοὺς πονηροὺς καὶ καταράτους ἀνθρώπους μισεῖτε καὶ ἔστιν ὑμῖν ὀργὴ καὶ μνήμη τῶν πρότερον ὑπὸ τούτου πεπραγμένων, ἀποκτείνατε τοῦτον, ὃς παρ' Ἁρπάλου λαβεῖν χρήματα ἐτόλμησεν, ὃν ᾔσθεσθ' ἥκειν καταληψόμενον τὴν πόλιν ὑμῶν, καὶ τὰς προφάσεις καὶ τοὺς φεναχισμοὺς ἐκκόψατε αὐτοῦ· τούτοις γὰρ ἥκει πιστεύων πρὸς ὑμᾶς.

5. Ἆρ' ἴσθ' ὅτι τῆς Ἁρπάλου ἀφίξεως δυσχεροῦς οὔσης ἐκεῖνο συμβέβηκεν εὐτύχημα τῇ πόλει, διότι πεῖραν εἰλήφατ' ἀκριβῆ τῶν ἕνεκ' ἀργυρίου καὶ χρυσίου προϊεμένων πάντα τοῖς τῆς πόλεως ἐχθροῖς; μὴ καταρρᾳθυμήσητε, ὦ Ἀθηναῖοι, μηδ' ἀπείπητε τιμωρούμενοι τοὺς πονηρούς, ἀλλ' ἐκκαθάρατε, καθ' ὅσον δυνατόν ἐστι, τὴν δωροδοκίαν ἐκ τῆς πόλεως. Καὶ μὴ τῶν παρ' ἐμοῦ λόγων ἀκούειν ζητήσητε, φανερῶν ὑμῖν γεγενημένων τῶν ἀδικημάτων ἐκ τῶν ὑπὸ τῆς βουλῆς ἀποπεφασμένων. (6) Τί γὰρ ἀγνοεῖτε δι' ὃ δεῖσθε λόγων ἀκούειν κατὰ τοῦ νῦν κρινομένου; πότερ' ἡ τῆς βουλῆς ἀπόφασις, ἐὰν μὲν ἡμεῖς οἱ κατήγοροι δέκα ὄντες τὸ ὕδωρ ἀναλώσωμεν ἅπαν καὶ ἀναβοήσωμεν ὡς δεινόν ἐστιν ἀφεῖσθαι τοὺς εἰλημμένους ἔχοντας ἐπ' αὐτοφώρῳ δῶρα κατὰ τῆς πατρίδος, ἀληθὴς καὶ δικαία ἡ κατ' Ἀριστογείτονος ἔσται ἀπόφασις, (7) ἐὰν δ' ἕκαστος ἡμῶν, ὡς εἰδότων ὑμῶν πάντα οὐδὲν ἧττον ἡμῶν τὰ δίκαια περὶ τουτωνὶ τῶν ἀγώνων, βραχέα εἰπὼν καταβῇ, ψευδής, καὶ οὐδεὶς ταύτῃ πιστεύσει ὡς παρὰ τῶν Ἀρεοπαγιτῶν γεγενημένῃ; ἢ τὸ δῶρα λαμβάνειν ἐπὶ προδοσίᾳ τῶν τῆς πόλεως συμφερόντων οὐκ ἴσθ' ὅτι τῶν δεινοτάτων ἐστὶ καὶ τῶν πλεῖστα κακὰ τὰς πόλεις ἐργαζομένων;

8. Ἀλλ' αὐτὸς ὁ κρινόμενος, νὴ Δία, μέτριος τὸν τρόπον, καὶ προγόνων χρηστῶν, καὶ πολλὰ ὑμᾶς καὶ ἰδίᾳ καὶ δημοσίᾳ καλὰ εἰργασμένος, ὥστε διὰ τοῦτ' ἄξιόν ἐστιν αὐτοῦ φείσασθαι. Καὶ τίς ὑμῶν οὐ πολλάκις ἀκήκοεν ὅτι Κυδιμάχου μὲν τοῦ πατρὸς τοῦ Ἀριστογείτονος θανάτου καταγνωσθέντος καὶ φυγόντος ἐκ ταύτης τῆς πόλεως ὁ χρηστὸς οὗτος υἱὸς περιεῖδε τὸν αὐτοῦ πατέρα καὶ ζῶντα τῶν ἀναγκαίων σπανίζοντα καὶ τελευτήσαντα οὐ τυχόντα τῶν νομίμων, ἅπερ αὐτοῦ πολλάκις κατεμαρτυρεῖτο· (9) αὐτὸν δὲ τοῦτον, ὅτ' εἰς τὸ δεσμωτήριον τὸ πρῶτον ἀπήχθη (πολλάκις γὰρ ἴστε τοῦτο δήπου γεγενημένον), τοιαῦτα τολμήσαντα ποιεῖν αὐτοῦ, ὥστ' ἐκείνους ἀποψηφίσασθαι μήτε πῦρ ἐναύειν τούτῳ μήτε συσσιτεῖν μηδένα μήτε θυσιῶν τῶν γινομένων κοινωνεῖν. (10) Καίτοι, ὦ Ἀθηναῖοι, τίνα χρὴ τοῦτον νομίζειν ἔχειν διάνοιαν, ὃς διὰ μὲν πονηρίαν εἰς τὸ δεσμωτήριον ἐνέπεσεν, ἐκεῖ δ' ὢν παρὰ τοῖς ἐκ τῶν ἄλλων ἀνθρώπων κακούργοις ἀπηγμένοις οὕτως εἶναι πονηρὸς ἔδοξεν, ὥστε μηδ' ἐκείνοις τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις, ἀλλὰ κλέπτην (ὥς φασι) ληφθέντα τουτονὶ παρ' ἐκείνοις, εἰ ἦν ἕτερός τις τόπος ἀνοσιώτερος ἵνα ἐξῆν ἀπάγειν τοὺς ἐκ δεσμωτηρίου κλέπτοντας, εἰς ἐκεῖνον ἂν τοῦτο τὸ θηρίον ἀπαχθῆναι. Καὶ ταῦθ' ἅπερ ἀρτίως εἶπον, τίς οὐκ οἶδε

petrandum; sin improbos et scelestos homines odistis estque vobis ira et memoria eorum quæ prius hic commisit, occidite eum qui ab Harpalo, quem ad circumveniendam civitatem vestram venisse sensit, pecuniam accipere ausus est, acque excusationes ejus et ludificationes exscindite; his enim fidens ad vos accedit.

5. An nostis ex Harpali adventu quantumvis molesto hoc tamen urbi commodum accessisse quod accuratum fecistis experimentum eorum qui argenti aurique gratia omnia hostibus reipublicæ prodant? Ne ignave agatis, Athenienses; nolite delassari puniendo improbos, sed quantum ejus fieri potest, istam quæ per munera fit corruptionem ex urbe exstirpate. Nec quæ ego dicenda habeam audire cupiatis, quum aperta vobis delicta sint e delationibus senatus. (6) Quid enim ignoratis propter quod orationes contra reum hunc vobis audiendæ sint? Num, si quidem nos accusatores, decem numero, omnem clepsydræ aquam absumpserimus et exclamaverimus quam grave sit dimittere qui dona accepisse in patriæ perniciem manifesto deprehensi sint, vera et justa senatus contra Aristogitonem indicasse videbitur; (7) sin unusquisque nostrum, putans vos non minus quam nos scire quæ in his certaminibus justa sint, paucis rem absolvens descenderit, num propterea falsum erit indicium et nemo ei fidem habebit, utpote ab Areopagitis profecto? An vos fugit dona accipere ad prodenda civitatis commoda hominum esse nequissimorum eorumque qui plurimis civitates malis afficiant?

8. At noster hic reus, proh Juppiter, moderatus est moribus et probis ortus majoribus, et multa in vos tum privatim tum publice beneficia contulit, adeo ut propterea dignus sit venia. Et quis vestrum non audivit sæpius, Cydimacho, Aristogitonis patre, capitis damnato et ex hac urbe profugo, huncce ingenuum ejus filium adeo patris curam neglexisse, ut vivus ille rebus careret necessariis ac mortuus legitimis officiis privaretur (quarum quidem criminum haud semel testimoniis convictus est); (9) ipsum vero Aristogitonem, quum primo in carcerem abductus est (multoties enim hoc ei accidisse nostis), tam scelesta ibi committere ausum esse, ut ceteri decreto caverent ne quis ei vel ignem accenderet vel convivaretur vel communicaret sacra. (10) Jam vero, Athenienses, cujusnam mentis esse hominem istum censeri oportet, qui propter improbitatem in carcerem incidit, illic vero ceteris maleficis eodem deductis improbus esse visus est, ut ne ab his quidem eodem quo alii loco haberetur, sed, quum fur (ut aiunt) apud istos deprehensus esset, si quis alius exstitisset locus impurior quo eos qui in ipso carcere furantur, abducere liceret, in hunc illa bellua foret abducta. Et hæc quæ nuper dicebam, quis nescit testimoniorum fide contra Aristogitonem probata esse, scilicet eum, quum emporii cura-

καταμαρτυρηθέντα Ἀριστογείτονος, ὅτ' ἐμπορίου ἐπιμελητὴς λαχὼν ἀπεδοκιμάσθη ὑπὸ τῶν τότε δικαζόντων ἄρχειν ταύτην τὴν ἀρχήν; (11) Ἔπειτ' εἰρωνεύεσθε πρὸς ὑμᾶς αὐτούς, καὶ περὶ Ἀριστογείτονος μέλλοντες φέρειν τὴν ψῆφον ἐλεεῖτε, ὃς τὸν αὑτοῦ πατέρα κακῶς διατιθέμενον ὑπὸ λιμοῦ οὐκ ἠλέησεν; ἔπειτα παρ' ἡμῶν ἔτι λόγους ἀκούειν βούλεσθε περὶ τῆς Ἀριστογείτονος τιμήσεως, ὃν ἴστε ἀκριβῶς ὅτι δικαίως ἂν καὶ ἐκ τοῦ ἄλλου βίου καὶ ἐκ τῶν νῦν αὐτῷ πεπραγμένων τῆς ἐσχάτης τύχοι τιμωρίας; (12) Οὐκ Ἀριστογείτων ἐστίν, ὦ Ἀθηναῖοι, ὁ κατὰ τῆς ἱερείας τῆς Ἀρτέμιδος τῆς Βραυρωνίας καὶ τῶν οἰκείων αὐτῆς τοιαῦτα γράψας καὶ ψευσάμενος, ὥσθ' ὑμᾶς, ἐπειδὴ τὴν ἀλήθειαν ἐπύθεσθε παρὰ τῶν κατηγόρων, πέντε ταλάντων τιμῆσαι τούτῳ, ὅσονπερ ἦν ἐπὶ τῇ τῶν παρανόμων γραφῇ τίμημα ἐπιγεγραμμένον; οὐχ οὗτος πρὶν ἐκτῖσαι τοῦτο, συκοφαντῶν τὸν ἐντυγχάνοντα ὑμῶν καὶ λέγων καὶ γράφων ἐν τῷ δήμῳ διατετέλεκε, καὶ καταφρονῶν ἁπασῶν τῶν τιμωριῶν αἳ κατὰ τῶν ἀδικούντων ἐν τοῖς νόμοις εἰσὶ γεγραμμέναι; (13) Οὐ τὸ τελευταῖον οὗτος ἐνδειχθεὶς ὑπὸ Λυκούργου, καὶ ἐξελεγχθεὶς ὀφείλων τῷ δημοσίῳ λέγειν, οὐκ ἐξὸν αὐτῷ, καὶ παραδοθεὶς τοῖς ἕνδεκα κατὰ τοὺς νόμους, περιπατῶν ἔμπροσθεν τῶν δικαστηρίων καὶ εἰς τὴν προεδρίαν τῶν πρυτάνεων ἐκάθιζεν;

14. Εἶτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὃν οἱ νόμοι μὲν πολλάκις ὑμῖν παραδεδώκασι τιμωρήσασθαι κατεψηφισμένον ὑπὸ τῶν πολιτῶν ἐνδειχθέντα, φυλάξαι δ' οὔθ' οἱ ἕνδεκα δεδύνηνται οὔτε τὸ δεσμωτήριον, τούτῳ βουλήσεσθε συμβούλῳ χρῆσθαι; Καὶ ὁ μὲν νόμος εὐξάμενον κελεύει τὸν κήρυκα μετ' εὐφημίας πολλῆς, οὕτως ὑμῖν τὸ βουλεύεσθαι περὶ τῶν πραγμάτων παραδιδόναι· ὑμεῖς δὲ τὸν ἀνόσιον καὶ περὶ πάντας πονηρὸν καὶ μάλιστα περὶ τὸν ἑαυτοῦ πατέρα γεγενημένον, τοῦτον μεθ' ὑμῶν καὶ μετὰ τῶν ὑμετέρων οἰκείων καὶ συγγενῶν ἐάσετε πολιτεύεσθαι; (15) Καὶ Δημάδῃ μὲν καὶ Δημοσθένει οὐδεμίαν ᾤεσθε δεῖν συγγνώμην ἔχειν, ὅτι δῶρα καθ' ὑμῶν ἐξηλέγχθησαν λαμβάνοντες, ἀλλ' ἐτιμωρήσασθε, καὶ δικαίως, οἷς εἰ μὴ πάντα ἀλλὰ πολλά γε σύνιστε χρήσιμα πολιτευομένοις· τὸν δὲ κατάρατον τοῦτον, ὃς ἀγαθὸν μὲν ὑμᾶς πεποίηκεν
107 οὐδὲ πώποτε ἐξ οὗ πρὸς τὴν πολιτείαν προσελήλυθε, κακὸν δ' ὅτι δυνατός ἐστιν, ἀφήσετε; Καὶ τίς οὐκ ἂν ἐγκαλέσειεν ὑμῖν τοῖς τοῦτον δεχομένοις σύμβουλον; Ὅταν γὰρ ἄνθρωπος γνώριμος καὶ φανερὸς καὶ περιβόητον τὴν πονηρίαν παρὰ πᾶσι τοῖς πολίταις ἔχων δημηγορῇ, τότε τοὺς ἀκούοντας ὑμᾶς οἱ περιεστηκότες θαυμάζουσι, πότερον βελτίους οὐκ ἔχετε συμβούλους ἢ καὶ χαίρετε τῶν τοιούτων ἀκούοντες. (16) Χρὴ δέ, ὦ Ἀθηναῖοι, ὥσπερ οἱ πρῶτοι νομοθέται περὶ τῶν ἐν τῷ δήμῳ λεγόντων τοῖς προγόνοις ἡμῶν ἐνομοθέτησαν, οὕτω καὶ ὑμᾶς ζητεῖν ἀκούειν, ἵνα βελτίους τοὺς προσιόντας ὑμῖν ποιήσητε. Πῶς οὖν ἐκεῖνοι περὶ τούτων ἐγίνωσκον; πρῶτον μὲν καθ' ἑκάστην δημοσίᾳ ἀρὰς

tor sorte designatus esset, a judicibus reprobatum esse utpote virum qui hoc magistratu fungeretur indignum? (11) Hæc quum ita sint, dissimulatione utimini in vosmet ipsos, et de Aristogitone suffragia laturi, miseremini ejus qui patris sui fame laborantis non misertus est? Et e nobis orationes audire vultis de Aristogitonis pœna, quem optime nostis tum ob anteactam vitam tum ob recens patrata ultimum meruisse supplicium? (12) Nonne hic est Aristogiton, Athenienses, qui contra Dianæ Brauroniæ sacerdotem ejusque familiares ejusmodi actionem mendaciter instituit, ut vos, veritate ab accusatoribus comperta, quinque talentorum mulctam huic irrogaveritis, quanta litis de violatis legibus æstimatione scripta erat? Nonne hic antequam mulctam hanc persolveret, e vobis obvium quemque dicendo scribendoque calumniabatur, omnesque quæ contra injurios in legibus scriptæ sunt pœnas flocci pendebat? (13) Nonne postremo hic a Lycurgo delatus et convictus se, dum ærario adhuc deberet, concionari (quod non licebat), et undecimviris ex lege traditus ante judicia ambulabat et in locum prytanibus reservatum considebat?

14. Deinde, Athenienses, quem actione a civibus intenta condemnatum sæpius leges vobis puniendum tradiderunt, quemque neque undecimviri neque carcer custodire potuerunt, hoc vos utemini consiliario? Et lex quidem jubet præconem nonnisi post preces summa cum sanctimonia factas vobis deliberandi de rebus negotium tradere: vos autem impium istum, qui quum in ceteros omnes tum vero in patrem improbitatem suam expromsit, cum vobis et familiaribus vestris cognatisque res publicas tractare patiemini? (15) Et Demadi quidem ac Demostheni nullam censuistis dandam esse veniam, utpote dona contra vos accepisse convictis, sed punivistis, idque jure merito, viros istos quos, si non omnia, multa tamen in utilitatem vestram administrasse novistis: hunc vero exsecrabilem, qui boni quidem nihil unquam, ex quo ad rempublicam accessit, in vos contulit, malum autem fecit quantum potuit, absolvetis? Et quis vos non accusaverit, si hunc admittatis consiliarium? Quando enim vir manifestæ et notæ ac pervulgatæ apud omnes cives improbitatis concionatur, vos qui aures huic præbeatis miratur circumstans corona et mirabunda quærit utrum meliores non habeatis consiliarios an tales audiendo vel delectemini. (16) Oportet vero, Athenienses, quemadmodum primi legislatores de iis qui coram populo dicerent majoribus nostris præscripserunt, sic vos quoque ut audiatis dare operam, quo eos qui ad vos accedant faciatis meliores. Quo igitur modo illi de his sentiebant? Primum in singulis

ποιούμενοι κατὰ τῶν πονηρῶν, εἴ τις δῶρα λαμβάνων, μετὰ ταῦτα λέγει καὶ γινώσκει περὶ τῶν πραγμάτων, ἐξώλη τοῦτον εἶναι· ὧν οὗτος νῦν ἐστιν Ἀριστογείτων· (17) ἔπειτ' ἐν τοῖς νόμοις δώρων γραφὰς ποιήσαντες, καὶ κατὰ μόνου τούτου τῶν ἀδικημάτων δεκαπλασίαν ἐπιτιθέντες τοῦ λήμματος τὴν ἔκτισιν, ἡγούμενοι τὸν τιμὴν λαμβάνοντα τῶν ἐν τῷ δήμῳ ῥηθήσεσθαι μελλόντων λόγων, τοῦτον οὐχ ὑπὲρ τῶν τοῦ δήμου βελτίστων ἀλλ' ὑπὲρ τῶν τοῖς δοῦσι συμφερόντων δημηγορεῖν· Ἀριστογείτονα τοίνυν ἡ βουλὴ ἀποπέφαγκε· πρὸς δὲ τούτοις ἀνακρίναντες τοὺς τῶν κοινῶν τι μέλλοντας διοικεῖν, τίς ἐστι τὸν ἴδιον τρόπον, εἰ γονέας εὖ ποιεῖ, εἰ τὰς στρατείας ὑπὲρ τῆς πόλεως ἐστράτευται, εἰ ἠρία πατρῷα ἔστιν, εἰ τὰ τέλη τελεῖ· ὧν οὐδὲν ἂν ἔχοι συμβεβηκὸς Ἀριστογείτων αὐτῷ δεῖξαι. (18) Ἀντὶ μὲν γὰρ τοῦ γονέας εὖ ποιεῖν κακῶς οὗτος τὸν ἑαυτοῦ πατέρα πεποίηκεν· ὅτε δ' ὑμεῖς ἐστρατεύεσθε πάντες, οὗτος ἦν ἐν τῷ δεσμωτηρίῳ· τοσοῦτον δ' ἀπολέλοιπε τοῦ πατρὸς μνῆμά τι ἔχειν, ὦ Ἀθηναῖοι, δεῖξαι, ὥστ' οὐδ' ἐν Ἐρετρίᾳ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐκεῖ τὰ νομιζόμενα ἐποίησεν αὐτῷ· τῶν δ' ἄλλων Ἀθηναίων εἰσφερόντων ἐκ τῶν ἰδίων, οὗτος οὐδὲ τῶν δημοσίων καὶ ὧν ὦφλε τὸ ἀργύριον ἅπαν ἐκτέτικεν. (19) Ἁπλῶς δ' εἰπεῖν, ἐναντία τοῖς νόμοις ἅπασι πράττων διατετέλεκε, καὶ τοῦτον μόνον ἡ ἐξ Ἀρείου πάγου βουλὴ τοῖς ἐζητηκόσι καὶ εἰδόσιν ἀποπέφαγκεν· οὐ γὰρ παρ' ἐκείνης ὑμεῖς πυθόμενοι τοῦτον ἴστε πονηρὸν καὶ ἄδικον ὄντα, ἀλλ' ἕκαστος ὑμῶν ἀκριβῶς οἶδε τὴν τούτου πονηρίαν. Ὥστε τὸ πολλάκις λεγόμενον ἀληθὲς εἰπεῖν ἐστιν, ὅτι περὶ μὲν τούτου τὴν ψῆφον ὑμεῖς μέλλετε φέρειν, περὶ δ' ὑμῶν οἱ περιεστηκότες καὶ οἱ ἄλλοι πάντες.

20. Διὸ καὶ σωφρόνων ἐστὶ δικαστῶν, ὦ Ἀθηναῖοι, μήθ' ὑμῖν αὐτοῖς ἐναντίαν ἐνεγκεῖν τὴν ψῆφον μήτε πᾶσι τοῖς ἄλλοις Ἀθηναίοις, ἀλλ' ὁμοθυμαδὸν καταψηφισαμένους πάντας παραδοῦναι τοῖς ἐπὶ τοῦτο τεταγμένοις θανάτῳ ζημιῶσαι, καὶ μὴ προέσθαι καὶ μὴ προδοῦναι τὴν ὁσίαν καὶ τὴν εὔορκον ψῆφον, ἀναμνησθέντας ὅτι τούτου κατέγνωκεν ἡ βουλὴ δῶρα λαμβάνειν καθ' ὑμῶν, τούτου κατέγνωκεν ὁ πατὴρ καὶ ζῶν καὶ τελευτήσας ἀδικεῖν ἑαυτόν, καὶ ἵνα τὸ πρᾳότατον εἴπω τῶν ὀνομάτων, τούτου καταχειροτονήσας ὁ δῆμος παρέδωκεν ὑμῖν τιμωρήσασθαι. (21) Οὗτος πολλὰ κακὰ διαπεπραγμένος ἐπὶ τοιούτοις εἴληπται πράγμασι νῦν ἀδικῶν, ἐφ' οἷς αἰσχρόν ἐστιν ὑμῖν τοῖς δικάζουσιν ἀτιμώρητον ἐᾶσαι τοῦτον. Τίνα γὰρ τρόπον, ὦ Ἀθηναῖοι, περὶ τῶν ἄλλων ἀποφάσεων οἴσετε τὴν ψῆφον; ἢ διὰ τίνας προφάσεις τῶν ἤδη κεκριμένων ἔσεσθε κατεψηφισμένοι; ἢ διὰ τί τὸ μὲν ἀποφαίνειν τὴν βουλὴν τοὺς εἰληφότας τὰ χρήματα φαίνεσθε σπουδάζοντες, τὸ δὲ τιμωρεῖσθαι τοὺς ἀποπεφασμένους ἐῶντες; (22) μὴ γὰρ ἰδίους ἀγῶνας τούτους ὑπολάβητε εἶναι κατὰ τῶν νῦν μόνων ἀποπεφασμένων, ἀλλὰ κοινοὺς καὶ κατὰ τῶν ἄλλων ἀνθρώπων. Δωροδοκία γὰρ καὶ προδοσία κρινομένη παρ' ὑμῖν δυοῖν θάτερον ἐκ τοῦ λοιποῦ χρόνου

concionibus improbos diris publice exsecrabantur, et, si quis donis acceptis verba faceret et de rebus publicis statueret, hunc perditum esse volebant; quorum e numero hic nunc est Aristogiton. (17) Deinde in legibus largitionum actiones fecerunt et in solo hoc corruptionis crimine decuplicem acceptæ pecuniæ summam pro mulcta irrogarunt, existimantes eum qui pro habendis coram populo orationibus pretium acceperit, non pro populi commodis concionaturum esse, sed pro eorum qui pretium dederint utilitate; eo nomine nunc Aristogitonem senatus detulit. Præterea de iis qui rerum publicarum aliquid administraturi essent, inquirebant quinam uniuscujusque essent mores privati, an parentibus benefaceret, an legitimam pro civitate militasset militiam, an patria ei essent monumenta, an penderet tributa; quorum nihil est quod Aristogiton sibi contingere dicere possit. (18) Nam quum parentibus benefaciendum esset, hic male tractavit genitorem suum; dum vos in expeditione versabamini, hic in carcere delitescebat; porro tantum abest, Athenienses, ut patris monumentum aliquod ostendere habeat, ut ne justa quidem patri in Eretria defuncto peregerit; denique quum ceteri Athenienses ex propriis facultatibus tributa conferant, hic ne publicæ quidem pecuniæ, quam condemnatus ærario debebat, totam summam persolvit. (19) Ut paucis defungar, omnibus hic legibus continuo fecit contraria, et hunc solum senatus Areopagiticus quærentibus jam præsciis indicavit; non enim ex illo vos edocti hunc scitis esse improbum et injurium, sed quisque vestrum penitus noverat ejus nequitiam. Itaque illud quod toties dicitur recte etiam nunc dicendum est, vos quidem de hoc suffragia laturos esse, de vobis autem circumstantes ceterosque omnes.

20. Quapropter prudentium est judicum, Athenienses, neque vobis ipsis contraria ferre suffragia neque reliquis Atheniensibus, sed communi omnium consensu damnatum hunc puniendum tradere quibus hoc est muneris, nec deserere nec prodere sanctam et juratam sententiam, memores hunc condemnatum esse a senatu quippe muneribus contra vos acceptis corrumpi se passum, hunc condemnatum esse a patre quem et vivum et mortuum injuria affecerit, et, ut mitissimo verborum utar, hunc a populo sublatis manibus condemnatum vobis tradi plectendum. (21) Hic post alia multa facinora nunc in ejusmodi rebus deliquisse deprehensus est, ut turpe vobis foret si judicio vestro impunitus dimitteretur. Quo enim pacto, Athenienses, de ceteris senatus delationibus statuetis? vel quas prætendetis rationes quibus jam judicatos condemnaveritis? vel qui fit ut deferendos quidem a senatu qui pecuniam acceperint, summopere curare videamini, delatos vero punire ut negligatis? (22) Haud enim privatas esse putetis has actiones, iisque solis intendi qui nunc delati sint, sed esse communes et ad reliquos pertinere omnes. Nimirum vestrum de corruptione quæ per munera fit et de proditione judicium ex duobus efficiet alterum; aut enim in

ποιήσει τοὺς ἄλλους, ἢ χρήματα λαμβάνειν καθ' ὑμῶν 108 θαρροῦντας ὡς οὐ δώσοντας δίκην, ἢ φοβεῖσθαι τὸ λαμβάνειν ὡς τῆς τιμωρίας τοῖς ληφθεῖσιν ἀξίας γενησομένης τῶν ἀδικημάτων. (23) Οὐκ ἴσθ' ὅτι καὶ νῦν ὁ φόβος ὁ παρ' ὑμῶν τοὺς ὁρμῶντας ἐπὶ τὰ καθ' ἡμῶν ἥκοντα χρήματα νῦν ἀνείργει καὶ ποιεῖ πολλάκις ἀπὸ τοῦ λήμματος ἀποστρέφειν, καὶ τὸ ψήφισμα τοῦ δήμου, τὸ ζητεῖν τὴν βουλὴν περὶ τούτων τῶν χρημάτων προστάττον, οὐδὲ τοὺς κεκομικότας τὸ χρυσίον εἰς τὴν χώραν ὁμολογεῖν πεποίηκε; (24) καλῶς γάρ, ὦ Ἀθηναῖοι, καλῶς οἱ πρόγονοι περὶ τούτων ψηφισάμενοι στήλην εἰς ἀκρόπολιν ἀνήνεγκαν, ὅτε φασὶν Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην κομίσαι τὸ χρυσίον ἐκ Μήδων ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων. Πρὶν γὰρ λαβεῖν τινας καὶ δοῦναι τοῦ τρόπου πεῖραν, φυγὴν τοῦ κομίσαντος τὸ χρυσίον καταγνόντες ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης τῆς χώρας. Καὶ ταῦθ', ὥσπερ εἶπον, εἰς τὴν ἀκρόπολιν εἰς στήλην χαλκῆν γράψαντες ἀνέθεσαν, παράδειγμα ὑμῖν τοῖς ἐπιγινομένοις καθιστάντες, καὶ νομίζοντες τὸν ὁπωσοῦν χρήματα λαμβάνοντα οὐχ ὑπὲρ τῆς πόλεως ἀλλ' ὑπὲρ τῶν διδόντων βουλεύεσθαι. (25) Καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως, γράψαντες διαρρήδην Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην πολέμιον εἶναι τοῦ δήμου καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ φεύγειν Ἀθήνας, ὅτι τὸν ἐκ Μήδων χρυσὸν ἤγαγεν εἰς Πελοπόννησον. Καίτοι εἰ τὸν ἐν Πελοποννήσῳ χρυσὸν ὁ δῆμος πολλῶν κακῶν αἴτιον ἡγεῖτο τοῖς Ἕλλησιν εἶναι, πῶς χρὴ ῥαθύμως ἔχειν ὁρῶντας ἐν ταύτῃ τῇ πόλει δωροδοκίαν γινομένην; Καί μοι σκοπεῖτε ταύτην τὴν στήλην.

ΣΤΗΛΗ.

26. Καίτοι, ὦ Ἀθηναῖοι, τί ἂν οἴεσθε ποιῆσαι ἐκείνους τοὺς ἄνδρας λαβόντας ἢ στρατηγὸν ἢ ῥήτορα πολίτην ἑαυτῶν δῶρα δεχόμενον ἐπὶ τοῖς τῆς πατρίδος συμφέρουσιν, οἳ τὸν ἀλλότριον καὶ τῷ γένει καὶ τῇ φύσει τῆς Ἑλλάδος ἄνθρωπον οὕτω δικαίως καὶ σωφρόνως ἐξήλασαν; Τοιγάρτοι τῆς πόλεως καὶ τῶν προγόνων ἀξίως ἐκινδύνευσαν πρὸς τὸν βάρβαρον.

III. ΚΑΤΑ ΦΙΛΟΚΛΕΟΥΣ.

Τί χρὴ λέγειν πρὸς τῶν θεῶν περὶ τοιούτου ἀνθρώπου, ἢ πῶς χρήσεσθε τῇ τούτου πονηρίᾳ, ὃς οὐχ ἅπαξ ἀλλὰ τρὶς ἐξεληλεγμένος ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς, ὡς ὑμεῖς ἅπαντες ἴστε καὶ νῦν ἐν τῷ δήμῳ ἠκούετε, καὶ ἐψευσμένος ἁπάντων Ἀθηναίων ἐναντίον καὶ τῶν περιεστηκότων, φάσκων κωλύσειν Ἅρπαλον εἰς τὸν Πειραιᾶ καταπλεῦσαι, (2) στρατηγὸς ὑφ' ὑμῶν ἐπὶ τὴν Μουνυχίαν καὶ τὰ νεώρια κεχειροτονημένος, καὶ δῶρα τολμήσας λαβεῖν κατὰ πάντων ὑμῶν καὶ τῆς χώρας καὶ παίδων καὶ γυναικῶν, καὶ ἐπιωρκηκὼς ὃν ὤμοσεν ὅρκον μεταξὺ τοῦ ἕδους καὶ τῆς τρα-

posterum reliqui omnes largitiones in vestram perniciem accipere haud dubitabunt, utpote pœnam non daturi, aut metu pœnæ quæ delicto digna corrumpi se passos maneat, ne id faciant prohibebuntur. (23) An ignoratis etiam nunc metum vestri judicii impetum eorum qui opes contra vos allatas appetunt, coercere, multosque a munerum acceptatione avertere? atque plebiscitum quo senatus de opibus istis inquirere jubetur, effecisse ut ne ii quidem qui aurum huc advexerunt, palam rem profiteantur? (24) Præclare, Athenienses, præclare sanequam, majores nostri de his statuentes columnam in acropoli posuerunt, quo tempore Arthmium Pythonactis filium, Zelitam, e Medis aurum ad Græcos corrumpendos attulisse proditur. Nam antequam quidam id acciperent eoque morum suorum experimentum darent, exilio plectentes eum qui aurum apportaverat e tota regione expulerunt. Atque hæc, ut modo dixi, stelæ inscripta in acropoli posuerunt, exemplum vobis posteris suis statuentes, existimantesque eum qui quocunque modo pecunias acceperit, non pro urbe sed pro datore deliberaturum. (25) Et ad hujus solius nomen etiam causam adnotarunt ob quam populus illum urbe ejecisset, distinctis literis scribentes Arthmium, Pythonactis filium, Zelitam, hostem esse populi et sociorum tum ipsum tum genus ipsius, et Athenas fugere, quod e Medis aurum tulisset in Peloponnesum. Jam vero, si quod in Peloponneso aurum erat, populus multorum Græcis malorum causam exsistere censebat, quomodo vos decet negligenter agere, in ipsam hanc urbem videntes corruptionem invasisse? Spectate mihi hanc columnam.

COLUMNA.

26. Jam vero, Athenienses, quid putatis in patriæ salutem facturos fuisse viros illos, si ducem vel oratorem, civem ipsorum, largitione corruptum deprehendissent, qui hominem et genere et indole a Græcia alienum tam juste ac prudenter ejecerunt? Proinde, illi sicut decebat urbis et majorum dignitatem, contra barbarum periclitati sunt. (*Nonnulla deesse videntur.*)

III. CONTRA PHILOCLEM.

Quid, per deos immortales, de hujusmodi homine dicere convenit, vel quomodo improbitatem ejus accipiatis, qui non semel sed ter ab Areopagi senatu convictus est (ut omnes nostis et nunc coram populo audivistis); qui mentitus est coram universis Atheniensibus ac circumstante multitudine, aiens se Harpalum prohibiturum ne is in Piræeum appelleret, (2) militum dux Munychiæ et navalibus vestro suffragio præfectus; qui dona contra vos omnes et regionem et uxores liberosque accipere ausus est et jusjurandum violavit quod inter signum Minervæ et mensam

πέζης, καὶ γράψας καθ' ἑαυτοῦ ψήφισμα, καὶ θανάτου τιμησάμενος ἐὰν εἰλήφῃ τι τῶν χρημάτων ὧν Ἅρπαλος εἰς τὴν χώραν ἐκόμισεν, (3) ὅμως ἐτόλμησεν εἰς τοὺς εἰδότας ὑμᾶς ἐξεληλεγμένον ἑαυτὸν ἅπασι τούτοις ἔνοχον γεγενημένον ἐλθεῖν καὶ δεῖξαι ἑαυτόν, οὐ τῷ δικαίῳ πιστεύων (τί γὰρ τούτῳ δικαιοσύνης μέτεστιν;), ἀλλὰ τῇ τόλμῃ καὶ τῇ ἀναιδείᾳ, ᾗ χρώμενος πρότερον μὲν ἠξίωσε καταφρονήσας ὑμῶν καὶ τῶν ἐν τῇ πόλει δικαίων τὰ χρήματα λαβεῖν, νυνὶ δὲ ἀπολογησόμενος ἥκει ὡς οὐδὲν τούτων διαπέπρακται· τοσοῦτον τῆς ὑμετέρας ῥᾳθυμίας καταπεφρόνηκε. (4) Καὶ ὁ μὲν κοινὸς τῆς πόλεως νόμος, ἐάν τις ἐναντίον τῶν πολιτῶν
109 ὁμολογήσας τι παραβῇ, τοῦτον ἔνοχον εἶναι κελεύει τῷ ἀδικεῖν· ὁ δὲ πάντας Ἀθηναίους ἐξηπατηκὼς καὶ προδοὺς τὴν πίστιν ἣν παρ' ὑμῶν οὐκ ἄξιος ὢν ἔλαβε, καὶ τὸ καθ' αὑτὸν μέρος ἅπαντ' ἀνατετραφὼς τὰ ἐν τῇ πόλει, οὗτος ἐπὶ τὴν ἀπολογίαν ἥκειν φήσει τὴν ὑπὲρ τῆς αἰτίας τῆς εἰς αὐτὸν γεγενημένης; (5) Ἐγὼ δέ, ὦ ἄνδρες, εἰ δεῖ τἀληθῆ λέγειν (δεῖ δέ), οὐδὲ τὰς ἀποφάσεις οἶμαι νῦν κρίνεσθαι, πότερον ἀληθεῖς εἰσιν ἢ ψευδεῖς, αἱ κατὰ Φιλοκλέους γεγενημέναι, ἀλλὰ περὶ μόνης τῆς τιμωρίας ὑμᾶς δεῖν τῆς ἐν τῷ ψηφίσματι γεγραμμένης δικάσαι νῦν, πότερα δεῖ χρημάτων τιμῆσαι τῷ τηλικαῦτα ἠδικηκότι τὴν πόλιν, ἢ θανάτῳ ζημιώσαντας, ὥσπερ οὗτος ἔγραψεν ἐν τῷ ψηφίσματι καθ' αὑτοῦ, δημεῦσαι τὴν οὐσίαν τὴν ἐκ τοιούτων λημμάτων συνειλεγμένην.

6. Οἴεσθε τοῦτον νῦν πρῶτον ἐπὶ τούτων τῶν χρημάτων πονηρὸν γεγενῆσθαι, ἢ νῦν πρῶτον καθ' ὑμῶν δῶρα εἰληφέναι; οὐκ ἔστι ταῦτα, ἀλλὰ πάλαι τοιοῦτος ὢν ἐλάνθανεν ὑμᾶς, καὶ ηὐτυχεῖτε, καθότι οὐκ ἐν μείζοσι καιροῖς ἐπύθεσθε τὴν αἰσχροκέρδειαν αὐτοῦ· οὐ γάρ ἐστι χαλεπώτερον ἀνθρώπου τὴν αὑτοῦ πονηρίαν ἀγνοουμένην ἔχοντος. (7) Οὐκ ἀποκτενεῖτε, ὦ Ἀθηναῖοι, πάντες ὁμοθυμαδὸν τὸν εἰς τοσαύτην αἰσχύνην καὶ ἀδικίαν πολλοὺς ἐμβεβληκότα, τὸν ἀρχηγὸν γενόμενον τοῦ διαδεδομένου χρυσίου καὶ εἰς αἰτίαν καθιστάντα πᾶσαν τὴν πόλιν; ἀλλ' ὑπομενεῖτε ἀκούειν τοῦ τοσαῦτα διαπεπραγμένου καθ' ὑμῶν, ὅτι τὸ συνέδριον τὸ ἐν Ἀρείῳ πάγῳ ψευδεῖς πεποίηται τὰς ἀποφάσεις, καὶ ὡς αὐτὸς μὲν δίκαιος καὶ χρηστὸς καὶ ἀδωροδόκητός ἐστιν, ἡ δ' ἐξ Ἀρείου πάγου βουλὴ ταῦτα πάντα προεῖται χάριτος ἢ λήμματος ἕνεκα; (8) Ἆρ' ἴσθ' ὅτι ἐπὶ μὲν τῶν ἄλλων ἀδικημάτων σκεψαμένους ἀκριβῶς δεῖ μεθ' ἡσυχίας καὶ τἀληθὲς ἐξετάσαντας, οὕτως ἐπιτιθέναι τοῖς ἠδικηκόσι τὴν τιμωρίαν, ἐπὶ δὲ ταῖς φανεραῖς καὶ παρὰ πάντων ὡμολογημέναις προδοσίαις πρώτην τετάχθαι τὴν ὀργὴν καὶ τὴν μετ' αὐτῆς γιγνομένην τιμωρίαν; (9) Τί γὰρ τοῦτον οὐκ ἂν οἴεσθε ἀποδόσθαι τῶν ἐν τῇ πόλει σπουδαιοτάτων, ὅταν ὑμεῖς ὡς πιστὸν αὐτὸν καὶ δίκαιον φύλακα καταστήσητε; Ποίας οὐκ ἂν προδοῦναι τριήρεις τῶν ἐν τοῖς νεωρίοις; ἢ τίνος ἂν φροντίσαι φυλακῆς, λήσειν ἐλπίσαντα καὶ λήψεσθαι διπλάσιον οὗ νῦν εἴληφε χρυσίου; Οὐδὲν ὅ τι οὐκ

juraverat; qui decreto contra se ipsum scripto capitis pœnam sibi statuit si quid opum ab Harpalo in hanc terram allatarum sumpserit: (3) nihilominus ille ad scientes vos convictum esse tot criminibus obnoxium, accedere et sese ostendere ausus est, non justitia fretus (quid enim illi cum justitia?), sed audacia et impudentia, qua prius quidem, vos et jura civitatis parvi pendens, aurum accipiendum esse censuit, nunc vero quasi nihil eorum perpetrasset pro se dicturus advenit: adeo socordiam vestram nihili æstimat. (4) Et communis quidem urbis lex, si quis aliquid eorum quæ coram populo spoponderit transgrediatur, hunc crimini obnoxium esse jubet; hic vero, qui omnes Athenienses decepit, et fidem ei a vobis immerito habitam prodidit, et quantum penes ipsum erat omnia civitatis instituta evertit, ad causam suam defendendam se adesse dicit? (5) Ego autem, si verum dicere oportet (oportet sane), non delationes nunc discutiendas esse censeo, utrum veræ an falsæ sint contra Philoclem factæ, sed de pœna duntaxat in decreto scripta vobis agendum esse, utrum pecuniæ mulctandus sit is qui tot injuriis civitatem affecit, an, ut ipse in decreto contra se scripsit, capitis damnandus ac bona ejus ex istiusmodi largitionibus collecta publicanda sint.

6. Anne putatis nunc primum istum auro illo improbum factum esse vel nunc primum contra vos munera accepisse? Non ita est, sed pridem quum talis esset vos latuit, ac bonæ fortunæ debetis quod non gravioribus temporibus turpitudinem ejus cognoveritis. Nihil enim molestius est homine cujus improbitas ignoretur. (7) Non interficietis, Athenienses, uno consensu hunc qui in talem turpitudinem et nequitiam multos conjecit et princeps auri distributi auctor fuit totamque civitatem in criminationem adduxit? sed ex ore viri tot contra vos moliti audire sustinebitis falsa detulisse senatum Areopagiticum, atque ipsum justum esse hominem ac frugi et a corruptione abhorrentem, Areopagi autem senatum cuncta illa prodere gratiæ et lucri causa? (8) An nostis de ceteris quidem criminibus diligenter esse animo tranquillo verum explorandum ac tum demum pœnam delinquentibus imponendam, in apertis autem confessisque proditionibus primum locum tenere iram cum eaque infligendam pœnam? (9) Quid enim eorum quæ in civitate æstimatissima sunt hunc non vendere arbitramini, si ei tanquam fido et justo custodi commiseritis? quales hunc non prodere in navalibus triremes? vel quamnam cavere custodiam, se latiturum sperantem et duplum accepturum esse ejus auri quod nunc accepit?

ἂν ὁ τοιοῦτος, ὦ ἄνδρες, ποιήσειεν. (10) Ὅστις γὰρ ἀργύριον καὶ χρυσίον περὶ πλείονος τῆς πρὸς ὑμᾶς πίστεως ἡγεῖται, καὶ μήθ' ὅρκου μήτ' αἰσχύνης μήτε δικαίου πλείω λόγον ἢ τοῦ λαμβάνειν ποιεῖται, οὗτος ἀποδώσεται τὸ καθ' αὑτὸν τὴν Μουνυχίαν, ἂν ἔχῃ τὸν ὠνησόμενον, οὗτος ἐξαγγελεῖ τοῖς πολεμίοις σύνθημα καθ' ὑμῶν φήνας, οὗτος προδώσει τὴν πεζικὴν καὶ ναυτικὴν δύναμιν.

11. Μὴ οὖν, ὦ Ἀθηναῖοι, τὴν τίμησιν ὑπὲρ τῶν γεγενημένων μόνον ὑπὸ Φιλοκλέους ἀδικημάτων ἡγεῖσθε μέλλειν ποιεῖσθαι, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων ὧν ἂν ἔπραξεν οὗτος κύριος γενόμενος. Καὶ τοῖς μὲν θεοῖς ἔχετε χάριν ὑπὲρ τοῦ μὴ παθεῖν τι μεῖζον ὑπὸ τούτου δεινόν, ἐγνωκότες τοῦτον οἷός ἐστιν, ἀξίως δ' ὑμῶν αὐτῶν καὶ τῆς τοῦ κρινομένου πονηρίας κολάσατε αὐτόν, (12) ὅς, ὦ Ἀθηναῖοι, τρὶς ἢ τετράκις ἱππαρχηκὼς ἀνδρῶν καλῶν κἀγαθῶν, πλεονάκις δ' ἢ δεκάκις στρατηγὸς ὑφ' ὑμῶν κεχειροτονημένος οὐκ ἄξιος ὤν, τιμώμενος καὶ ζηλούμενος διὰ τὴν πρὸς ὑμᾶς πίστιν, ἀπέδοτο καὶ προέδωκε τὸ τῆς ἡγεμονίας ἡμῶν ἀξίωμα, καὶ εἰς τὸ αὐτὸ κατέστησεν ἑαυτὸν Ἀριστογείτονι, καὶ μισθωτὸν καὶ προδότην ἀντὶ στρατηγοῦ ἐποίησεν. (13) Ἔπειτα ὑποστείλασθαί τι δεῖ πρὸς τὸν τοιοῦτον ὑμᾶς, καὶ αἰσχυνθῆναι, τοὺς ἠδικημένους, ὃς οὐκ ᾐσχύνθη τοιαῦτα πράττων καθ' ὑμῶν καὶ τῶν ἄλλων; οὐχ οἱ τοιοῦτοι τῶν ἀνθρώπων ἐλεοῖντ' ἂν εἰκότως παρ' ὑμῖν, ὦ Ἀθηναῖοι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' οἱ προδοθέντες ἂν ὑπὸ Φιλοκλέους, εἴ τιν' οὗτος παρέλαβε καιρὸν χρημάτων πολλῶν· ἐν οἷς καὶ ἡ ἀκτὴ καὶ οἱ λιμένες εἰσὶ καὶ τὰ νεώρια, ἃ οἱ πρόγονοι ὑμῖν κατασκευάσαντες κατέλιπον. (14) Ὧν ἀναμιμνησκομένους ὑμᾶς, ὦ Ἀθηναῖοι, δεῖ μὴ παρέργως ἔχειν πρὸς τὰς ὑπὸ τῆς βουλῆς γεγενημένας ἀποφάσεις, ἀλλ' ἀκολούθως ταῖς πρότερον κεκριμέναις· αἰσχρὸν γὰρ ἀπειπεῖν τιμωρουμένους ἐστὶ τοὺς προδότας τῆς πόλεως γεγενημένους, καὶ ὑπολείπεσθαί τινας τῶν ἀδίκων καὶ πονηρῶν ἀνθρώπων, ὅτε οἱ θεοὶ φανεροὺς ὑμῖν ποιήσαντες παρέδοσαν τιμωρήσασθαι, ἑωρακότες τὸν δῆμον ἅπαντα κατήγορον τούτου γεγενημένον καὶ προκεχειρικότα πρῶτον τῶν ἄλλων ἐπὶ τῷ τὴν τιμωρίαν ἐν ὑμῖν δοῦναι.

15. Ἀλλ' ἔγωγε, νὴ τὸν Δία τὸν σωτῆρα, αἰσχύνομαι εἰ προτραπέντας ὑμᾶς δεῖ καὶ παροξυνθέντας ὑφ' ἡμῶν ἐπὶ τὴν τοῦ νῦν ἐκλελοιπότος τὴν κρίσιν τιμωρίαν ἐλθεῖν. Οὐκ αὐτόπται ἐστὲ τῶν ὑπὸ τούτου γεγενημένων ἀδικημάτων; (16) Καὶ ὁ μὲν δῆμος ἅπας οὔτ' ἀσφαλὲς οὔτε δίκαιον νομίζων εἶναι παρακαταθέσθαι τοὺς ἑαυτοῦ παῖδας ἀπεχειροτόνησεν αὐτὸν ἀπὸ τῆς τῶν ἐφήβων ἐπιμελείας, ὑμεῖς δὲ οἱ τῆς δημοκρατίας καὶ τῶν νόμων φύλακες, οὓς ἡ τύχη καὶ ὁ κλῆρος ὑπὲρ τοῦ δήμου δικάσοντας ἐπέτρεψε, φείσεσθε τοῦ τοιαῦτα διαπεπραγμένου, καὶ τὸ πέρας ἔχοντες τῶν ἐν τῇ πόλει ἁπάντων δικαίων ἀτιμώρητον ἀφήσετε τὸν δωροδόκον καὶ πάντων τῶν γεγενημένων κακῶν αἴτιον, ὅς (ὅπερ καὶ μικρῷ πρότερον εἶπον) μόνος τῶν πονη-

Nihil est, Athenienses, quod talis non faciat. (10) Nam qui argentum et aurum quam fidem in vos observandam majoris facit, nec jusjurandum nec verecundiam nec justum pluris æstimat quam avaritiam suam, is, si emptorem invenerit, quantum penes ipsum stat, Munychiam vendet, is signum tollens res vestras hostibus nuntiabit, is pedestres prodet copias et nauticas.

11. Ne igitur arbitremini, Athenienses, vos de eorum tantum quæ commissa a Philocle sunt criminum pœna statuturos esse, sed de ceteris etiam quæ, si licuisset, commissurus fuisset. Ac quum talem hunc esse noveritis, diis gratias agite quod non gravius aliquid ab eo perpessi sitis, ipsum autem punite, ut et vos decet et rei meretur improbitas, (12) qui ter vel quarter hipparchus virorum optimorum, ac decies et sæpius prætor vestris suffragiis præter meritum creatus, quum honore polleret et ob fidem vobis habitam æmulatione dignus esse videretur, imperii nostri dignitatem vendidit prodiditque, et eodem quo Aristogiton se loco posuit, ac pro duce mercenarium et proditorem se præbuit. (13) Et post hæc submisse vos injuria affectos erga talem agere decet et reverenter eum tractare, qui talia in vos ceterosque committere nihil reveritus est? Haud ejusmodi hominum merito vos misereat, Athenienses (multum abest), sed eorum, quos prodidisset Philocles, si quam inde magnæ pecuniæ quærendæ occasionem nactus esset; in quibus et litus et portus sunt et navalia, quæ majores a se structa vobis reliquerunt. (14) Quorum memores vos, Athenienses, de senatus delationibus non leviter sentire decet, sed sicuti de iis quæ antehac in judicium venerunt. Nam turpe est delassari puniendo urbis proditores atque relinquere improbos et scelestos nonnullos, quando dii eos vobis manifestos fecerunt et ad puniendum tradiderunt, videntes populum universum hujus exstitisse accusatorem et hunc primum e ceteris selegisse cui pœna apud vos infligeretur.

15. Ego vero, per Jovem servatorem, pudore suffundor, si cohortatione nostra et incitatione opus sit ut ad pœnam ei qui nunc in judicium venit (ἐσεληλυθότος ἐς) infligendam accedatis. Nonne ipsi vestris oculis videtis perpetrata ab eo flagitia? (16) Et populus quidem universus, nec tutum nec justum esse existimans filios suos huic committere, epheborum curam ei abrogavit, vos autem, popularis status et legum custodes, quos fortuna et sors pro populi commodis jus dicere (οἷς... δικάσαι) commisit, homini parcetis talium auctori facinorum? et, quum summa in hac civitate jurisdictio penes vos sit, impunem dimittetis eum, qui donis se corrumpi passus est et omnium quæ acciderunt malorum causa fuit, et (ut etiam paullo ante dixi) solus omnium improborum ter, non semel, delatus est; et ter

ρῶν πάντων τρίς, οὐχ ἅπαξ, ἀποπέφανται, καὶ τρὶς ἤδη δικαίως ἐζημιωμένος θανάτῳ κατὰ τὸ αὑτοῦ ψήφισμα; (17) Τί οὖν ἀναμενεῖτε, ὦ Ἀθηναῖοι; καὶ ποῖα ἀδικήματα ζητεῖτε ἕτερα μείζω τῶν εἰρημένων ἀκοῦσαι; οὐχ ὑμεῖς ἐστὲ καὶ οἱ ὑμέτεροι πρόγονοι οἱ Τιμοθέῳ Πελοπόννησον περιπλεύσαντι καὶ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν Λακεδαιμονίους νικήσαντι καὶ Κόνωνος υἱεῖ τοῦ τοὺς Ἕλληνας ἐλευθερώσαντος καὶ Σάμον λαβόντι καὶ Μεθώνην καὶ Πύδναν καὶ Ποτίδαιαν καὶ πρὸς ταύταις ἑτέρας εἴκοσι πόλεις, οὐδὲν τούτων ὑπόλογον ποιησάμενοι, οὐδὲ τῆς τότε ἐνεστώσης κρίσεως καὶ τῶν ὅρκων οὓς ὀμωμοκότες φέρετε τὴν ψῆφον ἀντικαταλλαξάμενοι τὰς τηλικαύτας εὐεργεσίας, ἀλλ' ἑκατὸν ταλάντων τιμήσαντες, ὅτι χρήματ' αὐτὸν Ἀριστοφῶν ἔφη παρὰ Χίων εἰληφέναι καὶ Ῥοδίων; (18) Τὸν δὲ μιαρὸν ἄνθρωπον καὶ προδότην, ὃν οὐχ εἷς ἀνὴρ ἀλλὰ πᾶσα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ζητήσασα ἀποπέφαγκε χρήματ' ἔχειν καθ' ὑμῶν, ὃς οὐσίαν ἔχων πολλὴν καὶ παίδων ἀρρένων οὐκ ὄντων αὐτῷ, καὶ οὐδενὸς ἄλλου δεόμενος ὧν ἂν ἄνθρωπος μέτριος δεηθείη, οὐκ ἀπέσχετο χρημάτων διδομένων κατὰ τῆς πατρίδος, οὐδ' ἀπεκρύψατο τὴν ἔμφυτον πονηρίαν, ἀλλ' ἀνεῖλε πᾶσαν τὴν γεγενημένην αὐτῷ πρὸς ὑμᾶς πίστιν, καὶ οἷς πρότερον ἔφη διαφέρεσθαι, πρὸς τούτους ἔταξεν αὑτόν, καὶ ἐξήλεγξεν τὴν προσποίητον καλοκαγαθίαν ὅτι ψευδὴς ἦν....

19. Ἃ χρὴ λογισαμένους ὑμᾶς, ὦ Ἀθηναῖοι, καὶ τῶν παρόντων καιρῶν ἀναμνησθέντας, οἳ πίστεως οὐ δωροδοκίας δέονται, μισεῖν τοὺς πονηρούς, ἀνελεῖν ἐκ τῆς πολιτείας τὰ τοιαῦτα θηρία, καὶ δεῖξαι πᾶσιν ἀνθρώποις ὅτι οὐ συνδιέφθαρται τὸ τοῦ δήμου πλῆθος τῶν ῥητόρων καὶ τῶν στρατηγῶν τισιν, οὐδὲ δουλεύει ταῖς δόξαις, εἰδότες ὅτι μετὰ μὲν δικαιοσύνης καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας ῥᾳδίως ἀμυνούμεθα, θεῶν ἵλεων ὄντων, ἐάν τινες ἡμῖν ἀδίκως ἐπιτίθωνται, μετὰ δὲ δωροδοκίας καὶ προδοσίας καὶ τῶν ὁμοίων τούτοις κακῶν, ἃ τοῖς τοιούτοις ἀνθρώποις πρόσεστιν, οὐδεμί' ἂν πόλις σωθείη. (20) Μηδεμίαν οὖν δέησιν, ὦ Ἀθηναῖοι, μηδ' ἔλεον εἰς ὑμᾶς λαμβάνοντες αὐτούς, μηδὲ τὴν ἐξ αὐτῶν τῶν ἔργων καὶ τῆς ἀληθείας ἀποδεδειγμένην ὑμῖν κατὰ τῶν κρινομένων ἀδικίαν ἄκυρον ποιήσαντες, βοηθήσατε κοινῇ τῇ πατρίδι καὶ τοῖς νόμοις·
111 ταῦτα γὰρ ἀμφότερα διαδικάζεται νῦν πρὸς τὴν τούτου πονηρίαν. (21) Ὑπὲρ πάσης, ὦ Ἀθηναῖοι, τῆς χώρας νῦν μέλλετε φέρειν τὴν ψῆφον, καὶ τῶν ἐν ταύτῃ κατεσκευασμένων ἱερῶν καὶ τῶν ἀρχαίων νομίμων καὶ τῆς παραδεδομένης ὑπὸ τῶν προγόνων ὑμῖν πολιτείας, οὐχ ὑπὲρ Φιλοκλέους μόνον· οὗτος γὰρ αὑτοῦ πάλαι θάνατον κατέγνωκε. Ταῦθ' ὑμᾶς ἱκετεύων ἐγὼ δικαιοτέραν πολὺ δέησιν δέομαι τούτων τῶν ταῦτα πεπραχότων, μὴ ἐγκαταλιπεῖν ὑπὲρ ὧν οἱ πρόγονοι πολλοὺς ὑπέμειναν κινδύνους, μηδ' εἰς ἀδοξίαν αἰσχρὰν ἀγαγεῖν τὸ τῆς πόλεως ἀξίωμα, μηδὲ καταλλάξασθαι τὴν πρὸς τούτους χάριν τῶν νόμων καὶ τῶν τοῦ δήμου

jam ex suo ipsius contra se decreto morte mulctandus erat? (17) Quid igitur exspectatis, Athenienses? et quænam alia crimina dictis majora audire cupitis? Nonne vos estis et majores vestri qui Timotheo, qui circumnavigata Peloponneso ad Corcyram prœlio navali Lacedæmonios vicit, et Conone Græcis libertatis auctore natus fuit, et Samum cepit et Methonam et Pydnam et Potidæam et alias urbes viginti, nullam horum rationem habuistis nec tanta beneficia cum judicio tunc constituto et jurejurando quo dato suffragia ferebatis commutastis, sed centum eum talentis mulctastis, quod eum Aristophon dixit a Chiis et Rhodiis pecuniam accepisse? (18) Impurum vero hominem et proditorem, quem non unus vir sed totus Areopagi senatus, quæstione instituta, pecunias in vestram perniciem acceptas habere indicavit, qui quum facultatem amplam possideret, idque prole mascula carens, nullaque alia re, cujus moderatus homo indigeat, destitutus esset, non tamen abstinuit a pecuniis quæ contra patriam darentur, nec ingenitam improbitatem abscondidit, sed omnem in vos fidem sustulit, et quorum antea se inimicum dicebat, horum tunc partes amplexus est, ac simulatam istam virtutem mendacium esse probavit : [*hunc igitur virum vos impunem dimittetis?...*]

19. Quæ reputantes, Athenienses, et præsentium temporum memores (quibus fide, non corruptione opus est), vos decet odio improbos prosequi et istiusmodi bestias e republica tollere, et omnibus ostendere hominibus non simul cum oratoribus et ducibus quibusdam etiam hanc populi multitudinem corruptam esse, neque servire famæ quorundam, bene gnaram nos justitiam mutuamque concordiam colentes, diis faventibus, ulcisci quicunque injuste nos aggrediantur, sed corruptione et proditione similibusque malis quæ istis hominibus adhærent, nullam servari posse civitatem. (20) Nec precibus igitur, Athenienses, nec commiserationi ullum apud vos locum concedentes, neque quæ ex ipsis factis contra reos vobis probata est Areopagiticæ delationis veritatem irritam facientes (τὴν... ἀποδεδειγμένην ὑμῖν κ. τ. κρ. [τῆς ἐξ Ἀρείου πάγου ἀποφάσεως] ἀλήθειαν ἄκυρον π.), communi succurrite patriæ et legibus; hæc enim utraque hoc judicio contendunt contra istius improbitatem. (21) De tota, Athenienses, regione nunc suffragia feretis, de structis in ea sacris, de antiquis institutis, de tradita nobis a majoribus forma reipublicæ, non de uno Philocle; is enim jam pridem se ipse capitis damnavit. Hæc ego vos precans multa justiora peto quam qui ista perpetrarunt, ne scilicet deseratis ea pro quibus majores nostri multa sustinuerunt pericula, nec in fœdam ignominiam convertatis urbis dignitatem, nec istorum gratiam commutetis cum legibus et populi se-

καὶ τῶν τῆς βουλῆς ἀποφάσεων. (22) Ἀκριβῶς γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ἀκριβῶς, ὅτι ὑμεῖς μὲν παρὰ πᾶσιν ἀνθρώποις ἐπαινεῖσθε ταῖς γεγενημέναις ζητήσεσιν ὑπὲρ τούτων τῶν χρημάτων, οἱ δ' ἐξεληλεγμένοι κατὰ τῆς ἑαυτῶν πατρίδος δῶρα εἰληφότες πονηροὶ καὶ ἄδικοι καὶ μισόδημοι νομίζονται εἶναι, φιλεῖν ὑμᾶς φάσκοντες καὶ πράττειν ὑπὲρ τῶν τῆς πόλεως ἀγαθῶν, καὶ δι' ὑμᾶς ἔνδοξοι γεγενημένοι.

natusque delationibus. (22) Nam certo, Athenienses, certo scitote vos quidem ob institutas de opibus istis quæstiones apud omnes mortales laudari; eos vero qui contra ipsorum patriam munera accepisse comperti sunt, improbos censeri et injustos et populi osores, amare vos dicentes urbisque studere commodis, quum per vos clari evaserint. (*Nonnulla deesse videntur.*)

ΛΕΣΒΩΝΑΚΤΟΣ ΠΟΛΙΤΙΚΟΣ

ΠΕΡΙ

ΤΟΥ ΠΟΛΕΜΟΥ ΤΩΝ ΚΟΡΙΝΘΙΩΝ.

Εἰ μὲν ἑώρων τοὺς ὑμῖν συμβουλεύοντας, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ βέλτιστα βουλευομένους τῇ πόλει, καὶ περὶ ὧν παρεληλύθασιν ἐροῦντες, ὀρθῶς παρ' αὑτοῖς ἐγνωκότας συμβουλεύειν, ὑπὸ σιωπῆς ἂν τὴν ἐμὴν παρεῖχον γνώμην· νῦν δὲ ὁρῶν τούς τε τῇ Θηβαίων πόλει προστιθεμένους παρὰ τὴν αὑτῶν γνώμην τὰ βέλτιστα γράφοντας, ὑμᾶς τε περὶ τῶν τῇ πόλει συμφερόντων οὐκ ἐπιχειροῦντας λέγειν, παρελήλυθα διδάξων περί τε τοῦ παρόντος ὑμῖν πολέμου καὶ τῶν ἐν ὑμῖν ἀεὶ λέγειν εἰωθότων ὡς χρὴ τούτων ἕκαστα πράττειν. Εἰ μὲν γὰρ δὴ καὶ πρότερον πρὸς τὴν ὑμετέραν πόλιν ὑπήκουον Θηβαῖοι μὴ δυσμενῶς διακείμενοι, καίτοι πρὸς τοὺς προγόνους ὑμῶν πολλὰ καὶ δεινὰ καὶ μεγάλα πεπραγμένοι καὶ διὰ παντὸς τοῦ χρόνου πολέμιοι καθεστῶτες ὑμῖν, παριδὼν ἂν τὰ νῦν αὐτοῖς ἡμαρτημένα περὶ ἑτέρων ἂν τοὺς λόγους ἐποιούμην. Νῦν δὲ τίς
170 οὐκ οἶδεν ὅτι πρότερον μὲν ἡμῖν μετὰ τῶν Λακεδαιμονίων καὶ τῶν ἄλλων Πελοποννησίων ἐπιβουλεύσαντες ἀναστάτους ἡμᾶς ἐπεχείρησαν ποιεῖν, εἰ μὴ διὰ τύχην αὐτοῖς ἡ ῥώμη καὶ τὰ βουλεύματα διεφθάρη· δεύτερον δὲ μετὰ τοῦ βαρβάρου γενόμενοι καὶ σύμμαχοι ἐκείνῳ καταστάντες, ὃς ἦλθεν ἀνυποστάτῳ δυνάμει καὶ τὰ σώματα καὶ τὴν χώραν ἡμῶν διαφθερῶν, ἐναντίοι παραταξάμενοι τοῖς ἡμετέροις φρονήμασιν, ὑπ' ὀλίγων πολλοὶ μάχῃ κρατηθέντες ἔφυγον· μετὰ δὲ ταῦτα πάλιν μετὰ τῶν ἡμετέρων ἐχθρῶν γενόμενοι τὴν χώραν ἡμῶν ἔτεμον τὴν πολλάκις τούτους σώσασαν, καὶ τὴν πόλιν ἕτοιμοι κατασκάπτειν ἦσαν, ἣν πολλάκις αὐτοὶ θεραπεύσαντες σωτηρίας ἔτυχον. Διὰ παντὸς δὲ χρόνου τοτὲ μὲν μετὰ Λακεδαιμονίων ἡμῖν ἐπιβουλεύοντες, ἄλλοτε δὲ τοὺς ἡμετέρους συμμάχους ἀφιστάντες, ἀεὶ δὲ αὐτοὶ καθ' ἑαυτοὺς πολεμικῶς καὶ δυσμενῶς ἔχοντες πρὸς ἡμᾶς διατελοῦσι. Νῦν δὲ τὸ τελευταῖον Πλαταιεῖς ἀναστάτους πεποιήκασιν, ἡμετέρους μὲν ὄντας συμμάχους, εὐμενῶς δὲ ἀεὶ πρὸς τήνδε τὴν πόλιν διακειμένους, μόνους δὲ μεθ' ἡμῶν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας πρὸς τὸν βάρβαρον διαγωνισαμένους καὶ τρόπαιον στήσαντας. Ὑπὲρ ὧν εἰκὸς ὑμᾶς ὀργισθέντας πανδημεὶ μετὰ τῶν ὅπλων ἐξιέναι, καὶ τὴν αὐτὴν Θηβαίοις ἐπιτιθέναι τιμωρίαν ἥνπερ οὗτοι τοῖς ὑμετέροις συμμάχοις ἐτόλμησαν. Ἀξιῶ μὲν οὖν καὶ τοὺς ἀποτρέποντας ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχειν, καὶ μὴ πείθειν ὡς οὐ πολεμητέον ἐστὶ Θηβαίοις· εἰ δὲ μή, διδασκόντων ὡς οὐδὲν εἰς ὑμᾶς ἐξημαρτήκασιν.

LESBONACTIS POLITICA

DE

BELLO CORINTHIORUM.

Quodsi viderem consilia vobis suggerentes, viri Athenienses, optima quæque civitati consulere, et res de quibus dicturi prodierunt, recta et sincera mente tractandas secum statuisse; ego meam silentio premerem sententiam. Nunc vero quum oratores Thebanorum civitati faventes videam non ex sincera mentis sententia de optimis, quæ facienda sint, consulere, vos autem de commodis reip. disserere nihil tentare: tum demum huc accessi, de bello præsenti et de iis qui verba apud vos facere solent, edocturus quænam de singulis sint statuenda. Si quidem antea Thebani nobis audientes neque hostili in nostram civitatem animo affecti fuissent (quanquam contra majores nostros multa et gravia gesserint vobisque omni tempore hostes exstiterint), quæ nunc peccarunt parvipendens, de aliis verba facerem. Quis vero nunc ignorat quod primum cum Lacedæmoniis et reliquis Peloponnesiis in perniciem nostram conspirantes, vastitatem nobis inferre studuerunt, nisi per fortunam eos et robur et consilium defecisset? deinde cum barbaro coalescentes eique in bello socii effecti, qui haud sustinendo cum exercitu ad nos nostraque omnia evertenda venerat, adversarii constituti consiliis et prudentiæ nostræ, a paucis prœlio victi sunt? post hæc iterum in belli societatem cum inimicis nostris convenientes, agros nostros populabundi invaserunt, qui protectores illis non raro fuerant, et illam urbem, cui ipsi servientes salutem toties fuerunt consecuti, jam diripere festinabant? Omni vero tempore tunc cum Lacedæmoniis in nos conspirantes, alias belli socios a nobis avocantes, semper illi sese contra nos hostiliter atque inimico animo gesserunt. Nunc demum urbem Platæensium everterunt, sociorum nostrorum, qui benevolos semper se in civitatem nostram se præbuerunt, et qui soli nobiscum pro Græcorum libertate contra barbarum dimicarunt tropæumque erexerunt. His vos iratos æquum est populo universo in armis excurrere, eandemque Thebanis infligere pœnam quam ipsi de sociis nostris sumere ausi sunt. Censeo igitur vel eos, qui avertere vos studebant, eandem quam ego habere sententiam, minimeque bellum contra Thebanos suscipiendum dissuasuros esse: sin minus, doceant illi nihil Thebanos in vos deliquisse.

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΤΟΥ ΑΥΤΟΥ.

Οἱ μὲν πολέμιοι ἐγγύς, ὦ ἄνδρες στρατιῶται, ὧν εἵνεκα ἡ σύμπασα παρασκευὴ παρεσκεύασται, τὰ δ' ἀπὸ τῶν θεῶν, ἀφ' ὧν χρὴ ἄρχεσθαι, καλῶς ἔχει κατ' ἀμφοτέρους τοὺς λόγους· τά τε γὰρ ἱερὰ καλὰ ἡμῖν γέγονε καὶ τὸ δίκαιον μεθ' ἡμῶν ἐστίν. Ἐν ὑμῖν οὖν τὰ ἐπίλοιπά ἐστιν, ἐὰν ἄνδρες ἀγαθοὶ γένησθε. Ἐμὲ μὲν οὖν εἰκὸς παραινέσαι ἃ γινώσκω, ὑμᾶς δὲ προσέχειν τοῖς λεγομένοις δοκεῖν τε, ὥσπερ τοὺς λόγους ἀκούετε, οὕτως αὐτὰ τὰ ἔργα ὁρᾶν παρόντα, ἃ ἐν τοῖς λόγοις δεδήλωται· οὕτω γὰρ ἂν ἄριστα γνοίητε τὰ συμφέροντα.

2. Δεῖ δὲ ὑμᾶς σκέψασθαι ὅσα ἀγαθὰ ἔνεστιν ἐν τῷ νικᾶν μαχομένους τοὺς πολεμίους. Πρῶτον μὲν τὴν πόλιν καὶ τὴν χώραν σώζετε ἐν ᾗ ἐτράφητε, ἣν ὑμῖν οἱ πρόγονοι τειχίσαντες καὶ ἄλλα πολλὰ ταλαιπωρηθέντες κατέλιπον οὐχ ἀπολέσαι ἀλλὰ σῶσαι· ἣν ἐλευθέραν μὲν καταλαβοῦσιν αἰσχρὸν...... ὑφ' ὑμῶν ἐλευθερωθῆναι. Καὶ μὴ τὸν κίνδυνον καταδείσαντες καὶ νομίσαντες μείζω εἶναι ἢ ὅσος ἐστι, τὴν μὲν ὑπάρχουσαν ἀρετὴν ἀπολέσητε, τὴν δ' οὐχ ὑπάρχουσαν κακότητα κτήσησθε. Ἔτι δὲ καὶ ἱερὰ ὑμῖν οἱ πατέρες ἱδρυσάμενοι κατέλιπον, κοσμήσαντες ναοῖς καὶ βωμοῖς καὶ ἀγάλμασι καὶ ἄλλοις πολλοῖς καὶ καλοῖς ἀναθήμασιν· ἃ μὴ περιίδητε συληθέντα καὶ πεσόντα ἀτίμως, ἀλλ' ἀμύνετε, ὅσον ἕκαστος δυνατός ἐστι, τῷ θεῷ, ἄλλως τε καὶ μετὰ τοῦ ὑμῖν συμφέροντος, καὶ δεδηλωκότων τῶν θεῶν ἐν τοῖς ἱεροῖς τὴν εἰς ὑμᾶς εὔνοιαν, ἀναμνησθέντες πομπῶν καὶ πανηγύρεων καὶ ἀγώνων, ἐν οἷς τῶν μὲν παρουσῶν ἀνιῶν ἐπελανθανόμεθα, μετὰ δὲ τὴν ἡδονὴν ἄλλας προσεκτώμεθα, συνόντες ἀλλήλοις κατά τε φιλότητας καὶ κατὰ συγγενείας καὶ κατὰ ἡλικίας, [171] ἐξευπορίζοντες αὐτοί τε ὅπως ἡμᾶς αὐτοὺς ὡς ἐλάχιστα λυπήσομεν τούς τε παρόντας ὡς πλεῖστα εὐφρανοῦμεν. Ὁ δὲ παρεστηκὼς ἀγὼν τέλος ἔχει ταῦτά τε διασῶσαι καὶ ἕτερα πολλῷ πλέονα καὶ καλλίω καὶ μείζω προσκτήσασθαι, ἢ τῶν τε ὑπαρχόντων στερηθῆναι καὶ αὐτοὺς πολλὰ καὶ οἰκτρὰ παθεῖν καὶ ἰδεῖν. Ἐπανενεγκεῖν δὲ τὴν γνώμην ὑμῶν ἕκαστον βούλομαι, ὃ καὶ δεῖ σκέψασθαι, ἃ περὶ πλείστου ποιούμενοι κατελίπομεν, τοὺς γεννήσαντας πατέρας καὶ μητέρας. Ὁ δὲ υἱούς τε ἐφύτευσε καὶ ἐξέφυσεν, ὁ δὲ ὁμογενεῖς ἀδελφούς τε καὶ ἀδελφάς, ὧν οἱ μὲν γήρᾳ πολὺ ὑπερβάλλοντες, οἱ δὲ νεότητι πολὺ ἐλλείποντες τοῖς μὲν σώμασιν οὐχ οἷοί τ' εἰσὶν ἀμύνειν, τῶν δὲ κινδύνων πλεῖστον μέρος μετέχουσιν. Ἐν οἷς ἡμῶν μὲν προθυμηθέντων καὶ εὖ ἀγωνισαμένων εὐδαίμονες μὲν οἱ πατέρες, τίμιοι δὲ οἱ παῖδες, ζηλωταὶ δὲ αἱ γυναῖκες καὶ αἱ θυγατέρες καὶ αἱ ἀδελφαὶ καὶ ἑνὸς ἑκάστου καὶ συμπάντων· ἐλλιπόντων δὲ ἡμῶν τὴν προθυμίαν καὶ μὴ θελησάντων διαμάχεσθαι εἰς τὸ ἔσχατον ἄθλιοι μὲν οἱ πατέρες, στερηθέντες μὲν τῆς ἡμετέρας προσόψεως, στερηθέντες δὲ πόλεως καὶ χώρας καὶ ἱερῶν, ἀντὶ δὲ καλλίστης ἐλευθερίας εἰς αἰσχίστην δουλείαν καθιστά-

HORTATORIA EJUSDEM.

1. Quum hostes adsunt, milites, quorum causa factus est omnis apparatus; tum res divinæ, a quibus est incipiendum, utroque modo recte se habent: nam et exta contigere fausta et jus a nobis est. Reliqua igitur spes in vobis est, si fortes vos præbueritis. Ac me quidem ea quæ scio vos decet monere, vos autem quæ dicam attendere, et quemadmodum auditis verba, sic res ipsas, de quibus verba fiunt, videre vos præsentes credere: siquidem hac ratione quid expediat cognoveritis facillime.

2. Atque hoc vobis est considerandum, quantum in eo sit commodi, si hostes prœlio vincatis. Etenim primum urbem conservatis et regionem in qua estis educati, quamque vobis a se munitam et multo sudore defensam majores non perdendam sed servandam reliquerunt; quam nisi liberam, ut accepistis, tenere pergatis, admodum turpe sit .... Neque vero, quia periculum timeatis ac majus quam sit existimetis, et vestram abjicite fortitudinem et alienam comparate vobis ignaviam. Templa præterea vobis a se constructa, sacellis, aris, statuis ac multis præclaris ornata donariis, majores reliquere; quæ nolite spolianda et diruenda ignominiose prodere, verum diis pro virili quisque opem ferte, quum præsertim præter vestrum commodum suam quoque vobis benevolentiam dii in sacris ostenderint, pomparum et publicorum conventuum atque certaminum memores, per quæ tum præsentes obliviscebamur ærumnas, tum post publicam hanc delectationem aliis etiam potiebamur, inter nos privatim coeuntes, ut quique amicitia vel cognatione vel ætate juncti essemus, operam dantes ut nobis ipsis minime molesti præsentibusque quam jucundissimi essemus. At in hoc certamine situm est, ut vel et hæc servemus et alia plura pulchriora majoraque nobis comparemus, vel et hæc perdamus et ipsi miserias multas tum subeamus tum oculis usurpemus. Sed ad ea vestrûm uniuscujusque cogitationem volo revocare, quæ nobis carissima reliquimus, patres videlicet ac matres qui nos genuerunt, liberos quos procreavimus, fratres ac sorores nobiscum natos, de quibus alii per senectutem, illi per juventutem nimiam, ut corpora non possunt hostibus objicere, ita periculorum partem participant maximam. Ex his porro, si nos strenue decertaverimus, felices erunt patres, honorati liberi, celebres et uxores et filiæ et sorores tum singulorum tum omnium: sin ignavi fuerimus nec ad extremum usque halitum depugnare voluerimus, miseri fiunt patres, qui et conspectu nostro et urbe atque agro templisque privantur, et pro libertate pulcherrima turpissimum subeunt ea ætate jugum, quæ vel quantum pa-

μενοι, ἐν ἡλικίᾳ τοιαύτῃ ἐν ᾗ τὸ μὲν φρονεῖν ἃ πάσχει γεγήρακεν, οἷς δὲ γινώσκει [ἃ πάσχει] ἀδύνατος καθέστηκεν ἀμῦναι, ὥστε χαλεπώτερον φέρειν· εἰ γὰρ παρῆν γινώσκειν μὲν μή, δύνασθαι δὲ τῷ σώματι, ῥᾴων ἂν ἦν ἡ συμφορά· οἰκτραὶ δ' αἱ γυναῖκες καθίστανται, δυστυχεῖς δὲ καὶ παῖδες καὶ ἀδελφοί, τῶν τε αὐτῶν τούτων στερισκόμενοι καὶ τῶν ἐλπίδων ἐφ' αἷς ἐτράφησαν. Καὶ οἷς ἐν τῷ νῦν χρόνῳ ζῆλον καὶ τιμὴν κάλλος καὶ εὐείδεια, εἰς δουλείαν πίπτουσιν [ἀνάγκη] καὶ αἶσχος καὶ ἀτιμίαν φέρειν· ἀντὶ γὰρ τῶν καλλίστων καὶ ἐντιμοτάτων γάμων εἰς αἰσχίστους πίπτουσιν. Ἥ τε αὖ δυσειδία εἰς τοιαῦτα ἔργα καθίστησι τὰ σώματα, ἐν οἷς καὶ τὸ ὑπάρξαν ἀγαθὸν τῆς τροφῆς ζημία καθίσταται, οὐ δυνάμενοι δὲ τοὺς πόνους ὑπεκφέρειν ἀντὶ τοῦ βίου τοὺς αἰσχίστους καὶ βιαιοτάτους θανάτους αἱροῦνται. Ὅστις οὖν τοιούτων ἄθλων προκειμένων μὴ ἔσται ἀνὴρ ἀγαθὸς ἐν τῷδε τῷ ἀγῶνι, ἀλλά τις εἰσαῦθις ὑπολείπεται ἢ γνώμη ἢ ῥώμη, ἀμφοῖν στερηθήσεται, τῆς τε νῦν τῆς τε εἰσαῦθις τῶν ἔργων· ὅδε γὰρ ὁ ἀγὼν αὐτῷ τέλος ἔχει.

3. Ἐνθυμηθῆναι δὲ χρὴ καὶ τίνος οὕνεκ' ἂν μᾶλλον ἀξιώσαιτε μάχεσθαι, ἢ τί ἀγαθὸν οὐκ ἔνεστιν ἐν τῷ νικᾶν μαχομένοις τοὺς πολεμίους. Τοῦτο ἀρετὴν σύμπασαν λαβὸν ἔχει· ἐν τούτῳ ἔνεστιν ὑμῖν ὅσα τις εὔξαιτο. Δοκεῖ εἶναι εἰρήνη ἀγαθόν; αὕτη ἐπὶ τοῖς τοὺς πολεμίους νικῶσι γίγνεται ὅπως ἂν βούλωνται καταθέσθαι. Δοκεῖ εἶναι κτημάτων κτῆσις ἀγαθόν; τοῦτο τοῖς νικῶσι γίγνεται· τά τε γὰρ ὑπάρχοντα ἀσφαλῶς κέκτηνται, τά τε τῶν πολεμίων ἀδεῶς καρποῦνται. Δικαιότητος τοίνυν τόδε τὸ ἔργον πλεῖστον μετέχει· δίκαιον μὲν γὰρ τῇ πατρίδι ἀμύνειν ἐν ᾗ ἐτράφητε, δίκαιον δὲ ἱεροῖς πατρῴοις καὶ μνήμασι τῶν προγόνων, δίκαιον δὲ τοὺς πατέρας ὑμῶν ὑφ' ὧν ἐτράφητε ἀντιγηροτροφῆσαι, δίκαιον δὲ τοὺς παῖδας, ἐπειδήπερ ἐφύσατε, ἐκθρέψαι, δίκαιον δὲ τούτων τινὰ μὴ ἐλλείπειν. Εἰ δέ τις σοφίαν ἐπιτηδεύει, τὸ νικᾶν μαχόμενον, τοῦτο σοφίαν ἡγησάσθω, εἴ γε οὐ σοφὸν τὸ δοῦλον εἶναι, τὸ δὲ ἐλεύθερον σοφόν. Κάλλος ἐν τιμῇ εἶναι δοκεῖ; οἱ αὐτοὶ τοίνυν ἄνδρες νικῶντες οἵ τε καλοὶ καλλίους δοκοῦσιν εἶναι, οἵ τε αἰσχροὶ δεινότεροι· πᾶν γὰρ τὸ ἐλεύθερον καλόν. Εἴ τις τοίνυν εὐγενείας βάσανος, ἐν τῷδε τῷ ἔργῳ μάλιστα ἔνεστιν. Ὅστις μὲν γὰρ πρότερον δοκῶν εὐγενὴς νῦν μὴ θελήσει διαμάχεσθαι, τήν τ' ἐκ τῶν προγόνων ὑπάρχουσαν εὐγένειαν ἀπολεῖ τοῖς τε παισὶ δυσγένειαν ἀπολείψει· ὅστις δὲ ἐν τῷ ἔργῳ
172 ἔσται ἀνὴρ ἀγαθός, τῶν τε προγόνων τὴν ἀρετὴν ἀναμνήσει, τοῖς τε παισὶν εὐγένειαν καταλείψει· τῶν γὰρ ἐν τοῖς δεινοῖς ἀνδρῶν ἀγαθῶν γινομένων οἱ παῖδες εὐγενεῖς νομίζονται.

4. Πολλὰ δὲ εἰρηκὼς ἀγαθὰ ὅσα ἔνεστιν ἐν τῷ νικᾶν, πολλὰ ἕτερα παρίημι, ὧν ὅ τε ἕκαστος αὑτὸν ἀναμιμνήσκων ἀνὴρ ἀγαθὸς γιγνέσθω· ὅσα δὲ τὰ διαφέροντα ἐν αὐτῷ τῷ μάχεσθαι ἔνεστιν εἰς τὸ σώζεσθαί τε καὶ διαφθείρεσθαι, ταῦτα ὑμᾶς διδάξω. Πρῶτον

tiatur præ senio nequit cognoscere, vel, si cognoscit, auxilium ferre non potest, quod quidem rem intolerabiliorem facit; quandoquidem, si sensu malorum carere liceret vigente adhuc corpore, levior videretur calamitas : miseræ quoque fiunt uxores, et infelices fratres sororesque, qui quum iisdem rebus tum spe qua fuerant enutriti spolientur. Et quibus nunc gloriam et honorem pulchritudo et forma pariunt, iisdem in servitutem redactis turpitudinem et degradationem ea ferre necesse est : nam pro pulcherrimis et splendidissimis conjugiis turpissimis ac vilissimis implicantur. Deformitas quoque talibus operibus corpora subjicit, in quibus et prior educatio commoda damnum affert, et, postquam laboribus pares esse non possunt, turpi ac violenta morte vitam sponte commutant. Quocirca quisquis talibus propositis præmiis virum se in hoc certamine animo corporeque non præstabit, is utraque spe atque copia, tum quæ nunc est, tum si qua post erit, privabitur : siquidem in hoc prœlio sita sunt omnia.

3. Hoc etiam perpendendum est, quam ob causam malitis pugnare, et quid non sit in eo boni si hostes prœlio vincatis. In vincendo omnis virtus atque omnium votorum summa comprehenditur. Pax bonum habetur? hæc eorum arbitrio qui hostes vicerint componitur. Opes bonum habentur? hoc victoribus debetur; qui et sua tuto possident et aliena secure carpunt. Jam justitiæ non parum in hac re cernitur : est enim justum patriæ, quæ nos aluit, sacrisque avitis et majorum sepulcris ferre suppetias; est justum parentum, a quibus estis educati, senectutem rursum fovere; est justum liberos, quos procreastis, tollere; est justum horum nemini quidquam deesse. Quodsi quis sapientiæ dat operam, is victoriam in sapientia ponat, siquidem sapientiæ libertas, non servitus, congruit. Pulchritudo honor habetur? iidem victores et pulchri pulchriores, et deformes ferociores esse videntur : quandoquidem nihil non quod liberum sit est pulchrum. Jam si quod est nobilitatis indicium, id in hoc opere cernitur potissimum. Etenim qui, quum ante generosus haberetur, nunc depugnare nolet, is et a majoribus relictam nobilitatem amittet, et liberis ignobilitatem relinquet : at qui fortem se præbebit, et majorum revocabit in memoriam virtutes, et liberis nobilitatem prodet; eorum enim, qui periculosis temporibus strenue se gesserint, posteri nobiles habentur.

4. Et quanquam permulta retulerim victoriæ commoda, non pauca tamen omisi, quæ sibi quisque suggerens fortem se præbeat : nunc autem, quantum in ipsa pugna sit ad salutem vel interitum momenti, vos docebo. Etenim corpus

μὲν τὸ σῶμα εἰς τὸ ἔμπροσθεν πέφυκε καὶ βαδίζειν καὶ βλέπειν· ἔπειτα τὰ ὅπλα οὕτως εὕρηται ἔμπροσθεν τοῦ σώματος προβεβλῆσθαι, ἡ μὲν ἀσπὶς τοῦ μὴ τιτρώσκεσθαι, τὸ δὲ δόρυ τοῦ ἀμύνεσθαι· ὥστε ἐὰν βούλησθε εἰς τὸ ἔμπροσθεν βαδίζειν ἐπὶ τὸ μαχόμενον ἀεὶ πάντες, ἀκούοντες τὰ λεγόμενα καὶ τὰ παραγγελλόμενα ποιοῦντες, ἀναμιμνησκόμενοι τῶν ἀγαθῶν, παραθαρρύνοντες ἀλλήλους, καταφρονοῦντες μὲν τοῖς ἔργοις, ἀξιοῦντες δὲ μάχεσθαι καὶ ἐκείνους παρελθόντες, ταῦτα ὑπουργήσαντες, ὅσα δὴ ἀνθρώπινα, νικήσετε. Εἰ δέ τις ὑμῶν ἀξιώσας τοὺς μὲν πολεμίους πλεῖόν τι εἶναι ἢ ἀνθρώπους καὶ ἀτρώτους εἶναι, αὐτὸς δὲ ὡς μηδενὸς ἄξιος ὑποχωρήσει, τοῦτο σωτηρίαν νομίσας εἶναι, πρῶτον μὲν τὴν γνώμην ἡττημένος ἀδικεῖ, ἔτι δὲ ἔμπαλιν αὐτῷ τὸ σῶμα τοῦ ἔργου πεφυκὸς τὰ ἐναντία οἷς βούλεται ὑπουργήσει. Εἰς τοὔπισθεν μὲν γὰρ οὔθ' οἱ πόδες πεφύκασιν ἀναχωρεῖν οὔθ' οἱ ὀφθαλμοὶ ὁρᾶν οὐδενός, δίχα δὲ διαιρεθεὶς, τῷ ἀναχωρεῖν ὑπηρετῶν καὶ τὸν ἐπιόντα ἅμα κίνδυνον φυλάττων κατὰ φύσιν, ταχέως καὶ τὸν ἀντιστάτην οὐ δυνήσεται ἀμύνεσθαι· ἐὰν δὲ ἀναστραφεὶς ἀξιοῖ φεύγειν ὡς ἀποφευξόμενος, πρῶτον μὲν τὰ γυμνὰ τοῖς πολεμίοις δείξει, ἐν οἷς τιτρώσκεσθαι ἢ μάχεσθαι ἀνάγκη, ἔπειτα πολλοὶ καὶ κοῦφοι οἱ διωξόμενοι ἀκοντισταὶ καὶ σφενδονῆται καὶ τοξόται, οὓς οὔτι αὐτοὺς ῥᾴδιόν ἐστιν ἀποφυγεῖν οὔτε τὰ βέλη αὐτῶν ἧττον ἔτι πολλῷ· ὁ γὰρ τάχιστος ἀνὴρ τοῦ βραδυτάτου τοξεύματος οὐδὲ μέρος ταχυτῆτος παρέχει. Εἰ οὖν τις ὑμῶν φιλοψυχῶν παρεσκεύασται ἀναχωρεῖν ἢ φεύγειν, ἵνα σωθῇ, οὐκ ὀρθῶς γινώσκει τὸ φιλοψυχεῖν ὅ τι ἐστιν· ἐν γὰρ τῷ μένειν καὶ ὁμόσε χωρεῖν οὐ μόνον τὴν αὐτοῦ ἀλλὰ καὶ τὰς τῶν οἴκοι μενόντων ψυχὰς σώζει.

5. Εἰ μὲν οὖν εὖ ᾔδει τις ὅτι τόνδε τὸν κίνδυνον διαφυγών, μεθ' ἡδονῆς τὸν ἐπίλοιπον χρόνον διατελέσας, σὺν εὐκλείᾳ τελευτήσει, εἶχεν ἂν λόγον τινὰ ἡ κακία· νῦν δὲ πολλοὶ (καὶ) κακοὶ δόξαντες εἶναι, ὀλίγον χρόνον βιοῦντες, διὰ τὴν δύσκλειαν ἀνιώμενοι καὶ ἄτιμοι παρ' ἐντίμοις ὄντες κακῶς τὸν ἐπίλοιπον βίον τελευτήσαντες ὀνείδη τοῖς παισὶ καταλείψουσιν. Ἐπεὶ δὲ πεφύκαμεν οὐκ ἀθάνατοι, ποῦ κάλλιον ἀποθνήσκειν ἢ ὑπὲρ ὧν χρὴ τιμωροῦσι; ποίαν ἄλλην ἀρετὴν κτωμένους, ποῖος ἡδίων θάνατος; τίνες εὐκλεέστεροι οἱ ἀποθανόντες ἢ οὕτω τελευτήσαντες; δημοσίου τάφου ἀξιοῦνται, θυσίαι ἐπὶ τούτοις γίγνονται, ἀγῶνες ἐπὶ τούτοις τίθενται, ἀντὶ θνητοῦ σώματος ἀθάνατον μνῆμα καταλείπουσιν. Οἱ δὲ τούτων παῖδες δημοσίᾳ ἐκτρέφονται, τιμώμενοι πανοπλίαις, προεδρίαις, θαυμαζόμενοι καὶ ἐν χοροῖς καὶ ἐν γυμνασίοις καὶ ταῖς ἄλλαις συνουσίαις. Τοῖς δὲ ἐκ τοῦδε τοῦ κινδύνου σωθεῖσιν, ἀνδράσιν ἀγαθοῖς γενομένοις, ἀκίνδυνος ὁ λοιπὸς βίος μακαριζομένοις ἐν πάσαις πανηγύρεσιν, ἐν πάσαις θεωρίαις. Οἱ φίλοι τούτοις φίλοι εἰσίν, οἱ ἐχθροὶ τοῖς τοιούτοις ὑπερεύχονται, πᾶς ἀνὴρ ξενοῦσθαι βούλεται ἐκ τῶνδε· καὶ γαμετὰς προθύμους ἂν εὕροις· οὗτοι γηράσκοντες εὐδαι-

primum prorsum ire et prospicere naturâ solet; deinde armorum ea est ratio ut corpori præponantur, scutum ad cavenda vulnera, hasta ad inferenda : quocirca si cuncti prorsum voletis in pugnam procedere, tum jussis obtemperantes, tum bonorum recordatione vos invicem confirmantes, et *ignavos* contemnentes, eosque prætergressi pugnam desiderantes : hæc si præstabitis, quantum res humanæ ferunt, vincetis. Sin aliquis hostes plus quam homines, nec vulnerari posse existimans, et sese nihili faciens, fugam in salute ponet, is primum consilio vincetur, deinde corpus ita quum sit natura factum, ut repugnet operi illi quod retro cedens agitat, voluntati domini sui contraria omnia faciet — nam retro quidem nec pedes cujusquam possint procedere nec oculi prospicere —, sin bifariam incedat, ac simul et receptui det operam et imminens caveat accedens periculum, mox adversarium defendere non poterit : sin tergo hostibus obverso fugam capiet ut aufugiat, primum nudas partes hostibus ostendet, et vel vulnera vel pugnam necessario subibit, deinde multi ac leves eum persequentur funditores ac sagittarii, quos nec ipsos nedum tela eorum queat evadere; siquidem viro celerrimo tardissimum est jaculum longe velocius. Quapropter, si quis de vobis vitæ studiosus receptum vel fugam ad salutem meditatur, non recte videtur quid sit vitæ studium cognoscere : qui enim manet et congreditur, is non suam tantum sed etiam domesticorum vitam conservat.

5. Jam si quis certo se sciret, quum hoc evasisset periculum, reliquum vitæ tempus in gloria atque voluptate transacturum, aliquam haberet ignavia rationem : nunc autem multi pro ignavis habiti, reliqua vitæ parte non longa misere per turpitudinem et infamiam transacta, probrum liberis relinquent. Et quoniam immortales non sumus nati, quonam honestius pacto quam quos oportebat defensis moriamur? Quænam sit mors jucundior? quinam gloriosiores mortui? Etenim qui talem oppetunt mortem, in eorum decus publicum exstruitur sepulcrum, sacra fiunt, celebrantur certamina, proque mortali corpore monumentum paratur immortale. Ac horum liberi publice aluntur, et integris armaturis ac primis subselliis honorantur, inque choris et gymnasiis et aliis conventibus admirationi sunt. Qui porro periculum hoc per fortitudinem evaserint, ii reliquam vitam secure cum perpetua per omnes conventus ac pompas laude degunt. His amici sunt amici, pro his inimici intercedunt, per hos quivis hospitio vult excipi; et affinitates eorum cupide ambiri invenias : hi in senectute beati

μονίζονται. Νῦν οὖν, ὦ ἄνδρες στρατιῶται, καθ' ὅσον ὑμῶν ἕκαστος ἰσχύει, μηδὲν ὑπολειπόμενος τῆς δυνάμεως ἀντιλαμβανέσθω τῶνδε τῶν ἀγαθῶν. Ὑπομιμνήσκω δὲ ὑμᾶς ὅτι καὶ τὰ ἱερὰ ὑμῖν καλὰ γέγονεν.

ΕΤΙ ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΑΥΤΩΝ.

Καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ ὑμέτερα παρεσκεύασται· ἀλλ' ἄνδρας χρὴ εἶναι ἀγαθούς. Εἰκὸς δὲ ὑμᾶς περὶ
173 τῆς ὑμετέρας αὐτῶν πατρίδος μέλλοντας ἀγωνιεῖσθαι καὶ ὄντες πατέρων ἀγαθῶν τοιούτους ἔσεσθαι· ἢ ἄλλο τι παρασκευάσατε κάλλιον ἢ ἄμεινον. Ὥστε οὐ δεῖ ὑπεριδεῖν οὔτε λόγου οὔτε ἔργου οὐδενός, οὐδὲ μὴ τοῖς ἑτοίμοις παρακελεύεσθαι· ἀλλὰ τοῦτο δή μοι δοκεῖ καὶ μάλιστα χρῆναι ποιεῖν. Τοῖς μὲν γὰρ μὴ θέλουσιν ἀγαθοῖς εἶναι μάταιον καὶ λέγειν καὶ ποιεῖν, σπεύδοντα ὅπως ἔσονται ἀγαθοί, τοῖς δὲ ἐθέλουσί γε καὶ βουλομένοις τοὐναντίον. Παντὸς γὰρ πράγματος ἐπίδοσίς ἐστιν, ἔστ' ἂν τέλος ἔχῃ. Καὶ ἀρετὴν πλεῖστον ἂν εὕροις αὐτὴν ἐπιδιδοῦσαν, ὅπου μεγίστην καὶ τιμὴν ἔχει καὶ ἄθλοις καὶ ἐπαίνοις. Οὔκουν (ὅπερ εἶπον ὀλίγῳ πρόσθεν) οὐδεὶς ἂν κάλλιον παρασκευάσαι σημεῖον. Ὥστ' εἰ καὶ νῦν ὑμῖν παρεσκεύασται καὶ ἑνὶ ἑκάστῳ καὶ πᾶσιν ὅπως ἔσεσθε ἀγαθοί, καὶ ἀξίωμα ἔχετε παρ' ὑμῖν αὐτοῖς μέγα, οὐχ ὑμᾶς βλάψει ἀκούσαντας τὴν ὑμετέραν ἀρετὴν καὶ τὸ ἀξίωμα τῶν προγόνων ὁμοῦ καὶ τὸ ἀξίωμα τῶν πολεμίων ὑμέτερον δι' ὑμᾶς ἔχουσιν, ἀλλ' ὠφελήσει. Ὑμῶν γὰρ οἵ τε παλαιοὶ πατέρες ἐν τοῖς Ἕλλησι μέγα ἀξίωμα ἀρετῆς εἶχον καὶ λόγον ἀγαθόν, οἵ τε νέοι. Μαρτύριον δὲ τούτου ὑμῖν ἐρῶ. Οἱ μὲν ἄλλοι πάντες Ἕλληνες ἐκ τῆς σφετέρας αὐτῶν μεταστάντες οἰκοῦσιν ἕκαστος αὐτῶν, ἐξελάσαντες ἑτέρους καὶ αὐτοὶ ἐξελαθέντες ὑφ' ἑτέρων. Καὶ κατὰ τοῦτο δύο φέρεσθε καυχήματ' ἀρετῆς· οὔτε γὰρ ἐξηλάθητε ἀπὸ τῆς σφετέρας αὐτῶν ὑπὸ οὐδαμῶν ἀνθρώπων, οὔτε ἐξελάσαντες ἑτέρους αὐτοὶ οἰκεῖτε, καὶ κατὰ μὲν τὸ μὴ ἐξελασθῆναι ἀνδρείας στέφανον τὴν πατρίδα ἔχετε, κατὰ δὲ τὸ μὴ ἐξελάσαι δικαιοσύνης. Ταῦτα μὲν γὰρ τῶν παλαιῶν μαρτύρια ἀρετῆς πατέρων· τῶν δὲ νέων ἄλλα τε πολλά, καὶ ὅτι τῷ βαρβάρῳ στρατῷ ὑποχωρήσαντες ἐκ τῆς πατρίδος καὶ αὐτοὶ καὶ τὰ τέκνα, ὁρμώμενοι ἐκ τῆς Σαλαμῖνος ἠλευθερώσατε πᾶσαν τὴν Ἑλλάδα καὶ τούτους οἳ νῦν ἐφ' ὑμᾶς ἔρχονται. Ὦ Ζεῦ τε καὶ θεοί, μεγάλης ἀσεβείας! ἐπὶ τοὺς ἐλευθερώσαντας οἱ ἐλευθερωθέντες ἔρχονται, δουλώσοντες μετὰ τῶν τῇ Ἑλλάδι δουλείαν φερόντων Ἑλλήνων, μετὰ τῶν ὑμετέρων δούλων, οὐδέν γε τῶν αὐτῶν ποιοῦντες τοῖς ὑμετέροις προγόνοις, οἵ ποτε τῇ Σπάρτῃ ἐπεβοήθησαν ἐπανισταμένων τῶν δούλων, ὅτε ἀφίκετο καὶ ἔχων φοινικίδα ἐπεκάλει τοὺς προγόνους βοηθῆσαι καὶ μὴ περιιδεῖν ἐπιβουλευθεῖσαν τὴν Σπάρτην. Ἀντὶ δὲ τῆς εὐεργεσίας τῆσδε τήνδε ἡμῖν τὴν κακοεργασίαν ἀποδιδόασι, καὶ νῦν οὗτοι τῆς ὑμετέρας ἕνεκα ἀρετῆς ὄντες οἵτινές εἰσι, δῃοῦσί τε τὴν ὑμετέραν καὶ ἐλευθε-

dicuntur! Nunc igitur, milites, pro se quisque, nullis omissis viribus, his bonis comparandis incumbite. Atque vos admoneo, exta vobis contigisse fausta.

ADHUC EJUSDEM DE IISDEM.

Tum auspicia et exta fausta sunt, tum vester quoque apparatus recte se habet: quocirca gnavos præbeatis vos oportet. Ac debetis, quoniam pro vestra estis patria depugnaturi et filii majorum bonorum estis, vel esse tales, vel melius aliquid parare. Quamobrem nec verba nec facta negligenda, neque eos qui parati sunt excitare prætermittendum: id quod vel maxime mihi faciendum videtur. Qui enim fortes esse nolunt, eos frustra vel verbis vel factis coneris fortes efficere; qui autem cupiunt et volunt, non item. Omnis enim res incrementi, donec ad finem pervenerit, est capax: ac plurimum ibi virtutem crescere, ubi maxime præmiis et laudibus extollitur, videas. Quocirca — quod modo dicebam — haud facile quisquam præclarius ediderit prosperi eventus indicium. Quare si nunc quoque sic et omnes estis et singuli animati ut fortitudini ac dignitati vestræ studere cupiatis, non tam vos lædet, si virtutem vestram ac simul et majorum et hostium vestrorum, quam per vos obtinent, dignitatem cognoveritis, quam juvabit. Vestri enim et antiqui et recentiores majores celebres inter Græcos ob virtutem fuerunt. Cujus hoc est rei testimonium. Reliqui fere Græci cuncti suis expulsi sedibus, et aliis rursum ejectis, regionem suam singuli possident. Vos autem duplex editis hac in re virtutis specimen: nam nec ab aliis ejecti, nec aliis ejectis, agrum vestrum incolitis; quorum illud fortitudinis, hoc justitiæ decus patriæ conciliat. Atque hæc sunt antiquorum parentum virtutis indicia: novorum vero tum alia multa, tum quod barbarico cedentes exercitui cum liberis patria, Salamine erumpentes Græciam totam servastis atque hos una qui nunc se vobis opponunt. O magnam, proh Juppiter ceterique dii, impietatem! quum liberatores invadunt liberati, et cum servitutis auctoribus subjugare parant, cum vestris servis; ac longe secus quam vestri majores faciunt, qui Spartam olim contra servos imminentes juverunt, quum *Periclides* veste purpurea indutus ab iis petiisset auxilium et ne Spartam subjugatam prætervideant orasset. Hoc jam vobis maleficium pro illo referunt hi beneficio, quos vestra virtus tales quales videtis effecit, ac regionem vestram vastant et servos liberant atque

ροῦσι τοὺς ὑμετέρους δούλους καὶ ἐπάγουσιν ἐφ' ὑμᾶς παρανόμως καὶ παρασπόνδως, οἷς οὐδὲ θέμις ἦν Ἡρακλειδῶν ἡγουμένων Ἀθηναίων ἐπιβῆναι σὺν πολεμίοις ὅπλοις. Ἀλλὰ γὰρ οὔτε θεοὺς οὔτε ἀνθρώπους αἰδοῦνται· οὐ γὰρ ἂν τάδε ἐποίουν. Ὑμεῖς, ἐὰν θεὸς θέλῃ, δίκην αὐτοῖς ἐπιθήσετε. Ἐνθυμήθητε δὲ ὅτι ὑμεῖς μὲν ἐκ τῆς ὑμετέρας αὐτῶν ὁρμώμενοι ἀγωνιεῖσθε, ἀπὸ ἑστίας πατρῴας ἕκαστος καὶ θεῶν τῶν ἄλλων καὶ πόλεως, οὐ τῶν κτισάντων φονέες γενόμενοι ἀλλὰ τοκέων τυχόντες, τοῖς ὑμετέροις θεοῖς εὐξάμενοι περὶ τῶν αὐτῶν, ὥστε καὶ τὴν δίκην τὴν παρὰ θεῶν καὶ δαιμόνων μεγάλην σύμμαχον ἔχειν. Μάχεσθε δὲ ἀνδράσιν ὑβρισταῖς καὶ ἀνοσίοις, οἳ τὴν μὲν σφετέραν αὐτῶν ἐν ᾗ ἐγένοντο ἀπώλεσαν καὶ ἐξέλιπον, ἢ θεοῖς ἔχθραν θέντες ἢ κακοί τε καὶ ἀνάλκιδες ὄντες, ἐπὶ δὲ τὴν ὑμετέραν ἔρχονται ἐξ ἀλλοτρίας ὁρμώμενοι, οὔτε ἀπὸ τῆς σφετέρας ἑστίας ἕκαστος αὐτῶν οὔτ' ἀπὸ τῶν ἄλλων οὔτ' ἀπὸ πατρῴων θεῶν, ἀπὸ Ἐριννύων δὲ καὶ ἀπὸ Ἀπάτης δαιμόνων ἐλαυνόμενοι ἥκουσι δίκην δώσοντες. Οὐ γὰρ οὔτε πλείους ὑμῶν εἰσὶν οὔτε εὐοπλότεροι· οὐδὲ ὑμετέραν δειλίαν καταγνόντες ἔρχονται οὕτω θρασέως διὰ
174 τῆς ὑμετέρας, ἀλλὰ θεῶν τις ἄγει αὐτοὺς δώσοντας δίκας μιαρῶν τε καὶ ἀνοσίων ἔργων. Παραστήτω οὖν ὑμῶν ἑκάστῳ τοῦτο, ὡς τὸ θαρρεῖν πλεῖστον φέρεται εἰς τὸ νικᾶν. Ὡς οὖν καὶ τῶν θεῶν συμμάχων ὄντων, καὶ ὑπάρχον ὑμῖν τούτων καὶ ἀμείνοσιν εἶναι καὶ εὐδοξοτέροις, βραχὺν χρόνον ἀνασχόμενοι τὰ ὅπλα τῶν πολεμίων μακρὰν δόξαν καταστήσεσθε ἀρετῆς εἰς τὸν ἅπαντα χρόνον, καὶ ἀναμνήσετε πάντας τοὺς ἀνθρώπους ὅτι ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ἐστὲ παῖδες, οἵ ποτε ἀποβάντας τοὺς βαρβάρους τῆς ὑμετέρας εἰς Μαραθῶνα αὐτοβοεὶ νικήσαντες πολλὰς μυριάδας ἀνθρώπων ἐξέβαλον ἐκ τῆς γῆς, τοὺς δ' ἀπέκτειναν, οὐ περιιδόντες οὔτ' εἴ τις αὐτοῖς ἔμελλεν ἐκ τῆς Πελοποννήσου βοήθεια ἥξειν, οὔτ' εἰ ὀλίγοι πολλοῖς μαχοῦνται, ἀλλὰ τῇ σφετέρᾳ αὐτῶν ἀρετῇ πιστεύσαντες συμβαλόντες ἐνίκησαν· τοῦτο δὲ Πλαταιᾶσι μετὰ τῶν ἄλλων Ἑλλήνων ταὐτὰ φρονούντων ἐνίκων μαχόμενοι· ἐνίκησαν δὲ καὶ ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας ναυμαχοῦντες καὶ πρὸ Σαλαμῖνος, ὥστε εἰς τόδε ἡμέρας σωτῆρες τῆς Ἑλλάδος ὀνομάζεσθαι. Πολλοὺς δὲ καὶ ἄλλους ἀγῶνας καὶ καλοὺς ἠγωνίσαντο οἱ ὑμέτεροι πατέρες, ὧν τῆς νίκης τῶν ἄθλων ὅροι πεπήγασι πολλῶν ἡμερῶν πλοῦν ἀπὸ τῆς ὑμετέρας πόλεις μεγάλαι, ὑπακούουσαι τοῦ ὑμετέρου κήρυκος. Εὐξάμενοι οὖν τοῖς θεοῖς Ὀλυμπίοις, οἳ ἡμῖν κατὰ τὸ εἰκὸς πλέον νέμουσιν ἢ τοῖς πολεμίοις, εὐχῇ συμβάλλωμεν λησταῖς ἀνδράσι. Θαρρεῖτε δέ· καὶ ἴσα νεμόντων τῶν θεῶν εὖ ἀγωνιεῖσθε. Τὰ ἱερὰ καλὰ καὶ τὸ δίκαιον ὑμῖν μὲν θαρρεῖν παρέξει, ἐκείνοις δὲ δεδιέναι. Ἃ δὲ μάλιστα ἄνδρας νέους παροξύνει, ὑμῶν αὐτῶν ἀκούσατε, πόλεώς τε μέγεθος καὶ εὐδαιμονίας καὶ δόξης ἣν ἕκαστος παρ' ἑαυτῷ ἔχει, ἅ τε νέοις ἀνδράσιν ἡλικίας δὲ ἀθύρματα, παῖδες καλοὶ καὶ γυναῖκες καὶ γυμνάσια καὶ κυνηγέσια, ὧν ὑμεῖς τῇ με-

contra vos præter legem atque fœdera producunt in aciem, quos, ne si Heraclidæ quidem duces belli forent, in Atticum agrum cum hostilibus armis invadere fas erat. Verum nec deos reverentur nec homines : alioqui nunquam hæc facerent. At vos eos, si dii volunt, punietis. Hoc igitur cogitate, vos ex vestra urbe in pugnam prodire, a foco paterno diisque tum aliis tum civilibus profectos, nec conditorum homicidas sed prosapiam esse, ex diisque vestris eadem vos atque majores vestros precibus petere, atque ita tum deorum tum dæmonum habere vindictam adjutricem. At cum impiis et injustis viris pugnatis, qui sua regione, in qua sunt nati, perdita et relicta, vel ira deorum vel sua ignavia, vestram invadunt et ex alieno prodeunt; nec tam vel a sua singuli Vesta vel ab aliis aut avitis diis profecti sunt, quam a Furiis et Fraude dæmonibus ad pœnas dandas huc impelluntur. Etenim nec numero vobis nec armis præstant; neque vestra freti ignavia tam confidenter vestra transeunt, verum illos deus aliquis ad luenda impietatis et injustitiæ supplicia deducit. Quapropter hoc unicuique vestrûm sit persuasum, permultum ad victoriam facere fidentiam. Quocirca, quandoquidem et favent dii et licet vobis hos antecellere, hostium arma si per exiguum tempus sustinueritis, æternam in omne tempus parabitis virtutis gloriam, atque omnibus eorum vos esse posteros probabitis, qui quondam barbaros in Marathonem vestram egressos primo statim impetu vicerunt, multaque hominum millia e terra sua ejecerunt, nec paucos eorum trucidarunt, nihil anxie circumspicientes, neque si quod ipsis ex Peloponneso auxilium venturum esset, neque si pauci cum multis manum consererent; sed sua ipsorum virtute freti, cum hoste congressi vicerunt. Postea Platæis simul cum aliis Græcis qui ejusdem partis erant vicerunt; vicerunt etiam ad Artemisium et ante Salaminem prœlio navali, sic ut etiamnum Græciæ servatores appellentur. Sed et alia multa majores vestri præclara obierunt certamina, quorum victoriæ præmiorum pignora quasi pali fixæ sunt urbes magnæ, quæ multorum dierum a vestra distantes itinere vestro parent præconi. Quamobrem diis invocatis Olympiis, qui nobis merito plus quam hostibus tribuunt, precario cum latronibus congrediamur. Confidite : diis justa impertientibus secunde pugnabitis. Exta fausta et æquitas ut vobis fidentiam, ita metum illis, afferent. Quæ autem juvenes excitant maxime, vosmetipsos audite, et urbis magnitudinem ac felicitatem suam et gloriam unusquisque; sunt etiam juventutis ludicra pulchri pueri ac mulieres, gymnasia, venationes, quibus vos

γάλῃ ἐλευθερίᾳ πλεῖστά τε καὶ κάλλιστα ἀπολαύετε· περὶ ὧν μαχεῖσθε νυνὶ ὑμετέρων ὄντων περιττὸν ἀνδράσιν οἷς ταῦτα σπάνια. Παρακελευσάμενοι οὖν ὑμῖν αὐτοῖς, ἀνὴρ ἀνδρὶ καὶ δημότης δημότῃ καὶ φυλέτης φυλέτῃ, ἴτε τύχῃ ἀγαθῇ, ἐπειδὰν ἡγῆταί τις ἐπὶ τοὺς πολεμίους.

ΗΡΩΔΟΥ ΠΕΡΙ ΠΟΛΙΤΕΙΑΣ.

Διότι μὲν ἀνάγκη λέγειν καὶ τηλικοῖσδε καὶ μὴ πολὺ νεωτέροις περὶ τοῦ παρόντος πράγματος, ἔχω λέξαι· διότι δὲ εἰκός ἐστι σιωπᾶν ἔχοντα λέγειν, οὔτε παρ' ἄλλου δύναμαι μαθεῖν οὔτε αὐτὸς ἐξευρίσκω. Περὶ μὲν γὰρ ἑτέρου πράγματος ἔχοι τις ἂν ἐγκαλεῖν τοῖς λέγουσι ματαιότητα ἢ πολυπραγμοσύνην, αἰτιασάμενος ἐπίστασθαι τὰ παρόντα πράγματα· τὰ δὲ εἰς τὸν πόλεμον ἀνήκοντα πᾶσι μέν ἐστιν ἐν κοινῷ, μάλιστα δὲ ἀναγκαῖον καὶ προσῆκον ταῖσδε ταῖς ἡλικίαις ἐπίστασθαι περὶ αὐτῶν καὶ λέγειν. Οἷς γὰρ ὁ κίνδυνος οἰκειότατος γίνεται, τούτοις ἀναγκαῖόν ἐστι μάλιστα μέλειν· οἷς δὲ μέλειν ἐπιτέτακται, τούτους εἰκὸς ἐξευρίσκειν μάλιστα. Τοῦ μὲν οὖν λέγειν πολλὰς ἀνάγκας εὑρίσκω, τοῦ δὲ σιωπᾶν οὐδεμίαν ὁρῶ συγγνώμην. Ἐγὼ γὰρ ἐβουλόμην μὲν ὑμᾶς αὐτοὺς τῶν ὑμετέρων ἀγαθῶν αἰτίους εἶναι μετὰ τῶν θεῶν· εἰ δὲ τοῦτο διατρίβετε καὶ δι' ἄλλους εὖ πράττειν ἡδύ, δοκεῖ δή μοι θεῶν τινὸς ἐπιμελείᾳ γίνεσθαι τὸ γινόμενον. Ἃ μὲν γὰρ ὑμᾶς ἐχρῆν παρασκευάσασθαι χρήμασι πείθοντας καὶ τοῖς σώμασι κινδυνεύοντας, ταῦτα πάνθ' ὑμῖν ἡ τύχη ἄνευ πόνου καὶ χρημάτων συνέπραξεν, ὥστε τοὺς ὑμετέρους ἐχθροὺς ἑκόντας ὑμῖν δίκην δοῦναι. Πρῶτον μὲν [οὖν] ὡς ἀγαθόν ἐστι πείθεσθαι τοῖς ἐπαγγελλομένοις πόλεμον, τοῦθ' ὑμᾶς διδάξω, δεύτερον δ' ὡς ἀναγκαῖον.

2. Ἡμεῖς μὲν γὰρ ἐπιστάμεθα γινώσκειν τὰ φύσει πολέμια τῇδε τῇ χώρᾳ, προγινώσκοντές τ' ἂν πρὶν παθεῖν εὐλαβούμεθα, τὰ μὲν ἐκείνων ἀσθενῆ καθιστάντες ἐν παντὸς τρόπου, τὰ δ' ἡμέτερα αὐτῶν κρείσσονα, γινώσκοντες ὅτι τὸ φύσει πολέμιον τῷ μὴ δύνασθαι κακὰ δρᾶν ἡσυχίαν ἄγει. Νῦν δὲ τὴν ἡμετέραν διδασκαλίαν ἐκ τῶν συμφορῶν ἐπιστάμεθα, τὸν ἄνδρα τοῦτον οὐδέποθ' ἡμῖν φίλον ἐσόμενον, οὐδὲ διαλλαγὴν ἐσομένην ἐκείνῳ πρὸς ἡμᾶς. Οὐ γὰρ ἀδικούμενος ὑφ' ἡμῶν ἀλλ' ἀδικεῖν βουλόμενος ἐχθρὸς ἡμῖν ἐστίν. Ἔχει μέν γε χώραν ἣν ἡμῖν οἱ πατέρες κτησάμενοι παρέδωκαν, ἣν διὰ μὲν τὴν ἡμετέραν ἀσθένειαν ἕξει, διὰ δὲ δύναμιν ἄκων ἀποδώσει. Μία μὲν αὕτη πρόφασις αὐτῷ κακονοίας πρὸς ὑμᾶς, ἔπειτα δὲ ὅτι ταῖς μὲν Ἑλλήνων πόλεσιν ἱκανόν ἐστι τὴν αὐτῶν δύναμιν διασῶσαι τοῖς ἐπιγιγνομένοις, τοῖς δὲ τυράννοις ταῦτ' οὐκ ἀπόχρη μόνον, ἀλλὰ προσκαταστρέψασθαι δέονται τοὺς πλουσιωτάτους ἀεί. Ἡμεῖς μὲν οὖν δοκοῦμεν οὔτ' αὐτοὶ ῥᾳδίως ἂν τοῦτο παθεῖν, ἄλλοις τε ἐμποδὼν γενέσθαι. Διὰ ταῦθ' ἡμῖν ἐκεῖνος ἄχθεται, βουλόμε-

rebus cum libertate abundantissime et florentissime fruimini; de his, quorum uberrima vobis nunc copia est, vos jam pugnabitis contra viros, apud quos eadem perrara sunt. Quare mutuo vos cohortati, et vir virum et popularem popularis et tribulis tribulem, secunda fortuna, quum quis in hostes vos ducet, sequimini.

HERODIS OR. DE REPUBLICA.

1. Quas ob causas et huic ætati et non multo minori de re controversa disserendum sit, possim dicere : quare autem qui disserere possit silere debeat, neque ex alio cognoscere neque per me possum invenire. Etenim de alia et dicentes aliquis vanitatis vel curiositatis incusare possis quod rem propositam *non* perspectam habeat : res autem bellicæ ut omnium sunt communes, ita præcipue ab hac ætate sunt per disputationem excutiendæ. Nam quibus est periculum proximum, ii maximam necessario curam adhibent : quibus autem cura datur, hi maximam debent inventioni operam dare. Quapropter et necessitatem dicendi permagnam, nec veniam tacendi ullam video. Vellem enim vosmetipsos esse vestrorum commodorum post deos auctores; quodsi conamini, non minus est, quum aliorum opera vobis consulitis, jucundum, ac mihi id quod accidit deorum alicujus providentia videtur evenisse. Nam quæ vobis opum jactura vitæque periculo comparanda fuerant, hæc vobis omnia sine labore atque sumptu fortuna suppeditat, sic ut hostes nostri ultro nobis dent supplicium. Ac primum quidem, quam sit commodum iis parere qui ad bellum adhortantur, docebo; deinde, quam sit necessarium.

2. Possumus enim nos ea quæ sunt huic regioni naturâ contraria cognoscere, et cognita mature cavere, quum et illa quovis pacto debilia et nostra reddimus fortiora; quandoquidem non ignoramus id quod est natura inimicum nunquam, nisi quum deest malefaciendi facultas, quiescere. Nunc autem e cladibus quod erat discendum cognovimus, nunquam hunc virum (*Archelaum*) nobis amicum futurum aut nobiscum compositurum. Neque enim quia accepit a nobis injuriam, verum quia vult inferre, hostis est. Habet autem eam regionem quam nobis a se conquisitam majores reliquerunt, quamque vel per imbecillitatem nostram retinebit, vel per potentiam nostram invitus reddet. Atque hunc quidem unum habet malevolentiæ stimulum : alterum, quod quum civitatibus Græcis sufficiat si potentiam suam posteris prodant, hoc tyrannis non est satis, nisi ditissimos etiam quosque semper evertant. Jam nos nec ipsi videmur hoc facile passuri, et alios impedituri. Quapropter ille vobis irascitur, quum

νος σφάλλεσθαι τὰς ἐλπίδας τῶν ἡμῖν πιστευόντων. Ἀπὸ μιᾶς οὖν τέχνης ὁρμώμενος ἡμῶν τε κρατήσειν οἴεται καὶ τούτων ὧν δι' ἡμᾶς οὐχ ἄρξει. Ταῦτα δὲ πρότερον ἐξῆν εἰκάζειν ἡμῖν, νῦν δὲ σαφῶς γινώσκειν ἔργῳ πάσχοντας. Ὧι γὰρ ἁλίσκεται μάλιστα καὶ πόλις καὶ χώρα, τοῦτο τὸ χωρίον οὐκ ἔλαθεν αὐτὸν ἰδόντα στασιάζοντας ἡμᾶς αὐτούς, ἀλλὰ μετὰ τῶν ὀλίγων ἐπὶ τούτους πάντας οὐκ ὤκνησεν ἐλθεῖν. Ἠπίστατο γὰρ ἐλθὼν ὅτι τοῖς πολλοῖς μὲν ἐπιχειρήσας οὐδὲν ἂν ἔπραξεν ὧν ἐβούλετο (τοὺς γὰρ ἀσθενεστέρους συγκαταπολεμήσας οὐκ ἄρξειν τῶν πλειόνων ἔμελλεν· ἱκανοὶ γὰρ ἦσαν ἂν αὐτὸν ἀμύνασθαι)· εἰ δὲ τοὺς πολλοὺς μετὰ τῶν ὀλίγων καταστρέψαιτο, ῥᾳδίως ἁπάντων ᾤετο κρατήσειν. Οὕτω μὲν αὐτὸν βούλεσθαι πέφυκεν ἡμᾶς στασιάζειν. Εἰ δ' αὐτῷ ταῦτα συμφέρει, καὶ πράσσειν οἴεσθε αὐτόν. Τὸ δ' ἐκείνου συμφέρον ὅσον ἡμῖν κακόν ἐστιν, ἀθρήσετε πρὸς τὸ μέγιστον τῶν ἄλλων ἀντιτιθέντες. Ὁμολογεῖται γὰρ πόλεμος τῶν ἄλλων κακῶν τοσούτῳ μέγιστον εἶναι, ὅσῳπερ εἰρήνη τῶν ἀγαθῶν. Ἴσῳ μέντοι μεγέθει τὸν πόλεμον ἡ στάσις ὑπερβάλλει, ὅσῳπερ ὁ πόλεμος τὴν εἰρήνην. Ἐν μὲν γὰρ τῷ ξενικῷ πολέμῳ τὴν πατρίδα σώζοντες ἀποθνήσκουσιν, ἐν δὲ τῷ πολιτικῷ διαφθείροντες ἑαυτούς, ὥστε μήτε τοὺς ἀποκτείναντας εὐδοκιμεῖν. Ἄλλοις μὲν γὰρ πολεμοῦντες πολεμοῦμεν ὑπὲρ τῶν φίλων· καὶ τοὺς μὲν ἀλλοτρίους νικῶντες ἑτέρους κτῶνται φίλους, ὅταν δὲ τοὺς οἰκείους, ἀποστεροῦνται καὶ τῶν ὑπαρχόντων. Ἁρπαγὴν δὲ χώρας καὶ χρημάτων φθορὰν καὶ τοῖς ἐχθροῖς ἡδονὴν καὶ τοῖς φίλοις συμφορὰν ὅσην δύναται, πολὺς ἀριθμὸς καθ' ἕκαστον ἐξηγήσασθαι. Καὶ τούτων οὐδ' ἀπαλλαγῆναι ῥᾴδιον, ἐπειδὰν ἄρξηταί τις· τὸν διάλογον γὰρ οὐκ ἔστιν εὑρεῖν. Οἱ γὰρ πλησίον οἰκοῦντες οὐκ ἄχθονται στασιαζόντων τῶν πλησίον, οἱ μὲν ἀσθενέστεροι, ὅπως ἂν μὴ ἄρχωνται, οἱ δ' ὅμοιοι τὴν δύναμιν, ὅπως ἂν κρείσσονες γένωνται, οἱ δ' ἰσχυροί, ὅπως ἂν ῥᾳδιέστερον ἄρχωσι.

3. Καὶ τούτων οὐκ οἶδ' ὅτι δεῖ σημεῖον ἄλλοθεν
176 λαβεῖν· ἡμεῖς γὰρ τοῖς ἄλλοις σημεῖον ἐσμέν. Χώραν γὰρ τῶν Ἑλλήνων ἔχοντες πλείστην καὶ πλεῖστα δυναμένην παρέχειν οὐ μόνον τοῖς ἐνοικοῦσιν ἀλλὰ καὶ τοῖς παροίκοις, οὐ φαινόμεθα πλουσιώτεροι τῶν παρ' ἡμῶν ἐξαγομένων ὄντες· ἐκεῖνοι μὲν γὰρ ἑαυτοῖς κατατίθενται τὰ παραγινόμενα, ἡμεῖς δ' εἰς τοὺς ἀλλοτρίους ἀναλίσκομεν, τὰ κοινὰ μὲν ἴδια ποιοῦντες, τὰ δὲ τῶν ἰδιωτῶν κοινά. Καίτοι πῶς οὐ δεινόν ἐστι τούτους κοινῇ τρέφειν, οἳ τὴν πόλιν οὐ κοινὴν ἡμῖν παρέχουσι; πρὸς τούτοις τε γῆν ἔχοντες εὐφυεστάτην ἀμύνεσθαι τοὺς ἐπιόντας, καὶ τὸ σύμμαχον ἐγγενὲς παρεχομένην καὶ ἵππους, οὐχ ὅπως διαλύομεν τοὺς βουλομένους ἀδικεῖν, ἀλλ' ἐπαγόμεθα τοὺς ἀμυνοῦντας μισθῷ πείθοντες καὶ φυλασσόμεθα ξένους, καὶ καταφρονεῖται μὲν ἡ δύναμις τῆς χώρας, καταγελώμεθα δ' αὐτοί. Τούτων πάντων καὶ ἑτέρων πολλῶν τὸν αἴτιον αὐτοὶ παρόντες θεάσασθε, τοιαύτην ἐπίδειξιν

eorum qui vobis confidunt spem cupiat eludi. Eadem igitur opera se et nos existimat et eos quorum per nos imperio privabitur subacturum. Atque hæc primum nobis conjectura licebat assequi, nunc autem re doctis firmiter cognoscere. Qua enim re potissimum et urbs capitur, et regio, hæc eum non latuit, quum seditionem nostram animadverteret; neque cum paucis hos omnes aggredi cunctatus est. Siquidem norat se, si plurimos aggrederetur, nihil quod studeret effecturum — quandoquidem debellatis infirmioribus potiores ad resistendum instructos non esset subacturus —, sin plurimos cum paucis everteret, omnium facile potiturum. Atque ita fit ut ille cupiat nos seditione laborare. Quodsi est illi commodum, quam sit vobis hoc illius commodum noxium, cum alio maximo id contendentes videte. Nam quum tam esse maximum malum bellum, quam est maximum bonum pax, credatur; eodem tamen intervallo bellum seditio, quo pacem illud, superat. Ut enim in externo bello patriam servando, sic in civili nosmetipsos perdendo morimur, ita ut ne victores quidem bene audiant. Cum aliis porro prœliantes pro amicis bellum gerimus; et quum alienis devictis amicos comparemus alios, nostris vero superatis, etiam priores amittimus. Jam regionis vastatio atque opum pernicies et inimicis voluptas amicisque calamitas quanta hinc sequatur, paucis singulatim explicari non potest. Neque facile est his malis, postquam semel exorta sunt, liberari: vix enim conciliatorem invenias. Nam qui prope habitant vicinorum seditionem non moleste ferunt, imbecilliores, ne pareant; pares, ut potiores fiant; superiores, ut imperent facilius.

3. Atque horum non video cur longe petendum sit exemplum, quum ipsi aliis exemplo simus. Etenim quum regionem habeamus inter Græcos maximam et omnia tum incolis tum advenis suppeditare præpollentem, nunquam iis qui a nobis deducantur ditiores videmur: siquidem illi sibi quod accedit reponunt, nos in alienos insumimus, ac tum publica reddimus privata, tum privata, publica. Quis vero non indignum ducat eos ali publice, qui urbem suam nobis publicam et communem non faciant? quumque regionem habeamus ad alios repellendos aptissimam, et socios atque equos ex se præbentem, non horum opera injurios removemus, verum adjutores mercede conducimus et hospites vitamus; atque ita, tum regionis contemnitur potentia, tum ipsi deridemur. Horum autem omnium atque aliorum insuper malorum auctorem coram vidi-

ἐπιδείξαντα πᾶσιν, οἵαν οὐδεὶς οὕτω σκληρὸς οὐδὲ μισάνθρωπός ἐστιν ὅστις ἀδάκρυτος ἂν διηγήσαιτο. Τί γὰρ οὐκ ἐγένετο τῶν μεγίστων κακῶν; οὐ παῖδες καὶ γυναῖκες καὶ πατέρες γέροντες καὶ μητέρες θεωροὶ κατέστησαν ἀποθνησκόντων, οἱ μὲν πατέρων, αἱ δ' ἀνδρῶν, αἱ δὲ παίδων, αἱ μὲν ἐν ταῖς αὐτῶν χερσὶ τελευτώντων τὸν βίον, αἱ δ' ἐν τοῖς πολεμίοις διαφθειρομένων; οἰκίας δὲ κατασκαπτομένας καὶ χρήματα διαρπαζόμενα; καὶ τὸ πάντων δεινότατον, ὁπότε τύχοι τῶν αὐτῶν ἱερῶν κοινωνῶν ὁ ταῦτα δρῶν καὶ τῆς αὐτῆς φυλῆς ὤν, ᾧ προσῆκεν ἐπαμῦναι κατά γε νόμον, ἀλλὰ μὴ παρανόμως ἀπολέσαι; ὅτε καὶ τοῖς γέρουσιν ἐφάνη συμφορὰ τὸ γῆρας, καὶ τοῖς ὀρφανοῖς ὡσαύτως. Καὶ τούτων τὸν αἴτιον πῶς οὐ χρὴ κακῶς δρᾶν δυναμένους γε, ἀμυνομένους μὲν ὧν ὑπῆρξε, τιμωροῦντας δὲ τοῖς ἀποθανοῦσιν, οἰκτείροντας δὲ τοὺς ἀποστερηθέντας; οὐ γὰρ μόνον τοσοῦτον ἀγαθόν ἐστιν, ὅτι τῶν παροιχομένων ληψόμεθα δίκην, ἀλλ' ὅτι παράδειγμα τοῦτο δείξαντες ἀποδιδάξομεν τοὺς ἄλλους μὴ νομίζειν εὕρημα τὴν ἡμετέραν διαφορὰν μηδὲ μεθ' ἡμῶν ἐπιβουλεύειν ἡμῖν. Ἐὰν δὲ τοῦτο γένηται, πολλὰς ἐλπίδας ἔχω μηδὲ στασιάσειν ἡμᾶς, ὅταν ἐπίκουροι μηδαμόθεν ἴωσι τοῖς ἐπιβουλεύουσιν.

4. Οὕτω μὲν οὖν ἀγαθόν ἐστιν ἡμῖν ἐθελοντὰς ὁμολογῆσαι συμπολεμεῖν τοῖς παρακαλοῦσιν· ὡς δ' ἀναγκαῖόν ἐστιν, ἐκ τῶν ἐπιλοίπων χρὴ σκοπεῖν. Ἀρχέλαος γὰρ οὔτ' ἐπὶ Πελοποννησίους ἦλθε μετὰ Ἀθηναίων, οὔτε διὰ τῆς χώρας ἰέναι βουλομένους ἔπαυσεν, οὔτε χρήματα παρέσχεν ἐπὶ τούτους, οὐδὲ ἔστι πρόφασις τῆς ἔχθρας πλὴν ὅτι οὐκ ἤθελε συμπολεμεῖν αὐτοῖς πρὸς Ἀθηναίους, ἀλλ' ἡσυχίαν ἦγεν. Ἐπειδὴ τοίνυν τοῖς Πελοποννησίοις ἱκανὴ πρόφασίς ἐστι πολεμίους νομίζειν τοὺς μὴ συμπολεμήσαντας αὐτοῖς, εὐλαβηθῶμεν ὅπως μὴ διὰ τὴν αὐτὴν πρόφασιν ἡμῖν πολεμήσωσιν, εἰ παρακαλούμενοι μὴ βουλησόμεθα συμπολεμεῖν μετὰ Πελοποννησίων· οὐ γὰρ ἠδικεῖτο ὑπὸ Ἀθηναίων οὐδέν. Ἡμῖν δὲ δὴ τίς λόγος ὑπολείπεται; πότερον ὡς οὐκ ἀδικούμεθα; διδάξομεν αὐτοὺς ταὐτὰ δρᾶν ἅπερ ἐκεῖνος· οὐ γὰρ ἄδικον, εἴπερ ὁ τάδε δράσας οὐκ ἀδικεῖ. Ἀλλ' ἀδικεῖσθαι μὲν φήσομεν, ἀμύνεσθαι δ' οὐ βουλησόμεθα; πολλὴν ἄρα δειλίαν ποιήσομεν τοῖς βουλομένοις ἡμᾶς καλῶς δρᾶν. Ἀλλὰ βούλεσθαι μέν, δύνασθαι δ' οὔ; τίς οὖν οὐ καταφρονήσει τῆς δυνάμεως ἡμῶν, εἰ τοὺς Ἕλληνάς γε ἔχοντες ἐπικούρους οὐδὲ οὕτω δυνησόμεθα τοὺς ἐχθροὺς ἀμύνεσθαι, καὶ τὸ μέγιστον, εἰ δευτέραν αἰτίαν σχήσομεν ὑπὸ τῶν Ἑλλήνων, πρότερον μὲν ὅτι τὸν [πρότερον] Μηδικὸν οὐ συνεπολεμήσαμεν, δεύτερον δὲ τὸν νῦν ἐπαγγελλόμενον. Καίτοι πρὸς ἐκεῖνον μὲν ἱκανὴν πρόφασιν εἴχομεν· πρὸ ἡμῶν μὲν γὰρ ἠθέλομεν αὐτοῖς συνδιακινδυνεύειν· οὕτω γὰρ ἐπὶ πάσης ἐγίνετο μᾶλλον, ἢ τὴν ἡμετέραν αὐτῶν ἀπολιπόντας περὶ τῆς ἐκείνων διαμάχεσθαι· νῦν δὲ
177 τί φήσομεν; αὐτοὶ γὰρ ἥκουσιν ὑπὲρ ἡμῶν καὶ τῆς ἡμετέρας ἐθέλοντες κινδυνεύειν. Ἔτι δὲ πῶς οὐ δει-

stis, quum tale sui specimen omnibus ederet, quale nemo quantumvis durus et inhumanus absque lacrimis posset exponere. Quod enim de gravissimis malis defuit? non et pueri et mulieres et senes parentes, illi patres, aliæ viros, aliæ liberos, vel in suis manibus vel inter hostes mori viderunt? nonne conspexistis ædium subversiones atque opes raptas? et, quod erat omnium gravissimum, hæc sæpe fiebant ab eo qui sacrorum eorundem atque ejusdem tribus esset particeps, quem juvare secundum leges, non contra leges decebat perdere? Quo tempore ætas senibus pariter ac orbatis calamitati et malo erat. Atque horum auctorem quis nobis affligendum quum possimus neget, tum juvandos mortuos, tum orbatis misericordiam tribuendam? Neque enim hoc tantum erit commodi, quod rerum præteritarum pœnas expetemus, sed etiam reliquos hoc exemplo docebimus, ne dissensionem nostram in lucro ponant neque nobiscum nobis insidientur. Id porro si contingat, nunquam seditione nos laboraturos confido, si nusquam insidiantibus adjutores occurrant.

4. Atque his quidem de causis commodum est cum iis qui adhortantur bellum voluntario capessere : quam sit autem necessarium ex sequentibus cognoscite. Etenim Archelaus nec Peloponnesios cum Atheniensibus invasit, nec per suam ire regionem vetuit, neque pecuniam contra illos suppeditavit, neque ullam dedit inimicitiæ causam, nisi quod cum illis Athenienses oppugnare noluit, verum quietem sectatus est. Quare si satis est causæ Peloponnesiis, quum hostes judicant eos qui noluerunt una bellum gerere, cavendum est ne nobis eadem de causa bellum inferant, si vocati una pugnare noluerimus : etenim nullam ab Atheniensibus injuriam acceperat. Nobis vero quænam est reliqua ratio? An quia læsi non sumus? Docebimus eos eadem, quæ ille, facere : si enim qui id fecit injuste non egit, nulla omnino est injustitia. An vero læsos esse fatebimur, ulcisci nos velle negabimus? Admodum igitur ignavos reddemus eos qui nobis benefacere cogitant. An denique velle, sed non posse dicemus? Quis ergo nostras vires non contemnet, si ne Græcorum quidem auxilio poterimus hostes ulcisci, et, quod est maximum, secundam apud Græcos culpam subibimus, qui nec in primo bello Persico, nec in hoc quod nunc indicitur, socios nos præbeamus? Quanquam in illo non deerat nobis excusatio : pro nobis enim volebamus una cum illis periclitari; atque hoc honestius ducebamus, quam si nostra relicta de illorum regione depugnaremus. Nunc autem quid dicemus? siquidem ipsi pro nobis ac nostris adsunt periclitaturi. Præterea nonne indignum, si soli

νὸν εἰ μόνοι τῶν Ἑλλήνων εἰς τὴν Ἑλληνίδα συμμαχίαν οὐ συναριθμησόμεθα; Τοῦτο δ' ὅσον ἐστίν, αὐτὸς οὗτος δεδήλωκεν· ἐπιθυμῶν γὰρ καὶ χρήματα βουλόμενος τοῖς Ἕλλησιν δοῦναι ὅπως γένοιτο σύμμαχος, οὐκ ἐδυνήθη διαπράξασθαι. Καὶ τοῦτο σχεδόν ἐστι δυοῖν σημεῖον, καὶ ὅτι ἀγαθόν ἐστι καὶ ὅτι χαλεπόν. Περὶ μὲν οὖν τούτων, ἐὰν ταῦτά τις ἀντιλέγῃ, τοσαῦτά μοι λελέχθω.

5. Ἤδη δὲ λόγον ἤκουσα λεγόμενον, ὅς μοι σημεῖόν ἐστιν ἱκανὸν ὅτι βέλτιστά ἐστιν ἃ ἐγὼ λέγω τοῖς ἐναντιωσομένοις. Εἴπερ ὁ λόγος ἐκεῖνος ἰσχυρότατός ἐστιν, οὐκ ἄξιόν ἐστιν ἔτι φοβηθῆναι. Λέγουσι γὰρ ὡς κρείσσων Ἀρχέλαός ἐστι, καὶ τοιοῦτος ὢν πρόσοικος μᾶλλον ἢ Πελοποννήσιοι· τοῦτον μὲν γὰρ εἰ βουλοίμεθα, δυναίμεθ' ἂν ἀμύνεσθαι, Πελοποννησίους δ' οὐκ ἄν· οὐκοῦν κρεῖσσον στασιάζειν πρὸς ὑμᾶς αὐτοὺς μᾶλλον ἢ δουλεύειν ἑτέροις. Ἐγὼ δ' εἰ μὲν ἀνάγκην ἑώρων οὖσαν ἡμῖν ἑλέσθαι δυοῖν θάτερον, ἐβουλευσάμην ἂν ὁπότερον χρή μ' ἑλέσθαι· τὴν δ' ἡσυχίαν εὑρίσκω πρὸς Πελοποννησίους οὖσαν. Θαυμάζω δὲ καὶ τῶν ἀντιτιθέντων τὰ πράγματα τοῖς πράγμασιν. Οὐ γὰρ ὅμοια πρὸς ὅμοια συντιθέασι, πρῶτον μὲν ὅτι τὰ μὲν ὑπὸ τούτων σαφῶς ἐπιστάμεθα, τὰ δ' ὑπ' ἐκείνων ὑπονοοῦμεν. Τὰ μὲν γὰρ ἐπάθομεν, τὰ δ' οὐκ ἐπιστάμεθα εἰ πεισόμεθα. Πῶς οὖν ἴσον ἐστὶ τοῖς μὲν ἤδη γεγενημένοις μὴ θυμοῦσθαι, τὰ δ' εἰκαζόμενα φοβεῖσθαι μᾶλλον; ἐκ ποίων δὲ χρὴ παραδειγμάτων ὀρρωδεῖν αὐτά; πότερον οὐχ ὁρῶμεν τοὺς πλησιαιτάτους ἡμῖν προσοικοῦντας τῶν Ἑλλήνων Φωκέας ἐλευθέρους ὄντας, προσεχομένους δὲ Βοιωτοὺς οὔτε φόρον φέροντας ἐκείνοις, οὔτε ἄρχοντα οὐδένα Λακεδαιμονίων αὐτόθι, ἔτι δὲ διὰ πλείονος Κορινθίους αὐτονόμους ὄντας καὶ τῶν ἑαυτῶν κρατοῦντας, Ἀχαιοὺς δὲ πρὸς τούτοις οὔτε πλείονας ὄντας ἡμῶν οὔτε κατὰ πλείους οἰκοῦντας, Ἠλείους δὲ καὶ Τεγεάτας καὶ τοὺς ἄλλους Ἀρκάδας, ἀστυγείτονας ὄντας; Ἔνθ' οὐδεὶς εὕρηκέ πω Λακεδαιμόνιον ἄρχοντα, ὥσπερ οὐδ' ἐνθάδε Μακεδόνα· πολιτείας δὲ πανταχοῦ καὶ νόμους ἐπιστάμεθα κειμένους, καὶ τὰ κοινὰ κοινῇ καρπουμένους.

6. Ἴσως ἄν τις εἴποι, ἀλλ' ὀλιγαρχίαν ἁπανταχοῦ καθιστᾶσι. Τοιαύτην γε οἵαν ἡμεῖς εὐχόμενοι πολὺν χρόνον καὶ ποθοῦντες, ὀλίγον χρόνον ἰδόντες, ἀφῃρέθημεν· εἰ δὴ προσήκει ὀλιγαρχίας λέγειν ἐκείνας πρὸς τὰς ἐνθάδε. Ποῦ γὰρ οὕτω μικρὰ πόλις ἐν ᾗ τὸ τρίτον μέρος οὐ μετέχει τῶν πραγμάτων αὐτόθι; ὅτῳ δὲ μήτε ὅπλα μήτε ἄλλη δύναμίς ἐστι τὰ κοινὰ πράσσειν, οὐχ ὑπὸ Λακεδαιμονίων ἀλλ' ὑπὸ τῆς τύχης ἀπεστερήθη τῶν πραγμάτων. Ἀπεστέρηται δὲ τοσοῦτον χρόνον, ἕως ἂν παράδειγμα θῆται. Παρὰ δὲ ταῦτα, παρ' ὑμᾶς ἐστίν. Οἶμαι μὲν γὰρ ἡμᾶς οὐδ' ἂν εὐχομένους ἄλλως εὔξασθαι πολιτεύεσθαι, παραδείγματα μὲν τοιαῦτα παρεχομένους ὀρρωδεῖν οὐκ εἰκὸς αὐτούς, ἃ μὴ γενέσθαι δεινόν ἐστι μᾶλλον ἢ γενέσθαι. Καὶ Λακεδαιμονίους μὲν οὐκέτι πέφυκεν ἡμῖν ἐπιτίθεσθαι· πόρρω γὰρ οἰκοῦ-

Græcorum in societate Græca non censebimur? Id vero quantum sit, hic ostendit ipse: nam quum pecunia cuperet Græcorum societatem emere, non potuit obtinere. Quod quidem et commodam rem esse et difficilem simul demonstrat. Ac de his quidem, si quis ea contra proferat, hæc dicta sint.

5. Sed alium audio sermonem, qui ea quæ contra dico optima esse perspicue ostendit. Etenim si adversariorum ratio foret firmissima, deponendus jam esset metus. Aiunt enim præstare Archelaum, quamvis talem, accolam Peloponnesiis: nam hunc facile si velimus repellamus, Peloponnesios non item: quare seditione præstat inter nos conflictari quam aliis servire. At ego si necessario viderem eligendum alterutrum, utrum potius esset deliberarem: verum quietem nobis cum Peloponnesiis intercedere video. Miror præterea istorum contentionem qui dissimilia inter se comparent. Paria enim cum paribus neutiquam comparant, primum quidem quia horum facta cognoscimus aperte, illorum suspicione complectimur. Si quidem illa sensimus, hæc an sensuri simus ignoramus. Non igitur æquum est ob res gestas non indignari, quas autem assequimur conjectura magis timere. Quibus vero exemplis metum hunc concipiamus? Non videmus proximos nobis Græcos Phocenses esse liberos, propinquos Bœotos nec tributo nec magistratu ullo Laconico premi, remotiores etiam Corinthios sui juris esse suisque frui, Achivos præterea qui nos nec multitudine nec oppidis superant, nec non Eleos, Tegeatas et Arcadas reliquos eodem se habere modo? sic, ut nullus ibi regnarit adhuc Laco, sicut nec hic Macedo. Jam respublicas ubique constitutas et leges positas novimus, ac rerum communium usum esse communem.

6. Sed eos forte quis paucorum imperium ubique dicet instituere. Tale profecto, quale nos quum diu optassemus ac desiderassemus, brevi sumus constituto spoliati: si quidem comparanda sunt illa paucorum cum istis imperia. Ubi enim tam parvam urbem reperias, in qua non tertia pars præsit rebus? cui autem neque armorum gerendorum neque reliquæ reipublicæ administrandæ facultas est, is non tam per Lacedæmonios quam per fortunam privatus est imperio. Privatus quidem est, donec documentum ediderit. Omnia vero ista penes vos sunt. Nam reipublicæ quidem formam vix aliam, arbitror, possimus exoptare; exemplis autem propositis ea non debemus timere, quæ non contingere sit quam contingere gravius. Lacedæmonii porro

σιν ἀφ' ἡμῶν, ἀπαράσκευοί τ' εἰσὶ πρὸς τὴν χώραν. Ὧι γὰρ ἡμεῖς ἰσχύομεν μάλιστα, οὐκ ὀλίγον διαφέρουσι, πλησίοι εἶναι αὐτῷ. Πρῶτον μὲν γὰρ οὐκ εἰκότως ἐπιβουλεύουσιν· ἐὰν δ' ἐγχειρῶσιν, οὐ λήσουσιν· ἐὰν δὲ προγινώσκωμεν, οὐκ ἀμελήσομεν αὐτῶν. Ὥστε οὐδαμῇ καλῶς αὐτοῖς ἐπιτίθεσθαι σχήσει.

7. Εἰ δὲ καὶ τόνδε τις τὸν λόγον λέξει, ὡς Ἀρχέλαος παῖδας ἔχει καὶ διὰ τοὺς παῖδας οὐχ οἷόντε συμπολεμεῖν, πρῶτον μὲν ἄξιον θαυμάσαι τοῦτον, ὅστις περὶ μὲν δέκα παίδων λέξειε, περὶ δὲ τῶν ἁπάντων οὐ λέγει οὐδὲ περὶ τῆς πόλεως, καὶ τὸ μὲν τῶν παίδων (l. πάντων s. πολλῶν) συμφέρον ἀποστερεῖ, περὶ δὲ τῶν ὀλίγων καθίστησιν. Εἰ μὲν οὖν ἀναγκαῖον ἦν παθεῖν τι τοὺς παῖδας, οὐ θαυμαστὸν ἦν λέξαι· νῦν δὲ δῆλόν ἐστιν
178 ὅτι κρατοῦντες ἐκείνου καὶ τῶν παίδων ἅμα κρατήσομεν, ὥστε ἀφελόντες τῶν ἐκείνου κακῶν ῥᾳδίως ἀπολαβεῖν τοὺς παῖδας.

8. Ὁ μὲν οὖν ἐμὸς λόγος ἀμύνεσθαι μὲν τὸν ἀδικοῦντα κελεύει, τιμωρεῖν δὲ τοῖς ἀποθανοῦσι, χαρίζεσθαι δὲ τοῖς παρήκουσι (l. προσήκουσι), δέχεσθαι δὲ τὴν τύχην, συμμάχους τε τοῖς Ἕλλησιν εἶναι, πολεμίους δὲ τοῖς βαρβάροις, καὶ πιστεύειν μὲν τοῖς ὠφελοῦσιν, ὀρρωδεῖν δὲ τοὺς μὴ τοιούτους, ἐχθροὺς δὲ νομίζειν τοὺς ἀδικοῦντας, φίλους δὲ τοὺς ἐπαμύνοντας, πρὸς τούτοις τε τὰ γιγνωσκόμενα τῶν εἰκαζομένων κυριώτερα ἡγεῖσθαι. Ταῦτα μὲν οὖν οὑμὸς λόγος· τοῖς δὲ ἐναντιουμένοις εἰς τοῦτο ἥξουσι τόλμης τἀναντία δεῖ δύνασθαι τὸν λόγον, ἀνέχεσθαι μὲν ἀδικουμένους, ὠφελεῖν δὲ τοὺς ἀδικοῦντας, φεύγειν δὲ τοὺς βουλομένους ὠφελεῖν, ἀπιστεῖν δὲ τοῖς φίλοις, πιστεύειν δὲ τοῖς ἐχθροῖς, ὀρρωδεῖν δὲ τὰ πόρρω, τὰ δὲ πλησίον ὑπερορᾶν, ἔπειτα τοῖς Ἕλλησι μὴ γίνεσθαι συμμάχους, τοῖς δὲ βαρβάροις, καὶ πρὸς τούτῳ τοῖς ἐχθροτάτοις, ἔτι δὲ ἀτιμωρήτους μὲν τεθνάναι τοὺς ἀποθανόντας, ἀτίμους δὲ τοὺς προσήκοντας εἶναι, καὶ μήτε πολιτείαν εἶναι μήτε νόμον μήτε δίκας. Τοιαῦτα ἀνάγκη τὸν λόγον τὸν τῶν ἀντιλεξόντων δύνασθαι· ταῦτα γάρ ἐστιν ἐναντία τούτοις οἷς ἐγὼ λέγω. Πειθόμενοι οὖν ἐκείνοις τούτων οὐχ ἁμαρτήσεσθε· δεξάμενοι δὲ τὴν συμμαχίαν καὶ προθυμηθέντες, ὧν ἐπάθομέν τε δίκην ληψόμεθα καὶ τὸ λοιπὸν οὐ πεισόμεθα τοιαῦτα.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΑΙΑΣ.

181 Ἐβουλόμην ἂν τοὺς αὐτοὺς ἡμῖν δικάζειν οἵπερ καὶ ἐν τοῖς πράγμασι παρῆσαν· οἶδα γὰρ ὅτι ἐμὲ μὲν ἔδει σιωπᾶν, τούτῳ δ' οὐδὲν ἂν ἦν πλέον λέγοντι· νῦν δὲ οἱ μὲν παραγενόμενοι αὐτοῖς τοῖς ἔργοις ἄπεισιν, ὑμεῖς δὲ οἱ οὐδὲν εἰδότες δικάζετε. Καίτοι ποία τις ἂν δίκη δικαστῶν μὴ εἰδότων γένοιτο, καὶ ταῦτα διὰ λόγων; τὸ δὲ πρᾶγμα ἐγίνετο ἔργῳ. Τὸ μὲν οὖν σῶμα τοῦ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων, τὰ δὲ ὅπλα ὅδε, ἐπιστάμενος ὅτι οὐ τῶν ὅπλων μᾶλλον ἐπεθύμουν οἱ Τρῶες ἀλλ' ἢ τοῦ νεκροῦ κρατῆσαι. Τοῦ μὲν γὰρ εἰ ἐκράτησαν, ᾐκίσαντό τε ἂν τὸ σῶμα καὶ τὰ λύτρα τοῦ

non facile nos invaserint : sunt enim longe a nobis remoti, nec nimis ad eam rem instructi. Nam propinquitas, qua nos valemus plurimum, non parvum apud illos discrimen facit. Quare primum non temere nos aggredientur : sin facient, non latebunt; si præsciemus, non negligemus. Quo fit, ut nulla ratione nos commode queant invadere.

7. Quod si quis hoc etiam dixerit, pueros (*Thebanos*) habere (*obsides*) Archelaum ac propter eos non esse bellandum, admirari primum eum libeat, qui decem puerorum mentionem faciat, omnium atque civitatis ipsius obliviscatur; et quum multorum utilitatem negligat, paucorum rationem habeat. Jam si necessario pueris aliquid esset expectandum, nullam hæc verba admirationem moverent : nunc illo devicto, pueros quoque in nostra potestate fore manifestum est, adeo ut eos malis ab illo timendis liberatos facile recuperaturi simus.

8. Ac mea quidem oratio jubet injuriarum auctorem ulcisci, mortuos juvare, necessariis gratificari, fortunam accipere, Græcis amicos, barbaris hostes esse, juvantibus confidere, alios metuere, lædentes pro hostibus, juvantes pro amicis habere, denique res cognitas suspicionibus certiores ducere. Atque hæc quidem mea vult oratio : qui autem ea erunt audacia contrariam ut instituant, eorum oratio contraria necesse est jubeat; damnum ultro accipere, lædentes juvare, prodesse volentes fugere, amicis diffidere, fidere hostibus, longinqua metuere, propinqua contemnere, non cum Græcis, sed cum barbaris, iisque inimicissimis, inire societatem, inultos mortuos, inhonestos necessarios relinquere, rempublicam, leges juraque abolere. Atque hæc oportet adversariorum velle orationem : quandoquidem hæc iis quæ ego dico sunt contraria. Quamobrem, si illis parebitis, hæc vobis non deerunt : sin societatem arripiemus, et pœnas rerum perpessarum expetemus nec in posterum similia perferemus.

ANTISTHENIS AJAX.

Vellem equidem nobis eosdem dari judices, qui rebus gestis etiam interfuerunt; tum enim profecto nec me quicquam esset opus loqui, nec huic verba prodessent : nunc autem qui rebus interfuerunt non adsunt, vos autem, qui notitiam rei nullam habetis, judices estis. Quale vero sit judicum ignarorum judicium, præsertim verbis peragendum, quum res facto constiterit? Atque ego quidem Achillis cadaver sustuli, hic autem arma, quum Trojanos ron tam armorum quam corporis potiundi desiderio teneri sciret. Hoc enim si cepissent, et contumeliis ipsum affecissent et

Ἕκτορος ἐκομίσαντο· τὰ δὲ ὅπλα τάδε οὐκ ἂν ἀνέθεσαν τοῖς θεοῖς, ἀλλ' ἀπέκρυψαν, δεδιότες τόνδε τὸν ἀγαθὸν ἄνδρα, ὃς καὶ πρότερον ἱεροσυλήσας αὐτῶν τὸ ἄγαλμα τῆς θεοῦ νύκτωρ ὥσπερ τι καλὸν ἐργασάμενος ἐπεδείκνυτο τοῖς Ἀχαιοῖς. Κἀγὼ μὲν ἀξιῶ λαβεῖν ἵν' ἀποδῶ τὰ ὅπλα τοῖς φίλοις, οὗτος δὲ ἵν' ἀποδῶται, ἐπεὶ χρῆσθαί γε αὐτοῖς οὐκ ἂν τολμήσειε· δειλὸς γὰρ οὐδεὶς ἂν ἐπισήμοις ὅπλοις χρήσαιτο, εἰδὼς ὅτι τὴν δειλίαν αὐτοῦ ἐκφαίνει τὰ ὅπλα.

2. Σχεδὸν μὲν οὖν ἐστιν ἅπαντα ὅμοια. Οἵ τε γὰρ διαθέντες τὸν ἀγῶνα βασιλεῖς ἱκανοὶ ὄντες περὶ ἀρετῆς κρίνειν ἐπέτρεψαν ἄλλοις, οἵ τε οὐδὲν εἰδότες δικάσειν ὑπισχνεῖσθε περὶ ὧν οὐκ ἴστε. Ἐγὼ δὲ ἐπίσταμαι τοῦτο, ὅτι οὐδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν περὶ ἀρετῆς κρίνειν ἐπιτρέψειεν ἄλλοις μᾶλλον ἤπερ ἀγαθὸς ἰατρὸς διαγνῶναι νοσήματα ἄλλῳ παρείη.

3. Καὶ εἰ μὲν ἦν μοι πρὸς ἄνδρα ὁμοιότροπον, οὐδ' ἂν ἡττᾶσθαί μοι διέφερε· νῦν δ' οὐκ ἔστιν ὃ διαφέρει πλέον ἐμοῦ καὶ τοῦδε. Ὁ μὲν γὰρ οὐκ ἔστιν ὅ τι ἂν δράσειε φανερῶς, ἐγὼ δὲ οὐδὲν ἂν λάθρᾳ τολμήσαιμι πρᾶξαι. Κἀγὼ μὲν οὐκ ἂν ἀνασχοίμην κακῶς ἀκούων, οὐδὲ γὰρ κακῶς πάσχων, ὁ δὲ κἂν κρεμάμενος, εἴ γε κερδαίνειν τι μέλλοι, ὅστις γε μαστιγοῦν παρεῖχε τοῖς δούλοις καὶ τύπτειν ξύλοις τὰ νῶτα καὶ πυγμαῖς τὸ πρόσωπον, κἄπειτα περιβαλόμενος ῥάκη, τῆς νυκτὸς εἰς τὸ τεῖχος εἰσδὺς τῶν πολεμίων, ἱεροσυλήσας ἀπῆλθε. Καὶ ταῦτα ὁμολογήσει ποιεῖν, ἴσως δὲ καὶ πείσει λέγων ὡς καλῶς πέπρακται. Ἔπειτα τῶν Ἀχιλλέως ὅπλων ὅδε ὁ μαστιγίας καὶ ἱερόσυλος ἀξιοῖ κρατῆσαι;

4. Ἐγὼ μὲν οὖν ὑμῖν λέγω τοῖς οὐδὲν εἰδόσι κριταῖς καὶ δικασταῖς, μὴ εἰς τοὺς λόγους σκοπεῖν περὶ ἀρετῆς κρίνοντας, ἀλλ' εἰς τὰ ἔργα μᾶλλον. Καὶ γὰρ ὁ πόλεμος οὐ λόγῳ κρίνεται ἀλλ' ἔργῳ· οὐδ' ἀντιλέγειν 182 ἔξεστι πρὸς τοὺς πολεμίους, ἀλλ' ἢ μαχομένους κρατεῖν ἢ δουλεύειν σιωπῇ. Πρὸς ταῦτα ἀθρεῖτε, καὶ σκοπεῖτε ὡς, εἰ μὴ δικάσετε καλῶς, γνώσεσθε ὅτι οὐδεμίαν ἔχει λόγος πρὸς ἔργον ἰσχὺν, οὐδ' ἔστιν ὑμᾶς ὅ τι λέγων ἀνὴρ ὠφελήσει, εἴσεσθε δὲ ἀκριβῶς ὅτι δι' ἀπορίαν ἔργων πολλοὶ καὶ μακροὶ λόγοι λέγονται. Ἀλλ' ἢ λέγετε ὅτι οὐ ξυνίετε τὰ λεγόμενα, καὶ ἀνίστασθε, ἢ δικάζετε ὀρθῶς. Καὶ ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ φανερῶς, ἵνα γνῶτε ὅτι καὶ αὐτοῖς τοῖς δικάζουσι δοτέα δίκη ἐστὶν, ἂν μὴ δικάσωσιν ὀρθῶς. Κἄπειτ' ἴσως γνώσεσθε ὅτι οὐ κριταὶ τῶν λεγομένων ἀλλὰ δοξασταὶ κάθησθε. Ἐγὼ δὲ διαγινώσκειν μὲν ὑμῖν περὶ ἐμοῦ καὶ τῶν ἐμῶν ἐπιτρέπω, διαδοξάζειν δὲ ἅπασιν ἀπαγορεύω, καὶ ταῦτα περὶ ἀνδρὸς ὃς οὐχ ἑκὼν ἀλλ' ἄκων ἀφῖκται εἰς Τροίαν, καὶ περὶ ἐμοῦ ὃς πρῶτος ἀεὶ καὶ μόνος καὶ ἄνευ τείχους τέταγμαι.

Hectoris pretium recuperassent: arma vero non diis obtulissent potius quam hujus viri probi metu abscondissent, qui etiam nuper deæ statuam nocte per sacrilegium furatus, Græcis quasi præclarum quiddam effecisset, ostentabat. Et ego quidem, ut amicis arma reddam, ea postulo; hic autem ut vendat, quandoquidem uti non auderet: haud enim gnavior insignibus utatur armis, quum per ea suam prodi sciat ignaviam.

2. Atque omnia fere sunt similia. Nam qui certamen instituerunt reges quum possent de virtute judicare, aliis hoc negotium commiserunt, et vos omnium ignari, de iis vos quæ non intelligitis judicaturos recipitis. Ego vero hoc scio, regem nullum, qui de virtute judicare possit, id aliis commissurum, non magis quam peritus medicus ad alium morborum judicium deferret.

3. Quod si mihi cum simili viro res esset, ne vinci quidem puderet: nunc inter me et hunc discrimen est maximum. Etenim hic nihil aperte faciet, ego nihil occulte. Ego male audire nolim, ut nec male affici; hic vel suspendi se patiatur, modo sit lucri spes aliqua: qui tergum flagris servorum et fustibus, pugnis faciem exposuit, atque ita pannis involutus, nocte in hostium urbem ad committendum sacrilegium irrepsit. Neque hæc se negabit fecisse, verum etiam recte facta, credo, persuadebit. Ac sacrilegus hic et mastigia sibi Achillis arma postulat?

4. Equidem vos jubeo judices imperitos non verba potius quam facta spectare, quandoquidem de virtute judicatis. Nam et bellum factis non verbis geritur; neque cum hostibus disputare licet, sed vel vincendum est vel silentio serviendum. Hæc vos animadvertite et considerate: si enim non recte judicaveritis, nihil ad facta valere verba, nec dicendo quenquam vobis prodesse posse, manifestum fiet; simul et hoc intelligetis, per factorum inopiam multos haberi longosque sermones. Quocirca vel non intelligere vos quæ dicantur fatemini et surgite, vel recte judicate. Idque non occulte, sed palam, ut ipsos quoque judices manere pœnam, si secus judicarint, sciatis. Hoc deinde cognoscetis, non judices vos dictorum, sed arbitros sedere. Ut enim judicare vobis de me rebusque meis permitto, ita arbitrari nemini, præsertim inter eum qui non ultro sed invitus ad Trojam venit, et me qui semper primus ac solus et absque mœnibus in acie consisto.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΟΔΥΣΣΕΥΣ.

182 Οὐ πρὸς σέ μοι μόνον ὁ λόγος, δι' ὃν ἀνέστην, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· πλείω γὰρ ἀγαθὰ πεποίηκα τὸ στρατόπεδον ἐγὼ ἢ ὑμεῖς ἅπαντες. Καὶ ταῦτα καὶ ζῶντος ἂν ἔλεγον Ἀχιλλέως, καὶ νῦν τεθνεῶτος λέγω πρὸς ὑμᾶς. Ὑμεῖς μὲν γὰρ οὐδεμίαν ἄλλην μάχην μεμάχησθε, ἣν οὐχὶ καὶ ἐγὼ μεθ' ὑμῶν· ἐμοὶ δὲ τῶν ἰδίων κινδύνων οὐδεὶς ὑμῶν οὐδὲν ξύνοιδε. Καίτοι ἐν μὲν ταῖς κοιναῖς μάχαις, οὐδὲ εἰ καλῶς ἀγωνίζοισθε, πλέον ἐγίγνετο οὐδέν· ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις, οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώσαιμι, ἅπαντα ὑμῖν ἐπετελεῖτο ὧν ἕνεκα δεῦρο ἀφίγμεθα, εἰ δὲ σφαλείην, ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐστέρησθε. Οὐ γὰρ ἵνα μαχοίμεθα τοῖς Τρωσὶ δεῦρο ἀφίγμεθα, ἀλλ' ἵνα τήν τε Ἑλένην ἀπολάβοιμεν καὶ τὴν Τροίαν ἕλοιμεν. Ταῦτα δ' ἐν τοῖς ἐμοῖς κινδύνοις ἐνῆν ἅπαντα. Ὅπου γὰρ ἦν κεχρημένον ἀνάλωτον εἶναι τὴν Τροίαν, εἰ μὴ πρότερον τὸ ἄγαλμα τῆς θεοῦ λάβοιμεν τὸ κλαπὲν παρ' ἡμῶν, τίς ἐστιν ὁ κομίσας δεῦρο τὸ ἄγαλμα ἄλλος ἢ ἐγώ; ὃν σύ γε ἱεροσυλίας κρίνεις. Σύ γε οὐδὲν οἶσθα, ὅστις τὸν ἄνδρα τὸν ἀνασώσαντα τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ' οὐ τὸν ὑφελόμενον παρ' ἡμῶν Ἀλέξανδρον, ἀποκαλεῖς ἱερόσυλον. Καὶ τὴν Τροίαν μὲν ἁλῶναι ἅπαντες εὔχεσθε, ἐμὲ δὲ τὸν ἐξευρόντα ὅπως ἔσται τοῦτο ἀποκαλεῖς ἱερόσυλον; καίτοι εἴπερ καλόν γε ἦν ἑλεῖν τὸ Ἴλιον, καλὸν καὶ τὸ εὑρεῖν τὸ τούτου αἴτιον. Καὶ οἱ μὲν ἄλλοι χάριν ἔχουσι, σὺ δὲ καὶ ὀνειδίζεις ἐμοί· ὑπὸ γὰρ ἀμαθίας ὧν εὖ πέπονθας οὐδὲν οἶσθα. Κἀγὼ μὲν οὐκ ὀνειδίζω σοι τὴν ἀμαθίαν· ἄκων γὰρ αὐτὸ καὶ σὺ καὶ ἄλλοι πεπόνθατε ἅπαντες· ἀλλ' ὅτι διὰ τὰ ὀνείδη τὰ ἐμὰ σωζόμενος οὐχ οἷός τε εἶ πείθεσθαι, ἀλλὰ καὶ προσαπειλεῖς ὡς κακὸν δράσων τι τούσδε, ἐὰν ἐμοὶ τὰ ὅπλα ψηφίσωνται. Καὶ πολλάκις γε ἀπειλήσεις καὶ πολλά, πρὶν καὶ σμικρόν τι ἐργάσασθαι· ἀλλ' εἴπερ ἐκ τῶν εἰκότων τι χρὴ τεκμαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς οἴομαί σε κακόν τι σαυτὸν ἐργάσασθαι.

2. Καὶ ἐμοὶ μὲν, ὅτι τοὺς πολεμίους κακῶς ἐποίησα, δειλίαν ὀνειδίζεις· σὺ δὲ ὅτι φανερῶς ἐμόχθεις καὶ μάτην ἠλίθιος ἦσθα, μετὰ πάντων τοῦτο δράσας, οἴει βελτίων εἶναι. Ἔπειτα περὶ ἀρετῆς πρὸς ἐμὲ λέγεις· ὃς πρῶτον μὲν οὐκ οἶσθα οὐδ' ὅπως ἔδει μάχεσθαι, ἀλλ' ὥσπερ σῦς ἄγριος ὀργῇ φερόμενος τάχ' ἄν ποτε ἀποκτενεῖς σεαυτὸν, κακῷ περιπεσών τῳ. Οὐκ οἶσθα ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν οὔθ' ὑπ' αὑτοῦ χρὴ οὔθ' ὑφ' ἑτέρου οὔθ' ὑπὸ τῶν πολεμίων κακὸν οὐδ' ὁτιοῦν πάσχειν; σὺ δὲ ὥσπερ οἱ παῖδες χαίρεις ὅτι σέ φασιν οἵδε ἀνδρεῖον εἶναι· ἐγὼ δὲ δειλότατόν γε ἁπάντων καὶ δε-
183 διότα τὸν θάνατον μάλιστα, ὅστις γε πρῶτον ὅπλα ἔχεις ἄρρηκτα καὶ ἄτρωτα, δι' ἅπερ σέ φασιν οὐ τρωτὸν εἶναι. Καίτοι τί ἂν δράσαις εἴ τις σοὶ τῶν πολεμίων τοιαῦτα ὅπλα ἔχων προσέλθοι; ἦ που καλόν τι καὶ

ANTISTHENIS ULYSSES.

Non mihi tecum solum, propter quem surrexi, sed cum aliis etiam omnibus res est : nam plus ego commodi quam vos omnes exercitui attuli. Atque hoc et vivente dixissem Achille, et mortuo nunc ad vos dico. Vos enim nullum obiistis prælium, cujus ego particeps non fuerim : at in meis privatis periculis nemo vestrûm partem habet. Jam in communibus pugnis ne victoria quidem permultum proderat : in meis vero discriminibus, quæ solus subibam, sive feliciter me gererem, omnia vobis quorum causa huc venimus, contingebant, sive secus, uno me fuissetis orbati. Neque enim ad manus cum Trojanis conserendas huc appulimus, verum ad Helenam recuperandam et capiendam Trojam. Hæc porro meis in discriminibus erant omnia posita. Posteaquam enim non potuit per oraculum Troja capi, priusquam deæ statuam nacti essemus, quis eam huc præter me deduxit? quem tu quidem sacrilegii insimulas. Imperitus es profecto, qui eum a quo est restituta statua, non Alexandrum qui nobis eam surripuit, sacrilegum voces. Quumque omnes Trojæ excidium optaveritis, me, qui ejus efficiendi rationem invenerim, appelles sacrilegum? Atqui si pulchrum erat Trojam capere, ejus quoque rei viam invenire pulchrum erat. Quumque alii gratias agant, tu a probris abstinere non potes : nam per imperitiam beneficia non agnoscis. Quanquam non imperitiæ te insimulo; quoniam illa tum tibi tum aliis omnibus contingit invitis : sed quod meis probris servari te non confiteris, verum insuper minaris, quasi hos, si mihi arma adjudicarint, male sis accepturus. Ac sæpe multumque minaberis, antequam ad rem venias : quinetiam si quid est indulgendum conjecturæ, existimo te in teipsum præ rabie aliquid male consulturum.

2. Et mihi quidem quod hostes læsi, ignaviam exprodras, te autem putas, quoniam palam luctabaris et cum reliquis frustra te fatigabas, fortiorem esse. Deinde mecum de virtute disputas, qui primum ne hoc quidem quomodo pugnandum sit scias, verum instar efferatæ suis ira raptus etiam teipsum aliquando per cladem aliquam occideris. An ignoras virum fortem nec a se nec ab alio nec ab inimicis lædi debere? Tu vero quasi puer, quoniam hi fortem te dicunt, gaudes : at ego te ignavissimum et mortis metuentem maxime dixero, qui primum arma habeas quæ nec frangi nec vulnerari possint, quorum te ope tradunt invulneratum semper esse. Quid autem feceris, si quis hostium cum similibus armis te aggrediatur? An hoc insigne et mi-

θαυμαστὸν ἂν εἴη, εἰ μηδέτερος ὑμῶν μηδὲν δρᾶσαι δύναιτο. Ἔπειτα οἴει τι διαφέρειν τοιαῦτα ὅπλα ἔχειν ἢ ἐντὸς τείχους καθῆσθαι; καὶ σοὶ μόνῳ δὴ τεῖχος οὐκ ἔστιν, ὡς σὺ φῄς· μόνος μὲν οὖν σύ γε ἑπταβόειον περιέρχῃ τεῖχος προβαλλόμενος ἑαυτοῦ· ἐγὼ δὲ ἄοπλος οὐ πρὸς τὰ τείχη τῶν πολεμίων ἀλλ' εἰς αὐτὰ εἰσέρχομαι τὰ τείχη, καὶ τῶν πολεμίων τοὺς προφύλακας ἐγρηγορότας αὐτοῖς ὅπλοις αἱρῶ, καὶ εἰμὶ στρατηγὸς καὶ φύλαξ καὶ σοῦ καὶ τῶν ἄλλων ἁπάντων, καὶ οἶδα τά τ' ἐνθάδε καὶ τὰ ἐν τοῖς πολεμίοις, οὐχὶ πέμπων κατασκεψόμενον ἄλλον, ἀλλ' αὐτὸς, ὥσπερ οἱ κυβερνῆται τὴν νύκτα καὶ τὴν ἡμέραν σκοποῦσιν ὅπως σώσουσι τοὺς ναύτας, οὕτω δὲ καὶ ἔγωγε καὶ σὲ καὶ τοὺς ἄλλους ἅπαντας σώζω. Οὐδ' ἔστιν ὅντινα κίνδυνον ἔφυγον αἰσχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι τοὺς πολεμίους κακόν τι δράσειν· οὐδ' εἰ μὲν ὄψεσθαί μέ τινες ἔμελλον, γλιχόμενος ἂν τοῦ δοκεῖν ἐτόλμων· ἀλλ' εἴτε δοῦλος εἴτε πτωχὸς καὶ μαστιγίας ὢν μέλλοιμι τοὺς πολεμίους κακόν τι δράσειν, ἐπεχείρουν ἂν, καὶ εἰ μηδεὶς ὁρῴη. Οὐ γὰρ δοκεῖν ὁ πόλεμος, ἀλλὰ δρᾶν ἀεὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φιλεῖ τι. Οὐδὲ ὅπλα ἔστι μοι τεταγμένα, ἐν οἷς προκαλοῦμαι τοῖς πολεμίοις μάχεσθαι, ἀλλ' ὅντινα ἐθέλει τις τρόπον, καὶ πρὸς ἕνα καὶ πρὸς πολλοὺς ἕτοιμός εἰμ' ἀεί. Οὐδ' ἡνίκα κάμνω μαχόμενος, ὥσπερ σὺ, τὰ ὅπλα ἑτέροις παραδίδωμι, ἀλλ' ὁπότ' ἂν ἀναπαύωνται οἱ πολέμιοι, τότε αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι, ἔχων τοιαῦτα ὅπλα ἃ ἐκείνους βλάψει μάλιστα. Καὶ οὔτε νὺξ πώποτέ με ἀφείλετο, ὥσπερ σὲ πολλάκις μαχόμενον ἄσμενον πέπαυκεν· ἀλλ' ἡνίκα ἂν ῥέγχῃς σὺ, τηνικαῦτα ἐγὼ σώζω σε, καὶ τοὺς πολεμίους ἀεὶ κακόν τι ποιῶ, ἔχων τὰ δουλοπρεπῆ ταῦτα ὅπλα καὶ τὰ ῥάκη καὶ τὰς μάστιγας, δι' ἃς σὺ ἀσφαλῶς καθεύδεις.

3. Σὺ δ' ὅτι φέρων ἐκόμισας τὸν νεκρὸν, ἀνδρεῖος οἴει εἶναι; ὃν εἰ μὴ ἠδύνω φέρειν, δύο ἄνδρες ἂν ἐφερέτην. Κἄπειτα κἀκεῖνοι περὶ ἀρετῆς πως ἂν ἡμῖν ἠμφισβήτουν, κἀμοὶ μὲν ὁ αὐτὸς ἂν πρὸς αὐτοὺς ἦν λόγος· σὺ δὲ τί ἂν ἔλεγες ἀμφισβητῶν πρὸς αὐτούς; ἢ δυοῖν μὲν οὐκ ἂν φροντίσαις, ἑνὸς δ' ἂν αἰσχύνοιο ὁμολογῶν δειλότερος εἶναι; οὐκ οἶσθ' ὅτι οὐ τοῦ νεκροῦ τοῖς Τρωσὶν ἀλλὰ τῶν ὅπλων ἔμελεν ὅπως λάβοιεν; τὸν μὲν γὰρ ἀποδώσειν ἔμελλον, τὰ δὲ ὅπλα ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς. Τοὺς γὰρ νεκροὺς οὐ τοῖς οὐκ ἀναιρουμένοις αἰσχρόν, ἀλλὰ τοῖς μὴ ἀποδιδοῦσι θάπτειν. Σὺ μὲν οὖν τὰ ἕτοιμα ἐκόμισας, ἐγὼ δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνους.

4. Φθόνον δὲ καὶ ἀμαθίαν νοσεῖς, κακὼ ἐναντιωτάτω αὐτοῖς· καὶ ὁ μέν σε ἐπιθυμεῖν ποιεῖ τῶν καλῶν, ἡ δὲ ἀποτρέπει. Ἀνθρώπινον μὲν οὖν τι πέπονθας· διότι γὰρ ἰσχυρὸς εἶ, οἴει καὶ ἀνδρεῖος εἶναι, καὶ οὐκ οἶσθα ὅτι σοφίᾳ περὶ πόλεμον καὶ ἀνδρείᾳ οὐ ταὐτόν ἐστιν ἰσχῦσαι, ἀμαθία δὲ κακὸν μέγιστον τοῖς ἔχουσιν. Οἶμαι δὲ, ἄν ποτέ τις ἄρα σοφὸς ποιητὴς περὶ ἀρετῆς γένηται, ἐμὲ μὲν ποιήσει πολύτλαν τε καὶ πολύμητιν καὶ

randum foret, si neuter vestrûm quicquam posset efficere? Et aliquid interesse putas, arma hæc habeas, an intra mœnia consistas? Nam solum te mœnibus carere prædicas; atqui solus cum septemplici muro obambulas: at inermis ego hostium mœnia non aggredior sed ingredior, et hostiles custodes vigilantes una cum armis capio, ac dux et custos tui sum reliquorumque omnium, nec minus hostium res quam nostras compertas habeo, non per speculatores, sed per meipsum; et quemadmodum gubernatores vectorum saluti noctes diesque dant operam, similiter ego te atque alios omnes conservo. Neque discrimen ullum propter turpitudinem fugio, dum hostibus nocere possim; nec si me quidam conspecturi sint, gloriæ causa quicquam aggrediar: sed si vel servi vel mendici vel mastigiæ personam induens hostes possim lædere, id vel nemine vidente conor. Nam non videri prælium, sed facere aliquid noctes diesque gestit. Neque certa mihi sunt arma, quibus hostes ad pugnam provoco, verum quocumque quis velit modo, sive cum uno sive cum pluribus semper paratus sum depugnare. Neque etiam quum prælium me fatigat, aliis arma, quemadmodum tu, trado; verum quando quiescunt hostes, tum in eos nocte cum talibus armis impetum facio, quæ illos lædant plurimum. Nec unquam nox me impedivit quæ non raro tibi quietem a pugnando optatam attulit: sed quum tu stertis, tum ego te tueor, et aliquam semper hostibus cladem concilio, cum servilibus his armis pannisque et flagris, quorum tu auxilio secure dormis.

3. An vero, quoniam cadaver sustulisti, fortem te ducis? quod si non tu solus, duo certe viri deferre potuissent. Tum illi quoque de virtute fortassis nobiscum contendissent, ac mihi quidem fuisset idem ad illos dicendum: tu vero quid in contentione protulisses? An duobus ignaviorem te fateri possis, uno non ausis? An ignoras Trojanos non cadaver sed arma capere studuisse; nam ut illud reddituri, ita hæc diis erant in templo dedicaturi. Etenim cadavera non tam est turpe non sepelire, quam sepelienda non reddere. Quare tu quod erat facile sustulisti, ego quæ probris erant obnoxia intercepi.

4. Laboras autem invidia simul et imperitia, quæ sunt maxime contraria mala: quumque illa te ad res præclaras excitet, hæc deterret. Quapropter humanum tibi quiddam accidit: quum robustus sis et fortem te existimas, sed non eandem habere vim in bello sapientiam atque fortitudinem non animadvertis; imperitia vero malum est maximum. Ac si quis unquam poeta qui de virtute judicare sapiat exstiterit, is me, ni fallor, patientem, prudentem, industrium,

πολυμήχανον καὶ πτολίπορθον καὶ μόνον τὴν Τροίαν ἑλόντα, σὲ δὲ, ὡς ἐγῷμαι, τὴν φύσιν ἀπεικάζων τοῖς τε νωθέσιν ὄνοις καὶ βουσὶ ταῖς φορβάσιν ἄλλοις παρέχουσι δεσμεύειν καὶ ζευγνύναι αὐτούς.

ΑΛΚΙΔΑΜΑΝΤΟΣ ΟΔΥΣΣΕΥΣ

ΚΑΤΑ ΠΑΛΑΜΗΔΟΥΣ ΠΡΟΔΟΣΙΑΣ.

184 Πολλάκις ἤδη ἐνεθυμήθην καὶ ἐθαύμασα, ὦ ἄνδρες Ἕλληνες, τὰς γνώμας τῶν λεγόντων, τί ποτε ἄρα βουλόμενοι ῥαδίως δεῦρο παριόντες συμβουλεύουσιν ὑμῖν, ἀφ' ὧν ὠφέλεια μὲν οὐδεμία ἐστὶ τῷ κοινῷ, λοιδορίαι δὲ πλεῖσται γίνονται ἐν ἀλλήλοις, εἰκῇ τε λόγους αναλίσκουσιν ἀκαίρους περὶ ὧν ἂν τύχωσι. Λέγουσι δὲ τὴν αὐτῶν δόξαν ἕκαστος βουλόμενοί τι λαβεῖν· οἱ δὲ καὶ μισθὸν πραττόμενοι συναγορεύουσι παρ' ὁποτέρων ἂν νομίζωσι πλεῖον λήψεσθαι. Καὶ εἰ μέν τις ἐν τῷ στρατοπέδῳ πλημμελεῖ ἢ βλάπτει τὸ κοινὸν χρήματα ἑαυτῷ ποριζόμενος, τούτων μὲν μηδένα τὸν φροντίζοντα εἶναι· εἰ δέ τις ἡμῶν αἰχμάλωτον ἀγαγὼν ἐκ τῶν πολεμίων ἢ γέρας εἴληφε πλέον ἕτερος ἑτέρου, τούτων ἕνεκα μεγάλας διαφορὰς ἐν ἡμῖν αὐτοῖς ἔχομεν διὰ τὰς τούτων σπουδάς. Ἐγὼ δὲ ἡγοῦμαι τὸν ἄνδρα τὸν ἀγαθὸν καὶ δίκαιον μήτε ἔχθρας ἰδίας φροντίζειν, μήτε ἰδίᾳ φιλεταιρίᾳ χρησάμενον ἕνεκα ἀνδρὸς ἑνὸς χρήματα περὶ πλείονος ποιήσασθαι, καὶ μὴ ὅ τι ἂν μέλλῃ τῷ πλήθει συνοίσειν. Οὐ μὲν δὴ ἀλλὰ παραλιπὼν τοὺς ἀρχαίους πόνους τε καὶ λόγους, πειράσομαι Παλαμήδη τόνδε ἐν ὑμῖν δικαίως εἰς κρίσιν καταστῆσαι. Ἔστι δὲ τὸ πρᾶγμα, ὡς ἂν εἰδῆτε, προδοσία· ἐφ' ᾗ δεκαπλασία τῶν ἄλλων ζημία ἐστὶν ἐπικειμένη. Καίτοι, ὡς ὑμεῖς ἴστε πάντες, ἐμοὶ καὶ τούτῳ οὐδεμία πώποτ' ἔχθρα οὐδ' ἔρις ἐνεγένετο περὶ οὐδενὸς πράγματος, καὶ μὴν οὐδ' ἐν παλαίστρᾳ οὐδ' ἐν συμποσίῳ, ἔνθα φιλεῖ ἔριδας πλείστας καὶ λοιδορίας γίνεσθαι. Ὁ δὲ ἀνήρ ἐστι φιλόσοφός τε καὶ δεινὸς, οὗ μέλλω κατηγορεῖν· ὥστε εἰκότως τὸν νοῦν προσέχειν ὑμᾶς καὶ μὴ ἀμελῆσαι περὶ τῶν νυνὶ λεγομένων.

2. Σχεδὸν μὲν γὰρ ἴστε καὶ αὐτοὶ ἐν οἵῳ κινδύνῳ ἐγενόμεθα, ὅτε ἡμῶν οἱ μὲν εἰς τὰς ναῦς καταπεφευγότες ἦσαν, οἱ δὲ εἰς τὰς τάφρους ἐνέπιπτον, εἴς τε τὰς σκηνὰς οἱ πολέμιοι, πᾶσά τε ἀπορία ἦν ποῖ ποτε προβήσοιτο ἡ τοῦ μέλλοντος κακοῦ τελευτή. Ἔχει δὲ ὧδε ὑμῖν. Ἐτυγχάνομεν πλησίον τῶν πυλῶν ἐν τῷ αὐτῷ συντασσόμενοι ἐγώ τε καὶ Διομήδης, πλησίον δ' ἦν Παλαμήδης καὶ Πολυποίτης. Συνιόντων δὲ ἡμῶν ὁμόσε τοῖς ἀνδράσιν, ἐκδραμὼν τοξότης ἐκ τῶν πολεμίων ἐστοχάσατο τούτου, ἁμαρτὼν δὲ αὐτοῦ βάλλει ἐγγὺς ἐμοῦ, οὗτός τε λόγχην ἀφίησιν ἐπ' αὐτὸν, καὶ ἐκεῖνος ἀνελόμενος ᾤχετο εἰς τὸ στρατόπεδον. Ἐγὼ δὲ ἀνελὼν τὸν οἰστὸν δίδωμι Εὐρυβάτῃ δοῦναι Τεύκρῳ, ἵνα χρῷτο. Ἀνοχῆς δὲ γενομένης ἀπὸ τῆς μάχης ὀλίγον χρόνον, δείκνυσί μοι τὸν οἰστὸν ὑπὸ τοῖς πτεροῖς

urbium expugnatorem, ac solum Trojam cepisse dixerit, te vero comparaverit cum segnibus asinis et vaccis gregalibus, quae animalia hominibus se praebent vincienda et jugo submittenda.

ALCIDAMANTIS ULYSSES

CONTRA PALAMEDEM PRODITIONIS.

Sæpenumero consilium eorum sum demiratus, Græci, qui temere vobis e suggestu suadent ea, quæ nec utilitatem publicam efficiunt ullam, et contumelias fere gignunt utrinque plurimas; et quum ineptos de re qualibet sermones habent, tum suam quisque sententiam lucri causa proferunt, atque iis adeo, a quibus plurimum se sperant accepturos, patrocinantur nonnulli. Jam si quis in exercitu quid peccet vel commune sibi studens lædat, id neminem *videmus* curare: sin aliquis nostrûm vel hostem captivum habet vel præmium accepit majus, eorum studio magnas inter nos contentiones excitamus. Ego vero probum et justum virum censeo nec privatas respicere inimicitias, nec unius amici studio pluris opes quam populare commodum facturum. Sed ego, priscis laboribus atque sermonibus relictis, Palamedem hunc vestro judicio conabor juste proponere. Est autem crimen, ut sciatis, proditionis: quod quidem decies gravior quam alia manet mulcta. Præterea quod nostis omnes, nulla mihi cum hoc unquam nec inimicitia nec lis de ulla re incidit, nec in palæstra nec in convivio, quamvis ibi plurimæ contentiones et contumeliæ soleant exsistere. Ipse vero, quem accusabo, prudens est et versutus: sic ut merito vobis attendendum sit nec quæ dicuntur negligenda.

2. Etenim nec ipsi ignoratis quo fuerimus in discrimine, quum alii nostrûm ad naves confugerant, alii in fossas decidebant, et castra hostes invaserant, ac magnopere futurus eventus esset incertus. Quum autem nos ad portas eodem in loco, Diomedes et ego, consisteremus in acie, nec procul Palamedes et Polypœtes distarent, sagittarius quidam ex hostibus excurrens, dum hunc petit, ad me aberrat; tum hic hastam in illum emittit, qua ille sublata redit in castra. At ego sagittam tollens Eurybati do ad Teucrum perferendam, ut utatur. Postquam vero pugna nonnihil interquievit, ostendit mihi literas sub alis teli latentes. Hic ego stupe-

γράμματα ἔχοντα. Ἐκπλαγεὶς δὲ ἐγὼ τῷ πράγματι, προσκαλεσάμενος Σθένελόν τε καὶ Διομήδην ἐδείκνυον αὐτοῖς τὰ ἐνόντα. Ἡ δὲ γραφὴ ἐδήλου τάδε « Ἀλέξανδρος Παλαμήδει. Ὅσα συνέθου Τηλέφῳ, πάντα σοι ἔσται, ὅ τε πατὴρ Κασσάνδραν γυναῖκα δίδωσί σοι, καθάπερ ἐπέστειλας· ἀλλὰ τὰ ἀπὸ σοῦ πραττέσθω διὰ τάχους. » Ἐνεγέγραπτο μὲν ταῦτα· καί μοι προσελθόντες μαρτυρήσατε οἱ λαβόντες τὸ τόξευμα.

ΜΑΡΤΥΡΕΣ.

3. Ἐπέδειξα ἂν καὶ αὐτὸ τὸ τόξευμα ὑμῖν, ὡς ἀλη-
185 θὲς ἦν· νῦν δὲ ἐν τῷ θορύβῳ ἔλαθεν αὐτὸ Τεῦκρος ἀποτοξεύσας. Δεῖ δέ με καὶ τὰ λοιπὰ διελθεῖν ὡς ἔχει, μηδ' εἰκῇ οὕτως ἄνδρα σύμμαχον περὶ θανάτου κρίνειν, αἰσχίστην αἰτίαν προστιθέντα, καὶ ταῦτα πρότερον ἐν ὑμῖν εὐδοκιμηκότα. Ἡμεῖς μὲν γὰρ καὶ πρὶν ἐμβαλεῖν δεῦρο πολὺν χρόνον ἐν ταὐτῷ ἐγενόμεθα, καὶ οὐδεὶς ἡμῶν εἶδεν ἔχοντα τοῦτον σημεῖον ἐν τῇ ἀσπίδι· ἐπειδὴ δὲ κατεπλεύσαμεν δεῦρο, τρίαιναν ἐπεγράψατο. Τίνος ἕνεκα; ἵνα δῆλος εἴη τῷ ἐπιγράμματι, ὅ τε ἀντιτεταγμένος τοῦτον τοξεύοι διὰ τὸ σύνθημα, οὗτός τε εἰς ἐκεῖνον ἐσακοντίζοι. Τεκμαίρεσθαι δὲ δεῖ καὶ ἐκ τούτων εἰκότως τὴν ἄφεσιν τῆς λόγχης. Φημὶ γὰρ καὶ ἐν ἐκείνῃ γράμματα εἶναι, πηνίκα τε καὶ πότε προδώσει· πιστὰ γὰρ ἦν οὕτω παρ' ἀλλήλων τὰ πεμπόμενα, οὗτός τε ἐκείνοις καὶ ἐκεῖνοι τούτῳ πέμποντες διὰ τοιούτου εἴδους καὶ μὴ δι' ἀγγέλων. Ἔτι δὲ καὶ τόδε σκεψώμεθα. Ψήφισμα ἡμῖν ἐγένετο, ὃς ἂν βέλος τι λάβῃ ἐκ τῶν πολεμίων, ἀποφέρειν πρὸς τοὺς ἡγεμόνας, διὰ τὸ σπανίοις αὐτοῖς χρῆσθαι ἡμᾶς· καὶ οἱ μὲν ἄλλοι πειθαρχοῦσι τοῖς ἐψηφισμένοις, αὐτὸς δὲ βέλη ἀνελόμενος πέντε (τοξεύειν) φανερός ἐστιν οὐδὲ ἓν πρὸς ὑμᾶς ἐνηνοχώς, ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν μοι δοκεῖ θανάτῳ ζημιωθῆναι. Ἆρά γε ἐνθυμεῖσθε, ὦ ἄνδρες Ἕλληνες, ὅτι ταῦτα τοῦ σοφιστοῦ τῆς διανοίας καὶ τοῦ φρονήματος αὐτοῦ, ὃς τυγχάνει φιλοσοφῶν ἐφ' οἷς ἥκιστα ἐχρῆν αὐτὸν ταῦτα πράττειν; Τοῦ τε τὰ πράγματα τὰ παρεστηκότα γενέσθαι καὶ τὴν στρατείαν πᾶσαν ἐπιδείξω αἴτιον γεγονότα ἡμῖν τόν τε πατέρα αὐτοῦ καὶ τοῦτον αὐτόν. Ἀνάγκη δὲ διὰ μακροτέρων λόγων ῥηθῆναι τὰ γενόμενα.

4. Τούτῳ πατήρ ἐστι πένης, ὄνομα Ναύπλιος, τέχνην ἔχων ἁλιείαν. Οὗτος πλείστους τῶν Ἑλλήνων ἠφάνικε, χρήματά τε πολλὰ ἐκ τῶν νεῶν ὑφῄρηται, κακά τε πλεῖστα τοὺς ναυτίλους εἴργασται, πανουργίας τε οὐδεμιᾶς λείπεται· γνώσεσθε δὲ προϊόντος τοῦ λόγου, τὰς ἀληθείας ἀκούσαντες τῶν γενομένων. Ἀλεῷ γὰρ τῷ Τεγέας βασιλεῖ ἀφικομένῳ εἰς Δελφοὺς ἐχρήσθη ὑπὸ τοῦ θεοῦ ὅτι αὐτῷ ἔκγονος ἐκ τῆς θυγατρὸς εἰ γένοιτο, ὑπὸ τούτου δεῖν τοὺς υἱοὺς αὐτοῦ ἀπολέσθαι. Ἀκούσας δὲ ταῦτα ὁ Ἄλεως διὰ τάχους ἀφικνεῖται οἴκαδε, καὶ καθίστησι τὴν θυγατέρα ἱέρειαν τῆς Ἀθηνᾶς, εἰπὼν, εἴ ποτε ἀνδρὶ συγγενήσεται, θανατώσειν

factus, advocatis Diomedi atque Sthenelo, quid contineatur, ostendo. Erant autem hæc perscripta : **Alexander Palamedi S. De quibus cum Telepho egisti, concedentur omnia, et pater tibi Cassandram, ut scripseras, despondet; tu tua celeriter perage.** Atque hæc quidem erant scripta : cujus vos rei, qui telum accepistis, testes advoco.

TESTES.

3. Quinetiam telum vobis ipsum ostendissem, nisi id in tumultu per incuriam Teucer emisisset. Sed reliqua mihi quoque exponenda sunt, ne inique videamur capitale crimen turpissimum commilitoni imponere, præsertim qui vobis hactenus carus fuerit. Nam priusquam huc appelleremus, diu una fuimus, quum illum nemo signum in clypeo viderat gerentem : postquam vero fuimus huc delati, tridentem inscripsit. Cur? nisi ut hæc eum inscriptio manifestum redderet, sive hunc hostis peteret, sive hic in illum jacularetur. Quid quod hinc etiam jure de hasta emissa conjecturam facio. Nam in illa quoque perscriptum dixerim, quando nos esset proditurus : sic enim hic illis et illi huic vicissim, quæ volebant, hoc modo sine nunciis indicabant. Nunc etiam hoc perpendite. Decreto cautum inter nos erat, ut, si quis telum ab hostibus accepisset, ad principes deferret, quandoquidem nos raris illis utimur : atque alii quidem huic parent mandato; verum hic, quum tela quinque sustulisset, ne unum quidem ad vos detulit. Adeo ut vel hac de causa merito mihi capite plectendus videatur. Non hæc ex callida mente versutoque ejus consilio, Græci, prodire, quæ ipsum decemt minime, cogitatis? Quin imo hunc rerum qui nunc est statum totamque expeditionem huic atque hujus parenti acceptum docebo referendum, nisi quod pluribus verbis est opus.

4. Pater huic pauper est, Nauplius nomine, arte piscator. Is Græcorum plurimos de medio sustulit, opes multas e navibus abstulit, plurimis injuriis nautas affecit, omnique est versutia plenus : id quod in progressu sermonis, veritate rerum gestarum cognita, intelligetis. Aleo Tegeæ regi, quum Delphos venisset, prædixit deus, quicumque ex ejus filia nasceretur nepos, ab eo liberos ipsius interemptum iri. Hoc audito confestim domum reversus, Aleus Minervæ sacerdotem facit filiam, et mortem, si unquam cum viro rem

αὐτήν. Τύχης δὲ γενομένης ἀφικνεῖται Ἡρακλῆς στρατευόμενος ἐπ' Αὐγέαν εἰς Ἦλιν, καὶ αὐτὸν ξενίζει ὁ Ἄλεως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς. Ἰδὼν δὲ ὁ Ἡρακλῆς τὴν παῖδα ἐν τῷ νεῷ ὑπὸ μέθης συνεγένετο. Ἐπεὶ δὲ κύουσαν αὐτὴν ᾔσθετο ὁ πατὴρ Ἄλεως, μεταπέμπεται τὸν τούτου πατέρα, πυθόμενος πορθμέα τε αὐτὸν εἶναι καὶ δεινόν. Ἀφικομένου δὲ τοῦ Ναυπλίου δίδωσιν αὐτῷ τὴν παῖδα καταποντίσαι. Ὁ δὲ παραλαβὼν ἦγεν αὐτήν· καὶ ὡς γίνονται ἐν τῷ Παρθενίῳ ὄρει, τίκτει Τήλεφον. Ἀμελήσας δὲ ὧν ὁ Ἄλεως αὐτῷ ἐπέστειλεν, ἄγων αὐτὴν ἀπέδοτο καὶ τὸ παιδίον ἐς Μυσίαν Τεύθραντι τῷ βασιλεῖ. Ὁ δὲ Τεύθρας ἄπαις ὢν τὴν μὲν Αὔγην γυναῖκα ποιεῖται, τὸν δὲ παῖδα αὐτῆς ἐπονομάσας Τήλεφον τίθεται υἱὸν ἑαυτοῦ, δίδωσί τε Πριάμῳ αὐτὸν εἰς τὸ ὀλίγον παιδεῦσαι. Χρόνου δὲ προϊόντος Ἀλέξανδρος ἐπεθύμησεν εἰς τὴν Ἑλλάδ' ἀφικέσθαι, τό τε ἱερὸν τὸ ἐν Δελφοῖς θεωρῆσαι βουλόμενος, ἅμα δὲ καὶ τὸ κάλλος τῆς Ἑλένης ἀκούων δηλονότι, καὶ τὴν τοῦ Τηλέφου γέννησιν ἀκηκοώς, ὁπόθεν τε εἴη καὶ τίνα τρόπον καὶ ὑπὸ τίνος ἐπράθη. Ὥστε Ἀλέξανδρος οὕτω τὴν ἀποδημίαν ἐποιεῖτο διὰ προφάσεως τοιαύτης εἰς τὴν Ἑλλάδα. Ἐν δὲ τῷ καιρῷ τούτῳ οἱ Μόλου παῖδες ἀφικνοῦνται ἐκ Κρήτης, δεόμενοι Μενελάου αὐτούς τε διαλλάξαι καὶ διελεῖν τὴν κτῆσιν αὐτοῖς, ὅτι εἴη ὁ πατὴρ τετελευτηκὼς αὐτοί τε στασιάζοιεν περὶ τῶν πατρῴων χρημάτων. Εἶεν· τί οὖν γίνεται; πλεῖν αὐτῷ
186 ἔδοξε, καὶ ἐπιστείλας τῇ γυναικὶ καὶ τοῖς ἀδελφοῖς ἐπιμελεῖσθαι τῶν ξένων, ἵνα μηδενὸς ἔσοιντο ἐνδεεῖς, ἕως ἂν αὐτὸς ἔλθῃ ἐκ Κρήτης, ὁ μὲν ᾤχετο· Ἀλέξανδρος δὲ αὐτοῦ τὴν γυναῖκα ἐξαπατήσας, καὶ λαβὼν ἐκ τῶν οἴκων ὅσα πλεῖστα ἐδύνατο, ἀποπλέων ᾤχετο, οὐκ αἰδεσθεὶς οὔτε Δία ξένιον οὔτε θεῶν οὐδένα, ἄνομα καὶ βάρβαρα ἔργα διαπραξάμενος, ἄπιστα πᾶσι καὶ τοῖς ἐπιγινομένοις ἀκοῦσαι. Ἀφικομένου δὲ αὐτοῦ πάλιν εἰς Ἀσίαν, ἄγοντος τὰ χρήματα καὶ τὴν γυναῖκα, ἔστιν ὅπου ἀντελάβου τινὸς ἢ βοῇ ἐσήμηνας τοῖς περιοίκοις ἢ βοήθειαν συνέλεξας; οὐκ ἂν ἔχοις εἰπεῖν, ἀλλὰ περιεῖδες Ἕλληνας ὑπὸ βαρβάρων ὑβρισθέντας. Ἐπεὶ δ' ἐπύθοντο οἱ Ἕλληνες τὴν ἁρπαγὴν καὶ Μενέλεως ᾔσθετο, ἤγειρε τὴν στρατιὰν καὶ διέπεμπεν ἡμῶν ἄλλον ἄλλοσε εἰς τὰς πόλεις αἰτήσοντας στρατόν. Καὶ δὴ καὶ τοῦτον ἔπεμψεν εἰς Χίον πρὸς Οἰνοπίωνα καὶ εἰς Κύπρον πρὸς Κινύραν. Ὁ δὲ Κινύραν τε ἔπεισε μὴ συστρατεύειν ἡμῖν, δῶρά τε πολλὰ παρ' αὐτοῦ λαβὼν ἀποπλέων ᾤχετο· καὶ Ἀγαμέμνονι μὲν ἀποδίδωσι χαλκοῦν θώρακα, ὅστις οὐδενὸς ἄξιος ἦν, τὰ δὲ ἄλλα αὐτὸς εἶχε χρήματα. Ἀπηγγέλλετο δὲ ὅτι ἑκατὸν ναῦς ἀποπέμψει ὁ Κινύρας, ὁρᾶτε δὲ καὶ αὐτοὶ οὐδεμίαν παρ' αὐτοῦ ἥκουσαν. Ὥστε καὶ διὰ ταῦτα δικαίως ἄν μοι δοκεῖ θανάτῳ ζημιωθῆναι, εἰ ἄρα γε κολάσασθαι ἄξιόν ἐστι τὸν σοφιστήν, ὃς ἐπὶ τοῖς φίλοις τὰ αἴσχιστα μηχανώμενος πέφανται.

5. Ἄξιον δὲ καταμαθεῖν ἃ καὶ φιλοσοφεῖν ἐπικεχείρηκεν ἐξαπατῶν τοὺς νέους καὶ παραπείθων, φάσκων

habeat, interminatur. Quum autem Hercules Elim ad Augeam in prœlium forte contenderet, ab Aleo in æde Minervæ hospitio excipitur : et puella conspecta, per ebrietatem cum ea miscetur. Atque ut eam Aleus gravidam rescivit, hujus patrem arcessit, quem portitorem et callidum esse cognoverat; eique filiam submergendam tradit. Hic dum eam abducit, illa Telephum in monte Parthenio parit : et ab ipso deinde, neglectis Alei mandatis, una cum infante Teuthranti Mysiæ regi venditur. Is quum prole careret, Augen sibi uxorem jungit, et filium Telephum appellatum adoptat, atque apud Priamum *re bellica* (εἰς πόλεμον) instituendum collocat. Post accidit, ut Alexander in Græciam proficisci vellet, tum Delphici templi spectandi causa, tum quia Helenæ pulchritudinem, ac Telephi ortum et venditionem, inaudierat. Quare quum Alexander hac de causa solveret in Græciam, interea Moli liberi ad Menelaum e Creta veniunt, et ut ipsorum dividat hereditatem, qui patre mortuo de bonis inter se concertarent, ab eo petunt. Quid ergo fit? Navigandum ille censet, et uxori fratribusque hospitum cura, donec ex Creta redeat, data, discedit : at Alexander, uxore decepta, surreptisque quæcumque poterat auferre, nec hospitalem Jovem nec deorum quenquam reveritus, aufugit, quum ea per iniquitatem et barbariem gessisset, quæ nunquam sunt posteri credituri. Jam quum in Asiam ille cum opibus et muliere rediret, num quem alicubi apprehendisti? num voce signum cuiquam dedisti? num auxilium collegisti? Nihil potes horum dicere, verum a barbaris Græcos contumeliis affici passus es. Postquam vero raptum Græci cognoverant ac rescierat Menelaus, copias conscribebat et nostrûm singulos ad singulas civitates militum causa dimittebat. Hunc autem in Chium ad Œnopionem et in Cyprum ad Cinyram legavit. Ipse vero tum Cinyræ ne militaret nobiscum persuasit, tum plurimis donis ab eo acceptis Agamemnoni thoracem æneum, qui nullius erat pretii, dedit, sibi servavit reliqua. Quumque centum naves missurum Cinyram nuntiavit, ex iis nullam videtis adesse. Quare vel hac de causa merito mihi capite plectendus videatur, siquidem par est puniri eum, quem turpissima quæque in amicos commentum constet.

5. Quinetiam ea, quæ per fraudem ac dolum confingere conatus est, operæ pretium sit cognoscere : ait enim se

τάξεις ἐξευρηκέναι πολεμικάς, γράμματα, ἀριθμούς, μέτρα, σταθμούς, πεττούς, κύβους, μουσικήν, νόμισμα, πυρσούς. Καὶ οὐδὲ αἰσχύνεται ὅταν αὐτίκα ἐλέγχηται φανερῶς ἐν ὑμῖν ψευδόμενος. Νέστωρ γὰρ ὅδε πρεσβύτερος ἡμῶν ἁπάντων, καὶ αὐτὸς ἐν τοῖς Πειρίθου γάμοις μετὰ Λαπιθῶν ἐμαχέσατο Κενταύροις ἐν φάλαγγι καὶ ἐν τάξει· Μενεσθεὺς δὲ πρῶτος λέγεται κοσμῆσαι τάξεις καὶ λόχους καὶ φάλαγγας συστῆσαι, ἡνίκα Εὔμολπος ὁ Ποσειδῶνος ἐπ' Ἀθηναίους ἐστράτευσε Θρᾷκας ἄγων, ὥστ' οὐ Παλαμήδους τὸ ἐξεύρημά ἐστιν, ἀλλ' ἄλλων πρότερον. Γράμματα μὲν δὴ πρῶτος Ὀρφεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών, ὡς καὶ ἐπὶ τῷ μνήματι αὐτοῦ δηλοῖ τὰ ἐπιγράμματα,

Μουσάων πρόπολον τῇδ' Ὀρφέα Θρῇκες ἔθηκαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει,
Οἰάγρου φίλον υἱόν, ὃς Ἡρακλῆ ἐξεδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

Μουσικὴν δὲ Λίνος ὁ Καλλιόπης, ὃν Ἡρακλῆς φονεύει, ἀριθμούς γε μὴν Μουσαῖος ὁ τῶν Εὐμολπιδῶν, Ἀθηναῖος, ὡς καὶ τὰ ποιήματα αὐτοῦ δηλοῖ,

ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων. —
ὡς δεκάτην γενεὴν ἑκατὸν βιοτεύειν ἄνδρας.

Νομίσματα δὲ οὐ Φοίνικες ἐξεῦρον, λογιώτατοι καὶ δεινότατοι ὄντες τῶν βαρβάρων; ἐξ ὁλοσφύρου γὰρ ἴσον μερισμὸν διείλοντο, πρῶτοί τε χαρακτῆρα ἔβαλον εἰς τὸν σταθμὸν τὸ πλέον καὶ τὸ ἔλαττον. Παρ' ὧν οὗτος ἑλὼν σοφίζεται τὸν ῥυθμόν. Ὥστε αὐτοῦ ταῦτα πάντα πρεσβύτερα φαίνεται, ὧν οὗτος προσποιεῖται εὑρετὴς εἶναι. Μέτρα δὲ καὶ σταθμὰ ἐξεῦρε, καπήλοις καὶ ἀγοραίοις ἀνθρώποις ἀπάτας καὶ ἐπιορκίας, πεττούς γε μὴν τοῖς ἀργοῖς τῶν ἀνδρῶν ἔριδας καὶ λοιδορίας. Καὶ κύβους αὖ μέγιστον κακὸν κατέδειξε, τοῖς μὲν ἡττηθεῖσι λύπας καὶ ζημίας, τοῖς δὲ νενικηκόσι καταγέλωτα καὶ ὄνειδος· τὰ γὰρ ἀπὸ τῶν κύβων γενόμενα ἀνόνητα γίνεται, τὰ δὲ πλεῖστα καταναλίσκεται παραχρῆμα.
87 Πυρσοὺς αὖ ἐσοφίσατο, ἀλλ' ἐπὶ τῷ ἡμετέρῳ κακῷ, ἃ διενοεῖτο ποιεῖν, χρήσιμα δὲ τοῖς πολεμίοις. Ἀρετὴ δέ ἐστιν ἀνδρὸς τοῖς ἡγεμόσι προσέχειν καὶ τὸ προσταττόμενον ποιεῖν καὶ τῷ πλήθει ἀρέσκειν παντί, αὑτόν τε παρέχειν ἄνδρα πανταχοῦ ἀγαθόν, τούς τε φίλους εὖ ποιοῦντα καὶ τοὺς ἐχθροὺς κακῶς. Ὧν τἀναντία πάντων οὗτος ἐπίσταται, τοὺς μὲν ἐχθροὺς ὠφελεῖν, τοὺς δὲ φίλους κακῶς ποιεῖν.

6. Ἀξιῶ δ' ὑμᾶς ἔγωγε κοινῇ σκεψαμένους βουλεύσασθαι περὶ αὐτοῦ καὶ μὴ ἀφεῖναι αὐτὸν ὑποχείριον λαβόντας. Εἰ δὲ κατελεήσαντες αὐτὸν διὰ τὴν δεινότητα τῶν λόγων ἀφήσετε, θαυμαστὴ παρανομία γενήσεται ἐν τῷ στρατεύματι· εἰδὼς γὰρ αὐτῶν ἕκαστος ὅτι Παλαμήδης περιφανῶς τοσαῦτα ἡμαρτηκὼς οὐδεμίαν δίκην ἔδωκε, καὶ αὐτοὶ πειράσονται ἀδικεῖν. Ὥστε ἐὰν νοῦν ἔχητε, ψηφιεῖσθε τὰ βέλτισθ' ὑμῖν αὐτοῖς, καὶ τῶν λοιπῶν οὕνεκεν παράδειγμα ποιήσεσθε τοῦτον τιμωρησάμενοι.

militares acies, literas, numeros, mensuras, pondera, calculos, cubos, musicam, monetam facesque reperisse; nec eum, dum e vestigio mendacii coram vobis prolati convincitur, pudet. Etenim Nestor, qui nos omnes ætate superat, in Pirithoi nuptiis ipse quoque phalange et acie instructa cum Lapithis contra Centauros depugnavit: ac Menestheus dicitur primus aciem composuisse, turmasque et phalanges instituisse, quando Neptuni filius Eumolpus Athenienses cum Thracibus adoriebatur; quocirca non Palamedis hoc, sed aliorum antiquiorum est inventum. At literas primus Orpheus ex Musarum dono protulit, quemadmodum etiam in illius sepulcro posita testantur carmina;

Musarum hic famulum posuerunt Orphea Thraces,
Ignea quem poterant perdere tela Jovis,
Œagri caram prolem, Alcidæque magistrum,
Litera cui quondam multa reperta fuit.

Musicam vero Linus, Calliopes filius, quem occidit Hercules, invenit: ut numeros Musæus Atheniensis Eumolpi filius, quod etiam declarant ejus poemata,

Rectum, sextuplex, mensurarumque quater sex. —
Sic decimam ætatem centenorum esse virorum.

At monetam nonne repererunt Phœnices, quum essent inter barbaros ingeniosissimi? Nam de solido partes fecerunt æquales, ac primi notam pro ratione ponderis incusserunt. Quorum hic inventa sibi tribuit. Quo fit ut ea, quorum hic originem sibi asserit, ipso antiquiora deprehendantur omnia. Mensuras enim atque pondera forensibus hominibus et institoribus ad fraudes et perjuria reperit, nec non otiosis calculos ad contentionem et contumeliam. Cubos quoque malum maximum monstravit, victis dolorem et mulctam, victoribus irrisionem et probum: neque enim prosunt cuborum lucra, et pleraque confestim absumuntur. Faces denique excogitavit, sed quibus ad nostrum damnum hostiumque commodum uteretur. Enimvero viri boni est imperatores attendere, exsequi jussa, placere omnibus, ubique probum se præbere et amicis bene et hostibus male faciendo; contra quæ hic omnia facit, et tum hostes juvat, tum amicis nocet.

6. Ac vos ego de hoc homine communiter deliberare cupio, neque eum in vestram redactum potestatem dimittere. Sin ei propter dicendi vehementiam tribuetis misericordiam, maxima in exercitu orietur iniquitas; etenim quum intellexerint ne Palamedem quidem, qui tantum flagitium aperte commiserat, pœnas dedisse ullas, ipsi quoque peccare volent. Quare, si sapietis, quæ sint vobis ipsis optima statuetis, et in hujus supplicio reliquis exemplum proponetis.

ΠΕΡΙ ΤΩΝ ΤΟΥΣ ΓΡΑΠΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΑΦΟΝΤΩΝ Η ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ.

Ἐπειδή τινες τῶν καλουμένων σοφιστῶν ἱστορίας μὲν καὶ παιδείας ἠμελήκασι, καὶ τοῦ δύνασθαι λέγειν ὁμοίως τοῖς ἰδιώταις ἀπείρως ἔχουσι, γράφειν δὲ μεμελετηκότες λόγους καὶ διὰ βιβλίων δεικνύντες τὴν αὑτῶν σοφίαν σεμνύνονται καὶ μέγα φρονοῦσι καὶ πολλοστὸν μέρος τῆς ῥητορικῆς κεκτημένοι δυνάμεως τῆς ὅλης τέχνης ἀμφισβητοῦσι, διὰ ταύτην τὴν αἰτίαν ἐπιχειρήσω κατηγορίαν ποιήσασθαι τῶν γραπτῶν λόγων, οὐχ ὡς ἀλλοτρίαν ἐμαυτοῦ τὴν δύναμιν αὐτῶν ἡγούμενος, ἀλλ' ὡς ἐφ' ἑτέροις μεῖζον φρονῶν καὶ τὸ γράφειν ἐν παρέργῳ μελετᾶν οἰόμενος χρῆναι, καὶ τοὺς ἐπ' αὐτὸ τοῦτο τὸν βίον καταναλίσκοντας ἀπολελεῖφθαι πολὺ καὶ ῥητορικῆς καὶ φιλοσοφίας ὑπειληφώς, καὶ πολὺ δικαιότερον ἂν ποιητὰς ἢ σοφιστὰς προσαγορεύεσθαι νομίζων.

2. Πρῶτον μὲν οὖν ἐντεῦθεν ἄν τις καταφρονήσειε τοῦ γράφειν, ἐξ ὧν ἐστιν εὐεπίθετον καὶ ῥᾴδιον καὶ τῇ τυχούσῃ φύσει πρόχειρον. Εἰπεῖν μὲν γὰρ ἐκ τοῦ παραχρῆμα περὶ τοῦ παρατυχόντος ἐπιεικῶς, καὶ ταχείᾳ χρήσασθαι τῶν ἐνθυμημάτων καὶ τῶν ὀνομάτων εὐπορίᾳ, καὶ τῷ καιρῷ τῶν πραγμάτων καὶ ταῖς ἐπιθυμίαις τῶν ἀνθρώπων εὐστόχως ἀκολουθῆσαι, καὶ τὸν προσήκοντα λόγον εἰπεῖν οὔτε φύσεως ἁπάσης οὔτε παιδείας τῆς τυχούσης ἐστίν· ἐν πολλῷ δὲ χρόνῳ γράψαι καὶ κατὰ σχολὴν ἐπανορθῶσαι, καὶ παραθέμενον τὰ τῶν προγεγονότων σοφιστῶν συγγράμματα πολλαχόθεν εἰς ταὐτὸν ἐνθυμήματα συναγεῖραι, καὶ μιμήσασθαι τὰς τῶν εὖ λεγομένων ἐπιτυχίας, καὶ τὰ μὲν ἐκ τῆς τῶν ἰδιωτῶν συμβουλίας ἐπανορθώσασθαι, τὰ δὲ αὐτὸν ἐν ἑαυτῷ πολλάκις ἐπισκεψάμενον ἀνακαθᾶραι καὶ μεταγράψαι καὶ τοῖς ἀπαιδεύτοις ῥᾴδιον πέφυκεν. Ἔστι δ' ἅπαντα τὰ μὲν ἀγαθὰ καὶ καλὰ σπάνια καὶ χαλεπὰ καὶ διὰ πόνων εἰωθότα γίγνεσθαι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα ῥᾳδίαν ἔχει κτῆσιν, ὥστ' ἐπειδὴ τὸ γράφειν τοῦ λέγειν ἑτοιμότερον ἡμῖν ἐστίν, εἰκότως ἂν αὐτοῦ καὶ τὴν κτῆσιν ἐλάττονος ἀξίαν νομίζοιμεν.

3. Ἔπειτα τοῖς μὲν λέγειν δεινοῖς οὐδεὶς ἂν φρονῶν ἀπιστήσειεν ὡς οὐ μικρὸν τὴν τῆς ψυχῆς ἕξιν μεταρρυθμίσαντες ἐπιεικῶς λογογραφήσουσι, τοῖς δὲ γράφειν ἠσκημένοις οὐδεὶς ἂν πιστεύσειεν ὡς ἐπὶ τῆς αὐτῆς δυνάμεως καὶ λέγειν οἷοί τε ἔσονται. Τοὺς μὲν γὰρ τὰ χαλεπὰ τῶν ἔργων ἐπιτελοῦντας εἰκός, ὅταν ἐπὶ τὰ ῥᾴω τὴν γνώμην μεταστήσωσιν, εὐπόρως μεταχειρίσασθαι τὴν τῶν πραγμάτων ἀπεργασίαν· τοῖς δὲ τὰ ῥᾴδια γεγυμνασμένοις ἀντίτυπος καὶ προσάντης ἡ τῶν χαλεπωτέρων ἐπιμέλεια καθίσταται. Γνοίη δ' ἄν τις ἐκ τῶνδε τῶν παραδειγμάτων. Ὁ μὲν γὰρ ἆραι μέγα φορτίον δυνάμενος ἐπὶ τὰ κουφότερα μετελθὼν ῥᾳδίως μεταχειρίσαιτ' ἄν· ὁ δὲ πρὸς τὰ κοῦφα τῇ δυνάμει διικνούμενος οὐδὲν ἂν τῶν βαρυτέρων οἷός τε εἴη φέρειν. Καὶ πάλιν ὁ μὲν ποδώκης δρομεὺς ῥᾳδίως παρέπε-

DE ORATIONUM SCRIPTORIBUS SIVE DE SOPHISTIS.

Quoniam sophistarum, quos vocant, nonnulli scientiam quidem et doctrinam nihil curant ac dicendi facultatis perinde ac privati et a fori usu remoti inexpertes sunt, scribendis autem orationibus operam navantes librisque sapientiam suam ostendentes gloriantur magnosque gerunt spiritus, et quum tantillam facultatis oratoriæ partem teneant, de tota arte contendunt : ob hanc causam contra scriptas orationes accusationem instituam, non quod alienam a me facultatem earum scribendarum esse puto, sed quod alia majoris facio, et de scribendo in subcesiva tantum opera cogitari debere censeo atque eos qui vitam in id impendunt, tum ab arte oratoria tum a philosophia longe abesse multoque justius poetas quam sophistas appellari existimo.

2. Primum igitur scribendi negotium aliquis contempserit quod aggressu facile et obvio cuique in promptu est. Nam ex tempore de quavis re dicere convenienter et ingenii celeritate paratam habere sententiarum verborumque copiam ac momenta rerum opportuna auditorumque affectus assequi sollerter et orationes iis accommodare, id non vulgari cuique licet nec communis est scientiæ; verum multo temporis dispendio conscribere aliqua scriptaque per otium corrigere et, appositis priorum sophistarum voluminibus, hinc inde sententias in unum congerere et quæ bene dicta occurrant, ea imitari, deinde alia e privatorum consilio emendare, alia iterum iterumque apud animum perpensa expurgare et mutare, vel indoctis facile esse contingit. Videlicet quæcunque sunt bona et pulchra, eadem etiam rara et difficilia sunt nec sine labore fieri solent; humilia autem ac vilia studio obtinentur exiguo. Itaque quum scribendi facultatem quam dicendi facilius nobis comparemus, ultro consequitur ut minoris eam faciendam esse censeamus.

3. Deinde dicendo valentes nemo sanus dubitet quin, si ingenii habitum transformare aliquantum velint, convenienter etiam scripturi sint; qui vero in scribendo exercitati sunt, eos ob id ipsum etiam dicere posse nemo confidat. Nimirum qui difficiles operum partes explere noverint, hos sponte intelligitur, si ad faciliora animum transduxerint, absque molestia muneris labore defuncturos esse, verum facilia solummodo doctis contraria et ardua difficiliorum tractatio existit. Exempla rem tibi comprobent. Quodsi quis onus magnum tollere valet, ad leviora transgressus facile habebit negotium; cujus autem vires levioribus tantum sufficiunt, is gravioris aliquid ferre nequit

σθαι τοῖς βραδυτέροις δύναιτ' ἄν· ὁ δὲ βραδὺς οὐκ ἂν οἷός τε εἴη τοῖς θάσσοσιν ὁμοδρομεῖν. Ἔτι δὲ πρὸς τούτοις ὁ μὲν τὰ πόρρω δυνάμενος ἐπισκόπως ἀκοντίζειν ἢ τοξεύειν καὶ τῶν ἐγγὺς τεύξεται ῥᾳδίως, ὁ δὲ τὰ πλησίον βάλλειν ἐπιστάμενος οὔπω δῆλον εἰ καὶ τῶν πόρρω δυνήσεται τυγχάνειν. Τὸν αὐτὸν δὴ τρόπον καὶ περὶ τοὺς λόγους ὁ μὲν ἐκ τοῦ παραυτίκα καλῶς αὐτοῖς χρώμενος οὐκ ἄδηλον ὅτι μετὰ χρόνου καὶ σχολῆς ἐν τῷ γράφειν διαφέρων ἔσται λογοποιός· ὁ δ' ἐπὶ τοῦ γράφειν τὰς διατριβὰς ποιούμενος οὐκ ἀφανὲς ὅτι μεταβὰς ἐπὶ τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἀπορίας καὶ πλάνου καὶ ταραχῆς ἕξει πλήρη τὴν γνώμην.

4. Ἡγοῦμαι δὲ καὶ τῷ βίῳ τῶν ἀνθρώπων τὸ μὲν λέγειν ἀεί τε καὶ διὰ παντὸς χρήσιμον εἶναι, τοῦ δὲ γράφειν ὀλιγάκις εὔκαιρον τὴν δύναμιν αὐτῷ καθίστασθαι. Τίς γὰρ οὐκ οἶδεν ὅτι λέγειν μὲν ἐκ τοῦ παραυτίκα καὶ δημηγοροῦσι καὶ δικαζομένοις καὶ τὰς ἰδίας ὁμιλίας ποιοῦσιν ἀναγκαῖόν ἐστι, καὶ πολλάκις ἀπροσδοκήτως καιροὶ πραγμάτων παραπίπτουσιν, ἐν οἷς οἱ μὲν σιωπῶντες εὐκαταφρόνητοι δόξουσιν εἶναι, τοὺς δὲ λέγοντας ὡς ἰσόθεον τὴν γνώμην ἔχοντας ὑπὸ τῶν ἄλλων τιμωμένους ὁρῶμεν. Ὅταν γὰρ νουθετῆσαι δέῃ τοὺς ἁμαρτάνοντας ἢ παραμυθήσασθαι τοὺς δυστυχοῦντας ἢ πραῢναι τοὺς ἀπολλυμένους ἢ τὰς ἐξαίφνης ἐπενεχθείσας αἰτίας ἀπολύσασθαι, τηνικαῦθ' ἡ τοῦ λέγειν δύναμις τῇ χρείᾳ τῶν ἀνθρώπων ἐπικουρεῖν οἵα τέ ἐστιν, ἡ δὲ γραφὴ σχολῆς δεῖται καὶ μακροτέρους ποιεῖται τοὺς χρόνους τῶν καιρῶν· οἱ μὲν γὰρ ταχεῖαν τὴν ἐπικουρίαν ἐπὶ τῶν ἀγώνων ἀπαιτοῦσιν, ἡ δὲ κατὰ σχολὴν καὶ βραδέως ἐπιτελεῖ τοὺς λόγους. Ὥστε τίς ἂν φρονῶν ταύτην τὴν δύναμιν ζηλώσειεν, ἣ τῶν καιρῶν τοσοῦτον ἀπολείπεται; πῶς δ' οὐ καταγέλαστον, εἰ τοῦ κήρυκος παρακαλοῦντος « τίς ἀγορεύειν βούλεται τῶν πολιτῶν, » ἢ τοῦ ὕδατος ἐν τοῖς δικαστηρίοις ἤδη ῥέοντος, ἐπὶ τὸ γραμματεῖον ῥήτωρ πορεύοιτο συνθήσων καὶ μαθησόμενος λόγον; ὡς ἀληθῶς γὰρ εἰ μὲν ἦμεν τύραννοι τῶν πόλεων, ἐφ' ἡμῖν ἂν ἦν καὶ δικαστήρια συλλέγειν καὶ περὶ τῶν κοινῶν βουλεύεσθαι πραγμάτων, ὥστε ὁπότε γράψαιμεν τοὺς λόγους, τηνικαῦτα τοὺς ἄλλους πολίτας ἐπὶ τὴν ἀκρόασιν παρακαλεῖν· ἐπεὶ δ' ἕτεροι τούτων κύριοί εἰσιν, ἆρ' οὐκ εὔηθες ἡμᾶς (ἄλλην τινὰ) μελέτην ποιεῖσθαι λόγων ἐναντίως ἔχουσαν ἀκριβῶς; εἰ γὰρ οἱ τοῖς ὀνόμασιν ἐξειργασμένοι καὶ μᾶλλον ποιήμασιν ἢ λόγοις ἐοικότες, καὶ τὸ μὲν αὐτόματον καὶ (πλέον) ἀληθείαις ὅμοιον ἀποβεβληκότες, μετὰ παρασκευῆς δὲ πεπλάσθαι καὶ συγκεῖσθαι δοκοῦντες ἀπιστίας καὶ φθόνου τὰς τῶν ἀκουόντων γνώμας ἐμπιπλῶσι, — τεκμήριον δὲ μέγιστον· οἱ γὰρ εἰς τὰ δικαστήρια τοὺς λόγους γράφοντες φεύγουσι τὰς ἀκριβείας καὶ μιμοῦνται τὰς τῶν αὐτοσχεδιαζόντων ἑρμηνείας, καὶ τότε κάλλιστα γράφειν δοκοῦσιν ὅταν ἥκιστα γεγραμμένοις ὁμοίους πορίσωνται λόγους. Ὁπότε δὲ καὶ τοῖς λογογράφοις τοῦτο πέρας τῆς ἐπιεικείας ἐστίν, ὅταν τοὺς αὐτοσχεδιάζοντας μιμήσωνται,

Porro pedes præstans cursor juxta tardum facile incesserit, sed tardus velocioris cursum haud exæquabit. Rursus si quis scopum longinquum jaculo vel sagitta scite tangit, a propinquo is non aberrabit; qui vero proximum ferire didicit, num remotiorem quoque assecuturus sit, minime liquet. Eodem igitur modo res habet circa orationes. Quippe qui quovis momento apte iis utitur, manifesto etiam tempore dato et otio componendis orationibus excellet; scribendo autem tempus terens vix est dubium quin, si de improviso verba fundenda sint, animum habeat vagum, perplexum, turbatum.

4. Censeo autem vitæ quoque humanæ per omnia semper utilem esse facultatem dicendi, scribendi autem raro in vitæ usus habere opportunitatem. Quis enim nescit quam sit necessarium ut ex tempore dicere sciant quicunque vel coram populo agant vel in judiciis vel privatis in colloquiis, atque sæpius fieri ut subito rerum momenta incidant, in quibus qui tacent contemptibiles esse videantur, dicentes vero quasi divino quodam animo præditos honore a reliquis affici cernamus. Quoties enim peccantes admonendi vel infelices consolandi vel furore abrepti (ἐπιμαινομένους ?) deliniendi, vel obortæ derepente controversiæ dirimendæ sunt, dicendi facultas utilem se hominum usibus præstat, dum scriptio otio indiget ac tempus absumit tempestivo longius. Nam quum momenti opportunitas in certaminibus agendi celeritatem flagitet, illa moras nectens sero orationes conficit. Quo igitur pacto sanus aliquis facultatem desideret, quam tempestivitas tam longe post se relinquit? Nonne ridiculus foret orator, qui, jam clamante præcone « *Quisnam civium concionari vult,* » vel jam fluente in judiciis aqua clepsydræ, ad tabellam accederet ut orationem componeret mandaretque memoriæ? Sane quidem si tyrannide civitates premeremus, penes nos esset convocare judicia et de rebus publicis consulere ita ut postquam scriptæ orationes essent, tum demum ad audiendas cives advocaremus. Jam vero quum penes alios horum potestas sit, nonne absurdum est nos orationum meditationem instituere rerum conditioni aperte contrariam? Etenim orationes exacta verborum cura elaboratæ et poematis quam orationibus similiores, quæ nihil habent quod sponte natum et vero simile sit, sed data opera conflictæ et compositæ sunt, diffidentia et invidia audientium animos implent. Evidentissimum habes rei argumentum. Scilicet qui orationes in judiciis pronuntiandas scribunt, nimiam istam accurationem devitant et ex tempore dicentes imitantur ac tunc optime scribere sibi videntur si minime similes scriptis orationes exhibeant. Quodsi vero ipsis scriptoribus hic est diligentiæ finis, ut extemporalia loquentes imitentur, qui non

πῶς οὐ χρὴ καὶ τῆς παιδείας ἐκείνην μάλιστα τιμᾶν, ἀφ' ἧς πρὸς τοῦτο τὸ γένος τῶν λόγων εὐπόρως ἕξομεν;

5. Οἶμαι δὲ καὶ διὰ τοῦτ' ἄξιον εἶναι τοὺς γραπτοὺς λόγους ἀποδοκιμάζειν, ὅτι τὸν βίον τῶν μεταχειριζομένων ἀνώμαλον καθιστᾶσι. Περὶ πάντων μὲν γὰρ τῶν πραγμάτων γεγραμμένους ἐπίστασθαι λόγους ἕν τι τῶν ἀδυνάτων πέφυκεν, ἀνάγκη δέ ἐστιν, ὅταν τις τὰ μὲν αὐτοσχεδιάζῃ τὰ δὲ τυποῖ, τὸν λόγον ἀνόμοιον ὄντα ψόγον τῷ λέγοντι παρασκευάζειν, καὶ τὰ μὲν ὑποκρίσει καὶ ῥαψῳδίᾳ παραπλήσια δοκεῖν εἶναι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα φαίνεσθαι παρὰ τὴν ἐκείνων ἀκρίβειαν.

6. Δεινὸν δ' ἐστὶ τὸν ἀντιποιούμενον φιλοσοφίας τῆς τοῦ λέγειν καὶ παιδεύσειν ἑτέρους ὑπισχνούμενον, ἂν μὲν ἔχῃ γραμματεῖον ἢ βιβλίον, δεικνύναι δύνασθαι τὴν αὑτοῦ σοφίαν, ἂν δὲ τούτων ἄμοιρος γένηται, μηδὲν τῶν ἀπαιδεύτων βελτίω καθεστάναι, καὶ χρόνου μὲν δοθέντος δύνασθαι λόγον ἐξενεγκεῖν, εὐθέως δὲ περὶ τοῦ προτεθέντος ἀφωνότερον εἶναι τῶν ἰδιωτῶν, καὶ λόγων μὲν τέχνας ἐπαγγέλλεσθαι, τοῦ δὲ λέγειν μηδὲ μικρὰν δύναμιν ἔχοντα ἐν ἑαυτῷ φαίνεσθαι. Καὶ γὰρ ἡ μελέτη τοῦ γράφειν ἀπορίαν τοῦ λέγειν πλείστην παραδίδωσιν. Ὅταν γάρ τις ἐθισθῇ κατὰ μικρὸν ἐξεργάζεσθαι τοὺς λόγους καὶ μετὰ ἀκριβείας καὶ ῥυθμοῦ τὰ ῥήματα συντιθέναι καὶ βραδείᾳ τῇ τῆς διανοίας κινήσει χρώμενος ἐπιτελεῖν τὴν ἑρμηνείαν, ἀναγκαῖόν ἐστι τοῦτον, ὅταν εἰς τοὺς αὐτοσχεδιαστοὺς ἔλθῃ λόγους, ἐναντία πράσσοντα ταῖς συνηθείαις ἀπορίας καὶ θορύβου πλήρη τὴν γνώμην ἔχειν, καὶ πρὸς ἅπαντα μὲν δυσχεραίνειν, μηδὲν δὲ διαφέρειν τῶν ἰσχνοφώνων, οὐδέποτε δ' εὐλύτῳ τῇ τῆς ψυχῆς ἀγχινοίᾳ χρώμενον ὑγρῶς καὶ φιλανθρώπως μεταχειρίζεσθαι τοὺς λόγους, ἀλλ' ὥσπερ οἱ διὰ μακρῶν χρόνων ἐκ δεσμῶν λυθέντες οὐ δύνανται τοῖς ἄλλοις ὁμοίαν ποιήσασθαι τὴν ὁδοιπορίαν, ἀλλ' εἰς ἐκεῖνα τὰ σχήματα καὶ τοὺς ῥυθμοὺς ἀποφέρονται μεθ' ὧν καὶ δεδεμένοις αὐτοῖς ἀναγκαῖον ἦν πορεύεσθαι, τὸν αὐτὸν τρόπον ἡ γραφὴ βραδείας τὰς διαβάσεις τῇ γνώμῃ παρασκευάζουσα καὶ τοῦ λέγειν ἐν τοῖς ἐναντίοις ἔθεσι ποιουμένη τὴν ἄσκησιν ἄπορον καὶ δεσμῶτιν τὴν ψυχὴν καθίστησι καὶ τῆς ἐν τοῖς αὐτοσχεδιαστοῖς εὐροίας ἁπάσης ἐπίπροσθεν γίνεται.

7. Νομίζω δὲ καὶ τὴν μάθησιν τῶν γραπτῶν λόγων χαλεπὴν καὶ τὴν μνήμην ἐπίπονον καὶ τὴν λήθην αἰσχρὰν ἐν τοῖς ἀγῶσι γίνεσθαι. Πάντες γὰρ ἂν ὁμολογήσειαν τὰ μικρὰ τῶν μεγάλων καὶ τὰ πολλὰ τῶν ὀλίγων χαλεπώτερον εἶναι μαθεῖν καὶ μνημονεῦσαι. Περὶ μὲν οὖν τοὺς αὐτοσχεδιασμοὺς ἐπὶ τῶν ἐνθυμημάτων δεῖ μόνον τὴν γνώμην ἔχειν, τοῖς δὲ ὀνόμασιν ἐκ τοῦ παραυτίκα δηλοῦν· ἐν δὲ τοῖς γραπτοῖς λόγοις καὶ τῶν ὀνομάτων καὶ τῶν (ἐνθυμημάτων καὶ) συλλαβῶν ἀναγκαῖόν ἐστι ποιεῖσθαι τὴν μνήμην καὶ τὴν μάθησιν ἀκριβῆ. Ἐνθυμήματα μὲν οὖν

eam etiam maximi faciamus disciplinæ partem, qua ad hoc eloquentiæ genus apte instituamur?

5. Verum propterea quoque scriptas orationes reprobandas esse puto quod vitam his utentium inæqualem reddunt. Nam fieri nequit ut de quavis re scriptas orationes teneas; unde necessario sequitur ut, si quis partim ex tempore dicat partim figuratam orationem promat, inæqualitas hæc oratori vitio vertatur, quum alia declamationem histrionis vel rhapsodi referant, alia juxta exquisitum illorum artificium humilia viliaque esse videantur.

6. Mirum vero est eum, qui artis oratoriæ scientiam sibi vindicat aliisque se magistrum offert, si quidem tabellas vel librum habeat, ostendere posse sapientiam suam, sin his destitutus sit, ineruditis nihil esse præstantiorem, ac tempore concesso posse orationem promere, sin statim de proposito argumento disserendum sit, indoctis se mutiorem præbere, et eloquentiæ quidem artem profiteri, dicendi autem facultate ne minima quidem præditum videri. Etenim assidua meditatio quæ scribendo insumitur, causa est ut, ubi dicendum sit, summa consilii inopia laboremus. Nam qui minutatim orationes elaborare et magna diligentia rhythmice verba componere et lento ingenii motu dictionem perficere consueverit, is ad orationes e tempore habendas adductus, quum suetis contraria agat, necesse est animum perplexum et turbatum habeat et ubique offendat neque ab iis quibus lingua hæsitat differre videatur, nec unquam expedita ingenii sollertia suaviter et liberaliter eloquio uti possit. Sed quemadmodum qui post longa temporis spatia e vinculis solvuntur, non ut ceteri iter facere queunt, verum in habitus motusque, quibus vincti ingredi cogebantur, relabuntur, sic scribendi consuetudo ingenii gressum tarditate quadam afficiens et a dicendi arte prorsus alienans impeditum et captivum animum tenet, et ne leniter extemporalis oratio fluat, obstat.

7. Porro scriptas orationes ediscere molestum et memoria tenere operosum et oblivione in causis labi turpe esse puto. Nam minuta magnis et multa paucis difficilius edisci omnes confiteantur. Jam vero in extemporalibus ad sententias solummodo attendendum est, verba autem in ipsa oratione invenienda sunt; in scriptis vero orationibus etiam verba sententiarum atque adeo syllabæ accurate discenda et retinenda. Sententias autem paucas et magnas oratio habet, nomina vero et vocabula multa et exilia et

ὀλίγα καὶ μεγάλα τοῖς λόγοις ἔνεστιν, ὀνόματα δὲ καὶ ῥήματα πολλὰ καὶ ταπεινὰ καὶ μικρὸν ἀλλήλων διαφέροντα. Καὶ τῶν μὲν ἐνθυμημάτων ἅπαξ ἕκαστον δηλοῦται, τοῖς δ' ὀνόμασι πολλάκις τοῖς αὐτοῖς ἀναγκαζόμεθα χρῆσθαι· διὸ τῶν μὲν εὔπορος ἡ μνήμη, τοῖς δὲ δυσανάληπτος ἡ μνήμη καὶ δυσφύλακτος ἡ μάθησις καθέστηκεν. Ἔτι τοίνυν αἱ λῆθαι περὶ μὲν τοὺς αὐτοσχεδιασμοὺς ἄδηλον τὴν αἰσχύνην ἔχουσιν. Εὐλύτου γὰρ τῆς ἑρμηνείας οὔσης καὶ τῶν ὀνομάτων οὐκ ἀκριβῶς συνεξεσμένων, ἂν ἄρα καὶ διαφύγῃ τι τῶν ἐνθυμημάτων, οὐ χαλεπὸν ὑπερβῆναι τῷ ῥήτορι καὶ τῶν ἐφεξῆς ἐνθυμημάτων ἀψάμενον μηδεμιᾷ τὸν λόγον αἰσχύνῃ περιβαλεῖν· ἀλλὰ καὶ τῶν διαφυγόντων, ἂν ὕστερον ἀναμνησθῇ, ῥᾴδιον ποιήσασθαι τὴν δήλωσιν. Τοῖς δὲ γεγραμμένα λέγουσιν ἂν κατὰ μικρὸν ὑπὸ τῆς ἀγωνίας ἐκλίπωσί τι καὶ παραλλάξωσιν, ἀπορίαν ἀνάγκη καὶ πλάνον καὶ ζήτησιν ἐγγίνεσθαι, καὶ μακροὺς μὲν χρόνους ἐπίσχειν, πολλάκις δὲ τῇ σιωπῇ διαλαμβάνειν τὸν λόγον, ἀσχήμονα δὲ καὶ καταγέλαστον καὶ δυσεπικούρητον καθεστάναι τὴν ἀπορίαν.

8. Ἡγοῦμαι δὲ καὶ ταῖς ἐπιθυμίαις τῶν ἀκροατῶν ἄμεινον χρῆσθαι τοὺς αὐτοσχεδιάζοντας τῶν τὰ γεγραμμένα λεγόντων. Οἱ μὲν γὰρ πολὺ πρὸ τῶν ἀγώνων τὰ συγγράμματα διαπονήσαντες ἐνίοτε τῶν καιρῶν ἁμαρτάνουσιν· ἢ γὰρ μακρότερα τῆς ἐπιθυμίας λέγοντες ἀπεχθάνονται τοῖς ἀκούουσιν, ἢ βουλομένων ἔτι τῶν ἀνθρώπων ἀκροᾶσθαι προαπολείπουσι τοὺς λόγους. Χαλεπὸν γάρ, ἴσως δ' ἀδύνατόν ἐστιν ἀνθρωπίνην πρόνοιαν ἐφικέσθαι τοῦ μέλλοντος, ὥστε προϊδεῖν ἀκριβῶς τίνα τρόπον αἱ γνῶμαι τῶν ἀκουόντων πρὸς τὰ μήκη τῶν λεγομένων ἕξουσιν. Ἐν δὲ τοῖς αὐτοσχεδιασμοῖς ἐπὶ τῷ λέγοντι γίνεται ταμιεύεσθαι τοὺς λόγους πρὸς τὰς δυνάμεις τῶν γνωμῶν ἀποβλέποντι καὶ τὰ μήκη συντέμνειν καὶ τὰ συντόμως ἐσκεμμένα διὰ μακροτέρων δηλοῦν.

9. Χωρὶς τοίνυν τούτων οὐδὲ τοῖς παρ' αὐτῶν τῶν ἀγώνων ἐνθυμήμασι διδομένοις ὁμοίως ὁρῶμεν ἑκατέρους χρῆσθαι δυναμένους. Τοῖς μὲν γὰρ ἄγραφα λέγουσιν, ἄν τι παρὰ τῶν ἀντιδίκων ἐνθύμημα λάβωσιν ἢ διὰ τὴν συντονίαν τῆς διανοίας αὐτῶν παρὰ σφῶν αὐτῶν διανοηθῶσιν, εὔπορόν ἐστιν ἐν τάξει θεῖναι· τοῖς γὰρ ὀνόμασιν ἐκ τοῦ παραυτίκα περὶ ἁπάντων δηλοῦντες, οὐδ' ὅταν πλείω τῶν ἐσκεμμένων λέγωσιν, οὐδαμῇ τὸν λόγον ἀνώμαλον καὶ ταραχώδη καθιστᾶσι· τοῖς δὲ μετὰ τῶν γραπτῶν λόγων ἀγωνιζομένοις ἂν ἄρα τι χωρὶς τῆς παρασκευῆς ἐνθύμημα δοθῇ, χαλεπὸν ἐναρμόσαι καὶ χρῆσθαι κατὰ τρόπον· αἱ γὰρ ἀκρίβειαι τῆς τῶν ὀνομάτων ἐξεργασίας οὐ παραδέχονται τοὺς αὐτοματισμούς, ἀλλ' ἀναγκαῖον ἢ μηδὲν χρῆσθαι τοῖς ἀπὸ τῆς τύχης ἐνθυμήμασι δοθεῖσιν ἢ χρώμενον διαλύειν καὶ συνερείπειν τὴν τῶν ὀνομάτων οἰκονομίαν, καὶ τὰ μὲν ἀκριβῶς τὰ δ' εἰκῇ λέγοντα ταραχώδη καὶ διάφωνον καθιστάναι τὴν ἑρμηνείαν. Καίτοι τίς ἂν εὖ φρονῶν ἀποδέξαιτο τὴν τοιαύτην μελέτην, ἥτις καὶ

inter se simillima. Ac sententia quæque semel exponitur, verbis vero sæpius iisdem uti cogimur. Quare illæ facile memoriæ inhærent, hæc vero ediscere et in memoria custodire et refocillare difficile est. Huc accedit quod oblivionis dedecus in extemporalibus latet; nam quum dictio sit expedita nec in singulis verbis ad unguem perpolita, haud difficulter orator, si qua sententia eum fugerit, ad sequentes transit, nullam orationi maculam adspergens; idem, si postea eorum quæ oblitus erat aliquid in mentem recurrat, nullo labore expositionem ejus subjungit. Qui vero scripta dicunt, si vel minimum aliquid præ angore omittunt vel mutant, necessario in angustias et errores deferuntur et quærunt et diu morantur, sæpe etiam silentio orationem interrumpunt, adeo ut indecora sit et ridicula consilii inopia, unde ægre se expediant.

8. Desideriis quoque auditorum melius uti ex tempore dicentes quam scripta declamantes censeo. Hi enim diu ante actionem libellos suos elaborantes interdum de temporibus falluntur. Aut longiora dicentes quam desiderantur, audientibus molesti sunt; aut plura his audire volentibus, ante tempus orationem sistunt. Haud facile enim et fortasse omnino non potest fieri, ut humana providentia futura assequatur, ac justa conjectura præsentiat quonam animo longitudinem dicendorum auditores excepturi sint; in extemporalibus autem penes dicentem est moderare orationem, et prouti auditorum animos affectos videat, vel longiora contrahere vel quæ brevius dicere constituerat, uberius prosequi.

9. Præterea sententiis sive argumentis quæ in ipsa actione suppeditantur, non eodem modo uterque uti potest. Nam qui scripta non adhibent, si qua sententia ab adversariis præbeatur vel si mentis intentione ipsi apud se aliquid inveniant, exponendis iis locum facile assignant. Nam quum de omnibus e tempore verba faciant, etiamsi plura dicant quam meditati sint, minime tamen inæqualem et salebrosam orationem reddunt; qui vero scriptis orationibus certant, sententiam, quæ præter præparatas detur, inserere et in usus suos commode convertere haud facile possunt. Scilicet verba artificiose concinnata temerarias fortuitasque mutationes non admittunt, sed necessarium est, ut aut non utaris sententiis forte oblatis, aut, si uti velis, ut verborum dispositionem dissolvas et evertas, adeoque aliis distincto, aliis temerario modo enuntiatis, turbata et dissona dictio evadat. Quis igitur sanæ mentis studium probaverit quod vel bonorum sponte oblatorum

τῶν αὐτομάτων ἀγαθῶν ἐπίπροσθεν τῇ χρήσει καθέστηκε καὶ χείρω τῆς τύχης ἐνίοτε τοῖς ἀγωνιζομένοις τὴν ἐπικουρίαν παραδίδωσι, καὶ τῶν ἄλλων τεχνῶν ἐπὶ τὸ βέλτιον ἄγειν τὸν τῶν ἀνθρώπων βίον εἰθισμένων αὐτὴ καὶ τοῖς αὐτομάτοις εὐπορήμασιν ἐμποδών ἐστιν.

10. Ἡγοῦμαι δ' οὐδὲ λόγους δίκαιον εἶναι καλεῖσθαι τοὺς γεγραμμένους, ἀλλ' ὥσπερ εἴδωλα καὶ σχήματα καὶ μιμήματα λόγων, καὶ τὴν αὐτὴν κατ' αὐτῶν εἰκότως ἂν δόξαν ἔχοιμεν, ἥνπερ καὶ κατὰ τῶν χαλκῶν ἀνδριάντων καὶ λιθίνων ἀγαλμάτων καὶ γεγραμμένων ζώων. Ὥσπερ γὰρ ταῦτα μιμήματα τῶν ἀληθινῶν σωμάτων ἐστί, καὶ τέρψιν μὲν ἐπὶ τῆς θεωρίας ἔχει, χρῆσιν δ' οὐδεμίαν τῷ τῶν ἀνθρώπων βίῳ παραδίδωσι, τὸν αὐτὸν τρόπον ὁ γεγραμμένος λόγος, ἑνὶ σχήματι καὶ τάξει κεχρημένος, ἐκ βιβλίου θεωρούμενος ἔχει τινὰς ἐκπλήξεις, ἐπὶ δὲ τῶν καιρῶν ἀκίνητος ὢν οὐδεμίαν ὠφέλειαν τοῖς κεκτημένοις παραδίδωσιν· ἀλλ' ὥσπερ ἀνδριάντων καλῶν ἀληθινὰ σώματα πολὺ χείρους τὰς εὐπορίας ἔχοντα πολλαπλασίους ἐπὶ τῶν ἔργων τὰς ὠφελείας παραδίδωσιν, οὕτω καὶ λόγος ὁ μὲν ἀπ' αὐτῆς τῆς διανοίας ἐν τῷ παραυτίκα λεγόμενος ἔμψυχός ἐστι καὶ ζῇ καὶ τοῖς πράγμασιν ἕπεται καὶ τοῖς ἀληθέσιν ἀφωμοίωται σώμασιν, ὁ δὲ γεγραμμένος εἰκόνι λόγου τὴν φύσιν ὁμοίαν ἔχων ἁπάσης ἐνεργείας ἄμοιρος καθέστηκεν.

11. Ἴσως ἂν οὖν εἴποι τις ὡς ἄλογόν ἐστι κατηγορεῖν μὲν τῆς γραφικῆς δυνάμεως, αὐτὸν δὲ διὰ ταύτης φαίνεσθαι τὰς ἐπιδείξεις ποιούμενον, καὶ προδιαβάλλειν τὴν πραγματείαν ταύτην δι' ἧς εὐδοκιμεῖν παρασκευάζεται παρὰ τοῖς Ἕλλησιν, ἔτι δὲ περὶ φιλοσοφίαν διατρίβοντα τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἐπαινεῖν καὶ προυργιαίτερον ἡγεῖσθαι τὴν τύχην τῆς προνοίας καὶ φρονιμωτέρους τοὺς εἰκῆ λέγοντας τῶν μετὰ παρασκευῆς γραφόντων. Ἐγὼ δὲ πρῶτον μὲν οὐ παντελῶς ἀποδοκιμάζων τὴν γραφικὴν δύναμιν ἀλλὰ χείρω τῆς αὐτοσχεδιαστικῆς ἡγούμενος εἶναι, καὶ τοῦ δύνασθαι λέγειν πλείστην ἐπιμέλειαν οἰόμενος χρῆναι ποιεῖσθαι, τούτους εἴρηκα τοὺς λόγους· ἔπειτα προσχρῶμαι τῷ γράφειν οὐκ ἐπὶ τούτῳ μέγιστον φρονῶν, ἀλλ' ἵν' ἐπιδείξω τοῖς ἐπὶ ταύτῃ τῇ δυνάμει σεμνυνομένοις ὅτι μικρὰ πονήσαντες ἡμεῖς ἀποκρύψαι καὶ καταλῦσαι τοὺς λόγους αὐτῶν οἷοί τ' ἐσόμεθα. Πρὸς δὲ τούτοις καὶ τῶν ἐπιδείξεων ἕνεκα τῶν εἰς τοὺς ὄχλους ἐκφερομένων ἅπτομαι τοῦ γράφειν. Τοῖς μὲν γὰρ πολλάκις ἡμῖν ἐντυγχάνουσιν ἐξ ἐκείνου τοῦ τρόπου παρακελεύομαι πεῖραν ἡμῶν λαμβάνειν, ὅταν ὑπὲρ ἅπαντος τοῦ προτεθέντος εὐκαίρως καὶ μουσικῶς εἰπεῖν οἷοί τ' ὦμεν· τοῖς δὲ διὰ χρόνου μὲν ἐπὶ τὰς ἀκροάσεις ἀφιγμένοις, μηδεπώποτε δὲ πρότερον ἡμῖν ἐντετυχηκόσιν ἐπιχειροῦμέν τι δεικνύναι τῶν γεγραμμένων· εἰθισμένοι γὰρ ἀκροᾶσθαι τῶν ἄλλων τοὺς λόγους ἴσως ἂν ἡμῶν αὐτοσχεδιαζόντων ἀκούοντες ἐλάττονα τῆς ἀξίας δόξαν καθ' ἡμῶν λάβοιεν. Χωρὶς δὲ τούτων

usum impediat et pejus interdum quam fortuna certantibus auxilium præbeat, et quum ceteræ artes ad meliora vitam humanam adducere soleant, etiam ultro sese offerentibus commodis sit impedimento?

10. Omnino autem scripta ista, me judice, non tam orationes appellandæ sunt quam quasi simulacra orationum et species et imitamina, neque aliter de iis jure merito sentiamus quam de statuis æneis vel lapideis imaginibus vel animalibus pictis. Quemadmodum enim hæc verorum corporum sunt imitationes et voluptatem quidem adspectu suo præbent, utilitatem vero hominum vitæ non afferunt, sic oratio scripta unam aliquam habitus dispositionem exhibens, si in libro spectetur, admiratione quadam percellit, in actionum vero periculis, quum immobilis sit, nullam ea instructis utilitatem præstat. Et sicut vera corpora, quamvis statuis pulchris longe minus luculenter formata sint, multiplices in operibus utilitates præbent, sic oratio, quam ex ingenio in ipsa actione promis, animata est ac vivit et pari gressu res sequitur et veris corporibus æquiparanda est, dum scripta simulacro similem naturam habens omnis efficaciæ expers sit.

11. At forsitan absurdum esse dixeris accusare aliquem scribendi facultatem, accusatorem vero ea ipsa videri artis suæ specimina proponere, adeoque ante criminatione studium insimulare, quo ipse famam sibi comparare apud Græcos instituat, porro philosophiæ deditum extemporales orationes commendare et majoris fortunam facere quam providentiam, atque temere dicentes quam consulto scribentes habere sapientiores. Ego vero primum non prorsus improbavi quæ in scribendo versatur facultatem, sed eam extemporali facultate inferiorem esse censens majusque studium in dicendi artem conferendum esse opinans, hæc disserui. Deinde autem scribendi facultate nunc ego utor, non quod hanc summi facio, sed ut ea gloriantibus ostendam parvo me labore orationes ipsorum obscurare posse et abolere. Præterea artis speciminum in vulgus edendorum causa ad scribendum accedo. Nam qui frequenter declamationibus meis adsunt, eo ipso velim mei periculum faciant videantque an de proposito quovis argumento scite eleganterque dicere valeam. Qui autem sero tandem ad me audiendum venerunt nec antea unquam me frequentarunt, iis scriptum aliquod exhibere cupio. Hi enim quum aliorum orationibus assueti sint, ex tempore dicentem me audientes fortasse non satis recte de merito meo senserint. Præterea incrementorum quæ in-

καὶ σημεῖα τῆς ἐπιδόσεως, ἣν εἰκὸς ἐν τῇ διανοίᾳ γίνεσθαι, παρὰ τῶν γραπτῶν λόγων ἐναργέστατα κατιδεῖν ἔστιν. Εἰ μὲν γὰρ βέλτιον αὐτοσχεδιάζομεν νῦν ἢ πρότερον, οὐ ῥᾴδιον ἐπικρίνειν ἐστί· χαλεπαὶ γὰρ αἱ μνῆμαι τῶν προειρημένων λόγων καθεστήκασιν· εἰς δὲ τὰ γεγραμμένα κατιδόντας ὥσπερ ἐν κατόπτρῳ θεωρῆσαι τὰς τῆς ψυχῆς ἐπιδόσεις ῥᾴδιόν ἐστιν. Ἔτι δὲ καὶ μνημεῖα καταλιπεῖν ἡμῶν αὐτῶν σπουδάζοντες καὶ τῇ φιλοτιμίᾳ χαριζόμενοι λόγους γράφειν ἐπιχειροῦμεν.

12. Ἀλλὰ μὴν οὐδ' ὡς εἰκῇ λέγειν παρακελευόμεθα, τὴν αὐτοσχεδιαστικὴν δύναμιν τῆς γραφικῆς προτιμῶντες, ἄξιόν ἐστι πιστεύειν. Τοῖς μὲν γὰρ ἐνθυμήμασι καὶ τῇ τάξει μετὰ προνοίας ἡγούμεθα δεῖν χρῆσθαι τοὺς ῥήτορας, περὶ δὲ τὴν τῶν ὀνομάτων δήλωσιν αὐτοσχεδιάζειν· οὐ γὰρ τοσαύτην ὠφέλειαν αἱ τῶν γραπτῶν λόγων ἀκρίβειαι παραδιδόασιν, ὅσον εὐκαιρίαν αἱ τῶν ἐκ τοῦ παραχρῆμα λεγομένων δηλώσεις ἔχουσιν. Ὅστις οὖν ἐπιθυμεῖ ῥήτωρ γενέσθαι δεινὸς ἀλλὰ μὴ ποιητὴς λόγων ἱκανός, καὶ βούλεται μᾶλλον τοῖς καιροῖς χρῆσθαι καλῶς ἢ τοῖς ὀνόμασι λέγειν ἀκριβῶς, καὶ τὴν εὔνοιαν τῶν ἀκροωμένων ἐπίκουρον ἔχειν σπουδάζει μᾶλλον ἢ τὸν φθόνον ἀνταγωνιστήν, ἔτι δὲ καὶ τὴν γνώμην εὔπορον καὶ τὴν μνήμην εὔλυτον καὶ τὴν λήθην ἄδηλον κατεστάναι βούλεται, καὶ τῇ χρείᾳ τοῦ βίου σύμμετρον τὴν δύναμιν τῶν λόγων κεκτῆσθαι πρόθυμός ἐστιν, οὗτος εἰκότως ἂν τοῦ μὲν αὐτοσχεδιάζειν ἀεί τε καὶ διὰ παντὸς ἐνεργὸν τὴν μελέτην ποιοῖτο, τοῦ δὲ γράφειν ἐν παιδιᾷ καὶ παρέργῳ ἐπιμελόμενος εὖ φρονεῖν κριθείη παρὰ τοῖς εὖ φρονοῦσιν.

ΓΟΡΓΙΟΥ ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

127 Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετή, λόγῳ δὲ ἀλήθεια· τὰ δ' ἐναντία τούτων ἀκοσμία. Ἄνδρα δὲ καὶ γυναῖκα καὶ λόγον καὶ ἔργον καὶ πόλιν καὶ πρᾶγμα χρὴ τὸ μὲν ἄξιον ἐπαίνου ἐπαίνῳ τιμᾶν, τῷ δὲ ἀναξίῳ μῶμον ἐπιθεῖναι· ἴση γὰρ ἁμαρτία καὶ ἀμαθία μέμφεσθαί τε τὰ ἐπαινετὰ καὶ ἐπαινεῖν τὰ μωμητά. Τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον ὀρθῶς καὶ ἐλέγξαι τοὺς μεμφομένους Ἑλένην, γυναῖκα περὶ ἧς ὁμόφωνος καὶ ὁμόψηφος ἥ τε τῶν ποιητῶν ἁπάντων πίστις ἥ τε τοῦ ὀνόματος φήμη γέγονεν ἥ τε τῶν συμφορῶν μνήμη. Ἐγὼ δὲ βούλομαι λογισμόν τινα τῷ λόγῳ δοὺς τὴν μὲν κακῶς ἀκούουσαν παῦσαι τῆς αἰτίας, τοὺς δὲ μεμφομένους ψευδομένους ἐπιδεῖξαι, καὶ δεῖξαι τἀληθὲς ἢ παῦσαι τῆς ἀμαθίας.

2. Ὅτι μὲν οὖν φύσει καὶ γένει τὰ πρῶτα τῶν πρώτων ἀνδρῶν καὶ γυναικῶν ἡ γυνὴ περὶ ἧς ὅδε ὁ λόγος, οὐκ ἄδηλον οὐδ' ὀλίγοις. Δῆλον γὰρ ὡς μητρὸς μὲν Λήδας, πατρὸς δὲ τοῦ μὲν γενομένου θεοῦ, λεγομένου δὲ θνητοῦ, Τυνδάρεω καὶ Διός, ὧν ὁ μὲν διὰ τὸ εἶναι ἔδοξεν, ὁ δὲ διὰ τὸ φάναι ἠλέγχθη, καὶ ἦν ὁ μὲν

genium capere consentaneum esse, indicia evidentissima e scriptis orationibus colligere licet. Nimirum an melius nunc quam antea ex tempore dicamus, dijudicare anceps est, quum pristinarum orationum memoria difficulter refocilletur; scripta autem inspicientes quasi in speculo quidnam virium ingenio accesserit, cerni facile potest. Denique gloriæ studio impulsus et monumenta mei relinquere cupiens ad scribendas orationes accingor.

12. Ceterum ne quis crediderit, quum extemporalem facultatem scribendi arti præferamus, adhortari nos ut temere prorsus et inconsulte dicas. Nam sententias earumque dispositionem præparandas oratori, verba duntaxat ex tempore invenienda esse censemus. Haud enim tantam scriptarum orationum concinnitas utilitatem affert, quantam quæ e vestigio dicuntur habent opportunitatem. Quicumque igitur rhetor evadere cupit eximius, non vero verborum artifex mediocris, et temporum momentis uti sollerter quam verbis bene distinctis loqui satius ducit, et benevolentiam auditorum mavult sociam quam invidiam habere adversariam, et mentem expeditam memoriamque facilem esse, et obliviones latere vult, et oratoriam facultatem vitæ usibus accommodam comparare sibi studet: is jure merito extemporalem orationem acri et assidua exercitatione coluerit, scribendo autem nonnisi lusus causa et in subcesiva opera studens sanus esse apud sanos judicabitur.

GORGIÆ HELENÆ LAUDATIO.

Urbem decent viri fortes, corpus pulchritudo, animum sapientia, factum virtus et sermonem veritas: horum autem contraria dedecent. Jam virum, feminam, sermonem, opus, urbem, factum decet, si laudem merentur, celebrare, si non merentur, reprehendere: est enim ejusdem delicti atque inscitiæ tum laudanda vituperare tum laudare vituperanda. Nec non ejusdem est et quod æquum sit dicere et eos refellere qui Helenam reprehendunt, de qua uno ore ac communi suffragio consentiunt et poetarum omnium fides et nominis fama et infortuniorum memoria. Verum ego firmis rationibus tum eam, quæ hactenus male audiit, culpa volo liberare, tum accusatores mendacii convincere, atque aperta veritate inscitiam illorum tollere.

2. Ac primum generis ratione primas eam, de qua loquimur, inter viros ac mulieres tulisse, ne paucis quidem est ignotum. Quis enim nescit ei matrem fuisse Ledam, patrem autem revera deum, verbo tenus hominem, Tyndarum ac Jovem, quorum alter quum esset pater, esse visus est, alter ex dictione deprehensus fuit, eratque ille

ἀνδρῶν κράτιστος, ὁ δὲ πάντων τύραννος. Ἐκ τοιούτων δὲ γενομένη ἔσχε τὸ ἰσόθεον κάλλος, ὃ λαβοῦσα οὐ λαθοῦσα ἔσχε. Πλείστας δὲ πλείστοις ἐπιθυμίας ἔρωτος ἐνειργάσατο, ἑνὶ δὲ σώματι πολλὰ σώματα συνήγαγεν ἀνδρῶν ἐπὶ μεγάλοις μέγα φρονούντων, ὧν οἱ μὲν πλούτου μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδοξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν, οἱ δὲ σοφίας ἐπικτήτου δύναμιν ἔσχον, καὶ ἧκον ἅπαντες ὑπ' ἔρωτός τε φιλο-
128 νείκου φιλοτιμίας τε ἀνικήτου. Ὅστις μὲν οὖν καὶ δι' ὅ τι καὶ ὅπως ἀπέπλησε τὸν ἔρωτα τὴν Ἑλένην λαβών, οὐ λέξω· τὸ γὰρ τοῖς εἰδόσιν ἃ ἴσασι λέγειν πίστιν μὲν ἔχει, τέρψιν δὲ οὐ φέρει. Τὸν χρόνον δὲ τῷ λόγῳ τὸν τότε νῦν ὑπερβὰς ἐπὶ τὴν ἀρχὴν τοῦ μέλλοντος λόγου προβήσομαι, καὶ προθήσομαι τὰς αἰτίας δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν τῆς Ἑλένης εἰς τὴν Τροίαν στόλον.

3. Ἢ γὰρ τύχης βουλήμασι καὶ θεῶν κελεύσμασι καὶ ἀνάγκης ψηφίσμασιν ἔπραξεν ἃ ἔπραξεν, ἢ βίᾳ ἁρπασθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα. Εἰ μὲν οὖν διὰ τὸ πρῶτον, οὐκ ἄξιος αἰτιᾶσθαι ὁ αἰτιώμενος· θεοῦ γὰρ προθυμίαν ἀνθρωπίνῃ προμηθείᾳ ἀδύνατον κωλύειν. Πέφυκε γὰρ οὐ τὸ κρεῖσσον ὑπὸ τοῦ ἥσσονος κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τοῦ κρείσσονος ἄρχεσθαι καὶ ἄγεσθαι, καὶ τὸ μὲν κρεῖσσον ἡγεῖσθαι, τὸ δὲ ἧσσον ἕπεσθαι. Θεὸς δ' ἀνθρώπου κρεῖσσον καὶ βίᾳ καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις. Εἰ οὖν τῇ τύχῃ καὶ τῷ θεῷ τὴν αἰτίαν ἀναθετέον, τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον. Εἰ δὲ βίᾳ ἡρπάσθη καὶ ἀνόμως ἐβιάσθη καὶ ἀδίκως ὑβρίσθη, δῆλον ὅτι ὁ ἁρπάσας ἢ ὑβρίσας ἠδίκησεν, ἡ δὲ ἁρπασθεῖσα ἢ ὑβρισθεῖσα ἐδυστύχησεν. Ἄξιος οὖν ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα καὶ λόγῳ καὶ νόμῳ καὶ ἔργῳ, λόγῳ μὲν αἰτίας, νόμῳ δ' ἀτιμίας, ἔργῳ δὲ ζημίας τυχεῖν· ἡ δὲ βιασθεῖσα καὶ τῆς πατρίδος στερηθεῖσα καὶ τῶν φίλων ὀρφανισθεῖσα πῶς οὐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον ἢ κακολογηθείη; Ὁ μὲν γὰρ ἔδρασε δεινά, ἡ δὲ ἔπαθε· δίκαιον οὖν τὴν μὲν οἰκτεῖραι, τὸν δὲ μισῆσαι.

4. Εἰ δὲ λόγος ὁ πείσας καὶ τὴν ψυχὴν ἀπατήσας, οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι καὶ τὴν αἰτίαν ἀπολύσασθαι ὧδε. Λόγος δυνάστης μέγας ἐστίν, ὃς μικροτάτῳ σώματι καὶ ἀφανεστάτῳ θειότατα ἔργα ἀποτελεῖ· δύναται γὰρ καὶ φόβον παῦσαι καὶ λύπην ἀφελεῖν καὶ χαρὰν ἐνεργάσασθαι καὶ ἔλεον ἐπαυξῆσαι. Ταῦτα δὲ ὡς οὕτως ἔχει δείξω· δεῖ δὲ καὶ δόξῃ δεῖξαι τοῖς ἀκούουσιν. Τὴν ποίησιν ἅπασαν καὶ νομίζω καὶ ὀνομάζω λόγον ἔχοντα μέτρον· ἧς τοὺς ἀκούοντας
129 εἰσῆλθε καὶ φρίκη περίφοβος καὶ ἔλεος πολύδακρυς καὶ πόθος φιλοπενθής, ἐπ' ἀλλοτρίων τε πραγμάτων καὶ σωμάτων εὐτυχίαις καὶ δυσπραγίαις ἴδιόν τι πάθημα διὰ τῶν λόγων ἔπαθεν ἡ ψυχή. Φέρε δὴ πρὸς ἄλλον ἀπ' ἄλλου μεταστῶ λόγον. Αἱ γὰρ ἔνθεοι διὰ λόγων ἐπῳδαὶ ἐπαγωγοὶ ἡδονῆς, ἀπαγωγοὶ λύπης γίνονται· συγγινομένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύναμις τῆς ἐπῳ-

virorum optimus, hic omnium dominus. Ex quibus prognata quum esset, divinam habuit pulchritudinem, quam non obscure tulit. Quare multam in multis effecit libidinem, atque uno corpore multa virorum corpora conduxit, qui magnas ob res magnifice sibi placerent, atque alii divitiarum copia, alii antiqua nobilitate, nonnulli propria fortitudine, quidam conquisita pollerent prudentia, qui omnes per amorem contentiosum et invictum studium convenerunt. Et quis quidem ac quare quoque pacto amorem expleverit qui Helenam accepit, non dicam : etenim qui quæ nota sunt narrant, ut fidem meretur, ita delectationem non affert. Ceterum illo tempore nunc rejecto ad initium sermonis alterius progrediar, et causas eas, propter quas in Trojam Helena videri possit navigasse, exponam.

3. Etenim vel fortunæ imperio ac deorum jussu et necessitatis nutu fecit ea quæ fecit, vel vi rapta, vel persuasa verbis, vel amore capta. Quodsi ergo primum recipimus, non meretur culpari : non enim potest humana providentia divinum impedire consilium : nec enim solet ab infirmiore potior impediri, sed ab hoc ille regi atque duci, præcedente potiore, sequente infirmiore. Deus autem homini et vi præstat et prudentia et rebus ceteris. Quodsi igitur deo atque fortunæ tribuenda est causa, infamia Helena liberanda. Sin est violenter rapta et contra leges violata et injuste contumelia affecta, raptorem aut stupratorem peccasse fit manifestum, quæ rapta vero aut stuprata est, infortunium subiisse. Quod si sic est, is quidem, qui barbarus barbarum suscepit facinus tum verbo tum lege tum facto, et per verbum culpa et per legem infamia et per factum mulcta puniri debet; quæ autem violata fuit et patria atque amicis orbata, non potius misericordiam consequi quam convitia meretur? Nam ille gravia perpetravit, hæc tulit : quapropter hanc miserari, illum decet odisse.

4. Verum si sermo persuasit ac mentem decepit, hoc quoque facile his verbis excusari et dilui potest. Magnus est imperator sermo, qui minimo et obscurissimo corpore divinissimas res perficit; nam et metum finire et dolorem auferre potest, nec non efficere gaudium et augere misericordiam. Hæc autem ita se habere nunc ostendam. Oportet vero audientium præjudiciis succurrere. Equidem poesin omnem et existimo et voco mensura constantem sermonem, cujus auditores horrore sollicito et lacrymosa misericordia et desiderio replentur ad luctum proclivi, sic ut ex aliena felicitate vel infelicitate proprie per sermonem afficiatur animus : sed age ad alium sermonem nos convertamus. Etenim divinæ sermonum epodi tum delectationem afferunt tum dolorem auferunt : vis enim carminis cum animi opinione conjuncta fascino eum demulcet quo-

δῆς ἔθελξε καὶ ἔπεισε καὶ μετέστησεν αὐτὴν γοητείᾳ· γοητείας δὲ καὶ μαγείας δισσαὶ τέχναι εὕρηνται, αἵ εἰσι ψυχῆς ἁμαρτήματα καὶ δόξης ἀπατήματα. Ὅσοι δὲ ὅσους περὶ ὅσων καὶ ἔπεισαν καὶ πείθουσι δὲ ψευδῆ λόγον πλάσαντες! εἰ μὲν γὰρ πάντες περὶ πάντων εἶχον τῶν παροιχομένων μνήμην τῶν τε παρόντων [ἔννοιαν] τῶν τε μελλόντων πρόνοιαν, οὐκ ἂν ὁμοίως ὅμοιος ἦν ὁ λόγος· ἐπεὶ τὰ νῦν γε οὔτε μνησθῆναι τὸ παροιχόμενον οὔτε σκέψασθαι τὸ παρὸν οὔτε μαντεύσασθαι τὸ μέλλον εὐπόρως ἔχει, ὥστε περὶ τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβουλον τῇ ψυχῇ παρέχονται. Ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος οὖσα σφαλεραῖς καὶ ἀβεβαίοις ἀτυχίαις περιβάλλει τοὺς αὐτῇ χρωμένους. Τίς οὖν αἰτία κωλύει καὶ τὴν Ἑλένην * ὕμνος ἦλθεν ὁμοίως ἄνουν νέαν οὖσαν ὡσπερεὶ βιατήριον βίᾳ ἡρπάσθη· τὸ γὰρ τῆς πειθοῦς ἕξειν, ὁ δὲ νοῦς. Καίτοι εἰ * ἀνάγκη ὄνειδος ἕξει μὲν οὔ, τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει. Λόγος γὰρ τὴν ψυχὴν ὁ πείσας, ἣν ἔπεισεν, ἠνάγκασε καὶ πείθεσθαι τοῖς λεγομένοις καὶ συναινέσαι τοῖς ποιουμένοις. Ὁ μὲν οὖν πείσας ὡς ἀναγκάσας ἀδικεῖ, ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα τῷ λόγῳ μάτην ἀκούει κακῶς. Ὅτι δ' ἡ πειθὼ προσιοῦσα τῷ λόγῳ καὶ τὴν ψυχὴν ἐτυπώσατο ὅπως ἐβούλετο, χρὴ μαθεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρολόγων λόγους, οἵτινες δόξαν ἀντὶ δόξης τὴν μὲν ἀφελόμενοι τὴν δ' ἐνεργασάμενοι τὰ ἄδηλα καὶ ἄπιστα φαίνεσθαι τοῖς τῆς δόξης ὄμμασιν ἐποίησαν, δεύτερον δὲ τοὺς ἀναγκαίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς λόγος πολὺν ὄχλον ἔτερψε καὶ ἔπεισε τέχνῃ γραφείς, οὐκ ἀληθείᾳ λεχθείς, τρίτον φιλοσόφων λόγων ἁμίλλας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετάβολον ποιεῖ τὴν τῆς δόξης πίστιν. Τὸν αὐτὸν δὲ λόγον ἔχει ἥ τε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς ψυχῆς τάξιν ἥ τε τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων φύσιν. Ὥσπερ γὰρ τῶν φαρμάκων ἄλλους ἄλλα χυμοὺς ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ μὲν νόσου τὰ δὲ βίου παύει, οὕτω καὶ τῶν λόγων οἱ μὲν ἐλύπησαν, οἱ δὲ ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ δὲ εἰς θάρσος κατέστησαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ τινὶ κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν καὶ ἐξεγοήτευσαν.

5. Καὶ ὅτι μέν, εἰ λόγῳ ἐπείσθη, οὐκ ἠδίκησεν ἀλλ' ἠτύχησεν, εἴρηται· τὴν δὲ τετάρτην αἰτίαν τῷ τετάρτῳ λόγῳ διέξειμι. Εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα πράξας, οὐ χαλεπῶς διαφεύξεται τὴν τῆς λεγομένης γεγονέναι ἁμαρτίας αἰτίαν· ἃ γὰρ ὁρῶμεν, ἔχει φύσιν οὐχ ἣν ἡμεῖς θέλομεν ἀλλ' ἣν ἕκαστον ἔτυχε· διὰ δὲ τῆς ὄψεως ἡ ψυχὴ κἀν τοῖς τρόποις τυποῦται. Αὐτίκα γὰρ ὅταν πολέμια σώματα καὶ πολέμιον ἐπὶ πολεμίᾳ ὁπλίσει κόσμον χαλκοῦ καὶ σιδήρου, τοῦ μὲν ἀλεξητήριον τοῦ δὲ προβλήματα, θεάσηται ἡ ὄψις, ἐταράχθη καὶ ἐτάραξε τὴν ψυχήν, ὥστε πολλάκις ἀκινδύνου τοῦ μέλλοντος ὄντος φεύγουσιν ἐκπλαγέντες· ἰσχυρὰ γὰρ ἡ ἀλήθεια τοῦ νόμου διὰ τὸν φόβον ἐξῳκίσθη τὸν ἀπὸ τῆς ὄψεως, ἥτις ἐλθοῦσα ἐποίησεν ἀμελῆσαι καὶ τοῦ καλοῦ τοῦ διὰ τὸν νόμον κρινομένου καὶ τοῦ ἀγαθοῦ

que vult transfert. Sunt autem magiæ et fascinandi artes duæ, quæ in animi delictis et opinionis captationibus consistunt. Quot porro quam multis quantas res confictis verbis et persuaserunt et persuadent! Etenim si omnes omnia tum præterita meminissent tum intelligerent præsentia, tum futura præviderent, non similiter similis foret oratio. Nunc certe nec præterita meminisse nec intelligere præsentia nec futura prævidere facile quispiam potest, adeo ut plerique homines opinionem in rebus plerisque in consilium adhibeant. Ea vero cum lubrica sit et incerta, lubricis et incertis infortuniis nos implicat. Quid igitur vetat quo minus Helenam quoque [dicamus ab imprudente qui advenit juvene, quum ipsa quoque juvenilis imprudentiæ esset, precum quasi vi raptam esse? Nam persuasio, cui cedit mens, cogendi actionis probrum quidem non habet, sed vim habet quam illa eandem?] Qui enim animo sermo persuaserat, eam cui persuaserat, et verbis credere et factis coegit assentiri. Quo fit, ut qui persuasit, quasi coegisset, peccaverit; quæ persuasione quasi coacta fuit, immerito male audiat. Jam persuasionem cum sermone conjunctam animum quoque in omnem mutasse formam, ex eorum oratione primum, qui de rebus sublimibus disputant, licet cognoscere, qui opinione alia sublata alia effecta res incertas et incredibiles opinionis oculis approbant; tum ex necessariis concertationibus, cum oratio una, quam conscripsit ars, non dictavit veritas, ingentem turbam delectat eisque quidvis persuadet; denique e philosophicis disputationibus, in quibus opinionis mutabilitas omnibus patet. Atque eamdem habet in animo vim sermo, quam in corpore venenum. Quemadmodum enim venena alia alios humores corpori demunt, et nunc morbum nunc vitam auferunt, ita sermones alii dolorem, alii delectationem, nonnulli metum, quidam confidentiam afferunt, aliqui etiam persuasione non recta animum inficiunt atque fascinant.

5. Atque illam quidem, si verbis est persuasa, non improbam sed infelicem fuisse declaratum est: nunc autem quartam causam quarta ratione persequar. Etenim si amor hæc effecit, non difficulter culpam, quæ commissa dicitur, effugiet. Quæ enim videmus, non eam quam nos volumus naturam habent, sed quam singulis casus obtulit. Adspectus autem varie animum afficit. Nam hostilia corpora atque armaturam bellicam ex ære ferroque factam ad vim inferendam et arcendam si adspectus percepit, perturbatur et perturbat animum; unde fit, ut sæpe, etsi eventus periculo sit cariturus, nonnulli perculsi fugiant: fortis enim legis veritas metu expellitur quem adspectus affert, cujus adventus et honesti quod lex proponit, et utilis quod per jus consequimur, adducit contemptum. Quid

τοῦ διὰ τὴν δίκην γινομένου. Ἤδη δέ τινες ἰδόντες φοβερὰ καὶ τοῦ παρόντος ἐν τῷ παρόντι χρόνῳ φρονήματος ἐξέστησαν· οὕτως ἀπέσβεσε καὶ ἐξήλασεν ὁ φόβος τὸ νόημα. Πολλοὶ δὲ καὶ ματαίοις πόνοις καὶ δειναῖς νόσοις καὶ δυσιάτοις μανίαις περιέπεσον· οὕτως εἰκόνας τῶν δρωμένων πραγμάτων ἡ ὄψις ἐνέγραψεν ἐν τῷ φρονήματι. Καὶ τὰ μὲν δειματοῦντα πολλὰ μὲν παραλείπεται, ὅμοια δ' ἐστὶ τὰ παραλειπόμενα οἷάπερ τὰ λεγόμενα. Ἀλλὰ μὴν οἱ γραφεῖς ὅταν ἐκ πολλῶν χρωμάτων καὶ σωμάτων ἓν σῶμα καὶ σχῆμα τελείως ἀπεργάσωνται, τέρπουσι τὴν ὄψιν. Ἡ δὲ τῶν ἀνδριάντων ποίησις καὶ ἡ τῶν ἀγαλμάτων ἐργασία ὅσον ἡδεῖαν παρέσχετο τοῖς ὄμμασιν. Οὕτω τὰ μὲν λυπεῖν τὰ δὲ ποθεῖν πέφυκε τὴν ὄψιν. Πολλὰ δὲ πολλῶν ἔρωτα καὶ πό-
131 θον ἐνεργάζεται πραγμάτων καὶ σωμάτων. Εἰ οὖν τῷ τοῦ Ἀλεξάνδρου σώματι τὸ τῆς Ἑλένης ὄμμα ἡσθὲν προθυμίαν καὶ ἅμιλλαν ἔρωτος τῇ ψυχῇ παρέδωκε, τί θαυμαστόν; ὃς εἰ μὲν θεὸς θεῶν [ἔχει] θείαν δύναμιν, πῶς ἂν ὁ ἥσσων εἴη τοῦτον ἀπώσασθαι καὶ ἀμύνασθαι δυνατός; εἰ δ' ἐστὶν ἀνθρώπινον νόσημα καὶ ψυχῆς ἀγνόημα, οὐχ ὡς ἁμάρτημα μεμπτέον ἀλλ' ὡς ἀτύχημα νομιστέον· ἦλθε γὰρ ὡς ἦλθε τύχης ἀγρεύμασιν, οὐ γνώμης βουλεύμασι, καὶ ἔρωτος ἀνάγκαις, οὐ τέχνης παρασκευαῖς.

6. Πῶς οὖν χρὴ δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης μῶμον, ἥτις εἴτ' ἐρασθεῖσα εἴτε λόγῳ πεισθεῖσα εἴτε βίᾳ ἁρπασθεῖσα εἴτε ὑπὸ θείας ἀνάγκης ἀναγκασθεῖσα ἔπραξεν ἃ ἔπραξε, πάντως διαφεύγει τὴν αἰτίαν;

7. Ἀφεῖλον τῷ λόγῳ δύσκλειαν γυναικός, ἐνέμεινα τῷ νόμῳ ὃν ἐθέμην ἐν ἀρχῇ τοῦ λόγου, ἐπειράθην καταλῦσαι μώμου ἀδικίαν καὶ δόξης ἀμαθίαν, ἐβουλήθην γράψαι τὸν λόγον Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ παίγνιον.

quod non raro quidam visis rebus tremendis præsentem statim animum perdiderunt: adeo mentem abegerat metus atque exstinxerat. Multi quoque in vanos dolores ac graves morbos et insanabiles furores inciderunt: usque eo rerum conspectarum imagines animo adspectus impresserat. Atque ea quidem quæ terrorem incutiunt ut a me omittuntur multa, ita similiter ac superiora se habent. Quum autem e multis coloribus atque corporibus unum corpus atque unam figuram perfectam pictores effecerint, oculos delectant. Porro simulacrorum et statuarum conspectio oculis suavissima esse solet. Sic aliud fugere, aliud adspectum desiderare facit. Ac multarum rerum et corporum amore atque desiderio multi tenentur. Quodsi ergo Alexandri corpore delectatus Helenæ oculus amoris fervorem animo concessit, quam ea res admirationem habet? Quapropter sive deus divina potestate utitur, quomodo hunc inferior possit repellere? Sive humanus est morbus et animi ignorantia, non pro peccato culpandum hoc, verum pro infortunio est habendum; venit enim uti venit sortis captationibus, non mentis consiliis, et amoris necessitate, non artis apparatu.

6. Quis igitur Helenæ reprehensionem justam existimet, quæ, sive amore capta sive verbis persuasa sive vi rapta sive divina necessitate fecerit quæ fecit, culpam prorsus evadat?

7. Sustuli verbis mulieris infamiam, quam initio sermonis legem constitueram servavi, reprehensionis injustitiam et opinionis imperitiam evertere sum conatus, orationem volui conscribere, quæ ut Helenæ laudi, ita mihi esset ludicro.

ΓΟΡΓΙΟΥ ΥΠΕΡ ΠΑΛΑΜΗΔΟΥΣ ΑΠΟΛΟΓΙΑ.

187 Ἡ μὲν κατηγορία καὶ ἡ ἀπολογία κρίσις οὐ περὶ θανάτου γίγνεται· θάνατον μὲν γὰρ ἡ φύσις φανερᾷ τῇ ψήφῳ πάντων κατεψηφίσατο τῶν θνητῶν ᾗπερ ἡμέρᾳ ἐγένετο· περὶ δὲ τῆς ἀτιμίας καὶ τῆς τιμῆς ὁ κίνδυνός ἐστι, πότερά με χρὴ δικαίως ἀποθανεῖν ἢ μετ' ὀνειδῶν μεγίστων καὶ τῆς αἰσχίστης αἰτίας βιαίως ἀποθανεῖν. Δισσῶν δὲ τούτων ὄντων τοῦ μὲν ὅλου ὑμεῖς κρατεῖτε, τοῦ δ' ἐγώ, τῆς μὲν δίκης ἐγώ, τῆς δὲ βίας ὑμεῖς. Ἀποκτεῖναι γάρ με δυνήσεσθε βουλόμενοι ῥᾳδίως· κρατεῖτε γὰρ καὶ τούτων, ὧν οὐδὲν ἐγὼ τυγχάνω κρατῶν. Εἰ μὲν οὖν ὁ κατήγορος Ὀδυσσεὺς ἢ σαφῶς ἐπιστάμενος προδιδόντα με τὴν Ἑλλάδα τοῖς βαρβάροις ἢ δοξάζων γε οὕτω ταῦτα ἔχειν ἐποιεῖτο τὴν κατηγορίαν δι' εὔνοιαν τῆς Ἑλλάδος, ἄριστος ἂν ἦν ὁ ἀνήρ· πῶς γὰρ οὔ, ὅς γε σώζει πατρίδα, τοκέας, τὴν πᾶσαν Ἑλλάδα, ἔτι δὲ πρὸς τούτοις τὸν ἀδικοῦντα τιμωρούμενος; εἰ δὲ φθόνῳ ἢ κακοτεχνίᾳ ἢ πανουργίᾳ συνέθηκε ταύτην τὴν αἰτίαν, ὥσπερ δι' ἐκεῖνα κράτιστος ἂν ἦν

PRO PALAMEDE APOLOGIA.

Nec accusatio, nec defensio, judices, causa capitis instituitur, quandoquidem ejus unumquemque mortalium natura, qua die natus est, manifesto damnavit suffragio: verum honor agitur et infamia, rectene mihi an turpissime sit et maximo cum flagitio violenter moriendum. Quæ quum duo sint, alterum in vestra est, alterum in mea potestate: vos enim vi potestis uti, ego quod rectum sit tueri. Etenim non difficulter me poteritis, si voletis, occidere, quoniam eo valetis, quod mihi deest, imperio. Ac si quidem Ulysses accusator, vel meam proditionem compertam habens vel ita se rem habere existimans, Græciæ studio accusationem institueret, optimus mehercle vir esset — quippe qui patriam, parentes totamque servaret Græciam atque insuper sontem puniret — : sin per invidiam et malignitatem crimen hoc confinxit, ut illo modo optimus, ita hoc pessimus deprehenditur. Sed ego

ἀνήρ, οὕτω διὰ ταῦτα κάκιστος ἀνήρ. Περὶ τούτων δὲ ἔγωγε πόθεν ἄρξωμαι; τί δὲ πρῶτον εἴπω; ποῖ δὲ τῆς ἀπολογίας τράπωμαι; αἰτία γὰρ ἀνεπίδεικτος ἔκπληξιν ἐμφανῆ ἐμποιεῖ, διὰ δὲ τὴν ἔκπληξιν ἀπορεῖν ἀνάγκη τῷ λόγῳ, ἂν μή τι παρ' αὐτῆς τῆς ἀληθείας καὶ τῆς παρούσης ἀνάγκης μάθω, διδασκάλων ἐπικινδυνοτέρων ἢ ποριμωτέρων τυχών. Ὅτι μὲν οὖν οὐ σαφῶς ὁ κατήγορός κατηγορεῖ μου, σαφῶς οἶδα· σύνοιδα γὰρ ἐμαυτῷ σαφῶς οὐδὲν τοιοῦτον πεποιηκώς· οὐδέ που ἔστιν ὅπως ἂν εἰδείη τις τὸ μὴ γενόμενον. Εἰ δὲ οἰόμενος οὕτω ταῦτα ἔχειν ἐποιεῖτο τὴν κατηγορίαν, οὐκ ἀληθῆ λέγειν διὰ δισσῶν ὑμῖν ἐπιδείξω τρόπων. Οὔτε γὰρ βουληθεὶς ἐδυνάμην ἂν οὔτε δυνάμενος ἐβουλήθην ἔργοις ἐπιχειρεῖν τοιούτοις.

2. Ἐπὶ τοῦτον δὲ τὸν λόγον εἶμι πρῶτον, ὡς ἀδύνατός εἰμι τοῦτο πράττειν. Ἔδει γάρ τινα πρῶτον
188 ἀρχὴν γενέσθαι τῆς προδοσίας, ἡ δὲ ἀρχὴ λόγος ἂν εἴη· πρὸ γὰρ τῶν μελλόντων ἔργων ἀνάγκη λόγους γίγνεσθαι πρότερον. Λόγοι δὲ πῶς ἂν γένοιντο μὴ συνουσίας τινὸς γενομένης; συνουσία δὲ τίνα τρόπον γένοιτ' ἂν μήτ' ἐκείνου πρὸς ἐμὲ πέμψαντος μήτε παρ' ἐμοῦ πρὸς ἐκεῖνον ἐλθόντος; οὐδὲ παραγγελία διὰ γραμμάτων ἀφῖκται ἄνευ τοῦ φέροντος. Ἀλλὰ δὴ τοῦτο τῷ λόγῳ δυνατὸν γενέσθω· καὶ δὴ τοίνυν σύνειμι καὶ σύνεστι, κἀκεῖνος ἐμοὶ κἀκείνῳ ἐγώ. Τίνα τρόπον; τίνι τίς ὤν; Ἕλλην βαρβάρῳ. Πῶς ἀκούων καὶ λέγων; πότερα μόνος μόνῳ; ἀλλ' ἀγνοήσομεν τοὺς ἀλλήλων λόγους. Ἀλλὰ μεθ' ἑρμηνέως; τρίτος ἄρα μάρτυς γίνεται τῶν κρύπτεσθαι δεομένων. Ἀλλὰ δὴ καὶ τοῦτο γενέσθω, καίπερ οὐ γενόμενον. Ἔδει δ' ἐμὲ τούτων πίστιν δοῦναι καὶ δέξασθαι. Τίς οὖν ἂν ἦν ἡ πίστις; πότερον ὅρκος; τίς οὖν ἐμοὶ τῷ προδότῃ πιστεύειν ἔμελλεν; ἀλλ' ὅμηροί τινες; οἷον ἐγὼ τὸν ἀδελφὸν ἔδωκ' ἂν (οὐ γὰρ εἶχον ἄλλον), ὁ δὲ βάρβαρος τῶν υἱέων τινά· πιστότατα γὰρ ἂν ἦν οὕτως ἐμοί τε παρ' ἐκείνου ἐκείνῳ τε παρ' ἐμοῦ. Ταῦτα δὲ γιγνόμενα πᾶσιν ὑμῖν ἂν ἦν φανερά. Φήσει τις ὡς χρήμασι τὴν πίστιν ἐποιούμεθα, ἐκεῖνος μὲν διδούς, ἐγὼ δὲ λαμβάνων. Πότερον οὖν ὀλίγοις; ἀλλ' οὐκ εἰκὸς ἀντὶ μεγάλων ὑπουργημάτων ὀλίγα χρήματα λαμβάνειν. Ἀλλὰ πολλά; τίς οὖν ἦν ἡ κομιδή; πῶς δ' ἂν ἐκόμισεν; εἷς ἢ πολλοί; πολλῶν γὰρ κομιζόντων πολλοὶ ἂν ἦσαν οἱ μάρτυρες τῆς ἐπιβουλῆς, ἑνὸς δὲ κομίζοντος οὐκ ἂν πολύ τι τὸ φερόμενον ἦν. Πότερα δὲ ἐκόμισαν ἡμέρας ἢ νυκτός; νυκτός; ἀλλὰ πολλαὶ καὶ πυκναὶ φυλακαί, δι' ὧν οὐκ ἔστι λαθεῖν. Ἀλλὰ ἡμέρας; ἀλλά γε τὸ φῶς πολεμεῖ τοῖς τοιούτοις. Εἶεν. Ἐγὼ δ' ἐξελθὼν ἐδεξάμην, ἢ ἐκεῖνος ὁ φέρων εἰσῆλθεν; ἀμφότερα γὰρ ἄπορα. Λαβὼν δὲ δὴ πῶς ἂν ἔκρυψα καὶ τοὺς ἔνδον καὶ τοὺς ἔξω; ποῦ δ' ἂν ἔθηκα; πῶς δ' ἂν ἐφύλαξα; χρώμενος δ' ἂν φανερὸς ἐγενόμην· μὴ χρώμενος δὲ τί ἂν ὠφελούμην ἀπ' αὐτῶν; Καὶ δὴ τοίνυν γενέσθω καὶ τὰ μὴ γενόμενα. Συνήλθομεν, εἴπομεν, ἠκούσαμεν, χρήματα παρ' αὐτοῦ ἔλαβον, ἔλαθον λαβών, ἔκρυψα.

unde incipiam? quid primum dicam? ad quam defensionis partem me vertam? Etenim crimen immane terrorem gravem parit; is porro dicendi affert inopiam, nisi quid veritas et necessitas suppeditent, periculosiores quam abundantiores magistræ. Ac primum quidem accusatorem nihil habere compertum certo scio : nihil enim tale fecisse me compertum habeo; neque quod factum non est scire quisquam possit. Sin opinione ductus accusavit, duabus eum rationibus non recte putare docebo. Nam neque si voluissem, potuissem, neque si potuissem, ea facere voluissem.

2. Primum autem non posse me ostendam. Oportebat enim aliquod præcedere proditionis initium, idque fuisset colloquium : siquidem factis verba necesse est antecedere. Quomodo autem verba sine conventu fierent? quomodo porro conventus haberetur, cum nec ille ad me nec ego ad illum quenquam misissem? neque etiam per literas quicquam absque tabellario nuntiatum est. Sed ut hoc fieri posse demus; atque una colloquamur. Quomodo? quis cum quo? Græcus cum barbaro. Quo pacto audiam aut loquar? an solus cum solo? neuter alterum intelligit. An per interpretem? Tertius ergo rerum fit occultandarum testis. At ut hoc quoque demus, quamvis est falsum. Fides postea danda fuit et accipienda. Quænam ea fuisset? Jusjurandum? quis erat mihi proditori crediturus? An obsides? Ut si ego fratrem dedissem — quoniam alium non habebam, — barbarus aliquem ex liberis : hæc enim inter nos fidem peperissent maximam. Verum ea vobis fuissent omnibus aperta. Sed aliquis pecunias intercessisse dicet, quas ille dederit, ego acceperim. Utrum paucas? Non erat æquum paucas pro magno accipere ministerio. An multas? Quomodo sunt igitur perlatæ? Per unum, an per plures? Si multi pertulerunt, multi fuerunt insidiarum testes; si unus, non multum fuit allatum. Jam quando pertulerunt? Interdiu an noctu? Noctu? Multas et frequentes excubias nemo possit latere. Interdiu? Lucem hæ res exosæ sunt. Deinde egressus ego accepi, an ille ad me est ingressus? Nam utrumque est absurdum. Acceptas vero qua ratione et familiares et alios celavissem? ubi deposuissem? quomodo servassem? Sive uterer, manifestus fiebam? sive non uterer, quid proderat? Verum sint ea, quæ nunquam accidere, facta. Convenimus, locuti sumus, audivimus, pecuniam accepi,

Ἔδει δήπου πράττειν ὧν ἕνεκα ταῦτα ἐγένετο. Τοῦτο τοίνυν ἔτι τῶν εἰρημένων ἀπορώτερον. Πράττων μὲν γὰρ αὐτὸς ἔπραττον ἢ μεθ' ἑτέρων. Ἀλλ' οὐχ ἑνὸς ἡ πρᾶξις. Ἀλλὰ μεθ' ἑτέρων; τίνων; δηλονότι τῶν συνόντων. Πότερον ἐλευθέρων ἢ δούλων; ἐλευθέροις μὲν γὰρ ὑμῖν σύνειμι. Τίς οὖν ὑμῶν ξύνοιδε; λεγέτω. Δούλοις δὲ πῶς οὐκ ἄπιστον; ἑκόντες γὰρ ἐπ' ἐλευθερίᾳ χειμαζόμενοί τε δι' ἀνάγκην κατηγοροῦσιν. Ἡ δὲ πρᾶξις πῶς ἐγένετο; δηλονότι τοὺς πολεμίους εἰσαγαγεῖν ἔδει κρείττονας ὑμῶν· ὅπερ ἀδύνατον. Πῶς ἂν οὖν εἰσήγαγον; πότερα διὰ πυλῶν; ἀλλ' οὐκ ἐμὸν ταύτας οὔτε κλείειν οὔτε ἀνοίγειν, ἀλλ' ἡγεμόνες κύριοι τούτων. Ἀλλ' ὑπὲρ τειχέων [διὰ] κλίμακος; οὐ μὲν οὖν· ἅπαντα γὰρ πλήρη φυλάκων. Ἀλλὰ διελὼν τοῦ τείχους; ἅπασιν ἄρα φανερὰ γένοιτ' ἄν. Ὑπαίθριος γὰρ ὁ βίος· στρατόπεδον γάρ ἐστιν ἐν ὅπλοις, ἐν οἷς [πάντες] πάντα δρῶσι καὶ πάντες ὑπὸ πάντων ὁρῶνται. Πάντως ἄρα καὶ πάντῃ πάντα πράττειν ἀδύνατον ἦν μοι.

3. Σκέψασθε κοινῇ καὶ τόδε. Τίνος ἕνεκα προσῆκε βουληθῆναι ταῦτα πράττειν, εἰ μάλιστα πάντων ἐδυνάμην; οὐδεὶς γὰρ βούλεται προῖκα τοὺς μεγίστους κινδύνους κινδυνεύειν οὐδὲ τὴν μεγίστην κακότητα εἶναι κάκιστος. Ἀλλ' ἕνεκα τοῦ; καὶ αὖθις πρὸς τόδ' ἐπάνειμι. Πότερον τοῦ τυραννεῖν ὑμῶν ἢ τῶν βαρβάρων; ἀλλ' ὑμῶν ἀδύνατον τοσούτων καὶ τοιούτων, οἷς ὑπάρχει ἅπαντα μέγιστα, προγόνων ἀρεταί, χρημάτων πλῆθος, ἀριστεῖαι, ἀλκὴ φρονημάτων, βασιλεία πόλεων. Ἀλλὰ τῶν [βαρβάρων]; ὁ δὲ παραδώσων τίς; ἐγὼ δὲ ποίᾳ δυνάμει παραλήψομαι Ἕλλην βαρβάρους, εἷς ὢν πολλούς; πείσας ἢ βιασάμενος; οὔτε 169 γὰρ ἐκεῖνοι πεισθῆναι βούλοιντ' ἄν, οὔτ' ἐγὼ βιάσασθαι δυναίμην. Ἀλλ' ἴσως ἑκόντες ἑκόντι παραδώσουσι, μισθὸν τῆς προδοσίας ἀντιδιδόντες; ἀλλά γε ταῦτα πολλῆς μωρίας καὶ πιστεῦσαι καὶ δέξασθαι· τίς γὰρ ἂν ἕλοιτο δουλείαν ἀντ' ἐλευθερίας, ἀντὶ τοῦ κρατίστου τὸ κάκιστον; Εἴποι τις ἂν ὅτι πλούτου καὶ χρημάτων ἐρασθεὶς ἐπεχείρησα τούτοις. Ἀλλὰ χρήματα μὲν μέτρια κέκτημαι, πολλῶν δὲ οὐδὲν δέομαι. Πολλῶν γὰρ δέονται χρημάτων οἱ πολλὰ δαπανῶντες, οὐχ οἱ κρείττονες τῶν τῆς φύσεως ἡδονῶν, ἀλλ' οἱ δουλεύοντες ταῖς ἡδοναῖς καὶ ζητοῦντες ἀπὸ πλούτου καὶ μεγαλοπρεπείας τὰς τιμὰς κτᾶσθαι. Τούτων δὲ ἐμοὶ πρόσεστιν οὐδέν. Ὡς δ' ἀληθῆ λέγω, μάρτυρα πιστὸν παρέξομαι τὸν παροιχόμενον βίον· τῷ δὲ μάρτυρι μάρτυρες ὑμεῖς ἦτε· σύνεστε γάρ μοι, διὸ σύνιστε ταῦτα. Καὶ μὴν οὐδ' ἂν τιμῆς ἕνεκα τοιούτοις ἔργοις ἀνὴρ ἐπιχειρήσειε καὶ μέσως φρόνιμος. Ἀπ' ἀρετῆς γὰρ ἀλλ' οὐκ ἀπὸ κακότητος αἱ τιμαί· προδότῃ δὲ τῆς Ἑλλάδος ἀνδρὶ πῶς ἂν γένοιτο τιμή; πρὸς δὲ τούτοις οὐδὲ τιμῆς ἐτύγχανον ἐνδεὴς ὤν· ἐτιμώμην γὰρ ἐπὶ τοῖς ἐντιμοτάτοις ὑπὸ τῶν ἐντιμοτάτων, ὑφ' ὑμῶν ἐπὶ σοφίᾳ. Καὶ μὴν οὐκ ἀσφαλές, ὧν οὖν ἕνεκά τις ἂν ταῦτα πράξαι. Πᾶσι γὰρ ὅ γε προδότης πολέμιος, τῷ νόμῳ, τῇ δίκῃ,

acceptam celavi. Jam id, cujus hæc fiebant causa, peragendum erat. At id etiam est quam superiora incertius. Quod enim agebam, solus an cum aliis agebam? Non est unius opus. Cum aliis? Quibus horum? Cum iis qui aderant. Servis an liberis? Ac vestrum quidem qui estis liberi dicat quisquam, si quid novit. Servi autem fidem non merentur: siquidem et ultro propter libertatem et malo coacti accusant. Jam res ut accidit? Nempe hostes vobis potentiores erant introducendi: quod est factu difficile. Quomodo igitur introduxissem? Per portas? Eas mihi neque claudere neque aperire permissum est, verum a ducibus curantur. An ultra muros per scalas? Omnia sunt excubiis plena. An denique muri parte dejecta? Id omnibus fuisset conspicuum, quandoquidem sub divo in castris degitur, atque omnium visui patent omnia. Quo fit, ut omnino nihil efficere potuerim.

3. Nunc etiam illud simul considerate, cur hæc agere velle debuerim. Nemo gratis maximum subit discrimen, nec turpissimum committit scelus. Utrum igitur vobis an barbaris ut imperarem? Vobis non poteram, qui tot ac tales estis, quibusque omnia suppetunt maxima, majorum virtutes, opum copia, fortitudo, magnanimitas, urbium dominia. An [barbaris]? Quis traderet imperium? Quibus ego viribus acciperem barbaros Græcus, multos unus? Persuasione an vi? Nam nec illi possent persuaderi, nec ego cogere. Sed ultro fortassis hanc proditionis mercedem rependerent? At hoc et credere foret et suscipere non levis insania: quis enim libertate servitutem, optima re pessimam commutavit? Sed aliquis me pecuniæ cupiditate hæc aggressum dicet. Ego vero nec mediocribus opibus careo, nec splendidas requiro. Has enim quærunt ii qui sumptus magnos faciunt, non qui corporis libidini imperant, sed qui serviunt et opum atque magnificentiæ auxilio honores ambiunt. At horum nihil in me cerni, testem dabo idoneum vitam anteactam; cui vos testi testes potestis esse: nam quia mecum versamini, non potestis hæc ignorare. Quid quod nec honoris causa quisquam, qui vel parum sapiat, his rebus daret operam. Honor enim virtutem non vitium sequitur: Græciæ vero proditor quem possit honorem consequi? Præterea non eram honoris expers: quandoquidem ab honoratis viris ob res honoratas honorabar, a vobis propter sapientiam. Huc accedit, quod nequaquam tutum est has res agere. Cunctis enim invisus est proditor, legi, juri, diis, hominibus. Etenim legem violat,

τοῖς θεοῖς, τῷ πλήθει τῶν ἀνθρώπων. Τὸν μέν γε νόμον παραβαίνει, τὴν δὲ δίκην καταλύει, τὸ δὲ πλῆθος διαφθείρει, τὸ δὲ θεῖον ἀτιμάζει· τῷ δὲ τοιούτῳ βίῳ πέρι κινδύνων τῶν μεγίστων οὐδ' ἔχει ἀσφάλειαν. Ἀλλὰ δὴ φίλους ὠφελεῖν βουλόμενος ἢ πολεμίους βλάπτειν; καὶ γὰρ τούτων ἕνεκά τις ἂν ἀδικήσειεν. Ἐμοὶ δὲ πᾶν τοὐναντίον ἐγίνετο· τοὺς μὲν φίλους κακῶς ἐποίουν, τοὺς δ' ἐχθροὺς ὠφέλουν. Ἀγαθῶν μὲν οὖν ἔκτισιν οὐδεμίαν εἶχεν ἡ πρᾶξις· κακῶς δὲ παθεῖν οὐδὲ εἷς ἐπιθυμῶν πανουργεῖ. Τὸ δὲ λοιπόν ἐστιν, εἴ τινα φόβον ἢ πόνον ἢ κίνδυνον φεύγων ἔπραξα. Ταῦτα δὲ οὐδεὶς ἂν εἰπεῖν ἔχοι τί μοι προσήκειν· δισσῶν γὰρ τούτων ἕνεκα πάντες πάντα πράττουσιν, ἢ κέρδος τι μετιόντες ἢ ζημίαν φεύγοντες· ὅσα δὲ τούτων ἔξω, πανουργεῖται [ὅτι δὲ] κακῶς ἐμαυτὸν ἐποίουν ταῦτα πράττων, οὐκ ἄδηλον· προδιδοὺς γὰρ τὴν Ἑλλάδα προὐδίδουν ἐμαυτόν, τοκέας, φίλους, ἀξίωμα προγόνων, ἱερὰ πατρῷα, τάφους, πατρίδα τὴν μεγίστην τῆς Ἑλλάδος. Ἃ δὲ πᾶσι περὶ παντός ἐστι, ταῦτα ἂν τοῖς ἀδικηθεῖσιν ἐνεχείρισα. Σκέψασθε δὲ καὶ τόδε. Πῶς οὐκ ἂν ἀβίωτος ἦν ὁ βίος μοι πράξαντι ταῦτα; ποῖ γὰρ τραπέσθαι μ' ἐχρῆν; πότερον εἰς τὴν Ἑλλάδα, δίκην δώσοντα τοῖς ἠδικημένοις; τίς δ' ἂν ἀπείχετό μου τῶν κακῶς πεπονθότων; ἀλλὰ μένειν ἐν τοῖς βαρβάροις, παραμελήσαντα πάντων τῶν μεγίστων, ἐστερημένον τῆς καλλίστης τιμῆς, ἐν αἰσχίστῃ δυσκλείᾳ διάγοντα, τοὺς ἐν τῷ παρῳχομένῳ βίῳ πόνους ἐπ' ἀρετῇ πεπονημένους ἀπορρίψαντα; καὶ ταῦτα δι' ἐμαυτόν, ὅπερ αἴσχιστον ἀνδρί, δυστυχεῖν δι' αὐτόν. Οὐ μὴν οὐδὲ παρὰ τοῖς βαρβάροις πιστῶς ἂν διεκείμην· πῶς γάρ, οἵτινες ἀπιστότατον ἔργον συνηπίσταντό μοι πεποιηκότι, τοὺς φίλους τοῖς ἐχθροῖς παραδεδωκότι; βίος δὲ οὐ βιωτὸς πίστεως ἐστερημένῳ. Χρήματα μὲν γὰρ ἀποβαλὼν ἢ τυραννίδος ἐκπεσὼν ἢ τὴν πατρίδα φυγὼν ἀναλάβοι τις ἄν· ὁ δὲ πίστιν ἀποβαλὼν οὐκ ἂν ἔτι κτήσαιτο. Ὅτι μὲν οὖν οὐδ' ἂν ἐβουλόμην προδοῦναι τὴν Ἑλλάδα, διὰ τῶν προειρημένων δέδεικται.

4. Βούλομαι δὲ μετὰ ταῦτα πρὸς τὸν κατήγορον διαλεχθῆναι. Τίνι ποτὲ πιστεύσας τοιοῦτος ὢν τοιούτου κατηγορεῖς; ἄξιον γὰρ καταμαθεῖν [οἷῳ] οἷος ὤν, * οἶδάς γε ἴσως ἀνάξιος ἀναξίῳ. Πότερα γάρ με κατηγορεῖς εἰδὼς ἀκριβῶς ἢ δοξάζων; εἰ μὲν γὰρ εἰδώς, οἶσθα ἰδὼν ἢ μετέχων ἤ του πυθόμενος. Εἰ μὲν οὖν ἰδών, φράσον τούτοις τὸν τόπον, τὸν χρόνον, πότε,
190 ποῦ, πῶς εἶδες· εἰ δὲ μετέχων, ἔνοχος εἶ ταῖς αὐταῖς αἰτίαις· εἰ δὲ τοῦ μετέχοντος ἀκούσας, ὅστις ἐστίν, αὐτὸς ἐλθέτω, φανήτω, μαρτυρησάτω. Πιστότερον γὰρ οὕτως ἔσται τὸ κατηγόρημα μαρτυρηθέν, ἐπεὶ νῦν γε οὐδέτερος ἡμῶν παρέχεται μάρτυρα. Φήσεις ἴσως σὸν εἶναι τούς γε τῶν γενομένων (ὡς σὺ φῄς) μὴ παρέχεσθαι μάρτυρας, τῶν δὲ μὴ γενομένων ἐμέ. Τὸ δὲ οὐκ ἴσον ἐστί· τὰ μὲν γὰρ ἀγένητα πῶς ἂν εἴη δυνατὰ μαρτυρηθῆναι; περὶ δὲ τῶν γενομένων οὐ μόνον οὐκ ἀδύνατον, ἀλλὰ—καὶ ῥᾴδιον· οὐδὲ μόνον ῥᾴδιον,

jus dissolvit, homines perdit, deos afficit contumelia: talium vero plena periculis est vita, nec securitatem ullam habent. At amicos volebam juvare, vel nocere hostibus? nam et horum aliquis causa secus agat. Ego vero contra nocebam amicis, juvabam hostes. Ac beneficii quidem nulla manebat me remuneratio: supplicii autem studio calliditati nemo navat operam. Reliquum est, si ad metum, laborem aut periculum aliquod fugiendum hæc institui. At hæc nemo mihi possit tribuere. Etenim propter hæc duo cuncti cuncta faciunt, vel ut lucrum assequantur vel damnum ut evitent; quæ alio fiunt consilio, astute fiunt, eaque facientem mihi me malum daturum esse, non me fallebat: prodebam enim Græciam, prodebam meipsum, parentes, amicos, majorum dignitatem, avita sacra, sepulcra, patriam, urbem Græciæ maximam: quæque omnes maximi faciunt, ea inimicis tradidissem. Nunc etiam animadvertite, quam acerba mihi post has res fuerit futura vita. Quo me contulissem? In Græciam, ut pœnas læsis solverem? quis vero a me illorum abstinuisset manum? An apud barbaros manerem, maximis quibusque rebus neglectis, honore summo spoliatus, infamia turpissima constrictus, susceptis olim cum virtute laboribus rejectis, idque per me ipsum, quæ quidem est maxima miseria? Quid quod ne apud barbaros quidem fides mihi fuisset, quippe qui rem infidelissimam a me perpetratam scirent, quum amicos hostibus prodidissem. At sine fide vitalis haud est vita. Etenim qui vel bonis exutus vel regno patriave sit ejectus, alicubi possit excipi: verum qui fidem amisit, omni spe eversus est. Ex his igitur efficitur, ne voluisse me quidem, etiamsi potuissem, Græciam prodere.

4. Deinceps autem cum accusatore mihi agendum est. Qua tu re fretus talis talem accusas? indignus indignum? est enim hoc dignum cognitu. Utrum enim quod mihi crimen imponis, id certo compertum habes, an conjectura complecteris? Etenim si compertum habes, vel vidisti vel fuisti particeps vel audivisti. Si vidisti, locum, tempus his indica, quando, ubi, quomodo vidisti: si particeps fuisti, in eodem teneris flagitio: si de participe audivisti, is ipse prodeat, appareat, testimonium dicat. Nam ita plus habebit accusatio fidei; etenim nunc quidem neuter nostrum testem ullum citat. Sed fortasse dices rerum (ut vis tu) gestarum testes non esse tibi adducendos, mihi non gestarum esse. Id vero æquale non est. Quæ enim non contigerunt, quis ea testari possit non accidisse? at res gestas etiam facile est testimonio comprobare nedum hoc fieri nequeat: quid? quod tu non testes modo, verum etiam falsos testes reperire possis, ego neutros possim. Doceo

ἀλλὰ σοὶ μὲν οὐκ ἦν οἷον μόνον μάρτυρας ἀλλὰ καὶ ψευδομάρτυρας εὑρεῖν, ἐμοὶ δὲ οὐδέτερον εὑρεῖν τούτων δυνατόν. Ὅτι μὲν οὖν οὐκ οἶσθα ἃ κατηγορεῖς, φανερόν· τὸ δὲ λοιπὸν οὐκ εἰδότα σε δοξάζειν. Εἶτα, ὦ πάντων ἀνθρώπων τολμηρότατε, δόξῃ πιστεύσας, ἀπιστοτάτῳ πράγματι, τὴν ἀλήθειαν οὐκ εἰδώς, τολμᾷς ἄνδρα περὶ θανάτου διώκειν; ᾧ τί τοιοῦτον ἔργον εἰργασμένῳ σύνοισθα; ἀλλὰ μὴν τό γε δοξάσαι κοινὸν ἅπασι περὶ πάντων, καὶ οὐδὲν ἐν τούτῳ σὺ τῶν ἄλλων σοφώτερος. Ἀλλ' οὔτε τοῖς δοξάζουσι δεῖ πιστεύειν ἀλλὰ τοῖς εἰδόσιν, οὔτε τὴν δόξαν τῆς ἀληθείας πιστοτέραν νομίζειν ἀλλὰ τἀναντία τὴν ἀλήθειαν τῆς δόξης.

5. Κατηγόρησας δέ μου διὰ τῶν εἰρημένων λόγων δύο τὰ ἐναντιώτατα, σοφίαν καὶ μανίαν· ὧ περ οὐχ οἷόντε τὸν αὐτὸν ἄνθρωπον ἔχειν. Ὅπου μὲν γάρ με φῂς εἶναι τεχνήεντά τε καὶ δεινὸν καὶ πόριμον, σοφίαν μου κατηγορεῖς, ὅπου δὲ λέγεις ὡς προὐδίδουν τὴν Ἑλλάδα, μανίαν· μανία γάρ ἐστιν ἔργοις ἐπιχειρεῖν ἀδυνάτοις, ἀσυμφόροις, αἰσχροῖς, ἀφ' ὧν τοὺς μὲν φίλους βλάψει, τοὺς δ' ἐχθροὺς ὠφελήσει, τὸν δὲ αὑτοῦ βίον ἐπονείδιστον καὶ σφαλερὸν καταστήσει. Καίτοι πῶς χρὴ ἀνδρὶ τοιούτῳ πιστεύειν, ὅστις τὸν αὐτὸν λόγον λέγων πρὸς τοὺς αὐτοὺς ἄνδρας περὶ τῶν αὐτῶν τὰ ἐναντιώτατα λέγει; Βουλοίμην δ' ἂν παρὰ σοῦ πυθέσθαι πότερον τοὺς σοφοὺς ἄνδρας νομίζεις ἀνοήτους ἢ φρονίμους. Εἰ μὲν γὰρ ἀνοήτους, καινὸς ὁ λόγος, ἀλλ' οὐκ ἀληθής· εἰ δὲ φρονίμους, οὐ δήπου προσήκει τούς γε φρονοῦντας ἐξαμαρτάνειν τὰς μεγίστας ἁμαρτίας καὶ μᾶλλον αἱρεῖσθαι κακὰ πρότερον τῶν ἀγαθῶν. Εἰ μὲν οὖν εἰμὶ σοφός, οὐχ ἥμαρτον· εἰ δ' ἥμαρτον, οὐ σοφός εἰμι. Οὐκοῦν δι' ἀμφότερα ἂν εἴης ψευδής.

6. Ἀντικατηγορῆσαι δέ σου πολλὰ καὶ μεγάλα καὶ παλαιὰ καὶ νέα πράσσοντος δυνάμενος οὐ βούλομαι· βούλομαι γὰρ οὐ τοῖς σοῖς κακοῖς ἀλλὰ τοῖς ἐμοῖς ἀγαθοῖς ἀποφεύγειν τὴν αἰτίαν ταύτην. Πρὸς μὲν οὖν σὲ ταῦτα.

7. Πρὸς δ' ὑμᾶς, ὦ ἄνδρες κριταί, περὶ ἐμοῦ βούλομαι εἰπεῖν ἐπίφθονον μέν, ἀληθὲς δέ, κατηγορημένου μὲν οὐκ ἀνεκτά, κατηγορουμένου δὲ οὐ προσήκοντα. Νῦν γὰρ ἐν ὑμῖν εὐθύνας καὶ λόγον ὑπέχω τοῦ παροιχομένου βίου. Δέομαι οὖν ὑμῶν, ἂν ὑμᾶς ὑπομνήσω τῶν ἐμοί τι πεπραγμένων καλῶν, μηδένα φθονῆσαι τοῖς λεγομένοις, ἀλλ' ἀναγκαῖον ἡγήσασθαι κατηγορημένον δεινὰ καὶ ψευδῆ καί τι τῶν ἀληθῶν ἀγαθῶν εἰπεῖν ἐν εἰδόσιν ὑμῖν· ὅπερ ἥδιστόν μοι. Πρῶτον μὲν οὖν καὶ δεύτερον καὶ μέγιστον, διὰ παντὸς ἀπ' ἀρχῆς εἰς τέλος ἀναμάρτητος ὁ παροιχόμενος βίος ἐστί μοι, καθαρὸς πάσης αἰτίας· οὐδεὶς γὰρ ἂν οὐδεμίαν αἰτίαν κακότητος ἀληθῆ πρὸς ὑμᾶς περὶ ἐμοῦ εἰπεῖν ἔχοι. Καὶ γὰρ οὐδ' αὐτὸς ὁ κατήγορος οὐδεμίαν ἀπόδειξιν εἴρηκεν ὧν εἴρηκεν· οὕτω λοιδορίαν οὐκ ἔχουσαν ἔλεγχον ὁ λόγος αὐτῷ δύναται. Φήσαιμι δ' ἄν, καὶ φήσας οὐκ ἂν ψευσαίμην οὐδ' ἂν ἐλεγχθείην, οὐ μόνον ἀναμάρτητος ἀλλὰ καὶ μέγας εὐεργέτης ὑμῶν καὶ τῶν

igitur, non habere te quæ objicis comperta : reliquum est ut utaris conjectura, quoniam veritatem rei ignoras. Ergo tu, omnium hominum audacissime, sola fretus opinione, re incertissima, nec veritatem cognoscens, eum capitis audes accusare quem nihil scias tale unquam perpetrasse. At omnibus est commune de re qualibet opinari, nec in eo tu reliquis es peritior. Ceterum nec opinantibus sed scientibus est credendum, nec opinio veritate potior habenda, sed contra opinione veritas.

5. Jam in accusatione tua duo mihi, quæ sunt maxime contraria, tribuis, sapientiam videlicet et insaniam : quæ non possunt eundem in hominem cadere. Quum enim callidum et industrium me vocas, sapientiam tribuis : quum Græciam prodidisse dicis, insaniam. Siquidem insania sit eas res aggredi, quæ sint factu difficillimæ, inutiles, turpes, et quibus quis tum amicis noceat, tum hostibus prosit, tum vitam suam probris et periculis exponat. Quis vero tali credat oratori, qui in eodem sermone de iisdem hominibus apud eosdem, quæ sunt contraria plurimum, dicat? Atque hoc interrogare te velim, prudentes an stultos ducas eos qui sapientes habentur. Si enim stultos, vana et falsa est oratio : si prudentes, non decet eos gravissime peccare nec mala bonis præferre. Quapropter sive sapiens sum, non peccavi : sive peccavi, non sum sapiens. Ex quo fit, ut utroque modo mendacii convincaris.

6. Et quanquam multa possim rursus in te magnaque tum vetera tum nova culpare, non tamen faciam ; siquidem non tam per tua vitia quam per meas virtutes hoc volo crimen diluere. Atque hæc quidem ad te dicta sint.

7. Ad vos autem, judices, de me nonnihil volo dicere, odiose quidem, sed vere, quodque ut in accusato tolerari possit, ita non accusatum non deceat. Quoniam enim nunc præteritæ vitæ rationes apud vos refero, ne quis vestrum indignetur, si quid a me præclare gestum recensuero, peto, verum accusatum vel falsa de se prædicare posse existimet, ego autem quod verum sit apud vos conscios libentissime narravero. Primum igitur ac secundum quodque habeo maximum, est vita prior ab initio ad finem usque sine ullo crimine peracta : nec enim quisquam vitium ullum possit vere mihi tribuere. Nam nec accusator ipse quicquam eorum quæ dixit comprobavit : adeo convicium duntaxat sine probatione sermo ejus complexus est. Quid quod non tantum culpa me vacare, sed etiam egregie de vobis et Græcis atque adeo cunctis mortalibus,

Ἑλλήνων καὶ τῶν ἁπάντων ἀνθρώπων, οὐ μόνον τῶν νῦν ὄντων ἀλλὰ τῶν μελλόντων εἶναι. Τίς γὰρ ἄλλος ἐποίησε τὸν ἀνθρώπινον βίον πόριμον ἐξ ἀπόρου καὶ κεκοσμημένον ἐξ ἀκόσμου, τάξεις τε πολεμίας εὑρών, μέγιστον εἰς πλεονεκτήματα, νόμους τε γραπτούς, φύ-
191 λακας τοῦ δικαίου, γράμματά τε, μνήμης ὄργανον, μέτρα τε καὶ σταθμά, συναλλαγῶν εὐπόρους διαλλαγάς, ἀριθμόν τε χρημάτων φύλακα, πυρσούς τε, κρατίστους καὶ ταχίστους ἀγγέλους, πεσσούς τε, σχολῆς ἄλυπον διατριβήν; τίνος οὖν ἕνεκα ταῦθ' ὑμᾶς ὑπέμνησα; δῆλον ὅτι τοῖς τοιούτοις τὸν νοῦν προσέχων, σημεῖον δὲ ποιούμενος ὅτι τῶν αἰσχρῶν καὶ τῶν κακῶν ἔργων ἀπέχομαι· τὸ γὰρ ἐκείνοις τὸν νοῦν προσέχοντα τοῖς τοιούτοις προσέχειν ἀδύνατον. Ἀξιῶ δέ, εἰ μηδὲν αὐτὸς ὑμᾶς ἀδικῶ, μηδὲ αὐτὸς ὑφ' ὑμῶν ἀδικηθῆναι. Καὶ γὰρ οὐδὲ τῶν ἄλλων ἐπιτηδευμάτων οὕνεκα ἄξιός εἰμι κακῶς πάσχειν, οὔθ' ὑπὸ νεωτέρων οὔθ' ὑπὸ πρεσβυτέρων. Τοῖς μὲν γὰρ πρεσβυτέροις ἄλυπός εἰμι, τοῖς δὲ νεωτέροις οὐκ ἀνωφελής· τοῖς εὐτυχοῦσιν οὐ φθονερός, τῶν δυστυχούντων οἰκτίρμων· οὐδὲ πενίας ὑπερορῶν, οὐδὲ πλοῦτον ἀρετῆς ἀλλ' ἀρετὴν πλούτου προτιμῶν· οὔτε ἐν βουλαῖς ἄχρηστος, οὔτε ἐν μάχαις ἀργός, ποιῶν τὸ τασσόμενον, καὶ πειθόμενος τοῖς ἄρχουσιν. Ἀλλὰ γὰρ οὐκ ἐμὸν ἐμαυτὸν ἐπαινεῖν· ὁ δὲ παρὼν καιρὸς ἠνάγκασε, καὶ ταῦτα κατηγορημένον, πάντως ἀπολογήσασθαι.

8. Λοιπὸς δὲ περὶ ὑμῶν πρὸς ὑμᾶς ἐστί μοι λόγος, ὃν εἰπὼν παύσομαι τῆς ἀπολογίας. Οἶκτος μὲν οὖν καὶ λιταὶ καὶ φίλων παραίτησις ἐν ὄχλῳ μὲν οὔσης τῆς κρίσεως χρήσιμα· παρὰ δ' ὑμῖν τοῖς πρώτοις οὖσι τῶν Ἑλλήνων καὶ δοκοῦσιν, οὐ φίλων βοηθείαις οὐδὲ λιταῖς οὐδὲ οἴκτοις δεῖ πείθειν ὑμᾶς, ἀλλὰ τῷ σαφεστάτῳ δικαίῳ, διδάξαντα τἀληθές, οὐκ ἀπατήσαντά με δεῖ διαφυγεῖν τὴν αἰτίαν ταύτην. Ὑμᾶς δὲ χρὴ μὴ τοῖς λόγοις μᾶλλον ἢ τοῖς ἔργοις προσέχειν τὸν νοῦν, μηδὲ τὰς αἰτίας τῶν ἐλέγχων προκρίνειν, μηδὲ τὸν ὀλίγον χρόνον τοῦ πολλοῦ σοφώτερον ἡγεῖσθαι κριτήν, μηδὲ τὴν διαβολὴν τῆς πείρας πιστοτέραν νομίζειν. Ἅπαντα γὰρ τοῖς ἀγαθοῖς ἀνδράσι μεγάλης εὐλαβείας ἁμαρτάνειν, τὰ δὲ ἀνήκεστα τῶν ἀκεστῶν ἔτι μᾶλλον· ταῦτα γὰρ προνοήσασι μὲν ἀδύνατα, μετανοήσασι δὲ ἀνίατα. Τῶν δὲ τοιούτων ἐστίν, ὅταν ἄνδρες ἄνδρα περὶ θανάτου κρίνωσιν· ὅπερ ἐστὶ νῦν παρ' ὑμῖν. Εἰ μὲν οὖν ἦν διὰ τῶν λόγων τὴν ἀλήθειαν τῶν ἔργων καθαρῶς γενέσθαι τοῖς ἀκούουσι φανεράν, εὔπορος ἂν εἴη ἡ κρίσις ἤδη ἀπὸ τῶν εἰρημένων· ἐπειδὴ δὲ οὐχ οὕτως ἔχει, τὸ μὲν σῶμα τοὐμὸν φυλάξατε, τὸν δὲ πλείω χρόνον ἐπιμείνατε, μετὰ δὲ τῆς ἀληθείας τὴν κρίσιν ποιήσατε. Ὑμῖν μὲν γὰρ μέγας ὁ κίνδυνος ἀδίκοις φανεῖσι δόξαν τὴν μὲν καταβαλεῖν, τὴν δὲ κτήσασθαι. Τοῖς δὲ ἀγαθοῖς ἀνδράσιν αἱρετώτερος θάνατος δόξης αἰσχρᾶς· ὁ μὲν γὰρ τοῦ βίου τέλος, ἡ δὲ τῷ βίῳ νόσος. Ἐὰν δὲ ἀδίκως ἀποκτείνητέ με, πολλοῖς γενήσεται φανερόν· ἐγώ τε γὰρ οὐκ ἀγνώς, ἐκείνου τε πᾶσιν

quæ nunc sunt et qui postea erunt, meritum esse dixerim, nec mentiar neque refellar. Quis enim alius vitam humanam facilem ex difficili, ornatam ex inornata reddidisset? Equidem et aciei bellicæ rationem reperi, rem non parvi momenti, et leges scriptas, justitiæ custodes, et literas, instrumentum memoriæ, et mensuras atque pondera, faciles contractuum arbitros, et numerum, opum custodem, et faces, optimos ac celerrimos nuncios, et calculos, otii suavem usum. Cur igitur hæc vobis in memoriam revocavi? Non tam quod his non esse deditum, quam quod a turpibus et malis rebus me semotum esse indicare vellem: nam qui illa curet, is hæc necesse est negligat. Hoc autem postulo, si nusquam vos ego læsi, ne a vobis item ipse lædar. Nam nec in aliis negotiis ita me gero, ut vel juniores vel seniores mihi nocere cupiant. Etenim senibus sum non injucundus, juvenibus non inutilis; felicibus non odiosus, erga miseros misericors; nec paupertatem despiciens, aut opes pluris quam virtutem faciens; nec in consiliis imperitus, nec in præliis ignavus aut contumax. Sed non me decet meas recitare laudes; nisi quod hæc tempora me, præsertim accusatum, defensionem cogunt instituere.

8. Reliquum est, ut de vobis ad vos verba faciam, quibus absolutis defendendi finem statuam. Ac misericordia quidem et preces atque amicorum deprecatio, quum vulgi est judicium, usum habent: at vobis Græcorum principibus non amicorum auxiliis nec precibus aut misericordia persuadendum est, verum justissime declarata sine fraude veritate crimen hoc evadendum. Jam vos non verba potius oportet quam res attendere, nec probationibus præponere crimina, neque exiguum tempus longo sapientius judicaturum credere, neque calumniæ plus quam experientiæ fidei habere. Ut enim omnibus in rebus viri boni maxime cavent errorem, ita in iis quæ restitui nequeunt etiam magis: nam hæc et providentia possunt evitari, et pœnitentia curari nequeunt. Tale porro est, quum alicujus caput, ut nunc apud vos, agitur. Quodsi ergo verbis posset pura rerum veritas auditoribus aperta reddi, facile esset secundum ea quæ dicta sunt judicare: quoniam autem aliter se res habet, corpus meum asservate, longius exspectate tempus, ac vere judicate. Nam vos quidem necesse propemodum erit, si vos iniquos præbueritis, infamiam cum gloria commutare. At infamiam viri probi morte graviorem ducunt: cui hæc finem, illa morbum conciliat. Quod si me injuste occideritis, id omnibus manifestum fiet: nam et ego non ignotus sum et Ulyssis nota est omnibus Græcis et manifesta malitia. Quid quod vobis totum imponetur injustitiæ cri-

Ἕλλησι γνώριμος ἡ κακότης καὶ φανερά. Καὶ τὴν αἰτίαν φανερὰν [ἐν] ἅπασιν ὑμεῖς ἕξετε τῆς ἀδικίας, οὐχ ὁ κατήγορος· ἐν ὑμῖν γὰρ τὸ τέλος ἔχει ἡ δίκη. Ἁμαρτία δ' οὐχ ἂν γένοιτο μείζων ταύτης. Οὐ γὰρ μόνον εἰς ἐμὲ καὶ τοκέας τοὺς ἐμοὺς ἁμαρτήσεσθε δικάσαντες ἀδίκως, ἀλλ' ὑμῖν αὐτοῖς δεινόν, ἄθεον, ἄδικον, ἄνομον ἔργον συνεπιστήσεσθε πεποιηκότες, ἀπεκτονότες ἄνδρα σύμμαχον, χρήσιμον ὑμῖν, εὐεργέτην τῆς Ἑλλάδος, Ἕλληνες Ἕλληνα, φανερὰν οὐδεμίαν ἀδικίαν οὐδὲ πιστὴν αἰτίαν ἀποδείξαντες.

9. Εἴρηται τὰ παρ' ἐμοῦ, καὶ παύομαι. Τὸ γὰρ ὑπομνῆσαι τὰ διὰ μακρῶν εἰρημένα συντόμως πρὸς μὲν φαύλους δικαστὰς ἔχει λόγον, τοὺς δὲ πρώτους τῶν πρώτων Ἕλληνας Ἑλλήνων οὐχ ἄξιον οὐδ' ἀξιῶσαι μήτε προσέχειν τὸν νοῦν μήτε μεμνῆσθαι τὰ λεχθέντα.

men, non accusatori: siquidem vos judicio finem statuitis. Neque vero majus ullum possitis committere peccatum. Quandoquidem non in me tantum et parentes meos, quum injuste judicabitis, delinquetis, verum etiam vobismet ipsis gravis, impii, injusti et iniqui facti eritis conscii, quippe qui commilitonem commodum, de Græcia bene meritum, Græcum Græci occideritis, nullo manifesto flagitio nec aperto crimine comprobato.

9. Atque hæc sint hactenus a me dicta. Longi enim sermonis brevis repetitio haberet quidem apud vulgares judices locum, at principum principes, Græcorum Græcos, quæ dicta sint, nec attendisse nec meminisse, vix existimare fas est.

FRAGMENTA
ORATORUM ATTICORUM.

I. GORGIAS LEONTINUS.

I. ΠΥΘΙΚΟΣ.

1.

Philostratus Vit. Sophist. I, 9, 1, p. 201 ed. Didot. : Σικελία Γοργίαν ἐν Λεοντίνοις ἤνεγκεν, ἐς ὃν ἀναφέρειν ἡγώμεθα τὴν τῶν σοφιστῶν τέχνην ὥσπερ ἐς πατέρα· εἰ γὰρ τὸν Αἰσχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῇ τραγῳδίᾳ ξυνεβάλετο, ἐσθῆτί τ' αὐτὴν κατασκευάσας καὶ ὀκρίβαντι ὑψηλῷ καὶ ἡρώων εἴδεσιν, ἀγγέλοις τε καὶ ἐξαγγέλοις καὶ οἷς ἐπὶ σκηνῆς τε καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν, τοῦτ' ἂν εἴη καὶ ὁ Γοργίας τοῖς ὁμοτέχνοις. Ὁρμῆς τε γὰρ τοῖς σοφισταῖς ἦρξε καὶ παραδοξολογίας καὶ πνεύματος καὶ τοῦ τὰ μεγάλα μεγάλως ἑρμηνεύειν, ἀποστάσεών τε καὶ προσβολῶν, ὑφ' ὧν ὁ λόγος ἡδίων ἑαυτοῦ γίγνεται καὶ σοβαρώτερος, περιεβάλλετο δὲ καὶ ποιητικὰ ὀνόματα ὑπὲρ κόσμου καὶ σεμνότητος. Πῶς μὲν οὖν καὶ ῥᾷστ' ἀπεσχεδίαζεν, εἴρηταί μοι κατ' ἀρχὰς τοῦ λόγου. Διαλεχθεὶς δ' Ἀθήνησιν ἤδη γηράσκων εἰ μὲν ὑπὸ τῶν πολλῶν ἐθαυμάσθη, οὔπω θαῦμα, ὁ δ' οἶμαι καὶ τοὺς ἐλλογιμωτάτους ἀνηρτήσατο, Κριτίαν μὲν καὶ Ἀλκιβιάδην νέω ὄντε, Θουκυδίδην δὲ καὶ Περικλέα ἤδη γηράσκοντε. Καὶ Ἀγάθων δ' ὁ τῆς τραγῳδίας ποιητής, ὃν ἡ κωμῳδία σοφόν τε καὶ καλλιεπῆ οἶδε, πολλαχοῦ τῶν ἰάμβων γοργιάζει. Ἐμπρέπων δὲ καὶ ταῖς τῶν Ἑλλήνων πανηγύρεσι τὸν μὲν λόγον τὸν Πυθικὸν ἀπὸ τοῦ βωμοῦ ἤχησεν, ἐφ' (ἀφ'? Sauppius) οὗ καὶ χρυσοῦς ἀνετέθη ἐν τῷ τοῦ Πυθίου ἱερῷ· ὁ δ' Ὀλυμπικὸς κτλ. (v. fr. 2).

II. ΟΛΥΜΠΙΚΟΣ.

2.

Idem ib. I, 9, 2 : Ὁ δ' Ὀλυμπικὸς λόγος ὑπὲρ τοῦ μεγίστου αὐτῷ ἐπολιτεύθη· στασιάζουσαν γὰρ τὴν Ἑλλάδα ὁρῶν ὁμονοίας ξύμβουλος αὐτοῖς ἐγένετο τρέπων ἐπὶ τοὺς βαρβάρους καὶ πείθων ἆθλα ποιεῖσθαι τῶν ὅπλων μὴ τὰς ἀλλήλων πόλεις, ἀλλὰ τὴν τῶν βαρβάρων χώραν. Ὁ δ' ἐπιτάφιος κτλ. (v. fr. 4).

Cf. idem ib. I, 17, 4, p. 207 : Ὁ πανηγυρικός τ' αὐτῷ (Isocrati) λόγος, ὃν διῆλθεν Ὀλυμπίασι τὴν Ἑλλάδα πείθων ἐπὶ τὴν Ἀσίαν στρατεύειν παυσαμένους τῶν οἴκοι ἐγκλημάτων. Οὗτος μὲν οὖν εἰ καὶ κάλλιστος λόγων, αἰτίαν ὅμως παρέδωκεν ὡς ἐκ τῶν Γοργίᾳ σπουδασθέντων ἐς τὴν αὐτὴν ὑπόθεσιν ξυντεθείς. Theon Progymnasm. c. 1, p. 155 ed. Walz. : Εὕροις δ' ἂν καὶ παρὰ Ἰσοκράτει ἐν τῷ Πανηγυρικῷ τὰ ἐν τῷ Λυσίου ἐπιταφίῳ καὶ τῷ [Γοργίου] Ὀλυμπικῷ. Vitæ decem oratt. p. 837, F, de Isocrate : Τὸν δὲ Πανηγυρικὸν ἔτεσι ι' συνέθηκεν, οἱ δὲ ιε' λέγουσιν, ὃν μετενηνοχέναι ἐκ τῶν Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου. « In Theonis loco nomen Gorgiæ addendum esse verisimilis est I. G. Pfundii conjectura (De Isocratis vita, p. 11 not.). » Sauppius. Philostrati (1, 17) maxime verbis, quorum non meminit Sauppius, conjectura firmatur. Ceterum Olympica oratio belli Peloponnesiaci tempore dicta fuerit. Vid. H. E. Foss *De Gorgia Leontino*

I. PYTHICA ORATIO.

1.

Sicilia Gorgiam Leontinis protulit, ad quem tanquam patrem sophistarum artem referendam esse censemus. Nam si consideremus quam multa Æschylus tragœdiæ contulerit vestitu eam ornans et pulpito et heroum personis nuntiisque rerum et foris et intus ædium gestarum et eis quæ in scena et pone scenam agi par esset, eodem et Gorgias loco inter artis suæ professores habendus fuerit. Nam et gravitatis sophistis auctor exstitit et audaciæ in dicendo et spiritus et magnificæ in magnis rebus elocutionis, separationum item et commissurarum, quibus omnibus orationis dulcedo augetur et sublimitas; induebat enim poetica vocabula ornatus atque gravitatis causa. Qui igitur factum sit, ut ad extemporaliter dicendum esset paratissimus, in operis introitu (§ 3, *p.* 196 *ed. Didot*) a me dictum est. Athenis autem jam senem disputantem vulgo admirationi fuisse minime mirum, idem vero etiam doctissimos quosque, opinor, ab ore suo suspensos tenebat, Critiam et Alcibiadem juvenes, Thucydidem vero et Periclem ætate jam provectos. Quin etiam Agatho poeta tragicus, quem comœdia sapientem novit atque dulciloquum, passim in iambis suis Gorgiam imitatur. Conspicuus etiam in solennibus Græcorum conventibus *Pythicam orationem* ex ara recitavit, in qua (*propter quam orationem ?*) et aureum ejus simulacrum positum est in templo Pythii.

II. OLYMPICA ORATIO.

2.

Olympica oratio de re in civitate maxima a Gorgia composita est, nam quum dissidio Græciam laborare animadverteret, concordiæ suasor iis exstitit, adversus barbaros eos instigans jubensque *armorum præmia non suas ipsorum civitates, sed terram proponere barbarorum.*

commentatio (1828), p. 63 sq., et Schœnborn *De authentia declamationum quæ Gorgiæ nomine exstant* (1826), p. 14 sqq.; Westermann *Gesch. d. gr. Bereds.* § 32; A. Baumstark in *Pauly's Real-encycl.* vol. III, p. 906 sqq.

3.

Aristoteles Rhetor. III, 14, 2 (tom. I, p. 402 ed. Didot.): Λέγεται δὲ τὰ τῶν ἐπιδεικτικῶν προοίμια ἐξ ἐπαίνου ἢ ψόγου· οἷον Γοργίας μὲν ἐν τῷ Ὀλυμπικῷ λόγῳ· — « Ὑπὸ πολλῶν ἄξιοι θαυμάζεσθαι, ὦ ἄνδρες « Ἕλληνες· » ἐπαινεῖ γὰρ τοὺς τὰς πανηγύρεις συνάγοντας· Ἰσοκράτης δὲ ψέγει, ὅτι τὰς μὲν τῶν σωμάτων ἀρετὰς δωρεαῖς ἐτίμησαν, τοῖς δ' εὖ φρονοῦσιν οὐδὲν ἆθλον ἐποίησαν.

Quintilianus Instit. orat. III, 8, 8 : *In demonstrativis vero prooemia esse maxime libera existimat* (sc. Aristoteles). *Nam et longe a materia duci, ut in Helenæ laude Isocrates fecerit, et ex aliqua rei vicinia, ut idem in Panegyrico, cum queritur plus honoris corporum quam animorum virtutibus dari : et Gorgias in Olympico, laudans eos, qui primi tales instituerint conventus.* Aliter habent Aristotelea, quæ Quintilianus aut negligenter inspexisse aut de memoria citasse videtur.

III. ΕΠΙΤΑΦΙΟΣ.

4.

Philostrat. Vit. soph. I, 9, p. 202 : Ὁ δ' ἐπιτάφιος, ὃν διῆλθεν Ἀθήνησιν, εἴρηται μὲν ἐπὶ τοῖς ἐκ τῶν πολέμων [πεσοῦσιν], οὓς Ἀθηναῖοι δημοσίᾳ ξὺν ἐπαίνοις ἔθαψαν, σοφίᾳ δ' ὑπερβαλλούσῃ ξύγκειται· παροξύνων τε γὰρ τοὺς Ἀθηναίους ἐπὶ Μήδους τε καὶ Πέρσας καὶ τὸν αὐτὸν νοῦν τῷ Ὀλυμπικῷ ἀγωνιζόμενος ὑπὲρ ὁμονοίας μὲν τῆς πρὸς τοὺς Ἕλληνας οὐδὲν διῆλθεν, ἐπειδὴ πρὸς Ἀθηναίους ἦν ἀρχῆς ἐρῶντας, ἣν οὐκ ἦν κτήσασθαι μὴ τὸ δραστήριον αἱρουμένους, ἐνδιέτριψε δὲ τοῖς τῶν Μηδικῶν τροπαίων ἐπαίνοις, ἐνδεικνύμενος αὐτοῖς, ὅτι — « τὰ μὲν κατὰ τῶν βαρ- « βάρων τρόπαια ὕμνους ἀπαιτεῖ, τὰ δὲ κατὰ τῶν « Ἑλλήνων θρήνους. » Λέγεται δ' ὁ Γοργίας ἐς ὀκτὼ καὶ ἑκατὸν ἐλάσας ἔτη μὴ καταλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ γήρως, ἀλλ' ἄρτιος καταβιῶναι καὶ τὰς αἰσθήσεις ἡβῶν.

5.

Maximus Planudes ad Hermogenis librum II Περὶ ἰδεῶν (Rhet. gr. t. V, p. 548 ed. Walz.) : Διονύσιος ἐν τῷ δευτέρῳ περὶ χαρακτήρων περὶ Γοργίου λέγων τάδε φησίν· Δικανικοῖς μὲν οὖν οὐ περιέτυχον αὐτοῦ λόγοις, δημηγορικοῖς δὲ ὀλίγοις καί τισι καὶ τέχναις, τοῖς δὲ πλείοσιν ἐπιδεικτικοῖς· τῆς δὲ ἰδέας αὐτοῦ τῶν λόγων τοιοῦτος ὁ χαρακτήρ· ἐγκωμιάζει δὲ τοὺς ἐν πολέμοις ἀριστεύσαντας Ἀθηναίων· — « Τί « γὰρ ἀπῆν τοῖς ἀνδράσι τούτοις ὧν δεῖ ἀνδράσι προ- « σεῖναι; τί δὲ καὶ προσῆν ὧν οὐ δεῖ προσεῖναι; εἰ- « πεῖν δυναίμην ἃ βούλομαι, βουλοίμην δ' ἃ δεῖ, λα- « θὼν μὲν τὴν θείαν νέμεσιν, φυγὼν δὲ τὸν ἀνθρώπινον « φθόνον· οὗτοι γὰρ ἐκέκτηντο ἔνθεον μὲν τὴν ἀρετήν, « ἀνθρώπινον δὲ τὸ θνητόν, πολλὰ μὲν δὴ τὸ πρᾶον « ἐπιεικὲς τοῦ αὐθάδους δικαίου προκρίνοντες, πολλὰ « δὲ νόμου ἀκριβείας λόγων ὀρθότηται, τοῦτον νομίζον- « τες θειότατον καὶ κοινότατον νόμον, τὸ δέον ἐν τῷ « δέοντι καὶ λέγειν καὶ σιγᾶν καὶ ποιεῖν [καὶ ἐᾶν], « καὶ δισσὰ ἀσκήσαντες μάλιστα ὧν δεῖ, γνώμην [καὶ « ῥώμην,] τὴν μὲν βουλεύοντες τὴν δ' ἀποτελοῦντες, « θεράποντες τῶν μὲν ἀδίκως δυστυχούντων, κολασταὶ « δὲ τῶν ἀδίκως εὐτυχούντων, αὐθάδεις πρὸς τὸ συμ- « φέρον, εὐόργητοι πρὸς τὸ πρέπον, τῷ φρονίμῳ « τῆς γνώμης παύοντες τὸ ἄφρον [τῆς ῥώμης], ὑβρι- « σταὶ εἰς τοὺς ὑβριστάς, κόσμιοι εἰς τοὺς κοσμίους, « ἄφοβοι εἰς τοὺς ἀφόβους, δεινοὶ ἐν τοῖς δεινοῖς. Μαρ-

---

3.

Ducuntur exordia demonstrativi generis a laude vel vituperatione; sic Gorgias in oratione Olympica : « *Apud multos admiratione digni, o viri Græci* »; laudat enim eos qui solennia ista instituerint; Isocrates autem vituperat, quod corporis virtutibus præmia statuissent, sapientia vero instructis nullum præmium posuissent.

III. FUNEBRIS ORATIO.

4.

Quam Athenis Gorgias habuit funebris oratio dicta est in eos qui bello occiderant, quos Athenienses publice cum laudibus efferebant; summa autem cum arte composita est; in Medos enim et Persas instigans Athenienses et in eandem in quam in Olympica sententiam disserens de concordia quidem Græcorum nihil monuit, quoniam cum Atheniensibus ipsi res erat principatum appetentibus, quem comparare sibi non poterant, nisi quidvis audendi sibi consilium caperent, sed in laudandis Medicis victoriis versatus est, ostendens iis victorias de barbaris reportatas hymnos, de Græcis vero partas nænias postulare. — Dicitur autem Gorgias ad octavum et centesimum annum progressus corpus senio minime confectum habuisse, sed integra valetudine decessisse sensibusque juveniliter vigentibus.

5.

Dionysius libro de characteribus secundo de Gorgia verba faciens ita habet : In judiciales ejus orationes non incidi, sed concionales paucas et Artes quasdam, plurimas autem epidicticas orationes nactus sum. Ceterum formæ character in orationibus ejus talis est. Laudans Athenienses viros qui bello inclaruerint : « *Quid enim*, inquit, *viris his defuit eorum quæ decet viris adesse? Dicere possem quæ vellem, sed vellem quæ decet, latens divinam vindictam fugiensque humanam invidiam. Hi enim nacti sunt divinum donum virtutem, humanum vero mortalitatem, longe æqui lenitatem summi juris pertinaciæ præferentes longeque exactæ legi sermonis rectitudinem, hanc putantes divinissimam et communissimam legem, quod decet quando decet et dicere et tacere et facere et omittere; in exercendis duo maxime exercentes, judicium et robur; illud consulendo, hoc exequendo; inservientes immerito infortunatis, punientes immerito fortunatos; audaces ad utile, bene morati ad id quod decet, animi prudentia moderantes imprudentiam roboris, insolentes in insolentes, modesti erga*

« τύρια δὲ τούτων τρόπαια ἐστήσαντο τῶν πολεμίων, « Διὸς μὲν ἀγάλματα, αὐτῶν δὲ ἀναθήματα, οὐκ « ἄπειροι οὔτε ἐμφύτου ἄρεος οὔτε νομίμων ἐρώτων, « οὔτε ἐνοπλίου ἔριδος οὔτε φιλοκάλου εἰρήνης, σεμνοὶ « μὲν πρὸς τοὺς θεοὺς τῷ δικαίῳ, ὅσιοι δὲ πρὸς τοὺς « τοκέας τῇ θεραπείᾳ, δίκαιοι [μὲν] πρὸς τοὺς ἀστοὺς « τῷ ἴσῳ, εὐσεβεῖς δὲ πρὸς τοὺς φίλους τῇ πίστει. « Τοιγαροῦν αὐτῶν ἀποθανόντων ὁ πόθος οὐ συναπέ- « θανεν, ἀλλ' ἀθάνατος ἐν ἀσωμάτοις σώμασι ζῇ οὐ « ζώντων. » Σεμνὰς γὰρ ἐνταῦθα συμφορήσας λέξεις ὁ Γοργίας ἐννοίας ἐπιπολαιοτέρας ἐξαγγέλλει, τοῖς τε παρίσοις καὶ ὁμοιοτελεύτοις καὶ ὁμοιοκατάρκτοις καλλωπίζων διόλου προσκόρως τὸν λόγον. Inclusa addidit Sauppius, nisi quod καὶ ῥώμην jam Fossius l. l. inseruerat. — πρᾷον (πάρον codd.) dedit Spengel.; τοῦτον (τοῦτο codd.) νομίζοντες Weber; μαρτύρια (μαρτυρία et μαρτυρίας codd.) Sauppius; αὐτῶν (erat τούτων) idem; ἐν ἀσωμάτοις (οὐκ ἐν ἀσ. aldina; ἐν οὐκ ἀσ. et οὐκ ἐν ἀθανάτοις codd. Walzii) God. Hermannus. Fragmentum nostrum, sæpius illud editum, ad perorationem probabiliter refert Spengel in Συναγωγῇ τεχνῶν p. 78. Quando dicta sit oratio, non liquet. V. Westermann l. l. p. 45, not. 7.

IV. ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΗΛΕΙΟΥΣ.

6.

Aristoteles Rhet. III, 14, 11, p. 404, 14 : Τούτων δὲ ἕνεκα προοιμίου δεῖται, ἢ κόσμου χάριν, ὡς αὐτοκάβδαλα φαίνεται, ἐὰν μὴ ἔχῃ. Τοιοῦτον γὰρ τὸ Γοργίου ἐγκώμιον εἰς Ἠλείους· οὐδὲν γὰρ προεξαγκωνίσας οὐδὲ προαναχινήσας εὐθὺς ἄρχεται· « Ἦλις πόλις εὐδαίμων. »

V. [ΕΓΚΩΜΙΟΝ ΑΧΙΛΛΕΩΣ.]

7.

Idem ib. III, 17, 11, p. 408, 4 : Ἐν δὲ τοῖς ἐπιδεικτικοῖς δεῖ τὸν λόγον ἐπεισοδιοῦν ἐπαίνοις, οἷον Ἰσοκράτης ποιεῖ· ἀεὶ γάρ τινα εἰσάγει. Καὶ ὃ ἔλεγε Γοργίας, ὅτι οὐχ ὑπολείπει αὐτὸν ὁ λόγος, τοῦτό ἐστιν· εἰ γὰρ Ἀχιλλέα λέγει, Πηλέα ἐπαινεῖ, εἶτα Αἰακόν, εἶτα τὸν θεόν, ὁμοίως δὲ καὶ ἀνδρίαν, ἣ (sic Fossius pro ἢ) τὰ καὶ τὰ ποιεῖ, ὃ τοιόνδε ἐστίν. Cicero Brut. c. 12, 47 ait *Gorgiam singularum rerum laudes et vituperationes scripsisse.*

VI. ΤΕΧΝΗ.

8.

Diogenes Laert. VIII, 58 : Φησὶ δὲ Σάτυρος ἐν τοῖς Βίοις, ὅτι καὶ ἰατρὸς ἦν (Empedocles) καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ καὶ τέχνην ἀπολελοιπότα. Cf. Fr. Hist. III, p. 163.

Quintilianus Inst. Orat. III, 1, 8 : *Nam primus post eos, quos poetæ tradiderunt, movisse aliqua circa rhetorica Empedocles dicitur. Artium autem scriptores antiquissimi, Corax et Tisias Siculi, quos insecutus est vir ejusdem insulæ Gorgias Leontinus, Empedoclis, ut traditur, discipulus. Is beneficio longissimæ ætatis (nam centum et novem vixit annos) cum multis simul floruit : ideoque et illorum, de quibus supra dixi, fuit æmulus, et ultra Socratem usque duravit.*

Idem ib. § 12 : *Horum primi communes locos tractasse dicuntur, Protagoras, Gorgias, Prodicus et Thrasymachus... His successerunt multi, sed clarissimus Gorgiæ auditorum Isocrates.* Cf. etiam Sopater in Walzii Rhet. gr. t. V, p. 7, 12 et Platon. Phædr. p. 261, B. Quod supra e Bruto Ciceronis attulimus, id Sauppius censet fortasse ita cum Artis

---

modestos, intrepidi cum intrepidis, periculum fortiter sustinentes in periculis. Horum testimonia erexerunt de hostibus tropæa, Jovis quidem imagines, ipsorum vero donaria, haud inexpertes neque martis ingeniti neque amoris legitimi, neque certaminis armisoni neque pulcra colentis pacis; venerantes deos justitia, in parentes religiosi observantia, in cives justi æquitate, in amicos pii fide. Proinde cum mortuis non simul mortuum est eorum desiderium, sed immortalis in incorporeis corporibus vivit non viventium. »

Sic magnificis Gorgias verbis triviales enuntiat sententias et colis æqualibus et clausulas vel initia similia habentibus ad tædium usque orationem solet exornare.

IV. ELEORUM LAUDATIO.

6.

Vel horum causa proœmio opus est, vel ornamenti gratia, ne temere effutita oratio videatur, si quis proœmio non utatur. Ejusmodi est Gorgiæ in Eleos encomium; nulla enim prolusione, nulla præparatione facta, statim incipit : *Elis, fortunata civitas.*

V. [ACHILLIS LAUDATIO.]

7.

In epidicticis orationibus oportet laudes hinc inde petitas tanquam episodio interponere, quemadmodum Isocrates facit; semper enim laudem aliquam interjicit. Huc etiam pertinet quod Gorgias profitebatur sibi nunquam orationem defuturam; nam si de Achille orationem dicit, Peleum celebrat, deinde Æacum, tum (Jovem) deum, similiter etiam fortitudinem, quæ aliud et aliud facit, quod ejusmodi est.

VI. ARS RHETORICA.

8.

Satyrus in Vitis refert Empedoclem et medicum fuisse et oratorem optimum, ac Gorgiam Leontinum ejus fuisse discipulum, virum in oratoria insignem, qui etiam Artem rhetoricam scripserit.

memoria conciliari posse, ut magnam Artis Gorgianæ partem exemplis constitisse statuamus, idque confirmare ei videtur Quintilianus III, 1, 12.

9.

Prolegomena Commentar. in Hermogenis Στάσεις, vol. VII, p. 33, 27 Walzii : Ἐκ τῶν Πλουτάρχου εἰς τὸν Πλάτωνος Γοργίαν. Ὅρος ῥητορικῆς κατὰ Γοργίαν· — « Ῥητορική ἐστι τέχνη περὶ λό« γους τὸ κῦρος ἔχουσα, πειθοῦς δημιουργὸς ἐν πολι« τικοῖς λόγοις περὶ παντὸς τοῦ προτεθέντος, πιστευ« τικῆς καὶ οὐ διδασκαλικῆς· εἶναι δὲ αὐτῆς τὴν πραγ« ματείαν ἰδίαν μάλιστα περὶ δίκαια καὶ ἄδικα, ἀγαθά « τε καὶ κακά, καλά τε καὶ αἰσχρά. » Cf. Verba Platonis in Gorgia p. 455, A.

10.

Gorgias apud Platonem p. 450, B dicit : Τῶν μὲν ἄλλων τεχνῶν περὶ χειρουργίας τε καὶ τοιαύτας πράξεις, ὡς ἔπος εἰπεῖν, πᾶσά ἐστιν ἡ ἐπιστήμη, τῆς δὲ ῥητορικῆς οὐδέν ἐστι τοιοῦτον χειρούργημα, ἀλλὰ πᾶσα ἡ πρᾶξις καὶ ἡ κύρωσις διὰ λόγων ἐστί. Διὰ ταῦτ' ἐγὼ τὴν ῥητορικὴν τέχνην ἀξιῶ εἶναι περὶ λόγους, ὀρθῶς λέγων, ὡς ἐγώ φημι.

Ad hæc scholiasta p. 299 ed. F. Hermann. : Χειρούργημα καὶ κύρωσις οὐκ εἴρεται, αἱ δὲ λέξεις Γοργίου ἐγχώριοι· Λεοντῖνος γὰρ ἦν.

11.

Plato Phædri p. 267, A : Τισίαν δὲ Γοργίαν τε ἐάσομεν εὕδειν; οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι διὰ ῥώμην λόγου, καινά τε ἀρχαίως τά τ' ἀρχαῖα καινῶς, συντομίαν τε λόγων καὶ ἄπειρα μήκη περὶ πάντων ἀνεῦρον.

12.

Schol. ad Platon. Gorgiam p. 348 Bekk. : Τοῦτο παράγγελμα Γοργίου, — « τὸ τὰς σπουδὰς τῶν ἀν« τιδίκων γέλωτι ἐκλύειν, τὰ δὲ γελοῖα ταῖς σπουδαῖς « ἐκκρούειν. » Aristoteles Rhetor. III, 18, p. 409, 43 : Δεῖν ἔφη Γοργίας τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι, τὸν δὲ γέλωτα σπουδῇ, ὀρθῶς λέγων.

13.

Dionysius De Compos. verb., p. 68 Reisk. : Καιροῦ δ' οὔτε ῥήτωρ οὐδεὶς οὔτε φιλόσοφος εἰς τόδε χρόνου τέχνην ὥρισεν· οὐδ' ὅσπερ πρῶτος ἐπεχείρησε περὶ αὐτοῦ γράφειν Γοργίας ὁ Λεοντῖνος οὐδέν τι λόγου ἄξιον ἔγραψεν.

VII. FRAGMENTA INCERTÆ SEDIS.

14.

Longinus De subl. III, 2 : Ταύτῃ καὶ τὰ τοῦ Λεοντίνου Γοργίου γελᾶται, γράφοντος « Ξέρξης ὁ τῶν Περσῶν Ζεύς » καὶ « γύπες ἔμψυχοι τάφοι. Cf. Hermogenes vol. III, p. 226, 6 Walzii : Τάφους τε γὰρ ἐμψύχους τοὺς γύπας λέγουσιν, ὧνπέρ εἰσι μάλιστα ἄξιοι. Ad quem locum Johannes Siceliota, vol. VI p. 228, 27, hæc adnotat : Ἐπειδὴ τὰ σώματα τῶν ζώων ἀναλίσκουσι, τάφους ἐμψύχους αὐτοὺς ὀνομάζουσι, καὶ τὰ πλοῖα φαλαχραίας κόρας. « Fortasse etiam hæc Gorgiæ tribuenda sunt. Priora illa Weber et Fossius ad orationem funebrem referunt. » Sauppius.

15.

Aristot. Rhet. III, 3, 1, p. 388, 39 : Τὰ δὲ ψυχρὰ ἐν τέτταρσι γίγνεται κατὰ τὴν λέξιν, ἔν τε τοῖς διπλοῖς ὀνόμασιν, οἷον Λυκόφρων — « τὸν πολυπρό« σωπον οὐρανὸν τῆς μεγαλοκορύφου γῆς » καὶ « ἀκτὴν « δὲ στενόπορον », καὶ ὡς Γοργίας ὠνόμαζε « πτωχόμου« σος κόλαξ », « ἐπιορκήσαντας καὶ κατευορκήσαντας. »

16.

Idem ib. III, 3, 4, p. 389, 36 : Καὶ ἔτι τέταρτον τὸ ψυχρὸν ἐν ταῖς μεταφοραῖς γίγνεται· εἰσὶ γὰρ καὶ

9.

E Plutarchi commentariis in Platonis Gorgiam. Finis artis oratoriæ secundum Gorgiam : « Oratoria ars, cardinem sui in orationibus positam habens in civilibus de quavis re orationibus effectrix est persuasionis, non ejus qua doceamur, sed ejus qua fidem facile adhibeamus. Munus ejus proprium maxime versari ait in tractandis justis et injustis, bonis et malis, pulchris et turpibus. »

10.

Verba χειρούργημα et κύρωσις, quibus Attici non utuntur, e patrio Gorgiæ sermone petita sunt ; scilicet Leontinus erat.

11.

Tisiam vero Gorgiamque valere sinemus? qui verisimilia veris anteposuerunt, ac vi orationis efficiunt, ut parva esse magna, et magna vicissim parva, vetera item nova, et nova vetera videantur, qui brevitatem quoque loquendi concisam, rursusque infinitam verborum prolixitatem in cujusvis rei tractatione invenerunt.

12.

Ex Gorgiæ præcepto seria adversariorum sunt risu diluenda, risus vero seriis discutiendus est.

13.

Nec rhetorum quisquam, nec philosophorum, huc usque opportunitatis artem definivit : neque ipse Gorgias Leontinus, qui primus de ea scribere aggressus est, quicquam alicujus momenti protulit.

14.

Eodem modo etiam illa Gorgiæ Leontini ridentur, *Xerxem Persarum Jovem* appellantis, et *vultures sepulcra viva*.

15.

Quatuor modis elocutio frigida fit; primo jungendis nominibus, ut Lycophron dixit οὐρανὸν πολυπρόσωπον τῆς γῆς μεγαλοκορύφου, et ἀκτὴν στενόπορον, et sicut Gorgias habet hæc : πτωχόμουσος κόλαξ et ἐπιορκήσαντας καὶ κατευορκήσαντας.

μεταφοραὶ ἀπρεπεῖς, αἱ μὲν διὰ τὸ γελοῖον (χρῶνται γὰρ καὶ οἱ κωμῳδοποιοὶ μεταφοραῖς), αἱ δὲ διὰ τὸ σεμνὸν ἄγαν καὶ τραγικόν· ἀσαφεῖς δέ, ἂν πόρρωθεν· οἷον Γοργίας· « Χλωρὰ καὶ ἔναιμα τὰ πράγματα· σὺ « δὲ ταῦτα αἰσχρῶς μὲν ἔσπειρας, κακῶς δὲ ἐθέρι« σας. » Ποιητικῶς γὰρ ἄγαν.

17.

Xenophon Conviv. II, 26 : Ἦν δὲ ἡμῖν οἱ παῖδες μικραῖς κύλιξι « πυκνὰ ἐπιψακάζωσιν, » ἵνα καὶ ἐγὼ ἐν Γοργιείοις ῥήμασιν εἴπω, οὕτως οὐ βιαζόμενοι ὑπὸ τοῦ οἴνου μεθύειν, ἀλλ' ἀναπειθόμενοι πρὸς τὸ παιγνιωδέστερον ἀφιξόμεθα.

18.

Schol. Homer. Il. IV, 450 : Οἰμωγή τε καὶ εὐχωλή] Θουκυδίδης· « [Ἦν] πάντα ὁμοῦ ἀκοῦσαι, » φησίν, « ὀλοφυρμός, βοή, κρατοῦντες, κρατούμενοι. » Καὶ Γοργίας· « Ἀνεμίσγοντο δὲ λιταῖς ἀπειλαὶ καὶ εὐ« χαῖς οἰμωγαί. »

19.

Plutarch. Cimon. c. 10 : Ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνός φησι τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν ὡς χρῷτο, χρῆσθαι δὲ ὡς τιμῷτο.

20.

Aristot. Polit. III, 1, 9, p. 521, 49 : Γοργίας μὲν οὖν ὁ Λεοντῖνος τὰ μὲν ἴσως ἀπορῶν τὰ δ' εἰρωνευόμενος ἔφη, καθάπερ ὅλμους εἶναι τοὺς ὑπὸ τῶν ὁλμοποιῶν πεποιημένους, οὕτω καὶ Λαρισσαίους τοὺς ὑπὸ τῶν δημιουργῶν πεποιημένους· εἶναι γάρ τινας Λαρισσοποιούς. Antecedentia apud ipsum Aristotelem legas.

21.

Plutarch. De gloria Athen. p. 348, C : Ἤνθησε δὲ ἡ τραγῳδία καὶ διεβοήθη, θαυμαστὸν ἀκρόαμα καὶ θέαμα τῶν τότ' ἀνθρώπων γενομένη καὶ παρασχοῦσα τοῖς μύθοις καὶ τοῖς πάθεσιν « ἀπάτην, ὡς Γοργίας φησίν, ἣν ὅ τε ἀπατήσας δικαιότερος τοῦ μὴ ἀπα« τήσαντος καὶ ὁ ἀπατηθεὶς σοφώτερος τοῦ μὴ ἀπα« τηθέντος. » Cf. id. De aud. poetis, p. 15, D, ubi eadem iterum habes.

22.

Plutarch. Quæst. Conviv. VII, 10, p. 715 B : Ὥσπερ καὶ τὸν Αἰσχύλον ἱστοροῦσι τὰς τραγῳδίας ἐμπίνοντα ποιεῖν, καὶ οὐχ, ὡς Γοργίας εἶπεν, ἓν τῶν δραμάτων αὐτοῦ « μεστὸν Ἄρεως » εἶναι, τοὺς Ἑπτὰ ἐπὶ Θήβας, ἀλλὰ πάντα Διονύσου.

23.

Proclus Chrestomath. p. 1 : Γοργίας δὲ ὁ Λεοντῖνος εἰς Μουσαῖον αὐτὸν (Homerum) ἀνάγει.

24.

Aristot. Politic. II, 5, 8, p. 495, 3 : Καθόλου γὰρ οἱ λέγοντες ἐξαπατῶσιν ἑαυτούς, ὅτι τὸ εὖ ἔχειν τὴν ψυχὴν ἀρετή, ἢ τὸ ὀρθοπραγεῖν, ἤ τι τῶν τοιούτων· πολὺ γὰρ ἄμεινον λέγουσιν οἱ ἐξαριθμοῦντες τὰς ἀρετάς, ὥσπερ Γοργίας, τῶν οὕτω ὁριζομένων.

25.

Plutarch. De mul. virt. c. 1, p. 242, E : Ἡμῖν δὲ κομψότερος μὲν ὁ Γοργίας φαίνεται, κελεύων « μὴ τὸ εἶδος ἀλλὰ τὴν δόξαν εἶναι πολλοῖς γνώριμον τῆς γυναικός. »

16.

Præterea quartus modus frigidæ elocutionis cernitur in metaphoris; nam sunt metaphoræ quoque indecoræ; aliæ propter ridiculum (nam comici etiam poetæ metaphoris utuntur), aliæ propter nimiam granditatem et characterem tragicum; quin etiam obscuræ fiunt, si longe petantur. Quemadmodum Gorgias dixit : « *Pallida atque cruenta negotia; tu vero hæc turpiter seminasti, male autem messuisti.* » Nimis enim poetice dicta sunt.

17.

Si pueri minutis poculis *crebro nos quasi rore quodam adsperserint*, ut et ipse verbis Gorgianis utar, tum non coacti a vino temulenti fieri, sed quasi persuasione ejus ducti ad ludicra descendemus.

18.

Thucydides (7, 71, 4) ait : « *Licebat omnia simul audire, lamentationes, clamores, vincentes, victos;* » item Gorgias : « *Miscebantur supplicationibus minæ et precibus lamentationes.* »

19.

Gorgias Leontinus Cimonem opes conquirere dixit ut uteretur iis, uti autem ut honoraretur.

20.

Gorgias Leontinus, partim fortasse rei difficultatem sentiens, partim jocans, dixit : Quemadmodum mortaria essent quæ a mortariorum opificibus facta essent, sic et Larissæos esse quos opifices publici fecerint : esse enim aliquos Larissæorum (*sarissarum*) opifices.

21.

Florebat tragœdia ac celebrabatur, auditio et spectaculum quod ejus ætatis homines majorem in modum admirabantur, quia fabulis animorumque motibus *fraudem* faceret, *qua et qui deciperet*, ut dicebat Gorgias, *non decipiente justior, et qui deciperetur non decepto sapientior esset.*

22.

Sic etiam Æschylum ferunt potum suas scripsisse tragœdias et omnes eas Bacchi plenas esse, secus quam Gorgias, qui unum de Æschyli dramatibus quod inscribitur Septem ad Thebas, *Marte plenum* dicit.

23.

Gorgias Leontinus genus Homeri a Musæo deducit.

24.

Qui universe dicunt virtutem esse bonum animi habitum aut recte faciendi rationem aut tale aliquid, ii se ipsi fallunt; multo rectius faciunt qui virtutes enumerant, ut Gorgias, quam qui hoc modo definiunt.

25.

Mihi elegantior videtur Gorgiæ opinio, qui *mulieris non formam sed famam vult multis notam esse.*

26.

Proclus ad Hesiod. Op. 758 : Οὐ γὰρ ἁπλῶς ἀληθὲς ὃ λέγει Γοργίας· ἔλεγε δέ· « Τὸ μὲν εἶναι « ἀφανές, μὴ τυχὸν τοῦ δοκεῖν, τὸ δὲ δοκεῖν ἀσθενές, « μὴ τυχὸν τοῦ εἶναι. »

27.

Plutarch. De discrimine adul. et amici, c. 23, p. 64, C : Ὁ μὲν γὰρ φίλος οὐχ, ὥσπερ ἀπεφαίνετο Γοργίας, « αὐτῷ μὲν ἀξιώσει τὰ δίκαια τὸν φίλον « ὑπουργεῖν, ἐκείνῳ δ' αὐτὸς ὑπηρετήσει πολλὰ καὶ « τῶν μὴ δικαίων. »

28.

E codice Monacense VIII, fol. 42 apud Spengel. in Συναγωγῇ τεχνῶν p. 70 : Γοργίας ὁ ῥήτωρ ἔλεγε « τοὺς φιλοσοφίας μὲν ἀμελοῦντας, περὶ δὲ τὰ « ἐγκύκλια μαθήματα γινομένους ὁμοίους εἶναι τοῖς « μνηστῆρσιν, οἳ τὴν Πηνελόπην (τῇ Π.? Baiter.) « ἐθέλοντες ταῖς θεραπαινίσιν αὐτῆς ἐμίγνυντο. » Ὁ « αὐτὸς « τοὺς ῥήτορας ἔφη ὁμοίους εἶναι βατράχοις· « τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν, τοὺς δὲ ἐν τῇ γῇ. »

Reliqua Gorgiæ dicta, quæ ad nostram rem nihil pertinent, apud Fossium in libro De Gorgia legere est. Duas vero de Helena et Palamede declamationes quæ Gorgiæ nomine perperam inscribuntur, cum aliis sequioris ævi ῥητορείαις dedimus supra p. 178.

II. ANTIPHON RHAMNUSIUS.

Plutarchus Vit. X oratt. p. 833, C : Φέρονται δὲ τοῦ ῥήτορος λόγοι ξ', ὧν κατεψευσμένους φησὶ Καικίλιος εἶναι τοὺς κε'... Ἐπαινεῖται δ' αὐτοῦ μάλιστα ὁ περὶ Ἡρώδου καὶ ὁ πρὸς Ἐρασίστρατον περὶ τῶν ταῶν καὶ ὁ περὶ τῆς εἰσαγγελίας, ὃν ὑπὲρ ἑαυτοῦ γέγραφε, καὶ ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων (Cf. or. II). Ἔγραψε δὲ καὶ κατὰ Ἱπποκράτους τοῦ στρατηγοῦ λόγον καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου.

Cf. Photius Bibl. p. 486; Crameri Anecd. Ox. IV. p. 256; Schol. Æschin. or. 2, § 18. — ταῶν] correx. Ruhnken.; ἰδεῶν libri; ἐλαιῶν conj. Reiskius; ἰδεῶν τῶν ταῶν Rankius Vit. Aristophan. p. CDV. Vide infra or. XVI. — εἰσαγγελίας] Xylander; ἀγγελίας libri. De re v. Thucyd. VIII, 68; Lysias c. Eratosth. p. 427 R. Cf. Van Spaan. De Andocide cap. II; Westermann. *Gesch. d. gr. Bereds.* § 40, 7; fragm. orat. I. — στρατηγοῦ] Westerm. in Βιογρ. p. 233 et Sauppius; ἰατροῦ στρατηγῶν cod. Paris. 1672 ; ἰατροῦ στρατηγοῦ ceteri; ἰατροῦ Photius Bibl. p. 486, 24. Quæ omnia posteriorum fuerint additamenta. Primum quidam perperam adscripsit ἰατροῦ, quod solum habet Photius, deinde hoc una cum annotata ab aliquo correctione repetierunt. Meierus in Ephem. litt. Hal., an. 1838, p. 363, legi voluit υἱοῦ τοῦ στρατηγοῦ, quo cur opus non sit, dixit Sauppius in Fr. Oratt. p. 139.

I. ΠΕΡΙ ΤΗΣ ΜΕΤΑΣΤΑΣΕΩΣ.

Orationem περὶ μεταστάσεως esse *de mutatione status popularis in oligarchiam Quadringentorum virorum* nec diversam esse ab oratione περὶ τῆς εἰσαγγελίας, quam περὶ ἑαυτοῦ γέγραφε (Vit. X oratt. l. l.), probabiliter censent Petrus van Spaan *Diss. de Antiphonte* (p. 15 ed. Dobson.) atque Sauppius. Quamquam causam ejus sententiæ idoneam desiderant Spengelius Συναγ. τεχ. p. 113 et Westermannus *Gesch. d. gr. Beredsamkeit;* p. 277.

Ceterum ita Thucydides VIII, 63 : Ἀντιφῶν.. ἀνὴρ Ἀθηναίων τῶν καθ' ἑαυτὸν ἀρετῇ τε οὐδενὸς ὕστερος καὶ κράτιστος ἐνθυμηθῆναι γενόμενος καὶ ἃ ἂν γνοίη εἰπεῖν, καὶ ἐς μὲν δῆμον οὐ παριὼν οὐδ' ἐς ἄλλον ἀγῶνα ἑκούσιος οὐδένα, ἀλλ' ὑπόπτως τῷ πλήθει διὰ δόξαν δεινότητος διακείμενος, τοὺς μέντοι ἀγωνιζομένους καὶ ἐν δικαστηρίῳ καὶ ἐν δήμῳ πλεῖστα εἷς ἀνήρ, ὅστις ξυμβουλεύσαιτό τι, δυνάμενος ὠφελεῖν. Καὶ αὐτός τε, ἐπειδὴ τὰ τῶν τετρακοσίων ἐν ὑστέρῳ μεταπεσόντα ὑπὸ τοῦ δήμου ἐκακοῦτο, ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων αἰτιαθείς, ὡς συγκα-

---

26.

Non usquequaque recte Gorgias dicit : *Esse nec simul videri est obscurum, imbecillum aut est videri nec simul etiam esse.*

27.

Non verum est quod Gorgias dixit : *Amicum ab amico nonnisi in justis rebus operam postulaturum, ipsum vero illi in multis etiam non justis opitulaturum esse.*

28.

Gorgias rhetor dicebat : *Philosophiæ studium negligentes nec nisi encyclicas disciplinas colentes similes esse procis, qui Penelopæ nuptias ambientes cum ancillis ejus rem haberent.* Idem *oratores similes esse ranis* dixit; *hos enim in aqua, illos in terra clamare.*

Antiphontis feruntur orationes sexaginta, quarum viginti quinque spurias esse perhibet Cæcilius. Maxime laudantur orationes de Herode, adversus Erasistratum de pavonibus, ea quam pro se ipso scripsit proditionis in rempublicam postulatus et oratio contra Demosthenem de publico flagitio. Scripsit etiam accusationem in Hippocratem prætorem, eumque reum peregit deserentem vadimonium.

τέστησε, θανάτου δίκην ἀπολογησάμενος. Cf. Cicero Brut. c. 12; Quintilian. III, 1, 11; Aristoteles Eth. ad Eudem. III, 5 : Καὶ μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος τί δοκεῖ ἑνὶ σπουδαίῳ ἢ πολλοῖς τοῖς τυγχάνουσιν, ὥσπερ Ἀντιφῶν ἔφη πρὸς Ἀγάθωνα κατεψηφισμένος τὴν ἀπολογίαν ἐπαινέσαντα.

1.

Harpocration : Στασιώτης. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· — « περὶ τοίνυν ὧν Ἀπόληξις « κατηγόρηκεν, ὡς στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος « ὁ ἐμός. » Ἔοικε νῦν ὁ ῥήτωρ ἰδίως ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι· ἐν γοῦν τοῖς ἑξῆς φησιν ὅτι· — « οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ « πρόγονοι κολάσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν. » Eadem, missa orationis mentione, Suidas et Photius, quorum uterque pro ὡς στασ. habet ὁ στασιώτης. Cf. Harpocrat. p. 28, 3 : Ἀπόληξις, εἷς τῶν ι′ (sic. pro ν′ e Thuc., VIII, 67 scripsit Meineke Com. II, p. 664) συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφισταῖς. In Antiphontis causa Apolexin fortasse inter decem synegoros fuisse, quorum in Psephismate apud Plutarch. Vit. X oratt., p. 833, F servato mentio fit, suspicatur Sauppius.

2.

Idem : Διαστῆσαι ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως.

3.

Idem : Ἐμποδών. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· — « καὶ τοὺς ἐμποδὼν ἐκολάσατε, » ἀντὶ τοῦ τοὺς ἐμπεσόντας, καθὰ καὶ Ἀνδοκίδης ἐν τῷ κατ' Ἀλκιβιάδου (§ 10). Cf. Suidas s. v. et Etym. M. p. 336, 35.

4.

Idem : Ἐπεσκήψατο ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. Λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. Τῷ δὲ ἐνεργητικῷ τῷ ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει. Τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν. Cf. Etym. M. p. 355, 35.

5.

Idem : Ἠετιωνία. Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. Οὕτως ἐκαλεῖτο ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα ἀπὸ τοῦ κατακτησαμένου τὴν γῆν Ἠετίωνος, ὥς φησι Φιλόχορος ἐν τῇ πρὸς Δήμωνα ἀντιγραφῇ. Μνημονεύει δὲ τῆς Ἠετιωνίας καὶ Θουκυδίδης ἐν η′. Cf. Suidas, Photius, Zonaras, apud quos pr. vocatur Ἠετιώνεια, ut apud Demosthenem p. 1343, 8. Eetionia ab oligarchis munita est exeunte Olymp. 92, 1, paucis mensibus ante condemnationem Antiphontis.

6.

Idem : Τετρακόσιοι· Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. Οἱ υ′ πρὸ ζ′ ἐτῶν κατέστησαν τῶν λ′ τυράννων παρ' Ἀθηναίοις, οἵτινες δ' μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

II. ΠΕΡΙ ΑΝΔΡΑΠΟΔΙΣΜΟΥ.

7.

Bekkeri Anecdot. p. 352, 23 : Ἀθήναζε... Καὶ τὸ παρὰ Ἀντιφῶντι δὲ ἐν τῷ περὶ ἀνδραποδισμοῦ λόγῳ ἐπίστασιν ἔχει ὡς ἡμαρτημένον τὴν σύνταξιν· γράφει δὲ οὕτως· — « Ἐπειδὴ γὰρ ἀπῳκίσθην Ἀθήναζε καὶ « ἀπηλλάγην τῆς κληρουχίας. » Codex ἀπῴκεις τὴν Ἀθ.; em. Sauppius.

I. DE STATUS MUTATIONE.

1.

Antiphon in oratione de status mutatione : *De iis igitur, quorum Apolexis nos accusavit, quasi* στασιώτης *fuissem ego et avus meus.* Peculiariter ibi orator hoc nomine videtur usus fuisse de satellite; nam in sequentibus dicit : *Minime majores nostri tyrannos quidem in jus vocare potuerunt, satellites autem non potuerunt.*

2.

Διαστῆσαι pro *conturbare* et quasi *invalidum reddere*, Antiphon in oratione de status mutatione.

3.

Ἐμποδών. Antiphon in or. de status mutatione, sicut etiam Andocides in or. adversus Alcibiadem, τοὺς ἐμποδὼν dicit obvios quosque in hisce : *Obvios quosque punivistis.*

4.

Ἐπεσκήψατο, *falsi testimonii incusavit.* Interdum etiam, sed raro admodum, verbum significat *cædis commissæ insimulare*, ut apud Antiphontem de status mutatione.

5.

Eetionia. Antiphon de status mutatione. Sic vocatur alterum Piræei promontorium ab Eetione, qui regionem illam possederat, teste Philochoro (fr. 115) in scripto Contra Demonem. Thucydides quoque (8, 90) Eetioniæ mentionem facit.

6.

Quadringenti. Antiphon in or. de status mutatione. Quadringenti viri apud Athenienses septem annis ante triginta tyrannos constituti sunt, ac menses quattuor civitati præfuerunt, teste Aristotele in Atheniensium Republica (*fr.* 73).

II. DE REDACTIONE IN SERVITUTEM.

7.

Etiam quod apud Antiphontem in or. de redactione in servitutem legitur notandum est ut vitiosa syntaxi laborans Ita scribit : *Quum enim sedem transtulissem Athenas et discessissem ex agro colonis assignato.*

III. ΠΡΟΣ ΤΗΝ ΔΗΜΟΣΘΕΝΟΥΣ ΓΡΑΦΗΝ ΑΠΟΛΟΓΙΑ.

« Ad hanc orationem refero quod legitur in Vitis X oratt. p. 833, D : Ἐπαινεῖται δ' αὐτοῦ μάλιστα ... καὶ ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων. Cf. ad or. XII. » SAUPPIUS.

8.

Harpocratio : Ἀλκιβιάδης ὁ Κλεινίου... Ἦν δὲ καὶ ἕτερος, πρόπαππος τοῦ προειρημένου, ὅν φησι Λυσίας ἐν τῷ κατ' Ἀλκιβιάδου λειποταξίου (§ 39), εἰ γνήσιος ὁ λόγος, αὐτόν τε καὶ τὸν πατρὸς πρὸς μητρὸς πάππον δὶς ἐξοστρακισθῆναι. Ἄλλος δέ ἐστιν Ἀλκιβιάδης οὗ μνημονεύει Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ· μνημονεύουσι δ' αὐτοῦ καὶ τῶν ἄλλων ῥητόρων τινὲς καὶ οἱ κωμικοί· ἔστι δὲ Φηγούσιος, Ἀλκιβιάδου ξένος (an ἀνεψιός? Cf. Xen. Hell. 1, 2, 13. *Sauppe*). Partem horum habes in Bekkeri Anecd. p. 378, 22. De Alcibiade Phegusio cf. Andocides de myster. § 65.

9.

Idem : Ἀποτειχίσαι τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου, ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ Θουκυδίδης. Cf. Suidas et Bekk. Anecd. p. 437, 28.

10.

Idem : Δεκατευτάς ἀντὶ τοῦ τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ. Ὅτι δὲ ἦν τελώνιον ἡ δεκάτη, δεδήλωκε Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. Cf. Suidas, ubi quattuor codd. post ἐκλέγοντας addunt καὶ συλλέγοντας.

11.

Idem : Κελέοντες. Ἀντιφῶν ἐν τῇ πρὸς Δημοσθένους γραφὴν ἀπολογίᾳ· « ἵνα τοὺς κελέοντας κατέπηξεν. » Κυρίως μὲν κελέοντές εἰσιν οἱ ἱστόποδες, ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ· μεταφορικῶς δὲ νῦν ὁ ῥήτωρ λέγοι ἂν τὰ ὀρθὰ ξύλα. Cf. Photius, Suidas, sch. Theocrit. 18, 34.

12.

Idem : Σκαφίον· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ. Ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς, καὶ Ἀριστοφάνης Γήρᾳ. Cf. Photius.

13.

Idem : Συνήγοροι· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. Ἐοίκασι παρ Ἀθηναίοις τινὲς χειροτονεῖσθαι συνήγοροι ἐπὶ τῷ συναγορεύειν. Cf. Etym. M. p. 735, 28 et Suidas.

14.

Idem : Ἄνδρων· Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Δημοσθένους ἀντιγραφήν. Ἀνδρωνά φησιν εἶναι Κρατερὸς ἐν θ' τῶν Ψηφισμάτων τὸν γράψαντα τὸ ψήφισμα τὸ περὶ Ἀντιφῶντος τοῦ ῥήτορος. Ἦν δὲ εἷς τῶν υ' ὁ Ἄνδρων. Pro ἐν τῷ cod. C. ἐν τῇ; vocem ἀντιγραφὴν om. A. « Puto igitur, Sauppius ait, etiam h. l. legendum esse ἐν τῇ... γραφὴν ἀπολογίᾳ. » Pro ἐν θ' Meineke ad calc. Stephani legi vult ἐν ι'.

IV. ἘΠΙΤΡΟΠΙΚΟΣ ΚΑΤΑ ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

15.

Idem : Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου· Ἀντιφῶν ἐπιτροπικῷ [κατὰ ins. Saupp.] Καλλιστράτου καὶ Σόλων ἐν κα' Νόμων.

III. CONTRA DEMOSTHENIS ACCUSATIONEM DEFENSIO.

8.

Alcibiades Cliniæ filius... Diversus ab eo Alcibiades est, cujus Antiphon meminit in Defensione contra Demosthenis accusationem. Ejusdem etiam alii quidam oratores ac comici mentionem faciunt. Est autem Phegusius, Alcibiadis (Clinia nati) hospes.

9.

Ἀποτειχίσαι, muro cingere et exitu intercludere; ἀποτετειχισμένος, muro cinctus et interclusus. Antiphon in Defensione contra Demosthenis accusationem et Thucydides.

10.

Δεκατευτάς, publicanos, qui decimam exigunt. Antiphon in Defensione contra Demosthenis accusationem.

11.

Κελέοντες. Antiphon in Defensione contra Demosthenis accusationem : *Ubi recta ligna defixit.* Proprie κελέοντες sunt ligna quæ telam extendunt, ut patet etiam ex Aristophane comico; sed metaphorice orator hoc loco sic vocare videtur ligna recta.

12.

Σκαφίον. Antiphon in Defensione contra Demosthenis accusationem. Τὸ σκαφίον tonsuræ genus esse declarat Aristophanes quoque in Senectute.

13.

Συνήγοροι, causarum patroni. Antiphon in Defensione contra Demosthenis accusationem et in oratione de Lindiorum tributo. Videntur apud Athenienses patroni quidam causarum suffragiis eligi, qui causas publicas agant.

14.

Andron. Antiphon in oratione contra Demosthenis accusationem (γραφήν). Craterus Decretorum libro nono Andronem decretum de Antiphonte scripsisse dixit. Scilicet unus ex viris quadringentis Andron fuit.

IV. TUTELARIS ORATIO CONTRA CALLISTRATUM.

15.

Adoptivos in domum paternam redire lex vetabat, nisi filios legitimos in adoptiva familia reliquissent. Antiphon in or. contra tutelam Callistrati et Solon vicesima prima legum tabula.

V. ΕΠΙΤΡΟΠΙΚΟΣ ΤΙΜΟΚΡΑΤΕΙ.

16.

Idem : Σπάρτωλος· Ἀντιφῶν ἐν τῷ ἐπιγραφομένῳ Ἐπιτροπικὸς Τιμοκράτει. Πόλις ἐστὶ τῆς Βοττικῆς ἡ Σπάρτωλος.

IV. ΚΑΤΑ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Vit. X oratt. p. 833, D : Ἔγραψε δὲ καὶ κατὰ Ἱπποκράτους τοῦ στρατηγοῦ λόγον καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου. V. supra p. 194.

VII. ΠΡΟΣ ΤΗΝ ΚΑΛΛΙΟΥ ΕΝΔΕΙΞΙΝ ΑΠΟΛΟΓΙΑ.

17.

Harpocratio : Διάθεσις ἀντὶ τοῦ πρᾶσις Ἰσοκράτης Βουσίριδι. Ἀντὶ δὲ τοῦ ἀποδεδόμεθα διεθέμεθα εἶπεν Ἀντιφῶν ἐν τῷ πρὸς τὴν Καλλίου ἔνδειξιν, καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας· — « ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκούουσιν. » Φρύνιχος Τραγῳδοῖς « τῇ διαθέσει τῶν ἐπῶν » φησί. Καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι· Ἀντιφῶν Ἀληθείας α'· — « γυμνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς διαθεῖτο. » Διαθέσθαι ἀντὶ τοῦ συνθέσθαι Ὑπερείδης κατὰ Δημοσθένους. Cf. Ulpian. ad Demosth. or. II §. 16. et Suidas.

18.

Idem : Ἕρμα, ἡ ὕφαλος πέτρα· Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. Ἔστι δὲ τοὔνομα καὶ παρ' Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους. Cf. Photius, Suidas, Dindorf. in Thes. s. v. Ἑρμάς.

19.

Idem : Ἤσμεν ἀντὶ τοῦ ᾔδειμεν. Ἀντιφῶν πρὸς τὴν Καλλίου ἔνδειξιν ἀπολογίᾳ· — « ἡμεῖς μὲν οὖν οὔτε « ναυτικὸν ἦσμεν ὁπόσον (ὁπόσου? Saupp.) δέοι. »

20.

Idem : Μοιροδοκῆσαι ἀντὶ τοῦ μέρους μεταλαβεῖν Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ.

VIII. ΚΑΤΑ ΛΑΙΣΠΟΔΙΟΥ.

21.

Idem : Ἀπιστεῖν ἀντὶ τοῦ ἀπειθεῖν Ἀντιφῶν κατὰ Λαισποδίου, Ἰσοκράτης ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φίλιππον. Λέγουσι δὲ καὶ ἀπιστίαν τὴν ἀπείθειαν, ὡς Δημοσθένης ἐν θ' Φιλιππικῶν καὶ ἄλλοι πολλοί.

22.

Idem : Γαληψός· Ἀντιφῶν κατὰ Λαισποδίου, πόλις Θρᾴκης, ὡς οἱ τὰς περιόδους γεγραφότες φασίν. Ὠνομάσθη δὲ ἀπὸ Γαληψοῦ τοῦ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος ἐν πέμπτῳ Μακεδονικῶν.

23.

Idem s. v. Ἐπίσκοπος. V. fr. 30. Episcopi munere in Thracia functum esse Læspodiam cum Sauppio crediderim. Ceterum de Læspodia v. Meineke Comic. gr. fragm. tom. II, p. 476.

24.

Idem : Οἰσύμη· Ἀντιφῶν ἐν τῷ κατὰ Λαισποδίου. Πόλις ἐστὶ τῆς Θρᾴκης, καθά φασιν ἄλλοι τε καὶ Ἔφορος ἐν δ'. De Œsymo et Galepso cf. Thuc. IV, 107.

IX. ΠΕΡΙ ΤΟΥ ΛΙΝΔΙΩΝ ΦΟΡΟΥ.

25.

Idem : Ἀμφίπολις· Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. Πόλις αὐτὴ τῆς Θρᾴκης· πρότερον δὲ Ἐννέα

V. TUTELARIS ORATIO TIMOCRATI SCRIPTA.

16.

Spartolus, urbs Botticæ regionis; Antiphon in oratione quæ inscribitur Tutelaris Timocrati.

VII. CONTRA CALLIÆ DELATIONEM DEFENSIO.

17.

Διάθεσις pro *venditione* apud Isocratem in Busiride (p. 224 B). Pro ἀποδεδόμεθα, *vendidimus*, διεθέμεθα Antiphon dixit in oratione contra Calliæ delationem. Idem διάθεσις usurpat pro διοίκησις, *administratio*, in scripto de concordia : *Sed scientes administrationem audiunt.* Phrynichus in Tragœdis (fr.) : διαθέσει τῶν ἐπῶν, *adornatione verborum*, dixit. Porro verbum quoque διαθέσθαι ponunt pro *administrare.* Antiphon libro primo de veritate : *Privata rei gerendæ opportunitate multa bona male administraret.*

18.

Ἕρμα, saxum sub undis latens. Antiphon in defensione adversus Calliæ delationem.

19.

Ἤσμεν pro ᾔδειμεν, *noveramus.* Antiphon in defensione contra Calliæ delationem : *Nos quidem neque rei nauticæ satis periti eramus.*

20.

Μοιροδοκῆσαι, *partem accipere.* Antiphon in defensione contra Calliæ delationem.

VIII. CONTRA LÆSPODIAM.

21.

Ἀπιστεῖν pro ἀπειθεῖν. Antiphon in or. contra Læspodiam et Isocrates in epistola ad Philippum.

22.

Galepsus. Antiphon in or. contra Læspodiam. Est Thraciæ oppidum, ut produnt qui terræ circuitus scripserunt.

24.

Œsyme. Antiphon in or. contra Læspodiam. Oppidum est Thraciæ, ut præter alios tradit Ephorus libro quarto.

IX. DE LINDIORUM TRIBUTO.

25.

Amphipolis. Antiphon de Lindiorum tributo. Est Thra-

ὁδοὶ ἐκαλεῖτο, ὡς Ἀνδροτίων ἐν ιϐ' Ἀτθίδος. Pro Λινδίων φόρου codices ληναίων φόρου, λιναίου φόρου, ληναιοφόρου, ληναιφόρου. Leni manu emendavit Valesius. Sauppius dedit Λιμναίων φόρου, Chersonesi urbem designari putans ob Amphipolis mentionem, quæ quomodo Lindiis oratione Antiphontea in Atheniensium concione causam agentibus conveniat, se non intelligere ait. Tributa urbium quarto quoque anno ab Atheniensibus de novo constitui solebant, et Antiphontis tempp. subinde aucta esse videntur. Hinc querelæ causæque istæ et Lindiorum et Samothracum (Or. XV), quibus Antiphon orationes conscripsit.

26.

Idem : Ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι παρὰ τῷ αὐτῷ.

27.

Idem : Ἅττα ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. Cf. Bekker. Anecd. p. 461, 9; Philemon. p. 10; Schol. Platon p. 371; Suidas.

28.

Idem : Δι' ἐνιαυτοῦ ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ Ἀντιφῶν περὶ τοῦ Λινδίων φόρου. Τηλεκλείδης δ' ἐν τοῖς Πρυτάνεσι δι' ἡμέρας εἶπεν ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.

29.

Idem s. v. ἐπαγγελία : Λέγεται δὲ παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς παρά τε Ἀντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ πρεσβείας (§ 41). Cf. Suidas.

30.

Idem : Ἐπίσκοπος· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ ἐν τῷ κατὰ Λαισποδίου. Ἐοίκασιν ἐκπέμπεσθαί τινες ὑπὸ Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκεπτόμενοι τὰ παρ' ἑκάστοις.

31.

Idem : Προσφορά ἀντὶ τοῦ πρόσοδος Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, καὶ παρ' ἄλλοις δὲ τοὔνομα. Cf. Crameri Anecd. Oxon. II p. 499, 5.

32.

Idem s. v. Συνήγοροι. Vide supra frg. 13.

33.

Idem : Τριϐωνευόμενοι· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου· ἤτοι ἀντὶ τοῦ τριϐὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες ἀπὸ τοῦ τρίϐωνες εἶναι πραγμάτων. Cf. Photius, Suidas, Etym. M.

X. ΜΥΡΡΟΥ ΑΠΟΛΟΓΙΑ.

34.

Suidas v. ἅττα : Ἀντιφῶν τῷ ἅττα κέχρηται ἀντὶ τοῦ ἅτινα ἐν τῇ Ἀπολογίᾳ τοῦ Μύρρου (Μύρου v. l.)· — « οὐ γὰρ ἐγὼ ἐπεπόνθειν ταῦτα (τότε? « Saupp.), ἅττα νῦν πέπονθα ὑπὸ τούτου. » Καὶ αὖθις· — « Οἱ γὰρ ἄνθρωποι ἅττα ἂν ὁρῶσι τῇ ὄψει πι« στότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς « ἀληθείας. »

XI. ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ ΠΕΡΙ ΟΡΩΝ.

« Hæc oratio videtur in causa publica habita esse et ad metationem urbis pertinuisse. Singulas enim urbis partes certis finibus distinctas et commentaria de his terminis publice scripta fuisse ostendit schol. Aristoph. Avv. 997 : Μελίτη γὰρ ἅπαν ἐκεῖνο, ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως. » SAUPPIUS.

35.

Harpocratio : Ἀργυροκοπεῖον· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα· ὅπου κόπτεται τὸ νόμισμα· ὃ νῦν σημαντήριόν τινες καλοῦσιν.

---

ciæ urbs, prius Ἐννέα ὁδοί, *Novemviæ*, dicta, teste Androtione Atthidis libro duodecimo.

26.

Ἀπειπεῖν, *fatiscere* et *viribus deficere*. Antiphon de Lindiorum tributo.

27.

Ἅττα, *quæcunque* vel *quæ*, apud Antiphontem de Lindiorum tributo.

28.

Δι' ἐνιαυτοῦ, *per totum annum*. Antiphon de Lindiorum tributo.

29.

Ἐπαγγέλλεσθαι dicitur etiam pro *imperare*, *postulare*, ut apud Antiphontem de Lindiorum tributo et apud Demosthenem de legatione.

30.

Ἐπίσκοπος, *inspector*. Antiphon in or. de tributo Lindiorum et in or. contra Læspodiam. Mittebantur quidam ab Atheniensibus in subjectas urbes, qui res earum inspicerent.

31.

Προσφορά, *reditus*. Antiphon in or. de Lindiorum tributo. Apud alios quoque nomen hoc occurrit.

33.

Τριϐωνευόμενοι, Antiphon in or. de Lindiorum tributo; i. e. aut *moras nectentes*, aut *dolis utentes*, utpote qui rerum essent periti.

X. MYRRHI DEFENSIO.

34.

Antiphon voce ἅττα usus est pro ἅτινα in defensione Myrrhi : « Haud enim passus eram quæ nunc ab eo passus sum. » Et alibi : « Homines enim quæ oculis cernunt, certiora ducunt quam quorum veritas argumentis obscuris demonstranda est. »

XI. ADVERSUS NICOCLEM DE FINIBUS.

35.

Ἀργυροκοπεῖον, Antiphon in. or. contra Nicoclem; ubi

36.

Idem : Διὰ μέσου τεῖχος· Ἀντιφῶν πρὸς Νικοκλέα. Τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τῶν παρ' ἑκάτερα ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ. Cf. Suidas.

37.

Idem v. Ἑρμαῖ : Ὅτι δὲ καὶ Θρᾳκῶν (Ἑρμῶν em. Sluiter.) στοά τις ἐλέγετο, δεδήλωκε καὶ Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα.

38.

Idem : Εὐθύωρον τὸ κατ' εὐθεῖαν Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Τὸ ὄνομα καὶ παρὰ Ξενοφῶντι ἐν β' Ἀναβάσεως. Cf. Photius, Suidas, Etym. M. p. 391, Zonaras p. 916, 924.

39.

Idem : Κεραμεικός· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. Ὅτι β' εἰσὶ Κεραμεικοί, ὡς καὶ ὁ ῥήτωρ φησίν, ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἕτερος ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον, δηλοῖ Καλλικράτης (Καλλίστρατος v. l.) ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν. Cf. Suidas, et schol. Aristophan. Eq. 772.

40.

Idem : Λέσχαι· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο [οἱ] πολλοί. Ὅμηρος « οὐδ' ἐθέλεις εὕδειν χαλκήιον ἐς δόμον ἐλθὼν ἠέ που ἐς λέσχην. Κλεάνθης ἐν τῷ περὶ θεῶν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας φησίν, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι αὐτάς, καὶ παρ' ἐνίοις [αὐτὸν add. Suid.] τὸν θεὸν λεσχηνόριον ἐπικαλεῖσθαι. Conf. Suidas.

41.

Idem : Παράβυστον. Οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια'· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. Μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ. Ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. Λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων. Cf. Suidas, Photius.

42.

Idem : Πρυτανείας· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λς' ἢ λε', ἃς (sic Saupp.; καὶ codd.) ἑκάστη φυλὴ πρυτανεύει. Διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Cf. Suidas, Photius, schol. Platon. p. 459; argum. in Dem. or. c. Androtion.

43.

Idem : Στεφανηφόρος· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις· εἴη δ' ἂν ὁ Στεφανηφόρος ἤτοι τῶν Ἡρακλέους υἱέων εἷς τῶν γενομένων ἐκ τῶν Θεστίου θυγατέρων, οὗ μνημονεύει Ἑλλάνικος ἐν ι' Φορωνίδος· ἢ μήποτε τοῦ Ἀττικοῦ (ἀστικοῦ Phot., Suid.) Στεφανη-

---

moneta excuditur, quam officinam nunc σημαντήριον nonnulli appellant.

36.

Medius murus. Antiphon contra Nicoclem. Quum tres in Attica muri essent, ut etiam Aristophanes in Triphalete (*fr.* 469 a) dicit, borealis et australis et Phalericus, medius horum dicebatur australis, cujus Plato quoque in Gorgia (p. 456, A) meminit.

37.

Etiam Hermarum porticus quædam (*Athenis*) appellabatur, uti patet ex Antiphontis oratione contra Nicoclem.

38.

Εὐθύωρον, *secundum lineam rectam*, Antiphon in or. contra Nicoclem. Vox etiam apud Xenophontem Anabaseos libro secundo (II, 2, 16).

39.

Ceramicus. Antiphon in or. contra Nicoclem de finibus. Ceterum duos esse Ceramicos, sicut etiam orator dicit, alterum intra urbem, alterum extra urbem, in quo qui bello occiderant, publico funere sepeliebantur et orationes funebres habebantur, docet Callicrates vel Menecles in libro de Athenis.

40.

Λέσχαι. Antiphon in or. contra Nicoclem. Sic vocabantur publica quædam loca in quibus otiosa hominum multitudo desidere solebat. Homerus (Od. 18, 327) : *Non vis dormire in domum fabri ferrarii vel lescham ingressus?* » Cleanthes in libro de diis Leschas Apollini dicatas et exedris esse similes, et ipsum etiam Apollinem a quibusdam Leschenorium cognominari dicit.

41.

Παράβυστον. Sic vocabatur apud Athenienses judicium quoddam, in quo Undecimviri judicabant. Antiphon in or. contra Nicoclem de finibus. Meminerunt ejus præter alios comicos etiam Timocles in Orestautoclide. Item in thalamis lectus quidam appellabatur παράβυστος, cujus meminit Hyperides in oratione contra Patroclem. Apparet autem hoc dici per metaphoram ductam ab iis quæ sarcinis inferciuntur et inculcantur.

42.

Πρυτανείας. Antiphon in or. contra Nicoclem. Est vero prytania numerus dierum triginta sex vel triginta quinque, per quos singulæ tribus judicant. Dixit de iis Aristoteles in Atheniensium Republica.

43.

Stephanephorus. Antiphon in oratione contra Nicoclem. Athenis heroum fuisse videtur Stephanephori. Fuerit autem Stephanephorus unus filiorum e Thestii filiabus ab Hercule susceptorum, cujus Hellanicus Phoronidis libro decimo meminit; aut fanum fortasse fuit Attici Stephane-

φόρου τὸ ἡρῷον ἦν, οὗ πάλιν ὁ αὐτὸς Ἑλλάνικος ἐν β' Ἀτθίδος μέμνηται. Cf. Photius et Suidas. Stephanephori heroum monetæ conjunctum fuisse probabiliter censet Bœckh. C. I. I, p. 168.

44.

Idem : Ὑπέρβολος. Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα· ἦν δὲ δημαγωγός, ὃν Θουκυδίδης ἐν τῇ η' ἐξωστρακίσθαι φησίν.

XII. ΠΑΡΑΝΟΜΩΝ ΚΑΤΗΓΟΡΙΑ.

« A. Westermannus hist. eloq. gr. p. 276 et ad Vitas X oratt. p. 28 hanc orationem eam esse putat, qua auctor illarum vitarum Antiphontem πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων causam egisse dicit; sed quæ erat κατηγορία παρανόμων, ea κατὰ Δυμοσθένους dicenda erat. Diversam igitur ab illa fuisse intelligere mihi videor : cf. quæ ad or. tertiam annotavi. » Sauppius.

45.

Suidas : Δεῦρο. Τοῦτο τὸ ἐπίρρημά τινες ἐπὶ χρόνου τετάχθαι νομίζουσιν, οἱ δὲ ῥήτορες ἐπὶ τόπου πάντες αὐτῷ χρῶνται, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου (§ 174)· « καὶ παρασχεῖν (περιστήσειν Æschin.) τῷ μὲν φεύγοντι θαρρεῖν, ὅταν αὐτὸς δεῦρο παρέλθῃ. » Καὶ Ἀντιφῶν ἐν τῇ Παρανόμων κατηγορίᾳ· « ναυμάχους ὡς περὶ δωρεῶν μὲν εἰπεῖν « κατάγειν δεῦρο. » Καὶ Δείναρχος ἐν τῷ κατὰ Λεωχάρους· « περὶ τοῦ ταλαιπώρου Διδύμου νῦν πρὸς ὑμᾶς ἐρῶ· καί μοι δεῦρο αὐτοῦ τὸ παιδίον κάλεσον. » Καὶ Δημοσθένης· « ἀπόκριναι γὰρ δεῦρο ἀναστάς μοι. » Καὶ ἄλλοι ἕτεροι. Antiphontis locum a labe non immunem videri monet Bernhardyus; Sauppius fort. leg. conjicit : Ἐκ ναυμαχίας ὡς περὶ δωρεῶν συνειπεῖν κατάγειν δεῦρο.

XIII. ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ.

46.

Bekkeri Anecd. p. 82, 29 : Ἀνάδεξαι· οἷον ἐγγύησαι. Ἀντιφῶν πρὸς Πολύευκτον, Δεινόλοχος Ἀλθαίᾳ.

XIV. ΚΑΤΑ ΠΡΥΤΑΝΕΩΣ.

εἰ γνήσιος.

47.

Harpocratio : Ῥητορικὴ γραφή· Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην. Ἔοικε ῥητορικὴ γραφὴ καλεῖσθαι ἡ κατὰ ῥήτορος γράψαντός τι ἢ εἰπόντος ἢ πράξαντος παράνομον, ὥσπερ λέγεται καὶ πρυτανικὴ ἡ κατὰ πρυτάνεως, καὶ ἐπιστατικὴ ἡ κατ' ἐπιστάτου. Ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀντιφῶν ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος, ὑποσημαίνει. Cf. Suidas et fr. Isæi or. contra Euclidem.

XV. ΠΕΡΙ ΤΟΥ ΣΑΜΟΘΡᾼΚΩΝ ΦΟΡΟΥ.

48.

Suidas : Σαμοθρᾴκη νῆσος· κεῖται δὲ καταντικρὺ τῆς Θρᾴκης. Φασὶ δὲ Σαμίους οἰκίσαντας αὐτὴν τὸ ὄνομα θέσθαι τοῦτο· καὶ ἔστι παρὰ Ἀντιφῶντι ἐν τῷ Σαμοθρᾳκικῷ λόγῳ οὕτως εἰρημένον· — « Καὶ γὰρ « οἱ τὴν ἀρχὴν οἰκίσαντες τὴν νῆσον ἦσαν Σάμιοι, « ἐξ ὧν ἡμεῖς ἐγενόμεθα· κατῳκίσθησαν δὲ ἀνάγκῃ, « οὐκ ἐπιθυμίᾳ τῆς νήσου· ἐξέπεσον γὰρ ὑπὸ τυράν-

---

phori, cujus idem Hellanicus mentionem facit Atthidis libro secundo.

44.

Hyperbolus. Antiphon in or. contra Nicoclem. Demagogus erat quem testarum judicio ejectum esse Thucydides ait libro octavo (8, 73).

XII. RERUM CONTRA LEGES GESTARUM ACCUSATIO.

45.

Δεῦρο. Hoc adverbium quidam de tempore dici putant; oratores autem omnes utuntur de loco; ut Æschines in oratione contra Timarchum (p. 24 39 R.) : *Et effecturum se ut reus bono animo esse possit, quum ipse huc accesserit.* Et Antiphon in accusatione rerum contra leges factarum : *Qui prælio navali interfuerunt, huc accedere jubeantur, ut causam dicant de muneribus acceptis.* Dinarchus in oratione contra Leocharem : *De misero Didymo nunc apud vos dicam. Quare ad me huc ipsius filiolum voca.* Et Demosthenes : *Responde mihi huc accedens*, et sic alii.

XIII. CONTRA POLYEUCTUM.

46.

Ἀνάδεξαι, *sponde*. Antiphon in or. contra Polyeuctum, Dinolochus in Althæa.

XIV. CONTRA PRYTANEM.

modo genuina sit oratio.

47.

Ῥητορικὴ γραφή. Isæus in or. contra Euclidem. Videtur ῥητορικὴ γραφή dici actio, qua orator petitur qui contra leges vel scripsit aliquid vel dixit vel egit; sicuti actio πρυτανική vocatur, quæ est contra prytanem, et ἐπιστατική quæ est contra epistatam. Fortasse vero etiam propterea actiones quædam ῥητορικαί vocantur, quod ex diversis legibus actiones contra oratores introducuntur, ut Antiphon quoque in oratione contra prytanem, modo sit genuina, innuit.

XV. DE SAMOTHRACUM TRIBUTO.

48.

Samothrace insula e regione Thraciæ sita, cui Samios, qui incolis eam frequentarunt, nomen hoc imposuisse ferunt. Meminit Antiphon in oratione Samothracica his verbis : *Primi enim hanc insulam frequentarunt Samii, ex quibus nos* (sc. Samothraces loquuntur) *nati sumus. Eo vero migrarunt necessitate coacti, non insulæ cupiditate allecti. E Samo enim a tyrannis expulsi sunt et hac fortuna usi et præda ex Thracia capta in insulam illam adveniunt.* »

« νων ἐκ Σάμου καὶ τύχῃ ἐχρήσαντο ταύτῃ καὶ (καὶ « deest in AVE) λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης « ἀφικνοῦνται εἰς τὴν νῆσον. » Post vocem ταύτῃ lacunam notavit Sauppius opinans excidisse quædam de Samiorum in Thraciam adventu.

49.

Demetrius Περὶ ἑρμηνείας § 53 : Χρὴ δὲ καὶ τοὺς συνδέσμους μὴ μάλα ἀνταποδίδοσθαι ἀκριβῶς, οἷον τῷ μὲν συνδέσμῳ τὸν δὲ (μικροπρεπὲς γὰρ ἡ ἀκρίβεια), ἀλλὰ καὶ ἀτακτοτέρως πως χρῆσθαι, καθάπερ που ὁ Ἀντιφῶν λέγει· — « Ἡ [μὲν] γὰρ νῆσος, ἣν ἔχο« μεν, δήλη μὲν καὶ πόρρωθεν, [ὅτι] ἐστὶν ὑψηλὴ « καὶ τραχεῖα· καὶ τὰ μὲν χρήσιμα καὶ ἐργάσιμα « μικρὰ αὐτῆς ἐστι, τὰ δ' ἀργὰ πολλά, μικρᾶς αὐ« τῆς οὔσης. » Τρισὶ γὰρ τοῖς μὲν συνδέσμοις εἷς ὁ δὲ ἀνταποδίδοται. Inclusa addiderunt Capperonerius et Sauppius.

50.

Priscianus XVIII, § 280 : Ἀττικοί· προεσκέψαντο τούτων καὶ ταῦτα. Ἀντιφῶν Σαμοθρᾳκικῷ· — « ἀαίτοι οὐκ ἂν τῆς μὲν τῶν ἄλλων πολιτῶν τα« λαιπωρίας προὐσκέψαντο, τῆς δὲ σφετέρας αὐτῶν « σωτηρίας οὐκ ἐνεθυμήθησαν. » Pro Σαμοθρᾳκικῷ, quod est in cod. Paris. 7496 (v. Th. Pressel in *Revue de philologie*, I, p. 153), reliqui codd. habent Ὀλιγαρχικῷ, nisi quod in Monac. cod. legitur σιμοεοακικωι.

51.

Harpocratio : Ἐκλογεῖς οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου· — « Ἡρέθησαν « γὰρ ἐκλογεῖς παρ' ἡμῖν οἷς πλεῖστα ἐδόκει χρήματα « εἶναι. »

52.

Idem : Ἀεὶ ἀντὶ τοῦ ἕως παρ' Ἀντιφῶντι Σαμοθρᾳκικῷ.

53.

Idem : Ἀποδιδόμενοι Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου ἀντὶ τοῦ ἀποδιδόντες· ἑξῆς δέ φησιν « ἀποδιδόμεθα » ἤτοι ἀντὶ τοῦ ἀποδίδομεν ἢ ἀντὶ τοῦ πιπράσκομεν. Cf. Bekk. An. p. 427, 18.

54.

Idem : Ἀπόταξις τὸ χωρὶς τετάχθαι τοὺς πρότερον ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον· Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Σαμοθρᾳκῶν φόρου.

55.

Idem : Συντελεῖς οἱ συνδαπανῶντες καὶ συνεισφέροντες· τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται, ὡς ἔστιν εὑρεῖν ἐν τῷ Ἀντιφῶντος περὶ τοῦ Σαμοθρᾳκῶν φόρου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

XVI. ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΟΝ ΠΕΡΙ ΤΩΝ ΤΑΩΝ.

Plutarch. Vit. X oratt. p. 833, D : Ἐπαινεῖται δ' αὐτοῦ μάλιστα ὁ περὶ Ἡρώδου καὶ ὁ πρὸς Ἐρασίστρατον περὶ τῶν ταῶν καὶ ὁ περὶ τῆς εἰσαγγελίας, ὃν ὑπὲρ ἑαυτοῦ γέγραφε, καὶ ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων. Cf. supra p. 194.

56.

Athenæus IX, p. 397 C : Ἀντιφῶντι δὲ τῷ ῥήτορι λόγος μὲν γέγραπται ἔχων ἐπίγραμμα περὶ ταῶν καὶ ἐν αὐτῷ τῷ λόγῳ οὐδεμία μνεία τοῦ ὀνόματος γίνεται, ὄρνεις δὲ ποικίλους πολλάκις ἐν αὐτῷ ὀνομάζει, φάσκων τούτους τρέφειν Δῆμον τὸν Πυριλάμπους καὶ πολλοὺς παραγίνεσθαι κατὰ πόθον τῆς τῶν

49.

Oportet etiam particulas, verbi causa μὲν et δὲ non nimis diligenter opponi (servilis enim ejusmodi diligentia est), sed usurpari etiam liberius, sicut Antiphon alicubi dicit : « Insulam quidem, quam habitamus, apparet quidem vel ex longinquo altam et asperam esse et utilem quidem et agriculturæ aptam sui partem habere exiguam, majorem vero incultam; parva est. » In quibus tribus μὲν particulis una δὲ particula opponitur.

50.

Attici dicunt προεσκέψαντο τούτων et ταῦτα. Antiphon in or. Samothracica : « Haud sane ceterorum civium infortuniis prospexissent, suam vero ipsorum salutem neglexissent. »

51.

Ἐκλογεῖς, *coactores*. Qui colligebant et exigebant quæ publico ærario debebantur. Antiphon in oratione de Samothracum tributo : *Delecti a nobis (Samothracibus) coactores sunt, qui magnam vim pecuniæ possidere viderentur.* »

52.

Ἀεὶ pro ἕως, *usque*, apud Antiphontem in or. Samothracica.

53.

Ἀποδιδόμενοι Antiphon in or. de tributo Samothracum dicit pro ἀποδιδόντες, *reddentes*, *restituentes*. Deinceps idem dicit ἀποδιδόμεθα vel pro ἀποδίδομεν, *restituimus*, vel pro πιπράσκομεν, *vendimus*.

54.

Ἀπόταξις fit quando separantur qui antea non singuli sed juncti statutum tributum pendebant. Antiphon in or. de Samothracum tributo.

55.

Συντελεῖς, qui eodem impendia et tributa conferunt; res vero dicitur συντέλεια, *contributio*, ut reperies in Antiphontis oratione de tributo Samothracum.

XVI. CONTRA ERASISTRATUM DE PAVONIBUS.

56.

Antiphontis exstat oratio, titulum præferens *de pavonibus*; in ipsa vero oratione ne ulla quidem fit nominis mentio, sed sæpius *variegatas aves* nominat, quas alere ait Demum Pyrilampis filium, et convenire multos Lacedæmone et e Thessalia studio illas visendi, cupereque ovorum participes fieri. De forma autem earum loquens

ὀρνίθων θέας ἔκ τε Λακεδαίμονος καὶ Θετταλίας καὶ σπουδὴν ποιεῖσθαι τῶν ᾠῶν μεταλαβεῖν. Περὶ δὲ τῆς ἰδέας αὐτῶν λέγων γράφει· — « Εἴ τις ἐθέλοι καταβα-« λεῖν εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτό-« μενοι. Ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος « ἀφαιρήσεται· τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστίν, « ἀλλ' οὐ τὸ σῶμα. » Ὅτι δὲ καὶ περισπούδαστος ἦν αὐτῶν ἡ θέα, ἐν τῷ αὐτῷ λόγῳ πάλιν φησίν· — « Ἀλλὰ « τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰσῄει, τὰς δ' ἄλ-« λας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, « οὐκ ἔστιν ὅστις ἔτυχε· καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ « πρώην, ἀλλ' ἔτη πλέον ἢ τριάκοντά ἐστιν. »

57.

Ælianus N. An. V, 21 : Ἐτιμῶντο δὲ τὸν ἄρρενα καὶ τὸν θῆλυν δραχμῶν χιλίων (μυρίων *v. l.*), ὡς Ἀντιφῶν ἐν τῷ πρὸς Ἐρασίστρατον λόγῳ φησί. Cf. reliqua Æliani.

58.

Harpocratio : Εὐοφθάλμως ἀντὶ τοῦ εὐπρεπῶς. Ἀντιφῶν ἐν τῷ περὶ ταῶν (ταώνων h. l. codices.)

59.

Idem : Πυριλάμπης· Ἀντιφῶν ἐν τῷ περὶ τῶν ταῶν. Ὄνομα κύριον.

XVII. ΥΠΕΡ ΤΗΣ ΕΙΣ ΤΟΝ ΕΛΕΥΘΕΡΟΝ ΠΑΙΔΑ ΥΒΡΕΩΣ.

60.

Idem : Ἀξιοῖ ἀντὶ τοῦ νομίζει Ἀντιφῶν ὑπὲρ τῆς εἰς τὸν ἐλεύθερον παῖδα ὕβρεως. Cf. Bekk. Anecd. p. 412, 28.

XVIII. ΚΑΤΑ ΦΙΛΙΝΟΥ.

« Choragus, cui Antiphon orationem quæ est de cæde saltatoris scripsit, dicit se Aristionem et Philinum Ampelinum peculatus reos egisse (or. 6, § 12, 21, 35). Quidni etiam in hac causa Antiphontis eum opera usum esse putemus? Uti vero orationem quæ est περὶ τοῦ χορευτοῦ calamitosis reipublicæ temporibus habitam esse ostendunt ea, quæ de tribubus Cecropide et Erechtheide actor § 11 dicit, sic hanc quæ est contra Philinum post cladem Siculam habitam esse conjicio : in illis enim rerum angustiis videntur Athenienses thetes ad arma vocasse. » Sauppius.

61.

Harpocratio : Θῆτες καὶ θητικόν. Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου φησί· « τούς τε θῆτας ἅπαντας « ὁπλίτας ποιῆσαι. » Sequentia v. in Aristotelis Rep. Atheniens., fr. 10.

62.

Idem : Ἀκροᾶσθαι ἀντὶ τοῦ ὑπακούειν Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου. Cf. Suidas et Bekk. An. p. 366, 28.

63.

Idem : Ἀπολαχεῖν ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου, Λυσίας κατὰ Ποσειδίππου. Cf. Bekk. Anecd. p. 430, 9 et 13. Bachm. Anecd. I, p. 127, 9.

64.

Idem : Διάληξις. Διαλαγχάνειν τὸ κλήρῳ διαιρεῖσθαι, διάληξις δὲ τὸ πρᾶγμα. Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου.

XIX. ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ ΑΠΟΛΟΓΙΑ, εἰ γνήσιος.

65.

Idem : Δημοτευόμενος. Δημοτεύεσθαί ἐστι τὸ τοῦδέ τινος δήμου κοινωνεῖν καὶ χρηματίζειν

---

scribit : *Si quis voluerit in urbem illas aves transferre, abibunt avolantes; sin partem pennarum resecuerit, periit formæ pulchritudo. Nam in pennis inest earum pulchritudo, non in corpore.* Ingens autem fuisse hominum studium visendi illas aves, eadem in oratione iterum declarat his verbis : *Noviluniis quidem, quicunque videre eas cupit, admittitur; ceteris diebus si quis advenit visere cupiens, nemini licet. Et hæc non heri aut nuper ita esse cœperunt, sed jam anni sunt amplius triginta.*

57.

Æstimabant mille drachmis pavonem marem et feminam, ut Antiphon ait in oratione contra Erasistratum.

58.

Εὐοφθάλμως pro εὐπρεπῶς, *decore*, apud Antiphontem in oratione de pavonibus.

59.

Pyrilampes, nomen proprium, apud Antiphontem in oratione de pavonibus.

XVII. DE CONTUMELIA IN PUERUM INGENUUM.

60.

Ἀξιοῖ, *existimat.* Antiphon in oratione de contumelia in puerum ingenuum.

XVIII. CONTRA PHILINUM.

61.

Antiphon in oratione contra Philinum dicit : *Thetes omnes hoplitas facere.*

62.

Ἀκροᾶσθαι, *dicto audientem esse*, Antiphon in or. contra Philinum.

63.

Ἀπολαχεῖν pro simplici λαχεῖν, Antiphon in oratione contra Philinum, Lysias contra Posidippum.

64.

Διαλαγχάνειν, *sorte distribuere;* res dicitur διάληξις. Antiphon in or. contra Philinum.

ἀπ' αὐτοῦ· Ἀντιφῶν ἐν τῇ πρὸς Φίλιππον ἀπολογίᾳ, εἰ γνήσιος.

XX. ΚΑΤ' ΑΛΚΙΒΙΑΔΟΥ ΛΟΙΔΟΡΙΑΣ.

66.

Plutarchus Alcibiad. c. 3 : Ἐν δὲ ταῖς Ἀντιφῶντος λοιδορίαις γέγραπται, ὅτι παῖς ὢν ἐκ τῆς οἰκίας ἀπέδρα πρὸς Δημοκράτη τινὰ τῶν ἐραστῶν, βουλομένου δ' αὐτὸν ἀποκηρύττειν Ἀρίφρονος, Περικλῆς οὐκ εἴασεν εἰπών, εἰ μὲν τέθνηκεν, ἡμέρᾳ μιᾷ διὰ τὸ κήρυγμα φανεῖσθαι πρότερον, εἰ δὲ σῶς ἐστιν, ἄσωστον αὐτῷ τὸν λοιπὸν βίον ἔσεσθαι· καὶ ὅτι τῶν ἀκολουθούντων τινὰ κτείνειεν ἐν τῇ Σιβυρτίου παλαίστρᾳ ξύλῳ πατάξας. Ἀλλὰ τούτοις μὲν οὐκ ἄξιον ἴσως πιστεύειν, ἅ γε λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν εἶπεν.

67.

Athenæus XII, p. 525, B : Περὶ δὲ τῶν Ἀβυδηνῶν Ἀντιφῶν ἐν τῷ κατ' Ἀλκιβιάδου λοιδορίας γράφει οὕτως· — « Ἐπειδὴ ἐδοκιμάσθης ὑπὸ τῶν ἐπι-« τρόπων, παραλαβὼν παρ' αὐτῶν τὰ σαυτοῦ χρή-« ματα, ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέος « ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν οὔτε προξενίας οὐ-« δεμιᾶς ἕνεκεν, ἀλλὰ τῇ σαυτοῦ παρανομίᾳ καὶ ἀκο-« λασίᾳ τῆς γνώμης ὁμοίους ἔργων τρόπους μαθησό-« μενος παρὰ τῶν ἐν Ἀβύδῳ γυναικῶν, ὅπως ἐν « τῷ ἐπιλοίπῳ βίῳ σαυτοῦ ἔχοις χρῆσθαι αὐτοῖς.

Plutarchus quum laudet Ἀντιφῶντος λοιδορίας, Athenæus vero Antiphontem ἐν τῷ κατ' Ἀλκιβιάδου λοιδορίας citet, quæritur num de oratione in λοιδορίας vel κακηγορίας δίκη habita cogitandum sit, an de libello, quo partium studium mores Alcibiadis traduxerit. Sauppius de his ita habet : « Quæ Plutarchus addit λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν et ostendunt eum Antiphontis libellum accuratius novisse et illud efficiunt, ut non orationem contra Alcibiadem in judicio habitam (cf. Meier de litt. att. p. 484), sed famosum libellum fuisse putem diffamando adversariarum partium principi scriptum. Similis est Andocidis commentarius πρὸς τοὺς ἑταίρους. Athenæus facili errore de oratione cogitare poterat, nisi ταῖς... λοιδορίαις scribendum est. » Contra Meierus ll. p. 484, not. 25 Plutarchum in citando scripto Antiphonteo parum accuratum fuisse putat. Ac sane major Athenæi quam Plutarchi in titulis scriptorum laudandis fides est, iis præsertim locis ubi ipsissima verba auctorum ab Athenæo exscribuntur. Quod Plutarchus habet Ἀντιφῶντος λοιδορίαι, id genuinus certe libelli titulus esse omnino non potuit. Ceterum num causa sit revera in judicio acta an pro consilio auctoris conficta, in medio relinquo.

XXI. ΠΡΟΟΙΜΙΑ ΚΑΙ ΕΠΙΛΟΓΟΙ.

68.

Suidas : Αἴσθεσθαι καὶ αἰσθάνεσθαι διαφέρει· τὸ μὲν γὰρ αἴσθεσθαι ἐπὶ τοῦ ἀκριβῶς εἰδέναι τι, τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑπονοεῖν τι. Καὶ περὶ μὲν τοῦ αἴσθεσθαι Ἀντιφῶν ἐν Προοιμίοις· — « Ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδικημένος ὑπὸ τούτου « νὴ Δία πολλά, ἔτι δὲ καὶ πλείω ὑμᾶς ᾐσθημένος « ἠδικημένους καὶ τοὺς ἄλλους πολίτας. » Cf. Bekk. Anecd. p. 359, 6.

69.

Idem : Ἅμα· δοτικῇ. Δημοσθένης ἐπὶ τοῦ εὐθέως καὶ παραχρῆμα ἔταξε... Αἰσχίνης δὲ ἐπὶ τοῦ κατὰ τὸν αὐτὸν καιρόν... Καὶ παρὰ τῷ Ἀντιφῶντι δὲ τὸ ἅμα κεῖται ἐπὶ τοῦ αὐτοῦ· φησὶ γὰρ ἐν Προοιμίοις· — « ἀλλ' εἰ τό τε πρᾶγμά μοι κρεῖττον φαίνεται ἅμα « τε μαρτυρίας ἀρετῆς παρέξομαι... In his codices :

XIX. CONTRA PHILIPPUM DEFENSIO, modo genuina sit.

65.

Δημοτεύεσθαι, demi sive pagi alicujus participem esse ab eoque nuncupari. Antiphon in Defensione contra Philippum, si modo genuina hæc oratio est.

XX. CONTRA ALCIBIADEM DE INJURIIS.

66.

In criminationibus Antiphontis præterea scriptum est, Alcibiadem puerum domo aufugisse ad Democratem unum ex amatoribus : Ariphronemque, quum statuisset eum abdicare, inhibitum a Pericle, quod diceret, « Si mortuus est puer, uno die per istud præconium prius mors ejus innotescet; sin salvus est, omnis in posterum ei vita miserrima erit. » Idem ait quendam comitum ab Alcibiade in Sibyrtii palæstra ligno ictum et exanimatum esse. Sed homini palam præ se ferenti, odii causa convicia se Alcibiadi facere, fortasse non est credendum.

67.

De Abydenis Antiphon in oratione contra Alcibiadem injuriarum causa habita sic loquitur : « Posteaquam idoneum te judicarunt tutores tui, qui res tuas ipse administrares, acceptis ab illis bonis tuis, abiisti Abydum navigans ; non quo debitum ibi aliquod tuum exigeres aut hospitii publici causa quidpiam ordinares, sed ut ab Abydenis mulierculis instituta disceres protervo tuo ingenio libidinique tuæ consentanea, quibus deinde in reliqua vita pro tuis artereris. »

XXI. PROŒMIA ET EPILOGI.

68.

Αἴσθεσθαι et αἰσθάνεσθαι differunt. Illud enim significat *aliquid certo scire*, αἰσθάνεσθαι vero *suspicari aliquid*. Ac verbum αἴσθεσθαι declarat Antiphon in Prœmiis : *Hanc actionem institui, non solum ipse multis ab eo injuriis affectus, sed etiam qui scirem vos et ceteros cives longe pluribus injuriis affectos esse.*

69.

Ἅμα cum dativo Demosthenes pro *statim*, *confestim* posuit, Æschines pro *eodem tempore ;* eoque sensu vocem Antiphon quoque habet. Dicit enim in Prœmiis : *Verum*

εἰ τότε.. μαρτυρίᾳ.. πράξομαι. Ad quæ Bernhardyus « Τότε sive adverbii loco habeas sive τό τε cum Spengelio Συναγ. τεχν. p. 105 explices, sensum ægre perspexeris. Ego superiore membro tantisper seposito, non dubito quin extrema hunc in modum sint persananda : μαρτυρίαν [τῆς] ἀρετῆς παρέξομαι. » Μαρτυρίας dedit Sauppius, cui in v. ἀρετῆς adjectivum latere videtur.

70.

Photius (et Suidas) : Μοχθηρός· ἐπίπονος ἢ πονηρὸς ἢ κακός· καὶ μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. Οὕτω Δείναρχος. Ἀντιφῶν δὲ ὁ παλαιότατος τῶν ῥητόρων τῷ μὲν μοχθηρῷ ἐχρήσατο οὐχ ἐπὶ τοῦ κακοῦ ἀνδρὸς καὶ εἰσαγομένου εἰς δικαστήριον ἵνα κατηγορηθῇ, ἀλλ' ἐπὶ πατρὸς δίκην λαχόντος ὑπὲρ ἀπεσφαγμένου παιδὸς τὸν μοχθηρὸν ἔταξεν· καί φησιν οὕτως ἐν Προοιμίοις καὶ ἐπιλόγοις· — « Κἀγὼ μὲν ὁ « μοχθηρός, ὅντινα ἐχρῆν τεθνηκέναι, ζῶ τοῖς ἐχθροῖς « κατάγελως. »

XXII. ΡΗΤΟΡΙΚΑΙ ΤΕΧΝΑΙ.

71.

Longinus t. IX, p. 576, 22 Walzii : Ἀντιφῶν τε ἐν ταῖς Ῥητορικαῖς τέχναις· — « Τὸ μὲν τὰ παρόντα, « ἔφη, καὶ ὑπάρχοντα καὶ παρακείμενα αἰσθάνεσθαι « κατὰ φύσιν εἶναι ἡμῖν, παρὰ φύσιν δὲ τὸ φυλάτ- « τειν αὐτῶν ἐκποδὼν γενομένων ἐναργῆ τὸν πόθον. »

72.

Ammonius De diff. verb. p. 127 Valck. : Σημεῖον καὶ τεκμήριον διαφέρει. Ἀντιφῶν ἐν τῇ Τέχνῃ· « τὰ μὲν παρῳχημένα σημείοις πιστοῦσθαι (sic « Eranius, πιστεύεσθαι Amm.), τὰ δὲ μέλλοντα « τεκμηρίοις. » Cf. Eranius Philo p. 173 Valck.

73.

Bekker. Anecd. p. 78, 6 : Ἀστοργία, φιλοστοργία, στοργή. Ἀντιφῶν ἐν δευτέρῳ περὶ τῆς Ῥητορικῆς τέχνης.

74.

Idem p. 79, 1 : Ἀπαρασκεύαστον· Ἀντιφῶν τρίτῳ Ῥητορικῆς τέχνης. Pollux VI, 143 : Ἀπαρασκεύαστον δὲ ἐν ταῖς Ῥητορικαῖς τέχναις· δοκοῦσι δ' οὐ γνήσιαι.

75.

Bekker. Anecd., p. 110, 33 : Ὀλιγοφιλίαν· Ἀντιφῶν τρίτῳ. Pollux III, 63 : Πολυφιλίαν δὲ καὶ ὀλιγοφιλίαν Ἀντιφῶν.

76.

Galenus τῶν Ἱπποκρατ. γλωσσῶν ἐξηγ., t. V, p. 705 Bas. : Ὅτι δὲ καὶ αὐτὸς ἕκαστος [τῶν] περὶ λόγους ἐχόντων ἠξίου ποιεῖν ὀνόματα καινά, δηλοῖ μὲν καὶ Ἀντιφῶν ἱκανῶς, ὅς γε ὅπως αὐτὰ ποιητέον ἐκδιδάσκει, δηλοῖ δὲ καὶ αὐτὸς οὗτος ὁ Ἀριστοφάνης.

Artis rhetoricæ partem effecisse tetralogias quas servatas habemus, eosque communes locos esse, quos tractasse Antiphontem Cicero ex Aristotele refert, suspicatur Sauppius, præeunte Spengelio. Cf. Westermann. *Gesch. der gr. Bereds.*, § 40, n. 12; § 68, n. 13.

XXIII. ΠΟΛΙΤΙΚΟΣ.

Ὁ πολιτικὸς λόγος et qui sequuntur ὁ περὶ ὁμονοίας et οἱ ἀληθείας λόγοι apud lexicographos ita citantur, ut ad eundem Rhamnusium oratorem, cujus præcedentia fragmenta sunt, pertinere videantur. Accedit huc quod librum περὶ ὁμονοίας ad Antiphontem Sosili filium expresse refert Philostratus De soph., 1, 15. At vix est dubium quin veriora prodiderit Hermogenes Περὶ ἰδεῶν II, 11, p. 387, ed. Walz. : Περὶ δὲ Ἀντιφῶντος λέγοντας ἀνάγκη προειπεῖν ὅτι, καθάπερ ἄλλοι τέ φασιν οὐχ

---

si res dubitatione superior esse mihi videtur et simul testimonia virtutis exhibebo....

70.

Μοχθηρός, *ærumnosus* vel *miser* vel *improbus*; et μοχθηρία ponitur de improbitate. Sic Dinarchus. Antiphon autem, oratorum antiquissimus, voce μοχθηρός non est usus de malo quique criminis causa in jus vocatur, sed patrem sic appellat, qui propter filium cæsum actionem in judicio instituit; ac sic in Prooemiis et Epilogis dicit : *Et ego miser, quem mortuum esse oportebat, vivo, inimicis meis ludibrium.*

XII. ARTES RHETORICÆ.

71.

Antiphon in Artibus rhetoricis ita habet : « Quæ adsunt præsentia et ob oculos posita, hæc nos sentire secundum naturam est, at contra naturam est nos eorundem, postquam e conspectu sublata sunt, vividum servare desiderium. »

72.

Σημεῖον et τεκμήριον differunt. Antiphon in Arte rhetorica ait præterita σημείοις, futura τεκμηρίοις credi.

73.

Ἀστοργία, *vacuitas ab amore*, φιλοστοργία, *amor vehemens*, στοργή, *amor*. Antiphon libro secundo Artis rhetoricæ.

74.

Ἀπαρασκεύαστον, *imparatum*. Antiphon libro tertio Artis (quæ tamen non videtur esse genuina).

75.

Ὀλιγοφιλίαν et πολυφιλίαν, *amicorum paucitatem et multitudinem*. Antiphon libro tertio.

76.

Unumquemque in orationibus versantem nova facere verba studere, satis declarat Antiphon, qui quidem etiam quomodo facienda sint edocet; declarat vero etiam Aristophanes noster.

Ἀλέγοι καὶ Δίδυμος ὁ γραμματικός, πρὸς δὲ καὶ ἀπὸ τῆς ἱστορίας φαίνεται, πλείους μὲν γεγόνασιν Ἀντιφῶντες, δύο δὲ οἱ σοφιστεύσαντες, ὧν καὶ λόγον ἀνάγκη ποιήσασθαι, ὧν εἷς μέν ἐστιν ὁ ῥήτωρ, οὗπερ οἱ φονικοὶ φέρονται λόγοι καὶ [οἱ] δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι· ἕτερος δὲ ὁ καὶ τερατοσκόπος καὶ ὀνειροκρίτης λεγόμενος γενέσθαι, οὗπερ οἵ τε Περὶ τῆς ἀληθείας λέγονται λόγοι καὶ ὁ Περὶ ὁμονοίας καὶ (οἱ δημηγορικοὶ) καὶ ὁ Πολιτικός. In quibus quum οἱ articulus ante v. δημηγορικοὶ omissus esset, ad marginem aliquis notavit οἱ δημηγ., quæ deinde in ordinem verborum loco inepto inserta sunt. Simplicissima hæc est Sauppii sententia, qui pluribus docet quam sint improbabilia quæ de eodem hoc loco in medium protulerint Taylorus et Spengelius. — Allatis verbis Hermogenes subjungit hæc : Ἐγὼ δὲ ἕνεκα τοῦ διαφόρου τῶν ἐν τοῖς λόγοις τούτοις ἰδεῶν, πείθομαι δύο τοὺς Ἀντιφῶντας γενέσθαι· πολὺ γὰρ ὡς ὄντως τὸ παραλάττον τῶν ἐπιγραφομένων τῆς ἀληθείας λόγων πρὸς τοὺς λοιπούς· ἕνεκα δὲ τοῦ καὶ παρὰ Πλάτωνι καὶ παρ' ἄλλοις ἱστορουμένου, πάλιν οὐ πείθομαι. Θουκυδίδην γὰρ Ἀντιφῶντος εἶναι τοῦ Ῥαμνουσίου μαθητὴν ἀκούω πόλλων λεγόντων, καὶ τὸν μὲν Ῥαμνούσιον εἰδὼς ἐκεῖνον, οὗπερ εἰσὶν οἱ φονικοί, τὸν Θουκυδίδην δὲ πολλῷ κεχωρισμένον, καὶ κεκοινωνηκότα τῷ εἴδει τῶν τῆς ἀληθείας λόγων, πάλιν οὐ πείθομαι. Οὐ μὴν ἀλλ', εἴτε εἷς ὁ Ἀντιφῶν ἐγένετο, δύο λόγων εἴδεσι τοσοῦτον ἀλλήλων διεστηκότων χρησάμενος, εἴτε καὶ δύο, χωρὶς ἑκάτερος, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο μετελθών, ἀνάγκη χωρὶς περὶ ἑκατέρων διελθεῖν. Quibus utpote pondere destitutis nihil immoror. Vide P. van Spaan De Antiphonte p. 7, ed. Dobson. De Antiphonte sophista et somniorum interprete cf. Xenophon Memorab. I, 6 et Aristoteles ap. Diogen. Laert., II, 46. Quod scripta ejus attinet, τὸν Πολιτικὸν et τοὺς Περὶ ἀληθείας λόγους β' apte Sauppius ea comparare videtur cum Protagoræ libris qui inscribuntur : Περὶ πολιτείας, Περὶ τῆς ἐν ἀρχῇ καταστάσεως, Ἀλήθεια ἢ περὶ τοῦ ὄντος.

77.

Athenæus X, p. 423, A : « Καταριστᾷν δὲ εἴρηκεν ἐν τῷ Πολιτικῷ Ἀντιφῶν οὕτως· — « ὅτ' ἄν τι « (ὅτι τὰ? S.) πράγματα τὰ ἑαυτοῦ ἢ (καὶ?) τὰ τῶν « φίλων κατηρίστηκεν. »

78.

Priscianus XVIII, § 230 : *Illi* (h. e. Græci), καταμελεῖν τούτων καὶ ταῦτα. *Antiphon* ἐν τῷ Πολιτικῷ· — « Μήτε φιλοπότην κληθῆναι καὶ δοκεῖν « τὰ πράγματα καταμελεῖν ὑπὸ οἴνου ἡσσώμενον. »

79.

Bekker. Anecd. p. 78, 20 : Ἀπειθαρχία· Ἀντιφῶν Πολιτικῷ.

80.

Harpocratio : Εὐσύμβολος ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλλων, τουτέστιν ἀγαθὸς συμβάλλειν, Ἀντιφῶν Πολιτικῷ. Cf. Etym. M. et p. 398, 27. Suidas.

81.

Idem : Ἡμιολιασμός. Ἀντιφῶν Πολιτικῷ· « διπλασιασμοῦ καὶ ἡμιολασμοῦ » ἀντὶ τοῦ τὸ ἡμιόλιον δοῦναι ἐν τοῖς λογισμοῖς. Cf. Suidas et Photius. Pollux IV, § 164 : Διπλασιασμοῦ δὲ Ἀντιφῶν εἶπεν.

XXIV. ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ.

Meminit libri Philostratus Vit. sophist. I, 15, 6, p. 204 ed. Didot., ubi de Antiphonte Rhamnusio agens : Λόγοι δ' αὐτοῦ, inquit, δικανικοὶ μὲν πλείους, ἐν οἷς ἡ δεινότης καὶ πᾶν τὸ ἐκ τέχνης ἔγκειται, σοφιστικοὶ δὲ καὶ ἕτεροι μέν, σοφιστικώτερος δὲ ὁ ὑπὲρ τῆς ὁμονοίας, ἐν ᾧ γνωμολογίαι τε λαμπραὶ καὶ φιλόσοφοι σεμνή τε ἀπαγγελία καὶ ἐπηνθισμένη ποιητικοῖς ὀνόμασι καὶ τὰ ἀποτάδην ἑρμηνευόμενα παραπλήσια τῶν πεδίων τοῖς λείοις.

82.

Harpocratio : Ἀναθέσθαι. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας (προνοίας v. l.)· — « Ἀναθέσθαι δὲ « ὥσπερ πεττὸν τὸν βίον οὐκ ἔστιν, » ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐπὶ τῷ προτέρῳ βίῳ. Εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν πεττευομένων.

XXIII. POLITICUS.

77—81.

Καταριστᾷν, prandendo absumere. In Politico Antiphon dixit ita : *Res suas et amicorum prandendo absumpsit.*

Antiphon in Politico : *neque potatorem vocari et videri res suas negligere vino subactum.*

Ἀπειθαρχία, *inobedientia*. Antiphon in Politico.

Εὐσύμβολος, facile recteque conjiciens, id est, peritus conjector, apud Antiphontem in Politico.

Ἡμιολιασμός, *sescuplicatio*, *sescuplum dare* in computationibus. Antiphon in Politico : *duplicationis et sescuplicationis.*

XXIV. DE CONCORDIA.

Orationes Antiphontis judiciales complures sunt, quibus vis inest et quidquid arte gignitur ; sophisticæ autem quum aliæ sunt tum ceteris in hoc genere præstans quæ agit de concordia, in qua sunt sententiæ insignes et philosophæ gravisque elocutio et poeticis vocabulis distincta, et quæ copiosius exponuntur ad instar planitiei lævigata.

82.

Antiphon in libro de concordia : *Vitam revocare et corrigere tanquam calculum non licet*, id est, præteritæ vitæ ratione damnata, de integro vitam instituere. Dicitur per translationem sumptam ab iis qui calculis ludunt.

83.

Harpocratio : Διάθεσις. ... καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας· — « ἀλλὰ εἰδότες « τὴν διάθεσιν ἀκούουσιν. » Cf. frg. 17.

84.

Photius Lex. : Θεαιδέστατον· θεοῦ ἰδέαν ἔχον. Εἶπε δὲ Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας οὕτως· « Ἄνθρω« πος, ὅς φησι [μὲν add. Suidas] πάντων θηρίων « θεαιδέστατον γενέσθαι. » Cf. Suidas; Etym. M., p. 444, 14; Eustath. ad Hom. Il. 3, 36, in quibus est : Θεαιδέστατος.... ἔχων.

85.

Suidas : Θωπεία· κολακεία, ἡ περισσὴ πρός τινας κολακεία, καὶ τὸ μὴ ἐλευθέρως προσφέρεσθαι τοῖς ὑπερέχουσιν. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας· — « Πολλοὶ δ' ἔχοντες φίλους οὐ γιγνώσκουσιν· ἀλλ ἑταί« ρους ποιοῦνται θῶπας, πλούτου καὶ τύχης κό« λακας. »

86.

Idem : Ἵνα. ὅπου. Ἀντιφῶν ἐν τῷ περὶ τῆς ὁμονοίας· — « Ὀκνεῖν, ἵνα οὐδὲν ἔργον ὀκνεῖν. » Cf. Photius.

87.

Harpocratio : Ἀθεώρητος ἀντὶ τοῦ ἀθέατος παρ' Ἀντιφῶντι ἐν τῷ περὶ ὁμονοίας.

88.

Idem : Ἀνδρεία, ἡ τῶν ἀνδρῶν ἡλικία· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας.

89.

Idem : Αὐλιζόμενοι ἀντὶ τοῦ κοιμώμενοι Ἀντιφῶν περὶ ὁμονοίας. Cf. Bekk. Anecd., p. 463, 24.

90.

Idem : Βαλβῖσιν ἀντὶ τοῦ ταῖς ἀρχαῖς· Ἀντιφῶν περὶ ὁμονοίας. Εἴρηται δὲ ἀπὸ τῶν δρομέων· ἡ γὰρ ὑπὸ τὴν ὕσπληγγα γινομένη γραμμὴ διὰ τὸ ἐπὶ ταύτης βεβηκέναι τοὺς δρομέας βαλβὶς καλεῖται. Cf. Suidas, Etym. M.

91.

Idem : Εὐηνιώτατα· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. Εὐήνιος ὁ πρᾶος καὶ μέτριος καὶ μὴ ταραχώδης· ἡ μεταφορὰ ἀπὸ τῶν ἵππων. Ἔστι τοὔνομα καὶ παρὰ Πλάτωνι ἐν θ' τῶν Νόμων.

92.

Idem : Μακροκέφαλοι· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. Ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' Γυναικῶν καταλόγῳ. Παλαίφατος δ' ἐν ζ' Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους. Cf. Suidas, Photius, Fr. Histor., II, p. 339, 2.

93.

Idem : Σκιάποδες· Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας· ἔθνος Λιβυκόν. Κτησίας ἐν περίπλῳ Ἀσίας φησίν· « Ὑπὲρ δὲ τούτων Σκιάποδες ὄνομα τούς τε πόδας ὥσπερ οἱ χῆνες ἔχουσι κάρτα πλατέας, καὶ ὅταν θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες, ἄραντες τὰ σκέλη σκιάζονται τοῖς ποσίν. » Cf. Suidas, Photius, schol. Aristophan. Av. 1552.

94.

Idem : Ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας

83.

Antiphon de concordia : *Sed scientes administrationem audiunt.*

84.

Θεαιδέστατον, dei formam habens. Antiphon de concordia : *Homo qui se dicit omnium animalium deo simillimum esse.*

85.

Θωπεία, *adulatio*, *assentatio nimia*, *servilis cultus*, quo potentiores prosequimur. Antiphon de concordia : *Multi se amicos habere nesciunt, sed in familiarium numerum adsciscunt assentatores divitiarum et fortunæ adulatores.*

86.

Ἵνα, *ubi*. Antiphon de concordia : *Tergiversari ubi tergiversari non oportet.*

87.

Ἀθεώρητος, *quod spectari nequit*. Antiphon de concordia.

88.

Ἀνδρεία, *ætas virilis*. Antiphon de concordia.

89.

Αὐλιζόμενοι, *dormientes*. Antiphon de concordia.

90.

Βαλβῖσιν, *in principio*. Antiphon de concordia. Translatio a cursoribus petita; nam quæ repagulo subest linea, quod cursores ad eam subsistunt, βαλβίς vocatur.

91.

Εὐηνιώτατα, *mitissime*. Antiphon de concordia. Εὐήνιος est mitis, moderatus, non turbulentus. Translatio ab equis ducta. Exstat verbum etiam apud Platonem Legum libro nono (p. 880, A).

92.

Macrocephali. Antiphon de concordia. Gens sic dicitur, cujus Hesiodus (fr. 42) quoque meminit libro tertio Mulierum recensus. Palæphatus autem Troicorum libro septimo Macrocephalos in Libya (*Libystina?*) supra Colchos habitare prodit.

93.

Sciapodes. Antiphon de concordia. Gens est Libyca; Ctesias vero in Asiæ periplo (fr. 89) dicit : « Supra hos sunt Sciapodes dicti, qui pedes anserum instar valde latos habent, et, quum æstus est, supini jacentes crura tollunt et pedibus sibi umbram faciunt.

94.

Sub terra habitantes apud Antiphontem in libro de

καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ' Καταλόγου Κατουδαίους ὀνομαζομένους. Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. Cf. Suidas, Photius. Antiphontis mentio ponenda erat ante v. λέγοι ἄν.

95.

Idem : Φηλώματα, Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας ἐξαπάτας· φηλοῦν γὰρ τὸ ἐξαπατᾷν. Cf. Schol. Aristoph. Pac. 1165 et Suidas.

XXV. ΑΛΗΘΕΙΑΣ ΛΟΓΟΙ Β.

96.

Suidas : Ἀδέητος· ὁ μηδενὸς δεόμενος καὶ πάντα ἔχων. Ἀντιφῶν ἐν α' Ἀληθείας· — « διὰ τοῦτο οὐ-« δενὸς δεῖται, οὐδὲ προσδέχεται οὐδενός τι, ἀλλ' « ἄπειρος καὶ ἀδέητος. » Harpocratio : Ἀδέητος ἀντὶ τοῦ ἀνενδεὴς παρ' Ἀντιφῶντι Ἀληθείας α'. Cf. Photius, Bekk. Anecd., p. 341, 3. « Pro ἄπειρος forte emendandum εὔπορος, quamquam vulgata lectio etiam explicari possit. Hæc autem quin Antiphon de deo dixerit, nihil est quod dubitemus. » RUHNKENIUS ap. van Spaan De Antiphonte, p. 20. « Fortasse ἄπηρος h. e. ἀπήρωτος, ἀβλαβής. » SAUPPIUS.

97.

Galenus in Hippocrat. libro De medici officina, t. XVIII, p. 656 Kühn. : Μέμνημαι (μέμνηται vgo) δὲ καὶ περὶ τοῦ τῆς γνώμης ὀνόματος εἰπὼν ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσῳ εἴτε (ἐστὶ vgo) τῷ διανοίας εἴτε καὶ ἐννοήσεως ἐλέγετο· ... ὥσπερ καὶ ὁ Ἀντιφῶν ἐν τῷ πρώτῳ τῆς Ἀληθείας λόγῳ· « Ταῦτα δὲ γνοὺς εἰς ἕν « τε οὐδὲν αὐτῷ οὔτε ἣν ὄψει ὁρᾷ [ὁ ὁρῶν] μακρότητα « οὔτε ἣν γνώμῃ γιγνώσκει ὁ μακρότητα γιγνώσκων. » Καί· « Πᾶσι γὰρ ἀνθρώποις ἡ γνώμη τοῦ σώματος « ἡγεῖται καὶ εἰς ὑγείαν καὶ νόσον καὶ εἰς τὰ ἄλλα « πάντα. » Post v. Ἀληθείας vulgo legitur ἐν τῷ λόγῳ; ejeci v. ἐν τῷ, quæ ex antecc. repetita sint, nisi fort. malis : Ἀντιφῶν Ἀλ. ἐν τῷ α' λόγῳ. Pro οὔτε ἣν... οὔτε ἣν editiones habent οὐτέων... οὐτέην; emend. Sauppius. Idem verba ὁ ὁρῶν supplevit. Pro ταῦτα δὲ editio Bas. habet τοῦ τάδε. Cetera Sauppius putat sententiam Democriteæ similem de sensuum et cognitionis natura fallaci continuisse videri. Legendum censeo : Ταῦτα δὲ γνοίη τις ἂν ὅτι οὐδὲν ἐτεὸν οὔτε etc.

98.

Harpocratio : Καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ τοῦ διοικῆσαι· Ἀντιφῶν Ἀληθείας α'· « Γυ-« μνωθεῖσα δὲ ἀφορμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς « διαθεῖτο. » Cf. frg. 18.

99.

Idem : Ἔμβιος. Ἀντιφῶν Ἀληθείας α'· — « Καὶ « ἡ σηπεδὼν τοῦ ξύλου ἔμβιος γένοιτο, » ἀντὶ τοῦ ἐν τῷ ζῆν, τουτέστι ζήσειε καὶ μὴ ξηρανθείη μηδ' ἀποθάνοι. Cf. Suidas.

Aristoteles Φυσ. ἀκροαμ., t. II, p. 193 a, 9 Bekk., t. II, p. 261 ed. Didot : Δοκεῖ δ' ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις εἶναι τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ ἀρρύθμιστον καθ' ἑαυτό, οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. Σημεῖον δέ φησιν Ἀντιφῶν ὅτι εἴ τις κατορύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστε ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην ἀλλὰ ξύλον, ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην, τὴν δ' οὐσίαν οὖσαν ἐκείνην ἣ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς. Εἰ δὲ καὶ τούτων ἕκαστον πρός ἕτερόν τι ταὐτὸ τοῦτο πέπονθεν, οἷον ὁ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁτιοῦν, ἐκεῖνα τὴν φύσιν εἶναι καὶ τὴν

---

concordia videntur appellari quos Scylax in Periplo Troglodytas vocat, Hesiodus autem in tertio libro Catalogi Catudæos.

95.

Φηλώματα, ap. Antiphontem in libro de concordia, *fallacias*; nam φηλοῦν est *fallere*.

XXV. DE VERITATE LIBRI DUO.

96.

Ἀδέητος, *nullius rei indigens, omnia possidens*. Antiphon de veritate libro primo : *Propterea nulla re indiget neque a quoquam quidquam accipit, sed talium expers eorumque non indigus.*

97.

Memini me dixisse γνώμην vocem eodem sensu apud veteres usurpari quo dicitur vel διάνοια vel ἐννόησις. Sic Antiphon in primo Veritatis libro dicit : *Hinc cognoverit aliquis nihil revera esse neque quam oculis cernens cernit longitudinem neque quam mente cogitans longitudinem cogitat.* Idem : *Omnibus enim hominibus mens dux est corporis ad sanitatem morbumque et ad reliqua omnia.*

28.

Διαθέσθαι, *administrare*. Antiphon libro primo de veritate : *Privata rei gerendæ opportunitate, multa bona male administraret.*

99.

Ἔμβιος, *vivax*. Antiphon primo Veritatis : *Et humor ligni* ἔμβιος γένοιτο, i. e. *vixerit, vivax fuerit*, non arefiat, non emoriatur.

Quibusdam videtur natura et essentia eorum quæ natura constant, esse id quod primum cuique rei inest, informe per se, ut lecticæ natura est lignum, statuæ vero æs. Cujus rei signum esse inquit Antiphon, quod, si quis defoderit lecticam, et putredo vim acceperit, adeo ut germinet, certe non fit lectica, sed lignum : quasi illud ex accidenti insit, nempe dispositio secundum formam et artem; essentia vero ea sit quæ etiam permaneat, ab his continenter affecta. Quodsi etiam horum unumquodque ad aliud quiddam eodem modo est affectum (velut æs et aurum ad aquam, ossa autem et ligna ad terram, similiterque aliud quodvis), ea inquit esse ipsorum naturam et essentiam.

οὐσίαν αὐτῶν. « Cf. Simplicius 4 p. 346 b 32; 347 a 43. Johannes Italus apud Th. Waitzium præf. ad Aristot. Org. 1, p. 15. Fortasse ex libris de veritate etiam ea petita sunt, quæ Antiphontem de quadratura circuli docuisse Aristoteles tradidit Sophist. elench. c. 11, p. 172 a 3, et Φυσ. ἀκρ. 1 p. 185 a 17. Cf. Simplicius 4 p. 307 a 15. 327 a 30. Schol. Ambros. ad Analyt. priora, p. 75 b 40 apud Waitzium l. d. p. 50. » SAUPPIUS.

100.

Harpocratio : Ἀναποδιζόμενα ἀντὶ τοῦ ἐξεταζόμενα ἢ ἀντὶ τοῦ ἄνωθεν τὰ αὐτὰ πολλάκις λεγόμενα ἢ πραττόμενα Ἀντιφῶν Ἀληθείας α'. Pollux II, 196 : Καὶ ἀναποδιζόμενα δὲ Ἀντιφῶν τὰ πάλιν ἐξεταζόμενα.

101.

Bekker. Anecd. p. 403, 5 : Ἀνήκει παρ' Ἀντιφῶντι Ἀληθείας α' ἀντὶ ἁπλοῦ τοῦ ἥκει, ἢ οἷον ἀνεβιβάσθη καὶ προελήλυθεν. Harpocratio : Ἀνήκει Ἀντιφῶν μὲν ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη. Eadem Suidas.

102.

Harpocratio : Ἄοπτα ἀντὶ τοῦ ἀόρατα καὶ οὐχ ὀφθέντα ἀλλὰ δόξαντα ὁρᾶσθαι Ἀντιφῶν Ἀληθείας α'. Eadem Bekker Anecd., p. 414, 6. Cf. Pollux II, § 58.

103.

Idem : Ἀπαθῆ ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγονότα πάθη Ἀντιφῶν Ἀληθείας α'· Eadem Suidas.

104.

Bekker. Anecd. p. 472, 14 : Ἀφροδίτης ἀντὶ τοῦ Ἀφροδισίων· οὕτως Ἀντιφῶν ἐν Ἀληθείας πρώτῳ.

105.

Harpocratio : Δεήσεις ἀντὶ τοῦ ἐνδείας Ἀντιφῶν Ἀληθείας α'.

106.

Idem : Ἐπαλλάξεις ἀντὶ τοῦ συναλλαγὰς ἢ μίξεις Ἀντιφῶν Ἀληθείας α'.

107.

Idem : Ὀριγνηθῆναι ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀντιφῶν Ἀληθείας α'.

108.

Galenus in Hippocrat. Epidem. l. III, t. XVII, 1, p. 681 Kühn. : Οὕτω δὲ καὶ παρ' Ἀντιφῶντι κατὰ τὸ δεύτερον τῆς Ἀληθείας ἔστιν εὑρεῖν γεγραμμένην τὴν προσηγορίαν ἐν τῇδε τῇ ῥήσει· — « ὅταν « οὖν γένωνται ἐν τῷ ἀέρι ὄμβροι τε καὶ πνεύματα « ὑπεναντία ἀλλήλοις, τότε συστρέφεται τὸ ὕδωρ « καὶ πυκνοῦται κατὰ πολλά. Ὅ τι δ' ἂν τῶν ξυμπι- « πτόντων κρατηθῇ, τοῦτ' ἐπυκνώθη καὶ συνεστρά- « φη ὑπό τε τοῦ πνεύματος εἰλούμενον καὶ ὑπὸ τῆς « βίας. » Καὶ γὰρ καὶ οὗτος τὸ κατακλειόμενον ἢ συνειλούμενον εἰς ἑαυτὸ φαίνεται δηλῶν διὰ τῆς εἰλουμένον φωνῆς.

109.

Harpocratio : Γρυπάνιον. Ἀντιφῶν Ἀληθείας β'. « Καῖον γὰρ τὴν γῆν καὶ συντῆκον γρυπάνιον « ποιεῖ. » Καὶ Μελάνθιος ἐν β' Ἀτθίδος εἰπὼν σεισμὸν γεγονέναι φησὶ « καὶ ἔγρυπεν ἡ γῆ. » Διονύσιος μὲν οὖν ὁ τοῦ Τρύφωνος ἐν δ' Ὀνομάτων « γρυπαίνειν ἐστί, » φησι, « τὸ γρυποῦσθαι, οἷον τὰ ἁπαλὰ ξυλήφια ὅταν κάμψαντες ἀφῶμεν. » Μήποτε δ' ἐμφαίνουσιν οἱ συγγραφεῖς ὡς γινομένης κατὰ τοὺς σεισμοὺς γρυπότητός τινος περὶ τὴν γῆν. Eadem Suidas. Cf. Etym. M. p. 242, 7 : Γρυπανίζειν· σείεσθαι τὴν

100.

Ἀναποδιζόμενα, quæ diligenter exiguntur vel quæ denuo sæpius ab ipsis principiis dicuntur vel aguntur. Antiphon Veritatis libro primo.

101.

Ἀνήκει apud Antiphontem in primo Veritatis libro pro simplici ἥκει, *venit*, *processit*. — Ἀνήκει apud Ant. pro καθήκει, *pertinet*, Amipsias vero ἀνήκω dicit pro *progressus sum*, *processi*.

102.

Ἄοπτα, quæ videri nequeunt, quæque etsi visa non sunt, visa tamen esse putantur. Antiphon Veritatis libro primo.

103.

Ἀπαθῆ, affectus qui revera tales non sunt. Antiphon Veritatis libro primo.

104.

Veneris pro *rerum venerearum* apud Antiph. Veritatis libro primo.

105.

Δεήσεις, *indigentias*; Antiphon Veritatis primo.

106.

Ἐπαλλάξεις, *permutationes* vel *missiones*. Antiphon Veritatis primo.

107.

Ὀριγνηθῆναι, *desiderare*. Antiphon Veritatis primo.

108.

Sic apud Antiphontem quoque Veritatis libro secundo εἰλούμενον vocem legere est in hac phrasi : « Quum igitur in in aere pluvia et flatus sibi contrarii sunt, tunc aqua conglomeratur et densatur ut plurimum. Quod vero congredientium superatum fuerit, id condensatum et conglomeratum est flatu et vi convolutum. » Nam hic quoque scriptor voce εἰλούμενον aperte indicat id quod est *inclusum* et *in se ipsum convolutum*.

109.

Γρυπάνιον, *flexam*, *incurvam*. Antiphon Veritatis libro secundo : *Nam terram incendens et liquefaciens flexam facit*. Et Melanthius Atthidis libro secundo terræ motum accidisse dicens ait : *et incurvata est terra*. Dionysius Tryphonis filius De nominibus libro quarto : « γρυπαίνειν, inquit, idem est quod γρυποῦσθαι, quod dicitur de teneris

γῆν παλλομένην καὶ ὥσπερ ῥυσοῦσθαι ἀπὸ σεισμοῦ. Οὕτως Ἀντιφῶν.

110.

Suidas v. διάθεσις: Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης ἢ διανοίας. Ὁ αὐτὸς καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τουτέστιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι ἐν τῷ δευτέρῳ (ις′ in Ulp.) τῆς Ἀληθείας. Ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως. Eadem Ulpian. ad Demosth. Orat. Olynth. 2, p. 28 ed. Dobson.

111.

Harpocratio: Διάστασις. Ἀντιφῶν Ἀληθείας β′· — « περὶ τῆς νῦν κρατούσης διαστάσεως, » ἀντὶ τοῦ διακοσμήσεως τῶν ὅλων. Cf. Suidas.

112.

Idem : Δίνῳ ἀντὶ τοῦ δινήσει Ἀντιφῶν Ἀληθείας β′. Vulgo δείνῳ ... δεινήσει; em. Dindorf. in St.

113.

Idem : Φορίνης. Ἀντιφῶν Ἀληθείας β′· ὅτι καὶ ἐπ᾽ ἀνθρωπείου δέρματος ἐλέγετο ἡ φορίνη, καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ. Cf. Etym. M. p. 798, 34 et Suidas.

114.

Suidas : Ἀειεστώ: Ἀντιφῶν ἀϊδιότητα καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἱστάναι· ὥσπερ καὶ εὐεστὼ ἡ εὐδαιμονία καλεῖται. (Ἡ λέξις παρὰ τῷ Διογενιανῷ. Ἐν Ἀληθείας δευτέρῳ. Hæc non habet Harpocratio.) Idem s. v. αἰειεστώ : Ἡ λέξις Διογενιανοῦ ἐν Ἀληθείας δευτέρῳ τοῦ Ἀντιφῶντος.

115.

Origenes Adv. Celsum l. 4. vol. I, p. 518, D. Delarue : Ἀντιφῶν, ἄλλος ῥήτωρ νομιζόμενος εἶναι, καὶ τὴν πρόνοιαν ἀναιρῶν ἐν τοῖς ἐπιγεγραμμένοις περὶ Ἀληθείας παραπλησίως τῇ Κέλσου ἐπιγραφῇ.

116.

Harpocratio : Ἄγειν· ... Ἀντιφῶν δ᾽ ἐν τῷ περὶ Ἀληθείας φησί· — « τοὺς νόμους μεγάλους ἄγοι, » ἀντὶ τοῦ ἡγοῖτο. Eadem Bekk. Anecd. p. 330, 2 et Suidas. Cf. Isæi frg. ὑπὲρ Εὐμάθους.

117.

Hesychius : Ἄβιος· πλούσιος, ὡς Ἀντιφῶν ἐν Ἀληθείᾳ. Harpocratio v. Ἄβιος· Τὸν ἄβιον Ἀντιφῶν ἐπὶ τοῦ πολὺν βίον κεκτημένου ἔταξεν, ὡς Ὅμηρος ἄξυλον ὕλην λέγει τὴν πολύξυλον. Cf. Pollux VI, 166.

118.

Pollux VI, 143 : Ἀπαρασκεύῳ ἐν τοῖς περὶ Ἀληθείας Ἀντιφῶν (sic unus cod.; cett. Ξενοφῶν) εἴπεν, ἀπαρασκεύαστον δὲ ἐν ταῖς ῥητορικαῖς τέχναις· δοκοῦσι δ᾽ οὐ γνήσιαι.

119.

Plutarch. Mor. p. 891, D : Ἀντιφῶν ἰδίῳ φέγγει λάμπειν τὴν σελήνην· τὸ δὲ ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προσβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου πυρὸς τὸ ἀσθενέστερον ἀμαυροῦν· ὃ δὴ συμβαίνειν καὶ περὶ τὰ ἄλλα ἄστρα. Eadem Galenus hist. phil., vol. XIX, p. 281 Kühn.

120.

Idem ib. p. 897, A : Ἀντιφῶν (sc. τὴν θάλασσάν φησιν εἶναι) ἱδρῶτα θερμοῦ, ἐξ οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη, τῷ καθεψηθῆναι παραλυχίσαντα, ὅπερ ἐπὶ παντὸς ἱδρῶτος συμβαίνειν. Eadem Galenus hist. phil., vol. XIX. p. 299 Kühn.

---

virgis, quas ubi incurvavimus, e manu rursus dimittimus. » Laudati vero scriptores indicare videntur terræ motibus curvitates in terra fieri.

110.

Antiphon vocem διάθεσις accepit de sententia et cogitatione. Apud eundem in Veritatis libro secundo διαθεῖναι λόγον significat enuntiare, divulgare aliquid. Idem hoc vocabulo usus est de apta rerum dispositione.

111.

Διάστασις, *apta rerum dispositio*. Antiphon Veritatis libro secundo : « De ea quæ nunc obtinet apta omnium rerum dispositione. »

112.

Δίνῳ pro δινήσει, *in gyrum circumactione*, Antiphon Veritatis libro secundo.

113.

Φορίνης, *cutis humanæ*, Antiphon Veritatis libro secundo. Aristophanes quoque Impostoribus palam facit φορίνην etiam de cute humana dici.

114.

Ἀειεστώ Antiphon dicit perpetuitatem et in eodem statu permansionem, sicuti εὐεστώ est felicitas. Vox hæc in Diogeniani Lexico apud Antiphontem exstare dicitur Veritatis libro secundo.

115.

Antiphon, alius qui rhetor fuisse putatur, providentiam tollit in libris qui *De veritate* inscribuntur, similiter ut apud Celsum.

116.

Ἄγοι pro ἡγοῖτο, Antiphon de Veritate : « Leges magni fecerit. »

117.

Ἄβιος pro πλούσιος, *dives*, apud Antiphontem de Veritate.

218.

Ἀπαρασκεύῳ in libris de Veritate Antiphon dixit, ἀπαρασκεύαστον autem in arte rhetorica, quæ tamen non videtur genuina esse.

119.

Antiphon ait suo fulgore nitere lunam : qui quum occultetur, fieri hoc appulsu solis ; quia natura sic comparatum sit, ut ignis validior imbecilliorem obscuret : idem aliis quoque stellis evenire.

120.

Antiphon mare esse dicit sudorem calidi, a quo excretum

XXVI. FRAGMENTA SEDIS INCERTÆ.

121.

Rhet. gr. t. VII, p. 5, 26 Walz : Λέγουσι δέ τινες δικανικὸν λόγον εἰρηκέναι πρῶτον Μενεσθέα τὸν στρατηγὸν τῶν Ἀθηναίων, ὃς καὶ ἐπὶ Τροίαν ἀφίκετο, (ἄλλοι δὲ λέγουσιν Ἀντιφῶντα τοῦτον τὸν ῥήτορα) κατὰ Θησέως περὶ τῶν Παλλαντιδῶν. « In his verbis M. Meierus Comment. Andocid. 3, p. 12 inesse putat, Antiphontem exercitationis causa orationem Menesthei contra Theseum composuisse. Neque potest negari ea quæ de Menesthei studiis eloquentiæ a Plutarcho Thes. c. 13 et de Thesei causa, in Delphinio Pallantidarum cædis rei, a Pausania 1, 28, 10, narrantur, huic Meieri conjecturæ bene convenire. Haud scio tamen an rhetor scripserit : ἀφίκετο, κατὰ Θησέως περὶ τῶν Παλλαντιδῶν· ἄλλοι δὲ λέγουσιν Ἀντιφῶντα τὸν ῥήτορα (sc. δικανικὸν λόγον εἰρηκέναι πρῶτον). Antiphontem enim primum orationes judiciales composuisse rhetores illi et grammatici sæpissime tradiderunt. » Sauppius.

122.

Stobæus Floril. V, 53 : Ἀντιφῶντος. — « Ὅστις « δὲ τῶν αἰσχρῶν ἢ τῶν κακῶν μήτε ἐπεθύμησε μήτε « ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γὰρ ἔσθ' ὅπου κρατήσας « αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται. » Eadem S. Maximus Ἀπομνημον. p. 167, ed. Turic. Stobæi excerpta ad librum Περὶ ὁμονοίας et Politicum pertinere recte haud dubie censet Sauppius.

123.

Idem XIII, 18 : Ἀντιφῶντος. — « Νόσος δειλοῖ- « σιν ἑορτή· οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν. »

124.

Idem X, 40 : Ἀντιφῶντος. — « Οἱ δὲ ἐργαζόμε- « νοι μὲν καὶ φειδόμενοι καὶ ταλαιπωροῦντες καὶ « προστιθέντες ἥδονται, οἷα δή τις ἂν εἰκάσειεν ἥδε- « σθαι, ἀφαιροῦντες δὲ καὶ χρώμενοι ἀλγοῦσιν, ὥσπερ « ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι.

125.

Idem XVI, 19 : Ἀντιφῶντος. — « Εἰσί τινες, « οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευά- « ζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσό- « μενοι, οὐ τὸν παρόντα· καὶ ἐν τούτῳ παραλειπόμενος « ὁ χρόνος οἴχεται. »

126.

Idem XVI, 19 : Ἀντιφῶντος. — « Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ ἐδεῖτό οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ μὴ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετό ποι δή· καί τις καταμαθὼν τοῦτο ποιοῦντα ὑφείλετο, ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ εὕρισκε τὰ χρήματα ὁ καταθέμενος. Περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν καὶ ἕτερον προσέφερεν, ἀπαντήσας τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, καὶ πάντως οἱ ἀπολόμενον τὸ ἀργύριον. Ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὐτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον· πάντως γὰρ οὐδ' ὅτε ἦν σοι ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός· ὅτῳ γάρ τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ οὐδὲν οὔτε πλέον οὔτε

---

sit quod continebatur humidum, elixando in salsuginem conversum, quod in quovis fiat sudore.

121.

Judicialem orationem primum dixisse ferunt Menestheum, Atheniensium ducem, qui etiam contra Trojam profectus est; alii tamen Antiphontem hunc rhetorem esse dicunt, *qui scripserit orationem* Menesthei contra Theseum de Pallantidis.

122.

Antiphontis. « Qui turpia non cupivit neque attigit, is non est temperans. Nihil enim exsistit a quo sibi temperaverit, ut modestus et continens dici mereatur. »

123.

Antiphontis. « Morbus timidis hominum est loco festi. Ægrotantes enim ad agendum prodire non coguntur. »

124.

Antiphontis. « Homines avari labore, parcitate ærumnisque et auctione præsentium gaudent, quo scilicet avari possunt gaudio. Auferentes vero aliquid de rebus suis et in usum convertentes, tam dolent quam si de corpore suo ipsis adimeretur. »

125.

Antiphontis. « Non desunt, qui præsentem vitam non vivunt, sed magno studio se parant, ceu vitam quandam aliam victuri : interea tempus ipsos deserit. ».

126.

Antiphontis. « Fama est, quum vidisset quidam alterum argenti multum ferre, rogavisse eum, ut sibi mutuo daret cum fœnore reddendum. Ille vero noluit, ut qui diffideret omnibus et neminem juvaret. Itaque quodam in loco argentum recondit. Et quum animadvertisset quidam, quid egisset, suffuratus est. Reversus igitur ille postea, qui pecuniam absconderat, nihil invenit. Magno hæc calamitas eum dolore affecit, propterea maxime quod roganti non mutuo dederat pecuniam, quæ quidem et salva ei mansisset et insuper attulisset fœnus. Quumque incidisset in virum cui mutuare prius noluerat, infortunium suum deploravit, utpote qui peccasset : et pœnitere se dixit quod ei non obsecutus sed ingratus fuisset, et prorsus ei omne argentum interiisse. Ille autem bono animo ipsum esse jussit atque existimare lapidem eodem in loco a se depositum fuisse. Omnino enim nec quum habebas quidem argentum, eo utebaris. Quamobrem etiam nunc ne puta-

ἔλασσον βλάπτεται· ὅτῳ γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχὼν, τοῦ φρονεῖν δὲ καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν. » Cf. CIV, 19.

127.

Idem XX, 66 : Ἀντιφῶντος. — « Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων δειμαίνει, μὴ, ἃ θέλει ποιῆσαι, ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. Ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος ἀπέστρεψε τὸν νοῦν τῶν θελημάτων· καὶ ἐν μὲν τῷ* γεγενῆσθαι οὐκ ἔνεστιν, ἐν δὲ τῷ μέλλειν ἐνδέχεται γενέσθαι. Ὅστις δὲ δράσειν μὲν οἴεται τοὺς πέλας κακῶς, πείσεσθαι δ' οὔ, οὐ σωφρονεῖ. Ἐλπίδες δ' οὐ πανταχοῦ ἀγαθόν· πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφοράς, ἃ δ' ἐδόκουν τοῖς πέλας ποιήσειν, παθόντες ταῦτα ἀνεφάνησαν αὐτοί. Σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλου ὀρθότερόν τις κρίνειεν, ἢ ὅστις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὐτὸς ἑαυτὸν κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν· ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ, παραχρῆμα θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων. »

128.

Idem LXVIII, 37 : Ἀντιφῶντος. — « Φέρε δὴ προελθέτω ὁ βίος εἰς τὸ πρόσθεν καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. Αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου· μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. Εἰ γὰρ τύχοι μὴ ἐπιτηδεία ἡ γαμουμένη, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς ποιοῦσαι ἴσα φρονεῖν ἴσα πνεῖν ἀξιώσαντι καὶ ἀξιωθέντι· χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα τοιοῦτον, δοκοῦντα ἡδονὰς κτᾶσθαι λύπας ἄγεσθαι. Φέρε δή, μὴ τὰ παλίγκοτα λέγωμεν, λεγέσθω τὰ πάντων ἐπιτηδειότατα. Τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δὲ γλυκύτερον, ἄλλως τε καὶ νέῳ; ἐν τῷ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδὺ ἔνεστι, πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. Ἐπεὶ καὶ ὀλυμπιονῖκαι καὶ πυθιονῖκαι καὶ οἱ τοιοῦτοι ἀγῶνες καὶ σοφίαι καὶ πᾶσαι ἡδοναὶ ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίγνεσθαι· τιμαὶ γὰρ καὶ ἆθλα, δελέατα, ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. Ἐγὼ γὰρ οὐκ ἂν δυναίμην ζῆν, μὴ οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων ὑπέρ τε τῆς ὑγείας τοῦ σώματος ὑπέρ τε τοῦ καθ' ἡμέραν βίου ὑπέρ τε δόξης καὶ σωφροσύνης καὶ εὐκλείας καὶ τοῦ εὖ ἀκούειν. Τί οὖν εἴ μοι γένοιτο σῶμα τοιοῦτον, ὅ γέ μοι οὕτως ἐπιμελὲς εἴη; οὐκ οὖν δῆλον, ὅτι γυνὴ ἀνδρί, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάττους τὰς φιλότητας παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὑτῷ ὑπέρ τε τῆς ὑγείας δισσῶν σωμάτων ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς ὑπέρ τε τῆς σωφροσύνης καὶ τῆς εὐκλείας; φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης καὶ τὸ πρόσωπον οὐκέτι τὸ αὐτό. »

129.

Idem XCVIII, 36 : Ἀντιφῶντος. — « Εὐκα-

veris te ulla re privari. Illud etenim quo' quis nec usus, nec usurus est, nihil sive præsens sive absens magis minusve lædit. Nam quum deus alicui non perfecte bona largiri instituit, exhibita pecuniarum copia, bonæ mentis inopem facit; atque ita ablato altero, utriusque privat. »

127.

Antiphontis. — « Quisquis accedens aliquem animo lædendi sibi metuit, ne non assecutus quæ facere vult, ea quæ non vult, referat, is sane plus sapit. Dum enim sibi timet, cunctatur : interea autem non raro tempus intercedens mutat institutum. Non dico eum metuendo sapere, sed dum moratur, sapere potest. Contra, qui aliis quidem se nociturum putat, se vero nihil passurum, minime sapit. Spes enim haud semper est bona, sed sæpe talis concepta spes in maximas calamitates præcipitat : et multi quæ in alios se facturos sibi persuaserant, ea ipsimet palam sunt passi. Ceterum sapientem virum non rectius alium judicaveris quam illum qui sese contra momentaneam iræ titillationem muniverit et potuerit ipse refrenare ac vincere seipsum. Contra qui iræ voluerit indulgere, huic sane deteriora præ melioribus placeat. »

128.

Antiphontis. — « Age progrediatur vita ulterius et nuptias uxoremque cupiat. Iste dies, ista nox novi genii principium affert, et novæ sortis. Magnum profecto homini certamen nuptiæ sunt. Nam si uxor incommoda contigerit, quo pacto levabis calamitatem? Difficile est illam ablegare et pro amicis inimicos sibi parare, quum concordi animo vivere utrinque esset propositum. Grave autem est rem hujus modi possidere et voluptates comparare sibi existimantem dolores asciscere. Verum age tacentes deteriora, ea quæ omnium commodissima sunt recenseamus. Quid enim homini suavius quam uxor grata? Quid, inquam, dulcius cum alias, tum in ætate juvenili? Sed eidem rei cui jucunditas inest, in vicino est molestia. Nam voluptates non solæ accedunt, sed comites earum sunt tristitiæ et labores. Quandoquidem et qui in Olympiis et Pythiis aliisque hujusmodi certaminibus victores evadunt, aut sapientiam aut quodvis genus voluptatum sibi comparant, multas prius molestias et labores subeunt. Honores enim, præmia et ejusmodi illecebræ, quas deus humano generi largitus est, magnos labores atque sudores necessario requirunt. Certe non vivere possem nisi tantum negotiorum mihi exhibens pro sanitate corporis, et victu in dies colligendo, et pro gloria et temperantia celebrisque famæ ac bene audiendi gratia. Quid igitur fieret, si alterum quoque tale corpus similiter mihi procurandum esset? Nonne patet uxorem, etsi viro carissima fuerit, non minus tamen ei facessere negotii circa amores aut dolores, quam ipsemet sibi, quum pro duobus corporibus, quod sanitatem, victum, temperantiam bonamque famam attinet, curam gerere oporteat? Quod si insuper liberi nascantur, jam omnia curis plena sunt, et juvenilis animi exsultatio disperit, et facies haud amplius eadem est. »

129.

Antiphontis. — « Sane culpabilis est mirum in modum,

τηγόρητος πᾶς ὁ βίος θαυμαστῶς, ὦ μακάριε, καὶ οὐδὲν ἔχων περιττὸν οὐδὲ μέγα καὶ σεμνόν, ἀλλὰ πάντα σμικρὰ καὶ ἀσθενῆ καὶ ὀλιγοχρόνια καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις. »

130.

Idem XCVIII, 63 : Ἀντιφῶντος. — « Τὸ ζῆν ἔοικε φρουρᾷ ἐφημέρῳ τό τε μῆκος τοῦ βίου ἡμέρᾳ μιᾷ, ὡς ἔπος εἰπεῖν, ἣν ἀναβλέψαντες πρὸς τὸ φῶς παρεγγυῶμεν τοῖς ἐπιγιγνομένοις ἑτέροις. »

131.

Idem Append. XVI, 36 tom. IV, p. 37 Gsfd.: Ἀντιφῶντος. — « Πρῶτον οἶμαι τῶν ἐν ἀνθρώποις ἐστὶ παίδευσις· ὅταν γάρ τις πράγματος κἂν ὁτουοῦν τὴν ἀρχὴν ὀρθῶς ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι· καὶ γὰρ τῇ γῇ οἷον ἄν τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἔκφορα δεῖ προσδοκᾶν, καὶ ἐν νέῳ σώματι ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς τοῦ βίου καὶ αὐτὸ οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται. »

132.

Id. ib. XVI, 37 : Τοῦ αὐτοῦ. — « Ἀναρχίας δ' οὐδὲν κάκιον ἀνθρώποις. Τοῦτο γιγνώσκοντες οἱ πρόσθεν ἄνθρωποι ἀπὸ τῆς ἀρχῆς εἴθιζον τοὺς παῖδας ἄρχεσθαι καὶ τὸ κελευόμενον ποιεῖν, ἵνα μὴ ἐξανδρούμενοι εἰς μεγάλην μεταβολὴν ἰόντες ἐκπλήσσοιντο. »

133.

Clemens Alex. Strom. VI, p. 265, 45 Sylb. : Ἀντιφῶν ὁ ῥήτωρ λέγει· — « γηροτροφία γὰρ προσ-« έοικε παιδοτροφίᾳ. » Eadem Schol. Aristoph. Nub. 1417.

134.

Suidas v. Ἀπολαχεῖν : Διαλαχεῖν δὲ τὸ διανείμασθαι οἱ ῥήτορες εἰρήκασι. Ἀντιφῶν· — « ὁπότ' ἄνθρωποι βούλοιντο χρήματα διαλαχεῖν. »

135.

Idem v. Ἱκετεύω : Ἱκετεία ἡ ἱκεσία. Ἱκετεία δὲ ἱκετηρίας διαφέρει. Ἱκετεία μέν ἐστιν ἣν ποιεῖταί τις διὰ τῶν λόγων, ὅταν δέηται συγγνώμης τυχεῖν ἢ ἐλέους. Ἀντιφῶν· — « Περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ « ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πει-« ρῶμαι ὑμᾶς ἀναπείθειν. » Ἱκετηρία δέ ἐστιν ἣν οἱ δεόμενοι κατατίθενταί που ἢ μετὰ χεῖρας ἔχουσιν.

136.

Idem : Ὀκνῶ· φοβοῦμαι. Καὶ πυκνῶς τούτῳ κέχρηται Σοφοκλῆς ἐπὶ τοῦ φοβεῖσθαι·

Φρονοῦντα γάρ νιν οὐκ ἂν ἐξέστην ὄκνῳ.

Καὶ οἱ ῥήτορες οὐκ ἐπὶ δειλίας καὶ ῥᾳθυμίας ἐχρήσαντο τῷ ὀνόματι, ἀλλ' ἐπὶ τοῦ φόβου καὶ τοῦ φοβεῖσθαι. Ἀντιφῶν· — « Κακῶν δ' ἂν εἴη ἐπ' ἀποῦσι « μὲν καὶ μέλλουσι τοῖς κινδύνοις τῇ γλώττῃ θρασύ-« νεσθαι καὶ τῷ θέλειν ἐπείγειν, τὸ δὲ ἔργον ἂν παρῇ, « ὀκνεῖν.

137.

Idem : Πατρῴων. Πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων ἢ τόπων. Ἰσαῖος· « Ἀποφαίνω γὰρ ὑμῖν, ὡς οὐκ ἔστι τῆς ἐπικλή-« ρου τὸ χωρίον τοῦτο οὐδ' ἐγένετο πώποτε, ἀλλ' ὡς

---

o bone cujuslibet nominis vita, utpote nihil habens eximium, magnum et venerandum, sed nihil non parvum, imbecille, temporaneum, multis denique molestiis permixtum. »

130.

Antiphontis. — « Vita similis est carceri unius diei : et totum vitæ spatium uni diei æquale propemodum dixerim, per quem intuiti lucem, posteris deinde vitam tradimus »

131.

Antiphontis. — « Primum, opinor, locum in hominum vita obtinet educatio. Quando enim rei alicujus initium recte aliquis fecerit, probabiliter finis quoque recte fiet. Sic terræ quoque quale aliquis semen commiserit, tales etiam fructus exspectare debet. Ac si quis juvenili corpori institutionem ingenuam inseverit, vivit hoc et per omne vitæ tempus floret, nec pluvia nec sterilitate absumitur. »

132.

Ejusdem. — « Nihil hominibus pejus exsistit illo reipublicæ statu, qui rectore caret. Quod intelligentes majores nostri pueros a tenera ætate regi et jussa facere assuefaciebant, ne virili ætate magnam mutationem experientes percellerentur. »

133.

Antiphon orator dicit : « Nam senes alere idem fere est ac infantes alere. »

134.

Διαλαχεῖν apud oratores *dividere* significat. Antiphon : *Quum homines pecuniam dividere voluerint.*

135.

Ἱκετεία, *preces supplices*. Ἱκετεία vero differt ab ἱκετηρίᾳ. Nam ἱκετεία est quum verbis aliquem suppliciter oramus, veniamque vel misericordiam imploramus. Antiphon : *Rogavit vos, ut ne vestram mihi misericordiam tribueretis, sollicitus ne ego lacrimis et supplicibus precibus vos de sententia deducere conarer.* Ἱκετηρία vero est oleæ ramus, quem supplices alicubi deponunt aut manibus præferunt.

136.

Ὀκνῶ, *metuo*. Hoc verbi significatu frequenter usus est Sophocles (Ajac. 82) : *Hominem enim sanæ mentis haud sane formidine refugerem.* Et oratores verbo usi sunt, non de ignavia et socordia, sed de metu, et verbo ὀκνεῖν pro *metuere*. Antiphon : *Ignavum autem se præbet, si periculo longe remoto et venturo, lingua ferocem et ad audendum promptum ostendit; at quum res ipsa adsit, formidine torpet.*

137.

Oratores vocem πατρῷα ponunt, quum de patrimonio vel locis verba faciunt. Isæus : *Declaro enim vobis, agrum hunc non fuisse unquam pupillæ heredis, sed*

« ἣν πατρῷον Λυσιμένει, τῷ πατρὶ Μενεκράτους, « ὁ δὲ Λυσιμένης ἔσχε τὰ πατρῷα πάντα. » Πάτρια δὲ λέγουσι τὰ ἔθη καὶ τὰ νόμιμα καὶ τὰ μυστήρια καὶ τὰς ἑορτάς. Ἀντιφῶν· — « Τοῦτο δὲ τοὺς νόμους « εἰδὼς πατρίους καὶ παλαιοὺς ὄντας ὑμῖν. » Cf. Isæi or. c. Dioclem.

138.

Lesbonax Περὶ σχημ. p. 180 Valck. : Κλαζομένιον (sc. σχῆμα) ὡς τὸ πορεύομαι σὺν ἀγῶνι ἀντὶ τοῦ εἰς ἀγῶνα, ἀλλάσσον τὴν αἰτιατικὴν εἰς δοτικὴν καὶ τὴν πρόθεσιν εἰς εἰς τὴν πρόθεσιν σύν, ὡς τὸ « σὺν πατρίδι ἔδη » ἀντὶ τοῦ εἰς τὴν πατρίδα· οὕτως Ἀντιφῶν.

139.

Pollux VI, 163 : Ἀντιφῶν δὲ καὶ « ἐξεληλάσθαι πανοικεσίᾳ. »

140.

Suidas : Τέως· οἱ ῥήτορες ἐπὶ τοῦ πρότερον ἢ πάλαι, μέχρι του, ὡς Ἀντιφῶν· — « Τέως μὲν γὰρ ὁ « πολὺς χρόνος τοῦ ὀλίγου πιστότερος ἦν. »

141.

Pollux III, 113 : Καὶ ὡς Ἀντιφῶν· — « μὴ φιλο« χρηματεῖν. »

142.

Plutarch. Anton. c. 28 : Οὕτω δ' οὖν τὸν Ἀντώνιον ἥρπασεν (Cleopatra), ὥστε ... μειρακίου σχολὴν ἄγοντος διατριβαῖς καὶ παιδιαῖς χρώμενον ἀναλίσκειν καὶ καθηδυπαθεῖν « τὸ πολυτελέστατον, ὡς Ἀντιφῶν εἶπεν, ἀνάλωμα, τὸν χρόνον. »

143.

Pollux VI, 9 : Ἀντιφῶν δὲ ἐπὶ τούτου (ἀγνοίας) καὶ ἀγνωμοσύνην λέγει. Id. V, 145 : Ἀντιφῶν δὲ καὶ ἀγνώμων λέγει. Id. V, 141 : Ἀχαριστία, ἀδικία, ἀγνωμοσύνη, ὡς Ἀντιφῶν, ἀποστέρησις.

144-150.

Bekk. Anecd. p. 345, 26 : Ἀδυναμία ἐρεῖς, ὡς Δημοσθένης, καὶ ἀδυνασία, ὡς Ἀντιφῶν καὶ Θουκυδίδης, καὶ ἀδυνατία, ὡς Δεινόλοχος. Vox ἀδυναμία occurrit in Antiphon. or. V, p. 24, § 2, adeo ut ἀδυνασία sophistæ fuerit.

Harpocratio : Ἀδιάστατον τὸ μήπω διεστηκὸς μηδὲ διακεκριμένον Ἀντιφῶν εἶπεν. Cf. Bekk. Anecd. p. 341, 27.

Pollux II, 230 : Ἀθυμοῦσιν, ὡς Ἀντιφῶν.

Harpocratio : Ἀχαρῆ ἀντὶ τοῦ μικρὸν ἢ οὐδὲν παρ' Ἀντιφῶντι. Cf. Bekk. An. p. 363, 31.

Bekk. Anecd. p. 367, 31 : Ἀκόλουθα Ἀντιφῶν τὰ ἑπόμενα καὶ σύμφωνα.

Pollux II, 7 : Ἄμβλωμα, ὡς Ἀντιφῶν.

Id. II, 120 : Ἀντιφῶν δὲ ἀντιλογούμενοι.

151-155

Bekk. Anecd. p. 418, 6 : Ἀπάλαμνον· ἀμήχανον. Οὕτως Ἀντιφῶν.

Pollux II, 120 : Ἀντιφῶν δὲ ἀπαρτιλογία, ὥσπερ καὶ Ἡρόδοτος. Cf. Harp. : Ἀπαρτιλογία Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον καὶ Ἡρόδοτος ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός. Bekker An. p. 416, 20.

Bekker Anecd. p. 419, 18 : Ἀπεγένετο· ἀντὶ τοῦ ἀπέθανεν. Οὕτως Ἀντιφῶν καὶ Θουκυδίδης. Cf. Suidas.

Pollux VIII, 68 : Ἀπελύθη, ὡς Ἀντιφῶν. « An ἀπελογήθη? nam præcedit ἀπελογήσατο. » Saupp.

---

ex paterna hereditate obvenisse Lysimeni, patri Menecratis. Lysimenes vero omnium bonorum paternorum heres erat. Πάτρια vero dicunt de moribus, institutis, mysteriis, diebus festis. Antiphon : ***Partim sciens patrias et antiquas vobis leges esse.***

138.

Clazomenia figura est verbi causa illud : Πορεύομαι σὺν ἀγῶνι pro εἰς ἀγῶνα, posito dativo et σὺν præpositione, pro εἰς cum accusativo. Sic Antiphon σὺν πατρίδι ἔδη pro εἰς τὴν πατρίδα.

139. 140.

Ἐξεληλάσθαι πανοικεσίᾳ, ***cum tota domo expulsum esse*** Antiphon.

Τέως apud oratores est ***prius*** vel ***olim, aliquamdiu.*** Antiphon : ***Nam antea longum tempus tutius erat exiguo.***

142-143

Adeo Cleopatræ amore correptus fuit Antonius, ut... ludis jocisque adolescentuli instar otium nacti luxuriando tempus (cujus jacturam damnosissimam Antiphon dixit) consumpserit.

Antiphon ἀγνοίας sensu ἀγνωμοσύνην dicit. Idem ἀγνώμων dicit.

144-150.

Ἀδυναμία dices cum Demosthene, ἀδυνασία cum Antiphonte et Thucydide, et ἀδυνατία cum Dinolocho.

Ἀδιάστατον, ***quod nondum est decretum,*** Antiphon dixit.

Ἀθυμοῦσιν, ***demisso animo sunt,*** Antiphon.

Ἀχαρῆ, ***exiguum*** vel ***nihil,*** Antiphon.

Ἀκόλουθα, ***consequentia, congruentia,*** Antiphon.

Ἄμβλωμα, ***abortus,*** Antiphon.

Ἀντιλογούμενοι, ***contradicentes,*** Antiphon.

151-155.

Ἀπάλαμνον, ***consilii inopem,*** Antiphon.

Ἀπαρτιλογία, ***integra summa,*** Antiphon, ut Herodotus (7, 29).

Ἀπεγένετο, ***decessit, mortuus est.*** Antiphon et Thucydides (2, 34).

Bekker Anecd. p. 427, 9 et Suidas : Ἀποδικεῖν ἀντὶ τοῦ ἀπολογεῖσθαι. Οὕτως Ἀντιφῶν (sic Ruhnken. et Hemsterhus.; Ἀντιφάνης codd.)

Ib. p. 9, 21 quum legatur : Ἀπόψηφοι ἐγένοντο τοῦ ἀποκτεῖναι. Σημαίνει τὸ οἷον οὐκ ἤνεγκαν ψῆφον. Τὸ ἀτίμως· χρῶ πανταχοῦ : Sauppius in τὸ ἀτίμως latere Ἀντιφῶν suspicatur.

156-160.

Pollux II, 128 : Ἀρρησία παρὰ Ἀντιφῶντι ἡ σιωπή.

Bekker. An. p. 470, 25 : Ἀφήκοντος Ἀντιφῶν ἀντὶ τοῦ διήκοντος.

Harpocratio : Ἀχαριστεῖν ἀντὶ τοῦ μὴ χαρίζεσθαι. Οὕτως Ἀντιφῶν. Verbum ἀχαριστεῖν habes in fr. 126.

Harpocratio : Βάσανος· Ἀντιφῶν. Λίθος οὕτω καλεῖται, ᾗ τὸ χρυσίον παρατριβόμενον δοκιμάζεται.

Pollux VII, 169 : Ἀντιφῶν δὲ « βάψιν χαλκοῦ καὶ σιδήρου. »

Idem VII, 189 : Βιομήχανοι, ὡς Ἀντιφῶν.

161-165.

Idem II, 129 : Καὶ ἀπόφασις δὲ ἐπὶ διαιτητοῦ· ἣν καὶ γνῶσιν καλεῖ Δημοσθένης καὶ Πλάτων καὶ Ἀντιφῶν.

Suidas v. Διάθεσις : Ἀντιφῶν δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης ἢ διανοίας. Cf. frg. 112.

Harpocratio : Δυσάνιος. Ἀντιφῶν. Ὁ ἐπὶ παντὶ ἀνιώμενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. Καὶ Ἱπποκράτης ἐχρήσατό που τῷ ὀνόματι καὶ Μένανδρος.

Idem : Εἰσφρήσειν, εἰσάξειν, εἰσδέξεσθαι. Ἀντιφῶν καὶ Δημοσθένης ἐν Φιλιππικῷ. Πολὺ δὲ τοὔνομα ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ.

Idem : Ἐμβραχεῖ ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφαλαίῳ. Ἀντιφῶν. Cf. Suidas.

166-170.

Pollux VII, 103 : Καὶ ἐν ταῖς σιτοδοσίαις ἐγίγνοντο « σίτου ἐπιγραφεῖς, » ὡς Ἀντιφῶν.

Idem VI, 183 : Ἀντιφῶν δὲ ἐπιθύμημα.

Idem II, 228 : Καθὼς Ἀντιφῶν, ἐπινόημα.

Idem VIII, 21 : Προστίμημα, ὡς Ἀντιφῶν.

Idem VI, 169 : Κακόνους, ὡς Ἀντιφῶν.

171-175.

Thomas Magister p. 221, 7, R. : Τὸ δὲ λιθοκόπος ἀδόκιμον, εἰ καὶ Ἀντιφῶν λέγει. Mœris : Λιθουργούς Θουκυδίδης, λιθοκόπους Ἀντιφῶν.

Pollux I, 34 : Μεθέορτοι ἡμέραι κατὰ Ἀντιφῶντα.

Idem II, 123 : Καὶ ὡς Ἀντιφῶν « ἡδυλόγος τε καὶ μετριολόγος. »

Idem II, 76 : Παρὰ δὲ Ἀντιφῶντι μόνῳ ὀσμὰς καὶ εὐοσμίαν εὕροι τις ἄν.

Idem II, 57 : Ἀντιφῶν δὲ καὶ τὸ ὀψόμενος εἶπε καὶ τῇ ὄψει, οἷον τοῖς ὀφθαλμοῖς. Cf. fr. 34.

176-180.

Idem I, 98 : Ὁ δὲ ἐπὶ τῶν οἰάκων καθήμενος καλεῖται κυβερνήτης καὶ κατ' Ἀντιφῶντα ὁ ποδοχῶν, ἢ μᾶλλον κατ' ἐμὲ ὁ ποδηγῶν.

Idem IX, 26 : Πολιτοκοπεῖν παρ' Ἀντιφῶντι.

Idem VIII, 24 : Προδικασίας, ὡς Ἀντιφῶν.

Idem IV, 167 : Καὶ συμμετρίας Ἀντιφῶν. — καὶ δυσμέτρητον Ἀντιφῶν.

Idem IX, 53 : Ἡ μὲν γὰρ Ἀντιφῶντος ταλάντωσις τὸ βάρος δηλοῖ.

Ἀπελύθη, *absolutus est*, Antiphon.

Ἀποδικεῖν, *causam dicere*, Antiphon.

156-160.

Ἀρρησία, *silentium*, Antiphon.

Ἀφήκοντος, *pervenientis*, Antiphon.

Βάσανος, Antiphon. Est lapis cujus attritu aurum probant.

Βάψις, *tinctio*, ferri et æris. Antiphon.

Βιομήχανοι, *ad vitam sustentandam omnia machinantes*, Antiphon.

161-165.

Ἀπόφασις, sententia arbitrorum, quam etiam γνῶσιν vocant Demosthenes et Plato et Antiphon.

Διάθεσις, *sententia*, *cogitatio*, apud Antiphontem.

Δυσάνιος, *qui qualibet in re, licet levissima sit et nullius momenti, dolore afficitur*. Antiphon. Eadem voce Hippocrates quoque et Menander utuntur.

Εἰσφρήσειν, *introducturum*, *intro admissurum esse*, Antiphon et Demosthenes in Philippica. Frequens nomen in vetere comœdia.

Ἐμβραχεῖ, *summatim*, Antiphon.

166-170.

Σίτου ἐπιγραφεῖς, *annonæ descriptores* in annonæ distributionibus, Antiphon.

Ἐπιθύμημα, *cupiditas*, *desiderium*, Antiphon.

Ἐπινόημα, *commentum*, Antiphon.

Προστίμημα, *multa*, *pœna*, Antiphon.

Κακόνους, *malevolus*, Antiphon.

171-175.

Λιθοκόπος *lapicida*, vox reproba, quamquam etiam Antiphon ea utitur.

Μεθέορτοι ἡμέραι, *dies festum sequentes*, apud Antiphontem.

Ἡδυλόγος τε καὶ μετριολόγος, *suaviloquus et moderatus in verbis*, Antiphon.

Ὀσμὰς et εὐοσμίας, *odores* et *fragrantias*, apud unum Antiphontem reperias.

Ὀψόμενος, *visurus*, et τῇ ὄψει pro *oculis*, dixit Antiphon.

176-180.

Ὁ ποδοχῶν, vel potius, ut ego opinor, ὁ ποδηγῶν, apud Antiphontem dicitur pro ὁ κυβερνήτης, *qui ad gubernacula sedet*.

Πολιτοκοπεῖν, *cives vexare*, Antiphon.

Συμμετρίας, *aptas proportiones*, et δυσμέτρητον *quod metiri non est facile*, Antiphon.

Ταλάντωσις pro βάρος, *pondus*, Antiphon.

81—185.

Photius : Τελεσθῆναι· τὸ ἀναλωθῆναι· οὕτως Ἀντιφῶν. Eadem Bekk. An. p. 114, 28. Suidas s. v.

Idem : Τίμιον· ἀντὶ τοῦ ἔντιμον· οὕτως Ἀντιφῶν· ὁ δὲ Δημοσθένης ἐχρήσατο ἐπὶ τοῦ πιπρασκομένου πολλῆς τιμῆς.

Idem : Τρίτῳ καὶ τετάρτῳ ἔτει· ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν· οὕτως Ἀντιφῶν (Ἀντιφάνης Suidas).

Suidas : Χρημάτων·... κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου, ὡς Ἀντιφῶν.

Photius II, 58 : Διομτεύειν Κριτίας καὶ Ἀντιφῶν· Ἀντιφῶν δὲ καὶ εἴσοπτοι.

III. PHÆAX.

ΚΑΤ' ΑΛΚΙΒΙΑΔΟΥ.

Plutarchus Alcibiad. c. 13 : Ἐπεὶ δ' ἀφῆκεν αὐτὸν εἰς τὴν πολιτείαν ἔτι μειράκιον ὤν, τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγούς, ἀγῶνα δ' εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου καὶ Νικίαν τὸν Νικηράτου, τὸν μὲν ἤδη καθ' ἡλικίαν προήκοντα καὶ στρατηγὸν ἄριστον εἶναι δοκοῦντα, Φαίακα δ' ἀρχόμενον, ὥσπερ αὐτός, αὐξάνεσθαι τότε καὶ γνωρίμων ὄντα πατέρων, ἐλαττούμενον δὲ τοῖς τε ἄλλοις καὶ περὶ τὸν λόγον. Ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον ἢ φέρειν ἀγῶνας ἐν δήμῳ δυνατός. Ἦν γάρ, ὡς Εὔπολίς φησι,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

Φέρεται δὲ καὶ λόγος τις κατ' Ἀλκιβιάδου καὶ Φαίακος γεγραμμένος, ἐν ᾧ μετὰ τῶν ἄλλων γέγραπται καὶ ὅτι, τῆς πόλεως πολλὰ πομπεῖα χρυσᾶ καὶ ἀργυρᾶ κεκτημένης, Ἀλκιβιάδης ἐχρῆτο πᾶσιν αὐτοῖς ὥσπερ ἰδίοις πρὸς τὴν καθ' ἡμέραν δίαιταν.

In his verba καὶ Φαίακος defendi nequeunt; ὑπὸ Φαίακος conjecit Taylor.; κατ' Ἀλκιβιάδου Φαίακος ἐπιγεγραμμένος proposuit Sauppius. Fort. fuit : Φέρεται δὲ καὶ λόγος τις Φαίακος κατ' Ἀ. γεγραμμένος. Quod Taylorus in Lectt. Lysiac. c. 6 putavit Phæacis orationem superesse in oratione κατ' Ἀλκιβιάδου, quæ Andocidi tribuitur, id recte negare videntur Ruhnkenius in Histor. crit. orat. p. 53 sqq., Valckenarius in Sluiteri Lectt. Andoc. p. 17 sqq., Sauppius in Zimmermanni Ephemerid. scholast. 1835 p. 328, Meierus De Andocid. orat. c. Alcib. comm. V, p. 1. Cf. tamen Vater Rer. Andocid. P. I, p. 5 et Westermann in *Pauly's Realenc.* s. v. Phæax. Satis constat τὰς λοιδορίας Ἀλκιβιάδου tritum fuisse in rhetorum scholis argumentum; ejusque originis orationem Plutarchus ob oculos habuisse videtur. Ceterum de Phæace v. Thucyd. V. 4, 5; Aristophan. Eqq. 1377 sqq. ibiq. schol.; Plutarch. Nicias c. 13; Westermann Hist. El. § 37 et 43.

IV. ANDROCLES.

Aristot. Rhet. II, 23, p. 379 ed. Didot. Ἄλλος (sc. τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐκ τῶν δοκούντων μὲν γίγνεσθαι ἀπίστων δέ.... Οἷον Ἀνδροκλῆς ἔλεγεν ὁ Πιτθεὺς κατηγορῶν τοῦ νόμου, ἐπεὶ ἐθορύβησαν αὐτῷ εἰπόντι· « Δέονται οἱ νόμοι νόμου τοῦ « διορθώσοντος· καὶ γὰρ οἱ ἰχθύες ἁλός, καίτοι οὐκ εἰκὸς

181-185.

Τελεσθῆναι, *absumptum esse*, Antiphon.

Τίμιον, *pretiosum*, Antiphon.

Τρίτῳ καὶ τετάρτῳ ἔτει, *ante tres et quattuor annos*, Antiphon.

Χρήματα vox etiam de re vel persona vel oratione usurpatur, ut apud Antiphontem.

Διοπτεύειν legitur apud Critiam et Antiphontem. Antiphon etiam εἴσοπτοι dicit.

CONTRA ALCIBIADEM.

Postquam rem publicam attigit Alcibiades, adolescens adhuc, illico depressis ab eo aliis omnibus populi ducibus, cum Phæace tantum Erasistrati et Nicia Nicerati filio certamen ipsi fuit, quorum hic jam ætate maturior, optimi ducis nomen habebat, Phæax tunc itidem, ut Alcibiades, crescere incipiebat, illustribus natus parentibus, sed quum aliis rebus, tum ab eloquentia imparatior : aptior enim ad privatos congressus, probabiliterque de re quapiam disserendum, quam ad forensia certamina esse videbatur : nam erat, ut ait Eupolis,

Promptus loquendo, dicendi omnino inscius.

Circumfertur et oratio quædam Phæacis contra Alcibiadem, in qua inter alia est, Alcibiadem aureis atque argenteis pomparum instrumentis, quæ multa urbis erant, tanquam suis in quotidiana vita usum.

Alius locus ad demonstrandum aptus est ex iis quæ videntur quidem fieri, sed tamen incredibilia sunt.... Sic Androcles Pittheus dixit legem quandam accusans, quum populus ipsi obstreperet : « Egent leges lege quæ ipsas corri-

« οὐδὲ πιθανὸν ἐν ἅλμῃ τρεφομένους δεῖσθαι ἁλός· καὶ « τὰ στέμφυλα ἐλαίου· καίτοι ἄπιστον, ἐξ ὧν ἔλαιον « γίνεται, ταῦτα δεῖσθαι ἐλαίου. » De Androcle, Alcibiadis adversario, v. Thucyd. VII, 65. VI, 28; Plutarch. Alcib. c. 19; Andocides De myster. § 27; Ruhnken Hist. cr. p. 43; Westermann H. Eloq. § 39, 16 et, quem Sauppius laudat, Bergk in Epist. ad Schillerum p. 116.

V. CLEOPHON.

1.

Aristot. Rhet. I, 15, 13 p. 343 ed. Didot : Περὶ δὲ μαρτύρων, μάρτυρές εἰσι διττοί, οἱ μὲν παλαιοὶ οἱ δὲ πρόσφατοι, καὶ τούτων οἱ μὲν μετέχοντες τοῦ κινδύνου οἱ δ' ἐκτός. Λέγω δὲ παλαιοὺς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶ κρίσεις φανεραί, οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος,.. καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι « πάλαι ἀσελγὴς ἡ « οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων εἰπεῖν τοι Κρι« τίᾳ πυρρότριχι πατρὸς ἀκούειν. »

2.

Id. ib. III, 7 p. 392 : Τὸ δ' ἀνάλογόν ἐστιν, μήτε περὶ εὐόγκων αὐτοκαβδάλως λέγηται μήτε περὶ εὐτελῶν σεμνῶς, μηδ' ἐπὶ τῷ εὐτελεῖ ὀνόματι ἐπῇ κόσμος· εἰ δὲ μή, κωμῳδία φαίνεται, οἷον ποιεῖ Κλεοφῶν· ὁμοίως γὰρ ἔνια ἔλεγε καὶ εἰ εἴπειεν ἂν « πότνια συκῆ. »

3.

Æschines De f. leg. § 76 : Κλεοφῶν δὲ ὁ λυροποιὸς ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις τῆς εἰρήνης μνησθήσεται.

De Cleophonte præter eos quos Westermannus l. l. § 39, 17 laudat, v. Fritzschius in Aristophanis Thesmoph. p. 298 sqq.

VI. THRASYMACHUS.

Suidas : Θρασύμαχος, Χαλκηδόνιος σοφιστής, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου καὶ Ἰσοκράτους τοῦ ῥήτορος. Ἔγραψε Συμβουλευτικούς, Τέχνην ῥητορικήν, Παίγνια (Προοίμια? Hermann.), Ἀφορμὰς ῥητορικάς. « Cf. J. Geelius Histor. sophist. p. 201 sqq.; L. Spengel. Συναγ. τεχν. p. 93 sqq.; A. Westermannus Hist. eloq. gr. § 30, 13. 68, 6; A Winckelm. ad Plat. Euthyd. p. XXXIV sqq.; E. Leutschius in Diar. lit. halens. 1834, 198 p. 378 sqq. » Sauppius. Quibus addantur : Kayser. ad Philostr. v. sophist. p. 201-215; C. Fr. Hermann. Disp. de Thrasymacho Chalcedonio sophista, Gotting. 1848; Chr. Petersen in Schneidewin. Philolog. t. IV, p. 243-249; W. Teuffel in *Pauly's Realenc.* VI, p. 1903 sqq.

---

gat, nam et pisces egent sale (quamquam non verisimile est nec probabile eos, quum in salso alantur, sale egere), et oleæ egent oleo (quamquam vix credideris, ex quibus oleum fit ea ipsa oleo egere).»

1.

Testes quod attinet, sunt eorum duo genera, alii antiqui, alii recentes, et horum alii qui in periculum veniunt, alii qui extra periculum sunt. Dico autem antiquos poetas aliosque illustres viros, quorum judicia nota et testata sunt; ut Athenienses in controversia de Salamine Homero teste usi sunt,... et Cleophon adversus Critiam elegis Solonis (fr. 26 ed. Schn.), quum diceret, domum ipsius jam pridem turpibus deliciis deditam fuisse; alias enim nunquam dicturus fuisset Solon : « *Dic flavo Critiæ, patris ut præcepta sequatur.* »

2.

Erit autem rebus conveniens, si neque de rebus grandibus tenuiter et submisse, neque de tenuibus rebus graviter et ample quis dixerit, neque abjecto nomini ornatus adhibeatur; alioqui comœdia videbitur; quod crebro facit Cleophon; talia enim quædam profert ac si diceret « *veneranda ficus.* »

3.

Cleophon lyrarum faber, quem multi compedibus vinctum meminerant, per fraudem ac turpiter in civium album inscriptus, populo largitionibus corrupto, se gladio collum ei præcisurum minitabatur, qui pacis mentionem faceret.

Thrasymachus, sophista, patriam habuit Chalcedonem, urbem Bithyniæ. Is primus docuit rationes periodi et coli, et artis rhetoricæ eam quam hodieque servat formam instituit. Discipulus fuit Platonis et Isocratis rhetoris. Scripsit Suasorias, Artem rhetoricam, Ludicra (Prooemia?), Locos argumentorum rhetoricorum.

ΥΠΕΡ ΛΑΡΙΣΑΙΩΝ.

1.

Clemens Alex. Strom. p. 624, C ed. Sylb.: Καὶ μὴν ἐν Τηλέφῳ εἰπόντος Εὐριπίδου·

Ἕλληνες ὄντες βαρβάροις δουλεύσομεν;

Θρασύμαχος ἐν τῷ ὑπὲρ Λαρισαίων λέγει· « Ἀρχελάῳ δουλεύσομεν, Ἕλληνες ὄντες βαρβάρῳ; »

EX ORATIONE INCERTA.

2.

Dionysius De vi dic. in Demosth. c. 3, p. 959 R.: Τρίτη λέξις ἦν ἡ μικτή τε καὶ σύνθετος ἐκ τούτων τῶν δυεῖν· ἣν ὁ μὲν πρῶτος ἁρμοσάμενος καὶ καταστήσας εἰς τὸν νῦν ὑπάρχοντα τρόπον, εἴτε Θρασύμαχος ὁ Χαλκηδόνιος ἦν, ὡς οἴεται Θεόφραστος, εἴτε ἄλλος τις, οὐκ ἔχω λέγειν... Ἡ μὲν οὖν Θρασυμάχου λέξις τῶν λοιπῶν τῆς ὄντως μεσότητος αὐτὴν τὴν προαίρεσιν ἔοικεν ἔχειν σπουδῆς ἀξίαν· κέκραται γὰρ εὖ πως καὶ αὐτὸ τὸ χρήσιμον εἴληφεν ἑκατέρας· δυνάμει δ' ὡς οὐκ ἴση τῇ βουλήσει κέχρηται, παράδειγμα ἐξ ἑνὸς [θήσω] τῶν δημηγορικῶν λόγων τόδε· « Ἐβουλόμην μὲν ὦ Ἀθηναῖοι μετασχεῖν ἐκείνου τοῦ χρόνου τοῦ παλαιοῦ καὶ τῶν πραγμάτων, ἡνίκα σιωπᾶν ἀπέχρη τοῖς νεωτέροις, τῶν τε πραγμάτων οὐκ ἀναγκαζόντων ἀγορεύειν καὶ τῶν πρεσβυτέρων ὀρθῶς τὴν πόλιν ἐπιτροπευόντων· ἐπειδὴ δ' εἰς τοιοῦτον ἡμᾶς ἀνέθετο χρόνον ὁ δαίμων, ὥστε ** τῆς πόλεως ἀκούειν, τὰς δὲ συμφορὰς ** αὐτούς, καὶ τούτων τὰ μέγιστα μὴ θεῶν ἔργα εἶναι μηδὲ τῆς τύχης, ἀλλὰ τῶν ἐπιμεληθέντων, ἀνάγκη δὴ λέγειν. Ἢ γὰρ ἀναίσθητος ἢ καρτερώτατός ἐστιν, ὅστις ἐξαμαρτάνειν ἑαυτὸν ἔτι παρέξει τοῖς βουλομένοις καὶ τῆς ἑτέρων ἐπιβουλῆς τε καὶ κακίας αὐτὸς ὑποσχήσει τὰς αἰτίας. Ἅλις γὰρ ἡμῖν ὁ παρελθὼν χρόνος, ἀντὶ μὲν εἰρήνης ἐν πολέμῳ γενέσθαι καὶ διὰ κινδύνων εἰς τόνδε τὸν χρόνον **, τὴν μὲν παρελθοῦσαν ἡμέραν ἀγαπῶσι τὴν δ' ἐπιοῦσαν δεδιόσιν, ἀντὶ δ' ὁμονοίας εἰς ἔχθραν καὶ ταραχὰς πρὸς ἀλλήλους ἀφικέσθαι. Καὶ τοὺς μὲν ἄλλους τὸ πλῆθος τῶν ἀγαθῶν [ὑβρίζειν τε ποιεῖ καὶ στασιάζειν, ἡμεῖς δὲ μετὰ μὲν τῶν ἀγαθῶν] ἐσωφρονοῦμεν, ἐν δὲ τοῖς κακοῖς μεμήναμεν, ἃ τοὺς ἄλλους σωφρονίζειν εἴωθεν. Τί δῆτα μέλλοι τις ἂν γιγνώσκειν [ἢ] εἰπεῖν, ὅτῳ γε λυπεῖσθαι ἐπὶ τοῖς παροῦσι καὶ ** νομίζειν εἴωθε; Τί δῆτα ἔχει τοιοῦτον, ὡς μηδὲν ἔτι τοιοῦτον ἔσται; Πρῶτον μὲν οὖν τοὺς διαφερομένους πρὸς ἀλλήλους καὶ τῶν ῥητόρων καὶ τῶν ἄλλων ἀποδείξω γε προλέγων πεπονθότας πρὸς ἀλλήλους, ὅπερ ἀνάγκη τοὺς ἄνευ γνώμης φιλονεικοῦντας πάσχειν. Οἰόμενοι γὰρ ἐναντία λέγειν ἀλλήλοις οὐκ αἰσθάνονται τὰ αὐτὰ πράττοντες οὐδὲ τὸν τῶν ἑτέρων λόγον ἐν τῷ ἑαυτῶν λόγῳ ἐνόντα. Σκέψασθε γὰρ ἐξ ἀρχῆς ἃ ζητοῦσιν ἑκάτεροι. Πρῶτον μὲν ἡ πάτριος πολιτεία ταραχὴν αὐτοῖς παρέχει, ῥᾴστη γνωσθῆναι καὶ κοινοτάτη τοῖς πολίταις οὖσα πᾶσιν. Ὁπόσα μὲν οὖν ἐπέκεινα τῆς ἡμετέρας γνώμης ἐστίν, ἀκούειν ἀνάγκη λεγόντων τῶν παλαιοτέρων, ὁπόσα δ' [οὐδ'] αὐτοὶ ἐπεῖδον οἱ πρεσβύτεροι, ταῦτα δὲ παρὰ τῶν εἰδότων πυνθάνεσθαι. »

Τοιαύτη μὲν οὖν τις ἡ Θρασυμάχειος ἑρμηνεία, μέση τοῖν δυεῖν καὶ εὔκρατος καὶ εἰς [ἀμφο]τέρους τοὺς χαρακτῆρας ἐπίκαιρον ἀφετήριον.

PRO LARISÆIS.

1.

Quemadmodum in Telepho Euripides (fr. 716 ed. Didot) dixit:

An Græci nos barbaris serviemus?

sic Thrasymachus in oratione pro Larisæis dicit: « *Archelao serviemus, Græci barbaro?* »

EX ORATIONE INCERTA.

2.

Tertium dicendi genus mixtum est et ex duobus his compositum; quod quisnam primus ita temperaverit, et ad illum quo nunc est ornatum adduxerit, sive Thrasymachus Chalcedonius, ut Theophrastus censet, sive alius, dicere non habeo... Thrasymachi igitur dictio præ ceteris ipsam veram hanc medietatem, studio sane dignam, proposuisse sibi videtur; nam bene temperata est et ex utroque genere id solum quod utile foret assumpsit; vim autem non eodem studio conciliare solet, ut probabo hoc exemplo ex una orationum coram populo habendarum petito:

« Vellem sane, Athenienses, in antiqua illa tempora rerumque statum incidissem, quibus junioribus tacere satis erat, rebus ad dicendum non compellentibus et senibus probe rempublicam administrantibus; sed quoniam fatum in ejusmodi nos conjecit tempora, ut [*reip. felicitas ab prioribus*] audienda, calamitates vero [*ipsis nobis contemplandæ*] sint, harumque præcipuæ non diis vel fortunæ, sed rectoribus debeantur, necessario dicendum est. Aut enim stupidissimus aut patientissimus est qui etiamnunc seipsum offerat iis qui damno affligere gestiunt, et aliorum perfidiæ malitiæque causam sustineat. Sufficit tempus præteritum, quo factum est, ut pro pace bellum habeamus et per pericula eo [*devenerimus*], ut præteritam diem amemus, futuram extimeamus, ut ex concordia in inimicitias et turbas intestinas delapsi simus. Ceteros quidem homines bonorum abundantia insolentes et seditiosos reddere solet, nos vero in felicitate modesti eramus, in calamitatibus autem, quæ ad modestiam alios reducere solent, insanimus. Quid enim possit aliquis putare vel dicere, cui dolore affici præsentibus et ** censere solebat. Quid enim habet tale, ut non amplius tale aliquid futurum sit? Primum igitur dissidere inter se oratores ceterosque demonstrabo dicamque id sibi mutuo facere quod præter rationem contendentes facere necessarium est. Putantes enim contraria se alteris alteros dicere, non intelligunt eadem se agere et alterorum verba in alterorum verbis contineri. Attendite quæso ab initio quod utrique intendant. Primum quidem patria reipublicæ constitutio dissensionis illis causa est, quum tamen cognitu facilis sit et omnibus civibus communis. Quæcunque enim ultra nostram cognitionem sunt, de iis necessario audiendi sunt vetustiores, quæ autem ne ipsi quidem seniores viderunt, hæc ex iis qui sciant cognosci debent. »

Tali igitur elocutionis modo utitur Thrasymachus, qui quum inter ceteros duos medius sit ex iisque bene mixtus, ab eo ad utrumque dictionis characterem commodissime proficiscaris.

ΠΡΟΟΙΜΙΑ.

3.

Athenæus X, p. 416, A : Θρασύμαχος δ' ὁ Χαλκηδόνιος ἔν τινι τῶν προοιμίων τὸν Τιμοκρέοντά φησιν ὡς μέγαν βασιλέα ἀφικόμενον καὶ ξενιζόμενον παρ' αὐτῷ πολλὰ ἐμφορεῖσθαι. Πυθομένου δὲ τοῦ βασιλέως ὅ τι ἀπὸ τούτων ἐργάζοιτο, εἶπε Περσῶν ἀναριθμήτους συγκόψειν. Καὶ τῇ ὑστεραίᾳ πολλοὺς καθ' ἕνα νικήσας μετὰ τοῦτο ἐχειρονόμησε. Πυνθανομένου δὲ τὴν πρόφασιν ἀπολείπεσθαι ἔφη τοσαύτας, εἰ προσίοι τις, πληγάς.

ΜΕΓΑΛΗ ΤΕΧΝΗ.

4.

Schol. Aristoph. Av. 880 : Ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις, ἐπειδὴ ἔπεμπον οἱ Χῖοι συμμάχους εἰς Ἀθήνας, ὅτε χρεία πολέμου προσῆν, καθάπερ Θεόπομπος ἐν τῷ ιϛ' τῶν Φιλιππικῶν φησιν οὕτως· « Οἱ δὲ πολλοὶ τοῦ « ταῦτα πράττειν ἀπεῖχον· ὥστε τὰς εὐχὰς κοινὰς καὶ « περὶ ἐκείνων καὶ σφῶν αὐτῶν ἐποιοῦντο, καὶ σπέν« δοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ὁμοίως « ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ σφίσιν « αὐτοῖς. ».... Τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν ἐν τῇ μεγάλῃ τέχνῃ. Ὁ δὲ Ὑπερείδης ἐν τῷ Χιακῷ (Χαλκῷ codd.; em. Bœckh.) καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις δεδήλωκεν.

5.

Plato Phædr. p. 267, C : Τῶν γε μὴν οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων κεκρατηκέναι τέχνῃ μοι φαίνεται τὸ τοῦ Χαλκηδονίου σθένος· ὀργίσαι τε αὖ πολλοὺς ἅμα δεινὸς ἀνὴρ γέγονε καὶ πάλιν « ὠργισμένοις ἐπᾴδων κηλεῖν, » ὡς ἔφη· διαβάλλειν τε καὶ ἀπολύσασθαι διαβολὰς ὁθενδὴ κράτιστος. Hermias ad h. l. p. 192 Ast., p. 70 in Anecd. Siebenkees. : Ὁ γὰρ Χαλκηδόνιος, τουτέστιν ὁ Θρασύμαχος, ταῦτα ἐδίδαξεν, ὡς δεῖ οἶκτον ἐγεῖραι τῶν δικαστῶν καὶ ἐπισπᾶσθαι ἔλεον, γῆρας, πενίαν, τέκνα ἀποδυρόμενον καὶ τὰ ὅμοια.

Quintil. Inst. orat. III. 1, 12 : *Horum* (τῶν λογοδαιδάλων quos Plato dicit) *primi communes locos tractasse dicuntur Protagoras, Gorgias, affectus Prodicus et Hippias et idem Protagoras et Thrasymachus.*

6.

Plutarch. Qu. Conv. I, 2, III, p. 616, E : Ἀλλ' οὐδ' εὐχερής ἡ διάκρισίς ἐστι, τῶν μὲν ἡλικίᾳ, τῶν δὲ δυνάμει, τῶν δὲ χρείᾳ, τῶν δ' οἰκειότητι διαφερόντων· ἀλλὰ δεῖ, καθάπερ ὑπόθεσιν μελετῶντα συγκριτικήν, τοὺς Ἀριστοτέλους τόπους ἢ τοὺς Θρασυμάχου ὑπερβάλλοντας ἔχειν προχείρους, οὐδὲν τῶν χρησίμων διαπραττόμενον, ἀλλὰ τὴν κενὴν δόξαν ἐκ τῆς ἀγορᾶς καὶ τῶν θεάτρων εἰς τὰ συμπόσια μετάγοντα. « J. Geelius l. d. p. 206 sq. hunc singularem librum fuisse opinabatur. Sed cum Plutarchus eos Aristotelis locis composuerit, apparet eos fuisse locos artificiose excogitatos, quibus præstantia hominis alicujus vel rei demonstrari posset. Verisimile igitur est eos in arte tractatos esse. » SAUPPE.

7.

Aristot. Rhet. III, 1, p. 385 : Ἐκείνη μὲν οὖν (sc. ἡ λέξις), ὅταν ἔλθῃ, ταὐτὸ ποιήσει τῇ ὑποκριτικῇ, ἐγκεχειρήκασι δὲ ἐπ' ὀλίγον περὶ αὐτῆς εἰπεῖν τινες, οἷον Θρασύμαχος ἐν τοῖς ἐλέοις. « Puto etiam Ἐλέους partem artis effecisse, Thrasymachum vero, cum explicaret quomodo misericordia auditorum moveri posset, pauca etiam de dictione præcepisse,

---

PROŒMIA.

3.

Thrasymachus Chalcedonius in Proœmio aliquo Timocreontem dicit, quum ad magnum regem venisset, convivio ab eo exceptum multis cibis implevisse sibi ventrem. Interrogante autem rege quid post hæc faceret, innumeros Persas se contusurum dixit. Et postridie multis deinceps certamine devictis, manibus deinde gesticulans saltavit. Rogatusque quid ea gesticulatione sibi vellet, respondit, tot ictus, si quis porro progredi vellet, superesse.

MAGNA ARS ORATORIA.

4.

Athenienses in sacrificiis sibi simulque Chiis salutem precabantur, quoniam Chii socios Athenas mittebant quando belli usus id exigeret, sicut Theopompus (fr. 115) duodecimo Philippicorum libro ait verbis hisce : « Plurimi autem ab his faciendis abstinebant, adeo ut communes et pro illis et pro se ipsis preces facerent, atque libationes in publicis sacrificiis instituentes similiter deos precarentur ut et Chiis bona darent et sibi ipsis. »... Eadem hæc Theopompi etiam Thrasymachus dicit in Magna arte. Hyperides vero in Chiaca oratione Chios quoque pro Atheniensibus precatos esse prodidit.

5.

In commiserationibus a senectute et paupertate commovendis excelluisse mihi videtur Chalcedonii oratoris robur; iram quoque in multitudine concitare eximie vir valebat et rursum *iratos incantatione demulcere*, ut ipse ait; porro in conficiendis solvendisque undique calumniis egregius erat.

Chalcedonius ille, Thrasymachus scilicet, docuit quomodo judicum commiseratio et misericordia excitari et commoveri debeant plorando senectutem, paupertatem, liberos et similia.

6.

Ordinem quo convivæ disponendi sint dijudicare non est facile, aliis ætate, aliis potentia, aliis necessitudine, aliis familiaritate præstantibus; oportetque tanquam argumentum qui meditaretur in comparandis inter se aliquibus versans, in promptu habere Aristotelis locos aut Thrasymachi locos quibus de præstantiæ demonstratione agitur; et tamen sic nihil utile conficias, inanem duntaxat gloriam a foro et theatro in convivia traduxeris.

7.

Dictio quum venerit, idem efficiet quod actio. Quidam pauca de ea præcipere tentarunt, ut Thrasymachus in Miserationibus.

qui intelligeret in hac orationis parte dicendi genere elaborato et venusto maxime opus esse. Cf. Cic. Orator, 12 § 39. » Sauppe.

8.

Aristot. ib. III, 8, 4 p. 393, 33 (de numeris orationis agens) : Λείπεται δὲ παιάν, ᾧ ἐχρῶντο μὲν ἀπὸ Θρασυμάχου ἀρξάμενοι, οὐκ εἶχον δὲ λέγειν τίς ἦν.

Quintil. Inst. or. IX, 4, § 87 : *Licet igitur pæona sequatur Ephorus, inventum a Thrasymacho, probatum ab Aristotele, dactylumque, ut temperatiores brevibus ac longis, fugiat molossum et trochæum, alterius tarditate, alterius celeritate damnata.... : irrumpent etiam ad invitos.*

9.

Id. ib. III, 3, 1 : *Omnis autem orandi ratio... quinque partibus constat, inventione, dispositione, elocutione, memoria, pronuntiatione sive actione; utroque enim modo dicitur.... Nec audiendi quidam, quorum est Albutius, qui tris modo primas esse partes volunt, quoniam memoria atque actio natura, non arte, contingant (quarum nos præcepta suo loco dabimus), licet Thrasymachus quoque idem de actione crediderit.* « Non temere videor statuere, Quintilianum Aristotelis loco male intellecto hæc falso tradidisse. Apud Aristotelem enim Rhetor. 3, 1 (cf. supra frg. 7) post verba Θρασύμαχος ἐν τοῖς ἐλέοις hæc sequuntur : καὶ ἔστι φύσεως τὸ ὑποκριτικὸν εἶναι καὶ ἀτεχνότερον, περὶ δὲ τὴν λέξιν ἔντεχνον. Quæ Aristotelis ipsius esse apparet, sed ad Thrasymachum referenda esse putabat etiam L. Spengel Συναγ. p. 10. Aristotelis esse bene monuit H. Meyerus ad Quintil. I, p. 273. » Sauppe.

VII. THEODORUS.

Suidas : Θεόδωρος, Βυζάντιος, σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη, ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου, καὶ ἄλλα τινά.

De Theodoro cf. Cicero Brut. 12; Diog. L. II, 104; Aristot. Rhet. II, 23. III, 11; Dionys. Is. 19. p. 261, C; Quintil. IV, 11; Spengeli Συναγωγὴ τεχνῶν p. 98 sqq.; Sauppe in Zimmermanni Diurn. lit. antiq. 1835, p. 406.

VIII. SOPHOCLES.

Aristot. Rhet. I, 14 p. 342 : Ἀδίκημα δὲ μεῖζον ... καὶ εἰ ὁ παθὼν καὶ ἀδικηθεὶς αὐτὸς αὑτὸν μεγάλως ἐκόλασεν· ἔτι γὰρ μείζονι ὁ ποιήσας δίκαιος κολασθῆναι. Οἷον Σοφοκλῆς ὑπὲρ Εὐκτήμονος συνηγορῶν, ἐπεὶ ἀπέσφαξεν ἑαυτὸν ὑβρισθείς, οὐ τιμήσειν ἔφη ἐλάττονος ἢ οὗ ὁ παθὼν ἑαυτῷ ἐτίμησεν. Sophocles intelligendus esse videtur is cujus Aristoteles meminit l. l. III, 18, 6, et Xenophon H. gr. II, 3, 2. V. Ruhnken Hist. cr. oratt. § 7.

IX. ANDOCIDES.

Vitæ X orr. p. 835, A : Δηλοῖ δὲ (Ἀνδοκίδης) περὶ πάντων ἐν τοῖς λόγοις οἷς συγγέγραφεν· οἱ μὲν γὰρ ἀπολογουμένου περὶ τῶν μυστηρίων εἰσίν, οἱ δὲ καθόδου δεομένου. Σώζεται δὲ αὐτοῦ καὶ ὁ περὶ τῆς ἐνδείξεως λόγος καὶ ἀπολογία πρὸς Φαίακα καὶ περὶ τῆς εἰρήνης.

8.

Reliquus est pæan, quo quidem usi sunt inde a Thrasymacho, at quæ esset ejus natura, dicere non habebant.

Theodorus, Byzantius, sophista qui a Platone (in Phædro p. 266, A) λογοδαίδαλος, *verborum artifex*, est vocatus, scripsit orationem contra Thrasybulum, aliam contra Andocidem, et alia nonnulla.

Major etiam injuria est, si læsus et qui injuriam accepit, ipse de se grave supplicium sumpsit; multo enim majore pœna dignus est, qui fecit; sic Sophocles orator Euctemonis causam agens, qui ob illatam sibi contumeliam se jugulaverat, negavit se minoris litem æstimaturum, quam quanti eam læsus ipse sibi æstimasset.

De omnibus quæ ipsi evenerint, Andocides in orationibus ab ipso conscriptis exposuit. Aliæ harum sunt de violata abs se religione crimen propulsantis, aliæ reditum flagitantis. Superstes etiam est ejus de delatione oratio et contra Phæacem defensio et oratio de pace.

Schol. Æschin. Περὶ παραϐρ. § 18 : Λυκοῦργος (ἔγραψε) λόγους η', Ἀνδοκίδης λόγους μδ'. Cf. Crameri Anecd. Oxon. t. IV, p. 256. Pro η' legendum esse ιδ' et pro μδ' reponendum η' censet Sauppius ; certe octo Andocidis orationes numerari, si quattuor illis quæ integræ exstant, addideris τὸν περὶ τῆς ἐνδείξεως λόγον, τὴν ἀπολογίαν πρὸς Φαίακα, τὸν συμϐουλευτικόν, τὸν πρὸς τοὺς ἑταίρους.

I. ΠΕΡΙ ΤΗΣ ΕΝΔΕΙΞΕΩΣ.

1.

Harpocratio : Ζητητής, ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη, εἴ ποτε τοὺς ἀδικοῦντάς τι δημοσίᾳ δέοι ζητεῖν· Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ Περὶ ἐνδείξεως. Οὗτος δὲ ὁ ῥήτωρ καὶ ζητητής ποτε ἐγένετο, ὥς φησι Λυσίας καὶ Ἰσοκράτης καὶ Πλάτων ὁ κωμικὸς Πρέσϐεσιν.

II. ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ.

2. 3.

Antiatticista in Bekk. Anecd. p. 94, 21 : Εὐωχεῖν, ἀντὶ τοῦ εὐωχεῖσθαι· Ἀνδοκίδης Συμϐουλευτικῷ.

Photius Lex. : Ναυκρατίαν, Ἀνδοκίδης Συμϐουλευτικῷ.

III. ΠΡΟΣ ΤΟΥΣ ΕΤΑΙΡΟΥΣ.

4.

Plutarch. Themistocl. c. 32 : Καὶ τάφον μὲν αὐτοῦ (Θεμιστοκλέους) λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ Πρὸς τοὺς ἑταίρους λέγοντι, φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους· ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς. « Plutarchus laudat Andocidem ἐν τῷ Πρὸς τοὺς ἑταίρους, nisi ibi epistola intelligenda sit, scripta ad Pisandri in statu populari evertendo socios, qui proprie ἑταῖροι appellantur. V. Thucyd. VIII, 48. 65 et Taylor in Lys. Vita p. 39. » Ruhnken Hist. cr. orr. p. 52. Quam sententiam probans Sauppius conferri jubet quæ ipse dixerit in Comment. De magnitudine Athenarum part. 1 p. 24 et quæ W. Vischer exposuerit in libro *Die oligarchische Partei* etc. p. 25 sqq.

5.

Suidas : Σκάνδικα οὖν λάχανα οὐ τὰ ἐκ τῶν κηπίων, ἀλλὰ τὰ αὐτομάτως φυόμενα, ὥς φησιν Ἀνδοκίδης· « μὴ γάρ ἴδοιμέν ποτε πάλιν ἐκ τῶν ὀρέων « τοὺς ἀνθρακευτὰς ἥκοντας καὶ πρόϐατα καὶ βοῦς « καὶ τὰς ἁμάξας εἰς τὸ ἄστυ, καὶ γύναια καὶ πρε- « σϐυτέρους ἄνδρας καὶ ἐργάτας ἐξοπλιζομένους· μηδὲ « ἄγρια λάχανα καὶ σκάνδικας ἔτι φάγοιμεν. » « Andocides prima belli peloponnesiaci tempora significat, quibus Pericle auctore Athenienses agris relictis in urbem confugerant (Thuc. II, 14 sq.) » Sauppe.

IV. SEDIS INCERTÆ FRAGMENTA.

6.

Schol. Arist. Vesp. 1007 : Ἀνδοκίδης φησὶ τοίνυν· « Περὶ Ὑπερϐόλου λέγειν αἰσχύνομαι· οὗ ὁ μὲν « πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ « δουλεύει τῷ δημοσίῳ, αὐτὸς δὲ ξένος ὢν καὶ βάρ- « ϐαρος λυχνοποιεῖ. »

Schol. in Lucian. Timon. p. 46 ed. Jacobitz : Ὁ δὲ αὐτὸς (Hyperbolus) καὶ λυχνοποιὸς ἦν καὶ ἐλυχνοπώλει, ὡς Ἀνδοκίδης ἱστορεῖ, ὃς καὶ ξένον αὐτὸν εἶναι καὶ βάρϐαρον βούλεται.

7.

Pollux II, 58 : Καὶ σύνοπτον, ὡς Ἀνδοκίδης.

Lycurgus scripsit orationes octo (*quattuordecim ?*), Andocides orationes quadraginta quattuor (*octo ?*).

I. DE DELATIONE.

1.

Ζητητής, *inquisitor*, magistratus Athenis ad tempus constitutus, si quando anquirendi essent qui publice injuriosi fuissent. Demosthenes in or. Contra Timocratem et Andocides in or. De delatione. Hic orator ipse quoque inquisitor quondam fuit, ut ait Lysias et Isocrates et Plato comicus in Πρέσϐεσιν.

II. SUASORIA ORATIO.

2. 3.

Εὐωχεῖν pro εὐωχεῖσθαι Andocides in Suasoria. Ναυκρατίαν, *victoriam navalem*, Andocides in Suasoria.

III. AD SOCIOS.

4.

Sepulcrum Themistoclis splendidum Magnesiæ in foro exstat ; de reliquiis ejus fides Andocidæ habenda non est, qui in oratione Ad socios scribit, Athenienses eas furto surreptas disjecisse ; mentitur enim studio eos, qui penes paucos esse imperium esse volebant, adversum populum concitandi.

5.

Scandicem (*Aristophanes Acharn.* 477) dicit olera, non quæ in hortis nascuntur, sed quæ sponte crescunt, ut ait Andocides : *Ne enim unquam videamus denuo carbonarios* (*Acharnenses*) *ex montibus in urbem venientes, et oves et boves et plaustra et mulierculas et viros seniores et operarios armatos; neve olera silvestria et scandices amplius edamus.*

IV. SEDIS INCERTÆ FRAGMENTA.

6.

Andocides ait : « De Hyperbolo dicere pudet ; cujus pater nota inusta insignitus etiam nunc in publica officina argentaria servus est, dum ipse Hyperbolus, peregrinus homo et barbarus, lucernas fabricat. »

Hyperbolus lucernas fabricabat et vendebat, ut Andocides ait, qui etiam peregrinum eum esse et barbarum vult.

7.

Σύνοπτον, *conspicuum*, apud Andocidem.

X. ARCHINUS.

I. ΚΑΤΑ ΘΡΑΣΥΒΟΥΛΟΥ ΠΑΡΑΝΟΜΩΝ.

1.

Maximus Planudes ad Hermogen. tom. V, p. 343, 11 in Rh. gr. ed. Walz. : Θρασύβουλος μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν ἔγραψε τῷ Λυσίᾳ ψήφισμα περὶ τοῦ δεῖν αὐτὸν γενέσθαι πολίτην καὶ κατηγορηθεὶς ὡς ἀπροβούλευτον ψήφισμα εἰσενεγκὼν (οὐ γὰρ ἦν πω καταστᾶσα ἡ βουλή) κατεδικάσθη χρημάτων· ὁ δὲ « οὐ μὰ Δία » ἔφη « ἀλλὰ θανάτου· τί γὰρ τοιούτους ἔσωζον ; »

Vitæ X orr. p. 835, F : Ἐφ' οὗ γράψαντος αὐτῷ Θρασυβούλου πολιτείαν μετὰ τὴν κάθοδον ἐπὶ ἀναρχίας τῆς πρὸ Εὐκλείδου ὁ μὲν δῆμος ἐκύρωσε τὴν δωρεάν, ἀπενεγκαμένου δὲ Ἀρχίνου γραφὴν παρανόμων διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι ἑάλω τὸ ψήφισμα. Æschines C. Ctes. § 195 : Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα γράψαντά τι παρὰ τοὺς νόμους, ἕνα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε.

2.

Plato Phædr. p. 257, C : Καὶ γάρ τις αὐτὸν (Lysiam), ὦ θαυμάσιε, ἔναγχος τῶν πολιτικῶν τοῦτ' αὐτὸ λοιδορῶν ὠνείδιζε καὶ διὰ πάσης τῆς λοιδορίας ἐκάλει λογογράφον. Hæc ex laudata Archini oratione petita esse probabiliter Sauppius conjecit.

II. ΕΠΙΤΑΦΙΟΣ.

3.

Photius cod. 260, p. 487, b, 32 ed. B. : Τάχα δ' ἄν τις αὐτὸν (Isocratem) αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο.

Cf. Plato Menexen. p. 234, B : Οἶμαι μέντοι Ἀρχῖνον ἢ Δίωνα αἱρεθήσεσθαι (sc. ὥστε λέγειν ἐπὶ τοῖς ἀποθανοῦσιν.)

4.

Clemens Alex. Strom. VI p. 627 Sylb. : Ὅ τε Ἀρχῖνος λέγει· « πᾶσι μὲν ἀνθρώποις ὀφείλεται ἀποθανεῖν, ἢ πρότερον ἢ εἰς ὕστερον. »

XI. ANTISTHENES.

Diog. Laert. VI, 15 : Φέρονται δ' αὐτοῦ (Ἀντισθένους) συγγράμματα τόμοι δέκα· πρῶτος ἐν ᾧ περὶ λέξεως ἢ περὶ χαρακτήρων, Αἴας ἢ Αἴαντος λόγος, Ὀδυσσεὺς ἢ ὑπὲρ Ὀδυσσέως, Ὀρέστου ἀπολογία, Περὶ τῶν δικογράφων, Ἰσογραφὴ ἢ Λυσίας καὶ Ἰσοκράτης, Πρὸς τὸν Ἰσοκράτους ἀμάρτυρον. Declamationes quæ Αἴας et Ὀδυσσεύς inscribuntur et Antisthenis nomine perperam circumferri videntur, v. supra p. 165. Ceterum cf. Winckelmann. fragm. Antisthenis, Turici, 1842.

I. CONTRA THRASYBULUM DE ROGATIONE LEGIBUS CONTRARIA.

1.

Thrasybulus post eversos triginta viros decretum scripsit, quo Lysias civitate donandus esset; accusatus autem quod decretum ad populum tulisset, non consulto antea senatu (nondum enim senatus constitutus erat), et condemnatus pecuniæ : Immo, dixit, per Jovem, capitis condemnandus eram; cur enim ejusmodi homines servavi ?

Thrasybulus Lysiæ post reditum decrevit civitatem, in magistratuum vacatione ante Euclidem. Quod donum quum ratum esse jussisset populus, Archino id contra leges factum referente ad judices, quia sine auctoritate senatus scitum fuisset, rescissum est.

Archinus Cœleus violatarum legum postulabat Thrasybulum Stiriensem, quod contra leges decretum fecerat, unum scilicet ex iis qui secum a Phyla reversi erant, et reum peregit.

2.

Lysiæ nuper vir quidam res publicas tractans hoc ipsum conviciando exprobravit et per totam accusationem orationum scriptorem appellavit.

II. FUNEBRIS ORATIO.

3.

Fortasse Isocratem aliquis furti incusaverit, quum in panegyrica oratione multa habeat eorum quæ in funebribus orationibus ab Archino et Thucydide et Lysia dicta sunt.

4.

Archinus dicit : « Omnibus hominibus moriendum est sive citius sive serius. »

Feruntur Antisthenis scripta tomi decem; primus in quo de dictione seu de figuris; Ajax sive Ajacis oratio; Ulysses sive pro Ulysse; Orestis defensio; De causidicis; Isographe sive Lysias et Isocrates; adversus Isocratis ἀμάρτυρον.

XII. ÆSCHINES SOCRATICUS.

Diogn. Laert. II, 62 : Φασὶ δ' αὐτὸν ... συγγράφειν λόγους δικανικοὺς τοῖς ἀδικουμένοις· διὸ καὶ τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτῷ·

ἥ τ' Αἰσχίνου οὐκ ἐπιπειθὴς
γράψαι.

Id. II, 63 : Ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς ἱκανῶς γεγυμνασμένος, ὡς δῆλον ἔκ τε τῆς ἀπολογίας [Ἐρασιστράτου] τοῦ πατρὸς Φαίακος τοῦ στρατηγοῦ καὶ τῆς Δίωνος· μάλιστα δὲ μιμεῖται Γοργίαν τὸν Λεοντῖνον. Καὶ Λυσίας δὲ κατ' αὐτοῦ γέγραφε λόγον περὶ συκοφαντίας ἐπιγράψας· ἐξ ὧν δῆλος ὅτι καὶ ῥητορικός τις ἦν.

[Philostratus Ep. 73 : Καὶ Αἰσχίνης δὲ ὁ ἀπὸ τοῦ Σωκράτους, ὑπὲρ οὗ πρώην ἐσπούδαζες ὡς οὐκ ἀφανῶς τοὺς διαλόγους κολάζοντος, οὐκ ὤκνει γοργιάζειν ἐν τῷ περὶ τῆς Θαργηλίας λόγῳ· φησὶ γάρ που ὧδε· « Θαργηλία ἐλθοῦσα εἰς Θετταλίαν ξυνῆν Ἀντιόχῳ Θετταλῷ, βασιλεύοντι πάντων Θετταλῶν. »] Hæc non ex declamatione, sed potius e Dialogo, qui Ἀσπασία inscribebatur, petita esse probabiliter censent Welcker (Op. 1, p. 421), Sauppe et C. Hermann (*Disputatio de Æschinis Socratici reliquiis. Gotting.* 1850, p. 18. Cf. id. p. 6 n. 8).

XIII. LYSIAS.

Vitæ X oratt. p. 836, A : Φέρονται δ' αὐτοῦ (Λυσίου) λόγοι υκε'. Τούτων γνησίους φασὶν οἱ περὶ Διονύσιον καὶ Κεκίλιον εἶναι σλγ', ἐν οἷς δὶς μόνον ἡττῆσθαι λέγεται. Ἔστι δ' αὐτοῦ καὶ ὁ περὶ τοῦ ψηφίσματος, ὃ ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελών, καὶ κατὰ τῶν λ' ἕτερος. Ἐγένετο δὲ πιθανώτατος καὶ βραχύτατος, τοῖς ἰδιώταις τοὺς πολλοὺς λόγους ἐκδούς· εἰσὶ δ' αὐτῷ καὶ τέχναι ῥητορικαὶ πεποιημέναι καὶ δημηγορίαι, ἐπιστολαί τε καὶ ἐγκώμια καὶ ἐπιτάφιοι καὶ ἐρωτικοὶ καὶ Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. Numerum σλγ' e Photio et cod. Parisino 1957 dederunt Dübner, Westermann et Sauppe; erat σλ'.

Photius cod. 262, p. 488, b, 14 : Ἀνεγνώσθησαν Λυσίου λόγοι διάφοροι. Φέρονται δὲ αὐτοῦ κε' καὶ υ', ὧν τοῖς γνησίοις γ' καὶ λ' καὶ διακοσίους ἐγκρίνουσιν, ἐν οἷς δὶς μόνον τὸ ἔλαττον ἐνεγκεῖν τῇ λέξει πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος λέγεται. Ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος καὶ τῷ δοκεῖν μὴ δεινὸς λέγειν εἴπερ τις ἄλλος δεινότατος· ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν οὐδὲν ἔλαττον δυσμίμητος ἐπιδείκνυται. Τοὺς μέντοι γε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. Συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαί, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοὶ καὶ Σωκράτους ἀπολογία.

Suidas v. Λυσίας : Λόγοι δὲ αὐτοῦ λέγονται εἶναι γνήσιοι ὑπὲρ τοὺς τ' καὶ ἕτεροι πρὸς τούτοις ἀμφιδοξού-

---

Æschinem Socraticum ajunt conscripsisse orationes judiciales; atque ideo Timonem de eo dixisse : *Virtus nescia persuadendi Æschinis.*

Æschines etiam in arte oratoria satis exercitatus erat, ut patet ex defensione [*Erasistrati*] patris Phæacis prætoris, et ex ea Dionis. Gorgiam maxime Leontinum imitatur. Porro Lysias contra eum scripsit orationem, quam inscripsit *de calumnia;* ex quibus liquet oratorem quoque fuisse.

[Æschines etiam Socraticus, de quo nuper disserebas, ut qui non obscure dialogos suos castigasset, in sermone de Thargelia scripto gorgissare non dubitabat. Dicit enim hoc fere modo : « Thargelia Milesia profecta in Thessaliam cum Antiocho versabatur Thessalo, qui cunctis imperat Thessalis. »]

Orationes Lysiæ feruntur viginti et quinque supra quadringentas : de his germanas affirmant Dionysius et Cæcilius esse triginta et tres supra ducentas, quarum in duabus tantum victus dicitur. Est etiam oratio ejus pro decreto, quod Archinus impugnavit, ne Lysias civitatem acciperet, et alia oratio adversus Triginta tyrannos. Vim ad persuadendum habuit maximam summaque est usus brevitate. Majorem orationum partem privatis hominibus composuit; ejusdem tamen sunt etiam Artes oratoriæ et conciones atque epistolæ, laudationes, funebres orationes et amatoriæ, item defensio Socratis, ingeniis judicum accommodata.

Legi varias Lysiæ orationes. Feruntur ejus orationes quadringentæ viginti tres, e quibus legitimas esse censent ducentas triginta tres. In his bis tantum dicendo victus esse perhibetur, quum contra adversarios sæpissime contenderit. Est vero orationibus suis brevissimus, maximam habet vim persuadendi, et quamvis esse non videatur reapse est dicendi peritissimus. Idem etsi perfacilis esse videtur, nihilominus imitatu difficilis est. Ceterum majorem orationum partem privatis composuisse dicitur. Ut summatim dicam, scripta ejus comprehenduntur orationibus concionalibus, epistolis, laudationibus, orationibus funebribus, amatoriis et defensione Socratis.

Orationes Lysiæ germanæ perhibentur esse ultra trecentas et præter eas aliæ de quibus ambigitur. Scripsit etiam ar-

μενοι... Ἔγραψε δὲ καὶ τέχνας ῥητορικὰς καὶ δημηγορίας, ἐγκώμιά τε καὶ ἐπιταφίους, καὶ ἐπιστολὰς ζ′, μίαν μὲν πραγματικήν, τὰς δὲ λοιπὰς ἐρωτικάς, ὧν αἱ πέντε πρὸς μειράκια.

Dionysius t. V, p. 453, 11 : Πλείστους δὲ γράψας λόγους εἴς δικαστήριά τε καὶ βουλὰς καὶ πρὸς ἐκκλησίας εὐθέτους, πρὸς δὲ τούτοις πανηγυρικούς, ἐρωτικούς, ἐπιστολικούς, τῶν μὲν ἔμπροσθεν γενομένων ῥητόρων ἢ κατὰ τὸν αὐτὸν χρόνον ἀκμασάντων ἠφάνισε τὰς δόξας.

Id. ib. p. 459, 7 : Λυσίας δὲ τοιοῦτον οὐδὲν ἤσκησεν ἐν γοῦν τοῖς σπουδῇ γραφομένοις δικανικοῖς καὶ συμβουλευτικοῖς λόγοις ποιῆσαι, πλὴν εἴ τι μικρὸν ἐν τοῖς πανηγυρικοῖς· περὶ γὰρ δὴ τῶν ἐπιστολικῶν αὐτοῦ καὶ ἑταιρικῶν καὶ τῶν ἄλλων, οὓς μετὰ παιδιᾶς ἔγραψεν, οὐδὲν δέομαι λέγειν.

Id. ib. p. 491, 4 : Μάλιστα δ' ἄν τις αὐτοῦ θαυμάσειε τὴν ἐν τοῖς προοιμίοις αὐτοῦ δύναμιν, ἐνθυμηθεὶς ὅτι διακοσίων οὐκ ἐλάττους δικανικοὺς γράψας λόγους ἐν οὐδενὶ πέφηνεν οὔτε ἀπιθάνως προοιμιαζόμενος οὔτε ἀπηρτημένῃ τῶν πραγμάτων ἀρχῇ χρώμενος.

In schol. ad Æschin. De fals. legat. § 18, τῶν δέκα ῥητόρων ὁ σκάριφος ita habet : Δείναρχος λόγους υ′ (υι′ cod. Coislin.), Λυσίας λόγους ϡ′, Λυκοῦργος λόγους η′, Ἀνδοκίδης λόγους μδ′. In his quemadmodum orationum numeri Lycurgo et Andocidi adscripti ita transponendi et emendandi esse videntur ut legatur : Λυκοῦργος λόγους ιδ′, Ἀνδοκίδης λόγους η′, similiter in antecc. fortasse legendum est : Δείναρχος λόγους ξ′, Λυσίας λόγους υ′ vel υι′. Ceterum σκάριφος ille exstat etiam in codice Parisino 2991 (v. Boissonadius ad Eunap. t. I., p. 134), et in cod. Barocciano 125 (v. Cramerus in Anecd. Oxon. t. IV, p. 256), ubi pro Λυσίας λόγους ϡ′ est λόγους ϛ′; nec non apud Manuel. Moschopulum p. 60, ubi Fr. N. Titzius, non intellecto numeri siglo, dedit : Λυσίας λόγους 4.

I. ΠΡΟΣ ΑΙΣΧΙΝΗΝ ΤΟΝ ΣΩΚΡΑΤΙΚΟΝ ΧΡΕΩΣ.

« F. Th. Welckeri exstat de hac oratione commentatio in Musei rhenani a F. Th. Welckero et A. F. Nækio editi vol. II, p. 391—410, quam repeti jussit Opusculorum vol. I p. 412—430 : *Unæchtheit der Rede des Lysias gegen den Sokratiker Æschines*. Hujus commentarioli summa hæc est, ut primum orationes, quæ sunt πρὸς Αἰσχίνην βλάβης et Κατ' Αἰσχίνου περὶ τῆς δημεύσεως τῶν Ἀριστοφάνους χρημάτων ad alios homines cognomines pertinere judicet, deinde Lysiam orationem contra Æschinem scripsisse περὶ συκοφαντίας Diogene auctore 2 § 64 statuat, sed eam declamationem fuisse similem ejus, qua Lysias Socratem defendisse dicitur, denique eam, cui Athenæus inscriptum fuisse dicat Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως, rhetoris recentioris odio philosophorum ducti opus veteri oratori suppositum esse, Aspasiæ mentionem ad declamationem illam genuinam pertinere videri, reliquæ voces, quas Harpocratio afferat, utrum orationi suppositæ tribuendæ sint an declamationi dubitari posse. Welckerum sequitur Hœlscherus (*De vita et scriptis Lysiæ. Berolini* 1837). Atque orationes, quæ sunt βλάβης et περὶ δημεύσεως, jure contra alium vel alios homines habitas esse censet. Sed quod orationem, quæ est χρέως, suppositam esse statuit, argumenta, quæ protulit, parum sufficiunt. In rebus singulis nihil est, quod suspicionem moveat. Æschinem vero in egestate maxima vitam degisse constat : ex ea facile incommoda tanta oriri poterant, ut malitiosa solertia exornata eam speciem induerent, quam in hac oratione miramur. Cauponiam exercere vel unguentariam facere Athenis vile quidem erat neque vero infamiam ferebat, ut ab Æschine alienum judicari necesse esset, cujus patrem fartorem fuisse scimus. Adde quæ de temporum necessitatibus Euxitheus dicit apud Demosthenem or. 57 §. 45. Quomodo vero causidici vitam et mores reorum tractaverint et aliis exemplis constat permultis et causa hujus, de qua exponimus, simillima Timothei, in quem auctor orationis quæ est inter demosthenicas 49 convicia acerbissima jactat (§ 65 sqq). Nihil igitur causæ esse puto, ut orationem quæ est περὶ χρέως suppositam esse credamus. Atque ad hanc ipsam etiam ea, quæ Diogenes 2 §. 63 ait : καὶ Λυσίας δὲ κατ' αὐτοῦ γέγραφε λόγον περὶ συκοφαντίας ἐπιγράψας refero; nam prima verba νομίζω δ' οὐκ ἂν ῥᾳδίως αὐτὸν ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν facile grammaticum inducere poterant, ut περὶ συκοφαντίας titulo adderet. Si vero plures fuissent Lysiæ orationes contra

tem oratoriam et conciones, item encomia, orationes funebres, epistolas septem, unam pragmaticam, reliquas amatorias; quarum quinque sunt ad adolescentulos.

Multis autem scriptis orationibus judicialibus et deliberativis et concionalibus insignibus, nec non panegyricis, amatoriis, epistolicis, omnium, qui prius floruerant, aut tum etiam florebant, oratorum gloriam obscuravit.

Lysias autem nihil hujusmodi in orationibus, tum judicialibus, tum deliberativis, quas certe accurate scripsit, adhibuit, nisi fortasse nonnihil in panegyricis. De epistolis enim et amatoriis et aliis orationum generibus, quas nulla adhibita cura conscripsit, non est opus dicere.

Sed in exordiis præsertim Lysiæ facultas patescit, quum appareat in judicialibus eum orationibus, quas non minus ducentis scripsit, nunquam non verisimiliter inchoasse, nec alienum a re exordium adhibuisse.

Æschinem Socraticum, Harpocratio nomen causæ addidisset quo distinguerentur. Unam igitur orationem adversus Æschinem Socraticum a Lysia scriptam esse arbitror, aliam in Æschinem alium de bonis Aristophanis publicatis, tertiam in Æschinem aliquem περὶ βλάβης. » Sauppius.

1.

Athenæus XIII, p. 611, D : Οὐδὲν γάρ ἐστι τῶν καλουμένων φιλοσόφων ἀφιλοσοφώτερον. Τίς γὰρ ἤλπισεν Αἰσχίνην τὸν Σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους, ὁποῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; ὃν ἐκ τῶν φερομένων ὡς αὐτοῦ διαλόγων θαυμάζομεν ὡς ἐπιεικῆ καὶ μέτριον, πλὴν εἰ μὴ ὡς ἀληθῶς τοῦ σοφοῦ Σωκράτους ἐστὶ συγγράμματα, ἐχαρίσθη δὲ αὐτῷ ὑπὸ Ξανθίππης τῆς Σωκράτους γυναικὸς μετὰ τὸν ἐκείνου θάνατον, ὡς οἱ ἀμφὶ τὸν Ἰδομενέα φασίν. Ἀλλ' ὅ γε Λυσίας ἐν τῷ ἐπιγραφομένῳ λόγῳ οὑτωσί· « Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως » (ἀπομνημονεύσω δ' ἐγώ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα, διὰ τὸν βρένθον ὑμῶν τὸν πολύν, ὦ φιλόσοφοι) ἄρχεται δ' οὕτως ὁ ῥήτωρ· — « Οὐκ ἄν ποτ' ᾠήθην, « ἄνδρες δικασταί, Αἰσχίνην τολμῆσαι οὕτως αἰσχρὰν « δίκην δικάσασθαι, νομίζω δ' οὐκ ἂν ῥᾳδίως αὐτὸν « ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν. Οὗτος « γάρ, ὦ ἄνδρες δικασταί, ὀφείλων ἀργύριον ἐπὶ τρισὶ « δραχμαῖς Σωσινόμῳ τῷ τραπεζίτῃ καὶ Ἀριστογεί- « τονι, προσελθὼν πρὸς ἐμὲ ἐδεῖτο μὴ περιιδεῖν αὐτὸν « διὰ τοὺς τόκους ἐκ τῶν ὄντων ἐκπεσόντα. » Κατα- « σκευάζομαι δ', « ἔφη, » τέχνην μυρεψικήν· ἀφορμῆς « δὲ δέομαι, καὶ οἴσω δέ σοι ἐννέ' ὀβολοὺς τῆς μνᾶς « τόκους. » Καλόν γε τὸ τέλος τῆς εὐδαιμονίας τῷ φιλοσόφῳ ἡ μυρεψικὴ τέχνη ἀκόλουθός τε τῇ Σωκράτους φιλοσοφίᾳ, ἀνδρὸς τοῦ καὶ τὴν τοιαύτην χρῆσιν τῶν μύρων ἀποδοκιμάσαντος, Σόλωνος δὲ τοῦ νομοθέτου οὐδ' ἐπιτρέποντος ἀνδρὶ τοιαύτης προΐστασθαι τέχνης... Ἑξῆς δὲ τούτοις ὁ ῥήτωρ τάδε λέγει· — « Πεισθεὶς δ' « ὑπ' αὐτοῦ τοιαῦτα λέγοντος καὶ ἅμα οἰόμενος τοῦτον « Αἰσχίνην Σωκράτους γεγονότα μαθητὴν καὶ περὶ δι- « καιοσύνης καὶ ἀρετῆς πολλοὺς καὶ σεμνοὺς λέγοντα « λόγους οὐκ ἄν ποτε ἐπιχειρῆσαι οὐδὲ τολμῆσαι ἅπερ « οἱ πονηρότατοι καὶ ἀδικώτατοι ἄνθρωποι ἐπιχειροῦσι « πράττειν,.... » Καὶ μετὰ ταῦτα πάλιν καταδρομὴν αὐτοῦ ποιησάμενος ὡς ἐδανείσατο, ὡς οὔτε τόκους οὔτε τἀρχαῖον ἀπεδίδου, καὶ ὅτι ὑπερήμερος ἐγένετο γνώμῃ δικαστηρίου ἐρήμην καταδικασθείς, καὶ ὡς ἠνεχυράσθη οἰκέτης αὐτοῦ στιγματίας, καὶ πολλὰ ἄλλα κατειπὼν αὐτοῦ ἐπιλέγει ταῦτα· « Ἀλλὰ γάρ, ὦ ἄνδρες δι- « κασταί, οὐχ εἰς ἐμὲ μόνον τοιοῦτός ἐστιν, ἀλλὰ καὶ « εἰς τοὺς ἄλλους ἅπαντας τοὺς αὐτῷ κεχρημένους. « Οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦντες, παρ' ὧν « προδόσεις λαμβάνων οὐκ ἀποδίδωσι, δικάζονται « αὐτῷ συγκλείσαντες τὰ καπηλεῖα, οἱ δὲ γείτονες « οὕτως ὑπ' αὐτοῦ δεινὰ πάσχουσιν ὥστ' ἐκλιπόντες « τὰς αὑτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται; ὅσους δ' « ἐράνους συνείλεχται, τὰς μὲν * ὑπολοίπους φορὰς « οὐ κατατίθησιν, ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς « περὶ στήλην διαφθείρονται. Τοσοῦτοι δὲ ἐπὶ τὴν « οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα « ἔρχονται, ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ' ἐκφορὰν « αὐτοὺς ἥκειν τοῦ τεθνεῶτος· οὕτω δ' οἱ ἐν τῷ Πει- « ραιεῖ διάκεινται, ὥστε πολὺ ἀσφαλέστερον εἶναι δο-

I. CONTRA ÆSCHINEM SOCRATICUM DE ÆRE ALIENO.

1.

Nihil est a philosophia magis alienum quam hi ipsi qui philosophi vocantur. Quis enim putasset Æschinem Socraticum talibus fuisse moribus qualem Lysias dicit in orationibus de contractibus? quem e Dialogis qui sub ipsius nomine feruntur, ut æquum et moderatum hominem admiramur, nisi revera sapientis Socratis sunt scripta illa, Æschini vero post mortem Socratis a Xanthippe, ejus uxore, donata, ut Idomeneus ait et alii qui cum eo faciunt auctores. At Lysias certe in oratione quæ inscribitur *Contra Æschinem Socraticum æris alieni causa* (recitabo enim equidem, licet longior sit locus, ob nimium vestrum fastum, o philosophi), Lysias igitur orator in hunc infit modum : « Nunquam equidem existimaram, judices, ausu- « rum esse Æschinem adeo turpem causam coram vobis « dicere, qua non puto aliam facile reperiri posse calum- « niosiorem. Hic enim, judices, quum pecuniam deberet, « pacto fœnore trium drachmarum, Sosinomo mensario « et Aristogitoni, me conveniens oravit ne eum pa- « terer propter usuras bonis suis exui. In eo sum, in- « quit, ut artem exerceam unguentariam; opus autem « in principio est mihi pecunia præsenti; novem tibi obo- « los pro mina usuræ nomine pendam. » Præclarus sane vitæ beatæ finis philosopho propositus, ars unguentaria, et conveniens philosophiæ Socratis, viri qui ipsum etiam usum unguentorum, qualis vulgo obtinet, improbaverat; cui eidem arti Solon lege caverat ne vir quisquam præesset. Post ista vero hæc subjicit orator : « Ego igitur fidem illi adhibens hæc dicenti, simulque « existimans hunc Æschinem, discipulus qui fuisset So- » cratis, et qui de justitia et virtute multos atque graves « habere soleret sermones, nunquam aggressurum nec « ausurum esse ea quæ nonnisi pessimi iniquissimique « hominum facere conantur, ... » Idem deinde postquam denuo in eum invehens exposuerat quo pacto, quum pecuniam mutuo accepisset, nec usuras pependisset nec sortem reddidisset, tum quomodo sententiæ judicum, qui absentem damnaverant, ad diem non satisfecisset, pignori vero dedisset servum punctis notatum : his adversus illum dictis et multis aliis, sic peroravit : « At enim, judices, non « in me unum talis est, sed in alios quoque omnes qui cum « illo quidquam negotii habuerunt. Nonne caupones in « vicinia habitantes, apud quos pro vino ante datam pecu- « niam credito debitum non solvit, legibus nunc adversus « illum agunt, et cauponas ei occludunt? Vicini autem « ejusdem tot ab eodem injuriis premuntur, ut relictis « propriis ædibus alienas procul sitas suo ære conducant. « Idem quas symbolas collegit pro collatitiis conviviis « pensiones (συνείλεχται, ἐπιδειπνίους φοράς ?) non exsolvit; « sed apud hunc veteratorem tanquam ad columnam im- « pactæ, pereunt. Tantus vero hominum numerus debita

« κεῖν εἰς τὸν Ἀδρίαν πλεῖν ἢ τούτῳ συμβάλλειν. « Πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὑτοῦ νομίζει « εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. Ἀλλὰ γὰρ οὐ « τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυροπώλου, τὴν « γυναῖκα διαφθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς « ἐρᾷν προσποιησάμενος οὕτω διέθηκεν ὥστε τὸν μὲν « ἄνδρα αὐτῆς καὶ τοὺς υἱοὺς πτωχοὺς ἐποίησεν, αὐτὸν « δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν. Οὕτως « ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο, τῆς ἡλικίας αὐτῆς « ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι ἢ τῆς « χειρὸς τοὺς δακτύλους. Καί μοι ἀνάβητε τούτων « μάρτυρες. Ὁ μὲν οὖν βίος τοῦ σοφιστοῦ τοιοῦτος. » Ὁ μὲν οὖν Λυσίας, ὦ Κύνουλκε, οὕτως.

Τὰς μὲν ὑπολοίπους φοράς] « Post μὲν aliquid excidisse videtur, ut sensus hic fuerit : *symbolas ceterorum eranistarum surripit et perdit, suas ipse non pendit.* Quæ J. J. van Holst. De eranis Græc. p. 56 sq. et Welckerus l. l. p. 413 proposuerunt, ferri non possunt. » Sauppius. — ἧς ῥᾷον κτλ.] Cf. Suidas t. II, 2, p. 593 Bhdy : Ῥᾷόν τις τοὺς ὀδόντας ἠρίθμησεν ἢ τοὺς δακτύλους· ἐπὶ γερόντων. Photius lex. v. ῥᾷον; Demetrius Περὶ ἑρμ. § 128 et 262; Meinekius Fr. comic. t. IV, p. 660. Apud Athenæum codices habent :.. ἀριθμῆσαι ὅσου ἐλάττους ἦσαν ἢ τῆς χειρὸς τοὺς δακτύλους. — τοῦ σοφιστοῦ] Cf. Aristides orat. XLVI, p. 407 ed. Dindf. : Οὐ Λυσίας Πλάτωνα σοφιστὴν καλεῖ καὶ πάλιν Αἰσχίνην;

2.

Harpocratio : Ἀσπασία· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν, οὗ διάλογος ἐπιγραφόμενος Ἀσπασία. Μνημονεύουσι δ' αὐτῆς πολλάκις καὶ οἱ ἄλλοι Σωκρατικοί, καὶ Πλάτων ἐν τῷ Μενεξένῳ τὸν Σωκράτην παρ' αὐτῆς φησὶ μαθεῖν τὰ πολιτικά. Ἦν δὲ τὸ μὲν γένος Μιλησία, δεινὴ δὲ περὶ λόγους· Περικλέους δέ φασιν αὐτὴν διδάσκαλόν τε ἅμα καὶ ἐρωμένην εἶναι. Δοκεῖ δὲ δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε Σαμιακοῦ καὶ τοῦ Πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν παρά τε Δούριδος τοῦ Σαμίου καὶ Θεοφράστου ἐκ τοῦ δ' τῶν Πολιτικῶν καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων. Δοκεῖ δὲ καὶ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει καὶ Εὔπολις ἐν τοῖς Δήμοις. Λυσικλεῖ δὲ τῷ δημαγωγῷ συνοικήσασα Πορίστην ἔσχεν, ὡς ὁ Σωκρατικὸς Αἰσχίνης φησίν.

3.

Idem : Ἄστικτον χωρίον τὸ μὴ ὑποκείμενον δανειστῇ· ὅταν γὰρ ὑποκέηται, εἴωθεν ὁ δανείσας αὐτὸ τοῦτο δηλοῦν διὰ γραμμάτων ἐπόντων τῷ χωρίῳ· τὸ δ' αὐτὸ καὶ ἐπ' οἰκίας γίνεται. Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικόν.

4.

Idem : Καταπλὴξ ὁ συνεχῶς πεπληγμένος· Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν καὶ ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος ὁ λόγος.

II. ΚΑΤ' ΑΙΣΧΙΝΟΥ ΠΕΡΙ ΤΗΣ ΔΗΜΕΥΣΕΩΣ ΤΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ.

Harpocratio : Χύτροι· Λυσίας ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς δημεύσεως τῶν Ἀριστοφάνους χρημάτων· « Ἐπειδὴ τοίνυν τοὺς Χύτρους ὁ Δημάρατος ἑάλω « προδιδούς. » Πόλις ἐστὶν ἐν Κύπρῳ οὕτω καλουμένη, καθά φησι Ξεναγόρας ἐν ταῖς Νήσοις. Ἔστι δὲ καὶ Ἀττικὴ τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶ-

---

« petentium ad ejus ædes quotidie prima luce convenit, « ut existiment prætereuntes mortuum hunc esse et ad « ejus funus illos convenire. Qui in Piræeo versantur, ita « de hoc sentiunt, ut tutius existiment in Adriaticum « mare navigare quam cum hoc aliquid habere commer- « cii; nam hic quæ mutuo accepit, ea multo magis sua « esse arbitratur quam quæ a patre ei relicta sunt. At « nonne etiam bona intercepit Hermæi unguentarii, uxore « ejus corrupta septuaginta nata annos? Quam quum « amare se simularet, ita sibi conciliavit, ut maritum « suum et filios pauperes redderet, ipsum autem ex insti- « tore unguentarium faceret : ita amanter puellulam istam « tractabat, tenella ejus ætate fruens, cujus dentes nu- « merare facilius erat quam manus digitos. Jam mihi « adscendite qui harum rerum testes adestis! Vita igitur « hujus sophistæ talis est. » Lysias igitur, Cynulce, hæc dixit.

2.

Aspasia. Lysias in oratione contra Æschinem Socraticum, cujus exstat dialogus qui Aspasia inscribitur. Ceteri quoque Socratici frequenter Aspasiæ meminerunt, ut Plato in Menexeno (p. 235, E), qui testatur Socratem ab ea didicisse quæ ad rerum publicarum rationes pertinent. Genere fuit Milesia, et dicendi peritissima; eandem Periclis magistram simul et amasiam fuisse ferunt. Duorum bellorum, Samiaci et Peloponnesiaci, causa censetur, ut e Duride Samio et Theophrasti libro quarto Politicorum et ex Aristophanis Acharnensibus (v. 527) cognoscere licet. Pericles filium nothum, sibi cognominem, ex ea suscepisse creditur, ut Eupolis declarat in Populis. Quum in Lysiclis demagogi contubernio vixit, Poristen filium habuit, testante Æschine Socratico.

3.

Ἄστικτον χωρίον, *ager creditori non obnoxius.* Nam qui obnoxius erat, per impositas inscriptasque columellas, a creditore designabatur. Idemque in ædibus fieri solebat. Lysias in oratione adversus Æschinem Socraticum.

4.

Καταπλήξ, *assidue perculsus*, Lysias in oratione adversus Æschinem Socraticum, et in or. contra Andocidem de impietate, si modo germana sit.

II. CONTRA ÆSCHINEM DE PUBLICATIONE BONORUM ARISTOPHANIS.

5.

Chytri. Lysias in oratione contra Æschinem habita de publicatione bonorum Aristophanis : « Quum igitur Demaratus Chytrorum proditionis manifestus sit. » Est

νος τρίτη ἐπὶ δέκα, ὥς φησι Φιλόχορος ἐν τῷ Περὶ ἑορτῶν. Cf. Lysiæ orat. Περὶ τῶν Ἀριστοφάνους χρημάτων p. 179. Nostra hæc oratio filiis Aristophanis scripta fuerit.

III. ΠΡΟΣ ΑΙΣΧΙΝΗΝ ΒΛΑΒΗΣ.

6.

Bekker. Anecd. p. 132, 23 : Δικάζω ἀντὶ τοῦ ἐγκαλῶ, δοτικῇ... Λυσίας ἐν τῷ πρὸς Αἰσχίνην βλάβης· « Οὗτος ἐμοὶ βλάβης δεδίκασται. »

IV. ΠΡΟΣ ΑΛΕΞΙΔΗΜΟΝ,

εἰ γνήσιος.

7.

Harpocratio : Δατεῖσθαι τὸ μερίζεσθαι · οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. Τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν· ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλήλοις καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινὰ οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προκαλούμενοι εἰς δατητῶν αἵρεσιν · Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

V. ΠΡΟΣ ΑΛΚΙΒΙΑΔΗΝ ΠΕΡΙ ΟΙΚΙΑΣ,

εἰ γνήσιος.

8.

« Scripta est adversus Alcibiadis magni filium cognominem, qui imperio triginta virorum everso in patriam redierat et post reditum multum in judiciis versabatur : cf. Isocr. or. 16 § 1 ; Lysiæ or. 14 et 15. De domo vel publicata vel publicanda actum esse fragmentum quartum ostendit. Itaque Alcibiades minor aut domum cujusdam publicandam vel publicam esse dixerat, qui in jus vocatus se defendit, aut alium, qui domum Alcibiadis publicari vellet, accusaverat legum violatarum, ita ut hunc causam suam adversus Alcibiadem agere oporteret. Errat enim Meierus, qui (de litibus att. p. 492 sq.) causas, quæ essent περὶ οἰκίας, privatas fuisse dicit. Adversarios de patre suo multa verba facere Alcibiades minor apud Isocratem queritur or. 16 § 2 sqq. » Sauppius.

Athenæus XIII, p. 574, D : Ἀλκιβιάδης δ' ὁ καλὸς... ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς ἐπὶ τὰς τῶν ἑταιρίδων θύρας ἐκώμαζεν, ἀπολιπὼν τὰς Λακαίνας καὶ τὰς Ἀττικάς. Μεδοντίδος γοῦν τῆς Ἀβυδηνῆς ἐξ ἀκοῆς ἐρασθεὶς ἔστερξε καὶ πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστής, ὥς φησι Λυσίας ὁ ῥήτωρ ἐν τῷ κατ' αὐτοῦ λόγῳ, *** καὶ ταύτης ἐκοινώνησεν αὐτῷ.

Idem XII, p. 534, F : Λυσίας δὲ ὁ ῥήτωρ περὶ τῆς τρυφῆς αὐτοῦ λέγων φησίν · — « Ἐκπλεύσαντες « γὰρ κοινῇ Ἀξίοχος καὶ Ἀλκιβιάδης εἰς Ἑλλήσποντον « ἔγημαν ἐν Ἀβύδῳ δύο ὄντε Μεδοντιάδα τὴν Ἀβυδηνὴν « καὶ ξυνῳκείτην. Ἔπειτα αὐτοῖν γίγνεται θυγάτηρ, « ἣν οὐκ ἔφαντο δύνασθαι γνῶναι ὁποτέρου εἴη· « ἐπεὶ δὲ ἦν ἀνδρὸς ὡραία, ξυνεκοιμῶντο καὶ ταύτῃ, » καὶ εἰ μὲν χρῷτο καὶ ἔχοι Ἀλκιβιάδης, Ἀξιόχου « ἔφασκεν εἶναι θυγατέρα, εἰ δὲ Ἀξίοχος, Ἀλκιβιάδου. »

9.

Harpocratio : Λευκὴ ἀκτή· Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην. Πλειόνων οὐσῶν Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν.

Cypri civitas hoc nomine, ut Xenagoras refert in Insulis. Est etiam festum Atticum *Chytri* dictum, cujus meminit Dinarchus in oratione contra Pytheam; celebrabatur autem mensis Anthesterionis die tertia decima, ut Philochorus tradit in opere de festis.

III. ADVERSUS ÆSCHINEM DE DAMNO.

6.

Δικάζω, *in jus voco*, cum dativo. Lysias in oratione adversus Æschinem de damno : « Hic de damno in jus « vocatus est. »

IV. ADVERSUS ALEXIDEMUM, modo genuina sit oratio.

7.

Δατεῖσθαι significat *dividere*, δατηταὶ vero *divisores*, qui suam cuique portionem distribuunt. At εἰς δατητῶν αἵρεσιν, *in divisorum selectionem*, est species judicii. Quum enim quidam sociorum res communes dividi vellent, alii vero nollent : qui volebant, actionem communi dividendo contra nolentes instituebant. Lysias in oratione adversus Alexidemum, si quidem ea genuina est, et Aristoteles in Atheniensium republica.

V. ADVERSUS ALCIBIADEM DE DOMO, si genuina est oratio.

8.

Pulcher ille Alcibiades, ab Agidis uxore amatus, ad meretricum foras comessatum ibat, linquens et Lacænas et Atticas. Medontidis igitur Abydenæ amore de audito captus et in Hellespontum nave profectus cum Axiocho, qui juventutem ejus amaverat, ut Lysias in oratione contra Alcibiadem dicit, [*usum illius puellæ cum eo communicavit et, filia iis nata,*] hujus quoque usum cum eodem communicavit.

Lysias orator de luxuria Alcibiadis loquens ait : « Postquam una enavigarunt Axiochus et Alcibiades in Hellespontum, Abydi uxorem duxerunt ambo Medontiadem Abydenam, cum eaque habitarunt. Dein illis nata est filia, quæ utrius esset ignorare se profitebantur. Et postquam hæc quoque viro matura fuit, cum hac pariter concubuerunt, ita quidem ut Alcibiades, quando illa utebatur eamque habebat, Axiochi diceret esse filiam ; sin Axiochus, Alcibiadis.

9.

Leuce acte, apud Lysiam in or. contra Alcibiadem memoratur. Ceterum quum complures sint Leucæ actæ, ut Demetrius Magnesius ostendit, orator hoc loco mentionem ejus facere videtur quæ est in Propontide.

10.

Idem : Ναυτοδίκαι· Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην, εἰ γνήσιος ὁ λόγος. Ἀρχή τις ἦν Ἀθήνησιν οἱ ναυτοδίκαι· Κρατερὸς γοῦν ἐν τῷ δ' τῶν Ψηφισμάτων φησίν· « Ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων, οἷς δίκαι εἰσί, λαγχάνειν δὲ τῇ ἔνῃ καὶ νέᾳ πρὸς τοὺς ναυτοδίκας. » Leg. fuerit :... Ἀθηναίων· οἷς δὲ δίκαι εἰσί, λαγχάνειν δεῖν τῇ ἔνῃ κτλ. Meierus De bonis damnatorum p. 95 ita verba redintegrari voluit : ... Ἀθηναίων, οἷς ἔξεστιν, ἐν τοῖς ναυτοδίκαις· οἷς δὲ δίκαι εἰσὶ πρὸς τοὺς ξένους, λαγχάνειν τῇ κτλ.

11.

Idem : Παρακαταβολή καὶ παρακαταβάλλειν. Οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν· καὶ τοῦτο ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. Ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ ε' μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. Περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας, περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες καὶ Ὑπερείδης ἐν τῷ περὶ Ἱππέως κλήρου δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησί· « Καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς. »

12.

Suidas v. αἴσθεσθαι I, 2, p. 54 Bhdy : Τὸ δὲ αἰσθάνεσθαι ἐπὶ τοῦ ὑποπτεύειν καὶ οὐχ ἐπὶ τοῦ βεβαίως εἰδέναι Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην φησίν· « Οἶμαι τοίνυν καὶ ἐκεῖνο ὑμᾶς αἰσθάνεσθαι, ὅτι Ἀρχιβιάδης οὐκ ἄλλο τι ἐζήτει κομίσασθαι, ἀλλὰ τῶν « ἐμῶν ἠμφισβήτει. » Taylorus πρὸς Ἀρχεβιάδην legi jubet. Recte : cf. fragm. 42; hæc vero nomina sæpissime commutantur. Quanquam Archebiadem et Alcibiadem minorem familiaritate conjunctos fuisse docet Lysiæ or. 14 § 26. 27, ut Andocidis 1 § 23 non commemorem. » SAUPPE.

(12 a.)

Athenæus IX, p. 408, C : Ἀττικοὶ δὲ χερνίβιον λέγουσιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀλκιβιάδου, λέγων οὕτως· « τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις. » Leguntur hæc in Andocidis or. 4 § 29, adeo ut memoria Athenæum fefellisse videatur, monente Valckenario apud Sluiterum lectt. andoc. p. 231.

VI. ΠΡΟΣ ΑΛΚΙΒΙΟΝ.

13.

Photius Lex. : Παλαιόν. Οἱ ῥήτορες ἐχρήσαντο τῷ παλαιόν ἐπὶ ἀργυρίου ἐκ δανείσματος ὀφειλομένου. Οὕτως Λυσίας ἐν τῷ πρὸς Ἀλκίβιον· « Καίτοι εἰ « ἀποδεδώκει τῷ Κτησικλεῖ τὰς ν' παλαιάς, ὥσπερ « οὗτός φησιν. » Cf. Suidas, ubi cod. C. Ἀλκύβιον, codd. BE. Ἀλκιβίδιον; unde Ἀλκιβιάδην reponi voluerunt Fabricius et Westermannus nescio an recte.

VII. ΠΕΡΙ ΤΩΝ ΑΝΑΚΑΛΥΠΤΗΡΙΩΝ.

14.

Theo Progymnasm. c. 2 p. 165 ed. Walz. : Ἤδη δέ τινα καὶ παρὰ ῥήτορσιν εἴρηται θετικὰ κεφάλαια· καὶ δὴ καὶ ὅλοι λόγοι νομίζοιντ' ἂν σχεδὸν εἶναι θέσεως, ὥς ὅ τε περὶ τῶν ἀνακαλυπτηρίων ἐπιγραφόμενος Λυσίου καὶ ὁ περὶ τῆς ἀμβλώσεως· ἐν μὲν γὰρ θατέρῳ ζητεῖται, εἰ τὰ δοθέντα ἀνακαλυπτήρια γυναικὶ

10.

Ναυτοδίκαι. Lysias in oratione adversus Alcibiadem, modo genuina sit. Nautodicæ magistratus fuit Athenis. Craterus in quarto Decretorum libro scribit : « Si quis vero peregrinus ex utroque parente natus se pro phratore gerat, eum cuilibet Atheniensium licere judicio persequi; qui autem litigent, eos actionem instruere debere apud Nautodicas mensis die ultimo. »

11.

Παρακαταβολή et παρακαταβάλλειν. Qui de bonis publicis cum civitate disceptarent, et de hereditatibus puellisve dotalibus cum privatis contenderent, ii certam pecuniam deponebant; eamque debebant amittere, si causa cecidissent. Ac in controversiis quidem cum publico quintam pecuniæ controversæ partem deponi solitam fuisse manifestum est : de quibus passim Lysias agit, ut in orationibus adversus Alcibiadem de domo, et contra Asopodorum; de causis autem hereditariis quum alii oratores dixere, tum Hyperides oratione secunda De hereditate Hippei. Verum Demosthenes in exceptione adversus Parænetum (§ 41) de privata quadam causa scribit : « Et post hæc me denuo in jus vocat, quum primum pecuniam litis causa depositam sustulit. »

12

Αἰσθάνεσθαι pro *aliquid suspicari, non certo scire*, Lysias dicit in oratione contra Alcibiadem (*Archebiadem?*) : « Arbitror igitur etiam illud vos sentire, Archibiadem (*Alcibiadem?*) nil aliud hinc consequi studuisse, sed de bonis meis contendere voluisse. ».

VI. ADVERSUS ALCIBIUM.

13.

Παλαιόν. Oratores hanc vocem usurpant de pecunia fœnore data. Sic Lysias in oratione adversus Alcibium : « Quamquam si restituisset Ctesicli sortem quinquaginta drachmarum, ut hic ait. »

VII. DE ANACALYPTERIIS.

14.

Jam vero apud oratores quoque quædam capita dicuntur θετικά sive de quæstionibus infinitis; quin etiam integræ orationes in ejusmodi quæstione fere versari censentur, ut Lysiæ oratio quæ De anacalypteriis inscribitur atque illa quæ est De abortu. In priore quæritur an data

γαμουμένῃ βεβαίως ἔχειν αὐτὴν δεῖ, ἐν θατέρῳ δέ, εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί. Λυσίου μὲν οὔ φασιν εἶναι τούτους τοὺς λόγους, ὅμως δὲ οὐκ ἀχάριστον τοῖς νέοις γυμνασίας ἕνεκα καὶ τούτοις ἐντυγχάνειν.

VIII. ΠΡΟΣ ΑΝΔΟΚΙΔΗΝ ΑΠΟΣΤΑΣΙΟΥ,

εἰ γνήσιος.

Pollux VII, 14 : Τὸ δὲ ἀνατιμᾶσθαι καὶ τὸ τῷ πλέον δόντι ἐθέλειν πιπράσκειν πλειστηριάζειν λέγοις ἄν, ὡς Ἰσαῖος (l. Λυσίας) ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰπών· — « Οὔτε τιμῆς τεταγμένης πωλοῦσιν, « ἀλλ' ὡς ἂν δύναιντο πλειστηριάσαντες πλείστου ἀπέ- « δοντο. »

Harpocratio : Πλειστηριάσαντες ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην, εἰ γνήσιος. Κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν.

16.

Harpocratio : Ἐπίγειον· Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. Τὰ πρυμνήσια ἐπίγεια ἔλεγον. Κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί· Ἀριστοφάνης Ὁλκάσιν. Pro ἐπίγεια dicendum erat ἐπίγυα. V. Bœckh. *Urkunden über das Seewesen* p. 162.

IX. ΚΑΤ' ΑΝΔΡΟΤΙΩΝΟΣ.

17.

Idem : Σηράγγιον· Λυσίας ἐν τῷ κατ' Ἀνδροτίωνος χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. Μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς.

18.

Idem : Ἀρχιδάμιος πόλεμος· Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ [Δείναρχος κατὰ] Πυθέου ξενίας. Τὰ πρῶτα ι' ἔτη τοῦ Πελοποννησιακοῦ πολέμου Ἀρχιδάμιος ἐκλήθη πόλεμος, ὡς ἔοικεν, ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθὰ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης φασίν. Cf. Apostol. Prov. IV, 30 : Ἀρχιδάμειος πόλεμος ἐπὶ τῶν λίαν πικρῶν πολέμων. Ἀρχιδάμειος δὲ ἐκλήθη ἀπὸ τοῦ τὸν Ἀρχίδαμον ἐς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθάπερ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης καὶ Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ [Δείναρχος κατὰ] Πυθίου ξενίας. Add. Arsenius Violet. p. 77. Dinarchi mentionem excidisse monuit Maussacus.

X. ΚΑΤΑ ΑΝΤΙΓΕΝΟΥΣ ΑΜΒΛΩΣΕΩΣ,

εἰ γνήσιος.

« Ex iis, quæ Theo, Sopater, Anonymus habent apparet, Antigenem ob id ipsum ab actore de cæde accusatum esse, quod soror actoris fetum abortivum peperisset. Quod quia vel medicamentis vel verberibus Antigenis effectum esse videbatur, cædis reus agebatur. Hoc certum est nec intelligo, quomodo Hœlscherus aliter statuere possit. Cum vero Lysiam artificiose demonstrare oporteret, fetum etiam matris utero inclusum animal esse et vivere, intelligitur abortus auctorem non pro homicida haberi solitum esse (Cf. Meier. de lit. att. p. 310 sq.), licet ea quæ Galenus vol. 19 p. 177 sqq. Kühn. de Solone tradit in eam nos opinionem deducere possint. Quomodo amphidromiorum mentio fieri potuerit, non liquet, quanquam haud una ratio cogitari potest. Cum Theonis verba demonstrare videantur orationem non vere habitam esse, sed declamationem fuisse (cf. L. Spengel Συναγ. p. 137), Lysias Antigenis nomen fortasse ex Hippocratis libris desumpsit, qui ἐπιδημιῶν l. 2 c. 21 narrat Antigenis cujusdam uxorem monstrum peperisse, ad quem Hippocratis locum Galenus t. 17, 1 p. 371 K. hæc adnotat : θαυμαστὸς ἂν εἴη ὁ τόκος οὗτος, εἰ μὴ ὑποψίαν παρεῖχεν αὐτὸν ἐξ ἀμβλώσεως γεγονέναι. » Sauppius.

---

sponsæ mulieri munera anacalypteria jure optimo ab ea possideri debeant; in altera autem anquiritur num id quod utero adhuc gestetur homo sit, atque abortus mulierum crimini non sint obnoxii. Negant sane Lysiæ eas esse orationes, attamen has quoque exercitii causa legere non injucundum est juvenibus.

VIII. ADVERSUS ANDOCIDEM DE VIOLATO PATROCINIO,

modo genuina sit oratio.

15.

Æstimare licitando et plus danti addicere πλειστηριάζειν dicere possis, ut Lysias in oratione adversus Andocidem : « non constituto pretio, inquit, vendunt, sed prout possint, πλειστηριασάντες, auctionem facientes, quam plurimi vendiderunt. »

Πλειστηριάσαντες, qui in auctionibus supra omnes licentur. Sic Lysias in oratione adversus Andocidem, si modo genuina sit. Plato quoque comicus in Grypibus ea voce usus est.

16.

Ἐπίγειον, apud Lysiam in oratione adversus Andocidem de violato patrocinio, si modo genuina sit. Rudentes quibus puppis a terra religatur, ἐπίγεια vocabant. Usi sunt hoc nomine etiam comœdiæ veteris poetæ, ut Aristophanes in Holcadibus.

IX. CONTRA ANDROTIONEM.

17.

Serangium vocabatur locus quidam Piræei. Lysias in oratione adversus Androtionem. Aristophanes quoque in Agricolis ejus meminit.

18.

Archidamium bellum. Lysias in oratione contra Androtionem et [*Dinarchus contra*] Pytheam de peregrinitate. Belli Peloponnesiaci decem priores anni Archidamium bellum appellati sunt, ab Archidami, ut videtur, in Atticam irruptione, sicuti dicunt Thucydides et Ephorus et Anaximenes.

19.

Fragm. Lexici Rhet. p. 669, 20 ed. Dobray: Ἐπιτίμιόν τι ἦν κατὰ τῶν ὀλιγωρησάντων (σιωπησάντων cod.; em. Saup.) γραφήν. Λυσίας ἐν τῷ κατὰ Ἀντιγένους ἀμβλώσεως· — « Σκέψασθε δὲ καὶ « ὡς Ἀντιγένης πεποίηκεν οὗτος· γραψάμενος τὴν μη- « τέρα ἡμῶν ἀξιοῖ λαβεῖν τὴν ἀδελφὴν καὶ ἀγωνίσα- « σθαι μέν, ἵνα μὴ ἀποτίσῃ τὰς χιλίας δραχμάς, ἃς « δεῖ ἀποτίνειν, ἐάν τις μὴ ἐπεξέλθῃ γραψάμενος. » Τὸ δ' αὐτό φησι καὶ Δημοσθένης ἐν τῷ κατὰ Θεοκρίνους.

20.

Theo Progymn. c. 2. p. 165 Walz.: Ἐν θατέρῳ δὲ (sc. τῷ περὶ τῆς ἀμβλώσεως ζητεῖται), εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί.

Auctor prolegom. Στάσεων in Walzii rhetor. gr. t. VII, p. 15: Τῶν γὰρ προβλημάτων τὰ μέν ἐστι πολιτικά, τὰ δὲ φιλόσοφα, τὰ δὲ ἰατρικά, τὰ δὲ μέσα τούτων, ἃ πολιτικὴν μὲν ἔχει τὴν ζήτησιν, ὕλην δὲ ἢ ἰατρικὴν ἢ φιλόσοφον. Καὶ περὶ μὲν πολιτικῶν εὔδηλόν ἐστι, τίνα φύσιν ἐπιδέχεται, τὰ δὲ ἰατρικὰ τοιαῦτά ἐστιν· οἷον διὰ τί τὸ βρέφος ἓξ μὲν ὂν μηνῶν οὐ ζῇ, ἑβδόμῳ δὲ γεννώμενον ἢ ἐννάτῳ ζῇ· φιλόσοφον δέ, εἰ ἡ ψυχὴ ἀθάνατος· τὰ δὲ μικτά, οἷον ἐγκύμονά τις ἔτυψε κατὰ γαστρὸς καὶ κρίνεται φόνου· ἐνταῦθα γὰρ τὸ μὲν πλάσμα ἤγουν ἡ ζήτησις πολιτική, ἡ δὲ ὕλη ἰατρική. Ἐκ δὲ φιλοσοφίας μικτά, οἷον ζωγράφῳ φιλόσοφος δοὺς χρήματα εἶπε τὸ κάλλιστον τῶν ζώων γράψαι, ὁ δὲ τὸν κύκλον ἐποίησε καὶ κρίνεται βλάβης· ἐνταῦθα γὰρ ζητητέον, εἰ ζῷον ὁ κύκλος, ὅπερ ἴδιον φιλοσοφίας, ἡ μέντοι ζήτησις ἡ περὶ τῆς βλάβης πολιτική. Ἐνταῦθα μέντοι δεῖ τὸν μελετῶντα τοῖς ἐπισταμένοις ἀνατιθέναι τὰς αἰτίας, ὡς καὶ ὁ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως, κρίνων φόνου τὸν αἴτιον, βιάζεται ζῷον τὸ βρέφος ἀποδεικνύναι καὶ πανταχοῦ φησιν, « ὥσπερ οἱ ἰατροὶ « καὶ αἱ μαῖαι ἀπεφήναντο. » Cf. Spengelii Συναγ. p. 137.

Sopater ad Hermog. in Walzii Rh. gr. t. V, p. 3: Εἰσὶ γὰρ καὶ ἰατρικὰ καὶ φιλόσοφα ζητήματα· καὶ ἰατρικοῦ μὲν ζητήματος παράδειγμα, ὃ καὶ μεμελέτηται τῷ Λυσίᾳ, εἰ ὁ ποιήσας ἐξαμβλῶσαι γυναῖκα φόνον ἐποίησεν· δεῖ γὰρ γνῶναι πρῶτον, εἰ ἔζη, πρὶν ἐτέχθη· ὅπερ φυσικῶν καὶ ἰατρικῶν ἐστι.

21.

Harpocratio: Ὑπόλογον. Λυσίας περὶ ἀμβλώσεως, εἰ γνήσιος· « οὐχ ὑπόλογον ὄντα » ἀντὶ τοῦ οὐκ ἐν λόγῳ. Δείναρχος ἐν τῷ κατὰ Πυθέου· « οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν » ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις. Cf. Bekk. Anecd. p. 312, 8.

22.

Idem: Ἀμφιδρόμια· Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος ὁ λόγος. Ἡμέρα τις ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος περὶ τὴν ἑστίαν ἔφερον τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων πουλύποδας καὶ σηπίας ἐλάμβανον.

Cf. Apostolius Prov. II, 89: Ἀμφιδρόμια ἄγεις.] Τὴν πέμπτην ἄγουσιν ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ ἀψάμεναι τῆς μαιώσεως· τὸ δὲ βρέφος φέρουσι περὶ τὴν ἑστίαν τρέχοντες καὶ δῶρα

X. CONTRA ANTIGENEM DE ABORTU, modo genuina sit oratio.

19.

Pœna quædam erat iis constituta qui institutam actionem neglexissent. Lysias in oratione contra Antigenem de abortu: « Considerate vero etiam quomodo Antigenes hic egerit. Quum contra matrem nostram actionem instituerit, sororem nostram in matrimonium accipere cupit, et certare quidem judicio, ne mille drachmarum mulctam pendat, quæ pendenda est si quis institutam actionem non peragat. » Idem Demosthenes quoque dicit in oratione contra Theocrinem (§ 6).

20.

In altera oratione, quæ est de abortu, quæritur an fetus qui utero adhuc gestetur, homo sit et crimini non obnoxii sint abortus mulierum.

Quæstionum aliæ sunt civiles, aliæ philosophicæ, aliæ ad artem medicam pertinentes; aliæ in medio positæ de civilibus quidem rebus sunt, sed materiam habent quæ ad philosophiam vel artem medicam pertinet. Ac civiles quidem quasnam rationes admittant manifestum est, ad artem vero medicam pertinentes quæstiones hujusmodi sunt; verbi causa, quomodo fiat ut sex mensium fetus non vivat, septimo autem vel nono mense editus vivat. Philosophica vero quæstio est an anima sit immortalis; mixta autem, si quis gravidam mulierem verberavit ventrem ei percutiens, et ob id cædis accusatur; ibi enim fictio vel quæstio civilis est, materia autem ad artem medicam pertinet. Porro philosophiæ mixta quæstio foret, si philosophus a pictore, data pecunia, peteret ut pulcerrimum pingeret animal, ille vero circulum pingeret et ob id de damno in judicium vocaretur. Ibi enim quærendum an circulus sit animal, quæ quæstio philosophiæ propria est, dum de damno quæstio civilis est. Ceterum talia tractans rhetor causarum explicationes viris rerum peritis attribuere debet; sicut Lysias quoque in oratione de abortu, auctorem abortus cædis incusans et fetum animal vivum esse demonstrare contendens, ubique dicit, « sicut medici et obstetrices declararunt. »

Sunt etiam quæstiones ad artem medicam et philosophiam pertinentes; illarum exemplum est ea quam Lysias tractavit, an scilicet is qui abortus auctor mulieri exstiterit, cædem commiserit. Primum enim explorandum est an vivat fetus antequam edatur; quæ quæstio ad physicam et artem medicam pertinet.

21.

Lysias de abortu, si legitima ejus oratio, οὐχ ὑπόλογον ὄντα dicit de eo cujus nulla ratio habetur. Dinarchus in oratione contra Pytheam: οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν, « nulla senatui venia data est », pro, nulla deprecatio locum habuit.

22.

Ἀμφιδρόμια, *circumcursatio*, apud Lysiam in oratione de abortu, si modo genuina sit. Dies quædam ob infantes

πέμπουσιν οἱ προσήκοντες, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας. Arsenius Viol. p. 53 Walk. : Λέγεται ἐπὶ τῶν καθαιρομένων. Καὶ Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως. Ἡμέρα τις ἤγετο κ. τ. λ.

23.

Harpocratio : Θεμιστεύειν ἀντὶ τοῦ χρησμῳδεῖν. Λυσίας ἐν τῷ περὶ τῆς ἀμβλώσεως, εἰ γνήσιος. Ὅτι δὲ γέγονε τὸ ὄνομα ἀπὸ τοῦ Θέμιν ἐσχηκέναι ποτὲ τὸ μαντεῖον πρὸ τοῦ Ἀπόλλωνος; Αἰσχύλος ἀρχόμενος τῶν Εὐμενίδων φησίν.

24.

Pollux II, 7 : καὶ ἄμβλωσις, ὡς Λυσίας. « Fortasse etiam ἀμβλωθρίδιον· τὸ ἀμβλωθὲν βρέφος, quod Harpocratio habet p. 14, 6, ad hanc Lysiæ orationem pertinet. » Sauppius.

(ΠΕΡΙ ΤΗΣ ΑΝΤΙΔΟΣΕΩΣ.)

Harpocratio : Ἐννεάκρουνον· Λυσίας [ἐν τῷ... καὶ Ἰσοκράτης] ἐν τῷ περὶ τῆς ἀντιδόσεως. Κρήνη τις ἐν Ἀθήναις· πρότερον δ' ἐκαλεῖτο Καλλιρρόη. Apud Isocrat. in or. περὶ ἀντιδόσεως § 287 habes : ἐπὶ τῆς ἐννεακρούνου ψύχουσιν οἶνον, ut pateat lexicographi locum turbatum esse.

XI. ΥΠΕΡ ΤΗΣ ΑΝΤΙΦΩΝΤΟΣ ΘΥΓΑΤΡΟΣ.

« Si quidquam fidei biographo decem oratorum habendum est, hoc constat Lysiam in hac oratione dixisse, Antiphontem eum, cujus filiam sibi Callæschrus deposcebat, a triginta viris interfectum esse. Itaque de Rhamnusio cogitari non potest. Pyrilampis filium a triginta viris non interfectum esse ostendit Aristotelis mentio in Plat. Parmen. p. 127, C. facta, quæ prorsus importuna esset, si Antiphon ille a triginta viris interfectus esset. Ita concidunt opiniones cum M. Meieri comment. andoc. 4 p. IV, tum G. Droysenii de Hermocopidis in mus. rhen. 3 p. 197 et L. Hœlscheri et A. Dryandri (de Antiph. Rhamn. vita p. 32 sq,). Reliquum igitur est, ut eum, quem a triginta viris interfectum esse Xenopho quoque narrat (hist. gr. 2. 3, 40), Lysonidæ filium fuisse auctori vitarum decem oratorum credamus. Cujus filiam quo jure Callæschrus, qui fortasse Critiæ filius fuit, sibi deposcere potuerit, nescimus. » Sauppius.

Vitæ X oratt. p. 833, A : Μετὰ δὲ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς (Antipho Rhamnusius) σὺν Ἀρχεπτολέμῳ, ἑνὶ τῶν τετρακοσίων, ἑάλω καὶ τοῖς περὶ τῶν προδοτῶν ἐπιτιμίοις ὑπαχθεὶς ἄταφος ἐρρίφη καὶ σὺν τοῖς ἐκγόνοις ἄτιμος ἐνεγράφη· οἱ δὲ ὑπὸ τῶν τριάκοντα ἀνῃρῆσθαι αὐτὸν ἱστοροῦσιν, ὥσπερ Λυσίας ἐν τῷ ὑπὲρ τῆς Ἀντιφῶντος θυγατρὸς λόγῳ· ἐγένετο γὰρ αὐτῷ θυγάτριον, οὗ Κάλλαισχρος ἐπεδικάσατο· ὅτι δὲ ὑπὸ τῶν τριάκοντα ἀπέθανεν, ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν Φιλιππικῶν. Ἀλλ' οὗτός γε ἂν εἴη ἕτερος, Λυσωνίδου πατρός, οὗ καὶ Κρατῖνος ἐν Πυτίνῃ [ὡς] οὐ πονηροῦ μνημονεύει. Πῶς γὰρ ἂν ὁ προτεθνεώς, ἀναιρεθεὶς ἐπὶ τῶν τετρακοσίων, πάλιν ἐπὶ τῶν τριάκοντα εἴη;

XII. ΚΑΤΑ ΑΠΟΛΛΟΔΩΡΟΥ.

26.

Harpocratio : Πρόπεμπτα· Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν, εἰ γνήσιος, καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου. Δίδυμος « Μήποτε, φησίν, ἄλλα τινά ἐστιν ἐπιτίμια τὰ πρὸ τῆς [παρα]καταβολῆς· εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαί φασιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀπολλοδώρου ὑποσημαίνει. Εἰ μὴ ἄρα πρόπεμπτα ὡς Δημοσθένης πρὸς ἡμέρας πέντε· ταῖς γὰρ μεγάλαις δίκαις οὐχ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν. » « Utraque Didymi suspicio falsa est. Apud Demosth. c. Mac. § 75 (p. 564 ed. Didot) πρόπεμπτα est i.

---

recens natos celebrabatur, qua puerum cursu circum focum ferebant, et a familiaribus atque amicis polypos et sepias accipiebant.

23.

Θεμιστεύειν, *vaticinari*, apud Lysiam in oratione de abortu, si germana sit. Verbum hoc dictum esse quod Themis olim oraculum tenuerit ante Apollinem, Æschylus refert Eumenidum initio.

24.

Ἄμβλωσις, *abortus*, ut Lysias ait.

(DE PERMUTATIONE.)

Ἐννεάκρουνον, Lysias [*in or... et Isocrates*] in oratione de permutatione; fons quidam Athenis, qui antea Callirrhoë vocabatur.

XI. PRO ANTIPHONTIS FILIA.

25.

Dejectis Quadringentis viris, Antipho Rhamnusius una cum Archeptolemo, uno ex Quadringentis, in jus vocatus condemnatusque, et, pœna proditoribus constituta de eo sumta, interfecti corpus insepultum abjectum, et cum tota posteritate inter infames relatus est. Sunt qui a Triginta tyrannis interfectum narrent, ut Lysias in oratione pro filia Antiphontis : reliquit enim filiolam, quam lege propinquitatis Callæschrus sibi sponsam vindicavit. Theopompus quoque, quintodecimo Philippicorum libro, scribit, a Triginta istis eum trucidatum. Sed hic quidem alius fuerit, Lysonida ortus patre, cujus Cratinus quoque in Pytina ut non mali meminit. Quomodo enim jam occisus a Quadringentis, denuo sub triginta Tyrannis vixerit?

XII. CONTRA APOLLODORUM.

26.

Πρόπεμπτα, Lysias contra accusationem Mixidemi, si genuina oratio, et Demosthenes in oratione de hereditate Hagniæ. « Πρόπεμπτα, Didymus ait, fortasse sunt pecuniæ quædam quæ ante depositionem pendendæ erant. Sunt enim qui quintam litium æstimatarum partem in judicio deponi solitam dicant, ut Lysias in oratione contra Apollodorum innuit. Nisi forte πρόπεμπτα cum Demosthene referas ad quinque dies, quæ constituebantur pro magnis causis : nam ad earum judicium dies una haud sufficiebat. »

q. πρὸ ε' ἡμερῶν. V. Schœmann de lit. att. p. 621.»
E Sauppio.

XIII. ΠΡΟΣ ΑΡΕΣΑΝΔΡΟΝ.

27.

Idem : Ἐκλογεῖς οἱ ἐκλέγοντες καὶ εἰσπράττοντες τὰ ὀφειλόμενα τῷ δημοσίῳ... Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον· « Νῦν δὲ πρὸς τοὺς ἐκλογέας τοῦ φόρου « ἅπαντα ἀπογραφόμεθα. » Cf. Antiphont. frg. 51.

28.

Idem : Ἀπαρτιλογία Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον καὶ Ἡρόδοτος ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός. Cf. Bekk. Anecd. p. 416, 20. Antiphontis fr. 151.

XIV. ΚΑΤ' ΑΡΙΣΤΑΓΟΡΟΥ ΕΝΔΕΙΞΕΩΣ,

εἰ γνήσιος.

29.

Idem : Ἀμωσγέπως ἀντὶ τοῦ ἑνί γέ τῳ τρόπῳ Λυσίας ἐν τῷ κατ' Ἀρισταγόρου ἐνδείξεως, εἰ γνήσιος.

XV. ΠΡΟΣ ΤΗΝ ΑΡΙΣΤΟΔΗΜΟΥ ΓΡΑΦΗΝ ΔΙΑΜΑΡΤΥΡΙΑ,

εἰ γνήσιος ὁ λόγος.

« Quis hic Aristodemus fuerit, nescimus. Nam etiam quod G. Kiesslingius (Lycurgi fragm. p. 1) suspicatur Aristodemum Batensem fuisse, quem Lycurgo, avo oratoris, causam necis exstitisse dicit biographus decem oratorum p. 841. B, nullo fundamento nititur, quanquam C. Scheibio in Iahn. annall. 31 p. 375 haud displicuit. » Sauppius.

30.

Idem . Ἀνάκρισις ἐξέτασις ὑφ' ἑκάστης ἀρχῆς γινομένη πρὸ τῶν δικῶν περὶ τῶν συντεινόντων εἰς τὸν ἀγῶνα. Ἐξετάζουσι δὲ καὶ εἰ ὅλως εἰσάγειν χρή. (Πολλάκις δέ ἐστι παρὰ τοῖς ῥήτορσιν, ὥσπερ καὶ Λυσίας (l. παρὰ Λυσίᾳ) ἐν τῷ πρὸς Ἀριστόδημον. Hæc addit cod. D.)

31.

Idem : Ἀνθήνη· Λυσίας ἐν τῇ πρὸς τὴν Ἀριστοδήμου γραφήν, εἰ γνήσιος. Πόλις τῆς Λακωνικῆς.

32.

Idem : Ἀποστασίου δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι. Καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντα; τελέως ἤδη ἐλευθέρους. Πολλάκις δ' ἐστὶ παρὰ τοῖς ῥήτορσι, παρὰ τῷ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστόδημον καὶ Ὑπερείδῃ ἐν τῷ κατὰ Δημητρίας ἀποστασίου.

33.

Idem : Διαμαρτυρία καὶ διαμαρτυρεῖν. Τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία· πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι ὡς εἰσαγώγιμός ἐστιν ἡ δίκη ἢ οὐκ εἰσαγώγιμος. Διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων. Καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον· εἰ δὲ μὴ προὐβάλετο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινα μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δί-

---

XIII. ADVERSUS ARESANDRUM.

27.

Ἐκλογεῖς, coactores qui colligebant ac exigebant quæ ærario vel reipublicæ debebantur... Lysias in oratione adversus Aresandrum : « Nunc vero apud tributorum coactores omnia profitemur. »

28.

Ἀπαρτιλογία, Lysias in oratione adversus Aresandrum et Herodotus (7, 29) pro *numerus plenus et absolutus.*

XIV. CONTRA ARISTAGORAM DE DELATIONE,

si modo genuina oratio est.

29.

Ἀμωσγέπως pro *aliqua saltem ratione* apud Lysiam in or. contra Aristagoram de delatione, si genuina est.

XV. ADVERSUS ARISTODEMI ACTIONEM CONTESTATIO,

si genuina est oratio.

30.

Ἀνάκρισις, inquisitio quam singuli magistratus faciunt ante judicia de rebus ad litem pertinentibus. Inquirunt etiam an omnino causa in judicium introducenda sit. Sæpe vox apud oratores occurrit, ut apud Lysiam in oratione adversus Aristodemum.

31.

Anthene, Laconicæ oppidum, cujus meminit Lysias in oratione contra Aristodemi actionem.

32.

Ἀποστασίου δίκη, *defectionis actio*, quæ datur patronis contra libertos, si ab ipsis deficiant vel alium patronum sibi adsciscant, nec faciant ea quæ leges jubent. Et victos quidem manet servitus; victores vero in posterum omnino sunt liberi. Frequenter id vocabulum legitur apud oratores, ut apud Lysiam in oratione adversus Aristodemum et apud Hyperidem in oratione contra Demetriam ob defectionem.

33.

Διαμαρτυρία et διαμαρτυρεῖν. Διαμαρτυρία modus erat quidam exceptionis; nam antequam causa in judicium introduceretur, cuivis licebat testificari, causam per leges in judicium introduci posse vel non posse. Differt autem ab exceptione, quod διαμαρτυρία non solum fit per reos, sed etiam per actores. Et primum quidem actor aliquem producebat, qui testaretur causam in judicium introduci posse : de qua re primum instituebatur disceptatio adversus ipsum testem, non adversus actorem. Sin vero actor nullum testem produceret, tunc reo licebat producere qui testaretur causam non posse in judicium produci : et rursus discep-

κην, και πάλιν πρὸς τὸν διαμαρτυρησαντα ὁ ἀγὼν ἐγίνετο. Ἐπεσκήπτοντο δὲ ψευδομαρτυριῶν καὶ ταῖς διαμαρτυρίαις, ὥσπερ ταῖς μαρτυρίαις· Λυσίας ἐν τῇ πρὸς Ἀριστόδημον διαμαρτυρίᾳ, εἰ γνήσιος ὁ λόγος. Ἰσαῖος δ' ἐν τῷ πρὸς Πύθωνα ἀποστασίου φησὶν ὅτι οὐχ οἷόν τε διαμαρτυρεῖν * οὐσίαν· Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀρισταγόρας ἀπροστασίου β' φησὶν ὡς οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀπροστασίου τὸν βουλόμενον ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων. Μήποτ' οὖν ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐ κεκώλυνται. Δείναρχος μέντοι διαμαρτυρῆσαι τεθεώρηκε οὐκ ἐπὶ τοῦ μαρτυρήσαντος αὐτοῦ ἀλλ' ἐπὶ τοῦ παρασχόντος τινὰ διαμαρτυρήσαντα ἐν τῇ διαμαρτυρίᾳ περὶ τοῦ μὴ ἐπίδικον εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα. Οὗτος δὲ ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἡδύλης καὶ τὸν τρόπον διαγράφει τῆς διαμαρτυρίας.

XVI. ΠΡΟΣ ΑΡΙΣΤΟΚΡΑΤΗΝ ΠΕΡΙ ΕΓΓΥΗΣ ΕΡΑΝΟΥ,

εἰ γνήσιος.

34.

Idem : Ἐρανίζοντες. Δημοσθένης ἐν τῇ περὶ τῶν Λυκούργου παίδων ἐπιστολῇ ἐρανίσας εἶπεν ἀντὶ τοῦ ἔρανον αἰτήσας· ἐν δὲ τῷ περὶ τοῦ ὀνόματός φησι « τί δὲ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ' οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν; » ἀντευποιεῖ ἀποδιδοὺς τὴν ἴσην βοήθειαν αὐτοῖς, ἣν κἀκεῖνοί ποτε παρέσχον ψευδομαρτυρήσαντες ὑπὲρ αὐτοῦ. Ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φορὰν ἣν ἑκάστου μηνὸς ἔδει καταβαλεῖν εἰσφέρων. Τὸ δὲ ὄνομα παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστοκράτην περὶ ἐγγύης ἐράνου, εἰ γνήσιος.

XVII. ΚΑΤΑ ΑΡΙΣΤΩΝΟΣ ΑΡΓΙΑΣ.

35.

Fragm. Lex. Rhetor. p. 665, 19 : Ἀργίας δίκη· Λυσίας ἐν τῷ κατὰ Ἀρίστωνός φησιν, ὅτι Δράκων ἦν ὁ θεὶς τὸν νόμον, αὖθις δὲ καὶ Σόλων ἐχρήσατο, θάνατον οὐχ ὁρίσας ὥσπερ ἐκεῖνος, ἀλλ' ἀτιμίαν, ἐάν τις ἁλῷ τρίς, ἐὰν δ' ἅπαξ, ζημιοῦσθαι δραχμὰς ἑκατόν.

XVIII. ΠΡΟΣ ΑΡΜΟΔΙΟΝ ΠΕΡΙ ΙΦΙΚΡΑΤΟΥΣ ΔΩΡΕΩΝ,

εἰ γνήσιος.

« Tres orationes Lysias Iphicrati scripsisse ferebatur, unam in Timotheum, alteram adversus Harmodium, tertiam adversus Aristophontem. De prima unus biographus decem oratorum commemoravit : cf. Rehdantz. vitæ Iphicr. Chabr. Tim. p. 90. Alteram et tertiam falso Lysiæ tributas esse Dionysius evicit : cf. Clintonus Fast. hell. ad a. 371. Quod Dionysius tantum suspicatur, de eo Aristoteles non videtur dubitavisse, quin Iphicratis ipsius essent. Hæc prima similis est Ctesiphonteæ Demosthenis. Cum enim Iphicrates Phrasiclide archonte a. 371 pace cum Lacedæmoniis inita Athenas rediisset (cf. Rehdantz. l. d. p. 92 sqq. et p. 171), rogatio ad populum lata est, ut Iphicrati honores magni decernerentur. Qui hoc rogaverat ab Harmodio, e genere tyrannicidarum oriundo, legum violatarum (παρανόμων) ac-

---

tatio erat adversus ipsum testem. Actio autem falsi testimonii tam in διαμαρτυρίαις quam μαρτυρίαις locum habebat. Lysias auctor in διαμαρτυρίᾳ contra Aristodemum, si modo germana ejus oratio. Isæus vero in oratione adversus Pythonem ob defectionem ait [*peregrinis*] διαμαρτυρεῖν non licere [*in* ἀποστασίου *causis*]. Hyperides autem in secunda oratione contra Aristagoram ob ἀπροστασίου crimen habita inquit jubere leges ut cuicunque sive peregrino sive civi liceat διαμαρτυρεῖν. Fortasse igitur in ἀποστασίου causis peregrinis διαμαρτυρίᾳ uti non licebat, sed licebat in causis ἀπροστασίου. Dinarchus tamen in Contestatione quod Aristophontis filia non sit ἐπίδικος (i. e. omnium bonorum heres, de qua controversia est, cui eam nubere oporteat), æstimavit vocem διαμαρτυρῆσαι non de ipso teste accipiendam, sed de eo qui testem produxit. Idem orator in oratione adversus Hedylam modum quoque διαμαρτυρίας describit.

XVI. ADVERSUS ARISTOCRATEM DE SPONSIONE COLLATIONIS,

modo genuina sit oratio.

34.

Demosthenes (p. 1484, 3) in epistola de Lycurgi liberis ἐρανίσας dixit de eo qui eranum s. collationem corrogavit, sed in oratione De nomine (§ 18) ait « Quid vero, si se falsi testimonii convincendum putans, propter locatas suis gregalibus operas? » hoc est, bene facit quum par iis præstet auxilium, quod et illi falsum dicendo testimonium olim præstiterunt. Ἐρανιστὴς vero proprie dicitur, qui collegii eranistarum particeps est, ac pensionem confert, quam singulis conferre mensibus oportebat. Exstat vocabulum apud Lysiam in oratione adversus Aristocratem de sponsione collationis, modo legitima sit.

XVII. CONTRA ARISTONEM DE INERTIA.

35.

Ἀργίας δίκη, *de inertia actio*. Lysias in oratione contra Aristonem dicit legis de inertia auctorem esse Draconem, qua deinde Solon quoque usus sit, pœnam statuens non mortem, ut Draco fecit, sed infamiam, si quis ter condemnaretur; sin semel, multam centum drachmarum.

XVIII. ADVERSUS HARMODIUM DE DONIS IPHICRATI DATIS,

modo genuina sit oratio.

Paulus Germenus (e Germe, Hellespontico oppido), sophista, qui duobus libris exposuit Lysiæ esse eam oratione quæ *De dono Iphicratis* inscribitur. Idem commentarios in reliquas Lysiæ orationes scripsit.

Conscripsit Lysias etiam orationes duas Iphicrati, quarum altera est in Harmodium, altera qua proditionis accusaret Timotheum; vicit ambabus. Quum autem postea Timothei actiones in se recepisset Iphicrates, et in rationibus reddendis proditionis crimini se implicaret, alia oratione usus est ad sui defensionem a Lysia conscripta, estque absolutus, Timotheus vero maxima multatus pecunia.

cusatus est. Tum Iphicrates, pariter atque Demosthenes Ctesiphontem, defendit rogationis auctorem. Atque Iphicratem vicisse ostendunt verba Demosth. C. Apaturium § 130 : Ἴστε δήπου τοῦτ', ἄνδρες Ἀθηναῖοι, ὅτι χαλκῆς εἰκόνος οὔσης παρ' ὑμῖν Ἰφικράτει καὶ σιτήσεως ἐν πρυτανείῳ καὶ δωρεῶν καὶ τιμῶν ἄλλων ὅμως ἐτόλμησεν, κ. τ. λ. De Harmodio illo cf. G. Droysen de populiscitis, quæ in Demosthenis or. de corona leguntur p. 50 (in Zimmerm. Annall. philoll. 1839 p. 582). Titulum orationis recte ab Ulpiano memoriæ proditum esse videtur Demosthenis locus quem adscripsi docere. » Sauppius.

Suidas : Παῦλος Γερμηνός, σοφιστής, ὁ γράψας ὅτι γε Λυσίου ἐστὶν ὁ περὶ τῆς Ἰφικράτους δωρεᾶς, βιβλία β'. ὑπομνήματα εἰς τοὺς λοιποὺς λόγους Λυσίου.

Vitæ X oratt. p. 836, D : Συνέγραψε (Lysias) δὲ λόγω καὶ Ἰφικράτει, τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνοντι Τιμόθεον, καὶ ἀμφοτέρους ἐνίκα. Ἀναδεξαμένου δὲ Ἰφικράτους τὰς τοῦ Τιμοθέου πράξεις, ταῖς εὐθύναις ἀναλαβὼν τὴν τῆς προδοσίας αἰτίαν, ἀπολογεῖται δι' ἄλλου Λυσίου λόγου, καὶ αὐτὸς μὲν ἀπελύθη, ὁ δὲ Τιμόθεος ἐζημιώθη πλείστοις χρήμασιν.

Dionysius Hal. tom. V, p. 477, 12 : Πολλοὺς ἤδη τῶν ἀναφερομένων εἰς αὐτὸν λόγων καὶ πεπιστευμένων ὑπὸ τοῦ πλήθους, ὡς εἰσιν ἐν τοῖς πάνυ γνησίοις Λυσίου, καὶ τά γε ἄλλα οὐκ ἀτόπως ἔχοντας, ὅτι τὴν χάριν οὐ προσβάλλουσι τὴν Λυσιακὴν οὐδὲ τὴν εὐστομίαν ἔχουσιν ἐκείνης τῆς λέξεως ὑποπτεύσας τε καὶ βασανίσας εὗρον οὐκ ὄντας Λυσίου. Ὧν ἐστι καὶ ὁ περὶ τῆς Ἰφικράτους εἰκόνος· ὃν οἶδ' ὅτι πολλοὶ καὶ χαρακτῆρα ἡγήσαιντο ἂν καὶ κανόνα τῆς ἐκείνου δυνάμεως. Οὗτος μέντοι ὁ λόγος, ὁ καὶ τοῖς ὀνόμασιν ἡρμηνεῦσθαι δοκῶν ἰσχυρῶς καὶ τοῖς ἐνθυμήμασιν εὑρῆσθαι περιττῶς καὶ ἄλλας πολλὰς ἀρετὰς ἔχων, ἄχαρίς ἐστι καὶ πολλοῦ δεῖ τὸ Λυσιακὸν ἐπιφαίνειν στόμα· μάλιστα δ' ἐγένετό μοι καταφανὴς ὅτι οὐχ ὑπ' ἐκείνου τοῦ ῥήτορος ἐγράφη τοὺς χρόνους ἀναλογισαμένῳ. Εἰ γὰρ ὀγδοηκονταετῆ γενόμενον θήσει τις τελευτῆσαι Λυσίαν ἐπὶ Νίκωνος ἢ ἐπὶ Ναυσινίκου ἄρχοντος ἑπτὰ ἔτεσιν ὅλοις ἂν εἴη προτεροῦσα τῆς γραφῆς τοῦ ψηφίσματος ἡ τελευτὴ τοῦ ῥήτορος. Μετὰ γὰρ Ἀλκισθένην ἄρχοντα, ἐφ' οὗ τὴν εἰρήνην Ἀθηναῖοί τε καὶ Λακεδαιμόνιοι καὶ βασιλεὺς ὤμοσαν, ἀποδοὺς τὰ στρατεύματα Ἰφικράτης ἰδιώτης γίνεται καὶ τὸ περὶ τῆς εἰκόνος ἦν τότε, ἔτεσιν ἑπτὰ πρότερον τῆς γραφῆς τετελευτηκότος Λυσίου, πρὸ τοῦ συντάξασθαι τοῦτον τὸν ἀγῶνα Ἰφικράτη. Ὁμοίως δὲ καὶ τὴν ἀπολογίαν τοῦ ἀνδρός, καὶ αὐτὴν εἰς Λυσίαν ἀναφερομένην, οὔτε τοῖς πράγμασιν ἀτόπως ἔχουσαν οὔτε τοῖς ὀνόμασιν ἀσθενῶς, δι' ὑποψίας ἔλαβον, οὐκ ἐπανθούσης τῇ λέξει τῆς Λυσιακῆς χάριτος, καὶ παραθεὶς τοὺς χρόνους οὐκ ὀλίγοις ἔτεσιν εὗρον ὑστεροῦσαν τῆς τελευτῆς τοῦ ῥήτορος, ἀλλὰ καὶ εἴκοσιν ὅλοις. Ἐν γὰρ τῷ συμμαχικῷ πολέμῳ τὴν εἰσαγγελίαν Ἰφικράτης ἠγώνισται καὶ τὰς εὐθύνας ὑπέσχηκε τῆς στρατηγίας, ὡς ἐξ αὐτοῦ γίνεται τοῦ λόγου καταφανές· οὗτος δὲ ὁ πόλεμος πίπτει κατὰ Ἀγαθοκλέα καὶ Ἐλπίνην ἄρχοντας. Ὅτου μὲν οὖν εἰσιν οἱ λόγοι ῥήτορος, οἱ περί τε τῆς εἰκόνος καὶ τῆς προδοσίας, οὐκ ἔχω βεβαίως εἰπεῖν, ὅτι δ' ἑνὸς ἀμφότεροι, πολλοῖς τεκμηρίοις ἔχοιμ' ἂν εἰπεῖν· ἥ γὰρ αὐτὴ προαίρεσίς τε καὶ δύναμις ἐν ἀμφοτέροις, ὑπὲρ ὧν οὐ καιρὸς ἐν τῷ παρόντι σκοπεῖν. Εἰκάζω δὲ Ἰφικράτους εἶναι αὐτοῦ· καὶ γὰρ τὰ πολέμια δεινὸς ὁ ἀνὴρ καὶ ἐν λόγοις οὐκ εὐκαταφρόνητος, ἥ τε λέξις ἐν ἀμφοῖν πολὺ τὸ φορτικὸν καὶ στρατιωτικὸν ἔχει καὶ οὐχ οὕτω ἐμφαίνει ῥητορικὴν ἀγχίνοιαν, ὡς στρατιωτικὴν αὐθάδειαν καὶ ἀλαζονείαν.

36.

Aristot. Rhet. II, 23, p. 376 ed. Didot. : Ἄλλος (τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐκ τοῦ τὸν χρό-

---

Multas orationes, quæ Lysiæ attribuuntur et vulgo quam maxime genuinæ esse creduntur, non ineptas illas alioqui, propterea tamen quod venustatem Lysianam minime ostendunt, nec eloquentiam ejus dictionis proferunt, dubitans et examinans, inveni, non esse a Lysia scriptas. Inter quas inprimis est oratio illa de statua Iphicratis, quam multos vel pro nota ac norma Lysiacæ eloquentiæ haberi velle scio. Attamen oratio hæc, quamvis verbis valde excellere et sententiis abundare aliasque multas virtutes habere videatur, invenusta est, multumque a Lysiano ore discrepat. Præcipue autem temporum rationes supputanti mihi apparuit eam ab hoc oratore scribi non potuisse. Si quis enim Lysiam octogesimo ætatis anno obiisse ponat archonte Nicone vel Nausinico, septem ante annis, quam hoc decretum de statua fieret, mortuus erat Lysias. Nam post Alcisthenem archontem, cujus quidem tempore Athenienses et Lacedæmonii et rex pacem inierant, tradito exercitu, Iphicrates privatus vixit, et tum illud de statua negotium fuit, septem annis jam mortuo Lysia antequam Iphicrates actionem istam sustineret. Similiter defensio pro Iphicrate quæ ipsa quoque Lysiæ vulgo attribuitur, neque rerum tractationem ineptam habet neque vi caret, suspecta tamen mihi fuit, quoniam dictio flore venustatis Lysianæ destituta est, ac tempora comparans haud paucis annis, immo integris annis viginti, eam inveni morte oratoris esse posteriorem. In bello enim sociali Iphicrates, de proditione et de rebus perperam in bello factis accusatus, in judicium vocatus est ut ex ipsa oratione colligitur : hoc autem bellum gestum est archontibus Agathocle et Elpine. Cujusnam oratoris sint orationes de statua et de proditione, certius dicere non habeo : sed unius ejusdemque esse ambas, multis conjecturis adducor, ut credam. Idem enim in utraque studium eademque facultas, de quibus inquirere jam non est locus. Suspicor autem ambas ipsius esse Iphicratis : is enim vir fuit rebus bellicis eximius et dicendi facultate instructus haud contemnenda; dictio autem in utraque oratione admodum austera est et militaris et non tam oratoriam sollertiam quam militarem superbiam et arrogantiam præ se fert.

36.

Alius locus argumentationis demonstrativæ sumitur ex consideratione temporis rationum ; sic Iphicrates in oratione

νον σκοπεῖν, οἷον ὡς Ἰφικράτης ἐν τῇ πρὸς Ἁρμόδιον ὅτι « Εἰ πρὶν ποιῆσαι ἠξίουν· τῆς εἰκόνος τυχεῖν ἐὰν « ποιήσω, ἔδοτε ἄν· ποιήσαντι δ' ἄρ' οὐ δώσετε; μὴ « τοίνυν μέλλοντες μὲν ὑπισχνεῖσθε, παθόντες δ' ἀφαι« ρεῖσθε. » Cf. Dionysius Hal. t. VI, p. 739.

37.

Idem ib. II, 23, p. 376 : Ἄλλος (τόπος τῶν δεικτικῶν ἐνθυμημάτων) ἐξ ὁρισμοῦ, οἷον.... καὶ ὡς Ἰφικράτης, ὅτι γενναιότατος ὁ βέλτιστος· « Καὶ « γὰρ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι οὐδὲν πρότερον « ὑπῆρχε γενναῖον πρὶν γενναῖόν τι πρᾶξαι. » Καὶ ὅτι συγγενέστερος αὐτός· « Τὰ γοῦν ἔργα συγγενέστερά « ἐστι τὰ ἐμὰ τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἢ τὰ « σά. »

Quæ ap. Planudem in Rh. gr. t. V. p. 406, 10 tamquam Iphicratis verba citantur, ea esse Isocratis (περὶ τοῦ ζεύγους § 25) monuit Sauppius.

38.

Idem ib. I, 7, p. 327: Ἐπεὶ δὲ τὸ χαλεπώτερον καὶ σπανιώτερον μεῖζον, καὶ οἱ καιροὶ καὶ αἱ ἡλικίαι καὶ οἱ τόποι καὶ οἱ χρόνοι καὶ αἱ δυνάμεις ποιοῦσι μεγάλα·... ὅθεν... καὶ ὁ Ἰφικράτης αὐτὸν ἐνεκωμίαζε λέγων ἐξ ὧν ὑπῆρξε ταῦτα. Cf. ib. c. 9. Τοιοῦτον δὲ τὸ τοῦ Ἰφικράτους ἐξ οἵων εἰς οἷα.

39.

Aristides or. 49 p. 518 ed. Dind. : Καὶ δὴ τὸν μὲν Σωκράτη, εἰ βούλει, παρίημι, τὸν δὲ Ἰφικράτη σκόπει, ἄνδρα οὐ μεθόριον ῥήτορος καὶ στρατηγοῦ, ἀλλ' ἀμφοτέρων ἐφικνούμενον. Ἆρ' οὖν διῆλθές ποτ' αὐτοῦ τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς δωρεᾶς; καίτοι τίθει μέν, εἰ βούλει, Λυσίου τὸν λόγον εἶναι, τίθει δ' Ἰφικράτους, εἰ τοῦτο αἱρεῖ. Ἔστι τοίνυν οὐδὲν οὕτω τοῦ παντὸς ἀγῶνος ἐπιφανὲς ὡς τὸ φρόνημα, ὃ δὴ καὶ ποιεῖ κρείττω Λυσίου τῶν πολλῶν εἶναι τὸν λόγον. Λέγει γὰρ ἄλλα τε δὴ τοῖς Ἀθηναίοις οὐ τῆς σῆς ψυχῆς καί· « εἰ, « φησίν, ἑπτὰ ὑμῖν ἦσαν τοιοῦτοι στρατηγοὶ οἷος ἐγώ, « ἀοίκητος ἂν ἦν ἡ Λακεδαίμων. » Καὶ μνησθεὶς Ἁρμοδίου καὶ Ἀριστογείτονος, οὓς Ἀθηναῖοι πρώτους ἁπάντων τῶν εὐεργετῶν ἦγον, ἢ παραλαβεῖν ἂν αὐτούς φησιν ἢ ὑπ' ἐκείνων παρακληθῆναι, εἰ κατ' ἐκείνους ἐγένετο. — « Καὶ ὑμεῖς μέν, φησίν, οἴεσθε, ὦ ἄνδρες « Ἀθηναῖοι, παρ' ὑμῶν ταῦτά μοι γράμματα καὶ τὴν « στήλην εἶναί τι σεμνόν, ἐμοὶ δὲ στήλη οὐρανομήκης « ἕστηκεν ἐν τῇ Πελοποννήσῳ μαρτυροῦσα τὴν ἀρε« τήν ». Εἰς τοσοῦτον δὲ ἀφικνεῖται τῆς παρρησίας, ὡς ἀμφοτέροις ἑαυτὸν ἀντεξετάζει τοῖς στρατηγοῖς, καὶ τοῖς τῶν πολιτῶν καὶ τοῖς τῶν πολεμίων.

40.

Plutarchus Apophthegm. p. 187, B : Πρὸς δὲ Ἁρμόδιον, τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον, ἔφη· « Τὸ μὲν ἐμὸν « ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται. » Cf. Pseudoplutarchus περὶ εὐγενείας c. 21 et Arsenius Violeti p. 308.

Stobæus Floril. LXXXVI, 15 : Ἰφικράτους. Ἰφικράτης ὀνειδιζόμενος εἰς δυσγένειαν· Ἐγὼ ἄρξω, εἶπε, τοῦ γένους.

Ulpian. ad Demosth. Mid. § 62 : Πρῶτος γὰρ Ἰφικράτης τιμῶν ἔτυχεν ὧν Ἁρμόδιος καὶ Ἀριστογείτων. Κόνωνος μὲν γὰρ πρώτου χαλκοῦς ἀνδριὰς ἔστη, ἀλλὰ τούτῳ μόνῳ ἐτιμήθη· Ἰφικράτης δὲ καὶ τὰς ἄλλας δωρεὰς τὰς ἐκείνοις ψηφισθείσας ἔλαβεν, ὥστε καί τινα

---

adversus Harmodium : « Si antequam hæc gererem, statuam mihi postulassem postquam ea gessissem, certe decrevissetis; nunc, confectis rebus, eam denegatis? Nolite igitur committere, ut, quod facile polliciti essetis, quum a me beneficium exspectaretis, id nunc beneficio affecti denegetis. »

37.

Alius locus argumentorum demonstrativorum petitur ex definitione; ut in oratione Iphicratis, qui optimum esse generosissimum contendens ait : « Nam et Harmodio et Aristogitoni nihil prius generosum inerat, quam generosum aliquid perpetrassent. » Idem se illis conjunctiorem esse dicens, « Conjunctiores certe, inquit, sunt res a me gestæ rebus Harmodii et Aristogitonis, quam tuæ. »

38.

Quoniam vero majus difficilius et rarius est, etiam opportunitates et ætates et loci et tempora et facultates magna faciunt. Unde etiam Iphicrates se ipsum encomio ornavit, dicens ex quibus exstiterint hæc (ex quam diverso rerum statu exstiterit is, cujus ipse auctor fuerit).

Tale est etiam Iphicratis illud, « *e qualibus in quales* (res mutatæ sint). »

39.

Sed Socratem, si vis, jam missum facio; at Iphicratem specta, virum non confinem rhetori et imperatori, sed utriusque laudem assecutum. An unquam perlegisti ejus pro donis ipsi datis orationem? Fac, sis, Lysiæ eam, fac, si malis, ipsius esse Iphicratis. Nihil in tota hac actione tam est conspicuum quam animi superbia, qua etiam fit ut plurimis Lysianis hæc oratio sit superior. Dicit enim tum alia Atheniensibus quæ non tui sensus sunt, tum hocce : « Quodsi septem, inquit, vobis tales duces fuissent qualis ego, deserta esset Lacedæmon. » Idem Harmodii et Aristogitonis mentionem faciens, quos Athenienses inter eos, qui beneficiis ipsos affecerint, omnium primos esse censebant, hos aut ipsum sibi socios adjuncturum fuisse dicit aut illos se socium advocaturos fuisse, si eodem quo illi vixisset tempore. « Et vos quidem, inquit, o Athenienses, hasce literas et hancce statuam mihi magnum aliquid esse creditis, at cœlum tangens mihi stat in Peloponneso statua meam testans virtutem. » Porro eo usque linguæ libertas ei procedit, ut utrisque se et civium et hostium ducibus opponat.

40.

Harmodio, veteris illius Harmodii postero, generis ignobilitatem probrose objicienti respondit Iphicrates : « Meum a me genus incipit, tuum in te desinit. »

Iphicrates generis ignobilitatem exprobranti dixit : « Ego mei generis sum principium. »

Primus Iphicrates eosdem quos Harmodius et Aristogiton honores nactus est. Cononi quidem primum statua posita est, sed hunc solum is honorem obtinuit; Iphicrates autem cetera quoque dona illis decreta accepit, adeo ut quidam ex Harmodii posteris oriundus actionem contra

τῶν ἀφ' Ἁρμοδίου δικάσασθαι τῷ Ἰφικράτει περὶ τῶν δωρεῶν, ὡς ἀναξίως λαβόντι. Καὶ ἔστι Λυσίου λόγος εἰς Ἰφικράτην ἀναφερόμενος, ἔχων τὴν ἐπιγραφήν· περὶ τῶν αὐτοῦ δωρεῶν, ἐν ᾧ σκωφθεὶς εἰς δυσγένειαν παρὰ τοῦ κατηγόρου φησὶν ὅτι· « Τὸ μὲν « ἐμὸν γένος ἀπ' ἐμοῦ τὴν ἀρχὴν τοῦ γνωρίζεσθαι « λαμβάνει, τὸ δὲ σὸν μέχρι σοῦ τὴν δόξαν ἔστησεν. »

XIX. ΠΡΟΣ ΑΡΧΕΒΙΑΔΗΝ.

Cf. Meier. de lit. att. p. 498. Fortasse titulus hic erat : πρὸς Ἀρχεβιάδην συμβολαίδυ ἀπολογία. V. or. adversus Philocratem et Athenæus 13, p. 611, E (supra Lysiæ fr. 1) : Λυσίας ἐν τοῖς τῶν συμβολαίων λόγοις.

41.

Dionysius De Isæo t. V, p. 601, 14 : Ὑποτίθεται δ' ἑκάτερος (Lysias et Isæus) ἰδιώτην ἄνδρα καὶ ἀπράγμονα καὶ νέον, παρὰ τὴν ἑαυτοῦ προαίρεσίν τε καὶ φύσιν ἠναγκασμένον ἐν δικαστηρίῳ λέγειν, ὁ μὲν Λυσίας ἐν τῷ πρὸς Ἀρχεβιάδην λόγῳ τὸν τρόπον τοῦτον· « Ἐπειδὴ τάχιστα ἔλαχέ μοι ταύτην τὴν δίκην « Ἀρχεβιάδης, ὦ ἄνδρες δικασταί, προσῆλθον αὐτῷ « λέγων, ὅτι νέος καὶ ἄπειρος εἴην πραγμάτων καὶ « οὐδὲν δεόμενος εἰσιέναι εἰς δικαστήριον. « Ἐγὼ οὖν « σε ἀξιῶ μὴ εὕρημα ἡγεῖσθαι τὴν ἡλικίαν τὴν ἐμήν, « ἀλλὰ παραλαβόντα τοὺς ἐμοὺς φίλους καὶ τοὺς σεαυ« τοῦ διηγήσασθαι περὶ τοῦ χρέους ὅθεν γεγένηται· « κἂν δόξῃς ἀληθῆ λέγειν ἐκείνοις, οὐδέν σοι δεήσει « πραγμάτων, ἀλλὰ λαβὼν ἄπει τὰ σαυτοῦ. Δίκαιος « δὲ εἶ μηδὲν παραλιπεῖν, ἀλλ' εἰπεῖν ἅπαντα, ἐπειδὴ « νεώτερός εἰμι τοῦ συμβολαίου, ἵνα ἀκούσαντες περὶ « ὧν οὐκ ἴσμεν βουλευσώμεθα περὶ ὧν σὺ λέγεις, ἐὰν « πως φανερὸν γένηται, πότερον ἀδίκως τῶν ἐμῶν « ἐφίεσαι ἢ δικαίως τὰ σεαυτοῦ ζητεῖς κομίσασθαι. » « Ταῦτ' ἐμοῦ προκαλουμένου οὐδεπώποτ' ἠθέλησε συν« ελθεῖν οὐδὲ λόγον περὶ ὧν ἐνεκάλει ποιήσασθαι οὐδὲ « δίαιταν ἐπιτρέψαι, ἕως ὑμεῖς τὸν νόμον τὸν περὶ « τῶν διαιτητῶν ἔθεσθε. » Cf. id. p. 604, 14.

Suidas v. αἴσθεσθαι fragmentum affert ex oratione πρὸς Ἀλκιβιάδην, in quo Ἀρχιβιάδης (sic) memoratur. Fortasse igitur πρὸς Ἀρχεβιάδην ibi legendum est. V. fr. 12. Verba fragmenti ejusmodi sunt ut commode in nostra hac oratione locum habere potuerint.

XX. ΠΡΟΣ ΑΡΧΙΝΟΝ.

42.

« Cum Lysias Thrasybuli sociorumque conatus summo studio adjuvisset, post reditum ille rogationem ad populum tulit, ut Lysiæ civitas attica daretur. Populus decrevit, sed Archinus Thrasybulum accusavit, quod rogatio illa sine senatus consulto ad populum devenisset (ἀπροβούλευτος). Thrasybulo defendendo Lysias orationem composuit, sed Archinus vicit. Vide supra Archini fragmenta p. 166. Biographus mentionem hujus orationis et duodecimæ conjunxisse videtur, quod invenerat utramque orationem Lysiam ipsum oravisse. »

43.

Vitæ X oratt. p. 836, A : Ἔστι δ' αὐτοῦ καὶ ὁ ὑπὲρ τοῦ ψηφίσματος ὃ ἐγράψατο Ἀρχῖνος τὴν πολιτείαν αὐτοῦ περιελών, καὶ κατὰ τῶν τριάκοντα ἕτερος.

XXI. ΠΡΟΣ ΑΣΙΩΝΑ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΒΙΒΛΙΩΝ ΚΛΟΠΗΣ,

εἰ γνήσιος.

44.

Harpocratio : Ἀμφιγνοεῖν ἀντὶ τοῦ ἀγνοεῖν ἢ ἐνδοιάζειν περὶ τῆς γνώσεως, ὡς καὶ Λυσίας ἐν τῷ πρὸς Ἀσίωνα περὶ τῆς τῶν βιβλίων κλοπῆς, εἰ γνήσιος ὁ λόγος.

Iphicratem, quippe qui dona ista non meruisset, institueret. Exstat etiam Lysiæ oratio Iphicrati attribui solita, quæ inscribitur *de ipsius donis*, in qua accusatori qui ob generis ignobilitatem eum cavillatus erat, respondit : « Meum genus a me inclarescit, tuum vero in te gloriam suam sistit. »

XIX. ADVERSUS ARCHEBIADEM.

41.

Sumit uterque (Lysias et Isæus) pro argumento hominem privatum, abhorrentem a negotiis, eumque juvenem et contra voluntatem et ingenium in judicio dicere coactum; et Lysias quidem in oratione contra Archebiadem ad hunc modum : « Quamprimum hanc mihi litem intendit Archebiades, judices, accessi ad eum dicens adolescentem me esse, rerum imperitum, minimeque prodire cupiens in judicium. Itaque te quæso, ne juventutem meam lucri loco ponas, sed advocatis amicis et meis et tuis, unde creatum sit debitum, exponas. Et si visus illis fueris vera dicere, non opus erit tibi litibus, sed, quæ tua sunt auferes. Æquum est autem, ut nihil silentio prætereas, sed dicas omnia, quoniam ego contractu illo junior sum, ut, auditis, quæ ignoramus, consultemus super his, quæ tu dices : si forte manifestum inde fiat, utrum injuste mea concupiscas, an juste tua recuperare coneris. « Hæc me proponente nunquam voluit convenire, neque verbum facere de his, de quibus expostulabat, neque arbitris rem committere, usquedum vos legem de arbitris posuissetis. »

XX. ADVERSUS ARCHINUM.

43.

Est etiam Lysiæ oratio pro decreto, quod Archinus tanquam illegitimum impugnavit, ut civitatem Lysiæ adimeret, et alia adversus triginta tyrannos.

XXI. ADVERSUS ASIONEM DE LIBRORUM FURTO,

si genuina oratio.

44.

Ἀμφιγνοεῖν, *ignorare* aut *ambigere de cognitione*, Lysias quoque dicit in oratione contra Asionem de furto librorum, modo genuina sit oratio.

XXII. ΥΠΕΡ ΤΟΥ ΑΣΠΙΔΟΠΟΙΟΥ.

45.

Pollux VII, 155 : Ἀσπιδοποιός, ἀσπιδοπλέκτης, ἀσπιδοπήγιον. Λυσίᾳ δὲ καὶ λόγος ὑπὲρ τοῦ ἀσπιδοποιοῦ.

Idem VII, 15 : Τῆς δὲ ἰσωνίας Λυσίας εἴρηκεν ἐν τῷ περὶ ἀσπιδοποιοῦ.

XXIII. ΠΡΟΣ ΑΣΩΠΟΔΩΡΟΝ ΠΕΡΙ ΟΙΚΙΑΣ.

46.

Harpocratio v. παρακαταβολή, p. 146, 20 : Ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ ε' μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. Περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας. Cf. Lysiæ frg. 11.

XXIV. ΚΑΤ' ΑΥΤΟΚΛΕΟΥΣ, εἰ γνήσιος.

47.

Antigenidas, cujus Lysias meminit in oratione ad Nicarchum tibicinem (modo reapse Lysiæ oratio sit), filius erat Dionysii, tibicen clarissimus.

XCVIII. ADVERSUS NICIAM DE DEPOSITO.

187.

Neque illa prætermittam. Cratinus in Pytine quum dixisset :

Apparatum quidem fortasse cognoscitis,

Andocides orator (or. 1 init.) dicit : « Apparatum quidem, o judices, et contentiones adversariorum meorum omnes propemodum scitis. » Similiter etiam Lysias in oratione ad Niciam de deposito ait : « Apparatum quidem et contentionem adversariorum videtis, o judices. » Et post hunc Æschines (or. 3 § 1) ait : « Apparatum quidem videte, Athenienses, et instructam quasi aciem. »

XCIX. PRO NICIA.

188.

Mirari sane licet quo tandem pacto Theophrastus credere potuerit Lysiam fastuosum et affectatum orationis genus sectari et factitium magis artificium quam naturalem simplicitatem. In iis scilicet quæ *de dictione* scribit, tum ceteros reprehendit qui in antithesibus et comparibus et similibus colis aliisque id genus figuris operam posuerint, tum Lysiam quoque in eorum numero recenset, orationem pro Nicia Atheniensium duce scriptam, quam ille apud Syracusanos captivus dixerit, tamquam a Lysia oratore compositam exempli loco proponens. Sed nihil, opinor, impediet, quominus ipsa Theophrasti verba apponamus; sunt vero hæcce : « Antithesis fit tripliciter, quum vel eidem contraria, vel contrario eadem, vel contraria contrariis opponuntur; tot enim modis possunt conjugari; sed paria et similia componere ludicrum est, quasi poema; quare etiam minus convenit studio. Apparet enim haud decore eum, qui rebus studet, ludere verbis, et dictione affectum tollere : id enim auditorem languidum reddit. Sic Lysias in defensione Niciæ ad commiserationem auditores movere cupiens ait : « Ploro perniciem quæ nec pugna nec prœlio navali vinci potuit. » — « Supplices ad deorum aras sedentes, et nos jurisjurandi proditores esse declarantes. » — « Invocantes generis affinitatem et nobilitatem. » Sane quidem, si reapse hæc Lysias scripsit, merito culpandus est, quod ejusmodi verborum jocis in injucundo temporis momento indulserit. Si vero alius cujusdam est, sicuti revera est, oratio, ipse Theophrastus potius, qui hunc injuste incusat, reprehendendus est. Sed non scripsisse Lysiam illam pro Nicia orationem, nec spiritum hujus oratoris neque dictionem scriptum istud prodere, quum multis argumentis demonstrare possem, non hoc tamen loco demonstrandi opportunitas est.

μεμπτότερος. Ὅτι δὲ οὐκ ἔγραψε Λυσίας τὸν ὑπὲρ Νικίου λόγον οὐδ' ἔστιν οὔτε τῆς ψυχῆς οὔτε τῆς λέξεως ἐκείνης τὸ γράμμα πολλοῖς πάνυ τεκμηρίοις ἀποδεῖξαι δυνάμενος οὐκ ἔχω καιρὸν ἐν τῷ παρόντι λόγῳ.

C. ΚΑΤΑ ΝΙΚΙΔΟΥ ΑΡΓΙΑΣ,

εἰ γνήσιος.

Νικίδου nomen in libris mss. et in editt. habes fr. 193. 195. 196. 197; idem in Νικιδίου leviter corruptum fr. 190 et 192. Ceteris locis, fr. 191. 194. 194 a, editiones Harpocrationis habent Νικίου; sed Νικίδου ex optimo codice A reposuit Sauppius; similiter in fr. 189 Νικίδου scribendum esse patet. — Apud Harpocrationem v. ἐπιδλῆτας (v. fr. 172) quum communi, ut videtur, codicum consensu citetur oratio κατὰ Νικίου φόνου, quæritur an talis Lysiæ oratio exstiterit, an κατὰ Μικίνου φόνου legendum sit. Hoc placuit Sauppio. Quod nostram κατὰ Νικίδου ἀργίας orationem attinet, ea, Sauppius ait, parum abfuit quin adhuc exstaret. « Erat enim tricesima prima codicis Palatini, quum adhuc integer esset; sed quaternio sextus decimus, in quo scripta fuerat, casu importunissimo perditus est. Cf. epist. crit. ad G. Herm. p. 8. sq. »

189.

Diogenes Laert. I, 55, de Solone : Δοκεῖ δὲ καὶ κάλλιστα νομοθετῆσαι.... Καὶ ὁ ἀργὸς ὑπεύθυνος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι. Λυσίας δ' ἐν τῷ κατὰ Νικίδου (Νεικείδου ed. Menagii; Νικίου cett.) Δράκοντά φησι γεγραφέναι τὸν νόμον, Σόλωνα δὲ τεθεικέναι.

190.

Harpocratio : Διαγράψασθαι Λυσίας ἐν τῷ κατὰ Νικίδου, εἰ γνήσιος, ἀντὶ τοῦ ἀνελέσθαι τὸ ἔγκλημα. Cod. I : κατευνικιδιου; Bekker. κατὰ Νικιδίου.

191.

Idem : Δωροξενία· Λυσίας ἐν τῷ κατὰ Νικίδου (Νικίου Bekk.). Ἐξηγήσατο τοὔνομα Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας οὕτω γράφων... V. Hyperidis fragmenta.

192.

Idem : Εὔθυνοι· Λυσίας ἐν τῷ κατὰ Νικίδου (Νικιδίου Bekk.), εἰ γνήσιος. Εὔθυνοι ὄνομα ἀρχῆς παρ' Ἀθηναίοις· ι' τὸν ἀριθμὸν ἦσαν, παρ' οἷς ἐδίδοσαν οἱ πρεσβεύσαντες ἢ ἄρξαντες ἢ διοικήσαντές τι τῶν δημοσίων τὰς εὐθύνας. Διείλεκται περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

193.

Idem : Θετταλός· Λυσίας κατὰ Νικίδου. Εἷς τῶν Κίμωνος παίδων Θετταλὸς ἐκαλεῖτο, ὥς φησιν Ἡλιόδωρος ἐν τῷ περὶ ἀκροπόλεως.

194.

Idem : Ἰτεαῖος· Λυσίας ἐν τῷ κατὰ Νικίδου (Νικίου Bekk.). Δῆμός ἐστι τῆς Ἀκαμαντίδος Ἰτέα, ἀφ' ἧς ὁ δημότης Ἰτεαῖος, ὥς φησι Διόδωρος. Cf. Fragm. Cantabr. lex. rhet. ad calcem Photii p. 671, 5.

194. a.

Idem : Κηττοί· Λυσίας ἐν τῷ κατὰ Νικίδου (Νικίου Bekk.) ἀργίας. Δῆμός ἐστι τῆς Λεοντίδος, ὡς Διόδωρος ὁ περιηγητής φησιν.

195.

Idem : Ὀβολοστατεῖ ἀντὶ τοῦ δανείζει Λυσίας ἐν τῷ κατὰ Νικίδου (Νικίου unus cod. C.), εἰ γνήσιος. Cf. Lysiæ frg. 153.

196.

Idem : Ποταμός· Λυσίας ἐν τῷ κατὰ Νικίδου ἀργίας. Ποταμὸς δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης

C. CONTRA NICIDAM DE INERTIA,

modo genuina sit oratio.

189.

Solon præclare etiam leges tulisse videtur... Eum, qui vitam in otio transigit, accusare cuivis liberum esto. Lysias vero in oratione contra Nicidam, Dracontem ait scripsisse hanc legem, Solonem vero tulisse.

190.

Διαγράψασθαι, *actionem expunxisse*, Lysias in oratione contra Nicidam, modo ea genuina sit.

191.

Δωροξενία. Lysias in oratione contra Nicidam. Exposuit de hoc vocabulo Hyperides in or. contra Aristagoram.

192.

Εὔθυνοι. Lysias in oratione adversus Nicidam, modo ea genuina sit. Εὔθυνοι nomen magistratus apud Athenienses. Decem fuere, apud quos qui legatione functi erant, aut magistratum gesserant, aut aliquid rerum publicarum administraverant, rationes reddebant. Disseruit de his Aristoteles in republica Atheniensium.

193.

Thessalus. Lysias in or. contra Nicidam. Unus e Cimonis filiis Thessalus dicebatur, ut Heliodorus refert in opere De acropoli.

194.

Itexus. Lysias in or. contra Nicidam. Itea est pagus Acamantidis tribus, cujus paganus Iteæus dicitur, teste Diodoro periegeta.

194 a.

Cetti. Lysias in or. contra Nicidam de inertia. Pagus est Leontidis tribus, ut ait Diodorus periegeta.

195.

Ὀβολοστατεῖ, *fœneratur*. Lysias in or. contra Nicidam, modo genuina sit.

196.

Potamus. Lysias in or. contra Nicidam de inertia. Potamus est pagus Leontidis tribus, cujus civis vocatur Po-

Ποτάμιος. Ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράπτους, ὡς ἄλλοι τε δηλοῦσι καὶ Μένανδρος ἐν Διδύμαις.

197.

Idem : Πτώματα ἐλαιῶν· Λυσίας ἐν τῷ κατὰ Νικίδου. Λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα κατά τινα τύχην πεπτωκότα.

CI. ΠΡΟΣ ΝΙΚΟΔΗΜΟΝ ΚΑΙ ΚΡΙΤΟΒΟΥΛΟΝ.

198.

Idem : Ξύστις· Λυσίας ἐν τῷ πρὸς Νικόδημον καὶ Κριτόβουλον. Γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξύστις πεποικιλμένον, ὡς δῆλον ποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν καὶ Ἀντιφάνης ἐν Εὐπλοίᾳ· « ὥσπερ ξύστιδα », ὥσπερ τὸ ποικίλως ὑφασμένον. Ἔστι μὲν καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις· ἔστι δὲ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης Νεφέλαις.

CII. ΥΠΕΡ ΝΙΚΟΜΑΧΗΣ.

199.

Marcellinus in Hermog. Στάσεις t. IV, p. 324, 30 Walz : Ἰστέον δὲ ὡς τὸ παραγραφικὸν τὸ ἀπὸ τοῦ ὑπερβάλλοντος τότε μόνον θέλει ἐμπίπτειν ὁ Μαίωρ, ὅταν διάφοροι τῶν στρατηγῶν αἱ πράξεις, ὅταν δὲ μία ἡ ποιότης ᾖ, ὥσπερ τῶν ι' νέων, οὐκ ἔχει χώραν τὸ κεφάλαιον. « Ἀμέλει, φησίν, ὁ Λυσίας ἐν τῷ ὑπὲρ Νικομάχης διώκων Ἐκφαντίδην καὶ Διοφάνην οὐκ ἦλθεν ἐπὶ τὸ κεφάλαιον τοῦτο, διὰ τὸ μίαν εἶναι ἀμφοτέρων τὴν ποιότητα. Vox στρατηγῶν corrupta fuerit; κατηγορουμένων dedit Sauppius; ad literas propius accederet παρατεταγμένων. De causa decem juvenum vide t. IV, p. 317; V, p. 124, 13 Walz.

CIII. ΠΡΟΣ ΞΕΝΟΦΩΝΤΑ vel ΞΕΝΟΚΡΑΤΗΝ.

200.

Photius Lex. : Συγκομιδή· ὡς ἐπὶ καρπῶν. Θουκυδίδης ἐν γ'· « καὶ ἐν συγκομιδῇ καρποῦ ἦσαν. » Καὶ Λυσίας ἐν τῷ πρὸς Ξενοφῶντα· « συγκομίσας δ' ὀπώραν (δὲ δῶρα codd.) καὶ ἀποδόμενος τὸν ἀγρόν. Pro Ξενοφῶντα Etym. M. p. 733, 23 et Varinus lex. s. v. habent Ξενοκράτην. Lectio ὀπώραν debetur Scheibio. Pro ἀγρόν, quod Et. M. habet, apud Photium et Suidam legitur ἀργύριον. Denique ἀποδούς, pro ἀποδόμενος est ap. Et. M. et Varinum.

CIV. ΠΕΡΙ ΤΗΣ ΟΝΟΜΑΚΛΕΟΥΣ ΘΥΓΑΤΡΟΣ.

« Cum Lysias etiam pro Phrynichi filia orationem composuisse tradatur, quam suo loco posuimus, haud improbabilis conjectura est, hunc Onomaclem eum esse, quem Theopompo archonte Ol. 92, 2 capite damnatum esse biographus decem oratorum narrat, sed evasisse et postea in triginta virorum numero fuisse intelligimus (cf. Sievers. Comment. de Xen. Hellen. p. 71 et 95. Scheibius de rebus Ath. ab optim. mutatis p. 58). M. Meierus (de lit. att. p. 458) miratur, quomodo de filiabus horum hominum, quorum bona publicata fuerant, lites oriri potuerint. Sed vel Patroclidæ populiscito vel amnestiæ lege liberi eorum videntur restituti esse. Antiphontis, cujus filiæ Lysias item orationem scripsit, causa alia erat : cf. Lysiæ frg. 25. » Sauppius.

201.

Harpocratio : Πεντακοσιομέδιμνον· Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. Ὅτι δ' τέλη ἐποίησεν Ἀθηναίων ἁπάντων Σόλων, ὧν ἦσαν καὶ οἱ πεντακοσιομέδιμνοι, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

202.

Idem : Ὑβάδαι· Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. Ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

---

tamius. Exagitabantur autem a comicis, ut qui facile reciperent præter jus in album relatos, ut præter alios testatur Menander in Sororibus geminis.

197.

Πτώματα ἐλαιῶν. Lysias in or. contra Nicidam. Aut deciduos olearum fructus sic dixerit, aut ipsas arbores quæ fortuito cecidere.

CI. ADVERSUS NICODEMUM ET CRITOBULUM.

198.

Ξύστις. Lysias in or. adversus Nicodemum et Critobulum. Muliebre quoddam indumentum variegatum xystis est, ut docent quum alii comici tum Antiphanes in Euplœa : « *velut xystidem*, » i. e. velut vestem varie textum. Est etiam tragicum quoddam indumentum quod sic dicitur, ut Cratinus in Horis palam facit; denique etiam equestre indumentum est, ut liquet e Nubibus Aristophanis.

CII. PRO NICOMACHE.

199.

Sciendum vero adscriptionem a potiori, ex Majoris sententia non admittendam esse, nisi ubi diversæ sint reorum actiones, neque locum eam habere ubi una eademque sit qualitas, ut v. g. in causa decem juvenum. Itaque Lysias, inquit, in oratione pro Nicomache Ecphantidem et Diophanem reos agens, non venit ad hoc caput, quoniam eadem est amborum qualitas.

CIII. ADVERSUS XENOPHONTEM VEL XENOCRATEM.

200.

Συγκομιδή, *collectio*, dicitur v. c. de frugibus. Thucydides libro tertio (c. 15) : « Et in frugibus colligendis occupati erant. » Et Lysias in oratione ad Xenophontem : « *Quum autem fructus collegisset et agrum reddidisset.* »

CIV. DE ONOMACLIS FILIA.

201.

Πεντακοσιομέδιμνον. Lysias in or. de Onomaclis filia. Solon Atheniensium classes quattuor fecit, e quibus fuere etiam πεντακοσιομέδιμνοι, *quingentis medimnis censi*, ut Aristoteles docuit in Atheniensium republica.

202.

Hybadæ, pagus Leontidis tribus. Lysias in oratione de Onomaclis filia.

CV. ΠΡΟΣ ΤΗΝ ΦΑΣΙΝ ΤΟΥ ΟΡΦΑΝΙΚΟΥ ΟΙΚΟΥ.

« Hæc non verba Lysiæ esse, sed orationem sic inscriptam fuisse jam ante M. Meierum (de lit. att. p. 247) G. Hermannus viderat (ad Photii Lex. p. 767 Pors.). De re ipsa cf. Meier. l. d. p. 250, qui intellexit hac oratione tutorem aliquem accusatum causam suam defendisse. » S.

203.

Idem : Φάσις λέγεται μὲν καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ὅταν τις ἀποφαίνῃ [τι add. Suid.] τῶν δημοσίων ἔχοντά τινα μὴ πριάμενον, λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων. ὅτε γὰρ μὴ ἐκμισθώσαιεν οἱ ἐπίτροποι τὸν οἶκον τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα μισθωθῇ· ἔφαινε δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν μεμίσθωτο. Τοῦ μὲν οὖν προτέρου τὰ μαρτύρια ἔνεστιν εὑρεῖν παρά τε Δεινάρχῳ καὶ Δημοσθένει, τῆς δὲ περὶ τῶν ὀρφανικῶν οἴκων φάσεως παρὰ Λυσίᾳ (Λυκούργῳ E. M.) πρὸς τὴν φάσιν τοῦ ὀρφανικοῦ οἴκου. Eadem Photius Lex., Suidas, Etym. Magn. p. 788, 50.

CVI. ΚΑΤΑ ΠΑΝΤΑΛΕΟΝΤΟΣ.

« Qui Theomnestum accusat (Lys. or. 10 § 5), se a Pantaleonte, patruo et tutore suo, patrimonio spoliatum esse dicit. Jure igitur videntur homines docti conjecisse, hanc orationem in eundem illum Pantaleontem habitam esse eumque esse planum illum, de quo Athenæus 14 p. 616. A dixit : cf. Meinek. com. gr. 1 p. 241. Th. Bergk. epist. ad C. Schiller. p. 136 sq. Fortasse Pantaleon frater erat Leontis Salaminii, quem a triginta viris cæsum esse novimus. Ab iisdem patrem suum occisum esse dicit accusator Theomnesti l. d. Quanquam homo ille etiam Παντολέων dici poterat, Πανταλέοντα dictum esse testimonia plura et certiora fidem faciunt. » S.

204.

Schol. Luciani p. 256 ed. Jacobitz. : Ποῦ κεῖται ὁ ζῆλος ἐπὶ τοῦ γυναικὸς ἐρᾷν, ἐζήτησεν ὁ Διονυσόδωρος. Λέγουσι γὰρ τίθεσθαι τὴν λέξιν ἐπὶ τοῦ μακαρίζειν καὶ ἐπὶ τοῦ φθονεῖν. Οὕτω δ' ἐπὶ τοῦ ζηλοτυπεῖν, τουτέστι περὶ γυναῖκας μαίνεσθαι, Λυσίας ἐν τῷ κατὰ Παντολέοντος.

205.

Pollux IV, 23 : Ἱκανότης δὲ εἴρηκε Λυσίας ἐν τῷ κατὰ Πανταλέοντος ἐπὶ τοῦ ἱκανοῦ λέγειν.

Bekk. An. p. 100, 17 : Ἱκανότης· Λυσίας πρὸς Πανταλέοντα.

ΠΡΟΣ ΠΟΛΕΜΟΝ.

Videatur oratio πρὸς Τληπόλεμον, fragm. 227.

CVII. ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΑΙΝΟΥ ΚΛΗΡΟΥ.

« Orationem sic inscriptam fuisse M. Meierus docuit (de lit. att. p. 457). » S.

206.

Rutilius Lupus De fig. sentent. et eloc. II, § 8 : *Brachylogia. Hoc fieri solet, cum orator brevitate sententiæ præcedit auditoris exspectationem. Lysiæ : « Quæres a me, quo juro obtinere possim. Quo jure? Mihi Polyænus reliquit, prætor dedit possessionem, leges me defendunt, ad te non pertinent, hi veritatem sequuntur. »*

CVIII. ΚΑΤΑ ΠΟΣΕΙΔΙΠΠΟΥ.

207.

Harpocratio : Ἀπολαχεῖν ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν Ἀντιφῶν ἐν τῷ κατὰ Φιλίνου, Λυσίας κατὰ Ποσειδίππου. Cf. Bekk. Anecd. p. 217, 3. 430, 9.

CIX. ΠΡΟΣ ΠΥΘΟΔΗΜΟΝ ΑΠΟΣΤΑΣΙΟΥ,

εἰ γνήσιος.

« Pythodemus libertum ἀποστασίου accusaverat. Liberto coram polemarcho se defensuro Lysias orationem scripserat. » S.

208.

Pollux VII, 17 : Τὴν δὲ θεράπαιναν καὶ θρεπτὴν ἐρεῖ, ὅστις βούλοιτο ἕπεσθαι Φερεκράτει εἰπόντι ἐν

CV. ADVERSUS ACTIONEM DE PATRIMONIO PUPILLARI.

203.

Φάσις dicitur et de accusatione publica, quum quis criminatur alterum publici quid habere quod non emerit, et de indicio propter pecunias pupillares. Quum enim pecunias pupillorum non elocassent, quivis nomen eorum ad archontem deferebat, ut elocarentur. Deferebatur item nomen eorum, si minoris quam oportebat elocatæ fuissent. Et prioris quidem significationis testimonia reperire licet apud Dinarchum et Demosthenem; posterioris autem, quæ spectat ad opes pupillares, apud Lysiam in oratione adversus actionem de patrimonio pupillari non recte elocato.

CVI. CONTRA PANTALEONTEM.

204.

Ubinam ζῆλος vocabulum de amore in mulierem occurrat quæsivit Dionysodorus. Dicunt enim usurpari id ubi sermo sit de aliquo qui vel beatum aliquem ducat vel alicui invideat. Sed de zelotypia sive de insano circa mulieres studio adhibetur apud Lysiam in oratione contra Pantaleontem.

205.

Ἱκανότης de facultate oratoria dicitur apud Lysiam in oratione contra Pantaleontem.

CVIII. CONTRA POSIDIPPUM.

207.

Ἀπολαχεῖν pro simplici λαχεῖν, *sortito accepisse*, dicunt Antiphon in or. contra Philinum et Lysias in or. contra Posidippum.

CIX. ADVERSUS PYTHODEMUM DE LIBERTI DEFECTIONE.

modo genuina sit oratio.

208.

Famulam θρεπτήν nominaverit, si quis Pherecratem se-

Μυρμηκανθρώποις « Μανίαν θρεπτήν ». Ἔστι δὲ τοὔνομα καὶ ἐν τῷ Λυσίου πρὸς Πυθόδημον (Πειθόδημον vgo) ὑπὲρ ἀποστασίου.

209.

Harpocratio : Τῆτες ἀντὶ τοῦ τούτῳ τῷ ἔτει Λυσίας ἐν τῇ πρὸς Πυθόδημον ἀπολογίᾳ, εἰ γνήσιος ὁ λόγος, Ἀριστοφάνης Γήρᾳ, καὶ οἱ ἄλλοι.

[CIX a. ΥΠΕΡ ΣΑΤΥΡΟΥ ΕΠΙΤΡΟΠΗΣ ΠΡΟΣ ΧΑΡΙΔΗΜΟΝ.]

210.

Photius Bibl. cod. 265, p. 491, b, 29 : Καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον οἱ μὲν πρὸς τὴν κρίσιν ἔχοντες τὸ ἀσφαλὲς Δημοσθένους λέγουσιν εἶναι, ὁ δὲ Καλλίμαχος, οὐχ ἱκανὸς ὢν κρίνειν, Δεινάρχου νομίζει· τινὲς δὲ αὐτὸν ὑπεβάλοντο Λυσίᾳ, καίτοι καὶ τὸν χρόνον ἔχοντες αὐτοῖς διαμαχόμενον καὶ τὸν τύπον ἅπαντα τῆς ἐργασίας καὶ τὰ πράγματα καὶ τὴν ἑρμηνείαν. « Oratio deperdita est : eam vero ob id ipsum non jam exstare, quod Callimachus eam non in demosthenicis posuerat, ostendi epistolæ crit. ad G. Hermannum datæ p. 49. » S.

CX. ΠΡΟΣ ΣΟΦΟΚΛΕΑ.

211.

Antiatticista in Bekk. Anecd. p. 109, 3 : Μυχείαν· Λυσίας πρὸς Σοφοκλέα.

CXI. ΚΑΤΑ ΣΤΡΑΤΟΚΛΕΟΥΣ ΕΞΟΥΛΗΣ.

212.

Harpocratio : Ἐξούλης, ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. Εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστιν [ἐξείργειν καὶ add. Suidas] ἐξωθεῖν καὶ ἐκβάλλειν· δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γιγνομένων τῶν καταδικασθέντων. Οἱ δὲ ἁλόντες ἐξούλης καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτοῦ, καὶ τῷ δημοσίῳ κατετίθεσαν τὰ τιμηθέντα. Ἐδικάζετο δὲ ἐξούλης καὶ ὁ χρήστης κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωστοῦντος καὶ κωλυόμενος ὑπό τινος. Καὶ ἐπεργασίας δέ τις εἰ εἴργοιτο, δίδωσιν ὁ νόμος δικάζεσθαι πρὸς τὸν εἴργοντα ἐξούλης, καὶ περὶ ἀνδραπόδου δὲ καὶ παντὸς οὗ φησί τις αὐτῷ μετεῖναι. Ταῦτα δὲ σαφῶς Ἰσαῖος διδάσκει καὶ Λυσίας ἐν τῷ κατὰ Στρατοκλέους ἐξούλης. Δείναρχος μέντοι ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. Ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ, ὡς οἴεται Καικίλιος, μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ. Cf. Suidas.

CXII. ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑ.

213.

Cicero De orat. I, 54, 231 : *Imitatus est homo romanus et consularis* (P. Rutilius) *veterem illum Socratem, qui cum omnium sapientissimus esset sanctissimeque vixisset, ita in judicio capitis pro se ipse dixit, ut non supplex aut reus, sed magister aut dominus videretur esse judicum. Quin etiam cum ei scriptam orationem disertissimus orator Lysias attulisset, quam si ei videretur edisceret, ut ea pro se in judicio uteretur, non invitus legit et commode scriptam esse dixit, sed, inquit, ut si mihi calceos Sicyonios attulisses non uterer, quamvis essent habiles et apti ad pedem, quia non essent viriles, sic illam orationem disertam sibi et orato-*

---

qui voluerit in Myrmecanthropis sic dicentem : Μανίαν θρεπτήν, *Maniam servam*. Idem nomen apud Lysiam quoque in or. adversus Pithodemum de defectione.

209.

Τῆτες, *hoc anno*, Lysias in defensione adversus Pythodemum, modo Lysiæ sit, Aristophanes in Γήρᾳ et ceteri.

[CIXa. PRO SATYRO DE TUTELA ADVERSUS CHARIDEMUM]

210.

Orationem quoque pro Satyro de tutela adversus Charidemum scriptam ii qui sincero judicio pollent Demosthenis esse ajunt; Callimachus vero, judex parum idoneus, Dinarcho tribuit. Nonnulli eam Lysiæ vindicarunt, quamquam et temporum ratione hæc sententia impugnatur et forma operis et rebus et elocutione.

CX. ADVERSUS SOPHOCLEM.

211.

Μυχείαν (?), Lysias in or. adversus Sophoclem.

CXI. CONTRA STRATOCLEM DE VI.

212.

Ἐξούλης, nomen actionis, quam ii qui dicunt se a suis bonis arceri, intendunt illis qui ipsos arcent. Ductum est nomen ab verbo ἐξίλλειν, quod est excludere, expellere, ejicere. Hanc autem actionem de vi instituunt etiam illi qui multas aliquibus irrogatas non recipiunt intra convenientem temporis præscripti diem, quod damnati tempus præscriptum præterierint. Qui tamen de vi convicti erant, non solum ei qui ipsos reos peregerat restituebant quæ abstulerant, sed etiam reipublicæ persolvebant ea quæ fuerant æstimata. Eadem actione de vi utebatur creditor, qui quum conaretur bona debitoris retinere, ab aliquo impediebatur. Porro si quis operis absolutione prohiberetur, lex ei adversus prohibentem dabat actionem de vi; item et de mancipio et de quavis re quam quis ad se ex parte pertinere diceret. Clare hæc Isæus docet et Lysias in oratione adversus Stratoclem de vi. Dinarchus vero in Croconidarum controversia peculiariter usus est hac ἐξούλης voce de quadam sacerdote quæ res suas curare nolebat. Porro nomen hoc in omnes cadere qui e bonis suis ejiciantur, non vero, ut Cæcilius censet, in eos solos qui ex judicato debeant, Phrynichus quoque in Runcatricibus palam facit.

riam videri, fortem et virilem non videri. Cf. Quintil. Inst. orat. II, 15, 30; 11, 19 sqq.

Valerius Max. V, 4 : *Socrates autem, græcæ doctrinæ clarissimum columen, cum Athenis caussam dicturus esset defensionemque ei Lysias a se compositam, qua in judicio uteretur, recitasset, demissam et supplicem imminentique procellæ accommodatam, « Aufer », inquit, « quæso istam : nam ego si adduci possem, ut eam in ultima Scythiae solitudine perorarem, tum me ipse morte multandum concederem. »*

Diogenes Laert. II, 40 : Ὁ δ' οὖν φιλόσοφος Λυσίου γράψαντος ἀπολογίαν αὐτῷ διαγνοὺς ἔφη· « Καλὸς μὲν ὁ λόγος, ὦ Λυσία, οὐ μὴν ἁρμόττων ἐμοί. » Δηλαδὴ γὰρ ἦν τὸ πλέον δικανικὸς ἢ ἐμφιλόσοφος. Εἰπόντος δὲ τοῦ Λυσίου « Πῶς, εἰ καλός ἐστιν ὁ λόγος, οὐκ ἄν σοι ἁρμόττοι; » ἔφη· « Οὐ γὰρ καὶ ἱμάτια καλὰ καὶ ὑποδήματα εἴη ἂν ἐμοὶ ἀνάρμοστα; »

Stobæus Floril. VII, 56 : Σωκράτους φεύγοντος τὴν δίκην Λυσίας λόγον τινὰ συγγράψας ἦλθεν αὐτῷ κομίζων καὶ ἐκέλευε χρήσασθαι. *** Τοῦ δὲ Λυσίου εἰπόντος καὶ μὴν κάλλιστον αὐτὸν εἶναι, « Καὶ τὰ ῥόδα, ἔφη, κάλλιστά ἐστιν, ἀλλ' οὐ πρέπειν αὐτῷ τὸ στεφάνωμα. » « Τεθνήξῃ τοίνυν, » ἔφη ὁ Λυσίας, » εἰ μὴ οὕτως ἀπολογήσῃ. » Ὁ δέ, « Εἰ γάρ, » ἔφη, « καὶ μὴ νῦν, πάντως τεθνήξομαι. »

Vit. X oratt. p. 836, B: Εἰσὶ δ' αὐτῷ (Lysiæ) καὶ τέχναι ῥητορικαὶ πεποιημέναι ... καὶ Σωκράτους ἀπολογία ἐστοχασμένη τῶν δικαστῶν. « Quanquam hæc magis lepidæ fabulæ quam veritatis speciem præ se ferunt, tamen fidem non prorsus derogaverim, cum Lysiam facile hoc familiaritati quæ patri cum Socrate fuerat conjunctissimæ dare potuisse appareat. Sed quæ Antiatticista Bekkeri et interpres Platonis habeant, cum L. Hœlscher (p. 199) ad hanc orationem referat, M. Meier vero (de Andocidis or. contra Alcibiadem 3 p. XIV) ad declamationem, quam multo post Polycratis accusationi Lysias opposuisse traditur, pertinere existimet, Meieri judicium sequor. Hanc enim declamationem a grammaticis usurpatam esse interpres Aristidis testimonio suo docet, quæ vero de oratione illa narrantur, omnia ita comparata sunt, ut auctores rem ab aliis acceptam repetivisse videantur. Aliter locutos fuisse puto, si orationem vel ipsi cognovissent vel cognoscere potuissent. » Sauppius.

CXIII. ΥΠΕΡ ΣΩΚΡΑΤΟΥΣ ΠΡΟΣ ΠΟΛΥΚΡΑΤΗΝ.

« Polycratem aliquot annis post Socratis mortem accusationem scripsisse, Lysiæ igitur defensionem illi oppositam a priore illa, quam Socrati ipsi caussam capitis dicturo obtulerat, diversam fuisse infra videbimus, cum ad Polycratem venerimus. » S.

214.

Schol. codd. BD ad Aristidis Panathen. p. 187, 20 (t. III, p. 319, 35 Dindf.; p. 103 Frommel.) : Ἀγάλματα διιπετὲς Παλλάδιόν φησι τὸ ἀπὸ Τροίας· ὁ γὰρ Δημοφῶν (Δημόφιλος codd.) παρὰ Διομήδους ἁρπάξας εἰς τὴν πόλιν ἤγαγεν, ὡς Λυσίας ἐν τῷ ὑπὲρ Σωκράτους πρὸς Πολυκράτην λόγῳ. Λέγοι δ' ἂν καὶ περὶ ἄλλων πολλῶν Παλλαδίων, τοῦ τε κατ' Ἀλαλκόμενον τὸν αὐτόχθονα καὶ τῶν παρὰ τῶν Γεφυρῶν καλουμένων, ὡς Φερεκύδης καὶ Ἀντίοχος ἱστοροῦσι, καὶ τῶν κατενηνεγμένων ἐν τῇ τῶν Γιγάντων μάχῃ, ὡς ἐν ἀγράφοις ὁ Φύλαρχός φησι. Κατ' Ἀλαλκόμενον C. O. Muellerus (ad Æsch. Eumen. p. 106); καταλκομένον B, καταλυόμενον reliqui. Τῶν παρὰ τῶν γεφυρῶν ego in Add. ad Fr. hist. t. IV, p. 639. τῶν περὶ αὐτῶν γεφυρῶν codd. BD, τῶν περὶ αὐτεφυρῶν reliqui; τῶν παρ' αὐτοῦ Γεφυραίων καλουμένων Schneidewin. Conj. crit. p. 163; τοῦ παρὰ τῶν Γεφυρῶν καλουμένου Sauppius.

Schol. cod. C. ad l. l. : Ἦσαν δὲ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει τρία ἀγάλματα· ... καὶ τὰ μὲν ἐκ τέχνης ταῦτα· ἵστατο δὲ πρὸ τούτων ἕτερον διοπετές· ἐν γὰρ τῇ Τροίᾳ φασὶν ἐξ οὐρανοῦ τουτὶ πεπτωκέναι. Λαβόντος δὲ Διομήδους ἁρπάσας ἀπὸ τούτου Δημοφῶν (Δημόφιλος codd.) Ἀθήναζε ἤγαγεν, ὡς Λυσίας ἐν τῷ ὑπὲρ Σωκράτους πρὸς Πολυκράτην λόγῳ φησίν.

CXII. SOCRATIS DEFENSIO.

213.

Philosophus vero, quum illi Lysias quam pro eo scripserat apologiam recitasset, « Bona, inquit, et præclara est oratio, Lysia, mihi tamen non congruens. » Erat enim illa judiciali instituto vicinior quam philosophico. Percontanti Lysiæ, cur si bona esset, ipsi non congrueret oratio, « Nonne, inquit, et indumenta et calceamenta speciosa esse possunt, neque tamen mihi accommodata? »

Socrati reo Lysias orationem ab ipso compositam attulit eaque uti in judicio jussit. *Recusante philosopho*, Lysia autem orationem pulcherrimam esse dicente, Socrates, « Rosæ quoque, inquit, pulcherrimæ sunt, at non me deceret corona rosacea. » Morieris igitur, Lysias respondit, nisi sic te defenderis. » Ille vero : « Etiamsi non nunc, inquit, omnino tamen moriendum est. »

CXIII. PRO SOCRATE ADVERSUS POLYCRATEM.

214.

Cœlitus delapsum Palladium Aristides dicit Trojanum illud, quod Demophon Diomedi eripuit et Athenas transportavit, ut Lysias testatur in oratione pro Socrate adversus Polycratem. Sed fortasse dixit Aristides etiam de ceteris Palladiis cœlitus delapsis, de eo scilicet quod Alalcomeni autochthonis tempore decidit, et de iis quæ a pontibus nomen habent, ut Pherecydes et Antiochus narrant, necnon de iis quæ in Gigantum pugna deciderunt, ut in Agraphis Phylarchus ait.

Erant tria in arce Minervæ simulacra arte factæ. Ante hæc aliud stabat cœlitus delapsum. Apud Trojanos scilicet de cœlo hoc decidisse aiunt, ubi cepit Diomedes, huic vero Demophon eripuit et Athenas transtulit, ut Lysias ait in oratione pro Socrate adversus Polycratem.

215.

Schol. ad Aristidis p. 133, 16 (t. III, p. 480 Dindf.; p. 180 Frommel.) : Ὥσπερ ἂν εἴ τις τὸν Ὀδυσσέα τότε ᾐτιᾶτο θόρυβον ἐν τῷ στρατοπέδῳ ποιεῖν, ὃς τοὺς ἄλλους τοῦ θορυβεῖν ἔπαυεν. [Οὐκέτι αὐτὸν λέγει τὸν Πλάτωνα, ἀλλ' ἕτερον εἰσάγει τινά. Τοῦτο δ' οὐκ ἀργῶς εἶπεν, ἀλλ' ἐπειδὴ οἶδε τὸν Σωκράτην πρὸς τοὺς νέους ἀεὶ τὸν Ὀδυσσέα θαυμάζοντα [καὶ] τὴν τοιαύτην πρᾶξιν, ὡς Πολυκράτης ἐν τῷ κατ' αὐτοῦ λόγῳ φησὶ καὶ Λυσίας ἐν τῷ πρὸς Πολυκράτην ὑπὲρ αὐτοῦ, ὁ μὲν συνιστῶν ὅτι τὴν δημοκρατίαν ἐκ τούτου καταλύειν ἐπεχείρει, ἐπαινῶν τὸν Ὀδυσσέα τοῖς μὲν βασιλεῦσι ἐπαινοῦντα λόγῳ, τοὺς ἰδιώτας δὲ τύπτοντα, [ὁ δὲ] οὐδὲν λέγων φροντίζειν μᾶλλον αὐτὸν τῆς τάξεως. Διὰ τοῦτο οὖν καὶ αὐτὸς τίθησιν.

216-218.

Schol. Platonis p. 330 Bk., p. 893 Turic.: (Ἀνύτου) μέμνηται Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ.

Idem p. 330 Bk., p. 893 Turic.: Μέμνηται αὐτοῦ (Μελήτου) καὶ Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ.

Antiatticista in Bekk. Anecd. p. 115, 8: Ὑπουργία ἀντὶ τοῦ ὑπηρεσία, Λυσίας ἐν τῇ Σωκράτους ἀπολογίᾳ.

CXIV. ΠΡΟΣ ΣΩΣΤΡΑΤΟΝ ΥΒΡΕΩΣ,

εἰ γνήσιος.

219.

Harpocratio : Ἰσοτελὴς καὶ ἰσοτέλεια. Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου πολλάκις. Τιμή τις διδομένη τοῖς ἀξίοις φανεῖσι τῶν μετοίκων, καθ' ἣν καὶ τοῦ μετοικίου ἄφεσις αὐτοῖς ἐγίγνετο, ὡς Λυσίας ἐν τῷ πρὸς Σώστρατον ὕβρεως, εἰ γνήσιος. Cf. Isæi fragm. or. c. Elpagoram habitæ.

CXV. ΚΑΤΑ ΤΕΛΑΜΩΝΟΣ,

εἰ γνήσιος.

220.

Idem : Εὐνεῖδαι· Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος, εἰ γνήσιος. Γένος ἐστὶ παρ' Ἀθηναίοις οὕτως ὀνομαζόμενον Εὐνεῖδαι, ἦσαν δὲ κιθαρῳδοὶ πρὸς τὰς ἱερουργίας παρέχοντες τὴν χρείαν.

221.

Idem : Κάθετος ὁ καθιέμενος εἰς τὸ πέλαγος ἀμνός· Λυσίας ἐν τῷ κατὰ Τελαμῶνος. Διείλεκται περὶ τοῦ καθέτου Μελίτων ἐν α' περὶ τῶν Ἀθήνησι γενῶν.

CXVI. ΚΑΤΑ ΤΙΜΟΘΕΟΥ ΠΡΟΔΟΣΙΑΣ,

εἰ γνήσιος.

222.

Vit. X oratt. p. 836, D : Συνέγραψε δὲ λόγῳ καὶ Ἰφικράτει, τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνοντι Τιμόθεον, καὶ ἀμφοτέρους ἐνίκα. Cf. fragmenta orr. XVIII et LXV. Oratio hoc uno loco commemoratur, neque cogitari potest nisi de lite quam Iphicrates et Callistratus Timotheo intenderunt æstate a. 373, Ol. 101 a. 3 extremo : cf. Clinton. F. H. 2 p. 119, Sievers hist. gr. p. 230 sq., Rehdantz vitar. Iphicr., Timothei, Chabriæ p. 85 sqq. Alio loco exposui tempora mihi videri ita digerenda esse, ut Timotheus vere ineunte cum classe Athenis profectus esse, deinde sub initium æstatis Iphicrates et Callistratus eum accusavisse et Iphicrates ejus loco imperator creatus esse, causa vero aliquot mensibus post, hieme a. 373, Ol. 101 a. 4, in judicium

---

215.

Quasi si quis Ulyssem tunc accusaret tumultum in exercitu excitare, quum is aliorum potius tumultum sedaret.] Non amplius Aristides ipsum dicit Platonem, sed alium quendam introducit. Neque hoc temere dixit, sed quod sciebat Socratem in suis cum juvenibus colloquiis Ulyssem atque talem agendi rationem admirari, ut ait Polycrates in oratione contra Socratem et Lysias in oratione pro eodem adversus Polycratem. Quorum Polycrates statuit Socratem reipublicæ statum evertere moliri eo quod laudaret Ulyssem regibus quidem assentientem, verberantem vero privatos; Lysias autem dicit nihil magis Ulyssi curæ fuisse quam aptam rerum ordinationem.

216 218.

Anyti et Meleti Lysias meminit in Socratis defensione.

Ὑπουργία pro ὑπηρεσία, *ministerium*, apud Lysiam in Socratis defensione.

CXIV. ADVERSUS SOSTRATUM DE CONTUMELIA,

modo genuina sit oratio.

219.

Ἰσοτελής et ἰσοτέλεια. Isæus in oratione contra Elpagoram sæpe his vocibus utitur. Ἰσοτέλεια est honor inquilinis qui digni viderentur habitus, quo tributum quod inquilini pendere tenebantur, iis remitteretur, ut docet Lysias in oratione contra Sostratum de contumelia, si quidem recte hæc oratio Lysiæ tribuitur.

CXV. CONTRA TELAMONEM,

modo genuina sit oratio.

220.

Eunidæ. Lysias in oratione contra Telamonem, modo genuina sit oratio. Genti cuidam apud Athenienses nomen erat Eunidarum, qui quidem erant citharœdi sacrorum usibus inservientes.

221.

Κάθετος, agnus qui in mare demittitur. Lysias contra Telamonem. Disseruit de eo agno Melito libro primo de familiis Atheniensium.

CXVI. CONTRA TIMOTHEUM DE PRODITIONE,

modo genuina sit oratio.

222.

Conscripsit Lysias duas orationes etiam Iphicrati; alteram adversus Harmodium, alteram vero proditionis accusanti Timotheum, atque utrumque adversarium vicit.

venisse videatur. Cum hac sententia conjunctum est, ut Iphicratem non ipsum in judicio adfuisse, sed causam a Callistrato solo oratam esse putem. Sequitur, ut etiam hanc orationem declamationem in scholæ umbra elaboratam fuisse censeam. Tempora Lysiæ non obstare, quominus genuinam habeamus, nuper F. Vater demonstrare conatus est et persuasit C. Rehdantzio l. d. p. 171. Mihi Vateri argumenta Dionysium erravisse non videntur ostendere : sed hoc alio loco mihi demonstrandum erit. » Sauppius.

CXVII. ΠΡΟΣ ΤΙΜΩΝΑ.

223.

Suidas : Ἐσχηματισμένος· ὁ προσποιητὸν τρόπον ἔχων καὶ δοκῶν εἶναι κόσμιος. Ὡς παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Τίμωνα· « οἱ δ' ἀλαζονεύονται μὲν Τίμωνι παραπλησίως καὶ ἐσχηματισμένοι περιέρχονται, ὥσπερ οὗτος. » Timonem esse notum illum hominum osorem censent Bergkius et Sauppius.

CXVIII. ΠΡΟΣ ΤΙΜΩΝΙΔΗΝ.

224.

Idem : Διάθεσις καὶ διατίθεσθαι. Ἑκάτερον αὐτῶν κεῖται ἐπὶ τοῦ διαθήκας γράφειν. Ἰσαῖος ἐν τῷ πρὸς Ἀριστογείτονα· « Μετὰ ταύτην τὴν ἀπόκρισιν ἑτέραν διαθήκην ἐκόμισαν, ἣν ἔφασαν Ἀρχέπολιν ἐν Λήμνῳ διαθέσθαι. » Καὶ Λυσίας ἐν τῷ πρὸς Τιμωνίδην· « Πῶς δ' ἂν τῆς διαθέσεως τοῦ τετελευτηκότος ἀμελήσαιμεν, ἣν ἐκεῖνος διέθετο οὐ παρανοῶν οὐδὲ γυναικὶ πεισθείς; » Eadem Ulpianus ad Demosthen. or. 2 p. 14 ed. Lutet.

CXIX. ΚΑΤΑ ΤΙΣΙΔΟΣ.

« Tisidem αἰκίας videri accusatum esse Reiskius ad Dionys. 6 p. 1154 et M. Meier de lite attica p. 547 monuerunt. » S.

225.

Anonymus Seguerii (*Notices des manuscrits de la bibl. royale* t. XIV, 2) p. 34 : Ἂν δὲ ὑπὲρ ἑταίρου λέγῃς, καὶ τοῦτο ἐπισημαίνεσθαι δεῖ, ὥσπερ πεποίηκε Λυσίας λέγων· « ἐπιτήδειός μοί ἐστιν Ἄρχιππος οὑτοσί, ὦ δικασταί. »

226.

Dionysius Hal. De vi Demosth. c. 11 (t. VI, p. 983 R.) et Joannes Siceliota εἰς τὸ περὶ εὑρέσεως βιβλίον in codice Barocciano 175 fol. 83 : Κωλύσει δ' οὐδέν, ἴσως δὲ χαριεστέραν ποιήσει τὴν θεωρίαν τεθεῖσα πρῶτον ἡ Λυσίου λέξις ᾗ τὴν Δημοσθένους ἐοικέναι πείθομαι, διήγησίν τινα περιέχουσα ὑβριστικήν· « Ἄρχιππος γὰρ οὑτοσί, ὦ Ἀθηναῖοι, ἀπεδύ-« σατο μὲν εἰς τὴν αὐτὴν παλαίστραν οὗπερ καὶ Τῖσις « ὁ φεύγων τὴν δίκην, ὀργῆς δὲ γενομένης ἐς σκώμ-« ματά τε αὐτοῖς καὶ ἀντιλογίαν καὶ ἔχθραν καὶ λοι-« δορίαν κατέστησαν. Ἔστιν οὖν Πυθέας ἐραστὴς « μὲν τοῦ μειρακίου (πάντα γὰρ εἰρήσεται τἀληθῆ « πρὸς ὑμᾶς), ἐπίτροπος δὲ ὑπὸ τοῦ πατρὸς καταλε-« λειμμένος. Οὗτος, ἐπειδὴ Τῖσις πρὸς αὐτὸν [τὴν] « ἐν τῇ παλαίστρᾳ λοιδορίαν διηγήσατο, βουλόμενος « χαρίζεσθαι καὶ δοκεῖν δεινὸς καὶ ἐπίβουλος εἶναι, « ἐκέλευσεν αὐτόν, ὡς ἡμεῖς ἔκ τε τῶν πεπραγμένων « ᾐσθήμεθα καὶ τῶν εὖ εἰδότων ἐπυθόμεθα, ἐν μὲν τῷ « παρόντι διαλλαγῆναι, σκοπεῖν δὲ ὅπως αὐτὸν μόνον « που λήψεται. Πεισθεὶς δὲ ταῦτα καὶ διαλλαγεὶς « καὶ χρώμενος καὶ προσποιούμενος ἐπιτήδειος εἶναι « εἰς τοῦτο μανίας τηλικοῦτος ὢν ἀφίσταται, ὥστε « ἐτύγχανε μὲν οὖσα ἱπποδρομία Ἀνακείων, ἰδὼν δ' « αὐτὸν μετ' ἐμοῦ παρὰ τὴν θύραν παριόντα (γείτονες « γὰρ ἀλλήλοις τυγχάνουσιν ὄντες) τὸ μὲν πρῶτον « συνδειπνεῖν ἐκέλευεν, ἐπειδὴ δ' οὐκ ἠθέλησεν, ἐδεήθη « ἥκειν αὐτὸν ἐπὶ κῶμον, λέγων ὅτι μεθ' αὐτοῦ καὶ τῶν « οἰκετῶν πιέτω. Δειπνήσαντες οὖν ἤδη συσκοτάζον-

---

CXVII. ADVERSUS TIMONEM.

223.

Ἐσχηματισμένος, qui simulatos mores habet, et modestus esse videtur; ut apud Lysiam in oratione contra Timonem : « Illi vero Timonis in modum sese jactant, et simulatis moribus circumeunt, ut ille. »

CXVIII. ADVERSUS TIMONIDEM.

224.

Διάθεσις testamentum, et διατίθεσθαι, testamentum scribere. Isæus in oratione adversus Aristogitonem : « Post hoc responsum alterum testamentum attulerunt, quod ab Archepoli in Lemno conditum dicebant. » Et Lysias in oratione adversus Timonidem : « Cur enim testamentum defuncti negligamus, quod ille neque a sana mente alienus, neque ab uxore corruptus fecit? »

CXIX. CONTRA TISIDEM.

225.

Quodsi sodalis est is pro quo verba facis, id indicare debes, sicut fecit Lysias : « Familiaris mihi est Archippus hicce, o judices. »

226.

Nihil impedient, fortassis vero jucundiorem nostram disquisitionem reddent præmissa Lysiæ verba, quibus Demosthenica esse similia puto. Continent vero narrationem de facta contumelia : « Nimirum Archippus hic, Athenienses, in eandem in quam Tisis reus ingressus est palæstram, ubi irati ad convicia et altercationem et inimicitiam et contumeliam devenerunt. Jam vero Pytheas est Tisidis adolescentis amator (omnia enim quæ vera sunt vobis dicam) eidemque tutor a patre relictus. Hic, postquam Tisis quam passus in palæstra esset contumeliam narraverat, gratificari volens et videri callidus et insidiosus esse, suasit ei (ut nos tum e rebus gestis intelleximus tum a probe scientibus comperimus) in præsentiam reconciliari, circumspicere autem quo pacto illum solum alicubi nancisceretur. His obsecutus et reconciliatus Archippo et consuetudine ejus utens amicumque sese simulans eo insaniæ tantillus hicce processit, ut, quo tempore cursus equestres Anaceorum fierent, conspicatus illum mecum portam suam prætereuntem (vicini scilicet sibi invicem habitant), primo ad cœnam invitaret, deinde,

« τος ἐλθόντες κόπτομεν τὴν θύραν, οἱ δ' ἡμᾶς ἐκέλευον « εἰσιέναι. Ἐπειδὴ δὲ ἔνδον ἐγενόμεθα, ἐμὲ μὲν « ἐκβάλλουσιν ἐκ τῆς οἰκίας, τουτονὶ δὲ συναρπάσαν« τες ἔδησαν πρὸς τὸν κίονα καὶ λαβὼν μάστιγά τις « ἐντείνας πολλὰς πληγὰς εἰς οἴκημα αὐτὸν καθεῖρξε. « Καὶ οὐκ ἐξήρκεσεν αὐτῷ ταῦτα μόνον ἐξαμαρτεῖν, « ἀλλ' ἐζηλωκὼς μὲν τῶν νεωτέρων τοὺς πονηροτάτους « ἐν τῇ πόλει, νεωστὶ δὲ τὰ πατρῷα παρειληφὼς καὶ « προσποιούμενος νέος καὶ πλούσιος εἶναι, πάλιν τοὺς « οἰκέτας ἐκέλευσεν ἡμέρας ἤδη γενομένης πρὸς τὸν « κίονα αὐτὸν μαστιγοῦν δήσαντας. Οὕτω δὲ τοῦ « σώματος πονηρῶς ἤδη διακειμένου Ἀντίμαχον με« ταπεμψάμενος τῶν μὲν γεγενημένων οὐδὲν εἶπεν, « ἔλεγε δ' ὡς αὐτὸς μὲν δειπνῶν τύχοι, οὗτος δὲ μεθύων « ἔλθοι, ἐκκόψας δὲ τὴν θύραν καὶ εἰσελθὼν κακῶς « λέγοι αὐτὸν καὶ τὸν Ἀντίμαχον καὶ τὰς γυναῖκας « αὐτῶν. Ἀντίμαχος δὲ ὠργίζετο μὲν αὐτοῖς ὡς με« γάλα ἡμαρτηκόσιν, ὅμως δὲ μάρτυρας παρακαλέσας « ἠρώτα αὐτὸν πῶς εἰσέλθοι, ὁ δὲ κελεύσαντος Τίσιδος « καὶ τῶν οἰκετῶν ἔφασκε. Συμβουλευόντων δὲ τῶν « εἰσελθόντων ὡς τάχιστα λῦσαι καὶ τὰ γεγενημένα « δεινὰ νομιζόντων εἶναι ἀπέδοσαν αὐτὸν τοῖς ἀδελφοῖς. « Οὐ δυναμένου δὲ βαδίζειν, ἐκόμισαν αὐτὸν εἰς τὸ « δεῖγμα ἐν κλίνῃ καὶ ἐπέδειξαν πολλοῖς μὲν Ἀθηναίων, « πολλοῖς δὲ καὶ τῶν ἄλλων ξένων, οὕτω διακείμενον, « ὥστε τοὺς ἰδόντας μὴ μόνον τοῖς ποιήσασιν ὀργίζε« σθαι, ἀλλὰ καὶ τῆς πόλεως κατηγορεῖν, ὅτι οὐ δη« μοσίᾳ οὐδὲ παραχρῆμα τοὺς τὰ τοιαῦτα ἐξαμαρτά« νοντας τιμωρεῖται. » Αὕτη μὲν ἡ Λυσίου διήγησις ἐκ « τοῦ κατὰ Τίσιδος λόγου.

CXIXa. ΠΡΟΣ ΤΛΗΠΟΛΕΜΟΝ.

227.

Suidas : Ἐπὶ καλάμῃ ἀροῦν. Ἔθος ἐστὶ τοῖς γεωργοῖς παρ' ἐνιαυτὸν ἀργὸν καταλείπειν τὴν γῆν, ὅπως ἀκεραίους ἐκτρέψῃ τοὺς καρπούς, ὡς μὴ κατ' ἔτος τοῖς σπέρμασι πονοῖτο. Λυσίας ἐν τῷ πρὸς Τληπόλεμον λόγῳ διαβάλλων τινὰ τῶν ἀπλήστων γεωργῶν τὰ ἐν τῇ γῇ καταχρώμενον καὶ κατ' ἔτος ἐξαναλίσκοντα τὴν ἰσχὺν αὐτῆς φησίν· « Οὑτοσὶ δὲ πυροὺς ἐπὶ καλάμῃ ἀροῖ· » τουτέστιν, ἀεὶ σπείρων οὐδεμίαν ἄνεσιν τῇ γῇ δίδωσιν.

Cf. Arsenius p. 239. — πρὸς Τληπόλεμον] Nomen hoc lenissima mutatione Sauppius elicuit e meliorum codicum (ABV et pr. E) lectione : πρὸς ταχπόλεμον. Manu secunda in E literæ ταχ deletæ sunt ; πρὸς τὸν πόλεμον ed. Med.; πρὸς τὸν Πολέμονα editor Basileensis ; πρὸς τὸν Πολέμωνα Taylorus, Hœlscherus et dubitanter Bernhardy. Laudatur contra Tlepolemum oratio Isæi ap. Harpocrat. v. ἐπωνία. Fortasse igitur ibi Lysiæ nomen aut nostro loco Isæi nomen reponendum est.

CXX. ΥΠΕΡ ΦΕΡΕΝΙΚΟΥ ΠΕΡΙ ΤΟΥ ΑΝΔΡΟΚΛΕΙΔΟΥ ΚΛΗΡΟΥ.

« Illustria tractamus nomina. Neque enim potest dubitari, quin Androclidas ille intelligendus sit, qui Ol. 99, 3 Cadmea a Spartanis occupata Athenas fugerat et hic a sicariis, quos optimates Thebani immiserant, paulo post interfectus est : Plut. Pelop. 6. Cum Androclida etiam Pherenicus fugerat; et utrumque maxima auctoritate fuisse ex iis intelligimus, quæ Plutarchus (Pelop. 5. 8; de gen. Socr. 3) narrat. Causa igitur de Androclidæ interfecti opibus Ol. 99 a. 4 vel 100 a. 1 acta sit necesse est. Cf. Sievers hist. gr. p. 167, 168; 173. Ex iis vero, quæ Dionysius dicit (ὑπὲρ ἀνδρὸς ξένου) et verborum Lysiæ ipsius ratione intelligere videor, Aristidem Panath. p. 300 C non accurate narrare, quod exsulibus civitatem ab Atheniensibus datam fuisse dicit. Videtur igitur causa coram polemarcho acta esse. » Sauppius.

---

quum ille nollet, rogaret ut ad compotationem veniens cum ipso et domesticis biberet. Post cœnam igitur, ubi jam advesperascebat, venientes nos pulsamus portam; illi jusserunt intrare. Quum intus eramus, me quidem domo ejiciunt, hunc vero corripientes columnæ adligaverunt et sumpto flagello quidam multa verbera inflixit, deinde in cellulam inclusit. Neque hæc peccasse Tisidi suffecit, sed pessimorum in hac urbe juvenum exemplum imitatus (scilicet bona paterna recens nactus divitis adolescentis proterviam affectabat), jam exorto sole, denuo famulis imperavit, ut columnæ illigatum cæderent. Sic corpore jam misere affecto, Antimachum arcessens eorum quæ gesta erant ne hilum quidem dixit; contendebat vero, se cœnante, illum venisse ebrium et, effracto ostio, ingressum convicia jecisse in ipsum et Antimachum eorumque mulieres. Antimachus irascebatur quidem eosque magna deliquisse aiebat; nihilominus tamen, advocatis testibus, illum interrogavit quomodo ingressus esset; ille vero dixit intrasse se hortatu Tisidis et domesticorum. Suadentibus deinde iis qui advenerant, ut quam citissime solveretur, et gesta pergravia esse censentibus, tradiderunt illum fratribus, qui lectulo impositum (incedere enim non poterat) in Δεῖγμα, i. e. in Piræi locum ubi mercium specimina proponebantur, deportarunt multisque Atheniensibus, multis item peregrinis monstrarunt adeo crudeliter afflictum, ut conspicientes non modo iis qui fecissent irascerentur, sed etiam civitatem accusarent, quod non publice et ex tempore hujus sceleris auctores castigaret. » Hæc quidem Lysiæ est narratio quam petivi ex oratione contra Tisidem.

CXIX a. ADVERSUS TLEPOLEMUM.

227.

Ἐπὶ καλάμῃ ἀροῦν, *post stipulam arare*. Solent agricolæ alternis annis terram incultam relinquere, ut integras producat fruges; ne, si quotannis conseratur, fecunditas ejus exhauriatur. Lysias in oratione adversus Polemonem, reprehendens agricolam quendam avarum qui terra abuteretur et vires ejus quotannis exhauriret, inquit : « Hic post stipulam arat terram », id est agrum semper conserens nullam unquam relaxationem ei concedit.

228.

Dionysius Hal. De Isæo c. 6 (t. V, p. 594 R.): Ἔστι δὴ καὶ παρὰ τῷ Λυσίᾳ τις ὑπὲρ ἀνδρὸς ξένου, δίκην φεύγοντος περὶ κλήρου, ποιούμενος τὴν ἀπολογίαν. Τοῦτον ἐπιγράφει τὸν λόγον Καλλίμαχος Ὑπὲρ Φερενίκου περὶ τοῦ Ἀνδροκλείδου κλήρου. Καὶ ἔστι πολλοῖς πρότερον ἠγωνισμένος ἔτεσι θατέρου· ἐν ᾧ τὴν αἰτίαν πρώτως ἐπιδείκνυσιν ὁ περὶ τοῦ ξένου ποιούμενος τοὺς λόγους, ὥσπερ ὁ τὸν μέτοικον ἐξαιρούμενος εἰς ἐλευθερίαν. Ἔστι δὲ τὸ προοίμιον τοῦ λόγου τόδε· « Ἀναγκαῖόν μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δι« κασταί, περὶ τῆς φιλίας τῆς ἐμῆς καὶ τῆς Φερενίκου « πρῶτον εἰπεῖν πρὸς ὑμᾶς, ἵνα μηδεὶς ὑμῶν θαυμάσῃ, « ὅτι ὑπὲρ οὐδενὸς ὑμῶν πώποτε εἰρηκὼς πρότερον ὑπὲρ « τούτου νυνὶ λέγω. Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, « ξένος ἦν Κηφισόδοτος, ὁ τούτου πατήρ· καὶ ὅτε « ἐφεύγομεν, ἐν Θήβαις παρ' ἐκείνῳ κατηγόμην, καὶ « ἐγὼ καὶ ἄλλος Ἀθηναίων ὁ βουλόμενος, καὶ πολλὰ καὶ « καὶ ἰδίᾳ ἀγαθὰ καὶ δημοσίᾳ παθόντες ὑπ' αὐτοῦ εἰς « τὴν ἡμετέραν αὐτῶν κατήλθομεν. Ἐπεὶ δ' οὖν οὗτοι « ταῖς αὐταῖς τύχαις ἐχρήσαντο καὶ φυγάδες Ἀθήναζε « ἀφίκοντο, ἡγούμενος τὴν μεγίστην αὐτοῖς ὀφείλειν « χάριν οὕτως οἰκείως αὐτοὺς ὑπεδεξάμην, ὥστε μη« δένα γνῶναι τῶν εἰσιόντων, εἰ μή τις πρότερον ἠπί« στατο, ὁπότερος ἡμῶν ἐκέκτητο τὴν οἰκίαν. Οἶδε « μὲν οὖν καὶ Φερένικος, ὦ ἄνδρες δικασταί, ὅτι « πολλοὶ λέγειν εἰσὶν ἐμοῦ δεινότεροι καὶ μᾶλλον τοιού« των πραγμάτων ἔμπειροι, ἀλλ' ὅμως ἡγεῖται τὴν « ἐμὴν οἰκειότητα πιστοτάτην εἶναι. Αἰσχρὸν οὖν « δοκεῖ εἶναι, κελεύοντος τούτου καὶ δεομένου τὰ δί« καια αὐτῷ βοηθῆσαι, περιιδεῖν αὐτόν, καθ' ὅσον « οἷός τ' εἰμὶ ἐγώ, τῶν ὑπ' Ἀνδροκλείδου δεδομένων « στερηθῆναι. »

229.

Suidas: Οὐσία φανερὰ καὶ ἀφανής. Λυσίας ἐν τῷ ὑπὲρ Φερενίκου λέγει· « Εἰ μὲν γὰρ ἀγροὺς κατέ« λιπεν Ἀνδροκλείδης ἢ ἄλλην φανερὰν οὐσίαν, ἐξῆν ἂν « εἰπεῖν τῷ βουλομένῳ, ὅτι οὗτος μὲν ψεύδεται, αὐτῷ « δὲ δέδοται· περὶ [δὲ] ἀργυρίου καὶ χρυσίου καὶ ἀφα« νοῦς οὐσίας δῆλον ὅτι ὅστις ἔχων αὐτὰ φαίνεται, « τούτῳ δέδωκεν. » Pro οὗτος ... αὐτῷ codices οὐδὲν.. αὐτῷ; em. Scheibius; idem δὲ inseruit.

CXXI. ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ ΕΠΙΤΡΟΠΗΣ,

εἰ γνήσιος.

230.

Harpocratio: Ἀρκτοῦρος καὶ Ἀρκτοφύλαξ ὁ Βοώτης ὀνομαζόμενος· Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς. Ἰδίως δὲ ὁ ὑπὸ τὴν ζώνην αὐτοῦ ἀστήρ· Ἄρατος καὶ Ἡσίοδος Ἔργοις δηλοῦσιν.

231.

Idem: Ζειρὰ ἤτοι σειρά, ὥς τινες, ἦν ἔνδυμά τι ὃ ἐπενεδύοντο μετὰ τοὺς χιτῶνας ὥσπερ ἐφαπτίδας· Λυσίας ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος.

232.

Idem: Ὁδός. Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους φησίν· « ἢ ἐν ὁδῷ καθελών » ἀντὶ τοῦ ἐν λόχῳ καὶ ἐνέδρᾳ. Τοιοῦτον δὲ εἶναι καὶ τὸ Ὁμηρικόν φασιν « ἢ ὁδὸν ἐλθέμεναι. » Εἰ δὲ ψιλωθείη ἡ προτέρα, σημαίνει τὸν βαθμόν, ὡς παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Φιλίππου, εἰ γνήσιος ὁ λόγος.

CXX. PRO PHERENICO DE ANDROCLIDÆ HEREDITATE.

228.

Apud Lysiam quoque quidam hospitem in hereditatis causa reum defendit. Orationem hanc Callimachus inscribit: *Pro Pherenico de Androclidæ hereditate.* Habita est multis annis ante alteram illam. Primum in ea causam rei exponit hospitis defensor sicut ille qui inquilinum in libertatem vindicat. Exordium vero orationis hoc est: « Necesse mihi videtur esse, judices, ut primum de amicitia quæ mihi cum Pherenico intercedit, dicam, ne quis miretur me, qui nullius vestrum causa unquam verba fecerim, primum pro hoc dicam. Etenim Cephisodotus, hujus pater, hospes mihi erat, et quum exsulabamus, Thebis et ego ad ipsum diverti et quisquis vellet alius Atheniensium; multisque ab eo beneficiis et privatim et publice affecti in patriam reversi sumus. Itaque quum illi simili fortuna usi Athenas exsulatum venissent, maximam ratus gratiam eis deberi, tam familiariter excepi hospitio, ut ingredientium sciret nemo, nisi quis prius intellexisset, uter nostrum domum possideret; scit quidem Pherenicus quoque, judices, permultos esse, qui plus in dicendo me valeant, et ejusmodi rerum peritiores sint; verumtamen existimat amicitiam meam esse fidissimam. Ideoque turpe mihi videtur, ipso jubente meamque opem in causa justa implorante, non impedire, quantum quidem possum, quominus bonis ab Androclide ei donatis privetur.

229.

Lysias in oratione pro Pherenico dicit: « Si enim agros reliquisset Androclides vel alia bona apparentia, cuilibet dicere liceret, illum mentiri, et ipsi hæc data esse; sed argentum et aurum et alia bona non apparentia qui ea possidere cernitur, illi data esse manifestum est.

CXXI. CONTRA PHILIPPUM DE TUTELA,

modo genuina sit oratio.

230.

Ἀρκτοῦρος et ἀρκτοφύλαξ, sidus quod Bootes vocatur; sic Lysias in oratione contra Philippum de tutela; proprie autem sic dicitur stella quæ est sub zona Bootæ. Aratus (*Phæn.* 91) et Hesiodus in Operibus (*v.* 566) de his exponunt.

231.

Ζειρά sive, ut nonnulli scribunt, σειρά, erat indumentum quoddam, quod tunicis superinduebant sicuti ephaptides. Lysias in oratione contra Philippum, modo ea Lysiæ sit.

232.

Ὁδός. Demosthenes in oratione contra Aristocratem (§ 53): « vel in via interficiens » pro: in latebris et ex insidiis. Hujusmodi esse dicunt etiam Homericum illud (*Il.* « I, 151): ἢ ὁδὸν ἐλθέμεναι. » Sin vero scribatur ὀδός cum spiritu leni in syllaba priori, significat *limen*, ut apud Lysiam in oratione contra Philippum, modo genuina sit oratio.

233.

Idem : Πεδιακά· Λυσίας ἐν τῷ κατὰ Φιλίππου ἐπιτροπῆς, εἰ γνήσιος ὁ λόγος ἐστί. Μοῖρα τῆς Ἀττικῆς ἡ ἀπὸ τοῦ συμβεβηκότος ἐκαλεῖτο Πεδίον· εἶχε δὲ καὶ προβάτων νομάς, καὶ τὰ ἐντεῦθεν, ὡς ἔοικεν, ἐκαλεῖτο Πεδιακά. Ἔστι δὲ καὶ παρ' ἄλλοις ῥήτορσι τοὔνομα.

234.

Pollux X, 23 : Ἐν δὲ τῷ Λυσίου πρὸς Φίλιππον ἐπιτροπῆς τὰς κλεῖδας εὑρήκαμεν.

235.

Zonaras, Lex. : Ἀποχρῆν καὶ ἀποχρᾷν. Τὸ ἀπαρέμφατον ῥῆμα λέγουσιν ἑκατέρως. ... Λυσίας· « Φιλίππῳ δὲ μὴ οἴεσθαι (οἴεσθε conj. Scheib.) ταῦτ' ἀποχρᾷν. »

CXXII. ΠΡΟΣ ΦΙΛΟΚΡΑΤΗΝ ΣΥΜΒΟΛΑΙΟΥ ΑΠΟΛΟΓΙΑ.

236.

Harpocratio : Βησαιῆς· Λυσίας ἐν τῇ πρὸς Φιλοκράτην συμβολαίου ἀπολογίᾳ. Δῆμος τῆς Ἀντιοχίδος ἡ Βῆσα.

In his Βησαιῆς scr. Sauppius, Βεσσηίς codd. A B E L et Suidas, Βεσηίς D, ut videtur, et editio Bekkeri, qui in not. conj. Βεσαῆς. Hemsterhusius conj. Βησηεῖς vel Βεσαεῖς. Civem atticam e Besa oriundam ἐκ Βεσαιέων dici monuit Sauppius. Pro Βῆσα codd. ABL et Suidas habent Βῆσσα.

237.

Idem : Εὐωνυμεῖς· Λυσίας ἐν τῷ κατὰ Φιλοκράτους. Δῆμός ἐστι τῆς Ἐρεχθηΐδος, ὥς φησι Διόδωρος.

238.

Antiatticista in Bekk. Anecd. p. 115, 27 : Φιλόγυνος· οὐ μόνον φιλογύνης. Λυσίας πρὸς Φιλοκράτην.

CXXIII. ΠΡΟΣ ΦΙΛΩΝΑ ΥΠΕΡ ΘΕΟΚΛΕΙΔΟΥ ΦΟΝΟΥ.

« De mœchi cæde lis videtur fuisse, » Hoelscher.

239.

Pollux XI, 39 : Ἐν δὲ Λυσίου πρὸς Φίλωνα ὑπὲρ Θεοκλείδου φόνου ἔστιν εὑρεῖν οἰκάριον· « ἀλλ' εἰς τὸ οἰκάριον τὸ ὄπισθε τῆς γυναικωνίτιδος. »

CXXIV. ΚΑΤΑ ΦΙΛΩΝΙΔΟΥ ΒΙΑΙΩΝ, εἰ γνήσιος.

« De hac causa R. Hanovius (exercit. crit. in com. gr. 1 p. 31 sqq.) exposuit. Hic bene docuit Philonidem Melitensem, hominem a comicis sæpe et acerbe derisum, intelligendum esse et Naidem civem atticam ejusque tutorem Archiam fuisse. Nam vox quæ est κύριος apud scriptorem atticum alio sensu accipi non potest. Sed quod Philonidem Naidi vim attulisse et ob id ipsum a novo tutore, quem archon Archia κακώσεως accusato et damnato Naidi dedisset, βιαίων accusatum esse dicit, falsa opinione nititur, quam homines docti de actione βιαίων habent. Putant enim (cf. Meier de lit. att. p. 545 sq.) eam actionem et contra eos qui vel feminam vel puerum per vim vitiassent et si quis per vim aliquid abstulisset institutam esse. Sed locus Harpocrationis, quem infra adscripsi (frg. 243), iis quæ a grammaticis indoctis et suorum temporum consuetudinis tenacibus addita erant resectis, longe aliud docet : hoc uno vero Harpocrationis et asseclarum loco illa opinio se tuebatur. Ne pro Naide quidem hanc orationem scriptam esse puto; nam qui Naidis causam ageret, non dixisset ἔστιν οὖν γυνὴ ἑταίρα Ναΐς ὄνομα. Si quid igitur suspicari licet, dixerim Philonidem virgini epiclero, civi atticæ (v. fr. 242) aliquid per vim abstulisse in eaque re nescio quo modo a Naide meretrice et Archia, ejus tutore, Hymenæoque ejus amico, adjutum esse. Quo facto Philonides βιαίων accusatus est. » Sauppius.

240.

Athenæus XIII, p. 592, C : Ἀλκιδάμας ὁ Ἐλαΐτης, ὁ Γοργίου μαθητής, ἔγραψε καὶ αὐτὸς ἐγκώμιον

233.

Πεδιακά. Lysias in oratione contra Philippum de tutela, modo genuina oratio sit. Pars erat Atticæ, quæ quum plana esset, vocabatur Πεδίον; habebat etiam ovium pascua, et quæ ex hoc Πεδίῳ proveniebant, ea Πεδιακά dicebantur. Vox apud alios quoque oratores occurrit.

234.

Apud Lysiam in oratione adversus Philippum de tutela τὰς κλεῖδας invenimus.

235.

Ἀποχρῆν et ἀποχρᾷν. Utramque formam in infinitivo modo usurpant... ut Lysias : « Philippo non credite hæc sufficere. »

CXXII. ADVERSUS PHILOCRATEM CONTRACTUS DEFENSIO.

236. 237.

Βησαιῆς. Lysias in contractus defensione adversus Philocratem. Besa erat pagus Antiochidis tribus.

Εὐωνυμεῖς. Lysias in oratione adversus Philocratem; pagus Erechtheidis tribus sic vocabatur, ut ait Diodorus.

238.

Φιλόγυνος quoque, non solum φιλογύνης, dicitur, ut apud Lysiam in or. adversus Philocratem.

CXXIII. ADVERSUS PHILONEM DE THEOCLIDÆ CÆDE.

239.

In Lysiæ oratione adversus Philonem de Theoclidæ cæde vocem οἰκάριον legere est : « sed in cellulam quæ est pone mulierum conclave.

Ναΐδος τῆς ἑταίρας. Τὴν δὲ Ναΐδα ταύτην Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος ὁ λόγος, ἐρωμένην φησὶ γενέσθαι Φιλωνίδου, γράφων ὧδε· « Ἔστι οὖν γυνὴ ἑταίρα Ναῒς ὄνομα, ἧς Ἀρχίας κύ« ριός ἐστιν, ὁ δ' Ὑμέναιος ἐπιτήδειος, ὁ Φιλωνίδης « δ' ἐρᾷν φησι. » Μνημονεύει αὐτῆς καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ· μήποτε δὲ κἀν τῷ Πλούτῳ, ἐν ᾧ λέγει· « ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου; » γραπτέον Ναΐς, καὶ οὐ Λαΐς.

Idem XIII, p. 586, F : Ἐν δὲ τῷ κατὰ Φιλωνίδου βιαίων ὁ Λυσίας, εἰ γνήσιος ὁ λόγος, καὶ Ναΐδος τῆς ἑταίρας μέμνηται.

Harpocratio : Ναῒς ἑταίρα τις· Λυσίας ἐν τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, καὶ Ἀριστοφάνης Γηρυτάδῃ. Μήποτε δὲ καὶ ἐν τῷ Πλούτῳ, ὅπου φησὶν ὁ κωμικὸς « ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου, » γραπτέον ἦν διὰ τοῦ ν Ναῒς διὰ τὸν Φιλωνίδην.

241.

Harpocratio p. 93, 3 : Λυσίας ... ἐν δὲ τῷ κατὰ Φιλωνίδου, εἰ γνήσιος, τῷ ἠλιάζεσθαι ἐχρήσατο. Cf. supra frg. 63.

242.

Idem p. 105, 15 : Ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ λόγῳ Ὑπερείδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος. Ἦν δὲ καὶ ἄνευ ὕδατος. Cf. frg. 105.

243.

Primo loco ponemus quam integram habemus orationem pro Euxenippo. Quæ ex orationibus contra Demosthenem et pro Lycophrone in papyro supersunt, inter fragmenta suo loco exhibebuntur.

De *Argumento orationis pro Euxenippo adversus Polyeuctum* ita habet Schneidewinus : « Post pugnam Chæronensem quum Philippus Macedo Oropum urbem cum agro suo, quæ urbs, ut ait Strabo, ἐν ἀμφισβητησίμῳ ἐγεγένητο πολλάκις inter Thebanos potissimum et Athenienses, illis ademptam his adjudicavisset, factum populi scitum est, decem tribus agrum illum ita inter se sortirentur, ut binæ singulos sorte ductos possiderent : ager enim quinque colles videtur complexus fuisse. Illæ sortitæ sunt. Sed is collis, qui tribubus Acamantidi et Hippothoontidi obtigerat, in disceptationem venit essetne jure occupatus. Fuerunt enim qui illum deo Amphiarao dedicatum defenderent contra fas a tribubus teneri. Quæ dubitationes ut tollerentur religionique satisfieret, populus civi cuidam suo, Euxenippo, viro honesto eique diviti et tum ætate provectiori, hoc negotii dedit, ut cum duobus aliis in fano Amphiarai incubaret, si quid per somnum offerretur visum, quo deus ipse aperiret quid rei esset. Profectus est Euxenippus, incubat, somnium refert : montem deo sacrum nec fas esse in potestate tribuum permanere. Tum Polyeuctus Cydantida, non ignobilis homo et in republica versatus, rogationem ad plebem tulit, tribus ut redderent montem Amphiarao, quippe qui a finitoribus ante sortitionem exemptus deo et consecratus fuerit, restituerentque pretium quo vendidissent. Addidit in eadem rogatione, ut reliquæ octo tribus damno duarum caverent sarcirentque illæ quod amisissent. Huic Polyeucti rogationi intercessit nescio quis (is fortasse ipse Hyperides fuit) actione legis male rogatæ perfecitque ut rogator legis caussa caderet multaque viginti quinque drachmarum afficeretur. Quam calamitatem Polyeuctus non potuit ferre, sed iratus Euxenippum, de cujus ille fide antea nihil dubitavisset, denuntiavit falsa retulisse de somnio, certis quibusdam hominibus in urbe gratificatum. Simul diversissima ille crimina in Euxenippum congerebat et subscriptorem sibi accivit Lycurgum Butadam. At Euxenippo subvenit Hyperides, sed is secundarum partium actor : nam ante Hyperidem alius nescio quis reum defenderat. Est igitur hæc oratio ex genere τῶν δευτερολογιῶν. Unde apparet, cur quædam leviter tangantur, illis scilicet satis aperta qui superiori orationi interfuissent. Cadit hoc in eam potissimum partem orationis, qua occurrit Hyperides calumniationi Polyeucti et divitiis Euxenippi per fraudem partis : quæ pars ultima est. Perstringi fodinas argenti, quarum in possessione fuit reus, licet orator non distincte dicat, omnis finis orationis non sinit dubitare. De tempore actæ causæ satis constabit legentibus, universe quidem : qui operosius investigare volent, vel annum ipsum definire poterunt. De Euxenippo et Polyeucto quædam præmittenda videntur. Et de illo quidem aliunde nihil, quoad sciam, accepimus : nam quem Ol. 118, 4, Diodorus XX, 81 et Dionysius Hal. in Dinarcho c. 9 p. 650 Rske prætorem fuisse testantur vel Euxenippum vel Xenippum, tametsi fieri posse ut idem sit non negamus, veri simile esse, fuisse eundem, nemo contendet : Polyeuctum paullo rectius novimus. Etenim constabat ante hanc repertam orationem, tres habuisse orationes Hyperidem, quæ ad Polyeuctum spectarent : κατὰ Πολυεύκτου, περὶ τοῦ Πολύευκτον στρατηγεῖν, πρὸς Πολύευκτον, de quibus recte distinguendis dixit Bœckhius de re navali Athen. p. 249 et H. Sauppius meus oratt. fragm. p. 298, qui ultimam illarum post Olymp. 110, 1 habitam esse effecerunt. Illud vero dubitatum est, quis Polyeuctus ex multis qui tum erant cognomines Athenis intelligi deberet. Et Sauppius quidem Bœckhium secutus Sphettium illum, celeberrimum oratorem, propter summam consiliorum, quæ Demosthenes Hyperides Polyeuctus agitarunt, communionem merito rejicit et contra Cydantidam Polyeuctum habitam ultimam orationem esse certe verisimile fieri ex fr. apud Harpocrat. v. Κυδαντίδης observat : Ὑπερείδης ἐν τῷ πρὸς Πολύευκτον· δῆμός ἐστι τῆς Αἰγηίδος Κυδαντίδαι. Addit Bœckhius ne reliquas quidem orationes ad alium videri pertinuisse. Nec conjectura tenui sane argumento suffulta homines egregios fefellit. Nam Euxenippi accusatorem Cydantidam fuisse, non, quod editor Cantabrigiensis sibi persuasit, Sphettium, cujus quædam orationum reliquiæ ætatem tulerunt, planissime docet quod in or. I, § 11 legitur. Polyeuctus enim aliquando in jus vocatus ex Ægeide tribu decem sibi advocatos legit, inter quos Hyperides fuit; Cydantidæ autem pagus illius tribus fuit. Homo commemoratur in titulo Piræensi Bœckhii XIII a 37 p. 423 tanquam au-

ctor plebisciti Olymp. 113, 3 scripto et apud Dinarchum in Demosth. § 58 : Πολύευκτον τὸν Κυδαντίδην τοῦ δήμου προστάξαντος ζητῆσαι τὴν βουλήν, εἰ συνέρχεται τοῖς φυγάσιν εἰς Μέγαρα, καὶ ζητήσασαν ἀποφῆναι πρὸς ὑμᾶς, ἀπέφηνεν ἡ βουλὴ συνιέναι. Κατηγόρους εἵλεσθε κατὰ τοὺς νόμους, εἰσῆλθεν εἰς τὸ δικαστήριον, ἀπελύσαθ' ὑμεῖς ὁμολογοῦντος Πολυεύκτου βαδίζειν εἰς Μέγαρα ὡς τὸν Νικοφάνην· ἔχειν γὰρ τὴν αὐτοῦ μητέρα τοῦτον. Ad eundem Polyeuctum pertinuisse orationem Demosthenis πρὸς Πολύευκτον παραγραφήν, quæ periit, suspicatur Bœbneckius Quæstt. oratt. Attic. p. 643, ubi Polyeuctos accuratissime recenset. Ceterum Cydantidam fuisse hominem versutum et qui cum dicendi peritus esset facile universæ civitati negotia facesseret testatur Hyperides § 13. »

I. ΥΠΕΡ ΕΥΞΕΝΙΠΠΟΥ ΕΙΣΑΓΓΕΛΙΑΣ ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ.

Ἀλλ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅπερ καὶ πρὸς τοὺς παρακαθημένους ἀρτίως ἔλεγον, θαυμάζω εἰ μὴ προσίστανται ἤδη ὑμῖν αἱ τοιαῦται εἰσαγγελίαι· τὸ μὲν γὰρ πρότερον εἰσηγγέλλοντο παρ' ὑμῖν Τιμόμαχος καὶ Λεωσθένης καὶ Καλλίστρατος καὶ Φίλων ὁ ἐξ Ἀναίων καὶ Θεότιμος ὁ Σηστὸν ἀπολέσας καὶ ἕτεροι τοιοῦτοι· (2) καὶ οἱ μὲν αὐτῶν ναῦς αἰτίαν ἔχοντες προδοῦναι, οἱ δὲ πόλεις Ἀθηναίων, ὁ δὲ ῥήτωρ ὢν λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ· καὶ οὔτε τούτων πέντε ὄντων οὐδ' εἷς ὑπέμεινε τὸν ἀγῶνα, ἀλλ' αὐτοὶ ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως, οὔτ' ἄλλοι πολλοὶ τῶν εἰσαγγελλομένων, ἀλλ' ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ κρινόμενον ὑπακούσαντα εἰς τὸ δικαστήριον· οὕτως ὑπὲρ μεγάλων ἀδικημάτων καὶ περιφανῶν αἱ εἰσαγγελίαι τότε ἦσαν· (3) νυνὶ δὲ τὸ γινόμενον ἐν τῇ πόλει πάνυ καταγέλαστόν ἐστιν· Διογνίδης μὲν καὶ Ἀντίδωρος ὁ μέτοικος εἰσαγγέλλονται ὡς πλέονος μισθοῦντες τὰς αὐλητρίδας ἢ ὁ νόμος κελεύει, Ἀγασικλῆς δ' ὁ ἐκ Πειραιέως ὅτι εἰς Ἁλιμουσίους ἐνεγρά[φη,] Εὐξένιππος [δ' ὑπ]ὲρ τῶν ἐνυπνί[ων] ὧν φησιν ἑω[ρακέ]ναι· ὧν οὐδεμ[ία] δήπου τῶν αἰτιῶν τούτων οὐδὲν κοινωνεῖ τῷ εἰσαγγελτικῷ νόμῳ.

4. Καίτοι, ὦ ἄνδρες δικασταί, ἐπὶ τῶν δημοσίων ἀγώνων οὐ χρὴ τοὺς δικαστὰς πρότερον τὰ καθ' ἕκαστα τῆς κατηγορίας ὑπομένειν ἀκούειν, πρὶν αὐτὸ τὸ κεφάλαιον τοῦ ἀγῶνος καὶ τὴν ἀντιγραφὴν ἐξετάσωσιν εἰ ἐστὶν ἐκ τῶν νόμων ἢ μή· οὐ μὰ Δία, οὐχ ὥσπερ ἐν τῇ κατηγορ[ίᾳ] Πολύευκτος ἔλεγεν, ο[ὐ] φάσκων δεῖν τοὺς ἀπολογουμένους ἰσχυρίζεσθαι τῷ εἰσαγγελτικῷ νόμῳ, ὃς κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν τὰς εἰσαγγελίας ε[ἶ]ναι περὶ τοῦ λέγει[ν] μὴ τὰ ἄριστα τῷ δήμῳ, οὐ κατὰ πάντων Ἀθηναίων. (5) Ἐγὼ δὲ οὔτε πρότερον οὐδενὸς ἂν μνησθείην ἢ τούτου οὔτε πλείους οἶμαι δεῖν λόγους ποεῖσθαι περὶ ἄλλου τινὸς ἢ ὅπως ἐν δημοκρατίᾳ κύριοι οἱ νόμοι ἔσονται καὶ αἱ εἰσαγγελίαι

§ 1. Τιμόμαχος] Acharnensis ille de quo constat ex Æschine, Demosthene et Xenophonte. De Leosthene Ol. 104, 4 capitis damnato v. Diodor. XV, 95. De Callistrato Aphidnæo Ol. 104, 3 damnato disernit Schæferus in Philog. vol. III, p. 577 sqq. Philo ὁ ἐξ Ἀναίων non notus; neque de Anæis Atticæ pago constat. Si corruptum nomen est, fort. leg. ὁ Αἰξωνεύς vel ὁ Ἀναχαιεύς vel ὁ Ξυπεταιών, suspicatur Schneidewinus. Possis etiam : ὁ ἐξ Ἰωνιδῶν. Anæa Ioniæ oppidum huc pertinere nequit, neque Philonem τὸν Αἰνιᾶνα, quem inter Alexandri duces novimus, huc traxeris. Nihilo magis constat de Theotimo. Sestus a Cotye et Abydenis occupata Ol. 106, 4 sec. Diodor. XVI, 34. — § 2. τότε ἦσαν] τουτο ησαν cod., sed υ deletur et super altero ο scriptum est ε. — § 3. Ἀγησικλῆς cod. Cf. Harpocratio : Ἀγασικλῆς. Περὶ Ἀγασικλέους Ὑπερείδης λέγει. Γέγραπται καὶ Δεινάρχῳ λόγος κατ' αὐτοῦ, ἐν ᾧ δεδήλωται ὅτι Ἁλιμουσίους συνεδέκασε καὶ διὰ τοῦτο ξένος ὢν τῇ πολιτείᾳ ἐνεγράφη. — ὧν οὐδεμία] nescio an ὧν ex antecc. male repetitum sit. Tueri vocem studet Schneidewin ad h. l. Cf. idem in Philol. t. VIII, p. 314 — § 4. πρὶν αὐτὸ] πρὶν ἂν αὐτὸ? Schn. — τὴν ἀντιγραφήν] Cf. Harpocratio v. Ἀντιγραφή : Ἐν ταῖς δίκαις ταῖς δημοσίαις [καὶ ταῖς ἰδίαις add. Schœmann. D. att. Prozess. p. 629] τὰ τῶν δικαζομένων γράμματα, ἃ ἐδίδοσαν περὶ τοῦ πράγματος, καὶ τὰ τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος ἀντιγραφή· καὶ τὰ μαρτύρια. Δημοσθένης κατὰ Στεφάνου καὶ Ὑπερείδης.

I. PRO EUXENIPPO DELATIONIS ACTIONE REO DEFENSIO ADVERSUS POLYEUCTUM.

Ego vero, judices, sicut nuper etiam assidentibus dicebam, miror non jam tædium vobis istas creare delationes. Prius enim ad vos deferebantur Timomachus et Leosthenes et Callistratus et Philon Anæensis et Theotimus qui Sestum perdidit horumque similes; (2) quorum alii accusabantur naves, alii oppida Atheniensium prodidisse, vel, si quis orator esset, non optima suasisse populo; nec ex quinque istis nemo unus judicium sustinuit, nec multi e delatis ceteris, sed relicta urbe fuga quærere salutem; perraro accidit ut delationis actione reus judicio se sisteret, adeo tunc de magnis criminibus et evidentissimis delationes erant; (3) nunc vero quæ in urbe fiunt, prorsus sunt ridicula; nimirum Diognides et Antidorus inquilinus ad populum deferuntur quod tibicina majori quam lex jubet mercede locent, Agasicles autem Piræensis quod in album Halimusiorum sit inscriptus, Euxenippus denique ob somnia quæ se vidisse dicat; e quibus accusationibus nulla ne minimum quidem cum lege delatoria habet commune.

4. Quamquam in publicis causis non antea judices singulis accusationis partibus aurem præbere debent quam ipsum causæ caput et accusatoris libellum examinaverint, utrum ex lege actio instruatur necne; haud vero, per Jovem, ita faciendum est ut in accusatione Polyeuctus dicebat, aiens ille non permittendum esse ut defendentes se lege nitantur delatoria, quæ delationes fieri jubet contra solos oratores publicos, si non optima populo suaserint, non vero contra quemvis Atheniensem. (5) Mihi autem

καὶ αἱ ἄλλαι κρίσεις κατὰ τοὺς νόμους εἰσίασιν εἰς τὸ δικαστήριον· διὰ τοῦτο γὰρ ὑμεῖς ὑπὲρ ἁπάντων τῶν ἀδικημάτων, ὅσα ἔστιν ἐν τῇ πόλει, νόμους ἔθεσθε χωρὶς περὶ ἑκάστου αὐτῶν. (6) Ἀσεϐεῖ τις περὶ τὰ ἱερά· γραφαὶ ἀσεϐείας [εἰσὶ] πρὸς τὸν βασιλέα. Φαῦλός ἐστι πρὸς τοὺς ἑαυτοῦ γονεῖς· ὁ ἄρχων ἐπὶ τούτου κάθη[ται]. Παράνομά τις ἐν τῇ πόλει γράφει· θεσμοθετῶν συνέδριόν ἐστι. Ἀπαγωγῆς ἄξια ποιεῖ· ἀρχὴ τῶν ἕνδεκα καθέστηκε. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων ἁπάντων καὶ νόμους καὶ ἀρχὰς καὶ δικαστήρια τὰ προσήκοντα ἑκάστοις αὐτῶν ἀπέδοτε. (7) Ὑπὲρ τίνων οὖν οἴεσθε δεῖν τὰς εἰσαγγελίας γίγνεσθαι; Τοῦτ' ἤδη καθ' ἕκαστον ἐν τῷ νόμῳ ἐγράψατε, ἵνα μὴ ἀγνοῇ μηδείς· « ἐάν τις, φησί, τὸν δῆμον τὸν Ἀθηναίων καταλύῃ· » εἰκότως, ὦ ἄνδρες δικασταί· ἡ γὰρ τοιαύτη αἰτία οὐ παραδέχεται σκῆψι[ν ο]ὐδεμίαν οὐδενὸς οὐδ' ὑπωμοσίαν, ἀλλὰ τὴν ταχίστην αὐτὴν δεῖ εἶναι ἐν τῷ δικαστηρίῳ· « ἢ συνίῃ ποι ἐπὶ καταλύσει τοῦ δήμου ἢ ἑταιρικὸν συναγάγῃ ἢ ἐάν τις πόλιν τινὰ προδῷ ἢ ναῦς ἢ πεζὴν ἢ ναυτικὴν στρατιάν, ἢ ῥήτω[ρ] ὢν μὴ λέγῃ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμϐάνων. » (8) Τὰ μὲν ἄνω τοῦ νόμου κατὰ πάντων τῶν πολιτῶν γράψαντες· ἐκ πάντων γὰρ καὶ τἀδικήματα ταῦτα γένοιτ' ἄν· τὸ δὲ τελευταῖον τοῦ νόμου κατ' αὐτῶν τῶν ῥητόρων, παρ' οἷς ἐστιν καὶ τὸ γράφειν τὰ ψηφίσματα· ἐμαίνεσθε γὰρ ἂν εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον ἔθεσθε ἢ οὕτως, εἰ τὰς μὲν τιμὰς καὶ τὰς ὠφελίας ἐκ τοῦ λέγειν οἱ ῥήτορες καρποῦνται, τοὺς δὲ κινδύνους ὑπὲρ αὐτῶν τοῖς ἰδιώταις ἀνεθήκατε. (9) Ἀλλ' ὅμως Πολύευκτος οὕτως ἐστὶν ἀνδρεῖος ὥστε εἰσαγγελίαν διώκων οὐκ ἔφη δεῖν τοὺς φεύγοντας τῷ εἰσαγγελτικῷ νόμῳ χρῆσθαι· καὶ οἱ μὲν ἄλλοι πάντες κατήγοροι, ὅταν οἴωνται δεῖν ἐν τῷ προτέρῳ λόγῳ ὑφελεῖν τῶν φευγόντων τὰς ἀπολογίας, τοῦτο παρακελεύονται τοῖς δικασταῖς μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογουμένων, ἐάν τινες ἔξω τοῦ νόμου λέγωσιν, ἀλλ' ἀπαντᾶν πρὸς τὰ λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγινώσκειν· σὺ δὲ τοὐναντίον τὴν εἰς τοὺς νόμους καταφυγὴν ἐκ τῆς ἀπολογίας οἴει δεῖν ἀφελέσθαι Εὐξενίππου.

10. Καὶ πρὸς τούτοις οὐδὲ βοηθεῖν οὐδένα φῂς δεῖν αὐτῷ οὐδὲ συναγορεύειν, ἀλλὰ παρακελεύῃ τοῖς δικασταῖς μὴ θέλειν ἀκούειν τῶν ἀναϐαινόντων. Καί τοι τί τούτου ἐν τῇ πόλει βέλτιον ἢ δ[ημο]τικώτερόν ἐστι, πολλῶν καὶ ἄλλων καλῶν ὄντων, ἢ ὁπόταν τις ἰδιώτης εἰς ἀγῶνα καὶ κίνδυνον καταστὰς μὴ δύνηται ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι, τούτῳ τὸν βουλόμενον τῶν πολιτῶν ἐξεῖναι ἀναϐάντα βοηθῆσαι καὶ τοὺς δικαστὰς ὑπὲρ τοῦ πράγματος τὰ δίκαια διδάξαι; (11) Ἀλλὰ μὰ Δία αὐτὸς τοιούτῳ πράγματι οὐ κέχρησαι, ἀλλ' ὅτ' ἔφευγες τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου δέκα μὲν συνηγόρους ἐκ τῆς Αἰγηίδος φυλῆς ᾐτήσω, ὧν καὶ

§ 9 ἐάν τινες] Cum Cobeto legere malim ἐάν τι vel τινα sed ferri potest etiam vulgata. — § 10. τί τούτου] Schn.; τί τούτων cod., ut in simili loco orationis contra Lycophronem. — § 11. μὰ Δία] νὴ Δία cod.; em. Cobet. — Ἀλεξάνδρου τοῦ ἐξ Οἴου] Sic Babington, qui de codicis scriptura hæc notat : « The last four letters seem to have been τουθ; the two first have cancelled, and θ has been corrected to π, so as to leave ὑπ; the ὑπ however is repeated after the original line, followed by αλε... The interpolated letters are (apparently) ανδρτουεξοι, the first four of which form part of the word Ἀλεξάνδρου. » His addit Schneidewinus : » Num ad eundem Alexandrum pertinet Steph. Byz. v. Οἶον· ἐξ Οἴου· « Ἄλεξις Ἀλέξιδος ἐξ Οἴου Λεοντίδος. » ? In quo quum codd. RV pro Ἄλεξις habeant Ἀλεξ, conjicio restituendum Ἀλέξανδρος Ἀλέξιδος. »

hoc omnium primum monendum esse videtur neque quidquam est de quo pluribus verbis exponendum esse putem quam quo fiat ut sua legibus reipublicæ vis sit atque delationes ceteræque actiones secundum leges in judicium introducantur. Propterea enim vos de omnibus delictis quæ in hac civitate committantur, leges fecistis et separatim quidem de unoquoque peculiares. (6) In sacra aliquis impius est; impietatis actiones penes Regem sunt. Erga parentes improbum se gerit; archon judicio præsidet. Contrariam legibus rogationem aliquis fert; res est concilii thesmothetarum. Talia aliquis commisit ut statim in carcerem abducatur; magistratus adest undecimvirorum. Eodem modo ceteris quoque delictis et leges et magistratus et judicia sua quibusque dedistis peculiaria. (7) De quibusnam igitur delationes faciendas esse putatis? Singulatim hoc in lege consignavistis, ne quispiam ignoret. « *Si quis*, ait, *popularem Atheniensium statum everterit;* » bene sanequam, judices; nam ejusmodi crimen nec inquisitionem admittit neque ullam jurejurando interposito dilationem, sed quam citissime adesse debet in judicio; porro : « *si quis ad evertendam rempublicam conjuraverit, vel factionem constituerit, vel si quis oppidum aliquod prodiderit vel naves vel pedestrem nauticumve exercitum, vel si orator publicus, largitionibus se corrumpi passus, non optima dicat populo Atheniensi.* » (8) Ex his priora legis capita contra omnes scripta sunt cives, quoniam in omnes hæc delicta cadere possint, ultimum vero contra solos oratores, penes quos solos etiam rogationes ferendi jus est. Insaniretis enim si alio modo legem hanc tulissetis, si honores quidem et fructus e dicendo comparandi in oratores redundarent, pericula vero pro iis privatos sustinere voluissetis. (9) Nihilosecius Polyeuctus adeo se strenuum præbet ut delationis actionem instituens reis usum legis delatoriæ non concedendum esse dicat. Ac ceteri accusatores quando in priore oratione defensiones reorum surripere velint, hortantur judices ne se defendentibus aures præbeant si quæ illi præter legem verba faciant, sed ut sic dictis occurrant atque legem recitari jubeant : tu vero, e contrario, ad leges confugium defendenti se Euxenippo præscindendum esse censes.

10. Præterea neminem ei auxiliari vel patrocinari debere contendis, et judices cohortaris ne audiant si qui hoc consilio adscenderint. Attamen inter tot egregia civitatis nostræ instituta quid pulcrius est, quid populari rerum statui convenientius quam cuivis civium permitti ut homini a fori usu alieno, qui in certaminis periculum adductus ipse se defendere nequeat, in hoc suggestu auxilietur, et quæ in causa ejus justa sint judices edoceat? (11) At tu, per Jovem, nunquam ejusmodi opera usus es! sed quum ab Alexandro Œensi reus agebaris, decem causæ

ἐγὼ εἷς ἦν αἱρεθεὶς ὑπὸ σοῦ, ἐκ δὲ τῶν ἄλλων Ἀθηναίων ἐκάλεις ἐπὶ τὸ δικαστήριον τοὺς βοηθήσοντάς σοι. (12) Καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῷ δὲ τούτῳ τῷ ἀγῶνι πῶς κέχρησαι; οὐ κατηγόρησας ὁπόσα ἐβούλου; οὐ Λυκοῦργον ἐκάλεις συγκατηγορήσοντα, οὔτε τῷ λέγειν οὐδενὸς τῶν ἐν τῇ πόλει καταδεέστερον ὄντα, παρὰ τούτοις τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι; (13) Εἶτα σοὶ μὲν ἔξεστι καὶ φεύγοντι τοὺς βοηθήσοντας καλεῖν καὶ διώκοντι τοὺς συνκατηγόρους ἀναβιβάσασθαι, ὃς οὐ μόνον ὑπὲρ σεαυτοῦ δύνασαι εἰπεῖν, ἀλλὰ καὶ ὅλῃ [τῇ] πόλει πράγματα παρέχειν ἱκανὸς εἶ· Εὐξενίππῳ δ' ὅτι ἰδιώτης ἐστὶ καὶ πρεσβύτερος οὐδὲ τοὺς οἰκείους ἔξεσται βοηθεῖν· εἰ δὲ μή, διαβληθήσονται ὑπὸ σοῦ· νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῷ δεινά ἐστι καὶ ἄξια θανάτου, ὡς σὺ λέγεις ἐν τῇ κατηγορίᾳ.

14. Σκέψασθε δή, ὦ ἄνδρες δικασταί, καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάζοντες. Ὁ δῆμος προσέταξεν Εὐξενίππῳ τρίτῳ αὐτῷ ἐγκατακλιθῆναι εἰς τὸ ἱερόν, οὗτος δὲ κοιμηθεὶς ἐνύπνιόν φησιν ἰδεῖν, ὃ τῷ δήμῳ ἀπαγγεῖλαι. Τοῦτ' εἰ μὲν ὑπελάμβανες ἀληθῆ εἶναι, καὶ ὃ εἶδεν ἐν τῷ ὕπνῳ τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸς τὸν δῆμον, τί καὶ ἀδικεῖ ἃ ὁ θεὸς αὐτῷ προσέταττε ταῦτ' ἐξαγγείλας πρὸς Ἀθηναίους; (15) Εἰ δέ, ὥσπερ νυνὶ λέγεις, ἡγοῦ αὐτὸν καταψεύσασθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τισι μὴ τἀληθῆ ἀπηγγελκέναι τῷ δήμῳ, οὐ ψήφισμα ἐχρῆν σε πρὸς τὸ ἐνύπνιον γράφειν, ἀλλ' ὅπερ ὁ πρότερος ἐμοῦ λέγων εἶπεν, εἰς Δελφοὺς πέμψαντα πυθέσθαι παρὰ τοῦ θεοῦ τὴν ἀλήθειαν· σὺ δὲ τοῦτο μὲν οὐκ ἐποίησας, ψήφισμα δὲ αὐτοτελὲς ἔγραψας κατὰ δυοῖν φυλαῖν οὐ μόνον ἀδικώτατον, ἀλλὰ καὶ ἐναντίον αὐτὸ ἑαυτῷ· δι' ὅπερ ἥλως παρανόμων, οὐ δι' Εὐξένιππον.

16. Ἐξετάσωμεν δὲ περὶ αὐτοῦ τουτονὶ τὸν τρόπον. Αἱ φυλαὶ σύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῷ διείλοντο, τοῦ δήμου αὐταῖς δόντος. Τοῦτο τὸ ὄρος ἔλαχεν Ἀκαμαντὶς καὶ Ἱπποθοωντίς. Ταύτας τὰς φυλὰς ἔγραψας ἀποδοῦναι τὸ ὄρος τῷ Ἀμφιαράῳ καὶ τὴν τιμὴν ὧν ἀπέδοντο, ὡς πρότερον τοὺς ὁριστὰς τοὺς πεντήκοντα ἐξελόντας αὐτὸ τῷ θεῷ καὶ ἀφορίσαντας, καὶ οὐ προσηκόντως τὰς δύο φυλὰς ἐχούσας τὸ ὄρος. (17) Μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῷ ψηφίσματι γράφεις τὰς ὀκτὼ φυλὰς πορίσαι ταῖν δυοῖν φυλαῖν τὰ διάφορα καὶ ἀποδοῦναι, ὅπως ἂν μὴ ἐλαττῶνται. Καίτοι εἰ μὲν ἴδιον [ὂν] τῶν φυλῶν ἀφῃροῦ τὸ ὄρος, πῶς οὐκ ὀργῆς ἄξιος; εἰ δὲ μὴ προσηκόντως εἶχον αὐτό, ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί τὰς ἄλλας φυλὰς ἔγραφες αὐταῖς προσαποδιδόναι ἀργύριον; Ἀγαπητὸν γὰρ ἦν αὐταῖς εἰ τὰ τοῦ θεοῦ ἀποδώσουσιν καὶ μὴ προσαποτίσουσιν ἀργύριον.

18. Ταῦτ' ἐν τῷ δικαστηρίῳ ἐξεταζόμενα οὐκ ὀρθῶς ἐδόκει γεγράφθαι, ἀλλὰ κατεψηφίσαντό σου οἱ δικασταί. Εἶτ' εἰ μὲν ἀπέφυγες τὴν γραφήν, οὐκ ἂν κατεψεύσατο οὗτος τοῦ θεοῦ, ἐπειδὴ δὲ συνέβη σοι ἁλῶναι, Εὐξένιππον δεῖ ἀπολωλέναι· καὶ σοὶ μὲν τῷ

— § 13. τῇ ante πόλει inseruit Cobet. — § 17. πορίσαι] ποιῆσαι cod.; em. Cobet. Idem et Palakis ὂν inseruerunt ante vocem ἴδιον. — ὀργῆς ἄξιος;] ὀργ. ἄξιος εἶ; εἰ Schneidewinus; cacophoniæ vitandæ causa malim ὀργῆς σὺ ἄξιος; ὀργῆς ἄξιον conjecit Langius.

tuæ patronos ex Ægeide tribu postulasti, inter quos ego quoque a te selectus eram, aliosque e ceteris Atheniensibus in judicio auxiliaturos tibi advocasti. (12) Verum priora illa quid dicere attinet? Quomodo autem in præsenti certamine rem agis? Nonne quodcunque volueris in accusatione protulisti? nonne in accusando socium tibi adjunxisti Lycurgum, virum dicendi facultate nullo in hac urbe inferiorem et apud judices modestiæ et æquitatis laude clarum? (13) Itaque tibi quidem licet et reo auxiliarios arcessere et accusanti socios in suggestum adducere; quamvis non modo pro te ipse dicere possis, sed etiam toti civitati negotia facessere valeas: Euxenippo autem, a fori strepitu alieno et ætate jam provectiori, neque amicis neque familiaribus auxiliari licebit; sin minus, hos ipsos calumniis tuis in crimen traduces; nam quæ Euxenippus commisit gravissima esse capitisque pœnam mereri in accusatione tu crepas.

14. Jam igitur quæ res sit considerate, judices, singula quæque examinantes. Jussit populus Euxenippum cum aliis duobus in (Amphiarai) templo decubare. Hic dormiens ibi somnium se vidisse dicit, idque nuntiasse populo. Hoc si verum esse putabas et quod per somnum vidit id illum populo nuntiasse, quo demum pacto peccavit a deo jussa nuntians Atheniensibus? (15) Sin, ut nunc ais, illum putas deo mentitum esse, et gratificatum nonnullis falsa ad populum detulisse, non rogationem ferre adversus somnium debebas, sed, sicut etiam qui ante me verba fecit bene monuit, Delphos tibi mittendi erant qui ex deo verum sciscitarentur. Tu vero hoc quidem non fecisti, sed decretum quod statim ratum esset contra tribus duas scripsisti non modo injustissimum, sed ipsum sibi contrarium, et ob hoc illegitimæ rogationis actione condemnatus es, non vero ob Euxenippum.

16. Inquiramus porro hunc in modum. Quum colles agri Oropii inter binas tribus, concedente populo, sorte distribuerentur, collem de quo agitur Acamantis et Hippothoontis tribus nactæ sunt. Tu vero rogationem ad populum tulisti, ut hæ tribus collem istum Amphiarao redderent pretiumque quo vendidissent restituerent, quoniam jam ante sortitionem finitores quinquaginta numero collem exemissent deoque sacrum relinquendum esse designassent, adeo ut contra fas a duabus tribubus possideretur. (17) Paullo post in eodem scripto rogas ut reliquæ octo tribus duabus illis differentiam exæquarent et data pecunia damnum ab iis acceptum compensarent. Verum si proprium tribubus collem adimis, quomodo non succensendum tibi fuerit? sin haud juste collis ab iis possidetur sed dei est, cur tu rogasti ut ceteræ tribus insuper pecuniam iis solverent? Nam æqui bonique facere debebant si quæ dei essent restituentes nullam insuper mulctam penderent.

18. Hæc quum in judicio examinarentur, haud recte rogasse visus es ideoque judices te condemnarunt. Jam si absolutus fuisses, nihil hic deo mentitus foret; sed quoniam accidit ut causa caderes, Euxenippo pereundum est. Porro tu quidem ob male latam rogationem viginti quinque drachmis mulctatus es, hic autem qui populi jussu in templo decubavit, in Attica ne sepeliendus quidem esse

τοιοῦτο ψήφισμα γράψαντι πέντε καὶ εἴκοσι δραχμῶν ἐτιμήθη, τὸν δὲ καταχλιθέντα εἰς τὸ ἱερὸν τοῦ δήμου κελεύσαντος μηδ' ἐν τῇ Ἀττικῇ δεῖ ταφῆναι· δεινὰ γὰρ ἐποίησεν περὶ τὴν φιάλην ἐάσας Ὀλυμπιάδα ἀναθεῖναι εἰς τὸ ἄγαλμα τῆς Ὑγιείας· (19) τοῦτο γὰρ ὑπολαμβάνεις ἐφόδιον ἑαυτῷ εἰς τὸν ἀγῶνα τὸ ἐκείνης ὄνομα παραφέρων καὶ κολακείαν ψευδῆ κατηγορῶν Εὐξενίππου μῖσος καὶ ὀργὴν αὐτῷ συλλέξειν παρὰ τῶν δικαστῶν. (20) Δεῖ δέ, ὦ βέλτιστε, μὴ ἐπὶ τῷ Ὀλυμπιάδος ὀνόματι καὶ τῷ Ἀλεξάνδρου τῶν πολιτῶν τινα ζητεῖν κακόν τι ἐργάσασθαι, ἀλλ' ὅταν ἐκεῖνοι πρὸς τὸν δῆμον τὸν Ἀθηναίων ἐπιστέλλωσι μὴ τὰ δίκαια μηδὲ τὰ προσήκοντα, τότε ἀναστάντα ὑπὲρ τῆς πόλεως ἀντιλέγειν καὶ πρὸς τοὺς ἥκοντας παρ' αὐτῶν δικαιολογεῖσθαι καὶ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον πορεύεσθαι βοηθήσοντα τῇ πατρίδι. (21) Σὺ δ' ἐκεῖ μὲν οὐδεπώποτε ἀνέστης οὐδὲ λόγον περὶ αὐτῶν ἐποιήσω, ἐνθάδε δὲ μισεῖς Ὀλυμπιάδα ἐπὶ τῷ ἀπολέσαι Εὐξένιππον, καὶ φῂς κόλακα αὐτὸν εἶναι ἐκείνης καὶ Μακεδόνων· ὃν ἐὰν δείξῃς ἀφιγμένον πώποτε εἰς Μακεδονίαν ἢ ἐκείνων τινὰ ὑποδεξάμενον εἰς τὴν αὑτοῦ οἰκίαν ἢ χρώμενον τῶν ἐκεῖθέν τινι ἢ ἐντυγχάνοντα ἢ λόγους καὶ οὑστινασοῦν ἢ ἐπ' ἐργαστηρίου ἢ ἐν τῇ ἀγορᾷ ἢ ἄλλοθί που περὶ τούτων τῶν πραγμάτων εἰρηκότα καὶ μὴ κοσμίως καὶ μετρίως τὰ αὑτοῦ πράττοντα ὥσπερεί τις καὶ ἄλλος τῶν πολιτῶν, χρησάσθωσαν αὐτῷ οἱ δικασταὶ ὅτι βούλονται. (22) Εἰ γὰρ ταῦτα ἦν ἀληθῆ ἃ κατηγορεῖς, οὐκ ἂν σὺ μόνος ᾔδεις, ἀλλὰ καὶ οἱ ἄλλοι πάντες οἱ ἐν τῇ πόλει, ὥσπερ καὶ περὶ τῶν ἄλλων, ὅσοι τι ὑπὲρ ἐκείνων ἢ λέγουσιν ἢ πράττουσιν, οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴσασι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδασκαλείων καὶ τῶν ῥητόρων τοὺς παρ' ἐκείνων μισθαρνοῦντας καὶ τῶν ἄλλων τοὺς ξενίζοντας τοὺς ἐκεῖθεν ἥκοντας καὶ ὑποδεχομένους καὶ εἰς τὰς ὁδοὺς ὑπαντῶντας ὅταν προίωσι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἑνὶ τούτων Εὐξένιππον καταριθμούμενον. (23) Σὺ δ' ἐκείνων μὲν οὐδένα κρίνεις οὐδ' εἰς ἀγῶνα καθίστης οὓς πάντες ἴσασι ταῦτα πράττοντας, κατ' Εὐξενίππου δὲ κολακείαν [κ]ατηγορεῖς, οὗ ὁ βίος τὴν αἰτίαν οὐ παραδέχεται. Καίτοι, εἰ νοῦν εἶχες, περί γε τῆς φιάλης τῆς ἀνατεθείσης οὔτ' ἂν Εὐξένιππον ᾐτιῶ οὔτ' ἂν ἄλλον λόγον οὐδένα ἐνταῦθα ἐποιήσω· οὐ γὰρ ἁρμόττει. Διὰ τί; καί μου τὸν λόγον, ὦ ἄνδρες δικασταί, ἀκούσατε ὃν μέλλω λέγειν.

24. Ὑμῖν Ὀλυμπιὰς ἐγκλήματα πεποίηται περὶ τὰ ἐν Δωδώνῃ οὐ δίκαια, ὡς ἐγὼ δὶς ἤδη ἐν τῷ δήμῳ ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἀθηναίων πρὸς τοὺς ἥκοντας παρ' αὐτῆς ἐξήλεγξα οὐ προσήκοντα αὐτὴν ἐγκλήματα τῇ πόλει ἐγκαλοῦσαν· (25) ὑμῖν γὰρ ὁ Ζεὺς ὁ Δωδωναῖος προσέταξεν ἐν τῇ μαντείᾳ τὸ ἄγαλμα τῆς Διώνης ἐπικοσμῆσαι· καὶ ὑμεῖς πρόσωπόν τε κομισάμενοι ὡς οἷόν τε κάλλιστον καὶ τἄλλα πάντα τὰ ἀκόλουθα, καὶ κόσμον πολὺν καὶ πολυτελῆ τῇ θεῷ παρασκευάσαντες καὶ θεωρίαν καὶ θυσίαν πολλῶν χρημάτων ἀποστείλαντες ἐπεκοσμήσατε τὸ ἕδος τῆς Διώνης ἀξίως καὶ ὑμῶν αὐτῶν καὶ τῆς θεοῦ. (26) Ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα ἦλθε παρ' Ὀλυμπιάδος ἐν ταῖς ἐπιστολαῖς, ὡς ἡ χώρα εἴη (ἡ Μολοσσία) αὐτῆς, ἐν

§ 19. τοῦτο γὰρ] τούτῳ γὰρ? Schneidew. — § 22. προΐωσι] προσίωσι codex ; em. Patakis et Cobet.— § 23. τὴν αἰτίαν] ταύτην τὴν αἰτίαν Bake, τοιαύτην αἰτίαν Cobet conjecerunt. — § 24. κομισάμενοι] κοσμησάμενοι codex; em. Patakis; Dionæ simulacrum puta fuisse ἀκρόλιθον. Quemadmodum os deæ Athenienses renovarunt, sic etiam pedes et manus ; hæc sunt τὰ ἄλλα ἀκόλουθα, nisi mecum legere velis ἀκρόλιθα. — § 25. ἡ Μολοσσία] glossam esse patet. Mox προσηκεν codex ;

tibi videtur; adeo commisit gravissima, quippe qui Olympiadem siverit phialam dedicare in simulacro Sanitatis. (19) Scilicet egregium viaticum ad sustinendum hoc certamen tibi fore putas, si Olympiadis nomine præter rem prolato et falso assentationis crimine Euxenippum insimulans odium et iram judicum in caput ejus congerere possis. (20) Oportet vero, o bone, non in eo collocare operam ut Olympiadis nomine vel Alexandri civium aliquis malo afficiatur, sed, quando illi Atheniensium populo injusta et inconvenientia mandant, tum surgere oportet et pro civitatis salute iis contradicere et adversus legatos eorum jus tueri, et patriæ opitulandi gratia proficisci in commune Græcorum concilium. (21) At nunquam illic verba de his facturus tu surrexisti; ibi vero osorem Olympiadis agis ut Euxenippum perdas, eumque mulieris istius et Macedonum assentatorem dicis. Quem si ostenderis unquam in Macedoniam profectum esse vel illorum quempiam in domum suam excepisse vel inde advenientium aliquo usum vel cum eo congressum esse vel sermones quoscunque de his rebus habuisse sive in officina sive in foro sive alibi, nec modeste ac moderate eum, si quem alium civium, res suas curare : tunc faciant ei judices quodcunque libuerit. (22) Nimirum si vera essent quæ ei exprobras, non tu solus scires, sed reliqui etiam urbis incolæ, sicuti de ceteris qui pro Macedonibus vel dicunt vel agunt, non ipsi solum sed reliqui etiam Athenienses et in ludis rhetorumque scholis pueri norunt, si qui a Macedonibus mercedem accipiant vel advenientes hospitio excipiant, et obviam eant in publicum prodeuntibus. At nusquam in horum numero recenseri videbis Euxenippum. (23) Tu vero horum neminem reum agis, nec in judicium vocas quos ista facere nemo ignorat, sed Euxenippum assentationis crimine insimulas, cujus vita eam culpam non admittit. Ceterum, si sanus esses, de dedicata ista phiala neque Euxenippum incusasses, neque omnino ullum fecisses sermonem. Ineptum enim est. Qua de causa? Audite, judices, quæ jam dicturus sim.

24. Olympias vos de iis quæ Dodonæ fecistis, injuste accusavit, et ego quidem bis jam in concione coram vobis ceterisque Atheniensibus contra legatos ejus demonstravi eam præter rationem civitatem nostram criminari. (25) Vobis enim Juppiter Dodonæus oraculo jussit ut Dionæ simulacrum exornaretis. Itaque vos et faciem quam pulcerrimam afferentes et extremas statuæ partes reliquas, ac mundum copiosum pretiosumque deæ comparantes, et missa legatione sacra et magni pretii sacrificio signum Dionæ honorastis pro dignitate vestra ipsorum atque numinis. (26) Propter hæc nobis accusationes ab Olympiade venerunt, dictitante illa Molossiam, in qua situm fanum est, ad se pertinere; itaque nihil vobis ibi movendum

ᾗ τὸ ἱερόν ἐστιν· οὔκουν προσήκειν ὑμᾶς τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. Ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν φιάλην γεγονότα ἐν ἀδικήματι ψηφίσησθε εἶναι, τρόπον τινὰ καὶ ἡμῶν αὐτῶν καταγινώσκομεν ὡς τὰ ἐκεῖ οὐκ ὀρθῶς ἐπράξαμεν· ἐὰν δ' ἐπὶ τοῦ γεγενημένου ἐῶμεν, τὰς τραγῳδίας αὐτῆς καὶ τὰς κατηγορίας ἀφῃρηκότες ἐσόμεθα. Οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνησιν ἱερὰ ἐπικοσμεῖν ἔξεστιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνῃ οὐκ ἐξέσται, καὶ ταῦτα τοῦ θεοῦ προστάξαντος.

27. Ἀλλ' οὐκ ἔστιν, ὦ Πολύευκτε, ὡς ἐμοὶ δοκεῖ, ὅθεν κατηγορίαν οὐκ ἂν ποιήσαιο. Καίτοι σε ἐχρῆν, ἐπείπερ προῄρησαι πολιτεύεσθαι, καὶ νὴ Δία καὶ δύνασαι, μὴ τοὺς ἰδιώτας κρίνειν μηδ' εἰς τούτους νεανιεύεσθαι, ἀλλὰ τῶν ῥητόρων ἐάν τις ἀδικῇ, τοῦτον κρίνειν, στρατηγὸς ἐάν τις μὴ τὰ δίκαια πράττῃ, τοῦτον εἰσαγγέλλειν· παρὰ γὰρ τούτοις ἐστὶ καὶ τὸ δύνασθαι βλάπτειν τὴν πόλιν, ὅσοι ἂν αὐτῶν προαιρῶνται, οὐ παρ' Εὐξενίππῳ οὐδὲ τῶν δικαστῶν τούτων οὐδενί. (28) Καὶ οὐ σὲ μὲν οὕτως οἴομαι δεῖν πράττειν, αὐτὸς δὲ ἄλλον τινὰ τρόπον τῇ πολιτείᾳ κέχρημαι, ἀλλ' οὐδ' αὐτὸς ἰδιώτην οὐδένα πώποτε ἐν τῷ βίῳ ἔκρινα, ἤδη δέ τισι καθόσον ἐδυνάμην ἐβοήθησα. (29) Τίνας οὖν κέκρικα καὶ εἰς ἀγῶνα καθέστακα; Ἀριστοφῶντα τὸν Ἀζηνιέα, ὃς ἰσχυρότατος ἐν τῇ πολιτείᾳ γεγένηται· καὶ οὗτος ἐν τούτῳ τῷ δικαστηρίῳ παρὰ δύο ψήφους ἀπέφυγε· Διοπείθη τὸν Σφήττιον, ὃς δεινότατος δοκεῖ εἶναι τῶν ἐν τῇ πόλει· Φιλοκράτη τὸν Ἁγνούσιον, ὃς θρασύτατα καὶ ἀσελγέστατα τῇ πολιτείᾳ κέχρηται· (30) τοῦτο εἰσαγγείλας ἐγὼ ὑπὲρ ὧν Φιλίππῳ ὑπηρέτηκε κατὰ τῆς πόλεως εἷλον ἐν τῷ δικαστηρίῳ καὶ τὴν εἰσαγγελίαν ἔγραψα δικαίαν καὶ ὥσπερ ὁ νόμος κελεύει, « ῥήτορα ὄντα λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων, χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ· » (31) καὶ οὐδ' οὕτως ἀπέχρησέ μοι τὴν εἰσαγγελίαν δοῦναι, ἀλλ' ὑποκάτω παρέγραψα· « τάδ' εἶπεν οὐ τὰ ἄριστα τῷ δήμῳ χρήματα λαβών. » Εἶτα τὸ ψήφισμα αὐτοῦ ὑπέγραψα· καὶ πάλιν· « τάδε εἶπεν οὐ τὰ ἄριστα τῷ δήμῳ χρήματα λαβών· » καὶ τὸ ψήφισμα παρέγραφον· καὶ ἐστί μοι πεντάκις ἢ ἑξάκις τοῦτο γεγραμμένον. (32) Δίκαιον γὰρ ᾤμην δεῖν τὸν ἀγῶνα καὶ τὴν κρίσιν ποιῆσαι· σὺ δ' ἃ μὲν εἰπεῖν Εὐξένιππον φῂς οὐ τὰ ἄριστα τῷ δήμῳ οὐκ εἶχες γράψαι εἰς τὴν εἰσαγγελίαν, ἰδιώτην δ' ὄντα κρίνεις ἐν τῇ τοῦ ῥήτορος τάξει· (33) μικρὰ δὲ περὶ τῆς ἀντιγραφῆς εἰπὼν ἑτέρας αἰτίας καὶ διαβολὰς ἥκεις φέρων κατ' αὐτοῦ, λέγων ὡς Φιλοκλεῖ τὴν θυγατέρα ἐδίδου καὶ Δημοτίωνος δίαιταν ἔλαβεν καὶ ἄλλας τοιαύτας κατηγορίας, ἵν' ἐὰν μὲν ἀφέμενοι τῆς εἰσαγγελίας περὶ τῶν ἔξω τοῦ πράγματος κατηγορηθέντων ἀπολογῶνται, ἀπαντῶσιν αὐτοῖς οἱ δικασταί « τί ταῦθ' ἡμῖν λέγετε »; ἐὰν δὲ μηδένα λόγον περὶ αὐτῶν ποιῶνται, ὁ ἀγὼν αὐτοῖς χείρων γίνη-

em. Patakis et Cobet.— § 27. Ante vocem στρατηγὸς Cobeto inserere placuit voculam ἤ. — § 29. Aristophontem Ol. 111, 2 mortuum esse putat A. Schæfer in Philolog. vol. I, p. 214. — § 30. ὑπηρέτηκε] ὑπερέτει καὶ cod.; ὑπηρετήκει Schœmannus ap. Schneidewinum in Add.; perfectum plusquamperfecto substituit Schneidewinus. Diopithem e Demosthene novimus. Eum εἰσαγγελίας actione ab Hyperide in jus vocatum esse e nostro loco discimus. Quod Philocratem attinet, cf. Demosthenes de fals. leg. § 116 p. 376 : πρῴην εἰσήγελλεν Ὑπερείδης Φιλοκράτην. Æschines Ctesiph. § 79 : Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται. — § 33. Quinam Philocles intelligendus sit, parum liquet. Demotio autem haud dubie est ganeo ille de quo vide versus Timoclis in Fragm. comicorum, p. 616, 2 ed. Didot (vol. III, p. 597 Meinek.). Ceterum quonam sensu δίαιτα vox accipienda sit, certius dici vix possit. — § 34

esse. Quodsi igitur phialæ dedicationem crimini locum dare statuatis, quodammodo etiam nos ipsi condemnamus, ut qui illic haud recte egerimus; sin ea quæ Olympias fecit nihil curemus, etiam lamentationes mulieris et accusationes istas sustulerimus. Videlicet fieri nequit ut Olympiadi sacra Atheniensia ornare liceat, nobis autem ornare Dodonæa, etiamsi deus jusserit, non liceat.

27. Sed nihil est, opinor, unde tu, Polyeucte, accusationem non arripias. Attamen decebat te, qui publica negotia tractare et vis et sanequam etiam potes, non privatis diem dicere in eosque juvenilem petulantiam expromere, sed si quis ex oratoribus aliquid commiserit, hunc in jus vocare, vel si militum dux contra leges egerit, hunc apud populum denuntiare; ex his enim quicunque voluerint damno civitatem afficere possunt, non vero Euxenippus nec ullus horum judicum. (28) Neque tibi quidem sic agendum esse censeo, ipse vero aliam in civilibus negotiis rationem sequor; nam nunquam ego per totam vitam privatum aliquem reum feci, immo nonnullis quantum poteram opitulatus sum. (29) Quosnam igitur reos feci et in judicium adduxi? Aristophontem Azeniensem, virum tractandis negotiis publicis validissimum; isque ex hoc judicio duobus solummodo calculis salvus evasit; porro Diopithem Sphettium qui omnium maxime in hac urbe timendus videtur, denique Philocratem Hagnusium qui summa audacia et protervitate in rebus publicis grassatur; (30) hunc ego denuntians, quod Philippo contra nos operam præstaret, in judicio vici; ipsam vero delationem juste institui, ex legis formula scribens eum, *quum rhetor esset, non optima dicere Atheniensium populo, pecunia donisque ab adversariis populi corruptum*, (31) et ne sic quidem libellum accusatorium tradere satis habui, sed infra adscripsi : « *Quæ vero dixit populo non optima, pecunia corruptus, hæc sunt*; deinde rogationem ejus apposui, et mox rursus scripsi : *hæc dixit non optima populo, pecunia corruptus*, atque iterum rogationem apposui; et sic quinquies vel sexies a me scriptum est; (32) justum enim certamen et judicium instituendum esse putabam; tu vero quæ Euxenippum non optima populo dixisse ais, in delatione scribere non habebas, atque privatum hominem in jus vocas quasi orator esset publicus. (33) Deinde quæ in accusatorio libello notata erant paucis absolvens alias contra Euxenippum accusationes et calumnias profers, aiens eum Philocli filiam dedisse et Demotionis habitationem (?) cepisse, et ejusmodi alia crimina, eo scilicet consilio ut, si defensores, missa delatione, de accusationibus extra causam positis verba faciant, obstrepant judices : « Cur hæc nobis dicite ? » sin nullam earum rationem habeant, pejor etiam fiat conditio, quum accusationis capita non refutata

ται· τῶν γὰρ κατηγορηθέντων τὸ μὴ λαβὸν ἀπολογίαν ὑπὸ τῇ ὀργῇ τῶν δικαστῶν καταλείπεται· (34) καὶ τὸ πάντων δεινότατον τῶν ἐν τῷ λόγῳ λεγομένων ὑπὸ σοῦ, ὃ σὺ ᾤου λανθάνειν ὧν ἕνεκα λέγεις, οὐ λανθάνων ὁπότε παραφθέγγοιο ἐν τῷ λόγῳ πολλάκις, ὡς πλούσιός ἐστιν Εὐξένιππος· καὶ πάλιν διαλιπών, ὡς οὐκ ἐκ δικαίου πολλὴν οὐσίαν συνείλεκται· ἃ εἰς μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐστὶν εἴτε πολλὰ οὗτος κέκτηται εἴτε ὀλίγα, τοῦ δὲ λέγοντος κακοήθεια καὶ ὑπόληψις εἰς τοὺς δικαστὰς οὐ δικαία, ὡς ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν σχοίησαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματος, καὶ πότερ[ον] ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ οὔ. (35) Κακ[ῶς ἐ]μοὶ δοκεῖς εἰ[δέν]αι, ὦ Πολύευκτε, [καὶ σὺ] καὶ οἱ ταὐτὰ γι[νώσκοντες π]άντες, ὅτι οὐ[δεμία πόλις ἔ]στιν οὐδ[αμοῦ] ἐν ἐν τῇ οἰκουμένῃ οὔτε μόναρχος οὔτ' ἔθνος μεγαλοψυχότερον τοῦ δήμου τοῦ Ἀθηναίων, τοὺς δὲ συκοφαντουμένους τῶν πολιτῶν ὑπό τινων ἢ καθ' ἕνα ἢ ἄθρους οὐ προΐεται, ἀλλὰ βοηθεῖ. (36) Καὶ πρῶτον μὲν Τίσιδος τοῦ Ἀγρυλῆθεν ἀπογράψαντος τὴν Εὐθυκράτους οὐσίαν ὡς δημοσίαν οὖσαν, ἣ πλεόνων ἢ ἑξήκοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπισχνουμένου τὴν Φιλίππ[ου] καὶ Ναυσικλέους ἀ[π]ογράψειν καὶ λέγο[ντ]ος, ὡς ἐξ ἀναπογρ[άφ]ων μετάλλων π[επλ]ουτήκασι, τοσο[ῦτον οὗ]τοι ἀπέλιπον [πρ]οσέσθαι τινὰ τ[οιοῦτο]ν λόγον ἢ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥστε τὸν ἐγχειρήσαντα συκοφαντεῖν αὐτοὺς εὐθὺς ἠτίμωσαν, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταδόντες· (37) τοῦτο δ', εἰ βούλει, τὸ πρῴην ὑπὸ τῶν δικαστῶν πραχθὲν τοῦ ἐξελθόντος μηνὸς πῶς οὐ μεγάλου ἐπαίνου ἄξιόν ἐστι; φήναντος γὰρ Λυσάνδρου τὸ Ἐπικράτους μέταλλον τοῦ Παλληνέως ἐντὸς τῶν μ[έτ]ρων τετμημένον, ὃ ἠργάζετο μὲν ἤ[δ]η τρία ἔτη, μετεῖχον δ' αὐτοῦ οἱ πλουσ[ι]ώτατοι σχεδόν τι τῶ[ν] ἐν τῇ πόλει, ὁ δὲ Λ[ύσα]νδρος ὑπισχνεῖτ[ο τρι]ακόσια τάλαντα εἰσ[πράξει]ν τῇ πόλει· τ[οσαῦτα γ]ὰρ εἰληφέναι α[ὐτοὺς] ἐκ τοῦ μετάλλου· (38) ἀλλ' ὅμως οἱ δικασταὶ οὐ πρὸς τὰς τοῦ κατηγόρου ὑποσχέσεις ἀποβλέποντες, ἀλλὰ πρὸς τὸ δίκαιον ἔγνωσαν ἴδιον εἶναι τὸ μέταλλον, καὶ τῇ αὐτῇ ψήφῳ τάς τε οὐσίας αὐτῶν ἐν ἀσφαλείᾳ κατέστησαν καὶ τὴν ὑπόλοιπον ἐργασίαν τοῦ μετάλλου ἐβεβαίωσαν. Τοιγαροῦν αἱ καινοτομίαι [αἱ] πρότερον ἐκλελειμμέναι διὰ τὸν φόβον νῦν ἔνεργοι καὶ τῆς πόλεως αἱ πρόσοδοι αἱ ἐκεῖθεν πάλιν αὔξονται, ἃς ἐλυμήναντό τινε[ς] τῶν ῥητόρων ἐξ[απα]τήσαντες τὸν

et 35. Καὶ πότερον κτλ.] Schneidewinus ita scripsit : ... τοῦ πράγματος. Καὶ πότερον ἀδικεῖ ὑμᾶς [ὑπ]οκρινόμενος ἢ οὔ, κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε· ἀλλ' οἱ δίκαιοι ταῦτα γινώσκουσι πάντες, ἐπεὶ οὐδὲν μὲν ἔστιν οὐδαμοῦ κτλ. Idem vero in Addendis notavit hæc : « Locus intricatior necdum recte restitutus. In tabula hæc comparent : καιπο|τε...αδικειυμασοκριν .. ενοσηουκα|κ... μοιδοκεισει|δ...αιωπολυευκτε|....καιοιταυταγι|......αντεσοτιου|......στιν ου|δ.... εντηιοικου | Viam emendationis monstravit Schœmannus, cui sententia hæc fere postulare visa est : καὶ πότερος ἀδικεῖ ὑμῶν, ὁ [νῦν] κρινόμενος ἢ σύ, κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε· ἀλλὰ δίκαιον (vel ἦν δὲ δίκαιον) ταὐτὰ γινώσκειν σὲ τῷ δήμῳ (vel τῇ πόλει), οὐδὲν γὰρ ἔστιν κτλ. Nunc papyro identidem consulto hæc propono : Καὶ πότερος ἀδικεῖ ὑμᾶς, ὁ κρινόμενος ἢ σύ, κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε· ἀλλ' οἱ δίκαιοι ταὐτὰ γινώσκουσι πάντες, ὅτι σύ· οὐδὲν γὰρ ἔστιν οὐδαμοῦ κτλ Postea in Philolog. t. VIII, p. 351 monuit recte Kayserum et Cobetum agnovisse verba καὶ πότερον... ἢ οὔ cum antecedentibus jungenda esse, atque novum colon incipere a voce κακῶς. Et Kayserus quidem legendum proposuit : Κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε, καίτοι οἱ ταῦτα γινώσκοντες πλεῖστοι — ὅτι οὐδεμία πόλις ἐστὶν οὐδαμοῦ κτλ. Cobetus vero dedit, dubitans tamen : Κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε**, καίτοι ταὐτά γ' ἴσασι πάντες, ὅτι οὔτε δῆμός ἐστιν οὐδεὶς ἐν τῇ οἰκουμένῃ κτλ. Omnia hæc eatenus non satis sunt idonea, quod lacunam quæ est post vocem Πολύευκτε, non explent. Hoc certe præstant quæ ego tentavi. — 36. Φιλίππου] Dinarchus scripsit κατὰ Φιλίππου μεταλλικὸν λόγον. Eundem Philippum h. l. indicari probabilis sententia est Babingtonis. — § 37. Ἐπικράτους] « Ἐπικράτης Μενεστράτου Παλληνεύς exstat in titulo Attico circ. Olymp. 100 in Corp. Inscr. 158 vol. I, p. 255. Rem ipsam illustrat Babingto citato loco Demosthenis πρὸς Πανταίνετον § 36, p. 977 : Ἄν τι ἀδικῇ τις περὶ τὰ μέταλλα, εἰσὶ δίκαι. ἀλλὰ ταῦτα τί ἐστίν; ἂν τύφῃ τις, ἂν ὅπλα ἐπιφέρῃ, ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐντός. » *Schneidew.* Quæ enotavi ne quis pro ἐντός scribendum esse ἐκτός, ex nostro loquendi more, putet. Vide de his Bœckhium in comment. de argentifodinis atticis p. 132. — εἰσπράξειν] Schn.; εἰς πρόσοδον supplevit Babingto. — § 38 ἐκ[τημένους]. Sic in Addendis supplevit Schneide-

sub ira relinquantur judicum. (34) Omnium vero quæ in oratione tua dixisti ægerrime ferendum hoc est quod quo consilio dixeris latere putas, quum minime lateat, quando sæpius præter rem significas divitem esse Euxenippum, et, paucis interjectis, haud juste eum magnas opes collegisse; nihil hæc ad causam nostram pertinent, sive multa ille sive pauca possideat, sed produnt dicentis malignitatem et improbam de judicibus opinionem, quasi in aliud quam in ipsam rem animos intentos habere possint, utrum vos offenderit reus necne. (35) Male tu, Polyeucte, scire mihi videris, et tu et qui tibi similes sunt omnes, nusquam per orbem terrarum neque regem neque populum exstare magnanimitate cum Atheniense plebe comparandum, quippe quæ cives maligne vexatos, sive singulos sive multos simul, non prodit, sed auxilio suo tuetur. (36) Ac primum quidem, Tiside Agryleuse Euthycratis opes, sexaginta talentis majores, ut quæ publicæ essent, designante, et post has etiam substantiam Philippi et Nausiclis, quos e metallis in tabulas non relatis divitias collegisse aiebat, se designaturum esse pollicente, tantum abfuit ut tali ejus sermoni aures judices præberent, ut fraudulenter illos circumvenire aggressum, negata quinta suffragiorum parte, notarent infamia. (37) Porro illud, quæso, quod nudius tertius judices, exeunte mense, fecerunt, quo pacto non sit magna laude dignum! Etenim quum Lysander indicasset Epicratis Pallenensis metallum extra definitas mensuras secari, quod per triennium jam exercebatur, cujusque ditissimi fere cives participes erant, ac polliceretur trecenta talenta hinc se in fiscum redacturum, tot enim illos e metallo percepisse : (38) nihilominus judices, non in accusatoris pollicitationes sed in justum intenti, metallum illud privatorum esse statuerunt, eodemque suffragio et facultates eorum in tuto collocarunt et reliquum opus in metallo faciundum firmarunt. Itaque recentes secturæ prius ob metum derelictæ denuo nunc tractantur, et reditus urbi hinc provenientes augentur,

δῆμον καὶ δασμολ[ογή]σαντες τοὺς ἐκ[τημένους]· (39) ἔστι γάρ, ὦ ἄνδρ[ες δι]κασταί, οὐχ οὗτος [ἄρι]στος πολίτης, ὅ[στις] μικρὰ δοὺς πλείω βλάπτει τὰ κοινά, οὐδ' ὅστις εἰς τὸ παραχρῆμα ἐξ ἀδίκου πορίσας κατέλυσε τῆς πόλεως τὴν ἐκ δικαίου πρόσοδον, ἀλλ' ὅτῳ μέλει καὶ τῶν εἰς τὸν ἔπειτα χρόνον ὠφελίμων τῇ πόλει καὶ τῆς ὁμονοίας τῶν πολιτῶν καὶ τῆς δόξης τῆς ὑμετέρας· ὧν ἔνιοι οὐ φροντίζουσιν, ἀλλὰ τῶν ἐργαζομένων ἀφαιρούμενοι πόρους φασὶ τούτους πορίζειν, ἀπορίαν ἐν τῇ πόλει παρασκευάζοντες· ὅταν γὰρ ᾖ φοβερὸν τὸ κτᾶσθαι καὶ φείδεσθαι, τίς βουλήσεται κινδυνεύειν;

40. Τούτους μὲν οὖν ἴσως οὐ ῥᾴδιόν ἐστι κωλῦσαι ταῦτα πράττειν, ὑμεῖς δέ, ὦ ἄνδρες δικασταί, ὥσπερ καὶ ἄλλους πολλοὺς σεσώκατε τῶν πολιτῶν ἀδίκως εἰς ἀγῶνας καταστάντας, οὕτω καὶ Εὐξενίππῳ βοηθήσατε, καὶ μὴ περιίδητε αὐτὸν ἐπὶ πράγματι οὐδενὸς ἀξίῳ καὶ εἰσαγγελίᾳ τοιαύτῃ, ᾗ οὐ μόνον οὐκ ἔνοχός ἐστιν, ἀλλὰ καὶ αὐτὴ παρὰ τοὺς νόμους ἐστὶν εἰσηγγελμένη καὶ πρὸς τούτοις ὑπ' αὐτοῦ τοῦ κατηγόρου τρόπον τινὰ ἀπολελυμένη· (41) εἰσήγγελκε γὰρ αὐτὸν Πολύευκτος λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ τῷ Ἀθηναίων· εἰ μὲν οὖν ἔξωθεν τῆς πόλεως τινὰς ᾐτιᾶτο εἶναι, παρ' ὧν τὰ δῶρα εἰληφότα Εὐξένιππον συναγωνίζεσθαι αὐτοῖς, ἦν ἂν αὐτῷ εἰπεῖν, ὅτι ἐπειδὴ ἐκείνους οὐκ ἔστι τιμωρήσασθαι, δεῖ τοὺς ἐνθάδε αὐτοῖς ὑπηρετοῦντας δίκην δοῦναι· νῦν δὲ Ἀθηναίους φησὶν εἶναι, παρ' ὧν τὰς δωρεὰς εἰληφέναι αὐτόν. Εἶτα σὺ ἔχων ἐν τῇ πόλει τοὺς ὑπεναντία πράττοντας τῷ δήμῳ οὐ τιμωρῇ, ἀλλ' Εὐξενίππῳ πράγματα παρέχεις;

42. Βραχὺ δ' ἔτι εἰπὼν περὶ τῆς ψήφου ἧς ὑμεῖς μέλλετε φέρειν καταβήσομαι· ὅταν γὰρ μέλλητε, ὦ ἄνδρες δικασταί, διαψηφίζεσθαι, κελεύετε ὑμῖν τὸν γ[ρ]αμματέα ὑπαναγνῶναι τήν τε εἰσαγγελίαν καὶ τὸν νόμον τὸν εἰσαγγελτικὸν καὶ τὸν ὅρκον τὸν ἡλιαστικόν· (43) καὶ τοὺς μὲν λόγους ἁπάντων ἡμῶν ἀφέλετε, ἐκ δὲ τῆς εἰσαγγελίας καὶ τῶν νόμων σκεψάμενοι ὅ τι ἂν ὑμῖν δοκῇ δίκαιον καὶ εὔορκον εἶναι, τοῦτο ψηφίσασθε. Ἐγὼ μὲν οὖν σοί, Εὐξένιππε, βεβοήθηκα ὅσα εἶχον· λοιπὸν δ' ἐστὶ δεῖσθαι τῶν δικαστῶν καὶ τοὺς φίλους παρακαλεῖν καὶ τὰ παιδία ἀναβιβάζεσθαι.

ΥΠΕΡ ΕΥΞΕΝΙΠΠΟΥ
ΕΙΣΑΓΓΕΛΙΑΣ
ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ
ΠΟΛΥΕΥΚΤΟΝ.

winus, qui antea dederat ἐχ[οντας], a servatis in codice literis recedens. Sed vereor ne admittendum sit supplementum. Lacuna tot literarum vix capax est. Præterea quum. § 34 legatur κέκτηται, etiam hoc loco Hyperides dicturus fuisset κεκτημένους. Nescio an fuerit : τοὺς ἐκ[κρίτους]. Sic Isocrates dicit : τοὺς βελτίστους δασμολογεῖν. — § 41. ἐνθάδε αὐτοῖς] ενθαδε αυτους cod.; αὐτοῖς em. Bab.; fort. αὐτοῦ præstare putat Schneidewinus.

II. ΚΑΤ' ΑΘΗΝΟΓΕΝΟΥΣ

λόγοι β'.

« Obiter harum orationum, in quibus elegans narratiuncula aliqua fuisse videtur, meminit Longinus π. ὕψους 34, § 3 : Ὅταν δὲ ἐγγίζειν θέλῃ (Demosthenes) τῷ ἐπίχαρις εἶναι, τότε πλέον ἀφίσταται· τό γέ τοι περὶ Φρύνης ἢ Ἀθηνογένους λογίδιον ἐπιχειρήσας γράφειν ἔτι μᾶλλον ἂν Ὑπερίδην συνέστησεν. Collaudaverat antea Longinus Hyperidis facetum et venustum dicendi genus, ejus orationem commiseratione excellentem, et in fabulis molliter enarrandis virtutem. Demosthenem vero illarum artium expertem fuisse dixerat, hujusque rei do-

quos oratorum nonnulli, populum decipientes ac divites exactionibus vexantes, pessum dederunt. (39) Non is enim, judices, civis optimus est, qui pauca dans majori rempublicam damno afficiat, nec qui in præsens momentum ex injusto opes suppeditans justos urbis reditus tollat, sed is cui etiam quæ in posterum civitati prosint, et civium concordia et dignitas vestra curæ sint cordique. Quæ nonnulli nihili pendentes quo reditu opus exercentes spoliant, hunc se civitati comparare dictitant, quum inopiam potius ei afferant. Quando enim in comparando et parcendo formidandum est, quisnam velit periclitari?

40. Sed istos a moribus suis haud facile aliquis avertat; vos autem, judices, quemadmodum alios multos cives in judiciorum certamina injuste adductos servastis, sic Euxenippo quoque opem ferte neque negligite eum in causa tam indigna inque ista delatione, cui non obnoxius est, et quam tum contra leges accusator instituit tum ipse quodammodo divellit. (41) Nam Polyeuctus Euxenippum detulit, ut qui non optima diceret populo Atheniensium, pecunia donisque a plebis nostræ adversariis corruptus. Quodsi enim extra urbem versantes aliquos accusaret, quibus Euxenippus corrumpi se passus operam præstaret, dicere posset, quoniam illos puniendi non esset facultas, eos qui hic illis operam navassent, esse plectendos; jam vero Athenienses esse dicit a quibus dona acceperit. Itaque quum in ipsa hac urbe populi adversarios teneas, non tamen hos tu puniendos curas, sed Euxenippo negotia facessis?

42. Pauca adhuc de suffragio quod jam laturi estis locutus descendam. Quando enim, judices, in suffragia vobis eundum est, jubete a scriba recitari vobis tum delationem tum legem ad delationes pertinentem tum jusjurandum judiciale. (43) Quo facto, nullam orationum quæ a nobis omnibus dictæ sunt, rationem habentes, sed ex ipsa delatione atque e legibus spectantes quid justum et jurisjurandi religioni conveniens esse videatur, id calculis vestris decernite. Ego igitur tibi, Euxenippe, quantum in me erat, auxiliatus sum. Reliquum est ut, impetrata a judicibus venia, amicos advoces et liberos in suggestum ascendere jubeas.

cumento esse vult, quod Demosthenes, si caussas istas Hyperidias tractaturus fuisset, multo magis Hyperidis virtutes ostensurus fuisset. » Kiessling.

1.

Harpocratio : Κατὰ τὴν ἀγορὰν ἀψευδεῖν. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους α'· « Ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ. » Ἔοικεν ὁ νόμος περὶ τῶν ὠνίων κεῖσθαι· Θεόφραστος γοῦν ἐν τοῖς περὶ νόμων φησὶ δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς ἀγορανόμους, τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας ἀλλὰ καὶ τοὺς ὠνουμένους.

2.

Idem v. Βουλεύσεως· Ὑπερίδης δ' ἐν τῷ κατ' Ἀθηνογένους α' ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι. Cf. Isæi frg 58.

3.

Idem : Τὰ τῶν φωρῶν κρείττω· Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους β'. Παροιμία ἐστὶ λεγομένη κατὰ τῶν πλείω φερομένων ὧν ἠδίκησαν. Eadem Apostol. Prov. 18, 11.

4.

Idem : Ἀπρόσκλητον τὴν οὐ προσκεκλημένην Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους β'.

5.

Idem : Ὁμόσε ἰέναι. Ὑπερίδης ἐν τῷ κατ' Ἀθηνογένους φησίν· ἀλλὰ ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν, ἀντὶ τοῦ παραβαλέσθαι. Eadem in frg. Lex. Cantabrig. p. 674.

6.

Idem : Ποδοστράβη· Ὑπερίδης ἔν τε τῷ κατ' Ἀθηνογένους καὶ ἐν τῷ κατ' Αὐτοκλέους. Ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. Διείλεκται Ξενοφῶν περὶ τῆς κατασκευῆς αὐτῶν ἐν τῷ περὶ κυνηγετικῶν καὶ τῆς χρήσεως.

III. ΥΠΕΡ ΑΚΑΔΗΜΟΥ.

7.

Idem : Ἡφαιστία· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ἀκαδήμου (?) Ὅτι β' πόλεις ἦσαν τῆς Λήμνου, Μύρινά τε καὶ Ἡφαιστία, δηλοῖ καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν γ' Κτίσεων. Utriusque oppidi meminit Hyperides in or. c. Lycophronem.

III b. ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ.

7 a.

Photius Bibl. p. 491 a 22 Bekk. : Ὡσαύτως δὲ καὶ τὸν λόγον, ὃς ἐπιγράφεται περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, Ὑπερείδῃ μᾶλλον ἢ Δημοσθένει προσνέμουσιν, ὅτι περ πολλοῖς τε ἄλλοις ὁ Δημοσθένης πλεονεκτῶν τῶν λοιπῶν ῥητόρων καὶ τῇ τῶν ὀνομάτων ἐκλογῇ ἐπὶ τὸ ἄμεινον διενήνοχεν, ὁ δὲ νῦν λόγος ἔχει τι καὶ τῶν οὐ λογάδων φωνῶν, ὥσπερ τὸ νεόπλουτος καὶ τὸ βδελυρεύεσθαι καὶ ἕτερά τινα τοιαῦτα.

Libanius procem. ad Demosth. or. XVII : Ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ Ὑπερείδου χαρακτῆρι μᾶλλον προσχωρεῖ, τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας ἢ τὸν Δημοσθένη, οἷον νεόπλουτοι καὶ βδελυρεύεσθαι. Schol. in Dem. or. XVII, init. : Τινὲς Ὑπερείδου λέγουσιν εἶναι τὸν λόγον, καὶ οὐχὶ Δημοσθένους.

II. CONTRA ATHENOGENEM.

1.

Hyperides in priore contra Athenogenem oratione : « Lex igitur jubet in foro non mentiri. » Videtur lex de rebus venalibus lata esse. Theophrastus certe in libris de legibus dicit agoranomis duas has res curæ esse debere, ut et omnia decenter et ordine in foro fiant, et ut tam emptores quam venditores a mendacio abstineant.

2.

Hyperides in priore contra Athenogenem oratione βουλεύσεως vocem peculiariter usurpavit de insidiis quæ pecuniæ struuntur.

3.

« *Furum potior est causa* », Hyperides ait in posteriore contra Athenogenem oratione. Proverbium est de iis dici solitum qui ex injuriis suis commoda percipiunt non pro eo quod commeruerunt.

4.

Ἀπρόσκλητον actionem in eum institutam qui non per apparitores publicos est in jus vocatus, Hyperides dicit in posteriore oratione contra Athenogenem.

5.

Ὁμόσε ἰέναι pro παραβαλέσθαι Hyperides in or. contra Athenogenem dicit : « Sed obviam ire, i. e. occurrere, volo huic orationi. »

6.

ἐξετάσαι τὸ πρᾶγμα ἀφ' ὧν ἐν [τ]ῷ δήμῳ τὸ πρῶτον αὐτοὶ εὐθὺς ᾐτιάσαντο· ἐμοὶ γὰρ [οἱ] οἰκεῖοι ἀπέστειλαν γράψα[ντ]ες τήν τε εἰσα[γ]γελίαν καὶ τὰς αἰτίας ἃς ἐν τῇ ἐκκλησίᾳ ᾐτιάσαντό με, ὅτε τὴν εἰσαγγελί[αν] ἐδίδο[σα]ν· ἐν α[ἷς ἦ]ν γεγρα[μμ]ένον ὅτι Λυκο[ῦρ]γος λέγ[ει], φάσκω[ν ἐκ τῶ]ν [ο]ἰκ[είω]ν ἀκ[ηκοέ]ναι, ὡς ἐγὼ παρακολουθῶν, ὅτε Χάριππος ἐγάμει τὴν γυναῖκα, παρεκελευόμην αὐτῇ ὅπως μὴ πλησιάσῃ Χαρίππῳ, ἀλλὰ διαφυλάξει αὐτήν. (3) [Ἐ]γὼ [δ]ὲ ἃ καὶ πρὸς τοὺς ἐπιτηδείο[υς καὶ] πρὸς τοὺς ο[ἰκείους] τοὺς ἐμαυτ[οῦ τότε] ἥκων ἔλεγ[ον, κα]ὶ νῦν πρὸς ὑμ[ᾶς ἐ]ρῶ, ὅτι, εἰ ἐστὶν [ταῦτ]α ἀληθῆ, ὁμολ[ογ]ῶ καὶ τἄλλα πάν[τα πε]ποιηκέναι τὰ [ἐν τῇ] εἰσαγγελίᾳ γ[εγραμ]μένα· ὅτι δὲ [ταῦτ' οὐκ] ἔστιν, ῥᾴδιον [νομίζω] εἶναι ἅπασι [δηλῶσαι]. (4) Τίς γὰρ οὕτως [ἐστὶ] τῶν ἐν τῇ π[όλει] ἀλόγιστος ὅσ[τις ἂν] πιστεύσαι το[ιούτοις] λόγοις; Ἀνάγ[κη γάρ,] ὦ ἄνδρες δικ[ασταί], πρῶτον μὲν ὀρεωκόμον καὶ π[ρ]οηγητὴν ἀκολουθε[ῖν] τῷ ζεύγει, ὃ ἦγεν τὴν γυναῖκα, ἔπ[ε]ιτα δὲ παῖδας τοὺς προπέμποντας αὐτὴν ἀκολουθεῖν καὶ Διώξιππον· καὶ γὰρ οὗτος ἠκολούθει διὰ τὸ χήραν ἐκδίδοσθαι αὐτήν· εἶτ' ἐγὼ εἰς τοῦτο ἀπονοίας ἦλθον, ὥστε ἄλλων τε τοσούτων ἀνθρώπων συνακολουθούντων καὶ Διωξίππου καὶ Εὐφραίου τοῦ προσγυμναστοῦ αὐτοῦ, οἳ τῶν Ἑλλήνων ὁμολογουμένως ἰσχυρότατοί εἰσιν, οὐκ ᾐσχυνόμην το[ιο]ύτους λόγους λέγων περὶ γυναικὸς ἐλευθέρας πάντων ἀκουόντων, [οὐδ'] ἐδεδίειν μὴ πα[ραχρ]ῆμα ἀπόλωμαι [ἀπαγ]χόμενος; (5) Τίς [γὰρ] ἂν ἠνέσχετο [τοι]αῦτα περὶ τῆς αὑτοῦ ἀδελφ[ῆς ἀκού]ων οἷά με ο[ὗτοι αἰτι]ῶνται εἰρηκ[έναι καὶ οὐ]κ ἂν ἀπέ[κτεινε τὸν] λέγοντα; [Τὸ δὲ κεφ]άλαιον, ἀπ[ὸ τῶν αἰσχρῶν] καὶ μιαρῶ[ν τούτων ὧ]ν εἶπον εἰς [τοῦτο [ἀναισθησίας ὁ Χ[άριππ]ος, ὡς ἔοικεν, [ἦλθε]ν, ὥστε πρότ[ερον] μέν, ὥς φασίν, [τῆς γυν]αικὸς προλεγο[ύσης] ὅτι συνομωμο[κυῖα εἴ]η πρὸς ἐμέ, πά[λιν δ]ὲ ἀκούων ἐμο[ῦ παρα]κελευομένο[υ αὐτῇ], ὅπως ἐμμ[ένῃ ἐν] τοῖς ὅρκοις οἷ[ς ὤμο]σεν, ἐλάμβανεν γυναῖκα. Καὶ ταῦ[τα δο]κεῖ ἂν ὑμῖν Ἡρ[ακλῆς] ἐκεῖνος ὁ μαιν[ό]μενος ποιῆσαι [ἢ] Μαργίτης ὁ πάντ[ων] ἀβελτερώτατος;

6. [Ἀλ]λ' οἶμαι, ὦ ἄνδρε[ς δι]κασταί, πολλὰ πλεονεκτοῦσιν ἐν τοῖς ἀγῶσιν οἱ κατήγοροι τῶν φευγόντων· οἱ μὲν γὰρ διὰ τὸ ἀκίνδυνον αὐτοῖς εἶναι τὸν ἀγῶνα ῥᾳδίως ὅτι ἂν βούλωνται λέγουσι καὶ καταψεύδονται, οἱ δὲ κρινόμενοι διὰ τὸν φόβον πολλὰ καὶ τῶν πεπραγμένων αὐτοῖς εἰπεῖν ἐπιλανθάνονται· ἔπειτα οἱ μὲν ἐπειδὰν πρότεροι λόγον λάβωσιν, οὐ μόνον ἃ ἔχουσιν αὐτοὶ δίκαια περὶ τοῦ πράγματος λέγουσιν, ἀλλὰ συσκευάσαντες λοιδορίας ψευδεῖς κατὰ τῶν κρινομένων ἐξιστᾶσιν τῆς ἀπολογίας, ὥστε συμβαίνειν αὐτοῖς δυοῖν τὸ ἕτερον ἢ περὶ τῶν ἔξωθεν διαβολῶν ἀπο[λογου]μένοις τῆς [περὶ τοῦ] πράγματος ἀ[πολογία]ς ἀπολελ[είφθαι, ἢ εἰ] μὴ μέμνη[νται περὶ] τῶν προκ[ατηγορηθ]έντων, ο[ἴημα] καταλείπε[ιν παρ]ὰ τοῖς δικαστ[αῖς ὅτι] ἀληθῆ ἐστὶν τ[ὰ εἰρ]ημένα· (7) πρὸς δ[ὲ τού]τοις τούς τε μέ[λλοντα]ς βοηθεῖν π[ρὸς το]υτουσὶ προδιαβ[άλλ]ουσι καὶ αὐτοῦ τοῦ [κριν]ομένου τὴν [ἀπολ]ογίαν διαστρ[έφουσιν·] οἷον καὶ α[ὐτὸς]οὑτοσὶ ἐνεχει ... ... υ ἐν τῇ κα[τηγορίᾳ] ... ... δ' ἀπολ ... ... σι τῶν α ... ... τῶν ὑπε ... ... συναπολ ... ... νων δι ... ... μὴ ἀπο ... ... Πότερ' οὖ[ν αἰσχρόν ἐ]στι τοῖς κρινομένοις τοὺς οἰκείους καὶ τοὺς φίλους βοηθεῖν ἢ ἐστίν τι τῶν ἐν τῇ πό-

---

nare quæ præcipua illis accusandi causa exstitit. Familiares literis me certiorem reddiderunt tum de delatione tum de criminibus quibus in delatione me criminarentur. Scriptum in iis erat Lycurgum contendere id quod e familiaribus se audiisse diceret, me scilicet, quum uxor a Charippo in pompa nuptiali duceretur, ad latus ejus euntem exhortatum esse mulierem ne rem cum Charippo haberet sed se servaret integram. (3) Ego autem, quod post reditum ad necessarios et amicos dicebam, etiam nunc ad vos dico; nimirum, si hæc vera sunt, non negabo cetera quoque in denuntiatione scripta me commisisse. At non ita rem habere facile omnibus demonstrari posse censeo. (4) Quis enim in hac urbe adeo absurdus est ut ejusmodi sermonibus fidem habeat? Nam necessarium erat, judices, ut primum mulio et pompæ dux pone bigas, quibus vehebatur mulier, incederent, deinde vero sequerentur deducentes eam pueri atque Dioxippus; nam hic quoque (sc. frater mulieris) comitabatur, quod viduam illam in matrimonium collocasset. Jam eo dementiæ ego processissem, ut tot hominibus comitantibus inter eosque Dioxippo (pancratiasta) ejusque in luctæ exercitiis socio Euphræo, viris inter Græcos communi omnium consensu robustissimis, non revererer talia de muliere ingenua facere verba, omnibus audientibus, nec metuerem ne strangulatus illico perirem? (5) Quis enim talia de sorore audire sustinuisset qualia hi dixisse me criminantur, nec interfecisset dicentem? Sed, quod maximum est, post dicta ista turpia et impura eo vecordiæ, ut videtur, Charippus devenit, ut, quamvis ante nuptias ipsa mulier, ut fertur, juramento se mihi obstrictam esse dixisset, deinde vero Charippus adhortantem me audiisset ut illa juratam mihi fidem servaret, nihilominus eam uxorem duceret. An hoc vobis videtur facturus fuisse Hercules insaniens aut Margites omnium ille stultissimus?

6. Ceterum existimo, judices, in his certaminibus multo meliorem accusantium conditionem esse quam reorum. Nam illi certamen periculo vacuum habentes facile quidquid voluerint et dicunt et mentiuntur, rei autem præ metu multa etiam eorum quæ antea meditati erant, obliviscuntur. Deinde illi, quum priores verba faciant, non solum quæ justa de re dicere habent proferunt, sed ementitas contumelias contra reos colligentes e defensione eos ejiciunt, adeo ut de duobus alterum accidat; aut enim, dum refellendis quæ ad caput accusationis nihil pertinent calumniis immorantur, ab ipsius criminis defensione excluduntur; aut, si adsciticias istas accusationes silentio prætereant, opinionem apud judices relinquunt recte eas prolatas esse. (7) Præterea et eos qui operam reis præstare volunt, antequam huc ascenderint, calumniis traducunt, et ipsius rei defensionem pervertunt. Quale ipse etiam *Lycurgus contra me moliebatur, quippe qui in accusatione dixit neque meam criminum defensionem audiendam esse, neque eorum qui in defensione mihi auxiliaturi essent, sermones admitti debere.* Utrum

λει τούτου δημοτικώτερον, τοῦ τοὺς δυναμένους εἰπεῖν τοῖς ἀδυνάτοις τῶν πολιτῶν κινδυνεύουσι βοηθεῖν; (8) Σὺ δὲ οὐ μόνον περὶ τῶν συνηγόρων τοὺς λόγους πεποίησαι, ἀλλὰ καὶ τὴν ἀπολογίαν τὴν ἐμὴν διατάττεις καὶ παραγγέλλεις τοῖς δικασταῖς περὶ ὧν δεῖ αὐτοὺς (ἀκούειν) κελεύειν με ἀπολογεῖσθαι, καὶ περὶ ὧν μὴ ἐᾶν λέγειν· καὶ τοῦτο πῶς καλῶς ἔχει, σὲ μὲν ὅπως ἠβούλου τὴν κατηγορίαν ποιήσασθαι, προειδότα δὲ ἃ ἔχω ἐγὼ δίκαια λέγειν πρὸς τὰ παρὰ σοῦ ἐψευσμένα ὑφαιρεῖσθαί μου τὴν ἀπολογίαν; (9) Καὶ ἐμὲ μὲν αἰτιᾷ ἐν τῇ εἰσαγγελίᾳ καταλύειν τὸν δῆμον παραβαίν[ον[τα] τοὺς νόμους, αὐ[τὸς] δ' ὑπερπηδήσ[ας π]άντας τοὺς ν[όμο]υς εἰσαγγελία[ν δέδ]ωκας ὑπὲρ ὧν [γρα]φαὶ πρὸς τοὺς θεσ[μο]θέτας ἐκ τῶν νό[μων] εἰσίν, ἵνα πρ[ῶτον] μὲν ἀκίνδ[υνος εἰσ[ίῃς εἰς τὸ[ν ἀγῶνα[, ἔπε[ι]τα ἐξ [...... τραγ]ῳδίας γρ[......... τὴ]ν εἰσαγγελ[ίαν ......] περ νῦν γέγρ[αφας, ἐν ᾗ] αἰτιᾷ ὅτι τ[αύτην τὴν γ]υνα[ῖκα] .... ἄγαμ[ον ἔνδον κα]ταγηρ[άσκειν] ...... ας δε .... ς οὐ προσήκει παρὰ τοὺς νόμους. Οὐκουν ἄλλην μὲν οὐδεμίαν τῶν ἐν τῇ πόλει γυναῖκα ἔχεις εἰπεῖν, ᾗτινι ἐγὼ τούτων αἴτιος εἰμί, περὶ ἧς δὲ νῦν τὴν κατηγορίαν πεποίησαι, πότερα ᾤου προσήκειν συνοικεῖν ἐκδεδομένην Χαρίππῳ, ἑνὶ τῶν πολιτῶν, ἢ ἀνέκδοτον ἔνδον καταγηράσκειν, ἢ εὐθὺς ἐξεδόθη τάλαντον ἀργυρίου προσθέντος αὐτῇ Εὐφήμου, δῆλον ὅτι οὐ διὰ πονηρίαν, ἀλλὰ δι' ἐπιείκειαν;

10. Τούτῳ μὲν οὖν ἔξεστιν, ὦ ἄνδρες δικασταί, καὶ λέγειν ὅτι ἂν βούληται καὶ καταψεύδεσθαι, ὑμᾶς δ' οἶμαι δεῖν οὐκ ἐκ τῶν τοῦ κατηγόρου διαβολῶν περὶ ἐμοῦ δικάζειν, ἀλλ' ἐξ ἅπαντος τοῦ βίου ὃν βεβίωκα ἐξετάσαντας· λαθεῖν γὰρ τὸ πλῆθος τὸ ὑμέτερον οὐχ ἕνι οὔτε πονηρὸν ὄντα οὐδένα τῶν ἐν τῇ πόλει οὔτε ἐπιεικῆ, ἀλλ' ὁ παρεληλυθὼς χρόνος μάρτυς ἐστὶν ἑκάστῳ τοῦ τρόπου ἀκριβέστατος ἄλλως τε δὴ καὶ περὶ τούτων [τ]ῶν αἰτιῶν οἷα αὕτη [ἐστ]ίν· (11) ὅσα μὲν γὰρ [τῶ]ν ἀδικημάτων [ἐν] ἁπάσῃ τῇ ἡλικίᾳ [τ]οῦ ἀνθρώπου [ἐνδέ]χεται ἀδικη[θῆναι, ταῦ]τα μὲν δεῖ [κρίνειν] ἀπ' αὐτοῦ τοῦ [ἀδική]ματος οὗ ἂν [ἀδικῇ τις· μο]ιχεύειν [δ' οὐκ ἐνδέ]χεται ἀπὸ [πεντήκο]ντα ἐτῶν [ἀρξάμενον], ἀλλ' ἢ πά[λαι τις μοιχ]ὸς ἐστίν, ὃ δειξάτωσαν οὗτοι, ἢ ψευδῆ τὴν αἰτίαν εἰκὸς εἶναι. (12) Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, μεθ' ὑμῶν διατρίβων ἐν τῇ πόλει τὸν ἅπαντα χρόνον οὔτε αἰτίαν πονηρὰν οὐδεμίαν πώποτ' ἔλαβον οὔτ' ἔγκλημά μοι πρὸς οὐδένα τῶν πολιτῶν γέγονεν, οὐδὲ πέφευγα δίκην οὐδεμίαν οὐδ' ἕτερον δεδίωχα, ἱπποτροφῶν δὲ διατετέλεκα φιλοτ[ί]μως τὸν ἅπαντα χρόνον παρὰ δύναμιν καὶ ὑπὲρ τὴν οὐσίαν τὴν ἐμαυτοῦ· ἐστεφάνωμαι δ' ὑπό τε τῶν ἱππέων πάντων ἀνδραγαθίας ἕνεκα καὶ ὑπὸ τῶν συναρχόντων· (13) ὑμεῖς γάρ με, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν φύλαρχον ἐχειροτονήσατε, ἔπειτα εἰς Λῆμνον ἵππαρχον, καὶ ἦρξα μὲν αὐτόθι δύ' ἔτη τῶν πώποθ' ἱππαρχηκότων μόνος, προσκατέμεινα δὲ αὐτόθι τὸν τρίτον ἐνιαυτὸν οὐ βουλόμενος πολίτας ἄνδρας ἐπὶ κεφαλὴν εἰσπράττειν τὸν μισθὸν τοῖς ἱππεῦσιν ἀπόρως διακειμένους· καὶ ἐν τούτῳ μοι τῷ χρόνῳ ἔγκλημα μὲν οὐδεὶς τῶν ἐκεῖ ἐνεκάλεσεν οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ, στεφάνοις δὲ τρισὶν ἐστεφανώθην ὑπὸ τοῦ δ[ήμ]ου τοῦ ἐν Ἡφαισ[τί]ᾳ καὶ ἑτέροις ὑ[πὸ] τοῦ ἐν Μυρίνῃ, ἃ [δ]ὴ τεκμήρια ὑμῖν

igitur turpe est auxiliari reis familiares et amicos, an inter urbis instituta magis aliquid populare est quam eloquentia valentes civibus dicendi imperitis in judiciorum periculis opitulari? (8) Tu vero non solum de patronis causæ verba fecisti, sed meam etiam defensionem disponis, præscribens judicibus de quibusnam illi defensionem me instituere jubere et de quibusnam me dicere non permittere debeant. At quo pacto pulcre habet te non modo pro lubitu accusationem adornare, sed præscientem quæ ego justa habeam commentis tuis opponenda, mihi etiam defensionem surripere? (9) Porro me in denuntiatione tua causaris evertere populum quod contra leges egerim, tu vero omnes leges transiluisti eo quod delatione contra me usus es de rebus quarum actiones ex legum præscripto ad thesmothetas pertinent; idque eo consilio fecisti ut sine periculo certamen inires, deinde vero ut liceret tibi tragœdias scribere talem scribendo delationis actionem qualem nunc scripsisti, in qua me incusas quod hanc mulierem *voluissem* innuptam intus senescere .... non decet contra leges. Jam tu aliam quidem in hac urbe mulierem, cui ego talium auctor fuerim, dicere habes nullam; de qua autem nunc accusationem instituisti, num credebas eam debere elocatam Charippo, civi nostro, cohabitare, an non elocatam intus senescere, quæ statim elocata est, quum argenti talentum ei pro dote dedisset Euphemus, non pravo scilicet aliquo consilio ductus, sed probitate?

10. Huic igitur licet, judices, et dicere quidquid voluerit et mentiri; vos autem, opinor, decet non ex accusatoris calumniis de me judicare sed totam quam hucusque exegi vitam examinantes. Fieri enim nequit ut ullus civis probus aut improbus multitudinem vestram lateat, sed præteritum tempus unicuique morum suorum testis est certissimus, præsertim si de ejusmodi crimine agitur quale mihi nunc attribuitur. (11) Nam quæ in quavis hominis ætate crimina committi possunt, in his ab ipso delicto quod aliquis deliquisse dicitur, judicium repeti debet; mœchari autem nemo quinquagesimo demum vitæ anno incipit, sed aut jam olim mœchus erat (quod hi demonstranto), aut falso cum incusari consentaneum est. (12) Jam vero ego, judices, per totum tempus quo vobiscum in urbe egi, nullius unquam criminis actionem neque subii neque contra civium quempiam institui, neque reus unquam neque accusator fui, sed per omne illud tempus unice equis alendis summo studio operam dedi ultra quam rei familiaris copia permitteret, atque corona, utpote vir bonus, ab equitibus universis meisque in magistratu gerendo collegis honoratus sum. (13) Vos enim, judices, suffragiis vestris primo phylarchum me constituistis, deinde hipparchum in Lemnum insulam misistis, ubi ex omnibus qui unquam hipparchi fuerunt, solus ego per biennium munere hoc functus sum, atque tertiam insuper in insula annum remansi, quum nollem præcipitanter mercedem equitibus debitam a civibus exigi qui tunc laborabant inopia. Et per illud tempus nemo ibi crimini aliquid mihi dedit neque privatim neque publice, sed tribus coro-

ἐ[στὶ]ν εἰς τοῦτον τὸν ἀγῶνα, ὡς ψευδεῖς κατ' ἐμοῦ αἱ αἰτίαι εἰσίν· οὐ γὰρ οἷόν τε τὸν Ἀθήνησι πονηρὸν ἐν Λήμνῳ χρηστὸν εἶναι, οὐδ' ὑμεῖς ὡς τοιοῦτον ὄντα με ἀπεστέλλετε ἐκεῖσε παρακατατιθέμενοι δύο πόλεις τῶν ὑμετέρων αὐτῶν.

14. Ὅσα μὲν οὖν ἐγὼ εἶχον, ὦ ἄνδρες δικασταί, ὑπὲρ ἐμαυτοῦ εἰπεῖν, σχεδὸν ἀκηκόατε· ἐπ[ει]δὴ δὲ ὁ κατήγορ[ο]ς οὐκ ἀπείρως ἔχων τοῦ λέγειν, εἰωθὼς δὲ πολλάκις ἀγωνίζεσθαι, ἐκάλει συνηγόρους τοὺς συναπολοῦντάς τινα τῶν πολιτῶν ἀδίκως, δέομαι ὑμῶν καὶ ἐγὼ καὶ ἀντιβολῶ κελεῦσαι κἀμὲ καλέσαι τοὺς συνεροῦντας ἐμοὶ ὑπὲρ τηλικούτου ἀγῶνος καὶ ἀκοῦσαι εὐνοϊκῶς, εἴ τίς μοι ἔχει τῶν οἰκείων ἢ τῶν φίλων βοηθῆσαι πολίτῃ μὲν ὄντι ὑμετέρῳ ἰδιώτῃ δὲ καὶ οὐκ εἰωθότι λέγειν, ἀγωνιζομένῳ δὲ καὶ κινδυνεύοντι οὐ μόνον περὶ θανάτου, ἐλάχιστον γὰρ τοῦτό ἐστιν τοῖς ὀρθῶς λογιζομένοις, ἀλλ' ὑπὲρ τοῦ ἐξορισθῆναι καὶ ἀποθανόντα μηδὲ ἐν τῇ πατρίδι ταφῆναι. Ἐὰν οὖν κελεύητε, ὦ ἄνδρες δικασταί, καλῶ τινὰ βοηθήσοντα. Ἀνάβηθί μοι, Θεόφιλε, καὶ σύνειπε ὅ τι ἔχεις· κελεύουσιν οἱ δικασταί.

155. § 1. Ἀρίστωνος] « Hoc tantum colligi potest Aristonem quendam et Theomnestum ita pepigisse inter se, ut alter malis artibus pecuniam extorqueret de hominibus, quos ille metu delationum terreret; alter servos coemeret illa pecunia, quos ita mercenarios locabat, ut ad architectum fraudis aliquid turpis mercedulæ rediret. » *Schneidewin.* — Ἀρχεστρατίδης] debemus Babingtoni. Hyperidis contra Archestratidam orationem exstitisse vidimus supra. — Θεομνήστῳ] sic Schneidew.; Θεοκτίστῳ Babington. — ἐπισιτισμὸν παρέχειν Theomnestus dici videtur non servis a se emtis, sed ei qui corrogabat pecuniam, Aristoni. Nempe prædones tum ita videntur tenuisse, ut ἐπισιτισμὸν in dies acciperent ab iis quorum in servitutem homines a se captos tradidissent. Ita Theomnestus, si quid video, Aristoni quotidie præbebat obolum in singulos servos, ut οἱ ἀνδραποδισταὶ τοῖς λῃσταῖς ἐπισιτισμόν. *Schneidew.* — § 2 Πλησιάσει scripsit Schn. — § 5. μιαρῶν] Schn,; μικρω codex; τὸ δὲ κεφάλαιον, ἃ περὶ τούτων καὶ μικρῷ πρότερον εἶπον· εἰς τοῦτο... γυναῖκα; conj. Kayserus. V. Philolog. tom. VIII, p. 353. — § 6. πρότεροι] Patakis; πρότερον codex.

XXXIV. ΠΡΟΣ ΛΥΣΙΔΗΜΟΝ.

156.

Pollux VII, 149 : Αὐτὸ δὲ τὸ καρποῦσθαι καὶ καρπίσασθαι Ὑπερίδης ἐν τῷ πρὸς Λυσίδημον.

XXXV. ΚΑΤΑ ΜΑΝΤΙΘΕΟΥ ΑΙΚΙΑΣ.

157.

Athenæus VI, p. 266, F : Ἀθηναῖοι δὲ καὶ τῆς τῶν δούλων προνοοῦντες τύχης ἐνομοθέτησαν καὶ ὑπὲρ δούλων γραφὰς ὕβρεως εἶναι. Ὑπερείδης γοῦν ὁ ῥήτωρ ἐν τῷ κατὰ Μαντιθέου αἰκίας φησίν· « Ἔθεσαν οὐ μόνον ὑπὲρ τῶν ἐλευθέρων, ἀλλὰ καὶ ἐάν τις εἰς δούλου σῶμα ὑβρίσῃ, γραφὰς εἶναι κατὰ τοῦ ὑβρίσαντος. » Cf. Lycurgi frg. 72.

158.

Idem XIII, p. 586, B : Ὁ δ' αὐτὸς Ὑπερείδης ἐν τῷ κατὰ Μαντιθέου αἰκίας περὶ Γλυκέρας τάδε λέγει· « ἄγων Γλυκέραν τε τὴν Θαλασσίδος, ζεῦγος ἔχων. » Ἄδηλον εἰ αὕτη ἐστὶν ἡ Ἁρπάλῳ συνοῦσα.

159.

Harpocratio : Ἀκμάζεις ἀντὶ τοῦ τὰ τῶν νέων πράττεις Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου, Λυσίας ἐν τῷ πρὸς Νίκαρχον τὸν αὐλητήν, εἰ γνήσιος. Cf. Bekker. Anecd. p. 365, 9.

---

nis me honorarunt Hephæstiæ incolæ aliisque Myrinæi. Quæ quidem in hoc certamine argumento vobis sunt falsas contra me accusationes proferri; nam fieri nequit Athenis pravum in Lemno probum esse, nec me talem esse censentes illuc legavistis duasque urbium vestrarum mihi commisistis.

14. Jam quæ ego, judices, pro me dicenda habebam, ea fere audivistis. Quoniam autem accusator, vir dicendi non imperitus, sed in judiciis contendere solitus, ad perdendum me civem vestrum, socios sibi arcessivit, ego quoque vos precor et obtestor ut me quoque advocare in tanto certamine pro me verba facturos jubeatis, ac benevole audiatis si quis necessariorum vel amicorum mihi auxiliari possit, qui civis sane vester sum, sed a fori usu alienus, in hoc autem certamine periclitans non solum capitis damnari (id enim minimum est viris cordatis), sed exilio plecti, et mortuum ne sepeliri quidem in patria. Quodsi igitur jubeatis, judices, advoco auxiliaturum. — Huc mihi adscende, Theophile, et dic quæ pro me dicenda habes; nam jubent judices.

XXXIV. ADVERSUS LYSIDEMUM.

156.

Καρπίσασθαι pro καρποῦσθαι dixit Hyperides in or. adversus Lysidemum.

XXXV. CONTRA MANTITHEUM, DE VERBERIBUS.

157.

Athenienses, servilis etiam sortis rationem habentes, legem sciverunt, ut etiam de injuria quæ servis esset illata, daretur actio. Itaque Hyperides orator in orat. contra Mantitheum injuriarum, ait : « Lege sanxerunt, ut non modo pro liberis hominibus, verum etiam si quis in servi corpus injuriam aut contumeliam admisisset, actio daretur contra eum qui injuriam fecisset. »

158.

Idem Hyperides in orat. contra Mantitheum injuriarum reum, de Glycera hæc dicit : « Glyceram Thalassidis filiam secum curru vehens. » Haud liquet an hæc ea sit quæ cum Harpalo consuetudinem habuit.

159.

Ἀκμάζεις, Flores ætate, i. e. Juvenilia facis. Hyperides

160.

Idem : Ποσειδεών· Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου. Ὁ ϛ′ μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται.

161.

Idem : Σκευοποιοῦντα τὸ πρᾶγμα· Ὑπερίδης ἐν τῷ κατὰ Μαντιθέου ἀντὶ τοῦ σκευωρούμενον καὶ κατασκευάζοντα καὶ πλαττόμενον.

XXXVI. ΚΑΤΑ ΜΕΙΔΙΟΥ ΠΑΡΑΝΟΜΩΝ.

162.

Vit. X oratt. p. 850, A : Γραψάμενος δὲ καὶ τὴν Φωκίωνος δωρεάν, ἣν εἶπε Μειδίας Μειδίου Ἀναγυράσιος ἐπὶ Ξενίου ἄρχοντος, Γαμηλιῶνος ἑβδόμῃ φθίνοντος, ἡττήθη. De Midiis patre et filio v. Bœckh. *Das Seewesen* p. 243.

XXXVII. ΥΠΕΡ ΜΙΚΚΑΣ.

162 a.

Pollux VII, 191 et X, 39 : Ὑπερίδης δὲ ἐν τῷ ὑπὲρ Μίκκας ἔφη· « ἐμισθώσατο τυλυφάντας. » In his Μίκκας Kiessling. p. 214; μήκας cod. A, Μίκας ceteri. Μηκάλου ante Bekkerum. Cf. Fritzsch. ad Arist. Thesmoph. 767.

XXXVIII. ΥΠΕΡ ΞΕΝΙΠΠΟΥ.

163.

Harpocratio : Μεταγειτνιών· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενίππου. Ὁ β′ μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ἐν δὲ τούτῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύουσιν, ὡς Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν.

XXXIX. ΥΠΕΡ ΞΕΝΟΦΙΛΟΥ ΛΟΓΟΙ Β.

164.

Idem : Κεραμεῖς· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου α′· δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος Κεραμεῖς, ὥς φησι Διόδωρος. Φησὶ δὲ Φιλόχορος ἐν γ′ εἰληφέναι τούτους τοὔνομα ἀπὸ τῆς κεραμικῆς τέχνης καὶ τοῦ θύειν Κεράμῳ τινὶ ἥρωϊ.

165.

Idem : Μουνυχιών· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. Ὁ ι′ μὴν παρ' Ἀθηναίοις οὕτω καλεῖται, ἐν δὲ τούτῳ τῷ μηνὶ Ἀρτέμιδι θύεται Μουνυχίᾳ.

166.

Idem : Τυρμεῖδαι· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. Δῆμος τῆς Οἰνηΐδος οἱ Τυρμεῖδαι, ὥς φησι Διόδωρος.

167.

Idem : Ὑσιαί· Ὑπερίδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. Ὑσιαί τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ.

XL. ΠΕΡΙ ΤΩΝ ΟΡΙΩΝ.

168.

Antiatticista in Bekk. An. p. 79, 12 : Ἀψιμαχεῖν· Ὑπερείδης ἐν τῷ περὶ τῶν ὁρίων· « καὶ ἀψίμαχον γερόντιον ».

XLI. ΠΕΡΙ ΟΧΕΤΟΥ.

169.

Pollux X, 30 : Ὀχετόχρανα δ' ἂν εἴποις τὰς τῶν ὀχετῶν ἀρχάς, ὡς Ὑπερίδης ἐν τῷ περὶ ὀχετοῦ.

XLII. ΠΡΟΣ ΠΑΓΚΑΛΟΝ.

170.

Harpocratio . Μαστῆρες· Ὑπερίδης ἐν τῷ πρὸς Πάγκαλον. Ἔοικεν ἀρχή τις εἶναι ἀποδεδειγμένη ἐπὶ τὸ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν

---

contra Mantitheum et Lysias ad Nicarchum tibicinem, si modo genuina oratio.

160-161.

Ποσειδεών. Hyperides in or. contra Mantitheum. Sic apud Atticos vocatur mensis ordine sextus. — Σκευοποιοῦντα τὸ πρᾶγμα Hyperides in or. contra Mantitheum dixit, eum qui rem dolose suscipit, fabricat et fingit.

XXXVI. CONTRA MIDIAM.

162.

Hyperides postquam sententiam de donando Phocione a Midia Midiæ filio Anagyrasio latam impugnaverat, succubuit : actum hoc archonte Xenio (archon est pseudeponymus) Gamelionis mensis die quarta et vigesima.

XXXVII. PRO MICCA.

162 a.

Hyperides in orat. pro Micca dicit : « Conducebat lectulorum contextores. »

XXXVIII. PRO XENIPPO.

163.

Μεταγειτνιών. Hyperides in orat. pro Xenippo. Secundus Atheniensium mensis ita dictus, quo Apollini Μεταγειτνίῳ sacrificant, ut tradit Lysimachides in opere de mensibus Atticis.

XXXIX. PRO XENOPHILO ORATIONES DUÆ.

164.

Κεραμεῖς. Hyperides in orat. prima pro Xenophilo. Ceramei est populus Acamantidis tribus, teste Diodoro. Philochorus in libro tertio dicit, eos nomen cepisse ab arte figulina, et quod illis sacra fiant Ceramo cuidam heroi.

165.

Μουνυχιών. Apud Hyperidem in orat. pro Xenophilo. Decimus Atheniensium mensis ita dictus, quo sacra fiebant Dianæ Munychiæ.

166.

Τυρμεῖδαι, Hyperides in or. pro Xenophilo. Τυρμεῖδαι populus Œneidis tribus, teste Diodoro.

167.

Ὑσιαί, apud Hyperidem in ea pro Xenophilo. Hysiæ civitas Bœotiæ, cujus meminit etiam Euripides in Antiopa.

XL. DE FUNIBUS.

168.

Ἀψίμαχον γερόντιον dixit Hyperides in oratione de finibus.

XLI. DE AQUÆDUCTU.

169.

Ὀχετόχρανα dixeris orificium aquæductus vel canalis ut Hyperides in or. de aquæductu.

XLII. ADVERSUS PANCALUM.

170.

Μαστῆρες. Hyperides in orat. contra Pancalum. Magistratus esse videtur, ut in populi res pub'icas inquireret

Πελλήνῃ μάστροι, ὡς Ἀριστοτέλης ἐν τῇ Πελληνέων πολιτείᾳ.

XLIII. ΚΑΤΑ ΠΑΣΙΚΛΕΟΥΣ.

« De permutatione bonorum actum esse in altera oratione Pollucis testimonium exstat, alteram ad eandem causam pertinuisse ea quæ supersunt luculenter docent. Etiam hoc patet de trierarchia præstanda certamen fuisse : cf. Demosth. or. 42; Platner. de lit. et action. Ath. 2 p. 108 sqq. Sed utrum Pasicles permutationem ipse obtulerit, an oblatam detrectaverit, non liquet. Nam si Pasicles obtulerat, adversarius et πρὸς Πασικλέα se defendere potuit atque docere, bona sua non majora esse Pasiclis (sic Isocrates πρὸς Λυσίμαχον περὶ ἀντιδόσεως orationem scripsit et Aphareum πρὸς Μεγακλείδην περὶ ἀντιδόσεως dixisse vidimus), et κατὰ Πασικλέους actionem fraudis vel doli mali instituere. Sin vero Pasicli permutatio oblata erat, adversarius pariter et πρὸς Πασικλέα in judicio dicere potuit, ut Pasiclem potius quam se in trecentorum numerum referendum esse doceret, et κατὰ Πασικλέους, doli mali actione ei intenta. Verisimilius vero videtur esse, Pasicli permutationem bonorum oblatam fuisse, cum si aliter statueris vix intelligi possit, quomodo in oratione de fraude Pasiclis permutationem offerentis verba illa de Phormionis artibus (frg. 171.) locum habuerint. Quodsi Pasicli oblata est permutatio, hoc fortasse ita explicandum est, ut Phormio et Pasicles cognati fuerint et alter alterius bona vel communione quadam prætenta vel alio modo parva esse ostendere studuerint. Hoc certum videtur esse, duas orationes fuisse, πρὸς Πασικλέα et κατὰ Πασικλέους : nam temerarium foret credere orationem quæ esset πρὸς Πασικλέα toties per errorem κατὰ Πασικλέους dictam esse. » Sauppius.

171.

Harpocratio v. συμμορία : Οὐ δεῖ δὲ θαυμάζειν, πῶς ὁ μὲν Δημοσθένης φησὶν ξ′ ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερίδης ιε′· ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί· « ἕως μὲν οἱ πλουσιώτατοι παραχρουόμενοι τὴν πόλιν σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες μέτρια ἀνήλισκον, ἡσυχίαν εἶχον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης καὶ νόμον ἔθηκε τοὺς τ′ τριηραρχεῖν καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι, νῦν ὁ Φορμίων αὐτὸν ἐκκλέπτει. » Cf. fr. 184; schol. Demosth. or. 14 § 17; Etymol. magn. p. 734, 32; Philemon. lex. technol. p. 142 Osanni.

172.

Priscianus XVIII, 24, p. 194 Kr. : *Illi* ἄξιός ἐστι μισεῖσθαι τῇ πόλει. Hyperides ἐν τῷ κατὰ Πασικλέους· ***. *Pro hoc Latini dicunt, dignus est odio esse urbi, et, dignus qui sit odio urbi.*

173.

Harpocratio : Ἔχδεια. Ὑπερίδης ἐν τῷ κατὰ Πασικλέους· « ἐὰν δέ τις ἔχδεια γένηται, » ἤγουν ἐὰν δέ τις ἐνδεήσῃ τοῦ προϋπάρχοντος ἀργυρίου.

XLIV. ΠΡΟΣ ΠΑΣΙΚΛΕΑ ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ.

174.

Pollux IX, 36 : Ταῦτα (*vicos*) δὲ καὶ ἄμφοδα ἔστιν εὑρεῖν κεκλημένα οὐ παρ' Ἀριστοφάνει μόνον, ... ἀλλὰ καὶ παρ' Ὑπερίδῃ ἐν τῷ περὶ ἀντιδόσεως πρὸς Πασικλέα· « τὴν οἰκίαν τὴν μεγάλην τὴν Χαβρίου καλουμένην καὶ τὸ ἄμφοδον. »

XLV. ΚΑΤΑ ΠΑΤΡΟΚΛΕΟΥΣ ΠΡΟΑΓΩΓΕΙΑΣ,

εἰ γνήσιος.

175.

Athenæus XIII, p. 566, F : Ὑπερείδης δ' ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος ὁ λόγος, τοὺς Ἀρεοπαγίτας φησὶν ἀριστήσαντά τινα ἐν καπηλείῳ κωλῦσαι ἀνιέναι εἰς Ἄρειον πάγον.

176.

Pollux IV, 122 : Ἔξεστι δὲ καὶ τὸ παραπέτασμα

---

designatus, perinde ac ζητηταὶ et μάστροι Pellenes, auctore Aristotele in rep. Pelleniorum.

XLIII. CONTRA PASICLEM.

171.

Ne mirum videatur, Demosthenem symmoriæ tribuere viros sexagenos, Hyperidem quindenos : nam in orat. adv. Pasiclem hujusce rei caussam affert his verbis : « Quamdiu locupletissimi quique rempublicam fraudantes quini vel seni trierarchiæ munere fungebantur, mediocri sumtu, illi quieverunt; postquam vero Demosthenes hæc animadvertit, et leges tulit ut trecenti triremes instruerent, et trierarchiæ sumptuosæ evaserunt, Phormio se subduxit. »

173.

Ἔχδεια Hyperides in or. contra Pasiclem : « Si quædam penuria obveniat i e. si quem oristinæ deficiant pecuniæ »

XLIV. ADVERSUS PASICLEM DE PERMUTATIONE BONORUM.

174.

Hyperides in or. de bonorum permutatione adversus Pasiclem dicit : « Domum magnam, Chabrii dictam, et bivium.

XLV. CONTRA PATROCLEM DE LENOCINIO, si genuina oratio.

175.

Hyperides in orat. contra Patroclem, si modo genuina est, ait : « Areopagitas, si quis in caupona pransus esset, hunc vetasse in Areopagum ascendere. »

176.

Hyperides in or. contra Patroclem dicit : « Novem principes epulabantur in stoa, partem ejus aulæo occludentes. »

αὐλαίαν καλεῖν, Ὑπερίδου εἰπόντος ἐν τῷ κατὰ Πατροκλέους· « οἱ δὲ ἐννέα ἄρχοντες εἱστιῶντο ἐν τῇ στοᾷ, περιφραξάμενοί τι μέρος αὐτῆς αὐλαίᾳ. »

Cosmas Indopleustes p. 197, E ed. Montef. : Ἔτι αὐλαίας καλεῖ τὰς κορτίνας. Οὕτως δὲ καλοῦσιν αὐτὰς καὶ οἱ ἔξωθεν Ἀττικοί, λέγοντες αὐλαίαν τὸ μέγα καὶ ποικίλον παραπέτασμα. Ὑπερίδης ὁ ῥήτωρ ἐν τῷ κατὰ Πατροκλέους λόγῳ· « οἱ δὲ ἐννέα ἄρχοντες εἱστιῶντο ἐν τῇ στοᾷ, φραξάμενοί τι μέρος αὐτῆς αὐλαίᾳ. »

Bekk. An. p. 463, 14 et 83, 7 : Αὐλαία· τὸ τῆς σκηνῆς παραπέτασμα. Κέχρηται δὲ αὐτῷ Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. Cf. Suidas.

177.

Pollux III, 27 : Τοῦτον δὲ (sc. vitricum) Ὑπερίδης Πατροκλέους ἐπὶ προαγωγείᾳ κατηγορῶν μητρυιὸν κέκληκε, καὶ Θεόπομπος ὁ κωμικὸς ἐν Εἰρήνῃ.

178.

Harpocratio : Νάννιον· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ ἑταιρῶν Αἶγα λέγεσθαί φησι ταύτην τὴν ἑταίραν διὰ τὸ Θάλλον τὸν κάπηλον καταφαγεῖν· ὅτι γὰρ θαλλῷ χαίρουσιν αἱ αἶγες, καὶ Σοφοκλῆς Ποιμέσιν ... Ἔστι δὲ αὐτῆς μνήμη καὶ ἐν τῇ κωμῳδίᾳ. Ἀντιφάνης δὲ ὁ νεώτερος ἐν τῷ περὶ ἑταιρῶν τὴν Νάννιόν φησι Προσκήνιον ἐπονομάζεσθαι διὰ τὸ ἔξωθεν δοκεῖν εὐμορφοτέραν εἶναι.

Athenæus XIII, p. 587, A : Ναννίου δὲ Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους.

179.

Harpocratio : Νεμέας Χαράδρα. Αἰσχίνης περὶ τῆς πρεσβείας. Οὕτω τόπος τις ἐκαλεῖτο ἐν Πελοποννήσῳ· « πλησίον τῆς Νεμέας χαράδρας » Ἔφορος ἐν κγ'. Νεμέας αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ὁ δὲ Πολέμων ἐν τοῖς περὶ τῆς ἀκροπόλεως παρατίθεται ψήφισμα καθ' ὃ ἀπείρητο Ἀθήνησιν ὄνομα πεντετηρίδος τίθεσθαι δούλῃ ἢ ἀπελευθέρᾳ ἢ πόρνῃ ἢ αὐλητρίδι· ἄξιον οὖν ἀπορῆσαι πῶς οὕτως ὠνομάζετο ἡ αὐλητρίς.

Athenæus XIII, p. 587, C : Καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος Ὑπερείδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους.

180.

Harpocratio : Πάνδημος Ἀφροδίτη· Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ς' Κολοφωνιακῶν Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. Ἔστι δὲ πάνδημον πάγκοινον.

181.

Harpocratio v. παράβυστον p. 146, 6 : Ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. (Cf. Antiphont. fr. 43.) Pollux III, 43 : Καὶ δὴ καὶ κλίνη τις ὠνομάζετο γαμική, καὶ ἑτέρα παράβυστος, ἣ καὶ αὐτὴ στρώννυται ἐν τῷ δωματίῳ « ὑπὲρ τοῦ τὴν παῖδα μὴ ἀθυμῆσαι, » ὡς Ὑπερίδης ἔφη.

182.

Harpocratio : Φορβαντεῖον. Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. Ὅτι τὸ Ἀθήνησιν Φορβαντεῖον ὠνομάσθη ἀπὸ Φόρβαντος βασιλεύσαντος Κουρήτων καὶ ὑπ' Ἐρεχθέως ἀναιρεθέντος, δεδήλωκεν Ἄνδρων

177.

Hyperides in or. qua Patroclem lenocinii incusat et Theopompus comicus in Pace vitricum μητρυιόν vocant.

178.

Nannium. Hyperides in or. contra Patroclem, si ei tribuenda est. Apollodorus libro De Scortis hanc meretricem Αἶγα, *capram*, dictam fuisse memorat, quod Thalli cauponis bona absumsisset. Scilicet capræ θαλλῷ sive termitibus oleæ delectantur, ut vel Sophocles in Pastoribus ait... Nannii in comœdia quoque mentio fit. Antiphanes vero junior in opere De meretricibus, Nannium scribit Proscenium cognominari, quod extrinsecus tantum formosa esse videretur.

179.

Νεμέας Χαράδρα. Æschines De falsa legatione (§ 168). Est locus in Peloponneso : « Nemeæ fossæ vicinus, » ait Ephorus, libro XXIII. Nemeæ (*Nemeadis*) tibicinæ meminit Hyperides in orat. contra Patroclem, si tamen ea legitima sit. Polemon vero in his quæ de Athenarum arce scripserat, exponit decretum, quo cavebatur Athenis, ne serva, libertina, meretrix vel tibicina nomen festi quinquennalis ferret. Recte igitur quæras qui hæc tibicina Nemea dicta fuerit. — Nemeadis tibicinæ Hyperides meminit in orat. adv. Patroclem.

180.

Πάνδημος Ἀφροδίτη, *Venus vulgivaga*. Hyperides orat. contra Patroclem, si modo genuina. Apollodorus in opere De diis Πάνδημον ait appellatam Athenis, quæ dedicata erat ad forum vetus, quod hic olim populus omnis ad conciones, quas fora vocabant, conveniret. Nicander in sexto Colophoniacorum auctor est, Solonem ob juvenum libidinem servas egregiæ formæ emptas in cella prostituisse, ac de pecuniis residuis Pandemi Veneris fanum dedicasse. Est vero πάνδημον omnibus commune.

181.

Erat etiam lectus quidam in domo nuptiali παράβυστος appellatus, cujus mentionem facit Hyperides orat. contra Patroclem.

Quidam lectus vocabatur nuptialis, alius vero παράβυστος, qui et ipse in thalamo sternitur, ne puella animum despondeat, ut Hyperides inquit.

182.

Φορβαντεῖον. Hyperides in orat. contra Patroclem. Phorbanteum Athenis nuncupatum de Phorbante Curetum rege

ἐν η' τῶν Συγγενειῶν. Ἦν δὲ Ποσειδῶνος υἱὸς ὁ Φόρβας, καθά φησιν Ἑλλάνικος ἐν α' Ἀτθίδος. Cf. Etymol. M. p. 798, 25.

XLVI. ΠΛΑΤΑΙΚΟΣ.

183.

Plutarchus Mor. p. 350, B : Ἆρ' οὖν ἄξιον προκρῖναι τὸν Ὑπερείδου Πλαταϊκὸν τῆς Ἀριστείδου στρατηγίας καὶ νίκης; « Valckenarii conjecturam Δηλιακὸν scribi jubentis, probatam illam ab Ruhnkenio (hist. crit. p. 70), ferri non posse A. Bœckhius monuit in Actis soc. liter. berol. a. 1834 p. 19. » *Sauppius*, qui στρατηγίας καὶ νίκης scripsit pro eo quod vulgo legitur παραγγελίας νίκης.

XLVII. ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΠΕΡΙ ΤΟΥ ΔΙΑΓΡΑΜΜΑΤΟΣ.

Tres orationes κατὰ Πολυεύκτου, περὶ τοῦ Πολύευκτον στρατηγεῖν et πρὸς Πολύευκτον primus recte distinxit Bœckhius de reb. nav. p. 177. De oratione pro Euxenippo adversus Polyeuctum Cydantidam habitam vidimus supra p. 375. Reliquæ duæ quominus ad eundem Polyeuctum referantur nihil videtur prohibere.

184.

Harpocratio : Συμμορία· Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου α'. Οὐχ ἅπαν τὸ πλῆθος, ὥσπερ παρ' ἡμῖν, διῄρητο εἰς τὰς συμμορίας Ἀθήνησιν, ἀλλὰ μόνοι οἱ πλούσιοι καὶ εἰσφέρειν τῇ πόλει δυνάμενοι. Ὁ γοῦν Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν φησί, περὶ τῶν χιλίων καὶ διακοσίων ἀνδρῶν λέγων τῶν πλουσιωτάτων, « ἐκ τούτων τοίνυν οἶμαι δεῖν ποιῆσαι συμμορίας κ', ὥσπερ νῦν εἰσί, σώματα ξ' ἑκάστην ἔχουσαν. » Ὑπερίδης δ' ἐν τῷ πρὸς Πολύευκτόν φησιν· « εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ ἑκάστῃ ιε' ἄνδρες. » Οὐ δεῖ δὲ θαυμάζειν πῶς ὁ μὲν Δημοσθένης φησὶ ξ' ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερίδης ιε'· ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί· « ἕως μὲν οἱ πλουσιώτατοι παραχρουόμενοι τὴν πόλιν σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες μέτρια ἀνήλισκον, ἡσυχίαν εἶχον οὗτοι· ἐπειδὴ δὲ ταῦτα κατεῖδε Δημοσθένης καὶ νόμον ἔθηκε τοὺς τ' τριηραρχεῖν καὶ βαρεῖαι γεγόνασιν αἱ τριηραρχίαι, νῦν ὁ Φορμίων αὑτὸν ἐκκλέπτει. » Ὅτι δὲ καὶ οἱ δημοποίητοι ἐνεγράφοντο εἰς τὰς συμμορίας, δεδήλωκεν ὁ Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου πολλάκις. Συμμορῖται δέ εἰσιν οἱ τῆς αὐτῆς μετέχοντες συμμορίας, ὡς ἐν τῷ αὐτῷ λόγῳ Ὑπερίδης δείκνυσι. Διῃρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας ἐπὶ Ναυσινίκου ἄρχοντος, ὥς φησι Φιλόχορος ἐν τῇ ε' Ἀτθίδος. Cf. schol. Demosth. or. 14 § 17; Etymol. Magn. p. 734, 32.

185.

Idem : Ἡγεμὼν συμμορίας· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Ἡγεμὼν ἐκαλεῖτο συμμορίας ὁ προέχων τῷ πλούτῳ καὶ διὰ τοῦτο τῶν ἄλλων ἡγεμονεύειν ἐπειλημμένος, ὡς ὑποφαίνει Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου.

186.

Pollux III, 53 : Τοὺς δὲ ἄρχοντας τῶν συμμοριτῶν καὶ συμμοριάρχας Ὑπερίδης εἴρηκεν.

187.

Idem VIII, 144 : Καὶ συμμορία καὶ τὸ παρ' Ὑπερίδῃ « μετοικικῆς συμμορίας ταμίας. »

188.

Harpocratio : Ἀγοράς. Ὑπερίδης ἐν τῷ κατὰ

---

ab Erechtheo interfecto, ut Andron refert libro octavo Cognationum. Fuit autem Phorbas Neptuni filius, ut Hellanicus testatur in primo Atthidis.

XLVI. PLATAICA ORATIO.

183.

Ergone dignum est Plataicam Hyperidis orationem præferre victoriæ quam Aristidis ars imperatoria reportavit?

XLVII. CONTRA POLYEUCTUM.

184.

Συμμορία, *classis*, Demosthenes in prima oratione contra Aphobum (or. 27 § 7). Non universus populus, ut apud nos, Athenis in symmorias distribuebatur, sed divites solum, et qui conferre civitati pecunias possent. Certe Demosthenes in oratione de symmoriis (or. 14 § 17) quo loco de mille et ducentis ditissimis loquitur, « Ex his igitur, inquit, faciendas esse censeo symmorias viginti, ut nunc sunt, sexaginta viris singulas constantes » Hyperides vero in or. contra Polyeuctum dicit : « in unaquaque symmoria viri sunt quindecim. » Nec mirum videatur, Demosthenem symmoriæ tribuere viros sexagenos, Hyperidem quindenos : nam in orat. contra Pasiclem hujusce rei causam affert his verbis : « Quamdiu locupletissimi quinque, rempublicam fraudantes, quini et seni trierarchiæ munere fungebantur, mediocri sumtu, illi quieverunt, postquam vero Demosthenes hæc animadvertit, et legem tulit ut triceni triremes instruerent, et trierarchiæ sumptuosæ evaserunt, Phormio se clam subduxit. » Præter cives etiam civitate donati in symmorias referebantur, ut Hyperides in or. contra Polyeuctum sæpius declaravit. Συμμορῖται dicuntur qui ejusdem symmoriæ participes sunt, quod in eadem oratione Hyperides demonstrat. Ceterum Athenienses in symmorias primum divisi sunt archonte Nausinico, ut ait Philochorus libro quinto Atthidis.

185.

Ἡγεμὼν συμμορίας, *princeps symmoriæ*, apud Demosthenem pro Ctesiphonte (or. 18, § 312) is vocatur qui divitiis antecellit et propterea locum obtinet superiorem ut ceteris præficiatur, sicut innuit Hyperides in or. contra Polyeuctum.

186.

Symmoritarum principes Hyperides συμμοριάρχας dixit.

187.

Apud Hyperidem legitur : « *inquilinorum symmoriæ quæstor.* »

188.

Ἀγοράς. Hyperides in or. contra Polyeuctum De dia-

Πολυεύκτου περὶ τοῦ διαγράμματος· « οὗτοι πολλάκις ἀγορὰς ποιοῦνται. » Μήποτε ἀντὶ τοῦ συνόδους νῦν. Σημαίνει δὲ καὶ ἕτερα τοὔνομα. Cf. fragm. Cantabrig. p. 664, 11; Bekk. Anecd. p. 330, 10.

189.

Idem : Ἀνασυντάξας ἀντὶ τοῦ ἄνωθεν συντάξας, Ὑπερίδης κατὰ Πολεύκτου.

190.

Idem : Διάγραμμα... τὸ ταττόμενον ἐν ταῖς συμμορίαις, ὁπόσον ἕκαστον ἄνδρα εἰσφέρειν δεῖ. Ἐτάττετο δὲ οὐ τὸ αὐτὸ πᾶσιν, ἀλλὰ πρὸς τὴν τίμησιν τῆς οὐσίας. Περὶ δὲ τούτων σαφέστατα δεδήλωκεν Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου περὶ διαγράμματος. Διαγραφεὺς μέντοι ἐστὶν ὁ καθιστάμενος ἐν ταῖς συμμορίαις ἐπὶ τῷ διακρῖναι πόσον ἕκαστος ἀνὴρ εἰσενεγκεῖν ὀφείλει, ὡς ὁ αὐτὸς πάλιν φανερὸν ποιεῖ ἐν τῷ κατὰ Πολυεύκτου. Cf. fr. 127.

191.

Idem : Θαργήλια· Ὑπερίδης ἐν τῷ κατὰ Πολυεύκτου. Ἑορτή ἐστι τὰ Θαργήλια, ἄγεται δὲ Θαργηλιῶνι μηνί, ὅς ἐστιν Ἀπόλλωνος.

192.

Idem : Ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς παρά τε Ὑπερίδῃ ἐν τῷ κατὰ Πολυεύκτου καὶ πολλάκις ἐν τῇ κωμῳδίᾳ. Cf. Lysiæ fr. 156 et 201.

XLVIII. ΠΕΡΙ ΤΟΥ ΠΟΛΥΕΥΚΤΟΝ ΣΤΡΑΤΗΓΕΙΝ.

193.

Idem : Ἄκτια· Ὑπερίδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. Ἄκτια ἀγὼν παλαιὸς ἦν, ὡς δῆλον ποιεῖ Καλλίμαχος ἐν τῷ περὶ ἀγώνων.

194.

Bekk. An. p. 78, 18 : Ἀλιμενία, Ὑπερείδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν.

Pollux I, 101 : Ὑπερίδης δὲ καὶ ὄνομα ἐποίησε· « τῶν τόπων τὴν ἀλιμενίαν. »

195.

Harpocratio : Ῥόθιον· Ὑπερίδης ἐν τῷ περὶ τοῦ Πολύευκτον στρατηγεῖν. Ῥόθιον καλεῖται παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσιν. Τοὔνομα παρὰ πολλοῖς καὶ παρ' Ἀριστοφάνει ἐν Ἱππεῦσι καὶ Θουκυδίδῃ ἐν δ'. Suidas v. ῥόθιον : Ὑπερίδης τῷ ῥοθίῳ ἐπ' εἰρεσίας κέχρηται συντονωτάτης· φησὶν οὖν· « τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθος καὶ τὸν τοῦ ῥοθίου ψόφον καὶ τὸ μέγεθος τοῦ σκάφους ἐκπεπληγμένοι δεινῶς ἦσαν. »

XLIX. ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ.

196.

Harpocratio : Κυδαντίδης· Ὑπερίδης ἐν τῷ πρὸς Πολύευκτον. Δῆμός ἐστι τῆς Αἰγηίδος Κυδαντίδαι.

Idem v. συμμορία : Ὑπερίδης δ' ἐν τῷ πρὸς Πολύευκτόν φησιν· εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ ἑκάστῃ ιε' ἄνδρες. Cf. fr. 127. v. supra orat. I.

L. ΥΠΕΡ ΤΟΥ ΠΥΡΡΑΝΔΡΟΥ ΚΛΗΡΟΥ.

197.

Harpocratio : Κακώσεως δίκης ὄνομά ἐστι ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων, καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι, καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν [ἐπεξιοῦσι διδομένης]· Δημοσθένης κατὰ

---

grammate : « Isti sæpe ἀγοράς, *conciones*, habent. » Fortassis hoc loco ἀγορὰς dicitur pro συνόδους, *concilia*, *conventus*. Ceterum vox illa etiam alia significat.

189.

Ἀνασυντάξας, qui census per symmorias descriptos denuo constituit. Hyperides in or. contra Polyeuctum.

190.

Διάγραμμα, statutum tributum quod unumquemque in symmoriis conferre oportebat; non enim idem tributum omnibus imperabatur, sed aliis aliud pro censu facultatum. De his apertissime exposuit Hyperides in or. contra Polyeuctum de tributi descriptione. Διαγραφεὺς dicebatur is qui in symmoriis constitutus erat, ut statueret, quantum quisque conferre deberet, ut idem Hyperides in or. contra Polyeuctum declarat.

191.

Θαργήλια. Hyperides in orat. adversus Polyeuctum. Thargelia festum est, quod mense Thargelione, qui sacer Apollini, celebratur.

192.

Ὀβολοστάτας, feneratores, ut apud Hyperidem in or. contra Polyeuctum et in comœdia frequenter.

XLVIII. DE POLYEUCTO EXERCITUI PRÆFICIENDO.

193.

Ἄκτια, de quo Hyderides in orat. de prætura Polyeucti, vetus certamen erant, ut Callimachus docet in opere de certaminibus.

194.

Ἀλιμενία, *portuum defectus*, legitur apud Hyperidem in or. de Polyeucto exercitui præficiendo. — Hyperides : « portuum in his locis defectus. »

195.

Ῥόθιον. Hyperides in or. de prætura Polyeucti. Ῥόθιον a ῥόθος dicitur, quod significat strepitum remorum qui auditur quum remiges summa contentione remigant. Hyperides voce ῥόθιον usus est de remigatione maxime contenta. Ait enim : « Remigantium igitur multitudinem et remorum strepitum et magnitudinem navis cum stupore admirati sunt. »

XLIX. ADVERSUS POLYEUCTUM.

196.

Κυδαντίδης. Hyperides in or. adversus Polyeuctum. Cydantidæ pagus est Æantidis tribus.

Hyperides in or. adversus Polyeuctum dicit : « sunt enim in singulis symmoriis viri quindecim. »

L. DE PYRRHANDRI HEREDITATE.

197.

Κακώσεως, *malæ tractationis*, nomen est actionis quæ dabatur puellis heredibus adversus maritos, et parentibus adversus filios, et pupillorum defensoribus adversus tuto-

Τιμοκράτους καὶ Λυσίας ἔν τε τῷ περὶ τοῦ Ἡγησάνδρου κλήρου καὶ ἐν τῷ ὑπὲρ [** καὶ Ὑπερίδης περὶ] τοῦ Πυρράνδρου κλήρου. Ὅτι δὲ ἐξῆν καὶ παντὶ τῷ βουλομένῳ γράφεσθαι κακώσεως γονέων καὶ ταῖς ἐπικλήροις βοηθεῖν, δηλοῦται ἔν τε τῷ προειρημένῳ Ὑπερίδου καὶ ἐν τῷ Λυσίου κατὰ Φιλωνίδου βιαίων, εἰ γνήσιος. Ἦν δὲ καὶ ἄνευ ὕδατος. Cf. Lysiæ fr. 105.

LI. ΡΟΔΙΑΚΟΣ.

Vit. X oratt. p. 850, A, de Hyperide: Ἐπρέσβευσε δὲ καὶ πρὸς Ῥοδίους. « Quo tempore habita sit, non liquet. Nam quod Bœhneckius l. d. p. 461 not. 3 Hyperidem Ol. 109, 4 legationem ad Rhodios obiisse conjecit, id non minus incertum est, quam quod idem homo doctissimus retractata sententia priore p. 657 statuit legationem istam post Alexandri M. mortem ab Hyperide susceptam esse. Neque enim quæ apud biographum decem oratorum p. 850. A, sequuntur in hoc scriptore necesse est ad idem tempus referri. Contra quæ de Hyperidis legatione tunc in Peloponnesum suscepta Justinus narrat 13, 5, 9 Bœhneckii opinioni adversantur, quanquam biographus decem oratt. p. 846, C. Polyeuctum in Peloponnesum missum esse tradit. » Sauppius.

198.

Bekker. An. p. 112, 10: Προπεσεῖν· προπετῶς τι ποιῆσαι. Ὑπερείδης Ῥοδιακῷ.

Photius Lex.: Προέπεσον· προπετῶς ἐποίησαν. Ὑπερίδης.

LII. ΥΠΕΡ ΣΙΜΜΙΟΥ ΠΡΟΣ ΠΥΘΕΑΝ ΚΑΙ ΛΥΚΟΥΡΓΟΝ.

199.

Harpocratio: Ἐπιχειροτονία ἡ τῶν χειροτονητῶν κατάστασις· Ὑπερίδης ἐν τῷ ὑπὲρ Σιμμίου πρὸς Πυθέαν καὶ Λυκοῦργον.

LII b. ΠΕΡΙ ΤΩΝ ΣΤΡΑΤΗΓΩΝ.

200.

Vit. X oratt. p. 848, D, de Hyperide: Καὶ περὶ τῶν στρατηγῶν ὧν ᾔτει (Alexander) παρ' Ἀθηναίων ἀντεῖπε.

LIII. ΣΥΝΗΓΟΡΙΚΟΣ.

201.

Pollux VII, 8: Πλὴν Ἰσαῖος καὶ Ὑπερίδης τὸν πράτην εἶπον. Id. III, 125: Ὑπερίδης δὲ καὶ πράτην εἴρηκεν ἐν τῷ Συνηγορικῷ.

LIV. ΠΡΟΣ ΤΙΜΑΝΔΡΑΝ, εἰ γνήσιος.

202.

Demetrius Π. ἑρμην. § 302: Παράκειται δέ τις καὶ τῷ δεινῷ χαρακτῆρι, ὡς τὸ εἰκός, διημαρτημένος καὶ αὐτός· καλεῖται δὲ ἄχαρις· γίνεται δὲ ἐν τοῖς πράγμασιν, ἐπάν τις αἰσχρὰ καὶ δύσρητα ἀναφανδὸν λέγῃ· καθάπερ ὁ τῆς Τιμάνδρας κατηγορῶν ὡς πεπορνευκυίας τὴν λεκανίδα καὶ τοὺς ὀβολοὺς καὶ τὴν ψίαθον καὶ πολλήν τινα τοιαύτην δυσφημίαν ἑταιρῶν κατήρασε τοῦ δικαστηρίου.

303.

Suidas: Παιδάριον. Οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ παρθένων. Ὑπερείδης ἐν τῷ πρὸς Τιμάνδραν· καταλλαχθέντων γὰρ τούτων, δυοῖν ἀδελφοῖν καὶ δυαῖν ἀδελφαῖν, ὀρφαναῖν καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός, παιδαρίων παίδων.

LV. ΠΕΡΙ ΤΩΝ ΤΡΙΗΡΩΝ.

204.

Vit. X oratt. p. 848, E: Καὶ περὶ τῶν στρατη-

---

res. Demosthenes id ostendit in oratione contra Timocratem, et Lysias de hereditate Hegesandri et in oratione pro ** *et Hyperides de* hereditate Pyrrhandri. Etiam cuicunque volenti permissum fuisse, parentem malæ tractationis accusare, et puellis heredibus patrocinari, in citata Hyperidis oratione, et in Lysiæ contra Philonidam de vi illata, si ei tribuenda sit, declaratur. Id vero judicium sine aqua fieri solebat.

LI. RHODIA ORATIO.

198.

Προπεσεῖν, præcipitanter et inconsiderate aliquid facere, Hyperides in oratione Rhodia.

LII. PRO SIMMIA ADVERSUS PYTEAM ET LYCURGUM.

199.

Ἐπιχειροτονία, magistratuum creatio quæ fit per suffragia populi. Hyperides in oratione pro Simmia adversus Pytheam et Lycurgum.

LII, b. DE DUCIBUS.

200.

Hyperides duces quos Alexander ab Atheniensibus postulavit, non tradendos esse dixit.

LIII, DEFENSORIA ORATIO.

201.

Hyperides in oratione aliqua defensoria etiam πράτην vocem usurpavit.

LIV. ADVERSUS TIMANDRAM, si genuina oratio.

202.

Adjacet gravi dictionis characteri etiam alius quidam qui et ipse aberrat; vocatur injucundus; in rebus fit, si quis turpia et ægre dicenda apertis verbis eloquatur, sicut is qui Timandram scortationis incusavit, catinulam et obolos et stoream et multam ejusmodi meretricum obscenitatem e tribunali defudit.

203.

Παιδάριον. Oratores non solum pueros, sed etiam puellas hoc nomine appellant. Hyperides in orat. in Timandram: « Reconciliatis enim his duobus fratribus et duobus sororibus pupillis, eodem patre et matre natis, iisdemque puellis. »

LV. DE TRIREMIBUS.

204.

Triremes quas ad expeditionem Persicam Alexander ab

γῶν ὧν ᾔτει (Alexander M.) παρ' Ἀθηναίων ἀντεῖπε, καὶ περὶ τῶν τριήρων.

LVI. ΠΕΡΙ ΤΗΣ ΦΥΛΑΚΗΣ ΤΩΝ ΤΥΡΡΗΝΩΝ.

205.

Harpocratio : Κομιστικὰ πλοῖα· Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν. Ἔοικε καλεῖσθαι κομιστικὰ πλοῖα ἐν οἷς ἐκόμιζον οἱ Τυρρηνοὶ τὰ ληφθέντα λάφυρα, ὡς αὐτὸς ὁ ῥήτωρ ὑποσημαίνει ἐν τῷ λόγῳ.

206.

Idem : Προβόλιον εἶδος δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν. Ὑπερίδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν τροπικῶς ἐκ μεταφορᾶς ἐχρήσατο τῷ ὀνόματι. Ὅτι δὲ δόρυ τι σημαίνει, πολλάκις ἔστι μαθεῖν ἐκ τοῦ Ξενοφῶντος κυνηγετικοῦ. Ceterum de hac oratione v. Bœckhius in libro de re nav. p. 460.

LVII. ΠΡΟΣ ΥΓΙΑΙΝΟΝΤΑ.

207.

Idem : Ἕνη καὶ νέα· Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα. Τὴν ὑφ' ἡμῶν τριακάδα καλουμένην ἕνην καὶ νέαν καλοῦσιν Ἀθηναῖοι ἀπὸ τοῦ τὴν τελευτὴν ἔχειν τοῦ προτέρου μηνὸς καὶ τὴν ἀρχὴν τοῦ ὑστέρου.

208.

Idem : Θέσθαι ἀντὶ μὲν τοῦ ὑποθήκην λαβεῖν Ὑπερίδης ἐν τῷ πρὸς Ὑγιαίνοντα, ἀντὶ δὲ τοῦ προσέσθαι καὶ κυρῶσαι νόμον Δημοσθένης. Cf. Etym. M. p. 448, 5 : Θέσθαι τὸ θησαυρίσασθαι, ἐν Ὀδυσσείας ν', καὶ τὸν θησαυρὸν Ἀνακρέων θεσμὸν καλεῖ· εἰς δὲ τὸ ῥητορικὸν λεξικόν· ἀντὶ τοῦ ὑποθήκην λαβεῖν, Ὑπερίδης.

LVIII. ΚΑΤΑ ΦΙΛΙΠΠΙΔΟΥ.

« Hunc Philippidem a comico distinguendum esse docent H. Clintonus Fast. hell. 2 p. XLV, t. et Meinekius Com. græc. vol. 1, p. 491. Sauppius. »

208 a.

Athenæus XII, p. 552, D : Λεπτὸς δ' ἦν καὶ Φιλιππίδης, καθ' οὗ λόγος ἐστὶν Ὑπερείδῃ τῷ ῥήτορι λέγων αὐτὸν ἕνα τῶν πολιτευομένων εἶναι. Ἦν δ' εὐτελὴς τὸ σῶμα διὰ λεπτότητα, ὡς ὁ Ὑπερείδης ἔφη. Cf. Ælianus V. H. X, 6.

LIX. ΚΑΤΑ ΦΙΛΟΚΡΑΤΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ.

209.

Hyperides or. I, § 29 : Τίνας οὖν κέκρικα καὶ εἰς ἀγῶνα καθέστακα;... Φιλοκράτη τὸν Ἁγνούσιον, ὃς θρασύτατα καὶ ἀσελγέστατα τῇ πολιτείᾳ κέχρηται.

Demosthenes or. 19, § 116 : Ἴστε δήπου πρῴην, ὅτ' εἰσήγγελλεν Ὑπερείδης Φιλοκράτην. Æschines or. 3, § 79 : Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπ' εἰσαγγελίας γεγένηται. Cf. § 81. « Fortasse ex hac Hyperidis oratione desumpta sunt, quæ Marcellinus tradit, Hermogenis scholiasta, IV p. 164 Walz. : Φιλοκράτης ἐκμισθώσας τὰς Ὀλυνθίας γυναῖκας καὶ ἀναγκάζων φέρειν ἑαυτῷ τὸν μισθόν, δημοσίων ἀδικημάτων φεύγει. Quam rem etiam Demosthenes 19 § 309 attigit. Habita est Hyperidis oratio a. 343 a. Chr. n. » Sauppius.

LX. ΥΠΕΡ ΦΟΡΜΙΣΙΟΥ.

210.

Harpocratio : Πανδιονίς· Δημοσθένης κατὰ Μειδίου. Μία τῶν ι' φυλῶν παρ' Ἀθηναίοις ἐστί, κληθεῖσα ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου, ὡς ἄλλοι τε πολλοὶ λέγουσι καὶ Ὑπερίδης ἐν τῷ ὑπὲρ Φορμισίου. Accusatum fuisse Phormisium Dinarchi oratione scimus; fieri potest ut ad eandem causam pertineat Hyperidis oratio.

LXI. ΥΠΕΡ ΦΡΥΝΗΣ.

« Phrynes amore cum etiam Euthias orator incensus aut alium sibi præferri ægre ferret, aut per avaritiam dona petenti offerre nollet, eam impietatis ream fecit et hac ipsa accusatione immor-

---

Atheniensibus postulaverat, non ei dandas esse Hyperides coram populo contendit.

LVI. DE CUSTODIENDIS TYRRHENIS.

205.

Κομιστικὰ πλοῖα Hyperides in or. de custodiendis Tyrrhenis vocare videtur navigia quibus Tyrrheni prædam asportabant, ut ipse orator in hac oratione subindicat.

206.

Προβόλιον, *venabulum*, genus hastilis quo venatores ad apros capiendos utebantur. Hyperides vero in or. de custodiendis Tyrrhenis tropice hoc vocabulo usus est.

LVII. ADVERSUS HYGIÆNONTEM.

207.

Ἕνη καὶ νέα. Hyperides in orat. adversus Hygiænontem. Trigesimam mensis diem, quam nos τριακάδα appellamus, ἕνην καὶ νέαν, veterem et novam, inde vocant Athenienses, quod contineat finem mensis præcedentis et initium sequentis.

208.

Θέσθαι pro pignus accipere Hyperides dixit in oratione adversus Hygiænontem; sed Demosthenes pro legem rogare et sancire.

LVIII. CONTRA PHILIPPIDAM.

208 a.

Fuit etiam Philippidas gracilis, contra quem exstat oratio Hyperidis oratoris, qui fuisse eum ait unum ex eis qui rempublicam administraverant. Erat autem despicabili corpore ob tenuitatem, ut ait Hyperides.

LIX. CONTRA PHILOCRATEM DENUNTIATIO.

209.

Nostis nuper, quando Hyperides Philocratem ad populum detulit. Philocrates iisdem rebus cum Demosthene publice gestis delationis actione in judicium actus est.

LX. PRO PHORMISIO.

210.

Pandionis, cujus Demosthenes in or. contra Midiam meminit, una est e decem Atheniensium tribubus, a Pan-

talem nominis sui memoriam invenit. Avaritia Euthiam commotum esse Alciphro epistol. 1, 30 refert : εἰ γὰρ αἰτοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον οὐ τυγχάνομεν ἢ τοῖς διδοῦσιν ἐντυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖττον ἡμῖν τοῦ βίου τούτου. Adde 1, 32 : αἰτησόν τι παρ' αὐτοῦ καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια ἐμπεπρηκυῖαν ἢ τοὺς νόμους καταλύουσαν. Neque hæc prorsus ficta esse ostendit fragmentum 212, quo Euthiam amatorem Phrynæ fuisse edocemur. » Sauppius. Quænam causa Phrynes fuerit liquet ex τέχνῃ τοῦ πολιτικοῦ λόγου, quam nuper M. Seguerius edidit, ubi hæc 57 : Κατὰ μὲν οὖν ὑπόθεσιν ἀνακεφαλαίωσις γίνεται, ὅταν αὐτὰ τὰ τὴν ὑπόθεσιν πεποιηκότα ψιλῶς ἐκτιθώμεθα· οἷον· ἀσεβείας κρινομένη Φρύνη· καὶ γὰρ ἐκώμασεν ἐν Λυκείῳ, καινὸν εἰσήγαγε θεόν, καὶ θιάσους ἀνδρῶν καὶ γυναικῶν συνήγαγεν. « Ἐπέδειξα τοίνυν ὑμῖν ἀσεβῆ Φρύνην, κωμάσασαν ἀναιδῶς, καινοῦ θεοῦ εἰσηγήτριαν, θιάσους ἀνδρῶν ἐκθέσμους καὶ γυναικῶν συναγαγοῦσαν. » Cf. fr. 217.

211.

Vit. X oratt. p. 849, E, de Hyperide : Ὡς εἰκὸς δὲ καὶ δίκῃ Φρύνῃ τῇ ἑταίρᾳ ἀσεβεῖν κρινομένῃ συνεξητάσθη· αὐτὸς γὰρ τοῦτο ἐν ἀρχῇ τοῦ λόγου δηλοῖ· μελλούσης δ' αὐτῆς ἁλίσκεσθαι παραγαγὼν εἰς μέσον καὶ περιρρήξας τὴν ἐσθῆτα ἐπέδειξε τὰ στέρνα τῆς γυναικός· καὶ τῶν δικαστῶν εἰς τὸ κάλλος ἀπιδόντων ἀφείθη. Athenæus XIII, p. 590, D : Ἐν δὲ τῷ ὑπὲρ Φρύνης λόγῳ Ὑπερείδης ὁμολογῶν ἐρᾶν τῆς γυναικός, καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλαγμένος τὴν προειρημένην Μυρρίνην εἰς τὴν οἰκίαν εἰσήγαγεν.

212.

Syrianus ad Hermog. t. IV, p. 119 W. : Ὑπερείδης δὲ πάλιν ἐν τοῖς ὑπὲρ Φρύνης, ἐξισάζοντος, ὅτι αὐτός τε καὶ Εὐθίας ὡμιληκότες ἦσαν τῇ Φρύνῃ·... Ὑπερείδης γοῦν ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ αὐτῆς λόγῳ εὑρών τινα διαφορὰν ἐξέφυγε τὸ ἐξισάζον, φήσας· « οὐ γὰρ ὅμοιόν ἐστι τὸν μὲν ὅπως σωθήσεται ἐκ παντὸς τρόπου ζητεῖν, τὸν δὲ ὅπως ἀπολέσει. » Cf. Marcellinus ib. p. 120.

213.

Alexander De schemat., t. VIII, p. 457 Walz. : Διασυρμὸς δ' ἐστίν, ἐπειδάν τι λέγωμεν ἀξιοπίστως διαβάλλοντες, ὡς Ὑπερείδης ἐπὶ Δημοσθένους·... καὶ ὁ αὐτὸς ἐπὶ τῆς Φρύνης· « τί γάρ ἐστιν αἰτία αὕτη (sc. Phryne), εἰ Ταντάλῳ ὑπὲρ τῆς κεφαλῆς λίθος κρέμαται; »

214.

Harpocratio : Ἀνεπόπτευτος· Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης· ὁ μὴ ἐποπτεύσας. Τί δὲ τὸ ἐποπτεῦσαι, δηλοῖ Φιλόχορος ἐν τῇ ι'· « τὰ ἱερὰ οὗτος ἀδικεῖ πάντα, τά τε μυστικὰ καὶ τὰ ἐποπτικά, » καὶ πάλιν· « Δημητρίῳ μὲν οὖν ἴδιόν τι ἐγένετο παρὰ τοὺς ἄλλους, τὸ μόνον μυηθῆναί τε ἅμα καὶ ἐποπτεῦσαι καὶ τοὺς χρόνους τῆς τελετῆς τοὺς πατρίους μετακινηθῆναι. » Cf. Bekk. Anecd. p. 398, 11. Pollux II, 58 : Καὶ ἀνεπόπτευτον Ὑπερίδης φησίν.

215.

Harpocratio : Ἐπωπτευκότων· Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύνης. Οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δημοσθένους λόγου καὶ ἐκ τῆς δεκάτης Φιλοχόρου.

216.

Idem : Εὐθίας· Ὑπερίδης ὑπὲρ Φρύνης. Τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν ὁ Εὐθίας. Τὸν μέντοι λόγον αὐτῷ τὸν κατὰ Φρύνης Ἀναξιμένην πεποιηκέναι φησὶν Ἕρμιππος.

217.

Idem : Ἰσοδαίτης· Ὑπερίδης ἐν τῷ ὑπὲρ Φρύ-

---

« De Demadis rebus, quem et brevissime et verissime Velleii verbis (2, 68) *ingeniose nequam* fuisse dixeris, post D. Ruhnkenium (hist. crit. p. 71 sqq.) nuper exposuerunt H. Lhardy (Berolini, 1834) et G. G. Pluygers (Hagæ Comitis, 1836), quibuscum comparari possunt, quæ in Zimmermanni diurnis ego 1835, 77 et A. Westermannus 1837, 26 explicavimus. Adde quæ G. Kiesslingius in Lycurgeis p. 161 sqq. disputavit [et Bernhardyus in Addendis ad Suidam II, 2, p. 1812]. Hoc loco nihil videtur quærendum esse nisi hoc, utrum Demades aliquid scriptum reliquerit, an quæ ei tribui solent supposita sint. Ac Cicero quidem Bruti § 36 ait : *is, cujus nulla exstant scripta, Demades.* Similiter Quintilianus Inst. orat. 2. 17, 13 : *Neque enim* (Demades) *orationes scribere est ausus, ut eum multum valuisse in dicendo sciamus.* Idem 12. 10, 49 : *Ideoque in agendo clarissimos quosdam nihil posteritati mansurisque mox literis reliquisse, ut Periclem, ut Demadem.* Contra Suidas 1, 1 p. 1241 B. : ἔγραψεν Ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, Ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων (quo loco quid verbis πρὸς Ὀλυμπιάδα faciendum sit non liquet, quanquam mihi quidem Ruhnkenii ratio l. d. proposita maxime probatur). Neque tantum *Defensionis* illius pars quædam in multis libris manuscriptis servata adhuc exstat, sed etiam Joannes Tzetza Chil. 5, 342 sqq. 6, 16 sqq. et 112 sqq., Anonymus Seguerii, interpres Hesiodi videntur scripta quædam Demadis oculis et manibus usurpavisse. Nam reliqua sane omnia, quæ Demades dixisse narratur, similia sunt eorum, quæ Isocrati, Demostheni, aliis tribui vidimus, desumpta illa ex peripateticorum aliorumque hominum doctorum libris. Quanto enim studio facete graviterque dicta ætate alexandrina collecta sint multis exemplis constat. At jure quæritur, utrum scripta illa genuina fuerint, an a rhetoribus ficta et Demadis nomini supposita. Ac de quo paulo certius judicari possit, exstat fragmentum περὶ τῆς δωδεκαετίας. Quod quanquam a plerisque hominibus doctis genuinum haberi scio (unum nomino L. Spengelium συναγ. τεχν. p. 54), tamen certa mihi videntur adulterinæ originis indicia inesse. Sententiæ quæsitæ nec tamen magnæ gravitatis, sermo fucatus neque nativa illa facilitate et facetiis sanis, quibus Demadem excelluisse veteres testes omnes consentiunt (Cic. orat. § 90), insignis, res quæ narrantur communibus verbis magis tecte quam quod a Demade, homine diuturno usu prudentiam nacto permagnam, necessario requisiveris, accurate et præcise explicatæ. Cum veteres in Demade ingenii felicitatem admirentur, qua res fere acu tangere solitus sit, hic eum ambages quæsivisse dixeris. Nec, si quis partem tantum exstare excusaverit, intelligas, quomodo post ea quæ supersunt ad brevem et aptam rerum gestarum narrationem redire potuerit. Fateor igitur me iis assentiri, qui fragmentum illud rhetoris alicujus fraude fictum et Demadi tributum esse statuant. Neque enim quidquam in eo traditur, quin facile ex iis quæ de Demade narrarentur hauriri potuerit. Qui dedita opera fraudem illam arguerit, memini neminem, sed dubitant A. Bœckhius Œcon. publ. Ath. 2 p. 246, Bellinus de Ballu Hist. eloqu. gr. 1 p. 330 (cf. Lhardy l. d. p. 13), Pluygers p. 75 sq., alii multi. Accedit quod in brevi illo fragmento haud pauca vocabula leguntur, quibus

---

tantis rebus audes dicere? » « Enimvero, inquit, Alexander, quem vos deum decreto vestro facitis, natu quam ego minor est. »

13.

Phylarchus narrat in Arcadia Pytheam et Demosthenem in concione convicia mutuo fecisse, altero Macedonum, altero Græcorum causam agente. Et Pytheam quidem dixisse, quemadmodum crederetur domus in quam lac asininum infertur, omnino aliquo malo laborare, ita urbem quoque necessario vitiosam esse, in quam Atheniensis legatio veniret; eam similitudinem ita a Demosthene inversam, ut et lac asininum sanitatis restituendæ causa importari solere, et Athenienses propter salutem male habentium venire consuevisse diceret.

reliqui oratores non usi sunt, neque ea facile illi ætati conveniant. Affero παρανάλωμα § 2, πρωτολογίας § 3, λογογραφίας § 8, εἰς δίκας... ἔθηκα τὸν πόνον § 8, ταφῇ.. κηδευθεῖσα § 9, πρόβλημα § 11, ut alia omittam. De iis, quibus Joannes Tzetza et anonymus Seguerii usi sunt, certo judicari non potest, sed etiam has orationes suppositas fuisse crediderim. Deli insulæ historiam eo tempore, quo de templo Apollinis lis exorta est, a Demade scribi potuisse Bœckhius existimat (de inscript. deliaca § 6 p. 14). Cf. quæ de Hyperidis oratione deliaca exposui. Hic deinceps omnia collecta dedi, quæ ad Demadem referrentur, cum plura quam quis requireret inveniri mallem quam jure aliquid desiderari. » SAUPPIUS.

I. ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

Τῆς μὲν τῶν κινδυνευόντων σωτηρίας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δὲ ἰατρὸς ἐμπείρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως δικαίοις ᾖ παρηκολουθηκώς. (2) Ἐμπεσὼν δὲ αὐτὸς εἰς μέσην τὴν τῶν ῥητόρων δυσμένειαν, ὥσπερ τῆς παρὰ θεῶν, οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν βοηθείας. Διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι τὸν λόγον ἄπιστον καταστήσειν· ἐγὼ δ' ἀποθανὼν μὲν ἢ ζῶν οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις ἢ παρανάλωμα Δημάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν οὐχ ὁ στρατιώτης — πῶς γάρ; ὃν αὔξει μὲν πόλεμος, εἰρήνη δ' οὐ τρέφει· — ἀλλ' ὁ τὴν χώραν γεωργῶν καὶ ὁ τὴν θάλατταν πλέων καὶ πᾶς ὁ τὸν ἡσύχιον βίον ἠγαπηκώς, ᾧ τὴν Ἀττικὴν ἐτείχισα, τοὺς ὅρους τῆς χώρας περιβαλὼν οὐ λίθοις ἀλλὰ τῇ τῆς πόλεως ἀσφαλείᾳ. (3) Δεινὸν δέ τι συμβαίνει πολλοῖς τῶν κρινόντων, ὦ ἄνδρες δικασταί· ὥσπερ γὰρ ἡ τῶν ὀφθαλμῶν νόσος τὴν ὅρασιν συγχέασα κωλύει τὰ ἐμποδὼν κείμενα θεωρεῖν, οὕτως ἄδικος παρεισδύνων λόγος εἰς τὰς τῶν δικαστῶν γνώμας οὐκ ἐᾷ δι' ὀργὴν συνορᾶν τὴν ἀλήθειαν. Διὸ καὶ δεῖ συνορᾶν ὑμᾶς εὐλαβῶς ἐπὶ τῶν κινδυνευόντων μᾶλλον ἢ τῶν ἐγκαλούντων· οἱ μὲν γὰρ αὐτόθεν ἔχουσιν ἐκ τῆς πρωτολογίας ὁποῖον αὐτοὶ βούλονται τὸν δικαστήν, οἱ δ' ἀναγκάζονται πρὸς ὠργισμένους κριτὰς τὴν διάνοιαν ἀντιτάσσεσθαι. (4) Ἐὰν μὲν οὖν φαίνωμαι τοῖς ἐγκαλουμένοις ἔνοχος, καταψηφίσασθε, μὴ φείσησθε, οὐ παραιτοῦμαι· ἂν δ' εὑρίσκωμαι τῶν ἐγκεκλημένων κεχωρισμένος τῷ δικαίῳ, τοῖς νόμοις, τῷ συμφέροντι, μὴ πρόησθέ με τῇ τῶν κατηγόρων ὠμότητι. Εἰ δὲ πάντως ἀποθανὼν συμβαλοῦμαί τι πρὸς τὴν κοινὴν σωτηρίαν, ὡς οὗτοι λέγουσιν, ἑτοίμως ἔχω τελευτᾶν· κτήσασθαι γὰρ ἰδίῳ θανάτῳ δημοσίαν εὐδαιμονίαν καλόν, ἐὰν ἡ χρεία τῆς πατρίδος ἀλλὰ μὴ ὁ τούτων λόγος τὸ ζῆν ἀφαιρῆται. (5) Δότε δή μοι, πρὸς θεῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δότε διαλεχθῆναι ὡς προαιροῦμαι πρὸς ὑμᾶς περὶ τῶν δικαίων. Δοκῶ μὲν γὰρ δύναμιν εἶναί μοι καὶ τοῖς ἄλλοις βοηθεῖν· ἐν δὲ τούτοις ἐμποδίζει μου τὸν λόγον ὁ φόβος. Ἄλλως δὲ οὐ τὸν ἔλεγχον τοῦ πράγματος δέδια, ἀλλὰ τὸν τῶν ἀντιδίκων φθόνον, ὃς οὐ κρίνει τοὺς ἀδικοῦντας, ἀλλὰ φύεται τοῖς δοκοῦσι λέγειν ἢ πράττειν. (6) Ἡ παρ' ὑμῖν ἐλπὶς δὲ δικαία· ἐὰν ταύτης κατατύχω, πάσας ἀπολύσομαι τὰς διαβολάς· ἄνευ δὲ ταύτης οὔτε ὁ λόγος οὔθ' οἱ νόμοι οὔθ' ἡ τῶν πραγμάτων ἀλήθεια σῶσαι δύνανται τὸν ἀδίκως κρινόμενον. Οὐκ ἀγνοεῖτε δὲ ὅτι πολλοὶ πολλάκις ἤδη τῶν ἐγκαλούντων ἀπὸ μὲν τῆς κατηγορίας ἔδοξαν δίκαια λέγειν, παρατεθείσης δὲ τῆς ἀπολογίας εὑρέθησαν αὐτοὶ συκοφαντοῦντες· ὃ δὴ καὶ νῦν πέπεισμαι τούτοις

I. DE DUODECENNALI.

Eorum qui in judiciorum periculis versantur, Athenienses, vitæ et necis potestatem per leges accepistis : enimvero neque prudenter medicus laborantibus potest succurrere, si causam morbi penitus non agnoverit, neque judex sanctum judicium ferre, nisi in judicio quæ justa observanda sint probe assecutus fuerit. (2) Ipse autem qui in mediam oratorum inimicitiam incidi, ut a diis immortalibus, sic a vobis auxilium imploro. Vitæ meæ detrahunt, existimantes se fidem eorum quæ dicturus sim labefacturos. Ego vero seu vivus seu mortuus nihil sum : quid enim aliud Atheniensibus Demades est quam nullius momenti negotium? Meum enim interitum miles non deplorabit — qui enim? nam hunc bellum quidem auget, pax vero non alit —, sed qui regionem excolit, mare navigat, et omnis qui quietam vitam in deliciis habet, cui Atticam munivi non muris fines regionis sepiens sed urbis nostræ securitate. (3) At grave aliquid multis eorum qui judices sedent, accidit. Sicut enim oculorum ægritudo videndi functionem confundit et quominus clare objecta conspiciantur impedit, sic injusta oratio in judicum sententias irrepens veritatem propter iram conspici non patitur. Quare etiam convenit vos de causa reorum potius quam accusantium caute circumspicere. Accusatores enim qualem cupiunt, talem ex priore, quæ ipsorum est, oratione judicem obtinent; hi contra irritatos judices animum intendere compelluntur. (4) Igitur si crimine teneri videar, condemnate me, ne mihi parcite; non deprecor. Sin insons esse reperiar, juris et legum et utilitatis ratione habita, ne me prodatis accusatorum crudelitati. Si autem omnino morte mea publicæ saluti consulam, ut illi affirmant, alacriter occumbam : pulcrum est enim propria morte publicam conciliare felicitatem, si patriæ commodum, sed non istorum sermo vitam adimat. (5) Permittite, per deos immortales, Athenienses, permittite ut quæ justa in hac causa sint, prout voluero, vobis exponam. Sat magnam dicendi facultatem mihi esse puto, ut vel aliis opitulari possim, in his autem metus orationem meam interturbat. Ceterum non timeo criminis probationem sed adversariorum invidiam quæ non injurios in jus vocat, sed lis nascitur qui dicendo vel agendo præstare videntur. (6) Spes vero apud vos justa est : hac si potitus sum, omnes insidias confringam; absque illa vero neque oratio neque leges neque negotiorum integritas servare poterit injuste in judicium vocatum. Non ignoratis sæpius accidisse ut accusatores, quum justa in accusatione protulisse viderentur, tamen post alterius partis defensionem calumniatores

παρακολουθήσειν, ὑμῶν ἀκούειν προαιρουμένων μετ' εὐνοίας.

7. Ἐπεὶ δὲ καὶ τῆς ἄλλης μου πολιτείας κατηγορεῖν ἐπεχείρησαν, βραχέα βούλομαι περὶ αὐτῆς εἰπεῖν, ἔπειθ' οὕτως ἐπὶ τὴν λοιπὴν δικαιολογίαν ἀπελθεῖν, ἵνα μὴ λάθωσιν ὑμᾶς παρακρουσάμενοι. Γεγονὼς γὰρ ὦ ἄνδρες Ἀθηναῖοι, Δημάδου πατρός, ὡς καὶ ὑμῶν οἱ πρεσβύτεροι γινώσκουσιν, τὸν μὲν ἄλλον χρόνον οὕτως ἔζων ὡς ἠδυνάμην, οὔτε κοινῇ τὸν δῆμον ἀδικῶν οὔτ' ἰδίᾳ λυπῶν οὐδένα τῶν ἐν τῇ πόλει, πειρώμενος δ' ἀεὶ τοῖς ἰδίοις πόνοις τὴν ἀσθένειαν τοῦ βίου διορθοῦσθαι. (8) Ἡ πενία δ' ἴσως δύσχρηστον μὲν ἔχει τι καὶ χαλεπόν, κεχώρισται δ' αἰσχύνης, ὡς ἄν, οἶμαι, τῆς ἀπορίας ἐπὶ πολλῶν οὐ τρόπου κακίαν, ἀλλὰ τύχης ἀγνωμοσύνην ἐλεγχούσης. Προσελθὼν δὲ τοῖς κοινοῖς οὐκ εἰς δίκας καὶ τὴν ἀπὸ τῆς λογογραφίας ἐργασίαν ἔθηκα τὸν πόνον, ἀλλ' εἰς τὴν ἀπὸ τοῦ βήματος παρρησίαν, ἣ τοῖς μὲν λέγουσιν ἐπισφαλῆ παρέχεται τὸν βίον, τοῖς δ' εὐλαβουμένοις μεγίστην δίδωσιν ἀφορμὴν πρὸς κατόρθωσιν· οὐ γὰρ ἐν τῇ τοῦ λέγοντος χάριτι δεῖ συνεκπίπτειν τὴν τῆς πατρίδος σωτηρίαν. (9) Χιλίων ταφὴ Ἀθηναίων μαρτυρεῖ μοι, κηδευθεῖσα ταῖς τῶν ἐναντίων χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς ἀποθανοῦσιν. Ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν ἔγραψα τὴν εἰρήνην· ὁμολογῶ. Ἔγραψα καὶ Φιλίππῳ τιμάς· οὐκ ἀρνοῦμαι. Δισχιλίους γὰρ αἰχμαλώτους ἄνευ λύτρων καὶ χίλια πολιτῶν σώματα χωρὶς κήρυκος καὶ τὸν Ὠρωπὸν ἄνευ πρεσβείας λαβὼν ὑμῖν ταῦτ' ἔγραψα. (10) Ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς οὐχ ἡ δωροδοκία τῶν Μακεδόνων, ὡς οὗτοι πλαττόμενοι λέγουσιν, ἀλλ' ὁ καιρὸς καὶ ἡ χρεία καὶ τὸ τῆς πατρίδος συμφέρον καὶ ἡ τοῦ βασιλέως φιλανθρωπία· ἐλθὼν γὰρ ἐπὶ τὸν κίνδυνον ἐχθρὸς τῶν ἀγώνων φίλος ἐχωρίσθη, τὸ τῶν νενικηκότων ἆθλον τοῖς σφαλεῖσι προσθείς. (11) Πάλιν τοίνυν ἧκε τῇ πόλει καιρὸς ἕτερος, ἵνα τοὺς μεταξὺ κινδύνους ἑκὼν ἐπιλάθωμαι· καὶ πάντες μὲν οἱ τὴν Ἑλλάδα κατοικοῦντες τὸν Ἀλέξανδρον ἐπὶ τὴν ἡγεμονίαν ἀνεβίβαζον, καὶ τοῖς ψηφίσμασιν ἀναπλάττοντες φρόνημα μεῖζον τοῦ δέοντος ἀνδρὶ νέῳ καὶ φιλοδόξῳ περιέθηκαν, λοιποὶ δὲ ἦμεν ἡμεῖς καὶ Λακεδαιμόνιοι, πρόβλημα τῆς σωτηρίας ἔχοντες οὐ χρημάτων πλῆθος, οὐχ ὅπλων παρασκευάς, οὐχὶ πεζῶν σύνταξιν, ἀλλ' ἐπιθυμίαν μεγάλην, δύναμιν δ' ἀσθενῆ καὶ ταπεινήν. (12) Ὧν μὲν γὰρ ἐσύλησε τὴν ἰσχὺν ὁ περὶ Λεῦκτρα κίνδυνος, ὁ δὲ πρότερον ἀπείρατος ὢν πολεμίας σάλπιγγος Εὐρώτας Βοιωτοὺς ἐν τῇ Λακωνικῇ στρατοπεδεύοντας εἶχεν· ἀπέκειρε γὰρ τὴν ἀκμὴν τῆς Σπάρτης ὁ Θηβαῖος, καὶ τοὺς ὅρους τῆς Λακωνικῆς τεθειμένους τὴν ἀκμὴν τῶν νέων συνέκλεισε ταῖς τέφραις. Τὰς δ' ἡμετέρας παρασκευὰς ἀνάλωσεν ὁ πόλεμος, καὶ τὴν ἐλπίδα τῶν ζώντων συνέτριψεν ἡ συμφορὰ τῶν ἀποθανόντων. (13) Θηβαῖοι δὲ μέγιστον εἶχον δεσμὸν τὴν τῶν Μακεδόνων φρουράν, ὑφ' ἧς οὐ μόνον τὰς χεῖρας συνεδέθησαν ἀλλὰ καὶ τὴν παρρησίαν ἀφῄρηντο· τῷ γὰρ Ἐπαμινώνδου σώματι συνέθαψε τὴν δύναμιν τῶν Θηβαίων ὁ καιρός. Ἤκμαζον δὲ τοῖς σώμασιν οἱ Μακεδόνες, οὓς ἤδη ταῖς ἐλπίσιν ἐπὶ τὰ σκῆπτρα καὶ τοὺς Περσῶν θησαυροὺς ἡ τύχη διεβίβαζεν. (14) Ἐνταῦθ' ὁμοίως Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς ὀνόμασιν οὐ σωτήριον δὲ τοῖς

---

esse apparerent; quod quidem etiam nunc his, ut puto, continget, modo vos benevolas mihi aures præbere volueritis.

7. Quoniam autem etiam propter cetera quæ in rep. gessi me criminari studuerunt, pauca de illis dicere volo, et tunc demum ad reliquam causæ meæ defensionem procedere, ne vos impostura istorum lateat. Natus enim, Athenienses, patre Demade, sicuti seniores inter vos noverunt, cetero quidem tempore ut poteram vivebam, neque publice populum fraudans neque privatim in civitate cuiquam nocens, proprio labore paupertatem meam corrigere contendens. (8) Paupertas namque incommodum forsan et difficile quiddam annexum habet, ab infamia tamen sejuncta est, quum indigentia, ut puto, in multis non morum improbitatem sed fortunæ injuriam arguat. Ad rempub. autem accedens non in criminalibus causis neque conscribendarum forensium causarum exercitatione operam posui, sed in libertate pro concione dicendi, quæ quidem dicentibus periculosam parit vitam, sed circumspecte agentibus egregiam magnos obtinendi successus occasionem præbet: haud enim in dicentis gratia salus patriæ constituenda est. (9) Mille Atheniensium funus testis mihi est ipsis adversariorum manibus curatum, quas ex hostilibus amicas reddidi defunctis. Rerum administrationi præfectus tum pacem scripsi; fateor. Scripsi et Philippo laudes: non nego. captivos enim bis mille absque ullo redemptionis pretio civiumque mille corpora sine præcone Oropumque sine legatione recipiens vobis ista conscripsi. (10) Neque vero munera a Macedonibus oblata scribentis manum occuparunt, ut hi fingendo asserunt, sed tempus, necessitas, patriæ commodum, regisque perhumanus animus; nam quum hostis venisset ad certaminum periculum, discessit amicus, victoris præmium victo attribuens. (11) Rursus aliud urbi tempus grave venit (nam intermedia inter hoc et prius illud pericula lubens omitto). Græciæ incolæ universi Alexandrum ad imperium promoverunt et in viro juvenili gloriæque avido spiritus excitarunt justo majores. Reliqui nos eramus et Lacedæmonii, salutis propugnaculum habentes neque opum copiam nec armorum apparatum nec militum cohortes, sed ingenti incensi desiderio, quantumvis fracta et prostrata esset potentia. (12) Nam Lacedæmoniorum robur ad Leuctra prœlium abstulerat, et inexpertus antea hostilis tubæ Eurotas in Laconia vidit castra Bœotorum; scilicet florem Spartæ Thebanus decerpserat, et terminos Laconiæ positos, florem juventutis, cineribus incluserat; nostros autem apparatus consumserat bellum, et spem superstitum labefactaverat infortunium defunctorum. (13) Thebanos denique firmissimo vinculo obstrictos tenebat Macedonum præsidium, quo non manus solum iis vinciebantur sed dicendi etiam libertas auferebatur; nam cum Epaminondæ corpore simul etiam potentiam Thebanorum tempus sepeliverat. Contra vero virorum copia Macedones vigebant, quorum spes ad sceptra jam Persarum thesaurosque fortuna transducebat. Tunc quoque Demosthenes quidem bellum probavit, nomine tenus speciosa, reapse perniciosa civibus consulens;

ἔργοις συμβουλίαν εἰσηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον ἔστη τῆς Ἀττικῆς, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο, καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις καὶ τῶν βοσκημάτων ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν ἦν ἐλπίς, ἔγραψα τὴν εἰρήνην. (15) Ὁμολογῶ, καὶ φημὶ καλῶς καὶ συμφερόντως πεπραχέναι τοῦτο· κρεῖττον γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι. Ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐκ τῶν πραγμάτων λύπην ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυσμένειαν. Οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης, ἀλλ' ἡ τύχη τοῦ βίου, δι' ἣν κινδυνεύει. Δεῖ δὲ τὸν σύμβουλον, καθάπερ τὸν ἰατρόν, οὐ τῆς νόσου τὴν αἰτίαν ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν. (16) Καταχωρίσαντες οὖν τὰ συμβάντα διὰ τὰς ἔξωθεν αἰτίας, ψιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν θεωρήσατέ μου τὴν πολιτείαν. Μετὰ ταῦτα τοίνυν τῇ πόλει τρίτος ἐπήγετο κίνδυνος πάντων χαλεπώτατος, οὐκέτι πεμφθεὶς ὑπὸ τῆς τύχης, ἀλλ' ὑπὸ τῶν τότε ῥητόρων ἐπαχθείς. (17) Καί μοι τῶν πεπραγμένων ἀναμνήσθητε, ἡνίκα Δημοσθένης καὶ Λυκοῦργος τῷ μὲν λόγῳ παρατεττόμενοι τοὺς Μακεδόνας ἐνίκων ἐν Τριβαλλοῖς, μόνον δ' οὐχ ὁρατὸν ἐπὶ τοῦ βήματος νεκρὸν τὸν Ἀλέξανδρον προέθηκαν, ἐν τῷ δήμῳ δ' ἀλείψαντες λόγοις εὐπρεπέσι Θηβαίων τοὺς παρόντας φυγάδων θυμοὺς ἐπ' ἐλπίδι τῆς ἐλευθερίας ἠκόνησαν, ἐμὲ δὲ στυγνὸν καὶ περίλυπον ἔφασκον εἶναι μὴ συνευδοκοῦντα....

II. ΑΠΑΡΑΣΗΜΑ.

2.

Anonymus Seguerii : Λαμβάνεται (sc. ἡ πρόθεσις) δὲ καὶ μειώσεως ἕνεκεν, ὡς ὁ Δημάδης· « ἥρπασαν οἱ Διόσκουροι τὰς Λευκιππίδας, Ἀλέξανδρος τὴν Ἑλένην· καὶ διὰ τοῦτο τοῖς Ἕλλησι πόλεμος ἐγένετο· καὶ νῦν τοῦ πορνοβοσκοῦ θυγάτηρ ἥρπασται. »

3.

Aristoteles Rhet. II, 24 : Ἄλλος (sc. τόπος τῶν φαινομένων ἐνθυμημάτων) παρὰ τὸ ἀναίτιον ὡς αἴτιον, οἷον τῷ ἅμα ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις, οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ' ἐκείνην γὰρ συνέβη ὁ πόλεμος.

4.

Athenæus III, p. 99, D : Καὶ Δημάδης δὲ ὁ ῥήτωρ ἔλεγε τὴν μὲν Αἴγιναν εἶναι λήμην τοῦ Πειραιῶς, τὴν δὲ Σάμον ἀπώρυγα τῆς πόλεως, ἔαρ δὲ τοῦ δήμου τοὺς ἐφήβους, τὸ δὲ τεῖχος ἐσθῆτα τῆς πόλεως, τὸν δὲ σαλπιγκτὴν κοινὸν Ἀθηναίων ἀλέκτορα.

5.

Pollux VII, 104 : Ἀργυράγχη, ὡς Δημάδης σκώπτων Δημοσθένη συνάγχη λέγοντα εἰλῆφθαι.

6.

Diodor. Sic. X, 9. : Ὁ δὲ (Demades) διαβεβαιούμενος ὅτι δεῖ τὸ λυσιτελέστατον ὥσπερ ἐπὶ τῶν ἄλλων οὕτω καὶ ἐπὶ τῶν ὅρκων αἱρεῖσθαι· ὁρᾶν δὲ τὸν ἐπιορκήσαντα παραχρῆμα ταῦτ' ἔχοντα περὶ ὧν ὤμοσε, τὸν δὲ ὁρκίζοντα φανερῶς τὸ ἴδιον ἀπολλύντα.

7.

Demetrius π. ἑρμην. § 282 sqq. : Δεινὰ δὲ καὶ τὰ Δημάδεια, καίτοι ἴδιον καὶ ἄτοπον τρόπον ἔχειν δοκοῦντα· ἔστι δὲ αὐτῶν ἡ δεινότης ἔκ τε τῶν ἐμφά-

---

ubi autem jam propinquum Atticæ bellum erat et tota regio intra urbis muros includebatur et civitas nostra, omnium contentione et admiratione appetita, bobus ovibusque et jumentis stabuli instar implebatur, nec ulla ex parte spes auxilii affulgeret, tunc ego pacem scripsi. (15) Fateor, et pulcre hoc ac utiliter me fecisse contendo; præstat enim nubem imminentem vitare quam vehementi abripi torrente. Censeo autem, judices, ex iis quæ subsecuta sunt calamitosis nullam mihi apud vos succrescere inimicitiam. Non ego enim fortunam modero, sed vitam fortuna regit periculisque obnoxiam facit. Decet autem consiliario sicut medico non morbum imputari sed curationis rependi gratiam. (16) Sejungentes igitur ea quæ per externas causas acciderunt, ad ea solummodo quæ nonnisi ad meam in rebus publicis agendi rationem pertinent, attendite. Post hæc denique tertium urbi periculum adductum est omnium gravissimum, quod non amplius fortuna immisit, sed qui tunc erant oratores conflarunt. Ac recordamini mihi quænam gesta sint illo tempore, quo Demosthenes et Lycurgus instructa orationibus acie Macedones apud Triballos vincebant, et tantum non omnium oculis conspiciendum cadaver Alexandri in suggestu exposuerunt, in populo autem verbis speciosis præsentes Thebanorum exules demulcebant animosque eorum spe libertatis acuerunt, me autem torvum et tristem esse dicebant non comprobantem...

II. EX ORATIONIBUS INCERTIS.

2—6.

Demades : « Dioscuri rapuerunt Leucippidas, Alexander Helenam, et propterea bellum Græcis exstitit; et nunc lenonis filia rapta est. »

Demades Demosthenis administrationem reipublicæ omnium malorum caussam exstitisse dicit; nam post eam bellum ingruit.

Demades orator Æginam esse dixit Piræei portus gramiam; Samum vero abruptum ab urbe frustum; juvenes ver populi; murum vestimentum urbis; tibicinem vero publicum Atheniensium gallum-gallinaceum.

Ἀργυράγχη, *argentangina* (quum quis muneribus corruptus tacet, et quasi argento suffocatur); ea voce Demades usus est ridens Demosthenem angina se teneri dicentem.

Demades affirmabat id quod utile foret tum in aliis rebus tum etiam in jurejurando sequendum esse, se autem videre pejerantem statim potiri ea re, cujus causa jurasset, eum vero qui justum jusjurandum conciperet, aperte suam rem amittere.

7.

Demades : « Non mortuus est Alexander, Athenienses, nam totus orbis terrarum cadaver ejus oleret. » — « Hoc decretum non ego scripsi, sed bellum Alexandri hasta scripsit. » — « Nam Macedoniæ imperium, amisso Alexan-

σεων γινομένη καὶ ἐξ ἀλληγορικοῦ τινος παραλαμβανομένου, καὶ τρίτον ἐξ ὑπερβολῆς. Οἷόν ἐστι τό « οὐ τέθνηκεν Ἀλέξανδρος, ὦ ἄνδρες Ἀθηναῖοι· ὦζε γὰρ ἂν ἡ οἰκουμένη τοῦ νεκροῦ. » Τὸ μὲν γὰρ ὦζεν ἀντὶ τοῦ ᾐσθάνετο ἀλληγορικὸν καὶ ὑπερβολικὸν ἅμα· τὸ δὲ τὴν οἰκουμένην αἰσθάνεσθαι ἐμφαντικὸν τῆς δυνάμεως τῆς Ἀλεξάνδρου· καὶ ἅμα δέ τι ἐκπληκτικὸν ἔχει ὁ λόγος ἠθροισμένον ἐκ τῶν τριῶν· πᾶσα δὲ ἔκπληξις δεινόν, ἐπειδὴ φοβερόν (cf. Plut. Phoc. 22; Gregor. Cor. ad Hermog. 7 p. 1181, 6). Τοῦ δὴ αὐτοῦ εἴδους καὶ τὸ ὅτι « τοῦτο τὸ ψήφισμα οὐκ ἐγὼ ἔγραψα, ἀλλ' ὁ πόλεμος τῷ Ἀλεξάνδρου δόρατι γράφων. » Καὶ τό· « ἔοικε γὰρ ἡ Μακεδονικὴ δύναμις, ἀπολωλεκυῖα τὸν Ἀλέξανδρον, τῷ Κύκλωπι τετυφλωμένῳ » (cf. Plut. Galb. 1, et Moral. p. 182, A). Καὶ ἀλλαχοῦ που· « πόλιν οὐ τὴν ἐπὶ προγόνων τὴν ναύμαχον, ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφῶσαν. » Τὸ μὲν γὰρ γραῦν ἀλληγοροῦν ἀντὶ τοῦ ἀσθενῆ καὶ ἐξίτηλον ἤδη καὶ ἅμα ἐμφαῖνον τὴν ἀδρανίαν αὐτῆς ὑπερβολικῶς, τὸ δὲ πτισάνην ῥοφῶσαν ἐπὶ τοῦ ἐν κρεανομίαις τότε καὶ πανδαισίαις διάγουσαν ἀπολλύειν τὰ στρατιωτικὰ χρήματα. Περὶ μὲν οὖν τῆς Δημαδείου δεινότητος ἀρκεῖ τοσαῦτα, καίτοι ἐχούσης τι ἐπισφαλὲς καὶ οὐκ εὐμίμητον μάλα· ἔνεστι γάρ τι καὶ ποιητικὸν τῷ εἴδει, εἴγε ποιητικὸν ἡ ἀλληγορία καὶ ὑπερβολὴ καὶ ἔμφασις· ποιητικὸν δὲ μικτὸν κωμῳδίᾳ. Cf. Photius Lex. : « Παρέλαβον τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφοῦσαν. » Suidas : Παρέλαβε τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια ὑποδεδεμένην καὶ πτισάνην ῥοφοῦσαν.

8.

Plutarchus Mor. p. 803, A : Δέχεται δὲ ὁ πολιτικὸς λόγος δικανικοῦ μᾶλλον καὶ γνωμολογίας ... καὶ μεταφοράς, αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρόν· ὡς... καὶ Δημάδης, τὰ ναυάγια λέγων πολιτεύεσθαι τῆς πόλεως. Cf. vit. Phocion. c. 1.

9.

Valerius Maximus VII, 2, 10 : *Demadis quoque dictum sapiens : nolentibus enim Atheniensibus divinos honores Alexandro decernere : « Videte, inquit, ne dum cælum custoditis, terram amittatis. »*

10-11.

Plutarchus Mor. p. 1011, B : Εἰ μὴ καὶ τοῦ φορτίου τὸν ἱμάντα καὶ τοῦ βιβλίου τὴν κόλλαν ἀξιοῦσι μέρος εἶναι, καὶ τὰς διανομὰς τοῦ πολιτεύματος, ὡς ἔλεγε Δημάδης, κόλλαν ὀνομάζων τὰ θεωρικὰ τῆς δημοκρατίας.

Idem Cleomen. c. 27 : Καὶ Δημάδης τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτε τῶν Ἀθηναίων κελευόντων, χρήματα δ' οὐκ ἐχόντων, πρότερόν ἐστιν, ἔφη, τοῦ πρωρατεῦσαι τὸ φυρᾶσαι. « Hæc quanquam corrupta esse patet, tamen post varios hominum doctorum conatus, quomodo emendanda sint incertum est. » Sauppius. Aristophanes Eq. 545 dicit : ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν, κατ' ἐντεῦθεν πρωρατεῦσαι. Idem dixerit Demades. Itaque, quum οὐρὰ vox de puppi usurpetur, in φυρᾶσαι latuerit οὐρα[γῆ]σαι.

12.

Jo. Tzetzes Chil. VI, 112 :

Ὁ δὲ Δημάδης ἀνελεῖν τὸν Δημοσθένην λέγει,
συγκείμενον ἀνθρώπιον ἐκ συλλαβῶν καὶ γλώττης.
Καὶ πάλιν· κόλαξ, πού φησι, καὶ ἄνθρωπος δὲ γόης
δυστήνους λόγους μελετῶν κυκᾷ τε καὶ ταράσσει,
τυρβάσας, οἰκτισάμενος, ἄλλα ποιῶν μυρία,
προσποίητά τε δάκρυα σὺν τούτοις ἐκδακρύων.
Πάλιν ἐναντιούμενος Ἀλοννησίταις λέγει·
ὑπὲρ μικρᾶς τῆς νήσου τε καὶ πόρων ἐλαχίστων
μέλλετε διαφέρεσθαι πρὸς Φίλιππον, ὦ ἄνδρες,
ἀνδρὸς ὀχλοκοποῦντός τε καὶ στασιώδους λόγοις.
Καὶ πάλιν· ὑπὸ ῥήτορος ἀνδρὸς καὶ γυναικείου.
Πάλιν· γυναικιζόμενος χλανίσι τοῖν εὐσήμων
καὶ σύρων τὸ ἱμάτιον καὶ φωνασκῶν, ὡς ἔθος, [λους.
δειλοὺς ἀνάνδρους τε καλεῖ τοὺς πρεπωδῶν συμβού-
Καὶ πάλιν· τρίβων κεφαλὴν καὶ συνεχῶς ἐκβήττων,
ὡς καὶ κατακλύσειν λόγοις μέλλων τὴν ἐκκλησίαν,
Ἑλλάδα συνταράξειν τε καὶ σύμπαντας φιμώσειν,
οἳ καὶ αὐτὸν ἐπίστανται καὶ τὴν αὐτοῦ πατρίδα,
καὶ τίς τελῶν καὶ πόθεν ὢν ὑπὲρ αὐτῶν φυσᾶται·

---

dro, similis est Cyclopi excæcato. » — « Acceperunt urbem non sicut majorum temporibus pugnas navales pugnantem, sed anum sandaliis indutam et ptisanam sorbentem. »

8.

Admittit autem civilis oratio facilius quam judicialis sententias communes...et translationes, quibus maxime moventur animi hominum, modice et opportune usurpatis : quale fuit etiam Demadis qui se naufragia reipublicæ aiebat tractare.

10-11.

Nisi velis etiam lorum oneris, et gluten libri partem esse, ac divisiones pecuniæ partem reip. gerendæ : quomodo Demades dixit « pecuniam, quæ populo ex ærario habetur ad spectaculorum usum, gluten esse popularis in rep. status. »

Demades, Atheniensibus deducere naves et instruere classem jubentibus, dixit : « Antequam in prora navis imperaveris, in puppi gubernaculis præesse debes. »

12.

Demades sustulisse Demosthenem dicit, homuncionem e syllabis et lingua compositum. Rursus alibi dicit : « Assentator et præstigiator infelices orationes meditans miscet et turbat, tumultum excitans, commiserationem movens, alia agens innumera, et simulatas cum his effundens lacrymas. » Rursus adversans Halonesitis ait : « Ob parvam insulam et reditus minimos vos, Athenienses, cum Philippo inimicitias contrahere vultis, quod vir iste populum excitat verbis. » Et rursus : « A rhetore et viro muliebri. » Rursus : « Mulieres imitans chlænis insignibus et trahens pallium et vocem exercens, ut solet, ignavos et effeminatos dicit eos qui quæ decent consulunt. » Et rursus : « Fricans caput et continuo extussiens, et quasi verbis concionem inundaturus et Græciam mixturus et universos camo ad silentium adacturus, qui et ipsum et ejus patriam norunt, et cujusnam

καὶ τὰς ὀφρύας ἀνασπᾷ, καθάπερ ὁ Κριτίας, ὁ εἷς ἐκ τῶν τριάκοντα, μὴ παῖς μαχαιρουργοῦ δέ, ὁ βδελυρὸς καὶ βάναυσος. Καὶ πάλιν· πλάνης, γόης, ῥήτωρ οὐκ ἐπιχώριος, ξένος τελῶν καὶ Σκύθης, ὡς παῖς δ' οὐκ ὢν μαχαιρουργοῦ, μητρὸς δὲ τῆς Σκυ-[θίδος, κυκᾷ, ταράττει, θορυβεῖ τὴν σύμπασαν Ἑλλάδα.

13.

Idem ib. VI, 16 :

Κατὰ Δημάδου λέγει δὲ καὶ φλυαρεῖ ὁπόσα,
ἐπὶ υἱῷ τὸν Φίλιππον γαμβρὸν κατονομάζων,
ἀνθ' ὧν ὑπῆρχεν ἐραστὴς εἰρήνης ὁ Δημάδης
φάσκων· ἀνάνδρους οὐ καλῶ καθάπερ Δημοσθένης,
ἀναρριπίζων πόλεμον, εἰρήνην ἀπελαύνων,
δειλός εἰμι καὶ ἐραστὴς καθέστηκα εἰρήνης,
οὐ στέργω μάχης ἀραγμούς, οὐδὲ πολέμων κρότους,
οὐδὲ πρὸς πολυάνδριον θέλω φιλοτιμεῖσθαι.
Περὶ εἰρήνης λέγοντι, ὦ ἄνδρες, πείθεσθέ μοι,
μὴ ὀχλοκόπῳ δὲ ἀνδρὶ μάτην ὀχλοκοποῦντι·
ἀντιστροφὴ γὰρ γίνεται πραγμάτων τῷ πολέμῳ·
θάπτει πατὴρ τὸν παῖδα γάρ, γέρων τὸν γηροτρόφον.
Εἴθ' ὤφελον Δημάδην μὲν ἔχειν καὶ οἱ Θηβαῖοι·
ἔτι γὰρ ἄν, Δημόσθενες, ἦσαν αἱ Θῆβαι πόλις·
νῦν δ' εἰσὶ πολυάνδριον καὶ τόπος οἰκοπέδων.

14.

Idem ib. V, 342 :

Πρῶτος ὁ Δράκων γέγονεν Ἀθήναις νομογράφος,
ἅπασι τοῖς ἐγκλήμασιν μέχρι κλοπῆς λαγχάνων
φόνον τὸ ἐπιτίμιον ἀνηλεῶς ὁρίζων·
διὸ Δημάδης ὕστερον ῥήτωρ ὡραῖος κάλλει,
πολὺ δὲ ὡραιότερος ἀποφθεγμάτων λόγοις
μεγάλως εὐδοκίμησεν ἐν κριτηρίῳ λέξας·
ἔοικεν, ἄνδρες δικασταί, Δράκων ὁ νομογράφος
οὐ μέλανι, δι' αἵματος τοὺς νόμους δὲ χαράξαι.

Cf. Plutarch. Solon. c. 17. Ttetziana hæc ex declamationibus Demadæ suppositis petita esse probabiliter existimat Sauppius.

15.

Plutarchus Dem. c. 23 : Δημάδης ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν αὐτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε.

16.

Antonius Melissa p. 62 Turic. : Δημάδου. « Τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον ἢ παραπεσοῦσαν ἰασαμένοις· τοῦ γὰρ ἀπηλλάχθαι κακοῦ τὸ μὴ πάσχειν αἱρετώτερον.

17.

Idem p. 62 : Δημάδου. « Ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται, τοσοῦτον ἀδίκοις ἐναντιοῦται. »

18.

Idem p. 68 : Δημάδου. « Τοῖς μὲν δούλοις ἡ ἀνάγκη νόμος, τοῖς δὲ ἐλευθέροις ὁ νόμος ἀνάγκη. Eadem Michael. Apostol. Proverb. 19, 46.

19.

Stobæus Flor. XXIX, 91 : Δημάδους. Δημάδης ἐρωτηθείς, τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, « τὸ τῶν Ἀθηναίων, ἔφη, βῆμα· » ἐμφαίνων, ὅτι ἡ διὰ τῶν πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διδασκαλίας ἐστίν. Cf. Cramer. Anecd. Oxon. 4 p. 253 et Antonius Mel. p. 57.

20.

Idem IV, 69 : Δημάδου. Δημάδης τοὺς Ἀθηναίους

---

classis particeps et unde ortus ille majores quam ipsi sumat spiritus, et supercilia tollat, sicut Critias, qui triginta virorum unus fuit, non vero cultrorum fabri filius, exsecrabilis ille vilisque. » Et rursus : « Vagabundus præstigiator, orator non indigena, sed peregrinus Scytha, quasi non esset cultrorum fabri et Scythicæ mulieris filius, turbat, miscet, tumultu implet totam Græciam. »

13.

Contra Demadem Demosthenes dicit et nugatur plurima, Philippum e filio ejus generum vocans; Demades contra pacis amans erat, dicens : « Non ignavos Athenienses dico, sicut Demosthenes, qui bellum suscitat et pacem abigit; timidus sum et pacem amplector, non amo pugnæ collisiones bellorumque strepitus, neque cœmeterio delectari volo. Pacem suadenti mihi, Athenienses, obsequamini, non tumultuatori isti frustra tumultus excitanti. Nam rerum ordo bello invertitur; pater filium sepelit, senex eum qui senem alere debet. Utinam Thebani quoque Demadem habuissent; nam adhuc, Demosthenes, staret urbs Thebarum; nunc vero est cœmeterium et area domiciliorum collapsorum. »

14.

Primus Dracon fuit Atheniensibus legistator, qui omnibus criminibus ad furtum usque mortis pœnam statuit immisericors. Quare postea Demades orator formæ pulcritudine excellens, et dicteriorum verbis excellentior, valde claruit in judicio dicens : « Videtur, judices, Draco legislator non atramento, sed sanguine leges exarasse.

15.

Demades excusans suam inconstantiam, sibi ipse sæpe contraria se dixisse aiebat, civitati nunquam.

16.

Demadis : « Asclepiadis major debetur gratia imminentem morbum avertentibus, quam medentibus morbo qui jam ingruerit; nam non pati malum quam liberari eo præstat. »

17.

Demadis : « Quantum justis dii opitulantur, tantum injustis adversantur. »

18.

Demadis : « Servis necessitas pro lege, ingenuis lex necessitatis loco est. »

19.

Demades interrogatus, quo præceptore fuisset usus, « Tribunali, respondit, Atheniensium, » insinuans in negotiis experientiam quavis sophistarum institutione meliorem esse.

20.

Demades Athenienses tibiis æquiparavit, quibus si lingulam ademeris, reliquum inutile est.

εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστι.

21.

Idem LXXIV, 56 : Δημάδους. Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.

22.

Plutarchus Mor. p. 126, E : Ὁ Δημάδης πολεμικοὺς ἀκαίρως τοὺς Ἀθηναίους ὄντας ἔλεγε μηδέποτε χειροτονεῖν εἰρήνην ἄνευ μελάνων ἱματίων.

23.

Idem ib. p. 191, E (et 216, C) : Ὁ δὲ νεώτερος Ἆγις, Δημάδου λέγοντος, ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, « καὶ μήν, ἔφη, μάλιστα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται. » Cf. vit. Lycurg. 19.

24.

Idem ib. p. 818, E : Οὐ χεῖρον δὲ καὶ μετάγειν ἐπ' ἄλλα χρειώδη τὸ σπουδαζόμενον, ὡς ἐποίησε Δημάδης, ὅτε τὰς προσόδους εἶχεν ὑφ' ἑαυτῷ τῆς πόλεως· ὡρμημένων γὰρ ἐκπέμπειν τριήρεις βοηθοὺς τοῖς ἀφισταμένοις Ἀλεξάνδρου καὶ χρήματα κελευόντων παρέχειν ἐκεῖνον· « Ἔστιν ὑμῖν, ἔφη, χρήματα· παρεσκευασάμην γὰρ εἰς τοὺς Χόας, ὥσθ' ἕκαστον ὑμῶν λαβεῖν ἡμιμναῖον· εἰ δ' εἰς ταῦτα βούλεσθε μᾶλλον, αὐτοὶ καταχρῆσθε τοῖς ἰδίοις. » Καὶ τοῦτον τὸν τρόπον, ὅπως μὴ στεροῖντο τῆς διανομῆς, ἀφέντων τὸν ἀπόστολον, ἔλυσε τὸ πρὸς Ἀλέξανδρον ἔγκλημα τοῦ δήμου. Pertinent hæc ad res olymp. 112, 2.

25.

Gregorius Cor. ad Hermog. VII, p. 1203 W. : Καὶ ὁ Δημάδης ἐρωτηθείς, Πῶς οὖν πολεμήσομεν; ἀπεκρίνατο, « Πῶς οὖν τὴν εἰρήνην ἄξομεν; »

26.

G. Gracchus apud A. Gellium Noctium attic. XI, 10 : *In terra Græcia, quo in tempore græcus tragœdus gloriæ sibi ducebat talentum magnum ob unam fabulam datum esse, homo eloquentissimus civitatis suæ, Demades, ei respondisse dicitur : « Mirum tibi videtur, si tu loquendo talentum quæsisti? Ego ut tacerem, decem talenta a rege accepi. »*

27.

Stobæus Flor. LIV, 47 : Δημάδης. Δημάδης ὁ ῥήτωρ ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ συσταθεὶς αὐτῷ, ἐκείνου παρὰ πότον σεμνυνομένου, « Ποῦ ἡ εὐγένεια καὶ ἡ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως; » « Ἔγνως ἄν, ἔφη, ὦ βασιλεῦ, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει. » Cf. Pseudo-Plutarchi περὶ εὐγενείας c. 2.

28.

Sextus Empiricus C. Mathem. I, § 295 p. 667, 26 Bekk : Ἡ μὲν γὰρ ὁμιλητικὴ οὐχ ἀπὸ γραμματικῆς περιγίνεσθαι πέφυκεν, ἀλλ' ἀπὸ κοινῆς τινος ἐντρεχείας· εἰ μή τι καὶ Δημάδης ὁ ῥήτωρ γραμματικὸς ἦν, πολλοῖς τῶν Ἀθηναίων μετὰ τὴν ἐν Χαιρωνείᾳ ἥτταν συναιχμαλωτισθείς, καὶ εἰπὼν πρὸς τὸν Φίλιππον ἀναγκάζοντα εὐωχεῖσθαι·

τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος,
πρὶν λῦσαί θ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;

29.

Diodorus Sic. XVI, 87 : Δημάδην δὲ τὸν ῥήτορα κατ' ἐκεῖνον τὸν καιρὸν ἐν τοῖς αἰχμαλώτοις ὄντα χρήσασθαι παρρησίᾳ καὶ λόγον ἀποφθέγξασθαι δυνάμενον ἀναστεῖλαι τὴν τοῦ βασιλέως ἀσέλγειαν. Φασὶ γὰρ εἰπεῖν αὐτόν· « Βασιλεῦ, τῆς τύχης σοι περιθείσης πρόσωπον Ἀγαμέμνονος, αὐτὸς οὐκ αἰσχύνῃ πράττων ἔργα Θερσίτου; »

21.

Demades pudorem pulcritudinis arcem esse dixit.

22.

Demades de Atheniensibus intempestivo belligerandi studio deditis dicebat, nunquam eos nisi atratos pacem decernere.

23.

Agis junior, Demade dicente gladios Laconicos ob parvitatem devorari a præstigiatoribus, « Atqui, respondit, gladiis maxime Lacedæmonii suas hostes tangunt. »

24.

Expedit etiam id, cui populus studet, ad utilem aliquam rem traducere, sicut fecit Demades, quo tempore urbis reditus in sua habuit potestate. Quum enim adjecissent animum Athenienses ad mittendum triremes, quæ auxilium his ferrent qui ab Alexandro defecerant, et ipsam pecuniam : se eam ad choas (sacrificium id erat solenne) comparasse, ut civium quivis acciperet dimidium minæ; quod si in classem id pecuniæ vellent impendi, ad Choas quisque de suo conferret. Atque hoc modo illis, ne divisione illa spoliarentur, classis missionem omittentibus, effecit ne Alexander haberet quo nomine populum juste culparet.

25.

Demades interrogatus : « Quo igitur pacto bellum geremus? » respondit : « Quo igitur pacto pacem agemus? »

27.

Demades orator in pugna Chæronensi captus a Philippo in ejusque societatem admissus, quum inter potum rex gloriabundus interrogaret : Ubinam est Atheniensium civitatis nobilitas et eminentia? — « Cognosceres, rex, respondit, si Atheniensibus Philippus, Macedonibus vero Chares præesset. »

28.

Dextre cum hominibus versandi artem non grammaticæ studio nanciscimur, sed naturæ quadam sollertia, ni forte etiam Demades orator grammaticus fuit, qui post cladem Chæronensem cum aliis multis Atheniensibus in captivitatem abductus ad Philippum convivari cogentem dixit : « Quis enim vir qui æquus fuerit, prius sustinuerit gustare cibum ac potum quam socios solvi fecerit et oculis suis viderit (Od. 10, 388). »

29.

Demadem oratorem, qui captivorum in grege tunc erat, orationis libertate usum, verbum coercendæ regis petulantiæ accommodatum enuntiasse dicunt. Ad hunc vero modum locutus fertur : « Quando personam Agamemnonis fortuna tibi, rex, induit, Thersitæ facta repræsentare nonne te pudet?

30.

Suidas v. Δημάδης : Λόγους δὲ διδοὺς ἀρχῆς θορυβηθεὶς ἀπεδήμησεν, « οὔτε ἑαυτῶν, εἰπών, ἐστὲ κύριοι, οὔτε ἐμοῦ. »

31.

Lucianus Laud. Demosth. c. 15 : Οὐχ οὕτως ὁ Δημοσθένης συνετίθει πρὸς μέθην τοὺς λόγους ἀλλ' ὕδωρ πίνων· ᾗ καὶ τὸν Δημάδην παῖξαί φασιν εἰς ταύτην αὐτοῦ τὴν ὑδροποσίαν, ὡς οἱ μὲν ἄλλοι πρὸς ὕδωρ λέγοιεν, τὸν Δημοσθένην δὲ πρὸς ὕδωρ γράφειν.

32.

Plutarchus Dem. c. 11 : Ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος· « Ἐμὲ Δημοσθένης, ἡ ὗς τὴν Ἀθηνᾶν ; » Αὕτη, εἶπεν, ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη. »

33.

Æsopi fab. 178 : Δημάδης ὁ ῥήτωρ δημηγορῶν ποτε ἐν Ἀθήναις, ἐκείνων οὐ πάνυ αὐτῷ προσεχόντων ἐδεήθη αὐτῶν, ὅπως ἐπιτρέψωσιν αὐτῷ μῦθον εἰπεῖν. Συγχωρησάντων δὲ αὐτῶν αὐτῷ ἀρξάμενος ἔλεγε· Δήμητρα καὶ χελιδὼν καὶ ἔγχελυς τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Γενομένων δὲ αὐτῶν κατά τινα ποταμὸν ἡ μὲν χελιδὼν ἔπτη, ἡ δὲ ἔγχελυς κατέδυ. Καὶ ταῦτα εἰπὼν ἐσιώπησεν. Ἐρομένων δὲ αὐτῶν· Ἡ δὲ Δήμητρα τί πέπονθεν; ἔφη· « Κεχόλωται ὑμῖν, οἵ τινες τὰ τῆς πόλεως ὑμῶν πράγματα ἐάσαντες μύθων ἀνέχεσθε. »

« Multa ex iis, quæ attuli, non ad rem videbuntur pertinere; sed id secutus sum, ut proponerem, quæcunque videri poterant fando accepta et per ora hominum tradita denique apophthegmatum speciem induisse, cum ab initio locum in oratione Demadis habuissent. Sed quæ H. Lhardy p. 76 sq. (frg. 19—22) posuit (Ælian. V. H. 14, 10. Plutarch. Phoc. c. 20, de cupid. divitiar. p. 525. B. Phocion c. 30), ea ita comparata sunt, ut ex oratione desumpta esse non possint. Quare restat quem afferendum esse videam unus locus :

34.

Schol. Hesiod. Theog. 914 : Ἡρπάσθαι δὲ τὴν Περσεφόνην φασὶν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης, Ὀρφεὺς δὲ ἐκ τῶν περὶ τὸν Ὠκεανὸν τόπων, Φανόδημος δὲ ἀπὸ τῆς Ἀττικῆς, Δημάδης (Δημέας, Δημαίας v. lect.) δὲ ἐν νάπαις. « Nec quænam sint illæ νάπαι patet, nec quonam in libro vel qua in oratione Demades hæc dicere potuerit. » Sauppius. Napen, Lesbi urbem, indicari censuit Ebert.; conjiceres ἐν Ἔννας νάπαις, nisi jam dictum esset : οἱ μὲν ἐκ Σικελίας. Quodsi locus petitus est ex *Deli historia*, quam Suidas Demadi oratori tribuit, fortasse erat ἐκ Ἑκάτης (νήσου), quæ insula ad Delum sita erat.

LIII. ÆSION.

Suidas v. Δημοσθένης : Συνεφιλολόγησε δὲ (Demosthenes) Αἰσίωνι τῷ Ἀθηναίῳ.

Aristoteles Rhet. III, 10 : Αἰσίων δέ, ὅτι εἰς Σικελίαν τὴν πόλιν ἐξέχεαν· τοῦτο γὰρ μεταφορὰ καὶ πρὸ ὀμμάτων. Καί· ὥστε βοῆσαι τὴν Ἑλλάδα· καὶ τοῦτο τρόπον τινὰ μεταφορὰ καὶ πρὸ ὀμμάτων. Cf. Plutarchus Demosth. c. 11 : Αἰσίωνα δέ φησιν Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους, ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν. Idem Demosthenes de se et Callistrato dixit, ut tradit schol. in Demosth. c. Timocr. p. 785 ed. Dindf.

30.

Quum Demades magistratus a se gesti rationes redderet, ob metum urbe cessit, « neque ipsi vestrum, inquiens, nec mei estis domini. »

31.

Non eodem modo per ebrietatem composuit orationes Demosthenes, sed aquam potans : unde etiam lusisse dicitur in hanc ipsius aquæ bibendæ consuetudinem Demades, alios dicere ad aquam, Demosthenem vero ad aquam scribere.

32.

Facetiis quoque Demosthenes ex tempore in congressibus usus est. Ut quum dicenti Demadi : « Demosthenes me, sus Minervam? » — « Hæc, respondit, Minerva nuper in Collytto est in adulterio deprehensa. »

33.

Demades orator, Atheniensibus ipsi concionanti aures non præbentibus, fabulam narrandi veniam ex iis petivit. Qua data, infit : « Ceres et hirundo et anguilla eadem via ibant. Et quum ad fluvium quendam pervenissent, hirundo transvolavit, anguilla vero insiluit : » et his dictis Demades conticuit; rogante autem plebe quidnam Ceres fecerit, respondit : « Vobis irascitur, ut qui missis negotiis publicis fabulas audire sustineatis. »

LIII. Demosthenes Æsionem Atheniensem in eloquentiæ studio socium habuit.

Æsion dixit : « Athenienses civitatem in Siciliam effuderunt »... et « clamare Græciam. »

LIV. PITHOLAUS.

Aristoteles Rhet. III, 10 : Καὶ Πειθόλαος· τὴν πάραλον ῥόπαλον τοῦ δήμου, Σηστὸν δὲ τηλίαν τοῦ Πειραιέως. Pitholaus ille esse videtur Pherarum in Thessalia tyrannus, a Philippo tyrannide ejectus (Ol. 107, 1, 352), et ab Atheniensibus civitate donatus et deinde privatus. V. Aristot. Rhet. III, 9 p. 395, 26; Diodor. XVI, 37; Demosthenes in Neær. § 91, p. 1376.

LV. PHORMIO.

Hermogenes t. III, p. 429, 26 Walz. : Ἐν δὲ τῇ δικανικῇ ἰδέᾳ καὶ ἡ τῆς τάξεως μεταβολὴ χώραν ἔχει· ὥσπερ Δημοσθένης ἐποίησεν ἐν τῷ περὶ τῆς ἀτελείας. Φορμίωνος γὰρ προκατηγορήσαντος τοῦ νόμου καὶ χρησαμένου τοῖς κεφαλαίοις τῆς διαιρέσεως, τῷ δικαίῳ, τῷ συμφέροντι, τῷ καλῷ, τῷ τῆς ἀξίας, ἀνέστρεψε τὴν τάξιν μεταβαλών. Πῶς δὲ τοῦτο ἐποίησεν, ἐν τοῖς περὶ τούτου λόγοις διεξήλθομεν. (Cf. Gregor. ad h. l. 7 p. 1297, 20. Walzii summarium orat. leptin. p. 411, 18 Bk. et orat. ipsius § 144.) Aliunde de hoc oratore non constat.

LVI. CYDIAS.

« Cum Athenienses a. 352 (Ol. 107, 1) duo milia cleruchorum in insulam Samum deducere vellent, Cydias hoc dissuasit : sine dubio hoc argumento usus, ut hanc Atheniensium consuetudinem cleruchos mittendi Græcis omnibus turpem videri diceret. Cf. Boeckh. OEcon. publ. Ath. 1 p. 455 sqq. De Cydia cf. Ruhnk. Hist. crit. p. 74. » Sauppius.

Aristoteles Rhet. II, 6 : Αὐτοὶ δὲ ὧδε διακείμενοι αἰσχυνθεῖεν ἄν, πρῶτον μὲν εἰ ὑπάρχοιεν πρὸς αὐτοὺς ἔχοντες οὕτω τινὲς οἵους ἔφαμεν εἶναι οὓς αἰσχύνονται. Ἦσαν δ' οὗτοι ἢ θαυμαζόμενοι ἢ θαυμάζοντες ἢ ὑφ' ὧν βούλονται θαυμάζεσθαι, ἢ ὧν δέονταί τινα χρείαν ὧν μὴ τεύξονται ἄδοξοι ὄντες, καὶ οὗτοι ἢ ὁρῶντες, ὥσπερ Κυδίας περὶ τῆς Σάμου κληρουχίας ἐδημηγόρησεν (ἠξίου γὰρ ὑπολαβεῖν τοὺς Ἀθηναίους περιεστάναι κύκλῳ τοὺς Ἕλληνας, ὡς ὁρῶντας καὶ μὴ μόνον ἀκουσομένους ἃ ἂν ψηφίσωνται), ἢ ἂν πλησίον ὦσιν οἱ τοιοῦτοι, ἢ μέλλωσιν αἰσθήσεσθαι.

LVII. PHILINUS.

Philinus orator num fuerit Nicostrati filius, quem Demosthenes c. Midiam § 161 p. 566 memorat, an alius, nescitur.

I. ΚΑΤΑ ΔΩΡΟΘΕΟΥ.

Contra Dorotheum orationem Pollux ab aliis Hyperidi ab aliis Philino tribui dicit. V. Hyperidis fr. 121.

II. ΚΡΟΚΩΝΙΔΩΝ ΔΙΑΔΙΚΑΣΙΑ ΠΡΟΣ ΚΟΙΡΩΝΙΔΑΣ.

Hanc orationem Philino tribuit Athenæus, Lycurgi nomine sæpius laudat Harpocratio, nisi quod s. v. Κοιρωνίδαι monet nonnullos eam Philini esse putare. V. Lycurgi fr. 56-60 p. 352. Veri similius esse Philini, hominis obscuri, orationes

LIV. Pitholaus paralum navem dixit « clavam populi », et Sestum « arcam frumentariam Piræei. »

LV. In judiciali orationum genere etiam ordinis mutatio locum habet; sicut Demosthenes fecit in oratione de immunitate. Nam quum Phormio legem impugnans orationem suam ita disposuisset ut capita ejus essent justum, utile, pulcrum, dignum : Demosthenes ordinem invertit. Quod quomodo fecerit, exponemus ubi de orationibus hujus dicemus.

LVI. Ipsi autem ita affecti facile verecundantur; primum quidem, si qui sint ita erga eos affecti, ut eos esse diximus, quos verentur. Erant vero ii aut qui admirationi sunt, aut qui admirantur, aut quibus admirationi esse student, aut a quibus egent re aliqua, quam, si existimationem amiserint, non consequentur; et hi si aut videant; quemadmodum Cydias in oratione de dividendo agro Samio dixit (petiit enim ab Atheniensibus ut fingerent cinctos se omnium Græcorum corona, qui non tantum audituri essent, sed viderent ea quæ illi suffragiis suis sciscerent); aut si tales prope sint, sensurive sint.

clarissimis oratoribus vindicari quam quæ Hyperidis et Lycurgi essent Philino, monet Sauppius.

III. ΠΡΟΣ ΣΟΦΟΚΛΕΟΥΣ ΚΑΙ ΕΥΡΙΠΙΔΟΥ ΕΙΚΟΝΑΣ.

« Lycurgum oratorem de statuis Æschyli Sophoclis Euripidis publice exponendis ad populum tulisse biographus decem oratorum p. 841, F. memoriæ tradidit. Cui rogationi cum Philini orationem oppositam fuisse recte videatur A. Valesius ad Harpocrat. p. 290 judicasse, permulti apud Harpocrationem existimant scribendum esse : πρὸς [Αἰσχύλου], Σοφοκλέους καὶ Εὐριπίδου. Sic Ruhnken. Hist. crit. p. 75, Westermannus Hist. eloqu. § 54, 29, nos ipsi ad Lycurg. (1834) p. 79. Atque etiamnunc hoc virisimile mihi videtur esse. Sed M. Meierus, Lycurgeorum p. XXXVII, eam rogationis partem, quæ ad statuam Æschyli pertineret, a Philino non oppugnatam esse suspicatur. Quod cum ferri possit, Harpocrationis verba intacta reliqui. » SAUPPIUS.

1.

Harpocratio : Θεωρικά· Δημοσθένης Φιλιππικῷ. Θεωρικὰ ἦν τινα ἐν κοινῷ χρήματα, ἀπὸ τῶν τῆς πόλεως προσόδων συναγόμενα· ταῦτα δὲ πρότερον μὲν εἰς τὰς τοῦ πολέμου χρείας ἐφυλάττετο καὶ ἐκαλεῖτο στρατιωτικά, ὕστερον δὲ κατετίθετο εἴς τε τὰς δημοσίας κατασκευὰς καὶ διανομάς, ὧν πρῶτος ἤρξατο Ἀγύρριος ὁ δημαγωγός. Φιλόχορος δὲ ἐν τῇ γ' τῆς Ἀτθίδος φησὶ « τὸ δὲ θεωρικὸν ἦν τὸ πρῶτον νομισθὲν δραχμὴ τῆς θέας, ὅθεν καὶ τοὔνομα ἔλαβε » καὶ τὰ ἑξῆς. Φιλῖνος δὲ ἐν τῇ πρὸς Σοφοκλέους καὶ Εὐριπίδου εἰκόνας περὶ Εὐβούλου λέγων φησίν· « ἐκλήθη δὲ θεωρικόν, ὅτι τῶν Διονυσίων ὑπογύων ὄντων διένειμεν Εὔβουλος εἰς τὴν θυσίαν, ἵνα πάντες ἑορτάζωσι καὶ τῆς θεωρίας μηδεὶς τῶν πολιτῶν ἀπολείπηται δι' ἀσθένειαν τῶν ἰδίων. » Ἄλλοτε μέντοι ἄλλως ὡρίσθη τὸ διδόμενον εἴς τε τὰς θέας καὶ εἰς τὰς θυσίας καὶ ἑορτάς, ὡς ἔστι δῆλον ἔκ [τε] τοῦ α' Φιλιππικῶν Δημοσθένους. Ὅτι δὲ οὐκ ἐξῆν τοῖς ἀποδημοῦσι θεωρικὸν λαμβάνειν, Ὑπερίδης δεδήλωκεν ἐν τῷ κατ' Ἀρχεστρατίδου. Ἦν δὲ ἀρχή τις ἐπὶ τοῦ θεωρικοῦ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος δεικνύει. Θεωροὶ μέντοι λέγονται οὐ μόνον οἱ θεαταί, ἀλλὰ καὶ οἱ εἰς θεοὺς πεμπόμενοι, καὶ ὅλως τοὺς τὰ θεῖα φυλάττοντας ἢ τῶν θείων φροντίζοντας οὕτως ὠνόμαζον· ὤρην γὰρ ἔλεγον τὴν φροντίδα· « ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε. »

IV. ΑΠΑΡΑΣΗΜΟΝ.

2.

Clemens Alex. Strom. VI, p. 626, B ed. Sylb. : Πάλιν Δημοσθένους εἰπόντος « ὅση μέν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι· » Φιλῖνος ὁμοίως· « ὅση μέν, ὦ ἄνδρες δικασταί, σπουδὴ καὶ παράταξις γεγένηται περὶ τὸν ἀγῶνα τουτονί, οὐδένα ὑμῶν ἀγνοεῖν ἡγοῦμαι. »

LVIII. EUTHIAS.

Athenæus XIII, p. 590, D : Ἦν δὲ ἡ Φρύνη ἐκ Θεσπιῶν. Κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ ἀπέφυγε· διόπερ ὀργισθεὶς ὁ Εὐθίας οὐκ ἔτι εἶπεν ἄλλην δίκην, ὥς φησιν Ἕρμιππος. Cf. Hyperid. or.

Quum apud Alexandrum De schem. t. VIII, p. 458 W. legatur : Διασυρμὸς δ' ἐστίν, ἐπειδὰν

1.

LVII. Θεωρικά, apud Demosthenem in Philippica (or. 3, § 11). Θεωρικά pecunia quædam erat publica e civitatis reditibus collecta, quæ prius ad usus bellicos reponebatur, et militaris dicebatur, sed postea in publicos apparatus et distributiones conferebatur, quarum auctor Agyrrhius demagogus. Ceterum Philochorus libro tertio Atthidis scribit : « Olim more receptum erat, ut drachma spectandi causa solveretur, quæ inde etiam theorica appellabatur », et quæ sequuntur. Philinus vero orat. in Sophoclis et Euripidis statuas, de Eubulo disserens, hæc commemorat : « Θεωρικόν, ait, ex hoc dictum, quod Eubulus instantibus Dionysiis pecuniam ad sacrificia distribuisset, ut universi festum celebrarent, nec civium ullus ob rei familiaris inopiam spectaculis arceretur. » Sed pecunia populo data ad spectacula et sacrificia diesque festos agitandos, alias aliter definita est, ut claret ex Demosthenis Philippica I (or. 4, § 19). Absentem vero aut peregre abeuntem neminem capere potuisse theoricum, Hyperides declaravit in orat. adv. Archestratidem. Fuit et magistratus pecuniis theoricis præfectus, ut ostendit Æschines adv. Ctesiphontem (§ 25). Θεωροί dicuntur non solum spectatores, sed etiam qui ad deos mittebantur, et omnino sacrificiorum custodes vel curatores. Nam ὤρην curam vocabant. « Cura quippe parva est rixarum et concionum. » (Hesiod. O. et D. 30).

IV. EX ORATIONE INCERTA.

Quum Demosthenes (or. 19 § 1) dixisset : « Quanta in hoc judicio, Athenienses, contentione atque ambitu utantur adversarii, omnes fere vos arbitror animadvertisse », Philinus similiter dixit : Quantum, judices, studium et quanta contentio in hoc certamine sit, neminem vestrum ignorare puto. »

LVIII. Erat autem Phryne Thespiis oriunda : quæ quum ab Euthia capitis rea esset acta, absoluta a judicibus est;

λέγωμεν ἀξιοπίστως διαβάλλοντες, ὡς Ὑπερείδης ... καὶ ὁ αὐτὸς ἐπὶ τῆς Φρύνης· « τί γάρ ἐστιν αἰτία αὕτη, εἰ Ταντάλῳ ὑπὲρ τῆς κεφαλῆς λίθος κρέμαται; » hinc Sauppio concludi posse videtur, Euthiam magnificis verbis de impietatis pœnis sempiternis dixisse. Idem ex Euthiæ oratione petita esse suspicatur quæ servavit Anonymus Segueri p. 57: Κατὰ μὲν οὖν ὑπόθεσιν ἀνακεφαλαίωσις γίνεται, ὅταν αὐτὰ τὰ τὴν ὑπόθεσιν πεποιηκότα ψιλῶς ἐκτιθώμεθα· οἷον, ἀσεβείας κρινομένη Φρύνη· καὶ γὰρ ἐκώμασεν ἐν Λυκείῳ, καινὸν εἰσήγαγεν θεόν, καὶ θιάσους ἀνδρῶν καὶ γυναικῶν συνήγαγεν. « Ἐπέδειξα τοίνυν ὑμῖν ἀσεβῆ Φρύνην, κωμάσασαν ἀναιδῶς, καινοῦ θεοῦ εἰσηγήτριαν, θιάσους ἀνδρῶν ἐκθέσμους καὶ γυναικῶν συναγαγοῦσαν. » Ψιλὰ γὰρ νῦν τὰ πράγματα διηγεῖται.

LIX. DEMOCRATES.

1.

Aristoteles Rhet. III, 4: Καὶ ὡς ὁ Δημοκράτης εἴκασε τοὺς ῥήτορας ταῖς τίτθαις, αἳ τὸ ψώμισμα καταπίνουσαι τῷ σιάλῳ τὰ παιδία παραλείφουσιν.

2.

Plutarchus Mor. p. 803, D: Τὸ δ' ἄγαν φυλακτέον ἐν τῷ γελοίῳ, καὶ τὸ λυποῦν ἀκαίρως τοὺς ἀκούοντας, ἢ τὸν λέγοντα ποιοῦν ἀγεννῆ καὶ ταπεινόν, ὥσπερ τὰ Δημοκράτους· ἀναβαίνων μὲν γὰρ εἰς τὴν ἐκκλησίαν ἔφη, καθάπερ ἡ πόλις, μικρὸν ἰσχύειν καὶ μέγα φυσᾶν· ἐν δὲ τοῖς Χαιρωνικοῖς παρελθὼν εἰς τὸν δῆμον, « οὐκ ἂν ἐβουλόμην κακῶς οὕτω πεπραχέναι τὴν πόλιν, ὥστε κἀμοῦ συμβουλεύοντος ὑμᾶς ἀκούειν. » Καὶ γὰρ καὶ τοῦτο μικροῦ, κἀκεῖνο μανικοῦ, πολιτικῷ δ' οὐδ' ἕτερον ἁρμόζον.

Stobæus Flor. XXII, 43: Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ καὶ πνευστιῶν ποιεῖν ἔφη ὅπερ καὶ ξύμπασα ἡ τῶν Ἀθηναίων πόλις· πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

3.

Idem XIII, 31: Δημοκράτους. Δημοκράτης ἰδὼν κλέπτην ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον, « Ἄθλιε, εἶπε· τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες; »

« Quæ in appendice Stobæi florentina Democrati tribuuntur p. 39, 40, 41, 45, 74, philosophi alicujus potius esse videntur, quam oratoris. » *Sauppius*, qui de Democrate conferri jubet Droysenium de plebiscitis or. de coron. additis p. 140 et Bœneckium quæst. orat. I, p. 605.

LX. ANAXIMENES.

Dionysius t. V, p. 626, 2 R.: Ἐνθυμούμενος δὲ ὅτι τὴν μὲν ποιητικὴν κατασκευὴν καὶ τὸ μετέωρον δὴ τοῦτο καὶ πομπικὸν εἰρημένον οὐδεὶς Ἰσοκράτους ἀμείνων ἐγένετο, παρέλιπον ἑκών, οὓς ᾔδειν ἧττον ἐν ταῖς ἰδέαις ταύταις κατορθοῦντας. Γοργίαν μὲν... Ἀναξιμένην δὲ τὸν Λαμψακηνόν, ἐν ἁπάσαις μὲν ταῖς ἰδέαις τῶν λόγων τετράγωνόν τινα εἶναι βουλόμενον· καὶ γὰρ ἱστορίας γέγραφε καὶ περὶ τοῦ ποιητοῦ συντάξεις καταλέλοιπε καὶ τέχνας ἐξενήνοχεν, ἧπται δὲ καὶ συμβουλευτικῶν καὶ δικανικῶν ἀγώνων· οὐ μέντοι τέ-

---

qua re ita indignatus est Euthias, ut nullam post id causam dixerit. Tradit hoc Hermippus.

1.

LIX. Democrates cum nutricibus rhetores comparabat, quæ cibos ipsæ devorant, infantes autem saliva inungunt.

2.

In ridiculis cavendum est, ne quid ultra modum sit, tum, ne quid excidat quod vel offendat audientes alieno tempore, vel dicti auctorem ostendat esse ignobili aut abjecto animo. Exemplo sunt Democratis dicta. Nam is in concionem ascendens dixit, « se itidem ut civitatem parum posse, et magnos edere flatus. » Et clade Chæronensi accepta ad populum progressus: « Nollem, inquit, tali fortuna usam esse civitatem, ut ego adeo consiliarius vobis essem audiendus: » quorum dictorum hoc abjecti animi fuit, illud insani, civili homini neutrum conveniens.

Democrates jam senex ascendens in arcem Athenis perquam anhelosus, idem se facere dixit quod universa civitas Atheniensium soleret, nempe se magnum quidem spirare, parum autem valere.

3.

Democrates quum furem ab undecimviris abduci videret: « Vah, miser, dixit, cur tantula furatus es, et non potius magna, ut tute etiam abduxisses alios? »

LX. Existimans poetico apparatu et sublimi illo genere et ad pompam facto neminem superasse Isocratem, consulto prætermisi quos minus in ista specie felices sciebam. Videbam enim Gorgiam .... et Anaximenem Lampsacenum, qui in omni genere orationis quadratus, ut ita dicam, esse affectat; nam et historias scripsit, et in poetam (Homerum) commentationes reliquit, et artes protulit, et attigit etiam deliberativas et judiciales orationes non tamen perfectus in ullo genere fuit, sed in omnibus debilis et sine vi persuadendi.

λειόν γε ἐν οὐδεμιᾷ τούτων τῶν ἰδεῶν, ἀλλ' ἀσθενῆ καὶ ἀπίθανον ὄντα ἐν ἁπάσαις θεωρῶν.

I. ΚΑΤΑ ΦΡΥΝΗΣ.

Athenæus XIII, p. 591, E : Οὐκ ἀγνοῶ δὲ ὅτι τὸν ἐπιγραφόμενον κατ' αὐτῆς Εὐθίου λόγον Διόδωρος ὁ περιηγητὴς Ἀναξιμένους φησὶν εἶναι.

Harpocratio : Εὐθίας. Ὑπερίδης ὑπὲρ Φρύνης. Τῶν ἐπὶ συκοφαντίᾳ διαβεβλημένων ἦν ὁ Εὐθίας. Τὸν μέντοι λόγον αὐτῷ (Euthiæ) τὸν κατὰ Φρύνης Ἀναξιμένην πεποιηκέναι φησὶν Ἕρμιππος. Cf. Hyperid. or. LVIII.

II. ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

2.

Argum. in Isocr. orat. de Helena : Βέλτιον δὲ λέγειν, ὥσπερ ὁ Μαχάων, ὅτι πρὸς Ἀναξιμένην τὸν Λαμψακηνὸν γράφει. Φέρεται δὲ ἐκείνου λόγος, Ἑλένης ἀπολογία μᾶλλον οὖσα ἤπερ ἐγκώμιον.

III. ΤΕΧΝΗ.

3.

Quintilianus III, 4, 8 : *Anaximenes judicialem et concionalem generales partes esse voluit; septem autem species, hortandi, dehortandi, laudandi, vituperandi, accusandi, defendendi; exquirendi, quod* ἐξεταστικόν *dicit.* « Hoc loco constat P. Victorium usum esse, ut artem illam, quæ Alexandro inscripta est, Anaximenis esse ostenderet. Quam sententiam cum L. Spengelius συναγ. τεχν. p. 182 accurata argumentatione confirmasset et hominum doctorum fere omnium assensum tulisset (cf. Westerm. Hist. eloqu. § 69), nuper inter L. Lerschium et L. Spengelium acriter de veritate illius conjecturæ disceptatum est. Lerschius enim cum in libro de studiis grammaticis veterum (2 p. 280) Aristotelem auctorem illius artis esse ostendere studuisset, Spengelius ejus argumenta refutavit in Zimmermanni diurnis 1840, 154 sq. Denuo causam suam defendit Lerschius in Musei rhenani vol. 1 p. 176 sqq. Deinde Spengelius adnotationibus præclaræ eruditionis plenissimis, quibus artem illam a. 1844 illustravit (cf. prolegom. p. X sq.), certe hoc effecit, ut etiam Lerschio eam Aristotelis esse non posse persuaderet. Qui cum in Bergkii diurnis 1846, 115 sqq. nunc neque Anaximeni neque Aristoteli se hanc artem tribuere dixisset, cui ipse tribueret non dixisset, L. Spengelius denique in iisdem diurnis 1847, 2 Anaximenis nos artem habere denuo defendit. Atque hæc sententia etiam mihi videtur constanter tenenda esse. » Sauppius.

4.

Plutarchus Public. c. 9 : Λέγεται δὲ καὶ τῶν Ἑλληνικῶν ἐπιταφίων ἐκεῖνος (epitaphius, quo M. Valerius Publicola L. Brutum laudavit) γενέσθαι πρεσβύτερος, εἴγε μὴ καὶ τοῦτο Σόλωνός ἐστιν, ὡς Ἀναξιμένης ὁ ῥήτωρ ἱστόρηκεν.

5-7.

Stobæus Flor. XXXVII, 44 : Ἀναξιμένους· « Οἱ γὰρ μετὰ φθόνου κρίνοντες τὸ πρωτεῖον ἀπονέμουσι τοῖς χειρίστοις, οὐ τοῖς βελτίστοις. »

Idem ib. XXXVIII, 45 : Τοῦ αὐτοῦ· « Ὅτι γὰρ τὰ καλῶς ῥηθέντα ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσι, πῶς οὗτοι ἂν τοῖς ἔργοις ὠφελήσειαν; »

Idem ib. LXXIX, 37 : Ἀναξιμένους Οὗτος γὰρ μάλιστα πάντων φιλοπάτωρ ἐστίν, ὅστις ζητεῖ δι' οὗ μηδὲν λυπήσας τὸν πατέρα πλεῖστ' αὐτὸν εὐφράναι ἄν. Τί γάρ ἐστιν δικαιότερον ἢ τοὺς γενέσεως καὶ παιδείας αἰτίους ὄντας ἀντευεργετεῖν; « Mihi videor versuum vestigia agnoscere. Sed cum vel hi loci ita comparati sint, ut libro, qui ad philosophiam pertineat, melius convenire videantur, tum quæ 97, 21, 22 et 117, 5 leguntur, in oratione locum habere non potuisse facile apparet. » Sauppius.

I. CONTRA PHRYNEN.

Non sum nescius, quæ contra Phrynen inscribitur Euthiæ oratio, eam Anaximenis esse affirmare Diodorum Periegetam.

Hermippus orationem quæ contra Phrynen habita est, non ad Euthiam, sed ad Anaximenem pertinere testatur.

II. HELENÆ LAUDATIO.

2.

Cum Machaone dicere præstat Isocratem Helenæ laudationem scripsisse adversus Anaximenem Lampsacenum. Hujus enim fertur oratio, quæ defensio potius Helenæ est quam laudatio.

III. ARS.

4.

Affirmant etiam hanc funebrem orationem (*qua M. Valerius Publicola L. Brutum laudavit*) Græcis ejusdem generis antiquiorem fuisse, nisi hoc quoque Solonis est inventum, ut Anaximenes rhetor autumat.

5-7.

Anaximenis : « Nam qui cum invidia judicant, principatum pessimis attribuunt, non optimis. »

Anaximenis : « Nam qui bene dicta factave propter invidiam non laudant, quomodo illi re ipsa juvarent? »

Anaximenis : « Is enim patris amantissimus est, qui operam dat quomodo nihil lædens patrem maximo afficiat gaudio. Quid enim justius est quam vitæ et educationis auctoribus referre accepta ab iis beneficia? »

LXI. DINARCHUS.

De Dinarcho uberrime exposuit Hermannus Adler (*De Dinarchi Attici oratoris vita et dictione. Berolini*, 1841). Fragmentis præmittimus indicem orationum Dinarchearum quem dedit Dionysius Hal. t. V, p. 651 sqq ed. Reisk. Orationes quibus simplex numerus Romanus præfigitur, nonnisi e Dionysio novimus; ubi numeri hunc in modum exhibentur I°, II°, orationes indicantur, quæ ab aliis quoque scriptoribus commemorantur.

A. Δημόσιοι λόγοι γνήσιοι.

I°. Κατὰ Πολυεύκτου βασιλεύειν λαχόντος δοκιμασία· « Πολλὰ καὶ ἀγαθὰ γένοιτο. »

II°. Κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ὑπὸ τῆς βουλῆς ἔνδειξις· « Πάλαι θαυμάζω ὑμῶν. »

III°. Κατὰ Πολυεύκτου περὶ τοῦ γεωφανίου· « Περὶ μὲν αὐτῆς τῆς μηνύσεως. »

IV°. Περὶ τοῦ γεωφανίου ἐπίλογος· « Βραχύν, ὦ ἄνδρες. »

V°. Κατὰ Πυθέου ξενίας· « Ἱκανὴ μὲν πρόφασις »

VI°. Κατὰ Πυθέου περὶ τῶν κατὰ τὸ ἐμπόριον· « Ἐπειδὴ τοῖς μὲν λέγειν τῶν ῥητόρων. »

VII°. Κατὰ Τιμοκράτους· « Ὥσπερ δίκαιόν ἐστι. »

VIII°. Κατὰ Λυκούργου εὐθῦναι· « Οἶδα ὅτι, κἂν μηδὲν ὑμῖν. »

IX°. Συνηγορία Αἰσχίνῃ κατὰ Δεινίου· « Βουλοίμην ἄν, ὦ ἄνδρες. »

X°. Κατὰ Φορμισίου ἀσεβείας· « Ἆρά γ' εἴ τινες. »

XI°. Κατὰ Καλλαίσχρου περὶ τῶν τιμῶν· « Πολλάκις, ὦ Ἀθηναῖοι. »

XII°. Τυρρηνικός· « Ἅπαντα συμβήσεσθαι ἔτι. »

XIII°. Κατὰ Διονυσίου τοῦ ἐπὶ τῆς διοικήσεως· « Ἴσως μέν, ὦ Ἀθηναῖοι. »

XIV°. Καθ' Ἱμεραίου εἰσαγγελτικός· « Οὐδένα νομίζω, ὦ Ἀθηναῖοι. »

XV°. Εἰσαγγελία κατὰ Πιστίου· « Ὥσπερ καὶ ὑμῶν ἕκαστος. »

XVI°. Κατ' Ἀγασικλέους εἰσαγγελία· « Ξενίας οὐδένα πώποτε οἶμαι. »

XVI°. « Κατὰ Θεοκρίνου ἔνδειξις· Τοῦ πατρός, ὦ ἄνδρες. » Τοῦτον Καλλίμαχος ἐν τοῖς Δημοσθένους φέρει.

XVII°. Κατὰ Στεφάνου· « Παράνομον ὑπάρχει τοῦ νόμου δεδωκότος, ὦ ἄνδρες. »

XVIII°. Κατὰ Καλλισθένους εἰσαγγελία· « Οὐχ ἀγνοῶ, ὦ ἄνδρες. »

XIX°. Διαδικασία Φαληρέων πρὸς Φοίνικας ὑπὲρ τῆς ἱερωσύνης τοῦ Ποσειδῶνος· « Εὔχομαι, νὴ τὴν Ἀθηνᾶν, πρέπειν δή. »

XX. XXI. Πρὸς τὴν Κηφισοφῶντος ἀπογραφήν· « Πρῶτον μέν, ὦ ἄνδρες, δέομαι. » Ὁ ὕστερος· « Τὰ μὲν περὶ τὴν ὠνήν. »

XXII. Ἀπολογία διαμαρτυρίας πρὸς τὴν Χάρητος εἰσαγγελίαν κατὰ Φειδιάδου γραμματέως· « Οὔτ' ἔχθρας οὐδεμιᾶς ἕνεκα.

Κατὰ Φιλοκλέους ὑπὲρ τῶν Ἁρπαλίων· « Τί χρὴ λέγειν πρὸς τῶν. »

XXIII. Κατὰ Γνωσίου, περὶ τῶν Ἁρπαλίων· « Οὐκ ἄδηλον. »

XXIV. Κατ' Ἀριστονίκου περὶ τῶν Ἁρπαλίων· « Εὐτύχημα μὲν οὖν, ὦ ἄνδρες. »

Κατὰ Δημοσθένους περὶ τῶν Ἁρπαλίων· « Ὁ μὲν δημαγωγὸς ὑμῖν. »

Κατὰ Ἀριστογείτονος περὶ τῶν Ἁρπαλίων· « Πάνθ', ὡς ἔοικεν, ὦ ἄνδρες. »

B. Ψευδεπίγραφοι δημόσιοι.

XXV. Κατὰ Θεοδώρου εὐθυντικός· « Ἥκιστα μέν, ὦ ἄνδρες. » Πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἡλικίας. Εἴρηται γὰρ ἐπὶ Θεοφίλου ἢ Θεμιστοκλέους ἄρχοντος, μετὰ Θεσσαλὸν ἄρχοντα ἐνιαυτῷ τρίτῳ, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται φανερόν· οὔπω πέμπτον [καὶ δέκατον], ὡς ἐδείξαμεν, ἔτος ἔχοντος αὐτοῦ.

XXVI. Κατὰ Κηρύκων· « Εἰ μὲν ὁ πατήρ, ὦ ἄνδρες. » Οὗτος ὁ ἀγὼν εἴρηται ἐπ' ἄρχοντος Εὐβούλου ἢ Λυκίσκου τοῦ μετ' Εὔβουλον, οὔπω εἴκοσι[ν ἔτη ἔχ]οντος αὐτοῦ. Ὁ μὲν γὰρ λόγος περί τινος ἀποψηφισθέντος γέγονεν ἐπ' Ἀρχίου τοῦ μετὰ Θεμιστοκλέα. Δῆλον δ' ἕκαστον τῶν εἰρημένων ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται.

XXVII°. Κατὰ Μοσχίωνος, ἀπογραψαμένου αὐτὸν Νικοδίκου· « Υἱὸν ἀποψηφισάμενον, ὦ ἄνδρες, τουτουὶ Μοσχίωνος συμβαλών. » Καὶ οὗτος ὁ λόγος κατὰ τοὺς αὐτοὺς χρόνους τῷ προτέρῳ εἴρηται. Δηλοῦται δ' ἐκ τῆς ἀρχῆς αὐτῆς τοῦ λόγου καὶ ἐκ τῶν ἑξῆς.

XXVIII. Κατὰ Μενεκλέους ἀπαγωγῆς· « Ὦ ἄνδρες δικασταί, καὶ τῶν νόμων, καθ' οὕς. » Καὶ οὗτος εἴρηται παιδὸς ὄντος ἔτι Δεινάρχου· ὁ μὲν γὰρ κρινόμενος ἐστὶ Μενεκλῆς ὁ τὴν ἱέρειαν Νῖνον ἑλών, ὁ δὲ κατηγορῶν υἱὸς τῆς Νίνου. Ἔστι δὲ ταῦτα πρεσβύτερα τῆς Δεινάρχου ἀκμῆς· ὁ μὲν γὰρ Δημοσθένους περὶ τοῦ ὀνόματος λόγος, ἐν ᾧ τούτων μέμνηται, κατὰ Θεσσαλὸν ἢ Ἀπολλόδωρον ἄρχοντα τετέλεσται, ὡς ἐν τοῖς περὶ Δημοσθένους δεδηλώκαμεν· εἰ δ' ὡς τεθνηκότος ἤδη τοῦ Μενεκλέους ὁ Δημοσθένης ἐκεῖ μέμνηται, λέγων· « Ἑωρᾶτε γὰρ πάντες αὐτὸν χρώμενον, ἕως ἔζη, Μενεκλεῖ », παλαιὸς λόγος τίς ἐστιν. Ὅτι δὲ οὗτος ὁ Μενεκλῆς, ἐν αὐτῷ τῷ λόγῳ δεδήλωκεν ὁ κατηγορῶν.

XXIX. Διαδικασία Ἀθμονεῦσι περὶ τῆς μυρρίνης καὶ τῆς μίλακος· « Εὔχομαι δὴ τῇ Δήμητρι καὶ τῇ

Κόρη. » Πρεσβύτερός ἐστι τῆς Δεινάρχου ἀκμῆς. Εἴρηται γὰρ ἐπὶ Νικομάχου ἄρχοντος, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίγνεται δῆλον· ἐν πρὸς τοῖς εἴκοσιν ἔτος τοῦ ῥήτορος ἔχοντος. Οἱ μὲν οὖν [πρὸ] τῆς ἀκμῆς αὐτοῦ φερόμενοι ψευδεπίγραφοι εἰς αὐτὸν λόγοι εἰσὶν οἵδε· μετὰ δὲ τὴν ἐξ Ἀθηνῶν εἰς Χαλκίδα ἀναχώρησιν οἵδε.

XXX°. Διαδικασία τῆς ἱερείας τῆς Δήμητρος πρὸς τὸν ἱεροφάντην· « Πολλῶν τε καὶ παραδόξων, ὦ ἄνδρες δικασταί. » Οὗτος ὁ λόγος ἤδη πεφευγότος αὐτοῦ εἴρηται, ὡς ἐξ αὐτοῦ γίγνεται φανερόν· μέμνηται γὰρ ἐν αὐτῷ τῆς κατασχούσης ὀλιγαρχίας.

XXXI. Κατὰ Τιμοκράτους, εἰσαγγελτικὸς δήμου καταλύσεως· « Ἔργα ποιεῖς. » Οὗτος καὶ ἀπ' αὐτῆς τῆς ἐπιγραφῆς ἐστι δῆλος ψευδεπίγραφος ὤν.

XXXII. Κατὰ Σπουδίου· « Καὶ ἐν τῷ δήμῳ κατηγορήσειν ὑπεσχόμην. » Μετὰ τὴν κατάλυσιν τῆς ὀλιγαρχίας εἴρηται καὶ οὗτος, ἤδη Δεινάρχου φεύγοντος, ὡς ἐξ αὐτοῦ μάλιστα τοῦ λόγου γίγνεται φανερόν.

XXXIII. Διαδικασία Εὐδανέμων πρὸς Κήρυκας ὑπὲρ τοῦ κανῶς· « Οὐδαμῶς τοιαῦτα πράγματα. » Καὶ οὗτος κατὰ τοὺς αὐτοὺς χρόνους εἴρηται, πεφευγότος ἤδη τοῦ ῥήτορος, ὡς ἐν αὐτῷ τῷ λόγῳ πάλιν δηλοῦται.

XXXIV. Ἀττικός· « Πάντων ἦσαν ὁμοίως. » Καὶ οὗτος εἴρηται ἐν ἐκείνοις τοῖς χρόνοις, ὡς καὶ ἐν αὐτῷ τῷ λόγῳ φανερὸν γίγνεται.

XXXV. Αἰτωλικός· « Καὶ ἡμεῖς, ὦ ἄνδρες Αἰτωλοί, πρέσβεις. » Οὗτος καθεστώσης τῆς ὀλιγαρχίας ὑπὸ τῶν Ἀθήνηθεν φυγάδων εἴρηται, δεομένων τοὺς Αἰτωλοὺς αὐτοῖς βοηθεῖν, ἐπεὶ καὶ ὁ Κάσσανδρος αὐτοὺς ἐλευθεροῦν ἐπεχείρει, ὡς ἐν αὐτῷ τῷ λόγῳ γίγνεται τοῦτο δῆλον. Οὔκουν εἰκὸς φίλον ὄντα τὸν Δείναρχον τῶν τὴν ὀλιγαρχίαν καταστησάντων τοῖς καταλύειν ἐπιχειροῦσιν συναγωνίζεσθαι οὐδ' αὐτοὺς Ἀθήνηθεν λόγους καταλαμβάνειν οἷόν τε ἐστίν.

XXXVI. Διφίλῳ δημηγορικὸς αἰτοῦντι δωρεάς· « Διὰ τὸ μὴ ῥᾴδιον εἶναι. » Τοῦτον ἐπείσθην ὑπὸ Δημοσθένους γεγράφθαι τὸν λόγον, ὅτι τὰς δωρεὰς ἔγραψεν αὐτῷ Δημοσθένης, ὡς Δείναρχος ἐν τῷ κατὰ Δημοσθένους λόγῳ δεδήλωκε, καὶ ὅτι ἐπὶ τέλει τοῦ λόγου ὁ Δίφιλος Δημοσθένην παρακαλεῖ συνήγορον. Ἀπίθανον δὲ οἶμαι εἶναι τὰς μὲν τιμὰς οὕτω γράφειν εὐνοοῦντα τῷ Διφίλῳ τὸν Δημοσθένην, λόγον δὲ παρὰ Δεινάρχου λαβόντα περιιδεῖν.

XXXVII. Ἑρμίᾳ ἐμπορίου ἐπιμελητῇ περὶ τῶν κατηγορηθέντων ἀπολογία· « Δέομαι ὑμῶν, ὦ ἄνδρες. » Ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἂν οὐκ ὄντα τὸν λόγον Δεινάρχου· ὑδαρής τε γὰρ καὶ ἀσθενὴς καὶ ψυχρός ἐστιν· ἀλλὰ μᾶλλον αὐτὸν ἄν τις θείη Δημοκλείδου ἢ Μενεσαίχμου ἢ τῶν ἄλλων τῶν τοιούτων τινός.

XXXVIII. Ἀφαιροῦμαι δὲ καὶ τοὺς ὑπὲρ Μενεσαίχμου λόγους ἀμφοτέρους αὐτοῦ, ὧν ὁ μέν ἐστι περὶ τῆς Δήλου θυσίας· « Ἱκετεύομεν ὑμᾶς καί... »

XXXIX. Ὁ δὲ πρὸς Περικλέα καὶ Δημοκράτην, οὗ ἡ ἀρχή· « Νομίζομεν, ὦ ἄνδρες· » διά τε τὸν χαρακτῆρα· ὑδαρὴς γὰρ καὶ κεχυμένος καὶ ψυχρός· καὶ ὅτι ὁ λέγων αὐτὸς ὢν οὔτε ἄδοξος, καὶ μετὰ Λυκοῦργον τὴν διοίκησιν τῶν δημοσίων χρημάτων παραλαβών, ἐξητασμένος δὲ πολλάκις αὐτός, ὡς ἐν τοῖς λόγοις περὶ ἁπάντων μηνύει, καὶ ἐν ἰδίοις καὶ ἐν δημοσίοις ἀγῶσιν, οὐκ ἦν ἀδύνατος, ὥστε Δεινάρχῳ λογογράφῳ χρῆσθαι.

XL. Ὑπὲρ τοῦ μὴ ἐκδοῦναι Ἅρπαλον Ἀλεξάνδρῳ· « Οὐκ ἄξιον ἄρα θαυμάζειν. » Οὐδ' οὗτος ὁ λόγος ἐμφαίνει τὸν Δεινάρχου χαρακτῆρα· εἰ γὰρ κἂν μηδὲν ἄλλο, τό γ' οὖν ἠλίθιον καὶ σοφιστικὸν εὕροι τις ἂν ἐν αὐτῷ πολύ, τὸ πλεῖστον ἀπέχον τῶν Δεινάρχου χαρακτήρων.

XLI. Δηλιακός· « Ἀπόλλωνος καὶ Ῥοιοῦς τῆς Σταφύλου » Οὗτος οὐ τοῦ ῥήτορος, ἀλλ' ἑτέρου τινὸς συγγραφέως ἐστί. Δηλοῖ δ' ἐκ τοῦ τρόπου καὶ τοῦ χαρακτῆρος, ἀρχαϊκὸς ὢν καὶ περιτρέχων τὴν τοπικὴν Δήλου καὶ Λέρου ἱστορίαν.

XLII. Κατὰ Δημοσθένους παρανόμων· « Εἰώθατε, ὦ ἄνδρες. » Οὗτος ἐν τοῖς Περγαμηνοῖς πίναξι φέρεται ὡς Καλλικράτους, ἐγὼ δὲ εἰ μὲν ἐκείνου ἐστὶν οὐκ οἶδα· οὐδὲ γὰρ ἐνέτυχον τῶν Καλλικράτους οὐδενί· ὅτι δὲ πάμπολυ τῶν Δεινάρχου λόγων ἀφέστηκεν, εὐτελής τε ὢν καὶ κενὸς καὶ οὐκ ἀπέχων ἰδιωτικῆς φλυαρίας, πείθομαι.

C. Ἰδιωτικοὶ γνήσιοι.

XLIII°. Κατὰ Προξένου βλάβης, ὃν αὐτὸς εἶπεν ὑπὲρ αὐτοῦ· « Εἴ τίς μοι θεῶν, ὦ ἄνδρες. »

XLIV°. Κατὰ Κηφισοκλέους καὶ τῶν οἰκείων βλάβης· « Ἃ μὲν ἐγκαλῶν, ὦ ἄνδρες. »

XLV. Πρὸς Φανοκλέα βλάβης ἀπολογία· « Ὤμην μὲν ἐγώ, ὦ ἄνδρες. »

XLVI°. Πρὸς Λυσικράτην ὑπὲρ Νικομάχου βλάβης· « Ἄνδρες δικασταί, ὅτι μὲν ἰδιώτης. »

XLVII. Συνηγορία Παρμένοντι ὑπὲρ ἀνδραπόδου βλάβης. « Καὶ παραγεγενημένος ὕστερον, ἄνδρες δικασταί, ἔγωγε ἔγνων, ὅτι Παρμένων ἀδικεῖται. »

XLVIII°. Κατὰ Ποσειδίππου κλοπῆς· « Ἀδικηθείς, ὦ ἄνδρες. »

XLIX°. Κατὰ Ἡδύλης ἀποστασίου· « Καταλιπόντος ἐνοτίου πατρός. »

L°. Ἀποστασίου πρὸς Ἀρχέστρατον· « Πολλὰ καὶ ἀγαθὰ γένοιτο. »

LI°. Συνηγορία Ἡγελόχῳ ὑπὲρ ἐπικλήρου· « Ὥσπερ καὶ ἡμῶν ἕκαστος. »

LII. LIII. Ἐπικληρικὸς ὑπὲρ τῆς Ἰοφῶντος θυγατρός· « Ἄνδρες δικασταί, οὐ πένης ὤν. » Ὕστερος· « Ἄμαχον γὰρ ἦν, ὦ ἄνδρες. »

LIV. Διαμαρτυρία, ὡς οὐδέ εἰσιν ἐπίδικοι Ἀριστοφῶντος θυγατέρες· « Τοῦ νόμου δεδωκότος, ὦ ἄνδρες. »

LV°. Κατὰ Πεδιέως κακώσεως παιδὸς ὀρφανοῦ· « Μηδεὶς ὑμῶν, ὦ ἄνδρες, θαυμάσῃ. »

LVI°. Διαμαρτυρία περὶ τοῦ Εὐίππου κλήρου πρὸς Χάρητα· « Πολλάκις ἤδη ἤκουσα. »

LVII°. Ὑπὲρ τοῦ Μνησικλέους κλήρου· « Δικαίαν, ὦ ἄνδρες, δέησιν. »

LVIII°. Κατὰ Προξένου ὕβρεως· « Ὑβριστής ἐστιν, ὦ ἄνδρες, πληγῶν. » Ἔδει δ' ἐπιγεγράφθαι· Ἀπολογία ὕβρεως.

LIX°. Ἐπιχάρει πρὸς Φιλωτάδην· « Τὸν θαυμαστόν, ὦ ἄνδρες. »

LX°. Κατὰ Κλεομέδοντος αἰκίας· « Ὅτι μέν, ὦ ἄνδρες, καὶ ὁ πατὴρ Θεόδωρος δή. »

LXI°. Πρὸς Διοσκουρίδην περὶ νεῶν· « Δικαίως ἄν, οἶμαι, ὦ ἄνδρες. »

LXII°. Ἐρανικὸς πρὸς τοὺς Πατροκλέους παῖδας· « Ἃ μὲν ἀδικούμενος, ὦ ἄνδρες. »

LXIII. Πρὸς Ἀμεινοκράτην διαδικασία περὶ καρπῶν χωρίου· « Ἐπὶ τούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστί. »

LXIV. LXV. « Περὶ τοῦ ἵππου· » Τοῦ μὲν ἀγῶνος, ὦ ἄνδρες. »

Ὁ ὕστερος· « Ἐβουλόμην ἄν, ὦ ἄνδρες, Λυσικλείδου. »

LXVI°. Κατὰ Δάου ὑπὲρ ἀνδραπόδων· « Ἃ μὲν ἀδικούμενος, ὦ ἄνδρες. »

LXVII°. Παραγραφὴ πρὸς Βιώτην· « Ὅτι μέν, ὦ ἄνδρες, καὶ αὐτὸς ἀπείρως. »

LXVIII°. Κατὰ Θεοδώρου ψευδομαρτυριῶν· « Νομίζομεν, ὦ ἄνδρες. »

LXIX°. Ἀγάθωνι συνηγορία· « Ὥσπερ καὶ αὐτὸς εἴρηκεν Ἀγάθων. »

LXX°. Ἀποστασίου ἀπολογία Αἰσχύλῳ πρὸς Ξενοφῶντα· « Χρήσασθαι μέν, ὦ ἄνδρες. »

LXXI. Κατὰ Φιλίππου μεταλλικός· « Ὅτι μέν, ὦ ἄνδρες, Κάλλιππος. »

LXXII°. Ὑπὲρ υἱοποιήτου· ἔδει δ' ἐπιγεγράφθαι· Ὑπὲρ Θεοδώρου, ὃν ἐποιήσατο υἱὸν Ἀρχεφῶν· « Βουλοίμην ἄν, ὦ ἄνδρες, ὥσπερ καλὸν καὶ δίκαιον. »

LXXIII°. Περὶ τοῦ Ἀρχεφῶντος κλήρου· « Καὶ δίκαιον εἶναι νομίζων. »

D. Ἰδιωτικοὶ ψευδεπίγραφοι.

LXXIV. Πρὸς Πεδιέα παραγραφή· « Κατὰ τὸν νόμον τοῦτον. » Οὗτος ὁ λόγος εἴρηται ἐπὶ Ἀριστοδήμου ἄρχοντος, ὡς ἐξ αὐτοῦ τοῦ λόγου γίνεται δῆλον· οἱ μὲν γὰρ εἰς Σάμον ἀποσταλέντες κληροῦχοι κατὰ τοῦτον τὸν ἄρχοντα ἀπεστάλησαν, ὡς Φιλόχορος ἐν ταῖς ἱστορίαις λέγει, Δείναρχος δ' οὔπω δέκατον ἔτος τηνικαῦτα εἶχε.

LXXV. Πρὸς Μελήσανδρον ὑπὲρ τῆς τριηραρχίας· « Ὥσπερ οἱ νόμοι κελεύουσιν. » Οὗ ἂν ὁ λόγος [εἴη, οὐκ ἔχω εἰπεῖν?], ἀλλ' ὁ μὲν λέγων ὡς ἐπὶ Μόλωνος ἄρχοντος γεγενημένου τοῦ ἀδικήματος ποιεῖται τὸν λόγον· φησὶ δὲ τῷ ὑστέρῳ ἔτει εἰσιέναι τὸν ἀγῶνα, ἐπὶ Νικοφήμου ἄρχοντος, καθ' ὃν εὑρίσκεται γεγενημένος ὁ Δείναρχος.

LXXVa. Πρὸς Βοιωτὸν ὑπὲρ τοῦ ὀνόματος· « Οὐδεμιᾷ φιλοπραγμοσύνῃ. » Εἰ καὶ μὴ τοῖς ἄλλοις οἱ Δημοσθένους ἀφαιρούμενοι τοῦτον τὸν λόγον καὶ Δεινάρχῳ προσάπτοντες ἐλέγχοιντο, τῷ χρόνῳ γ' οὖν ἐπιδειχθεῖεν ἂν ψευδόμενοι· μέμνηται γὰρ ὡς νεωστὶ τῆς εἰς Πύλας ἐξόδου γεγενημένης· ἡ δ' εἰς [Πύλας] Ἀθηναίων ἔξοδος ἐπὶ Θουδήμου ἄρχοντος ἐγένετο, ὄγδοον (ιγ' libri) ἔτος Δεινάρχου ἔχοντος.

LXXVb. Πρὸς Μαντίθεον περὶ προικός· « Πάντων ἐστὶν ἀνιαρότατον. » Οὗτος ἀκολουθεῖ τῷ προτέρῳ λόγῳ καὶ πολλὰ ἔχει κατὰ λέξιν ταὐτά, ἃ εἴη ἂν τοῦ αὐτοῦ ῥήτορος, ἔξω τῆς τοῦ Δεινάρχου ἡλικίας [· καὶ γὰρ οὐ] πολλοῖς ἔτεσιν ὕστερον ἠγώνισται τὸν ἀγῶνα ὁ κατήγορος, ἀλλὰ δύο ἢ τρισίν, ὡς ἀκριβέστερον περὶ αὐτῶν ἐν τῇ [περὶ] Δημοσθένους γραφῇ δεδηλώκαμεν.

LXXVI. LXXVII. Ἀθηνάδῃ συνηγορία περὶ τῆς σχεδίας πρὸς Ἀμύντιχον· « Φίλος μοι καὶ ἐπιτήδειος ὤν. » Ὁ ὕστερος· « Οἴομαι μὲν ὑμᾶς, ὦ ἄνδρες. « Διοπείθους ἔτι περὶ Ἑλλήσποντον, τοῦ τῶν Ἀθηναίων στρατηγοῦ, διατρίβοντος εἴρηται ὁ λόγος, ὡς ἐξ αὐτοῦ γίνεται φανερόν. Ἔστι δὲ ὁ χρόνος κατὰ Πυθόδοτον ἄρχοντα, ὡς δηλοῖ Φιλόχορος σὺν τοῖς ἄλλοις, αὐτοῦ ἐπὶ τούτου τοῦ ἄρχοντος οὐδέπω εἰκοστὸν ἔχοντος ἔτος.

LXXVIII. Πρὸς Μήκυθον μεταλλικός· « Πριάμενοι μέταλλον, ὦ ἄνδρες. » Ἐπὶ Νικομάχου ἄρχοντος εἴρηται ὁ λόγος οὗτος· φησὶ γὰρ ὁ λέγων ἐπ' Εὐβούλου μὲν μισθώσασθαι τὸ μέταλλον, τρία δὲ ἔτη ἐργασάμενος, ἐκβαλλόμενος ὑπὸ τοῦ πλησίον ἔχοντος μέταλλα, λαχεῖν αὐτῷ τὴν δίκην κατὰ Νικόμαχον ἄρχοντα, Δεινάρχου ἓν καὶ εἰκοστὸν ἔτος ἔχοντος.

LXXIX°. Σατύρῳ πρὸς Χαρίδημον ἐπιτροπῆς ἀπολογία· « Μὴ μεγάλου κινδύνου συμβεβηκότος. » Καὶ οὗτος ἐπὶ Νικομάχου εἴρηται.

LXXX. Ὑπὲρ ἀντιδόσεως Μεγακλείδῃ (immo πρὸς Μεγακλείδην. Saupp.)· « Εἰ μὲν ᾔδει, ὦ ἄνδρες, πρὸς τρεῖς ἢ τέτταρας. » Ὁ μὲν λέγων ἐστὶν Ἀφαρεύς· ἔξω δ' ἐστὶ τῶν Δεινάρχου χρόνων· εἴρηται γὰρ ἔτι τοῦ στρατηγοῦ Τιμοθέου ζῶντος κατὰ τὸν χρόνον τὸν τῆς μετὰ Μενεσθέως στρατηγίας, ἐφ' ᾗ τὰς εὐθύνας ὑποσχὼν ἑάλω. Τιμόθεος δὲ τὰς εὐθύνας ὑπέσχηκεν ἐπὶ Διοτίμου τοῦ μετὰ Καλλίστρατον· ὅτε καὶ ***.

FRAGMENTA.

A. Δημόσιοι λόγοι γνήσιοι.

I. ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΔΟΚΙΜΑΣΙΑ.

« Cum Dionysius tres tantum causas commemoraverit, quibus contra Polyeuctum agendis Dinarchus orationes scripsisset, ab Harpocratione quatuor orationes afferri videntur : κατὰ Π. δοκιμασία, κατὰ Π. δωροδοκίας, κατὰ Π. ἔνδειξις, κατὰ Π. ἀπόφασις, quibus si duas illas, quæ ad metalla samia pertinebant, addideris, sex orationes a Di-

narcho contra Polyeuctum scriptas esse facile existimaveris. Ac Westermannum Hist. eloqu. gr. p. 311 sq. (cl. p. 316) et Bœhneckium Quæst. orator. p. 643 videmus hoc statuisse. Sed cum eæ causæ, quas Dionysius non commemoravit, κατὰ Π. δωροδοκίας, κατὰ Π. ἀπόφασις, publicæ fuerint necesse sit, index publicarum vero orationum et genuinarum et suppositarum integer servatus esse videatur, nihil restaret, nisi ut Dionysium has orationes per negligentiam omisisse existimaremus. Quod parum est verisimile. Quare eam orationem, quam Harpocratio κατὰ Π. δωροδοκίας inscriptam fuisse dixit, non differre puto ab delatione Polyeucti ex senatu ejecti. Nam de donis a Polyeucto acceptis in hac oratione Dinarchum exposuisse fr. 8 luculenter docet. Ab hac oratione ne eam quidem diversam fuisse putaverim, quam Harpocratio κατὰ Π. ἀπόφασιν dictam esse uno loco tradidit fr. 9. Quanquam enim exempla nunc quidem non suppetunt, tamen ἀποφαίνειν et ἀπόφασιν vocabula a grammaticis aliquando usurpata esse, ubi ἐνδεικνύναι et ἔνδειξις propria erant, non est quod jure mireris. Aliis fortasse magis placebit ἀπόφασιν esse, quæ proprio vocabulo φάσις dicitur, ut testimonium illud Harpocrationis ad orationem *de metallis samiis* referri possit. Non minus anceps judicium est, ad quam orationem pertineant, quæ causæ nomine non addito simpliciter ex oratione aliqua κατὰ Πολυεύκτου desumpta esse dicuntur.... Etsi vero orationes primam et secundam contra unum eundemque hominem scriptas esse fragmenta ipsa videntur comprobare, tamen neque hoc certum est, neque quis ille Polyeuctus fuerit. Nam præter Sphettium illum, Demosthenis amicum clarissimum, tum complures homines cognomines Athenis vixisse supra vidimus. » Sauppius.

1.

Harpocratio : Ἐπακτροκέλης· Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. Εἶδος δ' ἐστὶ πλοίου σύνθετον ἔχον τὴν κατασκευὴν ἔκ τε ἐπακτρίδος καὶ κέλητος. Ἦν δὲ ὡς ἐπίπαν λῃστρικόν, ὡς καὶ Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου δοκιμασίᾳ.

2.

Idem : Ἀρχαιρεσιάζειν τὸ ἀξιοῦν ἑαυτὸν αἱρεθῆναι ἄρχοντα Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου.

3.

Priscianus XVIII, 23 p. 189 Kr. : Ἐγκύκλια *Græci et de probabilibus et vilissimis rebus dicunt.* Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου· « ἀνθρώπου καὶ μισθωτοῦ καὶ πάντα τὰ ἐγκύκλια ἀδικήματα ἠδικηκότος. »

4.

Dionysius t. V, p. 640 R : Οὐ μὴν ἀλλὰ καὶ τοῦ Δημοσθενικοῦ χαρακτῆρος, ὃν μάλιστα ἐμιμήσατο, πολὺ πλείω (sc. παραδείγματα) δύναιτ' ἄν τις εἰπεῖν, ὡς καὶ ἐν τῷ κατὰ Πολυεύκτου· προοιμιάζεται γὰρ ὁμοίως ἐκείνῳ καὶ δι' ὅλου τοῦ λόγου παραπλήσιος μεμένηκεν.

II. ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΕΚΦΥΛΛΟΦΟΡΗΘΕΝΤΟΣ ΕΝΔΕΙΞΙΣ.

5.

Harpocratio : Δώρων γραφή· ὁπότε τις αἰτίαν ἔχοι τῶν πολιτευομένων δῶρα λαβεῖν, τὸ ἔγκλημα τὸ κατ' αὐτοῦ διχῶς ἐλέγετο, δωροδοκία τε καὶ δώρων γραφή. Δείναρχος οὖν λόγον μέν τινα ἐπέγραψε κατὰ Πολυεύκτου δωροδοκίας, ἐν δὲ τῷ κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν.

6.

Idem : Ἐκφυλλοφορῆσαι. Εἰ ἐδόκει τις τῶν βουλευτῶν ἀδικεῖν, διεψηφίζετο ἡ βουλὴ περὶ αὐτοῦ εἰ χρὴ αὐτὸν μηκέτι βουλεύειν· ἀντὶ δὲ ψήφων φύλλοις ἐχρῶντο, δι' ὧν ἕκαστος ἐπεσημαίνετο τὴν αὐτοῦ

I. CONTRA POLYEUCTUM PROBATIO.

1.

Ἐπακτροκέλης, myoparo piraticus, apud Æschinem in orat. contra Timarchum (§ 191). Est vero species navigii, structuram habens compositam ex epactride et celoce. Ut plurimum erat piraticum, ut Dinarchus quoque testatur in probatione contra Polyeuctum.

2.

Ἀρχαιρεσιάζειν, ad magistratum aspirare. Dinarchus in orat. contra Polyeuctum.

3.

Dinarchus in or. contra Polyeuctum : « Viri et mercenarii et qui vilissima quæque crimina commiserit. »

4.

Nec pauciora etiam Demosthenici characteris, quem potissimum Dinarchus scitatus est, imitationis exempla producere quis queat, ut in oratione adversus Polyeuctum. Eadem, qua ille, ratione exorditur, et in universo orationis contextu persimilis est.

II. CONTRA POLYEUCTUM E SENATU EJECTUM DENUNTIATIO.

5.

Δώρων γραφή. Si quis ex iis qui in administratione reip. versarentur, captorum munerum insimulatus esset, actio contra eum instituebatur quæ duplici nomine appellabatur, sive δωροδοκία sive δώρων γραφή. Itaque Dinarchus quandam inscripsit orationem contra Polyeuctum δωροδοκίας. Sed in ea quæ est contra Pytheam de peregrinitate, subinde vocat τὴν τῶν δώρων γραφήν.

6.

Ἐκφυλλοφορῆσαι, senatu vel ordine movere. Si quis senatorum contra jus fasque agere videretur, senatus disquirebat, an concilio movendus esset, necne. Pro calculis autem foliis arborum utebantur, quibus suam quisque sententiam significavit. Dinarchus in orat. contra Polyeuctum a senatu ejectum.

γνώμην. Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος.

7.

Idem : Παλίμβολον· Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. Ὁ πολλάκις ἐμπολῇ μεταβεβλημένος [καὶ] παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δεινάρχου κατὰ Πολυεύκτου καὶ ἐκ τοῦ Μενάνδρου Σικυωνίου. Cf. Photius Lex.

8.

Idem : Παλιναίρετος· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. Μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινάς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτ' ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν, ὡς δηλοῦται καὶ τοῦτο ἐν τῷ λόγῳ. Ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν Ἰχθύσι, κτλ.

9.

Idem : Παραγγελία. Δείναρχος ἐν τῇ κατὰ Πολευεύκτου ἀποφάσει· « καὶ τὰς ἰδίᾳ παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις. »

III. ΚΑΤΑ ΠΟΛΥΕΥΚΤΟΥ ΠΕΡΙ ΤΟΥ ΓΕΩΦΑΝΙΟΥ.

10.

Pollux VII, 99 : Πολλὰ δ' ἂν καὶ ἄλλα εἴη μέταλλα, ὥσπερ τὰ ἐν Σάμῳ τὰ καλούμενα γεωφάνεια, ὑπὲρ ὧν ὁ Δείναρχος λέγει. Cf. Harpocratio : Γεωφάνιον χωρίον ἐν ᾧ γῆς μέταλλον. Περὶ δὲ τοῦ ἐν Σάμῳ γεωφανίου ὃν τρόπον ἐξευρέθη, Ἔφορος δεδήλωκεν ἐν τῇ θ'.

11.

Harpocratio : Αἰγεῖον Αἰγέως ἡρῷον ἐν Ἀθήναις· Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. Cf. Bekk. Anecd. p. 354, 8.

12.

Harpocratio : Καρύανδα· Δείναρχος ἐν τῷ κατὰ Πολυεύκτου. Ἔστι δὲ πόλις τῆς Καρίας.

V. ΚΑΤΑ ΠΥΘΕΟΥ ΞΕΝΙΑΣ.

13.

Stephanus Byz. : Αἴγιναι, τρεῖς. Νῆσος μία τῶν Κυκλάδων. ... Ὁ πολίτης Αἰγινεύς, ὡς Στράβων, ὡς οἱ πολλοί, Αἰγινήτης. .. Αἰγιναῖος δὲ ὁ ἔποικος ἢ κέραμος ἢ ὀβολὸς ἢ ἄλλο τι σκεῦος ἀπὸ Αἰγίνης. Καὶ τὸ θηλυκὸν Αἰγιναία. Λέγεται καὶ γυνὴ Αἰγιναία, ὡς Δείναρχος ἐν τῷ κατὰ Πυθέου ξενίας. Τὸ θηλυκὸν τοῦ Αἰγινήτης, Αἰγινῆτις.

14.

Harpocratio. : Δώρων γραφή· ... Δείναρχος οὖν... ἐν δὲ τῷ κατὰ Πυθέου ξενίας πολλάκις ὀνομάζει τὴν τῶν δώρων γραφήν. Cf. fr. 5.

15.

Idem : Ἀρχιδάμιος πόλεμος· Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ [Δείναρχος ἐν τῷ κατὰ] Πυθέου ξενίας. Cf. Lysiæ fr. 18.

VI. ΚΑΤΑ ΠΥΘΕΟΥ ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΤΟ ΕΜΠΟΡΙΟΝ ΕΙΣΑΓΓΕΛΙΑ.

16.

Idem : Ἀπρότων. Δείναρχος ἐν τῷ κατὰ Πυ-

7.

Παλίμβολον, apud Æschinem in orat. De falsa legatione (§ 40). Qui multiplici et sæpe commutata venditione veterator factus est, παλίμβολος dicitur : idque ex oratione Dinarchi contra Polyeuctum, et e Menandri Sicyonio manifestum est.

8.

Παλιναίρετος, *Rursum creatus*, *Iterum electus*. Dinarchus in accusatione contra Polyeuctum senatu ejectum. Sed vide num orator παλιναίρετον vocet Polyeuctum, quia muneribus corruptus defendendos susceperat eos quos antea calumniatus erat, ut in ipsa illa oratione indicatur ; vel quod, quum calumniæ convictus pecunia mulctaretur, facultate dicendi tamdiu caruit, donec debitam mulctam persolvisset, deinde vero, persoluta mulcta, denuo dicere poterat ; nam hoc quoque in ea oratione. Tales enim παλιναιρέτους vocatos esse nec non eos qui magistratu moti postea populi suffragiis iterum eligerentur, tum Eupolis in Baptis declarat, tum Archippus in Piscibus.

9.

Dinarchus in denuntiatione adversus Polyeuctum : « Et privatim prensationes et preces adhibitas. »

III. CONTRA POLYEUCTUM DE GEOPHANIO.

10.

Multa etiam alia metalla sunt, verbi causa Samia illa quæ Geophania vocantur, de quibus Dinarchus disserit. Geophanium, locus in quo terræ metallum. Sed de inventione Geophanii in Samo insula Ephorus scripsit libro nono.

11.

Ægeum, Ægei heroum. Dinarchus in oratione contra Polyeuctum.

12.

Caryanda, Dinarchus in oratione adversus Polyeuctum. Est Cariæ civitas.

V. CONTRA PYTHEAM PEREGRINITATIS REUM.

13.

Γυνὴ Αἰγιναία, *mulier ex Ægina oriunda*, Dinarchus dicit in oratione contra Pytheam.

14.

Δώρων γραφή, actio contra eum qui donis corrumpi se passus est. Sæpius sic eam vocat Dinarchus in or. contra Pytheam de peregrinitate.

15.

Ἀρχιδάμιος πόλεμος, *Archidamium bellum*, dicit Lysias in orat. contra Androtionem et [*Dinarchus*] in or. contra Pytheam de peregrinitate.

VI. CONTRA PYTHEAM DELATIO DE REBUS EMPORII.

16.

Ἀπρότων. Dinarchus in oratione adv. Pytheam : « Quum

θέου· « ἐμπεπηδηκότων τῶν ῥητόρων ὥσπερ ἀπρότων εἰς τὸ ἐμπόριον. » Μήποτε γραφικὸν ἁμάρτημα, καὶ δεῖ γράφειν ὥσπερ ἀλησίπων. Ἐν τισὶ δὲ γέγραπται ὥσπερ παρνόπων· εἰσὶ δ' οἱ πάρνοπες εἶδος ἀκρίδος. Cf. Bekkeri Anecd. p. 440, 28, et Etym. M. p. 4, 27 : Ἀπρότων· οἱ μὲν εἶδος κογχυλίου φασίν, οἱ δὲ ἀκρίδων, οἱ δὲ μελιττῶν. Ἕκαστον δὲ τούτων ἀγεληδὸν νέμεται καὶ οἱ μὲν τὰ ἄνθη, οἱ δὲ τοὺς καρπούς, οἱ δὲ τὰ ποώδη σίνουσιν· ἀφ' ὧν καὶ τοὺς κατὰ συμμορίαν κακούργους ἀπρότους ὠνόμασαν.

17.

Suidas 2, 1, p. 42 : Καὶ καλλίου, πιθήκου. Τὰ δυσχερῆ γὰρ τῶν ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀττικοὶ προφέρεσθαι· καὶ τὸν πίθηκον οὖν καλλίαν προσηγόρευσαν. Δείναρχος ἐν τῷ κατὰ Πυθέου· « ἀλλ' οἶμαι ὥσπερ οἱ τοὺς καλλίας ἐν τοῖς οἴκοις τρέφοντες. » τουτέστι πιθήκους. Cf. Bekk. Anecd. p 190, 20 et 275, 6.

18.

Harpocratio : Ἀντιϐληθέντας ἀντὶ τοῦ ὑπαγορευθέντας Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. Cf. Bekk. Anecd. p. 409, 32.

19.

Idem : Ἀρρηφορεῖν· Δείναρχος κατὰ Πυθέου. δ' μὲν ἐχειροτονοῦντο δι' εὐγένειαν ἀρρηφόροι, β' δὲ ἐκρίνοντο, αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. Λευκὴν δ' ἐσθῆτα ἐφόρουν. Εἰ δὲ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνετο.

19 a.

Idem : Βασιλικὴ διαδρομή. Ἔοικεν ἡ γινομένη διαδρομὴ τοῦ βασιλέως παρόντος, ὅσπερ εἷς ἐστὶ τῶν Ἀθήνησιν θ' ἀρχόντων, βασιλικὴ διαδρομὴ καλεῖσθαι. Δείναρχος κατὰ Πυθέου.

20.

Idem : Ἐπιμελητὴς ἐμπορίου· Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Ἀριστοτέλης· « ἐμπορίου δ' ἐπιμελητὰς ι' κληροῦσιν, τούτοις δὲ προστέτακται τῶν τε ἐμπόρων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ Ἀττικὸν ἐμπόριον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν. » Cf. Bekk. Anecd. p. 255, 21.

21.

Idem : Καταδεδέσθαι ἀντὶ τοῦ πεφαρμακεῦσθαι καὶ δεδέσθαι φαρμάκοις Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ.

22.

Idem : Κοϐαλεία· Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. Κοϐαλεία ἐλέγετο ἡ προσποιητὴ μετ' ἀπάτης παιδιά, καὶ κόϐαλος ὁ ταύτῃ χρώμενος. Ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ. Φιλόχορος (fr. 24) κτλ. Cf. Bekk. Anecd. p. 272, 21.

23.

Idem : Λαμπάδιον. Ἣν νῦν ἡμεῖς λαμπάδα καλοῦμεν, οὕτως ὠνόμαζον· Δείναρχος ἐν τῷ κατὰ Πυθέου καὶ Πλάτων ἐν α' τῆς Πολιτείας.

24.

Idem : Μητρῷον· Λυκοῦργος κατ' Ἀριστογείτονος. Τοὺς νόμους ἔθεντο ἀναγράψαντες ἐν τῷ μητρῴῳ· δηλοῖ Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Cf. Lycurgi frg. 8.

25.

Idem : Νομοφύλακες. ... Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ Πυθέου.

---

autem oratores in illud emporium seu ἄπροτοι insiluissent. » Videtur peccatum id esse scripturæ, et scribendum : ὥσπερ ἀλησίπων. In nonnullis codicibus est, ὥσπερ παρνόπων. Sunt vero parnopes genus locustarum.

17.

Καὶ καλλίου, *et simii*. Attici enim rebus turpibus honestiora nomina solent imponere : sic simiam καλλίαν appellant. Dinarchus in orat. contra Pytheam : « Sed, ut opinor, eorum more, qui καλλίας, simias, domi alunt.

18.

Ἀντιϐληθέντας, *dictatos*, Dinarchus in delatione contra Pytheam.

19.

Ἀρρηφορεῖν, Secreta et arcana sacra gestare, apud Dinarchum, contra Pytheam. Quatuor virgines ἀρρηφόροι, genere nobili, designabantur : at binæ eligebantur, quæ texturæ pepli aliisque rebus ad eum spectantibus præessent. Vestem gestabant candidam : et si aureum mundum circumponerent sibi, is sacer fiebat.

19 a.

Βασιλικὴ διαδρομή. Sic vocari videtur cursus (*lampadephoria equestris*), qui fiebat præsente rege, qui Athenis unus erat e novem archontibus. Dinarchus contra Pytheam.

20.

Ἐπιμελητὴς ἐμπορίου, apud Dinarchum in orat. contra Pytheam. Aristoteles : « Decem emporii curatores sorte legunt, quibus id negotii datum est, ut emporiorum curam habeant et frumenti, quod in Atticum emporium advehitur, duas partes in urbem mercatores deferre cogant. »

21.

Καταδεδέσθαι, id est, incantationibus magicis defixum esse et veneficio devinciri. Dinarchus in accusatione adversus Pytheam.

22.

Κοϐαλεία, apud Dinarchum in accusatione adv. Pytheam. Κοϐαλεία vocabatur fictus ludus jocusve dolo et fallaciæ conjunctus : et κόϐαλος, qui hunc ludum ludit. Ejusdem vero generis esse videtur cum βωμολόχῳ.

23.

Λαμπάδιον, id quod hodie λαμπάδα vocamus appellabant. Dinarchus in orat. contra Pytheam, et Plato in primo de republica.

24.

Μητρῷον, *Fanum matris deûm*. Lycurgus orat. in Aristogitonem. Leges quum descripsissent in Metroo deponebant, quod etiam Dinarchus declarat in or. contra Pytheam.

25.

Νομοφύλακες. Dinarchus in or. contra Himeræum et in or. contra Pytheam.

26.

Idem : Ὑπόλογον. Λυσίας περὶ ἀμβλώσεως. ... Δείναρχος ἐν τῷ κατὰ Πυθέου· « οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν, » ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις. Cf. Lysiæ fr. 21.

27.

Idem : Χρυσοχοεῖν· Δείναρχος ἐν τῷ κατὰ Πυθέου· « πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας παρὰ τούτῳ δῆλον ὅτι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν. » Κέχρηται τῇ παροιμίᾳ καὶ Πλάτων ἐν ε' Πολιτείας, κτλ. Cf. Bekker. Anecd. p. 316, 3 : Χρυσοχοεῖν ἐμάνθανε τί ἐστι; παροιμία ἐν ἤθει λεγομένη ἀντὶ τοῦ ἐπόρνευσε. « Hæc explicatio sententiæ, quam proverbio illo expressam esse reliqua testimonia ostendunt, non convenit. » Sauppius.

28.

Idem : Χύτροι· ... Ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Πυθέου. Cf. Lysiæ fr. 5.

VII. ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ.

29.

Idem : Λογισταὶ καὶ λογιστήρια. Ἀρχή τις παρ' Ἀθηναίοις οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν ι', οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις λ', ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Διείλεκται περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθυνῶν. Μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί· Εὔπολις Πόλεσιν· « ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν. » Λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους καὶ Ἀνδοκίδης ἐν τῷ περὶ τῶν μυστηρίων δηλοῦσιν. Cf. Scholia Demosth. 18, § 117.

30.

Fragm. Cantabr. lexici rhet. p. 675, 28 : Πάραλος καὶ Σαλαμινία. Ταύτας τὰς τριήρεις εἶχον διὰ παντὸς πρὸς τὰς ἐπειγούσας ὑπηρεσίας· ἐφ' αἷς καὶ ταμίαι τινὲς ἐχειροτονοῦντο. Ἐχρῶντο δὲ αὐταῖς, εἰ δέοι στρατηγὸν μεταπέμψασθαι κριθησόμενον, ὥσπερ Ἀλκιβιάδην. Ἡ δὲ Πάραλος δὴ ἀπό τινος ἥρωος ἐπιχωρίου ἐκλήθη. Τῆς μὲν Παράλου καὶ Σαλαμινίας ἐν τρίτῃ μνημονεύει Θουκυδίδης καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν, Ἀριστοτέλης δὲ Ἀμμωνιάδα καὶ Πάραλον οἶδε, καὶ Δείναρχος ἐν τῷ κατὰ Τιμοκράτους. Φιλόχορος δὲ ἐν τῇ ς' τέτταρας αὐτὰς οἶδε, πρώτας μὲν δύο, Ἀμμωνιάδα καὶ Πάραλον, προσγενομένας δὲ Δημητριάδα καὶ Ἀντιγονίδα. Ἐκαλοῦντο δὲ οἱ ἐμπλέοντες τῇ Παράλῳ Πάραλοι, ὡς καὶ παρ' Αἰσχίνῃ, οἱ δὲ τῇ Σαλαμινίᾳ Σαλαμίνιοι.

VIII. ΚΑΤΑ ΛΥΚΟΥΡΓΟΥ ΕΥΘΥΝΩΝ.

31.

Etym. M. p. 469, 6 : Μὴ ἀγνοῶμεν δὲ ὅτι καὶ ἄλλοι εἰσὶν ἱεροποιοὶ τῶν σεμνῶν θεῶν, τὸν ἀριθμὸν δέκα. Δημοσθένης ἐν τῷ κατὰ Μειδίου· « περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα ἐξ Ἀθηναίων ἁπάντων καὶ περὶ τὸν αὐτὸν καιρὸν καταρξάμενον », Δείναρχος δὲ ἐν τῷ κατὰ Λυκούργου εὐθυνῶν φησι· « καὶ τὰς σεμνὰς θεὰς αἷς ἐκεῖνος ἱεροποιὸς καταστὰς δέκατος αὐτός. »

32.

Harpocratio : Διαγράψαντος· Δείναρχος κατὰ Λυκούργου. Μήποτε ἀντὶ τοῦ καταβαλόντος καὶ καταθέντος. Ἔνιοι δὲ ἀντὶ τοῦ διὰ τραπέζης ἀριθμήσαντος, ὡς λέγομεν ἐν τῇ συνηθείᾳ.

33.

Photius et Suidas : Καταλεύσιμον τὸν ἄξιον τοῦ καταλευσθῆναι λίθοις εἶπε Δείναρχος ἐν τῷ κατὰ Λυκούργου.

34.

Harpocratio : Τρίτον ἡμίδραχμον· Δείναρχος κατὰ Λυκούργου. Τὰς β' ἥμισυ δραχμὰς οὕτως εἰώθασιν ὀνομάζειν οἱ παλαιοί.

26.

Ὑπόλογον. Lysias De abortu. Dinarchus in or. contra Pytheam · οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν, nulla senatui venia data est, i. e. nulla deprecatio locum habuit.

27.

Χρυσοχοεῖν. Dinarchus in or. contra Pytheam : « Rursus priore magistro relicto ad Æschinem se conferens, aurum videlicet fundere apud hunc didicit; eorum vero nihil quæ proposita erant aut facere aut pati. » Eodem proverbio usus etiam est Plato in quinto de Rep. libro (p. 450 B).

28.

Χύτροι etiam festum est Atticum, cujus meminit Dinarchus in oratione contra Pytheam.

VII. CONTRA TIMOCRATEM.

29.

Λογιστήρια sunt ratiociniis præfectorum curiæ, ut Dinarchus in or. contra Timarchum, et Andocides in oratione de mysteriis declarant.

30.

Πάραλον navem memorat etiam Dinarchus in or. contra Timocratem.

VIII. CONTRA LYCURGUM DE RATIONIBUS REDDENDIS.

31.

Dinarchus in or. contra Lycurgum de rationibus reddendis : « et Venerandas deas (Eumenides), quibus ille sacrificulus cum aliis novem constitutus erat. »

32.

Διαγράψαντος. Dinarchus in or. contra Lycurgum. De eo accipiendum esse videtur qui pecunias solvit ac deposuit; vel, ut aliis placet, qui per mensam numeravit, ut vulgo dicere solemus.

33.

Καταλεύσιμον. Sic Dinarchus in oratione contra Lycurgum vocat eum, quem lapidibus obrui par fuit.

34.

Τρίτον ἡμίδραχμον. Dinarchus contra Lycurgum. Duas drachmas et dimidiam sic antiqui dicere consueverunt.

IX. ΣΥΝΗΓΟΡΙΑ ΑΙΣΧΙΝῌ ΚΑΤΑ ΔΕΙΝΙΟΥ.

« Neque de his hominibus neque de causa quidquam dici potest. Fortasse de oratore Deinia Erchiensi (cf. Demosth. 20 § 146, 151 sq.) cogitandum est. Sauppius. »

35.

Harpocratio : Κλιμάζῃ. Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ συνηγορία Αἰσχίνῃ κατὰ Δεινίου· « ὅταν οὖν ἀπολογούμενος κλιμάζῃ καὶ παράγῃ τοὺς νόμους » ἀντὶ τοῦ παρακλίνῃ καὶ παρατρέπῃ. Μήποτε δὲ δεῖ γράφειν βλιμάζῃ, ἵν' ᾖ οἷον θλίβῃ καὶ βιάζηται. Cf. idem : Βλιμάζειν τὸ ταῖς χερσὶ διαθλίβειν. Καὶ τὸ τὰ κηρία θλῖψαι βλίσαι λέγεται. Cf. Bekk. Anecd. p. 221, 16.

Suidas : Κλιμακίζειν. Μέμνηται Δείναρχος ἐν τῇ ὑπὲρ Αἰσχίνου συνηγορίᾳ, λέγων· « οὗτος κλιμακίζει τοὺς νόμους. » Ἔστιν δὲ οἷον παράγει καὶ διαστρέφει, ἴσως ἀπὸ τῆς κλίμακος εἰρημένου τοῦ ὀνόματος, ἥτις οὖσα ὄργανον βασανιστικὸν διαστρέφει τὰ σώματα τῶν βασανιζομένων. Cf. Bekk. Anecd. p. 221, 19; 275, 15; Etymol. M. p. 200, 54.

36.

Harpocratio : Ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας, ὅτι ἡ μὲν μαρτυρία τῶν παρόντων ἐστίν, ἡ δ' ἐκμαρτυρία τῶν ἀπόντων. Σαφέστατα δὲ περὶ τούτων διδάσκουσι Δημοσθένης τε ἐν τῷ κατὰ Στεφάνου καὶ Δείναρχος ἐν τῷ ὑπὲρ Αἰσχίνου κατὰ Δεινίου.

37.

Idem : Παραφρυκτωρεῖν· Δείναρχος ἐν τῇ κατὰ Δεινίου ἐνδείξει. Τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι, τουτέστιν ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων ἐπὶ βλάβῃ δὲ τῶν φιλίων, οὕτως ἔλεγον, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ λόγῳ αὐτὸ ἐξηγήσατο.

38.

Idem : Πινάκια τὰ καθιέμενα ἀντὶ κλήρων τοῖς κληρουμένοις. Ἔοικε δ' εἶναι ταῦτα χαλκᾶ, ὡς ὑποσημαίνει Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. Ἐν δὲ τοῖς Φιλιππικοῖς ὅταν λέγῃ « μικρὸν, ὦ Ἀθηναῖοι, μικρὸν πινάκιον πάντα ταῦτα », ἐνταῦθα τυχὸν πινάκιον λέγει εἰς ὃ ἐγγράφεται τὰ ἐγκλήματα τὰ κατὰ τῶν εἰσαγγελλομένων, ὡς καὶ παρὰ Δεινάρχῳ ἐν συνηγορίᾳ Αἰσχίνῃ δείκνυται.

39.

Idem : Φρυκτωρῶν. Φρυκτωρεῖν ἐστὶ κυρίως τὸ διὰ πυρσῶν ἀνατεινομένων σημαίνειν ὁτιοῦν· Δείναρχος ἐν τῇ Αἰσχίνου συνηγορίᾳ κατὰ Δεινίου.

X. ΚΑΤΑ ΦΟΡΜΙΣΙΟΥ ΑΣΕΒΕΙΑΣ.

40.

Idem : Ἀποβάτης καὶ ἀποβαίνειν καὶ ἀποβατικοὶ τροχοί. Δείναρχος κατὰ Φορμισίου καὶ ἐν τῇ πρὸς Ἀντιφάνην ἀπολογίᾳ. Cf. Lycurgi fr. 20.

41.

Photius et Suidas : Ἠλινδημένον· ἀντὶ τοῦ ἀνεστραμμένον· Δείναρχος ἐν τῷ κατὰ Φορμισίου, ὅπῃ Ἰσοκράτης καλινδεῖσθαι λέγει.

42.

Idem : Προστρόπαιον. Αἰσχίνης περὶ τῆς πρεσβείας· « ἐάσετε οὖν αὐτὸν τὸ τοιοῦτον προστρόπαιον » ἀντὶ τοῦ ἄγος καὶ τὸ μίασμα. Καὶ προστροπὴ δὲ καὶ ἀρὰ ταὐτὸ λέγεται· ἐν γοῦν τῷ κατὰ Κτησιφῶντος ἐκ παραλλήλου τίθησι τὰ ὀνόματα ὁ ῥήτωρ. Κεῖται δὲ τοῦτο τὸ ὄνομα καὶ παρὰ Δεινάρχῳ ἐν τῷ κατὰ Φορμισίου ἀσεβείας.

IX. DEFENSIO ÆSCHINIS CONTRA DINIAM.

35.

Κλιμάζῃ. Dinarchus in oratione cui titulus, defensio causæ Æschinis contra Diniam : « quum igitur reus causam dicens leges κλιμάζῃ καὶ παράγῃ, i. e. detorqueat et pervertat. » Sed videtur scribendum esse βλιμάζῃ, ut sit θλίβῃ καὶ βιάζηται, premat et violet.

Βλιμάζειν, manibus comprimere; etiam mella favis exprimere βλίσαι dicitur.

Κλιμακίζειν. Meminit verbi Dinarchus in defensione Æschinis : « Hic leges torquet : » i. e. pervertit et corrumpit. Fortasse nomen deductum est a climace, quodam instrumento, quo hominum corpora in quæstionibus torquentur.

36.

Ἐκμαρτυρία et μαρτυρία eo differunt, quod hæc sit præsentium, illa absentium testimonium. Quæ apertissime docent Demosthenes in orat. contra Stephanum, et Dinarchus in or. pro Æschine adversus Diniam.

37.

Παραφρυκτωρεῖν. Dinarchus in delatione contra Diniam. Sic vocabant ignibus e specula sublatis proditorie uti, hoc est, in hostium commodum, et amicorum damnum : ut ipse orator in oratione illa explicavit.

38.

Πινάκια, tabellæ quæ sortium vice in urnam conjectæ sunt ab his ad quos sorte aliquid pervenit. Atque istæ videntur ex ære fuisse, ut Demosthenes innuit oratione De nomine (§ 12). Sed quum in Philippicis dicat : « parva, Athenienses, parva tabella hæc omnia, » forte notat tabellam cui crimina reorum læsæ majestatis inscribuntur, ut apud Dinarchum quoque in defensione causæ Æschinis docetur.

39.

Φρυκτωρεῖν est proprie igne sublato quidvis denuntiare. Dinarchus in defensione causæ Æschinis contra Diniam.

X. CONTRA PHORMISIUM IMPIETATIS CAUSA.

40.

Ἀποβάτης et ἀποβαίνειν et ἀποβατικοὶ ἵπποι. Dinarchus contra Phormisium, et in apologia adversus Antiphanem.

41.

Ἠλινδημένον, volutatum. Dinarchus contra Phormisium. Hoc Isocrates καλινδεῖσθαι vocat.

42.

Προστρόπαιον, piaculum cujus causa religione obstringimus. Æschines de falsa legatione : « Sinetis igitur inter vos versari hominem contaminatum atque sceleratum? » Προστροπὴ etiam et ἀρὰ pro eodem dicitur, siquidem Æschines in oratione contra Ctesiphontem hæc vocabula componit. Eadem vox exstat apud Dinarchum in or. contra Phormisium De impietate.

43.

Idem : Ὑποφόνια τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ φονευθέντος, ἵνα μὴ ἐπεξίωσιν· Δείναρχος ἐν τῷ κατὰ... Φορμισίου.

XI. ΚΑΤΑ ΚΑΛΛΑΙΣΧΡΟΥ ΠΕΡΙ ΤΩΝ ΤΙΜΩΝ.

44.

Idem : Κύκλοι· Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου. Κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες· ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεστάναι τοὺς πωλουμένους. Μένανδρος Ἐφεσίῳ· « ἐγὼ μὲν ἤδη μοι δοκῶ νὴ τοὺς θεοὺς ἐν τοῖς κύκλοις ἐμαυτὸν ἐκδεδυκότα ὁρᾶν, κύκλῳ τρέχοντα καὶ πωλούμενον. »

45.

Idem : Κηφισόδωρος. ... Ἕτερος δ' ἂν εἴη Κηφισόδωρος, ὃς ἵππαρχος ὢν ἐν Μαντινείᾳ μετὰ Γρύλλου τοῦ Ξενοφῶντος ἀπέθανεν, οὗ μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου. Cf. Lycurgi fr. 82.

XII. ΤΥΡΡΗΝΙΚΟΣ.

De argumento et tempore hujus orationis bene exposuit A. Bœckhius de re navali Athen. p. 459.

46.

Idem : Περίστασιν. Δείναρχος Τυρρηνικῷ· « μετὰ ταῦτα τοῦ Δάμωνος ἤδη περὶ ἀναγωγὴν ὄντα με περίστασιν ποιησαμένου καὶ μαρτυρεῖν ἀξιοῦντος » καὶ τὰ ἑξῆς. Μήποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν κύκλῳ περιέστη με αὐτὸς καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον, ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ περίστατόν με ἐποίησαν. Ἐν ἐνίοις δὲ παράστασιν γράφεται. « In his ποιησαμένου Bekkerus; ποιήσουσιν οὗ A et Photius, ποιήσουσιν οἷς BCG, ποιήσαντος N. Explicatione grammaticis hoc egere visum est, quod Damo unus *circumstetisse* eum, qui navem solvere vellet, dicebatur. » Sauppius.

47.

Idem : Κέρχουρος εἶδός τι νεώς· Δείναρχος Τυρρηνικῷ.

48.

Idem : Λιπάρα· Δείναρχος Τυρρηνικῷ. Μία τῶν καλουμένων Αἰόλου νήσων περὶ τὴν Σικελίαν ἡ Λιπάρα, ὡς Εὔδοξος ζ' περιόδου.

49.

Idem : Οἴκημα ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος ἐν Τυρρηνικῷ καὶ ἐν τῷ κατὰ Ποσειδίππου, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

50.

Idem : Στροφάδες νῆσοι· Δείναρχος Τυρρηνικῷ· νῆσοί τινές εἰσι μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι. « Ad eandem fortasse orationem pertinet Harpocrationis glossa p. 21, 21 : Ἀντιάταις τοῖς ἀπὸ Ἀντίου πόλεως, ἥτις ἀπέχει Ῥώμης τ' σταδίους. Nam Antiates pariter atque Thyrrhenos illis temporibus piratica infames fuisse Strabo 5, 3 § 5, tradidit. » Sauppius.

XIII. ΚΑΤΑ ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΕΠΙ ΤΗΣ ΔΙΟΙΚΗΣΕΩΣ.

51.

Bekker. Anecd. p. 191, 27 : Ὀργεῶνές εἰσιν οἱ κοινωνοῦντες ἀλλήλοις θεῶν [ἢ] ἡρώων ἐν ἱεροῖς καὶ κοινῇ θυηπολοῦντες, ὡς Δείναρχος [Χάρης codd.] λέγει ἐν τῷ κατὰ Διονυσίου. Καὶ πάλιν ὀργεῶνες τίνες, ἐν Ἀπολογίᾳ ὕβρεως σαφὲς ποιεῖ. Οὗτοί εἰσιν οἱ τοῖς

43.

Ὑποφόνια, pecunia quam homicida dat propinquis et affinibus interfecti, ne eum persequantur. Dinarchus in or. contra Phormisium.

XI. CONTRA CALLÆSCHRUM DE HONORIBUS.

44.

Κύκλοι. Dinarchus in or. contra Callæschrum. Κύκλοι vocabantur loca ubi vendebantur mancipia quod in orbem circumstabant qui venibant. Menander Ephesio : « Ego quidem mihi jam videor, per deos, memet in circis vestibus exutum, videre circum currentem et venundatum. »

45.

Cephisodorum, qui equitum magister cum Gryllo Xenophontis filio ad Mantineam occubuit, Dinarchus memorat in oratione contra Callæschrum.

XII. TYRRHENICA ORATIO.

46.

Περίστασιν. Dinarchus in or. Tyrrhenica : « Post hæc Damone me, quum jam in eo eram ut portu solverem, περίστασιν faciente et testimonium a me perhiberi jubente » et quæ sequuntur. Videndum ne verborum iste rum sensus sit : Circumsteterunt me et ipse et qui cum eo erant, et ad testimonium perhibendum adegerunt, adeo ut idem significet quod περίστατόν με ἐποίησαν. Ceterum in quibusdam exemplaribus παράστασιν scribitur.

47.

Κέρχουρος, genus navigii. Dinarchus in Tyrrhenica oratione.

48.

Lipara, cujus meminit Dinarchus in or. Tyrrhenica, una est insularum circa Siciliam, quas Æoli appellant, teste Eudoxo in libro sexto Ambitus terræ.

49.

Οἴκημα, id est, carcer. Dinarchus in or. Tyrrhenica et in or. contra Posidippum.

50.

Strophades insulæ, quarum mentio fit in Dinarchi oratione Tyrrhenica, sitæ sunt inter Zacynthum et Elidem.

XIII. CONTRA DIONYSIUM ÆRARII ADMINISTRATIONI PRÆFECTUM.

51

Ὀργεῶνες sunt qui deorum vel heroum in fanis conventus habent et in communi sacra faciunt, ut Dinarchus dicit in oratione contra Dionysium. Rursus quinam sint

ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες καὶ τῶν ἱερῶν δὲ κοινωνοῦντες (κρίνοντες cod.; em. Saupp.) ὀργεῶνας ἑαυτοὺς (ἀλλήλους) ἐκάλουν.

XIV. ΚΑΘ' ΙΜΕΡΑΙΟΥ ΕΙΣΑΓΓΕΛΤΙΚΟΣ.

52.

Harpocratio : Ἀμμωνὶς ἡ τοῦ Ἄμμωνος ἱερὰ τριήρης· Δείναρχος ἐν τῷ κατὰ Ἱμεραίου.

53.

Idem : Νομοφύλακες. Ἀρχή τις παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν· Δείναρχος καθ' Ἱμεραίου καὶ ἐν τῷ κατὰ Πυθέου. Φιλόχορος δὲ ἐν τῷ ζ' ἄλλα τέ τινα διεξῆλθε περὶ αὐτῶν, καὶ ὅτι οὗτοι τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

XV. ΚΑΤΑ ΠΙΣΤΙΟΥ ΕΙΣΑΓΓΕΛΙΑ.

54.

Vit. X oratt. p. 842, F : Ἔσχε δὲ τρεῖς παῖδας (Lycurgus) ἐκ Καλλιστοῦς, τῆς Ἅβρωνος μὲν θυγατρός, Καλλίου δὲ τοῦ Ἅβρωνος Βατῆθεν ἀδελφῆς, τοῦ ταμιεύσαντος στρατιωτικῶν ἐπὶ Χαιρώνδου ἄρχοντος· περὶ δὲ τῆς κηδείας ταύτης λέγει ὁ Δείναρχος ἐν τῷ κατὰ Πιστίου (Παστίου codd.). Cf. Westermann. Quæst. Demosth. III, p. 124, et Mætzner ad Dinarch. or. I, § 52.

55.

Harpocratio : Βουλεύσεως ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή· τὸ δ' ἕτερον ὅταν κτλ... Τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Cf. Isæi fr. 58.

XVI. ΚΑΤ' ΑΓΑΣΙΚΛΕΟΥΣ ΕΙΣΑΓΓΕΛΙΑ.

56.

Idem : Ἀγασικλῆς ... Γέγραπται καὶ Δεινάρχῳ (Δημάρχῳ codd.) λόγος κατ' αὐτοῦ, ἐν ᾧ δεδήλωται ὅτι Ἁλιμουσίους συνεδέκασε καὶ διὰ τοῦτο ξένος ὢν τῇ πολιτείᾳ ἐνεγράφη. Cf. Hyperidis or. pro Euxenippo § 3.

57.

Idem : Εὐανδρία· Δείναρχος ἐν τῷ κατ' Ἀγασικλέους. Παναθηναίοις εὐανδρίας ἀγὼν ἤγετο. Ἀνδοκίδης τ' ἐν τῷ κατ' Ἀλκιβιάδου δηλοῖ καὶ Φιλόχορος. Cf. Bekker. Anecd. p. 257, 13 : Εὐανδρία· ἀγών τις εὐανδρίας τοῖς Παναθηναίοις ἀγόμενος, οὗ κοινωνεῖν οὐκ ἐξῆν τοῖς ξένοις.

58.

Harpocratio : Σκαφηφόροι. Δείναρχος ἐν τῷ κατὰ Ἀγασικλέους φησίν· « οἳ ἀντὶ σκαφηφόρων ἔφηβοι εἰς τὴν ἀκρόπολιν ἀναβήσονται, οὐχ ὑμῖν ἔχοντες χάριν τῆς πολιτείας ἀλλὰ τῷ τούτου ἀργυρίῳ, » ἀντὶ τοῦ μέτοικοι· οὗτοι γὰρ ἐσκαφηφόρουν Ἀθήνησι. Δημήτριος γοῦν ἐν γ' Νομοθεσίας φησὶν ὅτι προσεταττεν ὁ νόμος τοῖς μετοίκοις ἐν ταῖς πομπαῖς αὐτοὺς μὲν σκάφας φέρειν, τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια. Διείλεκται περὶ τούτων καὶ Θεόφραστος ἐν ι' Νόμων.

59.

Idem : Προμετρητής. Ὑπερίδης ἐν τῷ περὶ τοῦ

---

orgeones in Defensione contumeliæ explicat. Hi sunt qui deos in privatis sacris cultos venerantur. Quorum sacrorum qui participes erant, orgeones se appellabant.

XIV. CONTRA HIMERÆUM ORATIO IN ΕΙΣΑΓΓΕΛΙΑΣ CAUSA HABITA.

52.

Ἀμμωνίς, Ammoni sacra triremis. Dinarchus in oratione contra Himeræum (*Demetrii Phalerei fratrem?*).

53.

Νομοφύλακες, Legum custodes, Athenis magistratus a thesmothetis diversus. Dinarchus in or. contra Himeræum et in ea quæ est contra Pytheam. Philochorus cum alia nonnulla de iis libro septimo exposuit, tum coegisse magistratus ut legibus uterentur.

XV. CONTRA PISTIAM IN ΕΙΣΑΓΓΕΛΙΑΣ CAUSA.

54.

Lycurgus tres habuit liberos e Callistone Habronis filia, et Calliæ Habronis, populo Batensis, sorore, ejus qui Chæronda archonte quæstor bellicam pecuniam tractavit. De hac affinitate loquitur Dinarchus in oratione contra Pistiam.

55.

Βουλεύσεως nomen duobus in criminibus valuit : uno, quando alter alteri per insidias necem paravit, sive consecuta mors esset, sive non esset; altero, quando aliquis ut ærarii debitor inscriptus litem inferret alteri, quod se contra jus inscripsisset. Prioris testis est Isæus in orat. adv. Euclidem, qui inquit de eo cognosci in Palladio, dum Dinarchus in or. contra Pistiam id in Areopago fieri dicit.

XVI. CONTRA AGASICLEM IN ΕΙΣΑΓΓΕΛΙΑΣ CAUSA.

56.

Contra Agasiclem Dinarchus orationem scripsit, in qua manifestum fecit eum Halimusios donis corrupisse et propterea, quamvis peregrinum, in eorum civitatem adscriptum esse.

57.

Εὐανδρία, *fortitudo*. Dinarchus in orat. adv. Agasiclem. Panathenæis εὐανδρίας, *fortitudinis*, certamen agitabatur, ut Andocides declarat in oratione contra Alcibiadem, et Philochorus.

58.

Σκαφηφόροι, *scaphiferi*. Dinarchus in or. contra Agasiclem : « Adolescentes qui pro scaphiferis in arcem ascendent, hujus pecuniæ potius quam vobis ob jus civitatis acceptum gratiam habentes. » Ubi σκαφηφόροι sunt μέτοικοι, inquilini; nam inquilini Athenis scaphas ferebant. Demetrius enim libro tertio De legum latione scribit : « Jubet lex, ut inquilini scaphas in pompis ferant : eorum filiæ autem hydrias et umbellas. » De his etiam disseruit Theophrastus libro decimo De legibus.

59.

Dinarchus in or. contra Agasiclem : « Scythæ igitur di-

Euagon Lampsacenus, ut tradunt Eurypylus et Dicæocles Cnidius in vicesimo primo Commentationum libro, item Demochares orator in orat. pro Sophocle contra Philonem, quum patriæ civitati pecuniam fœnori dedisset, oppignerata arce, ubi justo tempore pecunia ei reddita non est, de capessenda tyrannide consilium iniit, donec adversus eum concursu facto Lampsaceni, repræsentata pecunia, eum ejecerunt. Timæus Cyzicenus, ut idem ait Demochares, pecuniam et frumentum largitus civibus, eoque habitus vir probus apud Cyzicenos, brevi post tempore evertere rempublicam per Aridæum molitus est. Quare in judicium vocatus convictusque, infamia notatus est : et in civitate quidem permansit senex et annis gravis, sed inglorius et infamis vitam traduxit.

2.

Democharis contra philosophos accusationem quid memorare attinet? Non enim de Aristotele modo, sed de ceteris quoque mala dixit. Quodsi denique ipsas calumnias spectes, nugari eum dixeris. Videlicet interceptas esse tradit Aristotelis epistolas contra Atheniensium civitatem

διαβολὰς σκοπῶν ἄν τις ληρεῖν αὐτὸν φαίη. Λέγει γὰρ ἐπιστολὰς Ἀριστοτέλους ἁλῶναι κατὰ τῆς πόλεως τῆς Ἀθηναίων καὶ Στάγειραν τὴν πατρίδα προδοῦναι Μακεδόσιν αὐτόν· ἔτι δὲ κατασκαφείσης Ὀλύνθου μηνύειν ἐπὶ τοῦ λαφυροπωλείου Φιλίππῳ τοὺς πλουσιωτάτους τῶν Ὀλυνθίων.

3.

Athenæus, V, p. 215, C : Τοιοῦτοί εἰσιν οἱ ἀπὸ φιλοσοφίας στρατηγοί· περὶ ὧν Δημοχάρης ἔλεγεν· « ὥσπερ ἐκ θύμβρας οὐδεὶς ἂν δύναιτο κατασκευάσαι λόγχην, οὐδ' ἐκ Σωκράτους στρατιώτην ἄμεμπτον. »

Idem V, p. 187, D : Ἀλλ' οὔτ' ἐκ θύμβρας, ἔφη Δημοχάρης, λόγχη, οὔτ' ἐκ τοιούτων λόγων ἀνὴρ ἀγαθὸς γίνεται.

II. ΑΠΑΡΑΣΗΜΑ.

4.

Rutilius I, 2 : *Synathræsmos. Hoc et singulis verbis et plurium verborum conjunctione fieri potest. Singulis verbis hoc modo. ... Democharis* : *« Nam quis hæc simul universa perpeti possit, timorem, morbum, senectutem, contumeliam, inopiam, vim? quarum quævis una res per se satis est gravis ad deficiendum. »*

5.

Idem I, 5 : [*Palillogia quid*] *distet ab epanalepsi, docet Gorgias et exempla supposita. Democharis : « Erravistis, erravistis,* [*Athenienses, si*] *putavistis præmio corrigendos esse homines nequam. »*

6.

Idem I, 20 : *Anancæon. Hoc schema tunc prodest atque omnis ejus utilitas in eo est, cum volumus ostendere necessitudinem aut naturæ aut temporis aut alicujus personæ .... Item Democharis : « Nihil enim valebat assidua pro fratre ac misericors deprecatio, cum judicaret tyrannus, cujus crudelitas omnem naturæ necessitudinem exstinguebat. »*

LXIII. STRATOCLES.

I. ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

1.

Photius Bibl. p. 447, a 17 Bekk. : Εἰσάγει δὲ (Agatharchides de Rubro mari) μετὰ σαφηνείας καὶ τῆς πρεπούσης λόγῳ κοσμιότητος εἰς τὸν ὅμοιον εἰπόντας τόπον Στρατοκλέα μὲν οὕτως· « ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν συναγωνισαμένων ὑμῖν τὸν πρὸς Φίλιππον πόλεμον. » Ἅμα, φησί, τὸ πάθος τῆς πόλεως εὐσήμως ἐξέθηκε, καὶ τῆς τῶν ἠτυχηκότων φιλίας ὑπεμνήσθη· τὸ δεινὸν γὰρ εὐνοίᾳ παρατεθὲν ἐμβριθεστέρους εἴωθε τοὺς οἴκτους ποιεῖν.

His adde quæ de Stratoclis oratione habet Dinarchus in or. contr. Dem. § 20 et 21.

II. ΑΠΑΡΑΣΗΜΑ.

2.

Rutilius, I, 9 : *Cænotes. Hoc duorum superiorum schematum conjunctionem habet, quod et ab uno verbo omnes sententiæ incipiunt et in uno novissimo acquiescunt. Stratoclis : « Quæritis novam rationem administrandæ reipublicæ : at reperire meliorem, quam a majoribus accepistis, non potestis. Quæritis maximis sumptibus faciendis quomodo ne tributa conferatis : at consiliis captis ærarii opes, quas cupitis augere,* * * *non potestis. Quæritis quemadmodum scelere contaminatis hominibus parcatis : at ignoscendo nocentibus innocentium salutem custodire non potestis. »*

3.

Idem II, 20 : *Taxis. Hoc fit, cum unaquæque res novissimorum verborum sententia clare distinguitur. Stratoclis : « Nam vehementer eorum vitiis invehi non licebat, reticere omnino non expediebat, suspiciones eloqui potissimum placebat. »*

4.

Plutarchus Moral. p. 798, E : Οὐδὲ γὰρ ἐπ' ἐρ-

---

scriptas; eundem Stagiram patriam Macedonibus prodidisse; porro post eversam Olynthum eum in loco quo spolia vendebantur ditissimos Olynthiorum indicasse.

3.

Tales sunt duces e philosophis sumpti, de quibus Demochares dicebat : « Quemadmodum e thymbra nemo hastam facere possit, sic etiam e Socrate nemo fecerit ducem bonum. »

« Nec e thymbra, Demochares dixit, hasta fit, nec ejusmodi sermonibus formatur vir bonus. »

I. CONTRA DEMOSTHENEM.

Introducit Agatharchides cum perspicuitate et justo orationis ornatu de eadem re (de Thebarum infortunio) dicentes (Stratoclem et Æschinem); et Stratoclem quidem ita : « Aratur jam et seritur Thebanorum civitas, qui nobiscum contra Philippum pugnaverunt. » Simul, ait Agatharchides, casum urbis evidenter exposuit, et infelicium amicitiæ recordatus est. Durum enim benevolentiæ oppositum majorem solet movere commiserationem.

II. EX INCERTIS ORATIONIBUS.

4.

Non capturæ quæstusque gratia accedendum est ad rempublicam; quomodo Stratocles et Dromoclides ad auream

γασίᾳ καὶ χρηματισμῷ προσιτέον τοῖς κοινοῖς, ὡς οἱ περὶ Στρατοκλέα καὶ Δρομοκλείδην ἐπὶ τὸ χρυσοῦν θέρος, τὸ βῆμα μετὰ παιδιᾶς οὕτως ὀνομάζοντες, ἀλλήλους παρεκάλουν.

LXIV. MENESÆCHMUS.

I. ΠΕΡΙ ΤΗΣ ΔΗΛΟΥ ΘΥΣΙΑΣ.

II. ΠΡΟΣ ΠΕΡΙΚΛΕΑ ΚΑΙ ΔΗΜΟΚΡΑΤΗΝ.

Dionysius tom. V, p. 659 R.: Ἀφαιροῦμαι δὲ καὶ τοὺς ὑπὲρ Μενεσαίχμου λόγους ἀμφοτέρους αὐτοῦ, ὧν ὁ μέν ἐστι περὶ τῆς Δήλου θυσίας « Ἱκετεύομεν ὑμᾶς καί », ὁ δὲ πρὸς Περικλέα καὶ Δημοκράτην, οὗ ἡ ἀρχή, « Νομίζομεν, ὦ ἄνδρες, » διά τε τὸν χαρακτῆρα· ὑδαρὴς γὰρ καὶ κεχυμένος καὶ ψυχρός· καὶ ὅτι ὁ λέγων αὐτὸς ὢν οὔτε ἄδοξος καὶ μετὰ Λυκοῦργον τὴν διοίκησιν τῶν δημοσίων χρημάτων παραλαβών, ἐξητασμένος δὲ πολλάκις αὐτός, ὡς ἐν τοῖς λόγοις περὶ ἁπάντων μηνύει, καὶ ἐν ἰδίοις καὶ ἐν δημοσίοις ἀγῶσιν, οὐκ ἦν ἀδύνατος, ὥστε Δεινάρχῳ λογογράφῳ χρῆσθαι. Cf. Dinarchi fr. or. XXXVIII et XXXIX.

III. ΕΡΜΙᾼ ΕΜΠΟΡΙΟΥ ΕΠΙΜΕΛΗΤῌ ΑΠΟΛΟΓΙΑ.

Idem ib. p. 559: Ἑρμίᾳ ἐμπορίου ἐπιμελητῇ περὶ τῶν κατηγορηθέντων ἀπολογία· « Δέομαι ὑμῶν, ὦ ἄνδρες, » Ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος εὕροι τις ἂν οὐκ ὄντα τὸν λόγον Δεινάρχου· ὑδαρής τε γὰρ καὶ ἀσθενὴς καὶ ψυχρός ἐστιν· ἀλλὰ μᾶλλον αὐτὸν ἄν τις θείη Δημοκλείδου ἢ Μενεσαίχμου ἢ τῶν ἄλλων τῶν τοιούτων τινός. Cf. Dinarchi fr. XXXVII.

LXV. CALLICRATES.

Dionysius tom. V, p. 661, 4: Κατὰ Δημοσθένους παρανόμων· « Εἰώθατε, ὦ ἄνδρες. » Οὗτος ἐν τοῖς Περγαμηνοῖς πίναξι φέρεται ὡς Καλλικράτους, ἐγὼ δὲ εἰ μὲν ἐκείνου ἐστὶν οὐκ οἶδα· οὐδὲ γὰρ ἐνέτυχον τῶν Καλλικράτους οὐδενί· ὅτι δὲ πάμπολυ τῶν Δεινάρχου λόγων ἀφέστηκεν, εὐτελής τε ὢν καὶ κενὸς καὶ οὐκ ἀπέχων ἰδιωτικῆς φλυαρίας, πείθομαι. Cf. Dinarchi fr. or. XLII.

LXVI. DEMOCLIDES.

« Ruhnkenius Hist. crit. p. 92 *Democlidem* et *Democlem* diversa nomina ejusdem hominis esse putat, quod quanquam inimicitia Democharis et Theophrasti, cujus Democlem discipulum fuisse biographus decem oratt. tradidit, commendatur, tamen admodum incertum est: cf. Meier. in Kiesslingii Lycurgeis p. LVII. » Sauppius.

Suidas t. II, p. 1296. Bernh.: Ὦ τὸ ἱερὸν πῦρ

---

messem (sic enim tribunal per jocum nominabant) se invicem sunt cohortati.

I. DE SACRIFICIO IN DELO.

II. ADVERSUS PERICLEM ET DEMOCRATEM.

Abjudicabo Dinarcho etiam ambas orationes de Menesæchmo, quarum una est de sacrificio Deli, et incipit: Ἱκετεύομεν ὑμᾶς καί, altera vero in Periclem et Democratem, cujus initium: Νομίζομεν, ὦ ἄνδρες: tum propter stylum: aquosus enim est et dilutus et frigidus; tum quia ipse ille, qui eam habuit, quum esset non ignobilis, et post Lycurgum fuisset ærarii publici administrator, et in privatis et publicis certaminibus sæpe se ipse exhibuisset, (quæ omnia in orationibus illis indicantur), non erat dicendi adeo imperitus ut Dinarchi orationum scriptoris opera uteretur.

III. DEFENSIO HERMIÆ EMPORII CURATORIS.

Hermiæ emporii curatori scripta oratio, qua ille contra accusatores defenditur, et cujus initium est: Δέομαι ὑμῶν, ὦ ἄνδρες, talem habet characterem dictionis ut facile hinc colligas orationem non esse Dinarchi; nam aquosa dictio est et imbecillis frigidaque; potius Democlidæ vel Menesæchmo vel alii cuipiam ejus generis oratori adscribendam esse dixeris.

LXV. Dinarchi contra Demosthenem legum violatarum reum oratio, cujus initium: εἰώθατε, ὦ ἄνδρες, in tabulis Pergamenis Callicrati adscribitur; equidem, hujus an sit, nescio, neque enim ullam Callicratis orationem vidi; sed multum illam a reliquis Dinarchi orationibus distare, quum vilis sit et vana et a plebeia nugacitate non aliena, persuasum est.

LXVI. *Cui sacrum ignem sufflare non licet.* Timæus lib. XXXVIII Historiarum tradit Democlidem exprobrasse

οὐκ ἔξεστι φυσῆσαι. Τίμαιον ἐν λη' ἱστορεῖν, ὡς οἱ περὶ Δημοκλείδην κατὰ Δημοχάρους εἶπον, ὅτι μόνῳ αὐτῷ πάντων Ἀθηναίων οὐκ ἔξεστι τὸ ἱερὸν πῦρ φυσῆσαι, ὡς μὴ καθαρεύοντι τοῖς ἄνω μέρεσιν. Δοῦρις δὲ ἐν τῇ ι' Πυθίαις κατὰ Δημοσθένους τὰ ὅμοια εἰπεῖν. « Cf. Menesæchmi fr. 2. Porro, si vera est Ruhnkenii conjectura supra commemorata, Lycurgi filios, cum post mortem patris in judicium vocati essent, ab hoc Democlide defensos esse tradidit biogr. decem oratt., p. 842, D. » SAUPP.

LXVII. PHILO.

« A Philone, Aristotelis discipulo, Sophoclem Amphiclidæ filium accusatum esse Athenæus XIII p. 610, F. et Diog. Laert. V, 38 tradiderunt. Cf. Democharis frg. or. I. » S.

LXVIII. DEMOPHILUS.

Athenæus XV, p. 696, A : Ἀλλὰ μὴν καὶ τὸ ὑπὸ τοῦ πολυμαθεστάτου γραφὲν Ἀριστοτέλους εἰς Ἑρμείαν τὸν Ἀταρνέα οὐ παιάν ἐστιν, ὡς ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ φιλοσόφου γραφὴν ἀπενεγκάμενος Δημόφιλος εἰσηγεῖται, παρασκευασθεὶς ὑπ' Εὐρυμέδοντος, ὡς ἀσεβοῦντος καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὁσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα. Cf. Diogen. L. V, 5. Idem Demophilus Sauppio videtur in numero accusatorum Phocionis fuisse (Plut. Phoc. 38).

LXIX. GLAUCIPPUS.

Plutarchus Phoc. c. 4 : Εἰ γὰρ ἦν (Phocion), ὡς φησιν Ἰδομενεύς, δοιδυκοποιοῦ πατρός, οὐκ ἂν ἐν τῷ λόγῳ Γλαύκιππος ὁ Ὑπερείδου μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ τὴν δυσγένειαν παρῆκεν.

LXX. HAGNONIDES.

I. ΚΑΤΑ ΘΕΟΦΡΑΣΤΟΥ ΑΣΕΒΕΙΑΣ.

1.

Diogenes L. V, 37 : Τοσοῦτον δ' ἀποδοχῆς ἠξιοῦτο παρὰ Ἀθηναίοις (Theophrastus), ὥστε Ἁγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γράψασθαι μικροῦ καὶ προσώφλεν. Cf. A. Corais Theophr. charact. p. VI sq.; Luzac. De bigam. Socratis p. 121.

II. ΚΑΤΑ ΦΩΚΙΩΝΟΣ ΠΡΟΔΟΣΙΑΣ.

2.

Plutarchus Phoc. c. 33 : Ἁγνωνίδης ὁ ῥήτωρ εὐθὺς ἐπεφύετο τοῖς περὶ τὸν Φωκίωνα καὶ κατηγόρει προδοσίας.

Demochari, ipsi soli omnium Atheniensium non licere sacrum ignem sufflare, quod superiores partes corporis polluisset. Doris vero libro X dicit Pytheam idem objecisse Demostheni.

LXVIII. Etiam carmen, quod a doctissimo Aristotele in Hermeam Atarnensem est compositum, Pæan non est, ut contendebat Demophilus, qui ab Eurymedonte accusator subornatus, violatæ religionis reum egit philosophum, ut qui impio conatu quotidie in conviviis pæanem in Hermeam caneret.

LXIX. Quodsi pater Phocionis fuisset pistillorum faber, id quod Idomeneus asserit, haud profecto Glaucippus Hyperidis filius in ea oratione, qua alia infinita contra Phocionem convicia est complexus, generis obscuritatem præteriisset.

I. CONTRA THEOPHRASTUM DE IMPIETATE.

Theophrastus apud Athenienses tanto in honore erat, ut Hagnonides, quum impietatis reum agere ausus esset, non modo nihil efficeret, sed parum abesset quin ipse insuper mulctaretur.

II. CONTRA PHOCIONEM DE PRODITIONE.

Hagnonides rhetor Phocionem ejusque amicos adortus proditionis accusavit.

III. ΚΑΤΗΓΟΡΙΑ ΡΗΤΟΡΙΚΗΣ.

3.

Quintilianus II, 17, 15 : *Agno quidem detraxit sibi inscriptione ipsa fidem, qua rhetorices accusationem professus est.* De Agnone ab Hagnonide probabiliter non distinguendo v. Ruhnken. H. crit. p. 89.

LXXI. POLYXENUS.

Gregorius Corinth. ad Hermog. t. VII, p. 1272 W. : Οἱ παλαιοὶ... εἰ καὶ προεμελέτων, ἀλλ' οὖν προσεποιοῦντο λαλεῖν αὐτοσχέδια· αὐτίκα ὁ ῥήτωρ Πολύξενος, οὗ καὶ ὁ λόγος εἰς χεῖρας ἦλθεν ἡμᾶς, ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ γράφων φησὶν ἐν προοιμίῳ· « εὔχομαι μὲν τῷ Ἀπόλλωνι καὶ τοῖς ἄλλοις θεοῖς τοῖς τὴν Δῆλον ἔχουσιν, ὅτι κεχαρισμένον αὐτοῖς καὶ εὐσεβὲς καὶ δίκαιόν ἐστι, τοῦτο καὶ ἡμῖν παραδιδόναι λέγειν καὶ ὑμῖν τοῖς ἀκούουσι κρίναι. » Cf. Hyperidis or. Deliaca.

LXXII. POLYCHARMUS.

Plutarchus Mor. p. 726, A : Πολύχαρμος, ἐν Ἀθήναις δημαγωγῶν καὶ τοῦ βίου διδοὺς ἀπολογισμὸν ἐν ἐκκλησίᾳ· « Ταῦτα, εἶπεν, ἄνδρες Ἀθηναῖοι, τἄμά· καὶ πρὸς τούτοις, οὐδέποτε κληθεὶς ἐπὶ δεῖπνον ὕστατος ἀφικόμην. » Δημοτικὸν γὰρ εὖ μάλα δοκεῖ τὸ τοιοῦτο.

LXXIII. DEMETRIUS PHALEREUS.

« Demetrii Phalerei, quem Cicero primum orationem inflexisse et suavem magis quam gravem fuisse dicit (Bruti § 38), βιβλία ῥητορικὰ quoque δημηγοριῶν τε καὶ πρεσβειῶν exstiterunt teste Diogene Laertio 5 § 80. Sed vix potest certo intelligi, quænam ex iis scriptis, quorum Diogenes deinde indicem addidit, ad genus rhetoricum pertinuerint. Mihi quidem videntur eo referri posse Σωκράτης α', Ἀρταξέρξης α', Ὁμηρικὸς α', Ἀριστείδης α', Ἀριστόμαχος α', Προτρεπτικὸς α', ὑπὲρ τῆς πολιτείας α', περὶ τῆς δεκαετίας α', περὶ τῶν Ἰώνων α', Πρεσβευτικὸς α', Χαλκιδικὸς α', Ἀθηναίων καταδρομή, quanquam apparet declamationes has omnes magis fuisse quam veras orationes. Ex quibus declamationibus quam pauca servata sint, in tanta Demetrii claritate ipse miratus sum, cum schedas meas lustrarem. Quanquam fateor me fortasse minus diligentem in conquirendis et exscribendis iis, quæ ei tribuerentur, fuisse; nam diu dubitabam, an Demetrium prorsus omitterem : nunc vero satius videtur quæ collecta habui addere. Addita enim qui non exspectaverit facilius feret, quam qui exspectavit prorsus omissa. Restat, ut moneam de vita Demetrii et A. Westermannum explicavisse (Histor. eloqu. gr. § 74) et copiosissime nuper Chr. Ostermannum (comment. de Demetrii Phal. vita, rebus gestis et scriptorum reliquiis. Part. I, Hersfeldiæ, 1847.) » Sauppius.

I. ΣΩΚΡΑΤΗΣ.

1.

Diogenes L. IX, 15 : Μέμνηται αὐτοῦ (Heracliti) καὶ ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ.

LXXI. Veteres quamvis orationes suas præmeditarentur, tamen ex tempore se dicere simulabant. Sic Polyxenus orator, cujus oratio etiam in manus meas venit, de fano Delio scribens in procemio dicit : « Precor Apollinem ceterosque deos qui Delum tenent, ut quod gratum ipsis sit et pium atque justum et nobis dicere dent et audientibus vobis decernere.

LXXII. Polycharmus Athenis in republica versans orator, quum vitæ suæ rationem redderet, in concione dixit : « Hæc, viri Athenienses, mea ratio est : præterea nunquam vocatus ad cœnam, ultimus veni. » Hoc enim videtur admodum populare.

SOCRATES.

1.

Meminit Heracliti Demetrius quoque Phalereus in Socratis defensione.

2.

Idem IX, 37 : Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τῇ Σωκράτους ἀπολογίᾳ μηδὲ ἐλθεῖν φησιν αὐτὸν (Democritum) εἰς Ἀθήνας.

3.

Idem IX, 57 : Τοῦτόν (Diogenem Apolloniensem) φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν.

4.

Plutarchus Arist. c. 1 : Πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον (Aristidem pauperrimum fuisse) ἀντιτασσόμενος ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ Σωκράτει χωρίον τε Φαληροῖ φησι γινώσκειν Ἀριστείδου λεγόμενον, ἐν ᾧ τέθαπται, καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχήν, ἣν ἦξε τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς Πενταχοσιομεδίμνους προσηγόρευον, ἕτερον δὲ τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων μεγάλων καὶ δι' ὄγκον ἐπιφθόνων ὄστρακον ἐπιφέρεσθαι· τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς τρίποδας ἐν Διονύσου κατέλιπεν, οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο τοιαύτην ἐπιγραφὴν διασώζοντες· « Ἀντιοχὶς ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε. »

5.

Idem ib. c. 5 : Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. Καίτοι φησὶν ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς μάχην.

6

Idem ib. c. 27 : Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης... ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν. Ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα Λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος ἔβοσκε. Τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας δωρεὰν ἔπεισε τὸν δῆμον διδόναι τριώβολον ἑκάστης ἡμέρας· αὐτὸς μέντοι ὁ Δημήτριος νομοθετῶν ἐψηφίσατο δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν.

II. ΠΡΕΣΒΕΥΤΙΚΟΣ.

« Haud improbabili mihi videor conjectura ad hanc orationem, quam Diogenes commemoravit, hæc verba retulisse. » SAUPPIUS.

7.

Demetrius Π. ἑρμην. § 289 : Δημήτριος ὁ Φαληρεὺς πρὸς Κρατερὸν τὸν Μακεδόνα ἐπὶ χρυσῆς κλίνης καθεζόμενον μετέωρον καὶ ἐν τρυφερᾷ χλαμύδι καὶ ὑπερηφάνως ἀποδεχόμενον τὰς πρεσβείας τῶν Ἑλλήνων σχηματίσας εἶπεν ὀνειδιστικῶς, ὅτι « ὑπεδεξάμεθά ποτε πρεσβεύοντας ἡμεῖς τούσδε καὶ Κρατερὸν τοῦτον· » ἐν γὰρ τῷ δεικτικῷ τῷ τοῦτον ἐμφαίνεται ἡ ὑπερηφανία τοῦ Κρατεροῦ πᾶσα ὠνειδισμένη ἐν σχήματι.

2.

Demetrius Phalereus in Socratis defensione Democritum se venisse quidem Athenas ait.

3.

Diogenem Apolloniensem Phalereus Demetrius in Socratis defensione dicit Athenis propter magnam invidiam vix evasisse quin capitis damnaretur.

4.

Huic multorum narrationi Demetrius Phalereus in Socrate repugnans, cognitum sibi in Phalero prædium ait Aristidis, in quo is sepultus sit. Non defuisse autem rem ei familiarem, primum ex eo colligit, quod is sorte fabarum lectus magistratum, qui Eponymus appellatur, gesserit, qui iis modo committeretur, quorum familiæ maximum censum explerent, videlicet quingentorum medimnorum, unde πενταχοσιομέδιμνοι dicebantur; deinde quod ostracismo in exsilium sit pulsus; id vero non pauperibus sed illustri genere natis atque invidiæ ob potentiam obnoxiis, decerni solitum. Postremo, quod victoriæ donaria tripodes spectaculis sacros reliquerit in fano Bacchi, qui nostro quoque ostendebantur tempore, hac inscriptione : « Vicit Antiochis, Aristides sumptum fecit, Archestratus docuit. »

5.

Statim deinde Aristides magistratum eponymum gessit : quamquam Demetrius Phalareus paulo ante mortem ac post Platæense prœlium hoc factum dicat.

6.

Demetrius Phalereus, Hieronymus Rhodius, Aristoxenus musicus et Aristoteles (siquidem liber de Ingenuitate inter ejus genuinos libros haberi debet) narrant, Myrtonem filia Aristidis natam, Socratis sapientis uxorem fuisse, qui quum aliam haberet in matrimonio, viduam eam et egenam susceperit. Contra hos satis est a Panætio dictum in iis quæ de Socrate scripsit. Demetrius idem in Socrate meminisse se ait Lysimachi, filia Aristidis nati admodum pauperis, qui tabella quadam insomniorum significationes continente fretus, ad Iaccheum sedens sese aluerit. Ipse Demetrius rogationem tulit, ut matri ejus et materteræ doni nomine populus in singulos dies tres obolos daret; idemque tamen leges ferens decrevit, ut harum feminarum utrique drachma quotidie penderetur.

II. DE LEGATIONE ORATIO.

7.

Demetrius Phalereus adversus Craterum Macedonem in sella aurea sedentem sublimem et luxuriosa chlamyde indutum et superbe Græcorum legatos excipientem hæc dixit verba ita figurata ut exprobrationis notam habeant : « Nos quondam excepimus hos legatos et huncce Craterum. » Nam demonstrativo illo *huncce* omnis Crateri insolentia probrose notatur.

III. ΑΠΑΡΑΣΗΜΑ.

« Non dixerim certum esse hos locos ex declamationibus vel orationibus Demetrii desumptos esse, cum prior etiam libro, qui ad doctrinam morum pertineret, alter libris, quos Demetrius de rebus publicis scripsit, tribui possit. Neque vero quemquam negaturum esse puto utrumque locum optime etiam orationi convenire. » SAUPPIUS.

8.

Rutilius I, 1 : *Prosapodosis. — Cum singulis sententiis statim ratio subjungitur, hoc exemplo Demetrii Phalerei : « Nam quod beneficium tempore et cupienti datur, gratum est. Utilitas enim ac voluntas accipiendi honorem dantis facit ampliorem. At quod sero et non desideranti dari datur, ingratum est. Amisso enim tempore utilitatis, cadit accipiendi cupiditas. »*

9.

Idem II, 16 : *Antitheton. — Aliud est idem, quod superiori infertur, sed consequenter, ita ut fecit Demetrius Phalereus : « Nobis primum dii immortales fruges dederunt; nos quod soli accepimus per omnes terras distribuimus. Nobis majores nostri rempublicam reliquerunt; nos etiam socios nostros de servitute eripuimus. Itaque et amplissimus nobis honos ab omnibus habetur, et propter hujus honoris dignitatem superbiæ nostræ nemo vestigium experitur.*

Præeunte Sauppio, Appendicis loco subjicimus non nulla eorum, quæ ex incertis oratoribus afferuntur.

Aristoteles Rhet. III, 9 : Καὶ ὁ εἰς Πειθόλαόν τις εἶπε καὶ Λυκόφρονα ἐν τῷ δικαστηρίῳ· « οὗτοι δ' ὑμᾶς οἴκοι μὲν ὄντες ἐπώλουν, ἐλθόντες δ' ὡς ὑμᾶς ἐώνηνται. » Cf. Stephani scholia in Crameri Anecd. Paris. 1, p. 311.

Anonymus Seguerii p. 42 : Ἀπεργάζεται δὲ συντομίαν καὶ τὸ ἐπεζευγμένον, ὅταν δύο ἢ τρισὶν ὀνόμασιν ἢ καὶ πράγμασι μίαν ἐπάγῃς λέξιν συμπληρωτικήν, οἷον· « Ῥοδίους μὲν συμμάχους ὄντας, Βυζαντίους δὲ συγγενεῖς, Τενεδίους δὲ πεποιημένους ἰσοπολίτας, πλείους δὲ ἄλλους συμμάχους εὐηργέτησαν. »

Idem p. 42 : Ποιεῖ δὲ καὶ τὸ ἀσύνδετον δόξαν συντομίας, οἷον· « Ἀλλ' ἐπειδὴ τὰ πλοῖα σεσύληται, Χερρόνησος ἐπορθεῖτο, » καὶ τὰ ἑξῆς.

Idem p. 49 : Παθητικὴ μὲν οὖν πίστις ἐστὶν ἡ τῷ πάθει τοῦ λέγοντος ἐπιφέρουσα τοῦ ζητήματος τὴν πίστιν, οἷον « ὅς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ. »

Bekker. Anecd. p. 211, 9 : Ἀνάστατον τὴν πόλιν ποιήσας· ἀνοικίσας ἢ μεταστήσας ἢ μεταγαγών. Καὶ ἀνάστατος ὁ καταλιπὼν τὴν οἰκίαν καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ζῆν αἱρούμενος.

Ibid. p. 145, 18 : Ἐκπολεμῶ· ἐχθρὸν ποιῶ, αἰτιατικῇ. « αὐτὸς δὲ ἐς Ἀθήνας ἐλθὼν ὡς ἐκπολεμώσων τοὺς Ἀθηναίους πρὸς Ἀλέξανδρον. »

Ibid. p. 155, 20 : Λαγχάνω· ἐν δὲ τῷ πρὸς Κτήσιππον γενικῇ· « Ἐπειδὴ δὲ ἀνὴρ ἐγενόμην, λαγχάνω πατρὸς τοῦ κλήρου, » ἀντὶ τοῦ κληρονομῶ.

Ibid. p. 303, 27 : « Σῦλα δοῦναι κατὰ τῆς Χαλκηδονίων πόλεως· » ἐπιτρέψαι τὴν πόλιν λῃστεῦσαι.

SCHOLIA

IN

ORATORES ATTICOS.

ΒΙΟΣ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης Θεοδώρου μὲν τοῦ αὐλοποιοῦ ἐγένετο παῖς, Ἡδυτοῦς (Κλυτοῦς?) μητρός· οὐχ ὅτι δ' ἰδίαις χερσὶν εἰργάζετο, διὰ τοῦτο αὐλοποιὸς ἐκλήθη, ἀλλ' ὅτι παῖδας εἶχε τοὺς ἐργαζομένους καὶ ἐκ τούτου προσεπορίζετο τὸν βίον. Γυναῖκα δ' ἠγάγετο Πλαθάνην τινά, Ἱππίου τοῦ ῥήτορος ἀπογεννωμένην· ἀτυχήσας δὲ περὶ τέκνα θετὸν ἐποιήσατο παῖδα τὸν ταύτης υἱόν, τὸν Ἀφαρέα. Μαθητὴς δ' ἐγένετο φιλοσόφου μὲν Σωκράτους, ῥήτορος δὲ Θηραμένους, τοῦ μαθητοῦ Γοργίου (ὁ δὲ Γοργίας μαθητὴς Τισίου), τοῦ καὶ κοθόρνου. Ἐκλήθη δὲ οὗτος κόθορνος διὰ τοιαύτην αἰτίαν. Κόθορνος ὑπόδημά ἐστιν ἁρμόζον γυναιξὶ καὶ ἀνδράσιν ἢ ἁρμόζον κατὰ δεξιοῦ καὶ ἀριστεροῦ ποδός. Εἴτ' οὖν διὰ τοῦτο, εἴτε δι' ἐκεῖνο, ἁπλῶς κόθορνος ἐκλήθη διὰ τὸ εὐχερὲς τῶν τρόπων, ὥσπερ καὶ ὁ κόθορνος εὐμετάβλητός ἐστι περί τε δεξιὸν πόδα καὶ ἀριστερόν, ἤγουν πρὸς ἄνδρας καὶ γυναῖκας, καὶ μὴ ἐν ἑνί ποτε μόνῳ ἱστάμενος. Μέμνηται καὶ Ἀριστοφάνης τοῦ κοθόρνου ἐν τοῖς Βατράχοις (v. 47) « Τί κόθορνος καὶ ῥόπαλον « συνηλθέτην; » ἀεὶ γὰρ πρὸς τὰς πολιτείας μετεβάλετο, καὶ τιμῶν τὴν παροῦσαν πολιτείαν καταλυθείσης ταύτης ποτὲ ὕστερον κατήγορος ἐγένετο, ἧς καὶ μετεῖχε πρώην. Καὶ δὴ τοῦτο συνειδότες οἱ τριάκοντα πρὸ τῆς καταλύσεως αὐτῶν ἐφόνευσαν αὐτόν, ἵνα μὴ ὕστερον διαβάλῃ καὶ αὐτοὺς ὥσπερ τοὺς τετρακοσίους, ὡς σὺν θεῷ μαθησόμεθα. Ἀπιόντος δὲ τούτου πρὸς θάνατον συνηκολούθει ὁ Ἰσοκράτης μετασχεῖν βουλόμενος τοῦ θανάτου, ὥσπερ καὶ ἐν τῷ θανάτῳ τὴν τιμὴν τὴν πρὸς τὸν διδάσκαλον ἐνδεικνύμενος. Ὡς δ' ἐκώλυσε καὶ οὐκ ἔπειθεν, ὕστερόν τι εἰπὼν ἔπεισεν· ἔφησε γάρ « ἐὰν μὴ σὺ παραλειφθῇς, συναπόλλυταί σοι « καὶ ἡ ἐμὴ διδασκαλία, ὥστε ζῶν πλέον ἔτι τιμᾷς, ἐνδεικνύμενος τὴν ἐμὴν διδασκαλίαν. » Καὶ οὕτω πεισθεὶς ἀπελθὼν ἐδίδασκεν. Ἔγραφε δὲ λόγους πανηγυρικοὺς καὶ συμβουλευτικούς· τῶν γὰρ δικανικῶν ἀπείχετο πλεονάκις διὰ τὸ δύο πάθη ἔχειν σωματικά, ὅτι τε δειλὸς ἦν καὶ ἀσθενὴς τῇ φωνῇ. Καὶ οὕτως ἦν δειλὸς καὶ αἰδήμων καὶ μὴ φέρων λέγειν ἐν τοῖς πλήθεσι διὰ τὸ ἀπαρρησίαστον, ὥστε λέγεταί ποτε ὡς αὐτοῦ ἐξηγουμένου ἐπεισῆλθόν τινες αὐτοῦ ἀκοῦσαι, ὁ δ' αἰδούμενος ἐσιώπησεν. Ἐλάμβανε δὲ χρήματα πάμπολλα ὑπὲρ τῆς διδασκαλίας, παρὰ μὲν τῶν πολιτῶν οὐδέν, ὥσπερ γέρας τοῦτο κατατιθέμενος καὶ τροφεῖα καταβάλλων τῇ πατρίδι, παρὰ δὲ τῶν ξένων χιλίας δραχμάς. Ἀμέλει Ἐφόρου τινὸς αὐτοῦ μαθητοῦ ἀπελθόντος ἐν τῇ πατρίδι καὶ ἐλθόντος πάλιν πρὸς τὸ ἀναλαβεῖν καὶ δόντος τὰς χιλίας ἐκάλει τοῦτον Δισέφορον (l. Δίφορον). Πλούσιος δὲ γενόμενος ἐμερίσατο τὸν πλοῦτον πρὸς τὴν πόλιν διὰ τῆς εὐνοίας, τριηραρχίας καὶ πολλὰς λειτουργίας συντελῶν. Ἔσκωπτον δὲ τοῦτον οἱ κωμικοὶ ὡς κεχρημένον τινὶ πόρνῃ Λαγίσκῃ ὀνόματι. Λέγομεν δὲ ἡμεῖς ἀπολογούμενοι ὅτι μάλιστα μὲν οὐδὲν τοῦτο ποιεῖ, εἰ εἶχε μετὰ τὴν τελευτὴν τῆς γυναικὸς ταύτην παλλακίδα· ἔπειτα λέγομεν ὅτι τοῦτ' αὐτὸν πολὺ πλέον προσαπολύει τῆς διαβολῆς, ὅτι ψευδὲς (εὐκλεὲς Orellius) τὸ παρὰ τῶν κωμικῶν σκώπτεσθαι. Εἰώθασι γὰρ οἱ κωμικοὶ τὰ μεγάλα πρόσωπα σκώπτειν διὰ γέλωτα, ὡς Σωκράτην εἰσάγουσιν ἐρῶντα νέων. Ἔγραψε δὲ πολλοὺς λόγους, ὧν εἰσιν αἱ παραινέσεις, εἰ καί τινες ἠβουλήθησαν αὐτὰς εἰπεῖν μὴ εἶναι αὐτοῦ διὰ τὸ ἀσθενὲς τῆς φράσεως· ἃς πρῶτον εἰκότως ἀναγινώσκομεν, οὐχ ὡς βελτίονας οὔσας τῶν ἄλλων λόγων (καὶ γὰρ καὶ ὁ Πανηγυρικὸς αὐτῶν προέχει καὶ ἄλλοι πολλοί), ἀλλ' ὅτι περὶ ἠθῶν διαλαμβάνουσιν. Ἀναγκαῖον δὲ τὰ ἤθη πρὸ τῶν λόγων κοσμῆσαι, ὥσπερ ὁ γεωργὸς ὀφείλει πρὸ τῶν σπερμάτων καὶ ἧς μέλλει καταβάλλειν φυτείας ἐκκόπτειν ἀπὸ τῶν χωρίων τὰ λυμαινόμενα τούτοις, οἷον ἄγρωστιν καὶ τὰ τούτοις παραπλήσια· δι' ὃ, ὡς καὶ πρὸς παῖδας ταῦτα γράφων, ἠναγκάσθη ταπεινοτέρᾳ χρήσασθαι τῇ φράσει, ὥστ' αὐτοῦ ἂν εἴησαν καὶ αἱ παραινέσεις. Ἄξιον δὲ ζητῆσαι διὰ ποίαν αἰτίαν οὕτως αὐτὰς ἀναγινώσκομεν κατὰ τάξιν, πρῶτον τὴν πρὸς Δημόνικον, ἔπειτα τὰς πρὸς Νικοκλέα, καὶ μὴ ἀδιαφόρως, ὥσπερ ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις. Λέγομεν ὅτι Ἰσοκράτης βουλόμενος κοινωφελὴς γενέσθαι, φορτικὸν δὲ ἡγούμενος τὸ πρὸς πάντας γράφειν τὰς συμβουλὰς ἤθελεν ὡς πρὸς τούτους γράφειν. Τὸ δὲ ἀληθὲς πᾶσι παραινεῖ διὰ τῶν τριῶν παραινέσεων, ὥσπερ καὶ ὁ Ἡσίοδος (Op. 397) ὡς πρὸς τὸν ἀδελφὸν λέγων « ἐργάζευ, νήπιε Πέρση » πᾶσι παραινεῖ. Οὕτω καὶ ὁ Ἰσοκράτης. Τάττει οὖν πρῶτον τὸν πρὸς Δημόνικον ὡς πρὸς ἰδιώτας πρῶτον διαλεγόμενος, εἶτα βασιλεύειν διδάσκων ἐν τῷ πρὸς Νικοκλέα· πρῶτον γάρ τις ἰδιώτης γενόμενος ὕστερον ἔρχεται ἐπὶ τὴν βασιλείαν. Εἶτα λέγει ἐν τῷ πρὸς Νικοκλέα ἢ συμμαχικῷ, πῶς δεῖ καὶ τὸν ἰδιώτην βασιλεύεσθαι. Σκώπτουσι δὲ αὐτόν, ὡς εἶπον καὶ ἄνω, οἱ κωμικοὶ ἐπὶ τῇ Λαγίσκῃ, ὧν εἷς ἐστι καὶ Στράττις, λέγων ταῦτα ἐν Ἀταλάντῃ·

Καὶ [τὴν] Λαγίσκην τὴν Ἰσοκράτους παλλακὴν
Εὑρεῖν με συκάζουσαν, εἶθ' ἥκειν ταχὺ
Τὸν αὐλοτρύπην αὐτόν.

Λέγουσι δέ τινες ὅτι τοῦ Πελοποννησιακοῦ πολέμου πρεσβύτερος ἐγένετο [πέντε, Λυσίου δὲ νεώτερος] δυσὶ καὶ εἴκοσιν ἔτεσιν. Ἤκουσε δὲ κατά τινας καὶ Προδίκου τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου. Νέος δ' ὢν ἐδόκει διοίσειν τῶν περὶ Λυσίαν τὸν ῥήτορα πρὸ αὐτοῦ γενομένων, καὶ τοῦτο μαρτυρεῖ Πλάτων ἐν τῷ Φαίδρῳ (p. 279, A) Σωκράτην λέγοντα ποιήσας οὕτω· « νέος μὲν ἔτι, ὦ Φαῖ« δρε, Ἰσοκράτης· ὃ μέντοι περὶ αὐτοῦ μαντεύομαι, εἰπεῖν « ἐθέλω· δοκεῖ γάρ μοι ἀμείνων ἢ κατὰ τοὺς περὶ Λυσίαν « εἶναι λόγους. » Ἔσχε δὲ μαθητὰς πολλοὺς μέν, τοὺς δὲ εὐδοκιμηκότας καὶ ἐπιφανεῖς τούτους· Θεόπομπον, Ἔφορον, ὧν καὶ ἱστορίαι φέρονται, Ὑπερείδην, Ἰσαῖον, Λυκοῦργον, οἵτινές εἰσι τῶν δέκα ῥητόρων τῶν κριθέντων τε καὶ ἀναγινωσκομένων, εἶτα Φιλίσκον, Ἰσοκράτην ὁμώνυμον αὐτοῦ, Θεοδέκτην, Ἀνδροτίωνα τὸν τὴν Ἀτθίδα γράψαντα, καθ' οὗ καὶ ὁ Δημοσθένης ἔγραψε, καὶ Πύθωνα τὸν Βυζάντιον, τὸν ῥήτορα Φιλίππου. Περὶ δὲ Θεοπόμ-

που καὶ Ἐφόρου φέρεταί τι τοιοῦτον αὐτοῦ καὶ ἀστεῖον· εἶχε γὰρ καὶ τοῦτο. Ὡς ἑώρα τὸν Θεόπομπον μικρὰν ὑπόθεσίν τινα λαμβάνοντα καὶ ἐπεκτείνοντα ταύτην καὶ διὰ πολλῶν λέγοντα, ὥσπερ ἐν τῇ Φιλιππικῇ αὐτοῦ ἱστορίᾳ ἐποίησε, τὸν δὲ Ἔφορον μεγάλην μὲν ὑπόθεσιν λαμβάνοντα καὶ πολλῶν δεομένην εἶτα δι' ὀλίγων αὐτὴν λέγοντα καὶ ἐλλιπῶς, ἔφησεν ὡς ὅτι « ἔχω τινὰς δύο μαθητάς, ὧν « ὁ μὲν δεῖται μάστιγος, ὁ δὲ χαλινοῦ, » μάστιγος μὲν λέγων περὶ τοῦ Ἐφόρου διὰ τὸ νωθὲς καὶ βραδὺ τῆς φύσεως, χαλινοῦ δὲ διὰ τὸ Θεοπόμπου πολύ τε καὶ ἀκρατὲς τῆς γλώττης. Διατριβὴν δὲ εἶχε πρὸς τῷ Λυκείῳ τῷ γυμνασίῳ. Λέγεται δὲ καὶ τοῦτο περὶ αὐτοῦ, ὡς ὅτι κατηγορηθεὶς ὡς διαβάλλων τὴν δημοκρατίαν ἐν τῷ γράφειν πρὸς Νικοκλέα ταῖς παραινέσεσι βασιλέα ὄντα, ἤρκει ἀπολογησάμενος πάλιν ἐξ αὐτῶν τῶν παραινέσεων εἰπὼν ἐκεῖνο, « ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος « δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα « τὸν βασιλέα προσήκει θαυμάζειν. » Τοὺς δὲ δικανικοὺς αὐτοῦ λόγους καὶ οὓς ἔδει ἐν πλήθει λέγειν λέγεται ὡς ὅτι ἢ δι' ἄλλων ἐπεδείκνυτο ἢ δι' ἑαυτοῦ ὀλίγους. Ἄξιον δὲ καὶ περὶ τοῦ χαρακτῆρος τἀνδρὸς εἰπεῖν. Ἤδη μὲν οὖν προφθάσαντες εἴπομεν ὡς ὅτι ζηλωτὴς μὲν ἐγένετο τοῦ Γοργίου κατὰ τὸ ὁμοιοκαταληκτῶδες καὶ παρισῶδες, πλὴν οὐχ ὥσπερ ἐκεῖνος ἀεὶ διὰ τὸ προσκορές· σαφεῖ δὲ τῇ λέξει κέχρηται καὶ ἠθικῇ καὶ πιθανῇ· στρογγύλη δ' οὐκ ἔστιν οὐδὲ χάριν ἔχουσα, ὥσπερ ἡ τοῦ Λυσίου. Λέγεται γὰρ καὶ τοῦτο, ὡς ὅτι διεφθονοῦντο οὗτοι ἀλλήλοις καὶ ἀντεπαίδευον. Συνεχὴς δέ ἐστι τοῖς ἐνθυμήμασιν· οὔπω γὰρ τελειώσας τὸ νόημα ἄλλο αὐτῷ συμπλέκει ἐνθύμημα. Διὰ πολλῶν δὲ αὐτοῦ καὶ τὰ προοίμια. Εἰ δέ τινες ἐπεισάγουσιν ἄλλους τινὰς λόγους ὡς ὄντας αὐτοῦ, οὐ προσδεκτέον ἐκείνους παρὰ τοὺς φερομένους. Εἰσὶ δὲ οἱ ἐπεισφερόμενοι οὗτοι· συμβουλευτικοὶ ἐννέα, περὶ παρασκευῆς ἱπποδρόμων, περὶ αὐτονομίας, Σινωπικός, νησιωτικός, σύμμικτοι (συμμαχικοί?) τρεῖς, Ἀμφικτυονικός, περὶ τοῦ κατοικισμοῦ Μιλησίοις· ἐπιδεικτικοὶ ἑπτά, Κλυταιμνήστρας ἐγκώμιον, Πηνελόπη, Μενεκράτης, ἐπιτάφιος τοῖς ἐν Θυρέᾳ, Νεοπτόλεμος, Παριακός· ** συνηγορία πρὸς τὴν ἐπιστολὴν τοῦ ἐπιστάτου, περὶ τοῦ ὄρτυγος, ὑπὲρ Τιμοθέου ἐπιτροπικός, περὶ τῆς ὑδρίας· σύμμικτοι πέντε, περὶ φιλοσοφίας, περὶ Πλάτωνος, περὶ Ἔριδος, προτρεπτικός, καταδρομὴ σοφιστῶν. Λέγεται δ' ὡς ὅτι καὶ τέχνην ῥητορικὴν ἔγραψε, τῷ δὲ χρόνῳ ἔτυχεν αὐτὴν ἀπολέσθαι. Ἐρεῖ δέ τις, καὶ πόθεν δῆλον ὅτι τοῦτο οὕτως ἔχει; λέγομεν ὡς ὅτι Ἀριστοτέλης ὁ φιλόσοφος συναγαγὼν τέχνας ῥητορικὰς ἐμνήσθη καὶ ταύτης. Ἐβίωσε δ' οἱ μὲν λέγουσιν ὡς ὅτι ἑκατὸν ἔτη, οἱ δὲ ἐνενήκοντα καὶ ὀκτώ. Ἀπέθανε δ' ἐπὶ Χαρώνδου ἄρχοντος μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, λυπηθεὶς διὰ τὴν ἧτταν καὶ τὴν συμφορὰν τὴν γενομένην ἐκεῖσε τοῖς Ἀθηναίοις παρὰ Φιλίππου. Ἀποκαρτερήσας δὲ ἐτελεύτησεν, ὡς μὲν Δημήτριός φησιν ἐννέα ἡμέρας, ὡς δὲ Ἀφαρεὺς δεκατέσσαρας. Προαναγνοὺς δὲ τούτους τοὺς στίχους ἐτελεύτησεν ἐκ τριῶν δραμάτων Εὐριπίδου·

Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ·
Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπών·
Πέλοψ ὁ Ταντάλειος ἐς Πῖσαν μολών·

δηλῶν ἐκ τούτων ὡς ὅτι, ὥσπερ ἐκεῖνοι βάρβαροι ὄντες ἐλθόντες εἰς τὴν Ἑλλάδα κατέσχον αὐτῆς, οὕτω καὶ τέταρτός τις οὗτος ἀνεφύη δεσπότης τῆς Ἑλλάδος ὁ Φίλιππος. Καὶ γὰρ Δαναὸς Αἰγύπτιος ὢν βάρβαρος (ἡ γὰρ Αἴγυπτος τότε ὑπὸ τοὺς Πέρσας ἦν,) φυγὼν τὸν ἀδελφὸν διὰ τὸν περιφερόμενον χρησμόν, ἐλθὼν εἰς Ἄργος κατέσχε τούτου. Πάλιν ὁ Σιδώνιος Κάδμος βάρβαρος ὢν (ἡ γὰρ Σιδὼν καὶ αὐτὴ ὑπὸ τοὺς Πέρσας ἦν,) ἐξελθὼν ἐπὶ ζήτησιν τῆς ἑαυτοῦ ἀδελφῆς Εὐρώπης, ἐλθὼν εἰς Θήβας κατέσχε τούτων. Ὁμοίως Πέλοψ ὁ Φρύγιος (ἡ δὲ Φρυγία καὶ αὐτὴ τῆς Ἀσίας ἦν) φυγὼν τὴν ἐπιβουλὴν τοῦ Ἴλου, πολεμοῦντος αὐτοῦ πρὸς τὸν αὐτοῦ πατέρα, ἦλθεν εἰς Πῖσαν καὶ ὕστερον συμπάσης Πελοποννήσου ἐκράτησεν· ἐξ οὗ καὶ Πελοπόννησος ἐκλήθη. Ταῦτα δ' αὐτοῦ εἰρηκότος καὶ τελευτήσαντος θαυμάσαντες αὐτοῦ οἱ Ἀθηναῖοι ἣν εἶχε πρὸς τὴν πόλιν εὔνοιαν δημοσίᾳ φιλοτίμως ἔθαψαν, καὶ σειρῆνα ἐκκολάψαντες διὰ λίθου ἐπέθηκαν αὐτοῦ τῷ μνήματι, δηλοῦντες τὴν εὐμουσίαν τοῦ ἀνδρός. Καὶ ταῦτα μὲν περὶ τοῦ θεσπεσίου ῥήτορος.

ΥΠΟΘΕΣΕΙΣ ΤΩΝ ΙΣΟΚΡΑΤΟΥΣ ΛΟΓΩΝ.

I. ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ.

Λοιπὸν δὲ χωρεῖν ἤδη ἀνάγκη ἐπ' αὐτὰς τὰς ἐξηγήσεις τῶν λόγων αὐτοῦ, πρώτας ποιουμένους τὰς παραινέσεις· ἤδη γὰρ καὶ τὴν αἰτίαν προειρήκαμεν. Ἀνάγονται δὲ αἱ παραινέσεις ὑπὸ τὸ συμβουλευτικὸν εἶδος, κέκληνται δὲ παραινέσεις παρὰ τὸν αἶνον, ὅ ἐστι τὴν συμβουλὴν, ὡς καὶ Ἡσίοδος (Op. 200) « νῦν δ' αἶνον βασιλεῦσι· » στάσιν δὲ οὐκ ἐπιδέχονται· οὐ γὰρ ἔχουσι τὸν ἀντιλέγοντα. Καιρὸς μὲν ἤδη, ὡς εἴπομεν, ἐπ' αὐτὰς λοιπὸν χωρεῖν τῶν λόγων τὰς ἐξηγήσεις· ἀλλ' ἐπειδὴ ἀναγκαῖον πρὸ αὐτῶν τῶν ἐξηγήσεων προηγεῖσθαι τὰς ὑποθέσεις καὶ τοὺς σκοποὺς τῶν λόγων, δεικτέον πρῶτον τοῦ λόγου τὴν ὑπόθεσιν. Ἱππόνικός τις, ὡς ἔχει ὁ πολὺς λόγος, Κύπριος μὲν ἦν τῷ γένει, Ἰσοκράτους δὲ φίλος τοῦ σοφιστοῦ· οὗτος τελευτήσας κατέλειψε παῖδα, ὀνόματι Δημόνικον. Τοῦτον Ἰσοκράτης ὁρῶν παῖδα ὄντα καὶ πολλῆς ἐπιμελείας λόγων δεόμενον, γράφει αὐτῷ ὑποθήκας, ὅπως δεῖ ζῆν αὐτὸν διδάξαι βουλόμενος, ὥσπερ ἣν εἶχε πρὸς τὸν πατέρα εὔνοιαν παραπέμψαι καὶ μέχρι τοῦ παιδὸς, ὡς καὶ ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ λόγου τοῦτο προοιμιάζεται. Συμβουλεύει δὲ αὐτῷ, γράψας δι' ἐπιστολῆς· οὐ γὰρ ἐδύνατο καταλεῖψαι τὰς Ἀθήνας διὰ τοὺς μαθητάς. Τινὲς δὲ ἐπιχειροῦσι λέγειν τὸν λόγον « ἐπιστολὴ πρὸς Δημόνικον. » Καὶ ἡ μὲν φαινομένη ὑπόθεσις αὕτη· εἰρήκαμεν δὲ ἐν τοῖς ἄνω ὡς ὅτι κοινωφελεῖς αὐτοῦ βούλεται ποιήσασθαι τὰς παραινέσεις καὶ συμβουλεῦσαι πῶς δεῖ ζῆν τὸν ἰδιώτην· καὶ τοῦτο ποιεῖ ἐνταῦθα διὰ τοῦ Δημονίκου, καὶ τὸ πῶς δεῖ βασιλεύειν προβαλλόμενος τὸν Νικοκλέα· φεύγων δὲ τὸ φορτικὸν οὐ φανερῶς ἐπιφέρει τοῖς ἑαυτοῦ λόγοις τὸν ἴδιον σκοπόν. Ἄρχεται δὲ ἀπὸ θείων, εἶτα εἰς γονέας μεταβαίνει, εἶτα φίλους καὶ οἶκον καὶ πατρίδα, τήν τε δίαιταν καὶ τὴν περὶ τὸ σῶμα καὶ τὴν περὶ ψυχήν. Χωρητέον οὖν λοιπὸν καὶ ἐπὶ τὸ προοίμιον· εἴρηται δὲ προοίμιον παρὰ τὸν οἶμον, ὅ ἐστιν ὁδόν· Ἡσίοδος (Op. 288) « μακρός τε οἶμος καὶ ὄρθιος ἐπ' αὐτήν. » Ὁδὸς δὲ τοῦ λόγου οἱ ἀγῶνες καὶ αἱ πράξεις.

II. ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

Ἤδη φθάσαντες εἰρήκαμεν τὴν αἰτίαν δι' ἣν οὕτως ἀναγινώσκομεν· ἡ δὲ φαινομένη ὑπόθεσις αὕτη. Νικοκλῆς υἱὸς μὲν ὢν Εὐαγόρου, κατάγων δὲ τὸ γένος ἀπὸ Τεύκρου καὶ Τελαμῶνος, ὡς σὺν θεῷ μαθησόμεθα ἐν αὐτῷ τῷ Εὐαγόρᾳ, ἐβασίλευσε Σαλαμῖνος, μιᾶς πόλεως ἐν Κύπρῳ τῆς νῦν Κωνσταντίνου καλουμένης καὶ μητροπόλεως οὔσης πάσης τῆς Κύπρου. Πρὸς τοῦτον γράφει πάλιν ὁ Ἰσοκράτης παραινέσεις, πῶς δεῖ βασιλεύειν ὀρθῶς. Ἕρμιππος δέ φησιν ἐν τῷ περὶ Ἰσοκράτους, παρατιθέμενος Εὔανδρόν τινα κατὰ τῶν σοφιστῶν εἰρηκότα, ὡς ὅτι λαβὼν εἴκοσι τάλαντα παρὰ τοῦ Νικοκλέους αὐτὸς ὁ Ἰσοκράτης ἔπεμψεν αὐτῷ τὸν λόγον τοῦτον, τελευτήσαντος τοῦ Εὐαγόρου, ὥσπερ καὶ τούτῳ βουλόμενος χρήσιμος γενέσθαι μετὰ τὴν τοῦ πατρὸς τελευτήν.

III. ΝΙΚΟΚΛΗΣ Η ΣΥΜΜΑΧΙΚΟΣ.

Οὗτος ὁ λόγος οὔτε περὶ τῶν αὐτῶν ἐστιν οὔτε μὴν παρὰ τοῦ αὐτοῦ λέγεται. Ἐν γὰρ τῷ πρὸ αὐτοῦ λόγῳ διελέγετο πῶς δεῖ βασιλεύειν, ὧδε δὲ πῶς δεῖ βασιλεύεσθαι τὸ ὑπήκοον. Καὶ πάλιν ἐκεῖ παρὰ Ἰσοκράτους ἦν λεγόμενα πρὸς Νικοκλέα, ὧδε δὲ παρὰ τοῦ Νικοκλέους πρὸς τοὺς τῶν ὑπηκόων τιμιωτάτους, τοῦ Ἰσοκράτους αὐτῷ πέμψαντος τὸν λόγον. Εἴ δέ τις εἴποι, διὰ τί γὰρ μὴ καὶ πρὸς τοὺς ὑπηκόους ἔπεμψε τὸν λόγον Ἰσοκράτης, λέγομεν ὅτι εἰκότως οὐ δι' ἑαυτοῦ, ἀλλὰ διὰ τοῦ βασιλέως αὐτοῖς συμβουλεύει, ἐπειδὴ πλήθει συμβουλεύων ἀνάγκην εἶχε καὶ φόβον κεράσαι τῷ λόγῳ, ἵνα πάντως πεισθῇ τοῖς λεγομένοις τὸ πλῆθος. Ἐπιγέγραπται δὲ Νικοκλῆς ἢ συμμαχικὸς, οὐχ ὅτι διὰ τοῦ συνδέσμου ἀναιροῦμεν τὸ ἕν, ἀλλ' ὅτι καὶ τὰ δύο ἕν ἐστιν, ὥσπερ καὶ οὗτος· Φαίδων ἢ περὶ ψυχῆς. Καὶ λέγεται οὗτος ὁ σύνδεσμος διαζευκτικὸς, ὁ καὶ τὸ πρότερον πρᾶγμα διαβεβαιούμενος. Καὶ γὰρ καὶ ὁ λόγος ὑπὸ Νικοκλέους λέγεται, καὶ πρὸς τοὺς ξυμμάχους καὶ ὑπηκόους. Ὅτι δὲ διὰ τοῦτο παρ' Ἰσοκράτους ἐστὶν ὁ λόγος πρὸς τὸν βασιλέα πεμφθεὶς αὐτὸς ἡμῖν σαφὲς ποιεῖ, ἐν τῷ λόγῳ λέγων « τὸν μὲν οὖν ἕτερον λόγον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους « ἠκούσατε, ἃ δὲ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πει« ράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ' « ὡς πρέπον μοι περὶ αὐτῶν διελθεῖν. »

V. ΦΙΛΙΠΠΟΣ.

Ἰστέον ὡς ὅτι τὸν λόγον τοῦτον ἔγραψε τῷ Φιλίππῳ ὁ Ἰσοκράτης μετὰ τὴν εἰρήνην τὴν γενομένην ὑπὸ τῶν περὶ τὸν Αἰσχίνην καὶ Δημοσθένην· διὸ καὶ ἔσχε καιρὸν γράψαι αὐτῷ τῷ Φιλίππῳ ὡς φίλῳ γενομένῳ τῆς Ἀθηναίων πόλεως. Ἐν σχήματι δὲ τοῦ ἐγκωμιάσαι αὐτὸν παραινεῖ αὐτῷ διαλλάξαντα τὰς Ἑλληνικὰς πόλεις τὰς μεγάλας, πρὸς ἑαυτὰς στασιαζούσας, στρατεῦσαι κατὰ Περσῶν. Πρέπει γάρ σοι, φησὶ, τοῦτο ποιῆσαι, Ἡρακλείδῃ ὄντι καὶ τοιούτῳ δυνατῷ. Καὶ ὁ μὲν Φίλιππος λαβὼν τὸν λόγον καὶ ἀναγνοὺς οὐκ ἐπείσθη τοῖς λεγομένοις, ἀλλ' ἀνεβάλετο τέως· ὕστερον δὲ ὁ παῖς ὁ τούτου Ἀλέξανδρος ἀναγνοὺς τὸν λόγον καὶ ἐρεθισθεὶς ἐστράτευσε κατὰ Δαρείου τοῦ ὑστέρου καὶ λεγομένου Ὤχου. Τὸ μὲν γὰρ κύριον ὄνομα Ὦχος ἐλέγετο, κολακεύοντες δ' αὐτῷ οἱ Πέρσαι ἐπίκλην αὐτὸν ὠνόμαζον Δαρεῖον, ὡς πρὸς τοὺς πρώτους προγόνους. Ἡ δὲ στάσις τοῦ λόγου πραγματική· συμβουλεύει γάρ. Ἔγραψε δὲ ὁ Ἰσοκράτης τὸν λόγον γέρων ὢν, μικρὸν πρὸ τῆς ἑαυτοῦ καὶ Φιλίππου τελευτῆς, ὥς φησιν ὁ Ἕρμιππος.

VI. ᾿ΑΡΧΙΔΑΜΟΣ.

Μετὰ τὰ Λευκτρικὰ κατέτρεχον τὴν Λακεδαίμονα Θηβαῖοι, καὶ πολλάκις αὐτὴν ἐκάκωσαν, ὡς καὶ τὰς Λακεδαιμονίων γυναῖκας ἀπαντῆσαι Λακεδαιμονίοις συνεχῶς φεύγουσι, καὶ εἰπεῖν « μὴ καὶ δεύτερον ὑμᾶς ἔχομεν ἐν τῇ γαστρὶ « δέξασθαι; » καὶ οὕτω συστραφέντες ἐν Μαντινείᾳ ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. Μετὰ τὰ ἐν Μαντινείᾳ οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους, αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην· οἱ δὲ ὑπέσχοντο αὐτοῖς ἡσυχάσειν, εἰ Μεσσήνην ἀνοικίσωσι καὶ αὐτόνομον ἐάσωσι. Τῶν οὖν ἄλλων συμβουλευόντων Λακεδαιμονίοις ἀνοικίσαι, Ἀρχίδαμος ὁ νεώτερος συμβουλεύει Λακεδαιμονίοις μὴ ἀνοικίσαι. Κατάγεται δ' οὕτως ὁ μικρὸς Ἀρχίδαμος· Ζευξίδαμος, οὗ Ἀρχίδαμος, οὗ Ἆγις, οὗ Ἀγησίλαος, οὗ Ἀρχίδαμος· καὶ οἱ μὲν λέγουσιν ὅτι πέμψας Ἀρχίδαμος ἐν Ἀθήναις τὸν λόγον παρὰ Ἰσοκράτους ἐδέξατο· ἄλλοι δέ φασι γυμνασίαν εἶναι τὸν λόγον Ἰσοκράτους, τίνας ἂν εἴποι λόγους Ἀρχίδαμος συμβουλεύων Λακεδαιμονίοις. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ τοῦ λόγου πραγματική, κεφάλαιον δὲ τὸ ξυμφέρον.

VII. ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ.

Ἐν τούτῳ τῷ λόγῳ συμβουλεύει ὥστε τοὺς Ἀρεοπαγίτας ἀναλαβεῖν τὴν προτέραν πολιτείαν, ἥτις ἦν ἔχουσα πᾶσαν ἐξουσίαν, σχεδὸν εἰπεῖν, τῶν ἐν τῇ πόλει πάντων πραγμάτων. Ἦσαν γὰρ αὐτὴν ἀποβαλόντες ἀπὸ τοιαύτης αἰτίας. Ἐφιάλτης τις καὶ Θεμιστοκλῆς χρεωστοῦντες τῇ πόλει χρήματα καὶ εἰδότες ὅτι, ἐὰν δικασθῶσιν οἱ Ἀρεοπαγῖται, πάντως ἀποδώσουσι, καταλῦσαι αὐτοὺς ἔπεισαν τὴν πόλιν, οὕτως [οὔπως] τινὸς μέλλοντος κριθῆναι. Ὁ γὰρ Ἀριστοτέλης λέγει ἐν τῇ πολιτείᾳ τῶν Ἀθηναίων ὅτι καὶ ὁ Θεμιστοκλῆς (Περικλῆς?) αἴτιος ἦν μὴ πάντα δικάζειν τοὺς Ἀρεοπαγίτας· δῆθεν μὲν ὡς δι' αὐτοὺς τοῦτο ποιοῦντες, τὸ δ' ἀληθὲς διὰ τοῦτο πάντα κατασκευάζοντες. Εἶτα οἱ Ἀθηναῖοι ἀσμένως ἀκούσαντες τῆς τοιαύτης συμβουλῆς κατέλυσαν αὐτούς. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ δὲ στάσις τοῦ λόγου πραγματική, κεφάλαιον δὲ τὸ συμφέρον. Ἐγράφη δ' ὁ λόγος ἐν ἀρχαῖς τῶν Φιλιππικῶν χρόνων, ὡς καὶ αὐτὸς δηλοῖ.

VIII. ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

Πεμφθεὶς ὁ Χάρης καταδουλώσασθαι τὴν Ἀμφίπολιν, αὐτονομουμένην κατ' ἐκεῖνον τὸν χρόνον καὶ καθ' ἑαυτὴν γενομένην, ὡς τῶν Λακεδαιμονίων μὲν κακῶς διακειμένων μετὰ τὰ Λευκτρικά, τῶν Ἀθηναίων δ' ἀσθενῶν ὄντων, οὗτος νομίζων εὐχερῶς αὐτὴν ὅτε δή ποτε λαβεῖν, καὶ μᾶλλον βουλόμενος τὴν ἀρχαίαν δύναμιν περιποιῆσαι τοῖς Ἀθηναίοις, ἐπεχείρησε Χίοις καὶ Ῥοδίοις καὶ τοῖς λοιποῖς συμμάχοις. Εἶτα ἐκεῖνοι ἀντέστησαν, καὶ ἡττήθη ὁ Χάρης οὕτως ὥστε λοιπὸν αὐτὸν ἀπορεῖν τί δεῖ ποιῆσαι· καὶ γὰρ εἰ ἀνεχώρησεν ἐξ αὐτῶν καὶ ἦλθεν εἰς Ἀμφίπολιν, αὐτοὶ ἂν ἀμυνόμενοι ἤρχοντο εἰς τὴν Ἀττικήν. Ταῦτα δὲ οἱ Ἀθηναῖοι ἀκούσαντες ᾔτησαν σπονδάς, καὶ εὐθὺς οἱ Χῖοι καὶ Ῥόδιοι σὺν τοῖς ἄλλοις συνέθεντο. Καὶ οὗτός ἐστιν ὁ συμμαχικὸς πόλεμος. Νῦν οὖν πρόκειται ἐκκλησία περὶ τοῦ καταθέσθαι τὸν πόλεμον, καὶ ἀνίσταται ὁ Ἰσοκράτης συμβουλεύων ὡς δεῖ μὴ πολυπραγμονεῖν, ἀλλ' ἡσυχάζειν. Καὶ μερίζει τὸν λόγον εἰς δύο, ἓν μὲν τὸ καὶ τοὺς Χίους καὶ τοὺς ἄλλους ἐᾶσαι αὐτονόμους, ἓν δὲ τὸ ἐᾶσαι τὴν ἡγεμονίαν τὴν κατὰ θάλατταν. Κατὰ τοῦτο δὲ τὸ μέρος λέγεται Ἀριστείδης ἐπαφεῖναι τὸν ἀντιρρητικὸν τῆς εἰρήνης. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, κεφάλαιον δὲ τοῦ λόγου τὸ συμφέρον, ἡ δὲ στάσις πραγματική· συμβουλὴ γάρ.

Ἐὰν δέ ποτε ἀναγκασθῇς κοινὸν προοίμιον εἰπεῖν, τὴν κατασκευὴν αὐτῷ ἰδίαν πρόσαγε, ὡς ἐν τῷδε τῷ περὶ εἰρήνης Ἰσοκράτους ἡ κατασκευὴ ἰδία προσετέθη, ὅπου φησὶ « περὶ μεγάλων ἥκομεν· περὶ γὰρ πολέμου καὶ εἰρήνης. » Κάλλιστον δὲ ἐν τούτοις καὶ τὸ τῆς μεθόδου, εἰ μεθοδεύοιμεν αὐτὰ ἐπισημαινόμενοι, εἰ καὶ πᾶσιν εἰωθὼς ὁ λόγος εἴη.

IX. ΕΥΑΓΟΡΑΣ.

Ἰστέον ὅτι τὸν λόγον τοῦτον ἔγραψεν Ἰσοκράτης πρὸς τὸν Νικοκλέα μετὰ τὴν παραίνεσιν τὴν πρὸς αὐτόν. Πόθεν δὲ τοῦτο δῆλον; λέγομεν, ἐπειδὴ αὐτὸς φανερὸν ἡμῖν τοῦτο καθίστησι περὶ τὸ τέλος τοῦ λόγου τούτου λέγων ὅτι « οὐ « νῦν σε παρακελεύομαι σπουδάζειν περὶ τὴν ἀρετήν, ἀλ« λὰ καὶ πάλαι » ὅ ἐστιν ἐν ταῖς παραινέσεσιν. Πρῶτον οὖν ἔγραψεν αὐτῷ τὰς παραινέσεις μετὰ τὸν τοῦ πατρὸς θάνατον, εἶτα δεύτερον τὸν ἐπιτάφιον τοῦτον, ἵνα πλέον καὶ διὰ τούτου εὔνους αὐτῷ φανῇ τιμῶν Εὐαγόρου θάνατον. Λέγουσι δέ τινες ὅτι καὶ τριάκοντα τάλαντα ὑπὲρ τούτου ἐδέξατο.

X. ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

Τινὲς λέγουσιν ὡς ὅτι καὶ τὸν λόγον τοῦτον ἔγραψε πρὸς Πολυκράτην, ἐπιλαμβανόμενος αὐτοῦ καὶ ἐν τούτῳ. Οὐκ ἔστι δέ· καὶ γὰρ τὸ ἐναντίον συνέβη. Ἐκεῖνος γὰρ ὁ Πολυκράτης ἐπελάβετο τοῦ Ἰσοκράτους ὡς κακῶς γράψαντος τὸν λόγον τοῦτον, ὥσπερ ἐκείνου ἐπελάβετο ἐν τῷ Βουσίριδι. Ἀλλὰ τί οὖν ἐροῦμεν; λέγομεν ὅτι Γοργίου ἐπιλαμβάνεται τοῦ Λεοντίνου, τοῦ ἐνεγκόντος τὴν ῥητορικὴν εἰς τὴν Ἑλλάδα, ὡς κακῶς γράψαντος, ὡς καὶ αὐτὸς ἐν τοῖς προοιμίοις δηλοῖ ὑποκατιών. Βέλτιον δὲ λέγειν, ὥσπερ ὁ Μαχάων, ὅτι πρὸς Ἀναξιμένην τὸν Λαμψακηνὸν γράφει. Φέρεται δὲ ἐκείνου λόγος, Ἑλένης ἀπολογία μᾶλλον οὖσα ἤπερ ἐγκώμιον. Ἐπαινεῖ μὲν γὰρ αὐτόν, καθὸ καλὴν ὑπόθεσιν προείλετο γράφων περὶ Ἑλένης, ψέγει δὲ διὰ πολλῶν ἐν τοῖς προοιμίοις φιλοσόφους τινάς, τοὺς μὴ αἱρουμένους τοιαύτας τινὰς καλὰς ὑποθέσεις γράφειν, ἀλλ' ἁπλῶς ἄτοπά τινα καὶ παράδοξα λέγειν ἐπιχειροῦντας, μηδεμίαν ὄνησιν ἔχοντα, ἅτινα καὶ διεξέρχεται.

XI. ΒΟΥΣΙΡΙΣ.

Τοῦτον τὸν λόγον γράφει πρὸς Πολυκράτη τινὰ σοφιστήν, ἐξ ἀνάγκης ἐλθόντα ἐπὶ τὸ σοφιστεύειν διὰ πενίαν, Ἀθηναῖον μὲν τῷ γένει, σοφιστεύοντα δὲ νῦν ἐν Κύπρῳ. Γράφει δὲ αὐτῷ ὡς φίλος, ἐπανορθούμενος αὐτὸν δῆθεν ὡς σφαλέντα ἐν τούτοις τοῖς λόγοις οἷς ἔγραφεν, ἔν τε τῷ

ἐγκωμίῳ τοῦ Βουσίριδος καὶ ἐν τῇ κατηγορίᾳ τοῦ Σωκράτους, τὸ δὲ ἀληθὲς ἐπιλαβέσθαι αὐτοῦ βουλόμενος καὶ δημοσιεῦσαι αὐτὸν τοῖς ἅπασιν ὡς μηδὲν εἰδότα ἀμυνόμενος ὥσπερ αὐτὸν ὑπὲρ τοῦ ἰδίου διδασκάλου τοῦ Σωκράτους. Αὐτὸς γάρ ἐστιν ὁ παρασχὼν τὸν λόγον τῆς κατηγορίας Σωκράτους τοῖς περὶ Ἄνυτον καὶ Μέλητον, ἵνα κατηγορηθεὶς ἀποθάνῃ. Κατηγόρουν δὲ αὐτοῦ ὡς ὅτι καινὰ δαιμόνια εἰσφέρει τοῖς Ἀθηναίοις, λέγων δεῖν σέβειν ὄρνεα καὶ κύνας καὶ τὰ τοιαῦτα, καὶ διὰ τούτου διαφθείρει τοὺς νέους τοὺς μανθάνοντας. Ἐζήτησαν δέ τινες διὰ ποίαν αἰτίαν μὴ φανερῶς τὸν κατ' αὐτοῦ λόγον εἰσῆλθεν, εἴ γε φείδεται τοῦ διδασκάλου. Καὶ λέγομεν, ἵνα μὴ ὀργισθῶσιν οἱ Ἀθηναῖοι, ἀρτίως τοῦ Σωκράτους καταψηφισάμενοι. Δοκεῖ οὖν διὰ τούτου ὥσπερ ἐλέγχειν αὐτοὺς ὡς κακῶς καταψηφισαμένους. Καὶ γὰρ καὶ αὐτοὶ ὥσπερ μετέγνωσαν ὕστερον, ὅτι ἀσεβῶς ἔπραξαν καταψηφισάμενοι Σωκράτους, εἶτα καὶ σωφρονισθέντες διὰ τοῦ λοιμοῦ τοῦ ἐγκατασκήψαντος αὐτοῖς διὰ τὸν Σωκράτους θάνατον. Ἀπέθανε δὲ ἐπὶ Λάχητος ἄρχοντος. Ὅθεν λοιπὸν ἐκέλευσαν μηδένα δημοσίᾳ, οἷον ἐν κοινῷ θεάτρῳ, λέγειν περὶ Σωκράτους. Ἀμέλει λέγεταί τι τοιοῦτον, ὡς ὅτι τοῦ Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ καὶ δεδιότος ἀναπλάσαι τὸ δρᾶμα τὸν Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτην καὶ εἰς τοὺς Ἀθηναίους καὶ ποιήσαντός τινα πρὸς τοὺς Ἕλληνας λέγοντα, τὸ δὲ ἀληθὲς πρὸς Ἀθηναίους διὰ Σωκράτην « ἐκάνετε, ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον » ὅ ἐστιν ἐφονεύσατε. Καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους αἰνίττεται. Γράφει οὖν αὐτῷ τὸν λόγον τοῦτον, ὥσπερ εἴπαμεν, ἐπιλαμβανόμενος αὐτοῦ. Εἰ δέ τις ζητήσοι τὴν αἰτίαν διὰ τί μὴ καὶ τὸν ἄλλον λόγον εἶπεν εἰς τὸν Σωκράτην, λέγομεν ὡς ἤδη περὶ τούτου προειρήκαμεν, ἵνα μὴ ὀργισθῶσιν αὐτῷ οἱ Ἀθηναῖοι ἔναγχος καταψηφισάμενοι.

Ἡ δ' ὑπόθεσις τοῦ Βουσίριδος τοιαύτη. Βούσιρις τῆς Λιβύης καὶ Ποσειδῶνος ἐγένετο παῖς· οὗτος τεχθεὶς ἐν Λιβύῃ τῇ χώρᾳ, ὑπεριδὼν τῆς ἐκεῖ οἰκήσεως εἵλετο τὴν ἐν Αἰγύπτῳ οἴκησιν καὶ ἐλθὼν ἐν τῇ Αἰγύπτῳ κτίζει πόλιν ὁμώνυμον αὐτῷ Βούσιριν, ἥτις καὶ νῦν οὕτω κέκληται. Αἰτίαν δ' ἔσχεν ὡς ξενηλάτης καὶ ὡς θύων τοὺς ξένους. Ὁ οὖν Πολυκράτης, ἅτε δὴ σοφιστὴς λογογράφος, ἠθέλησε καὶ ἀπολογίαν γράψαι ὑπὲρ τοῦ Βουσίριδος καὶ ὑπὲρ τούτων ὧν ἐνεκαλεῖτο· εἰς ἣν αὐτοῦ ὁ Ἰσοκράτης ἐπιλαμβάνεται, καὶ ὑποτίθεται αὐτὸς πῶς ἔδει αὐτὸν γράψαι τὸ ἐγκώμιον. Διὸ καὶ ὁ λόγος οὗτος τῶν τεσσάρων ἐγκωμίων ἐστίν.

XIII. ΚΑΤΑ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

Οὗτος ὁ λόγος τῶν ἄγαν τεχνικῶς γεγραμμένων ἐστὶν Ἰσοκράτει, εἴ πέρ τις ἄλλος· ἐν τούτῳ γὰρ σχεδὸν ἅπασαν διέλαβε τὴν ῥητορικήν. Διδάσκει γὰρ ἡμᾶς ἐν αὐτῷ ὁποῖος ὀφείλει εἶναι ὁ μαθητής, οἷος δὲ ὁ διδάσκαλος, καὶ διαιρεῖ τὸν λόγον εἰς δύο, εἴς τε τὴν ἐριστικὴν φιλοσοφίαν καὶ εἰς τὴν πολιτικὴν ἀρετήν, ὅ ἐστι τὴν ῥητορικήν, τοὺς ἐν αὐταῖς κακῶς ἐξεταζομένους ἐξελέγξαι βουλόμενος. Καὶ λέγει πρῶτον περὶ τῶν ἐριστικῶν, εἶτα περὶ τῶν πολιτικῶν· τέμνει δὲ τοῦτο εἰς δύο, εἴς τε τοὺς ἐπαγγελλομένους διδάσκειν, μὴ εἰδότας δέ, καὶ εἰς τοὺς γράψαντας τέχνην ῥητορικήν, πάλιν δὲ καὶ αὐτοὺς ἀγνοοῦντας. Ἐζήτησαν δέ τινες διὰ ποίαν αἰτίαν οὕτως ἦλθεν ὁ Ἰσοκράτης ἐπὶ τοῦτον τὸν λόγον, ὥστε ἁπλῶς καταδραμεῖν τούτων. Καὶ οἱ μὲν ἀπελογήσαντο. λέγοντες τὴν αἰτίαν, ἣν προείπομεν, διὰ τὸ τὸν Ἀριστοτέλην λυπῆσαι αὐτόν, διὰ τὸ ἀφελέσθαι αὐτοῦ μαθητήν, Θεοδέκτην ὀνόματι. Αὕτη δὲ ἡ αἰτία ὡς ἔστιν εὐήθης οὐ δύσκολον καταμαθεῖν· οὐδὲ γὰρ κατὰ μόνων φιλοσόφων ποιεῖται τὸν λόγον, ἀλλὰ καὶ ῥητόρων αὐτῶν. Ποία οὖν ἂν εἴη ἀληθὴς αἰτία ἢ αὕτη, διότι ἑώρα ἐν τῷ χρόνῳ τοῦ λόγου τούτου πολλοὺς ἐπιπηδῶντας ταῖς τέχναις ἀπερισκέπτως, καὶ ἐπαγγελλομένους διδάσκειν ἅπερ οὐκ ἴσασι, καὶ σοφιζομένους τὴν ἀλήθειαν. Διὸ καὶ ὁ λόγος αὐτῷ ἐπιγέγραπται « κατὰ τῶν σοφιστῶν, » οὐχ ἁπλῶς τῶν σοφιστευόντων, ἀλλὰ κατὰ πάντων τῶν σοφιζομένων τὴν ἀλήθειαν. Τριχῶς γὰρ τοῦτο τοὔνομα λέγεται παρὰ τοῖς παλαιοῖς· οἷον οὕτω, σοφὸν καλοῦσιν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλὸν καὶ τὸ φρόνιμον· ὅθεν καὶ ὁ Πλάτων φιλόσοφον καλεῖ τὸ πρῶτον αἴτιον, τὸ φιλοῦν αὐτὸ τὸ ἀληθὲς καὶ τὸ καλόν, ὅθεν καὶ ὁ ἄνθρωπος ὁ μετιὼν τὴν φιλοσοφίαν ἐκ τούτου παρωνόμασται, καθὰ καὶ αὐτὸς μιμεῖται τὸν θεὸν κατὰ τὸ δυνατόν· καὶ πάλιν σοφιστὴν καλοῦσι αὐτὸν τὸν ῥήτορα, τὸν διδάσκοντα τοὺς ῥητορικοὺς λόγους· σοφιστὴν δὲ καὶ τὸν σοφιζόμενον τὴν ἀλήθειαν, περὶ οὗ νῦν διέρχεται. Ἐζήτησαν δέ τινες πάλιν καὶ διὰ τί καὶ αὐτὸς ὁ λόγος, εἴ γε εἷς ἐστι τῶν τεσσάρων ἐγκωμίων, κατὰ τῶν σοφιστῶν ἐπιγράφεται, καὶ ψόγος ἐστὶ καὶ μὴ ὅπερ οἰκεῖον ἐγκωμίου, τὸ μᾶλλον ὑπέρ τινος λέγειν ἢ κατά τινος. Καὶ λέγομεν ὅτι, ἐάν τις σκοπήσῃ ὑπὸ τί ἀνάγεται καὶ ὁ ψόγος καὶ τὸ ἐγκώμιον, ὅτι ἑκάτερον ὑπὸ ἓν εἶδος τὸ πανηγυρικόν, εὑρήσει τὴν αἰτίαν· ἡ γὰρ οἰκειότης πρὸς τὸ ἐγκώμιον, καὶ τὸ τοῖς αὐτοῖς κεφαλαίοις τέμνεσθαι τὸν ψόγον, ὥσπερ καὶ τὸ ἐγκώμιον, ἐποίησε καὶ τὸν ψόγον ἐγκώμιον ὀνομάζεσθαι κατὰ ἀντίφρασιν. Εἰ δέ τις εἴποι, διὰ τί δὲ μὴ δικανικοῦ εἴδους ἐστίν, εἴ γε καταδρομῇ κέχρηται, λέγομεν, ἐπειδὴ οὔτε ἐν δικαστηρίῳ ἐλέχθη, οὔτε ἡ τιμωρία ὥρισται.

XIV. ΠΛΑΤΑΙΚΟΣ.

Περὶ τοὺς χρόνους τοῦ λόγου τούτου πολλοὶ πλανῶνται. Ζητοῦσι γὰρ πῶς δυνατὸν εἰρηκέναι τὸν Ἰσοκράτην ὑπὲρ Πλαταιέων, κατασκαφέντων ἐν τῇ γ' (3, 20. 52,) ἱστορίᾳ τοῦ Πελοποννησιακοῦ πολέμου, τὸν ὕστερον μετὰ πολλὰ ἔτη γενόμενον τῶν Πελοποννησιακῶν. Ἐγένετο γὰρ ἡ κατασκαφὴ τῶν Πλαταιέων ἐν τῷ [ε'] ἔτει τοῦ Πελοποννησιακοῦ· κατέσχε δὲ κ' καὶ ἑπτὰ ἔτη ὁ πᾶς πόλεμος, καὶ τὰ λοιπὰ κβ'· εἶτα ἐν ᾧ ἦρξαν Λακεδαιμόνιοι, τριάκοντα, ἤγουν πεντήκοντα δύο πρὸ τοῦ Φιλίππου ἔτη εἴρηται ὁ λόγος, ὡς ἀνάγκη τὸν Ἰσοκράτην τριῶν ἐτῶν ὄντα εἰπεῖν τὸν λόγον, ὅπερ ἀδύνατον. Πρὸς ὃ καί τινες ἀπολογούμενοι λέγουσιν ὅτι πρὸς μελέτην εἴρηται ὁ λόγος ζητήματος· οὐκ ἔστι δέ. Ἀλλὰ τὸ δεύτερον κατεσκάφησαν οἱ Πλαταιεῖς· ὁτὲ μὲν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὑπὸ Λακεδαιμονίων χαριζομένων Θηβαίοις, εἶτα ὅτε ἐπολέμησαν Λακεδαιμόνιοι Θηβαίοις μετὰ τὸν Πελοποννησιακὸν πόλεμον καὶ ἐνίκησαν οἱ Λακεδαιμόνιοι, πολεμίους ὁμόρους ἀναστῆσαι Θηβαίοις βουλόμενοι ἀνῴκισαν Πλάταιαν· εἶτα ὕστερον νικήσαντες οἱ Θηβαῖοι ἐν Λεύκτροις κατέσκαψαν αὐτούς, Πλαταιέας, οὓς ὕστερον ἀνοικίζει πάλιν Φίλιππος κατὰ Θηβαίων. Κατασκαφέντες οὖν νῦν τὴν δευτέραν κατασκαφὴν ἔρχονται εἰς τὰ Ἀθήνας, ἀναλαβεῖν βουλόμενοι τὴν πόλιν διὰ τῶν Ἀθηναίων, εἰς οὓς κατέφυγον, ὥς φησιν ὁ Ἀριστείδης. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη· ἡ δὲ στάσις πραγματικὴ ἄγραφος.

ΣΧΟΛΙΑ.

I. ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ.

§ 48. p. 7, 41. Τοῖς μὲν φαύλοις] τοῖς εὐτελέσι, ἤγουν τοῖς φαύλοις. Φλαῦρος δὲ λέγεται ὁ πονηρός.

II. ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

§ 1. p. 8, 15. Ἄγειν] Τὸ μὲν ἄγειν κυρίως ἐπὶ ἐμψύχων λέγεται· καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀψύχων.

§ 4. p. 8, 40. Τοῖς δὲ τυράννοις] ἀντὶ τοῦ τοῖς βασιλεῦσιν· ἀδιαφόρως γὰρ κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες.

§ 7. p. 9, 40. Καταλογάδην] Καταλογάδην λέγεται ὁ πεζὸς λόγος καὶ μὴ ὢν ἔμμετρος.

§ 20. p. 11, 20. Τίμα ταῖς μὲν ἀρχαῖς] Ἀντίστροφος φράσις.

§ 24. p. 11, 42. Πλεονεκτεῖν] Τὸ πλεονεκτεῖν καὶ ἐπὶ ἀρετῆς καὶ ἐπὶ κακίας.

§ 28. p. 12, 12. Ἀμφιγνοῆς] ἀμφιβάλλῃς. Ἀγνοεῖν δὲ τὸ μηδ' ὅλως εἰδέναι.

§ 30. p. 12, 27. Φιλοτιμούμενος] σεμνυνόμενος, ὑπερηφανευόμενος.

§ 34. p. 13, 6. Τοὺς μὲν σεμνυνομένους] τοὺς ὑπερηφάνους, ὡς ἀργοὺς εἰς πρᾶξίν τινα. Τοιοῦτοι γὰρ οἱ κενόδοξοι, μὴ εὐκτότερον τιθέμενοι ποιῆσαι.

§ 39. p. 13, 27. Περὶ μικρῶν ἐρίζοντας] ἤγουν τοὺς φυσιολογοῦντας τίς ἡ κώνωπος φύσις καὶ τίς ἡ ψύλλης φύσις, ἵν' ἐκβάλλῃς αὐτὸν ἀπὸ λεπτουργίας, ἥτις ἐστὶν ἴδιον τοῖς σκνιποῖς· τοιοῦτοι γὰρ οἱ κυμινοπρῖσται· καὶ εἰς ἐλευθερίαν ἐθίσεις αὐτόν.

§ 45. p. 14, 20. Τοὺς πολλοὺς] τοὺς μὴ φρονίμους.

§ 46. p. 14, 28. Πρὸς τοῖς εἰρημένοις] ἀντὶ τῆς σύν· ἤγουν σὺν οἷς λόγοις ἀρχόμενοι εἰρήκαμεν.— P. 14, 32. Περὶ τῶν ἰδίων λογιζόμενοι] ἤγουν λογοπραγούμενοι καὶ ἐξεταζόμενοι.

§ 54. p. 15, 32. Ἡ τῶν πωλούντων] Οἷον εἰσάγει τις τοῖς βασιλεῦσι δῶρον, ὃ ἐὰν παρὰ τῶν πωλούντων ἐξωνηθῇ, ὀλίγου ἂν ἠγοράσθη, ἐπεὶ ἀντιχαρίζεται παρὰ τοῖς βασιλεῦσι τοῖς εἰσάγουσι τοιοῦτον δῶρον, εἶδος πολλοῦ τιμώμενον καὶ πολλαπλάσιον τῆς τοῦ εἰσαχθέντος δώρου τιμῆς.

III. ΝΙΚΟΚΛΗΣ Η ΚΥΠΡΙΟΙ.

§ 1. p. 15, 26. Δυσκόλως] ἐχθρῶς καὶ μεμισημένως. P. 15, 39. Ἡδέως ἂν οὖν πυθοίμην] Ἰστέον ὅτι ἐν τῷ προοιμίῳ τούτῳ πρότασιν λέγει καὶ εὐθέως κατασκευήν· καὶ πάλιν προτείνει καὶ κατασκευάζει. Τοιοῦτος γὰρ Ἰσοκράτης, καὶ ἐν ἄλλοις αὐτοῦ λόγοις τοῦτο ποιῶν.

§ 3 p. 16, 2. Θαυμάζω] ἀντὶ τοῦ καταγινώσκω.

Τὴν ῥώμην καὶ τὴν ἀνδρείαν] Ῥώμη μὲν ἐπὶ σώματος, ἀνδρεία δὲ ἐπὶ ψυχῆς.

§ 9. p. 16, 53. Τὰ τῶν θεῶν ἕδη] ἑδράσματα, ἀγάλματα.

§ 23. p. 18, 50. Τοῦτο μὲν γὰρ] Ἀριθμητικόν ἐστι τὸ σχῆμα, παρὰ τοῖς ῥήτορσιν οὕτω λαμβανόμενον, ὅταν εἴπωσι « τοῦτο μέν· » σημαίνουσι γὰρ ἀντὶ τοῦ πρῶτον.

§ 26. p. 19, 20. Καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι] Σημείωσαι ἀπὸ τούτου ὡς φαίνεται μὴ ἀρεσκόμενος τῇ πολυθεΐᾳ ὁ Ἰσοκράτης.

§ 33. p. 20, 24. Δυσκόλως] φθονερῶς.

§ 34. p. 20, 29. Ἡ καί] Ὅρα πῶς εἰς ἀνάγκην ἐλθὼν τοῦ εἰπεῖν κἂν οὐκ εἶπεν· ἐπειδὴ οἶδε σπανίως αὐτὸ λεγόμενον καὶ παραχαραττόμενον, ὡς τὸ παρὰ Μενάνδρῳ ἐν Μισουμένῳ.

Εἴσελθε κἂν νῦν, ὦ μακάριε.

§ 43. p. 21, 44. Οὐχ ἥκιστα] μάλιστα.

IV. ΠΑΝΗΓΥΡΙΚΟΣ.

§ 136. p. 43, 16. Τὰ μὲν ἔχει κ. τ. λ.] Ὁ Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς καὶ τῇ διανοίᾳ σχεδὸν καὶ τῇ λέξει ἐχρήσατο.

§ 139. p. 43, 34. Εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν κ. τ. λ] Τοῦτο Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς εἰληφὼς σαφῶς φαίνεται, μόνον μεγεθύνας.

V. ΦΙΛΙΠΠΟΣ.

§ 120. p. 68, 39. Καὶ διαλαβεῖν τὴν Ἀσίαν] περὶ τῆς ἐπικαλουμένης ἰδίως Ἀσίας.

§ 125. p. 69, 20. Προϋπάρξαι τῆς ἔχθρας] Σημείωσαι· ὧδε ἡ πρὸ πρόθεσις κεῖται δεικνύουσα τὴν προκαταρχὴν τῆς ἔχθρας τῶν βαρβάρων πρὸς τοὺς Ἕλληνας.

§ 141. p. 74, 33. Πέρας ἕξειν] ἤγουν τέλος εἶναι τῶν καλῶν, καὶ μὴ ἔχειν πλέον τούτων.

VI. ΑΡΧΙΔΑΜΟΣ.

§ 24. p. 76, 50. Ἐκείνην δὲ ἐλάβομεν] ἤγουν τὴν ἀμφισβητουμένην Μεσσήνην.

§ 42. p. 79, 20. Ἐξ ὧν τοῖς ἄλλοις προσέταττον] τετράκωλος περίοδος χιαστή·

ἐξ ὧν τοῖς ἄλλοις προσέταττον ╳ πρὸς τοὺς Ἕλληνας διαβληθέντας,
ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ╳ παρὰ πᾶσιν ἀνθρώποις κ. τ. λ.

§ 46. p. 80, 6. Τὸ πρὸς Διονύσιον ῥηθὲν] ἤγουν τὸ μικρὸν κῶλον τοῦτο. νοήσας, τὸ « καλὸν ἐντάφιον ἡ τυραννίς. »

VIII. ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

§ 17. p. 102, 40. Πλεονεξίαν] ἤγουν πλέον ἔχειν καὶ κτᾶσθαι.

§ 23. p. 104, 32. Πλεονεκτεῖν] πλέον ἔχειν.

§ 50. p. 108, 26. Δεκάζων] δωροδοκῶν.

§ 55. p. 109, 9. Ὡς ἐκεῖ σοφωτέρους ἐσομένους] Κατ' εἰρωνείαν τὸ σχῆμα.

§ 100. p. 115, 3. Οὐκ Ἠλείων μὲν ... εἰς δὲ τὴν Ἀργείων ἐνέβαλον] Σχῆμα διαζεύξεως, τὸ λεγόμενον ἐφ' ἑκάστῳ.

§ 102. p. 115, 20. Διὰ μὲν γὰρ τὴν... τῆς ἡγεμονίας ἐστερήθησαν] Τετράκωλος περίοδος ἀχίαστος.

§ 108. p. 116, 12. Οὐχ ἡ μὲν τῶν ἀττικιζόντων]· Ἀγχίστροφον τὸ σχῆμα. — Οὐ διὰ μὲν τὴν δημηγορούντων] Τὸ σχῆμα ἀντίθετον.

§ 114. p. 116, 54. Περὶ τῆς ἀρχῆς] τῆς κατὰ θάλατταν δηλαδή.

§ 130. p. 119, 8. Εἰσαγγελίαις] ἤγουν κατηγορίαις.

ΕΥΑΓΟΡΑΣ.

§ 1. p. 121, 6. Ὁρῶν, ὦ Νικόκλεις] Τριῶν προοιμίων, ὡς εἴπομεν, μελλόντων λέγεσθαι, τὸ μὲν ἕν, τὸ πρῶτον, ἀποδίδωσι τῷ Νικοκλεῖ, ἔπαινον ἔχον αὐτοῦ, διότι οὕτω πολυτελῶς ἐτίμησε τὸν πατέρα τελευτήσαντα· τὰ δὲ ἄλλα δύο πρὸς αὐτὸν τὸν ἀπελθόντα. Ζητήσειε δ' ἄν τις ἐν τῷ λόγῳ τούτῳ, διὰ τί, ἐπιταφίου ὄντος καὶ τοῦ ἐπιταφίου ἀπαιτοῦντος παρὰ τὰ ἐγκωμιαστικὰ πάντα κεφάλαια πλέον τό τε θρηνητικὸν ἐν τῇ ἀρχῇ καὶ τὸ παραμυθητικὸν ἐν τῷ τέλει (ἐν γὰρ μόνοις τοῖς δύο τούτοις κεφαλαίοις διαφέρουσιν ὅ τε ἐπιτάφιος λόγος καὶ τὸ ἐγκώμιον), ἐνταῦθα δὲ παρῆκε τὰ δύο κεφάλαια; καὶ λέγομεν ὅτι φαίνεται ἐκ πολλοῦ τοῦ χρόνου τετελευτηκὼς Εὐαγόρας· καὶ ὁ Ἰσοκράτης, νῦν πέμψας τὸν λόγον μετὰ πολὺ τοῦ ἐκείνου θανάτου, ἄτοπον ἡγεῖτο θρηνητικὸν τάττειν καὶ ἀναμιμνήσκειν τῶν θρήνων τῶν ὀφειλόντων προτοῦ λεχθῆναι παρ' αὐτὸν τὸν θάνατον. Εἰ δέ τις εἴποι ὅτι, εἰ διὰ ταύτην τὴν αἰτίαν παρῆκε τὸ θρηνητικὸν, διὰ τί καὶ ἐν τῷ τέλει ἐξέστη τοῦ εἰπεῖν τὸ παραμυθητικόν; λέγομεν ὅτι, εἰ τοῦτο ἐπήγαγε, μὴ προηγησαμένου τοῦ θρηνητικοῦ, ἔτι πλέον ἀκαιρότερον ἐδόκει ποιεῖν. Ἔνθα γάρ εἰσι θρῆνοι, ἐκεῖ ὀφείλει καὶ ἡ παραμυθία παρέπεσθαι· εἰ δὲ μηδένα ἐθρηνήσαμεν τῷ λόγῳ, ὑπὲρ τίνος ἐμέλλομεν παραμυθεῖσθαι τοὺς τῷ γένει προσήκοντας; ὥστε οὖν δύνασθαι τὸν λόγον καὶ Ἐπιτάφιον λέγεσθαι καὶ Ἐγκώμιον· Ἐπιτάφιον μὲν, διότι εἰς τὸν τετελευτηκότα Εὐαγόραν γράφει τὸν λόγον, Ἐγκώμιον δὲ, διότι παρῆκε τὰ δύο κεφάλαια τοῦ Ἐπιταφίου. Ἐνίκησε δὲ αὐτὸν τὸν λόγον Ἐγκώμιον μᾶλλον λέγεσθαι. Ἰστέον δὲ ὡς ὅτι ἀντὶ τῶν δύο τούτων κεφαλαίων ἕτερα δύο ἀντεισήγαγε, τό τε τρίτον προοίμιον, ὅπερ οὐκ ἔστιν εὑρεῖν ἐγκώμιον, ὡς προείρηται, καὶ τὸ παραινετικόν. Καὶ τὸ μὲν προσθεῖναι τρίτον προοίμιον ἦν ἀντὶ τοῦ θρηνητικοῦ· τὸ δὲ παραινετικὸν ἐν τῷ τέλει ἀντὶ τοῦ παραμυθητικοῦ· ἐν ᾧ αὐτῷ παραινεῖ ὅτι « Ὀφείλεις, ὦ Νικόκλεις, μιμήσασθαι τὰς πράξεις τὰς τοῦ πατρὸς, ἃς νῦν διήλθομεν ἐν τῷ ἐπιταφίῳ. » Διὰ τοῦτο γὰρ καὶ τὸ παραινετικὸν ἐν τῷ τέλει ἔταξε, καὶ οὐκ ἐν τῇ ἀρχῇ, ἐπειδὴ ἔδει πρῶτον ἀποδειχθῆναι τοῦ πατρὸς τὰς πράξεις, ἵνα πρὸς ταύτας ὕστερον δυνηθῇ αὐτῷ παραινεῖν βιῶναι.

§ 3. p. 121, 18. Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους] Κατασκευὴ τοῦ προοιμίου.

§ 4. p. 121, 24. Αἱ μὲν οὖν δαπάναι] συμπέρασμα τοῦ προοιμίου.

§ 5. p. 121, 31. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους] Δεύτερον πρὸς τὸν πατέρα προοίμιον.

Ib. Ἐπαινεῖν] Ἰστέον ὅτι ἔπαινος μὲν κυρίως κληθείη ὁ λόγος ὁ ἐγκωμιάζων [μίαν] μόνην πρᾶξιν, ἐγκώμιον δὲ τὸ περιλαμβάνον πολλὰς πράξεις. Ὅμως ἀδιαφόρως τούτοις κέχρηται.

§ 6. p. 121, 39. Τοὺς ἐπέκεινα γενομένους] οἷον Ἐριχθόνιος, Ἴναχος, Εὔμολπος.

§ 7. p. 121, 47. Οὐ μὴν δουλευτέον] Συμπέρασμα τοῦ προοιμίου.

§ 8. p. 122, 4. Οἶδα μὲν οὖν] Τρίτον προοίμιον, εἰς τὸν τελευτήσαντα.

Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων] Κατασκευὴ τοῦ προοιμίου.

§ 11. p. 122, 29. Ὅμως δὲ, καίπερ] συμπέρασμα τοῦ προοιμίου.

§ 12. p. 122, 34. Πρῶτον μὲν οὖν] Εἰσβολὴ τῶν ἐγκωμίων.

§ 13. p. 122, 39. Ὁμολογεῖται μὲν γὰρ] Ἄρχεται μὲν ἀπὸ τῶν προγόνων. Εἰ δέ τις εἴποι, διὰ τί παρῆκε τὸ ἀπὸ πατρίδος; οὕτω γὰρ ὀφείλει διωρίσθαι τὸ ἐγκώμιον, πρῶτον ἀπὸ πατρίδος, εἶτα ἀπὸ προγόνων, εἶτα ἀπὸ ἀνατροφῆς, ἀπὸ πράξεων, καὶ συγκρίσεων, καὶ ἐπιλόγων· λέγομεν ὅτι οὐδὲν μέγα εἶχεν εἰπεῖν εἰς τὴν θέσιν τῆς πατρίδος, τῆς Σαλαμῖνος. Δεῖ δὲ ἐν πᾶσι τὰ συμφέροντα καὶ τὰ ἀναγκαίως ὀφείλοντα λεχθῆναι λέγειν, οὐ μέντοι ὅσα διδάσκει ἡ τέχνη· μᾶλλον δὲ τέχνη ἀνέγκλητον τὸ ἐπιτηδείως ἀποδοκιμάζειν τὰ μὴ ὀφείλοντα ἕπεσθαι.

§ 22. p. 124, 2. Ἐκρατίστευσεν] Σημείωσαι ὡς γράφει τις κρατιστείαν ἀπὸ τοῦ κρατιστεύω, ὡς ἀπὸ τοῦ ἀριστεύω ἀριστείαν.

§ 28. p. 124, 34. Τὴν κάθοδον] Ἐπάνοδος μὲν γάρ ἐστι τὸ ἐπανελθεῖν τινα εἰς τὴν ἰδίαν πατρίδα, ἐξελθόντα ἐξ ἀρχῆς μηδενὸς βιασαμένου· κάθοδος δὲ, ὅταν τις ἄκων ἀποδημήσῃ καὶ φυγαδευθῇ, ἢ συμφορᾶς τινος προηγησαμένης ἢ διὰ φόβον τυράννων ἤ τι τοιοῦτον.

§ 37. p. 125, 43. Κῦρον] Διὰ τί, ἀεὶ μετὰ τὰς πράξεις τιθεμένης τῆς συγκρίσεως, ἐνταῦθα μεταξὺ τῶν πράξεων παρήγαγε σύγκρισιν πρὸς Κῦρον, τὴν ἀπὸ τοῦ μείζονος; λέγομεν οὖν ὅτι δεῖ μὲν αὐτὴν μετὰ τὰς πράξεις, εἰ δὲ ἀνάγκη τις, καὶ μεταξὺ τούτων, καὶ οἱωσδήποτε, οὐ παραιτητέον αὐτὴν τιθεμένην, χωρὶς τῶν προοιμίων.

§ 44. p. 127, 2. Σεμνὸς] Τὸ σεμνὸς διττῶς λέγεται, καὶ ἐπὶ τοῦ ὑπερηφάνου καὶ ἐπὶ τοῦ σεμνῶς ποιοῦντος τὰ πράγματα.

§ 47. p. 127, 24. Οὔτε τέχνας ἐπισταμένην κ. τ. λ.] Εἴ τις οὖν εἴποι, καὶ πόθεν ἔζων μηδενὶ τούτων κεχρημένοι; λέγομεν ὅτι ἔξεστι τοῖς ἐγκωμίοις ψεύδεσθαι.

§ 49. p. 127, 42. Ἀπροσοίστως] μὴ προσδεχόμενοί τινας τῶν Ἑλλήνων.

§ 55. p. 128, 35. Τὰ περὶ τὴν ἤπειρον] ἤγουν τὰ περὶ τὴν Ἀσίαν· καὶ αὕτη γὰρ Ἤπειρος καλεῖται.

X. ΕΛΕΝΗ.

§ 1. p. 132, 25. Καὶ καταγεγηράκασιν, οἱ μὲν κ. τ. λ.] Κατασκευὴ τοῦ προοιμίου, πῶς τινὲς ἀτόπους ποιοῦσιν ὑποθέσεις. Ἰστέον ὅτι τρία εἴδη προοιμίων τὰ κεφαλαιωδέστατα, ἓν μὲν τὸ πρὸς κατηγορίαν τῶν ἐναντίων λαμβανόμενον, δεύτερον δὲ τὸ πρὸς θεραπείαν τῶν δικαστῶν, τρίτον τὸ ἕνεκα τοῦ προσώπου αὐτοῦ τοῦ λέγοντος. Εἰ δέ τις ἀκριβῶς ζητήσοι, εὑρήσει ὅτι καὶ τὰ τρία ἕνεκα τοῦ ἰδίου προσώπου τοῦ λέγοντος γίγνεται.

§ 12. p. 133, 48. Βομβυλιοὺς] οἱ μὲν λέγουσιν εἶδος καυκαλίου, οἱ δὲ εἶδος μυίας, ὥσπερ ἡ ἐμπίς.

§ 15. p. 134, 5. Τὸν γράψαντα περὶ τῆς Ἑλένης] Πολυκράτην λέγει τὸν σοφιστήν.

§ 72. (63.) p. 140, 45. Θεράπναις] Κωμύδριον τῆς Λακωνικῆς.

XI. ΒΟΥΣΙΡΙΣ.

§ 3. p. 142, 39. Γιγνώσκω μὲν οὖν ὅτι κ. τ. λ.] Δεύτερον προοίμιον, ἔννοιαν ἔχον τοῦ μὴ δεῖν τὸν Πολυκράτην ἐπαχθῶς φέρειν πρὸς τὴν νουθεσίαν· ὅπερ πάσχουσιν οἱ μωροί.

§ 9. 143, 35. Ἵνα δὲ μὴ δοκῶ] Ἰστέον ὅτι συμπέρασμα τοῦ προοιμίου καὶ εἰσβολὴ τοῦ ἐγκωμίου.

P. 143, 39. Οὐδὲ σεμνοὺς λόγους ἔχουσαν] Ἰστέον ὅτι αἱ προσποιήσεις αὗται ῥητορικαί εἰσι, τὸ ἐξ ἀρχῆς μετριάζειν, ἵνα, ὅταν ἀγωνίσηται καλῶς, μετὰ τὴν ἐπίδειξιν πλέον θαυμάζηται.

§. 33. p. 146, 49. Ἀλλὰ καὶ τῆς ἰδέας ὅλης... διημαρτηκὼς] Ἰστέον ὅτι εἰ καὶ δεῖ ψεύδεσθαι ἐν τοῖς ἐγκωμίοις καὶ τῶν προσόντων ἀγαθῶν μείζονα λέγειν, ἀλλ' οὐκ ἀδύνατα γίνεσθαι. Εἰ δὲ μὴ, τοὐναντίον δόξομεν κατηγορεῖν τοὺς ἐγκωμιαζομένους ἢ ἐπαινεῖν, ἐλεγχόμενοι παρὰ τοῖς ἀκροαταῖς ψευδόμενοι φανερῶς, ἀποδεικνύντες τὸν ἐπαινούμενον μὴ πεπραχότα ταῦτα.

XII. ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

§. 47. p. 155, 39. Ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν κ. τ. λ.] Συμπέρασμα κατὰ χιασμὸν, μὴ ἀναστρέφον πρὸς τὴν διάνοιαν τοῦ λόγου·

ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν ╳ ἐξ ὧν δὲ Σπαρτιᾶται,
αὐξάνεσθαι τὴν Ἑλλάδα κ. τ. λ. ╳ τὴν ἐκείνων μόνην μεγάλην κ. τ. λ.

§ 125. p. 167, 1. Θεοφιλεῖς] Τοῦτο οὕτω νοητέον· οὐχὶ φιλοῦντας τοὺς θεοὺς, ἀλλ' ὑπὸ τῶν θεῶν φιλουμένους.

§ 126. p. 167, 5. Ὁ φὺς] ὁ γενόμενος.

XIII. ΚΑΤΑ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

§ 8. 189, 43. Ἀδολεσχίαν] Ἀδολεσχία ἡ πάνυ φλυαρία, ἤγουν ἡ πλείστη.

§ 12. p. 190, 24. Ποιητικοῦ πράγματος] Ποιητικὸν πρᾶγμα καλεῖ τὴν ῥητορικὴν πρὸς ἀντιδιαστολὴν τῶν κδ' στοιχείων, ἣν καλεῖ τεταγμένην τέχνην.

§ 19. p. 191, 32. Καὶ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες] Τισίαν καὶ Κόρακα λέγει τοὺς Συρακουσίους, καὶ Γοργίαν καὶ Θρασύμαχον, οἱ πρῶτοι ῥητορικὰς τέχνας ἔγραψαν.

ΑΙΣΧΙΝΟΥ ΒΙΟΣ.

I. ΑΠΟΛΛΩΝΙΟΥ ΕΙΣ ΑΙΣΧΙΝΗΝ ΕΞΗΓΗΣΙΣ..

Αἰσχίνης ὁ ῥήτωρ τὸ μὲν γένος ἦν Ἀθηναῖος, τῶν δήμων Κοθωκίδης, υἱὸς δ' Ἀτρομήτου, ὃν φασι πρότερον Τρόμητα καλούμενον ὕστερον συλλαβῆς προσθέσει ἀντὶ Τρόμητος Ἀτρόμητον προσαγορευθῆναι, γεγονέναι δὲ τὸ κατ' ἀρχὰς δοῦλον καὶ πέδας ἔχοντα διδάσκειν γράμματα πρὸς τῷ Θησείῳ καὶ τῷ τοῦ ἰατροῦ (Aristomachi) ἡρῴῳ, εἶτα ὕστερον εἰς τὴν πολιτείαν ἐγγραφῆναι διὰ κακουργίας. Μητρὸς δ' ἦν ὁ Αἰσχίνης Γλαυκοθέας ἢ ὥς ἔνιοι Γλαυκίδος, ἥν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου ἡρῴῳ, ἔπειτα ὕστερον ἀναστᾶσαν ἀπὸ τῆς ἐργασίας ταύτης ἐπὶ τὸ τελεῖν καὶ καθαίρειν τοὺς βουλομένους ἀποκλῖναι. Γεγονὼς δ' ἐκ τούτων ὁ Αἰσχίνης καὶ ἀδελφῶν αὐτῷ δύο γενομένων, Ἀφοβήτου καὶ Φιλοχάρους τοῦ τὰς ἀλαβαστοθήκας καὶ τὰ τύμπανα γράφοντος, παῖς μὲν ὢν τῷ πατρὶ ὑπηρέτει γράμματα διδάσκοντι, ἀνὴρ δὲ γενόμενος τὸ μὲν πρῶτον ὑπεγραμμάτευσε ταῖς ἀρχαῖς χρόνον τινὰ σὺν τῷ ἀδελφῷ Ἀφοβήτῳ (ἦν δ' ἐπονείδιστον τοῦτο τὸ ἔργον), ἔπειτα ἀποστὰς τούτου τριταγωνιστὴς ἐγένετο τραγῳδιῶν, καὶ ἐν Κολλυτῷ ποτε Οἰνόμαον ὑποκρινόμενος κατέπεσεν. Μετὰ ταῦτα δὲ προκόπτων τῇ ἡλικίᾳ ἐπὶ τὸ πολιτεύεσθαι καὶ τὰ κοινὰ πράττειν ἀπέκλινεν. Καὶ δοκεῖ τὴν ὑπὲρ Φιλίππου καὶ Ἀλεξάνδρου πολιτείαν ἐπανελέσθαι, κοινωσάμενος Φιλοκράτει τὰ πράγματα, καὶ πρὸς τὴν ἐκείνων χάριν καὶ κολακείαν ἄρασθαι πολιτείαν πρὸς τοὺς περὶ Δημοσθένην, τοὺς τἀναντία τοῖς Φιλίππου πράγμασι καὶ Ἀλεξάνδρου πολιτευσαμένους. Ὅτι δὲ πρὸς χάριν ἐπολιτεύσατο τοῖς βασιλεῦσιν ἄλλα τε πολλὰ μαρτύριά ἐστι καὶ δὴ πάντων ἐκεῖνο ἐναργέστατον· ἑλομένου γάρ ποτε αὐτὸν τοῦ δήμου σύνδικον ὑπὲρ τοῦ ἐν Δήλῳ ἱεροῦ πρὸς τὴν γενομένην πρὸς Δηλίους Ἀθηναίων διαδικασίαν οὐκ ἐπέτρεπεν ἡ ἐν Ἀρείῳ πάγῳ βουλὴ, ἀλλ' ἀπελάσασα αὐτὸν ὡς οὐκ ὄντα εὔνουν τῷ δήμῳ τῷ Ἀθηναίων Ὑπερείδῃ λέγειν προσέταξεν. Φασὶ μέντοι τινὲς αὐτὸν ἀκουστὴν γενέσθαι Πλάτωνός τε καὶ Σωκράτους, ψευδόμενοι. Ἦν δὲ καὶ ἕτερος ῥήτωρ Αἰσχίνης Ἐλευσίνιος, ὃς καὶ τέχνας λέγεται ῥητορικὰς γεγραφέναι. Λέγεται δ' ὁ Αἰσχίνης ἐρωτικὸς γεγονέναι. Αὐτὸς δ' ὁ Αἰσχίνης περὶ τοῦ γένους αὐτοῦ ἐν τῷ παραπρεσβείας (§ 147) φησὶν ὡς ὁ πατὴρ αὐτοῦ Ἀτρόμητος φρατρίας μὲν ἦν καὶ γένους τοῦ Ἐτεοβουταδῶν, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια, νέος δ' ὢν ἤθλει, καὶ χρόνῳ ὕστερον τὴν οὐσίαν ἀπολέσας ἐν τῷ πολέμῳ ἐξέπεσεν ὑπὸ τῶν λ', καὶ στρατευόμενος ἐν Ἀσίᾳ ἀριστείων ἠξιώθη, καὶ ἐν Κορίνθῳ μετὰ τὴν ἔκπτωσιν διατρίψας συγκατήγαγε τὸν δῆμον· βιῶσαι δ' ἀναμαρτήτως, εἶναι δ' αὐτὸν ἐτῶν ἐνενήκοντα τεσσάρων. Φησὶ δὲ καὶ τοὺς πρὸς μητρὸς αὐτῷ προσήκοντας ἐλευθέρους εἶναι. Τῶν δ' ἀδελφῶν αὐτοῦ Φιλοχάρη μὲν ἐν γυμνασίοις διατρίβειν καὶ μετ' Ἰφικράτους ἐστρατεῦσθαι καὶ συνεχῶς στρατηγεῖν, Ἀφόβητον δὲ τὸν νεώτατον αὐτῶν ἀδελφὸν πεπρεσβευκέναι μὲν ὡς βασιλέα ἀξίως τῆς πόλεως, ἐπὶ δὲ τῆς διοικήσεως γενόμενον καλῶς τῶν δημοσίων προσόδων ἐπιμεληθῆναι. Περὶ δ' ἑαυτοῦ φησιν ὡς ἐκ παίδων ἀπαλλαγεὶς περίπολος τῆς Ἀττικῆς χώρας ἐγένετο δύο ἔτη, ἔφηβος ὢν (οὗτοι γὰρ μεθ' ὅπλων τὴν χώραν περιήρχοντο κατὰ πρόσταγμα νόμου), ἐστρατεύσατο δὲ πρώτην στρατείαν τὴν ἐν τοῖς μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετ' Ἀλκιβιάδου καὶ τῶν ξένων τὴν εἰς Φλιοῦντα πομπὴν, καὶ κινδύνου γενομένου περὶ τὴν καλουμένην Νεμεάδα χαράδραν ἀξιεπαίνως ἐμαχέσατο, καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους πάσας ἐξῆλθε, καὶ ἐν Μαντινείᾳ γενναίως ἐμαχέσατο, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις, εἶτ' ἐστεφανώθη μαχόμενος. Ἐτελεύτησε δ' Αἰσχίνης ἀναιρεθεὶς ὑπ' Ἀντιπάτρου καταλυθείσης τῆς πολιτείας, ὅτε καὶ οἱ περὶ Δημοσθένην ἐξεδόθησαν, βεβιωκὼς ἔτη οε'. Τριῶν δ' ὄντων λόγων τῶν ὑπ' αὐτοῦ γεγραμμένων καὶ τούτων δημοσίων (ὁ γὰρ Δηλιακὸς νόθος ἐστί), τὸν μὲν κατὰ Κτησιφῶντος εὑρίσκομεν τελευταῖον γεγραμμένον (ἐπὶ γὰρ τῶν Ἀλεξάνδρου χρόνων γέγραπται), τῶν δὲ λοιπῶν περὶ τοὺς αὐτοὺς ὄντων χρόνους πρότερός ἐστι τῇ τάξει ὁ κατὰ Τιμάρχου· ἐν γὰρ τῷ μετ' αὐτὸν, τῷ περὶ τῆς παραπρεσβείας, μέμνηται ὁ Αἰσχίνης τούτου τοῦ λόγου.

II. ΑΙΣΧΙΝΟΥ ΡΗΤΟΡΟΣ ΒΙΟΣ.

Αἰσχίνης υἱὸς μὲν ἦν Ἀτρομήτου τοῦ γραμματιστοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους τελούσης. Φασὶ δ' αὐτὸν παῖδα μὲν ὄντα ἐν τῷ διδασκαλείῳ τοῦ πατρὸς ὑπουργεῖν καὶ τῇ μητρὶ τὰς βίβλους ἀναγινώσκειν, ταύτην δὲ σκοτεινῶν ἐκ τόπων ὁρμωμένην καὶ ἐκφοβοῦσαν παῖδας καὶ γυναῖκας Ἔμπουσαν ὀνομασθῆναι, ἐπεὶ νυκτερινὸν φάντασμα ἡ Ἔμπουσα· γενόμενον δὲ μειράκιον ὑποκριθῆναι τραγῳδίαν ὥστε τριταγωνιστεῖν, ὄντα δὲ λαμπρόφωνον γραμματεῦσαι Ἀριστοφῶντι καὶ μετὰ τοῦτον Εὐβούλῳ, καὶ ἀναγινώσκοντα ψηφισμάτων ὁμοῦ καὶ νόμων ἔμπειρον γενόμενον ἐπιθέσθαι τῷ βήματι, καὶ τῶν κατ' αὐτὸν διενεγκεῖν ὄντα εὐφυᾶ. Μετὰ δὲ τὴν Φιλίππου τελευτὴν δόξαντα πολεμεῖν τῷ δήμῳ καὶ διαπέμπεσθαι τῷ Ἀντιπάτρῳ κατὰ τῆς πόλεως διά τοῦτό τε εἰληφέναι ἐν Θήβαις κτήματα, εὐθύνοντα Κτησιφῶντα, ὅτε ἔγραψε Δημοσθένην ἐν τῷ θεάτρῳ ἀναγορεῦσαι στεφανωθέντα, μὴ μεταλαβεῖν τὸ πέμπτον μέρος τῶν ψήφων, ἀτιμωθέντα δ' ἀπᾶραι εἰς τὴν Ἀσίαν καὶ ἐλθεῖν εἰς Ἔφεσον οἰηθέντα κατάξειν αὐτὸν εἰς Ἀθήνας Ἀλέξανδρον· πυθόμενον δὲ τετελευτηκέναι τὸν βασιλέα καὶ ταραχὴν εἶναι τῶν διαδεχομένων καταφυγεῖν εἰς Ῥόδον. Ἔνθα δεομένων Ῥοδίων τὴν τέχνην αὐτοὺς διδάξαι τὴν ῥητορικὴν ἀρνήσασθαι, εἰπόντα μηδ' αὐτὸν εἰδέναι. Δίχας γοῦν κελευόντων εἰπεῖν οὐδὲ τοῦτο ἐθελῆσαι, συμβαλόντα ὅτι ἐν τῇ πατρίδι ἡττηθεὶς κομιδῇ γ' ἂν ἐπὶ γῆς ἀλλοτρίας διαφθαρῆναι (διαφθαρείη?). Τέλος οὖν ἐπὶ τὴν τοῦ πατρὸς ἐλθεῖν

τέχνην καὶ διδάσκειν τοὺς παῖδας γράμματα. Δημοχάρης δ' ὁ ἀδελφιδοῦς Δημοσθένους, εἰ ἄρα πιστευτέον αὐτῷ λέγοντι περὶ Αἰσχίνου, φησὶν Ἰσχάνδρου τοῦ τραγῳδοποιοῦ τριταγωνιστὴν γενέσθαι τὸν Αἰσχίνην καὶ ὑποκρινόμενον Οἰνόμαον διώκοντα Πέλοπα αἰσχρῶς πεσεῖν καὶ ἀναστῆναι ὑπὸ Σαννίωνος τοῦ χοροδιδασκάλου (ἐνθένδ' οὖν ὁ Δημοσθένης [p. 288, 22] Οἰνόμαον αὐτὸν ὀνομάζει, πρὸς εἰδότας τὸ πρᾶγμα ἐπισκώπτων), καὶ μετὰ Σωκράτους καὶ Σιμύλου τῶν κακῶν ὑποκριτῶν ἀλᾶσθαι κατ' ἀγρούς· εἴη ἂν οὖν ἐνθένδ' ἀρουραῖος λεγόμενος. Ἦν δὲ τῶν δήμων Αἰσχίνης Κοθωκίδης.

III. [ΠΕΡΙ ΑΙΣΧΙΝΟΥ.]

Ὅτι ἠδυνήθη νικῆσαι τὴν κατηγορίαν, Εὐβούλου συνηγωνισαμένου κατὰ τοῦ Δημοσθένους ἐν τῷ ποιῆσαι τοὺς δικαστὰς ἀναστῆναι τοῦ Δημοσθένους λέγοντος, ὡς ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς. Συνέβη δὲ αὐτῷ ἐκπεσεῖν τῆς πατρίδος ὕστερον διὰ τὸ κατηγορῆσαι τοῦ ψηφίσματος τοῦ Κτησιφῶντος τοῦ ὑπὲρ τοῦ Δημοσθένους ὡς παρανόμου, καὶ ὁρίσαντος τὸ πρόστιμον ἐὰν μὴ δείξῃ αὐτὸ παράνομον καὶ ἡττηθέντος καὶ διὰ τὸ μὴ δύνασθαι καταβαλεῖν τὴν καταδίκην, ἣν αὐτὸς ὥρισε, φυγῇ χρησαμένου, ὡς καὶ τοῦτο ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. Φυγὼν δὲ τὴν πατρίδα καὶ θελήσας ἀνελθεῖν πρὸς Ἀλέξανδρον, μαθὼν περὶ τῆς αὐτοῦ τελευτῆς καὶ τῆς ταραχῆς τῶν τούτου διαδόχων εἰς Ῥόδον ἔπλευσε καὶ Ῥοδιακὸν διδασκαλεῖον συνέστησε, παιδεύων τε τοὺς νέους καὶ τοῖς τελειοτέροις ἀναγινώσκων τὸν λόγον τὸν κατὰ Κτησιφῶντος, ὃν εἶπε κατὰ τοῦ Δημοσθένους· καὶ θαυμαζόμενος σφόδρα παρ' αὐτῶν ἐπὶ τούτῳ καὶ ἐρωτώμενος παρ' αὐτῶν, πῶς οὖν ἐπὶ τοιούτῳ λόγῳ ἥττησαι; ἀπεκρίνατο, θαυμάζετε πῶς ἥττημαι, καθὸ οὐκ ἠκούσατε ὑμεῖς τοῦ θηρίου ἐκείνου. Θηρίον γὰρ αὐτὸν ἐκάλει διὰ τὸ δεινὸν τῶν τρόπων καὶ ἀνελεῆμον. Λέγεται δὲ ὅτι καὶ τὰς λεγομένας μελέτας καὶ τὰ πλάσματα τῶν ζητημάτων αὐτὸς πρῶτος ἐκεῖσε εὗρεν ἐν τῷ σχολάζειν. Ὅτι μαθητὴς ἐγένετο, ὡς μὲν Δημήτριος ὁ Φαληρεύς φησι, Σωκράτους τοῦ φιλοσόφου, εἶθ' ὕστερον τοῦ Πλάτωνος· ὡς δὲ Καικίλιος καὶ Ἰδομενεὺς καὶ Ἕρμιππος ἱστοροῦσιν, οὐκ ἤκουσε τούτων τῶν ἀνδρῶν μαθήσεως χάριν. Φασὶ γὰρ ὡς οὐδὲν τοῦ χαρακτῆρος τοῦ Πλατωνικοῦ σώζει, οὔτε τὸ ἀκριβὲς καὶ καθαρὸν [οὔτε τὸ] ἀπέριττον καὶ εὔρυθμον, ἀλλὰ κεχηνυῖά πώς ἐστιν αὐτοῦ ἡ ἰδέα τοῦ λόγου καὶ ἄτεχνος μὲν καὶ προπετὴς καὶ εὐχερῶς ἐπὶ τὸ λοιδορεῖν αἰσχρῶς καὶ ἀπρεπῶς ῥήτορι ἐξαγομένη, ἔχουσα δέ τι καὶ εὐφυὲς καὶ εὐάγωγον καὶ οἷον ἂν γένοιτό τινι ἐκ φύσεως καὶ μελέτης ἀφανοῦς. BFL.

ΣΧΟΛΙΑ ΕΙΣ ΑΙΣΧΙΝΗΝ.

I. ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ.

§ 1. Οὔτε γραφὴν — οὔτε εὐθύνας] Γραφὴ καὶ δίκη καὶ εὔθυναι διαφέρουσιν ἀλλήλων. Δίκη μὲν γὰρ ἰδιωτικὸν πρᾶγμά ἐστι, γραφὴ δὲ δημόσιον. Καὶ ἡ μὲν ὀλίγοις (Καὶ τῇ μὲν δίκῃ τοῖς?) νόμοις ὥρισται ἡ καταδίκη, τῇ δὲ γραφῇ τιμᾶται τὸ δικαστήριον ὁπόσον τι βούλοιτο. Δηλοῖ δὲ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου τὴν διαφοράν. Ἤδη μέντοι συγχέουσιν ὥστε ἐπιμίσγειν. Εὔθυναι δ' εἰσὶν αἱ κατὰ τῶν ἀρξάντων ἢ δημόσιόν τι διοικησάντων ἀποτιθέμεναι γραφαί. Ἦσαν δ' ἐπὶ τούτων ᾑρημένοι λογισταὶ δέκα τὸν ἀριθμόν. Ἐνίοτε μέντοι καὶ εἰσαγγελίαι κατὰ τῶν εὐθυνομένων ἀπετίθεντο. Ἐκ τούτου δὲ δῆλον ὅτι πρῶτον ἔγραψε τὸν κατὰ Τιμάρχου λόγον. M (*).

Διαφέρει γραφὴ εὐθύνης, καθὸ ἡ μὲν γραφὴ περὶ μόνων ἐστὶν ἐγγράφων, ὅταν τις κατηγορῆται ἢ παράνομον γράψας νόμον ἢ ψήφισμα ἤ τι τοιοῦτον, ἡ δὲ εὔθυνα ἀπολογία ἐστὶν ὑπὲρ ὧν κατεπιστεύθη παρὰ τῆς πόλεως, οἷον πρεσβείαν, στρατηγίαν καὶ τὰ τοιαῦτα. M.

Ἐπιεικείας συστατικὸν τὸ « οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας. » Γραφὴ μὲν δημόσιον πρᾶγμα, δίκη δὲ ἰδιωτικόν, εὐθύνη δὲ ὅταν πρεσβευτὴν ἢ ἄρχοντά τις κρίνῃ. Τὸ προοίμιον κατ' ἐπιείκειαν ἀπολογίας, ἐκ προτάσεως, ἐκ κατασκευῆς, ἐξ ἀποδόσεως, ἥτις ἐστὶν ἀξίωσις, καὶ ἐκ βάσεως. Q.

Γραψάμενος] ἢ κατηγορίαν ἀποθέσθαι. Q.

Τὸ γὰρ ἀπενεγκεῖν, ἐπαναγαγεῖν, ἐπαγγεῖλαι, γράψασθαι, ἐγγράψασθαι, ἀποθέσθαι γραφήν, κοινῇ ταῦτα φαίης ἂν ἐγκλήματα καί, ὡς Πλάτων ἐπικλήματα, καὶ ἐγκαλεῖν καὶ ἐπικαλεῖν. Καὶ κατηγορία δ' ἂν εἴη τὸ αὐτὸ τοῦτο καὶ αἰτία, ὡς Αἰσχίνης, καί, ὡς Πλάτων αἰτιάσεις καὶ διώξεις. Q.

Ὃν δὲ τρόπον] ὃν τρόπον οὗτος καταισχύνει τὴν πόλιν, οὐχ ὃν τρόπον συκοφαντεῖ αὐτόν. Πάρεστι γὰρ κατηγορήσων, οὐκ ἀπολογησόμενος. MQ.

2. Τῇ τε πόλει — ἐμαυτῷ] Δείνωσιν ἔχει πολλὴν καὶ αὔξησιν κατηγορίας ὁ ἐπιμερισμὸς τῶν πραγμάτων. MQ.

Οἷς — ἀναγιγνώσκοντος] ἀνάγκη προανεγνῶσθαι ἐφ' οἷς πάρεστι κατηγορῆσαι λόγου χάριν. M.

Ἐπήγγειλα] Ἑταιρήσεως ἦν γραφὴ καὶ δοκιμασία καὶ ἐπαγγελία. Καὶ ταῦτα τῆς κατὰ ἡταιρηκότων κατηγορίας τὰ ὀνόματα. Q.

Προσεκαλεσάμην εἰς τὸ δοκιμασθῆναι, ἐδήλωσα ὅτι ἐπὶ τοῦτο καλῶ. Αἰσχίνης δὲ ἐπήγγειλε δοκιμασίαν Τιμάρχῳ, ὅτι παρὰ τοὺς νόμους ἑταιρήσας δημηγορεῖ. Δοκιμασία δέ ἐστι κυρίως ἐξέτασις περὶ ἀρχῆς. M.

3. Τοῦ μὲν οὖν] Δεύτερον προοίμιον. Q.

(*) Sigla codicum : *F* codex Parisinus Coislinianus 249. — *L* cod. Parisinus 2996. — *M* cod. Parisinus 3003. — *Q* codex Meadianus. — *B* scholia Bernardina.

Δημηγορεῖν] ἤγουν ἐν βουλῇ καὶ ἐν δικαστηρίῳ. Q. Μὴ λέγειν ἐν βουλῇ, μηδ' ἐν δικαστηρίῳ, μηδ' ἐκκλησίᾳ. M.

Οὐ χαλεπὸν—ῥᾴδιον] Παραλογίζεται ἐνταῦθα λέγων τὸ σιωπᾶν ῥᾴδιον ἐπὶ ῥήτορι ὄντι Τιμάρχῳ. M.

Μὴ συκοφαντεῖν] Φασὶν ὅτι διήχθρευσεν Αἰσχίνῃ ὁ Τίμαρχος, ἐπεὶ ἐδόκει ὁ Αἰσχίνης τὰ Φιλίππου φρονεῖν. Καὶ γὰρ εἶχεν ἀγρὸν ὁ Αἰσχίνης ἐν Πύδνῃ τῆς Μακεδονίας. Οἱ δὲ διὰ τὴν γραφὴν τὴν τῆς παραπρεσβείας, ἣν ἀπέθετο μετὰ Δημοσθένους κατ' αὐτοῦ, ὃ καὶ μᾶλλον. M.

Ἐλπίζω] ἀντὶ τοῦ νομίζω. F.

4. Τυραννίς] Οὐκ ὀρθῶς ὁ Αἰσχίνης τὴν τυραννίδα πολιτείαν ἐκάλεσεν. Ἡ μὲν γὰρ πολιτεία ἐκ νόμων συνέστηκεν, ἐν δὲ τυραννίδι οὐκ εἰσὶ νόμοι, ἀλλὰ παρανομίαι. Καὶ ἐκ τούτων δὲ δῆλον ὡς οὐ διήκουσε Πλάτωνος. Οὗτος μὲν γάρ φησι τρεῖς εἶναι πολιτείας, Πλάτων δὲ καὶ δύο καὶ πέντε καὶ ἑπτά. MQ.

5. Τῶν τυράννων] Σημείωσαι παρὰ τοῖς παλαιοῖς τυραννίδα τὴν βασιλείαν καλουμένην. M.

Ἐν χειρῶν νόμῳ] Οὕτω λέγουσι τὸ διὰ μάχης, ἐν χειρῶν νόμῳ. Καὶ φαμέν, ὁ δεῖνα ἔχων διαμάχην ἐν χειρῶν νόμῳ ἐτελεύτα, οἷον ἐν αὐτῇ τῇ μάχῃ. MQ.

6. Προσήκειν—νομίζω] Ἐπειδὴ πρεσβύτερος ὢν ὁ Τίμαρχος κρίνεται, φοβεῖται τοῦτο ὁ Αἰσχίνης. Καί φησιν ὅτι οὐ δεῖ ζητεῖν νῦν ἥπερ ἔχουσιν οἱ νόμοι [οἱ] κελεύοντες αὐτὸν ἄτιμον εἶναι, ἀλλὰ δεῖ πάντας τὰ ἐκ τῶν νόμων πράττειν. MQ.

Ὁ Σόλων] Δράκοντος νεώτερός ἐστι κατὰ τὴν νομοθεσίαν ὁ Σόλων ἔτεσιν ρ' (ἑπτὰ cod. M.)· ὁ δὲ Δράκων ἔγραψε τοὺς φονικοὺς νόμους. MQ.

Οἱ νομοθέται] Τοὺς μετὰ Σόλωνα λέγει, οὐχ ὡς αὐτοὶ ἐνομοθέτησαν, ἀλλ' ὅτι μὴ ἔλυσαν. Τῷ γὰρ μὴ λῦσαι δηλοῦσι συντιθέμενοι. MQ.

7. Μειρακίων] Παῖδας τοὺς ἀνήβους, μείρακας τοὺς ἀρξαμένους ἡβᾶν, ἕως ἂν ἐκ τῶν ἐφήβων ἐξελθόντες ἐγγραφῶσιν εἰς ἄνδρας. MQ.

8. Βούλομαι δὴ] Ἐντεῦθεν ἡ κατάστασις ἀναμεμιγμένη τοῖς ἀγῶσι. FMQ. Τοῦτο δὲ κατ' ἐπαγγελίαν τὸ σχῆμα. Ἔστι δὲ ἡ κατάστασις ἀναμεμιγμένη τοῖς ἀγῶσιν, ἐπεὶ ἠπόρει μαρτύρων ἐνταῦθα, καὶ ὅπως λάθοι τοὺς δικαστάς. MQ.

Εὐμαθεῖς] Εὐμαθὴς λόγος λέγεται ὁ εὔγνωστος καὶ εὐκόλως καταλαμβανόμενος, ὡς ἐνταῦθα καὶ παρὰ Σοφοκλεῖ (Aj. 15.)·

> ὡς εὐμαθές μοι, κἂν ἄγνωστος ᾖς ὅμως,
> φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενί. M.

10. Σκότος] Αἰδὼς γὰρ ἐν ὀφθαλμοῖς, καὶ νὺξ ἀναίσχυντος. B.

Εἰσφοιτῶντας—περὶ τῆς συμφοιτήσεως] Ἐκεῖ μὲν τίνας δεῖ φοιτᾶν, νῦν δὲ πῶς μετ' ἀλλήλων εὑρίσκεσθαι. Ἐν τοῖς χοροῖς δὲ τοῖς κυκλίοις μέσος ἵστατο αὐλητής. M.

Ἀρχὴν] Οἱ καλούμενοι παιδονόμοι. M.

Μουσείων] Κατὰ κοινοῦ τὸ « παρακελεύεται ὁ νομοθέτης. » Θέλει δὲ εἰπεῖν ὅτι ἀγαλμάτια ἦν, ὥσπερ καὶ ναϊσκάρια, ἐν τῷ ἐνδοτέρῳ οἴκῳ τῶν διδασκαλείων καὶ τῶν παλαιστρῶν, Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἡρακλέους. Ἐκεῖ δὲ ἔσω ἀπέκειτο ὕδωρ, ἵνα μή τις διψήσῃ τῶν παίδων. Προσποιούμενοι δὲ διψῆν εἰσήρχοντο καὶ ἐκεῖ ἔσω ἠχρειοῦντο μετ' ἀλλήλων. Ἐκέλευσεν οὖν ὁ νομοθέτης καὶ περὶ τούτου εἶναι ἐπιμέλειάν τινα. FMQ.

Ἑρμαίων] Ἑορτὴ τοῦ Ἑρμοῦ ὡς ἐφόρου ὄντος τῶν ἀγώνων. MQ.

Τῶν χορῶν τῶν ἐγκυκλίων] Ἐξ ἔθους Ἀθηναῖοι κατὰ φυλὰς ἵστασαν ν' παίδων χορὸν ἢ ἀνδρῶν, ὥστε γενέσθαι δέκα χορούς, ἐπειδὴ καὶ δέκα φυλαί. Διαγωνίζονται δ' ἀλλήλοις διθυράμβῳ, φυλάττοντος τοῦ χορηγοῦντος ἑκάστῳ χορῷ τὰ ἐπιτήδεια. Ὁ δ' οὖν νικήσας χορὸς τρίποδα λαμβάνει, ὃν ἀνατίθησι τῷ Διονύσῳ. Λέγονται δ' οἱ διθύραμβοι χοροὶ κύκλιοι καὶ χορὸς κύκλιος. MQ.

11. Τετταράκοντα ἔτη] Καὶ πῶς ὁ Δημοσθένης τριάκοντα ἔτη ἔχων ἐγένετο χορηγός; ἀπορίᾳ δηλονότι χορηγοῦ. MQ.

13. Ἐκ γὰρ τοῦ] Ἀποδείξεις τοῦ γίνεσθαι ἐν τῇ πόλει. M.

Κατ' αὐτοῦ] Οἱ μὲν ἐπάνω διορισμοὶ τοῦ νόμου ῥητά εἰσιν. Εἶτα τὸ λοιπὸν τοῦ νόμου ἐάσας ἀφ' ἑαυτοῦ φησι, κατ' αὐτοῦ μὲν καὶ τὰ ἑξῆς. MQ.

Ἐπάναγκες] Ἐξῆν γὰρ αὐτῷ, εἰ ἐβούλετο, τρέφειν τὸν πατέρα, μὴ βουλόμενον δὲ οὐκ ἠνάγκαζεν ὁ δῆμος. MQ.

Ἡβήσαντι] ἀντὶ τοῦ τελειωθέντι, εἰς ἄνδρας ἐγγραφέντι. MQ.

Καὶ τἄλλα—νομιζόμενα] σπένδειν, ἀπάρχεσθαι, τὰς ἡμέρας ἐπιτελεῖν. MQ.

14. Ὄνησιν] ἤγουν τὸ εὖ πάσχειν παρὰ τῶν παίδων. Q.

Τοῦ παιδὸς] πῶς λέγει, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὴν εἶναι, ἐνταῦθα δὲ ὅτι ἀφαιρεῖ αὐτοῦ τὴν παρρησίαν; ἀνάγκη γάρ, εἰ τολμῴη λέγειν, γράφεσθαι καὶ εὑρίσκεσθαι φύσει ἀντινομίαν· ὅπερ οὐχ οἷόν τε. Φαμὲν οὖν ὅτι ἡσυχάζοντα αὐτὸν οὐ γράφεται, ὥσπερ ἐπὶ τῶν ἑκουσίως ἡταιρηκότων, ἀλλὰ λέγειν βιαζόμενον. Εἰ γὰρ θέλει λέγειν, κωλύει ὁ νόμος. M.

15. Τίμημα ἐπέθηκεν] Τῇ τῆς ὕβρεως γραφῇ ὁ νόμος ἐπέθηκε τίμημα οὐχ ὡρισμένον τι, ἀλλ' ὅ τι ἂν τὸ δικαστήριον ἢ εἰς χρήματα ἢ εἰς τὴν ἄλλην ἐπιτιμίαν καταδικάσῃ. M.

16. Οἱ θεσμοθέται ἄλλα μὲν ποιοῦσι κοινῇ, ἰδίᾳ δέ, πότε δεῖ δικάζειν τὰ δικαστήρια καὶ τὰς εἰσαγγελίας εἰσάγειν εἰς τὸν δῆμον, καὶ τὰς χειροτονίας καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ ἕτερα. Q.

18. Ἐγγραφῇ—γραμματεῖον] ὡσανεὶ ἔλεγεν· ὅταν γένωνται τῆς ἐννόμου ἡλικίας. Ἐνεγράφοντο δὲ ἀπὸ ἐτῶν ιη', καὶ δύο ἔτη εἰς τοὺς ἐφήβους ἐτέλουν καὶ ἐφύλαττον περὶ τὴν πόλιν φρούρια, ἀπὸ εἴκοσι δὲ ἐτῶν ἐπολέμουν. Ἐκλήθη δὲ ληξιαρχικὸν ἀπὸ τῆς λήξεως, ὅ ἐστι τῆς οὐσίας, καὶ τοῦ κλήρου, καθώσπερ ἐξουσίαν λοιπὸν ἐλάμβανε αὐτὸς ὁ ἐγγραφεὶς τῶν πατρῴων, εἰ ἦν ὑπὸ ἐπιτρόπους. FM. Ἢ ἀπὸ τοῦ τοὺς ἐν αὐτῷ γραφομένους ἄρχειν τῆς λήξεως, ὅπερ ἐστὶ τοῦ κλήρου. Ἐγράφοντο δὲ ἐνταῦθα οἱ τέλειοι γινόμενοι καὶ δυνάμενοι τὰ κοινὰ διοικεῖν. Ἄλλως. Εἰς ὃ ἀνεγράφοντο οἱ τῆς νομίμου πολιτείας καὶ ἡλικίας γενόμενοι, οἷς ἐξῆν οἰκονομεῖν τὰ πατρῷα. Καὶ ἦν τὰ γραμματεῖα ταῦτα παρὰ τοῖς δημόταις, ἔνθα ἀνεγράφοντο οἱ ἐκ παίδων γενόμενοι μειρακίσκοι, ἴσως ὅτι ἔξεστι τούτοις λαγχάνειν τινὰς ἀρχὰς ὡς ἤδη νοοῦσιν. M.

Καὶ τοὺς νόμους εἰδῇ τοὺς τῆς πόλεως] περισπωμένως ἀναγνωστέον ἀντὶ τοῦ γνῷ καὶ μάθῃ. F.

Αὐτῷ Τιμάρχῳ] ὡσανεὶ ἔλεγεν, ἀλλ' ἤδη αὐτῷ τῷ ἡταιρηκότι, ὄνομα τῆς ἀσελγείας ποιούμενος Τίμαρχον. FMQ. Τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρ' ὑπόνοιαν. MQ.

19. Στεφανηφόρος] Ἀρχὴ αὕτη ἐν Ἀθήναις σεμνὴ καὶ στεφανηφοροῦσα· καὶ ἡ ἀρχὴ στεφανηφόρος. Οἱ γὰρ ἐννέα ἄρχοντες στέφανον ἐφόρουν μυρρίνης. Ἦσαν δὲ ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἕξ. Οὗτοι δὲ οἱ ἐννέα ἄρχοντες μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς ἀρχῆς Ἀρεοπαγῖται γίνονται. MQ.

Ἱερώσασθαι] Οὐ παντὶ τῷ βουλομένῳ ἐξῆν ἱερᾶσθαι, ἀλλὰ τῷ ἐκ γένους καταγομένῳ ἱερατικοῦ. Οὕτω δὲ καὶ τὸ « μηδὲ κηρυκευσάτω. » MQ.

Συνδικησάτω] ἀντὶ τοῦ μὴ γενέσθω ἐκ τοῦ μεγάλου δικαστηρίου, τῆς ἡλιαίας, ὅτε ὁ δῆμος δικάζει. MQ.

20. Κηρυκευσάτω] Ἄξιον ἀπορεῖν. Τὸ γὰρ τῶν Κηρύκων γένος πρόσθεν ἦν ἱερόν. Καὶ οὕτω λέγονται κήρυκες περὶ τὰ μυστήρια τὰ τῶν θεῶν ὄντες. Δεῖ δὲ λέγειν ὅτι τῷ ἐκ τοῦ γένους ἀπαγορεύει κηρυκεύειν, ἄν τι πάθῃ. Ἄλλως. Κηρύκων ἐστὶν ἐν Ἀθήναις γένη τέσσαρα, πρῶτον [τὸ] τῶν πανάγνων, οἵ εἰσιν ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ καὶ Πανδρόσου τῆς Κέκροπος, δεύτερον τὸ τῶν περὶ τοὺς ἀγῶνας, τρίτον τὸ τῶν περὶ τὰς πομπάς, τέταρτον τὸ τῶν περὶ τὰς ἀγορὰς καὶ τὰ ὤνια. Μὴ κηρυκευσάτω οὖν, μὴ ἐπὶ κηρυκείαν ἀποστελλέσθω. Νῦν οὐ περὶ τῶν κατὰ γένος Κηρύκων λέγει, ἀλλ' ἐπὶ τῶν κατὰ πόλεμον πεμπομένων πρὸς τοὺς πολεμίους μετὰ κηρυκείων περὶ σπονδῶν καὶ εἰρήνης. Ἐπέμποντο δὲ ἐκ πάντων Ἀθηναίων. Μηδ' ἐπὶ τοιαύτην οὖν, φησί, διακονίαν πεμπέσθω ὁ ἡταιρηκώς. MQ.

Πρεσβεύσαντας κρινέτω] ἐπειδὴ ἀπέθετο μετὰ Δημοσθένους Τίμαρχος τὴν κατ' Αἰσχίνου παραπρεσβείας γραφήν. MQ.

Ὁ μισθωθεὶς συκοφαντείτω] Τοῦτο ἔξωθεν αὐτὸς πρὸς τὸν Τίμαρχον, ἤτοι ὡς αὐτὸς πρεσβεύσας καὶ συκοφαντηθείς, ἢ ὡς ἑτέρου τοῦτο παθόντος ὑπὸ Τιμάρχου. Ἄλλως. Ἆρα οὖν τοῖς μὴ ἡταιρηκόσιν ὁ νόμος συκοφαντεῖν λέγει; οὔκ, ἀλλὰ τοῦτο λαμβάνει ἐκ τοῦ μείζονος ἀτόπου. Εἰ γὰρ νόμιμόν σε οὐκ ἐᾷ πράττειν, πολλῷ μᾶλλον παράνομον. M.

Γραφὰς ἑταιρήσεως πεποίηκεν] αὐτὸς ὁ νομοθέτης δῆλον ὅτι. F.

23. Τὸ καθάρσιον] Ἐπεὶ ἔθος ἦν τοιοῦτο. Εἰσήρχετό τις ὁ λεγόμενος περιστίαρχος ὁ περικαθαίρων τὴν ἐκκλησίαν διὰ χοίρου ἐπεσφαγμένου καὶ ἄλλων τινῶν, καὶ τὰ καθάρσια λαβὼν ἔρριπτεν εἰς τὴν θάλασσαν. Ὃ καὶ ὁ ποιητὴς εἶπεν (Il. 1, 314):

οἱ δ' ἀπελυμήναντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

Εἶτα εἰσήρχετο ὁ κῆρυξ, ὃς θυμιατεύσας πρότερον καὶ αὐτὸς τὴν ἐκκλησίαν ὕστερον ἐβόα· « Τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων Ἀθηναίων; » Εἶτα

εἰ μέν τις ἐβούλετο τούτων λέγειν, ἀνίστατο· εἰ δὲ ἐπὶ πολὺ βοῶντος οὐδεὶς ὑπήκουσε, δευτέρᾳ φωνῇ ἐβόα· « Τίς ἀγορεύειν βούλεται τῶν πάντων Ἀθηναίων; » Ἐχέχρητο δὲ ὁ περιστίαρχος χοίρῳ καὶ τοῖς τοιούτοις ἀκαθάρτοις, διὰ τούτων τοὺς ἀκαθάρτους δαίμονας καὶ τὰ πνεύματα τὰ πολλάκις ἐνοχλοῦντα ταῖς διανοίαις τῶν ἀνθρώπων, ὥστε πολλάκις ἄλλως βουλεύεσθαι, ἕλκων πρὸς τὰ θύματα καὶ ὥσπερ ἀποχωρίζων τῆς ἐκκλησίας, ἵνα καθαρῶς βουλεύσωνται. Ὁ δὲ κῆρυξ διὰ θυμιαμάτων ἐπικαλῶν τὰ θεῖα [εἷλκε] τοῖς ὁμοίοις τὰ ὅμοια, ἵνα διὰ τῆς τούτων παρουσίας ἀγαθόν τι ἔχωσιν οἱ Ἀθηναῖοι βουλεύεσθαι. B

Καθάρσιον] οἷον χοῖρον ἐσφαγμένον δι' οὗ ἐκάθηραν τὴν ἐκκλησίαν. F. Ὁ λεγόμενος περιστίαρχος ἱερεῖον λαβὼν τούτῳ καθαίρει τὴν ἐκκλησίαν. Τοῦτο λέγεται κάθαρμα καὶ καθάρσιον. Ἀριστοφάνης Ἀχαρνεῦσι (44)·

Πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

Ἔθος δὲ ἦν καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα μικροῖς χοιριδίοις, ἃ καθάρσια ἐκάλουν. Καὶ προσηγορεύοντο οἱ περικαθαίροντες περιστίαρχοι. Τὸ δὲ καθάρσιον ἦν χοῖρος ἐσφαγμένος, δι' οὗ ἐκάθηραν τὴν ἐκκλησίαν. MQ.

Προέδρους] Πρόεδροί εἰσιν οἱ ἐν τῇ ἐκκλησίᾳ προκαθήμενοι. MQ.

Ἱερῶν—κηρύκων] Ὅτι τὰ ἱερὰ πρῶτον εἰσεκάλουν. Οὐκοῦν πρῶτον περὶ ἱερῶν καὶ περὶ κηρύκων· καὶ γὰρ οὗτοι ἱεροί· εἶτα πρέσβεων καὶ τῶν ἄλλων ὁσίων· ὅσια δέ ἐστι τὰ μὴ ἱερά. Ὥστε πρῶτον τὰ ἱερὰ, δεύτερον δημόσια, τρίτον ἰδιωτικά. MQ.

Ὁσίων] Ὅσια καλεῖ τὰ δημόσια. F.

Πάντες] Οὐχ ὅτι πάντες ἔλεγον, ἀλλ' οἱ βουλόμενοι. MQ.

24. Τόλμα] Τόλμα φησὶ τὸ θρασέως τι ἢ τολμηρῶς ποιεῖν. FMQ. Ἐπειδὴ δὲ οἱ πρεσβύτεροι ὡς ἔμπειροι πραγμάτων εὐλαβοῦντο συμβουλεύειν, μὴ ἀποτυχίας γενομένης κριθῶσι, διὰ τοῦτο αὐτὸς ὁ νόμος καλεῖ, ἵνα ἐξ ἀνάγκης ἀναστάντες δημηγορήσωσιν. Ἀλλὰ καὶ τοὺς ἄλλους καλεῖ, φησίν. Ἐκείνους μὲν οὖν ἀορίστως, τούτους δὲ ὡρισμένως. MQ.

Τοὺς νεωτέρους] Εἰ γὰρ ἡ πόλις αὐτοὺς τιμῶσα πρώτους καλεῖ, καὶ οἱ νέοι αὐτοὺς τιμήσουσιν. MQ.

Ἐὰν διαγενώμεθα] ἐὰν διασωθῶμεν μέχρι γήρως, ἐὰν ἀφικώμεθα εἰς τὸ γῆρας. M.

25. Τὴν ἀνόμοιον] κατὰ τὸ γένος τῆς κακίας καὶ τῆς ἀρετῆς, οὐ γὰρ δήπου τῆς δικαιοσύνης καὶ τῆς ἑταιρήσεως. MQ.

Ὅτι πάντες] Τὸ πάντες νῦν ἐπὶ τοῦ οἱ πολλοί. MQ.

Σόλωνος εἰκόνα] Ἀνετέθη ἡ Σόλωνος εἰκὼν οὐχ ἐπὶ τῷ ἐν κόσμῳ λέγειν, ὥς φησιν Αἰσχίνης, ἀλλ' ἐπειδὴ οὕτω τὰ ἐλεγεῖα ἀπήγγειλε. Δημοσθένης μέντοι (or. 19, § 251, p. 420) νεωστί φησι πρὸ πεντήκοντα ἐτῶν ἀνατεθεῖσθαι ταύτην τὴν εἰκόνα. Λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι. BMQ.

27. Οὐκ ἀπελαύνει] Ταῦτα προσαγωγά ἐστι πρὸς τοὺς δικαστὰς ἰδιώτας ὄντας. MQ.

Τέχνην] Τοῖς Ἀθηναίοις ἐνομίζετο τέχνην τινὰ ἐπιτηδεύειν. Οὐχ οὕτως τοῖς Λακεδαιμονίοις· τούτοις γὰρ αἰσχρὸν ἦν καὶ δουλοπρεπές. B.

Πολλάκις ἐπερωτᾷ] διὰ τοῦ καλεῖν τὴν ἐξουσίαν δηλῶν. MQ.

29. Τὰ ὅπλα μὴ τίθεσαι] Τὸ τίθεσθαι λέγεται καὶ ἐπὶ τοῦ ἀποτίθεσθαι τὰ ὅπλα καὶ ἐπὶ τοῦ περιτίθεσθαι καὶ ἐνδύεσθαι, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις ἐν τῇ β' (c. 2). Ἐνταῦθα δὲ ἐπὶ τοῦ περιτίθεσθαι λέγει. FMQ.

Εἴ πεπορνευμένος] ἐστὶν ὁ πολλάκις ἁμαρτὼν εἰς τὸ ἑαυτοῦ σῶμα, ἡταιρηκὼς δὲ ὁ προσάπαξ. MQ.

30. Οἰκήσαντα] ἀντὶ τοῦ διοικήσαντα. Καὶ παρ' Ἰσοκράτει (or. 2 § 19) « οἴκει τὸν πατρῷον οἶκον » ἀντὶ τοῦ διοίκει. BFMQ.

31. Καταγελάστως] ἀσελγῶς. B.

32. Ἐπαγγειλάτω] πάλιν περιφραστικῶς λέγει, τὴν ἐπαγγελίαν κατηγορείτω. Ἐπαγγελία δέ ἐστιν ὄνομα δίκης κατὰ τῶν ἡταιρηκότων. BFM.

33. Ὑμεῖς νόμον] Ἡ σύνταξις· ὑμεῖς δὲ προσθέσθε καινὸν νόμον, καθ' ἑκάστην ἐκκλησίαν ἀποκληροῦν. Τὰ δὲ ἄλλα διὰ μέσου. MQ.

Προσθέσθε] ἤγουν προσενομοθετήσατε. FMQ.

Μετὰ—παγκράτιον] Ψεύδεται· οὐ γὰρ διὰ Τίμαρχον. Παλαιότερος γὰρ ἦν. MQ.

34. Ἀνεκτοί] οὓς δύναταί τις φέρειν καὶ ἀνέχεσθαι. Τιμωρουμένους γὰρ αὐτοὺς καὶ μηκέτι ἐνοχλοῦντας τῷ βήματι δυνάμεθα φέρειν. MQ.

Γεγραμμένοι εἰσίν] τοῦτ' ἔστιν ἐγράψαντο. M.

37. Ὥσπερ ὑπεθέμην] Οὕτω γὰρ ἐπηγγείλατο, πρῶτον περὶ τῶν νόμων ἐρεῖν, εἶτα ἐξετάσαι τοὺς τρόπους τοῦ Τιμάρχου. MQ.

Δέομαι δὲ ὑμῶν] Τὸ σχῆμα προδιόρθωσις. Εἰώθασι δὲ χρῆσθαι αὐτῷ, ὅταν μέλλωσιν ἀναγγέλλειν τι, πρὸς ὃ δυσκόλως διάκεινται οἱ ἀκούοντες. Τὸ δ' αὐτὸ καὶ μετὰ τὰ πράγματα λεχθὲν ἐπιδιόρθωσις καλεῖται. Πληρώσας τὸ νόμιμον ζήτημα, τῷ τῆς παραγραφῆς εἰσβάλλει εἰς τὸ στοχαστικὸν, εἰ ἡταίρησεν. MQ.

Εἰπεῖν ὡς αὐτὸς βούλεται] ἀντὶ τοῦ σωφρόνως. F.

39. Τῶν τριάκοντα] Οἱ λ' τύραννοι διὰ Λακεδαιμονίων κατασταθέντες καὶ τὴν πάτριον πολιτείαν τῶν Ἀθηναίων καταλύσαντες ἐλυμήναντο τοὺς Δράκοντος καὶ Σόλωνος νόμους. Ἀπολαβὼν οὖν ὁ δῆμος τὴν ἐλευθερίαν εἵλετο πολίτας κ' τοὺς ζητήσοντας καὶ ἀναγράψοντας τοὺς διεφθαρμένους τῶν νόμων. Καὶ ἐψηφίσαντο καινοὺς νόμους εἰσφέρειν ἀντὶ τῶν ἀπολωλότων ἐπ' ἄρχοντος Εὐκλείδου, ὃς πρῶτος ἦρξε μετὰ τοὺς τριάκοντα. Πολλὰ μέντοι καὶ δεινὰ ἔπραξαν οἱ λ'. Τόν τε γὰρ δῆμον ἐξέβαλον καὶ τῶν ἐπιφανῶν τοὺς μὲν ἐβασάνισαν, τοὺς δὲ ἐφυγάδευσαν ἀφελόμενοι τὴν οὐσίαν αὐτῶν, τοὺς δὲ ἀπέκτειναν ἀκρίτους, ὡς μὲν ἔνιοί φασιν, φ' καὶ ͵α (μ' codd.), ὡς δὲ Λυσίας ἐν τῷ κατὰ ..... δοκιμασίας ἐπιλόγῳ, δισχιλίους φ'. Γεγόνασι μέντοι πλείους αἱρέσει τῶν πεντήκοντα. Οἵ τε γὰρ ἐν ἄστει δικασταὶ τριάκοντα ἦσαν καὶ ἐκ τῶν πλουσίων τριάκοντα ᾑρέθησαν ὀβολοστάται, ὅ ἐστι δανεισταὶ ἐπὶ ὀβολῷ τὴν μνᾶν δανείζοντες. Δεῖγμα δὲ τῆς τῶν λ' πολιτείας καὶ τόδε ἐστίν. Κριτίου γὰρ ἑνὸς τῶν λ' ἀποθανόντος ἐπέστησαν τῷ μνήματι Ὀλιγαρχίαν δᾷδα κατέχουσαν καὶ ὑφάπτουσαν Δημοκρατίαν καὶ ἐπέγραψαν τάδε·

Μνῆμα τόδ' ἐστ' ἀνδρῶν ἀγαθῶν, οἳ τὸν κατάρατον
Δῆμον Ἀθηναίων ὀλίγον χρόνον ὕβριος ἔσχον.

Οὕτω μέντοι ἐμίσησεν ὁ δῆμος τοὺς λ' ὥστε καὶ πρὸς τὴν ὀνομασίαν τοῦ ἀριθμοῦ δυσχεραίνειν. Ἄρξαντος οὖν Εὐκλείδου μετὰ τὴν τῶν λ' κατάλυσιν τὰ πρὸς αὐτῶν πραχθέντα ἄκυρα εἶναι ἐψηφίσαντο οἱ Ἀθηναῖοι. — Οἱ λ' τύραννοι μετὰ τὸν Πελοποννησιακὸν γενόμενοι πόλεμον

Ἀθήνησιν ἐπειδὴ καθῃρέθησαν, Θρασυβούλου τοῦ ἀπὸ Φυλῆς ἀγωνισαμένου, ψήφισμα ἐτέθη ἀμνησικακεῖν τῶν ὑπαρξάντων ἐπ' αὐτῶν. Ὥσπερ οὖν τὰ ἐπὶ τούτων ἀνεξέταστα ἐγένετο, οὕτω καὶ τὰ ἐν παιδὶ πραχθέντα Τιμάρχῳ παρίημι, φησίν. M et partim BQ.

Πρὸ Εὐκλείδου] Εὔμηλος ὁ Περιπατητικὸς ἐν τῷ τρίτῳ περὶ τῆς ἀρχαίας κωμῳδίας φησὶ Νικομένη τινὰ ψήφισμα θέσθαι μηδένα τῶν μετ' Εὐκλείδην ἄρχοντα μετέχειν τῆς πόλεως, ἂν μὴ ἄμφω τοὺς γονέας ἀστοὺς ἐπιδείξηται, τοὺς δὲ πρὸ Εὐκλείδου ἀνεξετάστως ἀφεῖσθαι. M.

Ἢ εἴ τις ἄλλη] ὡς εἴ τις ἔγραψε τοὺς ἀπὸ τοῦδε τοῦ ἄρχοντος ἐν τῷ δημοσίῳ ἄρξαντας εἰσπράττεσθαι. M.

Προθεσμία] καταχρηστικῶς ἀντὶ τοῦ χρόνος. FQ.

40. Οὗτος γὰρ] Ἐντεῦθεν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Q.

Ἐχρήσαντο τῷ σώματι] Προσυπακουστέον τὸ ἅπαξ. F.

41. Κιθαρῳδοὺς ἢ κιθαριστάς] Κιθαριστὴς ὁ τῇ κιθάρᾳ μόνῃ διὰ χειρῶν κεχρημένος, κιθαρῳδὸς δὲ λέγεται ὁ μετὰ τῆς κιθάρας καὶ τῇ ᾠδῇ χρώμενος. F. Διαφέρει κιθαρῳδὸς καὶ κιθαριστής τῷ τὸν μὲν κιθαριστὴν κεχρῆσθαι τῇ κιθάρᾳ μόνον, τὸν δὲ κιθαρῳδὸν μετὰ τῶν χειρῶν καὶ τῇ φωνῇ· διὸ καὶ κιθαρῳδὸς λέγεται. MQ. Παρὰ τὸ κεχρῆσθαι σὺν τῇ κιθάρᾳ καὶ τῇ ᾠδῇ. Καθαρῳδὸς ὁ καὶ ᾄδων καλῶς, κιθαριστὴς δὲ ὁ χωρὶς ᾠδῆς. M.

Ἀνέστησεν] ὡς νῦν λέγομεν ἀνεκάθισεν. Καὶ Δημοσθένης (p. 270, 15) « ἀνέστησεν αὐτὴν ἀπὸ τῆς καλῆς ἐργασίας. » FMQ.

42. Οὐδενὸς—μετρίων] Ἵνα μή τις οἰήσεται δι' ἔνδειαν αὐτὸν πεπορνεῦσθαι, ὅπερ συγγνώμης ἦν. MQ.

43. Ἦν μὴν Δ.] Ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους. Q.

Διονυσίων] Διονύσια ἑορτὴ Ἀθήνησιν, ἣ Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος, τὰ δ' ἐν ἄστει μηνὸς Ἐλαφηβολιῶνος. Διονυσιάδες δὲ ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι. MQ.

Ὁ τοιοῦτον ἀνειληφὼς] πάλιν ὁ τοῦτον ἀνακαθίσας. F.

44. Ἦ δὴ] ἀντὶ τοῦ δι' ἃ δή. FQ.

45. Ἐπειδὴ—ἴσμέν] Ἔνθα χρεία ἐστὶν ἀποδείξεως διὰ μαρτυριῶν. FMQ.

Γέγραφα] Γράφουσι μαρτυρίας οἱ βουλόμενοι μάρτυρας παρασχέσθαι προκλητικὰς αὐτῶν, οἷον « τὸν δεῖνα τόδε πραχθὲν ἀκριβῶς γινώσκοντα ἀξιῶ μαρτυρεῖν τοῖς δικασταῖς. » Ἂν μὴ οὖν ὑπακούσῃ μου τῇ μαρτυρίᾳ, ἀλλὰ θέλῃ ἐκτὸς γενέσθαι, ὀφείλει δραχμὰς χιλίας· ἐὰν δὲ ὑπακούσῃ, ἤτοι ἀληθῆ φησιν εἶναι, ἤ, εἴπερ ἀμφίλεκτα, ἐξόμνυται οὐκ εἰδέναι τὰ ἀξιούμενα. M et partim Q.

Αὐτὸ μὲν γὰρ τοὔνομα] Οὐ γὰρ ἀπῄτει αὐτὸν μαρτυρεῖν εἰ παρ' αὐτῷ ἡταίρηκεν, ἀλλ' εἰ μετ' αὐτοῦ διέτριβεν. Καὶ τί τοῦτο ἤμελλε συνοίσειν περὶ τὴν ἀπόδειξιν; Λέγομεν οὖν ὅτι ὑποπτευομένου τοῦ Μισγόλα ἤρκει τοῦτο εἰπεῖν, ὅτι μετ' ἐμοῦ διέτριβεν. MQ.

Οὐκ ἐγγράφω] ὅτι ἔγραφέ τις αὐτὸ τὸ πρᾶγμα, λέγων ὅτι μαρτυρεῖ μοι ὧδε. Καὶ ἐδείκνυεν αὐτὸ τῷ μάρτυρι λέγων ὅτι μαρτυρεῖ μοι τόδε. Εἶτα εἰ μὲν ἔλεγεν ὅτι ναί, ἔγραφεν αὐτὸς ὁ μάρτυς ὅτι ναὶ μαρτυρῶ· εἰ δὲ μή, οὐδὲν ἔγραφεν. FM.

46. Ἐκκλητευθῆναι] Κλητεύεσθαι δὲ τὸ καλεῖσθαι εἰς μαρτυρίαν. Q. Ὑπὸ τοῦ κήρυκος κληθῆναι. FM. Τῶν ἐγκαταλιπόντων τὴν μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δήμῳ ἐκηρύσσετο, καὶ τοῦτο ἐκαλεῖτο ἐκκλητευθῆναι. FM. Εἰς κρίσιν ἀχθῆναι ἢ ἐπάναγκες μαρτυρῆσαι. Κλήτορες δὲ οἱ μάρτυρες Τὸ οὖν ἐκκλητευθῆναί ἐστιν ἔξω τοῦ μαρτυρῆσαι. Καὶ ἔκκλητος ὁ θελήσας ὀφλεῖν ἐπὶ τῷ μὴ μαρτυρῆσαί τι. M.

Χιλίας] ἐὰν μὴ ὑπακούσῃ πρὸς τὴν μαρτυρίαν, ὡς τούτου ἐπιτιμίου ὡρισμένου τοῖς μὴ ὑπακούσασιν. M.

47. Ἐξόμνυσθαι] μεθ' ὅρκου ἀρνεῖσθαι. B.

Ἑταίροις] κιναίδοις. F.

Εἰς ἑαυτὸν ἐξαμαρτήσεται] διὰ τὴν ἐπιορκίαν δηλονότι. M.

Οὐδὲν αὐτῷ ἔσται πλέον] τουτέστιν οὐδὲν ὀνήσεται τῆς ἀρνήσεως ἐνόρκου καὶ τῆς ἐπιορκίας. Οὐδὲν αὐτὸν ὠφελήσει ἡ ἐξόμνυσις. B.

Πρᾶγμα] τὸ ἑτέραν μαρτυρίαν ἐπιζητεῖν. M.

Τοὺς ἐμαυτοῦ φίλους] ἐπειδὴ αἱ παρὰ τῶν φίλων μαρτυρίαι οὐκ εἰσὶν ἀξιόπιστοι· πολλάκις γὰρ ὑπ' εὐνοίας κινούμενοι, ἵνα τοῖς φίλοις βοηθήσωσι, καὶ ψευδομαρτυροῦσιν. M.

49. Βούλομαι—προειπεῖν] Τοῦ λυποῦντος ἀναίρεσις. Λυπεῖ γὰρ Αἰσχίνην τὸ μὴ φαίνεσθαι πρεσβύτερον Μισγόλαν. Φοβεῖται γὰρ μὴ διὰ τοῦτο δόξῃ ψευδὴς εἶναι ἡ φήμη. M.

Προφερεῖς] οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. B. Προφερής ἐστιν ὁ μὲν χρόνῳ νεώτερος, τῇ δὲ ὄψει δοκῶν πρεσβύτερος. Ἀλλὰ καὶ τῶν ἀμώμων, ὦ Αἰσχίνη, ἔσθ' ὅτε ὁ μῶμος ἅπτεται. Q. Προβεβηκότες ἐν τῷ εἴδει, προπόλιοι. Προφερὴς ὁ νέος μὲν ὤν, πρεσβύτερος δὲ φαινόμενος. Τὸ δ' ἐναντίον σκληφρός, ὃς πρεσβύτερος ὢν νέος δοκεῖ. Οὕτω καὶ Πλάτων (p. 271, B) ταῖς λέξεσιν ἐχρήσατο. « Ἦν γὰρ » φησίν « ὁ μὲν προφερής, ὁ δὲ σκληφρός » περὶ τινῶν δύο διηγούμενος. Δῆλον δὲ καὶ ὡς οὐ καλῶς τῷ προφερεῖς ὁ Αἰσχίνης ἐχρήσατο, προσθεὶς τὸ νέοι ὄντες καὶ τὸ πρεσβύτεροι· ἤρκει γὰρ μόνον τὸ προφερεῖς πάντα δηλῶσαι. M.

51. Οὐκ ἂν ὤκνησα αὐτὸν] οὐκ ἂν ηὐλαβήθην αὐτόν. M.

Παρρησιάζεται] σαφῶς λέγει. FM.

Αὐτῷ τούτῳ] τῷ ἡταιρηκέναι πρὸς ἕνα. M.

52. Τοὺς ἀγρίους] ἀντὶ τοῦ μὴ ὀνομάζων τοὺς προσάπαξ αὐτῷ χρησαμένους. Ἀγρίους δέ φησι τοὺς σφόδρα κιναιδοποιούς. FMQ.

Ἀγρίους] τοὺς μὴ ἐν τῷ ἄστει, ἀλλ' ἐν ἀγρῷ διατρίβοντας. M. τοὺς σφόδρα ἐπτοημένους περὶ τὰ παιδικὰ καὶ χαλεποὺς παιδεραστάς. Ἐπονομάζονται δὲ καὶ Τριβαλλοὶ καὶ Κένταυροι. B.

Κηδωνίδην] Οὗτοι παιδερασταί, ἐπωνυμίας ἔχοντες ἄγριοι καὶ Τριβαλλοὶ καὶ Κένταυροι. MQ.

Μόνον ἡταιρηκὼς] Διαφορὰν εἶπεν ἡταιρηκότος πρὸς πόρνον. Τὸν μὲν οὖν ὑφ' ἑνὸς καταισχυνθέντα ἡταιρηκέναι φησί, τὸν δὲ ὑπὸ πολλῶν πεπορνεῦσθαι. MQ.

53. Τῇ τε δαπάνῃ ἀπεῖπε] Ἐπειδὴ βούλεται αὐτὸν καὶ τὰ πατρῷα κατεδηδοκότα ἐπιδεῖξαι, θαυμαστῶς πάνυ τοῦτο προοικονομεῖ λέγων αὐτὸν πολυτελῆ εἶναι. M.

Μετὰ τοῦτον] Ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους. Q.

Σάμῳ] Εἰς Σάμον κληρούχους ἔπεμψαν Ἀθηναῖοι ἐπ' ἄρχοντος Ἀθήνησι Νικοφήμου. BMQ.

Κυβείῳ] Κυβεῖον λέγει τὸν τόπον ἔνθα συνέρχονται οἱ κυβεύοντες, ὃ νῦν καλοῦσί τινες ταβλιστήριον. FMQ.

Τηλία] Ἡ τηλία σανὶς ἡ κυβευτική. Ἦν καὶ σανίς, ἐν ᾗ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον. B. Τηλία σανίδιόν τι περιπεφραγμένον πάντοθεν, εἰς ὃ ἐνέβαλλον ἢ ἀλεκ-

τρυόνας ἢ ὄρτυγας μάχεσθαι. Καὶ τὸν ὑπερπηδῶντα αὐτῶν τὰ περιφράγματα ἔλεγον ἡττᾶσθαι. FMQ. Ἰδίως δὲ εἶπεν κυβεῖον· οὐ γὰρ οὕτως ἐκάλουν, ἀλλὰ σκιραφεῖον· — Ἡ τηλία ἐστὶν ἐφ' ἧς τὰ ἄλευρα ἐκάθαιρον. Ἐχρῶντο δ' αὐτῇ οἱ κυβεύοντες καὶ πρὸς τὸ βάλλειν τοὺς κύβους, καὶ πρὸς τὸ συμβάλλειν τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας. MQ. Ἡ σήλιόν ἐστιν ἡ τηλία, ἐφ' οὗ μάττεται τὰ ἄλευρα. M

55. Ὑπὸ δέ] Ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους. Q.

Περὶ οὗ πάλαι] Οὐχ ἁπλῶς διαβάλλει τοῦτον τὸν Ἡγήσανδρον ὁ Αἰσχίνης, ἀλλ' ἐπειδὴ ἀδελφός ἐστιν Ἡγησίππου τοῦ μισοφιλίππου. FMQ.

56. Τιμομάχῳ] Τοῦ Τιμομάχου τούτου τοῦ στρατηγοῦ Ἀθηναῖοι θάνατον κατέγνωσαν καὶ ἀνῃρέθη. MQ.

Ἀπολελαυκώς] πολλὰ ἀφῃρημένος αὐτοῦ διὰ τὴν ἐκείνου δειλότητα καὶ μωρίαν. M.

Εὐηθείας] Διότι λέγων κεχορηγηκέναι αὐτῷ τῷ στρατηγῷ πολλά, ὀλίγα δὲ δοὺς τὰ πολλὰ ἐκέρδαινεν καὶ ἐχλεύαζεν αὐτὸν ὡς μωρόν. FM.

Τῆς συμφορᾶς] Αἰτίαν γὰρ ἔσχεν ὡς προδοὺς Κότυϊ τὴν Χερρόνησον. FM. Κατεγνώσθη δὲ θανάτου. Οὕτως ὁ Ἀπολλώνιος. M.

57. Δεινὴ ἡ ἀκακία] μεγάλη. F. Ἀντὶ τοῦ φαύλη. Ἀκακία ἁπλότης. Εὐπιστία εὐχέρεια εἰς τὸ πείθεσθαι. MQ.

Αὐτῶν τούτων] ἢ τῶν μισθωσαμένων, ἢ ἀντὶ τοῦ διὰ ταῦτα. M.

58. Ὅτι—ἠνώχλει] ἀντὶ τοῦ ἐπειδὴ δὲ αὐτοῖς ἠνώχλει. FMQ.

59. Ἀστραγάλους—διασείστους] Εἶδος ἀστραγάλων οὕτως ὑπὸ τῶν κυβευτῶν ὀνομαζομένων. MQ. Πολλάκις τινὲς κώδωνας ἀργυροῦς ἢ χαλκοῦς ἐξῆπτον ἔνδον αὐτῶν, ἵνα ἀφιέμενοι ἦχόν τινα ἀποτελῶσι καὶ τέρψιν ἐν τῇ παιδιᾷ. Οὗτοι οὖν ἐλέγοντο διάσειστοι. Φιμοὺς δὲ ἀλλαχοῦ μὲν σημαίνει εἰς οὓς ἐμβάλλονται αἱ ψῆφοι, ἐνταῦθα δὲ ἃ νῦν καλοῦσιν οἱ κυβευταὶ πυργία. FMQ. Φιμοὶ οἱ καλούμενοι κημοί, εἰς οὓς ἐνεβάλλοντο οἱ ἀστράγαλοι. B.

Τάς—πληγάς] ἢ τὰς ἀπολλύναι δυναμένας καὶ ἐξ ἀνθρώπων ποιούσας ἢ ἃς οὐ γινώσκουσιν οἱ ἄνθρωποι ἢ ἃς εἰκὸς ἀνθρώπους παρασχεῖν ἢ ὅσαι εἰσὶν ἐν ἀνθρώποις ἢ ὅσας ἄνθρωποι πλήττουσιν. BMQ.

60. Ἀνακηρυχθῇ] ἤγουν περιβόητος γένηται. MQ.

Ἐπῄει] ἐπήρχετο, σύνεγγυς ἦν. Γίνονται δὲ ἐκκλησίαι τρεῖς τοῦ μηνὸς αἱ λεγόμεναι κύριαι, ἃς ἐκ τῶν νόμων ἔχουσιν ἀναγκαίως τελεῖν. Ἐπὰν δὲ αἰφνίδιόν τι προσπέσῃ, ἐκκλησιάζουσι μέν, καλεῖται δὲ σύγκλητος, εἰ δ' ἄρα καὶ ἐκκλησία, οὐ κυρία. Ἐπειδὴ δὲ εἶπεν εἰς πᾶσαν τὴν πόλιν, ἐπήνεγκε τὸ ἐπῄει δὲ ἐκκλησία. Εἰκὸς ἐρχομένων πολλῶν ἦν καταφανὲς γενέσθαι. M.

61. Παροινία] Κυρίως ἐχρήσατο τῇ λέξει· εἶπε γὰρ ὅτι μεθυσθέντες. MQ.

Ὑπογενειάζων] ἁπτόμενος τῶν γενείων καὶ ἱκετεύων. MQ.

63. Λήξεις — ἐποιήσαντο] ἤγουν ἔλαχον δίκην ἀλλήλοις. Q. Παρὰ τὸ λαγχάνειν. Ἐλάγχανον ἀλλήλοις δικάσοντες. Καλοῦνται δὲ πάντες οὗτοι προκληθέντες. Δικῶν δὲ λήξεις ἐποιήσαντο ἀντὶ τοῦ ἔλαχον ἀλλήλοις δίκην. M.

Ἡγησάνδρου] Καὶ τὸν Ἡγήσανδρον διαβάλλει ὡς ἡταιρηκότα Διοπείθει. M.

Ἐν ἡλικίᾳ] Ὅτι ἐξαιρέτως εἰώθεσαν οἱ ἀρχαῖοι ἡλικίαν τὴν νεότητα καλεῖν. FMQ.

64. Ἀριστοφῶντι] Κεκωμῴδηται ὁ Ἀριστοφῶν ὡς ὑπὲρ Χάρητος μισθοῦ λέγων καὶ ὡς παρανόμων γραφὴν πεφευγὼς καὶ ὡς στρατηγήσας ἐν Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ' ᾧ γραφεὶς ὑπὸ Ὑπερείδου (in or. pro Euxen.) παρανόμων (παρ' ὀλίγον?) ἑάλω. Φησὶ δ' αὐτὸν Ὑπερείδης (fr. 44) καὶ Ἀρδηττὸν ἐπικληθῆναι διὰ τὸ πολλάκις αὐτόθι ἐπιωρκηκέναι. Ἐπεβίωσε μέντοι ὁ Ἀριστοφῶν ρ' ἔτη παρὰ μῆνα. M.

Πρὶν αὐτῷ] Ἐπειδὴ ὁ Ἡγήσανδρος ἐδημηγόρει ἀντιπολιτευόμενος Ἀριστοφῶντι, τέως αὐτῷ ὁ Ἀριστοφῶν ἠπειλήσατο ἐπαγγελίαν ἑταιρήσεως, ὅ ἐστι δοκιμασίαν, ἥν, φησίν, ἐγὼ κρίνω Τιμάρχῳ. Τοῦτό φησιν ὅτι ὁ Ἡγήσανδρος Ἀριστοφῶντι ἀντεπολιτεύετο, τοῦ δὲ Ἀριστοφῶντος ἀπειλήσαντος αὐτὸν ἐπαγγέλλειν ἐπαύσατο. M. Ὁ Ἀριστοφῶν τὸν Ἡγήσανδρον. F.

Κρωβύλος] Ἀδελφὸς ἦν οὗτος Ἡγησάνδρου οὕτως ἐπωνομασμένος διὰ τὴν πανουργίαν. Ἡγήσιππος γὰρ κυρίως ἐκαλεῖτο. B. Κρωβύλον καλεῖ τὸν ἀδελφὸν τοῦ Ἡγησάνδρου τὸν Ἡγήσιππον τὸν μισοφίλιππον, καθὸ αὐτὸς ἤλειφε τὴν κεφαλὴν καὶ ἐφιλοκάλει τὰς τρίχας. Κρωβύλος γάρ ἐστιν εἶδος ἐμπλέγματος πρῴην γενομένου παρὰ τοῖς παλαιοῖς τῶν Ἀθηναίων, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις (1, 6). FMQ.

65. Τοὔψον] ὅ ἐστιν ἐν τῇ ἀγορᾷ, ἔνθα τὰ ὄψα, οἱονεὶ πάντα τὰ ἐδέσματα πιπράσκεται. Ἀπὸ γὰρ τῶν πιπρασκομένων ἔν τινι τόπῳ ἐκάλουν οἱ Ἀθηναῖοι τὸν τόπον. FMQ.

Κώμοις] Κῶμος ἡ μετ' οἴνου ᾠδή. MQ.

69. Οὐκ ἠγνόουν ὅτι] Ἀξιοῦσί τινες μέμφεσθαι τῷ ῥήτορι ἐν ἀγῶνι συνηγόρων ἐκβολὴν ποιησαμένῳ, δέον ἐν ἐπιλόγῳ. Εὐήθεις δὲ πάσχουσι· μερικὰς γὰρ πανταχοῦ ποιεῖν ἔξεστιν, ὥσπερ καὶ ἐφ' ἑκάστου κεφαλαίου ἐπιλογιζόμεθα. Ἄλλως τε οὐδαμοῦ κάλλιον εἶχεν ἐκβαλεῖν αὐτὸν τὴν συνηγορίαν ἢ ἐν τῷ περὶ αὐτὸν λόγῳ, ἔτι μεμνημένων τῶν δικαστῶν. Ἃ γὰρ ἐκεῖ ἐδεῖτο εἰπεῖν πρὸς τὴν διαβολήν, ταῦτα ἐνταῦθα εἶπεν ἀγωνιζόμενος. M.

Λεωδάμαντα] ἀντὶ τοῦ τὸν καταχρώμενον αὐτῷ αἰσχρῶς. F. Οὗτος ἐραστὴς ἐγένετο Ἡγησάνδρου. MQ. Μέμνηται δ' αὐτοῦ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου (deb. πρὸς Λεπτίνην p. 501, 23). M.

Ἐθορυβήσατε] Ἄδηλον πότερον νῦν κατεπέπληκτο πρὸς τὴν μαρτυρίαν ὁ Λεωδάμας, ὥστε ἀχθεσθέντας τοὺς δικαστὰς τῷ ὀνόματι θορυβῆσαι, ἢ ὁ Ἀριστοφῶν ἀνέγνω μαρτυρίαν Λεωδάμαντος κρίνων τὸν Ἡγήσανδρον ἑταιρείας· εἰκὸς γὰρ ἦν κεκρίσθαι αὐτόν. Καὶ γὰρ προείρηκεν ὅτι ἐπολιτεύετο πρὶν αὐτὸν δοκιμάσειν ἠπείλησεν ὁ Ἀριστοφῶν. M.

70. Σαφέστερον] ἀντὶ τοῦ ἀναιδέστερον καὶ αἰσχρότερον. F M.

Ποιεῖσθαι] οἱονεὶ πεπονθέναι.
Βδελυρίας] ἀναισχυντίας εἰς αὐτὸ τὸ ἀσελγαίνειν. Εἴρηται δὲ ὡς παρὰ τὴν βδέλλαν τὸ ζωΰφιον, ὅπερ ἐστὶν ἀναιδέστατον καὶ δυσαπόσπαστον. FM.

Ἀπολογούμενον] οἱονεὶ ἀπολυόμενον ὑπὲρ τῶν αἰσχρῶν πράξεων ὧν ἔπραξεν. FM.

Ὑπερήφανα] μεγάλα. F.

71. Ἐπιστρεφῶς] οἱονεὶ συνεστραμμένως τῇ φωνῇ, ἵνα μὴ ἐλεγχθῶσιν ἀπὸ τῆς φωνῆς ὄντες κίναιδοι χαύνως διαλεγόμενοι. FM. Ἢ ἀντὶ τοῦ σπουδαίως. M.

Ἀδελφός] Ἡγησάνδρου ἀδελφὸς ἦν Κρωβύλος. Ἐκα-

λεῖτο δὲ οὐ μόνον Κρωβύλος, ἀλλὰ καὶ Ἡγήσιππος καὶ ἐκωμῳδήθη ὡς αἰσχρὸς τὴν ὄψιν καὶ περὶ τὰ Φωκικὰ ἡμαρτηκώς. M.

Ἀξιοῦσι δέ με] Ἐντεῦθεν ἐλέγχων ἀπαίτησις. Ἔλειψε δὲ τὸ παραγραφικὸν, ὅτι ὁ λόγος ὅλος παραγραφή ἐστιν. M.

75. Ἀλλ' εἰ πέπρακται] Καὶ γὰρ ἐκεῖ οὐ τὸν εἰσελθόντα εἶδεν ὁ θεασάμενος, ἀλλ' ἐφ' ᾧ εἰσῆλθεν. MQ.

Ἐπεὶ πρὸς θεῶν] Θαυμασία ἀποστροφή. Q.

Μειράκιον νέον] οὐκ ἀκριβῶς βούπαιδα, ἀλλ' ἔτι μικρόν. FM.

Τὴν ὄψιν] τὸ εἶδος. B.

Ἀσύμβολον] οὐκ εἰσενεγκὼν συμβολὴν, οὐ συμβαλὼν ἔρανον. B. Μὴ παρέχον σύμβολον καὶ ἔρανον, ἀλλ' ἄλλου συμβάλλοντος δαπανῶν. FMQ. Ἀσύμβολος οὖν ὁ ἑτέροις συνεστιώμενος δίχα συμβόλου καὶ ἐράνου τινός. MQ.

77. Διαψηφίσεις] αἱ δοκιμασίαι. Διαψήφισις δέ ἐστιν, ὁπηνίκα στάσεως δημοτικῆς γενομένης συνέρχονται ἅπαντες οἱ ἐκ τῶν δήμων καὶ σκοποῦσι τίς τε ἐστὶ πολίτης καὶ τίς ξένος. Καὶ ἐὰν εὕρωσι ξένον, τοῦτον διώκουσιν, ὡς ἐξ αὐτοῦ γενομένης τῆς στάσεως. Ἔλεγον δὲ ἐκ πολίτου μὴ γενέσθαι τι τοιοῦτον. Δημόφιλος δέ τις εἰσηγήσατο διαψηφίσεις γενέσθαι τῶν ἀστῶν ἐν τοῖς δήμοις, ὥστε τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγραφομένων διδόναι ψῆφον ὅτι ἐστὶν ἀστὸς, μηδενὸς κατηγοροῦντος μηδὲ ἀπολογουμένου, ἀλλ' ἐκ τῆς συνιστορήσεως, καὶ ἴσχυον αἱ διαψηφίσεις τῶν δημοτῶν. MQ.

Ψῆφον δέδωκε] Περὶ γὰρ ἑκάστου ψῆφος ἐδίδοτο τοῖς δημόταις· ὡσεὶ ἔλεγε δοκιμασίαν ἔδωκεν. Ἡ ἀντὶ τοῦ ἔδωκεν ἑαυτὸν εἰς τὸ ἑτέρους ὑπὲρ αὐτοῦ ψηφίσασθαι. MQ.

Οὐ μετὸν] ἀμετάσχετον. F.

79. Τετρυπημένη] Τοῦτο κακοήθως εἶπεν ἐπὶ τοῦ Τιμάρχου, καὶ ἔστι κακέμφατον. Τετρυπημένη δὲ ψῆφος ἦν ἡ καταδικάζουσα, πλήρης δὲ ἡ ἀπολύουσα. M. Τετρυπημένη οὖν οἱονεὶ καταψηφιζομένη. Ἔγνωμεν γὰρ πολλάκις ὡς ὅτι ποτὲ μὲν ἐψηφίζοντο οἱ δικασταὶ διὰ λευκῆς καὶ μελαίνης ψήφου· καὶ ἦν ἡ μὲν μέλαινα ἡ καταψηφιζομένη, ἡ δὲ λευκὴ ἡ σώζουσα· ποτὲ δὲ διὰ τετρυπημένης καὶ ἀτρήτου, καὶ κατέκρινον μὲν διὰ τῆς τετρυπημένης, ἔσωζον δὲ διὰ τῆς ἀτρήτου. FM.

80. Ἡ βουλὴ] Ὅτε οὗτος ἐβούλευσεν, εἴ ποθ' ἡ βουλὴ ἀθροισθείη. M.

81. Πρόσοδον ποιουμένης] προσιούσης τῷ δήμῳ. M.

Οἰκήσεων] οἰκήσεις τινὲς ἦσαν περὶ τὴν Πνύκα ἔρημοι καὶ καταπεπτωκυῖαι. Ταύτας συνεβούλευσεν ὁ Τίμαρχος κτισθῆναι, οἱ δ' ἐξ Ἀρείου πάγου ἀντιλέγουσιν. Πνὺξ δὲ πετρώδης ἐστὶ τόπος, ἔνθα ἐκκλησιάζουσιν, ἐν ἐρήμῳ τόπῳ κείμενος. Ὠνομάσθη δὲ Πνὺξ παρὰ τὸ πεπυκνῶσθαι ταῖς οἰκήσεσιν. Κατέτεμε γὰρ αὐτὴν εἰς οἰκίας τοῖς ἡλιασταῖς. Ἦν δὲ πάγος ὑψηλὸς, λόφος καλούμενος Πνύξ. MQ.

82. Εἰ Τίμαρχος] Πιθανῶς ὁ Αὐτόλυκος ἐμπειρότερον τῆς βουλῆς ἔφη τὸν Τίμαρχον εἶναι. M.

83. Τοιαύτην τινὰ συγγνώμην] Ὁ Αὐτόλυκος συγγνώμην ἔφη Τιμάρχῳ ἔχειν· οὗτος γὰρ ἴσως ᾠήθη μικρὸν ὑμᾶς ἀναλώσειν ἐν τῇ ἐρημίᾳ οἰκοδομουμένους. Ὁ γὰρ λόγος ἦν περὶ τῆς Πνυκός. Λέγουσι δὲ ἡσυχίαν τὴν ἐρημίαν. MQ.

Ἡσυχίᾳ] Ἡσυχίαν ἐκάλουν τὴν ἐρημίαν. Ἀσπάσιος δὲ τὴν ἀπραγμοσύνην ᾠήθη δηλοῦσθαι. MQ.

Πάλιν] Οἱ ὑποπτεύοντες πόρνον τὸν Τίμαρχον ἐθορύβησαν. Τὰ γὰρ ὀνόματα κακόσχολα πρὸς τὸν ἐπὶ τούτοις διαβαλλόμενον. M.

84. Ὑπολαβόντες] ὑποτυχόντες, ἀποκρινάμενοι. M.

85. Βοᾶτε] ἀντὶ τοῦ ἐβοήσατε· χρόνος ἀντὶ χρόνου. FM.

86. Ἐμνήσθην] ἀντὶ τοῦ ἐπλήρωσα ταῦτα λέγων. M.

Πολιτευμάτων] Ὅταν τις εἰσηγήσηται τῷ δήμῳ τι συμφέρον, τοῦτο πολίτευμα τοῦ εἰσενεγκόντος καλεῖται. Καὶ λέγουσιν· ὁ δεῖνα τόδε ἐπολιτεύσατο. M.

Ἐμνήσθην] ἀντὶ τοῦ ἐπλήρωσα ταῦτα λέγων. F.

Ἠτιάσατο] ἀντὶ τοῦ κατηγόρησεν. FQ.

Συνδεκάζειν] ἤγουν δώροις συνδιαφθείρειν. Q. Συνδεκασταὶ ἐλέγοντο, οἵτινες συνερχόμενοι ἅμα εἴτε τῶν βουλευτῶν εἴτε τῶν δικαστῶν τὴν αὐτὴν ψῆφον ἐτίθεσαν περὶ τῶν κρινομένων. Οἷον παρεφέρετό τις ἄδικόν τι ποιήσας πρᾶγμα, οἱ δὲ δέκα ἐκεῖνοι ὄντες, οἳ συνδεκασταὶ ἐκαλοῦντο, κέρδους χάριν τὴν ὑπὲρ αὐτοῦ ἐτίθεσαν ψῆφον. Οὗτοι δὲ ἐλεγχόμενοι ἐπὶ τούτῳ τῷ πράγματι θανάτῳ ἐζημιοῦντο. — Συνδεκάζειν συνδωροδοχεῖν. Κυρίως δὲ τὸ ἀναπείθειν δώροις δεκάζειν. Συνδεκάζειν οἷόν τινας συνδωροδοχῆσαι. M.

Νικόστρατος] Ἀπὸ κοινοῦ τὸ ᾐτιάσατο. Ἔστι δὲ ἀντὶ τοῦ κατηγόρησεν. M.

87. Ἐδέκαζε] Δεκάσαι ἐστὶ τὸ διαφθεῖραί τινας χρήμασι παραδικάσαι ἤ τι τοιοῦτον ποιῆσαι. FM. Ἐδέκαζεν οὖν διέφθειρεν ἀργυρίῳ τοὺς δικαστάς. Ἤρξατο δὲ τοῦ τοιούτου πρῶτος Ἄνυτος. Ὠνομάσθη δὲ τὸ δεκάζειν ἀπὸ τοῦ δέκα συνισταμένους μισθαρνεῖν ἐν πόλει. M.

88. Ἐκεῖνοι μὲν] Συγγνώμην αὐτοῖς πορίζεται πάνυ δεινῶς. Ἐπειδὴ γὰρ ἥλωσαν ἐκεῖνοι καὶ ταῦτα συγγνώμης ὄντες ἄξιοι, πόσης τιμωρίας ἄξιος Τίμαρχος, ὃς ἥμαρτεν ὑπ' οὐδενὸς τούτων κρατούμενος; M.

89. Ἐκκλήτω] ὡς νῦν λέγομεν τὸ ἔκκλητον δοῦναι, ὅταν ὁ εἷς τῶν δικαζομένων ὑπονοῇ τὸν δικαστὴν παραδικάζειν δι' ἔχθραν αὐτοῦ ἢ φιλίαν τοῦ ἀντιδίκου καὶ ἕνεκεν τούτου ἐκκαλῆται ἕτερον δικαστήριον κοινῇ ἀμφοτέροις· Παρατηρητέον ὅτι τῷ μὲν ὀνόματι κέχρηνται οἱ παλαιοὶ τῆς ἐκκλήτου, οὐκέτι μέντοι καὶ τῷ ῥήματι, ὥς φασιν οἱ Ἀττικισταί. FM.

Ἐκκλήτῳ] ἀλλοτρίᾳ, εἰς ἣν ἐξεκέκλητο ὁ κριθησόμενος. Ἐκκλήτῳ παρὰ τὸ ἐκεῖ καλεῖσθαι ἐπὶ κρίσει. Οἷον εἰ Ῥόδιόν τις Ἀθήνησιν ᾐτιάσατο, εἶτα ἐκλήθη Ἀθήναζε δικασόμενος. MQ.

90. Ἄριστα μὲν εἰδὼς] Πῶς φησι τὸν μάρτυρα ταῖς μεγίσταις ὑποπίπτειν τιμωρίαις; λέγομεν ὡς οὐδεὶς ἔσται μάρτυς ἐπὶ τοιαύτης πράξεως· λάθρα γὰρ πράττεται. Οὐκοῦν μάρτυς ἂν εἴη ὁ τὴν πρᾶξιν ἐργασάμενος. Ἀλλ' ἐὰν μαρτυρῇ, κολάζεται ὡς τὸν Ἀθηναῖον καταισχύνων. M.

92. Τῷ ἀκριβεστάτῳ συνεδρίῳ] Τοῦτο τὸ συνέδριον εὐδοκίμει ἐν τῇ πόλει. F.

Εὖ πάνυ] ἀντὶ τοῦ μετὰ δεινότητος καὶ καλῆς φράσεως. FMQ.

93. Οἱ μὲν γὰρ ἐν τῷ] Οἱ παρὰ τὸν καιρὸν τῆς κρίσεως λόγοι λεγόμενοι ἕνεκα τοῦ πεῖσαι ὑμᾶς καὶ ἀπατῆσαι ἐνίοτε λέγονται· οἱ δὲ πρὸ τῆς κρίσεως λεγόμενοι ἀληθεῖς, οὓς [οὐχ] ὁ κατήγορος συνέθηκεν, ἀλλ' ἡ τῆς πράξεως ἀλήθεια. M.

94. Λογογράφος] Δημοσθένην λέγει. BMQ. Οὐκ ἦν δὲ ἀστεῖον τὸ λογογραφεῖν οὐδὲ τὸ συνηγορεῖν μισθοῦ. BM.

Ἀνδρός] Ἵνα δύνηται πιπράσκειν τὰ κτήματα. BM.

Ἔτι δὲ] Ἐντεῦθεν ἡ πιθανὴ ἀπολογία. Q.

Τερατευόμενος] οἷον ὡς τέρας τι καὶ παράδοξον λέγει με ἐπαγγέλλειν. FMQ.

95. Ἐπικλήρου] Ὅτι ἐπίκληρόν τινα συγγενῆ πρὸς γάμον ἔλαβεν ὁ Ἡγήσανδρος πλουσίαν. Νόμος γὰρ ἦν ὁ κελεύων τὸν ἐγγυτέρω τῶν ἄλλων συγγενῶν ὑπάρχοντα τῇ ἐπικλήρῳ γαμεῖν αὐτήν. BFM. Ἐπίκληρος δὲ γυνὴ καλεῖται, ἣν ὁ πατὴρ μέλλων τελευτᾶν καταλιμπάνει τινὶ πρὸς γάμον, λέγων ὅτι τῷδε αὐτὴν θέλω δοῦναι. BM.

Κατεκεκύβευτο καὶ κατωψοφάγητο] ἤγουν εἰς κύβους ἐδαπανήθη καὶ εἰς ὀψώνια ἀνηλώθη. M.

Ἔξωρος] ἔξω τῆς ἡλικίας. Ὑπερεβεβήκει τὴν ὥραν, τουτέστι τὴν ἀκμὴν τῆς ἡλικίας, ἀνὴρ ἤδη ἐγεγόνει. MQ.

Ἀνόσιος] Τὸ ἀνόσιος θηλυκῶς συνέταξε. M.

96. Τὸ πλέον] τὸν παρέχοντα αὐτῷ πλείονα. M.

97. Τῆς πόλεως] τῆς ἀκροπόλεως λέγει. Τὸ γὰρ παλαιὸν ἡ ἀκρόπολις Ἀθηνῶν ἐκαλεῖτο πόλις. BMQ.

Ἐσχατιάν] Ἐσχατιαί εἰσι τόποι ἔσχατοι τῆς χώρας περατούμενοι ἢ εἰς ὄρη ἢ εἰς θάλασσαν. BFMQ. Τὰ ἐπὶ τοῖς τέρμασι δὲ τῶν δήμων ἔσχατα κείμενα χωρία ἐσχατιαὶ ἐκαλοῦντο. BMQ. Ἄλλως. Ἐν τοῖς χωρίοις ἐναπολαμβάνονται ὄρη ἢ ἄκρα κατὰ τὴν Ἀττικήν. Παρ' αὐτὰ δὲ ψιλοὶ τόποι εἰσίν, αἳ ἐσχατιαὶ καλοῦνται. Τινὲς δὲ ἐργάζονται αὐτούς. BM.

Σφηττοῖ] Σφηττὸς δὲ δῆμος ὄπισθεν τῆς ἀκροπόλεως. BMQ.

Ὁ δ' ἡγεμών] ὁ τῶν δημιουργῶν χοροδιδάσκαλος καὶ ὑφηγητὴς καὶ οἷον ἄρχων, ὁ τὰ ἔργα ἐκλαμβάνων. MQ.

Ἀμόργινα] Τὴν λινοκαλάμην ἀμοργίδα λέγουσιν. Ἔνιοι δὲ ἀμόργινα πάντα τὰ λεπτὰ ὑφάσματα, ἁλουργὰ δὲ τὰ εὐανθῆ διὰ τὴν βαφήν. Λεπτὰ δὲ λεπτοϋφῆ. Ἔπιπλα δὲ σκεύη περισσά, ἃ νῦν καλοῦμεν οἰκόσκευα. MQ. Ἀμόργη εἶδος ξύλου ποιοῦν ἔρια, ὥσπερ ἐστὶ τὸ ἐριόξυλον. Ἄλλοι δὲ λέγουσι τὸ ἐν τοῖς καλάμοις ὥσπερ ἔριον εὑρισκόμενον. Ἐσθῆτα δὲ ποιῆσαι ἀπὸ τούτων ἐστὶ δυσχερές, καθὸ λεπτότατόν τί ἐστιν, ὡς ὑμήν. Κατὰ τοῦτο δὲ καὶ πολύτιμα. FM.

Ποικιλτήν] ὃν λέγομεν πλουμάριον. MQ.

98. Ὁ χοροδικάσκαλος] ὁ τοῦ χόρου ὑφηγητής. B.

Ἐξηγριωμένον] ἀντὶ τοῦ χέρσον γενόμενον. MQ.

100. Ἀπέδωκε] ἤγουν χρεωστῶν ἔδωκε. Q

Κηφισίῳ] ὄνομα δήμου. F.

Ἀργυρείοις] Τὸ Ἀργυρεῖον τῆς Ἀττικῆς τόπος, ἔνθα ἀργυρωρυχεῖα ἦν, ἃ λέγουσιν ἀργυρεῖα. Ἐπὶ Θρασύλλῳ δὲ Ἀττικῶς ἀντὶ τοῦ πρὸς τῷ Θρασύλλου μνήματι. Ἦν δὲ πρὸς αὐτῷ μέταλλα ἀργυρίου. MQ.

102. Τὴν νόσον] τὴν πήρωσιν. B.

Συνταξάμενος] φανερόν τι συνθέμενος παρέχειν αὐτῷ. FMQ.

103. Ἀδυνάτοις] Κατὰ μῆνα ἐκ τοῦ δημοσίου δίδοται τοῖς ἀδυνάτοις πολίταις μισθός. Ἀδυνάτους δὲ πάντας λέγουσι τοὺς ὁπωσδηποτοῦν ἠχρειωμένους πρὸς ἐπικουρίαν ἑαυτῶν. Ἄλλως. Τοῖς ἀδυνάτοις τοῖς σώμασιν ἐχορηγεῖτο ἑκάστης ἡμέρας ἐκ τοῦ δημοσίου εἰς τροφὴν τριώβολον. BMQ.

Μισθοφοροῦντα] ἀντὶ τοῦ μισθὸν δεχόμενον ἐν τῷ καταλόγῳ τῶν λελωβημένων καὶ ἀδυνάτων. Νόμος γὰρ ἦν Σόλωνος ὁ κελεύων τοὺς τοιούτους ἐκ τῶν δημοσίων τρέφεσθαι. BFMQ.

104. Ἀπολειφθέντος] Οἷον ἔτυχεν αὐτὸν μὴ παραγενέσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔνθα δοκιμάζονται οἱ τρεφόμενοι ἐκ τῶν δημοσίων ὡς ἀδύνατοι. FMQ.

Ἱκετηρίαν] Ἱκετηρία ἐστὶ θαλλὸς ἐλαίας ἐρίῳ ἀνεστεμμένος. BMQ. Ὃν κατεῖχον ταῖς χερσὶν οἱ ἱκέται καὶ δεόμενοι τινῶν. BQ.

Πρυτανείας] Οἱ πρυτάνεις συνάγουσι τὴν βουλὴν ὁσημέραι, πλὴν ἂν ἀφετός τις ᾖ, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας, καὶ προγράφουσιν πρὸ βουλῆς καὶ πρὸ ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν. Ἡ μὲν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν οἳ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσιν· ἐν ᾗ καὶ τὰς εἰσαγγελίας ὁ βουλόμενος εἰσαγγέλλει καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγινώσκουσι οἱ πρὸς ταῖς δίκαις, καὶ τὰς λήξεις τῶν κλήρων. Ἡ δὲ δευτέρα ἐκκλησία ἀνεῖται τοῖς βουλομένοις ἱκητερίας θεμένοις λέγειν ἀδεῶς περί τε τῶν ἰδίων καὶ τῶν δημοσίων. Ἡ δὲ τρίτη κήρυξι καὶ πρεσβείαις [ἀξιοῖ] χρηματίζειν, οὓς δεῖ πρότερον τοῖς πρυτανεῦσιν ἀποδοῦναι τὰ γράμματα. Ἡ δὲ τετάρτη περὶ ἱερῶν καὶ ὁσίων. Q e Polluce 8, 95.

Πρυτανείας] Ἐπειδὴ δέκα ἦσαν πρυτανεῖαι, ἑκάστης δὲ τούτων πεντήκοντα βουλευταί, ἄνδρες πεντακόσιοι πρυτανεύουσιν, ἕκαστος μῆνα καὶ ἡμέρας ἕξ, ὥστε τὸ ἔτος περιελθοι τὰς δέκα φυλάς. Ὁ δὴ χρόνος, ὃν ἄρχει ἡ μία φυλή, πρυτανεία καλεῖται. Καὶ μετροῦσι κοινότερον οὐ πρὸς μῆνας ἀλλὰ πρὸς πρυτανείας τούς τε μισθοὺς καὶ τόκους καὶ ἐνοίκια. M.

106. Λαχὼν ἀπὸ κλήρου, χειροτονηθεὶς δὲ ἀπὸ δοκιμασίας. FMQ.

107. Λογιστής] Λογισταὶ κρίνουσι τοὺς ἄρξαντας καὶ ὑπευθύνους ὄντας. MQ.

Ἄνδρῳ] Τῶν Κυκλάδων νήσων μία Ἄνδρος. M.

Μνῶν] Ἡ μνᾶ ἐστι μέγιστον τῶν τοῦ ταλάντου μερῶν, ὡς εἰς ξ' μνᾶς κατακερματίσαι λύσαντα τὸ τάλαντον. Ἦν δὲ ἡ μνᾶ σταθμοῦ τε ὁμοῦ καὶ νομίσματος ὄνομα, ὥσπερ καὶ τὸ τάλαντον. Ὁ μέντοι ὀβολὸς ὀκτὼ χαλκοῦς εἶχεν. Q.

Ἐπ' ἐννέα] ἀντὶ τοῦ ἐπὶ μιᾷ καὶ ἡμισείᾳ ἑκατοστῇ, εἴ γε οἱ ἓξ ὀβολοὶ ποιοῦσι μίαν δραχμήν, ἥτις δραχμὴ ἑκατοστή ἐστι τῆς μνᾶς. FMQ.

Ἐκμαρτυρῆσαι] ἐν ἄλλῳ μὲν τόπῳ (or. 2, § 19) σημαίνει τὸ μαρτυρῆσαι περὶ ἀπόντος τινὸς ἀποδήμου, ἐνταῦθα δὲ τὸ ἐκφῆναι τὴν αὐτοῦ συμφορὰν διὰ τῆς μαρτυρίας. FMQ.

108. Ὠνητής] οἷον πολέμιός τις βουλόμενος αὐτὴν ἀγοράσαι. Πάντως γὰρ [ἂν] αὐτὴν εὐθὺς οὗτος ἐπώλει. FM. Ὡς ὑποβαλομένου τοῦ Τιμάρχου ὠνήσασθαι παρὰ τῆς πόλεως φόρον, ὥστε αὐτὸς προκαταθέμενος ἐκλέξαι ἐπιπλεύσας, ἔπειτα σφαλέντος τῷ βουλεύματι. M.

109. Νικοφήμου] Οὗτος ἦρξε πρὸ Θεμιστοκλέους, ἐφ' οὗ βουλεῦσαι τὸν Τίμαρχον. Ἦν δ' ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος καὶ Ἡγήσανδρος τῆς θεοῦ ταμίας. Καὶ κοινῇ διέκλεπτον τοῦ δημοσίου χιλίας δραχμάς, ὥς φησιν ὁ ῥήτωρ. BM.

Πρὸς μικρὸν μέρος] ὅ ἐστι πρὸς τὸ ἀποδοθὲν ὕδωρ. M.

Ἐγγυτάτω τῆς αἰτίας] διὰ τὸ ἐπιφέρειν· κλέπτουσι τῆς πόλεως ἀνὴρ καὶ γυνή. MQ.

110. Οὗτος] Ἀναφορικόν ἐστιν ἢ ἐπιδεικτικόν, ὡς τοῦ Ἡγησάνδρου συνηγοροῦντος νῦν τῷ Τιμάρχῳ. FM.

Ἀχερδούσιος] ἀπὸ δήμου. F.

111. Ἐκφυλλοφορήσασα] ἀντὶ τοῦ διὰ φύλλων αὐτοῦ καταψηφίσηται. Διὰ φύλλων γὰρ οἱ βουλευταὶ ἐψηφίζοντο ἐν τῇ πρώτῃ δοκιμασίᾳ, ἐν δὲ τῇ δευτέρᾳ ψήφοις. Δεύτερον γὰρ ἐβουλεύοντο περὶ τοῦ αὐτοῦ. FMQ. Ἄλλως. Οἱ

βουλευταὶ φύλλοις ἐχρῶντο ἐν ταῖς δοκιμασίαις. Καὶ τὰς ἀρχὰς δὲ ἔνιοι (ἐνίας?) φύλλοις ἐκληροῦντο, πρότερον κυάμοις κληρουμένας. Ἄλλως. Μὴ ἄρα τὴν τῶν ψήφων ἀθρόαν ἐπιφορὰν πρὸς τὸ ἐκβαλεῖν ἐκφυλλοφορίαν εἴρηκε παρὰ τὴν τῶν φύλλων φοράν. M.

Δωρεάν] τὸν στέφανον. F. Στεφανοῦται ἡ βουλὴ κατ' ἔτος, ὅτε καλῶς ἄρχει. Ταύτῃ οὖν ἀξιῶ τὴν δωρεὰν δοῦναι. M.

112. Ἐν τῇ ψήφῳ] οἷον ἐν τῇ β' δοκιμασίᾳ. F.

Κατεδέξατο] ὥστε τῇ μὲν τῶν φύλλων ἐπιβολῇ ἐκβαλεῖν, ψήφου δὲ περιενεχθείσης καταδέξασθαι. M.

Μὴ περιποιήσητε] Πάλιν Ἀττικῶς ἐπερίττευσεν ἡ μὴ ἀπαγόρευσις ἐνταῦθα. FM.

113. Ἐρετρίᾳ] Ἐρετρία πόλις τῆς Εὐβοίας. Ὅλη δὲ Εὔβοια ὑπ' Ἀθηναίοις ἦν. BM. Ἐξεταστὴς δὲ τῶν Ἀθηναίων ἐκεῖθι ξένων. M.

Τιμήματος] ἀντὶ τοῦ περὶ τῆς καταδίκης λοιπὸν παρεκάλει, ἧττον παθεῖν τῆς ἀξίας. FM.

Τριάκοντα μνῶν] τὸ ἥμισυ τοῦ ταλάντου. Ὀβολός. Δραχμὴ ἓξ ὀβολοί. Μνᾶ ρ' δραχμαί. Τάλαντον ξ' μναῖ. M.

114. Διαψηφίσεσι] οἷον ταῖς δοκιμασίαις τῶν πολιτῶν, τίνες ἀληθῶς πολῖταί εἰσι γνήσιοι, καὶ τίνες παρεγγεγραμμένοι. Ἔλαβε δὲ ἵνα μὴ συκοφαντήσῃ τὸν Φιλωτάδην, ὅτι οὐ πολίτης. FMQ.

Ἀποψηφίσασθαι] ἀντὶ τοῦ ἐκβαλεῖν τοῦ εἶναι αὐτὸν πολίτην καὶ ἀποδοκιμάσαι. FMQ. Ἀντὶ τοῦ μὴ ψηφίσασθαι πολίτην. MQ.

Τοὺς ὁρκίους] Ἀπόλλωνα πατρῷον καὶ Δήμητραν καὶ Δία, ὥς φησι Δείναρχος ὁ ῥήτωρ. BM.

115. Εἴκοσι μνᾶς] Τὸ αὐτό ἐστιν αἱ κ' μναῖ ταῖς δισχιλίαις δραχμαῖς, εἴγε ἡ μνᾶ ἔχει ἑκατὸν δραχμάς. FM.

Συνθηκῶν] Ἅπερ αὐτὸς ἔγραψε καὶ δέδωκε τούτοις τοῖς δοῦσιν αὐτῷ χρήματα συνθέμενος αὐτοῖς, ὅτι καθυφίημι τὸν ἀγῶνα. FM.

117. Προδιήγησις] οἷον ὥστε προδιηγήσασθαι ὑμῖν ἅπερ μέλλει λέγειν ὁ Δημοσθένης. Περὶ αὐτοῦ γὰρ αἰνίττεται. Τέχνας δὲ ἐνταῦθα λέγει τὰς πανουργίας. FM.

Οὐκ ἐλαχίστους δὲ τῶν] Ψεῦδος. F.

119. Ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις] οἷον ὁ ἀκριβὴς καὶ περίεργος· ἢ ὁ πολὺς τὴν σοφίαν, ἵν' ᾖ κατ' εἰρωνείαν. Ἢ ὁ ἁπλοῦς ὢν ἐν τῇ πόλει. Ἢ οἷον περιττὰ τῆς προκειμένης ὑποθέσεως ἀεὶ ἐξευρίσκων πρὸς τὸ παραλογίζεσθαι, οἷον ὡς ἐν τῷ η' τῶν Φιλιππικῶν οὔσης τῆς ὑποθέσεως περὶ τοῦ σῶσαι τὸν Διοπείθην αὐτὸς ἄλλην τινὰ προσεξεῦρε λέγων περὶ Χερρονήσου εἶναι τὸν φόβον. Καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, οὔσης περὶ Χαριδήμου, αὐτὸς ἀνεπλάσατο τὴν Χερρόνησον. FM.

Πωλεῖ] ἀντὶ τοῦ μισθοῖ τοῖς τελώναις, ἵν' αὐτοὶ ἀπαιτήσωσι τοὺς κιναίδους καὶ πριαμένους πάλιν ἀντὶ τοῦ μισθουμένους. BFM.

Ἀντιγράψασθαι] Πρότερον γὰρ κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας. B. Ἀντὶ τοῦ ἀντικατηγορῆσαι, ἐπειδὴ πρῶτος κατηγόρησεν ὁ Τίμαρχος Αἰσχίνου παραπρεσβείας. FMQ.

Ἐκλέξαντος] ἀπαιτήσαντος. B.

121. Ἀπολογίας — παραχωρησάτω] τουτέστι μὴ χρησάσθω ταύτῃ τῇ ἀπολογίᾳ. B. Οἷον τὸ ἀπαιτεῖν ἡμᾶς αἰσχρὰς τοιαύτας ἀποδείξεις. BFM.

122. Ἐναπολογήσασθαι] Ἡ ἐν πρόθεσις ἐπερίσσευσε κατ' Ἀττικὴν συνήθειαν. F.

Παραιτησόμενος] συγγνώμην αἰτήσων, ὡς ὢν τοιοῦτος. FM.

Ἐπωνυμίας] προσηγορίας. F.

123. Οἰκήματα] Ὅτι οὐκ ἀπὸ τῶν ἐργαστηρίων τοῖς ἀνθρώποις, ἀλλ' ἀπὸ τῶν ἀνδρῶν τοῖς τόποις αἱ ἐπικλήσεις.

125. Ἥξει] Ἐπίλογοί εἰσιν ἐντεῦθεν. Q. Ὅτι ἐπίλογοί εἰσιν ἐντεῦθεν. Ἐξαγώνια γάρ ἐστιν ἃ μέλλει λέγειν. Σοφιστοῦ δὲ λέγει ἐνταῦθα τοῦ σοφιζομένου τὴν ἀλήθειαν. Πολλὰ γὰρ σημαίνει τοὔνομα. FM.

Κολωνῷ] Δύο εἰσὶ Κολωνοὶ δῆμοι τῆς Ἀττικῆς. Καὶ ἐν τῷ μὲν ἐργάται ἦσαν καὶ ἐκέκλητο ἐργατικός, ὁ δὲ ἕτερος ἵππιος. Ἄδηλον οὖν ἐν ὁποτέρῳ Κολωνῷ. QFM. Ἐν δὲ τῷ ἐργατικῷ οἱ ἀγοραῖοι καὶ οἱ μισθαρνοῦντες ἦσαν. M.

Ἀνδοκίδου] Περὶ τὴν Ἀνδοκίδου οἰκίαν εὕρηται Ἑρμῆς. Γέγονε δ' ἐπίσημος Ἀνδοκίδης, καὶ ἀπ' αὐτοῦ ἐλέχθη Ἀνδοκίδου Ἑρμῆς. Διὰ δὲ τὸ πλησίον εἶναι τῆς Ἀνδοκίδου οἰκίας, δι' αὐτὸ αὐτοῦ ἐνομίσθη. M.

126. Παραφέρει] παράγει. B.

Ἰδίας διατριβὰς] ἰδιωτικὰς συντυχίας. — Βάταλος δὲ ὁ κίναιδος λέγεται. FMQ. Βάταλος δέ τις γέγονεν ἀνὴρ αὐλητὴς ἑταιρηκώς. Ἡ οὖν ἐκ τούτου Βάταλος ὁ Δημοσθένης ἐκαλεῖτο, καθότι μεγάλα καθίσματα εἶχεν, ἢ ἐκ τοῦ βαταλίζεσθαι, οἱονεὶ τύπτεσθαι. MQ.

Γελοῖος] γελοῖος ὁ γελωτοποιός, προπαροξυτόνως δὲ ὁ καταγέλαστος. MQ.

Εἰ μὴ] ἔξωθεν λάβε· οὐδαμῶς οὖν χρὴ Τίμαρχον ὑπὸ μόνης φήμης ἑταιρήσεως κρίνεσθαι, εἰ μὴ καὶ ἐμὲ καὶ τὰ ἑξῆς. M.

Βάταλον] καταπύγωνα καὶ μαλακόν. Ὠνομάσθη δέ φασιν οἱ μὲν ἀπὸ Βατάλου αὐλητοῦ μαλακοῦ, οἱ δὲ ἀπὸ ποιητοῦ κατεαγότα κρούματα γράφοντος. Διόπερ καὶ Δημοσθένη διὰ μαλακίαν οὕτως ὀνομασθῆναι. Λελοιδόρηνται γὰρ αὐτῷ πάντες εἰς μαλακίαν. Εἰσὶ δ' οἱ βάταλον προσηγόρευον τὸν πρωκτόν· καὶ Δημοσθένην ἐκ μεταφορᾶς διὰ μαλακίαν βάταλον ἐκάλεσαν. Αὐτὸς μέντοι ὁ Αἰσχίνης φησὶν ὡς Δημοσθένης ἔλεγεν ὡς ὑποκοριζομένη παιδίον αὐτὸν ὄντα ἡ τίτθη οὕτως ἐκάλεσεν. Καὶ νῦν δὲ οἱ αὐληταὶ ὑποπόδιον διπλοῦν ὑπὸ τὸν δεξιὸν πόδα ἔχοντες, ὅταν αὐλῶσι, καταχρούουσιν ἅμα τῷ ποδὶ τὸ ὑποπόδιον, τὸν ῥυθμὸν τὸν αὐτὸν συναποδιδόντες, ὃ καλοῦσι βάταλον. Δοκεῖ δέ μοι λελέχθαι Βάταλος παρὰ τὸ Εὐπόλιδος σκῶμμα· ἐκεῖνος γὰρ ὑπὸ τῶν Βαπτῶν ὀνόματα κεῖσθαι τοῖς αἰσχροῖς καὶ τριγράνην (καὶ τὸν πρωκτὸν?) βάταλον ὑπ' αὐτῶν καλεῖσθαι. M. [Cf. Harpocratio v. Βάταλος].

Τίτθης] Τίτθη ἡ τροφός, τήθη ἡ μάμμη, τηθὶς ἡ θεία. M.

128. Φήμης] Ἀθήνησίν ἐστι βωμὸς Φήμης. Κίμωνος ἐν Παμφυλίᾳ νικήσαντος ναυμαχίαν καὶ πεζομαχίαν (αὐθημερεὶ add. Q) ἔγνωσαν Ἀθηναῖοι, ὕστερον αὐτοῦ διὰ γραμμάτων τὴν νίκην σημήναντος· ὅθεν πρῶτον καὶ βωμὸν τῇ Φήμῃ ὡς θεῷ ἀνιδρύσαντο. MQ.

230. Ἐπισκήψασθαι] οἱονεὶ ἐξενεγκεῖν ψῆφον. FMQ.

131. Κομψὰ] ἀντὶ τοῦ τὰ τρυφερὰ καὶ μαλακὰ καὶ πολυτελῆ. MQ.

Χιτωνίσκους] οἱονεὶ κολοβίωνας γυναικοπρεπεῖς. Χλανίσκια δὲ τρίβωνας. FMQ.

132. Ὑπτιάζων] γαυριῶν καὶ ὑπερηφανευόμενος. FM.

Κατασκοπούμενος] ὅπερ συμβαίνει τοῖς ἀλαζόσιν. FM.

Τὴν ὅλην ἔνστασιν] οἱονεὶ αὐτὴν ὅλην τὴν ὑπόθεσιν κατὴν αἰτίαν τοῦ λόγου. FMB.

Παραφέρων] παράγων. B.

133. Συμφοράν] οἷον τιμωρίαν προξενοῦσαν τοῖς κεκτημένοις. FMQ.

135. Ἐκ τοῦ πράγματος] ἐκ τοῦ μάχεσθαι πρὸς τοὺς ἀντεραστάς. FMQ.

137. Ἀδιαφθόρως] ἤγουν ἀδωροδοκήτως, πρὸς ἀντιδιαστολὴν τοῦ λαβεῖν χρήματα δι' αἰσχρότητα. FMQ.

Ἐπαρθέντα] ἀντὶ τοῦ ἀναπεισθέντα. BFM.

138. Ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. Ἄλλως. Τὸ ἐξ ἐλαίου ἀλείφειν τὸ σῶμα, ὅπερ εἰώθασι ποιεῖν οἱ γυμναζόμενοι. B. Ἀντὶ τοῦ ἐλαίῳ ἀλείφειν τὸ σῶμα. M. Ξηροτριβεῖσθαι μὲν οὖν πρότερον, ἀλείφεσθαι δὲ ὕστερον, ὡς ἀσκητῶν τοῦτο ὄν. MQ. Ξηροτριβεῖσθαι· ὃ καὶ ἔτι νῦν γίνεται, ταῖς χερσί τινας ἔλαιον λαμβάνοντας εὐτόνως τρίβεσθαι καὶ σχηματίζεσθαι τὸ σῶμα γαύρως. Τάχα οὖν διὰ τοῦτο οὐκ ἐπέτρεψε τοῖς δούλοις (φίλοις cod.). M.

Τῷ αὐτῷ νόμῳ] κατ' ἀμφιβολίαν ἀπὸ τοῦ ἐναντίου. M. Οἷον διὰ τῆς ἐναντιότητος. FM.

139. Δημοσίᾳ] Οἱ δημόσιοι δοῦλοι ἦσαν ταύτην τὴν πρᾶξιν ἐγχειρούμενοι. FM.

Σωφρονίζει] Πῶς σωφρονίζει; τῷ μὴ διδόναι ἄδειαν αὐτῷ διαλέγεσθαι τῷ παιδί. MQ.

140. Εἴτε ἔρωτα] εἴτε ἔρως εἴτε τρόπος δέον εἰπεῖν. Πρὸς τὸ προσειπεῖν τὴν αἰτιατικὴν ἐποίησεν. Q.

141. Ἐπειδὴ δὲ] Ἐνταῦθα συγκρούει αὐτὸν τοῖς δικασταῖς M.

Δέξομεν — ἡμεῖς] πληθυντικῶς εἶπε, δέον ἑνικῶς. Ἀδιάφορον κατὰ παλαιὰν συνήθειαν. Φιλόσοφον δέ φησι τὸν Ὅμηρον διὰ τὸ παντοδαπὸν τῆς ὠφελείας τῆς ποιήσεως αὐτοῦ. FM. Φανερὸν δὲ ὅτι ἐκ παλαιοῦ φιλόσοφοι ἐλέγοντο οἱ ποιηταί. M.

149. Εὐηγενέων] ἤγουν τῶν καλὰ γένη ἐχόντων. Q.

Ἐνδυκέως] ἤγουν ἐπιμελῶς. Q.

156. Περιθώδου] δῆμος Περιθώδης. Q.

157. Τιμαρχώδεις] Τοῦτο Παρμένων ὁ κωμικὸς ἔσκωψεν εἰς Τίμαρχον τοῦτον τὸν ῥήτορα. Ἦν δὲ καὶ ἕτερος Τίμαρχος Τισίου μὲν υἱὸς τοῦ Ῥαμνουσίου, Ἰφικράτους δὲ ἀδελφιδοῦς τοῦ Ῥαμνουσίου. M.

Ἐν Κολλυτῷ] ἑνὶ τῶν δήμων. F.

Κατ' αὐτῶν] ἀντὶ τοῦ περὶ αὐτῶν, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς (p. 68, 3)· « ὅπερ ἐστὶ μέγιστον καθ' ὑμῶν ἐγκώμιον » ἀντὶ τοῦ περὶ ὑμῶν. BFMQ.

158. Ὧν ἥκιστα] ὧν ἐλάχιστα, ἀντὶ τοῦ ὧν οὐδὲ ὅλως μοι μέλει. MQ. Τοὺς πολλοὺς παρήσω τῶν αἰσχρῶν, φεύγων τὰς ἀπεχθείας αὐτῶν, ἐκείνων δὲ ἐξ αὐτῶν μνησθήσομαι, ὧν οὐδέν μοι μέλει. Τοῦτο δὲ εἶπεν ἴσως διὰ τοὺς πλουσίους, δεδιὼς αὐτῶν τὸ δυνατόν. FM.

Ἐδυσχέραινεν] ἐμίσει. F.

Τίς γὰρ ὑμῶν] Πικρὸν καὶ δριμύ. Q.

Παρήδρευεν] Ἑκάστῳ ἄρχοντι συναιρεῖται πάρεδρος πρὸς τὸ φυλάττειν τὰ πράγματα. MQ.

159. Οὐκοῦν μὴ] Ὡς τῶν δικαστῶν ἀποκρινομένων, εἰς τοὺς πεπορνευμένους, οὕτως ἀπήντησεν. M.

Συμμορίαν] τὴν τῶν ἡταιρηκότων τάξιν. M.

Αὐτομολήσης] Μεταφορὰ ἀπὸ τῶν ἐν τῇ συμμαχίᾳ ἢ πολέμῳ τοὺς ἰδίους λιπόντων καὶ προδόντων καὶ πρὸς ἀντιπάλους ἐλθόντων. Τοῦτο γὰρ λέγεται κυρίως αὐτομολεῖν B.

160. Ὅπως ἂν] εἴτε κατὰ γραμματεῖον πεποίηκεν εἴτε μή MQ.

Ἀπέστη τῆς — φιλοτιμίας] ὅ ἐστιν ἐν δευτέρῳ ἔθετο τὰ τῆς δόξης καὶ ἀρετῆς. FMQ.

Ἐπίτιμον] ἔντιμον, ἔνδοξον. M.

162. Ὁ τὴν ἡλικίαν προλαβὼν] ἀντὶ τοῦ ὁ πρεσβύτερος. BM. Καὶ γὰρ ἐπὶ πολὺ τῶν ἑαυτοῖς νεωτέρων ἐρῶσιν ἄνθρωποι. M.

163. Τὸν τοιοῦτον] τὸν μισθωθέντα ἐπὶ τῷ ἑταιρεῖν. FMQ.

Ὁ μισθούμενος] ἀντὶ τοῦ ὁ μισθωσάμενος. FM.

Ἐπωβελίαν] οἱονεὶ τὸ ἕκτον μέρος τῆς καταδίκης, ὃ ἐδίδου μὴ ἀποδείξας ὁ κατήγορος περὶ χρέους ἐνάγων, ὁ δὲ παρανόμων κατηγορῶν μὴ ἀποδεικνὺς τὰς χιλίας προσώφλεν. FM. Ἐπωβελία οὖν τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὃ προσώφειλεν ὁ ἁλούς. Ἐνομοθέτησε δὲ τοῦτο ὁ Ἀρχῖνος ἐγγράψας τῷ νόμῳ τὰ μὲν πρυτανεῖα εἶναι τοῖς δικασταῖς παρὰ τοῦ ἁλόντος, ὅ ἐστιν ἐπιδέκατον τοῦ τιμήματος, τὴν δὲ ἐπωβελίαν τῷ δημοσίῳ παρὰ τοῦ μὴ ἑλόντος. MQ. Ἄλλως. Ἐπωβελία τοῦ τιμήματος τῆς δίκης ἐστὶ κατὰ δραχμὴν ὀβολὸς ἢ ὁποσονοῦν. Τοῦτο ἐπωβελία λέγεται, ἣν τῷ δικαστηρίῳ δίδωσιν ὁ ὀφλών. M.

164. Σοφός] ὁ πανοῦργος καὶ δόλιος καὶ πολυμήχανος καὶ δεινός. B.

Οὐ πολλὴ ὀργή. F.

Στεφανοῖ] ἀντὶ τοῦ μέλλεις στεφανοῦσθαι. FM. Ὁ γὰρ εἰς ἀρχὴν καθιστάμενος ἐστεφανοῦτο. Ἢ θύων. M.

Χρὴ ποιεῖν] οἷον τοῖς ἐλευθέροις. F.

166. Παρεμβολαί] παρεμβολὴ ἡ τῶν ὁμοίων παρένθεσις. Μεταφορὰ ἀπὸ τῶν στρατηγικῶν καὶ πολεμικῶν. B.

Πολὺς] πολλὴν τοῦ Φιλίππου μνείαν ποιήσει. Ἢ οὕπω· πολὺν περὶ Φιλίππου ποιήσει λόγον. B.

168. Ἀντικρούσεις πρὸς ἕτερον παῖδα] οἷον πρὸς κῶλά τινα καὶ ᾄσματα. FMQ.

169. Τὴν τῶν λόγων εὐφημίαν] ἐπειδὴ ὑπισχνεῖται ἡμῖν ἀγαθὰ ποιήσειν πολλά, ὡς δῆλον ἐκ τούτου, ὅτι οὔπω ἦν γεγενημένη ἡ τρίτη πρεσβεία οὐδὲ κατασκαφέντες οἱ Φωκεῖς. Μετὰ γὰρ τὴν δευτέραν πρεσβείαν εὐθὺς ἐγένετο ἡ κατηγορία ὑπὸ Τιμάρχου καὶ Δημοσθένους κατ' Αἰσχίνου ὡς παραπρεσβεύσαντος. FM. Ὡς ὑπεσχημένου τινὰς ὑποσχέσεις τοῖς Ἀθηναίοις τοῦ Φιλίππου χρηστάς. M.

171. Μέγα φρονοῦσα] ἀντὶ τοῦ πλέον ζητοῦσα τοῦ δέοντος φρονεῖν. FM.

Διεχείριζε] διῴκει. F.

Ἀρίσταρχος] Περὶ τούτου πολὺς λόγος ἐν τῷ κατὰ Μειδίου λόγῳ. B. Τούτου Δημοσθένης ἑταῖρος ἦν. Φασὶ δ' ὡς λαβὼν παρ' αὐτοῦ φεύγοντος ἐπὶ φόνῳ παρακαταθήκην τρία τάλαντα, ταῦτα ἀπεστέρησεν. Δύο δὲ φόνους ἔδρασεν ὁ Ἀρίσταρχος, πρότερον μὲν Νικόδημον, αὖθις δὲ Εὔβουλον ἀνελών. M.

Εἰς τὴν φιλανθρωπίαν] εἰς τὸ προσποιεῖσθαι αὐτοῦ εἶναι φίλος. FM.

Κατάλογον] ῥητόρων ὑπ' αὐτοῦ γεγενημένων. M.

172. Φεύγει] καθὸ ἐφόνευσε τὸν Νικόδημον. FM.

Προλαβὼν] ἀντὶ τοῦ ἁρπάξας, καθὸ φεύγων κατέλειψεν αὐτῷ τρία τάλαντα, ὥστε ἀπαιτῆσαι χρεωστούμενα καὶ πέμψαι αὐτῷ ἐν τῇ φυγῇ. Καὶ οὐκ ἔπεμψεν. FMQ.

Νικόδημος] Κατὰ τοῦ κοινοῦ τὸ ἐξ ὧν. M.

Ἔπειθ' ὑμεῖς Σωκράτην] Ψεῦδος. F.

173. Κριτίαν] Κριτίας Σωκρατικὸς εἷς τῶν λ'. M.

Ἑταίρους ἐξαιτήσεται] ἀντὶ τοῦ φίλους σώσει. FMQ.

Ἰσηγορίας] ἰσολογίας. M. ὡς ἐν δημοκρατίᾳ ἔχων

ἰσηγορίαν ἠναντιοῦτο οὕτω κακῶς πολιτευομένῳ. FMQ.

Ἐργολαβῶν] οἱονεὶ περιττὰ ποιῶν καὶ οἱονεὶ διὰ τούτων τῶν ῥημάτων ὥσπερ προξενῶν ἑαυτῷ πλείονας μαθητάς. FM. Ἀντὶ τοῦ κέρδη περιποιούμενος. Οἱ γὰρ μαθηταὶ αὐτοῦ μισθοὺς αὐτῷ διδόασιν. M. Ἐφ' ὑμᾶς ἀντὶ τοῦ καθ' ὑμῶν. FM.

Παρεκβάλλων] ἀντὶ τοῦ φαυλίζων. F.

175. Διατριβὴν] ἀντὶ τοῦ πρόφασιν τοῦ ἔχειν πολλοὺς μαθητάς. FMQ.

176. Προαισθάνεσθαι] πάνυ δεινῶς. Ἐπειδὴ γὰρ ἀμάρτυρός ἐστιν ὁ ἀγὼν, διὰ τοῦτό φησι τὸ προαισθάνεσθαι. MQ.

177. Τῆς πόλεως] ἤγουν τῶν νόμων. Q.

Ἐπιπλήξεις] ἤγουν ὀβελισμούς. Q.

179. Ἐφ' ἑτέρων] πραγμάτων δηλονότι. Q.

Οὐδὲ παρ' ἑτέρου] τουτέστι παρ' οὐδετέρου. B.

180. Καλὸν δ' ἐστὶ] Τοῦτο καλεῖται ἐπιδιόρθωσις. MQ. Φοβηθεὶς γὰρ τὸ εἰπεῖν ἀλλ' οὐ Λακεδαιμόνιοι, χείρους γὰρ αὐτοὺς ἐκείνων ἐποίει, λύει τὸ ἀντιπῖπτον καί φησι· δέχομαι τὸ κέρδος οὐ διακρίνων τὸ πόθεν. M.

Γερόντων] ἕνα λέγει τῶν εἴκοσι ὀκτώ. FMQ.

Ἀρχήν] Καθὸ ἡ γερόντων ἀρχὴ λέγεται ἡ γερουσία. FMQ.

Καθιστᾶσι] Τοῦτο πρὸς τὸν Τίμαρχον εἶπεν. Ἐπειδὴ γὰρ εἶπε γέροντας, ἦν δὲ καὶ ὁ Τίμαρχος γέρων, διὰ τοῦτό φησι· καθιστᾶσι δὲ αὐτούς. MQ.

181. Ὑποδεδειλιακότων] Ὑποδεδειλιακότας καλεῖ τοὺς κακῶς ζήσαντας, καθὸ ἐν δέει οὗτοι ζῶσιν ὑποπτεύοντες ἀεὶ τιμωρίαν. FMQ.

182. Χαλεποὶ] Οὕτω, φησίν, ἐλυποῦντο εἰς τὸ θεωρεῖν τινας αἰσχύνης ἄξια τῆς πόλεως διαπραττομένους. FMQ.

Ἀνὴρ εἷς τῶν πολιτῶν] Ἱππομένης ἀπὸ Κόδρου καταγόμενος. Ἡ δὲ θυγάτηρ Λειμωνίς. Οὕτω Καλλίμαχος. BMQ.

Ἡλικίαν] πάλιν τὴν νεότητα λέγει ἡλικίαν. FM.

Ἐγκατῳκοδόμησεν] ἀντὶ τοῦ ἐν οἰκήματί τινι ἀπέφραξεν.BFM. Ἱππομένης γὰρ τὸ μὲν γένος τῶν Κοδριδῶν, βασιλεὺς δὲ Ἀθηναίων, λαβὼν ἐπὶ τῇ θυγατρὶ μοιχὸν τοῦτον μὲν αἰκισάμενος ἀπέκτεινε, τὴν δὲ θυγατέρα καθεῖρξεν ἐν οἰκήματι μεθ' ἵππου. Ὁ δὲ λιμώττων κατέφαγε τὴν ἄνθρωπον, καὶ ὕστερον καὶ αὐτὸς ὑπὸ λιμοῦ ἀπέθανεν. BM. Καλεῖται δ' ἔτι καὶ νῦν ὁ τόπος ἐν ᾧ καθείρχθησαν Παρ' ἵππον καὶ κόραν. M.

Παρ' ἵππον καὶ κόραν] ἴσως ἐκαλεῖτο ἱπποκόρειον. B.

Ἀρχαίως] κοσμίως. F.

183. Δημοτελῆ] τὰ δημόσια. Ἦσαν γὰρ καὶ ἰδιωτικὰ ἐν τοῖς οἴκοις τοῖς ἰδίοις, ὧν οὐκ ἀπείργοντο. M.

Ἀνάπηρον] βεβλαμμένον τὸ σῶμα. Ἐπί τισι δὲ σημαίνει τὸ ἀνά ἐν τούτῳ. F. Ὁ μέλος τι βλαβείς, τυχὸν ἢ ὀφθαλμὸν ἢ χεῖρα ἢ πόδα ἀποβαλὼν ἤ τι τοιοῦτο. M.

187. Ὅταν οἱ τὴν —] ὅταν οἱ δικασταὶ πρόσκεινται τοῖς πόρνοις καὶ ἐν αἰσχύνῃ ζῶσιν. FMQ.

188. Θαυμάζω] ἀντὶ τοῦ καταγιγνώσκω, καθὰ πρὸς γενικὴν φέρεται. M.

Ταῖς Σεμναῖς] Τρεῖς ἦσαν, ὧν τὰς μὲν δύο τὰς ἑκατέρωθεν Σκόπας ὁ Πάριος πεποίηκεν ἐκ τῆς λυχνίτου λίθου, τὴν δὲ μέσην Κάλαμις. Οἱ δὲ Ἀρεοπαγῖται τρεῖς που τοῦ μηνὸς ἡμέρας τὰς δίκας ἐδίκαζον τὰς φονικάς, ἑκάστῃ τῶν θεῶν μίαν ἡμέραν ἀπονέμοντες. Ἦν δὲ τὰ πεμπόμενα αὐταῖς ἱερὰ πόπανα καὶ γάλα ἐν ἄγγεσι κεραμικοῖς. Φασὶ μέντοι αὐτὰς οἱ μὲν Γῆς εἶναι καὶ Σκότους, οἱ δὲ Σκότου· καὶ Εὐωνύμης, ἣν καὶ Γῆν ὀνομάζεσθαι. Κληθῆναι δὲ Εὐμενίδας ἐπ' Ὀρέστου, πρότερον Ἐρινύας καλουμένας. MQ.

Ἐπιγραφομένων] Ἐγράφετο γὰρ ἐν τοῖς ψηφίσμασιν, ὁ δεῖνα εἶπεν, Αἰσχίνης ἢ Τίμαρχος ἤ τις ἕτερος. Q.

189. Ὁ γὰρ περὶ τῶν —] ὁ γὰρ ὑπεριδὼν τοὺς νόμους τοὺς κειμένους περὶ τῶν μεγίστων πραγμάτων καὶ τὴν σωφροσύνην ὥσπερ ἐν ἕξει τινὶ γίνεται τοῦ ἀδικεῖν, καὶ τὰ ἑξῆς. F.

190. Ἀνατετροφότας] ἀπὸ τοῦ ἀνατρέπω. Καὶ Ἀριστοφάνης (Nub. 856) « τὰς δ' ἐμβάδας πῇ τέτροφας, ἀνόητε σύ; » ἤγουν ἔρριψας, ἀπώλεσας. Q.

191. Μηδὲν ἱκανὸν ἡγεῖσθαι] ἀντὶ τοῦ οὐδενὶ ἀρκεῖσθαι διὰ τὴν ἀσωτίαν. M.

Ἐπακτροκέλητα] Κέλης καὶ ἐπακτρὶς εἴδη πλοίων εἰσίν. Καὶ ἐξ αὐτῶν σύνθετον ἐπακτροκέλης, λῃστρικὸν πλοῖον. MQ. Πλοιάριον λῃστρικόν. Εἴρηται οὕτω παρὰ τὸν κέλητα, ὅπερ ἐστὶν εἶδος πλοίου μικροῦ, ὡς ἔγνωμεν ἐν τῇ β' (α' cod. M) Θουκυδίδου (v. Thuc. 4, 9. 8, 15), καὶ τὴν ἐπακτρίδα, ἥτις ἐστὶ πάλιν εἶδος πλοίου μᾶλλον λῃστρικοῦ. FM.

Ζηλώματα] οἱονεὶ τὰ ἤθη καὶ τὰς πράξεις. FMQ.

192. Ἐπαρεῖ] Ἐρεθίσει, προτρέψεται. MQ.

Ὁ καιρὸς] οἱονεὶ τὸ (μὴ) γενέσθαι πολλοὺς τοιούτους. FM.

193. Ἀποσκήψατε] τὴν ὀργὴν συνεσβάλλετε. B. Ἤγουν δίκην κεραυνοῦ ἐνεπέσετε καὶ οἱονεὶ ἐξαγάγετε τὴν ὁρμήν. Q. Ἐγκατασκήψατε καὶ προσαγάγετε ὁρμήν. FM.

194. Βοηθείαις] ταῖς ἐπὶ τῶν δικαστηρίων δυνάμεσι. Q.

Τινες] οἱ πάσχοντες δηλονότι. Q.

Ἐξαμαρτάνωσιν] ἀντὶ τοῦ πάσχωσιν αἰσχρῶς. Ὑποκατιὼν γὰρ καὶ περὶ τῶν ποιούντων λέγει. FM.

195. Ὁ νόμος] Ἀληθὲς τοῦτο· φησὶ γὰρ καὶ Λυκοῦργος δοκιμάζεσθαι δεῖν οὐ πάντας ἐπὶ τῷ ἑταιρῆσαι, ἀλλὰ τοὺς πολιτευομένους ῥήτορας καὶ τὰ ψηφίσματα γράφοντας. BM.

Τοὺς δὲ τῶν νέων] Ἰδοὺ ἐνταῦθα περὶ τῶν ποιούντων λέγει. Ἡ δὲ σύνταξις οὕτως ἔχει· τοὺς δὲ τῶν νέων θηρευτάς, ὅσοι ἐξ αὐτῶν ῥᾳδίως τῷ νοσήματι τούτῳ ἁλίσκονται, αὐτοὺς κελεύετε τρέπεσθαι εἰς τοὺς μετοίκους. Καθ' ὑπόθεσιν δὲ ὁ λόγος, ὡσανεὶ ἔλεγεν· εἰ δεῖ συγχωρεῖν τοῦτο ὅλως γίνεσθαι, εἰς τοὺς μετοίκους, ἀλλὰ μὴ εἰς τοὺς πολίτας. MFQ. Τὸ δὲ ἁλίσκονται ἀντὶ τοῦ εὐχερεῖς εἰσιν εἰς τὸ ἐρᾶν. MQ.

Ὅσοι ῥᾳδίως ἁλίσκονται] τοὺς εὐχερεῖς εἰς τὸ ἐρᾶν. B.

196. Εἰ οὖν βουλήσεσθε κ. τ. λ.] Λείπει ταῦτα ἔν τινι τῶν ἀντιγράφων. B.

II. ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.

§ 1. Τὰς τέχνας] τὰ μετ' αὐξήσεως εἰρημένα συκοφαντήματα. M.

2. Ταῦτ' εἶπεν] τοῦτο λέγει, ὅτι συνειδὼς ἑαυτῷ ψευδομένῳ οὐ δύναται ὀργίζεσθαι· τότε γάρ τις ὀργίζεται, ὅταν αἰσθάνηται τὴν ἀληθῆ ἀδικίαν. BLM.

Οὐδεὶς γὰρ] ἀντὶ τοῦ οὔτε οἱ τἀληθῆ λέγοντες οὔτε οἱ τὰ ψευδῆ. BFLM. Ἴσασι γάρ, εἴτε ἀληθῆ εἴτε ψευδῆ λέγουσιν, ὅτι οὐδὲν αὐτοῖς ἐντεῦθεν ὄφελος. BLM.

3. Οὕτω] ὥστε δικαιοπραγεῖν καὶ μὴ συκοφαντεῖν. M.

Τὴν ὑμετέραν ὀργὴν] εἰς ὀργὴν ὑμᾶς μόνον κινῆσαι θέλει. M.

Ἀπίθανος ὢν] οὐ πιστὸς ὢν, μὴ δυνάμενος πεῖσαι. Τοὐναντίον δὲ βούλεται λέγειν, ὅτι γνώριμος ὢν ἐπὶ τῇ αἰτίᾳ ταύτῃ καὶ ὁμολογουμένως δωροδόκος. BLM. Ἢ οὕτως· ἀπιθάνως τοιαύτην ὑποψίαν ἐμοὶ ἐπιφέρων. B.

4. Ψυχαγωγηθέντες] ἀντὶ τοῦ ἀπατηθέντες ὑπὸ τῆς ἡδονῆς. FL. Τουτέστι τῇ τῶν λόγων αὐτοῦ ἡδονῇ παραπεισθέντες. BLM.

Ἀντιθέτοις] τοῖς ἐξ ἀντικειμένων λεγομένοις. Ἀντίθετα γὰρ λέγουσι τὰ ἐν περιόδῳ διπλῇ ἀπὸ ἀντικειμένων, οἷον « τοὺς φίλους μὲν » λυπῶν, τοὺς δ' ἐχθροὺς εὐεργετῶν. » Ἔστι γὰρ τοῦτο δίκωλον ἀντικείμενον. Ἡδονὴν δ' ἔχει τὸ ἀντίθετον σχῆμα, οἷον (Dem. p. 315, 8) ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων. » BLM.

5. Ὑμᾶς μὲν οὖν] Τοῦτο τινὲς τρίτον προοίμιον. Ἔστι δὲ τοῦ δευτέρου συμπέρασμα. LM.

Διαφερόντως] ἀντὶ τοῦ πάνυ καὶ καθ' ὑπερβολήν. LM.

Ἀνόσιον] τὸν ἃ μὴ ἐπιτέτραπται ποιοῦντα· ὅσιον γὰρ τὸ ἐκ τῶν νόμων ἐπιτετραμμένον. BLM.

6. Παράδοξος] Ταύτην οἱ περὶ Μαρκελλῖνον προκατασκευήν φασιν· ἔστι δὲ τρίτον προοίμιον. BLM.

Ἐπηρώτα] Ταυτά φησιν εἰρηκέναι Δημοσθένην, ἃ [οὐκ] ἀπαιτητέον ἐκ τοῦ λόγου τοῦ Δημοσθενικοῦ· πολλὰ γὰρ εἰκὸς εἰπεῖν αὐτὸν ἐν τῷ ἀγῶνι καὶ παραλιπεῖν ἐν τῷ λόγῳ, δοκιμάσαντα ὡς περιττά. BLM.

Ἀπογνῶναι] οἷον μὴ καταψηφίσασθαι· ἀπὸ κοινοῦ δὲ τὸ εἰ οἷόν τε. FLM.

Ἐγὼ δ'] Ἡ λύσις· ἔστι δὲ τὸ σχῆμα περιτροπή. FLM.

Ἀπογνοὺς] ὁ μὴ καταψηφιζόμενος ἑαυτοῦ ἀδικίαν, ἀλλ' ἀπολύων τῷ μὴ συνειδέναι ἑαυτῷ ἀδικοῦντι. BLM.

8. Εὐβούλου] Οὗτος δημαγωγὸς ἔνδοξος κατὰ τοὺς περὶ Δημοσθένην γεγονὼς χρόνους· οὗ ἀποθανόντος Ὑπερείδης περὶ τῶν τιμῶν λόγον ἔγραψε. Λεγομένου δὲ τοῦ λόγου τούτου ἐπὶ τέλει ὁ Αἰσχίνης αὐτὸν συνδικεῖν αὐτῷ παρακαλεῖ. BLM.

9. Ἀτιμάζει] ἀντὶ τοῦ εὐτελίζει. F.

Ὅπου τύχοι] ἀντὶ τοῦ ἐν οἱῳδήποτε μέρει τοῦ λόγου. FLM.

10. Ἐνεχείρησε δ'] ἐπὶ τῶν διαιτητῶν εἶπε τοῦτο ὁ Δημοσθένης, οὐκέτι μέντοι καὶ ἐν τῷ δικαστηρίῳ διὰ τὸ ἀπίθανον. Ἐξῆν γάρ τινα παραιτήσασθαι ῥηθέντα παρὰ τοῖς διαιτηταῖς, πλὴν τῶν ἐγγράφων καὶ ἐμβληθέντων ἐν τοῖς ἐχίνοις. FLM.

Ἱερείας] Περὶ τὴν γραφὴν ἡμάρτηται· δεῖ γὰρ γεγράφθαι Ἱμεραίας. Τίμαιος γὰρ ἐν τῇ ἕκτῃ ἱστορεῖ γυναῖκά τινα τὸ γένος Ἱμεραίαν ἰδεῖν ὄναρ ἀνιοῦσαν αὐτὴν εἰς τὸν οὐρανὸν καὶ πρός τινος ἄγεσθαι θεασομένην τὰς τῶν θεῶν οἰκήσεις. Ἔνθα ἰδεῖν καὶ τὸν Δία καθεζόμενον ἐπὶ θρόνου, ἐφ' ᾧ ἐδέδετο πυρρός τις ἄνθρωπος καὶ μέγας ἁλύσει καὶ κλοιῷ· ἐρέσθαι οὖν τὸν περιάγοντα ὅστις ἐστὶ, τὸν δὲ εἰπεῖν, ἀλάστωρ ἐστὶ τῆς Σικιλίας καὶ Ἰταλίας, καὶ ἐάνπερ ἀφεθῇ, τὰς χώρας διαφθερεῖ. Περιαναστᾶσαν δὲ χρόνῳ ὕστερον ὑπαντῆσαι Διονυσίῳ τῷ τυράννῳ μετὰ τῶν δορυφόρων, ἰδοῦσαν δὲ ἀνακραγεῖν ὡς οὗτος εἴη ὁ τότε ἀλάστωρ δειχθεὶς, καὶ ἅμα ταῦτα λέγουσαν περιπεσεῖν εἰς τὸ ἔδαφος ἐκλυθεῖσαν· μετὰ δὲ τρίμηνον οὐκέτι ὀφθῆναι τὴν γυναῖκα, ὑπὸ Διονυσίου διαφθαρεῖσαν λάθρα. Οὗτος ἱερειάν φησιν εἶναι τὴν γυναῖκα, μηδενὸς τοῦτο ἱστορήσαντος. BLM.

11. Τερατείαν] οἱονεὶ ψευδολογίαν, καθὸ καὶ τὰ τέρατα γινόμενα ψεύδεται τὴν φύσιν. FLM.

Ἢ δ'] Δύο μέρη ἐστὶ τοῦ λόγου, σημαίνοντα καθ' ὃν δὴ τρόπον. FLM.

12. Σπονδαῖς] Οἱ καταγγελεῖς τῶν ἀγώνων καλοῦνται σπονδοφόροι καὶ ὁ χρόνος ἐκεῖνος, καθ' ὃν ἄγονται οἱ ἀγῶνες, σπονδαὶ, διὰ τὸ τοῖς θεοῖς τότε γίνεσθαι σπονδὰς ὑπὲρ τῆς Ἑλλάδος. Τὸ οὖν ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπιακαῖς ἐν τῷ χρόνῳ ᾧ τὰ Ὀλύμπια ἦγον. BLM. Ἐν γὰρ ταῖς ἐπισήμοις ἑορταῖς ἐσπένδοντο οἱ Ἕλληνες πρὸς οἱονδήποτε εἶχον πόλεμον εἰς τὸν χρόνον τῆς ἑορτῆς. BFM.

14. Ἐπιγραψάμενοι] ἀντὶ τοῦ προγράψαντες καὶ ὑποβαλόντες, ἵνα αὐτὸς κατηγορήσῃ. BFM.

Ἀπολογούμενος] ὁ Λυκῖνος δηλονότι. F.

15. Ἱκετηρίαν] Ἱκετηρία μέν ἐστιν ἡ ὑπέρ του γινομένη δέησις, ἱκετηρία δὲ οὕτως ἐγίνετο· ῥάβδον θαλλῷ ἐλαίας στέψας καθῆστο κατέχων εἰς τὸν Ἐλέου βωμὸν, μέχρις οὗ τινος ἔτυχε τῶν δικαίων. BLM.

Ἀριστόδημον] Οὗτος ἐπεκαλεῖτο μὲν Στεμφύλιος, Μεταποντῖνος δ' ἦν τὸ γένος, καὶ ἐνίκα δὶς ἐπὶ Ληναίων· διὰ τὴν γνώμην δὲ ἤτοι γνῶσιν ἢ διάνοιαν, ὡς ὄντος ἀγαθοῦ LM.

16. Ἀλλ' ἔφθασεν] Ἡ σύνταξίς ἐστιν, ἀλλ' ἔφθασεν αὐτὸν Ἰατροκλῆς ἐλθὼν ἐκ Μακεδονίας, ὃς αἰχμάλωτος γενόμενος ἀφείθη ὑπὸ Φιλίππου ἄνευ λύτρων. LM.

17. Τὴν βουλὴν] τῶν πεντακοσίων. F.

18. Τῶν δέκα πρέσβεων] Τῶν δέκα ῥητόρων ὁ σχάριφος· Ἰσαῖος λόγους σ', Ὑπερείδης λόγους ρο', Ἰσοκράτης λόγους ο', Ἀντιφῶν λόγους ν', Δείναρχος λόγους υ', Λυσίας λόγους ϛ', Λυκοῦργος λόγους η', Ἀνδοκίδης λόγους μδ', Αἰσχίνης λόγους γ', Δημοσθένης λόγους οα'. F.

19. Εἰς τὰ πράγματα] εἰς τὸ γενέσθαι εἰρήνην. F.

Οἵτινες — παραιτήσονται] οἱονεὶ συγγνώμην αἰτήσονται. FLM. Οἷον ὑπὲρ τοῦ χάριν αὐτῷ ὁμολογῆσαι τὸν δῆμον διὰ τὸ ἀγγεῖλαι τὴν εἰρήνην. F.

Τὴν ἐκμαρτυρίαν] μαρτυρία μέν ἐστιν ὅταν τινὲς μαρτυρήσωσι παρόντι τινί, ἐκμαρτυρία δὲ ἡ περὶ ἀπόντος τινὸς καὶ ἀποδήμου ὑπάρχοντος, λέγοντες ὅτι μαρτυροῦμεν ὅτι, ὅτε παρῆν, ἔλεγε τόδε. Καὶ λοιπὸν, εἰ ἐπανελθὼν ἐκεῖνος εἶπεν ὅτι οὐδὲν εἶπον, ἐκρίνοντο οὗτοι συκοφάνται. BFLM. Θέλει εἰπεῖν ὅτι ἀρραβῶνας ἦν δεξάμενος ὁ Ἀριστόδημος ἀπό τινων πόλεων πρὸς τὸ ἀγωνίσασθαι ἐν αὐταῖς. Ἦν γὰρ τραγῳδὸς, καὶ ἔδει αὐτὸν ἢ ἀγωνίσασθαι ἢ διπλοῦν τὸν ἀρραβῶνα καταβαλεῖν. Ἔδει οὖν πρέσβεων τῶν πεισόντων τὰς πόλεις μὴ διπλοῦν τὸν ἀρραβῶνα κομίσασθαι, ἀλλ' ἁπλοῦν. BFLM. Ἐκμαρτυρία ἐστὶν ὅταν μὴ εἰδὼς αὐτὸς μαρτυρῇ, ἀλλὰ φάσκῃ ἀκηκοέναι. Ἄλλως. Ἡ τοῦ μὴ παρόντος μαρτυρία καλεῖται ἐκμαρτυρία, οἷον τοῦ ἔξω ὄντος μαρτυρία. Τῶν ἀποδημούντων γὰρ καὶ τῶν μὴ δυναμένων ἐλθεῖν εἰς τὸ δικαστήριον καὶ τὰς τῶν τετελευτηκότων μαρτυρίας ἐκ γραμματείων ἀνεγίνωσκον, αἳ ἐκαλοῦντο ἐκμαρτυρίαι. BLM.

Καὶ τίς ὁ τὰς δωρεὰς] Ὑπέσχετο γὰρ, εἰ μὲν αἱ πόλεις συγχωροῖεν τὰς ζημίας Ἀριστοδήμῳ, ὀρθῶς ἔχειν, εἰ δὲ μὴ συγχωροῖεν τὸν δῆμον πείσειν δωρεὰς αὐτῷ δοῦναι ἃ καταβάλοι (λάβοι codd.) ἀλλαχόθι. BLM.

20. Ἡ — ἔνστασις] ἀντὶ τοῦ ἡ ἀρχὴ τῆς εἰρήνης καὶ ὥσπερ κρηπίς. FLM.

21. Ὁλοσχοίνῳ] Τὸ ὁλόσχοινον φυτόν ἐστιν, ᾧ χρῶνται ἀντὶ βελόνης. Ἄβροχον δὲ εἶπε· εἰώθασι γὰρ βρέ-

λεσθαι ὕδατι, ἵνα μαλακὰ γενόμενα εὔθετα γένωνται εἰς τὴν τῶν ἔργων πλοκήν. BLM. Ἄλλως. Οἱ μὲν λέγουσιν ἁπλῶς σχοίνῳ· φασὶ δὲ ὡς οἱ Ἀττικοὶ ὁλόσχοινον αὐτὸ καλοῦσιν· οἱ δέ φασιν ὅτι εἶδός ἐστι φυτοῦ ἱμαντώδους, ὡς περὶ τῶν λύγων λέγει ὁ ποιητής (Il. λ, 105). Ἀβρόχῳ δὲ λέγει οἱονεὶ ξηρῷ. Ἵνα διὰ τῶν σιάλων τοῦ στόματος φυσηθὲν ὀδύνην δῆθεν ποιήσῃ τῷ στόματι ἐν τῷ ἐρράφθαι. BFLM.

Λεωσθένην] Ὁ Λεωσθένης Ἀθηναῖος. Οὗτος ἐφυγαδεύθη Ἀθήνηθεν ὡς φιλιππίζων· καὶ ἦν παρὰ Φιλίππῳ ἐς τὰ μάλιστα τιμώμενος, ἀνὴρ εἰπεῖν δυνατός. BM. Οὗτος στρατηγὸς Ἀθηναίων καὶ δόξας ἁμαρτεῖν εἰς τὸν περὶ Ἀμφιπόλεως πόλεμον ἐφυγάδευεν. Ὕστερον δὲ κατελθὼν ἐστρατήγησεν ἐν τῷ Λαμιακῷ καὶ ἀπέθανε τρωθείς. LM.

22. Συνετάξαμεν] ἀντὶ τοῦ συνεταξάμεθα. F.

Ὡς ἔφη] προοικονομούμενος, ὡς οἶμαι, τὰ τῶν ἄλλων πάντων νοήματα ἀπανθίσειν· ἢ ἵνα πάντες αὐτὸν περιμένωσι καυχητιῶντα καὶ ἀπειλούμενον. LM.

Οὐδ' ἐγγενὴς] ἐπειδὴ διεβάλλετο ὡς πρὸς μητρὸς Σκύθης ὤν. BFLM. Ἀστὸς ἐξ ἀστῆς. BLM.

Κατ' ἐρώτησιν F.

23. Οὐδὲν ἄπρατον] Διεβάλλετο γὰρ ὡς ἡταιρηκὼς καὶ μισθοῦ λόγους γράφων καὶ δωροδοκῶν. BLM.

26. Ὑπήρξατε] ἀντὶ τοῦ προκατήρξασθε τῆς πρὸς ἐκεῖνον εὐνοίας καὶ εὐεργεσίας. BFLM.

Ἀμύντᾳ] Ἐκβληθέντα γὰρ τὸν Ἀμύνταν ποτὲ ἐκ τῆς βασιλείας ὑπὸ Θετταλῶν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι κατήνεγκαν πάλιν ἐπὶ τὴν βασιλείαν. BFLM. Θετταλοῖς γὰρ πολεμήσας καὶ μέλλων ἐκπίπτειν τῆς ἀρχῆς ἐδεήθη Ἀθηναίων· καὶ τυχὼν κατέσχε πάλιν τὴν χώραν. LM.

Τῷ Φιλίππου πατρὶ] Ἀμύντᾳ τῷ Φιλίππου πατρὶ υἱοὶ ἐγένοντο τρεῖς ἐξ Εὐρυδίκης, Ἀλέξανδρος, Περδίκκας καὶ Φίλιππος, ὃς καὶ ἐβασίλευσεν. Παυσανίας δὲ συγγενὴς τῶν περὶ Φίλιππον· ἐφυγαδεύθη οὑτοσί. BLM.

Ἀλεξάνδρου] Τοῦτον ἔκτανε Πτολεμαῖος. B.

27. Παυσανίου] Οὗτος ἦν τοῦ βασιλικοῦ γένους καὶ περὶ τῆς ἀρχῆς ἠμφισβήτει. BLM.

Τῷ καιρῷ] ἀντὶ τοῦ τῇ εὐκαιρίᾳ θαρροῦντος, καθὸ κατὰ νέων ἐπεχείρει τὴν ἡλικίαν κατὰ τῶν περὶ Φίλιππον. BFLM.

Ἀνθεμοῦντα — Στρέψαν] Ταῦτα Μακεδονίας χωρία ὀχυρά. BLM.

Αὐτῶν ἐχόντων τὴν πόλιν] ἀντὶ τοῦ αὐτονομουμένων. F.

28. Ἐνταῦθ' — μετεπέμψατο] ὡς ἐπὶ τὴν Μακεδονίαν ἀπὸ τῆς Θρᾴκης. F.

29. Πτολεμαίου] Οὗτος ἦν ὁ ἐπικαλούμενος Ἀλωρίτης, ὃς ἀνελὼν Ἀλέξανδρον τὸν Ἀμύντου, συλλαβομένης αὐτῷ πρὸς τοῦτο Εὐρυδίκης τῆς μητρὸς Ἀλεξάνδρου, καὶ γήμας τὴν Εὐρυδίκην καὶ ἐπιτροπεύσας Περδίκκου καὶ Φιλίππου παίδων ὄντων ἐβασίλευσεν ἔτη ε', καὶ ἀποθνήσκει ἀναιρεθείς, Περδίκκου αὐτοῦ τὴν ἐπιβουλὴν συστήσαντος. BLM.

Ὃς ἦν ἐπίτροπος] τῶν περὶ Φίλιππον ἔτι μικρῶν ὄντων. FM.

30. Ἀνοχὰς] Ἀνοχαί εἰσιν αἱ πρὸς ὀλίγον χρόνον ὑπερθέσεις τοῦ πολέμου, ἃς καλεῖ ὁ Θουκυδίδης ἀνακωχάς, παρὰ τὸ ἀνέχειν καὶ τέως ἀναβάλλεσθαι. BFLM. Ἀνοχὰς οὖν τὴν ἀναβολὴν τοῦ πολέμου πρὸς ὀλίγον χρόνον. LM. Οὐκ εἶπε ποίας. Ἐπλάττετο γὰρ δῆθεν. F.

Ἐκδοχὴν] οἱονεὶ διαδοχήν· διεδέξατο γὰρ τὸν ἀδελφὸν εἰς τὸν πρὸς ἡμᾶς πόλεμον τὸν ὑπὲρ Ἀμφιπόλεως. BF.

34. Τὰ ψηφίσματα] Ὅτι οἱ μὲν πρόγονοι αὐτοῦ ἀεὶ ἔγραφον πολεμεῖν, ἡμεῖς δ' ἀντεγράφομεν αὐτοῖς εἰρηνικά. BFLM.

Ἐννέα ὁδῶν] Ἠτύχησαν Ἀθηναῖοι ἐννάκις περὶ τὰς Ἐννέα καλουμένας ὁδούς, ὅς ἐστι τόπος τῆς Θρᾴκης, ἡ καλουμένη Χερρόνησος. Ἠτύχησαν δὲ διὰ τὰς Φυλλίδος ἀράς, ἣ Δημοφῶντος ἐρασθεῖσα καὶ προσδοκῶσα αὐτὸν ἐπανήξειν ἀποτελέσοντα τὰς πρὸς αὐτὴν συνθήκας καὶ ἐννάκις ἐπὶ τὸν τόπον ἐλθοῦσα, ὡς οὐχ ἧκε, κατηράσατο τοῖς Ἀθηναίοις τοσαυτάκις ἀτυχῆσαι περὶ τὸν τόπον. Τὰ δὲ ἀτυχήματα ἐγένοντο τάδε· τὸ πρῶτον μὲν Λυσιστράτου καὶ Λυκούργου καὶ Κρατίνου στρατευόντων ἐπ' Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι διεφθάρησαν ὑπὸ Θρᾳκῶν, εἰληφότες Ἠϊόνα, ἐπὶ ἄρχοντος Ἀθήνησι Φαίδωνος· δεύτερον οἱ μετὰ Λεάγρου κληροῦχοι ἐπὶ Λυσικράτους (Λυσιθέου Clinton; Λυσανίου Meier; Λυσιστράτου Krüger.)· τρίτον οἱ μετ' Εὐκλέους καὶ Θουκυδίδου· τέταρτον οἱ μετὰ Κλέωνος, ἐπὶ ἄρχοντος Ἀλκαίου· πέμπτον οἱ ἐνοικοῦντες Ἠϊόνα Ἀθηναῖοι ἐξηλάθησαν· ἕκτον οἱ μετὰ Σιμίχου στρατηγοῦντος διεφθάρησαν· ἕβδομον, ὅτε Πρωτόμαχος ἀπέτυχεν, Ἀμφιπολιτῶν αὐτοὺς παραδόντων τοῖς ὁμόροις Θρᾳξίν· ὄγδοον ἐκπεμφθεὶς ὑπὸ Τιμοθέου Ἀλκίμαχος ἀπέτυχεν, αὐτοῦ παραδόντος αὐτὸν Θρᾳξίν, ἐπὶ Τιμοκράτους Ἀθήνησιν ἄρχοντος· ἔνατον Τιμόθεος ἐπιστρατεύσας ἡττήθη ἐπὶ Καλλιμήδους ἄρχοντος. Τὰς δὲ Ἐννέα ὁδοὺς Ἅγνων συνοικίσας Ἀθηναῖος ἐκάλεσεν Ἀμφίπολιν, ἐπὶ ἄρχοντος Ἀθήνησιν Εὐθυμένους. Τὴν δὲ Φυλλίδα οἱ μὲν Φυλληΐδα, οἱ δὲ Κίασαν ὀνομάζουσι, καὶ τὸν πατέρα αὐτῆς οἱ μὲν Φίλανδρον (Φολέα Lobeck.), οἱ δὲ Κίασον, οἱ δὲ Θῆλον. Δημοφῶντι δὲ ἐκ Φυλλίδος Ἀμφίπολιν καὶ Ἀκάμαντα υἱόν φασι γενέσθαι. BLM

Θησέως παίδων] Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας. Τούτων Δημοφῶντι λέγεται δοθῆναι προῖκα τὰς Ἐννέα ὁδοὺς οὕτω καλουμένας· οὗτος δὲ παρὰ τὴν ἱστορίαν Ἀκάμαντί φησι δοθῆναι, οὐ Δημοφῶντι. BLM.

Ἐν τοῖς ἀρχαίοις μύθοις] οὐχ ὡς μύθου ὄντος τοῦ περὶ τὴν Φυλλίδα γάμου, ἀλλ' ὡς παλαιοῦ πάνυ, οὕτως εἶπεν. BLM.

32. Συμμαχίας] οἱονεὶ συλλόγου καὶ κοινοῦ συνεδρίου. FLM.

Εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας] Τὸ σχῆμα περιτροπή. F.

33. Ἀπέστη] παρεχώρησε. Q.

34. Σκοτεινὸν] ἢ ἀσαφὲς ἢ οὐδεμιᾶς λαμπρότητος ἐχόμενον καὶ οὐκ ἄξιον τῆς ἡγεμονίας τῆς πόλεως, ἀλλὰ ταπεινοῦ φρονήματος. Τεθνηκὸς δὲ οὐδὲν ἔχον φανερόν, ἀλλ' ἀφανές, ἐκ μεταφορᾶς τῶν τεθνηκότων. BFLM. Σκοτεινὸν μὲν ἀσαφές, τεθνηκὸς δὲ δειλίᾳ ἀντὶ τοῦ ταπεινόν. LM.

Μικρὸν — τῶν πραγμάτων] οὐκ ἀρξάμενος ἀπὸ τῶν κυρίων πραγμάτων. BLM.

35. Τι πεπονθέναι] οἱονεὶ συρίττειν ἢ τοιοῦτόν τι πάσχειν. Λεληθότως δὲ διασύρει τὴν δημοκρατίαν, ὡς ἐν αὐτῇ τὰ τοιαῦτα πολιτεύεται. BFLM.

Τῶν γεγραμμένων] Οἱ γὰρ μὴ δυνάμενοι ἀπὸ μνήμης εἰπεῖν γράφουσι πολλάκις ἃ μέλλουσι λέγειν. BFLM. Ἢ οὖν ὡς σκηπτόμενον αὐτὸν λέγει, ἢ ἐπειδὴ ἔγραφεν ἐν ὑπομνηστικῷ περὶ τίνος καὶ τί δεήσει λέγειν. BLM.

Διεσφάλη] γρ. παρεσφάλη, ἐπελάθετο. B.

39. Τοῦτο δὲ ἦν ἄρα ἀγχόνη (sic).] Ἀγχονὴ ἐπὶ αὐτοῦ τοῦ πάθους ὀξύνεται, ἐπὶ δὲ τοῦ βρόχου παροξύνεται. F.

40. Ἀφορμώντων] ἀντὶ τοῦ ἀναχωρούντων. Παρατήρησαι δὲ ὅτι καὶ ἐπὶ τῆς κατὰ γῆν ὁδοῦ εἴρηται ἡ λέξις. BFLM.

Παραδόξως] οἱονεὶ παρὰ τὴν φύσιν τὴν ἑαυτοῦ, καθὸ ὠμός ἐστι φύσει καὶ ἀγνοεῖ τὸ φιλάνθρωπον. BFLM.

Κέρκωψ] Τῶα ἦσαν ὠμὰ καὶ πανοῦργα οἱ Κέρκωπες, οὓς δή φασι μεταβεβληκέναι εἰς πιθήκους. LM. Οἱ Κέρκωπες γένος τι ὑπῆρχον λῃστῶν καὶ πανούργων περὶ τὴν Λιγύην (Λιβύην codd.), οὓς ἐτιμωρήσατο Ἡρακλῆς διὰ τὴν κλοπὴν τῶν βοῶν τοῦ Γηρυόνος. Ἦσαν δὲ ἀδελφοὶ δύο. Τινὲς δὲ ἐξηγοῦνται τοὺς Κέρκωπας εἶδος πιθήκων πανούργων. BFLM.

Παιπάλημα] Παίπαλα τοὺς τραχεῖς τόπους καλοῦσιν. Τὸν οὖν μὴ εὐγενῆ μηδ' ἁπλοῦν οὕτω προσαγορεύουσιν. Ἄλλως. Τοὺς μὴ εὐθεῖς ταῖς γνώμαις, ἀλλὰ πλαγίους καὶ ποικίλους οὕτως ἐκάλουν. Μετῆκται δὲ ἀπὸ τῶν ὁδῶν· τὰς γὰρ μὴ εὐθείας, ἀλλὰ πολλὰς ἐχούσας ἐκτροπὰς παιπάλους ἐκάλουν. BLM. Παιπάλημα δὲ οἷον περίτριμμα ἀγορᾶς, τὸ λεγόμενον ἀεὶ ἐν τῇ συνηθείᾳ ὡς περὶ πανούργου τινός. Κυρίως δὲ παιπάλημα λέγεται τὸ λεπτότατον τρίμμα τοῦ ἀλεύρου. BFLM. Cf. schol. Arist. Nub. 260.

Παλίμβολον] οἱονεὶ εὐμετάβλητον, παρὰ τὸ πάλιν μεταβάλλεσθαι, ὅ ἐστιν εἰς τοὐπίσω καὶ ἐξ ὑποστροφῆς, ὡς ὁ ποιητής (Il. Θ, 266)·

Παλίντονα τόξα τιταίνων. BFLM.

Ἄλλως. Τὸν σφόδρα μεταβάλλοντα ἢ καὶ μεταστρέφοντα τὰ πράγματα· ἢ τρίβωνα ἐν πράγματι καὶ περίτριμμα. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πάλαι κύβων καὶ ἀστραγάλων, ἀπὸ τοῦ πάλιν βάλλεσθαι.

Τὰ τοιαῦτα ῥήματα] οἱονεὶ τὰ περὶ τῶν πανούργων λεγόμενα. Ἐν μέρει δέ, ὅ ἐστι χωρὶς τῶν ἄλλων ἕκαστον. (§ 41) Ἔρανον δὲ συστήσειν φησὶν ἀντὶ τοῦ, ὥστε τρέφεσθαι ἀπὸ δημοσίων χρημάτων BFLM. Ἄλλως. Ὥστε ἕκαστόν τι αὐτῷ δοῦναι πρὸς χρῆσιν ἀργύριον· πᾶν γὰρ ὃ πολλοὶ διδόασιν ἀργύριον εἰς χρῆσιν ἔρανος καλεῖται. Κἂν μὴ πρὸς χρῆσιν δέ, ἀλλὰ δωρεάν. Ἢ ἔρανον τὴν παρὰ τῶν φίλων συνεισφορὰν καὶ ἐπίδοσιν. BLM.

Βοηθήσειν τοῖς ἰδίοις] ἐπανορθώσαντα τὰ ἴδια αὐτοῦ πράγματα, τὰ ἰδιωτικά. LM.

42. Ἐπαφρόδιτον] ἀντὶ τοῦ χαρίεντα. F.

Ὁ Σίσυφος] Καὶ γὰρ Σίσυφος ὁ Αἰόλου πανοῦργος ἐνομίσθη. BFLM. Ἐπὶ πανουργίᾳ γὰρ οὗτος διεβέβλητο. Ἐπὶ τοῦ πανούργου οὖν καὶ κακοπράγμονος χρῶνται τῷ ὀνόματι. BLM.

43. Ἀναισθήτως — προορωμένων] οὐ συνιέντων οὐδ' ἐννοουμένων τὴν ἐνέδραν. LM.

Συνθήκην] τὴν ὁμολογίαν. LM. Οἷον εἰς τὸ συνθέσθαι. FLM.

47. Προσεπιπονῆσαι] πρὸς τῷ ἤδη πόνῳ ἔτι πονῆσαι. F.

Φωκέων αἰτίας] κατηγορίας. F

44. Θεάσασθαι] Τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διόρθωσιν. BLM.

45. Ἐπὶ κεφαλαίων] ἀντὶ τοῦ συντόμως αὐτὰ τὰ κεφάλαια λέγοντες. BFLM.

Ἐπιστολὴν δέ φησι τὴν περιέχουσαν περὶ τῆς εἰρήνης καὶ ἐπαγγελλομένην πολλὰ ἀγαθὰ ποιήσειν τοὺς Ἀθηναίους, ἐὰν γένηται. BFLM.

Καὶ τὴν Ἑστίαν ἐπώμοσε τὴν βουλαίαν] Διὸς ἦν βωμὸς ἐν τῇ βουλῇ. Τὴν Ἑστίαν οὖν λέγει τὴν βουλαίαν τὸν βωμὸν αὐτοῦ, τοῦ Διός, τὸν ὄντα ἐν τῇ βουλῇ. Ὤμοσε δὲ καθὸ βουλευτὴς ἦν. Ἢ Ἑστίαν λέγει βουλαίαν οἱονεὶ τὴν τράπεζαν, διότι ἔστιν ὅτε συνεδείπνουν ἀλλήλοις οἱ βουλευταί. BFLM.

46. Οὐ ψευσαίμην] ἀντὶ τοῦ ἀποτυχεῖν ἐποίησα ὡς κακῶς περὶ ἐμοῦ δοξασάντων. FLM.

Τὸ γάρ ἐνταῦθα ἀντὶ τοῦ δὴ κεῖται. F.

48. Ἐντεύξεως] συντυχίας. F.

49. Τερατευσάμενος] Τερατῶδες ποιήσας σχῆμα καὶ ἀηδὲς διὰ τοῦ προσώπου καὶ σχήματος. FLM.

Ἐπισημαινόμενον δέ φησιν ἀντὶ τοῦ ἐπαινοῦντα. FLM

Ἐπαινοῦντα καὶ ἀποδεχόμενον. B

Θαυμάζειν δέ φησιν ἀντὶ τοῦ καταγινώσκειν, ἐπειδὴ πρὸς γενικὴν φέρεται. FLM. Ἤγουν καταγινώσκειν. Q.

Οἱ μὲν τὸν τοῦ — συμβουλεύειν] τί δεῖ ἀποκρίνασθαι πρὸς τοὺς πρέσβεις τοὺς Φιλίππου τοὺς ἐλθόντας περὶ τῆς εἰρήνης. BFLM.

Ὑπερόριον λαλιὰν] οἷον μάτην ἀναλίσκουσι τοὺς χρόνους, τὰ ἔξωθεν τοῦ πράγματος διαλεγόμενοι. Τὴν πολλὴν καὶ μακράν. Ἄλλως. Ὑπερόριον λαλιὰν τὴν ἔξωθεν τοῦ πράγματος ὁμιλίαν· τὰ γὰρ ἔξω τῶν ὅρων πραχθέντα ἀπαγγέλλουσιν. Ὁ δὲ αὐτὸν τὸν λόγον λαλιὰν εἶπεν, ὡς φλυαρίαν. Ἢ ὑπερόριον, τὰ ἐν Μακεδονίᾳ Ἀθήνησι λέγοντες. BLM.

51. Ὡς πονηρὸς] καθὸ οὐκ ἐᾷ τοὺς συμπρέσβεις τὰ καθ' ἕκαστα λέγειν. BFLM.

Τὴν τύχην] τὴν εὐτυχίαν. FLM.

55. Ἐμοὶ δ' οὐ χείρων] Τοῦτο ὡς πρὸς τὸν λόγον τὸν ἄνω εἰρημένον ὅτι ἐπιδέξιός ἐστιν ὁ Φίλιππος ἐν τῇ τραπέζῃ καὶ ἡδὺς καὶ χαρίεις. Δεινὸς δὲ ἀντὶ τοῦ δυνατός. F. Ἢ ὡς εὐπρεποῦς ὄντος ἢ ὡς δυσειδοῦς. LM.

55. Θέαν] τόπον ἐν τῷ θεάτρῳ, ἐν ᾧ καθεζόμενοι θεῶνται τοὺς ἀγῶνας ἐν τοῖς Διονυσίοις. BLM.

56. Τὴν μὲν τοίνυν] πληρώσας τὴν κατάστασιν ἐνταῦθα λοιπὸν ἐπιλογίζεται. BLM.

Τῶν μὲν γὰρ ἀπηγγελμένων] ἀρχὴ τῶν ἀγώνων. Εἰσὶ δὲ τὰ σημεῖα, ἅπερ ἐστὶ τοῦ στοχασμοῦ ἰσχυρότατον κεφάλαιον, διὸ καὶ αὐτοῖς ἀρκεῖται ἕως τέλους σχεδὸν εἰπεῖν. BFLM.

57. Δεινῶς] ἀντὶ τοῦ μάλιστα καὶ πολὺ πλέον. FLM.

Αἱρέσεως] τῆς χειροτονίας. F.

59. Παράσχῃ] δευτέρου προσώπου ὑποτακτικοῦ. FLM. Δείξῃς. Q. ὄντα] πρὸς τὰ ψηφίσματα συνταχτέον. FL.

60. Κατὰ τὸν νόμον] ἀντὶ τοῦ ὡς ὁ νόμος κελεύει, εὐτάκτως καὶ καλῶς FLM.

Τῶν συνέδρων] Συνέδρους καλεῖ τοὺς συμμάχους. BF. Ἢ τοὺς παρὰ τῶν συμμάχων πεμφθέντας. B.

61. Παρανάγνωθι] οἷον παρὰ τὸ τῶν συμμάχων, ἀντὶ τοῦ εὐθὺς μετ' αὐτό. FL.

Τοὺς πρυτάνεις] ἐπειδὴ πρὸ τῆς ἐκκλησίας ἔγραφον αὐτοί, οἱ πρυτάνεις, περὶ τίνων ἡ ἐκκλησία μέλλει βουλεύεσθαι. BFLM.

Τὴν ἐν Διονύσου] Ἐν τῷ θεάτρῳ αὐτῷ μετὰ τὴν ἑορτὴν ἐκκλησία ἠθροίζετο, ἐν ᾗ οὐδὲν ἕτερον ἢ τὰ περὶ τῆς ἑορτῆς ἐσκοποῦντο καὶ τοὺς πλημμελήσαντας περὶ αὐτὴν ἐκόλαζον. BLM.

Προὐφαιρῶν] οἱονεὶ προαρπάζων καὶ ἐπείγων γενέσθαι, ἵνα ἐκκλείσῃ τοὺς Ἕλληνας τῆς εἰρήνης. BFLM.

62. Τῶν μὲν ψηφισμάτων ἀμφοτέρων] τῶν συμμάχων

δηλονότι καὶ τοῦ Δημοσθένους. BLM. Αὐτοῖς (§ 64) δὲ, τοῖς δικασταῖς δηλονότι. B.

65. Λόγον δὲ μὴ προτιθέναι] Γεγράφει γὰρ ὁ Δημοσθένης ἐν τῷ ψηφίσματι, τῇ δευτέρᾳ ἡμέρᾳ μόνον ἐπιψηφίζειν, ὅ ἐστι κυροῦν, συμβουλεύειν δὲ μηδένα. Πῶς οὖν, φησὶν, ἔμελλον Φιλοκράτει συνηγορεῖν, μὴ οὔσης ἀδείας διὰ τὸ ψήφισμα; BLM.

66. Πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς] γρ. ἐφημέρους. BLM. Καιροὺς λέγει ἐνταῦθα τὰς χρείας. Πρὸς γὰρ τὰς χρείας περιπιπτούσας οὕτω καὶ τοὺς λόγους μεταβάλλουσιν. BFLM.

Προτεθέντων] προβληθέντων. Q.

Τοὺς αὐτοὺς ἀκροατὰς] τοὺς μέλλοντας καὶ ἐν τῇ ἑξῆς ἡμέρᾳ ἀκοῦσαί μου τἀναντία. FLM.

67. Ἐρχιέα] ἀπὸ δήμου. F.

Ἐπεψήφιζε] ἀντὶ τοῦ ὑπεβάλλετο τῷ δήμῳ καὶ ἠκύρου τὰ ψηφισθέντα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ. FLM.

68. Ἐπιδείξασθαι] πρὸς τὸ « μαρτυρεῖ Ἀμύντωρ » συντακτέον Δημοσθένην ἐπιδείξασθαι F.

Ἐκκλήτευε] ἀντὶ τοῦ ἐκκαλοῦ ἐπὶ ὅρκον, ὅ ἐστι, τῇ σῇ φωνῇ κάλεσον αὐτὸν, ὦ κῆρυξ. Ἐκινδύνευε γὰρ ὁ καλούμενος καὶ μὴ ὑπακούων, ὡς καταφρονῶν τῶν νόμων. BFLM.

70. Στρατηγόν] τὸν Χάρητα. BF.

Εἰς τὸ συνέδριον] οἱονεὶ εἰς τὴν πόλιν τῶν Ἀθηναίων. Συνέδριον δὲ αὐτὴν καλεῖ, καθὸ οἱ σύμμαχοι εἰς τὴν ἡγουμένην πόλιν συνῄεσαν συνεδρεύσοντες καὶ βουλευσόμενοι. BFLM.

Καταχρήσασθε] ἀντὶ τοῦ φονεύσατέ με. BFLM. Ἢ καταδικάσατε. BLM.

71. Ἐν τοῖς ἀγῶσιν] οἷον ὅταν πολλάκις τινὲς αὐτοῦ κατηγορήσωσιν. BFLM.

Ἀλαζονείας] ψευδολογίας καὶ προσποιήματα. BLM.

Δηϊάρην—Πολυφόντην] Οὗτοι ξενικῶν στρατευμάτων καὶ μισθοφορικῶν ἡγεμόνες. BLM. Τούτους λέγει ἡγουμένους τῶν ξενικῶν στρατευμάτων, οὓς παρέφερον οἱ περὶ τὸν Χάρητα εἰς μαρτυρίαν, λέγοντες ὅτι εἰς τούτους ἀνηλώσαμεν. Δραπέτας δὲ οἱονεὶ πλανωμένους τινὰς καὶ μὴ ἔχοντας πατρίδας. BFLM.

Κατῆγον] οἱονεὶ ἐπειράτευον, ἐλῄστευον, καὶ ὡς ἑαυτοὺς ληστρικῶς κατῆγον τοὺς πλωϊζομένους. B.

72. Μυοννήσου] μικρὰ νῆσος, ἣν λησταὶ καταλαβόντες καὶ ἀπ' αὐτῆς ὁρμώμενοι τοὺς πλέοντας ἐλῄστευον. BLM.

Λήμνου—Σκύρου] αὗται νῆσοι Ἀθηναίων ὑπήκοοι. B.

Συγκλήτους] Ἐξαίφνης ἐπὶ ἑκάστῳ τῶν προσπιπτόντων ἐκκλησίαι συλλεγόμεναι ἐκαλοῦντο σύγκλητοι· αἱ δὲ κατὰ μῆνα ὡρισμέναι ὀνομάζονται κύριαι. LM. Σύγκλητος ἐκκλησία ἐκαλεῖτο ἡ μὴ κατὰ τὸν νόμον μηδὲ κατὰ τὸ ἔθος γινομένη, ἀλλὰ ἐκ τοῦ παραχρῆμα καὶ κατὰ χρείαν τινά, οἷον εἴ τι ἐξαίφνης κατεπείξειεν. B.

73. Τὸν ἐπὶ τῶν ὑπηρετικῶν] Τὰ λεπτὰ πλοῖα καὶ ταῖς τριήρεσιν ἐφελκόμενα πρὸς ὑπηρεσίαν καλεῖται ὑπηρετικά. M. Λείπει τεταγμένοι. Ἀρχὴ δέ τις ἦν τεταγμένη ἐπὶ τῷ ἐπιμελεῖσθαι τῶν κωπῶν καὶ τῶν ἀρμένων καὶ τῶν τοιούτων, ὑπὸ τὴν τῶν ἀποστολέων οὖσα καὶ ὑποτεταγμένη αὐτῇ. FM.

74. Οἱ συντεταγμένοι] οἱονεὶ οἱ φατριάζοντες καθ' ἡμῶν καὶ τῆς σωτηρίας τῆς πόλεως. FM.

Τὰ προπύλαια] ἅπερ ἔστησαν δι' ἀρετῆς. FLM. Ἦσαν δὲ πρὸ τῶν πυλῶν τῆς ἀκροπόλεως ἀνακείμενα ἀγάλματα. LM.

75. Τολμίδου] Οὗτος περιπλεύσας Πελοπόννησον μετ' Ἀθηναίων ηὐδοκίμησε λαμπρῶς καὶ Βοιὰς (Εὔβοιαν codd.) καὶ Κύθηρα εἷλεν ἄρχοντος Ἀθήνησι Καλλίου. Ἐνέπρησε δὲ ὁ Τολμίδης καὶ τὰ νεώρια Λακεδαιμονίων LM.

76. Δεκελείας] Δεκέλεια δῆμος τῆς Ἀττικῆς τῆς Ἱπποθοωντίδος φυλῆς. Ταύτην ἐπετείχισαν Λακεδαιμόνιοι Ἀθηναίοις κατ' Ἀλκιβιάδου γνώμην, καὶ ἐξ αὐτῆς ὁρμηθέντες κατέσχον τῆς πόλεως. LM.

Νομῇ χρημάτων] Προήχθησαν οἱ ῥήτορες ὑπὸ τῶν δήμων διὰ τὸ τῶν πλουσίων κατηγοροῦντας ἀφαιρεῖσθαι αὐτοὺς τὰ χρήματα καὶ δημοσιεύειν, ἃ διενέμετο τῷ ὄχλῳ. LM.

77. Ἁρμοστήν] Λακεδαιμόνιοι ἐπολιτεύσαντο ἐν τοῖς Ἕλλησιν ὡς προστάται καὶ κηδεμόνες τῶν πόλεων. Ἀθήνηθεν γὰρ ἐξέβαλον τοὺς Πεισιστρατίδας, ἐκ δὲ Νάξου Λύγδαμιν τύραννον, τοὺς δὲ ἀπὸ Κλεισθένους ἐκ Σικυῶνος. Ὁπότε οὖν στασιάζουσαν πόλιν ἁρμόσειαν, κατέλειπον αὐτόθι σφῶν ἄρχοντα, ὃν ἐκάλουν ἁρμοστὴν, πρὸς τὸ ἁρμόζειν τὴν πόλιν καὶ μὴ ἐᾶν στασιάζειν. LM.

78. Οὔτ' εἰδὼς οὔτ' ἐπιδὼν] εἰδὼς λέγει οἷον γνοὺς αὐτοῦ τὸν τρόπον· τὸ δὲ ἰδὼν, οὐ θεωρήσας αὐτὸν ἐν τῇ νεότητι αὐτοῦ ὅτε ἐπολιτεύετο καὶ ἐδημοσίευεν. FLM.

Νομάδων Σκυθῶν] ἔθνος ἐστὶ Σκυθικὸν, οἱ καλούμενοι ἀμάξοικοι. LM. Ὡσανεὶ ἔλεγε, καὶ ταῦτα οὐδὲ ἀπὸ εὐγενῶν τινῶν Σκυθῶν, ἀλλὰ νομάδων καὶ βιοπλανῶν. FLM.

Τοῦ Βουζύγου] τοῦ ὄντος ἐκ τοῦ γένους τῶν Βουζυγῶν, Ἐν γὰρ ἦν καὶ τοῦτο γένος τίμιον παρὰ τοῖς Ἀθηναίοις, ἐξ οὗ ἐγίνετο ἡ ἱέρεια τῆς Ἀθηνᾶς. Βουζύγης δὲ ἐκλήθη Ἐπιμενίδης Ἀθηναίων τῶν πάλαι, ὅστις πρῶτος ζεῦγος βοῶν ἔζευξεν. Ὅθεν καὶ τὸ ἄροτρον αὐτοῦ ἀνέκειτο ἐν τῇ ἀκροπόλει πρὸς μνήμην. FLM.

79. Ἐν τοῖς μυρίοις] Μύριοι Ἀρκάδων συνέδριον ἐν Μεγαλοπόλει. B.

Ἐστιγμένος αὐτόμολος] ἐπειδὴ οἱ φυγάδες τῶν δούλων ἐστίζοντο τὸ μέτωπον, ὅ ἐστιν ἐπεγράφοντο « κάτεχέ με· φεύγω. » Ἢ ὅτι ἐστίζοντο οἱ αὐτόμολοι, ἵνα γνωρίζοιντο καὶ μὴ ἀδικοῖντο παρὰ τῶν πολεμίων. Ἢ ἐπειδὴ Ξέρξης Θηβαίους αὐτομολήσαντας ἔστιζεν. LM.

Περιορώντων] οἷον περισκοπούντων. F.

Συνίστην] ἀντὶ τοῦ ἅμα ἐποίουν ὁμονοῆσαι κατὰ Φιλίππου. FLM. Συνίστην δὲ τότε ταὐτὰ φρονεῖν καὶ βοηθεῖν ἀλλήλοις. LM.

Συνεπιστρατευόντων] καθ' ἡμῶν δηλονότι μετὰ Φιλίππου στρατευόντων. LM.

80. Οὐ τοῖς—νικήσασιν] οὐ τοῖς πρέσβεσιν, ἀλλὰ τοῖς στρατηγοῖς. FLM.

81. Ἐν τῇ ὑστέρᾳ] ἀντὶ τοῦ ἐν τῇ δευτέρᾳ· περὶ ταύτης γὰρ ἐγκαλεῖται. Ὁμηρεύοντα δὲ λέγει ἀντὶ τοῦ ὅμηρον ὄντα καὶ ἐνέχυρον κατεχόμενον ὑπὲρ Κερσοβλέπτου τοῦ πατρὸς αὐτοῦ, καθὸ, φησὶν, ἦν χειρωθείς. FLM. Βυζάντιοι καὶ Περίνθιοι καὶ Ἀμάδοχος ὁ Θρᾲξ Κερσοβλέπτῃ τῷ βασιλεῖ μέρους Θρᾴκης ὑπὲρ ἀμφιλόγου χώρας ἐξηνέγκαντο πόλεμον, οἷς Φίλιππος συλλαμβανόμενος ἐπολέμησε Κερσοβλέπτην καὶ ἠνάγκασε τήν τε ἀμφίλογον παρεῖναι τοῖς ἐγκαλοῦσι καὶ φιλίαν αὐτῶν καταστήσας ἐβεβαιώσατο τὸν βασιλέα, ὅμηρον παρ' αὐτοῦ λαβὼν τὸν υἱὸν, καὶ ἀπήγαγεν εἰς Μακεδονίαν. FLM.

82. Λαγχάνει προεδρεύειν] Εἷς ὢν τῶν τότε βουλευτῶν, ὡς ἀνωτέρω εἴπομεν, ἔλαχε γενέσθαι πρόεδρος. Ἀπὸ γὰρ

τῶν βουλευτῶν ἐγίνοντο καὶ οἱ πρυτάνεις καὶ οἱ πρόεδροι ἀπὸ κλήρου κατὰ φυλήν, ὡς ἔγνωμεν. FLM.

83. Κριτόβουλος] ὁ Κερσοβλέπτου τοῦ Θρᾴκης βασιλέως πρεσβευτής. B.

Συναναγραφῆναι—συμμάχοις] ἵνα, ὥσπερ οἱ Ἀθηναίων σύμμαχοι οἱ ἄλλοι ἐδίδοσαν ὅρκους τοῖς παρὰ Φιλίππου, οὕτω καὶ ὁ Κριτόβουλος δῷ ὑπὲρ Κερσοβλέπτου, ὡς ὄντος ἐκείνου ἑνὸς τῶν συμμάχων. BLM.

84. Ἐπιψηφιεῖν] ὁπότε ἐν τῇ ἐκκλησίᾳ ψήφισμα γραφείη, ἐπιψηφίζουσι πρότερον αὐτὸ οἱ πρόεδροι, εἶτα τῷ δήμῳ ἀναγινώσκεται. Ἐπιψηφίζειν δέ ἐστι τὸ ἐπί τινι ψῆφον φέρειν. BLM. Οἱονεὶ ὑποβάλλειν, ὥστε κυρῶσαι τὸν δῆμον. BFLM.

Οὐδὲ λύσειν—εἰρήνην] ἐπεὶ ἐν ὑποψίᾳ ἦν Κερσοβλέπτης (οὐ γὰρ ἂν ὡμήρευεν ὁ παῖς αὐτοῦ), οὐ καλῶς ἔχει, φησί, διὰ τὸ τοῦτον ἐγγραφῆναι σύμμαχον λύεσθαι τὴν πρὸς Φίλιππον εἰρήνην. LM.

Οὐδὲ γινώσκειν—τῶν ἱερῶν] Ἡ σύνταξις οὕτως ἔχει· καὶ οὐκ ἔφη γινώσκειν τοὺς συνεφαπτομένους τῆς εἰρήνης (λέγει δὲ τὸν Κερσοβλέπτην) ὥσπερ οὐ γινώσκειν ἔφη τοῖς σπένδουσι τοὺς συνεφαπτομένους τῶν ἱερῶν. F. Ἐπεὶ ἱερὰ γίνεται ἐν τοῖς ὅρκοις τῆς συμμαχίας καὶ εἰρήνης. Οὐχ ὁρῶ, φησί, τὸν σύμμαχον, ὃς αὐτῶν μόνων τῶν ἱερῶν ἐφάπτεται, ὥσπερ οἱ σπένδοντες, ὡς οὐ παρεχομένου ἑαυτὸν τοῦ Κερσοβλέπτου εἰς τἄλλα τὰ συμμαχικὰ δίκαια. LM.

Ἀποδοθῆναι—ἐκκλησίαν] Ἤδη γὰρ προεγεγένητο ἡ ἐκκλησία, ἐν ᾗ περὶ τῆς εἰρήνης ἐβουλεύοντο, καθ' ἣν τὸν Κριτόβουλον ἀξιοῖ παραγενόμενον τότε ἐπὶ ταύτην ὑπαντᾶν, μὴ ὅτε ἐκείνη ἐξῆκεν. Κριτόβουλος δὲ Κερσοβλέπτου τοῦ Θρᾳκὸς βασιλέως πρεσβευτής. LM.

Καὶ τοὺς προέδρους—καλούντων] ὅπως ἀναστάντες εἴποιεν ὃ προαιροῦνται πρὸς Δημοσθένην· οὗτος γὰρ ἠναντιοῦτο τῇ ἐπιψηφίσει. LM.

85. Ἐν τῷ στρατηγίῳ] Οἶκός τις δημόσιος ἦν, ἔνθα συνῄεσαν οἱ στρατηγοί, ὥσπερ ἀρχεῖα ἐκάλουν ἔνθα συνῄεσαν οἱ ἄρχοντες. BFLM.

86. Ἀπὸ τῶν ἱερῶν] Νῦν ἱερὰ λέγει τὰ ἱερεῖα τὰ καλούμενα τόμια, καθ' ὧν ὤμνυον. Ἡ ἱερῶν λέγει τῶν ἐπὶ τοῖς ὅρκοις θυομένων. BLM.

87. Κατ' ἀνδρὸς—ὑμετέρου] κατ' ἀνδρὸς, ὃς πολίτης ἐστὶν Ἀττικὸς, οὐ Σκύθης, ὡς Δημοσθένης. B.

Ἐπὶ Παλλαδίῳ] Ἐπὶ τούτῳ ἐκρίνοντο οἱ ἀκούσιοι φόνοι. Οἱ δὲ ἐν τούτῳ τῷ δικαστηρίῳ δικάζοντες ἐκαλοῦντο ἐφέται, ἐδίκαζον δὲ ἀκουσίου φόνου καὶ βουλεύσεως καὶ οἰκέτην ἢ μέτοικον ἢ ξένον ἀποκτείναντι. Ὠνομάσθη δὲ ἐντεῦθεν. Ἀργεῖοι τὸ Παλλάδιον ἔχοντες τὸ ἀπὸ Ἰλίου καὶ ἐκ Τροίας ἀνακομιζόμενοι ὡρμίσαντο Φαληροῖ, καὶ αὐτοὺς τῶν ἐγχωρίων τινὲς ἀκουσίως ἀναιροῦσιν. Μενόντων δὲ ἐπὶ πολὺν χρόνον τῶν νεκρῶν ἀδιαφθόρων καὶ ἀψαύστων ὑπὸ θηρίων, πολυπραγμονήσαντες οἱ ἐγχώριοι ἔγνωσαν παρ' Ἀκάμαντος ὅτι Ἀργεῖοι ἦσαν, καὶ τὸ Παλλάδιον εὑρόντες ἱδρύσαντό τε παρὰ τῇ Ἀθηνᾷ τῇ Φαληροῖ, καὶ τοὺς νεκροὺς θάψαντες δικαστήριον ἐποίησαν ἐκεῖ τοῖς ἐπὶ ἀκουσίῳ φόνῳ φεύγουσιν. LM.

Κατέδειξαν] ἀπέδειξαν. B.

Τέμνοντας] τὰ ἱερὰ τόμια λέγουσι. Τέμνειν δὲ τὸ θύειν τὰ τόμια. LM.

88. Ἦ που] πολὺ πλέον. F.

Ἆρ' οὖν] Οὐκ ἔστιν ἔμψυχον τουτὶ τὸ χωρίον οὐδ' ἀληθινόν. LM.

89. Κάλλιστον γὰρ] δηλονότι τὰ δημόσια γράμματα. B.

Κατευημερηκὼς] οἷον εὐδοκιμήσας ἑλεῖν τὴν ἐκκλησίαν, ὡς καλῶς πρεσβευσάμενος. FLM.

Ταῦτα μὴ ποιεῖν] τουτέστι μὴ πολιορκεῖν Κερσοβλέπτην. BL.

Ὠρεῷ] Τῆς Εὐβοίας πόλις Ὠρεός. LM.

Προξενίας κατασκευαζόμενοι] γινόμενοι πρόξενοι. Πρόξενοι δέ εἰσι πόλεων οἱ ἐν ταῖς αὐτῶν πατρίσι τῶν πόλεων ἐκείνων προϊστάμενοι, ὧν εἰσι πρόξενοι. LM.

90. Τὸ Ἱερὸν ὄρος] Γράφεται τὸ Ἡραῖον ὄρος. Ἔστι δὲ κατὰ στόμα Πόντου ἐμπόριον. BL. Τόπος τῆς Ἀψινθίων χώρας ἐν Θρᾴκῃ. Καλεῖται δὲ πληθυντικῶς Ἱερὰ ὄρη. LM.

93. Τὴν ἐπιβολὴν] οἱονεὶ ζημίαν καὶ καταδίκην. F. Τὴν ζημίαν, τὸ ἐπιτίμιον. B.

Οὐκ ἐπεξιὼν] οὐκ εἰσῆλθες εἰς τὴν ἐν Ἀρείῳ πάγῳ βουλήν. Ἐγράψατο γὰρ ὁ Δημοσθένης Δημομέλην τὸν ἀνεψιὸν τραύματος ἐκ προνοίας, καὶ δωροδοκηθεὶς οὐκ εἰσῆλθεν. Ἐπιβολὴν δὲ οἱονεὶ ζημίαν καὶ καταδίκην. LM.

Ἐπιτεμὼν—κεφαλὴν] Θέλει εἰπεῖν ὡς ὅτι οὐδὲ ὁ ἀνεψιὸς αὐτοῦ ἐτραυμάτισεν αὐτὸν, ἀλλ' αὐτὸς ἑαυτὸν, ἵνα συκοφαντήσῃ ἐκεῖνον. FLM. Διαβάλλεται γὰρ ὁ Δημοσθένης ὡς ἐπιτεμὼν ἑαυτοῦ τὴν κεφαλὴν ἐγράψατο Δημομέλην. Ἦν δὲ Δημομέλης ἀνεψιὸς αὐτοῦ. LM.

Τούτοις] τοῖς δικασταῖς καὶ τοῖς περιεστηκόσιν. Γράφεται καὶ τοῦτο. BL.

Νόθος] οὐ διὰ τὸ ἐκ παλλακίδος εἶναι, ἀλλὰ τὸ ἐκ διαφόρου γένους, ὥσπερ τὸν ἡμίονον λέγομεν νόθον εἶναι. LM.

94. Ἀμφικτύονας] ὅτι Θηβαῖοι καὶ Θετταλοὶ καὶ Λοκροὶ συνῆσαν τῷ Φιλίππῳ Ἀμφικτύονες ὄντες. Ἐκ τοῦ οὖν μερικοῦ τῷ κοινῷ ὀνόματι τῶν Ἀμφικτυόνων ἐχρήσατο. FLM.

Ἐξομοσάμενος] σὺν ὅρκῳ ἀπωσάμενος. BL. Ἐξωμοσία ἐστὶ μεθ' ὅρκου ἄρνησις. Ἀντωμοσία δὲ ἐπὶ δίκης, διὰ τὸ ὀμνύναι ἑκατέρους, τὸν μὲν ἐγκαλοῦντα ὅτι ἠδίκηκε, τὸν δὲ ἐγκαλούμενον ὅτι ἠδίκηται. Οἱ δὲ τὴν ἐπὶ πράγμασιν ἀμαρτυρήτοις καὶ ἀνεπιγράφοις εἰς ὅρκον περιϊσταμένην δίκην, ἐφ' ᾗ ἴσοι κριταὶ δικάζουσιν· ἔνιοι δὲ, ὅτε ἐπὶ δημοσίῳ ἀγῶνι σκηπτομένου τινὸς κάμνειν ὁ ἀντίδικος ἀνθυπόμνυται, φάσκων αὐτὸν προσποιεῖσθαι, καὶ περὶ τούτου διαλαμβάνουσιν οἱ δικασταί. **LM. et B, in quo postrema ita habent :** ... ἠδίκημαι ἢ ὅτι ἡ πόλις ἀδίκηται, εἴρηται ἀντωμοσία. Οἱ δὲ, ὅτι ἐπ' ἀδικήμασιν ἀμαρτυρήτοις καὶ ἀνεπιγράπτοις εἰς ὅρκους παρεσταμένη δίκη, ἐφ' ᾗ ὅσοι κριταὶ δικάζουσιν· ἔνιοι δὲ, ὅτι ἐπὶ δημοσίου ἀγῶνος τοῦ φεύγοντος σκηπτομένου καὶ ὀμνύοντος, ὁ ἀντίδικος.

Ἀφ' ἧς ἧκον πρεσβείας] οἱονεὶ τῆς προτέρας. F.

Πρὸς δὲ τὴν βουλὴν] Χρεία γὰρ ἦν μετὰ τὴν χειροτονίαν τοῦ δήμου εἰσιέναι τοὺς πρέσβεις εἰς τὴν βουλὴν, ἵνα ἐπικυρωθῇ αὐτοῖς ἡ ἔξοδος. FLM.

95. Ἀψευδεῖν] Οὐ λέγει ἐμὲ πρὸς τοὺς Ἀθηναίους ψεύσασθαι εἴ γε ἐψεύδετο, ἀλλὰ τοὺς Ἀθηναίους ἐμοῦ ψευσθῆναι, ἵν' ᾖ ψευσθῆναι ποιῆσαι, ὅπερ ἄμεινον. LM.

96. Ταύτης] Αὕτη ἐστὶν ἡ τρίτη πρεσβεία. BL.

Ἐπὶ ταύτην] τὴν δευτέραν. BL.

97. Ὑστέραν] ἀντὶ τοῦ δευτέραν. F.

99. Στρωματόδεσμα] ἃ καλοῦμεν ἐν τῇ συνηθείᾳ στρωματοδεσματόφελλα (?) καὶ ἀβελτέρια. FM.

Βάταλος] Πλούταρχος ἐν τῷ Δημοσθένους βίῳ (c. 4)·

βάταλος μόριόν τι τοῦ σώματος παρὰ τοῖς Ἀττικοῖς αἰσχρόν.

Βάταλος] ἔκλυτος καὶ ἄνανδρος, ἀπὸ αὐλητοῦ τινὸς ὀνόματι Βατάλου· οἱ δὲ ἀπὸ ποιητοῦ μελῶν κατεαγότων. Ἐκ δὲ τούτου σκώπτει αὐτὸν εἰς μαλακίαν. Τὸ δὲ ἐκ παίδων ἀπαλλαττόμενος καὶ τὰ ἑξῆς συντεκμαιρόμεθα οὕτως, ὅτι ἑπτακαιδεκαετὴς ἐδοκιμάσθη, κατά τι ψήφισμα ἴσως συγχωρηθὲν αὐτῷ τοῦτο, ἵνα δικάσηται τοῖς ἐπιτρόποις. Κατὰ γὰρ τὸν νόμον ὀκτωκαιδεκαετεῖς δοκιμάζονται· εἶτα μετ' ἔτη δύο ἀπολαμβάνουσιν ἀπὸ τῶν ἐπιτρόπων οἱ ὀρφανοὶ τὰς οὐσίας. LM.

Δεκαταλάντους—λαγχάνων] Παρὰ γὰρ τῶν τριῶν αὐτοῦ ἐπιτρόπων τριάκοντα τάλαντα ἔλεγε χρεωστεῖσθαι καὶ δέκα παρ' ἑνὸς ἑκάστου αὐτῶν. Ἀργᾶς δὲ καλεῖται ὁ ὄφις παρὰ Δωριεῦσι· θέλει οὖν αὐτὸν ὀφιώδη τὸν τρόπον δεῖξαι καὶ οἱονεὶ θηριώδη καὶ ἀπάνθρωπον. Εἶδός τι ὄφεως ἀναιρετικοῦ. Ἢ ὁ ἀργῶν ἀπὸ τῶν ἄλλων, γράφων δὲ λόγους. FLM. Ἢ ἀργᾶς ὁ πονηρός· ἔστι γὰρ εἶδος ὄφεως ἀναιρετικοῦ. Οἱ δὲ ἀπὸ ποιητοῦ τινος πονηροῦ οὕτω καλουμένου. LM.

Ἀργᾶς] Ἀργᾶς ὄφιος εἶδος. Οὕτω δὴ ὠνομάσθη διὰ τὸ τῆς φύσεως πονηρὸν καὶ κακόηθες. B.

101. Συνήλθομεν εἰς ταυτὸν] οἱονεὶ ἅμα. F.

Ἀνεγνώσθη μὲν τὸ ψήφισμα] Εἰ μὴ γὰρ ἀνέγνω ὅτι Φίλιππος καὶ ἐπείσθη ὅτι ἡ πόλις ἐψηφίσατο, οὐ παρεῖχεν αὐτῶν ἀπόκρισιν. F.

Συνηριθμούμεθα] ἀντὶ τοῦ ἐλέγομεν. F.

102. Ἀρτίως ὑπεθέμην] ἀντὶ τοῦ προεῖπον. F.

103. Ὅτι δὲ] Ἀσφαλῶς τοῦτο ἐπήγαγεν, ἵνα μή τις εἴπῃ, καὶ πόθεν αἰσθάνῃ τοῦτο, εἰ μὴ ἦσθα προδότης; ὅτι πάντες οἱ ἐχθροὶ ἡμῶν πάρεισι καὶ εἰς τὸ ἐναντίον ἡμῖν πρεσβεύουσιν. FLM.

104. Βοιωτῶν] οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν δύο πόλεων τῶν Βοιωτικῶν ὧν κατέσκαψαν οἱ Θηβαῖοι, Θεσπιέων καὶ Πλαταιέων. FLM.

Τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν] ἵνα ἔχωσι λέγειν οἱ Ἀθηναῖοι, ἐὰν Φίλιππος μὴ θελήσῃ ποιῆσαι, ὅτι ἡμεῖς οὐδὲν τοιοῦτον ἐγράψαμεν, ἀλλὰ οἱ πρέσβεις ἡμῶν ἁπλῶς ἠθέλησαν εἰπεῖν· καὶ εἰς τούτους ἀναφέροντες τὴν αἰτίαν ἔμελλον ἐκφεύγειν τὴν ἀπὸ τῆς ἀποτυχίας αἰσχύνην. FLM.

105. Εἰς τὴν προστασίαν τῆς Καδμείας] οἷον εἰς τὴν εἴσοδον καὶ προπυλῶνα τῆς ἀκροπόλεως τῶν Θηβαίων. Καδμεία γὰρ ἐκαλεῖτο ἡ ἀκρόπολις τῶν Θηβαίων ἀπὸ Κάδμου τοῦ οἰκιστοῦ. FLM.

106. Βοιωτιάζει] τὰ τῶν Θηβαίων φρονεῖ. Βοιωτοὶ γὰρ οὗτοι. LM.

Ἀπαγορεύω] ἀντὶ τοῦ ἀγορεύω, ὅ ἐστι λέγω. F.

107. Ἐγκαλύπτομαι] ἀντὶ τοῦ κρύπτομαι καὶ σκέπω ἐμαυτόν· οὐδὲν γάρ μοι μέλει περὶ τούτων. FLM.

Νομίζει συμφέρειν] οἷον ὅτι οὐκ ὀφείλει ὁ Φίλιππος ἐπὶ τὸ ἐν Δελφοῖς ἱερὸν καὶ τοὺς Φωκεῖς ἐπιβαίνειν ἐκτὸς κοινῆς γνώμης Ἀμφικτυόνων. FLM.

Ὅτι δ' ἀληθῆ λέγω] ἐπανάληψις. FM.

Παρά τισιν εὐδοκιμεῖ] ἀντὶ τοῦ τοῖς εὐφρονοῦσιν. F.

109. Ἐν τακταῖς ἡμέραις] ὅ ἐστιν ἐν δυσὶν ἡμέραις, ἵνα ἐκκλείσῃ διὰ τοῦ τάχους καὶ τοὺς ἄλλους Ἕλληνας ἐλθεῖν καὶ συσπείσασθαι. Τοὺς τὴν εἰρήνην δὲ ἐκκλείοντας οἷον μὴ ἐῶντας εἰρήνην γενέσθαι· οὐ τοῖς λόγοις δέ φησιν, ἀλλὰ τοῖς χρόνοις, τουτέστιν οὐ ψιλοῖς ῥήμασιν, ἀλλὰ διὰ τοῦ εἰπεῖν ὡς ἐν δύο ἡμέραις δεῖ βουλεύσασθαι, ὅ ἐστι συντόμως. FLM.

110. Ἕτερον] Παρατήρησαι ὅτι οἱ Ἀττικοὶ ἀδιαφόρως λέγουσι τὸ ἕτερον οὐ μόνον ἐπὶ δύο, ἀλλὰ καὶ ἐπὶ πολλῶν. Μετὰ γὰρ δύο ψηφίσματα εἶπεν ἕτερον. FLM.

111. Ἐνεκαλύψαντο] τὰ πρόσωπα ἐκάλυψαν ὑπ' αἰσχύνης τῶν ὑπὸ Δημοσθένους εἰρημένων. B.

Οὐ καταδὺς] τοῦτο ἀπὸ Δημοσθένους ὡς εἰπόντος, καὶ ταῦτα ἔπραττον φανερῶς οὑτωσὶ μηδὲ ὑποστελλόμενος ὥς ἕτεροί τινες. LM.

112. Γυνὴ γὰρ] Ἔοικεν ἀμύνεσθαι αὐτῷ διὰ τὴν γενομένην ὑπὲρ ἁγνείας διαβολήν, εἴ γε κάλλιστον εἶναι γυναῖκα καθίστη. LM.

Σπογγιᾶς] ὡς καὶ παρὰ τῷ ποιητῇ (Od. α, 111) « σπόγγοισι πολυτρήτοισιν. » Εὕρηται δὲ καὶ παρὰ τῷ Ἀριστοφάνει (Ran. 482, 487?) ὁ σπογγίας καὶ ἡ σπογγιά, ὥσπερ καὶ ἐνταῦθα. FLM. Cf. Thesaur. l. gr. t. 7, p. 603.

Ἐργολαβοῦντος] φιλοπράγμονος καὶ περιέργου. LM.

115. Μηδεμίαν πόλιν] Ὅτι Βοιωτῶν Ἀμφικτυόνων ἁπάντων ὄντων πόλεις αὐτῶν ἀναστάτους ἐποίησαν Θηβαῖοι. LM.

Ναματιαίων] ἐνταῦθα λέγει κυρίως τῶν ποτίμων. FLM. Τῶν πηγαίων. LM.

Ἀναστήσειν] οὐ λέγει πορθήσειν, ἀλλ' ἐπὶ τῷ συμμαχῆσαι ἐπεγείρειν. LM.

Τὸ χειρὶ καὶ ποδί ἀντὶ τοῦ πάσῃ προθυμίᾳ, ἁπλῶς δὲ εἰπεῖν, καὶ πάσῃ δυνάμει. Ἔστι δὲ καὶ ἀπὸ παροιμίας. FLM.

Ἀρὰ ἰσχυρὰ] Αὕτη ἡ ἀρά ἐστιν ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ. B.

116. Τούτων] τῶν δεδογμένων τοῖς Ἀμφικτύοσιν. FLM.

Δωριέας, Ἴωνας] ἵνα διὰ μὲν τοῦ κοινοῦ ὀνόματος τῶν Ἰώνων καὶ τοὺς Ἀθηναίους περιλάβῃ, διὰ δὲ τῶν Δωριέων τοὺς Λακεδαιμονίους. FLM. Λέγει δὲ τὴν τετράπολιν. LM.

Ἰσόψηφον γενόμενον] ὡσανεὶ ἔλεγε, τὴν αὐτὴν τιμὴν ἔχουσαν ἐν τῷ ψηφίζεσθαι τὴν μικρὰν πόλιν τῇ μεγάλῃ. Δύο δὲ ψήφους φησί, μίαν ἐν τῷ ψηφίζεσθαι καὶ μίαν ἐν τῷ ἀποψηφίζεσθαι, οἷον Θεσπιὰς καὶ Πλαταιάς. FLM.

Ἐκ Δωρίου καὶ Κυτινίου] Τὸ δὲ Δώριον καὶ Κυτίνιον καὶ Ἐρινεὸν πολίσματα τῆς ἐν Θετταλίᾳ Δωρίδος. Εἰσὶ δὲ καὶ Λακεδαιμόνιοι Δωριεῖς. Συνίστησι δὲ καὶ τὸ μέγα ἔθνος πρὸς τὸ ἐλάχιστον, ἴσον δυνάμενον ἐπὶ Ἀμφικτύοσιν. LM.

117. Τὴν μὲν οὖν ἀρχὴν] Ἡ ἀρχὴ ὁσία. Ἔδοξαν γὰρ πλημμελῆσαι περὶ τὸ ἱερὸν καί εἰσι τιμωρητέοι. Οὐκοῦν ἐπὶ τὸ τέλος τῆς πολιορκίας χωρητέον.... ὧν καθεζομένων παραδώσειν αὐτῷ τοὺς πλημμελήσαντας· εἰ δὲ μή, τότε πορθητέον. Ἄλλως. Τὴν προαίρεσιν καὶ τὴν ἀφορμήν. Ἦν γὰρ πρόφασις τὸ δίκην εἰσπράξασθαι παρὰ τῶν ἀδικησάντων περὶ τὰ τοῦ θεοῦ χρήματα. LM.

Ἐπεξελθὼν] οἷον ἐπὶ πέρας ἐλθὼν τοῦ ἔργου. LM. Οἷον ἐκπολιορκήσας· ἐπεξελθεῖν γὰρ λέγουσι τὸ ἐπὶ πέρας τινὸς ἐλθεῖν. M.

Βεβαιώσεις] Ὅτι καὶ Θηβαῖοι ἐπλημμέλησαν περὶ Φωκέας καὶ τὸ ἱερόν. Ἔμελλεν οὖν αὐτοὺς ἀπαλλάξειν τῶν ἐγκλημάτων τοὺς Φωκέας μόνους καταστρεψάμενος. Ἡ δὲ ἀπαλλαγὴ τοῦ ἐγκλήματος βεβαίωσιν ἔφερε τῆς ἀδικίας ὡς ὀρθῶς πραχθείη. FLM.

Παρ' ὧν—χάριν] Ἡ σύνταξις· παρὰ τούτων οὐκ ἀπολήψῃ χάριν οἷς βοηθεῖς. FLM.

Ἀθηναῖοι] Ἀθηναῖοι γάρ εἰσιν οἱ τῆς Ἀρχίου τυραννίδος αὐτοὺς ἀπαλλάξαντες καὶ τὴν Λακεδαιμονίων φρουρὰν ἐκ τῆς Καδμείας ἐκβαλόντες. LM.

Χρήσῃ δὲ ἐχθροῖς] τοῖς Θηβαίοις, καθὸ ἀχάριστοί εἰσιν. FLM.

119. Ἥκων ἀπήγγελλον] Ὅτι πάντως ταῦτα ποιήσει ὁ Φίλιππος. FLM.

Τὰς Θήβας Βοιωτίαν] τουτέστι τὰς Θήβας ὅλης τῆς Βοιωτίας μέρος εἶναι καὶ μὴ τὴν ὅλην Βοιωτίαν ἐν Θήβαις εἶναι. B.

120. Τοὺς—μικροπολίτας] Ἐπίθετόν ἐστιν, ὡς ἄν τις εἴποι, τοὺς οἰκοῦντάς τινας μικρὰς πόλεις, ὥσπερ ἂν τοὺς Χαλκιδέας. Οἱονεὶ φοβούμεθα ἡμεῖς οἱ μικροπολῖται τὸ ἔγγραφον τὸ ἐν τῷ ψηφίσματι τὸ καὶ ἄλλο τι ποιῆσαι ἀγαθὸν, μή πως περὶ ἡμῶν αἰνίττηται, ὥστε λαβεῖν ἡμᾶς Φίλιππον καὶ παραδοῦναι ὑμῖν ἀντὶ Ἀμφιπόλεως. FLM.

121. Διαιρούμενος] οἱονεὶ σαφῶς λέγων καὶ ἄντικρυς κατὰ διαίρεσιν καὶ φανερῶς. FLM. Ἢ ὑπομερίζων καὶ διαβάλλων, ὡς Σοφοκλῆς Αἴαντι (?) φάσκει δατούμενος· τὸ γὰρ αὐτὸ δύναται. Ἢ ἐμοῦ μὲν κατηγορεῖν βουλόμενος, ἀπολογεῖσθαι δὲ ὑπὲρ ἑαυτοῦ. Τοιοῦτος γὰρ ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου μάλιστα. LM.

122. Παρακληθεὶς] ἀντὶ τοῦ προτραπείς. F.

123. Εἴ] ἀντὶ τοῦ εἴπερ τότε. Ἔστι δὲ παραγραφικὸν ἀπὸ χρόνου. FLM.

Κἀκείνης—κατηγορεῖν] καθὸ μὲν ἐγγράφως οὐ κατηγόρησε τῆς προτέρας ὥσπερ τῆς δευτέρας, λέγει αὐτὸν μὴ κατηγορηκέναι, καθὸ δὲ εἶπεν ὅτι ἐλάνθανέ με πεπρακὼς ἑαυτὸν τέως, διὰ ῥήματος κατηγόρησεν αὐτοῦ. FLM.

124. Αἱ ἀπάται] ἃς ἠπάτησε Φίλιππος δηλονότι διὰ τῆς ἐπιστολῆς. M.

Λυδίαν] Λυδίας Μακεδονίας ποταμός. M. Γραπτέον Λοιδίαν. Ἔστι δὲ Λοιδίας Μακεδονίας ποταμὸς, ὥς φησιν Ἁρποκρατίων. B.

Ὁ μὲν γὰρ Λεωσθένης] εἰρωνεία. B. Ἠθικῶς ἀναγνωστέον· ἔστι γὰρ κατ' εἰρωνείαν ὁ λόγος. Ἐπιδεξίως δὲ ἀντὶ τοῦ αἰσίως καὶ καλῶς. FLM.

Καλλίστρατον] Καλλίστρατος ὁ ῥήτωρ καὶ δημαγωγὸς, ὃς φυγαδευθεὶς ᾤκησε τὸ Βυζάντιον. LM.

125. Πύθων] ῥήτωρ οὗτος, Ἰσοκράτους μαθητής. LM.

126. Καὶ τὸν μὲν λόγον... καταλύω] Ἡ σύνταξις οὕτως· καὶ τὸν μὲν λόγον καταλύω, εἰ συγχωρεῖ ταῦτα ὁ κατήγορος. Ἀντὶ τοῦ καταπαύομαι τοῦ λέγειν, εἰ δοκεῖ ταῦτα πραχθῆναι, ὅ ἐστι τοὺς οἰκέτας βασανίζεσθαι. LM.

Πρὸς ἕνδεκα γὰρ ἀμφορέας] Τοῖς περὶ τῶν μεγίστων ἀγωνιζομένοις διῃρεῖτο ἡ ἡμέρα καὶ ἐδίδοτο αὐτῆς ἥμισυ μὲν τῷ κατηγόρῳ, ἥμισυ δὲ τῷ ἀπολογουμένῳ. Καὶ διεμετρεῖτο τὸ ὕδωρ, ὅσον ἐπαρκεῖ εἰς τὰς [ἓξ] ὥρας, τὸ ἥμισυ μέρος τῆς ἡμέρας. Τοῦτο δὲ ἀπὸ μιᾶς ὥρας. Φησὶν οὖν [ὅτι] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἠγωνίζοντο, [τὸ] διαμετρηθὲν ταῖς ἓξ ὥραις ὕδωρ ἦσαν ἀμφορεῖς ὕδατος ἕνδεκα. BLM. Φασὶν ὅτι τὰς ἡμέρας τοῦ Ποσειδεῶνος μηνὸς ἐπιλεξάμενοι οἱ Ἀθηναῖοι ὡς συμμέτρους καὶ δυναμένας κατασχεῖν ἕνδεκα ἀμφορέας πρὸς αὐτὰς καὶ ταῖς ἄλλαις ἡμέραις ἐσκεύαζον τὴν κλεψύδραν, μεγάλου πράγματος δηλονότι γυμναζομένου. Ἀπενέμοντο δὲ οἱ ἕνδεκα ἀμφορεῖς κατὰ τὸ τρίτον τοῖς ἀντιδίκοις καὶ τοῖς δικασταῖς. FLM. Ἄλλως. Ἡ πᾶσα, φησὶν, ἡμέρα τῷ ἀγῶνι ἀποδέδοται. Εἰ οὖν βούλει ταῦτα γίνεσθαι καὶ παύσομαι λέγων, δύναται ἐν τῷ λοιπῷ μέρει ταῦτα πράττεσθαι. LM.

130. Λογισμόν τινα] ἀντὶ τοῦ ἀριθμόν. F.

Φαλαίκου] Οὗτος Ὀνομάρχου (Ὀνομακρίτου codd.) υἱὸς, Φωκέων τύραννος, διαδεξάμενος τὴν ἀρχὴν παρὰ Φαΰλλου. Δρομοκήρυκες δὲ οἱ λεγόμενοι ἡμεροδρόμοι, ὧν γέγονεν ἐπιφανέστατος Φιλιππίδης Ἀθηναῖος. LM. Οἵτινες διὰ τοῦ δρόμου καὶ τοῦ τάχους δύνανταί τινα ἀγγεῖλαι, ὡς νῦν καλοῦμεν τοὺς βερεδαρίους. F.

131. Κατεμισθοφόρησαν] οἷον εἰς τὸν μισθὸν τῶν ξένων κατεδαπάνησαν ὧν ἐμισθοῦντο. FLM.

132. Ἄλπωνον—] πόλεις Λοκρικαὶ, ὧν ἡ Νίκαιά ἐστι παραθαλάσσιος, ἀπέχουσα Θερμοπυλῶν σταδίους μ'. LM.

133. Τοῖς σπονδοφόροις] τοῖς καταγγελεῦσι τῶν μυστηρίων. Καθόλου πάντες οἱ τὰ μυστήρια καταγγέλλοντες σπονδοφόροι. LM.

Μυστηριώτιδας] τὰ τῶν Ἐλευσινίων λέγει, ἅπερ ἐξαιρέτως μυστήρια ἐκάλουν. Τούτων οὖν ἀγομένων περιῄεσάν τινες χειροτονηθέντες σπονδὰς ποιοῦντες ἐν ταῖς πόλεσιν, ὥστε μὴ πολεμεῖν τινα τῶν Ἑλλήνων, ἀλλ' ἡσυχάζειν ἐν τούτῳ τῷ καιρῷ. FLM.

Οὐκ ἐσπείσαντο] οὐκ ἐδέξαντο τὰς ἐπαγγελίας LM.

135. Οὔπω διελέλυσθε] οὔπω, φησὶ, διηλλάγητε πρὸς Φίλιππον, ἀλλ' ἔτι πόλεμος ἦν. LM.

136. Παραναγινωσκομένων] οἷον πλησίοι τῶν μαρτυριῶν. FLM.

Οὗτος] ὁ Φάλαικος. Ὡσανεὶ ἔλεγεν, ἀλλ' ἔχει τις εἰπεῖν ὡς ὅτι αὐτὸς μόνος ὁ Φάλαικος ἠγνόει τὴν Φιλίππου γνώμην. Ἆρα δὲ καὶ ὑμεῖς οὐχ οὕτω διάκεισθε καὶ ἠγνοεῖτε αὐτὸν οἷός ἐστιν; FLM.

Λακεδαιμόνιοι οὐ μεθ' ἡμῶν] ἀντὶ τοῦ αὐξηθῆναι ἐᾶσαι. F.

Τῶν ἄλλων] τῶν οἰομένων ὑπὲρ Θηβαίων εἶναι τὸν πόλεμον, ἀλλ' οὐ κατὰ Θηβαίων. LM.

Ὑπὲρ αὐτῶν] οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ Θετταλῶν. LM.

137. Τὰς ἐν Βοιωτοῖς πόλεις] ἃς ἦσαν Θηβαῖοι καταστρεψάμενοι. LM.

Κατοικιεῖ] ἀνίστησι, τειχίζει. Δημοσθένης (p. 375) ἐν τῇ κατηγορίᾳ « οὗτος γὰρ ἔφη καὶ Πλαταιὰς αὐτὴν ἔχειν. » B.

Οὐκ ἐξεληλύθεσαν] ὡς ὑπὲρ αὐτῶν μαχούμενοι, ἀπιστοῦντες δὲ τοῖς παρὰ Φιλίππου παραγγέλμασιν. LM.

138. Οἷς] οἱ Φωκεῖς δηλονότι. B.

139. Πρεσβεύοντος ἐμοῦ] Λύει τὸ ἀντιπῖπτον· ἐχρῆν γὰρ ἀντειπεῖν, ἀπεδήμουν, φησίν. LM.

Ἐχθρὸς δ' ὢν] εἰ ὡς λέγεις, φησὶν, ἀχειροτόνητος ἐξῆλθον, διὰ τί με οὔπω ἔκρινας παραπρεσβείας, καὶ ταῦτα ἐχθρὸς ὤν; LM.

Οὐ γὰρ δὴ φθονεῖς] οὐχ ὥσπερ, φησὶ, τῶν ἄλλων μοι φθονεῖς, οὕτω καὶ τοῦ παθεῖν κακῶς. Τοῦτο γὰρ κἂν εὔξαιο τοῖς θεοῖς, λαβεῖν με τιμωρίαν εἰς τὸ σῶμα. LM.

Τιμημάτων] οἱονεὶ τιμωριῶν. Χλευάζοντος δ' ἐστὶν ὁ λόγος. Ὡς γὰρ ἐπὶ ἀγαθοῦ τοῦτο εἶπεν. FLM.

140. Παρακαθημένων] Φιλίππῳ δηλονότι· πρὸς τὰ ἄνω δέ ἐστιν ὁ νοῦς. FLM.

Δεομένων] ἀντὶ τοῦ βοηθείας. F. Βοηθείας τῆς παρ' ἡμῶν, ἢ δεομένων Φιλίππου τὴν Βοιωτίαν πορθῆσαι. B.

Διὰ σὲ] ἐπειδὴ ἐκώλυσας ἡμᾶς ἐξελθεῖν. FLM.

Κατηλόησαν] ἐπάτησαν, ἐκάκωσαν, ἔτυψαν. B. Ἀλοᾶν ἐστι τὸ τύπτειν. Ὡς τῶν ὁμήρων οὖν ξύλῳ ἢ ὁπωσδήποτε κατακτανθέντων. LM.

Ἐλθεῖν] ἀντὶ τοῦ ἀπελθεῖν· λέγει γὰρ ἐν τῇ τρίτῃ πρεσβείᾳ. Ἡ δὲ σύνταξις οὕτως ἔχει· Φαλαίκου δὲ ὑποσπόνδου ἀπελθόντος, πρὶν ἐμὲ καὶ τόνδε ἀπελθεῖν ἐπὶ τὴν τρίτην πρεσβείαν. Κάτω δέ ἐστιν ἡ ἀπόδοσις εἰς τὸ, τότε ἀπώλοντο αἱ πράξεις, οἷον τὰ Φωκικὰ πράγματα. FLM.

141. Ὑπολειπομένης] Εἰ μὴ πολεμήσαι Φωκίας, ὑπελείπετο ἔχθρα τῷ Φιλίππῳ πρὸς Θετταλοὺς καὶ Θηβαίους. LM.

142. Ἥρηνται] ἐχειροτόνησαν. F.

Οἰταίων] Οὗτοι μετέχουσι τοῦ Ἀμφικτυονικοῦ, οἰκοῦσι δὲ ὑπὸ Οἴτῃ τῷ ὄρει, πλησίον Τρηχῖνος. Τὸ δ' ὅλον τοῦτο Θετταλία καλεῖται. LM.

Ὠθεῖν—κρημνοῦ] Οἱ πρὸς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς ἁμαρτάνοντες κατὰ τῶν Φαιδριάδων πετρῶν ὠθοῦντο. LM.

143. Τοὺς συμπρέσβεις] Μνάσωνος δηλονότι. F.

Λίπαρε] ὥσπερ ἐπίθετον, ὡς ἔχοντος αὐτοῦ πιμελὴν καὶ λίπος. FLM.

Πῶς οὖν οὐκ] Ἐπίλογοι. F.

Εἰ] πρὸς τὸ ἁλοίην συντακτέον, ὅ ἐστι τιμωρηθείην. FLM.

144. Ὡς ἐγὼ—περιπίπτω] τουτέστιν ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις ἐλέγχομαι καὶ ἁλίσκομαι, ἢ ὡς τὰ ὑπ' ἐμοῦ κατὰ τοῦ ἄλλου εἰρημένα, ἤγουν κατὰ τοῦ Τιμάρχου, ταῦτα εἰς ἐμὲ πάλιν ἔρχεται καὶ κατ' ἐμοῦ ἰσχύει τῇ συκοφαντίᾳ. BL.

145. Προβολὰς] Προβολὴ ὄνομα δίκης, μάλιστα δὲ ἐν τοῖς Διονυσίοις. Τοὺς γὰρ ἁμαρτάνοντας περὶ τὴν ἑορτὴν ἐν τῷ δήμῳ ὠνόμαζον καὶ καταχειροτονοῦντος τοῦ δήμου οὕτως εἰς δίκην περιίστασαν (δρᾶν). LM. Ἀντὶ τοῦ κατηγορίας. Παρατήρησαι δὲ ὅτι καταχρηστικῶς λέγεται προβολὴ κοινῶς ἡ κατηγορία, περὶ πάσης δίκης καὶ οὐ μόνον περὶ τῶν ἀσεβούντων καὶ ἁμαρτανόντων εἰς τὰ Διονύσια. FLM.

146. Ταῖς αἰτίαις ταύταις] ἀντὶ τοῦ διὰ ταύτας τὰς κατηγορίας καὶ τοιοῦτόν με δεῖ γενέσθαι. Ὡς εἰ ἔλεγεν, ἵνα μου Δημοσθένης κατήγορος ἀναφανῇ, καὶ τὴν φύσιν μετήλλαξα. LM.

Καὶ πολλοῖς-ἔνοχον] ὡσανεὶ ἔλεγεν, οὐκ ἄν τις προδότης εἴη, μὴ καὶ τάδε πράξας πρότερον. Οἷον δεῖξον τὸν πρότερον βίον καὶ κάλει προδότην, ἂν εὕρῃς παραπλήσιον. LM.

Τοῖς—πολλοῖς] ἀντὶ τοῦ τοῖς μὴ γνησίως γήμασι καὶ νόθοις καὶ ὠμοῖς τὴν φύσιν. Ἀσύνοπτα δὲ ἀντὶ τοῦ μὴ ἐν φροντίδι καὶ ἐννοίᾳ, παρὰ τὸ μὴ ἐποπτεύειν. FLM.

Ἀναβιβῶμαι] οἷον ὡς παῖδας παραστήσομαι, τοὺς νόμους συνδίκους ἐμαυτῷ ἀναβιβάσας ἐπὶ τὸ βῆμα. LM.

147. Τὸν πόλεμον] ἵνα λέγῃ τὸν πόλεμον τὸν Πελοποννησιακὸν καὶ τὸν Ἑλληνικόν. Θέλει δὲ εἰπεῖν ὅτι ὑπὲρ εὐνοίας τῆς πόλεως τριηραρχῶν καὶ τοιαῦτα ἄλλα ποιῶν ἀνάλωσε τὴν οὐσίαν. FLM.

Στρατεύεσθαι] ἀντὶ τοῦ μισθῶσαι ἑαυτὸν ἐκεῖσέ τισι τῶν σατραπῶν διὰ πενίαν καὶ τὴν φυγὴν τὴν ἀπὸ τῶν λ'. FLM.

Ἐτεοβουτάδαις] Ἐτεοβουτάδαι οἱ Βούτου τοῦ ἱερέως ἀπόγονοι, γένος λαμπρὸν παρ' Ἀθηναίοις. Τὸ δὲ ἐτεόν τὸ ἀληθὲς δηλοῖ. B.

Τῆς Πολιάδος] τῆς πολιούχου, τουτέστι τῆς τὴν πόλιν φυλαττούσης καὶ συνεχούσης. B. Εἶχε καὶ τὰ γένη ἰδίους βωμοὺς ἐν ταῖς οἰκίαις ἑαυτῶν. Πολιάδος δὲ οἱονεὶ πολιούχου καὶ συνεχούσης καὶ σωζούσης τὴν πόλιν. FLM. Βούτης ἀπ' Ἐρεχθέως γένος ἔχει, καὶ ἀπ' αὐτοῦ καλεῖταί τι Ἀθήνησι γένος Ἐτεοβουτάδαι, οἱ τῷ ὄντι ἀπὸ τοῦ Βούτου. Οὗτοι προΐστανται τοῦ ἱεροῦ τῆς ἐν ἀκροπόλει Ἀθηνᾶς τῆς Πολιάδος, καὶ ἐκ τοῦ γένους τούτων ἱέρεια γίνεται τῆς Ἀθηνᾶς τῆς Πολιάδος. Οὐ πᾶσαι δὲ φρατρίαι τῶν αὐτῶν μετέχουσιν, ἀλλ' ἔοικεν Αἰσχίνης ἀπὸ τοιαύτης ἑαυτὸν δεικνύναι, ἢ οὕτως ἐστὶν εὐγενὴς ὥστε τοῖς Ἐτεοβουτάδαις κοινωνεῖν τῶν ἱερῶν τῶν τῆς Πολιάδος. Τὸ δὲ κοινωνεῖν τὸ μεταλαμβάνειν τῆς οὐσίας. LM.

148. Ἀμφισβητῶν ἀνὴρ εἶναι] Ἀνδρόγυνον εἶναι δηλοῖ. Ἀναγνωστέον δὲ ἀμφισβητούμενος ἀνὴρ εἶναι, τουτέστιν οὐχ ὁμολογούμενος ἀνὴρ εἶναι. B.

Ἀριστάρχου] Τούτου μνημονεύει Δημοσθένης (p. 548, 14) ἐν τῷ κατὰ Μειδίου καὶ ἀλλαχοῦ. Τούτου δὲ μειρακίου ὄντος ἐρασθεὶς καὶ δι' αὐτὸ παροινήσας εἰς Νικόδημον ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμοὺς, ὥς φασί τινες. B.

Ἐμβάλλεις] οὐ προσῆκον εἰσέρχῃ. B.

149. Ἀγεννεῖς] ἀντὶ τοῦ ἀνελευθέρους. Εὐγενὲς γὰρ λέγομεν πολλάκις τὸ ἐλεύθερον. FLM.

Ἐπὶ τὴν κοινὴν διοίκησιν] οἷον ἐπὶ τὰ δημόσια χρήματα, ἐπὶ αὐτὴν τῶν προσόδων τὴν ἀπαίτησιν. FLM.

Κνωσίωνι] Λέγεται Δημοσθένης Κνωσίωνα τοῦτον μειρακίσκον ὄντα, καίτοι γυναῖκα ἔχων, ὥστε καὶ αὐτὴν ἀγανακτήσασαν συγκοιμᾶσθαι τῷ Κνωσίωνι, ἀναλαβεῖν καὶ εἰσδέξασθαι εἰς τὴν οἰκίαν. B. Μειράκιον ἦν ὁ Κνωσίων ἐρώμενον Δημοσθένους. LM. Εὐτελεῖ τινι οἰκείῳ αὐτοῦ. FLM.

Τὸ γὰρ ψευδὲς] ὡσανεὶ ἔλεγεν, οὐχ ἅπτεται τῆς διανοίας τοῦ συνετοῦ διὰ τὸ καταφρονεῖν αὐτοῦ, ἀλλὰ μέχρι τοῦ ἀκουσθῆναι γίνεται. FLM.

150. Τῶν ἐμῶν κηδεστῶν] ἀντὶ τοῦ τῶν ἀδελφῶν τῆς γυναικός μου. FLM. Πόρρωθεν δὲ ἀντὶ τοῦ ἐξ ἀρχῆς, οὐ νῦν. F. Τὸ δὲ πόρρωθεν ἀντὶ τοῦ ἐφεξῆς. L.

151. Ἐπικράτους] Ἔοικεν οὗτος εἶναι ὁ Κυρηβίων, περὶ οὗ Δημοσθένης (p. 433, 22) εἶπεν· « ὃς ἐν ταῖς πομπαῖς ἄνευ προσωπείου κωμάζει. » LM. Τοῦτον Δημοσθένης λοιδορῶν Κορόβωνα (sic) ἐπονομάζει ἐν τῷ κατ' Αἰσχίνου. B.

Εὐαγωγίαν] οἱονεὶ καλὸν βίον, ἀπὸ τοῦ εὖ καὶ καλῶς ἀχθῆναι καὶ παιδευθῆναι. FLM.

152. Τοὺς πάντων—φιλτάτους] τοὺς παῖδας. BLM.

153. Ἡγεῖται] ἀντὶ τοῦ προηγεῖται, ὅ ἐστι πρὸ τοῦ εἰπεῖν εὐθὺς ὄμνυσι κατὰ τῶν ἀναισχύντων αὐτοῦ ὀφθαλμῶν. FLM.

Ἓν δὲ εὐτυχοῦμεν] Εἴ γε πρὸς τούτοις, φησὶ, νοῦν εἶχε, δεινὰ ἂν ἐπάσχομεν. LM.

Ἐξερρίφη] ἐξεβλήθη. BLM.

Τοιούτων] οἷον τῶν αἰσχρῶν. BFLM.

154. Πόρρωθεν] ἀντὶ τοῦ πρὸ πολλοῦ χρόνου. F.

Συσταθεὶς] οἱονεὶ φίλος γενόμενος. Ὅθεν ἔτι καὶ νῦν λέγομεν ἐν τῇ συνηθείᾳ, συνέστησα τόνδε τῷδε, ἀντὶ τοῦ γνώριμον ἐποίησα. FLM.

155. Ἄριστα] ἀντὶ τοῦ πάνυ. F

156. Διομνυμένων] ἀντὶ τοῦ ὀμνυόντων. Κυρίως διωμοσία λέγεται ἡ παρὰ τῶν δύο δικαζομένων. FLM.

Ὅτι ξένους] Οὐ τοῦτο εἶπε Δημοσθένης ἐν τῇ κατηγορίᾳ, ἀλλ' ὅτι τὰς Ἀπολλοφάνους τοῦ Πυδναίου θυγατέρας

ἐξητήσατο. Ἐκ δὴ τούτου δῆλον ὅτι οὐκ ἐλέγχθησαν οἱ λόγοι. Οὐ γὰρ ἂν ἄλλ' ἀκούσας ὁ Αἰσχίνης ἄλλα ἔλεγεν. Ἀλλὰ δῆλον ὅτι ἃ ὑπενόησεν ἐρεῖν αὐτὸν πρὸ τοῦ ἀγῶνος, ταῦτα ἐνέγραψεν. LM.

157. Ταῦθ' ὑποθεὶς] ὑποβαλὼν τῷ ἰδίῳ λόγῳ. F

Ὀξεῖαν] οἱονεὶ τὴν λεπτὴν καὶ μὴ μεγάλην. FLM.

Τοὺς Καρίωνας καὶ Ξανθίας] ὅ ἐστι δούλους· τοιαῦτα γὰρ τὰ τῶν δούλων πρόσωπα εἰσάγεται ἐν τῇ κωμῳδίᾳ, Ξανθίου καὶ Καρίωνος καὶ ἄλλων τινῶν. FLM.

Παραθερμανθεὶς] ὑπὸ μέθης δηλονότι. F.

Ῥυτῆρα] κυρίως μὲν ἡνία, κατεχρήσατο δὲ ἐπὶ τοῦ ἱμάντος· οὐ γὰρ χαλινόν φησιν. LM.

158. Μοῦ συγκατεψεύσατο] σὺν τῷ Δημοσθένει κατεψεύσατό μου. F. .

Ἐάσετε οὖν — ἀναστρέφεσθαι;] κατ' ἐρώτησιν. Ἆρα, φησί, δεῖ τοῦτον ἐᾶσαι ζῆν τὸν ἑαυτοῦ προστρόπαιον; μὴ γὰρ γένοιτο αὐτὸν γενέσθαι τῆς πόλεως. Προστρόπαιός ἐστιν ὁ εἰς ἑαυτὸν ἐπισπώμενος τὰ κακὰ, ὅπερ ἐστὶν ἐναντίον τοῦ ἀποτρόπαιος, τοῦ ἀποτρέποντος τὰ κακά. Διὸ καὶ Διὶ ἀποτροπαίῳ θύομεν, οὐκέτι καὶ προστροπαίῳ. Τὸ δὲ ἐν ὑμῖν πρὸς τὸ ἐάσατε συντακτέον. FLM.

Προστρόπαιον] μιαρὸν, κατάρατον. B.

159. Μετακαλεῖ] ἀντὶ τοῦ μετάγει. F. ἀντὶ τοῦ μεταλλάττει. Οὐκ ἐᾷ, φησί, τὸν κρινόμενον ὀργίζεσθαι ὁ κίνδυνος. LM.

160. Ἤ τι τῶν δεδογμένων] ἰδίᾳ βουλευομένης τῆς πόλεως. FLM.

Ἤ τί—ἀπαλείψας] Ὁ γὰρ Δημοσθένης λέγει ὅτι ἀπήλειψεν ἐν Μακεδονίᾳ τὸ περὶ τῶν Φωκέων γεγραμμένον ἐν τῷ ψηφίσματι. LM.

161. Ἔπειτα οὐ τότε] παραγραφικὸν ἀπὸ χρόνου τοῦ κατὰ ἀπόφασιν. F.

Ἀργίαν] οἱονεὶ τὸν ἀργὸν καὶ μὴ ἔχοντα πόθεν ζῆσαι ἢ ἀπὸ ταραχῶν. Ἡ παροιμία, εἰρήνη στρατιώτην οὐ τρέφει. FLM.

162. Συνῇδον] τουτέστι συνεπαιώνιζον Φιλίππῳ· τούτῳ γὰρ ῥήματι χρῆται Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου (p. 380, 27). B.

Οὐχ ὑποσιγῶν] οὐ μετὰ πάντων σιγῶν. Ἡ ὑπό ἀντὶ τῆς μετά. LM.

163. Καὶ τῷ γε δῆλος ἦν] καὶ τίνι τεκμηρίῳ δῆλος ἦν ἐγὼ ᾄδων; F.

Εἰ μὴ—προῇδον] εἰ μὴ ἄρα εἴποις ὥσπερ ἐν τοῖς χοροῖς ποιοῦσιν, ὅτι προᾴδουσιν, ὃ μέλλουσιν ᾄδειν, πρὸ τοῦ ἐλθεῖν ἐν τῷ θεάτρῳ, οὕτω κἀγὼ ἐποίησα, οἱονεὶ ᾖσα ἐνταῦθα παρὰ σοὶ πρῶτον ἅπερ ἔμελλον ᾄδειν ἐκεῖσε παρὰ τῷ Φιλίππῳ. FLM.

Μετὰ τῶν ἄλλων πρέσβεων] τῇ κοινωνίᾳ τῶν ἄλλων τὴν συγγνώμην πορίζεται. LM.

Ἀνηλέητος] μηδενὸς ἐλέου ἄξιος. B.

164. Ἐμπληξίαν] οἷον τὸ μαίνεσθαι καὶ ποιεῖν ἐναντία ἑαυτῷ. LM.

Μαντινείᾳ] Μαντίνεια πόλις Ἀρκαδίας. F.

Θεμίσωνι] ὁ τύραννος Ἐρετριέων. FL.

Πρὸς τὸ κράτιστον] πρὸς τὸ χρήσιμον. F. ἀντὶ τοῦ πρὸς τὸ λυσιτελοῦν καὶ πόλις καὶ ἀνὴρ μεταβάλλεται. LM.

Τὸν ἄνδρα] Τινὲς κοινῶς αὐτὸ λαμβάνουσι καὶ ἀφελῶς, τινὲς δὲ πικρῶς, ἄνδρα μὲν τὸν τύραννον, πόλιν δὲ τὴν δημοκρατίαν, ὡς ἔχομεν τὸ ὅμοιον ἐν τοῖς Φιλιππικοῖς (p. 129), ἐν οἷς λέγει· « ἐπειδὴ γάρ ἐστιν ἡμῖν πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος. » FLM.

165. Ἔγραψας—Φορμίωνι] ἵνα εἴπῃ κατὰ Ἀπολλοδώρου δικαζομένου πρὸς αὐτόν. FLM. Ἐκ τούτου δῆλον ὅτι καὶ οἱ περὶ τὴν οἰκίαν Ἀπολλοδώρου λόγοι οὐκ Ἀπολλοδώρου, ἀλλὰ Δημοσθένους. LM.

Ἐξήνεγκας] οἱονεὶ ἀνέγνως καὶ ἐξεῖπας. FM.

166. Εἰσῆλθες] δηλονότι ὡς διδάσκαλος. Ταύτην ἀπώλεσας διὰ τοῦ αὐτὸν, τὸν Ἀρίσταρχον, ἀναπεῖσαι φονεῦσαι τὸν Νικόδημον καὶ διὰ τοῦτο φεύγειν. FLM. Ἀντὶ τοῦ ἀπεστέρησας. F.

Ζηλωτὴς] οἷον ἐραστὴς εἶναι κατὰ τὸν ψυχικὸν δῆθεν ἔρωτα, οἷον λέγων, ἐρῶ αὐτοῦ τὸν ψυχικὸν ἔρωτα. Καλὴ γὰρ ἐκ τούτου παρέπεται φήμη· ταῦτα δὲ, φησίν, οὐκ ἐποίεις· οὐ γὰρ δὴ τῇ ἀληθείᾳ ζηλωτὴς ἦσθα τοῦ μειρακίου. FLM.

167. Ἀνεπίφθονον] ὡς ἄν τις εἴποι, οὐδεὶς φθόνος ἔσται εἰπεῖν περὶ τούτου, ἀλλὰ λέξω. Τινὲς δὲ ἀντὶ τοῦ ἄμεμπτον. FLM.

Ποῦ γὰρ ἢ πότε] ἐν ποίᾳ ἡλικίᾳ ἢ ποίῳ καιρῷ. LM.

Πρὸς τίνας, οἷον πολεμίους, ἐγὼ παραλιπὼν (ἢ τοὺς στρατιώτας ἢ τὰς στρατείας) τήνδε τὴν ἡμέραν (ἀντὶ τοῦ ἐν αὐτῇ τῇ ἡμέρᾳ) δύναμαι μνησθῆναι; τινὲς δὲ λέγουσι· μνημονεύομαι παρὰ τῶν ἄλλων ἕως σήμερον λιπὼν τὴν τάξιν. FLM. πολέμους, ἐν οἷς ἤμην ἀστράτευτος.

Περίπολος] ὁ περιερχόμενος τὴν πόλιν καὶ φυλάττων. « Οὗτος ἐν τοῖς φρουρίοις κοιτάζεται. » Εὔπολις. — « καὶ « τοὺς περιπόλους ἀπιέναι εἰς τὰ φρούρια. » Τοῖς ἐφήβοις γὰρ προστέτακται τὴν χώραν μετὰ τῶν ὅπλων περιέρχεσθαι. LM.

168. Πρώτην δ'] ἐπειδὴ ἀπὸ ιη' ἐτῶν ἕως κ' ἐγίνοντο οἱ στρατιῶται ὡς περίπολοι φύλακες, ἀπὸ δὲ κ' λοιπὸν ἐξῄεσαν εἰς τοὺς ὑπερορίους πολέμους. FLM.

Τὴν ἐν τοῖς μέρεσι καλουμένην] τὴν ἐκ διαδοχῆς πεμπομένην ἀπὸ τῶν φυλῶν· οὐ γὰρ ἀεὶ οἱ αὐτοὶ ἐστράτευον. Τὴν αὐτὴν δὲ λέγει καὶ τὴν ἐκ διαδοχῆς τὴν ἐν τοῖς ἐπωνύμοις. FLM. Ἄλλως. Ὅτε κατὰ μέρη ἐξῆλθον Ἀθηναῖοι καὶ κατ' ἐναλλαγὴν πάλιν ἀνέστρεφον· Ἦν δ' ὁ πόλεμος πρὸς Λακεδαιμονίους. Ἐξ ἑκάστης δὲ φυλῆς ἀνὰ μέρος ἐξήρχοντο διάδοχοι ἀντὶ τῶν πρώτων στρατευσόμενοι, ὅταν μὴ ᾖ χρεία πανδημεὶ στρατεύειν ἀλλ' ἀριθμόν τινα μερῶν. Αἱ δὲ τοιαῦται ἔξοδοι ἐκαλοῦντο ἐν τοῖς μέρεσιν. LM.

Συμπαραπέμπων] Οὐ λέγει προπέμπων, ἀλλὰ συστρατεύων, ὡς καὶ παραπομπὴν τὴν στρατείαν. FLM.

Καὶ τῶν Ἀλκιβιάδου ξένων] Οὗτοι ἐοίκασιν Ἀλκιβιάδου εἶναι ξένοι καὶ φίλοι Ἀθήνησιν. Ἡ δ' ἔξοδος ἦν εἰς Φλιοῦντα. Ἔστι δὲ πόλις τῆς Ἀργείας.

Τὴν Νεμεάδα—χαράδραν] τόπος τῆς Ἀργείας. Χαράδρα δὲ τόπος κοῖλος πλέως ὕδατος.

Ἐν τοῖς ἐπωνύμοις καὶ τοῖς μέρεσιν] ἐν τοῖς ἐπωνομασμένοις ὀρθῶς, οἷον τοῖς ἀξιοχρέοις πρὸς τὴν μάχην καὶ διὰ τοῦτο ἐπωνομασμένοις μέρεσιν. LM.

169. Ταμύναις] χωρίον τῆς Εὐβοίας, ὡς ἔγνωμεν ἐν τοῖς κατὰ Μειδίου (p. 567, 2). Ἔστι δὲ τόπος ἱερὸς Ἀπόλλωνος. LM.

Ἐπιλέκτοις] ἐκλεγομένοις στρατιώταις ἀριστίνδην. LM.

Ἐκινδύνευσα] ἀντὶ τοῦ ἀνδρείως ἐπολέμησα. FLM.

Στεφανωθῆναι] ὑπὸ τῶν ἡγεμόνων. F.

Συμπρεσβεύσαντος] παρακαλέσαντος. Τὸ δὲ σύν πρόσκειται δηλοῦν ὅτι καὶ ἡγεμόνες ἐπῄνεσαν. FLM.

Ἦν] ἀντὶ τοῦ ἤμην. F.

170. Μήπω συνήγορον] μέλλει γὰρ ὕστερον καὶ συνήγορον καλέσαι. Τοῦτο δὲ λέγει, ἐπειδὴ ὁ μὲν μάρτυς μαρτυρῶν ὑπεύθυνος ἐγίνετο, ὁ δὲ συνήγορος, μόνον παρακαλῶν ὑπέρ τινος, οὐδὲν ἔπασχεν. FLM.

171. Τῶν παίδων τῶν ὑμετέρων] οἱονεὶ τῶν ἐξελθόντων ἀπὸ τῆς ἥβης. Παίδων δὲ ὡς πρὸς σύγκρισιν τῶν ἄλλων τῶν τελείων τὴν ἡλικίαν. FLM.

Πόρρωθεν] ἀντὶ τοῦ ἀπὸ παλαιῶν χρόνων. FLM.

172. Βούλεται ἀφ' ἑκατέρων δεῖξαι, καὶ ἀπὸ τοῦ πολεμῆσαι εὐκαίρως καὶ ἀπὸ τοῦ εἰρήνην ἄγειν, καλῶς προβαίνοντα τὰ πράγματα, ἀπὸ δὲ τοῦ ἀκαίρως εἰς δυστυχίαν μεταπίπτοντα. Διό, φησί, κἀγὼ εὐκαίρως συνεβούλευσα γενέσθαι τὴν εἰρήνην. F.

Ὑπό τινων] ἵνα λέγῃ τῶν τότε πονηρῶν ῥητόρων καὶ πολεμοποιῶν. LM.

Προκηρυκευσαμένου] ἀντὶ τοῦ πρεσβευτοῦ πεμφθέντος. Προξένου δὲ δημοσίου φίλου. FLM.

173. Προσκατεσκευασάμεθα] καταχρηστικῶς, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς (p. 14) στρατιώτας κατασκευασθῆναί φησιν ὁ Δημοσθένης. Σκύθας δὲ οἱονεὶ τοξότας· τοξόται γὰρ οἱ Σκύθαι καὶ οἱ Κρῆτες. FLM.

Ἐπριάμεθα] τουτέστιν ἐμισθωσάμεθα. B.

174. Ὑψηλὸν ἦρε] ἀντὶ τοῦ ὑψωθῆναι ἐποίησε. FLM.

175. Καὶ πάλιν] Μετῆκται τὰ πλεῖστα ἐκ τῶν Ἀνδοκίδου (or. 3, § 8), ἐστὶ δὲ ψευδῆ. Ἡ μὲν γὰρ Νικίου εἰρήνη ἐπὶ ἄρχοντος Ἀρίστωνος ἐγένετο τῷ τετάρτῳ ἔτει τῆς ὀγδοηκοστῆς ἐνάτης ὀλυμπιάδος· ἐν δὲ ταύτῃ οὐχ ὅτι ἐνακισχίλια (deb. ἑπτακ.) τάλαντα εἰς ἀκρόπολιν ἀνήγαγον, ἀλλὰ καὶ τὰ προανενηνεγμένα ἐκ Δήλου μύρια πεντακισχίλια προσανάλωσαν. Περὶ τῶν ἀποικιῶν δὲ ψεύδεται· οὐ γὰρ ἐπὶ τῆς Νικίου εἰρήνης ἐγένετο, ἀλλὰ πολλοῖς χρόνοις πρότερον LM.

Πλοΐμους] ἀντὶ τοῦ δυναμένους πλεῖν· ἐντελεῖς δὲ ὅ ἐστι πάντα τὰ ἐπιτήδεια ἐχούσας. F.

Φόρος] ὅτι τὸ ἄνω πρὸς τὸ ἀποθησαυρίσασθαι καὶ συναγαγεῖν εἴρηται, τοῦτο δὲ ὅπερ κατ' ἐνιαυτὸν εἶχον εἶπε φόρον. FLM.

Ἀποικίας] ὅπερ ἐστὶ σημεῖον ἰσχυόντων ἀνθρώπων· χρῄζουσι γὰρ δυνάμεως οἱ ἀποικίζοντες κατὰ τῶν κωλυόντων αὐτοὺς κτίσαι τὴν ἀποικιζομένην πόλιν. FLM.

176 Ἀψιμαχίας] τοῦ ἀεὶ φιλεῖν ἅπτεσθαι τοῦ πολέμου. FLM.

Τοὺς τετρακοσίους] Οἱ περὶ Πείσανδρον τὸν Ἀχαρνέα δημαγωγὸν ἔπεισαν τὸν δῆμον, ἐπεὶ δεῖται τὰ πράγματα σπουδῆς καὶ ἐπινοίας ταχείας, ποιήσασθαι κυρίους ἁπάντων ἄνδρας τετρακοσίους. Οὗτοι ἦσαν οἱ πρῶτοι τὸν δῆμον καταλύσαντες. Οὗτοι δὲ κατέστησαν ὑπὸ τὰ ἔσχατα τοῦ πολέμου πρὸ τῆς Λακεδαιμονίων ἐπικρατείας. Ἐκεῖνοι γὰρ λ' τυράννους κρατήσαντες κατέστησαν αὐτοὺς πολίτας Ἀθηναίων. LM.

Ὅθεν σοφωτάτην] καθὸ οὐχ εἵλετο ἐπὶ πολὺ στασιάζειν πρὸς ἑαυτήν, ἀλλ' εἰρήνην εἶχεν. FLM.

177. Ἀναφθέντος] ἀναφύντος, ἀναζωπυρηθέντος. B.

Ἀναφύντος] οἱονεὶ ὥσπερ ἀναβλαστήσαντος καὶ ἀναζήσαντος. FLM.

Τὸ νοσοῦν τῆς πόλεως] νόσημα πόλεως πολῖται κακοῦργοι. Τοῦτο οὖν τὸ ἔθνος προσποιούμενοι καὶ ἐπιτειχίζοντες τῇ πόλει ἀνατρέπουσι τὰ πράγματα. LM.

Ἐν μὲν εἰρήνῃ] οἱονεὶ ἐν τῇ εἰρήνῃ ἐπιδεικνύμενοι ὅθεν τὸ ἀνδρεῖον αὐτῶν ἐπιτάττουσι προφυλάξασθαι ἑαυτοὺς καὶ παρασκευάσασθαι. FLM.

Ἐξετασταὶ] ἐξαριθμηταὶ τῶν πραγματευομένων. Οὗτοι καὶ τοὺς ἀστρατεύτους ἐξελέγχουσι, καὶ ὅλον τὸ ἔργον καλεῖται ἐξέτασις, ἀποστολεῖς δὲ οἱ ἐπὶ τῶν ἀποστόλων, ὥστε ἐκπεμφθῆναι τοὺς πλέοντας στρατιώτας. LM. Περὶ τῶν ἀποστολέων ἔγνωμεν ἐν τῷ ὑπὲρ στεφάνου (p. 268, 18) ὅτι ἀρχὴ ἦν ἐπὶ τὸ ἐπείγειν τὸν στόλον ταχέως ἐκπλεῦσαι τεταγμένη. Ἐξετασταὶ δὲ τίνες εἰσὶν ἐν τῷ κατὰ Τιμάρχου (§ 43) ἔγνωμεν. FLM.

Οὐ τοῖς ἤθεσιν] ἵνα λέγῃ ὅτι οὐκ ἀληθῶς κατὰ φύσιν εἰσὶ φιλοπόλιδες, ἀλλ' ὑποκρίνονται. FLM.

178. Συστραφέντες] οἱονεὶ συνελθόντες καὶ φατριάσαντες. FLM.

Καί φασι μὲν] Πάλιν ἡ μετάθεσις τῆς αἰτίας, ὡς ἠπάτησέ με Φίλιππος. FLM.

179. Κἀμοὶ μὲν οἱ συνδεησόμενοι] Ἐλέου αἴτησις. F.

Γυναικείῳ — τὴν ὀργὴν] ἀντὶ τοῦ ὠμῷ καὶ ἀνηλεεῖ, ἐπειδὴ δοκοῦσιν αἱ γυναῖκες πικραὶ σφόδρα εἶναι περὶ τὸ ὀργίζεσθαι. Διὸ καὶ ὁ Μένανδρός φησι « φιλόνεικος δ' ἐστὶ κἄγρια γυνὴ | εἰς μῆνιν. » FLM.

180. Λογογράφῳ] οἷον φιλοδίκῳ καὶ κακοπράγμονι. FLM.

Ἀναμνησθέντες] διότι προετρεψάμην ἐκείνους σωφρονεῖν διὰ τοῦ κατηγορῆσαι τοῦ Τιμάρχου ἀσελγείας καὶ ὀφείλετέ μοι χάριν ὑπὲρ τούτων. FLM.

181. Τὴν μὲν τύχην] οὐ τὴν τύχην δηλονότι, ἀλλὰ τὸν τρόπον, ὅ ἐστιν, οὐ πανοῦργος ὢν ὡς Δημοσθένης. FLM.

Φοβερά] προσθετέον ἔξωθεν, τοῖς σώφροσιν. FLM.

182. Οὐδ' ὑπεύθυνος] καθὸ μετὰ τὴν ἀρχὴν οἱοσδήποτε παρεῖχεν εὐθύνας πῶς ἦρξεν. FLM.

183. Τῆς ὑμετέρας ἀδείας] τοῦ μὴ φοβεῖσθαι τὸν πόλεμον. FLM.

184. Πολιτικῶν] οἱονεὶ δημαγωγῶν καὶ μεταχειριζομένων τὰ κοινὰ πράγματα. FLM.

Κέχρημαι] ἀντὶ τοῦ φίλος εἰμί, ὡς καὶ ἀλλαχοῦ (Dem. p. 411, 10) κεῖται· « τούτῳ πάνυ ἐκεχρήμην. » FLM.

III. ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.

§ 1. Τὴν μὲν παρασκευὴν] τὴν τῶν παρακεκλημένων σπουδήν. Παρασκευὴν δὲ εἶπεν ὡς καθ' ἑαυτοῦ γινομένην, δέησιν δὲ ὡς πρὸς τοὺς δικαστάς. Φησὶ γάρ, ἐμοὶ μὲν ἀπειλοῦσιν, ὑμῶν δὲ δέονται. M.

Τὴν παράταξιν] ἀντὶ τοῦ σύνταξιν καὶ παρακλήτων καὶ συναγωνιστῶν σπουδήν. Δοκεῖ δὲ τραγικωτέρᾳ κεχρῆσθαι εὐθὺς ἐν ἀρχῇ τῇ μεταφορᾷ, πολιτικώτερον δὲ ὑπὸ Δημοσθένους εἰρῆσθαι τὸ αὐτὸ νόημα ἐν τῷ τῆς παραπρεσβείας, εὐθὺς ἐν ἀρχῇ, ἔχον οὕτως· « ὅση μέν, ὦ ἄνδρες Ἀθηναῖοι, « σπουδὴ καὶ παραγγελία γέγονε. » καὶ τὰ ἑξῆς. M.

Τὰ μέτρια καὶ τὰ συνήθη] μέτρια τὰ προσήκοντα, τὰ καθήκοντα· συνήθη δὲ τὸ ἐξ ἴσου ἀκροᾶσθαι καὶ μηδὲν παρὰ τὸ δίκαιόν τινι χαρίζεσθαι. M. Ἄλλως. Ἀντὶ τοῦ τὰ δίκαια· συνήθη δὲ τὰ εἰθισμένα τῇ δημοκρατίᾳ, ὅ ἐστ τὰ ἴσα. FM.

2. Τὴν βουλὴν τοὺς πεντακοσίους] πρὸς διαστολὴν τῆς Ἀρειοπαγιτικῆς βουλῆς, ἥτις ἦν ἀδιάδοχος. B.

Τῷ πρεσβυτάτῳ] τῷ ὑπὲρ πεντήκοντα ἔτη. B.

3. Οὐκ ἐκ τοῦ δικαιοτάτου] Ἑκάστη φυλὴ κατὰ μῆνα

ἐπρυτάνευε, καὶ ταύτης τινὲς ἦσαν πρόεδροι, καὶ τούτων πρῶτος ὁ ἐπιστάτης, ὃς πρῶτος ἐπεψήφιζεν. Ἦσαν δὲ οὗτοι κληρωτοί. Φησὶν οὖν ὅτι οὐ κληρωτοὶ ἦσαν οἱ ἐπιψηφίσαντες οὐδὲ νομίμως εἰληχότες προεδρεύειν, ἀλλὰ κατασκευαστοὶ καὶ ἐγκάθετοι σπουδασταί. Εἰκὸς δὲ πανουργεῖσθαι περὶ τὰς διακληρώσεις τινάς, καὶ ὠνεῖσθαι τοὺς κλήρους, καὶ ἄλλως πως πραγματεύεσθαι πρὸς τὸ δοκεῖν εἰληχέναι. Ἐγίνοντο γάρ τινες, ὡς εἴπομεν, κληρωτοὶ ἐξ ὅλου τοῦ δήμου πρόεδροι. Οὗτοι δὲ μετὰ τῆς προεδρευούσης φυλῆς ἐκάθηντο καὶ ἐπεψήφιζον τὰ δοκοῦντα τῇ ὅλῃ βουλῇ. M.

Ὄντως] οἱονεὶ ἀληθῶς καὶ οὐ κεκακουργημένως. Λάχῃ δὲ κληρούμενος ἀντὶ τοῦ ἀπὸ κλήρου σχῇ τὴν ἐξουσίαν τοῦ προεδρεύειν. FM.

4. Τὸ κάλλιστον] τοῦτο δὲ ὡς δημοτικὸν ἐπαινεῖ. Ἔστι δὲ προσαγωγὸν τῶν δικαστῶν, εἰ μὴ τοὺς πλουσίους καλεῖ, ἀλλὰ τὸν βουλόμενον. M.

Οἱ πρόεδροι] Πρόεδροι ἐλέγοντο οἱ δέκα ἄνδρες οἱ καθ' ἑκάστην πρυτανείαν τὰ τῆς ἐκκλησίας διοικοῦντες. Οὕτω δὲ ἐκαλοῦντο, ὅτι τῶν ἄλλων ἁπάντων προήδρευον. Ἦσαν δὲ πρυτανεῖαι δέκα, ὅσαι καὶ Ἀθηναίων φυλαί, εἶχε δὲ ἑκάστη φυλὴ πρυτάνεις πεντήκοντα, οἳ τὰ ὅλα διῴκουν ἡμέρας τριάκοντα πέντε. Οὗτοι δὲ διῃροῦντο εἰς δεκαδαρχίας πέντε τῶν προέδρων λεγομένων, οἳ ἡμέρας ἑπτὰ διῴκουν τὰ πολιτικά, καὶ προήδρευον κατὰ μέρος. Καὶ οὕτω τρεῖς ἦσαν τῆς διοικήσεως ἄμοιροι. Ὁ δὲ μίαν ἡμέραν τὰ ὅλα διοικῶν ἄρχων ἐφήμερος καὶ ἐπιστάτης ἐκαλεῖτο. B. Ἔγνωμεν καὶ τοῦτο ἐν τοῖς Δημοσθενικοῖς, ὅτι ἑκάστη τῶν δέκα φυλῶν τριάκοντα ἓξ ἡμέρας διῴκει τὴν πόλιν, καὶ αὐτὴ εἶχε τὴν προεδρίαν τῶν ἄλλων. Πάλιν δὲ καὶ αὐτῆς τῆς προεδρευούσης φυλῆς ἦσάν τινες τιμιώτεροι, οἱ πρόεδροι, οἵτινες δι' ἑαυτῶν διῴκουν ἐν αὐταῖς ταῖς ἡμέραις πάντα τὰ καθήκοντα τῇ αὐτῶν φυλῇ. FM.

Τὸ δέκατον μέρος] Δέκα γὰρ ἦσαν φυλαὶ καθεσταμέναι Ἀθήνησιν ἀπὸ τῆς Κλεισθένους πολιτείας, εἰς ἃς ἅπαντες ἦσαν Ἀθηναίων διανενεμημένοι. Ἔοικε δὲ ἡ βουλὴ πόλις εἶναι μικρά· ἔστι γὰρ ἐκ τῶν δέκα φυλῶν καὶ ὅλη ἡ πόλις. Τὸ γὰρ δέκατον μέρος ταύτης δέκατον μέρος ἐστὶ τῆς πόλεως. M.

5. Τοιούτων, ὁποίους] Τὸ ἐπαχθὲς ἔφυγεν, ἵνα μὴ λυπήσῃ. M.

6. Τυραννίς] Τυράννους ἔλεγον καὶ τοὺς βασιλεῖς. M.

Ὀλιγαρχία] Ταύτην τινὲς ἀριστοκρατίαν λέγουσιν. M.

Παρρησίας] ὅ ἐστιν ἐλευθερίας. F.

9. Περὶ μὲν —] ἡ προκατασκευή. F.

Ἐλπίζω] ἀντὶ τοῦ νομίζω. F.

Ἐν γὰρ τοῖς —] ἡ κατάστασις. F.

Λαμβάνοντες] ἀντὶ τοῦ φίλους κτώμενοι. F.

Εὐθύναις] Εὔθυναι αἱ τῶν δικαιωμάτων ἐξετάσεις. M.

Τῶν ἀρχόντων] τῶν λογιστῶν. Λογισταὶ δὲ ὄνομα ἀρχῆς. Δέκα δὲ τὸν ἀριθμὸν ἄνδρες ἦσαν, παρ' οἷς οἱ πρεσβεύσαντες ἤ τι δημόσιον διοικήσαντες ἤ τινα ἀρχὴν ἄρξαντες ἐδίδοσαν τὰς εὐθύνας. Εὔθυναι δὲ αἱ τῶν διῳκημένων ἐν ταῖς ἀρχαῖς δοκιμασίαι καὶ ἐξετάσεις καὶ ἀπολογισμοί. B.

10. Τὰς εὐθύνας ὠφληκώς] Ὥσπερ λέγομεν εὐθύνας δέδωκεν, ἐὰν μὴ ἄμεμπτος εὑρεθῇ, οὕτω καὶ ὠφληκώς, ἐὰν ἀδικήσας ὀφθῇ. M.

11. Κατιδὼν] ἀρχὴ τοῦ νομίμου κεφαλαίου. F.

Τοὺς ὑπευθύνους] τοὺς μήπω λόγον τῶν διῳκημένων ἀποδεδωκότας. M.

Προβάλλονται] προκάλυμμα ποιοῦνται τῆς αἰσχύνης. M.

Προσγράφουσι] Τὸ προσγράψαι ἐπειδάν τις εὐθύνας δῷ. M.

Λόγον] ἀντὶ τοῦ ἀπολογίαν. Καὶ γὰρ ἐν τοῖς Φιλιππικοῖς ὁ Δημοσθένης (p. 10, 27)· « οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις. » FM.

12. Κτησιφῶν δέ] Εἰπὼν οἱ μὲν μέτριοί εἰσιν, ἔδει ἐπενεγκεῖν οἱ δὲ ἀναιδεῖς, ὧν ἐστι Κτησιφῶν. Ὁ δὲ οὐχ οὕτως ἐποίησεν, ἀλλ' « οἱ μὲν φύσει μέτριοι, ὁ δὲ Κτησιφῶν ὑπερπηδήσας τὸν νόμον » καὶ τὰ ἑξῆς. M.

Ὑπερπηδήσας] ὑπερβάς. B.

Μεταξὺ Δημοσθένην ἄρχοντα] ἀντὶ τοῦ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἀρχῆς. Ἢ μεταξὺ τοῦ χρόνου εἶναι αὐτὸν ὑπεύθυνον. Ἄλλως. Οἷον κατὰ μέσον ἄρχοντα, μεσοῦντα τῆς ἀρχῆς. M.

13. Ἕτερον] οὐδένα προεῖπε τῶν ἀντιδικούντων λόγον. Πῶς [οὖν] φησι καὶ ἕτερον; M.

Ἀρχάς] Τρεῖς ἦσαν Ἀθήνησιν ἀρχαί, αἵ τε κληρωταί, καὶ ἃς ὁ δῆμος ἐν ἀρχαιρεσίαις χειροτονεῖ, αἵ τε κατὰ καιροὺς φυλακαί, τειχῶν ἐπισκευῆς καὶ ὅσα τοιαῦτα. Αἱροῦνται δὲ ταύτας καὶ φυλαὶ καὶ δῆμοι. Τὸν γὰρ Δημοσθένην καὶ τειχοποιὸν εἵλετο Πανδιονὶς φυλή. Τούτων δὴ τῶν τριῶν τὰς τελευταίας ἴσως φησὶ καλοῦσιν ἐπιστασίας καὶ πραγματείας, ὧν μίαν ὁ Δημοσθένης ἔπραττε. Δείκνυσιν οὖν κατὰ τοὺς νόμους ἀρχὰς αὐτὰς λεγομένας καὶ συμπάσας τὰς ὑπὲρ μῆνα ἐπιστασίας. M.

Ἀποκληροῦσιν] ἀντὶ τοῦ διὰ κλήρου αὐτοῖς παρέχουσι τὴν ἀρχὴν ἐν τῷ Θησείῳ, ἴσως τῶν θεσμοθετῶν ἐκεῖ ἀεὶ χειροτονούντων εὐτελεῖς τινας διοικήσεις, ὡς πρὸς τιμὴν τοῦ Θησέως τοῦ οἰκιστοῦ, οὗτινος τὰ ὀστᾶ ἐκεῖ ἔκειτο. Νόμος δ' ἦν τοὺς ἀποφυγόντας τῶν οἰκετῶν εἰς τὸ τοῦ Θησέως τέμενος ἀτιμωρήτους εἶναι. Οἱ δὲ θεσμοθέται τῶν ἐννέα ἀρχόντων εἰσί, τὸν ἀριθμὸν ὄντες ἕξ. Διαλλάσσουσι δ' αὐτῶν οἱ καλούμενοι νομοφύλακες. M. et ex parte F.

Θησείῳ] Δύο Θησεῖα ἐν τῇ πόλει· ** ὃ ἦν αὐτοῦ κενοτάφιον ποιήσαντες καὶ ἔξω τῆς πόλεως, ὃ ἔκτισεν αὐτῷ Κίμων (ἱερὸν cod.), ὅτε κατήνεγκεν αὐτοῦ ἐκ Σκύρου τὰ ὀστᾶ. Ἔφυγε δὲ διὰ τὸν Ἱππολύτου θάνατον, ὑπὸ Λύκου κατηγορηθείς. M.

Ἐν Ἀρχαιρεσίαις] Ἀρχαιρεσίαι ἐκαλοῦντο ἡμέραι ἐν αἷς οἱ ἄρχοντες ἐπεχειροτονοῦντο. — Ὡρισμένας τινὰς κατ' ἐνιαυτόν, παρὰ τὸ τὰς ἀρχὰς ἐν αὐταῖς αἱρεῖσθαι, ὅ ἐστι χειροτονεῖν. FM.

14. Ἐν ᾧ] Ὑπερβὰς τὰς χειροτονητάς φησιν ἀρχὰς καὶ τοὺς ἐπιστάτας καὶ τούσδε καὶ τούσδε οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας. M.

Ἡγεμονίας δικαστηρίων] οἷον ἐξουσίαν τοῦ καταδικάζειν τοὺς ὑπαιτίους. FM. Ἄρχοντες ἕκαστοι εἰσῆγόν τινας δίκας εἰς τὸ δικαστήριον. Ἐκαλεῖτο δὲ τοῦτο ἡγεμονία δικαστηρίου. — Τί δ' ἐστὶ τοῦτο; ὑπάρχει τις βασιλεύς, θεσμοθέτης, τειχοποιός, λογιστής. Οὗτοι τοὺς ὑφ' αὐτοὺς ἐκκληροῦντες δικαστήριον εἰσάγουσιν εἰς τοῦτο, οἷον λογιστὴς τοὺς ἄρχοντας κληρώσας δικαστήριον, οὗ προέστη τε καὶ εἰσάγει· καὶ πάλιν ὁ θεσμοθέτης. Διὸ καὶ παρ' Ἀριστοφάνει (Vesp. 935) δικαστής φησιν·

ὁ θεσμοθέτης. Ποῦ 'σθ' οὗτος; ἀμίδα μοι δότω. M.

15. Οὐ διακονεῖν] ἀντὶ τοῦ οὐ διακόνους τούτους οἶδεν ὁ νομοθέτης F. Οὐχ ὅτι ἐν τῷ νόμῳ γέγραπται μὴ διακονεῖν, ἀλλὰ τοῦ νόμου λέγοντος τούσδε καὶ τούσδε ἄρχειν

δοκιμασθέντας ὑπολαβών φησιν οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας M.

'Επειδὴ] Ὃ λέγει τοιοῦτόν ἐστιν· ἐπειδὴ οἱ ἀπὸ κλήρου γινόμενοι δοκιμάζονται, οὐκοῦν πολὺ πλέον δεῖ δοκιμάζειν καὶ τοὺς χειροτονητούς. FM.

Εὐθύνας] τὰς κατὰ τῶν ἀρξάντων ἢ δημόσιόν τι διοικησάντων ἀρχάς. M.

Τὸν γραμματέα] Γραμματέα λέγει τὸν εἰωθότα ἐν τῷ κοινῷ τὰ τοῦ δήμου γράμματα ἀναγινώσκειν. B.

Τοὺς λογιστὰς] Λογιστὴς ἑκάστης φυλῆς εἷς. Γραμματέα δὲ ἕκαστοι εἶχον. Λέγει οὖν νῦν τὸν τῶν λογιστῶν. — Ἄρχοντες ἦσαν δέκα ᾑρημένοι καλούμενοι λογισταί, οἷς λόγον οἱ ὑπεύθυνοι τῶν διαχειρισθέντων ἐδίδοσαν. Καὶ ἐδίκαζον αὐτοὶ τὰς εὐθύνας. M.

17. Πρὸς δὲ] Δημοσθενικῶς προδιαβάλλει τὴν ἀντίθεσιν, μετὰ ἤθους δέ. Ἔστι δὲ κατὰ ῥητὸν καὶ διάνοιαν. Φησὶ γὰρ ὁ Αἰσχίνης ὅτι ὑπεύθυνος εἶ· τειχοποιὸς γὰρ εἶ. Ὁ δὲ Δημοσθένης τειχοποιὸς εἶναι συντρέχει, τὸ δὲ τὰ γὰρ ἴδια ἀνάλωσα διάνοια τοῦ ῥητοῦ ἐστι, καὶ ἀμφισβητεῖται, ποῖα ἀνάλωσε, τὰ ἴδια ἢ τὰ κοινά. M.

Τηλικαύτῃ] ἐν γὰρ τῇ μεγάλῃ ἐνδέχεται καὶ λαθεῖν. FM.

Ὁπωσοῦν] δι' ἥντινα πρόφασιν, ὁποία ποτ' ἂν ᾖ. M.

18. Παραδόξων] τῶν παρὰ τὴν δόξαν, περὶ ὧν οὐκ ἄν τις προσδοκήσειεν οὐδ' ὑπολάβοι. M.

Γένη] Γένη οὐ τὰς συγγενείας καλεῖ, ἀλλὰ ταῦτα ὧν οἱ μετέχοντες γεννῆται καὶ ὁμογάλακτες καλοῦνται. Εἰσὶ δὲ ὥσπερ πατριαί τινες, ἱερωσυνῶν κοινωνίας ἔχουσαι. M.

Εὐμολπίδας] Εὐμόλπου ἀπογόνους. Ἐγένετο δὲ Εὔμολπος Μουσαίου υἱὸς ἢ μαθητής, τοῦ τὰ μυστήρια εὑρηκότος, B. Οἱ Εὐμολπίδαι γένος εἰσὶν ἀπὸ Εὐμόλπου. Οὗτοί εἰσιν οἱ μυοῦντες· ἐκ τούτων γίνεται δᾳδοῦχος, ἱεροφάντης. Οἱ δὲ Κήρυκες καὶ αὐτοί εἰσι τῶν περὶ τὰ μυστήρια. Καὶ τοῦτο δὲ τὸ γένος ἀπό τινος ὀνομαστικῶς λεχθέντος Κήρυκος. — Γένη καὶ πατριαί τινες διάσημοι, ἀφ' ὧν Ἀθήνησιν ἱεροφάνται μὲν τῆς Δήμητρος ἀπὸ Εὐμολπιδῶν, δᾳδοῦχοι δ' ἀπὸ Κηρύκων. M.

22. Ἐκποίητον] Τοῦτο διφορεῖται· ἐὰν μὲν γὰρ παρ' ὄνομα ᾖ, προπαροξύνεται, ἐὰν δὲ παρὰ ῥῆμα, ὀξύνεται. F.

22. Οἷον τὰ ἴσα ἀπογράφων ὧν λαμβάνει παρὰ τῶν συντελεστῶν, καὶ παρέχων αὐτοῖς ὡς νῦν λέγομεν τὰς ἀποχάς, ὡς καὶ ἐν τῷ κατὰ Ἀνδροτίωνος ἔγνωμεν. F.

24. Ἐκκλησίᾳ] Τρεῖς γὰρ ἐκκλησίαι κατὰ μῆνα ἐγένοντο. F.

25. Πρότερον μὲν] Τοῦτο ὡς ἀντιπῖπτον βούλεται λῦσαι. Ἵνα γὰρ μὴ εἴπῃ ὁ Δημοσθένης ὅτι οὕτως εὔνους ἤμην τῇ πόλει, πολλάς μοι ἀρχὰς ἐπίστευσε, λύει λέγων ὅτι οὐ διὰ τὴν εὔνοιαν τὴν σήν, ἀλλ' ἐπειδὴ ἔθος τοῦτο ἐγένετο ἀπὸ Εὐβούλου. Οὗτος γὰρ πολιτευόμενος ἦρχε τῶν θεωρικῶν, καὶ διὰ τὴν εὔνοιαν αὐτοῦ καὶ ἄλλας διοικήσεις αὐτῷ ἐπίστευσε καὶ τὴν τοῦ ἀντιγραφέως ἀρχήν. Ἐκ τούτου λοιπὸν καὶ εἰς τοὺς ἀναξίους ἔδραμε τὸ ἔθος. F.

Πρυτανείαν] ἣ ἦν ἡμερῶν τριάκοντα πέντε, ὡς ἄνω εἴπομεν. B.

Ἀποδεκτῶν] Ἀποδέκται ἦσαν οἱ δεχόμενοι τὰ χρήματα τῶν καταβολῶν, εἴ τις ἐχρεώστει τῷ δημοσίῳ ἀπὸ καταδίκης. Ὁδοποιοὶ δὲ οἱ ἐπιμελούμενοι τῆς καθαρότητος τῶν ὁδῶν τῆς πόλεως. F.

27. Ἐπιβολάς.] οἷον ζημίας καὶ καταδίκας τοῖς ὑπ' αὐτόν, ὅπερ ἐστὶν ἔργον τῆς ἀρχῆς. F.

Ἱσταμένου] Καλῶς τὸ ἱσταμένου μηνός, ἐπειδή ἐστι καὶ δευτέρα φθίνοντος. F.

28. Ἀντιδιαπλέκει] οἷον ἄλλο ἀντ' ἄλλου εἰσάγει. Μὴ δυνάμενος γὰρ δεῖξαι ὅτι οὐκ ἦν ὑπεύθυνος, λέγει ὅτι ἀλλ' οὐχ ὑπὸ τῆς πόλεως ἐχειροτονήθην, ἀλλ' ὑπὸ τῆς φυλῆς μου. F.

30. Τριττύες] ὅ ἐστι τρίτον μέρος τῆς φυλῆς. Πολλάκις γὰρ καὶ ἡ πᾶσα φυλὴ ἑαυτῆς ἕνα προεβάλλετο· πολλάκις δὲ καὶ ἓν ἕκαστον μέρος τῶν τριῶν τῆς φυλῆς ἕνα ὑπὲρ ἑκάστου μέρους. Καὶ οἱ δῆμοι οἱ μερικοί, οἷον ὥσπερ αἱ κῶμαι. Τοῦτο δὲ εἶπεν, ὡς ὅτι οἱ δῆμοι ἐξ αὐτῶν αἱροῦνταί τινα, ἵνα ὑπὲρ τοῦ δήμου αὐτοῦ τοῦ μερικοῦ φροντίζῃ. F.

32. Ὁ δὲ ῥήτωρ] κατ' εἰρωνείαν εἴρηται, μᾶλλον δὲ κατ' ἀλήθειαν. Βούλεται γὰρ αὐτὸν εἶναι ῥήτορα διὰ τὸ χρήσιμον αὐτοῦ, ἐπειδὴ λέγει, διὰ τί μὴ αὐτὸς ἀπολογεῖται ὑπὲρ ἑαυτοῦ, ἀλλὰ τὸν Δημοσθένην εἰς συνηγορίαν ἐκάλει; F.

Τοὺς ἀντιδίκους] διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἀντιλέγειν πρὸς τὰ προειρημένα. F.

32. Διαρρήδην] φανερῶς, διωρισμένως. B.

33. Οὗτος] Ἐπὶ τὸ δεύτερον νόμιμον μεταβαίνει. F.

Ἐργολαβεῖν] ἵνα διὰ τοῦ ἐν τῷ θεάτρῳ στεφανοῦσθαι ἔχῃ ἑαυτῷ τοὺς παρέχοντας τὰ χρήματα, ὡς δυνατῷ καὶ τιμωμένῳ ἐν τῇ πόλει. F.

34. Πνυκὶ] Πνὺξ τόπου ὄνομα, ἐν ᾧ ὁ δῆμος ἐκκλησιάζων συνήγετο. B.

35. Νόμον] θέλει εἰπεῖν τὸν περὶ τῶν ξένων, ὅτι κελεύει ὁ νόμος τὸν ξενικὸν στέφανον ἐν τῷ θεάτρῳ ἀναγορεύεσθαι. Τοῦτον γὰρ καλεῖ Διονυσιακόν. Ὁ δὲ Δημοσθένης διακόψας τὸ ἥμισυ τοῦ νόμου τοῦ πολιτικοῦ τὸ ἥμισυ παρενέβαλε τὸ τῶν ξένων, ὡς ἔγνωμεν ἐκεῖσε ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. Διὸ ἐπάγει μέρει τινὶ λέγων. F.

39. Ἐπιγράψαντας] οἱονεὶ ὑποβαλόντας. F.

Διαχειροτονίαν] διάσκεψιν. F.

40. Νομοθέταις] δηλονότι πρὸς τὸ κρίνειν. F.

41. Οἱ νόμοι] πάλιν πληθυντικῶς εἶπεν ἀντὶ ἑνικοῦ. F.

Ὑποκηρυξάμενοι] Ἀττικῶς ἀντὶ τοῦ κηρύξαντες. Χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς. F.

42. Ὃ δ' ἦν ἐπιφθονώτατον] λείπει, τοῦτο προσθήσω. Εὑρημένοι δὲ ἀντὶ τοῦ ποιούμενοι. Τοῦτό φησι· τινὲς ἐνταῦθα ἑαυτοῖς κατεσκεύαζον, προσποιούμενοι εἶναι πρόξενοι πόλεών τινων, ἵνα αὗται αἱ πόλεις πέμπωσιν αὐτοῖς στεφάνους. F.

Ἕνεκ' ἀρετῆς] εἰρωνείας καὶ ἤθους μεστὸς ὁ λόγος. F.

Καταθέμενοι] ἀντὶ τοῦ ὁμολογήσαντες. F.

45. Ἐρανίζων] ἀντὶ τοῦ συλλέγων. F.

Ὅταν δέ] Ἐνταῦθα ἡ ἀπόδοσις ἐν σχήματι ἐπαναλήψεως, ἐπειδὴ διὰ πολλῶν ἦν ἠρτημένη ἄνωθεν ἀπὸ τοῦ ὅταν οὖν ἀποδείξῃ. F.

48. Ὑποβαλεῖν] ἀποκρίνασθαι, ἀπαντᾶν λόγοις. F.

50. Ἁπλοῦς] Ὅτι τριχῶς λέγεται τὸ ἁπλοῦν, ἢ ἐπὶ τοῦ ἀπανουργήτου, ἢ ἐπὶ τοῦ ἐρήμου, ἢ ἐπὶ τοῦ συντόμου. Ἐνταῦθα οὖν ἁπλοῦν λέγει τὸ σύντομον, ὥσπερ Εὐριπίδης (Phœn. 472).

Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

Ἐντεῦθεν δὲ μετέρχεται ἐπὶ τὸν τρίτον νόμον, τὸν περὶ τῶν ψευδῶν γραμμάτων, οἷον ὅτι οὐ δεῖ ψευδῆ γράμματα ἐγκεῖσθαι ἐν τῷ Μητρῴῳ· τοιοῦτοι δὲ οἱ περὶ Δημοσθένους ἔπαινοι. F.

Τοὐναντίον] οὐκ ἔστι τοῦτο πρὸς τὸ πρὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ ἔτι ἀνώτερον. Οὐ γὰρ λέγει ὅτι δεικτέον αὐτῷ,

εἰ ἔξεστι ψευδῆ γραμμάτια ἐνθέσθαι, ἀλλ' εἰ ἀληθεῖς οἱ περὶ αὐτοῦ, τοῦ Δημοσθένους, ἔπαινοι. F.

51. Τί γάρ] τῷ κατὰ παράλειψιν σχήματι κέχρηται. F.

Κηφισοδότου] Οὗτος πολιορκήσας Ἀλωπεκόννησον, εἰσαγγελθεὶς διὰ τὴν συνθήκην τὴν πρὸς Χαρίδημον γενομένην καὶ καταψηφισθεὶς, πέντε ταλάντοις ἐζημιώθη. Εἰσαγγελία δέ ἐστι κατηγορία διὰ τὰ ἀδίκως ἢ κακῶς πεπραγμένα. B.

52. Περιάγων] Δοκεῖ γὰρ τοῦτο ὥσπερ τιμή τις εἶναι τοῦ τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεὼς, καθ' ὃ δοκεῖ τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατεσκευασμένην. Οὐκ ἐμνήσθη δὲ τούτου ὁ Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους, ἐπειδὴ μάλιστα μὲν οὐ δι' ἑαυτοῦ λέγει ἐκεῖνον τὸν λόγον, ἀλλ' Εὐθυκλῆς ἐστιν ὁ ἐκεῖσε λέγων, λαβὼν τὸν λόγον παρὰ Δημοσθένους· εἶτα οὐδὲ ἀναγκαῖον ἦν. F.

Τὴν—καταχειροτονίαν] ἵνα λέγῃ περὶ τῆς προβολῆς ἐκείνης. F.

53. Προδιδοὺς ὑμᾶς] λείπει, τούτῳ τῷ Δημοσθένει. F.

Ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα] Πῶς τὰ αὐτὰ ἀρχαῖα καὶ ὁμολογούμενα; ὀφείλει γὰρ λήθην παθεῖν ὑπὸ τῆς παλαιότητος τοῦ χρόνου. Ὅτι οὕτω φησὶ μεγάλα ἐστὶν, ὅτι οὐδὲ ὁ χρόνος τὴν μνήμην αὐτῶν ἠδυνήθη ἀφελέσθαι. Ὅτῳ δὲ ἀντὶ τοῦ ᾧτινι, τῷ Δημοσθένει. F.

Ὦ Κτησιφῶν] Τὸ σχῆμα ἀποστροφή. F.

54. Περὶ δὲ] Μετέρχεται ἐπὶ τὸ δίκαιον κεφάλαιον ἐντεῦθεν, πληρώσας τὸ νόμιμον. Μερίζει δὲ τὸ δίκαιον εἰς τέσσαρας καιροὺς, ὡς πολλάκις ἔγνωμεν. F.

Τοῦτον δ' ἀφορίζεται] λέγει οἱονεὶ εἰς ἕνα χρόνον συνάπτει. F.

Τῇ γενομένῃ εἰρήνῃ] ἀντὶ τοῦ μέχρι τῆς γενομένης εἰρήνης, συλλαμβάνων καὶ αὐτὴν τὴν εἰρήνην. F.

55. Ἐγκαλύπτωμαι] τὸ πρόσωπον καλύπτω ὑπ' αἰσχύνης. B. ἀντὶ τοῦ σκέπω ἐμαυτὸν, ὡς ἀπορῶν δῆθεν. Ἐκκαλύψειν δὲ ἀντὶ τοῦ γυμνώσειν με σκεπόμενον. F.

58. Ἐπὶ Φίλιππον] ἀντὶ τοῦ κατὰ Φιλίππου. F.

Συστάντες] ἀντὶ τοῦ φατριάσαντες ἐπὶ τὰ δημόσια ὑμῶν πράγματα. F.

59. Ἐπὶ τοὺς λογισμοὺς] ἐπὶ τὸ ἀπαιτῆσαι λόγον τῶν ἀναλωθέντων χρημάτων. F.

Συγκεφαλαιωθῇ] ἀντὶ τοῦ πλήρης ἀποδειχθῇ. F.

Αἱρῇ] ἐλέγχῃ. B Ἀντὶ τοῦ καταλάβῃ. F.

62. Ἐπιλαχών] Ἐλάγχανον γὰρ ἄρχοντες καὶ σὺν αὐτοῖς ἄλλοι ὥσπερ δεύτεροι αὐτῶν, ἵνα εἴς αὐτῶν εἰ ἀπέθανεν ἐν τῷ μεταξὺ τῆς ἀρχῆς ἢ ἠρρώστησεν, ὁ ἀντ' αὐτοῦ ἐγίγνετο ἄρχων. Ἐκ παρασκευῆς δὲ πριάμενος, οἷον ὑποφθείρας χρήμασι τοὺς προέδρους τῆς βουλῆς, ὥστε αὐτὸν βουλευτὴν ποιῆσαι. F.

Ἵνα εἰς ὑποδοχὴν—] οἷον τὰ ἀρέσκοντα αὐτῷ. F.

64. Ἐκ μεταβολῆς] Ἐν γὰρ τῇ πρώτῃ, φησί, πρεσβείᾳ ἐπῄνει αὐτοὺς, ὕστερον δὲ ἐν τῇ δευτέρᾳ διέβαλλεν ὡς προδότας. F.

66. Ἀνεμέσητον] ἄμεμπτον. B.

Κατακοινωνήσαντες] οἱονεὶ κοινωνήσαντες ἀλλήλοις κατὰ τῶν πραγμάτων τῶν τῆς πόλεως. F

Τοὺς καιροὺς] οἱονεὶ τὰς εὐκαιρίας καὶ τὸ δύνασθαι διὰ τοῦ ἀναμεῖναι τοὺς Ἕλληνας ἐλθεῖν καὶ κοινωνῆσαι τῆς εἰρήνης. F.

67. Ἣ πρότερον οὐδεὶς μέμνηται γενόμενον] οἱονεὶ ἐκκλησίαν ἐν πανηγύρει. F.

68. Νικᾷ] ἀντὶ τοῦ γράφει μηδενὸς αὐτῷ ἐναντιουμένου. F.

70. Τῆς τριμήνου] προθεσμίας ὑπακουστέον. B.

72. Τὸ ῥῆμα] Ῥῆμα ἐνταῦθα καλεῖ οἷον τὴν ῥῆσιν αὐτὴν καὶ τὸ κῶλον, ὄνομα δὲ τὴν λέξιν, οἷον τὸ ἀπορρῆξαι. F.

Ἐρήσεται] ἐρωτήσει, ἐρωτᾶν μέλλει. B.

74. Παρεγγράψας] οἱονεὶ ὑποβαλών F.

75. Αὐτομολοῦσιν] οἱονεὶ τὰ τῶν πολεμίων φρονοῦσι καὶ μεταβάλλουσιν ἑαυτούς. F.

Ἐπέδωκε] αὐτά, φησι, τὰ δημόσια γράμματα ἐπέδωκε τῷ δήμῳ. F.

76. Ἐνιαυτὸν] ἐπειδὴ οἱ βουλευταὶ οἱ πεντακόσιοι ἐνιαύσιοι ἦσαν. — Φοινικίδας] οἱονεὶ πυρρὰ παλλία. F.

77. Ἑβδόμην δ' ἡμέραν] οὕτως οἱ Ἀττικοὶ λέγουσι, δέον εἰπεῖν πρὸ ἑπτὰ ἡμερῶν. F.

Εὐηγγέλια ἔθυε] — Ἐβουθύτει] ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος.

81. Ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας] οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου, καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πλείονος πρὸς ἀλλήλους. F.

85. Τοῦ Καλλίου] Οὗτός ἐστιν ὁ Καλλίας ὁ ποιήσας τὴν Εὔβοιαν γενέσθαι πάλιν ὑπὸ Ἀθηναίους, μετὰ τὸ ἐξελαθῆναι ἐξ αὐτῆς τῆς Εὐβοίας τοὺς περὶ τὸν Φιλιστίδην καὶ τὸν Κλείταρχον, ἐν τῷ χρόνῳ τοῦ δεκάτου λόγου τῶν Φιλιππικῶν. Διὸ καὶ κακῶς αὐτοῦ μέμνηται ὁ Αἰσχίνης. F.

Ἀθηναίους εἶναι] Καὶ γὰρ τῇ ἀληθείᾳ πολίτας αὐτοὺς ἐποιήσαντο οἱ Ἀθηναῖοι διὰ τὸ τὴν Εὔβοιαν ποιήσασθαι ὑφ' ἑαυτούς. F.

Ἀπέδοτε] τοῖς Εὐβοεῦσιν. B.

86. Ταμύνας] χωρίον Εὐβοίας. F.

Ὑπερεβάλλομεν] ἀντὶ τοῦ παρηρχόμεθα. F.

87. Τοὺς Φωκικοὺς ξένους διαβιβάσας] οἱονεὶ συνάγων τινὰς Φωκέων τῶν ἔτι σωζομένων, πρὸς τὸ τυραννῆσαι τοὺς Εὐβοέας· τοῦτο δὲ ἔξωθεν ἔλαβε πρὸς διαβολήν. Διαβιβάσας δὲ οὐ λέγει τοὺς Φωκέας, ἀλλὰ τὸ στρατόπεδον ὃ συνήγειρεν. F.

88. Ἐκ παρατάξεως] ἀντὶ τοῦ φανερῶς καὶ οὐ λάθρα. F.

89. Συνάγων] ἵνα δῆθεν εἰς ἓν συνέρχηται ἡ πᾶσα Εὔβοια καὶ ἐπακούῃ τοῖς Ἀθηναίοις. F.

Ἐφ' ὑμᾶς] ἀντὶ τοῦ καθ' ὑμῶν.

90. Τοῦ Εὐρίπου] Θέλει δὲ ὥσπερ διὰ τούτου δηλῶσαι ὅτι ἐμιμήσατο διὰ τοῦ τρόπου τὸ εὐμετάβλητον τοῦ Εὐρίπου, ὡς πλησίον αὐτοῦ οἰκῶν. Ἔστι δὲ τὸ κῶλον χαριεντισμός. Ἐπαινοῦσι δὲ τοῦτο τὸ κῶλον οἱ κριτικοὶ, λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι καὶ οὐ κούφως. F.

91. Τὸν δολιχοδρομήσαντα] Εἶδός ἐστι δρόμου ὁ δόλιχος, ὡς ἐκ τῶν Πινδαρικῶν ἔστι μαθεῖν, ἴσως ἐν σταδίοιν ἐκτεταμένον δραμεῖν. F.

Οὐδὲν γὰρ] Ἡ σύνταξις τοῦ κώλου ἐν ὑπερβατῷ οὕτως· οὐδὲν γὰρ ἦν ἐν μέσῳ, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἢ τεθνάναι, εἰ μνησθεὶς ὁ δῆμος τῶν ἀδικημάτων αὐτοῦ μὴ προσδέξοιτο τὴν συμμαχίαν. F.

92 Ἔγραψε δ' ἐν] Ἡ πᾶσα διάνοια τοιαύτη ἐστίν· ἔγραψε, φησί, βοηθεῖν ἡμᾶς τοῖς Χαλκιδεῦσιν. Εἶτα ἵνα μὴ δόξῃ ἄτοπον λέγειν τὸ μόνον ἡμᾶς ἐκείνοις βοηθεῖν, μὴ μέντοι καὶ αὐτοὺς ἡμῖν, προσέθηκε δῆθεν εὐφημίας χάριν, ὥστε καὶ αὐτοὺς βοηθεῖν ἡμῖν κινδυνεύουσι, καὶ ἀντικατήλλαξε ῥῆμα ἔργῳ. F.

93. Αἰσχίστας πράξεις] οἷον τὸ παραχωρῆσαι τοῖς Χαλκιδεῦσι τὸ συνεδρεύειν καὶ τοὺς φόρους. F.

94. Ἀνέστησαν] ἀντὶ τοῦ μετέστησαν. F.

95. Σύνταγμα] οἱονεὶ πλῆθος χρημάτων. Λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ σύνταγμα καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. Ὅθεν καὶ παρὰ Μενάνδρῳ ἀνέγνωμεν τὸ σύνταγμα τῆς ἀρχῆς. Τὸ δὲ λεγόμενον περὶ βιβλίου παρά τινων οὐ λέγεται σύνταγμα (τοῦδε τοῦ ἀρχαίου) ἀλλὰ μᾶλλον σύγγραμμα. F.

97. Πλήρωμα] οἷον εἰς τροφὴν καὶ ναύτας. F.

99. Κλέπτων] ἀντὶ τοῦ ἀπατῶν ὑμᾶς διὰ τῶν πιθανῶν τούτων λόγων ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα. F.

100. Οἵτινες δεήσονται] Τὸ ἀκόλουθον εἰπεῖν ἦν, ὥστε συμμαχῆσαι αὐτοὺς ἡμῖν. Ὁ δὲ ἐπάγει παρ' ὑπόνοιαν κατ' εἰρωνείαν· ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ τῷ Καλλίᾳ. F.

103. Δημοκρατουμένων] ὅτι ἐδημοκρατεῖτο, καὶ φανερῶς ἔλαβε τὰ χρήματα ὁ Δημοσθένης. Ἡ γὰρ Ἐρέτρια καὶ ἡ Χαλκὶς ὡς τυραννούμεναι λάθρα αὐτῷ παρέσχον. F.

Ἐν τῷ πολέμῳ] τῷ πρὸς Φίλιππον. F.

104. Ὑπέθεσαν] οὐχ ἵνα λάβῃ αὐτὰς καὶ ἀναλώσῃ, ἀλλ' ἵνα σχῇ αὐτὰς ὑποθήκην, ἕως οὗ λάβῃ τάλαντον. F.

Τῆς μνᾶς] ἀντὶ τοῦ καθ' ἑκάστην μνᾶν. Οὐκοῦν ξ' δραχμὰς εἶχε τὸ τάλαντον, ἔχει δὲ ξ' μνᾶς. F.

106. Ἀπώλεσε] διότι ἐν αὐτῷ ἡττήθησαν ἐν Χαιρωνείᾳ. F.

Οὐδαμῶς ἴσην] διότι οὐκ ἐποίησε Θηβαίους ἐξ ἴσου τῶν Ἀθηναίων ἀναλῶσαι, ἀλλὰ τοὺς μὲν Ἀθηναίους τὸ δίμοιρον, τὸ δὲ ἄλλο τρίτον τοὺς Θηβαίους, ὡς ἔγνωμεν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου. F.

108. Ἀναθεῖναι] ἀνιερῶσαι. Λέγει δὲ τὴν γῆν αὐτῶν· πρὸς γὰρ τοῦτο ὑπήντησεν, ἀλλ' οὐχὶ πρὸς τοὺς ἄνδρας. F.

110. Ἀρὰν] οἱονεὶ κατάραν, ἀπὸ τοῦ εἰς αὐτὸν καταρᾶσθαι τὸν ὀμνύοντα τραπῆναι τὴν ἐπιορκίαν, εἰ μὴ τόδε ποιήσει, ὅπερ ὤμοσε. Καὶ περὶ τούτου δὲ ἤδη ἔγνωμεν ἐν οἷς ἔλεγε (or. 2, § 158) τὸν προστρόπαιον. F.

113. Συνῴκισαν] ἀντὶ τοῦ οἰκισθῆναι ἐποίησαν. F.

Ἐξέλεγον] ἀντὶ τοῦ ἀπῄτουν, ὡς καὶ ἐν τῷ κατὰ Τιμοκράτους (p. 713, 4), τοὺς ἐκλέγοντας τὰ τέλη. F.

114. Ὅτου ἂν προσάψηται] οὗ ἂν ἅψηται πράγματος, ὡς δυσοιώνιστος ἀπόλλυσιν αὐτό. Ἅψηται δὲ λέγει ἀντὶ τοῦ ἐθελήσῃ αὐτοῦ προστῆναι καὶ ὑπὲρ αὐτοῦ εἰπεῖν. F.

115. Μειδίαν] τὸν δόντα Δημοσθένει τοὺς κονδύλους. F.

Συνεκάθηντο] οἱονεὶ κολακεύοντες. F.

116. Πρὸς τὸν καινὸν νεὼν] Οὐ λέγει ὅτι δύο ἦσαν ναοὶ ἐν Δελφοῖς, ἀλλὰ τὸν αὐτὸν λέγει. Καλεῖ δὲ αὐτὸν καινόν, καθὸ τὸν παλαιὸν ἐμπρησθέντα ἀνῳκοδόμησαν οἱ Ἀμφικτύονες. Πρὶν δὲ ἐξεργάσασθαί φησιν ἀντὶ τοῦ τελειωθῆναι τὸ ἔργον πᾶν τῆς οἰκοδομίας. Λέγουσι δ' ὅτι ἔμεινεν ἐπὶ πολὺν χρόνον ἀτελής, ἕως οὗ ὕστερον Νέρων, ὁ βασιλεὺς Ῥωμαίων, ἐπλήρωσεν αὐτὸν, ἐκεῖσε παραγενόμενος. F.

Ἐξειργάσθαι] γρ. ἐξαρᾶσθαι, τουτέστι πρὶν τὰς ἀρὰς ἐπιτελέσαι, ἃς ἐν ταῖς ἱδρύσεσι τῶν νεῶν εἰώθεσαν ποιήσασθαι. B.

117. Μεθεστηκότων] οἱονεὶ ἐκστάντων τοῦ δημηγορεῖν. F.

119. Κεραμεῖα] Εἰς τὴν μει ὁ τόνος. Ἔστι γὰρ κτητικὸν, οἷον οἰκίαι τινὲς, ἔνθα κεραμεῖς εἰργάζοντο κεράμους. F.

Τέλη πεπραχότας] ἀντὶ τοῦ μισθώσαντας τὰ τέλη τοῦ λιμένος. F.

120. Ἀφοσιῶ] οἱονεὶ καθαρὰν ποιῶ καὶ ἄμεμπτον διὰ τὸν ὅρκον τὸν περιέχοντα, ὥστε μὴ περιιδεῖν τοὺς ἐργαζομένους αὐτὴν, τὴν ἱερὰν γῆν. F.

Τὰ κανᾶ] ἑορτὴν παρ' Ἀθηναίοις, ἐν ᾗ αἱ παρθένοι ἱερά τινα Δήμητρος ἐν κανοῖς ἦγουν ἐν κανισκίοις ἐβάσταζον ἐπὶ κεφαλῆς· ὅθεν κανηφόροι κέκληνται. B. Οἱονεὶ εὐτρεπῆ ἤδη εἰσὶ τὰ κανίσκια τὰ πρὸς θυσίας. F.

122. Ἐπὶ δίετες ἡβῶσι] Ἐπὶ δίετες ἡβῆσαι Δίδυμος λέγει τοὺς ἑκκαίδεκα ἔτη γενομένους. Τὸ γὰρ ἡβῆσαι μέχρι τεσσαρωνκαίδεκα ἐτῶν ἐστιν. Ἔφηβοι δὲ παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη δύο. B. Πολλάκις ἔγνωμεν ὅτι ἀπὸ ὀκτωκαίδεκα ἐτῶν ἐνεγράφοντο εἰς τὸ ληξιαρχικὸν οἱ Ἀθηναῖοι, καὶ ἐφύλαττον δύο ἔτη τὰ πλησίον τῆς πόλεως, καὶ ἀπὸ εἴκοσιν ἐτῶν ἐξήρχοντο εἰς τοὺς ὑπερορίους πολέμους. Οὐκοῦν τοὺς ἀπὸ ὀκτωκαίδεκα ἕως εἴκοσιν ἐτῶν ἡβῶντας λέγει, κοινὸν ποιῶν τὸν λόγον ἐπὶ πάντων Ἑλλήνων. F (Ex Harpocrat. v. ἐπιδίετες).

124. Χρωμένους] οἱονεὶ ὑπηρετοῦντας. F.

Πρὸ τῆς ἐπιούσης Πυλαίας] οἷον πρὸ μηνὸς τῆς Πυλαίας τῆς ἑξῆς. Ἔγνωμεν γὰρ ἐν τοῖς Δημοσθενικοῖς ὅτι δὶς συνῄεσαν, ἅπαξ ἐν τῷ ἔαρι καὶ ἅπαξ ἐν τῷ φθινοπώρῳ. F.

Τὸ ψήφισμα] οἷον τῶν Πυλαγόρων. Ἔστι δὲ παραγραφικὸν ἀπὸ χρόνου· καὶ πῶς, εἴπερ διετάραξα τότε τὰ Ἑλληνικὰ συμβουλεύσας περὶ τῶν Λοκρῶν, μηδεὶς τῶν πολιτῶν μοι ἀντεῖπε τότε; F.

125. Ὑπὲρ τοῦ μεσεγγυήματος] ἕνεκεν τῶν χρημάτων ὧν ὑπέσχοντο αὐτῷ παρασχεῖν, ἐὰν σώσῃ αὐτοὺς δι' Ἀθηναίων, καὶ ἐν μέσῳ δεδώκασι ταῦτα τὰ χρήματα, ἵνα, ἐὰν ποιήσῃ, λάβῃ αὐτά. F.

Μεταστησάμενοι] οἱονεὶ ἐκβαλών· ἵνα διαφθείρῃ τοὺς βουλευτάς. F.

126. Προσλαβὼν] οἱονεὶ πείσας τινὰ εὐήθη βουλευτὴν γράψαι τοῦτο τὸ ψήφισμα. F.

Ἤδη ἐπαναστάσης] ὅ ἐστιν ἐγγὺς τοῦ ἀναστῆναι. F.

Ἀφειμένων] οἱονεὶ διαλυθέντων καὶ ἀναχωρησάντων, ὡς καὶ Δημοσθένης φησί « τῆς βουλῆς δὲ ἀφειμένης » ἐν τῷ κατὰ Τιμοκράτους (p. 708). F.

127. Μετέχειν] Δοκεῖ σολοικοφανὲς εἶναι. Οὐδεὶς γὰρ λέγει πρὸς δοτικὴν μετέχω σοι, εἰ μὴ πρὸς τὴν ἀντίλεξιν νοήσομεν τὸ κῶλον, οἷον πρὸς τὸ κοινωνεῖν. F.

128. Μιᾶς πόλεως] Θήβης, ἣν ἤδη κατέσκαψεν Ἀλέξανδρος. B.

129. Ἐν ῥητῷ χρόνῳ] ὡς ἂν εἰ ἔλεγεν· οὐκ εὐθὺς, ἀλλὰ προθεσμίαν τινὰ αὐτοῖς δόντες, ὅπερ ἦν πάλιν φιλανθρώπως αὐτοῖς χρήσασθαι. F.

Φυλάξασθαι] ἐξελθεῖν εἰς Χαιρώνειαν. F.

130. Τοῖς μυστηρίοις] Μυστήρια δεῖ νοεῖν τὰ Κόρης καὶ Δήμητρος. Ἡ δὲ τῶν μυστῶν τελευτὴ ἐπεξήγησίς ἐστι τοῦ προειρημένου. Λέγει δὲ ἐκεῖνο τὸ τέρας, ὅτε κατελθόντων τῶν μυστῶν ἐπὶ τὴν θάλασσαν ἐπὶ τὸ καθαρθῆναι, ἥρπασεν ἕνα αὐτῶν τὸ κῆτος. Πληθυντικῶς δὲ εἶπε, δέον ἑνικῶς. Οἱ δὲ λέγουσιν ὅτι δύο κατέφαγεν. F.

131. Ἀθύτων καὶ ἀκαλλιερήτων] Ἐκ παραλλήλου. F.

133. Μεθ' ἡμέραν] ἀντὶ τοῦ ἐν ἡμέρᾳ. F.

134. Ἡ δ' ἡμετέρα] οἷον ὅτι οἱ Ἀθηναῖοι, τοσαῦτα διαπραξάμενοι καὶ πρὸς τὸν Πέρσην καὶ ἄλλους πολλοὺς, ὑπὸ Φιλίππου οὕτως ἡττήθησαν, ὥστε μὴ δυνηθῆναι ἀναλαβεῖν ἑαυτοὺς λοιπὸν ἔτι καὶ ἀνανῆψαι. F.

137. Φρυνώνδας] Οὗτος ἐπὶ πονηρίᾳ διαβεβοημένος ὑπῆρξεν. Ὅθεν Ἀριστοφάνης (fr. 92) πού φησιν·

ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρέ.

Εὐρύβατοι δύο ἐγένοντο ἄμφω πονηροὶ, ἄπιστοι, πανοῦργοι. B. Ὁ μὲν Εὐρύβατος Λυδὸς, ὁ δὲ Φρυνώνδας Ἀθηναῖος. Ἑκάτερος δὲ ἐπὶ πονηρίᾳ διεβάλλετο. F.

139. Ὁ Πήληξ] ἀπὸ δήμου. F.

Ὁ Ἀζηνιεὺς] Ἀζηνία δῆμος φυλῆς Ἱπποθοωντίδος. B.

Ὁ Ἀναφλύστιος] ἐκ φυλῆς Ἀντιοχίδος. B.

Ἔτι καὶ νῦν] Ἐκ παραλλήλου. F.

Τὸ δ' αἴτιον] Θέλει εἰπεῖν, ἐπειδὴ ἀεὶ μηδίζουσιν ἢ φιλιππίζουσιν.

141. Ἀπεκρύψατο] Ἰστέον ὅτι ἄλλως τοῦτο εἰρηκότος τοῦ Δημοσθένους ὁ Αἰσχίνης ἐπὶ τὸ βιαιότερον ἐξήγαγεν. Ὁ γὰρ Δημοσθένης εἶπε λάθρα ὑμῶν πρεσβεύων, ἵνα μὴ μαθὼν Φίλιππος πέμψῃ καὶ αὐτὸς πρέσβεις τοὺς ἀπατήσοντας ἐκείνους. F.

142. Κλέπτων] κρύπτων. B.

Ὡς τοὺς Βοιωτοὺς] Σχῆμά ἐστι κατ' ἀντίπτωσιν, οὕτως· ὡς τῶν Βοιωτῶν, τῶν ἐν τοῖς ἔργοις ἀδικουμένων, ἀγαπησόντων τῶν ὀνομάτων τὴν σύνθεσιν, καὶ οὐχὶ γινωσκόντων ὅτι πανούργως ἔγραψεν, ὥστε ἀδικηθῆναι αὐτούς. Οὐδὲ γὰρ εἶπε Βοιωτοῖς μόνον, τῷ κοινῷ γένει, ἀλλὰ Βοιωτοῖς τοῖς ἐν Θήβαις. F.

144. Εἰ χρὴ] Πάλιν ῥητορικὸν τὸ σχῆμα, ἀντὶ τοῦ ὥσπερ χρή. Οὐ γὰρ ὡς ἀμφίβολον λέγει. F.

145. Δεύτερον] Δεῖ νοῆσαι τὸ δεύτερον ἐνταῦθα ἀντὶ τοῦ μετὰ ταῦτα, οἱονεὶ μετὰ τὸ γενέσθαι τὰ τρία τὰ προειρημένα. Μετήνεγκε δὲ εἰς Θήβας, φησὶ, καθὸ αὐτοῖς παρέδωκε τὴν ἡγεμονίαν, ὡς εἶπεν ἀνωτέρω. F.

146. Διαδικασίαν] Κυρίως μὲν ἡ δίκη ἡ περὶ χρημάτων ἢ περὶ κτημάτων λέγεται διαδικασία. Καταχρηστικῶς δὲ ἐνταῦθα δηλοῖ τὴν δοκιμασίαν. Γράφειν δὲ ἀντὶ τοῦ ποιεῖσθαι. F.

Μισθοφορῶν] μισθὸν δεχόμενος ἐκ τῆς πόλεως ὑπὲρ τοῦ μισθώσασθαι ξένους καὶ διαδοῦναι αὐτοῖς χρήματα. F.

Καὶ τοὺς μυρίους] Τὸ ἀκόλουθον οὕτως· καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι προσέμιξε φέρων τῇ πόλει ἀπαρασκεύῳ τὸν κίνδυνον. Εἶτα ἡ αἰτία ἐν μέσῳ· ἀναρπασθέντων τῶν ξένων, περὶ ὧν λόγος, δι' αὐτὸν ἀπὸ τῆς πόλεως καὶ προσχωρησάντων τοῖς Ἀμφισσεῦσιν. F.

148. Ὅτι περὶ τῶν ὑπαρχόντων—] ἀληθῶν. F.

150. Ἀνέστρεψαν] ἀντὶ τοῦ ὑποστρέψαι ἐποίησαν. F.

151. Γράφειν ἔφη ψήφισμα] ἀντὶ τοῦ κατὰ Φιλίππου. F.

152. Μνήμη] Τὸ μεμνῆσθαι ὡς ὅτι τοσούτων συμφορῶν αἴτιος ἐγένετο. F.

153. Μετὰ ταῦτα] Δοκεῖ ἐνταῦθα δηλοῦν ὅτι ὁ στεφανούμενος πρὸ τοῦ ἀγωνίσασθαι τοὺς τραγῳδοὺς ἐστεφανοῦτο. F.

154. Ἐκεῖνό γε] Ἀττικῶς εἶπε, δέον εἰπεῖν ἀναμνησθεὶς ἐκείνου, ὡς καὶ παρὰ τῷ ποιητῇ κεῖται ἐκεῖνο (Il. ι, 527)·

Μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε. F.

Προστάταις] ἀντὶ τοῦ τοῖς ῥήτορσιν. F.

Ἐπὶ τὰ ἑαυτῶν] οἰκήματα. F.

Εἰς προεδρίαν] δηλονότι ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἵνα θεωρήσωσιν ἔν τινι τόπῳ τιμίῳ ἐν τῷ θεάτρῳ τοὺς τραγῳδοὺς καὶ τὰ ἄλλα. Ἀντιστρόφως δὲ νοητέον, καλεῖ εἰς προεδρίαν καὶ οἴκαδε κελεύει οὕτως ἀναχωρεῖν. F.

156. Ἀφ' ὑμῶν] Οἷον ὡς ὅτι περιεγένετο ὑμῶν ὁ Δημοσθένης.

Αἱρεῖτε] ἀντὶ τοῦ χειρωθῆναι ποιεῖτε, ὡς καὶ παρὰ τῷ ποιητῇ (Il. β, 37)·

Φῆ γὰρ ὅγ' αἱρήσειν. F.

Τὸ βασιλικὸν χρυσίον] ὃ δέδωκε Δαρεῖος ὁ νεώτερος Δημοσθένει ὑπὲρ τοῦ πεῖσαι Θηβαίους, ἀνελόντας τὴν φρουρὰν, ἣν κατέλειψε κατ' αὐτῶν ὁ Φίλιππος, ἀποστῆναι Ἀλεξάνδρου, ἵνα δῆθεν ὀργισθεὶς ἐπιστρατεύσῃ κατ' αὐτῶν, καὶ μετενέγκῃ ἑαυτὸν ἀπὸ τοῦ πρὸς αὐτὸν πολέμου ἐπὶ Θηβαίους. F.

157. Νομίσατε] Ὑποτύπωσις, δι' ἧς οἰκτρὸν θέαμα ἁλισκομένης πόλεως πρὸ ὀφθαλμῶν παρίστησιν. Ταὐτὸ ποιεῖ Ὅμηρος Ἰλιάδος ι. B.

158. Ἄκων] ἀπὸ ἀπειρίας λέγει ἢ ἀτυχίας. F.

159. Καταγαγούσης] Ὡς ἂν εἰ ἔλεγε· κατελθὼν δ' ὕστερον ἀπροσδοκήτως. Οὐδὲ γὰρ προσεδόκα ζῆν τοιαῦτα εἰργασμένος εἰς τὴν πόλιν, ἀλλ' ἀπολέσθαι παρ' ὑμῖν, ἐρεθίσας ὑμᾶς ἐπὶ ἀκαίρους πολέμους. F.

Τοὺς μὲν πρώτους χρόνους] μετὰ τὴν φυγὴν τὴν ἐν Χαιρωνείᾳ καὶ κάθοδον. F.

160. Εἰς αἰτίαν] οἱονεὶ κατηγορίας, ἐπειδὴ ἡ βουλὴ, ἀναπεισθεῖσα παρ' αὐτοῦ, ἔθυσε θεοῖς, χάριν ὁμολογοῦσα ὑπὲρ τοῦ Φιλίππου θανάτου. Ἕνεκα τούτου Ἀθηναίοις ὕστερον ἐπιστέλλων Ἀλέξανδρος οὕτως ἔγραφεν « Ἀλέξανδρος τῷ μὲν δήμῳ χαίρειν, τῇ δὲ βουλῇ οὐδέν. » F.

Μαργίτην] ἀντὶ τοῦ μαινόμενον. F.

Τὰ σπλάγχνα φυλάττοντα] ἀντὶ τοῦ ἀγαπῶντα ἐὰν ζήσῃ· παρὰ τὸ ἐν τοῖς σπλάγχνοις εἶναι ὥσπερ τὴν ζωὴν τοῦ ἀνθρώπου. F.

161. Τοῦ Κιθαιρῶνος] ὄρος Βοιωτίας. B.

Οὔτ' ἐν εἰρήνῃ] Ὅμηρος (Il. β, 202)·

Οὔτε ἐνὶ πτολέμῳ ἐναρίθμιος οὔτ' ἐνὶ βουλῇ. B.

162. Οἱ παράλιοι] οἱ τὴν παραλίαν οἰκοῦντες τῶν Ἀθηναίων, καὶ κατασκευάζοντες τὴν ναῦν τὴν Πάραλον, καὶ ἐν αὐτῇ πλέοντες. F.

Ὑποτρέχει] κολακευτικῶς μετέρχεται. B.

164. Χρυσόκερων] Εἰώθασιν οἱ ταῦρον προσάγοντες πρὸς θυσίαν ἢ ἔλαφον ἤ τι τῶν κερατοφόρων ἔστιν ὅτε χρυσοῦν τὰ κέρατα καὶ στέφειν τὴν κεφαλὴν αὐτῶν, ὅ λέγει ὁ ποιητὴς (Il κ, 294)· « χρυσὸν κέρασιν περιχεύας. » Τὸ οὖν παρεπόμενον τοῖς μέλλουσι σφάττεσθαι, οἷον τὸ δειλιᾶν καὶ ἀγωνιᾶν, περὶ Αἰσχίνου ἔταξεν ὁ Δημοσθένης. Διὰ τὴν ἀθυμίαν δῆθεν τὴν περὶ Ἀλεξάνδρου. F.

165. Ἐπίδοξος] προσδόκιμος. F.

166. Φορμορραφούμεθα] ἀντὶ τοῦ συρράπτουσί τινες καθ' ἡμῶν πράγματα, ἀπὸ τῆς φόρμου. Φόρμος γὰρ λέγεται τὸ ψιαθῶδες πλέγμα, ὡς καὶ ὁ Θουκυδίδης (4, 48) φορμηδὸν λέγει. F.

Ἐπὶ τὰ στενὰ] ἐπὶ τὰ δυσχερῆ. F.

167. Θαύματα] οἱονεὶ παραδοξολογήματα τερατώδη. F.

168. Δημοτικὸς] χαίρων τῇ δημοκρατίᾳ. F.

169. Ἀτυχίαν] δυσγένειαν. F.

170. Τοὺς ἀκηκόοντας] τὸν λόγον πείθειν. F.

171. Ἐκ Κεραμέων] δῆμός ἐστι φυλῆς τῆς Ἀκαμαντίδος. B. Ἀπὸ δήμου. F.

Νύμφαιον] νεὼν Νυμφῶν. B.

Λογισμὸς] οἷον ἡ ἐξέτασις. F.

Τὴν κρίσιν] οἷον τὴν τιμωρίαν. Ἐξῆν γὰρ φυγεῖν μετὰ τὴν πρώτην κρίσιν, εἰ καὶ θάνατός τινος κατεγνώσθη, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Τιμοκράτους. F.

172. Σκύθιν] ὡς ἀπ' εὐθείας εἴρηται τοῦτο μᾶλλον βαρυτόνου· κακῶς δέ. Τὰ γὰρ τοιαῦτα ἐθνικὰ ὀξύνεσθαι θέλει, ὡς Κολχίς, Περσίς, Σκυθίς. Οὐκοῦν Σκυθίδα καὶ οὐ Σκύθιν, ὡς τὸ Κολχίδα, Περσίδα· τινὰ δὲ τῶν βιβλίων ἔχει κτητικῶς Σκυθικήν. F.

173. Ἐπικέκλυκε] οὕτω πολύ ἐστι. Λέγει δὲ ὅπερ ἔπεμψεν αὐτῷ Δαρεῖος. F.

Πονηροῦ] ἀντὶ τοῦ ἀσώτου. F.

Τὸ κεφάλαιον] οἱονεὶ τὸ μέγιστον ἀδίκημα. F.

176. Ὁ μὲν τοίνυν] Ὅτι ἀπὸ τοῦ παρακολουθοῦντος τοῖς ἀτίμοις ἠθέλησε σημᾶναι ὡς καὶ τούτους δεῖ εἶναι ἀτίμους. Οἱ γὰρ ἄτιμοι ἐξείργονται ἱερῶν, ἐκκλησίας, τοῦ δημηγορεῖν καὶ τῶν τοιούτων. Περιρραντήρια δέ ἐστιν οἷον τὰ ὕδατα τὰ πρὸ τῶν ἱερῶν, ἐν οἷς περιρραίνονται οἱ μέλλοντες εἰσιέναι τοῖς ἱεροῖς πρὸ τοῦ εὔξασθαι. Τὰ δὲ τῆς ἐκκλησίας περιρραντήρια ἦν τὰ καθάρσια τὰ ἀπὸ τοῦ περιστιάρχου γινόμενα. F.

Τοῖς τραγῳδοῖς] πάλιν ἀντὶ τοῦ τραγῳδῶν ἀγωνιζομένων. F.

Ἀποπλανῶ] ἀντὶ τοῦ πᾶσαν τὴν πόλιν. F.

Μέμνησθε] Ἐπίλογοι. F.

177. Τὰς ἀφθόνους] τὰς ἁπλῶς καὶ χύδην διδομένας, ὅ ἐστι τὰς πολλάς, ὡς ἔχομεν καὶ παρ' Ἡροδότῳ καὶ ἀλλαχοῦ ἄφθονον ὕδωρ ἀντὶ τοῦ πολύ. F.

Ἐμβαλεῖτε] διότι ὁρῶσιν ἑαυτοὺς ἐξ ἴσου τοῖς πολλοῖς τιμωμένους. F.

178. Καταπέπλυται] Καταπλύνειν λοιδορεῖν, ὑβρίζειν, καταφρονεῖν, ἀτιμάζειν. Τὸ αὐτὸ ἰσχύει πλυνὸν ποιεῖν. B.

179. Τὰ Ὀλύμπια] Ἕνα λέγει τῶν τεσσάρων. F.

Τῶν στεφανιτῶν] Στεφανῖται ἀγῶνες ὧν ἆθλα ἦσαν οἱ στέφανοι. B.

Τῶν στεφανιτῶν ἀγώνων παγκράτιον] Ἕνα λέγει τῶν τεσσάρων, ἐπειδὴ καὶ ἄλλοι εἰσὶν ἀγῶνες, ἔνθα οὐ στέφανοι παρέχονται εἰς τιμήν, ἀλλ' ἄλλα τινά, οἷον ἄργυρος, χλανίδες, ἤ τι τοιοῦτον, ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς. Τῷ διαπραξαμένῳ δὲ οἷον τῷ σπουδάσαντι ἑαυτῷ, ὥστε στεφανωθῆναι, διὰ τοῦ διαφθεῖραι χρήμασι τοὺς Ἑλλανοδίκας ἤ τι τοιοῦτον ποιῆσαι. Τινὲς δέ φασι τῷ ἁπλῶς ἀθλεύσαντι, ἀλλὰ μὴ νικήσαντι. F.

180. Παρακαταθέμενοι] οἱονεὶ ἐμπιστεύσαντες τοῖς πόνοις. F.

Τὰς ἐπιεικεῖς φύσεις] τὰς ἐχομένας ἀρετῆς. F.

181. Φυλῆς] Φυλὴ χωρίον τῆς Ἀττικῆς ὀχυρὸν σφόδρα, ἀπέχον τῆς πόλεως στάδια ἑκατόν, ὥστε πολλὰς ἀφορμὰς αὐτοῖς παρέχεσθαι εἰς ἐφόδια. Νοεῖται δὲ ὁ Θρασύβουλος καὶ οἱ σὺν αὐτῷ, τὴν Φυλὴν καταλαβόντες ἐπὶ τῷ τὸν δῆμον φυγόντα καταγαγεῖν καὶ τὴν τῶν τριάκοντα ἀρχὴν καταλύειν. B.

183. Ἑρμᾶς] οἷον προσωπεῖα Ἑρμοῦ. Καὶ κάτω ἐν τῇ βάσει ἦν τὰ ἐπιγράμματα. F.

184. Ἦν] ἀντὶ τοῦ ἦσαν. F.

Ἐπ' Ἠϊόνι] Ἠϊὼν πόλις Θρᾴκης, ἡ ὕστερον Ἀμφίπολις ὠνομάσθη. B.

Αἴθωνα] ἀντὶ τοῦ διάπυρον καὶ μέγαν. F.

Δυσμενέων εὗρον ἀμηχανίαν] ἀντὶ τοῦ ἀμηχανίαν ἐνέβαλον τοῖς πολεμίοις. F.

185. Μᾶλλον] χαίρων. F.

187. Μητρῴῳ] Ἔγνωμεν καὶ ἐν τοῖς Φιλιππικοῖς ὅτι μέρος τοῦ βουλευτηρίου ἐποίησαν οἱ Ἀθηναῖοι τὸ Μητρῷον, ὅ ἐστιν ἱερὸν τῆς Ῥέας διὰ τὴν αἰτίαν ἐκείνου τοῦ Φρυγός· συντακτέον δὲ τοῦτο πρὸς τὸ ἰδεῖν ἔστιν. F.

189. Παταικίωνος] Οὗτος ἦν κλέπτης. B.

Ἐφικόμενος] τουτέστι γενόμενος ἀνὴρ ἀγαθός, κρατήσας τῆς ἀρετῆς, ἐγκρατὴς ὢν τῆς ἀνδραγαθίας. B.

190. Ἦρξαν] ἤρξαντο. B.

191. Ἔναυλον] οἷον ἐν τοῖς ὠσὶ τὸν τῶν αὐλῶν ἦχον καταλιπόν, τουτέστιν οὔπω ἐκ τῆς μνήμης ἀποκεχωρηκός, ἤγουν ἔτι ἐν μνήμῃ διαμένον. B. Οἱονεὶ πρόσφατον καὶ ἐγγύς, ἀπὸ τοῦ ἐγγὺς εἶναι καὶ ἐντὸς τῆς ἐπαύλεως τὰ πρόβατα. F.

Γραφὴν] Γραφὴν οὐ λέγει ἐνταῦθα τὴν κατηγορίαν, ἀλλ' αὐτὰ τὰ γράμματα τὰ τοῦ ψηφίσματος τοῦ παρανόμου. Οὕτω φησίν· οὐχ ἧττον ἐμίσουν τοῦ πράττοντος παράνομα ἐν ἔργοις αὐτὸν τὸν γράφοντα παράνομα. F.

192. Ἀνεπόδιζον] πάλιν λέγειν ἐκέλευον, ὡς ὕστερον αὐτὸς ὁ Αἰσχίνης μνημονεύει. B.

194. Κέφαλος] Λυσίας κατ' Ἐρατοσθένους τοῦ γενομένου τῶν τριάκοντα. B.

195. Ἐκ Κοίλης] ἀπὸ δήμου. B.

Γράψαντά τι παρὰ τοὺς νόμους] στεφανοῦν. F.

197. Τοῖς εἰς τοῦτο τὸ πρᾶγμα λέγουσιν] οἱονεὶ τοῖς συνηγόροις τοῦ φεύγοντος. F.

Τὸ μὲν πρῶτον] Τὸ λέγειν πρὸς κλεψύδραν ἐνταῦθα αἰνίττεται. Κλεψύδρα γὰρ ἀγγεῖον ἦν μικροτάτην ὀπὴν ἔχον περὶ τὸν πυθμένα, ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθετο, καὶ πρὸς τοῦτο ἔλεγον οἱ ῥήτορες. B.

Λυθῇ] ἀντὶ τοῦ γνωσθῇ. F.

198. Ἵνα λέγῃ περὶ τοῦ φεύγοντος. Τὴν ψῆφον δὲ αἰτεῖ, οἷον ἵνα ψηφίσησθε καὶ αὐτῷ μᾶλλον προσθῆτε. F.

Παραιτεῖται] οἱονεὶ συγγνώμην αἰτεῖ, ὡς ἔχομεν ἐν τῷ κατὰ Μειδίου (p. 516, 2) τὴν ὁμοίαν χρῆσιν, ἐν οἷς λέγει· « τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι. » F.

201. Τὸ συντεταγμένον] ἀντὶ τοῦ μηδεμιᾶς ἀληθείας ἐχόμενον. Προοίμιον δὲ εἶπεν, ἐπειδὴ ὁ προβαλλόμενος ἄλλον τινὰ εἰπεῖν ὑπὲρ αὐτοῦ, ἀνάγκην εἶχεν αὐτὸν εἰπεῖν τι προοίμιον τοῦ λόγου, καὶ οὕτω καλέσαι τὸν συνήγορον. F.

205. Πάλαισμα] οἷον δι' οὗ βούλεται καταγωνίσασθαι ὑμᾶς. F.

206. Περιίστασθαι] ἀντὶ τοῦ ἐνίστασθαι καὶ καταφεύγειν. F.

Εἰσελαύνετε] Εἰσελαύνετέ φησιν ἀπὸ μεταφορᾶς ἀγωνιστῶν ἐκτρεπομένων ἐκτὸς τοῦ ἀγῶνος, ὡς καὶ ἐν τῷ παραπρεσβείας εἶπε τοῦτο τὸ ἐπιχείρημα. F.

207. Βαλλαντιοτόμον] ἀντὶ τοῦ τὸν λῃστήν. Ἀπὸ μεταφορᾶς αὐτῶν τῶν λῃστῶν τῶν τεμνόντων τὰ βαλλάντια κάτωθεν τῶν βασταζόντων, ἵνα ἐκπέσῃ τὰ ἐν αὐτοῖς. F.

Διηριθμημένους] ἠναγκασμένους. F.

208. Ἑλκοποιεῖς] πλάττεις λόγους συγκρουστικούς. F.

Τῶν αὐθημέρων] οἱονεὶ τῶν ψευδῶν καὶ τῆς προσπιπτούσης χρείας ἕνεκεν γινομένων. F.

Τοὺς θεοὺς καινοὺς] Εὐριπίδης Μηδείᾳ (492)·

> ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
> εἰ θεοὺς νομίζω τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
> ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν·
> ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν. B.

209. Περιγράψατε] ἀντὶ τοῦ ἐκβάλετε. F.

Ἐξορμεῖς] ἐξέρχῃ. B. Ὡσανεὶ ἔλεγε, σχεδὸν εἰπεῖν ἐν αὐτῷ τῷ πελάγει εἴσω οἰκεῖς, ἵνα εὐχερῶς φύγῃς, ὅταν χρεία σοι γένηται. F.

211. Ἐκείρατο] Οἱ Ἕλληνες ἐν ταῖς εὐπραγίαις τὴν κόμην ἔτρεφον, ἐν δὲ ταῖς δυστυχίαις καὶ τῷ πένθει ἐκείροντο. Ὅμηρος αὐτοὺς πανταχοῦ καρηκομόωντας καλεῖ. Ἀνάπαλιν δὲ Ἐπαμεινώνδας (v. Pausan. 9, 15, 6)·

ἡμετέραις βουλαῖς Σπάρτα μὲν ἐκείρατο δόξαν.

Λυσίας ἐν ἐπιταφίῳ (§ 60) τοῖς Κορινθίων βοηθοῖς « ὥστε ἄξιον ἦν ἐπὶ τῷδε « τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους. » B.

Ζηλοτυποῦν] τὴν ἀρετὴν δόξης ἕνεκα ζηλοῦν, εἴδωλον ἀρετῆς διώκον, ἤγουν τὴν ἀρετὴν μισοῦν, ἢ τῇ ἀρετῇ φθονοῦν. B.

217. Τὸ μὲν κεφάλαιον] ἀντὶ τοῦ καθολικῶς. F.

219. Ἀπηνέχθη] ἔστι παραγραφικὸν ἀπὸ χρόνου. F.

Οὔπω σοῦ] χαριεντισμός. F.

220. Τὴν ἀξίωσιν] τὸ νομίζειν ἄξιον εἶναι, δεῖν ἐξ ἀνάγκης λέγειν, καὶ οὕτω πολιτεύεσθαι, οἷον ὡς ἂν ἐν τυραννίδι καὶ οὐ δημοκρατίᾳ. F.

Ἐργαζομένου] πολυπραγμονοῦντος. F.

222. Ἁρπάγματα] κλέμματα. F.

Ἐν Νάξῳ] στρατηγοῦντος Χαβρίου. B.

Πόλλιν] στρατηγὸν Λακεδαιμονίων, περὶ οὗ καὶ ὁ Ἀριστείδης (vol. 2, p. 232 Dindf.) λέγει ἐν τῷ ὑπὲρ τῶν τεσσάρων ὅτι οὗτος ἐπώλησε τὸν Πλάτωνα. F.

223. Οὐ τὸ τελευταῖον] κατ' ἐρώτησιν. F.

Τὰ ἀγοράσματα] οἷον μύρα καὶ τὰ τοιαῦτα, λυσιτελοῦντα πρὸς γυναικεῖον κόσμον. F.

224. Τοὺς τῆς πόλεως ἅλας] Ὁ αὐτὸς Αἰσχίνης ἐπάνω ἐν τῷ περὶ παραπρεσβείας « τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος — εἰρήσεται γάρ — οὐδ' ἐγγενὴς ἡμῖν. » Καὶ Δημοσθένης περὶ παραπρεσβείας « ποῦ δὲ ἅλες; ποῦ τράπεζαι; » B.

225. Τὰ ἔνατα] τὰ νομιζόμενα τῷ νεκρῷ, τῇ ἐννάτῃ ἡμέρᾳ γινόμενα. B.

226. Σαυτὸν δ' οὐκ ἀνερωτᾷς] κατ' ἀποστροφήν. F.

229. Ἐζηλωκότος] ἀντὶ τοῦ μακαρίζοντος. Ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὸ τοῦ ζήλου εἴωθεν ἀεὶ ἐπὶ καλοῦ τάττεσθαι, τὸ δὲ τῆς ζηλοτυπίας ἐπὶ φθόνου. Ἀντιδίκων δέ φησι τῶν ῥητόρων, καθὸ οἱ μὲν στρατηγοὶ τοῖς ἔργοις κέχρηνται, οἱ δὲ ῥήτορες τοῖς λόγοις, καὶ ἀεὶ φθονοῦσιν ἀλλήλοις ἑκάτεροι. Κατὰ κοινοῦ δὲ τὴν εὐπορίαν τῶν λόγων. F.

Ἐξ ὀνομάτων] οἷόν ἐκ λέξεων πανούργων. F.

Οὗ] δυνατὸν καὶ μὴ δασύνοντας τὴν οὐ, ἀλλ' ἀρνητικῶς καὶ κατ' ἐρώτησιν ἀναγινώσκοντας τὴν περίοδον, καλῶς ἀποσώζειν τὸ νόημα. F.

230. Θαυμάζω δὲ] ἀντὶ τοῦ καταγινώσκω. F.

231. Ἐπεισαγόντων] δηλονότι τὰ ἑαυτῶν δράματα. B.

232. Τὰς τῶν δώρων γραφὰς ἁλισκομένους] οἷον τοὺς νομιζομένους δωροδόκους. F.

Τοὺς κυκλίους] τοὺς τῶν χορηγῶν, καθὸ ἐν κύκλῳ ἱστάμενοι ᾖδον ᾄσματα τῷ Διονύσῳ. F.

Τῷ διαπραξαμένῳ] τῷ ὠνησαμένῳ. B.

233. Ὁ τοιοῦτος κριτὴς] ἀντὶ τοῦ ὁ δικαστὴς ὁ κρίνας τὸν Δημοσθένην ἄξιον εἶναι τοῦ στεφάνου. Καταχρηστικῶς δὲ εἶπεν ἐνταῦθα κριτὴν τὸν δικαστήν. Κριτὴς γὰρ ὁ κρίνων τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς. F.

Ἰδιώτης] οἱονεὶ ὁ δικαστής, καθὸ ἰδιῶται καὶ πένητες ἦσαν, γενόμενοι δικασταὶ διὰ τὸ τριώβολον. F.

Ἡ δὲ χάρις] ἐκείνῳ, ᾧ ἐχαρίζετο, ἄδηλος γέγονεν. B.

234. Ὅτι δὲ] ἀντὶ τοῦ καθὸ δέ. F.

Τὸ δημόσιον] ἡ πόλις. F.

Οὐχ οὓς ἐφοβεῖτο] οὐκ ἐχθροί, οὓς ἐφοβεῖτο ὁ δῆμος, ἀλλ' οἱ δημαγωγοί, οἷς ἑαυτὸν ἐνεχείριζε, τὸν δῆμον κατέλυσαν. B.

235. Οὐχ ὑφ' ὑμῖν] κατ' ἐρώτησιν. B.

236. Εἰ μὲν γὰρ] περιτροπὴ τὸ σχῆμα. F.

239. Τὰ δ' ἑβδομήκοντα] ἃ ὑφείλετο Δημοσθένης ἐκ τῶν τριακοσίων ταλάντων, λέγων τοῖς ἀπαιτοῦσι δούλοις τοῦ Δαρείου ὅτι ταῦτα ἐμοὶ ἔπεμψεν ὑπὲρ τοῦ συμβουλεῦσαι· εἰ δὲ οὐκ ἐπείσθησαν οἱ Ἀθηναῖοι, οὐδὲν πρὸς ἐμέ. F.

Προλαβὼν] ἁρπάξας, ἀπὸ μεταφορᾶς τῶν προλαμβανόντων λῃστῶν.

243. Πυθοῦ] Περισπῶσιν Ἀττικοὶ τοῦτο, καὶ τὸ λαβοῦ καὶ ἐμοῦ καὶ τὰ ὅμοια. Ἔστι δὲ δεύτερος μέσος ἀόριστος. F.

244. Ἀγνώμονα] οἱονεὶ μὴ ἔχοντα λογισμόν, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς (p. 25, 18)· « εἶθ' οὕτως ἀγνωμόνως ἔχετε. » F.

Ἐάν τινα] ἐὰν ἐκεῖνα τὰ ἄφωνα καὶ ἀγνώμονα ἐμπεσόντα ἀποκτείνῃ ἄνθρωπόν τινα. B.

246. Δημόσια κηρύγματα] δίκαια. F.

247. Εἰς ἀπολογισμὸν] ἀπολογίαν. F.

248. Τὰ κοινὰ] οἷον τὸ λέγειν ὅτι φιλόπολίς εἰμι καὶ τὰ τοιαῦτα.

Ἀπίστους] τουτέστιν ἀπιθάνους ὄντας τοῖς ἤθεσιν, ἤγουν οὐ δυναμένους ὑμᾶς πεῖσαι τοῖς ἤθεσιν, ὅτι εἰσὶν εὔνοι καὶ φιλάνθρωποι καὶ κοινοί. Ἢ οὕτως. Τοὺς πονηροὺς ὄντας τὰ ἤθη, καὶ διὰ τοῦτο οὐκ ἀξίους ὄντας πιστεύεσθαι ὑφ' ὑμῶν, ὅτι εἰσὶν εὔνοι εἰς τὴν πόλιν καὶ φιλάνθρωποι. Κοινὰ δὲ καλεῖ τὰ ἐλευθέρια καὶ φιλόδωρα καὶ εὐεργετικά. B.

251. Παραγεγηρακὼς] οἱονεὶ ληρήσας. F.

Παρανοίας] ὅ ἐστι μωρίας, ἵν' ᾖ τὸ μὲν προειρημένον τοῦ γήρως, τοῦτο δὲ τοῦ τρόπου. F.

Τὰ περιόντα] τὰ περιττὰ καὶ φαῦλα. F.

252. Ἕτερος δὲ] τὸν Λεωκράτην νοεῖ, οὗ κατηγόρησε Λυκοῦργος. F.

Διαμένει δὲ καὶ ὁ λόγος ἐνταῦθα κείμενος. B.

253. Ἐπ' ὀνομάτων] οἷον διὰ τοῦ περιτιθέναι ἑαυτῷ φιλάνθρωπα ὀνόματα. F.

256. Πειθὼ] οἷον αὐτὴν τὴν θεὸν τὴν Πειθώ, καθὸ λέγει ὁ Δημοσθένης πάντας πείθεσθαι τοῖς αὐτοῦ λόγοις. B.

258. Ἀριστείδην δὲ] Ὁ αὐτὸς ἐν τῷ περὶ παραπρεσβείας (p. 31, 20)· « ὁ δὲ οὐδὲν ἄπρακτον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὢν Ἀριστείδης, ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησι, δυσχεραίνει καὶ καταπτύει τὰς δωροδοκίας. » B.

Ἄρθμιον] τούτου μνημονεύει Δείναρχος ἐν τῷ κατ' Ἀριστογείτονος (§ 24), καὶ Ἀριστείδης ὁ σοφιστὴς ἐν τῷ Παναθηναϊκῷ (p. 310 Dindf.) καὶ Πλούταρχος ἐν τῷ Θεμιστοκλεῖ (c. 6) B.

§ Demosthenes – Schol.

ΣΧΟΛΙΑ ΕΙΣ ΔΗΜΟΣΘΕΝΗΝ.

ΟΥΛΠΙΑΝΟΥ ΡΗΤΟΡΟΣ ΠΡΟΛΕΓΟΜΕΝΑ ΕΙΣ ΤΟΥΣ ΟΛΥΝΘΙΑΚΟΥΣ ΚΑΙ ΦΙΛΙΠΠΙΚΟΥΣ ΛΟΓΟΥΣ.

Πλείστην δοκοῦσιν ὁμοιότητα σώζειν οἱ Φιλιππικοὶ λόγοι πρὸς τὰς τοῦ Θουκυδίδου δημηγορίας. Οὐ γὰρ μόνον τὰ κεφάλαια ἴδοι τις ἂν ἐν τοῖς λόγοις τούτοις συμπεπλεγμένα ὥσπερ ἐν ἐκείναις καὶ τὰς ἀντιθέσεις οὕτω μεταχειρισμένας, ἀλλὰ καὶ πολλὰ τῶν νοημάτων παραπεφρασμένα. Αὐτίκα τῶν Ὀλυνθιακῶν ὁ πρῶτος οὐ πρὸς μίαν, ἀλλὰ καὶ πλείους ἔχει τὸν ζῆλον. Ἔστι δ' ὅτε οὐχ ἕνα μόνον λόγον πρὸς μίαν ὅλην προάγει δημηγορίαν, ἀλλὰ καὶ ὅλον κεφάλαιον πρὸς ὅλον κεφάλαιον, καὶ κεφαλαίου δὲ μέρος πρὸς μέρος, πολλάκις δὲ καὶ πρὸς μέρη πλειόνων δημηγοριῶν κεφάλαιον ἕν. Τό τε σύντομον τῶν λόγων ὅμοιον οὐδὲν ἧττόν ἐστι· καὶ τὸ ἀναγκαῖον δὲ πλεῖστον, ᾧπερ ἐκεῖνος χρῆσθαι φιλεῖ. Ἔστι δ' ὅτε καὶ τὰς ὑποθέσεις οὐχ ὑπὲρ τῶν προσώπων, οἷς συνίστασθαι βούλεται, φανερῶς ἐνδείκνυται ποιούμενος, ἀλλ' ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν, ὥσπερ ὁ Θουκυδίδης. Τοιγάρτοι καὶ ὁ Λέσβιος καὶ ὁ Κερκυραῖος, ὁ μὲν πρὸς Ἀθηναίους καταφεύγων διὰ συμμαχίαν, ὁ δὲ ἀφιστάμενος πρὸς Λακεδαιμονίους, οὐχ ὑπὲρ ἑαυτῶν τοσοῦτον δοκοῦσι ποιεῖσθαι λόγον ὅσον ὑπὲρ τοῦ συμφέροντος τῶν ἀκροωμένων. Καὶ ὁ Δημοσθένης δὲ τὸν πρῶτον τῶν Ὀλυνθιακῶν μεταχειριζόμενος οὐχ ὡς ὑπὲρ Ὀλυνθίων σπουδάζων προσποιεῖται λέγειν, ἀλλ' ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν καὶ τοῦ συμφέροντος τῶν Ἀθηναίων. Καὶ τὴν μεταχείρισιν φαίνεται ὁ Δημοσθένης ἐκ τῶν δύο δημηγοριῶν, ὡς ἔφην, εἰς ταύτην τὴν Ὀλυνθιακὴν μεταστήσας. Προσεκτικώτερος γὰρ ὁ ἀκροατὴς γίνεται, ὅταν ὡς ὑπὲρ οἰκείων ἀκούων καὶ τῶν αὐτῷ συμφερόντων συμβουλεύηται. Ταύτῃ μὲν οὖν συγγένειαν πλείστην ὁ λόγος ἔχει πρὸς ἐκείνας τὰς δημηγορίας κατὰ τὴν μεταχείρισιν. Οὔτε γὰρ τοσοῦτον οἱ Κερκυραῖοι οὔτε οἱ Λέσβιοι δοκοῦσι ποιεῖσθαι τὸν λόγον ὑπὲρ τοῦ οἰκείου συμφέροντος ὅσον ὑπὲρ τοῦ τῶν ἀκροωμένων· οὔτε μὴν ὁ Δημοσθένης συνιστάμενος ὡς ὑπὲρ Ὀλυνθίων τὸν λόγον βούλεται ποιεῖσθαι δοκεῖν, ἀλλ' ὑπὲρ τοῦ κοινῇ συμφέροντος καὶ τοῦ μέλλοντος συνοίσειν τῇ πόλει. Καὶ μὴν καὶ τὴν πρόοδον τῶν κεφαλαίων γεγενημένην εὑρήσεις κατὰ ζῆλον τῆς Κορινθίων δημηγορίας. Καὶ γὰρ ἐν ἐκείνῃ βουλόμενος ὁ Θουκυδίδης παροξῦναι τὸν ἀκροατὴν οὐ τὴν δύναμιν αὔξει τῶν Ἀθηναίων, ἀλλὰ τὴν προαίρεσιν αὐτῶν διαβάλλει καὶ τὴν γνώμην καὶ τὴν κακοήθειαν, μεθ' ἧς ἐν τοῖς Ἕλλησι πολιτεύονται, καὶ Δημοσθένης δὲ τὸ αὐτὸ τοῦτο ποιῶν πανταχοῦ τὴν φιλοπραγμοσύνην θρυλεῖ τὴν Φιλίππου καὶ τὸ σπουδαίως καὶ κατὰ καιρὸν ἀντιλαμβάνεσθαι τῶν πραγμάτων, οὔτε ταῖς δυνάμεσιν οὔτε τῇ ῥώμῃ περιτιθεὶς μέγεθος· ὥστε τὸ κεφάλαιον τῷ κεφαλαίῳ πολλαχῶς παραπλήσιον εἶναι. Καὶ μὴν καὶ τὸ ἀπὸ τοῦ καιροῦ παροξύνειν Θουκυδίδειον καὶ τῆς αὐτῆς δημηγορίας. Ἔχει δὲ πολλὴν ὁμοιότητα καὶ πρὸς δημηγορίας Ὁμηρικὰς ὁ λόγος, ἃς Ὀδυσσεὺς καὶ Νέστωρ ἐν τῇ δευτέρᾳ ῥαψῳδίᾳ πρὸς τοὺς Ἀχαιοὺς ποιοῦνται, ὁ μὲν ἐπιτιμῶν ὅτι οὐκ ἀντέχονται τῶν πραγμάτων ἐρρωμένως καὶ ἀξιῶν χρῆσθαι ταῖς τῶν θεῶν εὐνοίαις, ὁ δὲ ὑπομιμνήσκων ὅρκων καὶ συνθηκῶν τοῖς Ἀτρείδαις, ὥσπερ καὶ οὗτος (p. 10, 28)· « Νυνὶ γὰρ ὃ πάντες ἐθρύ« λουν, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ Φιλίππῳ », ὑπομιμνήσκων ὡς ἐπηγγείλαντο Ὀλυνθίοις βοήθειαν καὶ ὅπως τὸ παραβαίνειν τὰς ὑποσχέσεις [αἰσχρόν]. Ἐν οἷς δέ τις ἐκείνων τῶν δημηγόρων ὑπομιμνήσκει τῶν παρὰ τῶν θεῶν ὑποσχέσεων καὶ τῶν συμβόλων καὶ τῶν οἰωνισμάτων, ἐν τούτοις ὅτι θεοὶ τοῦ Ἑλληνικοῦ στρατοπέδου προεστήκασι συνίστησι· τοῦτό τοι καὶ Δημοσθένης πεποίηκεν ἐν τούτῳ τῷ λόγῳ ὑπομιμνήσκων τῶν καιρῶν ἐκείνων καὶ τῶν προφάσεων ὧν παρέσχον πολλάκις οἱ θεοὶ τῇ πόλει, οἷον (p. 11, 29) « Καί μοι δοκεῖ τις, ὦ ἄνδρες Ἀθη« ναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηρ« γμένων καταστάς » λέγων· ὥστε πῇ μὲν νουθετικὸν καὶ ἐπιτιμητικὸν, πῇ δὲ ὑποθετικὸν, πῇ δὲ προτρεπτικὸν εἶναι τοῦτον τὸν λόγον, πρὸς τὰς Ὁμήρου καὶ Θουκυδίδου δημηγορίας μεμιμημένον.

Τριῶν δὲ ὄντων τῶν ἀντικειμένων αὐτῷ καὶ λυπούντων πρὸς τὴν παροῦσαν ὑπόθεσιν, ἑνὸς μὲν τοῦ μὴ οἰκεῖον εἶναι τὸν πόλεμον—τί γὰρ προσήκει τῇ πόλει τῶν Ἀθηναίων ὁ πρὸς Ὀλυνθίους πόλεμος; — δευτέρου δὲ τοῦ μηδὲ χρήματα ὑπάρχειν πρόχειρα τοῖς στρατευομένοις, τρίτου δὲ τοῦ ἰσχυρὸν εἶναι τὸν Φίλιππον, πρὸς ἑκάτερον ἐρρωμένως ἀντέστη, τὸ δὲ ἀνῄρηκε. Τὸ μὲν γὰρ μὴ ἀλλότριον εἶναι τὸν πόλεμον, ἀλλὰ οἰκεῖον καὶ προσήκοντα τῇ πόλει, διχόθεν δείκνυσιν, ἐξ ἑνὸς μὲν καὶ πρώτου, οὗ καὶ πεφύκασιν ἅπαντες ἡττᾶσθαι ἄνθρωποι, τῆς φιλοτιμίας λέγω καὶ τῆς ἡγεμονίας. Δείκνυσι γὰρ τὸν ὑπὲρ Ὀλυνθίων ἐσόμενον πόλεμον ἀρχὴν [ὄντα] προστασίας Ἑλληνικῆς καὶ ἡγεμονίας, ἣν εἶχον πάλαι. Καὶ γὰρ ἂν αὐτῶν γενέσθαι πάλιν βραβεύειν τὰ Ἑλληνικὰ, εἰ τούτων ἀντιλάβοιντο τῶν πραγμάτων. Καὶ ταῦτά φησιν ἐν οἷς λέγει (9, 10)· « Ὁ μὲν οὖν παρὼν καιρὸς μονονουχὶ λέγει φωνὴν ἀφιεὶς « ὅτι τῶν πραγμάτων ἐκείνων ἀντιληπτέον ἡμῖν, εἴπερ « περὶ σωτηρίας αὐτῶν φροντίζετε. » Ἐπειδὴ γὰρ ὁ λόγος καὶ ἡ προτροπὴ μέγεθος ἔχει, περιέθηκε τῷ καιρῷ τὴν προτροπὴν, οὗτός ἐστιν ὁ καιρὸς ἐκεῖνος, λέγων, ὁ καλῶν ὑμᾶς καὶ διεγείρων ἐπὶ τὴν ἀνάκτησιν καὶ τὴν σωτηρίαν τῶν πραγμάτων ἐκείνων, εἰ φροντίζετε τῆς αὐτῶν σωτηρίας· τουτέστιν, εἰ μέλει τῇ πόλει τοῦ προεστάναι τῶν

Ἑλλήνων, οὗτός ἐστιν ὁ καιρὸς ὁ διδοὺς πάλιν τὴν ἡγεμονίαν τῇ πόλει. Ἐξ ἑτέρου δὲ ὃ περιέχει τὸ ἀναγκαῖον, δι' οὗ καὶ φόβον ἤδη τοῖς ἀκούουσιν ἐργάζεται, συνιστὰς ἐξήκοντα ἂν ἐπὶ τὴν Ἀττικὴν Φίλιππον, εἰ μὴ Ὀλύνθιοι σώζοιντο, ὥστε αὐτοὺς φοβουμένους λοιπὸν τῶν πράξεων ἐρρωμένως ἀντέχεσθαι. Ἑκατέρα δὲ τῶν ἀποδείξεων Θουκυδίδου, καὶ εἴληπται ἐκ τῆς Κορινθίων, ὡς ἔφην, δημηγορίας. Καὶ γὰρ ἐπὶ προστασίαν τῶν Ἑλλήνων προάγει τοὺς Λακεδαιμονίους ὁ Κορίνθιος καὶ φοβεῖ πάλιν οἷς δείκνυσιν ὁδῷ βαδίζοντας ἐπὶ τὴν Πελοπόννησον Ἀθηναίους· [ὃ] καλῶς ἄν τις εἴποι τὸ ἀναγκαῖον εἶναι. Καὶ ταῦτα μὲν περὶ τοῦ οἰκεῖον εἶναι τῇ πόλει τὸν πόλεμον. Τὸν δὲ περὶ τῶν χρημάτων λόγον ἐγύμνασεν ἐξ ἀντιθέσεως, συνιστὰς ὑπάρχειν ἱκανὰ τῇ πόλει, εἰ βούλοιντο λῦσαι τὸν νόμον, ὃν Εὔβουλος ἔθηκεν. Ἐν ᾧ καὶ θαυμάσειεν ἄν τις αὐτοῦ τὴν μεταχείρισιν καὶ τὸ ὑπερβάλλον τῆς δεινότητος. Εἰδὼς γὰρ δυσχερέστατον εἶναι τὸν λόγον τοῖς ἀκούουσι καὶ οὐκ ἂν ἡδέως προσιεμένους ἄλλην ἀνάγκην αὐτοῖς ἐφίστησι μείζονα. Φησὶ γὰρ δεῖν εἰσφέρειν ἕκαστον, οὐ τῶν πλουσίων μόνον, ἀλλὰ καὶ πάντων ἁπλῶς, ἵν' εὐλαβούμενοι τὴν ἐκ τῶν οἰκείων εἰσφορὰν ἕλωνται τὸν νόμον ἐξαλεῖψαι, δι' ὃν δοκοῦσι μικρὰ κερδαίνειν. Καὶ ἔστι τοῦτο τὸ μέρος περιεκτικὸν μέρους τοῦ δυνατοῦ τῶν Ἀθηναίων. Καὶ ὃν τρόπον ἐν ταῖς κατασκευαῖς τοῦ προσήκειν αὐτοῖς τὸν πόλεμον μετέστησε τὸν φόβον ἐπ' αὐτούς, ἵνα μὴ ὡς ὑπὲρ Ὀλυνθίων, ἀλλ' ὡς ὑπὲρ αὐτῶν βουλεύωνται, τοῦτον τὸν τρόπον κἀνταῦθα περιέστησεν αὐτοῖς φροντίδα, μὴ περὶ τοῦ δεῖν λαμβάνειν ἐκ τῶν κοινῶν, ἀλλ' ὅπως οἴσουσιν ἐκ τῶν οἰκείων, ἵνα δυοῖν αἱρέσεων προκειμένων, τοῦ τε μὴ λαμβάνειν μικρὰ καὶ τοῦ πρὸς τὴν χρείαν εἰσφέρειν, ἂν δέῃ, πολλά, ἕλωνται τῶν ἐλαττόνων ἀποστάντες τὰ οἰκεῖα κερδαίνειν. Καὶ ἔμοιγε δοκεῖ καὶ τὸν περὶ τῆς διπλῆς παρασκευῆς λόγον διὰ τοῦτο πεποιῆσθαι, οὐχ ἵνα δύο δυνάμεις ὄντως ἐξαποστείλωσι, τὴν μὲν ἐπὶ Μακεδονίαν, τὴν δὲ ἐπὶ τὴν Ὄλυνθον, ἀλλ' ἵνα φοβηθέντες τὴν ὑπερβολὴν τῶν ἀναλωμάτων, εἰ ἀνάγκη γένοιτο ἐκ τῶν οἰκείων εἰσφέρειν, πάσῃ γνώμῃ καὶ παντὶ τρόπῳ τῶν θεωρικῶν ἀποστῶσι. Τρίτον ἐστὶν ἓν ἔτι τῶν λυπούντων πρὸς τὴν ὑπόθεσιν. Τοῦτο δὲ ἐστὶ τοῦ Φιλίππου τὸ δυνατόν. Τοῦτο τοίνυν διέλυσε Θουκυδιδείῳ μεταχειρίσει, καθάπερ ἐκεῖνος ἐν ταῖς Σικελικαῖς δημηγορίαις καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ. Μὴ ἔχων γὰρ ἀρνεῖσθαι ὅτι ὁ Φίλιππος δύναμιν ἔχει, κατὰ μέρος αὐτὴν διελὼν καὶ κατακερματίσας πρὸς μέρος, ἀσθενέστερον τῷ λόγῳ κατέστησε, τοὺς ἐφεστηκότας μὲν σκαιοὺς ταῖς γνώμαις δεικνύς, τοὺς δὲ ἐπιβούλως διακειμένους, τοὺς δὲ ἀσθενεῖς ὑπάρχοντας φύσει· ὅπερ ἐκεῖνος ἐποίησεν ἐπὶ τῆς βασιλέως δυνάμεως.

Οὐ μὴν ὁμοίαις εἰσαγωγαῖς ἐχρήσατο ἐπὶ τῶν τριῶν τούτων, ἅπερ ἔφαμεν ἀντικεῖσθαι αὐτῷ πρὸς τὴν ὑπόθεσιν, οὐδὲ κατὰ ἀντιθέσεις ἁπαντᾷ· ἀλλὰ τὸ μὲν πρῶτον, δι' οὗ κατασκευάζει οἰκεῖον εἶναι τὸν πόλεμον, ὡς προηγούμενον. Οὗ προελθόντος καὶ προκεχωρηκυιῶν ἤδη τῶν κατασκευῶν, λεληθότως τῆς ἀντιθέσεως καὶ ἀνυπόπτως μνήμην πεποίηται. Μετὰ γὰρ τὸ πολλάκις ἀποδείξεις ποιήσασθαι τοῦ δεῖν τῶν πραγμάτων ἀντέχεσθαι ἐπήγαγε « Νῦν γὰρ ὃ πάντες ἐθρύλουν ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ. » Ὃ δοκεῖ ὥσπερ ἀναίρεσιν ἐργάζεσθαι τῆς ἀντιθέσεως. Τίς γὰρ ἂν τολμήσειεν ἀλλότριον ἔτι φάσκειν εἶναι τὸν πόλεμον ὃν οὗτοι πολλάκις κατασκευάζειν ἡροῦντο; σύνηθες δὲ αὐτῷ τοῦτο ποιεῖν, κρύπτειν μὲν τὰς ἀρχάς, ἐκ δὲ τοῦ τέλους ἄρχεσθαι, ἐν οἷς συναρπάζειν βούλεται τοὺς ἀκούοντας, ὡς ὑπὲρ ὁμολογουμένων. Οὐ γὰρ ἦν ὅμοιον εὐθὺς μάχεσθαι πρὸς ἀμφισβητούμενον καὶ ὡς ὑπὲρ ὁμολογουμένων προτρέπειν, ἄλλως τε καὶ τοῦ ἀναγκαίου δεικνύντος τὸν ἐσόμενον κίνδυνον, εἰ ῥαθυμήσαιεν. Τοῦτο μὲν οὖν ἐστὶ τὸ πρῶτον μέρος τῶν κεφαλαίων. Τὸ δὲ δεύτερον, ὅπερ ἔχει τὸν περὶ τῶν χρημάτων λόγον, ἐξ ἀντιθέσεως εἰσήγαγε, « περὶ δὲ χρημάτων « πόρου » λέγων, ἀλλὰ πόθεν ἕξομεν χρήματα; ὃ καὶ αὐτῷ χαλεπώτατον εἶναι δοκοῦν μετὰ κατασκευῆς προοιμιακῆς εἰσήγαγε, προθεραπεύσας ἑαυτῷ τὸν ἀκροατὴν καὶ προεπαγγελλόμενος κατορθώσειν αὐτοὺς ἅπαντα, εἰ μόνον πεισθεῖεν αὐτῷ. Τὸ δὲ τρίτον ἐξ ἀντιθέσεως φανερῶς καὶ λαμπρῶς εἰσηγμένης. Ἔστι τοίνυν τὰ ἀνωτάτω κεφάλαια τοῦ λόγου δύο, τὸ συμφέρον καὶ τὸ δυνατόν. Κατασκευάζει δὲ διὰ μὲν τοῦ συμφέροντος τὸ μήτε ἀλλότριον εἶναι τὸν πόλεμον μήτε ὑπὲρ μικρῶν. Τῷ μὲν γὰρ δοκεῖν ἐπὶ Θρᾴκης ἔσται, τῇ δὲ ἀληθείᾳ ὑπὲρ αὐτῆς Ἀττικῆς, ὑπὲρ αὐτῶν Ἀθηναίων, ὑπὲρ δόξης, ὑπὲρ φιλοτιμίας. Τοῦτο δὲ ποικίλως κατεσκεύασεν, οὐ μόνον ἐκ τῶν ἐνδόξων καὶ προτρεπτικῶν, ἀλλὰ καὶ ἐκ τῶν ἀντικειμένων, δεικνὺς ὅση αἰσχύνη καὶ ὅσον ὄνειδος περιέσται τῇ πόλει, εἰ περιϊδοῦσα τοῦτον τὸν πόλεμον ὑπὲρ τῶν οἰκείων καὶ ὑπὲρ τῆς χώρας αὐτῆς κινδυνεύσειεν. Εἶτα καὶ ἐκ τοῦ ζήλου τοῦ πρὸς τὸν πολέμιον, ὡς αἰσχρὸν ἐκεῖνον μὲν διὰ φιλοπονίαν ἅπαντα κατορθοῦν, Ἀθηναίους δέ, καὶ ταῦτα τοὺς θεοὺς ἔχοντας καὶ τὴν τύχην συναιρομένην, μηδὲν ἄξιον μήθ' ἑαυτῶν μήτε τῶν κρειττόνων διαπράττεσθαι. Ταῦτα μὲν τοῦ συμφέροντος. Τὸ δὲ δυνατὸν ἐφ' ἑκάτερα τὴν ἐργασίαν ἔχει. Καὶ γὰρ τὸ οἰκεῖον ἐξήτασε καὶ τὸ τῶν πολεμίων. Ἀλλὰ τὸ μὲν οἰκεῖον, ὡς ἂν ὑπάρξειε καὶ πόθεν τὰ χρήματα· δηλονότι ὁμολογουμένων μὲν ὁπλιτῶν, ὁμολογουμένων δὲ ἱππέων, αὐταρκούσης δὲ καὶ τῆς Ὀλυνθίων μετὰ τῆς Ἀθηναίων δυνάμεως. Διόπερ καὶ ὁ περὶ τούτων ὡς ὁμολογουμένων παρείληπται λόγος. Τὸ δὲ τοῦ Φιλίππου ἔλυσε δυνατόν, ἀποδείξας σαθρὸν ὑπάρχον διὰ πολλὰς καὶ μεγάλας αἰτίας, αἳ σημαίνονται διὰ τῶν καθ' ἕκαστον.

Ἀναγκαῖον δέ ἐστιν ἀναλαβόντα διελέσθαι τὸν λόγον καὶ δεῖξαι ὃν τρόπον αὐτῷ προῆκται. Οὐκοῦν ἐν μὲν τῷ προτέρῳ προοιμίῳ δῆλός ἐστι καὶ τὸ κατὰ τὰ χρήματα διοικούμενος ὅθεν ἕξουσιν οἱ στρατιῶται. Καὶ εἴωθε τοῦτο ποιεῖν [τοῦ] συναρπάζειν τὸν ἀκροατήν, τὰ δεύτερα πρὸ τῶν προηγουμένων εἰσάγων. Ὡς γὰρ ὁμολογουμένου τοῦ ὅτι ὑπὲρ αὐτῶν ἔσται ὁ πόλεμος, οὕτω τὸν περὶ τῶν χρημάτων ποιεῖται λόγον. Καίτοι γε πρότερον ἀποδειχθῆναι ἔδει πότερόν ποτε οἰκεῖος αὐτῶν ὁ πόλεμος, πότερον οὐκ οἰκεῖος. Ὁ δὲ τοῦτο ὥσπερ ὁμολογούμενον συναρπάσας ἀπὸ τῶν δευτέρων ἄρχεται. Τοῦτο δὲ πεποίηκε καὶ ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ. Μηδέπω γὰρ συστήσας πότερον αὐτὸν ἢ Κτησιφῶντα ἀπολογήσασθαι δεῖ, συναρπάσας τοῦτο ὡς ὁμολογούμενον ἀξιοῖ τοὺς ἀκούοντας ἐπιτρέπειν αὐτῷ καθ' ἣν βούλεται τάξιν προάγειν τὸν λόγον. Τὸ δὲ δεύτερον μέρος τοῦ αὐτοῦ προοιμίου λεληθυῖαν ἔχει τὴν ἔνδειξιν τοῦ πεποιθέναι τοῖς λογισμοῖς, καὶ ὅτι οὐδεὶς βελτίονα εἰσηγήσεται. Ἡ γὰρ εἰς ἅπαντας τοὺς ῥήτορας πρόκλησις θαρροῦντός ἐστι καὶ πεποιθότος τῷ σκέμματι, δι' οὗ προαποκρούεται τοὺς περὶ τῶν χρημάτων ἀντικειμένους λόγους. Ἅπασα γὰρ ἡ ἔννοια ἡ περὶ τῆς προκλή-

σεως τῶν ῥητόρων ἐπὶ τὸν περὶ τῶν χρημάτων λόγον ἔχει τὴν ἀναφοράν· ὥστε τὸ μὲν πρότερον προοίμιον τοῦ συμφέροντος ἅμα καὶ τοῦ δυνατοῦ εἶναι, τῆς μὲν προτέρας ἐννοίας ἐμφανιζούσης τὴν τῶν χρημάτων χρείαν, τῆς δὲ δευτέρας ἀντιπροκαλουμένης ἥν τις ἔχῃ λέγειν βελτίονα πόρον. Τὸ δὲ δεύτερον προοίμιον ἐνδεικτικὸν μὲν τοῦ συμφέροντος—ἀπὸ γὰρ τοῦ ἐνδόξου εἴληπται καὶ ἔχει τὴν περὶ τῆς ἡγεμονίας ἔννοιαν, ὅτι τῶν Ἑλλήνων αὐτοὺς προστατεῖν δεῖ καὶ ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας καὶ ἀνακτᾶσθαι πάλιν προαπολωλυῖαν—, ἐνδεικτικὸν δὲ οὐδὲν ἧττον και τοῦ δυνατοῦ ἂν εἴη μέρους. Οὐκοῦν πρὸς τὴν φύσιν τῶν κεφαλαίων ἑκάτερον ἂν εἴη τῶν προοιμίων μικτὸν, ἐπεὶ καὶ μικτὴ τῶν κεφαλαίων ἡ φύσις. Τὰ δὲ ἐντεῦθεν λοιπὸν εἰσβολὴν εἰς τὸ δυνατὸν ἔχει, « ἔστι δὴ τά γ' « ἐμοὶ δοκοῦντα, » λαβόντα ἐντεῦθεν τὴν ἀρχήν. Πρὸ γὰρ τοῦ τὸ συμφέρον φανερῶς κατασκευάσαι καὶ ἀποδεῖξαι τὸν πόλεμον ὄντα οἰκεῖον προϋπέβαλε τὸν περὶ τοῦ δυνατοῦ λόγον, ἵν' ὥσπερ ἐφ' ὁμολογουμένοις τὸ τῆς συμβουλῆς συμπεραίνηται. Οὐ γὰρ εἰ συμφέρει βοηθεῖν ἢ μὴ ἡ πρώτη ζήτησίς ἐστιν, ὥσπερ οὖν κατὰ φύσιν ἦν, ἀλλὰ περὶ τοῦ πότερον πολιτικῇ δυνάμει χρηστέον, ἢ ξενικοῖς στρατεύμασι. Καὶ δέδωκε καθόλου μέθοδον τοῦ συναρπάζειν ἀεὶ τὸν ἀκροατὴν ἐν τοῖς κατεπείγουσι, καὶ μὴ περὶ τῶν πρώτων τῇ δυνάμει ποιεῖσθαι τὴν ζήτησιν, ἀλλὰ περὶ τῶν δευτέρων πολλάκις, ὡς τῶν μὲν ὁμολογουμένων, τῶν δ' ἀμφισβήτησιν ἐπιδεχομένων ἔτι. Οὐ μὴν ἀπολείπεται τοῦ κατασκευάζειν καὶ αὐτὸ τὸ προηγούμενον· ἀλλ' ὅταν προκαταλάβῃ τε τὸν ἀκροατὴν καὶ ἀναδεδεγμένον τὴν ὑπόθεσιν ἴδῃ, τότε καὶ περὶ τῶν τῇ μὲν φύσει προηγουμένων, τῇ δὲ τάξει δευτέρων πείθειν ἐπιχειρεῖ, οὐχ οὕτως διδάσκων μέντοι ὡς αἰτιώμενος ἢ νουθετῶν, καὶ ὅλως τοιαύταις μεταχειρίσεσι κατ' αὐτῶν ἀεὶ χρώμενος· ὅπερ κἀνταῦθα πεποίηκεν. Ἐνίσταται δὲ εὐθὺς ἐξ ἀρχῆς πρὸς ἀντίθεσιν. Ἐπειδὴ γὰρ δέδοικε μὴ ξενικῷ πάλιν ἡ πόλις χρήσηται καὶ ἐπί τινα συνήθη παραμυθίαν δράμῃ, δι' ἣν ἀπολώλεσαν καὶ οἱ σύμμαχοι, ὑποτέμνεται τὴν ἀντίθεσιν, ἀξιῶν βοήθειαν πέμπειν ἐκ τῆς πόλεως. Εἶτα τούτου τοῦ μέρους ἀπαλλαγεὶς ἐπισυνῆψεν εὐθὺς τὸ πρεσβείαν πέμπειν πρὸς Ὀλυνθίους καὶ συμμαχίαν αὐτοῖς ἐπαγγέλλεσθαι. Καὶ ἄξιον ἐπισημήνασθαι παρ' ὅλην τὴν ὑπόθεσιν, τῶν πρὸ ἡμῶν ἐξηγησαμένων εἰπόντων ἁπάντων σχεδὸν * πρεσβείαν· ἀλλὰ τοὐναντίον αὐτὸς φαίνεται πρεσβείαν ἀξιῶν ἐκπέμπειν, καὶ τὴν αἰτίαν ἀποδιδοὺς δι' ἣν ἀναγκαῖον ἤδη πρεσβεύεσθαι, τὸ δύνασθαι τὸν Φίλιππον ἐξαπατῆσαι καὶ παρασπάσασθαί τι τῶν πραγμάτων σκήπτεται. Οἰηθείη μὲν οὖν ἄν τις τοῦτο τοῦ συμφέροντος εἶναι, τὸ δεῖν πρεσβείαν ἐκπέμπειν. Ὅτι γὰρ συμφέρει πρεσβεύεσθαι κατασκευάζει. Καὶ οὐκ ἂν ἁμάρτοι τις λέγων ἐντεῦθεν εἶναι τὴν εἰσαγωγὴν τοῦ συμφέροντος, ὡς πρὸς τὴν ἀντίθεσιν, ἣ μετὰ μικρὸν δειχθήσεται. Αἱ μέντοι γε αἰτίαι σύμπασαι καὶ κατασκευαὶ τοῦ δυνατοῦ ἂν εἶεν. Ποιεῖ δὲ τοῦτο καὶ Θουκυδίδης, συμπλέκων πανταχοῦ τὰ κεφάλαια. Καὶ τοῦτο εὑρήσεις ἐν τούτῳ τῷ λόγῳ. Τὰς γὰρ αὐτὰς ἐννοίας καὶ τοῦ συμφέροντος καὶ τοῦ δυνατοῦ εἴποις ἂν εἶναι. Θαυμάσαι δὲ ἄξιον τῆς δεινότητος, ὅτι φόβον τινὰ θαυμάσιον περιίστησι τοῖς ἀκούουσι, τὸν τρόπον διεξιὼν τοῦ Μακεδόνος καὶ οὐ τὴν ῥώμην, τοῦ μὴ παρασκευάζειν αὐτοὺς ἀπαγορεύειν πρὸς τὰς πράξεις ἐκ τῆς ὑπερβολῆς τῶν φόβων, ἀλλὰ τοῦ προτρέπειν καὶ κινεῖν ἐπὶ τὸν ὅμοιον ζῆλον. Εἶτα δι' ὧν φοβεῖ, διὰ τούτων καὶ παραμυθεῖται πάλιν, εὐφώρατον ἀποδεικνὺς τὸν τρόπον τοῦ Μακεδόνος, καὶ ταύτῃ μὴ ἂν ἔτι ταῖς ἀπάταις ἁλωσόμενον τὸν Ὀλύνθιον· ὃ ποιεῖ καὶ Θουκυδίδης ἐν τῇ Κορινθίων δημηγορίᾳ. Ἐν οἷς γὰρ ἐπιτιμᾷ, ἐν τούτοις ἐπαινεῖ πάλιν, καὶ παραμίγνυσι ταῖς μέμψεσι τὸ ἐγκώμιον, καὶ φοβεῖ καὶ προτρέπει καὶ ἐπαινεῖ καὶ μέμφεται, διὰ τῶν ἐναντίων τὴν δημηγορίαν προτάσσων. Εἶθ' ὥσπερ ἀπαλλαγεὶς τῶν ἐκ τοῦ Φιλίππου φόβων εἰς τοὺς αὐτοὺς πάλιν ἐπάνεισι· συμφέρει γὰρ μὴ ταχέως ἀπαλλάξαι τὸν ἀκροατὴν τῶν φόβων. Ταῦτα δὲ ποιεῖ συνεχῶς ὁ Κορίνθιος πρὸς τὸν Λακεδαιμόνιον. Φοβούσης δὲ αὐτὸν καὶ τῆς τῶν ἀκροατῶν ῥαθυμίας, πανταχοῦ τὸν καιρὸν προβάλλεται, ὅσπερ ἐστὶ τόπος τοῦ δυνατοῦ προτρεπτικὸς, μηδεμίαν αὐτοῖς ἄνεσιν ἐνδιδοὺς, μηδὲ ῥᾳστώνης καιρὸν, καὶ τὸν αὐτὸν τρόπον ἀξιῶν τῶν πραγμάτων προστατεῖν, ὅνπερ ὁρῶσι καὶ τὸν Φίλιππον, τῶν ῥητῶν (ἔργων **margo cod. P.**; αὐτῶν **Wolfius**) καταρχόμενον, τῷ συμφέροντι συμπλέκων τὸ δυνατόν. Ταῦτα γὰρ ἅπαντα ὄντα τοῦ συμφέροντος οὐδὲν ἧττόν ἐστι τοῦ δυνατοῦ. Οὐδαμοῦ δὲ ἐν τούτοις ἐκείνην ὁρῶ τὴν ἀντίθεσιν, ἣν εἰώθασι θρυλεῖν ἅπαντες, ἀλλὰ ἄπιστοι γεγόνασι περὶ τὴν πόλιν Ὀλύνθιοι. Οὔτε γὰρ κατασκευάζει ὅτι οὐ διαλύσονται πρὸς τὸν Φίλιππον, οὐδὲ προσήσονται τοὺς παρ' ἐκείνου λόγους, οὔτε τὸ ὅτι πιστοὶ ἔσονται συνίστησιν· ἀλλ' ἐπειδὴ εἶπεν ἵνα πέμψωσι πρεσβείαν, καὶ ἐξῆρε τὸν παρὰ Φιλίππου φόβον καὶ τὴν ἐκείνου πανουργίαν ὑπώπτευσε, μὴ τοὺς συμμάχους αὐτῶν διαφθείρῃ, λύων τούτους τοὺς φόβους, καὶ δεικνὺς τηνάλλως σοφιστὴν ἐσόμενον Φίλιππον, εἰ μόνον οἱ πρέσβεις οἱ τῶν Ἀθηναίων παραγένοιντο καὶ ἐπαγγείλαιεν τὴν βοήθειαν, εἰκότως πρὸς σύστασιν χρῆται τούτοις τοῖς λόγοις, οὐκ ἀπολογούμενος ὑπὲρ τῶν Ὀλυνθίων, ἀλλὰ συνιστὰς μὴ ἁλωσομένους ταῖς τοῦ Μακεδόνος ἀπάταις. Ὅπερ πεποίηκε καὶ ὁ Κερκυραῖος παρ' Ἀθηναίοις δημηγορῶν, ἐν οἷς φησὶν ὅτι οἱ αὐτοὶ πολέμιοι ἡμῖν, ὅπερ σαφεστάτη πίστις, καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι. Ἃ γὰρ ἐκεῖνος πεποίηκε τὸν Κερκυραῖον λέγοντα ὑπὲρ ἑαυτοῦ, ταῦτα αὐτὸς ὁ Δημοσθένης ὑπὲρ Ὀλυνθίων λέγει, συνιστὰς μὴ ἂν ἔτι τὴν τοῦ Φιλίππου πανουργίαν ἰσχύσειν πρεσβευσαμένης τῆς πόλεως. Πῶς ἂν οὖν εἴη ταῦτα τῆς ἀντιθέσεως, τῆς, ἀλλ' ὅτι ἄπιστοι Ὀλύνθιοι, ἣν ἑαυτοῖς [οἱ] ἐξηγησάμενοι πλάττονται; « Ταῦτ' οὖν ἐγνωκότες. » Πληρώσας ἄχρι τούτου μέρος τι τοῦ συμφέροντος, ἐν ᾧ τὴν [αἰτίαν], δι' ἣν προσήκει πρεσβεύσασθαι, προὔθηκε, καὶ συνέστησε τὸ μὴ ἐξαπατηθήσεσθαι τοὺς Ὀλυνθίους, μηδ' ἂν δυνήσεσθαι Φίλιππον παραλῦσαί τι τῆς ἐκείνων σπουδῆς, εἰ μόνον ἀντέχοιτο τῶν πραγμάτων ἡ πόλις καὶ τοὺς πρέσβεις πέμψειεν· ἐν οἷς ἔλαττον μὲν τὸ συμφέρον, πλέον δὲ τὸ δυνατὸν ἐξείργασται. Ἐντεῦθεν μεταβαίνει ἐπ' ἄλλο τι μέρος τοῦ αὐτοῦ κεφαλαίου, λέγω τοῦ συμφέροντος, συμπλέκων μὲν οὐδὲν ἧττον κἀνταῦθα τὸ δυνατόν· ἀλλ' ὥσπερ ἐν τοῖς προειρημένοις τὸ δυνατὸν ἐπλεόναζε καὶ αὐτοῦ ἦν ὡς προηγούμενον, οὑτωσὶ καὶ ἐν τοῖς ἐφεξῆς τὸ μὲν συμφέρον μᾶλλον προηγεῖται, τὸ δὲ δυνατὸν ἕπεται. « Νυνὶ γὰρ « ὃ πάντες ἐθρύλουν (p. 10, 29). » Αὕτη ἐστὶν ἡ λύσις τῆς ἀντιθέσεως, τῆς ὅτι, Ἀλλ' οὐκ οἰκεῖος ἡμῖν ὁ πόλεμος. Ἣν οὐκ ἔθηκε διὸ προείπομεν ἐν θεωρήματι, ἵνα μὴ δοκῶν ᾖ περὶ ἀμφισβητουμένων μάχεσθαι, ἀλλ' ὅτι προὔλαβε τὸν ἀκροατὴν, καὶ ἔδειξε μὴ ἀπατηθησόμενον τὸν σύμμαχον, ἵνα φαίνωνται μονονοὺ καὶ εὐξάμενοι

συμβῆναι τὸν πόλεμον, ὅτι τε οἰκεῖος αὐτοῖς ἐστιν ὁμολογοῦντες. Βεβαιοῖ δὲ καὶ διὰ τῆς δευτέρας ἐννοίας τὴν αὐτὴν λύσιν. Καὶ γὰρ Εὐβοεῦσιν οὐκ οἰκείοις οὖσιν οὐδὲ συμμάχοις βεβοηθήκασιν. « Εἰ γὰρ δθ' ἥκομεν Εὐβοεῦσι « βεβοηθηκότες (p. 11, 10). » Κἂν τούτοις τὸ μὲν συμφέρον προηγεῖται—μέμφεται γὰρ αὐτοῖς ῥαθυμήσασι καὶ καθάπτεται ἠμεληκότων—ἕπεται δὲ δι' ὑπονοίας καὶ τὸ δυνατόν. Ὅταν γὰρ λέγῃ βεβοηθηκέναι τοῖς Εὐβοεῦσι καὶ σεσωκέναι, δῆλός ἐστι καὶ τὸ δυνατὸν τὸ τῆς πόλεως συνιστάς. Ἄξιον δὲ καὶ τὸ παράδειγμα θαυμάσαι. Ἐπειδὴ γὰρ δοκοῦσι καὶ Εὐβοεῖς ἀποστάντες τῆς συμμαχίας τετυχηκέναι βοηθείας, οἰκείῳ καὶ τούτῳ κέχρηται τῷ παραδείγματι. Καὶ μὴν κἀκεῖνα ἂν εἴη τοῦ συμφέροντος καὶ τοῦ δικαίου ἅμα καὶ τοῦ δυνατοῦ, ἐν οἷς αἰτιᾶται αὐτοὺς μὴ βοηθήσαντας τοῖς ἀδικηθεῖσι πρότερον, καὶ ὅτι μεταποιοῦνται τῆς ἡγεμονίας αὐτῶν οἱ Ἕλληνες, ὅταν καλῶσι πρὸς ἑαυτοὺς Πυδναῖοι, ὅταν Ποτιδαιᾶται παραδιδῶσιν ἑαυτοὺς καὶ τὴν πόλιν· ἐν οἷς δέ φησιν αὐτοὺς ηὐξηκέναι τῇ ῥαθυμίᾳ τὸν Φίλιππον, ὁμοῦ μὲν φοβεῖ, ὁμοῦ δὲ καὶ παραμυθεῖται. Αὔξων μὲν γὰρ καταπλήττει, φάσκων δὲ διὰ τὴν αὐτῶν ῥαθυμίαν γεγενῆσθαι μέγαν πάλιν τοῦ δέους ὑφιέναι παρασκευάζει· ἐπ' αὐτοῖς γὰρ καὶ τὸ καταλῦσαι ἔσται. Ὅπερ καὶ ὁ Θουκυδίδης φαίνεται ποιῶν ἐν τῇ δημηγορίᾳ τῇ Κορινθίων. Ἐν δὲ τούτοις τὸ συμφέρον προηγεῖται, τὰ δ' ἄλλ' ἕπεται. Μεμνημένος δὲ τῆς παρὰ τῶν θεῶν εὐνοίας συνέστησεν αὐτὴν ἐξ ὧν οὐκ ἄν τις ἤλπισε. Τὰς γὰρ τῶν Θρᾳκῶν συμφορὰς καὶ τῶν ἐπὶ Θρᾴκης Ἑλληνίδων πόλεων τῆς παρὰ τῶν θεῶν εὐνοίας ἀφορμηθῆναι λέγων τὸ δυνατὸν τὸ τῆς πόλεως διὰ τούτων συνίστησιν, ὡς ὁμοῦ καὶ τὸ συμφέρον καὶ τὸ δυνατὸν πεπλέχθαι. Ἄχρι μὲν τούτου προῆλθε κατασκευάζων ὡς, ἐξὸν τῇ πόλει τὴν ἡγεμονίαν ἀναλαβεῖν, ἐρρᾳθύμησε καὶ ὅτι νῦν γοῦν, εἰ καὶ μὴ πάλαι, ἀνακτήσασθαι αὐτὴν δεῖ. Ἐξ ὧν συνίστησι καὶ τὸ οἰκεῖον εἶναι τὸν πόλεμον, εἴπερ ὑπὲρ ἡγεμονίας. Τὰ δὲ ἐντεῦθεν τὸ ἀναγκαῖον ἔχει, καὶ τὴν εἰσβολὴν εἴληφεν ἀπὸ τοῦ « Εἰ δὲ προησόμεθα, ὦ ἄνδρες « Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους (p. 12, 20). » Φοβεῖ γὰρ καὶ δείκνυσιν οὐκ εἰς μακρὰν περὶ τῶν οἰκείων κινδυνεύσοντας, καὶ ὅτι ὁδῷ πρόεισιν ὁ Φίλιππος, ὥσπερ καὶ Θουκυδίδης πεποίηκεν ἐν τῇ δημηγορίᾳ τῶν Κορινθίων· καὶ ἴσμεν οἷα ὁδῷ χωροῦσιν οἱ Ἀθηναῖοι ἐπὶ τοὺς πέλας. Οὕτω καὶ Φίλιππος, τὸ πρῶτον Ἀμφίπολιν λαβών, μετὰ ταῦτα Πύδναν καὶ Θρᾴκην καὶ Παίονας, ἐπὶ τοὺς Ἀθηναίους ἥξει· οὐχ ὡς πρὸς ἀντίθεσιν ἀπαντήσας, ὡς ἂν οἰηθείη τις ὑποκρούων, καὶ τί ἂν ἡμεῖς βλαβείημεν Ὀλυνθίων ἑαλωκότων; ἀλλ' ἐξ ἀρχῆς ἐνστησάμενος οἰκεῖον καταδεῖξαι τὸν πόλεμον ἑκατέρωθεν αὐτὸ κατεσκεύασεν, ἀπό τε τῆς ἡγεμονίας, ἧς μεταποιεῖσθαι προσήκει τῇ πόλει, καὶ ἀπὸ τοῦ τὸν πόλεμον οὐκ εἰς μακρὰν ἥξειν εἰς τὴν Ἀττικήν, εἰ μὴ βοηθήσαιεν τοῖς ἔτι λειπομένοις τῶν Ἑλλήνων ἐπὶ τῆς Θρᾴκης. Οὗ δὴ καὶ τὴν σύστασιν ποιησόμενος [καθ'] ὑπόνοιαν παρίστησι τὰ συμβησόμενα τῇ πόλει δεινά, εἰ γένοιτο πόλεμος πρὸς τῇ χώρᾳ, οὐ λέγων μὲν κατ' εἶδος, οὐδ' ἐπεξιών, ταῖς δὲ ὑπονοίαις μειζόνως φοβῶν. Τέλος δὲ ἐπιθεὶς τούτῳ τῷ μέρει τοῦ λόγου, ἐν ᾧ τὸ συμφέρον ὁμοῦ καὶ τὸ δυνατὸν πέπλεκται, πῇ μὲν προτεροῦντος τοῦ δυνατοῦ, ἑπομένου δὲ τοῦ συμφέροντος, πῇ δὲ ἐναντίως τῆς τούτων τάξεως ἐχούσης, καὶ προηγουμένου πάλιν αὐτοῦ τοῦ συμφέροντος, δευτερεύοντος δὲ τοῦ δυνατοῦ, καὶ τοῦ λόγου παντὸς πεποικιλμένου συμβουλῇ καὶ προτροπῇ, ἀεὶ τῶν ἐννοιῶν διαδεχομένων ἀλλήλας, προοιμιάζεται λοιπὸν περὶ τοῦ δυνατοῦ πάλιν τῆς πόλεως, « τὸ μὲν ἐπιτι- « μᾶν ἴσως φήσαι τις ἂν ῥᾴδιον » ἀρχὴν τοῦ προοιμίου ποιησάμενος. Τὸ δὲ δυνατὸν τέτμηκε δίχα, εἴς τε τὸν τρόπον τῆς παρασκευῆς καὶ εἰς τὸν τῶν χρημάτων πόρον. Οὗτος δὲ ἦν αὐτῷ χαλεπὸς λόγος, καὶ διὰ τοῦτο προοιμίῳ κέχρηται, ἐπειδήπερ οὐκ ἦν ἀνέδην, οὐδὲ μετὰ παρρησίας, οὐδ' εὐχερῶς ἐπ' αὐτὸ ἐλθεῖν μὴ προθεραπεύσαντα καὶ προδιοικησάμενον. Σκοπὸν δὲ ἔχων μίαν δύναμιν ἐκπέμψαι ἐπὶ τὴν Ὄλυνθον δύο δυνάμεις ἀξιοῖ ψηφίζεσθαι, μάλιστα μὲν ἵνα τὴν ἑτέραν αὐτῶν δυνηθῇ κατορθῶσαι· εἴωθε γὰρ μείζονα καὶ πλείονα ὧν βούλεται κατορθοῦν ἀεὶ προτείνειν, ἵνα τῆς ἀνάγκης αὐτῆς ἐπαρτηθείσης ἕλωνται τὰ ἐλάττω· εἶθ' ἵνα καὶ φοβήσας τῷ μεγέθει τῆς παρασκευῆς φοβήσῃ καὶ τῷ τῆς εἰσφορᾶς μεγέθει καὶ ταύτῃ καταναγκάσῃ τῶν θεωρικῶν ἀποστῆναι. Ὅτι δ' οὖν οὐ πρόκειται αὐτῷ τὰς δύο δυνάμεις, οὐδὲ τὰς δύο παρασκευὰς ἀποστεῖλαι, φανερὸν ἐκ τοῦ μήτε πολύν τινα κινῆσαι λόγον, σύστασιν περιέχοντα τοῦ δεῖν ἐκπέμπειν ἑκατέραν, καὶ ἐκ τοῦ ταχέως ἐπὶ τὸν λόγον τῶν χρημάτων δραμεῖν. Ἄξιον δὲ ἐπισημήνασθαι ὅτι οὐδὲ ἐγχρονίζειν βούλεται τῷ λόγῳ τῷ περὶ τῶν χρημάτων, διὰ τὸ δυσχερές, ἀλλ' εὐθὺς μεταβαίνει πάλιν ἐπὶ τὸν τῶν εἰσφορῶν, ἵνα μὴ φαίνηται ἐπιτηδεύων τὴν πρὸς Εὔβουλον μάχην, ἀλλὰ τῇ χρείᾳ τῶν πραγμάτων ἑπόμενος, πῇ μὲν ἀξιῶν τῶν θεωρικῶν ἐξίστασθαι, πῇ δὲ ἀπὸ τῶν οἰκείων εἰσφέρειν, καὶ οὐ τοὺς πλουσίους μόνον, ἀλλὰ καὶ τοὺς ἀπόρους. Ποιεῖ δὲ τοῦτο ἐξεπίτηδες. Οὐκ ἐγχρονίζει μὲν γὰρ τῷ περὶ τῶν θεωρικῶν λόγῳ, διὰ τὸ ἀνιᾶν· οὐ μὴν οὐδὲ ἀφίσταται, διὰ τὸ μὴ ἀλλαχόθεν εἶναι πόρον. Τὸν δὲ περὶ τῆς εἰσφορᾶς ποιεῖται λόγον, οὐκ ὄντως τοῦτον ἔχων τὸν σκοπόν, ἵνα εἰσενέγκωσιν, ἀλλ' ἵνα διὰ τῆς εἰσφορᾶς καταναγκάσῃ τῶν θεωρικῶν ἐκστῆναι. « Λέγουσι « δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε (p. 15, 7). » Ἔστι μὲν ἀνθυποφορά, χρὴ δὲ ἀναφέρειν τὴν προκατασκευὴν ὡς λύσιν ἐπὶ τὴν ἔννοιαν τοῦ προοιμίου, ἵνα ἐκ συγκρίσεως συμφορώτερος ὁ πόρος φαίνηται. Διὰ τοῦτο γὰρ κατ' ἀρχὰς ἠξίωσε μηδένα κωλυθῆναι βουλόμενον λέγειν, ἵνα ἡ εἰσήγησις αὐτοῦ ἡ περὶ τῶν χρημάτων βέλτιον ἔχουσα φαίνηται. Τέθεικε δὲ καὶ ἐν τῷ τρίτῳ πλείονα τῆς ἐν τούτῳ τῷ λόγῳ λύσιν. « Ἄξιον δὲ ἐνθυμηθῆναι καὶ « λογίσασθαι τὰ πράγματα (p. 15, 6). » Ἐντεῦθεν πρὸς τὸ δυνατὸν τοῦ Φιλίππου ἵσταται. Προτέθεικε δὲ τὴν λύσιν τῆς ἀντιθέσεως, ἣν ἐπεσημήνατο εὐθὺς προελθὼν ἐξ ἀναιρέσεως. Θαυμάσαι δὲ ἄξιον καὶ ταύτης τὴν μεταχείρισιν. Οὐ γὰρ εἶπεν, [οὐ] φοβερὸς Φίλιππος, ἀλλ' εἶπεν, [οὐκ] εὐπρεπῶς καὶ καλῶς ἔχει τὰ Φιλίππου πράγματα. Ἣν ἔλυσε κατακερματίσας τὴν Φιλίππου δύναμιν εἰς τέσσαρα· εἰς τὸν καιρόν, δι' ὃν ταράττεται· εἰς Θετταλούς, τοὺς ἑαυτοῦ συμμάχους, ἀποστατικῶς ἔχοντας· εἰς ἀπορίαν χρημάτων, δι' ἣν οὐχ ἕξει ξένους· εἰς τοὺς ὑπηκόους Ἰλλυριοὺς καὶ Παίονας, ἐπιθυμοῦντας ἐλευθερίας· ὥσπερ καὶ διαιρούμενοι τὸν λόγον εἴπομεν, τὴν ἐντελεστέραν ἐργασίαν τοῦ κεφαλαίου πρὸς ὁλόκληρον φυλάξας ὑπόθεσιν. « Διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τὰ ἀγαθὰ « τοῦ κτήσασθαι χαλεπώτερον εἶναι (p. 16, 2). » Τοῦτο ἐπὶ τῶν ἀνοήτων καὶ παρ' ἀξίαν εὐτυχούντων εἶπεν. Ὥστε εἴ τις αὐτῷ συγκρούειν ἐθέλει πρὸς τὸ εἰρημένον, οὐκ ἔχει τοῦτ' εὐλόγως ποιεῖν, διὰ τὸ εἰρῆσθαι κατὰ μέρος. Ἐν [δὲ] τῷ δευτέρῳ καθολικώτερον εἴρηται καὶ

ἀποφαντικώτερον· τὸ δὲ ἐν τούτῳ κατὰ τῶν ἀνοήτων μόνον· καὶ τοῦτο οὐκ ἀπολύτως. Τὸ γὰρ Πολλάκις καὶ τὸ Δοκεῖ [δηλοῖ] οὐχ ὅτι πάντως δεῖ τοῦτο συμβαίνειν, ἀλλὰ ἔστιν ὅτε. « Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, « τὴν ἀκαιρίαν τὴν ἐκείνου. » Ἐντεῦθεν τῶν ἐπιλόγων ἅπτεται, οὓς ὁμοίως εἰς δύο μέρη διῄρηκεν, εἰς τὸ δυνατὸν καὶ τὸ συμφέρον. Καὶ γὰρ οἱ ἐπίλογοι ἀπὸ τῶν τελικῶν κεφαλαίων λαμβάνονται. Καὶ τὸ μὲν δυνατὸν ἀπὸ τοῦ καιροῦ κατασκευάζει· ἀπὸ πρεσβείας τῶν Ἀθηναίων τῆς πρὸς τοὺς Ἕλληνας καὶ πρὸς τοὺς ὑπόπτως διακειμένους τοῦ Μακεδόνος· ἀπὸ στρατιᾶς αὐτῶν καὶ ἐξόδου· ἀπὸ τοῦ ἀτόπου, ὅπερ ἐστὶν ἀπὸ γνώμης, πῶς ἂν Φίλιππος διετέθη τοιούτου καιροῦ παραπεπτωκότος· ἀπὸ τῆς αἰσχύνης τῶν ἐκβάντων ἄν. Τὸ δὲ συμφέρον δίχα διῄρηκεν, εἰς σύγκρισιν δύο πολέμων, τοῦ τε ἐπὶ Θρᾴκης [καὶ τοῦ ἐπὶ τῆς Ἀττικῆς], παριστὰς καὶ δεικνὺς τί κακὸν ποιήσουσι τὴν Μακεδονίαν συμμαχοῦντες Ὀλυνθίοις, τίνα δὲ αὐτοὶ πείσονται κομισθέντος δεῦρο τοῦ πολέμου, μηδένων ὄντων τῶν κωλυόντων, μὴ Φωκέων, μὴ Θηβαίων, τῶν μὲν δι' ἀσθένειαν, τῶν δὲ διὰ δυσμένειαν. Οὐ γὰρ ὑπολαμβάνειν ἀντίθεσιν δεῖ τὴν ἔννοιαν τὴν ἀπὸ γνώμης τοῦ Φιλίππου, ὥσπερ ὁ Ζήνων εὐήθως ὑπείληφεν, ἀλλ' ἔστιν ἡ ἔννοια ἐπιλογικὴ τοῦ ἀναγκαίου. Ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν κατεσκεύασε προσήκειν τῇ πόλει τὸν πόλεμον, διὰ [δὲ] τοῦ δευτέρου παρέστησεν ἐπὶ τὴν Ἀττικὴν ἂν ἐλθεῖν τὸν Φίλιππον, λαβόντα τὴν Ὄλυνθον, εἰκότως κἀνταῦθα ἐπιλογιζόμενος τῶν αὐτῶν ἐμνήσθη. Τοῦ Χαλκιδικοῦ γὰρ ἀπολωλότος γένους, καὶ δύο καὶ τριάκοντα πόλεων ᾐρημένων, τίνες ἔσονται λοιπὸν ἐμποδών; ἃ δὲ αὐτοὶ πείσοντα οἱ Ἀθηναῖοι γενομένου πρὸς αὐτοῖς τοῖς ὁρίοις τῆς Ἀττικῆς τοῦ πολέμου βουλόμενος αὐξῆσαι δίχα διῄρηκεν, εἴς τε τὰ [πρὸ] τοῦ πολέμου καὶ εἰς αὐτὸν τὸν πόλεμον, τίνα ὑπομενοῦσιν οἱ γεωργοῦντες, τίνα δὲ καὶ ἡ χώρα, χρωμένου αὐτῇ κατ' ἀνάγκην τοῦ στρατοπέδου τῶν Ἀθηναίων πρὸς τὴν ὑπηρεσίαν τῶν ἀναγκαίων· τίνα δὲ ἐργάσονται οἱ πολέμιοι καὶ ἀναγκαίως ὑβρίζοντες καὶ φλέγοντες τὴν χώραν· ὡς διπλοῦν περιίστασθαι τῇ Ἀττικῇ πόλεμον, τοῦτο μὲν παρὰ τῶν οἰκείων, τοῦτο δὲ διὰ τῶν πολεμίων. Ὧν ἀπαλλαγεὶς ἀξιοῖ πᾶσαν ἡλικίαν καὶ πᾶν ἔθνος, καὶ εὐπόρους καὶ ἀπόρους καὶ ῥήτορας, ἀπωθεῖσθαι ἐπὶ τὴν Θρᾴκην τὸν πόλεμον, δεικνὺς οὐ μικρὰ τὰ κέρδη οὐδὲ τὰ διαφέροντα ἐσόμενα πᾶσιν, εἰ τοῦτο γένοιτο. Ἄξιον δὲ καὶ τὴν μεταχείρισιν θεωρεῖν καὶ τὴν ποικιλίαν. Προηγεῖται μὲν γὰρ ὁ τῆς συμβουλῆς λογισμός, ἕπεται δὲ ὁ τῆς προτροπῆς εὐθύς· ὥστε κατὰ τοῦτο τὸ εἶδος πεπλέχθαι τὸν λόγον, ἐπειδήπερ ἡ μὲν συμβουλὴ λόγος ἐστὶν ὑποθετικὸς τῶν πραγμάτων, ἡ δὲ προτροπὴ λόγος προάγων ἐφ' ὁμολογουμένας τὰς πράξεις, παραίνεσις δὲ λόγος ὑποθετικὸς καὶ περιεκτικὸς τοῦ τρόπου τῶν πράξεων.

ΖΩΣΙΜΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΕΙΣ ΔΗΜΟΣΘΕΝΗΝ.

ΒΙΟΣ ΔΗΜΟΣΘΕΝΟΥΣ.

Δευτέρῳ λοιπὸν ἐπιβῆναι τῷ Παιανιεῖ καιρός· καὶ μή μοι χαλεπήνῃς, ὦ θεία κεφαλή, δεύτερος ταττόμενος, ἡδέως ἂν πρὸς αὐτὸν ἐφθεγξάμην. Εἰ γὰρ δεῖ τἀληθὲς λέγειν, αὐτὸς σὺ σαυτῷ ταύτην τὴν τάξιν προὐξένησας, μηδαμοῦ τῇ νεότητι τῷ μεγέθει τῶν ῥημάτων ἐπιδιδοὺς σεαυτόν, μηδὲ ἀμυήτοις ῥητορικῶν συγχωρῶν ἐπιβῆναι τοῖς σοῖς. Διὸ προτελεσθέντες τοῖς τοῦ Θεοδώρου (Θεοδωρείου? **Westermann. Intellige Isocratem Theodori f.**), οὕτως τοῖς σοῖς μυστηρίοις ἐπιχειρεῖν τολμῶμεν. Προσευξάμενοι οὖν τὸν θεσπέσιον ῥήτορα καὶ κρατῆρα στησάμενοι τἀνδρί, ὅπως ἂν δυνηθείημεν ἀρκέσαι τοῖς αὐτοῦ, οὕτω χωρήσομεν εἰς τὸ τἀκείνου διελθεῖν. Τί γὰρ οὐ μέγα τε καὶ θαυμάσιον τῶν ἐκείνου; ὃς Ἀθήνας μὲν πρῶτον εὐτύχει πατρίδα, δῆμον δὲ Παιανιέα, ἐκ γονέων δὲ μὴ πάνυ τι σεμνῶν προελθὼν τοῖς αὐτοῦ τἀκείνων συνέκρυψεν· πατρὸς μὲν γὰρ ἦν ὁμωνύμου μὲν τὴν προσηγορίαν, τῇ δὲ τέχνῃ μαχαιροποιοῦ, (ὅ ἐστιν ἐργαστήριον ἔχοντος μαχαιροποιῶν, ὡς εἴπομεν ἤδη περὶ τοῦ πατρὸς Ἰσοκράτους,) μητρὸς δὲ Κλεοβούλης μὲν ὀνόματι, Σκυθίδος δὲ τὸ γένος. Γύλων γάρ, ὁ πάππος αὐτοῦ, Νύμφαιον προδούς, τόπον τινὰ ἐν τῷ Πόντῳ, μέλλων ποιεῖσθαι τὴν κρίσιν ὑπὲρ τούτου, φυγὼν παρὰ τοῖς τοῦ Πόντου δυνάσταις, καὶ τοὺς καλουμένους Κήπους, τόπους τινάς, καρποῦσθαι λαβὼν παρ' αὐτῶν, γυναῖκα ἐκεῖσε Σκυθίδα ἠγάγετο, ἐξ ἧς ἔσχε τὴν Κλεοβούλην, τὴν μητέρα τοῦ ῥήτορος. Αὕτη γὰρ πεμφθεῖσα ὑπὸ τοῦ πατρὸς λάθρα εἰς Ἀθήνας καὶ γαμηθεῖσα Δημοσθένει τῷ μαχαιροποιῷ τίκτει τοῦτον τὸν ῥήτορα. Καταλειφθεὶς δὲ ὀρφανὸς ἀπὸ πατρὸς αὐτὸς ἑαυτοῦ τῇ φρονήσει τε καὶ συνέσει πατὴρ ἐγένετο. Ὡς γὰρ ἑώρα τοὺς καταλειφθέντας αὐτῷ παρὰ τοῦ πατρὸς ἐπιτρόπους οὐκ ἐπιτρόπων μᾶλλον ἔργον ποιοῦντας, ἀλλὰ πολεμίων, τῷ κακῶς κεχρῆσθαι τῇ αὐτοῦ οὐσίᾳ, παῖς μὲν ὢν ἔτι καὶ κατηγορεῖν ἐκείνων κωλυόμενος τῇ (τῶν νέων) ἡλικίᾳ, τέως μὲν τὰ τῶν νέων ἐποίει καὶ διδασκάλοις τε ἑαυτὸν καὶ παιδεύσει παρεδίδου, ἵνα σχοίη τὴν κατηγορίαν ὡς εἰπεῖν ἠκονημένην ἐκ τῶν λόγων κατ' ἐκείνων εἰς ἄνδρας ἐγγραφείς. Διὸ καὶ ὡς μιαροί τινες οἱ ἐπίτροποι τοῦτο αὐτὸ ἐνθυμηθέντες καὶ τῶν διδασκάλων αὐτοῦ τοὺς μισθοὺς ἀπεστέρουν, ὅπως ἐμποδὼν γένοιτο τοῦτο αὐτὸ πρὸς τὸ μανθάνειν σπουδαίως ἐκεῖνον. Ὅμως πάντα ποιῶν ὁ θεῖος ἀνὴρ φιλοσόφων μὲν ἑαυτὸν παρεδίδου Πλάτωνι, ῥητορικῶν δὲ ἐπιθυμήσας ἐκ τοῦ ἀκούειν Καλλιστράτου τοῦ ῥήτορος ῥητορεύοντός τε καὶ εὐδοκιμοῦντος Ἰσαίῳ ἐφοίτα, ἑνὶ τῶν δέκα ῥητόρων τῶν κριθέντων ἀναγινώσκεσθαι. Καὶ οὕτω αὐτὸν λέγεται μιμήσασθαι ὥστε αὐτοῦ νομίζεσθαι τοὺς κατὰ τῶν ἐπιτρόπων λόγους· ἀρτίως γὰρ ἦν ἐξελθὼν ἀπὸ τῆς ἐκείνου διατριβῆς. Ἐζήλωσε δὲ μάλιστα τῶν πρὸ αὐτοῦ τὸν συγγραφέα Θουκυδίδην καὶ τὰ πλεῖστα ἐκ τῶν ἐκείνου λόγων ἐπὶ τὸ πολιτικώτερον μετέφρασε· καὶ οὕτως λέγεται αὐτὸν ἐκμεμαθηκέναι ὥστε φέρεσθαί τι τοιοῦτον περὶ αὐτοῦ, ὅτι ποτὲ καείσης τῆς βιβλιοθήκης ἐν Ἀθήναις καὶ συγκαεισῶν τῶν Ἱστοριῶν Θουκυδίδου αὐτὸν μόνον ἀπομνημονεῦσαι πασῶν καὶ οὕτως μεταγραφῆναι ποιῆσαι. Ἐπιτροπευθεὶς δὲ δέκα ἔτη καὶ ἐγγραφεὶς ὀκτωκαιδεκαέτης εἰς ἄνδρας (οὕτως γὰρ ἐνεγράφοντο παρ' Ἀθηναίοις) κρίνας τοὺς ἐπιτρόπους εἷλε τὴν δίκην, καὶ ἀπῄτησεν αὐτοὺς οὐχ ὅσα ἠδυνήθη δεῖξαι παρὰ τοῖς δικασταῖς αὐτοὺς χρεωστοῦντας, ἀλλ' ὅσα συνῄδει ἑαυτῷ κατὰ τὸ ἀληθὲς ἠδικημένῳ. Τὸ μὲν γὰρ ἦν τῆς δεινότητος τῆς ῥητορικῆς, τὸ δὲ τῆς Δημοσθένους φιλανθρωπίας. Λ' γὰρ τάλαντα ἀποδείξας αὐτοὺς τοὺς τρεῖς χρεωστοῦντας ιδ' μόνον ἀπῄτησεν. Ἦσαν δὲ οὗτοι οἱ τρεῖς Ἄφοβος, Δημοφῶν, Θηριππίδης. Πολλὰ δ' ἐκ φύσεως ἔχων ἐλαττώματά τε καὶ νοσήματα ἐπιμελείᾳ τὴν φύσιν ἐνίκησεν. Καὶ γὰρ τὸ στόμα τραυλὸς ἦν καὶ τὴν ἀκοὴν ἀσθενής, ὡς μὴ δύνασθαι φέρειν κραυγάς τινας ἢ κτύπους, καὶ τὸ πνεῦμα ἄτονος, ὡς μηδὲ ἓν ἔπος εἰπεῖν ἀπνευστὶ δύνασθαι, καὶ τὴν κίνησιν τοῦ σώματος ἀπρεπὴς καὶ μαλακώτερος, ὁπότε δέοι λέγειν· κινῶν γὰρ ἀεὶ τοὺς ὤμους περιέρριπτε τὸν τρίβωνα κατὰ τῆς γῆς. Ἐπηνωρθώσατο δὲ ταῦτα πάντα διὰ τούτων τῶν τρόπων· τὸν μὲν τραυλισμὸν ἐμβάλλων τινὰς ψήφους ἐν τῷ στόματι καὶ τῶν Ὁμήρου συνεχῶς ἔπος τι λέγων, τό, « Ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο (Odyss. 5, 402). » Οὕτως δὲ τοῦτο ἐπηνωρθώσατο ὥστ' εἰσελθόντα εἰπεῖν τοῖς Ἀθηναίοις ἐκεῖνο τὸ περιφερόμενον· « Ἥκω φέρων ὑμῖν τὸ ρ καταρερητορευμένον. » Διὰ τοῦτο δὲ εἶπε τὸ ρ, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον οἱ τραυλοὶ ἀεὶ περὶ τὸ γράμμα τοῦτο σφάλλονται, τὸ λ ἀντὶ τοῦ ρ προφέροντες. Καὶ τοὺς θορύβους δὲ φέρειν ἐμελέτησεν ἐπὶ τὴν θάλατταν κατιὼν καὶ πρὸς τὸν ἦχον τῶν κυμάτων λογοποιούμενος. Καὶ τὸ πνεῦμα διαρκὲς κατεσκεύασεν οὕτως, πρὸς ὑψηλά τινα χωρία τρέχων καὶ ῥήσεις λέγων τινάς. Τὸ δὲ σχῆμα τῆς ἐν τῷ λέγειν κινήσεως, καὶ τοῦτο ἰάσατο, τὰ μὲν πρῶτα ξίφος ἐξαρτήσας ἐκ τῆς στέγης τῆς οἰκίας ἑαυτοῦ καὶ ὑποκάτω τούτου ἱστάμενος, ἵνα τῷ φόβῳ τῆς προσδοκίας τοῦ πεσεῖσθαι κατὰ τῶν ὤμων αὐτοῦ ἐκεῖνο ἀκινήτους ἔχῃ αὐτούς, ὕστερον δὲ καὶ πρὸς κάτοπτρον ἀνδρόμηκες ταῖς μελέταις χρώμενος. Οὐ μόνον δ' ἐν νέοις οὕτως ἑαυτοῦ ἐπεμελεῖτο, ἀλλ' ἤδη καὶ τέλειος ἀνὴρ γενόμενος. Καὶ γάρ φασιν αὐτὸν ἀνδρῶν ἄγοντα ἡλικίαν ξυρῶντά ποτε τοῦ πώγωνος τὸ ἥμισυ, ὅπως μὴ προΐοι δι' αἰσχύνην, οἴκαδε καθείρξαντα ἑαυτὸν ἀσκεῖσθαι. Λογογραφεῖν δὲ ἀρξάμενος καὶ εἰς τὰ ἰδιωτικὰ καὶ εἰς τὰ δημόσια καὶ πολλοὺς ἐκδοὺς λόγους δικαζομένοις, ὕστερον τούτων ἐπαύσατο διὰ τοιαύτην αἰτίαν· Ἀπολλοδώρῳ καὶ Φορμίωνι δικαζομένοις πρὸς ἑαυτοὺς ἥλω ἀμφοτέροις λόγους ἐκδοὺς κατ' ἀλλήλων. Ὅθεν μισήσας τοῦτο τὸ ἔργον ἐπὶ τὸ παιδεύειν λοιπὸν ἐτράπη. Καὶ παρὰ τὰς ἀρχὰς μὲν εὐτυχήσας ἔν τε τῷ πλήθει τῶν μαθητῶν καὶ τῷ εὔνους εἶναι αὐτῷ πάντας τοὺς φοιτῶντας, ὕστερον καὶ τούτου ἀπέσχετο διὰ ταύτην τὴν αἰτίαν· Ἀρίσταρχόν τινα, υἱὸν Μόσχου, ἔχων μαθητὴν εὐνούστατόν τε καὶ θρασὺν καὶ φονεύσαντα τοὺς ἀντιπολι-

τευομένους αὐτῷ, τόν τε Νικόδημον τὸν Ἀφιδναῖον καὶ Εὔβουλον τὸν πολιτευόμενον, αὐτὸς ὑπενοήθη ὑποβαλεῖν τῷ Ἀριστάρχῳ τοῦτο ποιῆσαι. Ἀπαλλαγεὶς δὲ καὶ τούτου τοῦ ἐπιτηδεύματος, ὕστερον ὁρῶν φυόμενόν τε καὶ ἀκμάζοντα κατὰ τῆς Ἑλλάδος τὸν Φίλιππον ἐτράπη ἐπὶ τὸ γράφειν λόγους κατ' ἐκείνου καὶ τῶν προδιδόντων ἐκείνῳ· ἐτριηράρχησε δὲ καὶ ἐχορήγησε τῇ πόλει καὶ εἰσφορὰς ἐποιήσατο χρημάτων πολλάκις, καὶ κόρας ὀρφανευθείσας καὶ πενιχρὰς ἐπιγάμους πρὸς γάμον ἐξέδωκε καὶ λύσεις αἰχμαλώτων Ἀθηναίων ἐποιήσατο· ὅθεν πολλάκις εὐνοίας τῆς πρὸς τὴν πόλιν χρυσοῖς στεφάνοις ἐστεφανώθη. Ἁρπάλου δέ τινος χρήματα κεκλοφότος παρ' Ἀλεξάνδρου τοῦ Φιλίππου καὶ φυγόντος παρ' Ἀθηναίοις καὶ ἀποθανόντος ἐν τῷ δεσμωτηρίῳ, ὑπονοηθεὶς ὡς λαβὼν παρ' αὐτοῦ χρήματα, κριθεὶς ἐπὶ πεντήκοντα ταλάντοις ἔφυγεν εἰς Αἴγιναν, ὕστερον δ' ἀφείσης αὐτῷ τῆς πόλεως ἐπανῆλθεν, καὶ πάλιν κατ' Ἀλεξάνδρου ἔλεγε τοῦ παιδὸς Φιλίππου, ὡς καὶ κατὰ τοῦ πατρὸς αὐτοῦ. Κρατήσαντος δ' Ἀλεξάνδρου τῆς Ἑλλάδος καὶ μέλλοντος ἐλθεῖν καὶ ἐπὶ τὰς Ἀθήνας, ἐξαιτηθεὶς παρ' αὐτοῦ οὐκ ἐδόθη, τῶν Ἀθηναίων πρεσβευσαμένων πρὸς αὐτὸν καὶ λεγόντων ὅτι « ἐν σοί ἐστι καὶ « τὸ λαβεῖν καὶ τὸ μὴ λαβεῖν, ὁπότε καὶ τὴν πόλιν αὐ« τήν· ὅμως φρόνησόν τι καὶ βούλευσαι ἄξιον τῆς σεαυτοῦ « φύσεως. » Ὁ δὲ ἐπικλασθεὶς τῷ ἐλέῳ καὶ γελάσας ἀνεχώρησεν· ἔσχε γὰρ τὸ φιλάνθρωπον μετὰ τῆς δυναστείας, ἥπερ ὁ αὐτοῦ πατήρ. Ὡς δὲ καὶ Ἀλέξανδρος ἐτελεύτησε καὶ τὴν τούτου βασιλείαν διεδέξατο Ἀντίπατρός τις τῶν παρασπιστῶν ἐκείνου, πάλιν καὶ κατὰ τούτου ἐδημηγόρει. Ἀμέλει καὶ φρουρὰν καταστήσαντος Ἀλεξάνδρου ἐν ταῖς Θήβαις μετὰ τὸ κατασκάψαι τοὺς Θηβαίους διὰ τὸ ἀπογυμνώσασθαι αὐτῷ ἐν τῇ πολιορκίᾳ καὶ ὑβρίσαι αὐτὸν, ἐναντία πράττων ὁ Δημοσθένης τῷ Ἀντιπάτρῳ ἔπεισεν Ἀθηναίους ὥστ' ἐξελθεῖν καὶ ἐξελάσαι ταύτην τὴν φρουράν. Ὅθεν ὀργιζόμενος Ἀντίπατρος ἐστράτευσε κατὰ τῶν Ἀθηναίων. Προορώμενος δ' ὁ Δημοσθένης ὡς ὅτι οὐκ ἐλεηθήσεται παρὰ τούτου ἐξαιτηθεὶς διὰ τὸ ὠμόν τε καὶ βίαιον τοῦ ἀνδρὸς, ἔφυγεν εἰς τὸ ἱερὸν τοῦ Ποσειδῶνος τὸ ἐν τῇ Καλαυρίᾳ τῇ νήσῳ τῇ πρὸς τῇ Τροιζῆνι. Μέλλων δ' ἄγεσθαι πρὸς Ἀντίπατρον ὑπὸ Ἀργίου τοῦ ὑποκριτοῦ τοῦ πεμφθέντος πρὸς αὐτὸν καὶ παρακρουομένου αὐτὸν, ὡς οὐκ εἰς θάνατον ἄγοιτο, ἀπεκρίνατο αὐτῷ ὡς ὅτι οὐδέποτέ μοι ἤρεσας, οὔτε ὑποκρινόμενος οὔτε νῦν με πείθων. Καὶ τοῦτο εἰπὼν, μικρὸν παρεξελθὼν, ἵνα μὴ μιάνῃ τῷ θανάτῳ τὸ ἱερὸν, λαβὼν ὃ ὑπὸ τῇ σφραγῖδι εἶχε φάρμακον εἰς τοῦτο ἐκ πολλοῦ αὐτῷ κατεσκευασμένον ἐχὼν ἀπέθανεν. Ἐβίωσε δὲ ἔτη ξ' καὶ τρία, ἐγεννήθη δ' ἐνιαυτῷ πρότερον τῆς ἑκατοστῆς ὀλυμπιάδος. Εἰκόνα δ' αὐτοῦ ἔστησαν οἱ Ἀθηναῖοι ἐν τῷ Κεραμεικῷ χαλκῆν, θαυμάσαντες αὐτοῦ τήν τ' ἀρετὴν καὶ τὴν εὔνοιαν, ἣν εἶχε περὶ τὴν πόλιν. Ἐπεγέγραπτο δὲ τῇ εἰκόνι αὐτοῦ τοῦτο τὸ ἐπίγραμμα·

εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, ἔσχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Ἀπέθανε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἥτις ἐστὶν Ἀθήνησι σκυθρωποτάτη ἡμέρα διὰ τὸ συμβαίνειν τότε εἶναι τὰ Θεσμοφόρια καὶ νηστεύειν τότε τὰς γυναῖκας. Κατέλειψε δὲ πολλοὺς λόγους, οἷον τοὺς Φιλιππικοὺς, τοὺς δημοσίους, τοὺς ἐπιτροπικοὺς, τοὺς ἰδιωτικοὺς, τὰ προοίμια, τὸν ἐρωτικὸν, τὸν ἐπιτάφιον, τὰς ἐπιστολάς.

ΕΤΕΡΩΣ Ο ΔΗΜΟΣΘΕΝΟΥΣ ΒΙΟΣ.

Ὁ Δημοσθένους βίος τοῦ ῥήτορος ἀναγκαῖός ἐστι τοῖς ἐπὶ ῥητορικὴν ἀσκοῦσιν ἑαυτούς· πολλὴν γὰρ ὁ βίος αὐτοῦ φέρει τοῖς μαθοῦσιν ὠφέλειαν. Ὅθεν ὅσα περὶ τἀνδρὸς πυνθανόμεθα λέγωμεν διὰ συντόμων, ὅστις τε ἦν διεξιόντες καὶ τίνος καὶ ἃ τὴν πόλιν διώρθωσεν. Ἀπὸ δὲ τοῦ γένους αὐτοῦ πρῶτον ἀρξώμεθα. Ταῦτα τοίνυν ἐστὶν ἃ περὶ Δημοσθένους πυνθανόμεθα. Γύλων ἀνὴρ Ἀθηναῖος φθονηθεὶς, οἶμαι, δι' ἀρετὴν (οἰκεῖον γὰρ καὶ σύνηθες τῇ πόλει τοῦτο τὸ πάθος) αἰτίαν ἔσχεν προδεδωκέναι Νύμφαιον, χωρίον ἐν Πόντῳ κείμενον. Ἀδοξήσας δὲ διὰ τὴν ἐκ τῆς κατηγορίας ὕβριν, τάχα δὲ καὶ φοβηθεὶς τοὺς συκοφάντας, (ἰσχυρὸν γὰρ ἐν Ἀθήναις τὸ τούτων γένος) τὴν τούτων κρίσιν οὐ περιέμεινε, τῆς δὲ κατηγορίας προεξῆλθε· καὶ παραγενόμενος εἰς Σκυθίαν γαμεῖ τῶν ἐπιχωρίων τινὸς θυγατέρα, πολλὴν προῖκα σὺν αὐτῇ λαβών. Δύο δὲ γεννήσας καὶ θρέψας θυγατέρας, ὡς τὴν τοῦ γάμου ὥραν ἐπέλαβον, ἑτοιμάσας προῖκας αὐταῖς εἰς Ἀθήνας ἔπεμψε, κομίσασθαι τὴν πατρίδα θελήσας, εἰ καὶ μὴ δι' ἑαυτοῦ, διὰ γοῦν τῶν θυγατέρων. Ἔγημε δὲ τὴν μὲν Φιλοχάρης (deb. Δημοχάρης), τὴν δ' ἑτέραν Δημοσθένης, τὸν μὲν δῆμον Παιανιεὺς, μαχαιροποιὸς δὲ τὴν τέχνην. Ἐξ ἧς ἐγέννησε τὸν ῥήτορα Δημοσθένην, ὀνόματος μὲν πατρῴου κληρονόμον, οὔτε δὲ τέχνης οὔτε τύχης ὁμοίας διάδοχον. Ἀποθανόντος δὲ τοῦ πατρὸς καταλειφθεὶς ὑπὸ μητρὶ τρεῖς ἔσχεν ἐπιτρόπους, συγγενεῖς μὲν καὶ φίλους, ἐχθροὺς δὲ τῇ διαθέσει, Ἄφοβον καὶ Δημοφῶντα, ἀλλήλων ἀδελφιδοῦς, καὶ Θηριππίδην, φίλον αὐτοῦ τῷ πατρὶ ἐκ παίδων γεγενημένον. Πολλὴν δ' οὗτοι παραλαβόντες οὐσίαν, δέον αὐτὴν ἐκ τῆς ἐπιτροπῆς ποιῆσαι πλείονα καὶ τηρῆσαι τὸν ὀρφανὸν πλούσιον, οὐ μόνον διήρπασαν, ἀλλὰ καὶ τῆς Δημοσθένους παιδείας ἠμέλησαν, οὐδένα λόγον δώσειν τῆς ἐπιτροπῆς ὑπολαμβάνοντες, ἐὰν τὸν ἀδικούμενον τηρήσωσιν ἀπαίδευτον. Ἦν δ', ὡς ἔοικεν, ὁ παῖς ὑπὸ τῆς προνοίας τῶν θεῶν ἐπιτροπευόμενος, οἳ παρέσχον αὐτῷ ἐπιθυμίαν παιδείας λόγου. Προθέμενος γὰρ ἐλπίδας Δημοσθένης ἀγαθὰς, μείζονας ἑαυτοῦ, καὶ τὴν τοῦ πατρὸς καὶ τὴν τῶν ἐπιτρόπων χώραν ἐξέπλησεν· τῆς τε γὰρ ἐγκυκλίου καλουμένης παιδείας μετέλαβε, τῷ τε μάλιστα κατὰ ῥητορικὴν καὶ ἐν τῷ δικαστηρίῳ ἐπαινουμένῳ παρήδρευσεν Ἰσαίῳ, μαθητῇ μὲν Ἰσοκράτους ὄντι, κεκοσμηκότι δὲ τὴν σχολικὴν ἡσυχίαν ἐναγωνίῳ δεινότητι. Πάντα δ' ἦν, ὡς ἔοικε, Δημοσθένει πρὸς τὸ τέλειον συνεργοῦντα, φύσις, φιλομάθεια, πόνος. Φύσις μὲν ἡ ῥᾳδίως αὐτῷ τὴν κατάληψιν τῶν πραγμάτων χορηγοῦσα· πόνος δ' ὁ καὶ τὰ δυσχερῆ κτώμενος (ἰώμενος Jacobs)· φιλομάθεια δὲ τὴν τῶν καλῶν ἐπιθυμίαν εἰσάγουσα. Ἔστι δὲ τοῦ Δημοσθένους πόνου καὶ τῆς περὶ τὴν ἄσκησιν τοῦ λόγου ταλαιπωρίας κἀκεῖνα τεκμήρια. Φασὶ γὰρ αὐτὸν ἐν οἰκίσκῳ καταγείῳ διαιτώμενον πονεῖν, δηλονότι φεύγοντα τὰς ἀπὸ τῶν ἡλίκων καὶ φίλων διοχλήσεις. Διαξυρῆσαι δὲ λέγουσιν αὐτὸν μέρος τῆς κεφαλῆς, ἵνα κατεχόμενος ὑπὸ τῆς αἰδοῦς ἑαυτῷ βλέπηται μόνῳ. Ταχεῖαν μέντοι ἔλαβε τὴν ἐν τῷ λόγῳ σπουδὴν, ὥστε αὐτὸν περὶ ὀκτωκαίδεκα ἔτη γενόμενον τὰς κατὰ τῶν ἐπιτρόπων ἀποθέσθαι δίκας καὶ τὴν τοῦ λέγειν καλῶς λαβεῖν δόξαν, καὶ τῶν ἀδικησάντων κρατῆσαι, μὴ μέντοι γενέσθαι μετὰ τὴν νίκην ἀπάνθρωπον, ἀλλ' ἀντὶ πολλῶν πατρῴων ὀλίγα λαβεῖν, ὅσα δυνατὸν ἦν τοῖς ἀδικήσασιν ἀποδοῦναι. Προκόπτων δὲ κατὰ τὴν ἡλικίαν καὶ μᾶλλον ἐπὶ τῷ λέγειν ἐπαινούμενος ἐπὶ σοφιστείαν τρέπεται καὶ καθηγεῖται τῶν νέων τῶν ῥητορεύειν βουλομένων. Ἐπ' Ἀριστάρχῳ δὲ τῷ Μόσχου διαβληθεὶς, μειρακίῳ τῶν εὐγενῶν, ὡς ἐραστὴς αὐτοῦ γεγονὼς, παρῃτήσατο αὐτοῦ τὴν παρ' αὐτὸν ἄφιξιν, ἵνα τοῖς αἰτιωμένοις ὑπονοεῖν αὐτὸν μηκέτι ἐξῇ. Λόγους δὲ γράφειν ἀρξάμενος ἐσυκοφαντήθη τότε διαβληθεὶς ὡς δυσὶ πολίταις δέδωκε λόγους ἀπεναντίους, Ἀπολλοδώρῳ καὶ Φορμίωνι. Καταγνοὺς δὲ καὶ τοῦ λογογραφεῖν, ἀποκειμένην εὗρε τὴν πολιτείαν καὶ τὴν τῶν κοινῶν πραγμάτων ἐπιμέλειαν καὶ τὴν ἐν ταῖς ἐκκλησίαις δόξαν. Παρηκολούθει δ' αὐτῷ τρία τοῦ λέγειν ἁμαρτήματα νουθεσίας τινὸς καὶ θεραπείας δεόμενα· τῶν τε γὰρ στοιχείων οὐκ ἐτρανοποίει τὸ ρ, τόν τε ὦμον ἀκαίρως ἀνίσειε καὶ θορυβούμενος ἐξέπιπτε τῆς σκέψεως πολλάκις. Ταῦτα δ' ἴσως ἄλλῳ μὲν συμβάντα μεγάλα ἦν, ἐξεδιώχθη δ' ὑπὸ Δημοσθένους ὡς ἀσθενῆ. Καὶ τό τε ρ ποικίλως ἐν τῷ στόματι γυμνάσας ἐκομίσατο τόν τ' ὦμον συνευτακτεῖν τοῖς ἄλλοις μέρεσι τοῦ σώματος ἔπεισε τὸν τρόπον τοῦτον· λόγχην ἀπὸ τῆς στέγης καταρτήσας καὶ ἱστάμενος ὑπ' αὐτὴν ἔλεγε καὶ κατεχόμενος ὑπὸ τοῦ φόβου τὸν ὦμον ἐνουθέτησεν· τήν τε κατοχὴν τῶν ἐσκεμμένων οὕτως ἐποίησε μόνιμον ὥστε μηδ' ὑπὸ τῶν μεγίστων ἐκπλήττεσθαι θορύβων. Ὁδεύων γὰρ παρ' αἰγιαλοὺς, καὶ τῶν προσπιπτόντων ταῖς ἠϊόσι κυμάτων τὸν ἦχον δεχόμενος ἀντέτασσε τοὺς ἑαυτοῦ λογισμούς· τοῦτο δὲ ἦν ἄσκησις ἐπὶ τὴν τῶν ὄχλων καταφρόνησιν. Ὑποκρίσει δὲ λειπόμενος καὶ διὰ τοῦτο φερόμενος ἐν ταῖς ἐκκλησίαις ἧττον ὑπὸ Ἀνδρονίκου, τοῦ κατ' αὐτὸν ἀρίστου τῶν ὑποκριτῶν, ἐδιδάχθη, καὶ τὰ μυστήρια τῆς ὑποκρίσεως οὕτως παρέλαβεν ὥστε γενέσθαι μιμητὴς προσώπων ἀνδρειότατος καὶ τὸ πλῆθος ταύτῃ μάλιστα πείθειν ἐν ταῖς ἐκκλησίαις. Τέλειος οὖν ἐν πᾶσι γενόμενος τὴν τῆς ῥητορικῆς δύναμιν ἐκτήσατο, ὡς ἂν εἴποι τις, ὁλόκληρον ἐφ' οἷς ἐπρώτευσε λόγοις οὐ μόνον ὠφελῶν τὴν πόλιν, ἀλλὰ καὶ ἀπὸ τῆς οὐσίας ἐπιδιδούς· καὶ γὰρ ἐτριηράρχησε [καὶ ἐχορήγησε] τῆς ἰδίας φυλῆς αὐτεπάγγελτος. Συνέβη δ' αὐτῷ κατὰ τὴν χορηγίαν δυστύχημα· Μειδίας γὰρ ἐχθρὸς ὢν αὐτῷ παλαιὸς κονδύλῳ αὐτὸν ὕβρισεν ἐστεφανωμένον ἐν τῷ θεάτρῳ. Καὶ ὁ δῆμος ὀργισθεὶς κατεχειροτόνησε τοῦ Μειδίου. Λαβὼν δὲ παρὰ τοῦ Μειδίου τρισχιλίας δραχμὰς καθυφήκατο τὴν παρ' αὐτοῦ δίκην. Ὅμοιον δέ τι τούτῳ ἕτερον πρότερον ἐποίησε. Δημομέλη γὰρ τὸν ἀνεψιὸν γραψάμενος εἰς Ἄρειον πάγον τραύματος ἀργύριον λαβὼν παρῆκεν. Ὅθεν καὶ Αἰσχίνης ὀνειδίζων αὐτῷ λέγει « ὁ τὴν κεφαλὴν πρόσοδον κεκτημένος », ὅτι ἀπὸ τῆς κεφαλῆς ἐπορίζετο. Ἔγημε δὲ τὴν Χαβρίου γυναῖκα, Κτησίππου δὲ μητέρα, μετὰ τὸν θάνατον τοῦ στρατηγοῦ Χαβρίου. Τοιούτου γάμου δόξας ἄξιος οὐ τὴν αὐτὴν τάξιν τῆς πόλεως εἵλετο Αἰσχίνῃ καὶ Δημάδῃ καὶ Φιλοκράτει, οὐδὲ μιμητὴς τῶν ἄλλων δημηγόρων ἐγένετο. Τοῖς

δὲ Φιλίππου πράγμασιν ἀντεπολιτεύσατο καὶ προὐκαλεῖτο τὴν ἐκείνου τύχην, καὶ τὴν πατρίδα βλέπων ἐν κινδύνοις καὶ δουλείᾳ γιγνομένην τήν τε τῶν προγόνων ἀρετὴν ἐτήρησεν αὐτῇ καὶ τὸ πάτριον φρόνημα. Ἄξιον δὲ καὶ περὶ τούτων εἰπεῖν πλείονα, ἵνα καὶ βεβαιότερα τῆς Δημοσθένους ἀρετῆς τεκμήρια λάβωμεν. Φίλιππος Ἀμύντου μὲν ἦν παῖς καὶ Εὐρυδίκης, βασιλεὺς δὲ Μακεδονίας· ἐν Πέλλῃ δὲ γενόμενος, ἀδόξῳ καὶ ταπεινῷ χωρίῳ, δύναμιν δὲ πρῶτον ὀλίγην ἔχων, ὑπ' ἐκείνης βοηθούμενος Ἰλλυριοὺς κατεστρέψατο καὶ Τριβαλλοὺς καὶ Παιόνων ἐκράτησεν· καὶ μετὰ ταῦτα τετραδαρχίαις τὴν Θετταλίαν κατέλαβεν, Εὐβοίας τε τυράννους ἀπέδειξεν οὓς ἠθέλησε καὶ Φωκεῖς ἀναστάτους ἐποίησε, σφαγάς τε πολλὰς ἐτόλμησεν ἐν Ἤλιδι, αὐτός τε τὸν τῶν Ὀλυμπίων ἀγῶνα διετάσσετο, πολλῶν τε διδάσκαλος προδοτῶν ἐγένετο τοὺς ἐν ἑκάστῃ πόλει πονηροὺς διὰ τοῦ χρυσίου φίλους αὐτῷ κατασκευάζων· ὅτε καὶ λ' δήμους ἀνεῖλεν ἐν Θρᾴκῃ καὶ τὴν Ἀμφίπολιν καὶ τὴν Ἀλόννησον προσεκτήσατο. Προέκοψε δὲ πλεονεξίας εἰς τοσοῦτον ὥστε καὶ Ἀττικοὺς προδότας ἔχειν, καὶ τὸ κεφάλαιον δὲ τῶν ὅλων πραγμάτων τοῦτο ἦν αὐτῷ, χειρώσασθαι τὰς Ἀθήνας. Ἐδόκει γὰρ ἐξεῖναι, ὅταν αὐτοὶ μὴ δύνωνται μάχεσθαι περὶ αὐτῆς Ἀθηναῖοι. Καὶ τάχα ἂν τῆς πόλεως ἀπήνεγκε τὴν ἐλευθερίαν, εἰ μὴ Δημοσθένης ἀδωροδόκητος ἔμεινε καὶ μόνος τοῖς Μακεδονικοῖς ὅπλοις τοὺς ἰδίους λόγους ἀντέταξε, διὰ παντὸς ὑπομιμνήσκων Ἀθηναίους τῶν προγόνων καὶ τόν τε Μαραθῶνα καὶ τὴν Σαλαμῖνα καὶ τὰς Πλαταιὰς τοῖς νέοις ἐξηγούμενος. Ὅθεν ἥρπαζον τὰς παρ' αὐτοῦ συμβουλίας οἱ πολῖται, καὶ τῶν ἄλλων φιλιππισμὸν καταγνόντες μόνον ἐκεῖνον εὔνουν ἐπίστευον εἶναι. Καί ποτε Φιλίππου Θηβαίοις πολεμοῦντος καὶ ταύτην ἀφορμὴν κατὰ τῆς Ἀττικῆς λαμβάνοντος ἔπεισεν ὁ ῥήτωρ συμμαχῆσαι Θηβαίοις. Καὶ γενομένης ἐν Χαιρωνείᾳ μάχης καὶ χιλίων μὲν ἀναιρεθέντων Ἀθηναίων, δεθέντων δὲ δισχιλίων, οὐκ ἐμισήθη Δημοσθένης, ἀλλὰ καὶ τὸν ἐπιτάφιον εἶπε τῶν ἀναιρεθέντων, καλῶς φρονησάντων Ἀθηναίων. Ἔγνωσαν γὰρ ὅτι τὸ μὲν τὰ κάλλιστα συμβουλεῦσαι Δημοσθένους ἔργον ἦν, τὸ δὲ συμβὰν πταῖσμα τῆς τύχης. Κἀκεῖνο δ' αὖ τῆς εἰς τὴν πατρίδα εὐνοίας τεκμήριον, ὅτι ἀποθανούσης αὐτοῦ τῆς θυγατρὸς, ἣν εἶχε μόνην, ἑβδόμην ἔχων ἡμέραν τοῦ πένθους, πυθόμενος ἀνῃρῆσθαι Φίλιππον ὑπὸ Παυσανίου μετημφιάσατο καὶ τοῖς θεοῖς ἔθυσε, φανερὸν ποιήσας ὅτι τὴν κοινὴν εὐτυχίαν ἐπίπροσθεν ποιεῖται τῆς ἰδίας συμφορᾶς. Ἀντέσχε δ' ὁ ῥήτωρ καὶ μετὰ τὸν Φιλίππου θάνατον καὶ Ἀλεξάνδρῳ πατρῴαν ἔχθραν ὑποκρίσει φιλίας πρὸς Ἀθηναίους κεκληρονομηκότι. Κατὰ μέντοι τοῦτον τὸν βασιλέα δυστυχημάτων ἤρξατο. Πολλὰ γὰρ νοσφισάμενος Ἅρπαλος τῶν Ἀλεξάνδρου χρημάτων πρὸς Ἀθηναίους κατέφυγεν, ὧν καὶ Δημοσθένης εἰληφέναι τι μέρος ἔδοξε, καὶ καταχριθεὶς ἐδέθη μὲν ἡμέρας ι', μετὰ δὲ ἓξ ἡμέρας ἀπῆλθεν εἰς Τροιζῆνα, κρείττονα τῶν ἐν Ἀθήναις δεσμῶν τὴν ἐξ Ἀθηνῶν φυγὴν δοκιμάσας. Ἀλεξάνδρου δὲ χωρισθέντος ἐξ ἀνθρώπων ἐν Βαβυλῶνι, καταπαύσαντος τὴν ἀκμὴν τῆς τύχης, ἀνεκαλέσαντο διὰ ψηφίσματος οἱ Ἀθηναῖοι τὸν Δημοσθένην, ὁμολογήσαντες ὅτι αὐτοῦ κατέγνωσαν Ἀλεξάνδρου [δέει?]. Ὁ δὲ παραγενόμενος πρὸς Ἀντίπατρον συνέστησε τὴν Ἑλλάδα· κληρονόμος γὰρ οὗτος τῆς Μακεδόνων ἡγεμονίας ἐγένετο· καὶ πάντως ἂν ἑάλω πολιορκηθεὶς ἐν τῇ Λαμίᾳ (πόλις δ' ἐστὶν αὕτη μία τῶν Θεσσαλικῶν), εἰ μὴ διέπεσε τὰ τῆς πολιορκίας, πρώτων Αἰτωλῶν ἀποχωρησάντων, ἔπειτα τῶν ἄλλων. Κρατήσας δὲ μετὰ ταῦτα Ἑλλήνων Ἀντίπατρος βαρβαρικῶς τοῖς πράγμασιν ἐχρήσατο μᾶλλον ἢ φιλανθρώπως. Πέμψας γὰρ εἰς Ἀθήνας ἐξῄτει τοὺς δέκα ῥήτορας, οἳ τοῖς Μακεδόνων ἐδόκουν ἐμπεποδικέναι πράγμασιν. Ὑποτασσομένων δὲ τοῖς πράγμασιν Ἀθηναίων Δημοσθένης εὐλαβηθεὶς εἰς Καλαυρίαν ἀπέδρα καὶ τοῦ Ποσειδῶνος ἱκέτης ἐγένετο· τὸ δὲ ἱερὸν ἄσυλον ἐδόκει. Πέμψαντος δὲ τὸν πονηρότατον Ἀντιπάτρου τῶν ὑπασπιστῶν Ἀρχίαν, ἵνα αὐτὸν, ἂν μὴ δύνηται τέχνῃ, βίᾳ καταγάγῃ, νοήσας ὁ Δημοσθένης τὸν κίνδυνον ἀνέδραμεν ἐπὶ τὸν βωμὸν καὶ πολλὰ κατειπὼν Ἀντιπάτρου, τελευταίαν τοῖς Ἕλλησιν ἐντολὴν καταλιπὼν, ἐλευθεροῦν τὰς πόλεις, ἐξέφαγε τῆς σφαγῖδος τὸ τοξικὸν φάρμακον γενόμενον αὐτῷ μετὰ προνοίας ἐπὶ τοιαύτην βίου μεταβολὴν, καὶ πρὸ τοῦ πειραθῆναι δουλείας ἀπέθανεν ὡς Ἀθηναῖος. Ἐμνημόνευσαν δὲ τῆς τοῦ ῥήτορος ἀρετῆς οἱ πολῖται, καὶ ἀνδριάντι αὐτὸν ἐτίμησαν, στήσαντες ἐν τῇ ἀγορᾷ, καὶ τοιοῦτον ἐπιγράψαντες ἐλεγεῖον· Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, ἔσχες, οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών. Καὶ σχεδὸν ὅσα λέγεται περὶ Δημοσθένους ταῦτά ἐστιν. Ἐξ ὧν δυνατόν ἐστι τοῖς εὖ φρονοῦσι λογίσασθαι πόσης ὁ λόγος τοῖς ἀνθρώποις αἴτιός ἐστι προκοπῆς. Δημοσθένης οὖν, ὡς εἰρήκαμεν, μαχαιροποιοῦ παῖς γενόμενος τῷ λόγῳ πεπιστευκὼς τὴν Ἀθηναίων πόλιν ἐκόσμησε καὶ πᾶσι τοῖς Μακεδονίας βασιλεῦσιν ἀντέσχε, καὶ τῶν μεγίστων τιμῶν ἐν τοῖς Ἕλλησιν ἠξιώθη, πάσας κατασκευάσας διὰ τοῦ λόγου πατρίδας αὐτῷ. Διεβάλλετο δ' ὡς τὰ βασιλέως τῶν Περσῶν φρονῶν καὶ μηδίζων καὶ παρ' ἐκείνου λαμβάνων χρήματα.

ΣΧΟΛΙΑ.

I. ΟΛΥΝΘΙΑΚΟΣ Α.

1. Ἀντὶ πολλῶν—] Τὸ προοίμιον ἐκ πλαγίου ἔπαινος τῶν ἀκροατῶν χρηστοῦ ὑποκειμένου πράγματος. Καὶ ἔστι πρῶτος τόπος τῶν ἐξ ὑπολήψεως. BRSV (*).

Σύντομον τὸ προοίμιον διὰ τὴν τῶν πραγμάτων χρείαν. BYV.

Ἠθικὸν καὶ πραγματικὸν τὸ προοίμιον· τὸ μὲν γὰρ ἐν τῇ λέξει μέτριον καὶ ἐπιεικὲς ἦθος ἔχον εὔνουν ποιεῖ τὸν ἀκροατὴν καὶ ἠθικὸν ἀπεργάζεται τὸν λόγον, ἡ δὲ λύσις τῶν ἀντιπιπτόντων καὶ ἡ σπερματικὴ τῶν κεφαλαίων ἐπαγωγὴ πραγματικὸν ποιεῖ τὸ προοίμιον· ἴδιον γὰρ μάλιστα Δημοσθένους καὶ Θουκυδίδου μὴ μόνον ἀπὸ τῶν συναγωνιζομένων αὐτοῖς κεφαλαίων ποιεῖσθαι τὰ προοίμια, ἀλλὰ καὶ τὰ δοκοῦντα λυπεῖν αὐτοὺς εὐθὺς ἐν ἀρχῇ θεραπεύειν τεχνικῶς σφόδρα καὶ δεινῶς· ἀναιρεθέντων γὰρ τῶν ἀντιπιπτόντων καὶ τῶν ὑφορμούντων ἐν τῇ γνώμῃ τῶν ἀκροατῶν ῥᾷον ὑποδέχεται λοιπὸν τὰ μηδεμίαν ἀντίρρησιν ἔχοντα. Τὸ μὲν οὖν προοίμιον ἀπὸ τοῦ συμφέροντος καὶ δυνατοῦ κεφαλαίου πέπλεκται· καὶ γὰρ ὁ σύμπας λόγος διὰ τῶν αὐτῶν προῆκται· λυποῦν δὲ ἦν αὐτὸν τὸ κατὰ τὰ θεωρικὰ χρήματα· διὸ καὶ ἐν ἀρχῇ λεληθότως κατασκευάζει τοὺς ἀκροατὰς καταφρονεῖν χρημάτων. Καὶ ἔστι τοῦτο παραπλήσιον ᾧ κέχρηται ἐν τῷ πρὸς Λεπτίνην (p. 460, 11) « Λέγονται χρήματα οἱ τριάκοντα δανεί- « σασθαι παρὰ Λακεδαιμονίων. » Καὶ γὰρ ἐκεῖ τοῦ Λεπτίνου χορηγῶν καὶ χρημάτων ἀφθονίαν ὑπισχνουμένου παρασχήσειν πείθει τοὺς Ἀθηναίους διὰ τοῦ διηγήματος ἐλάττονα ποιεῖσθαι λόγον τῶν χρημάτων. Ἔλθωμεν καὶ ἐπ' αὐτὸ τὸ προοίμιον. « Ἀντὶ πολλῶν· » ἄνωθεν μεθ' ὑπερβολῆς ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς χρημάτων εἰπών, ἀλλὰ καὶ πολλῶν. Ἐπειδὴ γὰρ ἀλλαχοῦ (p. 37, 25?) τοῖς περὶ (παρὰ?) τῶν ἰατρῶν***, καὶ πάλιν ἐν τῷ περὶ συντάξεως (p. 169, 2) δύο ὀβολῶν ἀξίους εἶναί φησι τοὺς σπουδάζοντας περὶ τῶν δύο ὀβολῶν, διὰ τοῦτο νῦν μεθ' ὑπερβολῆς εἰσήγαγεν ὅτι εἰ πολλῶν χρημάτων σύνηθες ὑμῖν καταφρονεῖν, πόσῳ μᾶλλον τῶν ὀλίγων τούτων ἄξιον παριδεῖν; καλῶς δὲ καὶ τὸ κατὰ ἐνδοιασμόν, ὅτι νομίζω, καὶ μὴ παντελῶς εἰπεῖν ὅτι πέπεισμαι· τὸ μὲν γὰρ ἠθικὸν ὂν εἰς συγκατάθεσιν ἄγει τὸν ἀκροατήν, τὸ δὲ ἀπόφασιν ἔχον φιλόνεικον αὐτὸν μᾶλλον καθίστησι. R.

Ἄλλως. Ὅτι τὸ νομίζω καὶ τὸ δοκεῖν, ὡς ἤδη καὶ ἐν τοῖς Ἰσοκρατικοῖς εἴρηται, καὶ τὰ τοιαῦτα οὐ πάντως ἐπὶ ἀμφιβόλου τάττουσιν οἱ παλαιοί, ἀλλὰ πολλάκις καὶ ἐπὶ τοῦ ἀληθεύειν. Οὕτως οὖν καὶ ἐνταῦθα τὸ νομίζω ἀντὶ τοῦ κρίνω καὶ πιστεύω. Τὸ δὲ ὑμᾶς πολλὴν ἔμφασιν ἔχει, ὡς ἂν εἰ ἔλεγεν· ὑμᾶς, οὓς οὐχ εἷλε πλοῦτος ὁ Περσικός, οὐ Λακεδαιμόνιοι ὑπισχνούμενοι. B.

Ἠθικὸν ὁμοῦ καὶ πραγματικὸν τὸ προοίμιον. Τὸ μὲν γὰρ ἐν τῇ λέξει μέτριον καὶ ἐπιεικὲς ἦθος ἔχον εὔνουν ποιεῖ τὸν ἀκροατὴν καὶ ἠθικὸν ἀπεργάζεται τὸν λόγον, ἡ δὲ λύσις τῶν ἀντιπιπτόντων καὶ ἡ σπερματικὴ τῶν κεφαλαίων ἐπαγωγὴ πραγματικὸν ποιεῖ τὸ προοίμιον· ἴδιον γὰρ μάλιστα Δημοσθένους καὶ Θουκυδίδου μὴ μόνον ἀπὸ τῶν συναγωνιζομένων αὐτοῖς κεφαλαίων ποιεῖσθαι τὰ προοίμια, ἀλλὰ καὶ τὰ δοκοῦντα ἀντιπίπτειν αὐτοῖς εὐθὺς ἐν ἀρχῇ θεραπεύειν τεχνικῶς σφόδρα καὶ δεινῶς· ἀναιρεθέντων γὰρ τῶν ἀντιπιπτόντων καὶ τῶν ὑφορμούντων ἐν τῇ γνώμῃ τῶν ἀκροατῶν ῥᾷον ὑποδέχεται λοιπὸν τὰ μηδεμίαν ἀντίρρησιν ἐπιδεχόμενα. Τὸ μὲν οὖν προοίμιον πλέκεται ἀπὸ τοῦ συμφέροντος κεφαλαίου καὶ τοῦ δυνατοῦ· καὶ γὰρ ὁ σύμπας λόγος ἀπὸ τῶν αὐτῶν προῆκται. Λυποῦν δὲ ἦν αὐτὸν τὸ κατὰ τὰ χρήματα τὰ θεωρικά· διὸ καὶ ἐν ἀρχῇ λεληθότως κατασκευάζει τοὺς ἀκροατὰς καταφρονεῖν χρημάτων. Μεθ' ὑπερβολῆς δὲ ἐχρήσατο τῷ νοήματι, οὐχ ἁπλῶς χρημάτων εἰπών, ἀλλὰ καὶ πολλῶν· εἰ γὰρ πολλῶν χρημάτων σύνηθες ὑμῖν καταφρονεῖν, πολλῷ μᾶλλον τῶν ὀλίγων. Νομίζω δὲ εἶπε, καὶ οὐ πέπεισμαι, ὅτι τὸ μὲν ἠθικὸν ὂν εἰς συγκατάθεσιν ἄγει τὸν ἀκροατήν, τὸ δὲ ἀπόφασιν ἔχον φιλόνεικον αὐτὸν μᾶλλον καθίστησιν. YTCV.

Ἄλλως. Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι] ὁ νοῦς, εἴ τις ὑμῖν προέτεινε χρήματά τε καὶ τὸ συμφέρον, εὐθὺς ἂν ἡρπάσατε ἀντὶ πολλῶν χρημάτων τὸ συμφέρον. Ζητεῖται δὲ τί βουλόμενος δεῖξαι τῇ διανοίᾳ ταύτῃ εὐθὺς ἐχρήσατο τῇ συγκρινούσῃ τὰ χρήματα πρὸς τὸ συμφέρον. Καὶ λέγομεν, ἐπειδὴ ὑπενοεῖτο ὡς διὰ τὸ λαβεῖν χρήματα παρὰ τῶν Ὀλυνθίων λέγειν ἑλόμενος ὑπὲρ αὐτῶν, ἠθέλησε διὰ τούτου λῦσαι τὴν ὑπόνοιαν, διὰ τοῦ εἰπεῖν ὅτι προκριτέον τῶν χρημάτων τὸ συμφέρον. Αὕτη δὲ σεσοφισμένη ἐστὶν ἡ ἐξήγησις· οὐ γὰρ εἶπεν ὅτι ἐγὼ προκρίνω τῶν χρημάτων τὸ συμφέρον, ἀλλ' ὑμᾶς τοῦτο πιστεύω ποιεῖν. Ἄλλοι δὲ λέγουσιν, ἐπειδὴ ὑποψίαν εἶχεν ὡς δεχόμενος τὰ χρήματα ἀπὸ τοῦ Περσῶν βασιλέως. Ἔστι δὲ καὶ αὕτη ὁμοία ἡ ἐξήγησις. Ἄλλοι δέ φασιν, ἐπειδὴ περὶ εἰσφορῶν αὐτοῖς μέλλει μετὰ μικρὸν διαλέγεσθαι, τούτων δὲ τῶν λυπηρῶν, βουλόμενος αὐτοὺς εὐθυμοτέρους ἐν τῇ ἀρχῇ κατεργάσασθαι, τὸ τοιοῦτον εἶπεν. Ἡ δὲ ἀληθεστέρα αἰτία ἐστὶν αὕτη· ἐπειδήπερ χρήματα ἔχοντες στρατιωτικὰ οἱ Ἀθηναῖοι ἔναγχος αὐτὰ πεποιήκασι θεωρικά, ὥστε λαμβάνειν ἐν τῷ θεωρεῖν ἕκαστον τῶν ἐν τῇ πόλει δύο ὀβολούς, ἵνα τὸν μὲν ἕνα κατάσχῃ εἰς ἰδίαν τροφήν, τὸν δὲ ἄλλον παρέχειν ἔχωσι τῷ ἀρχιτέκτονι τοῦ θεάτρου· οὐδὲ γὰρ εἶχον τότε θέατρον διὰ λίθων κατεσκευασμένον· εἶτα βουλόμενος ὁ Δημοσθένης ταῦτα μεταβαλεῖν εἰς στρατιωτικά, ἐπειδήπερ νῦν κατέλαβεν ὁ πόλεμος ὁ πρὸς Φίλιππον, καὶ εὐλαβούμενος εὐθὺς ἐν τῇ ἀρχῇ λυπηρὸς φανῆναι τοῖς Ἀθηναίοις, εἴ γε ἔμελλεν αὐτοὺς ἀποστερεῖν

(*) **Siglæ codicum : *A* cod. Monacensis 485; *B* Monac. 85; *C* Parisinus 2946; *D* Paris. 2944; *E* Paris. 256 supplementi; *F* Paris. 2995; *G* Paris. 2946; *H* Paris. 2508; *L* Florentinus Laurentianæ plut. 59, n. 9; *R* Paris. 2936; *S* Paris. 2934; *T* Paris 2940; *Y* Paris. 2935. V schol. editionis Aldinæ an. 1503; *P* edit. Parisin. an. 1570.**

τῶν δύο τούτων ὀβολῶν, τέως μὲν ἐν τῇ ἀρχῇ τοῦτο λέγειν φανερῶς ἀναβάλλεται, τοῦτο δὲ αὐτοῖς ὑπονοεῖν παρέχει διὰ τοῦ εἰπεῖν ὅτι προκριτέον ἐστὶ τὸ συμφέρον τῶν χρημάτων. Καὶ οὐχ εἶπεν ἁπλῶς χρημάτων, ἀλλὰ καὶ πολλῶν, δηλῶν ὅτι εἰ πολλῶν χρημάτων μέλλουσι καταφρονεῖν διὰ τὸ συμφέρον, πόσῳ γε μᾶλλον οὐκ ἂν ὀκνήσειαν ὑπεριδεῖν δύο ὀβολῶν ἕνεκεν τοῦ λυσιτελοῦντος. Ἰστέον δὲ ὅτι τὰ χρήματα ταῦτα τὰ δημόσια θεωρικὰ ἐποίησεν ἐξ ἀρχῆς ὁ Περικλῆς δι' αἰτίαν τοιαύτην· ἐπειδὴ πολλῶν θεωμένων καὶ στασιαζόντων διὰ τὸν τόπον, καὶ ξένων καὶ πολιτῶν, καὶ λοιπὸν τῶν πλουσίων ἀγοραζόντων τοὺς τόπους, βουλόμενος ἀρέσαι τῷ δήμῳ καὶ τοῖς πένησιν, ἵνα ἔχωσι καὶ αὐτοὶ πόθεν ὠνεῖσθαι τόπους, ἔγραψε τὰ προσοδευόμενα χρήματα τῇ πόλει γενέσθαι πᾶσι θεωρικὰ τοῖς πολίταις. Εἶτα ἐπιχειρήσαντος Ἀπολλοδώρου τινὸς πάλιν αὐτὰ ποιῆσαι στρατιωτικὰ, βουλόμενος Εὔβουλος ὁ πολιτευόμενος, δημαγωγὸς ὢν, πλείονα εὔνοιαν ἐπισπάσασθαι τοῦ δήμου πρὸς ἑαυτὸν, ἔγραψε νόμον τὸν κελεύοντα θανάτῳ ζημιοῦσθαι εἴ τις ἐπιχειροίη μεταποιεῖν τὰ θεωρικὰ στρατιωτικά. Διὸ ὁσάκις ἐν τοῖς Φιλιππικοῖς μέμνηται αὐτῶν ὁ Δημοσθένης, συμβουλεύει μόνον ὥστε αὐτὸν λυθῆναι, οὐ μέντοι καὶ ἐγγράφως λέγει, ὅπερ ἦν ἐπικίνδυνον. Ὅμως οὐκ ἔπεισεν αὐτοὺς λῦσαι, εἰ μὴ ὕστερον αὐτοὶ ἀναγκαζόμενοι τῷ πολέμῳ τοῦτο πεποιήκασιν. YV.

9, 2. Ὑμᾶς ἑλέσθαι νομίζω] Ἔμφασιν ἔχει πολλὴν ἡ λέξις τὸ ὑμᾶς, ὡσανεὶ ἔλεγεν, ὑμᾶς οὓς οὐχ εἷλε πλοῦτος ὁ Περσικὸς, οὐ Λακεδαιμόνιοι μεγάλα ὑπισχνούμενοι. Τὸ δὲ νομίζω, ὡς ἤδη ἐν τοῖς Ἰσοκρατικοῖς εἴρηται, καὶ τὸ δοκεῖν καὶ τὰ τοιαῦτα οὐ πάντως ἐπὶ ἀμφιβόλου τάττουσιν οἱ παλαιοὶ, ἀλλὰ πολλάκις καὶ ἐπὶ τοῦ ἀληθεύειν. Οὕτως οὖν καὶ ἐνταῦθα τὸ νομίζω ἀντὶ τοῦ κρίνω καὶ πιστεύω. YTCV.

9, 2. Εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν] Ἔπεισε διὰ τοῦ μέλλοντος· οὐ γὰρ εἶπεν ὅτι φανερὸν αὐτοῖς, ὥσπερ ὁ Ἰσοκράτης « ἥκω συμβουλεύσων περί τε τοῦ πολέ« μου τοῦ πρὸς τοὺς βαρβάρους. » τὸ μὲν γὰρ σοφιστῇ πρέπον, τὸ δὲ πολιτικοῦ μᾶλλον ῥήτορος. Ἴσως μὲν οὖν κἀκεῖνος οὐκ ἀλόγως· ἐπειδὴ γὰρ ἑώρα τοὺς Ἕλληνας ἠσχολημένους περὶ τὴν πανήγυριν καὶ τῆς ἀνέσεως μᾶλλον γιγνομένους, διὰ τοῦτο ἐπέστρεψεν αὐτοὺς εἰς τὴν ἀκρόασιν τῷ μεγέθει τῆς ὑποσχέσεως· ὁ δὲ Δημοσθένης καθ' ὑποτίμησιν αὐτὸ εἰσήγαγεν, εἰ φανερὸν γένοιτο. Οὐκ εἶπε δὲ τὸ συμφέρον Ὀλυνθίοις, ἀλλὰ τῇ πόλει. Μᾶλλον γὰρ οὕτω καταφρονήσουσι τῶν χρημάτων ὑπὲρ τοῦ λυσιτελοῦντος τῆς πόλεως. Καὶ ἄλλως. Βούλεται δοκεῖν ὑπὲρ τῆς πόλεως μᾶλλον ἢ τῶν Ὀλυνθίων ποιεῖσθαι τὸν λόγον. Ἡ γὰρ τῆς εὐνοίας ἔνδειξις εὐκολώτερον πείθει τοὺς ἀκροατάς. Οὐ μὴν οὐδὲ τὸ τῶν Ὀλυνθίων συνέστησε πρόσωπον ὡς διαβεβλημένον· καὶ γὰρ φθάνει φιλίαν ἔχων πρὸς αὐτοὺς καὶ εἰρήνην ὁ δῆμος. Καὶ ἄλλως. Καὶ αὐτοῖς Ἀθηναίοις ἐκ πολλοῦ σπουδαζόμενον ἦν εἰς ἔχθραν καταστῆσαι τῷ Φιλίππῳ τοὺς Ὀλυνθίους· ὥστε πῶς οὐκ ἔχαιρον ὑπὲρ τούτων ἀπολογήσασθαι τὸν Δημοσθένην πρὸς οὓς εὐνοϊκῶς ἐκ πολλοῦ τυγχάνουσιν ἔχοντες; R.

9, 3. Περὶ ὧν] ἤγουν τῶν χρημάτων καὶ τοῦ συμφέροντος· ἃ γὰρ παρέθετο τοῦ συμφέροντος εἰς καταφρόνησιν ἄγει τὸν ἀκροατὴν τοῦ δοκοῦντος ἐλάττονος. S.

Ὅτε τοίνυν] Τὸ συμπέρασμα εἶπεν ἀφεὶς τὴν τοῦ προοιμίου κατασκευὴν ὡς ὡμολογημένην. BEHS. Ἡ κατασκευὴ τοῦ προοιμίου κατὰ ἀποσιώπησιν· οὐ γὰρ ἐρρήθη. TCV.

Μετῆλθεν ἐφ' ἑτέραν ἔννοιαν, τὴν πρώτην ἀφεὶς ἀκατάσκευον. Αἴτιον δὲ τούτου τὸ τῆς προτάσεως ἔνδοξον· ἔχει γὰρ δὴ παρὰ τῆς κοινῆς ἐννοίας ὁμολογούμενον ὅτι προτιμῶσιν ἄνθρωποι τὸ συμφέρον χρημάτων. Ἔνδοξοι δέ εἰσι προτάσεις, ὧν οὐ περιμένει τὴν ἀπόδειξιν ὁ ἀκροατής· καὶ λαμβάνει ταύτην ὁ ῥήτωρ ἢ ἀπὸ τῆς δόξης τῶν Ἑλλήνων, ἢ ἀπὸ τῆς κοινῆς ἐννοίας· ἔστι δὲ ὅτε καὶ ἀπὸ τῶν νόμων. RYTCV. Λαβὼν οὖν καὶ νῦν ὡς ὁμολογούμενον τὸ τῶν χρημάτων ἕτερον ἐπάγει νόημα, προσήκει προθύμως ἐθέλειν ἀκούειν. Θαρροῦντος δὲ ἑαυτῷ καὶ πεπιστευκότος ἡ πρόκλησις. Ἐν ᾧ γὰρ πάντως ἀκούειν αὐτοὺς πείθει τῶν συμβουλευόντων, ἐν τούτῳ δείκνυσιν ὅτι μόνος αὐτὸς εὕρηκε τὸ συμφέρον. Εἶτα καὶ τὴν αἰτίαν προσέθηκεν· οὐ γὰρ αὐτάρκης ἦν Δημοσθένης συμβουλεύων· « οὐ γὰρ μόνον—ἥκει τις· » ἔσκεμμαι μὲν τὸ συμφέρον· εἰ δὲ καὶ τοὺς μὴ σκεψαμένους εἰπεῖν τι δέοι, οὐ παραιτήσομαι. Καὶ δι' ὧν προκαλεῖσθαι δοκεῖ, διὰ τούτων ἀποτρέπει τοὺς ἄλλους. Δῆλον γὰρ ὅτι παραχωρήσουσιν οἱ μὴ σκεψάμενοι τῷ πεφροντικότι. Καὶ ἅμα τὰ περὶ τὴν πόλιν δείκνυσιν ὅτι ἐκ πολλοῦ τὸ κοινὸν ἢ τὸ συμφέρον ἐζήτησε. Καὶ διὰ τοῦτο καὶ χρήσιμον αὐτὸν εἰπεῖν καὶ ἀκούσαντες λάβοιτε. Μονονουχὶ ἅρπαγμα καὶ κέρδος τὸ τῆς ἑαυτοῦ γνώμης ποιεῖται τῷ δήμῳ. Καὶ γὰρ τὸ λαβεῖν κέρδη καὶ ὠφελείας ἐστὶν οἰκειότατον. Τὴν μὲν οὖν ἑαυτοῦ συμβουλὴν ἕτοιμον λῆμμά φησι, περὶ δὲ τῶν σχεδιαζόντων « ὑπολαμβάνω πολλὰ « τῶν δεόντων. » Πρῶτον μὲν διὰ τῆς ὑπολήψεως ἀνεῖλε τὸ βέβαιον· νομίζω γάρ, φησί, εἶτα καὶ διὰ τῶν ἑξῆς ἠμαύρωσε τὸ παρὰ τῶν σχεδιαζόντων ὄφελος. Πρῶτον μὲν γὰρ ἐνίοις ἂν ἐπελθεῖν ἡγοῦμαι, τύχης μᾶλλον ἢ γνώμης ποιῶν τὴν εὕρεσιν. Εἶτα κἂν ἐπέλθῃ τισὶν, οὐ πάντως, ἀλλὰ πολλὰ, καὶ ταῦτα οὐ προδήλως εἶπε συμφέροντα, ἀλλὰ τῶν δεόντων. Τὸ δὲ ὄνομα τῶν δεόντων οὐχ ἕν τι σημαίνει· δέοντα γὰρ καλοῦμεν οὐ τὰ συμφέροντα μόνον, ἀλλὰ καὶ τὰ πρέποντα, περὶ ὧν οὐκ ἔστιν ἐν τῷ παρόντι ζήτησις. Καὶ οὐδὲ τῶν εὑρεθέντων ἐπαινεῖ τοὺς σχεδιάζοντας, ἀλλὰ τῇ τύχῃ τῆς πόλεως λογίζεται τὴν πρόφασιν. Πληρώσας δὲ τὴν παρεκβολὴν ταύτην καὶ τὴν αἰτίαν ἀποδοὺς δι' ἣν ὀφείλουσι καὶ τῶν δι' ὑπογύου λεγόντων ἀκούειν, ἐπάγει τὸ συμπέρασμα τῷ προοιμίῳ, συμπληρωτικὸν μὲν ὂν τῆς δευτέρας ἐννοίας, ἀκολούθως δ' ἔχον τῇ ἐξ ἀρχῆς προτάσει. Τὸ γὰρ συμφέρον ὡς ζητούμενον εἰσαγαγὼν ἐν τῇ ἀρχῇ τοῦ προοιμίου, νῦν ὡς εὑρημένον λαμβάνει. Καὶ φησὶν ὅτι πάντες ἀκούσαντες δοκιμάσατε γενέσθαι τοῦ δοκοῦντος μᾶλλον συμφέρειν· ἔστι γὰρ θεώρημα καθολικὸν, ὥστε ἀπὸ τῶν ἰσχυρῶν καὶ τὴν ἀρχὴν ποιεῖσθαι τῶν λόγων καὶ εἰς αὐτὰ καταπαύειν. R.

9, 4. Τῶν βουλομένων συμβουλεύειν] Πάντας προτρέπει λέγειν, ἵνα διὰ τούτου καὶ τὸν φθόνον φύγῃ, ὡς μὴ βουλόμενος λέγειν μόνος, καὶ ἵνα, εἰ τὴν αὐτοῦ συμβουλὴν προέλοιντο, κρείττων ἁπάντων τῶν συμβούλων ἀποδειχθῇ. BSV.

9, 5. Οὐ γὰρ μόνον] Τὸ σχῆμα ἐξ ἀναιρέσεως συμπλεκτικόν. P.

9, 7. Λάβοιτε] Ὁριστικῶς δεῖ ἐκλαβεῖν τὸ λάβοιτε, ἵν' ᾖ· ὅτι οὐκ ὀφείλετε λαμβάνειν μόνα τὰ ἀπὸ ἐσκεμμένου συμβουλεύοντος, ἀλλὰ καὶ τὰ ἀπὸ τοῦ αὐτοσχεδιάζοντος. Ἐπέρχεται γὰρ καὶ τούτῳ πολλὰ τῶν δεόντων εἰπεῖν παρὰ τὰ τῆς ὑμετέρας εὐτυχίας. BESP.

Ὑμετέρας τύχης ὑπολαμβάνω] Ταῦτα διὰ δύο εἴρηκε· δι' ἓν μὲν, ἵνα προερεθίσῃ τοὺς Ἀθηναίους καὶ προκαταπείσῃ ἑαυτοὺς εὐτυχεῖς ὑπολαβεῖν, ὅπερ μάλιστα ἐβούλετο διὰ τὴν ἀπόγνωσιν αὐτῶν· δι' ἕτερον δὲ, ἵνα δόξῃ καὶ ὁ λόγος ἀσκεπτὶ λέγεσθαι καὶ δόξῃ καὶ ὁ ῥήτωρ ἐκ τῶν πραγμάτων ἰσχύειν, καὶ αὐτοὶ πεισθῶσιν εὐτυχεῖς εἶναι, οὐκ ἐκ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ παρ' αὐτοῦ τοῦ λόγου εἰκάζοντες. Οὐκ ἂν γὰρ οὗτος καὶ δυνατῶς καὶ εὐπρεπῶς συνετέθη χωρὶς τῆς εὐτυχίας αὐτῶν. HRS.

Τύχης] ἐπειδὴ μέλλει δυνατὸν καλεῖν τὸν Φίλιππον, διὰ τὸ εἶναι εὐτυχῆ, προσποιεῖται ἐνταῦθα ἀφελῶς εὐτυχίαν Ἀθηναίοις μαρτυρεῖν, ἵνα ἐκεῖσε γενόμενος ἔχῃ αὐτοὺς προειθισμένους ἀκούειν, ὅτι καὶ αὐτοὶ δύνανται πρᾶξαι τὰ δέοντα. YTCV.

9, 9. Ἐξ ἁπάντων] καὶ τῶν ἐσκεμμένων καὶ τῶν παραχρῆμα λεχθέντων. P.

9, 10. Ὁ μὲν οὖν —] Δεύτερον προοίμιον, σύντομον καὶ τοῦτο ὁμοίως τῷ πρώτῳ διὰ τὴν χρείαν τοῦ καιροῦ τοῦ κατεπείγοντος πρὸς βοήθειαν BS. Ἀκόλουθον τῷ προτέρῳ προοιμίῳ τὸ δεύτερον. Ἐκεῖ γὰρ προκαλεσάμενος τοὺς βουλομένους συμβουλεύειν, νῦν ἐκ περιουσίας τὸν καιρὸν σύμβουλον εἰσήγαγεν, ὥσπερ ἐνδεικνύμενος ὅτι τί μὲν ἐροῦσιν οἱ ῥήτορες ἄδηλον, ὁ μέντοι καιρὸς τήνδε τὴν γνώμην ἀποφαίνεται. Καὶ ἔστιν ὥσπερ ἐκ προσωποποιίας ὁ λόγος· διενήνοχε δὲ τῆς παρὰ τοῖς ποιηταῖς, ὅτι ἐκεῖνοι μὲν αὐτὸν τὸν καιρὸν ποιοῦσι φθεγγόμενον, ἤ τι ἕτερον, οἷς οὐ μέτεστι φωνῆς, ὁ μέντοι ῥήτωρ τὴν ἐκείνου φωνὴν ὑποκρίνεται, τὸ πιθανὸν τῷ λόγῳ κατασκευάζων. BRTCV. Δύναται δὲ τὸ τῆς ἠθοποιίας ἐμψυχότερον ἅμα καὶ ἐναργέστερον ἀποφαίνειν τὸν λόγον. Ἔστι δὲ καὶ τὸ δεύτερον προοίμιον ἠθικὸν ὁμοίως καὶ πραγματικόν· ὁμοῦ γὰρ σημαίνει καὶ τὴν σκέψιν τοῦ ῥήτορος, καὶ τῆς παλαιᾶς αὐτοῦ δόξης ὑπομιμνήσκει, καὶ δι' ἑαυτῶν ἕκαστα πράττειν προτρέπεται. R.

Ὁ μὲν οὖν παρὼν καιρὸς] Σαφῶς ἐνταῦθα δείκνυσιν ὁ ῥήτωρ ὅτι μεμελέτηκεν· ἐν ᾧ γὰρ λέγει τὸν παρόντα καιρὸν, ἐν τούτῳ παρίστησιν ὅτι οὗτος ἐκεῖνος ὁ καιρὸς ὃν ἐκ πολλοῦ περιέμενον. Εὔδηλον οὖν ὅτι τὸ συμφέρον ἄνωθεν ἐζήτει· ποῦ γὰρ ἂν ἐπέγνω τὸν καιρὸν ἐν ᾧ δυνατὸν ἦν τοῖς Ἀθηναίοις ἀναλαβεῖν τὰ πράγματα; πότερον δὲ τὰ τῶν Ὀλυνθίων ἢ τὰ τῆς πόλεως. HR. Εἰ μὲν οὖν τὰ τῶν Ὀλυνθίων ἔλεγεν, οὐκ ἂν εἶπε τῶν πραγμάτων ὑμῖν ἐκείνων, ἀλλὰ τούτων· ἥρμοττε γὰρ μᾶλλον τὸ δεικτικὸν ἐπειδὴ καὶ νῦν ἐνέστηκεν· ἀλλὰ μᾶλλον ἔοικεν αἰνίττεσθαι τὴν παλαιὰν εὐδαιμονίαν καὶ τὴν τῶν πολλῶν ἡγεμονίαν· διὸ καὶ ἐπήγαγεν ὡς ὁμολογούμενον, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. Πρόδηλον γὰρ ὅτι περὶ πολλοῦ ποιεῖται τὴν παλαιὰν δόξαν ἀνακτήσασθαι. Καταστήσας οὖν εἰς ὑπόμνησιν αὐτοὺς ὧν ἐπεθύμουν, καιρὸν ἔσχε καὶ τῇ κατ' αὐτῶν ἐπιτιμήσει χρήσασθαι. Καὶ οὔτε φανερῶς ὠνείδισε τὴν ῥαθυμίαν· ἀνάρμοστον γὰρ προτρέποντι τὸ τοιοῦτον· οὔτε παντελῶς ἀφῆκεν, ἀλλὰ διὰ τῆς ὑποσιωπήσεως ἐδήλωσε. R.

9, 12. Ὑμῖν ἐκείνων αὐτοῖς] ἀντὶ τοῦ, ὑμῖν τοῖς Ἀθηναίοις αὐτοῖς ἀντιληπτέον καὶ ἀντιποιητέον ἐστὶ τῶν ἐν Ὀλύνθῳ πραγμάτων. V.

9, 13. Εἴπερ ὑπὲρ —] εἰ μέλει τῇ πόλει τοῦ προεστάναι τῆς τῶν Ἑλλήνων ἡγεμονίας. S.

Κατασκευὴ τοῦ δευτέρου προοιμίου. Margo S.

9, 14. Ἡμεῖς δὲ] Συμπέρασμα τοῦ προοιμίου τὸ ἡμεῖς δέ. Margo S. Τὸ σχῆμα ὑποσιώπησις. Συμπέρασμα τοῦ προοιμίου. B.

Ἡμεῖς δ' οὐκ οἶδ' ὄντινα] Τὸ ἐπαχθὲς βουλόμενος φεύγειν καὶ ἑαυτὸν ἐγκατέμιξε τῷ ἐγκλήματι, ἡμεῖς εἰπὼν, καὶ οὐχ ὑμεῖς. Τοῦτο δὲ τὸ σχῆμα λέγεται ὑποσιώπησις, ὅταν μέλλῃ τις ἐπιφέρειν τραχύ τι καὶ λοιδορίας ἐχόμενον, μὴ βούληται δὲ διὰ τὸ ἐπαχθὲς αὐτὸ λέγειν, ἀλλὰ δι' αἰνιγμάτων σημαίνῃ. Καὶ γὰρ ἐνταῦθα βουλόμενος λέγειν ὅτι ὁ μὲν παρὼν καιρὸς πάντα ποιεῖ παροξύνων ἡμᾶς ἐπὶ τὴν σωτηρίαν τῶν πραγμάτων, ἡμεῖς δὲ ῥαθυμοῦμεν καὶ οὐ προσέχομεν αὐτοῖς, ἀλλὰ θέαις τε καὶ τρυφαῖς σχολάζομεν, ὑπεσιώπησε μὲν τοῦτο διὰ τὸ δυσχερὲς, ἐπήγαγε δὲ « οὐκ οἶδ' ὄντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. » Διαφέρει δὲ τῆς ἀποσιωπήσεως, ὅτι ἐκείνη μὲν παντελῶς ἀποσιωπᾷ τὸ πρᾶγμα, ὡς τὸ « οὐ βούλομαι δὲ δυσχερὲς « οὐδὲν εἰπεῖν, » ἡ δὲ ὑποσιώπησις αἰνίττεταί τι, ὡς ἐνταῦθα. Εἴη ἂν οὖν τοῦτο τὸ κῶλον συμπέρασμα τοῦ προοιμίου, κατασκευῆς οὔσης τῆς « εἴπερ ὑπὲρ σωτηρίας « αὐτῶν φροντίζετε. » BRV.

9, 15. Ἔστι δὴ—] Ἐνταῦθα τὸ συμφέρον. B. Ἀρχὴ τῶν κεφαλαίων. BS. Γνώμης ἀπόφασις· ἐστὶ δὲ ἐντεῦθεν ἀρχὴ καὶ εἰσβολὴ τοῦ συμφέροντος. BV.

9, 17. Τὴν ταχίστην] ἀντὶ τοῦ ταχέως. Τὸ δ' ἐνθένδε ἀντὶ τοῦ πολιτικῇ δυνάμει καὶ μὴ ξένῃ. BES.

Ἐνθένδε] εἰς Ὄλυνθον. P.

9, 18. Ὅπερ καὶ πρότερον] Καιροῦ γὰρ ὁμοίου περί τινων ἄλλων παραπεσόντος ἠμελήκατε. P.

10, 1. Ἥτις ταῦτ' ἐρεῖ] ὅτι μέλλουσιν ἐλθεῖν οἱ Ἀθηναῖοι καὶ βοηθῆσαι ὑμῖν, καὶ διὰ τῆς παρουσίας παραμυθήσεται αὐτούς· καὶ μὴ χώραν σχῇ ὁ Φίλιππος ἀπατῆσαι αὐτοὺς, ἀντὶ ἐνεχύρου τῆς βοηθείας ὑπαρχούσης αὐτοῖς ἐκεῖσε τῆς πρεσβείας. SV.

Καὶ παρέσται] ἤγουν, ἡ αὐτὴ ἄγγελος εἴη τῆς βοηθείας καὶ βοηθός. P.

10, 2. Ὡς] Τὸ ὡς ἀντὶ τοῦ καὶ γάρ. ES.

Δέος, μὴ πανοῦργος—] Τὰ μὲν ὄντως φοβερὰ τοῦ Φιλίππου σεσιώπηκε, τουτέστι τὴν δύναμιν, τοὺς στρατιώτας· τὸν δὲ τρόπον εἶναί φησι φοβερὸν, οὗ καὶ ῥᾳδίως περιγενέσθαι δύναται. Καὶ διὰ τῶν αὐτῶν καὶ τὴν Φιλίππου δύναμιν καθαιρεῖ καὶ τὴν αἰτίαν ἀποδίδωσι τὴν τῆς χειροτονίας τῶν πρέσβεων, μὴ πανοῦργος ὤν. Ἐκ τῆς παρακειμένης δὲ τῇ σοφίᾳ κακίας ὠνόμασε τὸν Φίλιππον· καὶ γὰρ τὸν Ὀδυσσέα διὰ τοῦτο σοφὸν καλοῦμεν, ὅτι δόλοις καὶ πανουργίαις κέχρηται. Σιωπήσας οὖν τὴν σοφίαν, ὅπερ ἦν ἔνδοξον, τὴν πανουργίαν εἶπεν, ὅπερ ἐστὶν ἄδοξον. HR.

Πανοῦργος ὢν καὶ δεινὸς—] Τοῦτο μὲν ἄντικρυς καὶ ἐγκώμιον εἶναι δοκεῖ, καὶ εἴ τις αὐτὸ περὶ Ἀθηναίων εἶπεν, οὐκ ἂν ἠγανάκτησαν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο εἰς ὕβριν παρέστησεν ἡ προκειμένη λέξις. Ἡ γὰρ τοῦ πανούργου μνήμη καὶ τὴν δεινότητα διέβαλε. Καὶ ἔστιν ὅλον τοῦτο ἐκ τῆς Κορινθίων δημηγορίας εἰλημμένον τῆς πρὸς Λακεδαιμονίους. Καὶ γὰρ ἐκεῖ φοβῆσαι βουλόμενοι τοὺς Λακεδαιμονίους οἱ Κορίνθιοι, τὸ μὲν ναυτικὸν τῶν Ἀθηναίων καὶ τὰ μυρία τάλαντα ἐσιώπησαν, τὸ δὲ νεωτεροποιὸν αὐτῶν καὶ τὸ ὀξὺ προβάλλονται καὶ τούτῳ φοβοῦσι. HR.

10, 3. Πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων—] Πράξεις τῷ Φιλίππῳ περιέθηκε. Τὸ γὰρ εἴκειν καὶ ἀπειλεῖν αὐτοῖς οὐ βεβαίου τινός. Καὶ ἔστι, φησὶν, ἀξιόπιστος ἀπειλῶν·

εἰκότως· δι ὧν γὰρ εἶχει διὰ τούτων καὶ ἀπειλῶν ἀξιόπιστος· δεῖ γὰρ ἐξ ὧν αὐτῷ σύνοιδεν, ἐκ τούτων ἑκάτερα πράττειν Καὶ ἡμῖν μὲν ἐν οἷς ἐλαττούμενος αἰσθάνεται ἀπειλεῖ, εἴκει δ' ἐν οἷς ἑαυτὸν πλεονεκτοῦντα γινώσκει. R.

10, 5. Τὰ δ' ἡμᾶς διαβάλλων] Ἔστι μὲν καὶ τοῦτο πανούργου τὸ διαβάλλειν, οὐ μὴν ἕξει Φίλιππος ᾧ διαβάλλει τὴν πόλιν· οὐδὲν γὰρ διαβολῆς ἄξιον πράττομεν. Ὁ δὲ ῥήτωρ ὅπερ αὐτῷ βούλεται γενέσθαι παρὰ τῆς πόλεως, τοῦτο εἰς διαβολὴν εἴληφε· τὴν γὰρ ἀπουσίαν τὴν ἡμετέραν προσοίσει τοῖς Ὀλυνθίοις. Οὐκοῦν εἰ βούλεσθε μὴ δοῦναι καιρὸν διαβολῆς, ἐπίστητε τοῖς πράγμασι. R.

Εἴκων] αὐτοῖς. P.

10, 6. Τρέψηται καὶ παρασπάσηται] Τὸ βέβαιον τῶν Ὀλυνθίων ἐδήλωσεν, ὅτι καὶ μὴ βουλομένους αὐτοὺς τρέψεται καὶ παρασπάσεται. Εἴληπται δὲ ἡ λέξις ἀπὸ τῶν καταφευγόντων εἰς τοὺς βωμοὺς καὶ βίᾳ ἀποσπωμένων. BRV. Ἢ ὡς ἐπὶ μέλους τινὸς σώματος, ἵνα δείξῃ τὴν ἑνότητα τῶν Ὀλυνθίων. BSV. Τὸ δὲ τί ἐνταῦθα ἀντὶ τοῦ μέγα κεῖται· ὥσπερ τὸ « δύναμίν τινα κεκτημένους· » τὸ τινὰ γὰρ ἀντὶ τοῦ μεγάλην RSV. Εἶτ' ἐπειδὴ διὰ τῆς πανουργίας καὶ τῆς δεινότητος ἐφόβησε τοὺς Ἀθηναίους, ἀντέπιπτε δὲ αὐτῷ, μάτην οὖν οἱ πρέσβεις ἀπελεύσονται, εἰ κρατήσει καὶ τούτων τῇ δεινότητι Φίλιππος, ὁ δὲ καὶ τὸν φόβον καθεῖλεν, εἰπὼν ὅτι μέρος παρασπάσεται τῶν πραγμάτων καὶ ὅτι τοῦτο ποιήσει μὴ πορευθέντων τῶν πρέσβεων. Τὸ δὲ τῶν ὅλων πραγμάτων διπλοῦν ἐστι, καὶ μέσον ἐσιώπησεν, ὅπερ ἦν τὸ τοῦ πολέμου καὶ τῶν κινδύνων· ἴσως δὲ καὶ πρὸς τὸ παρὸν αἰνίττεται τοῖς Ἀθηναίοις, ὅτι μόνης ὑμῖν ἐξόδου χρεία καὶ τοῦ πλεῦσαι. Πρόχειρον γὰρ εὐθὺς τὸ κρατεῖν τῶν πολεμίων μηδενὸς ὑμῖν ἀντιτάττεσθαι τολμῶντος· εἰ γὰρ περὶ τῶν Ὀλυνθιακῶν πραγμάτων ἔλεγεν, εἶπεν ἂν φρούριον ἢ πόλισμα μικρόν· νῦν δὲ τῶν ὅλων πραγμάτων λέγει τῶν κατὰ τὴν ἡγεμονίαν τῶν Ἑλλήνων, ἣν αὐτοὺς διαλαβεῖν βούλεται διὰ τῆς παρούσης στρατείας· ἧς οὐ μᾶλλον τοῦτο δέχεσθαι προσήκει, ἀκόλουθόν ἐστι τὸ εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε. R.

10, 7. Οὐ μὴν ἀλλ' ἐπιεικῶς] Τοῦτο τὸ σχῆμα λέγεται τροπὴ ἤγουν παρὰ προσδοκίαν, ὅτε τὸ αὐτὸ πρᾶγμα καὶ φοβερὸν καὶ συμφέρον εἴη. HRV. Τὸ σχῆμα τροπὴ ἢ παρὰ προσδοκίαν· τὸ δὲ ἐπιεικῶς ἀντὶ τοῦ πάνυ. BS.

Φοβήσας τοὺς Ἀθηναίους διὰ τῆς Φιλίππου πανουργίας καὶ δυσκαταγώνιστον αὐτὸν καταστήσας παραμυθεῖται πάλιν αὐτοὺς δι' αὐτῶν ὧν ἐφόβησε. Καὶ φησὶν ὅτι τὸ δοκοῦν αὐτοῦ δύσμαχον, τοῦθ' ὑπὲρ ὑμῶν ἐστι. Παράδοξον δὲ τὸ νόημα καὶ τοῦ δοκεῖν ἀπίθανον εἶναι πλησίον, ὃ κατασκευῆς ἐδεήθη πλείονος. Δύο δὲ ὄντων, τοῦ τε δύσμαχον εἶναι τὸν Φίλιππον διὰ τὴν πανουργίαν καὶ τοῦ λυσιτελεῖν τοῦτο τῇ πόλει, πρὸς ἑκάτερον ἀπήντησεν. Ἐπειδὴ δὲ ὑπτίους αὐτοὺς ἐποίησεν εἰπὼν τὸ δύσμαχον τοῦ Μακεδόνος ὑπὲρ Ἀθηναίων εἶναι, διὰ τοῦτο πρῶτον ἐξετάζει τὸ δύσμαχον, ἵνα φοβήσῃ· οὐ μὴν οὐδὲ ἐν τῷ φοβεῖν ἀπέχεται τῆς προτροπῆς, ἀλλὰ δι' ὧν ἐπαινεῖ τὸν Φίλιππον, διὰ τούτων εἰς ζῆλον αὐτοὺς καθίστησι. Τὸ μὲν γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον, ἂν θελήσητε πράττειν τὰ δέοντα, καὶ ὑμεῖς δύνασθε γενέσθαι πάντων κύριοι. Καὶ διὰ τῶν ἑξῆς αὐτοὺς πάντα πράττειν καὶ μὴ τοῖς ξένοις ἐπιτρέπειν παραινεῖ· κύριον γὰρ ῥητῶν καὶ ἀπορρήτων φησὶν εἶναι τὸν Φίλιππον· ὑμεῖς δὲ τοῖς ξένοις πιστεύετε τὰ τῆς πόλεως ἀπόρρητα. R.

10, 8. Δυσμαχώτατον] διὰ τὴν πανουργίαν. P.

10, 11. Καὶ ἅμα στρατηγὸν] Οὐκοῦν κακοδαίμονά τινα λέγεις τὸν Φίλιππον ἐν τοσούτοις ὄντα κακοῖς καὶ πόνοις· ὁ δὲ, τὸ κέρδος τὸ ἐκ τούτων προσθεὶς, ζηλωτὸν κατέστησε τὸν Φίλιππον· δεσπότην δὲ αὐτὸν ὠνόμασε, τούτου γὰρ μάλιστα τυχεῖν ζητεῖ ὁ δῆμος. Ἀλλὰ καὶ ταμίας ὁ Φίλιππος· τοῦτο περὶ τῶν χρημάτων τῶν θεωρικῶν. Αὐτοὶ γὰρ ὑμεῖς ταμίαι γενήσεσθε τῶν χρημάτων καὶ οὐδεὶς αὐτὰ διαρπάσει. R.

Πανταχοῦ] ὅπου ἂν βουληθείη. P.

10, 12. Πρὸς μὲν—κατὰ καιρὸν πράττεσθαι] Πάλιν αὐτοὺς φοβήσας δι' ὧν πράττει Φίλιππος παραμυθεῖται διὰ τῶν ἀποβαινόντων· πλεονεκτεῖ γὰρ, φησὶν, ὁ Φίλιππος τῷ κατὰ καιρὸν πράττειν τὰ τῶν πολεμίων. Οὐκ εἶπε κατορθοῦν καὶ νικᾶν, ἀλλὰ πράττειν· τοῦτο δὲ οὐ πάντως νίκην, ἀλλὰ τὴν παρασκευὴν καὶ τὸ ὀξὺ τῶν ἔργων δεικνύει· ὅπερ ἧττον λυπεῖ τοὺς Ἀθηναίους. Τὸ μὲν οὖν τοῦ Φιλίππου δύσμαχον διὰ τούτων ἀπέδειξεν· ἐν ᾧ καὶ προτροπὴν πεποίηται· τὸ δὲ λυσιτελοῦν ἐξ αὐτοῦ μετὰ ταῦτα δείκνυσιν. Οὐ γὰρ πεισθήσονται τῷ Φιλίππῳ διαλλαγὰς προτείνοντι· πάλαι γὰρ αὐτοῦ τὸ πανοῦργον ἴσασιν. RS. Διὰ τούτου πάλιν αὐτοὺς ἐξιέναι δυσωπεῖ· δῆλον γὰρ ὅτι ζηλοῦσιν αὐτὸν Ἀθηναῖοι. Πεφύκαμεν γὰρ πάντες ἀντιφιλοτιμεῖσθαι πρὸς τοὺς ἐχθρούς. HRS. Καθῄρηκε τὴν δύναμιν τοῦ Μακεδόνος καὶ τὰς ἐλπίδας αὐτῷ τῶν πραγμάτων ἐν μόνῃ τῇ πανουργίᾳ δέδωκεν, ὡς πεπλέχθαι τὸ νόημα τῷ τε συμφέροντι καὶ τῷ δυνατῷ, προηγουμένου τοῦ συμφέροντος, ὅτι οὐδέποτε διαλλαγήσονται πρὸς αὐτὸν Ὀλύνθιοι· ᾧ δὴ συναποδείκνυται τίνι ταπεινὸς ὁ Φίλιππος. HRS.

Πρὸς μὲν τὸ τὰ] Ἐν μὲν γὰρ ταῖς δημοκρατίαις τῷ μὲν ἀρέσει ὁ πόλεμος, τῷ δὲ οὔ· ὁ δὲ βασιλεὺς, εἷς ὢν, ἡνίκα ἂν βουληθῇ πολεμεῖν, οὐδένα τὸν ἐναντιούμενον ἔχει. P.

10, 15. Ἐναντίως ἔχει] Αὐτὸ, φησὶ, τὸ δύσμαχον αὐτοῦ καὶ δυσκαταγώνιστον ἐναντιοῦται πρὸς τὸ γενέσθαι αὐτῷ τοὺς Ὀλυνθίους φίλους. Εἶτα ἐπάγει τὴν αἰτίαν. TCV.

10, 16. Δῆλον γάρ ἐστιν] Ἀντιστροφή· εἶτα ἐπάγει τὴν αἰτίαν. B. Ἀντιπίπτοντος λύσις· ἀλλὰ πανοῦργος ὁ Φίλιππος καὶ ῥᾳδίως πείθει τοὺς Ὀλυνθίους· ὁ δὲ μὴ δυνάμενος ἀντιτάξαι τὸν λογισμὸν τῶν Ὀλυνθίων τῇ τοῦ Φιλίππου δεινότητι, τὸν κίνδυνον προβάλλεται καὶ τὴν ἀνάγκην, ἥτις καὶ τοὺς ἄγαν ἀνοήτους οὐκ ἐᾷ παρακρούσασθαι. Τοῦτο δὲ Ζήνων ἑτέρως ἐκλαβὼν ἀντιθέσεως λύσιν ἐνόμισε τῆς ὅτι ἄπιστοι Ὀλύνθιοι. Ἀλλὰ περὶ τοῦ τρόπου τοῦ Φιλίππου καὶ τῆς πανουργίας ὁ λόγος ἦν τῷ ῥήτορι. Τίς οὖν ὁ κίνδυνος τοῦ πολέμου *** τὴν ἀληθῆ πρόφασιν· ὅτι διὰ τὸν ἀδελφὸν τοῦ Φιλίππου, ὃν ἐξαιτοῦντος τοῦ Μακεδόνος κατέχουσι, τὴν κεκρυμμένην ἐπιθυμίαν τοῦ Φιλίππου λέγει τὸ καταστρέψασθαι τοὺς Ὀλυνθίους μετ' εὐπροσώπου προφάσεως. Εἰκότως δὲ ἐκείνην ἐσιώπησεν ἀντιπίπτον ὑποτεμνόμενος, ἀλλ' ἔξεστι τοῖς Ὀλυνθίοις ἀποδοῦναι τὸν ἀδελφὸν καὶ ἀπηλλάχθαι τοῦ πολέμου. R. Δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι νῦν οὐ περὶ δόξης] Δοκεῖ μὲν ἀναμιμνήσκειν τοὺς Ἀθηναίους τοῦ πολέμου καὶ τῆς ἀποστάσεως ἣν ἀπέστησαν Ὀλύνθιοι κατὰ τὸν πόλεμον τὸν συμμαχικόν· οὐδὲν δὲ ἧττον συγγνώμην αὐτοῦ ἀπένειμεν, ὑπὲρ δόξης εἰπὼν ἀνῃρῆσθαι τὸν πόλεμον· ἐλευθερίας γὰρ ἐπεθύμουν καὶ μὴ *** σιωπήσας δὲ

τὴν ἀπόστασιν τῷ τῆς ἐλευθερίας ἐνδόξῳ παραμυθεῖται τὸ πταῖσμα, δεικνὺς οὐδὲν ἧττον καὶ νῦν ὡς οὐκ ἂν ἠθέλησαν ὑπὸ Φιλίππῳ γενέσθαι. Τῆς γὰρ ἐλευθερίας ἀντιποιοῦνται προϊόντως *· ἀλλὰ καὶ ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησαν πρὸς Ἀθηναίους. Ὁ δὲ καὶ τοῦτο συνέστειλε καὶ εἰς βραχὺ κατήνεγκεν ὑπὲρ μέρους χώρας εἰπὼν, ὡς μηδένα λόγον ἔχειν τοὺς Ἀθηναίους ἐπὶ τοιούτοις ἐγκλήμασι μνησικακεῖν. R.

10, 17. Ἀλλ' ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος] Ἐξήρκει μὲν καὶ τὴν ἀνάστασιν εἰπεῖν μόνην· ὁ δὲ ηὔξησε τὸ πάθος, καὶ τὸν ἀνδραποδισμὸν ἐξενεγκὼν καὶ τὸ ἑξῆς φρικωδέστερον προσθήκῃ τῆς πατρίδος, ἧς ποιοῦνται τὸν λόγον ἄνθρωποι μᾶλλον ἢ τῶν γονέων, ὡς καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου (p. 296, 16) « οὐ « τοῖς γονεῦσι μᾶλλον, ἀλλὰ καὶ τῇ πατρίδι. » Καὶ πόθεν τοῦτο; δῆλον τοῖς Ὀλυνθίοις ὅτι περὶ τούτων κινδυνεύουσιν, ἀπὸ παραδειγμάτων ἐπάγει τὴν πίστιν. Ἱκανὰ δὲ ταῦτα καὶ τοῖς ἀνοήτοις λογισμὸν ἐμποιῆσαι περὶ τῶν μελλόντων. Ἀμφιπολῖται καὶ Πυδναῖοι διδάσκουσιν αὐτοὺς ὅπως χρῆται Φίλιππος τοῖς πιστεύουσιν. Εἶτα καὶ ἀπὸ καθολικῆς γνώμης πιστοῦται τὸ λεγόμενον. Διαβεβαιωτικὰ γὰρ τὰ καθόλου τῶν μερικῶν νοημάτων. Καὶ δημοκρατία γὰρ καὶ τυραννὶς ἀεὶ διάφοροι. Καὶ ἡ προσοχὴ τῆς γειτνιάσεως αὔξει τὸ μῖσος· τά τε γὰρ ἐναντία μᾶλλον δείκνυται καὶ πολέμια πλησίον ἀλλήλων γενόμενα, καθάπερ ψυχρῷ τὸ θερμὸν καὶ λευκῷ τὸ μέλαν. R.

10, 16. Ὅτι νῦν οὐ περὶ δόξης] καθὼς πρὸς Ἀθηναίους Ὀλύνθιοι. C.

Ὅτι νῦν οὐ περὶ δόξης] οἷον οὐ περὶ τοῦ ἡττηθῆναι μόνον αὐτοὺς παρὰ Φιλίππου, ἀλλ' ὑπὲρ τοῦ μὴ ἐκβαλεῖν ἐκεῖθεν καὶ ἀνδραποδίσασθαι, ὅ ἐστι δούλους ποιῆσαι. TCV.

10, 17. Πολεμοῦσιν] οἱ Ὀλύνθιοι. P.

Ἀλλ' ἀναστάσεως] ἤγουν ὑπὲρ τοῦ μὴ ἀνάστατον ὑπὸ τούτου γενέσθαι τὴν σφῶν πόλιν καὶ δούλους αὐτούς· τὸ γὰρ οἰκεῖον συμφέρον οὗτος ζητῶν ταῦτα σπουδάσει ποιῆσαι. P.

10, 18. Καὶ ἴσασιν] Ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ εἰκὸς μὲν τοὺς Ὀλυνθίους μὴ πιστεύειν αὐτῷ μηδὲ βούλεσθαι προέσθαι ἑαυτοὺς αὐτῷ. Τί οὖν; ὅτι εἰσί τινες προδόται παρὰ τοῖς Ὀλυνθίοις, οἵτινες βουλήσονται προδοῦναι τὴν πόλιν, ἐπάγει ὡς οὐδὲ τούτους ἐνδέχεται τοῦτο ποιῆσαι· ἴσασι γὰρ οἷα ἐποίησεν εἰς τοὺς προδότας τῶν Ἀμφιπολιτῶν, τοὺς ἀνοίξαντας αὐτῷ τὰς πύλας. Εἰσελθὼν γὰρ αὐτοὺς πρώτους ἐφόνευσε, λέγων· εἰ τῶν ἰδίων πολιτῶν οὐκ ἐφείσασθε, πόσῳ γε πλέον οὐ μέλλετε περὶ ἐμὲ ὕστερον τοιοῦτοι γενήσεσθαι; BHRS.

10, 20. Πυδναίων] Πύδνα τὸ νῦν Κίτρος. P. Πύδνα πόλις Μακεδονίας. Αὕτη ἀπέστη τοῦ ὑπακούειν Φιλίππῳ, καὶ ἐστράτευσε κατ' αὐτῶν, καὶ περὶ ταύτην τοιοῦτόν τι συνέβη· καὶ γὰρ κἀκεῖ τινες προδεδώκασιν, εἶθ' ὕστερον γνόντες ὅτι οὐκ ἂν αὐτῶν φείσαιτο, ἔφυγον ἐπὶ τὸ Ἀμύντιον ἱερὸν τοῦ πατρὸς αὐτοῦ· κολακεύοντες γὰρ αὐτοῦ τὸν πατέρα πρώην οἱ Πυδναῖοι ἱερὸν αὐτοῦ ἐποίησαν· ὅμως δ' οὐδ' ἐκεῖσε καταφυγόντων ἐφείσατο, ἀλλ' ἀναστάσας αὐτοὺς ὅρκοις ἐπὶ τῷ μηδὲν ποιῆσαι ἐξελθόντας ἀνεῖλεν. BHRS.

10, 20. Καὶ ὅλως ἄπιστον] Εἰπὼν τὰ μερικὰ παραδείγματα τῷ καθολικῷ τῆς γνώμης ταῦτα ἐπισφραγίζεται. BEV.

Ἄπιστον] Ἐναντία γάρ ἐστιν· αἱ μὲν γὰρ οὐκ ἄρχοντα ἔχουσιν, ἀλλ' ἐστὶ δημοκρατία· ἡ δὲ μοναρχίαν ἐπαγγέλλεται. P.

10, 21. Κἂν ὅμορον χώραν ἔχωσιν] Αὐτὸ γὰρ τὸ πλησιάζον τοῦ τόπου ὥσπερ εἴωθεν τὰ ἐγκλήματα τίκτειν. TCV. Ἐκ τῶν τριῶν περιστατικῶν, προσώπου, τρόπου καὶ τόπου· τρόπου διὰ τὴν τυραννίδα, προσώπου διὰ τὸν Φίλιππον, τόπου διὰ τὸ ὅμορον. C.

10, 22. Ταῦτ' οὖν] Κατασκευὴ τοῦ δευτέρου προοιμίου. BP.

Ταῦτ' οὖν ἐγνωκότες] Δείξας ἐκ πολλοῦ τὸ δοκοῦν λυσιτελεῖν τοῖς Ἀθηναίοις καὶ καταστήσας αὐτοὺς πρὸς τὸ εὐθυμότερον καιρὸν ἔσχε τοῦ παροξῦναι καὶ ἐγεῖραι πρὸς τὰς πράξεις. Καὶ οὐδὲ ἐνταῦθα μεγάλα τινὰ ἢ μέσα παρ' αὐτῶν ᾔτησεν, ἀλλὰ τὸ βούλεσθαι μόνον καὶ προσέχειν. Διὸ καὶ χαυνώσας αὐτοὺς καὶ εἰς χρηστὰς ἐλπίδας ἐπαγαγὼν, συμβουλεύειν καὶ χρήματα εἰσφέρειν. Ἐν οἷς γὰρ ἡδίους γεγόνασιν, ἐν τούτοις καιρὸν ἔσχεν ὑποβάλλειν τὸ δοκοῦν ἐπαχθὲς, ἵνα λάθῃ διὰ τῶν χρηστοτέρων καταναγκάσας αὐτοὺς δέξασθαι καὶ τὸ δοκοῦν φορτικώτερον. Διὸ καὶ τὸ προθύμως προσέθηκεν, εἰδὼς ὅτι καὶ τὸ προέσθαι χρήματα τοῖς ἀνθρώποις ὀκνηρόν. Βούλεται δὲ διὰ τούτων πεῖσαι τὸν δῆμον ἐκστῆναι τῶν θεωρικῶν· δῆλον γὰρ ὅτι μᾶλλον ἀγαπήσουσιν ἀποστῆναι τῶν ἔξωθεν λημμάτων ἢ παρ' ἑαυτῶν καὶ οἴκοθεν εἰσενεγκεῖν. Διὰ τοῦτο δὲ τὸ φορτικώτερον αἰτεῖ παρ' αὐτῶν, ἵν' εὐκόλως δυνηθῇ τυχεῖν οὗπερ αὐτὸς βούλεται. HRS.

10, 23. Καὶ τἄλλ' ἃ προσήκει] ὥσπερ ἂν εἰ ἔλεγε τὰ τῶν προγόνων διηγήματα, ὅτι ἔθος εἶχον ἐκεῖνοι σώζειν τοὺς κινδυνεύοντας. BETCV.

10, 26. Αὐτοὺς ἐξιόντας] τοὺς Ἀθηναίους, καὶ μὴ ξενικῇ δυνάμει πιστεύειν. TCV.

Μηδὲν ἐλλείποντας] Σφόδρα τεχνικῶς, ἵνα εἰ συμβῇ ἡττηθῆναι αὐτοὺς, ἔχῃ ἀπολογίαν τὸ ἐλλεῖψαί τινα ὧν συνεβούλευσεν. BTCV.

Οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις] Λόγος ἡ ἀπολογία, σκῆψις δὲ ἡ πρόφασις ἢ ἀφορμή. BP.

10, 28. Ὃ πάντες ἐθρύλουν] Πόρρωθεν ἀποκλείει τὰς προφάσεις τῶν βουλομένων ἀντιλέγειν· τοῦτο γὰρ, φησὶ, γέγονεν ὃ πάντες ἐθρύλουν· πρῶτον μὲν τῷ περιληπτικῷ πάντας εἰς συγκατάθεσιν ἤγαγεν ὧν αὐτὸς βούλεται. Δεύτερον δὲ ἐθρύλουν εἰπὼν τὴν τῆς μετανοίας πρόφασιν ἀνήρηκεν· οὐ γὰρ κρύφα οὐδὲ ἐν ἀπορρήτῳ περὶ τούτων ἐλέγομεν, ἀλλὰ πάντες βοῇ καὶ θορύβῳ χρώμενοι τοὺς Ὀλυνθίους ἐσπουδάζομεν ἐχθροὺς καταστῆσαι τῷ Φιλίππῳ. Ὅτι γὰρ τὸ ἐθρύλουν τοῦτο πάντως δύναται διδάσκει καὶ Ὅμηρος (Il. δ, 437)·

« Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, »

τὴν αἰτίαν λέγων τοῦ θορυβεῖν τοὺς Τρῶας. Οὐκοῦν ἅπαντες Ἕλληνες ἔγνωσαν τὴν ἡμετέραν σπουδὴν καὶ μεταγινώσκειν ἀπρεπές. Ἀλλ' ἐβουλόμεθα μὲν ἐχθροὺς καταστῆσαι τοὺς Ὀλυνθίους, οὐ μὴν νῦν οὐδὲ τοῦτον τὸν τρόπον· ὁ δὲ καὶ τοῦτο ἔλυσεν εἰπὼν, καὶ ταῦτα ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. Καὶ ἡ ἀπόδειξις εὐθὺς ἀπὸ τοῦ τρόπου, ὅτι παρ' ἡμῶν μὲν πεισθέντες τυχὸν ἂν καὶ μετέγνωσαν. Οὐκοῦν λέγεις ἡμῖν οὐ χρηστούς τινας οὐδὲ βεβαίους ἀνθρώπους. Διὰ τοῦτο προσέθηκε τὸ ἴσως, διαλεκτικῶς σφόδρα καὶ ἀκριβῶς. Καὶ πιθανὸν τὸν λόγον ἐποίησε καὶ τοὺς Ὀλυνθίους συνέστησε μὴ ἀποφηνάμενος,

ἀλλὰ κατ' ἐνδοιασμὸν τὴν γνώμην αὐτῶν ἐκθέμενος. Ἐπειδὴ δὲ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, καὶ τοῦτο σύστασιν ἔχει τῶν Ὀλυνθίων. Εἰ γὰρ μισοῦσι τὸν Φίλιππον δι' ἅπερ αὐτοῖς ἐγκαλεῖ, πρόδηλον ὡς οὐκ ἀδικοῦσιν, ἀλλὰ μάτην πολεμοῦνται καὶ διὰ τοῦτο βεβαίαν ἔχουσι τὴν ἔχθραν. R. Ἀναίρεσις τῆς ἀντιθέσεως τῆς ὅτι οὐκ οἰκεῖος ὁ πόλεμος. Τίς γὰρ ἂν ἔτι τολμήσειεν ἀλλότριον λέγειν αὐτὸν, ἐπεὶ τοῦτον πάντες ἐπόθουν; C.

11, 3. Ἀνείλοντο] ἀντὶ τοῦ ἀνέλαβον. P.

11, 5. Ἐπειδὴ δ' ἐκ τῶν] ἤγουν Ἀττικόν. C.

11, 7. Οὐ δεῖ δὴ] Συστήσας τὴν γνώμην τῶν Ὀλυνθίων καὶ βεβαίους συμμάχους ἀποδείξας ἕρμαιον ποιεῖται τῶν Ἀθηναίων τὸ πρᾶγμα καὶ καιροῦ τινος εὐτυχίαν καλεῖ· τὸ γὰρ παραπεπτωκότα τῶν τυχαίων ἐστὶ καὶ τῶν ἐξ ἀπροσδοκήτου συμβαινόντων. Καὶ τὸ ἀφεῖναι σημαντικόν ἐστι τῶν ἐχόντων καὶ ὥσπερ ἐν τῷ κρατεῖν ἤδη ὄντων. Καὶ παροξῦναι βουλόμενος ἀναμιμνήσκει τῶν προτέρων ἐν οἷς ἐζημιώθησαν οἱ μὴ χρησάμενοι τοῖς καιροῖς. BEHRSV. Ἴδιον Δημοσθένους μετὰ τὴν ἀπόδειξιν προτρέπειν. C.

11, 10. Εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι] Σχῆμα κατὰ συστροφὴν τὸ καὶ ἐμπερίβολον. Βεβαιοῖ τὴν λύσιν τοῦ ὅτι οὐκ οἰκεῖοι οἱ Εὐβοεῖς, ὅτι καὶ αὐτοὶ ἀπέστησαν. Τὸ κατὰ ἀσύνδετον σχῆμα. C.

Εὐβοεῦσι βεβοηθηκότες] Θηβαῖοι πολεμοῦντες Λακεδαιμονίοις ἐν Λεύκτροις τῆς Βοιωτίας ἐνίκησαν αὐτοὺς κατὰ κράτος· ὅθεν εὐθὺς διέβησαν ἐπὶ τὴν Εὔβοιαν, ὡς δῆθεν βουλόμενοι ταύτην χειρώσασθαι, τὸ δὲ ἀληθὲς, ἵνα ταύτην λαβόντες καὶ κατὰ τῶν Ἀθηναίων χωρήσωσιν. Οἱ δ' Ἀθηναῖοι ἐξῆλθον Εὐβοεῦσι συμμαχήσοντες· καὶ συμβαλόντες ἐνίκησαν οὕτως ὥστε καὶ σπονδῶν αὐτοὺς δεηθῆναι ὑπὲρ τῶν πεπτωκότων, ἵνα λαβόντες τούτους ἀναχωρήσωσιν. Ἐπανελθόντες δ' ἐκ τῆς μάχης εὗρον ἐν ταῖς Ἀθήναις δύο πρέσβεις τῶν Ἀμφιπολιτῶν, Ἱέρακα καὶ Στρατοκλέα, παρακαλοῦντας ὥστε ἐξελθεῖν καὶ καταλαβεῖν τὴν Ἀμφίπολιν, πολεμουμένην ὑπὸ Φιλίππου. BERSP.

Πολλὰ διὰ τοῦ παραδείγματος ἤνυσε. Τοῦτο γὰρ ἴδιον Δημοσθένους καὶ Θουκυδίδου, τὸ δι' ὀλίγων ῥημάτων πολλὰ νοήματα συνάγειν. Πρῶτον μὲν οὖν οἰκειότατον τὸ παράδειγμα. Πρῶτον γὰρ ἔλαβε τὸ τῶν Εὐβοέων διαβεβλημένον ὡς ἔχει ἐν τῷ περὶ στεφάνου (p. 259, 10)· « Οὐδ' ἂν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν « ἠδίκησθε ἀνεμνήσθητε. » Οὐκοῦν μηδὲ Ὀλυνθίοις μνησικακήσητε γοῦν εἴ τι περὶ ἡμᾶς ἐξήμαρτον. Δεύτερον βούλεται πεῖσαι τοὺς Ἀθηναίους ἐξελθεῖν εἰς τὸν πόλεμον. Ἀνέμνησεν οὖν αὐτοὺς ἐξόδου τῆς αὐτῆς, ἐν ᾗ στρατεύσας ὁ δῆμος κατώρθωσε. Διὸ καὶ εἶπεν « εἰ γὰρ ὅθ' ἥκομεν « Εὐβοεῦσι βεβοηθηκότες », αὐτοὺς ἐμφαίνων εἶναι τοὺς στρατεύσαντας. Τρίτον τοιαύτης ἐμνημόνευσε μάχης ἐν ᾗ κατώρθωσαν ὀφθέντες μόνον. Δείσαντες γὰρ αὐτῶν τὴν ἔφοδον Θηβαῖοι τῆς χώρας ἀπηλλάγησαν. Οὐκοῦν κἂν νῦν ἐξέλθωμεν μόνον, οὐχ ὑποστήσεται Φίλιππος. Τέταρτον πρὸς τούτοις συνηρίθμησεν αὐτὸν τοῖς τότε στρατεύσασι, τεχνικῶς σφόδρα τὸ ἀξιόπιστον ἑαυτῷ προσκτώμενος. Ὁ γὰρ Ἀριστοτέλης φησὶ δεῖν τὸν σύμβουλον οὕτω συμβουλεύειν ὡς ἑαυτὸν μέλλοντα κοινωνεῖν τούτοις ἐφ' οἷς ποιεῖται τὴν συμβουλήν. Τούτοις γὰρ πείθονται μᾶλλον οὓς ἂν ὁρῶσιν ἑτοίμους ὄντας συμμετέχειν ὧν συμβουλεύειν ἐγνώκασι. R.

11, 11. Παρῆσαν Ἀμφιπολιτῶν] Ἀλλ' ἐπαχθὲς ἦν, ὦ Δημόσθενες, ὑπόγυον ἐκ στρατηγίας ἥκοντας εἰς ἕτερον πάλιν ἐξιέναι πόλεμον. Ὁ δὲ θεώρησον ὅπως ἔλυσε τὸ δοκοῦν ἐπαχθές. Μὴ γὰρ κινδυνεύειν ὑμᾶς ἐκέλευον ἢ πολεμεῖν, ἀλλὰ πλεῦσαι καὶ παραλαβεῖν τὴν πόλιν, ὥσπερ ἐφ' ἕτοιμον καιρὸν καὶ ἀκίνδυνον αὐτοὺς ἐκκαλούμενος, ὅ γε πλεῦσαι λέγων καὶ παραλαβεῖν. HRS.

Ἀμφιπολιτῶν] Κτῆμα γὰρ Ἀθηναίων ἡ Ἀμφίπολις. HRS.

11, 12. Κελεύοντες] προτρεπόμενοι. BP.

11, 14. Ὑμῶν αὐτῶν προθυμίαν] Οὐκ εἶπε στρατείαν ἢ πόλεμον, ἀλλὰ προθυμίαν, ὡς μέχρι τοῦ τολμῆσαι μόνον ὄντος τοῦ κατορθῶσαι. Καὶ τί πλέον ἂν ἡμῖν ἐγένετο στρατεύσασι; HRS.

11, 15. Εἴχετ' ἂν Ἀμφίπολιν] Σχετλιάζοντος ὥσπερ καὶ ὀδυρομένου τὸ ῥῆμα ὅτι διὰ ῥαθυμίαν μόνην τὴν Ἀμφίπολιν ἀπώλεσαν. BEV.

11, 16. Τῶν μετὰ ταῦτα πραγμάτων] Οὐκοῦν τὴν ἀσθένειαν τοῦ Φιλίππου δείκνυσιν· ἅπαξ γὰρ ἡττηθεὶς οὐκ ἂν ἔτι πράγματα παρέσχεν ὑμῖν. Καὶ διὰ τοῦτο δηλοῖ τοῖς Ἀθηναίοις ὅτι καὶ νῦν ἐξελθόντες ἐπισχήσετε τὸν Φίλιππον τούτοις λοιπὸν ἐπιχειρεῖν. HRS.

Πραγμάτων] ὧν ὑπὸ Φιλίππου πεπόνθατε. P.

11, 17. Καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια —] Πρῶτον μὲν ἐν τάχει καὶ ἄνευ συνδέσμων κατέλεξε τὰ χωρία δεδοικὼς μὴ μέγαν καταστήσῃ Φίλιππον· εἶτα τὰ λοιπὰ λέγειν παρῃτήσατο, οὐ τὸ μῆκος τοῦ λόγου δεδοικὼς, ἀλλὰ τὸ φοβῆσαι τὸν δῆμον. Οὐ μὴν ἀλλὰ καὶ ἐν τούτοις αὔξει τὸ δυνατὸν τῶν Ἀθηναίων. Ἡ γὰρ τύχη, φησὶ, τούτους ἡμῖν πάντας τοὺς καιροὺς παρεσκεύασεν· οὐκοῦν μεθ' ἡμῶν εἰσιν οἱ κρείττους. Ἆρ' οὖν, ὦ Δημόσθενες, καθ' ἕκαστον τούτων τῶν χωρίων ἔδει πολεμεῖν καὶ οὕτως εἶ φιλοπόλεμος; ὁ δὲ τί φησιν; ἑνὶ τῷ πρώτῳ μιᾶς ἡμῖν ἐξόδου μόνης ἔδει, καὶ δεύτερον χωρίον οὐκ ἂν ἠνώχλησε Φίλιππος· εἰ γὰρ τοῦτο συνέβη, ῥᾷον καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. Λέγεις οὖν ἡμῖν ἰσχυρὸν τὸν Φίλιππον τοσαῦτα προειληφότα. Ὁ δὲ κατὰ σύγκρισιν τὸ ἀντιπῖπτον παρέτεμε διὰ τοῦ, πολὺ γὰρ αὐτὸν ταπεινότερον ἔσχομεν, ὡς καὶ νῦν ἔτι ὄντος ταπεινοῦ καὶ καταδεεστέρου τῆς πόλεως, τότε δὲ ἢ νῦν μᾶλλον ἂν ταπεινοτέρου καταστάντος. Σημαντικώτατον δὲ τῆς Φιλίππου ταπεινότητος καὶ τὸ ἐχρώμεθα. Καθ' ὧν γὰρ ἐξουσίαν ἔχομεν ὅ τι βουλόμεθα πράττειν, κατὰ τούτων τὸ χρῆσθαι λέγομεν· διὸ καὶ τοῖς φίλοις χρῆσθαι λέγομεν ὅτι τὰ δοκοῦντα ἡμῖν ὑπουργοῦσιν. Ἕκαστον δὲ τούτων δείκνυσιν ὅτι σχεδὸν ἐπιτάττειν εἴχομεν τῷ Φιλίππῳ καὶ φόρους παρ' αὐτοῦ λαβεῖν. Καὶ γὰρ παρὰ τῶν πρότερον ἀρξάντων Μακεδονίας ἐπράττομεν φόρους. Τί ποτε οὖν αἴτιον τοῦ μὴ πάντα συμβῆναι; ἡ ῥᾳθυμία τῆς πόλεως, δι' ἣν ηὐξήθη Φίλιππος· καὶ δίδωσιν οὐ τὴν τύχην αἰτίαν εἶναι τῆς Φιλίππου δυνάμεως, ἀλλὰ τοὺς Ἀθηναίους· εἰ γὰρ ηὐξήθη διὰ τούτους, ἐπὶ τούτοις ἐστὶ καὶ τὸ καταλῦσαι τὴν ῥώμην τῆς Μακεδονίας. HRS.

11, 17. Πύδνα] τὸ νῦν Κίτρος. BP.

Ποτίδαια] ἡ νῦν Βέρροια. BP.

11, 18. Πολιορκούμενα] ὑπὸ Φιλίππου. P.

11, 20. Ἑνὶ τῷ πρώτῳ] ὥσπερ ἀντιπῖπτον λύει, ἵνα μὴ εἴπῃ ὁ Ἀθηναῖος· καὶ πῶς ἠδυνάμην τοσούτοις ἐν τῷ αὐτῷ βοηθῆσαι; ἐπάγει ὡς ὅτι, εἰ ἑνὶ μόνῳ τῷ πρώτῳ προθύμως ἐβοηθήσατε, οὐκ ἂν τοῦ δευτέρου ἥψατο. BETCV.

11, 23. Τὰ δὲ μέλλοντα] Ὥσπερ ὑπογράφει καὶ χαρα

κτηρίζει ἡμῖν ἐνταῦθα τῶν ἀργῶν τε καὶ ῥαθύμων τὴν φύσιν. BERSV. Τὸ δὲ σχῆμα ὑποσιώπησις. BE. Αὐτόματα δὲ ἀντὶ τοῦ ἀπὸ τύχης τινός. TEV.

Ηὐξήσαμεν] Βούλεται διὰ τούτου δεῖξαι ὅτι ἐν αὐτοῖς ἐστὶ καὶ νῦν αὐτὸν καθελεῖν διὰ τῆς σπουδῆς, ὥσπερ καὶ ἐν αὐτοῖς ἐγένετο τὸ ποιῆσαι αὐτὸν μέγαν διὰ τῆς ῥᾳθυμίας. BETCV.

11, 25. Ἡλίκος οὐδείς] Ὑπερβολικὸν μὲν τὸ λεγόμενον, οὐ μὴν παντάπασι φοβερόν· τῶν μὲν γὰρ πρὸ αὐτοῦ μείζων γέγονεν, ὡς μὴ δύνασθαι νῦν φόρους ἀπαιτηθῆναι παρ' ἡμῶν, οὐ μὴν τηλικοῦτος ὡς παντάπασι μείζων εἶναι τῆς πόλεως. Νῦν δὲ καιρὸς ἥκει. Τίς οὗτος; ὁ τῶν Ὀλυνθίων. Πάλιν αὐξήσας τὸν Φίλιππον εὐθὺς εἰς παραμυθίαν ἐμνημόνευσε τοῦ παρόντος καιροῦ τὸ δυνατὸν ὥσπερ αὔξων τῶν Ἀθηναίων. Αὐτόματον γὰρ λέγων τύχης εἶναι δῶρον φησὶ καὶ τῆς τῶν κρειττόνων εὐνοίας τεκμήριον. Καὶ τί δύναται τοσοῦτον, ὦ Δημόσθενες; ὁ παρὼν καιρὸς πρὸς ἐκείνους τοὺς ἀπολομένους οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων· εἰ δὲ καὶ ἐπ' ἐκείνων ἤρκεσεν ἂν ἑνὶ τῷ πρώτῳ βοηθήσαντας ἀπηλλάχθαι πραγμάτων, εὔδηλον ὅτι καὶ τούτῳ χρησάμενοι παύσομεν Φίλιππον τὰ τῶν Ἑλλήνων περιεργαζόμενον. RS.

11, 27. Τίς οὗτος ὁ τῶν Ὀλυνθίων] Τινὲς τὸ τίς κατ' ἐρώτησιν, τὸ δὲ οὗτος κατὰ ἀπόκρισιν, ἄλλοι δὲ τὸ τίς ἐγκλιτικῶς λαμβάνουσιν. BV. Τινὲς τοῦτο τριχῶς ἐξηγοῦνται. Οἱ μὲν ὅλον ὁμοῦ τὸ κῶλον ὡς ἀπὸ τοῦ Δημοσθένους λεγόμενον, οἱ δὲ κατὰ πεῦσιν καὶ ἀπόκρισιν, καὶ τοῦτο διχῶς λέγουσιν. Οἱ μὲν γὰρ τὴν πεῦσιν λέγουσιν ὡς ἀπὸ τῶν Ἀθηναίων πρὸς Δημοσθένην, νυνὶ δὲ καιρὸς ἥκει τίς; κατὰ πεῦσιν, ἀνταποκρινομένων οὗτος ὁ τῶν Ὀλυνθίων. A.

11, 28. Οὐδενὸς ἐλάττων] τῶν ἤδη ἀπολωλότων. Ὅρα δὲ πῶς ἀθυμίας αὐτοὺς πληρώσας διὰ τοῦ καταλόγου τῶν ἀπολωλότων χωρίων πάλιν παρεμυθήσατο τῷ εἰπεῖν ὅτι πάλιν ἥκει καιρὸς οὐ χείρων ἐκείνου. BERSP.

Ἐκείνων] ὧν ἄνω ἔφη. P.

Καὶ ἔμοιγε δοκεῖ] Παράδοξον τὸ νόημα καὶ πολλῆς ἀποδείξεως δεόμενον. Πολλὰ γάρ φησι παρὰ τῶν κρειττόνων ἀγαθὰ πεπόνθαμεν, καίτοι μηδεμίαν αὐτῶν αἴσθησιν εἰληφότος τοῦ δήμου· διὸ καὶ λογιστοῦ δικαίου πρὸς ἐξέτασιν ἐδεήθη· καὶ τὸ ἀπίθανον φεύγων οὐ περιῆψεν αὐτῷ τὸν λόγον, ἀλλ' ἕτερον δοκιμαστὴν ἐζήτησεν. Εἰπὼν δὲ τῶν παρὰ τῶν θεῶν ὑπηργμένων ἡμῖν μεγάλην ἔχειν αὐτοῖς χάριν, τὸ μὲν εὐθὺς κατασκευάζειν πρόσαντες καὶ βίαιον ἐνόμισε, προσθεὶς δὲ ὅτι πολλὰ πεπόνθαμεν ἀγαθά, πρὸ τῆς ἀποδείξεως τὸ ἀντιπῖπτον ἔθηκεν, ὅτι καίτοι πολλῶν ἀφῃρέθημεν. Καὶ τοῦτο λύει πρότερον εἰκότως. Ἐπειδὴ γὰρ ἀνῃρέθη τὸ ἀντιπῖπτον, εὐκολώτερον παραδέξονται καὶ τὴν ἐξ αὐτοῦ τεθεῖσαν πρόφασιν, κακῶς μὲν ἔχει πολλὰ τῶν πραγμάτων, ἡμεῖς δὲ τούτων αἴτιοι ῥᾳθυμήσαντες. Καὶ τὸ ἔγκλημα δίκην προσέθηκε, διόπερ ἐξ ἀρχῆς ἐζήτει τὸν δίκαιον λογιστήν. Τίς δὲ ὁ δίκαιος λογιστής; αὐτὸς ὁ ῥήτωρ τὸν λογισμὸν ἀποδούς, οὗτος ἂν εἴη καὶ τῶν συμβάντων δοκιμαστὴς ἄριστος. Καὶ αὐτοῖς τούτοις οὐδὲν ἧττον τὴν ῥώμην τοῦ Μακεδόνος ἠλάττωσεν· ἐκράτησε γὰρ τῶν πραγμάτων διὰ τὴν τῶν κωλυόντων ἐρημίαν, οὐ διὰ τὴν ἰσχὺν τῶν ὅπλων. Λύσας δὲ τὸ ἀντιπῖπτον τὴν πρότασιν πάλιν ἀνέδραμεν, ὅτι εὔνους ἡμῖν ὁ θεός. Καὶ ἔστι ταῦτα προηγούμενα μὲν τοῦ συμφέροντος, ὅτι ἀσυμφόρως ἡμῖν αὐτοῖς ἐπράξαμεν τῶν καιρῶν ἀμελήσαντες, ἀποδείκνυται δὲ καὶ τὸ δυνατόν, ὅτι διὰ παντὸς παρ' ἡμῖν ἔστιν ἡ ῥοπὴ τῆς τύχης. R.

11, 29. Λογιστής] Λογιστὴν λέγει, οἱονεὶ κριτήν, ἵνα κρίνῃ τὰ παρὰ τῶν θεῶν αὐτοῖς ὑπηργμένα, προδεδομένα δὲ παρὰ τῆς αὐτῶν ἀμελείας. RV. Κριτής, ἐξεταστής. gl. R.

12, 2. Οὐκ ἐχόντων] διὰ τὴν ἡμῶν ῥᾳθυμίαν. P.

12, 3. Τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι] Τὸ σχῆμα παρίσωσις κατὰ κῶλον. P. Παρίσωσις κατ' ἐπεμβολήν. B.

12, 5. Μήτε πάλαι] ἤγουν ἐν τοῖς προτέροις χρόνοις, ἀλλ' ὕστερον ἡνίκα ἠμελήσαμεν. P.

12, 6. Συμμαχίαν] τῶν θεῶν. P.

Τούτων] ὧν ἀπωλέσαμεν ἀντάξιον. Τὸ δὲ ἀντίρροπον πρὸς γενικήν· τὸ δὲ ἰσόρροπον πρὸς δοτικήν. P.

12, 8. Ἀλλ' οἶμαι] Παραβολή. BP.

Βούλεται ἐκ παραδείγματος πιστώσασθαι τὴν πρόφασιν ὅτι εὔνους ἡμῖν οἱ κρείττους· ὡς εἶναι τὸ μὲν πρότερον ἐνθύμημα ἴδιον τοῦ ῥήτορος, ὅπερ βίαιον εἶναι δοκοῦν οὐκ εὐθὺς χειροῦται τὸν ἀκροατήν. Τὸ δὲ παράδειγμα μερικὸν ὂν καὶ γνώριμον εὐκολώτερον δύναται πείθειν. Οὐ μήν, ἀλλὰ καὶ ἐν αὐτῷ βιάζεται τὴν ἀθείαν. Φησὶ γὰρ ἐοικέναι τοὺς μὲν χρησαμένους τοῖς καιροῖς, οὐ μὴν εἰς τέλος καλῶς, τοῖς ἔχουσι χρήματα καὶ κτησαμένοις πρῶτον καὶ ἐν τῷ ἔχειν γινομένοις, οὕτως ἀπολλύντας. Ὁ δὲ καιρῷ μὴ χρησάμενος οὐκ ἀγαθὸν ἔχων ἀπώλεσεν, ἀλλὰ κτήσασθαι δυνάμενος ἠμέλησεν. Ἔστι δὲ τὸ μὲν ἔχοντα ἀπολέσαι κατηγορίας ἀληθῶς ἄξιον, τὸ δὲ μὴ δυνηθῆναι λαβεῖν καιρὸν ἄν τις καὶ τὴν τύχην λογίσαιτο. Ὁ δὲ τῷ ὁμολογουμένῳ τὸ ἀμφισβητήσιμον πιστοῦται. Διὸ καὶ ἀνωτέρω τοὺς παρὰ τῶν θεῶν καιροὺς ἐν ὑπάρξει τινὶ καὶ οὐσίᾳ γεγενῆσθαι ἔφασκεν, ὡς τοῦτον ὄντα καιρὸν τοῦ χρήματα κτήσασθαι. HR.

12, 11. Ἂν δ' ἀναλώσας] ἀντιστροφή. BP. Τὸ σχῆμα κάλλους ποιητικόν. P.

12, 13. Οἱ μὴ χρησάμενοι] ὥσπερ ἡμεῖς. P.

12, 16. Ἐκβὰν] εἴτε χρηστὸν εἴτε φαῦλον. P.

12, 18. Ἐπανορθωσάμενοι] εἰς ἐπανόρθωσιν ἀγαγόντες, λέγω δὴ τὸ σπουδὴν καὶ φροντίδα τούτων ποιεῖσθαι, ὅπερ ἐξαρχῆς εἰς ἄκρον τῇ πόλει πεφυκὸς νῦν ἠμελήθη· διὸ καὶ δεῖται ἐπανορθώσεως. P.

12, 19. Ἀδοξίαν ἀποτριψώμεθα] Ἐκ μεταφορᾶς ἡ λέξις ἀπὸ τῶν ῥυπώντων σωμάτων. Ὥσπερ γὰρ ὁ ῥύπος κρύπτει τὴν τῶν σωμάτων εὐπρέπειαν, οὕτως ἀδοξία τὴν τῶν ἀνδρῶν ἀρετὴν λυμαίνεται. Καὶ διὰ τούτου λοιπὸν κατεσκεύασεν ὡς ὁμολογούμενον ὡς ὅτι γε ἑκόντες προήκαντο τοὺς καιρούς· οὐ γὰρ ἂν ἠδόξησαν. Ἐπὶ γὰρ τοῖς ἑκουσίοις ἁμαρτήμασιν ἡ ἀδοξία προσγίγνεται. Καὶ ἔστιν οὐδὲν ἧττον καὶ τοῦτο νουθετητικόν. HRS.

Ἀποτριψώμεθα] ἐξαλείψωμεν, οἱονεὶ ἐκκαθάρωμεν καὶ ἀποπλύνωμεν ABCV. Ὡς ἀπὸ μεταφορᾶς τῆς κηλῖδος τῆς γενομένης ἀκαθαρσίας περὶ τὴν ἐσθῆτα. CV.

12, 20. Εἰ δὲ προησόμεθα] Ἐντεῦθεν τὸ ἀναγκαῖον· ἡ δὲ κατασκευὴ ἐκ τοῦ συμφέροντος. C.

12, 22. Φρασάτω τις ἐμοὶ τί τὸ κωλῦον] Παρ' ἑτέρου ζητεῖ τὸ βλάσφημον, καὶ ἔστιν ἀγωνιῶντος τὰ ῥήματα καὶ δεδοικότος τὸ μέλλον. Εἶτα θελήσας εἰπεῖν, ἥξει Φίλιππος ἐπὶ τὴν πόλιν, οὐ φανερῶς αὐτὸ εἶπεν, ἵνα μὴ δόξῃ τὰ φαῦλα οἰωνίζεσθαι τῇ πόλει. Κατ' ἐρώτησιν δὲ προήγαγεν ὥσπερ αὐτὸν βουλόμενος ὁμολογῆσαι τὸν ἀκροατήν, ὅπερ εἰπεῖν ὁ ῥήτωρ φυλάττεται, τί τὸ κωλῦον ἔτ' αὐτὸν

ἔσται βαδίζειν ὅποι βούλεται; καὶ εἴληφεν ὁμολογουμένην πρότασιν, ὅτι καταστραφέντων Ὀλυνθίων οὐδεὶς κωλύσει τὸν Φίλιππον πορεύεσθαι. Καὶ τὸ κατὰ τίνων ἐσιώπησεν, ὁμοῦ μὲν τὸ ἀντιπῖπτον ὑποτεμνόμενος ὅτι ἄδηλον εἰ ἐφ' ἡμᾶς ὁρμήσει, ὁμοῦ δὲ εἰς ὑπόνοιαν καταλιπὼν ἐκεῖνο ὅτι πάντως ἐπὶ τὴν Ἀττικὴν πορεύσεται. HRS.

Φρασάτω τις ἐμοί] Πάλιν τὸ ἀξιόπιστον φρόνημα τηρῶν εἶπεν ἐμοί, οἷον, τῷ φιλοπόλιδι ἐμοί, ἐμφαντικῶς. ABCRSV.

12, 23. Ὅποι βούλεται] Εὐφήμως εἶπε τὰς Ἀθήνας, πάλιν τῇ ὑποσιωπήσει χρησάμενος. ABCRV. Τὸ σχῆμα ἀποσιώπησις. S.

12, 26. Τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα] Τὸ, μετὰ ταῦτα, καὶ εἶτα, καὶ αὖθις, καὶ πάλιν, τὰ τοιαῦτα μόρια, βραδυτῆτα δείκνυσι· μιμεῖται γὰρ ἀεὶ τὴν τῶν πραγμάτων φύσιν καὶ διὰ τῆς λέξεως ὁ ῥήτωρ. Καὶ βουληθεὶς ὑπτιότητα δεῖξαι καὶ ἀσθένειαν οὖσαν ἐν τοῖς Φιλίππου πράγμασιν, ὕπτιον καὶ τὸν λόγον ἐποίησε τῇ τῶν μορίων προσθήκῃ. Τοῦ μὲν γὰρ αὔξοντος τὴν Φιλίππου δύναμιν ἦν οὕτω προάγειν, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Μεθώνην, Ἰλλυριοὺς, Θρᾴκην. Ἡ γὰρ συνέχεια τῶν ὀνομάτων ἀκμὴν ἔχουσα τὴν ὑπερβολὴν τῆς δυνάμεως δείκνυσιν, ὥσπερ οὐκ ἀρκοῦντος τοῦ χρόνου πρὸς τὰς τῶν πόλεων ἁλώσεις. Τοῦ δὲ ὑπτιάζοντος τὸ προαγαγεῖν ὡς ἐν ἱστορίᾳ τὸν λόγον, ὥστε καὶ ἡ δοκοῦσα τοῦ λόγου κακία χρείαν τινὰ κατορθοῦται καὶ θαυμαστὸν δείκνυσι τὸν ῥήτορα. Τέχνης γάρ ἐστιν ἀκρίβεια τὸ ἐπιγνῶναι τὸν καιρὸν ἐν ᾧ τοῦτο προσήκει ποιεῖν. ABHRTV.

12, 27. Θετταλίας ἐπέβη] Τὸ [ἐπέβη καὶ] ἐπιβαίνω πρὸς γενικήν· τὸ δὲ ἐπεμβαίνω καὶ ἐμβατεύω πρὸς δοτικήν. BTV.

12, 29. Ὤχετ' ἐς Θρᾴκην] ἐπέστρεφε. BSP.

13, 2 Ῥαΐσας] οὐ τὸ ὑγιάνας σημαίνει, ἀλλ' ὥσπερ κουφότερον ἔχων τοῦ νοσήματος, ἵνα τὴν φιλοπονίαν δείξῃ τοῦ Μακεδόνος καὶ τὸ μηδένα καιρὸν ἐθέλειν ἡσυχάζειν. BCEV.

13, 4. Ἰλλυριοὺς καὶ Παίονας] ἔθνη βάρβαρα περὶ Μακεδονίαν· ἵνα δείξῃ ὅτι οὐδὲ βαρβάρων φείδεται βάρβαρος ὤν. BEV.

13, 5. Ἀρύμβαν] Οὗτος βασιλεὺς ἦν Μολοσσῶν, Ὀλυμπιάδος δὲ τῆς τοῦ Φιλίππου γυναικὸς θεῖος. Φησὶ δὲ ὅτι οὐδὲ συγγενῶν φείδεται Φίλιππος διὰ τὸ βούλεσθαι πάντων κρατεῖν. BEV.

Παραλείπω] τὸ σχῆμα κατὰ παράλειψιν. BS.

13, 6. Τί οὖν ἄν τις εἴποι] Τινὲς στίζοντες εἰς τὸ « τί « οὖν ἄν τις εἴποι » ἐπιφέρουσι « ταῦτα λέγεις ἡμῖν. » HTV.

Τὸ σχῆμα ἀνθυποφορά. Διαφέρει δὲ ἀνθυποφορὰ καὶ ἀντίθεσις καὶ ἀντιπῖπτον· ἀντιπῖπτον μὲν γάρ ἐστιν ὅταν εἰδῇ ὡς ὅτι μέλλει αὐτῷ τι ἀντιπεσεῖν ὡς ἄτοπόν τι λέγοντι καὶ ἐπανορθώσηται αὐτὸ ἀπροσποιήτως καὶ ὥσπερ λεληθότως. Ἀνθυποφορὰ δὲ, ὅταν μέρος μὲν ὥσπερ καταδέχηται τοῦ λεγομένου ὁ ἀκροατὴς, ἀμφιβάλλῃ δὲ περὶ τὸ λοιπὸν, ὡς ἐνταῦθα. Ὥσπερ τινὸς λέγοντος ὅτι « καλῶς μὲν ταῦτα « λέγεις περὶ Φιλίππου, ἀκαίρως δέ· οὐ γὰρ εἰσῆλθες « καταλέγειν ἡμῖν τὰ Φιλίππου, ἀλλὰ τί δεῖ περὶ Ὀλυν« θίους ποιῆσαι, » ἐπάγει, καὶ ταῦτα χρήσιμα πρὸς τὴν παροῦσαν ὑπόθεσιν. Ἀντίθεσις δὲ, ὅταν ἀπό τινος κεφαλαίου ὁρμᾶται, οἷον ἀπὸ δικαίου, ἢ συμφέροντος, ἤ τινος τῶν τοιούτων, ἵνα δὲ μὴ προσκορῆ τὸν λόγον ἐργάζηται ἀποτάδην λέγων, ἐπάγει τινὰ ἡδονὴν διὰ τῆς πλάσεως τοῦ προσώπου τοῦ ἀντιλέγοντος, ἵν' ὥσπερ ἀπαιτούμενος παρ' ἄλλου καὶ ἀναγκαζόμενος, οὐκ ἀφ' ἑαυτοῦ ἐπιφέρειν δοκῇ τὴν ἐπιτίμησιν. BHRSV.

13, 9. Φιλοπραγμοσύνην] σπουδὴν καὶ πλεονεξίαν. A.

13, 11. Ἀγαπήσας] ἀρκεσθείς. P.

13, 13. Ἐγνωκὼς] τὸ ἐγνωκὼς ἀπὸ κοινοῦ, ἵν' ᾖ πάντα ἐγνωκότες ἐνταῦθα. RS.

13. 17. Ἐκεῖθεν] ἐκ τῆς Ὀλύνθου. P.

Πόλεμον] Ἀντὶ προσώπου πρᾶγμα ἔλαβεν. Οὐ γὰρ εἶπεν, ἐλεύσονται οἱ πολέμιοι καθ' ἡμῶν, ἀλλ' ὁ πόλεμος. Σύνηθες δὲ τοῦτο καὶ Θουκυδίδῃ ποιεῖν καὶ μεταλαμβάνειν ἀντὶ προσώπων πράγματα, ἢ πρόσωπα πάλιν ἀντὶ πραγμάτων. Αἱ γὰρ τοιαῦται τῶν λέξεων ἐναλλαγαὶ καινοπρέπειαν τῷ λόγῳ παρέχουσιν. Τεχνικῶς δὲ τοῦτο ἠρώτησεν, ἵνα ἕκαστος φεύγων τὸ καταψηφίσασθαι αὐτοῦ ἄνοιαν συνομολογήσῃ τῷ ῥήτορι ὡς ἀληθῆ λέγοντι. BEV.

13, 18 Ἀλλὰ μὴν] Λύσις τοῦ ἀντιπίπτοντος ὅτι, κἂν ἔλθῃ ἐφ' ἡμᾶς Φίλιππος, σεμνυνούμεθα τότε. RS.

13, 21. Τῶν ἀρχαίων] ἤτοι τῶν ἐνεχύρων· ἀρχαῖα γὰρ τὰ ἐνέχυρα καὶ τὰς ὑποθήκας ἐν πολλοῖς ὁ Δημοσθένης φησίν. Τινὲς δὲ ἐξηγοῦνται αὐτὸ οὐκ ἐπὶ τῶν δανειζομένων, ἀλλ' ἐπὶ τῶν δανειζόντων, λέγοντες πολλάκις τὰ παθητικὰ ἀντὶ ἐνεργητικῶν χρῆσθαι τοὺς Ἀθηναίους. Καὶ λέγουσιν ἀρχαῖα αὐτὰ τὰ κεφάλαια. Μὴ δυνάμενοι γὰρ, φησὶν, ἀποδοῦναι πολλοὺς τόκους ὕστερον οἱ χρεωστοῦντες φεύγουσι, καὶ οὕτως οἱ δανεισταὶ μετὰ τῶν τόκων καὶ τὰ κεφάλαια ἀπολλύουσιν. BRSV.

13, 22. Ἐρραθυμηκότες] οὐχ ἁπλῶς ἠμεληκότες· οὐ γὰρ τοῦτο σημαίνει ἡ λέξις, ἀλλὰ μᾶλλον τὴν ἄνεσιν καὶ τὴν ἐν ἡδονῇ διαγωγήν. Ἐπὶ πολλῷ δὲ ἀντὶ τοῦ ἐπὶ πολλῷ τόκῳ. ABHTV. Ἵνα τόκον λάβωμεν τὴν ἀργίαν καὶ ῥαθυμίαν, κεφάλαιον δὲ αὐτὴν τὴν πόλιν. V.

13, 25. Εἰς ἀνάγκην ἔλθωμεν] Σύνηθες τῷ ῥήτορι τῶν μὲν λυπηρῶν καὶ αὐτὸν μετέχοντα δεικνύναι, τῶν δὲ ἀγαθῶν τὴν πεῖραν ὁλόκληρον ἀπονέμειν τῷ δήμῳ. Καὶ δύναται τοῦτο πολλὴν αὐτῷ παρὰ τῶν ἀκροατῶν τὴν εὔνοιαν κατασκευάζειν. ABHRTV.

13. 26. Τὸ μὲν οὖν ἐπιτιμᾶν] ὀνειδίζειν μεταληπτικῶς T. Σημείωσαι· ἀντίθεσις ἀπὸ τοῦ δικαίου. AB. Μικτὸν τὸ προοίμιον ἔκ τε τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος. Μετιὼν γὰρ ἐφ' ἕτερον κεφάλαιον οὐ παντελῶς ἰδιάζον τὸ προοίμιον ἔλαβεν, ἵνα μὴ καθάπερ ἐσχισμένος ὁ λόγος φαίνηται, τὴν μὲν ἀρχὴν ποιησάμενος ἐξ οὗ λέγων ἐπαύσατο, λέγω δὴ τοῦ συμφέροντος, τὸ δὲ ἐνθύμημα καὶ τὴν ἐπαγωγὴν ἐκ τοῦ δυνατοῦ. Διὸ καὶ τὸ προοίμιον ἔλαβε· διαφέρει δὲ τὰ τῶν κεφαλαίων προοίμια τῶν ἐν αὐταῖς ταῖς ἀρχαῖς, ὅτι ἐκεῖνα μὲν τῷ παντὶ λόγῳ χώραν δίδωσι καὶ σπερματικὴν ἔχει τὴν δύναμιν τῶν διόλου λέγεσθαι μελλόντων, τὰ δὲ τῶν κεφαλαίων αὐτὰ μόνα θεραπεύει τὰ λυποῦντα τὸ κεφάλαιον. Τὸ δὲ ὥσπερ ἐξ ἀντιθέσεως εἰλῆφθαι τὸ προοίμιον οὐ παράδοξον. Τὸ γὰρ ἐν μέσῳ λόγῳ κεῖσθαι πεποίηκέ τι καὶ ἐναγώνιον ἔχειν. Ἰστέον δὲ ὅτι ἡ ἐπιτίμησις τῷ συμφέροντι προσήκει. Ἐπιτίμησιν δὲ αὐτὸ εἶπεν, ἀλλ' οὐ λοιδορίαν· τὸ μὲν γὰρ ὑβρίζειν παντὶ ῥᾴδιον, τὸ δὲ ἐπιτιμᾶν, ὅπερ ἐστὶ νουθετοῦντος καὶ ἐπὶ λυσιτελοῦντι καὶ τιμῇ τῶν ἀκουόντων λέγοντες, οὐ παντός ἐστιν, ἀλλὰ μόνου τοῦ σκοποῦντος τὸ λυσιτελὲς τῶν ἀκουόντων. Ἄλλως. Ἀντίθεσις ἀπὸ τοῦ δικαίου, οἷον· ἀλλ' οὐ δίκαια ποιεῖς, ὦ Δημόσθενες, μόνον ἐπιτι

μῶν ἡμῖν, ὅπερ παντὸς ἀνθρώπου ἐστὶν, οὐ μέντοι συμβουλεύων, ὅπερ ἐστὶ ῥήτορος. Ἰστέον δὲ ὅτι οὐχ εὐθὺς ἐπήγαγε τὴν λύσιν, ἀλλ' ὕστερον, ἐν μέσῳ θεὶς καὶ εἰπὼν ὅπερ ἐφοβεῖτο, ἵνα διὰ τούτου ὥσπερ προδιορθώσηται τὴν μέλλουσαν συμβουλήν. BTV.

Ἐπιτιμᾶν] Ἐντεῦθεν προοίμια εἰς τὸ τοῦ δυνατοῦ κεφάλαιον, ὅπερ τέτμηται εἰς δύο, εἴς τε τὴν παρασκευὴν τοῦ στρατεύματος καὶ εἰς χρημάτων πόρον. Φασὶν οἱ ἐξηγηταὶ ὡς κείμενον ἐν μέσῳ τοῦτο τὸ προοίμιον διὰ τοῦτο εἰσῆκται καὶ ἐναγώνιον, ἵν' ἔχῃ τι καὶ ἀγῶνος. Ὁ δὲ Ἰσοκράτης ἐν τῷ Ἀρχιδάμῳ κατ' ἀρχάς φησιν « ἴσως τινὲς « ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς « τοῖς τῆς πόλεως νόμοις τοσαύτην πεποίημαι μεταβολήν. » Τοῦτο δὲ γίνεται ὅταν ὁ ῥήτωρ θαρρῇ ἀξίας τὰς λύσεις δοῦναι. T.

14, 4. Ὑποστείλασθαι] ὑποκρύψασθαι. P.

14. 5. Φημὶ δὴ διχῇ] Τὸν τρόπον τῆς βοηθείας εἰσηγεῖται. Ἐστὶ δὲ οὗτος τοῦ δυνατοῦ κεφαλαίου. Πᾶσα γὰρ καιρῶν καὶ τρόπων ἐξέτασις ἐπὶ τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν· ἐν τούτῳ γὰρ δείκνυται πῶς ἔνεστι κρατῆσαι τῶν ἀντιπάλων. ABHERTV. Ἐπεὶ δὲ οἶδε τοὺς Ἀθηναίους πολλῇ δεδουλωμένους ῥαθυμίᾳ, προτείνει δύο βοηθείας, ἵνα κἂν τὴν μίαν ποιήσωσιν. BETV.

14, 10. Ὀκνῶ] φοβοῦμαι. BP.

Μάταιος] Ἀττικὸν τὸ μάταιος ἡ στρατεία. BP.

14, 11. Ὑπομείνας] Οἰκεία ἡ λέξις. Ὑπομεῖναι γὰρ λέγομεν ἐπὶ τοῦ καρτερεῖν, ὅταν ἴδωμεν τὰ οἰκεῖα πάσχοντα. BEHRSTV. Τὸ δὲ παραστήσεται, χειρώσεται. BV. Στικτέον δὲ ἐνταῦθα, ἵν' ᾖ, ὑπομείνας καὶ ἐάσας τὴν πατρίδα αὐτοῦ κακῶς πάσχουσαν παραστήσεται ἐν τοσούτῳ Ὄλυνθον· καὶ εὐχερῶς ἐλθὼν εἰς τὴν Μακεδονίαν, ὡς λαβὼν τοὺς Ὀλυνθίους πρὸς συμμαχίαν, ἀμυνεῖται ἡμᾶς ἐκεῖσε. TV. Ὑπόθεσις καὶ ἀναπλήρωσις τὸ σχῆμα. Ἔστι δὲ τῆς εὐκρινείας. C.

14, 15. Περιέσται τῷ χρόνῳ] Τὸ δυνατὸν ἐντεῦθεν τοῖς Ὀλυνθίοις πραγματεύεται, μὴ ποιούμενος εὐχερῆ τὴν τούτων ἅλωσιν ὡς ἐπὶ τῶν ἄνω πόλεων. HRS. Ὅρα πῶς ἐπὶ τῶν ἄνω πόλεων εἰπὼν ὅτι εὐχερῶς αὐτὰς ἐλάμβανεν ἐπὶ τῆς Ὀλύνθου εἶπε τὸ δυσχερὲς, διὰ τοῦ εἰπεῖν, « τῷ χρόνῳ περιέσται, » τὸ δυνατὸν Ὀλυνθίοις πραγματευόμενος. BV.

14, 18. Περὶ δὲ χρημάτων πόρου] Μετέρχεται ἐπὶ τὸ δυνατὸν κεφάλαιον. Μερίζει δὲ τοῦτο εἰς δύο, εἴς τε χρημάτων εὐπορίαν καὶ ἀνδρῶν δύναμιν. BRSTV.

14, 20. Ὡς βούλεσθε λαμβάνετε] Πάλιν ὑποσιωπήσει ἐχρήσατο, ἀντὶ τοῦ εἰπεῖν, εἰς τὰς θέας αὐτὰ λαμβάνετε. CV. Τὸ σχῆμα ὑποσιώπησις. BRS. Πολὺ τὸ ἐνδιάθετον ἐνταῦθα διὰ τὴν ὑποσιώπησιν καὶ ἐπιδιόρθωσιν. C.

14, 22. Ἀποδώσετε] Καλῶς εἶπε τὸ ἀποδώσετε, καὶ οὐχὶ δώσετε. Ἀποδίδωσι γάρ τις τὸ ἀλλότριον ἐκείνῳ, οὗ οἶδεν ὃν τὸ πρᾶγμα· ὥστε ταῦτα, φησὶν, οὐκ ἔστιν ὑμέτερα, ἀλλὰ τῶν στρατιωτῶν οἰκεῖα. ETV.

14, 23. Ἐνδεῖ] ἐνδεῖσθαι μέν ἐστι τὸ παντελῶς μὴ ἔχειν, προσδεῖσθαι δὲ τὸ ἔχειν μὲν μέρος, ἔτι δὲ δεῖσθαι πρὸς τὸ τέλειον. Φησὶν οὖν ὅτι, εἰ μὲν ἀποδώσετε τὰ χρήματα, οὐ μέλλετε προσδεῖσθαι διὰ τὸ ἀρκούντως ἔχειν, εἰ δὲ μὴ, προσδεῖσθε. Εἶτα ἐπειδὴ ἔμφασιν παρεῖχεν, ὡς ἐστὶ καὶ ἄλλα ἐκτὸς τῶν θεωρικῶν, ἃ λαμβάνοντες ὀλίγων προσδέονται, ἐπήγαγε τὸ μᾶλλον δὲ παντὸς ἐνδεῖ τοῦ πόρου· ὡς εἰ μὴ ἀποδώσετε τὰ θεωρικὰ, παντελῶς ἀπορήσομεν. BTCV.

14, 24. Τί οὖν ἄν τις εἴποι] Ἡ γνώμη ἀποφαντική. C. Ἀνθυποφορὰ πάλιν. Σὺ, φησὶ, γράφεις τὰ θεωρικὰ εἶναι στρατιωτικά; εἶτα λύει, ὅτι συμβουλεύω μὲν, οὐ γράφω δὲ, τὸν κίνδυνον εἰδὼς καὶ τὸν Εὐβούλου νόμον μὴ ἀγνοῶν. V.

14, 25. Ἐγὼ μὲν] Λύσις ἀπὸ τῆς λέξεως· οὐδὲ γὰρ γράφω, φησὶν, ἀλλὰ συμβουλεύω. RS.

Ἐγὼ μὲν γὰρ ἡγοῦμαι] Ἐγὼ μὲν, φησὶν, εἰς τοὺς στρατιώτας [δεῖν] ἀναλωθῆναί φημι· ὑμεῖς δὲ εἰς τὰς ἑορτὰς λαμβάνετε. TCV.

14, 26. Κατασκευασθῆναι εἶπεν ὡς παντελῶς ἀπαλλοτριωθέντος τοῦ στρατιωτικοῦ παρὰ τοῖς Ἀθηναίοις, ἢ ὡς ἐπὶ κτημάτων παντελῶς διαφθαρέντων. Ἀπὸ τοῦ ποιουμένου δὲ εἶπε τὸ ποιοῦν. HRSTV.

Στρατιωτικὰ] Οὐ γὰρ ἔχετε ὅθεν ἄλλοθεν αὐτοὺς μισθώσετε. P.

14, 27. Σύνταξιν] Σύνταξίς ἐστι δύο πραγμάτων ὥσπερ ἕνωσις· εἰώθασι δ' οἱ παλαιοὶ, ἐπειδάν τι ἀσαφὲς νομίζωσι λέγειν, διὰ τῆς ἐπαγωγῆς αὐτὸ λύειν, ὥσπερ καὶ ὁ ποιητής· εἰπὼν γὰρ (Il. ε, 586) « κύμβαχος » ἐπήγαγεν « ἐπὶ βρεχμόν τε καὶ ὤμους· » καὶ πάλιν εἰπὼν (Il. λ, 547) « ἐντροπαλιζόμενος » ἔφη « γόνυ γουνὸς ἀμείβων. » Οὕτω καὶ ὁ ῥήτωρ εἰπὼν « σύνταξις » ἐπήγαγε τὸ « λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. » BHRSP.

14, 28. Τὰ δέοντα] Νῦν γὰρ εἰς θέας λαμβάνοντες οὐ δεόντως λαμβάνετε· εἰς δὲ τὸ στρατεύειν δοθέντα δεόντως δοθήσεται. P.

Ὑμεῖς δ' οὕτω πως] πραγμάτων παρένθεσις. C.

14, 29. Εἰς τὰς ἑορτὰς] λειπόμενον, εἰ μὴ βούλεσθε ἀποδοῦναι τὰ χρήματα τοῖς στρατιώταις. R.

Ἔστι δὴ λοιπὸν] Οὐδὲν ἔτι, φησὶν, ὑπολείπεται, εἰ μὴ βούλεσθε τὰ χρήματα τοῖς στρατιώταις ἀποδοῦναι, ἢ εἰσφέρειν ὑμᾶς ἀπὸ τῶν ἰδίων οὐσιῶν. Οὐχ ὁρίζει δὲ τὴν ποσότητα, ἵνα μὴ λυπηρὸς δόξῃ, ἀλλὰ τὸν καιρὸν καὶ τὴν ἀνάγκην ἐποίησεν ὁρίζουσαν. HTCV.

15, 1. Εἰσφέρειν] εἰ μὴ τὰ θεωρικὰ στρατιωτικὰ ποιήσετε. P.

15, 2. Δεῖ δὲ χρημάτων] ὡς εἰ ἔλεγεν, εἴτε πολλῶν εἴτε ὀλίγων δεῖσθε, οὐκ ἐμὸν εἰπεῖν, ἀλλὰ τῆς χρείας· τοῦτο δὲ οἶδα, ὅτι πάντως χρήζετε. HRSTV. Τοῦτο πρὸς τὸ προκείμενον εἶπεν· ἀεὶ γὰρ χρημάτων δεῖται ὁ πόλεμος. BS.

15, 3. Οὐδέν ἐστι γενέσθαι] Εἴποι ἄν τις, τί οὖν καὶ ἐν τῷ εὔχεσθαι δεόμεθα χρημάτων, ἢ ἐν τῷ σωφρονεῖν; λέγομεν δὲ ὅτι πρὸς τὸ προκείμενον εἶπεν, ἤτοι τὸν πόλεμον· ἀεὶ γὰρ ὁ πόλεμος χρημάτων δεῖται. TV.

15, 5. Ἀντιλάβεσθε] ἅψασθε. P.

15, 6. Ἄξιον δὲ ἐνθυμηθῆναι] πληρώσας τὸ ἓν μέρος τοῦ δυνατοῦ, τουτέστι τὸ τῆς πόλεως, ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος ἐλήλυθε, τὸ τοῦ Μακεδόνος. Μὴ ἔχων γὰρ δεῖξαι τοὺς Ἀθηναίους δυνατοὺς, καθὸ πολλὰ ἀπώλεσαν, τεχνικῶς ἐκ τοῦ ἐναντίου πειρᾶται κατασκευάσαι ὅτι δύνανται τὴν Φιλίππου δύναμιν καθαιρεῖν. BSTCV.

Ἄξιον δ' ἐνθυμηθῆναι] Πληρώσας τὸ ἓν μέρος τοῦ δυνατοῦ, τουτέστι τὸ τῆς πόλεως, καὶ διαλεχθεὶς περὶ τῶν χρημάτων καὶ τοῦ καιροῦ μνησθεὶς, ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος ἐλήλυθε, τὸ τοῦ Μακεδόνος· ὅπερ ἐκ παντὸς μέρους ἐξήτασεν εἰκότως, ἐπειδὴ πολλὴν ἔχει παρὰ τοῖς Ἀθηναίοις ὑπόνοιαν ὡς ἰσχυρὸς ὁ Φίλιππος. Ἤρξατο δὲ τοῦ κεφαλαίου λαβὼν ὥσπερ ἀντίθεσιν· ἀλλὰ χαλεπὸν πολεμεῖν Φιλίππῳ καλῶς αὐτῷ κατεσκευασμένων τῶν πραγμά-

των. Διέσυρε μὲν καὶ ἐν αὐτῇ τῇ θέσει τὴν ἀντίθεσιν, εἰπὼν ὡς οὐκ εὐτρεπῶς ἔχει τὰ πράγματα Φιλίππῳ, ὡς φήσειεν ἄν τις μὴ σκοπῶν ἀκριβῶς, διδοὺς μὲν ἐκ τῶν ἔξωθεν φαντασίαν ἰσχυρὸν εἶναι τὸν Φίλιππον, ἵνα μὴ παντελῶς ἀναισχυντεῖν δοκῇ λέγων εὐθὺς ἀσθενῆ καὶ ταπεινὸν, ἄγων δὲ αὐτοὺς κατ' ὀλίγον εἰς ἐπίσκεψιν τῆς δυνάμεως, ἵνα λάβῃ καιρὸν τοῦ σαθρὰν ἀποδεῖξαι τὴν ῥώμην τοῦ Μακεδόνος, κέχρηται πολλῇ βίᾳ κατὰ τὴν λύσιν τῆς ἀντιθέσεως. Λεγόντων γὰρ τῶν Ἀθηναίων ὅτι πόλεμον οὐκ ἂν ἐξήνεγκε τὸν πρὸς τοὺς Ὀλυνθίους, εἰ μὴ καλῶς εἶχεν αὐτῷ τὰ πράγματα κατὰ τὴν ἀρχὴν, αὐτὸς βιαίως ἀντιστρέψας ἔλυσεν, ὅτι οὐκ ἂν ἐξήνεγκε τὸν πόλεμον, εἰ προσεδόκησεν αὐτῷ μάχης καὶ ἀγῶνος δεήσειν· οὐκ ἄρα καλῶς αὐτῷ κατεσκεύασται τὰ πράγματα. Παραδόξου δὲ οὔσης τῆς φύσεως ὅτι ἐπὶ πόλεμον τοσοῦτον ἐξιὼν οὐ προσεδόκα μαχήσεσθαι, τὴν θεραπείαν αὐτῆς ἐξ ἔθους ἐποιήσατο. Προσεδόκα γὰρ ἐφόδου μόνης αὐτῷ δεήσειν ὥσπερ ἐπὶ τῶν ἄλλων. HRS.

15, 8. Οὔτε γὰρ ὡς δοκεῖ] οὐχ οὕτως αὐτῷ ἔχει τὰ πράγματα εὐτρεπῶς, οὐδὲ ὥς τις νομίζει κάλλιστα. TCV.

15, 10. Τὰ παρόντα] ἤγουν τὰ ἐν τῇ Ὀλύνθῳ. P.

Τὸν πόλεμον] πρὸς τοὺς Ὀλυνθίους. P.

15, 11. Αὐτὸν] τὸν πόλεμον. P.

15, 12. Τὰ πράγματα] τὰ τῶν Ὀλυνθίων ἐκ μόνης τῆς θέας ἀναιρήσεσθαι. P.

15, 13. Κᾆτα διέψευσται] καὶ εἶτα διέψευσται τῆς ἐλπίδος καὶ τῆς προσδοκίας· ἰδοὺ γὰρ πολεμοῦσιν αὐτῷ παρὰ τὴν αὐτοῦ προσδοκίαν. V.

15, 15. Εἶτα τὰ τῶν Θετταλῶν] Οὐκ εἶπεν οἱ Θετταλοὶ, ἀλλὰ τὰ τῶν Θετταλῶν πράγματα, ἵνα λέγῃ τὴν ἀπιστίαν καὶ δηλώσῃ ὅτι ἀεὶ συζῶσιν αὐτῇ. CV.

Τὰ τῶν Θετταλῶν] ταράττει αὐτόν. P.

Πράγματι ἀντὶ προσώπου ἐχρήσατο. BC.

15, 17. Κομιδῇ] Διὰ τούτου πλέον ηὔξησε τὴν ἀπιστίαν. S. Τὸ κομιδῇ αὔξησίς ἐστιν ἐπὶ Φιλίππου. B.

15, 18. Καὶ γὰρ Παγασὰς] Ἡ ἱστορία οὕτως· Ἀλεύας, ἀπόγονός τις τοῦ Ἡρακλέους, Θετταλὸς, ἐτυράννησε Θετταλῶν· εἶτα καὶ οἱ τούτου παῖδες. Μὴ φέροντες οὖν τὴν τυραννίδα οἱ Θετταλοὶ καὶ ἀποροῦντες τί δεῖ ποιεῖν, μετεπέμψαντο πρὸς συμμαχίαν τὸν Φίλιππον. Εἶτα ἐλθὼν ἐκεῖνος ἐξέβαλε τοὺς Ἀλευάδας ἐκ τῆς τυραννίδος· καὶ ὑπὲρ τούτου χάριν αὐτῷ ὁμολογοῦντες οἱ Θετταλοὶ δεδώκασιν αὐτῷ νέμεσθαι Παγασὰς καὶ τὰ χρήματα τὰ ἐκ τῶν λιμένων καὶ τῆς ἀγορᾶς. Ἄπιστοι δὲ Θετταλοὶ ἐνομίσθησαν, ἢ διὰ τὸ τὸν Ἰάσονα, Θετταλὸν ὄντα, ἄπιστον ὀφθῆναι περὶ τὴν Μήδειαν, ἢ ὅτι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ἐν αὐτῇ τῇ παρατάξει ἀπὸ Ἀθηναίων πρὸς Λακεδαιμονίους μετετάξαντο, ὥς φησιν ὁ Θουκυδίδης (1, 107). Ἡ δὲ Μαγνησία χώρα τις ἦν πλησίον Θετταλίας, ὑπείκουσα αὐτοῖς· ἔστι δὲ καὶ πόλις ὁμώνυμος αὐτῇ. Χαριζόμενος οὖν τοῖς Θετταλοῖς ὁ Φίλιππος ταύτην αὐτοῖς κατεδουλώσατο ἀποστᾶσαν αὐτῶν· μετὰ δὲ ταῦτα φρούριον ᾠκοδόμησεν ἐν αὐτῇ τῇ πόλει τῶν Μαγνήτων, ἵνα μὴ καὶ δεύτερον ἀποστῶσι· τὸ δὲ ἀληθὲς κατ' αὐτῶν Θετταλῶν. Οἱ δὲ γνόντες τοῦτο αὐτὸ ἐκώλυσαν αὐτὸν τειχίζειν. BHRSTCV.

15, 20. Τινων] οὐκ εἶπέ τινος, ἀλλὰ τινων, τῷ πλήθει τῶν μαρτύρων [τὸν] λόγον πιστούμενος. B.

15, 22. Ἀπὸ τούτων] ἤγουν ἀπὸ τῶν ἐξ αὐτῶν προσόδων. P.

15, 24. Τοῖς ξένοις] Καὶ γὰρ οὐ μόνον Μακεδόσιν, ἀλλὰ καὶ ξένοις ἐχρῆτο πρὸς τὴν στρατείαν. P.

15, 25. Ἀλλὰ μὴν τόν γε Παίονα] Δείξας αὐτοῦ τὸ ἀσθενὲς ἀπὸ τῶν Ἑλλήνων, βούλεται καὶ ἀπὸ τῶν βαρβάρων τὸ ὅμοιον ἐργάσασθαι. Καὶ δι' αὐτῆς δὲ τῆς λέξεως ηὐτέλισε τὴν δύναμιν· οὐ γὰρ εἶπε πληθυντικῶς, ἀλλ' ἑνικῶς Παίονα καὶ Ἰλλυριόν. BTCV.

15, 26. Αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους] Τὴν ἐπιθυμίαν αὐτῶν ἀπόδειξιν αὐτάρκη νομίζει τοῦ πρὸς αὐτὸν ὑπόπτως ἔχειν. Ἰδὼν δὲ πρὸς ταῦτα φερόμενον ἀντιπῖπτον ὅτι πολλοὶ καὶ παρὰ συνήθειαν δουλωθέντες ἔστερξαν καὶ βέβαιοι τοῖς κρατοῦσιν ἔμειναν, ἐκ τοῦ Φιλίππου τρόπου τὸ ὑφορμοῦν ἔλυσεν. Ὑβριστὴς γὰρ, φησὶν, ὁ ἀνήρ. Τίς δ' ἂν τῶν ὑπηκόων τοιοῦτον ἄρχοντα στέρξειεν; εἶτ', ἐπειδὴ καὶ τοῦτο ἄδηλον, εἰ τοιοῦτος ὁ Φίλιππος, ὅρκῳ τὸ ἀμφισβητούμενον ἐπιστώσατο, « καὶ, μὰ Δί', οὐδὲν ἄπιστον ἴσως. » Καὶ ἡ τελευταία τοῦ ἐνδοιασμοῦ προσθήκη καὶ τῷ ῥήτορι τὴν ἐπιορκίαν διορθοῦται καὶ τοὺς ἀκούοντας παράγει μὴ ταχέως συνορᾶν δυναμένους τί τὸ ἴσως βούλεται τῷ ῥήτορι. Διὸ καὶ δεδοικὼς καθολικῶς τῇ γνώμῃ τὴν πρότασιν ἐβεβαίωσε. RS.

15, 27. Ἐλευθέρους ἢ δούλους] ἐπεὶ καὶ πρότερον ἐβασιλεύοντο. C. Παίονες καὶ Ἰλλυριοὶ Φιλίππῳ κατ' ἀνάγκην ὑπήκουον καὶ ἄλλ' ἄττα τῶν ἐθνῶν. P.

15, 28. Τοῦ κατακούειν] Δεῖ προσέχειν τῇ λέξει· οὐ γὰρ εἶπεν ἀκούειν μόνον, ἀλλὰ κατακούειν, ὅ ἐστι πάνυ ἀκούειν, ὥστε καὶ δούλους νομίζεσθαι. BTCV. Ὁ δὲ Φίλιππος, φησὶν, ὑβριστὴς καὶ ἐπαχθής. TCV.

15, 29. Ἄπιστον] αὐτὸν εἶναι τοιοῦτον. P.

16, 1. Τὸ γὰρ εὖ πράττειν] Γνωμικὴ περίοδος ἡ καὶ δίκωλος. CP. Ἐπειδὴ, φησὶν, οἱ παρ' ἀξίαν εὐτυχοῦντες οὐ δύνανται φυλάξαι τὴν εὐτυχίαν διὰ τὸ πονηρὸν τῆς γνώμης, δεδώκασιν ἀφορμὴν τοῦ λέγειν ἄλλοις ὅτι δυσχερέστερόν ἐστι τὸ φυλάξαι ἤπερ κτήσασθαι· ὅπερ οὐκ ἔστιν ἀληθές. BTCV.

16, 3. Τὸ φυλάξαι] ἤγουν τηρῆσαι ὡσαύτως ἔχειν καὶ μὴ μεταβαλεῖν εἰς κακίαν. P.

Τἀγαθὰ] τὰ ἐπελθόντα τινί. P.

16, 4. Δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι] Παραβολὴ ἀπὸ τοῦ ἴσου. CP. Πληρώσας τὴν ἐξέτασιν τοῦ δυνατοῦ καὶ σαθρὸν πανταχόθεν ἀποδείξας τὸν Φίλιππον εἰς προτροπὴν μετῆλθε. Ἰστέον δὲ ὅτι διενήνοχε προτροπὴ συμβουλῆς ἐν τούτῳ ὅτι ἐν μὲν τῇ συμβουλῇ καὶ τὸ ἀγαθὸν, ὑπὲρ οὗ συμβουλεύομεν, ἀμφισβήτησιν ἔχει καὶ ὁ τρόπος, δι' οὗ ἂν περιγενοίμεθα τῶν χρησίμων, ἀντίρρησιν ἐπιδέχεται· ἐν δὲ τῇ προτροπῇ καὶ τὸ ἀγαθὸν πρόδηλον καὶ ὁ τρόπος. Οὐδεὶς γὰρ προτρέπων ἐπιτίθεται καὶ τὸν τρόπον, δι' οὗ κρατῆσαι δυνατόν. Ἐπικοινωνεῖ δὲ τοῖς εἴδεσι τούτοις καὶ ἡ παραίνεσις. Συμβουλὴ γάρ τις εἶναι δοκεῖ, παρόσον ἐκείνῳ διαφέρει τῆς προτροπῆς, ὅτι ἐν παραινέσει ὥσπερ ἐν τῇ συμβουλῇ καὶ τὸν τρόπον ἐκτιθέμεθα δι' οὗ κατορθώσομεν τὸ προκείμενον. Πλὴν ἐκεῖνο προσήκει γινώσκειν, ὅτι ἐπιπλέκεται τοῖς εἴδεσι τούτοις τὰ ἀλλήλων, καὶ συμβουλευτικὰ ἐν προτροπῇ καὶ τοὐναντίον ἐν συμβουλῇ προτρεπτικά. Τὸ δ' αὐτὸ καὶ ἐν ταῖς παραινέσεσιν. Ἐκ δὲ τοῦ πλεονάζοντος ἐν τῇ ὑποθέσει χρὴ τὸ εἶδος τοῦ λόγου γνωρίζειν. BHRSTCV.

16, 5. Συνάρασθαι] Ἔδει μὲν εἰπεῖν συνάρασθαι τοῖς πράγμασιν, ἀλλ' Ἀττικῶς εἶπεν. Ἡ δὲ σὺν πρόθεσις, ὡς εἰ ἔλεγε σὺν τῇ τύχῃ ἀγωνίζεσθαι ἐφ' ἃ δεῖ. BSTCV

Μονόκωλος σχοινοτενὴς περίοδος ἐν ὑπερβατῷ σχηματισθεῖσα. Τὸ σχῆμα δὲ ἐπιτίμησις. TCV. Τὸ δὲ συνάρπασθαι, συλλαβεῖν καὶ ἁρπάσαι, συνάψασθαι. P.

16, 6. Πρεσβευομένους] Πρεσβεύεσθαί φησιν ἐπὶ τῶν ἀγνοούντων τὸν Φίλιππον, ἵνα διδάξῃ αὐτοὺς μὴ πιστεύειν αὐτῷ· ἐπὶ δὲ τῶν εἰδότων μὲν, φοβουμένων δὲ, τὸ ἀγγέλλεσθαι ὑμᾶς ὅτι στρατεύεσθε, ἵνα παροξυνθῶσιν ὑπὲρ τοῦ μηκέτι δεδιέναι αὐτόν. ACHRTCV.

16, 8. Λάβοι καθ' ὑμῶν τοιοῦτον καιρὸν] οἷος νῦν ὑμῖν ἐστὶ κατ' ἐκείνου· καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ τῇ ἡμετέρᾳ, καθάπερ νῦν τῇ ἐκείνου· ἡ γὰρ Ὄλυνθος γείτων αὐτῷ. P. Εἴ τοιαῦται, φησὶν, αὐτῷ προσγένοιντο πολλαὶ εὐπορίαι, οἷαι νῦν ἡμῖν· καὶ πάλιν, εἰ πόλεμόν τινα σχοίημεν ὅμορον, ὡς αὐτὸς νῦν ἔσχε τὸν τῇ Ὀλύνθῳ γειτνιάζοντα. TCV.

16, 10. Πρὸς τῇ χώρᾳ] ἤγουν ὁμορῶν τῇ χώρᾳ, ὡς ὁ Φίλιππος νῦν ἔχει τὸν τῶν Ὀλυνθίων γειτνιάζοντα. HRS.

16, 11. Εἶτ' οὐκ αἰσχύνεσθε] Ἡ περίοδος ἐπιτιμητικὴ, ἥ ἐστι μονόκωλος, φησὶν Ἑρμογένης. CP. Ἀσαφὲς εἶναι δοκεῖ τὸ χωρίον· ἄδηλον γὰρ τίνι χρὴ προσνεῖμαι τὸ « ταῦτα ποιῆσαι, » πότερον τοῖς Ἀθηναίοις ἢ τῷ Φιλίππῳ· δοκεῖ γὰρ ἐφ' ἑκατέρων ἁρμόζειν. Χρὴ οὖν ἐπὶ τῶν τοιούτων ἀσαφῶν καὶ ἐπαμφοτερίζειν δοκούντων ἐκ τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν ἀνιέναι· λυθήσεται γὰρ οὕτως ἡ ἀσάφεια. Οἷον ἐπὶ τοῦ παρόντος εὐθὺς κάτωθεν ἀρξάμενος λέγε· « οὐ τολμήσετε καιρὸν ἔχοντες ταῦτα ποιῆσαι « ἃ πάθοιτ' ἂν εἰ δύναιτο ἐκεῖνος; » τὸ γὰρ πρότερον ἐπ' ἀμφοτέρων λέγεσθαι δοκοῦν νῦν ἐφάνη περὶ μόνων τῶν Ἀθηναίων εἰρημένον. BTCV.

Εἰ μηδ' ἃ πάθοιτ' ἂν] τὸ μὴ περισσόν· ἢ τὸ εἰ μὴ εἰς τὸ οὐ τολμήσετε. P.

16, 12. Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Μετάβασις ἐπὶ τὸ ἀναγκαῖον. BTCP. Ὥσπερ τὸ συμφέρον εἰς δύο τέμνεσθαι φαμὲν, εἴς τε αὐτὸ τὸ συμφέρον καὶ τὸ ἀναγκαῖον, οὕτω καὶ τὸ δυνατὸν εἴς τε αὐτὸ τὸ δυνατὸν ἁπλῶς καὶ τὸ ῥᾴδιον καὶ εἰς τὸ ἀναγκαῖον· ὅπερ ἐν τούτῳ τῷ χωρίῳ νῦν ἐξετάζεσθαί φαμεν. Δίδωσι γὰρ τοῖς Ἀθηναίοις αἵρεσιν ποῦ χρὴ πολεμεῖν, καὶ τὸν ἐν Μακεδονίᾳ πόλεμον εὔκολον δείκνυσι, τὸν δὲ ἐπὶ τῆς Ἀττικῆς χαλεπὸν καὶ φοβερόν. PTCV.

16, 17. Τὴν ὑπάρχουσαν] ἤγουν ἡμετέραν. P.

16, 20. Θηβαῖοι] Πολὺ τὸ τῆς γοργότητος διὰ τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις. BHS.

Μὴ λίαν] φοβοῦμαι, ἔξωθεν. P.

16, 21. Συνεισβαλοῦσιν] ὡς πολέμιοι εἰσελεύσονται εἰς τὴν πόλιν. P.

16, 23. Ἀλλ' ὦ τᾶν] ἀνθυποφορὰ στοχαστικὴ, ἣν λύει ἐκ τεκμηρίων. ABHTCV. Τὸ δὲ ὦ τᾶν δύο μέρη λόγου εἰσὶν, ὦ καὶ ἐτᾶν, ὅ ἐστιν ὦ ἑταῖρε. BTCV.

Οὐχὶ βουλήσεται] ὁ Φίλιππος δηλονότι. P.

16, 24. Εἰ ἃ νῦν] τὸ ἐφ' ἡμᾶς ἐλθεῖν. P.

Ἤτοι ὅτι ἔρχομαι ἐπὶ τὴν Ἀττικήν. Ἆρα ἐὰν δυνηθῇ ταῦτα ποιῆσαι οὐ πράξει; BTCV. Ζητητέον πῶς ἐν τοῖς ἄνω δεινὸν αὐτὸν εἰπὼν καὶ εἰδότα χρήσασθαι πράγμασιν ἐνταῦθα μωρὸν ἀποκαλεῖ. Λέγομεν ὅτι ἀπὸ πολλῆς ἐπιθυμίας τοῦ βούλεσθαι αὐτὸν ἐπὶ τὴν Ἀττικὴν ἐλθεῖν ποιεῖ αὐτὸν μὴ δυνάμενον ἑαυτοῦ κατασχεῖν, ἀλλὰ τὴν ἐπιθυμίαν ἐκλέγοντα τελειοῦν. BHRSTCV.

16, 25. Ἐγκαλεῖ] ἀντὶ τοῦ ἀπειλεῖ. B.

16, 26. Οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι] οὐ γὰρ δεῖ τὰ ὁμολογούμενα κατασκευάζειν· καὶ δύο κακῶν προκειμένων—κακὸν γὰρ ὁ πόλεμος—, αἱρεῖται τὸ ἧττον. HRSTCV.

16, 27. Εἰ γὰρ ὑμᾶς] Ἐπίλογος. B.

16, 28. Ἔξω γενέσθαι] Οὐχ ἁπλῶς λέγει ἔξω τῆς πόλεως, ἀλλ' ἔξω τῆς χώρας ἐν Μακεδονίᾳ. BSTCV.

17, 2. Τοὺς γεωργοῦντας] οὐχ ἁπλῶς τοὺς σκάπτοντας τὴν γῆν, ἀλλὰ καὶ τοὺς κεκτημένους ἀγρούς. BHTCV.

17, 3. Τὸν πρὸ τοῦ πόλεμον] τὸν δι' Ἀμφίπολιν λέγει, εἰς ὃν χίλια διακόσια τάλαντα ἀναλώθη. BSTCV.

17, 5. Πρόσεσθ'] τῇ ζημίᾳ περιφρόνησις. P.

17, 7. Σώφροσι] τοῖς συνετοῖς καὶ σώζουσι τὰς φρένας. BTCP.

Πάντα δὴ ταῦτα] Ἐντεῦθεν ὁ ἐπίλογος. BP. Ἐκ τοῦ συμφέροντος κεφαλαίου τοὺς ἐπιλόγους εἴληφε· δεῖ γὰρ ἐκ τῶν ἰσχυρῶν ἀεὶ καὶ τῶν συνεκτικῶν τὰς ἀνακεφαλαιώσεις καὶ τοὺς ἐπιλόγους λαμβάνειν. ABTCV.

17, 8. Ἐκεῖσε] εἰς τὴν Μακεδονίαν. P.

17, 11. Τοὺς δ' ἐν ἡλικίᾳ] τοὺς δυναμένους ὅπλα φέρειν καὶ μάχεσθαι. P. Τοὺς νεωτέρους· ἡλικία γὰρ ἐξαιρέτως ἐπὶ τῶν νεωτέρων· ἐν αὐτῇ γὰρ πάντα πράττειν δυνάμεθα. CV. Τοὺς δ' ἔξω τῆς ἡλικίας, ἤτοι γέροντας.

17, 13. Τοὺς δὲ λέγοντας] ἤγουν τοὺς ῥήτορας. HRSP. Ἀπὸ κοινοῦ ἐκληπτέον τὸ δεῖν βοηθεῖν καὶ ἀπωθεῖν ἐκεῖ τὸν πόλεμον. HRS.

17, 14. Εὔθυναι] ἀπολογίαι καὶ κρίσεις φανεραὶ καὶ κάλλισται γένωνται. P. αἱ βάσανοι. S.

17, 17. Αὐτοῖς] τοῖς λέγουσι. P.

Χρηστὰ δὲ εἴη, παντὸς ἕνεκα] Εὐχὴν προστίθησι τῇ συμβουλῇ, οἷον, εἴθε γένοιτο, φησὶ, χρηστὰ, καὶ προβαίη καλῶς διὰ πάντας, οἷον, διὰ τοὺς πλουσίους, τοὺς νεωτέρους, τοὺς ῥήτορας. TCV.

Εἵνεκα] Οὐ κυρίως τὸ εἵνεκα σὺν τῷ ι· ποιητικὸν γάρ. B.

II. ΟΛΥΝΘΙΑΚΟΣ Β.

18, 5. Ἐπὶ πολλῶν μὲν ἄν τις] Τοῦτον Διονύσιος προτάττει τῶν Ὀλυνθιακῶν, ἄρχοντάς τέ τινας καταλέγων καὶ ἐκ τοῦ προοιμίου πιστούμενος ἐκ περιχαρείας ληφθέντος. Καικίλιος δὲ ἀντιλέγει πρῶτον ἀξιῶν τὸν πρῶτον νομιζόμενον. Τὸ μὲν οὖν κατὰ τοὺς ἄρχοντας ἐν ἱστορίᾳ κεῖται καὶ ἴσως οὐκ ἀκριβῆ τὸν ἔλεγχον ἔχει· τὸ δὲ κατὰ τὸ προοίμιον οὐκ αὔταρκες εἰς ἀπόδειξιν. Ἑτέραν γὰρ ἔχει πρόφασιν τὸ νόημα. Ἐξ αὐτῶν δὲ τῶν Δημοσθένους εὑρίσκεται πρῶτος ὁ « Ἀντὶ πολλῶν· » ἐκεῖ γὰρ τὸ συμφέρον μάλιστα τὴν πλείστην ἐξέτασιν εἴληφεν, ἐνταῦθα δὲ τὸ δυνατὸν, οὐδεὶς δὲ περὶ τοῦ δυνατοῦ βουλεύεται μὴ πρότερον εἰ συμφέρει σκοπήσας. Ἔπειτα παρείληφεν ἐν τῷ δευτέρῳ τινὰ ὡς ὁμολογούμενα, ἅπερ ἐν τῷ προτέρῳ μετὰ πολλῶν ἀποδείξεων κατεσκεύασεν, οἷον εὐθὺς τὸ περὶ τῆς τῶν θεῶν εὐνοίας ἐνταῦθα μὲν ὡς ὁμολογούμενον ἐν προοιμίῳ τέθεικεν, ἐκεῖ δὲ (p. 11, 29) δίκαιον λογιστὴν ἐζήτησε καὶ πολλὰς ἀποδείξεις ἐκόμισε τοῦ συμμάχους εἶναι τοὺς θεοὺς τῇ πόλει. Πρόδηλον οὖν ὅτι διὰ τοῦτο νῦν οὐ κατεσκεύασεν ὅτι ἦν ἐν ἐκείνῳ πρότερον ἀποδείξας. Κεφάλαιον δὲ ἐν τῷ λόγῳ προηγούμενον καὶ μόνον ἐστὶ τὸ δυνατὸν, καθαίρεσιν ἔχον τοῦ Φιλίππου. Τούτου δὲ κατὰ σύμπαντα τὸν λόγον ἐξεταζομένου τρεῖς ἀπ' αὐτοῦ πεπτώκασιν ἀν-

τιθέσεις· μία μὲν καθολικὴ « φοβερὸς ὁ Φίλιππος· » ἣν ἔλυσεν ἀπὸ τοῦ δικαίου, φήσας ὅτι ἀδικῶν ηὐξήθη, καὶ κατέλεξε τὰς ἀδικίας καὶ τὰς ἀσεβείας τοῦ Μακεδόνος. Εἰ δὲ τοῖς ἀδικοῦσιν ἀπεχθάνονται οἱ κρείττους, ἀσθενής ἐστιν ὁ Φίλιππος πολεμίους ἔχων τοὺς θεούς. Τῶν γὰρ ἀντιθέσεων αἱ μὲν τοῖς ὁμοιογενέσι λύονται κεφαλαίοις, αἱ δὲ τοῖς ἑτερογενέσι, ὥσπερ κἀνταῦθα τὸ δυνατὸν ἐλύθη τῷ δικαίῳ. Ταύτης οὕτω λυθείσης τῆς ἀντιθέσεως δευτέρα πέπτωκεν ἀκολουθία « ἀλλ' εἰ καὶ ὑποπτεύουσιν αὐτὸν « τινές, ὅμως βίᾳ καθέξει τὰ πράγματα τῷ τὰ χωρία καὶ « λιμένας προειληφέναι. » Καὶ ταύτην ἔλυσεν ἀπὸ τοῦ δικαίου, φήσας ὅτι οὐ συνέστηκεν αὐτῷ μετ' εὐνοίας τὰ πράγματα, Μακεδόνες αὐτὸν διὰ τοὺς συνεχεῖς πολέμους μισοῦσι, τῶν ξένων πεζέταιροι καὶ σώφρονες ἀπεληλαμένοι εἰσὶ καὶ τὰ ἑξῆς. Μετὰ ταῦτα ἡ τρίτη ἐμπέπτωκεν ἀκολουθία « ἀλλ' εἰ καὶ οὕτως ἔχει τὰ κατ' αὐτόν, ὅμως εὐτυχής ἐστι καὶ διὰ τοῦτο φοβερός. » Ταύτην ἔλυσεν ἀπὸ συγκρίσεως, ὅτι τῆς Φιλίππου τύχης μείζων ἡ τῆς πόλεως τύχη, διότι καὶ δικαιότερα πράττομεν, οὐκ ἀπολαύομεν δὲ αὐτῆς τῷ μηδὲν αὐτοὶ βούλεσθαι πράττειν. Μετὰ ταύτην οἱ ἐπίλογοι παρρησίας μεστοὶ καὶ ἀξιώματος. Τὰ μὲν γὰρ ἐπιτιμᾷ, τὰ δὲ διορθοῦται, καὶ τοὺς μὲν αἰτιᾶται τῶν ῥητόρων, τοῖς δὲ συναγορεύει στρατηγοῖς καὶ πλουσίοις. Ἐσχημάτισται δὲ ὁ ἐπίλογος ὁ ἐπὶ τῶν χρημάτων τῶν θεωρικῶν, φανερῶς μὲν μὴ λέγοντος διὰ τὸν νόμον, σχήματι δὲ πληροῦντος τὴν χρείαν. Ποτὲ μὲν γάρ, φησίν, εἰσφέρετε χρήματα, ποτὲ δὲ ἡμεῖς αἴτιοι τοῦ μηδὲν γίγνεσθαι τῶν δεόντων, μὴ διδόντες χρήματα τοῖς στρατηγοῖς, ποτὲ δὲ ὅτι οὐ χρὴ τοὺς πλουσίους ἀναγκάζειν μόνους καὶ τριηραρχεῖν καὶ λειτουργεῖν καὶ εἰσφέρειν. Ἐξ ὧν ἁπάντων λεληθότως αὐτοὺς ἀναγκάζει τῶν θεωρικῶν ἀποστῆναι μηδαμόθεν ἄλλοθεν εὐπορεῖν δυναμένους. RS.

Ἄλλως εἰς τὸ αὐτό. Μία πρὸς τοῖς ἄλλοις ἀρετὴ προοιμίου τὸ παραμυθεῖσθαι τὰ λυποῦντα τὴν ὑπόθεσιν. Καὶ τῶν ἀντιπιπτόντων τὸ μὲν ὅλην παραλυπεῖ τὴν ὑπόθεσιν, τὸ δὲ πρὸς μέρος αὐτῇ ἀντιπίπτει. Ἐνταῦθα τοίνυν πρὸς ἅπαντα μάχεται τὸν λόγον διὰ τὴν Φιλίππου δύναμιν, καὶ ὁ ἀκροατὴς δεδούλωται τὸ φρόνημα καὶ πάντας τοὺς τοῦ συμφέροντος ἀπωθεῖται λόγους, ὁ δὲ σύμβουλος οὐκ ἔχει πάροδον ἐπὶ τὰ ἄλλα μέρη τῆς ὑποθέσεως. Τῶν γὰρ κεφαλαίων τὰ μὲν ἐξ αὐτῆς ἀνακύπτει τῆς τάξεως οὐκ ὄντα πρῶτον γνώριμα τοῖς ἀκροαταῖς οὐδὲ ἐπιζητούμενα παρ' αὐτῶν ἐξ ἀρχῆς, ὥσπερ ἐν τῷ πανηγυρικῷ τοῦ Ἰσοκράτους· ἔνια δὲ εὐθὺς καὶ πρὸ τῆς εἰσόδου ζητεῖται παρὰ τῶν ἀκροατῶν, πρὸς ἃ δεῖ τὸν ῥήτορα τὴν ἀπάντησιν εὐθὺς ἐκ προοιμίων ποιεῖσθαι· ὃ δὴ κἀνταῦθα γέγονε. Τῆς γὰρ δυνάμεως τοῦ Μακεδόνος φοβούσης τοὺς Ἀθηναίους ἐκ τῆς πρώτης ἐπιβολῆς ἀναιρεῖν πειρᾶται τὸν φόβον ἀντιτάξας τῇ Φιλίππου ῥώμῃ τὴν τῶν θεῶν συμμαχίαν. Δεῖ γὰρ τοῖς ἰσχυροῖς τῶν ἀντιπάλων ἰσχυρότερα τὰ παρ' ἡμῶν ἀντιτιθέναι. Φήσας δὲ ἐν πολλοῖς διαθεῖναι τοὺς θεοὺς τὴν ἑαυτῶν εὔνοιαν ἀκατάσκευον παρῆκε τὴν πρότασιν. Ὅθεν καὶ μάλιστα δείκνυται δεύτερος ὢν οὗτος ὁ λόγος· ἐν γὰρ τῷ πρώτῳ φησί, « καί μοι δοκεῖ τις ἄν, ὦ Ἀθηναῖοι, δίκαιος λογιστής. » Νομίσας οὖν ἱκανῶς ἐκεῖ μεμαθηκέναι τὸν ἀκροατὴν περὶ τῆς τῶν θεῶν εὐνοίας, ἐνταῦθα λοιπὸν ὡς ὁμολογούμενον ἔθηκε, καὶ ἅπερ ἐκεῖ μετὰ ἀποδείξεων κατεσκεύασε, ταῦτα νῦν ὡς ὁμολογούμενα τέθεικεν εἰς ἑτέρων ἀπόδειξιν αὐτοῖς χρώμενος. Καὶ τὸ « ἐπὶ πολλῶν » λαβὼν προλήψει κέχρηται πιστούμενος τὴν πρότασιν· τοῦ γὰρ εὔνους εἶναι τοὺς θεοὺς ἐπὶ τοῦ παρόντος τεκμήριον τὸ καὶ ἐπ' ἄλλων πολλῶν φανερὰν γεγενῆσθαι τὴν εὔνοιαν· αἰνιττόμενος ὅτι ἐν τῷ προτέρῳ λόγῳ τοῦτο ἱκανῶς ἀπέδειξε, καὶ ἄλλως τὸ δυνατὸν ἰσχυρὸν κατασκευάζων τῶν Ἀθηναίων καὶ φανερὰν ἐχόντων τὴν εὔνοιαν. Ἔστι δὲ τὸ προοίμιον οὐδὲν ἕτερον ἢ κατασκευὴ τοῦ δυνατοῦ τῶν Ἀθηναίων. RS.

Ἐπὶ πολλῶν μὲν ἄν τις] Ἡ μὲν ὑπόθεσις τοῦδε τοῦ λόγου καὶ τὰ κεφάλαια παραπλήσια τῷ πρώτῳ. Διενήνοχε δὲ κατ' ἐκεῖνο μόνον ὅτι ἐν μὲν τῷ πρώτῳ ζητεῖται εἰ χρὴ βοηθεῖν τοῖς Ὀλυνθίοις, ἐν δὲ τούτῳ τὸ μὲν βοηθεῖν ἤδη δέδεικται, τὴν δὲ ῥώμην ὀκνοῦσι τοῦ Μακεδόνος καὶ τὴν ἰσχύν, δι' ἣν μάλιστα καὶ τὴν δημηγορίαν ταύτην ὁ ῥήτωρ πεποίηται, ὥστε πλεονάζον ἐν τῷ λόγῳ κεφάλαιον εἶναι τὸ δυνατόν. Τῶν δὲ κεφαλαίων τὰ μὲν ἐξ αὐτῆς ἀνακύπτει τῆς τάξεως, οὐκ ὄντα πρῶτον γνώριμα τοῖς ἀκροαταῖς οὐδὲ ἐπιζητούμενα παρ' αὐτῶν ἐξ ἀρχῆς· ἔνια δὲ εὐθὺς καὶ πρὸ τῆς εἰσόδου ζητεῖται παρὰ τῶν ἀκροατῶν, πρὸς ἃ δεῖ τὸν ῥήτορα τὴν ἀπάντησιν εὐθὺς ἐκ προοιμίων ποιεῖσθαι· ὃ δὴ κἀνταῦθα γέγονε. Τῆς γὰρ δυνάμεως τοῦ Μακεδόνος φοβούσης τοὺς Ἀθηναίους, ἐκ τῆς πρώτης ἐπιβολῆς ἀναιρεῖν πειρᾶται τὸν φόβον, ἀντιτάσσων τῇ Φιλίππου ῥώμῃ τὴν τῶν θεῶν συμμαχίαν· δεῖ γὰρ τοῖς ἰσχυροῖς τῶν ἀντιπάλων ἰσχυρότερα τὰ παρ' ἡμῶν ἀντιτιθέναι. Δείκνυται δὲ ὢν δεύτερος οὗτος ὁ λόγος ἐκ τῶνδε· ἐν γὰρ τῷ πρώτῳ περὶ τῆς τῶν θεῶν εὐνοίας ἀπόδειξιν παρασχὼν ἐνταῦθα ὡς ὁμολογούμενον ἔλαβεν. Ἰστέον δὲ ὅτι φησὶν ὁ Φιλόχορος ὅτι τρεῖς βοήθειαι ἐπέμφθησαν, καθ' ἕκαστον λόγον μιᾶς πεμπομένης, ὡς τῆς πρώτης μὴ οὔσης ἱκανῆς. Κεφάλαια δὲ ἐν μὲν τῷ πρώτῳ ἐπὶ πολὺ τὸ συμφέρον, ἐπ' ὀλίγον δὲ τὸ δυνατόν· ἐνταῦθα δὲ τὸ ἐναντίον πολὺ μὲν τὸ δυνατόν, ὀλίγον δὲ τὸ συμφέρον. BTV. Δεύτερος τόπος τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων, ἐξ ἀορίστου δὲ προσλήψεως τὸ σχῆμα τοῦ λόγου· εἰρηκὼς γὰρ τὸ « ἐπὶ πολλῶν » ἀόριστον ἐπήγαγεν ὡρισμένον τὸ περὶ τῶν Ὀλυνθίων. Ὅμοιον τούτῳ τὸ εἰς τὸν ἅγιον Βασίλειον τοῦ θεολόγου (Gregorii Nazianzeni) προοίμιον. ABRSTV. Τοῖς γὰρ προσώποις καὶ πρὸ τῶν πραγμάτων ἴδιαι παρακολουθοῦσιν ὑπολήψεις. ATV. Ἐκ περιχαρείας εἴληπται τὸ παρὸν προοίμιον. A.

Ἐπὶ πολλῶν] Πρότασις. P. Λείπει πραγμάτων. TP.

18, 3. Ἐν τοῖς παροῦσι] ἐν τῷ προσγενέσθαι ἡμῖν τοὺς Ὀλυνθίους συμμάχους. STCP.

18, 4. Τὸ γὰρ Φιλίππῳ γεγενῆσθαι] Τοῦτό ἐστιν ἡ δευτέρα πρότασις, ἣν ὡς ζητουμένην παρὰ τῶν ἀκροατῶν διὰ τὸν παρόντα φόβον κατασκευάζει τοῖς ἐφεξῆς, ἃ φθάνει ἐν τῷ προτέρῳ λόγῳ διδάξας, οὐ μὴν τῶν αὐτῶν ἕνεκεν ἐκεῖσε κἀνταῦθα παρείληπται. Τότε μὲν γὰρ εἰς ἀπόδειξιν τῆς Φιλίππου πανουργίας καὶ ὅτι φανερὸς γενόμενος οὐ δυνήσεται παρακρούσασθαι τοὺς Ὀλυνθίους· ἄπιστον γὰρ ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν χώραν ὅμορον ἔχωσι· νῦν δὲ εἰς πίστιν τῆς εὐνοίας τῶν θεῶν· ἐκεῖ γὰρ ἀποδείξας συμφέρειν τῇ πόλει τὸ τῶν Ὀλυνθίων ἀδιάλλακτον, ἐνταῦθα ὡς ὁμολογούμενον εἰς πίστιν παρέλαβε τοῦτο τῆς εὐνοίας τῶν κρειττόνων. HRS. Ἀφ' ὧν καταβάλλει τὸν Φίλιππον ἀπό τε ῥώμης καὶ γνώμης, ἀπὸ τούτων συνιστᾷ τοὺς Ὀλυνθίους· καὶ πάλιν ἀφ' ὧν καταβάλλει τὸν Φίλιππον ἀπό τε τῆς δυσμενείας τῶν θεῶν καὶ ἀπὸ τῆς ἀπιστίας τῆς πρὸς ἀνθρώπους, ἀπὸ τούτων συνι-

στᾷ τοὺς Ἀθηναίους, ἀπό τε τῆς εὐνοίας τῶν θεῶν καὶ ἀπὸ τῆς πίστεως τῶν ἀνθρώπων. Πῶς γὰρ ἄπιστοι πρὸς ἀνθρώπους; ὅτι Ὀλύνθιοι τῷ Φιλίππῳ πολεμοῦσιν ἡμῖν προσερχόμενοι· ἐκ δ' αὖ τῶν ἐναντίων δυνάμεθα λαμβάνειν τόπους ἐπὶ τοῖς πράγμασιν ἐναντίοις οὖσι. TC.

Τὸ γὰρ τοὺς πολεμήσαντας] Κατασκευὴ τῆς τοῦ προοιμίου προτάσεως. Σημείωσαι δὲ ὅτι ἀπό τε ῥώμης καὶ γνώμης καταβάλλει τὸν Φίλιππον· ἔτι ἀπὸ τῆς δυσμενείας τῶν θεῶν καὶ ἀπιστίας πρὸς ἀνθρώπους, κατασυνιστᾷ Ἀθηναίους ἀπὸ τῆς εὐνοίας τῶν θεῶν καὶ πίστεως πρὸς ἀνθρώπους. P.

Καὶ χώραν ὅμορον] τῇ ἐκείνου P. Εἰ καὶ εἶχον, φησί, δύναμιν καὶ ἐζήτουν αὐτῷ πολεμεῖν, οὐκ ἂν ἠδύναντο, εἴ γε πόρρω που ᾤκουν αὐτοῦ. TV. Ὅρα ὅπως ἀπὸ θεῶν ἀρξάμενος δευτέραν ἔταξε τὴν τῶν Ὀλυνθίων συμμαχίαν. BTV.

18, 5. Δύναμίν τινα] ἀντὶ τοῦ σύμμετρον ἢ μεγάλην. BCSP.

Ἐμπερίβολον τὸ χωρίον, κατ' ἔννοιαν ἔχον οὐκ ὀλίγα τὰ παρακολουθοῦντα. BS.

19, 9. Δαιμονίᾳ τινὶ καὶ θείᾳ] Ὁ μὲν διαλεκτικὸς φιλονεικεῖ πρὸς τὸν ἀντιλέγοντα· διὸ καὶ τῷ συμπεράσματι χρῆται, καθάπερ δεικνὺς ὅτι φανερῶς ἐξήλεγξεν. Ῥήτωρ δὲ εἰ συλλογίζοιτο, φιλονεικότερον καθίστησι τὸν ἀκροατὴν καὶ οὐκ εὐάγωγον πρὸς πειθώ· διὸ καὶ τοῖς λεγομένοις ἐνθυμήμασι χρώμεθα, ἐν οἷς τὰς δύο προτάσεις εἰπόντες τὸ συμπέρασμα σιωπῶμεν, ἐκείνῳ καταλιπόντες αὐτὸ προσενθυμεῖσθαι· βούλεται γάρ τι καὶ οἴκοθεν εἰς τὴν τῶν πραγμάτων εὕρεσιν ὁ ἀκροατὴς συμβάλλεσθαι. Νῦν δὲ ἀναγκαίως ὁ ῥήτωρ ἐχρήσατο τῷ συμπεράσματι. Πρῶτον μὲν γὰρ ἡ κατασκευὴ τῆς προτάσεως διὰ πολλῶν γενομένη ἀνάγκην ἐνεποίησεν αὐτοῦ τοῦ προτεθέντος εἰς ἀπόδειξιν διὰ τοῦ συμπεράσματος ἀναμνῆσαι· δεύτερον δέ, ὅτι ἐν μὲν τοῖς ἀγῶσιν εἰκότως τὸ συμπέρασμα σιωπῶμεν· πολλῶν γὰρ ἤδη καὶ προειρημένων καὶ μελλόντων λέγεσθαι ῥᾳδίως ὁ ἀκροατὴς εὑρίσκει τὸ σιωπηθὲν ὑπὸ τοῦ ῥήτορος· ἐν δὲ προοιμίῳ μηδενὸς ἔτι ῥηθέντος οὐκ ἔχει πόθεν αὐτῷ προσνοῆσαι τὸ λεῖπον. Οὐδὲν δὲ διαφέρει τὸ δαιμόνιον τοῦ θείου παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἐκ παραλλήλου τὸ αὐτό. BTCV.

18, 10. Δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Τοῦτό ἐστι τὸ συμπέρασμα τοῦ προοιμίου· δείξας γὰρ τοὺς θεοὺς εὔνους καὶ τοὺς συμμάχους βεβαίους καὶ τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξήσας καιρὸν ἔσχεν ἐπιτιμήσει χρήσασθαι, ἢ σωφρονίσας ἐπὶ τὰ πράγματα προὔτρεψε. Φησὶν οὖν, μὴ προδόται γενώμεθα τῶν ὑπαρχόντων καὶ δεδωρημένων ἡμῖν παρὰ τῶν θεῶν καὶ δόξωμεν αὐτοὶ καθ' ἑαυτῶν τὰ χείριστα βουλεύεσθαι. BHSTV. Συμπέρασμα. A.

18, 11. Αὐτοὺς] ἡμᾶς. P.

18, 12. Ὅπως μὴ χείρους] μὴ ἀνάξιοι φανῶμεν τῶν δεδομένων παρὰ τῶν θεῶν καὶ τῶν ὑπαρχόντων πραγμάτων. AR.

Τῶν ὑπαρχόντων] ἤτοι τῶν δεδωρημένων ἡμῖν παρὰ τῶν θεῶν. S. ἡμῖν ἐκ θεῶν, θείων δωρεῶν. P.

18, 13. Μᾶλλον δὲ] Προδιόρθωσις. CP. Ἐνδιάθετον τὸ σχῆμα. BS.

18, 15. Προϊεμένους] προδιδόντας. B.

18, 17. Τὸ μὲν οὖν —] Δεύτερον προοίμιον ἀπὸ τοῦ δυνατοῦ. B. Δεύτερον προοίμιον ἐκ προσοχῆς. CP.

Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] οὗ Θ ἰω ἀ (hæc quæ in uno cod. B exstant, Reiskius significare putat Ἰωάννου Ἀθηναίου). Τοῦτο σχῆμά ἐστι τὸ κατὰ παράλειψιν. Οὐκ ἠβούλετο μὲν γὰρ τῇ ἀληθείᾳ τὴν δύναμιν ἐξετάσαι τοῦ Μακεδόνος· ἡ δὲ αἰτία, ἵνα μὴ φοβήσῃ μᾶλλον τοὺς Ἀθηναίους ἀποσχέσθαι τοῦ πρὸς αὐτὸν πολέμου. Οὐκ ἠβούλετο δὲ πάλιν τελέως ταύτην ἀμνημόνευτον ἐᾶσαι, ἵνα μὴ αὐτὸ τοῦτο δόξῃ φοβούμενος ταύτην καταλιπεῖν. Τί οὖν ποιεῖ; καὶ μνημονεύει κατὰ παράλειψιν, καὶ τὴν αἰτίαν οὐ τὴν οὖσαν λέγει, ὅτι ἵνα μὴ φοβήσω ὑμᾶς, ἀλλ' ἑτέραν, ἵνα μὴ δόξω, φησίν, ὑμᾶς αἰσχύνειν καὶ ὀνειδίζειν. BEP. Ἄλλως. Τὸ μὲν πρῶτον προοίμιον ἀπὸ τοῦ ἐπιχειρήματος τοῦ δυνατοῦ ληφθὲν σκοπὸν εἶχεν ἀπὸ τῆς προνοίας τῶν θεῶν τὸ δυνατὸν τῶν Ἀθηναίων αὐξῆσαι· τὸ δὲ δεύτερον περὶ τοῦ δυνατοῦ τοῦ Φιλίππου τὴν ἐξέτασιν ἔχει, καθαίρεσιν ἔχον τῆς δυνάμεως, ὅσην ἔξεστιν ἐν προοιμίοις ἐργάσασθαι. BEHRSTV. Ἐπεὶ δὲ πολλάκις τοῖς τεχνικοῖς θεωρήμασιν ὡς νοήμασι χρώμεθα, τοῦτο καὶ νῦν ὁ ῥήτωρ πεποίηκεν. Εἰδὼς γὰρ ὅτι δυνατόν ἐστι προτρέπειν τοὺς οἰκείους καὶ ἐπαινοῦντα τοὺς πολεμίους καὶ ψέγοντα (ὁ μὲν γὰρ ἔπαινος τῶν ἐχθρῶν ζῆλον ἡμῖν κινεῖ πρὸς αὐτούς, ὁ δὲ ψογὸς εἰς ἀγανάκτησιν ἄγων παροξύνει), τὸ μὲν θεώρημα ὡς νόημα εἶπεν, ὅτι ἐξῆν ὑμᾶς προτρέπειν ἐπαινοῦντα τὸν Φίλιππον, νῦν δὲ οὐ τοῦτο ποιῶ. Καὶ προσποιεῖται μὲν παραλιπεῖν, ἐν οἷς δὲ τὴν αἰτίαν παραδίδωσι τῆς παραλείψεως, ἐν τούτοις ἐπαινεῖ τὸν Φίλιππον. Τοῦτο δὲ ποιεῖ, ἵνα καὶ χρώμενος μὴ δοκῇ κεχρῆσθαι καὶ ἵνα παροξύνῃ διὰ τοῦ ζήλου τὸν δῆμον, οὐ προσποιεῖται δὲ φανερῶς ἐπαινεῖν, ἵνα μὴ τὸν φόβον αὐξήσῃ τῶν Ἀθηναίων. HRS.

18, 19. Οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι] Κατὰ μὲν τὸ ἀληθὲς οὐ βούλεται διελθεῖν αὐτοῦ τὴν δύναμιν, ἵνα μὴ φοβήσῃ τοὺς Ἀθηναίους· ὑπωπτεύετο γὰρ συμμάχους ἔχειν πολλούς· προσποιεῖται δὲ τὴν δόξαν παραιτεῖσθαι, ἵνα, φησί, μὴ φιλοτιμίαν ἐκείνῳ περιποιήσω δι' ὧν αὔξω αὐτόν. TCV.

Διὰ τί;] Κατασκευὴ τοῦ δευτέρου προοιμίου. B.

18, 20. Ὑπὲρ τούτων] τῶν τοῦ Φιλίππου. P.

18, 22. Ὁ μὲν γὰρ—] Σημείωσαι· χιαζομένη περίοδος τετράκωλος, ἔχουσα δύο προτάσεις καὶ δύο ἀποδόσεις. BTCP. Ἡ βάσις τοῦ προοιμίου, ἥτις ἐστὶν αἰτία τῆς ἀξιώσεως, ἅπτεται αὐτοῦ τοῦ πράγματος, παροξύνουσα τοὺς Ἀθηναίους πρὸς πόλεμον μετὰ τὸ ἀνεικέναι αὐτοὺς τῆς ἀθυμίας. RS.

Ὑπὲρ τὴν ἀξίαν] Ἔτι κέχρηται τοῖς ἐπαίνοις, οὐ μὴν ἐκβαίνει τὸ μέτριον ὥστε καὶ φοβεῖν· οὐ γὰρ εἶπεν ἁπλῶς ὅσα κατώρθωσεν, ἀλλ' ὑπὲρ τὴν ἀξίαν, ὥστε καὶ τὰ κατορθώματα μὴ σφόδρα μεγάλα νομίζεσθαι ταπεινῶν ὄντων Μακεδόνων. RS.

18, 26. Ταῦτα μὲν οὖν παραλείψω] Τὸ σχῆμα μερισμός. C.

Πάλιν προσποιούμενος παραλιπεῖν ἐπιμένει τοῖς αὐτοῖς λέγων « ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον. » Ἔστι δὲ καὶ τοῦτο καθαιρετικὸν τῆς τοῦ Φιλίππου δυνάμεως, εἴπερ αὐτὸν δύο ἢ καὶ τρεῖς τῶν Ἀθηναίων ηὔξησαν. RS.

Καὶ γὰρ εἰ] Συμπέρασμα τοῦ δευτέρου προοιμίου. B.

19, 1. Ἐνθένδ' ἂν] ἤγουν ἀπὸ τῶν ῥητόρων τῶν Ἀθηναίων, ἢ ἀπὸ τοῦ τοὺς Ἀθηναίους χρήσασθαι τοῖς πράγμασι μὴ προσηκόντως. RS. Ὅ ἐστιν ἀπὸ τῶν Ἀθηναίων, Αἰνίττεται δὲ εἰς τοὺς φιλιππίζοντας ῥήτορας. TCP.

19, 3. Ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει] Τρίκωλος αὕτη

περίοδος ἔχουσα μίαν πρότασιν δίκωλον καὶ μίαν ἀπόδοσιν. BSTCV.

Ὧν οὖν ἐκεῖνος μὲν] ὑπὲρ ὧν οὖν ηὐξήκασιν οὕτω Φίλιππον οὗτοι οἱ προδόται, καὶ ἔδει αὐτὸν μὲν Φίλιππον χάριν αὐτοῖς ὁμολογεῖν, ἡμᾶς δὲ δίκην αὐτοὺς εἰσπράττεσθαι, ὑπὲρ τούτων, φησὶν, οὐκ εὔκαιρόν μοι τὸ λέγειν νῦν δοκεῖ· οὐ γὰρ περὶ τούτων εἰσῆλθον κατηγορίαν ἐνστήσασθαι, ἀλλὰ συμβουλεῦσαι περὶ Ὀλυνθίων. TCV. Λύσις τοῦ ἀντιπίπτοντος. Ἀντέπιπτε γὰρ αὐτῷ, διὰ τί οὐ γράφεις καὶ κατηγορεῖς; RS.

Πεπολιτευμένοις] ἤτοι τοῖς ῥήτορσιν· ἢ ἀντὶ τοῦ τοῖς πεπραγμένοις. S. Παρ' ὑμῖν. P.

19, 4. Λαβεῖν] παρ' αὐτῶν. P.

19, 5. Τοῦ λέγειν] ὑπὲρ τῶν πεπολιτευμένων ὑπὲρ ἐκείνων. P.

Ἃ δὲ καὶ] Τετράκωλος αὕτη περίοδος ἔχουσα μίαν πρότασιν τρίκωλον καὶ ἀπόδοσιν μονόκωλον. S.

Χωρὶς τούτων] χωρὶς τοῦ παροξυνθῆναι ἐπὶ τὸν πόλεμον διὰ τῆς κατηγορίας τῶν προδοτῶν. TCP.

19, 8. Κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη] Ἰδοὺ παραδίδωσιν ἡμῖν πότε δεῖ ἐκ τῆς τῶν ἐναντίων δόξης παροξύνειν οἷς προτρέπομεν, ὅτε εἰσὶ τὰ μεγαλεῖα ἐκείνων ἐξ ἄλλων τινῶν, καὶ οὐκ ἐκ τῶν προτρεπομένων, ὡς ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν ἐποίησεν ἐν οἷς διέξεισι τὴν σπουδὴν τοῦ Φιλίππου. Ἐκεῖσε γὰρ τοῖς ἄλλοις ὑπάρχει βαρὺς, οὐ τοῖς Ἀθηναίοις, ἐνταῦθα δὲ ἐπεὶ ἐν τῷ τοὺς Ἀθηναίους βλάπτειν γέγονε μέγας ὁ Φίλιππος, παραιτεῖται λέγειν, καὶ ἔστι μέθοδος δεινότητος, ἵνα μὴ φοβερώτερον καταστήσῃ τὸν Φίλιππον, ἀλλ' ἐκ τῆς γνώμης διαβάλλῃ. TC.

19, 9. Ταῦτ' εἰπεῖν πειράσομαι] Ἵνα μὴ δόξῃ πρὸς χάριν Ἀθηναίων διαβάλλειν τὸν Φίλιππον, τοῖς πράγμασι πιστοῦται τὰ ῥήματα καὶ δείκνυσιν αὐτὸν διά τε τῆς ἐπιορκίας καὶ τῆς ἀπιστίας καὶ θεῶν καὶ ἀνθρώπων πολέμιον. RS.

Τὸ μὲν οὖν ἐπίορκον] Τρίτον προοίμιον. Ἔστι δὲ καὶ αὐτὸ ἐκ τοῦ δυνατοῦ εἰλημμένον. A. Τρίτον ἐστὶ τοῦτο προοίμιον, οὐ μὴν τὴν αὐτὴν δύναμιν ἔχει τοῖς προειρημένοις. Ἐκεῖνα μὲν γάρ ἐστιν ὅλης τῆς ὑποθέσεως· τὸ μὲν γὰρ πρότερον περὶ τοῦ δυνατοῦ τῶν Ἀθηναίων, τὸ δὲ δεύτερον περὶ τοῦ δυνατοῦ τοῦ Φιλίππου, τὸ δὲ δυνατὸν κεφάλαιον ὅλον συνέχει τὸν λόγον· τοῦτο δὲ μερικόν ἐστι προοίμιον, κατασκευὴν ἔχον τῶν ἔγγιστα· ἐπειδὴ γὰρ μέλλει τὴν ἀδικίαν καὶ τὴν ἀπιστίαν ἐξετάζειν τοῦ Μακεδόνος, αἰτίαν ἀποδίδωσιν ἐν τῷ προοιμίῳ, δι' ἣν προλαβὼν μέλλει τοῦτο ποιεῖν. BHRSTV. Τοῦτο γὰρ μάλιστα ἴδιον τῆς Δημοσθένους δεινότητος τὸ προλαβεῖν ταῖς προκατασκευαῖς τὸν ἀκροατὴν, ὥστε ἀδεῶς παραδέχεσθαι τὰ μέλλοντα λέγεσθαι. Τοῦτο κἀν τῷ κατὰ Κόνωνος (p. 27) ἐποίησεν· ἵνα γὰρ μὴ ἀπίθανος εἶναι δόξῃ τοσαύτας πληγὰς καὶ ὕβρεις εἰς αὐτὸν γεγενῆσθαι λέγων, προέλαβε διὰ τῆς κατασκευῆς τὸν ἀκροατὴν εἰπὼν ὅτι κατὰ τὸ στρατόπεδον συσκηνούντων τῶν περὶ τὸν Κόνωνα πολλὰ παρ' αὐτῶν ἐγίγνετο καὶ ἄλλα ὑβριστικὰ μεθυόντων. HRS. Ἄλλως. Ἰστέον ὅτι τὸ δεύτερον καὶ τρίτον προοίμιον εἰς καθαίρεσιν Φιλίππου ἔλαβεν, ἀλλ' ἐν μὲν τῷ δευτέρῳ ἀπὸ τῆς ῥώμης αὐτὸν καθεῖλεν, ἐν δὲ τῷ τρίτῳ ἀπὸ τῆς γνώμης καὶ τοῦ κρείττονας ἔχειν πολεμίους· ἐκ δὲ τοῦ αὐτοῦ ἐπιχειρήματος, ἤτοι τοῦ δυνατοῦ, ἀμφότερα, ἐπειδὴ φοβερὸς ὁ Φίλιππος δοκῶν καὶ δυνατὸς ἐφόβει τοὺς Ἀθηναίους. Καὶ ἡ πᾶσα σύστασις τοῦ λόγου ἐπὶ τὸ δυνατὸν κεφάλαιον ἀνάγεται. BTCV.

Ἐπίορκον] Σημείωσαι· διὰ τοῦ εἰπεῖν ἐπίορκον θεοῖς ἐχθρὸν αὐτὸν ἀπέφηνεν, διὰ δὲ τοῦ ἄπιστον τῶν ἀνθρώπων πολέμιον κατέστησεν. Καὶ ἵνα μὴ δόξῃ πρὸς χάριν Ἀθηναίων διαβάλλειν τὸν Φίλιππον, τοῖς πράγμασι πιστοῦται τὰ ῥήματα. B.

19, 11. Κενὴν] ματαίαν καὶ χωρὶς ἐλέγχου. P.

Τὸ δὲ πάνθ' ὅσα πώποτε] Πρότασις ἐστὶ καὶ αὕτη καὶ ἡ ἄλλη ἄνευ κατασκευῆς. Ὡς γὰρ ὁμολογούμενα ἔλαβεν, ἵνα μὴ ἀμφιβάλλωμεν ὅτι τοιοῦτος οἷον καὶ ὁ λόγος ἀποδείκνυσιν. AR.

19, 11. Καὶ βραχέος λόγου] Ἐπειδὴ τὸ πάντα ὅσα εἶπε καὶ ἔπραξε Φίλιππος ἐπαγγείλασθαι εἰπεῖν ὑπόνοιαν ἐδίδου μακρολογίας, πολεμία δὲ αὕτη τοῖς ἀκροαταῖς, τῷ συντόμῳ τῶν λόγων παρεμυθήσατο. TCV.

Συμβαίνει δεῖσθαι] Κατὰ τὸ τέλος πάρισον. Καὶ ἐν τῷ τρίτῳ τῶν Ὀλυνθιακῶν πάρισον κατὰ τὸ τέλος « ἂν τὰ « παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆ- « σαι πρὸς ἃ δεῖ. » TC.

19, 15. Ὅπερ καὶ ἀληθὲς ὑπάρχει] Ὑπερβατὸν κατὰ παρένθεσιν, ὃ λέγεται ἐκ περιβολῆς. C.

Φαῦλον] ἀντὶ τοῦ εὐτελῆ τινές. S.

19, 17. Πάντα διεξελήλυθεν] ὥστε νῦν αὐτὸν εἶναι λοιπὸν εὐκαθαίρετον. Εἰ γὰρ οὐκέτι προσθήκην αὐτῷ λαμβάνει τὰ πράγματα, μένειν δὲ ἐπὶ τῶν αὐτῶν οὐχ οἷόν τε τὰ ἀνθρώπινα, καθώς φησιν αὐτὸς ἐν τετάρτῳ (Philipp. I, p. 42, 15) « μὴ γὰρ ὡς θεῷ νομίζετε ἐκείνῳ πεπηγέναι, » δῆλον ὅτι πρὸς καθαίρεσιν ἥκει λοιπὸν αὐτῷ τὰ τῆς δυνάμεως. BRS. Εἰ γὰρ οὐκέτι προσθήκην αὐτῷ λαμβάνει τὰ πράγματα, μένειν δὲ ἐπὶ τῶν αὐτῶν οὐχ οἷόν τε τὰ ἀνθρώπινα, δῆλον ὅτι πρὸς καθαίρεσιν ἥκει λοιπὸν αὐτῷ τὰ τῆς δυνάμεως.—Ἀντὶ τοῦ, οὐδεμίαν ἔτι εὑρίσκει μηχανήν· πάσας γὰρ διῆλθε, καὶ πάντες αὐτὸν ἔγνωσαν. TCEV.

19, 18. Παρακρουόμενος] ἐξαπατῶν. P.

19, 20. Ἐγὼ μὲν γὰρ] Ἀρχὴ τῶν κεφαλαίων τὸ δυνατόν. B. Ἐντεῦθεν εἰς αὐτὸ τὸ κεφάλαιον ἐνέβαλε, τὸ δυνατὸν, ἀπὸ λύσεως ἀρξάμενος· ἡ γὰρ ἀντίθεσίς ἐστιν· ἀλλὰ φοβερὸς ὁ Φίλιππος, ἥντινα φανερῶς μὴ θεὶς ἐπάγει τὰς λύσεις. Ὅταν μὲν γὰρ πρὸς ἀντίδικον ἔχωμεν ἀναγκαίως μέλλοντα χρῆσθαι ταῖς ἀντιθέσεσι, κἂν ἡμεῖς μὴ λέγωμεν, τότε δεῖ φανερῶς τιθέναι τὰς ἀντιθέσεις, ὅταν δὲ αὐτὸς καθέζηται παρ' ἑαυτῷ τὴν ἀντίθεσιν ἔχων ὁ ἀκροατὴς, τότε χρὴ λύειν καὶ μὴ τιθέντα. Ὅπερ καὶ νῦν γέγονεν. Εἰσελήλυθε γὰρ αὐτὸς ὁ δῆμος πεφοβημένος τὸν Φίλιππον, ὥστε περιττὸν ἦν τιθέναι ταύτην, δι' ἣν σκεψόμενοι συνῆλθον. BRSTCV. Συνδρομῇ δὲ κέχρηται μεθ' ὑπερβολῆς, ἵνα μὴ τοῖς φανερῶς μαχομένοις ἀπίθανος δοκῇ. Τὸ γὰρ « σφόδρα ἡγούμην φοβερὸν καὶ θαυμαστόν » συντρέχοντός ἐστι τῇ κοινῇ δόξῃ τοῦ δήμου καὶ τῇ φήμῃ τῇ περὶ Φιλίππου. Ἵνα δὲ δόξῃ εἶναι πιθανὸς, ἀφίστησι τὴν συνδρομὴν διὰ τῆς λύσεως. RS.

19, 21. Καὶ αὐτὸς] ὥσπερ οἱ ἄλλοι. P.

19, 22. Δίκαια] Τὸ δίκαιον ἐνταῦθα οὐ προηγουμένην ἔχει ἐξέτασιν, ἀλλ' εἰς κατασκευὴν ἐλήφθη τοῦ μὴ εἶναι φοβερὸν τὸν Φίλιππον, ἀλλ' εὐκαθαίρετον· εἰ γάρ ἐστιν ἀσεβὴς καὶ ἐπίορκος, δυσμενεῖς ἔχει τοὺς θεούς. S.

19, 23. Νῦν δὲ θεωρῶν] Τὸ ὑπερβατὸν οὕτω· νῦν δὲ εὑρίσκω τὸν Φίλιππον τὴν ἡμετέραν εὐήθειαν τούτῳ προσαγόμενον, ὅ ἐστι διὰ τούτου, ὥσπερ ὠνησάμενον τὴν ἡμετέραν μωρίαν καὶ δυνηθέντα ἡμᾶς ἀπατῆσαι διὰ τοῦ

ὑπισχνεῖσθαι παραδοῦναι ἡμῖν τὴν Ἀμφίπολιν. Ὑπισχνεῖτο γὰρ σώσειν αὐτὴν τοῖς Ἀθηναίοις, εἰ μὴ προσδέξαιντο τοὺς Ὀλυνθίους εἰς φιλίαν καὶ συμμαχίαν δοῖεν αὐτοῖς. Ἐξ ὧν πεισθέντες Ἀθηναῖοι τούτους ἀπήλασαν τέως, πάλιν δὲ εἶχον πρὸς αὐτοὺς φιλίαν. Εἶτα ὁρῶν ὁ Φίλιππος ὅτι ἀσθενεῖ πρὸς Ὀλυνθίους μαχόμενος, διὰ τὸ μὴ καθαρῶς ἀποστῆναι αὐτῶν τοὺς Ἀθηναίους, χαρισάμενος αὐτοῖς τὴν Ποτίδαιαν ἀπέστησεν Ἀθηναίων· φησὶ γὰρ ὅτι καὶ τούτους ἠπάτησεν. Ὅρα δὲ πῶς, εἰπὼν Ἀθηναίους ἠπατῆσθαι καὶ Ὀλυνθίους, τοὺς Ἀθηναίους προέταξεν, ἵνα συγγνώμην ἔχωσιν Ὀλύνθιοι δεύτεροι ἀπατώμενοι μετὰ Ἀθηναίους τοὺς σοφωτάτους· τὸ αὐτὸ δὲ θρυλούμενον μὲν παρ' ἡμῖν, ἀπόρρητον δὲ παρὰ τοῖς Ἕλλησιν ὄν. STCV.

Σχοπῶν] αὐτόν. P.

19, 24. Τὴν μὲν ἡμετέραν εὐήθειαν] Οὐκ εἶπεν ὑμετέραν, διὰ τὸ ἐπαχθὲς καὶ ἑαυτὸν συνάπτων τῷ ἐγκλήματι. Φασὶ δέ τινες σημαίνειν τὴν εὐήθειαν [οὐ] πάντοτε μωρίαν, ἀλλ' ἔστιν ὅτε πραότητα καὶ ἐπιείκειαν καὶ τὸ ἁπλοῦν· ὅπερ καὶ νῦν βούλεται σημαίνειν. BTCV. Ἁπλότητα καὶ ἀπονηρευσίαν. P.

Τὸ κατ' ἀρχὰς] Πρώτους ἔδειξεν ἠπατημένους Ἀθηναίους σφόδρα δεινῶς αὐτοὺς ἐκείνους μάρτυρας τῆς ἀπιστίας Φιλίππου ποιούμενος, εἶτα καὶ πιθανὸν ποιῶν τὸ πολλοὺς ἄλλους ἠπατῆσθαι παρὰ τοῦ Μακεδόνος. Εἰ γὰρ οἱ σοφώτατοι τῶν Ἑλλήνων ἠπατήθησαν, τί παράδοξον Ὀλυνθίους καὶ Θετταλούς; πρὸς δὲ τούτους καὶ συνέστησε τὴν ποιότητα τῶν Ὀλυνθίων. Ἐκ πολλοῦ γὰρ εὖ διάκεινται πρὸς τὴν πόλιν. RS.

19, 25. Ἀπήλαυνόν τινες] Δέον εἰπεῖν ἀπηλάσατε ὑμεῖς, ἡ γὰρ πόλις πᾶσα ἦν ἡ τοῦτο ποιήσασα· ὁ δὲ εἰς τοὺς ῥήτορας ἀπωθεῖται τὸ ἔγκλημα. Ἐμφαντικῶς δὲ εἶπεν ἐνθένδε, οἷον ἀπὸ τῶν Ἀθηναίων, ἀπὸ τοῦ χωρίου ὥσπερ τοῦ Ἐλέου (ὅπερ βωμὸν ἔχει τοῦ Ἐλέου? ἀπὸ τῶν Ἀθηναίων ἐκ τοῦ δευτέρου μετὰ τοῦ Ἐ. cod. B.), ἔνθα καὶ Ἡρακλεῖδαι ἐσώθησαν, ἀπήλαυνον οὗτοι τοὺς ἱκέτας. BERSTV.

Τινες] οἱ τούτῳ χαριζόμενοι. P.

19, 27. Τὸ θρυλούμενον] Ἠπάτα γὰρ ἡμᾶς λέγων τὸ θρυλούμενον παρ' ὑμῖν κατορθοῦν ἐν ἀπορρήτῳ· ἐθρύλουν γὰρ πάνυ αὐτὸ ποθοῦντες. Ὁ δὲ νοῦς, αὐτὸς ὅπερ ἠβούλεσθε, τοῦτο ποιῆσαι ἔλεγε σιγῇ, ἵνα μὴ μαθόντες οἱ ἐναντίοι κωλύσωσιν. Ἔστι δὲ τοῦτο ὁ Ὠρωπός. Ἵν' οὖν, φησί, μὴ ἐναντιωθῶσιν οἱ Θηβαῖοι, λάθρα αὐτὸ κατορθοῖ. Ἦν γὰρ μεταξὺ τῆς Βοιωτίας καὶ τῶν Ἀθηναίων ὁ Ὠρωπός. AH.

Οὐ τὸν Ὠρωπὸν, ὥσπερ ἐν τῷ κατ' Αἰσχίνου (p. 446, 1), σημαίνει, ἀλλ' ἐπειδὴ Ἀμφίπολιν τὴν ἐπὶ Θρᾴκης ὑπέσχετο σώσειν (παραδώσειν?) τοῖς Ἀθηναίοις, εἰ μὴ προσδέξαιντο τοὺς Ὀλυνθίους. Τὸ δὲ αὐτὸ, τὸ θρυλούμενον μὲν παρ' ὑμῖν, ἀπόρρητον δὲ παρὰ τοῖς Ἕλλησιν ὄν. Διὰ τί δὲ ὑποσχόμενος ἐπίορκον ἐλέγξειν τὸν Φίλιππον, οὐδαμοῦ περὶ ἐπιορκίας ἐμνημόνευσεν; ὅτι ὡς ὁμολογούμενον αὐτὸ παρέλιπε. Δῆλον γὰρ ὅτι ἐν οἷς συνετίθετο πρὸς τὰς πόλεις καὶ ὅρκους ἐδίδου, παρέβαινε δὲ τὰς συνθήκας, παρέβαινε καὶ τοὺς ὅρκους. Ἔτι πρὸς τούτῳ κἀκεῖνο ζητητέον. Καταδρομὴν ποιεῖται τοῦ Μακεδόνος, καθ' ἣν ποιότητα ἐξετάζει τὸ πρόσωπον, καὶ φαμὲν εἶναι συμβουλευτικὸν τὸν λόγον. Ὁμοίως ἐν τῷ κατὰ Ἀριστοκράτους τὴν ποιότητα ἐξετάζει τὴν Χαριδήμου, καὶ φαμὲν εἶναι δικανικὸν τὸν λόγον. Ὁμοίως ἐν τοῖς ἐπιδεικτικοῖς ποιότητα ἐξετάζομεν τοῦ προσώπου πότερον ψεκτὸν ἢ ἐπαινετόν. Εἰ τοίνυν ἐν πᾶσι τοῖς εἴδεσιν ἡ ποιότης ἐξετάζεται, τίνα φήσομεν εἶναι τὴν διαφορὰν ἀπό τε τῶν ἄλλων καὶ τῶν σκοπῶν; τὸ εἶδος κανονίζομεν. Ἂν μὲν τιμωρίαν βουλόμενοι λαβεῖν τὴν ποιότητα ἐξετάζωμεν, δικανικὸν τὸ εἶδος· ἂν δὲ πρὸς τὸ συμφέρον ἀποβλέποντες, συμβουλευτικόν· ἂν δὲ πρὸς τὸ καλὸν μόνον σκοποῦντες, ἐπιδεικτικὸν γίγνεται τὸ εἶδος. RS.

Τὸ θρυλούμενόν ποτε] Λέγουσιν ὅτι Πύδνα χωρίον Μακεδονίας, Ποτίδαια δὲ τῆς Θρᾴκης· καὶ ἡ μὲν Πύδνα ὑπήκοος ἦν Φιλίππῳ, ἡ δὲ Ποτίδαια τοῖς Ἀθηναίοις. Ἐγένετο δέ ποτε τὴν μὲν Ποτίδαιαν ἀποστῆναι πρὸς Φίλιππον, τὴν δὲ Πύδναν πρὸς τοὺς Ἀθηναίους. Ἑκάτεροι δὲ, οἵ τε Ἀθηναῖοι καὶ ὁ Φίλιππος, τῶν ἰδίων ἐπεθύμουν. Τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλούμενον τοῦτο καὶ ποθούμενον ἐν ἀπορρήτῳ κατασκευάσω. Διὰ τί δὲ ἐν ἀπορρήτῳ; ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, ἵνα δῷ αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξηται δὲ παρ' αὐτῶν τὴν Πύδναν αὐτοῦ οὖσαν. Καὶ τὸ ἀπόρρητον δὲ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται. Οὐ γὰρ ἐβούλοντο εἶναι ὑπὸ τὸν Φίλιππον. STCV.

19, 28. Τὴν δ' Ὀλυνθίων φιλίαν] Ἀπὸ κοινοῦ τὸ εὑρίσκω προσαγαγόμενον. Ὅρα δὲ ὅτι ἐπὶ μὲν Ἀθηναίων εὐήθειαν εἶπεν, ἐπὶ δὲ Ὀλυνθίων φιλίαν. STC.

20, 1. Συμμάχους] τοὺς Ποτιδαιάτας. SP.

20, 2. Ἐκείνοις] ἤτοι τοῖς Μακεδόσι. S.

Θετταλοὺς δὲ νῦν] Εἰκότως τοὺς Θετταλοὺς τελευταίους ἠπάτησεν ὡς εὐχερεῖς ὄντας καὶ μὴ δυνηθέντας ἀπὸ τῆς Ὀλυνθίων καὶ Ἀθηναίων ἀπάτης σωφρονισθῆναι. BRSV.

20, 5. Ὅλως] καθόλου. BS. Ἔστι δὲ τὸ σχῆμα περιοχή. S.

Ὅντινα οὐ πεφενάκικεν] Ἐπεὶ στρατηγικὸν εἶναι δοκεῖ τὸ φενακίζειν τοὺς πολεμίους, διὰ τοῦτο ἐνήλλαξεν εἰπὼν τῶν αὐτῷ χρησαμένων, ὅτι Φίλιππος οὐ τοὺς πολεμίους, ἀλλὰ τοὺς φίλους ἀπατᾷ· τοῦτο δὲ ἀπιστίας τεκμήριον. Εἴρηται δὲ ἡ λέξις ἀπὸ τῆς φενάκης, τῆς προσθετῆς κόμης, ἥτις ἕνεκεν ἀπάτης γίνεται· προσποιεῖται γὰρ περιτιθέναι κόσμον ὅνπερ οὐ κέκτηται. BTCEV.

20, 8. Ὥσπερ οὖν—] Σημείωσαι· ἐνθύμημα ὃ καλεῖται ἀκολουθία. BTCP. Ὥσπερ, φησί, διὰ τῆς ἀγνοίας γέγονε μέγας, οὕτως ὀφείλει διὰ τῆς γνώσεως καθαιρεθῆναι πάλιν. RSTV.

20, 10. Διὰ τούτων] ἀγνοούντων, καὶ διὰ τοῦτο ἀπατηθέντων. P.

Διὰ τῶν αὐτῶν] εἰς γνῶσιν ἐλθόντων ὅτι ἠπάτηνται· διὸ κατ' αὐτοῦ ὁρμήσουσιν. P.

20, 11. Ἕνεκα ἑαυτοῦ] ἀλλ' οὐχ ἕνεκα αὐτῶν. P.

20, 12. Καιροῦ] ἀντὶ τοῦ ἀτυχίας. BS.

20, 14. Παρελθὼν] Τὸ σχῆμα πρόκλησις. BTCP.

Μᾶλλον δ' ὑμῖν δειξάτω] Τὸ σχῆμα ἐπιδιόρθωσις. TC. Τοῦτο λέγεται ἐπανόρθωσις. Εἰ ἐμὲ γὰρ, φησίν, ἀνάξιον νομίζει τοῦ μαθεῖν, ὑμῖν δειξάτω. Ὅρα δὲ πῶς τὸ μὲν ἀμφίβολον ἔφυγε, τὸ δὲ ὁμολογούμενον ἔλαβεν. Ἀμφίβολον μὲν γὰρ τὸ « λεγέτω μοι ὅτι οὐκ ἔστιν ἀσθενής. » Τὸ δὲ ὁμολογούμενον, « ὅτι οἱ ἐξηπατημένοι οὐ πιστεύ« σουσιν. » BHSTCV. Eadem paullo aliter AR.

20, 17. Παρὰ τὴν αὐτῶν ἀξίαν] Τοῦτο, ἵνα πιθανὴν ποιήσῃ ὅτι τὴν ἐλευθερίαν ἀγαπήσουσιν. S.

20, 18. Καὶ μὴν εἴ τις ὑμῶν] Τὸ σχῆμα ἀνθυποφορά. B. Καὶ τοῦτο ἀντίθεσίς ἐστιν ἀπὸ τοῦ δυνατοῦ, δύναμιν ἀνθυποφορᾶς ἔχουσα. Ἡ γὰρ ἀνθυποφορὰ οὐχ ὁλόκληρός ἐστιν ἀντίθεσις, ἀλλὰ μέρος ἀντιθέσεως, τὸ μὲν δεχομένη, τῷ δὲ ἐνισταμένη, οἷόν ἐστι καὶ τὸ νῦν. Τῆς γὰρ πρώτης ἀντιθέσεως οὔσης, ὅτι φοβερὸς ὁ Φίλιππος, καὶ τῷ δικαίῳ λελυμένης, ἡ ἀνθυποφορὰ πρὸς μὲν τὸ δίκαιον οὐκ ἐνίσταται, μέρος δὲ ἔχει τοῦ δυνατοῦ, ὅτι εἰ καὶ Φίλιππος ἄδικος καὶ ἐπίορκος, ἀλλ' ὅμως βίᾳ καθέξει τὰ πράγματα. BHRSTCV. Ἐδήλωσε δὲ καὶ αὐτὸς ὁ ῥήτωρ τὴν δύναμιν τῆς ἀνθυποφορᾶς εἰπὼν « ταῦτα μὲν οὖν οὕτως ἔχειν ἡγεῖται, » φαίνεται γὰρ τὸ μέν τι συγχωρῶν, τὸ δὲ μὴ δεχόμενος. HRS.

20, 19. Οἴεται δὲ βίᾳ καθέξειν] ὅ ἐστι διὰ τὸ κατέχειν αὐτὸν τοὺς καιρίους τόπους κατ' αὐτῶν, οἷον φρούρια καὶ λιμένας, ἵνα, κἂν θελήσωσιν ἀποστῆναι, μὴ δυνήσονται. TCV.

20, 20. Τῷ τὰ χωρία καὶ λιμένας] Οὐκ εἶπε τῷ στρατηγοὺς ἔχειν καὶ συμμάχους, δι' ὧν μάλιστα βίᾳ κρατοῦμεν, οὐδὲ μὴν πόλεις καὶ φρούρια, ἀλλὰ (χωρία καὶ λιμένας) τοῖς γενικοῖς ὀνόμασι χρησάμενος ἠλάττωσε τὴν δύναμιν τοῦ Μακεδόνος. Καὶ τὸ προειληφέναι οὐ βίᾳ κρατοῦντός ἐστιν, ἀλλ' ἀπάτῃ προλαβόντος. Καὶ δι' ὧν εἰσάγει τὴν ἀντίθεσιν φθάνει καὶ πρὸ τῆς λύσεως καθαιρῶν τοῖς ὀνόμασι τὴν δύναμιν τῆς ἀντιθέσεως. HRS.

20, 21. Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας] Ἀπὸ τοῦ δικαίου πάλιν ἐποιήσατο τὴν λύσιν· εἰ γὰρ ἐκ πλεονεξίας ἴσχυσεν, οὐκ εὔνους ἔχει τοὺς ἀδικηθέντας. BSTCV.

20, 22. Πᾶσι] στρατηγοῖς καὶ στρατιώταις. TCP.

20, 26. Ἡ πρώτη πρόφασις] Ἀντιπῖπτον ἔλυσεν « οὐκοῦν δεήσει μάχης καὶ κινδύνων, ἵνα κρατήσωμεν. » Ὁ δὲ ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα εἰπὼν τὸ ῥᾴδιον τῆς καθαιρέσεως ἔδειξεν. Τοῦτο γὰρ μάλιστα τοῦ δυνατοῦ κεφαλαίου τιμιώτατον μέρος. BETCV.

20, 27. Μικρὸν πταῖσμα] τὸ ἡττηθῆναι αὐτὸν κατὰ τὸν πόλεμον. TP.

Ἀνεχαίτισε] εἰς τοὐπίσω ἤγαγε. H. Ἀνέτρεψεν· ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων, ἃ διὰ τὸ μὴ ἐπὶ πολὺ δύνασθαι φέρειν τὸν ζυγὸν πολλάκις ἀνατρέπει αὐτόν. Πάνυ δὲ ὁ λόγος ἁρμόζει καὶ ἐπὶ τῶν ὑπὸ Φιλίππου δεδουλωμένων, εἴ γε καὶ ἡ δουλεία ἔοικε ζυγῷ, καὶ τὸ βούλεσθαι τοὺς δούλους ἀποστῆναι, διὰ τὸ μηκέτι φέρειν ἐπὶ πολὺ ἀδικοῦντα καὶ ἐπιορκοῦντα. Τῇ δὲ συνεχείᾳ τῶν ὀνομάτων δείκνυσιν αὐτὸν καὶ θεοῖς καὶ ἀνθρώποις πολέμιον, ἵνα τὸ μὲν ἀδικοῦντα λάβωμεν ἐπὶ ἀνθρώπων, τὸ δὲ ἐπιορκοῦντα ἐπὶ θεῶν, τὸ δὲ ψευδόμενον ἐπ' ἀμφοτέρων. BHSTCEV.

20, 29. Δύναμιν βεβαίαν] Ἐξ ἀμφοτέρων ἡ ἐλάττωσις. TC.

21, 2. Ἀντέχει] ἰσχύει. A.

Σφόδρα] Τὸ ὀλιγοχρόνιον παρέστησεν. BC.

Καὶ σφόδρα γε ἤνθησε] Τῷ διαταγμῷ καὶ ἐλπίσι χρησάμενος καὶ τῷ ἤνθησεν πρόσκαιρον καὶ ἀβέβαιον ἔδειξε τὴν δύναμιν τοῦ Μακεδόνος· καὶ γὰρ τὰ ἄνθη πρόσκαιρα καὶ οὐ πολυχρόνια. STCV.

21, 3. Φωρᾶται] τουτέστιν ἐλέγχεται. Ἀπὸ μεταφορᾶς τοῦ φωρὸς, ἢ τοῦ λῃστοῦ. Φὼρ γὰρ ὁ λῃστής· ἔνθεν καὶ τὸ ἐπ' αὐτοφώρῳ BSTCV. Ἐλέγχεται δὲ τὰ τοιαῦτα τῷ χρόνῳ. A. Τὸ δὲ καταρρεῖ ἀντὶ τοῦ διαφθείρεται, ἀπὸ μεταφορᾶς τοίχου τινὸς παλαιοῦ, ὅταν ὑπὸ τῆς παλαιότητος αὐτὸς ὑφ' ἑαυτοῦ διαβιβρώσκηται καὶ ἀναλίσκηται. BSTCEV. Συμπίπτει. A.

21, 5. Τῶν ἄλλων τῶν τοιούτων] οἷον ἱερῶν, λουτρῶν. BTC.

Τὰ κάτωθεν ἰσχυρότερα εἶναι δεῖ] Τινὲς λαμβάνονται τοῦ ῥήτορος ἐνταῦθα, λέγοντες ὅτι κάτω ἔδει εἰπεῖν καὶ οὐ κάτωθεν. Ἀλλ' ἠγνόησαν τὸ ἀκόλουθον· κάτωθεν γὰρ εἶπεν, ἐπειδὴ κάτωθεν ἀπὸ θεμελίων ἐπὶ τὰ ἄνω οἰκοδομεῖται οἶκος, ὁμοίως δὲ καὶ ναῦς ἀπὸ τῆς τρόπιδος. BTCEV.

21, 7. Τὰς ὑποθέσεις] οἷον αὐτὰς τὰς κρηπῖδας καὶ τοὺς θεμελίους. STC.

21, 9. Φημὶ δὲ δεῖν ὑμᾶς] Ἐγχείρημα συμβουλευτικὸν ἀποφαντικῶς. BTCP. Πεπλήρωκεν ἄχρις ἐνταῦθα τὸν περὶ τοῦ δικαίου λόγον· καὶ δείξας Φιλίππῳ μὲν δυσμενεῖς τοὺς θεοὺς, εὐμενεῖς δὲ τῷ δήμῳ, πάλιν ἐπὶ τὴν προτροπὴν ἐχώρησεν. Ἀεὶ γὰρ τοῖς ἐνθυμήμασι καὶ ταῖς ἀποδείξεσιν ἐπάγει τὴν προτροπήν. BSTCBV.

21, 11. Κάλλιστα καὶ τάχιστα] Καλῶς συνέζευξε τὰ δύο· ἑκάτερον γὰρ χηρεῦον τοῦ ἑτέρου βλάβην ἐργάζεται. HRSTCV.

21, 12. Θετταλοὺς] Πάλιν τοὺς Ἀθηναίους ἐπὶ τὸ ἀξίωμα τῆς ἡγεμονίας ἐφίστησι πρεσβεύεσθαι κελεύων. Καὶ διδάσκει τοὺς πρέσβεις ἃ ὀφείλουσι διαλεχθῆναι τοῖς Θετταλοῖς. HRS.

Πρεσβείαν πέμπειν] Ἀπὸ κοινοῦ τὸ φημί. « Ἥτις πρεσβεία τοὺς μὲν διδάξει· εἰς δύο γὰρ μερίζει τοὺς Θετταλοὺς, εἰς ἀγνοοῦντας τὸν Φίλιππον καὶ εἰδότας μὲν, δεδιότας δέ. TCV.

21, 14. Καὶ γὰρ νῦν εἰσιν] Ἐν ταὐτῷ τό τε δυνατὸν καθαιρεῖ τοῦ Φιλίππου καὶ αὔξει τὸ τῆς πόλεως· εἰ γὰρ Φιλίππου μὲν ἀποστήσονται Θετταλοὶ, τῇ δὲ πόλει προσθήσονται, κἀκεῖνος ἀσθενέστερος καὶ οὗτοι μείζους γενήσονται. RS.

21, 18. Ἀξίως τῆς πόλεως] Καλῶς ἐπησφαλίσατο. Ἠδύνατο γὰρ πολλάκις πέμψαι μὲν, ὀλίγους δέ· διὸ προσέθηκεν, ἀξίως τῆς πόλεως. TCV.

21, 19. Ἐπὶ τοῖς πράγμασι] Πράγματα τὸν πόλεμον καλεῖ. BRSTC.

21, 20. Τὰ πράγματα] ἔργα. BP.

21, 23. Τοσούτῳ μᾶλλον ἀπιστοῦσιν] Ἐπειδὴ γὰρ, φησίν, εὐχερῶς καὶ ἑτοίμως ὑπισχνούμεθα, οὐ ποιοῦμεν δὲ, εἰκότως ἅπαντες ἡμῖν ἀπιστοῦσιν. HSTCV.

21, 24. Πολλὴν δὴ—] Τὸ σχῆμα ἀπὸ αὐξήσεως. BHSTC.

Τὴν μετάστασιν] Μετάστασις τὸ ἀπὸ Ἀθηνῶν ἀπελθεῖν εἰς Ὄλυνθον συμμάχους· μεταβολὴ δὲ τὸ τὴν ῥᾳθυμίαν εἰς προθυμίαν μεταβαλεῖν. BTCP et ex parte S.

Μεταβολὴν] τὴν ἐκ ῥᾳθυμίας εἰς προθυμίαν. RS.

21, 26. Εἴ πέρ τις ὑμῖν προσέξει τὸν νοῦν] Οὕτω, φησίν, ἅπαντες ἀπιστοῦσιν ἡμῖν μηδὲν ποιοῦσιν· ὅτι κἂν θεάσωνται ἡμᾶς ποιοῦντας, θαυμάζω εἰ καὶ τότε ἡμῖν πιστεύουσιν ὅτι ποιοῦμεν. STCV.

22, 1. Τῆς οἰκείας ἀρχῆς] ὅ ἐστιν αὐτῆς τῆς Μακεδονικῆς, οὐ τῆς ἔξω τῶν συμμάχων· ἤδη γὰρ περὶ ταύτης εἶπεν. TCV.

22, 2. Ὅλως] ἀντὶ τοῦ καθόλου. BCP.

Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις] Περικόψας τοὺς συμμάχους τοῦ Μακεδόνος ἐπ' αὐτοὺς ἐχώρησε τοὺς Μακεδόνας· καὶ ἐπειδὴ μὴ φανερῶς ἔχει δεῖξαι κατὰ πόλεμον αὐτοὺς ἡττημένους, τὸ ἐξ ἀνάγκης γιγνόμενον εἰς καθαίρεσιν ἔλαβε· τὸ γὰρ μετὰ συμμάχων αὐτοὺς πολεμεῖν τεκμήριον ἀσθενείας φησί. Τοῦτο δὲ Θουκυδίδης περὶ Λακεδαιμονίων φησὶν ὅτι οὐ καθ' ἑαυτοὺς, ἀλλὰ μετὰ

πάντων εἰς τὴν γῆν ἡμῶν στρατεύουσιν· ὁ μέντοι Δημοσθένης καὶ ἐπ' ἔλαττον καθεῖλε τοὺς Μακεδόνας, οὐ τοὺς συμμάχους προσθήκην αὐτῶν, ἀλλὰ ἐκείνους τῶν συμμάχων ἀποφηνάμενος ὡς καὶ πλήθει καὶ δυνάμει πολλῷ λειπομένους τῶν συμμάχων. Δῆλον δὲ καὶ ἐξ αὐτῶν τῶν ῥητῶν « καὶ ὅποι τις ἄν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν. » RS.

Πρὸς γὰρ Ὀλυνθίους πολεμοῦσι τοῖς Ἀθηναίοις συνεμάχησε Περδίκκας ὁ ἀδελφὸς Φιλίππου μετὰ τῶν Μακεδόνων. Λεληθότως οὖν λέγει ὅτι ἡ δύναμις, ἣν εἴχομεν τότε, ὥσπερ ἐν προσθήκης μέρει, πρὸς συμμαχίαν, νῦν ἡμῖν περὶ τῶν πρωτείων φιλονεικεῖ. HRSTCV.

22, 4. Ἐν προσθήκης μέρει] ἤγουν προστιθεμένη ἄλλῃ τινὶ δυνάμει. STCV.

Οὐ σμικρὰ] ἀντὶ τοῦ σύμμετρος. S. Οἷον σύμμετρος, οὔτε μεγάλη οὔτε σμικρά. TCP.

22, 5. Ἐπὶ Τιμοθέου] Οὗτος στρατηγὸς ἦν Ἀθηναίων, πατὴρ Κόνωνος τοῦ στρατηγοῦ, εὐτυχὴς δὲ σφόδρα ἐξ ἀρχῆς γενόμενος, εἴπερ τις ἄλλος. Λέγεται γὰρ περὶ αὐτοῦ ὡς ἐν οἵῳ δήποτε πολέμῳ ἐπέμπετο, ἐνίκα. Ὅθεν καὶ τοὺς ζωγράφους, ἡνίκα αὐτὸν ἔγραφον, γράφειν αὐτὸν καθεύδοντα· γυναῖκα δέ τινα συγγράφειν, ἐπιγράφοντας αὐτῇ τὸ τῆς τύχης ὄνομα, πλησίον αὐτοῦ ἱσταμένην, καὶ βαστάζουσαν δίκτυα καὶ ἄλλα θηρευτικὰ ὄργανα, δηλοῦντας διὰ τούτου ὅτι ἡ τύχη ὑπὲρ αὐτοῦ πάντα ποιεῖ, αὐτοῦ ποιοῦντος μηδέν. Ὡς δὲ ἐπὶ τούτοις βαρέως ἠνέγκε, μηδέποτε νενικηκέναι διὰ τῆς τύχης, ἀλλὰ δι' ἑαυτοῦ λέγων, ὕστερον, ὥσπερ τοῦ δαιμονίου αὐτῷ νεμεσήσαντος τῆς ἀλαζονείας τοῦ ῥήματος, οὐκ ἔτι νενίκηκεν. HRSTCV.

22, 6. Συναμφότερον] ὅ ἐστι σὺν ἄλλῳ τινὶ γενόμενον, καὶ οὐ καθ' ἑαυτό, ὡς εἶπεν ἐν προσθήκης μέρει. RS.

22, 7. Θετταλοῖς νοσοῦσι] Νοσοῦσι λέγει τὰς γνώμας, ὅτι οἱ μὲν αὐτῶν ἐβούλοντο δημοκρατεῖσθαι, οἱ δὲ περὶ τοὺς τυράννους τοὺς Ἀλευάδας καὶ οἱ φίλοι αὐτῶν τυραννεῖσθαι. Τυραννικὴν δὲ οἰκίαν τὸ γένος λέγει τῶν Ἀλευαδῶν. HTCV.

22, 9. Ὅποι τις ἂν κἂν] Ἐπειδὴ διὰ τῶν ἀνωτέρω ἔδοξεν ὥσπερ τινὰ ὑποψίαν δυνάμεως παρέχειν τοῖς Μακεδόσι, βούλεται κοινὸν αὐτὸ δεῖξαι καὶ διὰ τοῦ καθολικοῦ ἐλαττῶσαι. Ὁ δὲ κἂν σημαίνει ἐνταῦθα αἵρεσιν τοῦ ἐλάττονος ἐν ἀποτυχίᾳ τοῦ μείζονος· οὐ γάρ εἰσι δύο μέρη, ἀλλ' ἕν. BESTCV.

Κἂν] Τὸ κἂν ἐνταῦθα κεῖται τὸ παραφερόμενον καὶ δοκοῦν μὴ λέγεσθαι· οὐ γὰρ δυνάμεθα αὐτὸ διαλῦσαι εἰς τὸ καὶ ἐάν. Κεῖται γὰρ ἄλλος σύνδεσμος ὁ ἄν. B.

22, 13. Ἔτ' ἐπισφαλεστέραν] τὴν Μακεδόνων ἀρχήν. S. Ζητεῖται πῶς ἀσθενεστέραν, ἀλλ' οὐχὶ καὶ μᾶλλον ἰσχυροτέραν ποιεῖ διὰ τοῦ γυμνάζεσθαι καὶ συνεχῶς μανθάνειν τὰ πολεμικά. Καί φαμεν ὅτι ἀσθενεστέραν οὐ λέγει τοῖς σώμασιν, ἀλλὰ τῇ γνώμῃ, διότι μισοῦσιν αὐτὸν δι' ἅπερ αὐτοῖς ποιεῖ, ὡς ἐπιφέρει. Ἢ ὅτι τῇ συνεχεῖ τριβῇ κατακοπτόμενοι ἀσθενέστεροι γίνονται. BESTCV.

22, 15. Μὴ γὰρ οἴεσθε] Ἀντιπίπτον λύει. P. Θαυμαστή τις ἡ βία τοῦ ῥήτορος· τῶν γὰρ Ἀθηναίων διὰ τὰ κατορθώματα τοὺς Μακεδόνας εὐλαβουμένων, οὗτος ἐξ αὐτῶν τούτων σαθρὰν αὐτῶν ἀποφαίνει τὴν δύναμιν, καὶ ἐπειδὴ δειλίαν οὐκ ἴσχυε κατηγορῆσαι, τὴν γνώμην ἐξετάζει τοῦ Φιλίππου καὶ τὴν σχέσιν τῶν Μακεδόνων, καὶ τὰς προαιρέσεις αὐτῶν ἐναντίας ἀποφήνας οὐχ ὁμονοοῦντας ἀλλήλοις δείκνυσιν. BRSTCV.

22, 18. Καὶ προῄρηται πράττων] Ἡ σύνταξις οὕτως καὶ προῄρηται πράττων καὶ κινδυνεύων παθεῖν ὅ τι ἂν συμβῇ. Εἶτα δεῖ στίξαντας ἐπενεγκεῖν· προῃρημένος ἀντὶ τοῦ ζῆν ἀσφαλῶς δόξαν κτήσασθαι τοῦ ταῦτα διαπράξασθαι, ἃ μηδεὶς ἄλλος Μακεδόνων. BETCV.

22. 19. Τὴν τοῦ διαπράξασθαι ταῦτα] Ὑπερβατὸν καθ' ὑπέρθεσιν. B. Τὸ σχῆμα ὑπερβατόν. A.R.

Κοπτομένης] συντριβομένης καὶ ἀπολλυμένης, A.

Κοπτόμενοι δ' ἀεὶ] ταλαιπωρούμενοι. P. Συντριβόμενοι. καὶ ἀπολλύμενοι. H. Καὶ τοῦτο πρὸς φόβον ἐδύνατο συντελεῖν, ὅτι ἐκ τοῦ συνεχῶς στρατεύεσθαι μελέτην ἐκτήσαντο καὶ ἐμπειρίαν τῶν πολεμικῶν. Ὁ δὲ τὸ μὲν συμβαῖνον ἐκ τῆς στρατείας ἀφῆκε, τὴν δὲ γνώμην ἐξήτασεν ὅτι λυποῦνται τοῖς συνεχέσι πολέμοις. Καὶ τὴν αἰτίαν προσέθηκεν, οὐ συγχωρούμενοι γεωργεῖν· οὔτε τοῖς ἰδίοις προσέχειν. Εἶτ' ἐπειδὴ καὶ πρὸς τοῦτο ἀντέπιπτεν, ἀλλ' ἐκ τοῦ πολέμου κερδαίνουσι λάφυρα καὶ τὰ τοιαῦτα λαμβάνοντες, καὶ τούτων ἄχρηστον ἀπέφηνε τὸ κέρδος, οὐ δυναμένων αὐτῶν διαπιπράσκειν ὅσα ἂν πορίσωσιν, ἀλλὰ μᾶλλον εἰς προσθήκην ἀναλωμάτων ἐχόντων ταῦτα, διὰ τὸ ἀναγκάζεσθαι τρέφειν αὐτὰ καὶ μὴ δύνασθαι πωλεῖν κεκλεισμένων τῶν ἐμπορίων καὶ μηδενὸς ἐμπορευομένου διὰ τὸν πόλεμον. Καὶ προσέθηκεν, οὕτως ὅπως ἂν δύνωνται, ἐνδεικνύμενος ὅτι οὐδὲ ὅπλοις κρατοῦντες, ἀλλ' ἁρπάζοντες καὶ ληϊζόμενοι, κερδαίνουσι. RSTCV.

22, 27. Διαθέσθαι] πωλῆσαι· ἡ λέξις καὶ παρ' Ἰσοκράτει ἐν τῷ Βουσίριδι, ὅταν λέγῃ τὴν διάθεσιν. RSTCV. Alia his addit P e Suida v. διάθεσις desumpta.

22, 29. Οἱ μὲν οὖν πολλοὶ] Οὐχ εἶπεν ἅπαντες, ἀντιπίπτον ὑποτεμνόμενος· εἰ γὰρ ἅπαντες ἔχουσι ὑπόπτως πρὸς αὐτόν, διὰ τί μὴ τῆς βασιλείας αὐτὸν ἐξωθοῦσιν; ὁ δὲ τοὺς πολλοὺς εἰπὼν δέδωκεν αὐτῷ τινὰς καὶ εὔνους οἳ συνέχουσιν αὐτὸν ἐπὶ τῆς ἀρχῆς. RS.

23, 1. Οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι] Ὅρα πῶς κατὰ μικρὸν τὸ ἀσθενὲς ἀποδείκνυσι τοῦ Φιλίππου. Πρῶτον εἰπὼν ὅτι μισοῦσιν αὐτὸν οἱ σύμμαχοι, εἶτα καὶ αὐτοὶ οἱ Μακεδόνες οἱ πολῖται αὐτοῦ, εἶτα, ἵνα μή τις εἴπῃ, ἀλλ' εἰ καὶ οὗτοι οὕτως ἔχουσιν, ἀλλ' οὖν ξενικά τινα ἔχει στρατεύματα, φησὶν ἅ φησιν. BHRSTCV. Βούλεται δεῖξαι ὅτι καὶ οὗτοι δόξαν μέν τινα ἔχουσι καὶ ὑπόνοιαν πολεμικήν, οὐ μέντοι ἐστὶν ἀληθῆ, ἐξ ὧν ἐπιφέρει. TCV.

Οἱ δὲ δὴ] Καὶ συμμάχους αὐτὸν καὶ τοὺς ὑπηκόους ἀφελόμενος ἐπὶ τὸ ξενικὸν ἐχώρησε. Καὶ κέχρηται συνδρομῇ, λέγων δόξαν μὲν ἔχουσιν, ἵνα μὴ δοκῇ μόνος ἐναντιοῦσθαι τῇ περὶ αὐτὸν φήμῃ. Βουλόμενος δὲ καθελεῖν αὐτῶν τὴν δόξαν, ἐπὶ ἄτεχνον πίστιν ἐχώρησεν, ἵνα μὴ πάντα αὐτὸς ἐνθυμούμενος καὶ ἀποδεικνὺς φιλονεικίᾳ τῇ πρὸς Φίλιππον μᾶλλον δοκῇ λέγειν ἢ ὡς αὐτὴν τὴν ἀλήθειαν ἐγνωκώς. Ἀνενεγκὼν δὲ τὴν μαρτυρίαν τοῦ ἀνθρώπου εἰς τὸ περὶ τῶν ξένων οὐκ ἀφῆκεν ἀκατάσκευον τὴν μαρτυρίαν, ἀλλὰ λογισμοὺς αὐτῷ περιέθηκεν ὅτι τοὺς μὲν ἀνδρείους διὰ φιλοτιμίαν ἀπωθεῖται, τοὺς δὲ σώφρονας διὰ τὸ μὴ δύνασθαι φέρειν αὐτοῦ τὴν μέθην, καὶ προσυνέστησε τὸν ἄνθρωπον καὶ φρόνιμον εἰπὼν καὶ ἔμπειρον τῶν ἐν Μακεδονίᾳ, οὐχ ἵνα ἐκεῖνον ἐπαινέσῃ, ἀλλ' ἵνα τοὺς τούτου λογισμοὺς ὡς ἀληθεῖς παραδέξωνται διὰ τὴν ἐκείνου δόξαν. S.

23, 2. Πεζέταιροι] Τοῦ πεζέταιροι πολλαὶ φέρονται ἐξηγήσεις. Οἱ μὲν γὰρ αὐτὸ λέγουσιν ὄνομα στρατεύματος οὕτω καλουμένου, οἱ δὲ ὅτι τινὲς ἦσαν παρ' αὐτοῖς στρα-

τιῶται τὸν ἕτερον πόδα γυμνὸν ἔχοντες, τὸν δὲ ἕτερον ὡπλισμένον· διό φασι καὶ πεζετέρους αὐτοὺς καλεῖσθαι, διὰ τὸ τὸν ἕτερον πόδα γυμνὸν ἔχειν· πέζα γὰρ τὸ κάτω τοῦ ποδός· ὅθεν καὶ πεζεύειν τὸ χαμαὶ περιπατεῖν. Οἱ δέ φασι τοὺς ἀπὸ τοῦ πλήθους τῶν πεζῶν ὧν εἶχε ξένων ἑταίρους καὶ φίλους γενομένους αὐτῷ οἱονεί τινας ἐκλελεγμένους διὰ τὸ ἀνδρεῖον, ἵνα φύλαττωσιν αὐτόν· ἡ δὲ γραφὴ διάφορος πρὸς τὴν διάφορον ἐξήγησιν. BSTCEV. Θεόπομπός φησιν ὅτι ἐκ πάντων τῶν Μακεδόνων ἐπίλεκτοι οἱ μέγιστοι καὶ ἰσχυρότατοι ἐδορυφόρουν τὸν βασιλέα καὶ ἐκαλοῦντο πεζέταιροι. AR.

23, 4. Τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων] οἷον οἰκησάντων καὶ οὐχ ἁπλῶς παροδευσάντων. RP.

23, 5. Τινὸς] διὰ τὸ ἀξιόπιστον. B. Οὐ γὰρ λέγων ἐπιστεύετο. P.

23, 6. Οὐδένων] Φασὶν οἱ τεχνικοὶ τῶν γραμματικῶν Ὅτι οὐ κυρίως κέκλιται, εἴ γε ἡ εὐθεῖα ὁ οὐδεὶς, τοῦ οὐδενός. BTCV.

Βελτίους] Οὗτοι οἱ πεζέταιροι. CP.

Εἰ μὲν γάρ τις] Τὸ σπάνιον ἐνέφηνε. BRSTCP.

23, 8. Φιλοτιμίᾳ] Φιλοτιμία, ἡ ἀσύμμετρος δηλονότι, ἢ καὶ εἰς κενοδοξίαν ἐκπίπτει· ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, κατὰ ἔνδειαν καὶ πλεονασμόν. Ἀκρασία δὲ ἀκοσμία, ἀταξία, παρὰ τὸ μὴ κεκαλύφθαι. Διὰ δὲ τοῦ καθ' ἡμέραν διέβαλεν αὐτὸν ὡς μεθυστὴν καὶ τοῦτο βίον ἔχοντα B.

Φιλοτιμίᾳ πάντας] ἀντὶ τοῦ διὰ φιλοτιμίαν, ἣν αὐτὸς μόνος κεκτῆσθαι βούλεται. Τί οὖν οὐκ ἐπαινετὸς, καθ' ὃ δόξης ὀρέγεται; εἰ μὲν συμμέτρου ὠρέγετο, ἐπαινετὸς ἂν ἦν· νῦν δὲ τῷ πλεονάζοντι εἰς κενοδοξίαν, ὥσπερ λέγομεν, ἐκπίπτει. Ἑκάστῃ γὰρ ἀρετῇ δύο κακίαι παρέπονται, κατ' ἔνδειαν καὶ πλεονασμόν. TCV.

23, 10. Αὖ τοῖς ἄλλοις] τοῖς ἄλλοις κακοῖς δηλονότι οἷς κέκτηται. TC.

23, 11. Ἢ δίκαιος ἄλλως] ὡς καὶ τοῦ σώφρονος δικαίου ὄντος τοῦτό φησι. RS.

Οἷον ἀπὸ φύσεως, ἵνα δείξῃ ὅτι ἀπὸ διδαχῆς οὐκ ἔστι παρὰ Μακεδόσι γενέσθαι σώφρονα. Τρία δὲ σημαίνει παρὰ τοῖς παλαιοῖς τὸ ἄλλως· οἷον, τὸ κατὰ ἄλλον τρόπον, ἢ τὸ κατὰ φύσιν, ὡς ἐνταῦθα, ἢ τὸ μάτην. Πλατωνικῇ δὲ κέχρηται δόξῃ· φησὶ γὰρ ἐκεῖνος ἕπεσθαι τὰς ἀρετὰς ἀλλήλαις, ὥστε τὸν ὄντα σώφρονα καὶ δίκαιον εἶναι καὶ φρόνιμον καὶ ἀνδρεῖον. TCV.

Ἄλλως] φύσει. Καὶ Ὅμηρος (Il. 1, 699) « ὁ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως. » Σημαίνει καὶ τὸ κατ' ἄλλον τρόπον καὶ τὸ μάτην. B.

23, 12. Ἀκρασίαν] ἀκοσμίαν τινὰ καὶ ἀταξίαν, παρὰ τὸ μὴ κεκρᾶσθαι. RSTCP.

Τὴν καθ' ἡμέραν ἀκρασίαν] Τὸ πᾶσιν ὑπάρχον τοῖς βασιλεῦσι τοῦ ὡς Φιλίππου μόνου κατηγόρηκεν. Τὸ γὰρ ἐν τρυφαῖς εἶναι καὶ πότοις κοινὸν τῶν βασιλέων. Διόπερ οὐδὲ πίστεως ἐδεήθη πρὸς τοῦτο, ὡς τῶν ἀκροατῶν αὐτόθεν συγχωρούντων. Ἀλλὰ καὶ ἰδιότητα προσῆψεν εἰπὼν τὴν καθ' ἡμέραν, ὡς τῶν μὲν ἄλλων, κἂν τοιούτοις προσέχωσιν, οὐκ ἀεὶ τοῦτο ποιούντων, Φιλίππου δὲ καθ' ἡμέραν. S.

Τὴν καθ' ἡμέραν ἀκρασίαν] Οὐχ ἁπλῶς οὐδὲ τοῦτο, ἀλλ' ἵνα μή τις νομίσῃ ὡς τύραννον αὐτὸν τρυφᾶν, καὶ ἔν τισιν ἡμέραις καί τινας ἐπ' ἄριστον καλεῖν, διὰ τοῦ καθ' ἑκάστην ἡμέραν ταῦτα ποιεῖν, διέβαλεν αὐτὸν ὡς μέθυσον καὶ τοῦτο βίον ἔχοντα. HRTCV.

23, 13. Κορδακισμοὺς] Κορδακισμὸς εἶδος ὀρχήσεως ἀπρεποῦς· τῶν γὰρ ὀρχήσεων ἡ μέν ἐστι πολεμικὴ, ὡς ἡ πυρρίχη, ἡ δὲ γελαστικὴ, ᾗ χρῶνται ἐν θεάτροις καὶ πότοις. HRSV.

Ὀρχήσεις. Ἄλλως. Ἰστέον ὅτι κοινὸν μὲν ἦν τῆς τραγικῆς ὀρχήσεως εἶδος ἡ προσαγορευομένη ἐμμέλεια, τῆς δὲ σατυρικῆς ἡ σίκιννις, τῆς δὲ κωμικῆς ὁ κόρδαξ, τῆς δὲ πολεμικῆς ἡ πυρρίχη. B. Τὰς μετὰ μέθης ὀρχήσεις. A.

23, 14. Παρεῶσθαι] Ἐπὶ μὲν τῶν ἀνδρείων τὸ ἐκβάλλειν, ἐπὶ δὲ τούτων τὸ παρεῶσθαι εἶπεν, οἱονεὶ καταπεφρονῆσθαι· καὶ ἐπὶ μὲν τῶν ἀνδρείων τὸν φθόνον αἴτιον, ἐπὶ δὲ τῶν σωφρόνων τὸ μῖσος. HRSTCV.

23, 15. Λῃστὰς καὶ κόλακας] λῃστὰς, οἱονεὶ ἅρπαγάς τινας στρατιώτας. Εἶτα ἐπειδὴ ἔμφασιν ἔχει τινὰ ἰσχύος τὸ τῶν λῃστῶν, εἴ γε λῃστεύουσι τοὺς πολεμίους, ἐπαγαγὼν τούτῳ τὸ κόλακας ἐταπείνωσεν αὐτό· ταπεινοὶ γὰρ τὸ φρόνημα οἱ κόλακες. BTCV.

23, 17. Ὀκνῶ] διὰ τὴν αἰσχρότητα. BSP.

23, 18. Καὶ γὰρ οὓς ἐνθένδε] εἰς πίστιν τοῦ ἀπαγγείλαντος αὐτοὺς ὥσπερ βούλεται μάρτυρας Ἀθηναίους ποιήσασθαι ἐξ ὧν ἴσασιν. HRTSCV.

23, 19. Θαυματοποιῶν] θαυμαστὸν ἐργαζομένων. A.

Καλλίαν ἐκεῖνον τὸν δημόσιον] Ὁ Ἀθηναίων δῆμος ἔθος εἶχεν ὠνεῖσθαι οἰκέτας γράμματα ἐπισταμένους· τοὺς δὲ εὐνοϊκῶς δουλεύοντας ἠλευθέρουν. Ὁ δὲ Καλλίας, εἷς ὢν τῶν οἰκετῶν καὶ καταγνωσθεὶς, ἔφυγεν εἰς Μακεδονίαν καὶ διέτριβε παρὰ Φιλίππῳ. AR.

Ἰστέον ὅτι πληθυντικῶς εἰπὼν οὓς πάντες ἀπήλαυνον, ἕνα ἐπήγαγεν, ἐφ' ἑνὸς τὸ πλῆθος τῆς μαρτυρίας δειξάμενος. BTCV. Δημόσιον δέ φησιν, ἐπειδὴ δούλους εἶχον δημοσίους οἱ Ἀθηναῖοι ἀπὸ αἰχμαλώτων ποιήσαντες, καὶ ἐδίδασκον τούτους γράμματα, καὶ ἐξέπεμπον αὐτοὺς ἐν τοῖς πολέμοις μετὰ τῶν ταμιῶν καὶ τῶν στρατηγῶν, ἵνα ἀπογράφοιεν τὰ ἀναλισκόμενα. Οὐκ ἀκαίρως δὲ τοῦτο ἐποίουν, ἀλλ' ἵνα, διὰ τοῦ δύνασθαι τύπτειν τούτους ὡς δούλους, ἔχωσι μανθάνειν τὸ ἀληθές· αἰσχρὸν γὰρ ἐνομίζετο παρὰ Ἀθηναίοις ἐλευθέρους τύπτειν. Εἰ δὲ διὰ τῶν πληγῶν ἠλέγχθη ὁ στρατηγὸς καὶ ὁ ταμίας ψευδόμενος, ὡς δοῦλοι λοιπὸν καὶ αὐτοὶ κακῶς ἔπασχον. ST CV.

23, 20. Μίμους γελοίων] Ἀναγκαῖον τὸ τῆς προσθήκης· οὐχ ἅπασα γὰρ μίμησις γελοία τυγχάνει, ἀλλ' ἐστὶ καὶ σπουδαία. Καὶ γὰρ ἡ τραγῳδία μίμησίς ἐστιν ἠθῶν καὶ παθῶν καὶ ἡ κωμῳδία μίμησις. Καὶ τὰ Ὁμήρου παραπλησίως. RSTCV. Καὶ αἰσχρῶν ἐπὶ τοῦ ᾀσμάτων προσέθηκεν· εἰσὶ γὰρ καὶ ἀγαθῶν ᾀσμάτων ποιηταί. TCV.

23, 22. Τούτους ἀγαπᾷ] Κἀνταῦθα τὴν κοινότητα ἐξέφυγεν· ἐπειδὴ γὰρ καὶ οἱ ἄλλοι βασιλεῖς τοῖς τοιούτοις προσέχουσιν, ἀπὸ τῆς γνώμης τοῦ Φιλίππου διέβαλεν, ὅτι ἐκεῖνοι μὲν τοῖς μίμοις χρῶνται πρὸς τέρψιν, οὗτος δὲ ὡς σπουδαίους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει, δηλονότι τὸ Εὐριπίδου κατηγορῶν αὐτοῦ,

Τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών. (v. Demosth. p. 417, 20),

ἐπεὶ καὶ Σωκράτης παρὰ Ξενοφῶντι προσέσχε τοιούτοις θεάμασιν ἐν Συμποσίῳ (c. 2), ἀλλ' ὁ μὲν ὡς φιλόσοφος ἐκ τῆς πείρας δοκιμάζων εἰ δεῖ χρῆσθαι τοιούτοις ἢ μὴ, Φίλιππος δὲ ὡς τεθαυμακὼς ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. R S. Τὸ δὲ « καίτοι ταῦτα καὶ εἰ μικρά τις ἡγεῖται » φησί,

τὸ ἀντιπῖπτον ὑποτεμνόμενος· ἵνα γὰρ μή τις εἴπῃ, καὶ τί λυμαίνεται ταῦτα αὐτοῦ τὴν δύναμιν; ἐπάγει ὅτι δεῖγμα τῆς κακοδαιμονίας αὐτοῦ ἐστιν ὡς ὅτι ἔχει μηνιῶντας τοὺς θεούς· εἰκὸς γὰρ τοὺς μίμους καὶ εἰς τοὺς κρείττονας ἀποσκώπτειν. BRSTCV.

23, 26. Τοῖς εὖ φρονοῦσιν] σωφροσύνης Ἀθηναίων ἔμφασιν ἔχει ἡ λέξις. B. Τοῦτο διὰ τὸν δῆμον· οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων ἥδονται τοιούτοις θεάμασιν, ὁ δὲ φιλόσοφος καὶ πεπαιδευμένος οὐδαμοῦ. RS.

Ἀλλ' οἶμαι νῦν μὲν ἐπισκοτεῖ] Λύσις ἀντιπίπτοντος· πῶς οὖν εἰ κακοδαίμων ἐστὶ καὶ ἀσελγής, οὐ γίγνεται κατάδηλος; ὅτι συγκρύπτουσιν αὐτὸν αἱ περὶ τοὺς πολέμους εὐπραγίαι. HRS. Ἀντέπιπτεν αὐτῷ· καὶ πῶς οὖν αὐτὸς ἀντέχει καὶ σώζει τὴν δύναμιν, εἰ κακοδαίμων ἐστίν; ἐπάγει ὅτι τέως νῦν εὐτυχεῖ· ἐὰν δὲ περιπέσῃ τινὶ ἀτυχίᾳ, εὐθέως ταῦτα πάντα ἐλέγχεται. Εἶτα, ἵνα μὴ πάλιν φοβήσῃ εὐτυχῆ λέγων, εὐθὺς ἐπάγει, οὐχ εἰς μακρὰν εὐτυχήσει, ἂν ὑμεῖς βούλησθε. Ὥστε εἰ δεῖ τἀληθὲς εἰπεῖν, χορηγία τῆς ἐκείνου εὐτυχίας ἡ ὑμετέρα ῥαθυμία γίνεται. TCV.

23, 27. Συγκρύψαι] ἀντὶ τοῦ συσκιάσαι. B.

23, 29. Ἐξετασθήσεται] ἐλεγχθήσεται. P.

24, 1. Δείξειν] ἐλέγξειν. S. ἔλεγχον δώσειν. P.

24, 2. Ἂν οἵ τε θεοὶ θέλωσι] Χρῄζουσι γὰρ αἱ πράξεις καὶ εὐτυχίας καὶ κατορθούντων ἀνδρῶν. HRSTCV.

24, 6. Κἂν ῥῆγμα, κἂν στρέμμα] ῥῆγμα μὲν οἱ ἰατροί φασιν ἀγγείου τινὸς ῥῆξιν, οἷον φλεβός, ἢ ἀρτηρίας, στρέμμα δὲ ἄρθρου παράβασιν· τινὲς δὲ Ῥῆγμα μὲν νεύρου διάτασιν, στρέμμα δὲ ὀστέου μετάστασιν. HRSTCV.

Καὶ τῶν πόλεων] Λείπει ἡ περί, ἵνα ᾖ, οὕτω καὶ περὶ τῶν πόλεων καὶ τῶν τυράννων. TCP.

24, 8. Ἂν ἔξω πολεμῶσιν] Δῆλον γὰρ ὡς εἰ μὴ ἴσχυον, οὐκ ἂν ὑπερορίους ἐποιοῦντο τοὺς πολέμους. STC.

24, 9. Ἐπειδὰν δὲ ὅμορος] Οὐκ εἶπεν, ἐπειδὰν δὲ ἡττηθῶσιν ἐν τοῖς πολέμοις, ἵνα μὴ τὸ ἐργῶδες ἐμφήνῃ τοῦ πράγματος· ἀλλ' ἐξαρκεῖ καὶ γείτονα μόνον κινηθῆναι πόλεμον, αἰνιττόμενος τὸν τῶν Ὀλυνθίων. HRS.

24, 10. Εἰ σέ τις ὑμῶν] Ἀνθυποφορὰ τὸ σχῆμα. BTCP. Πληρώσας τὰ πρότερα μέρη τοῦ δυνατοῦ μεταβέβηκεν ἐπὶ τρίτον τὸ τῆς τύχης. Ἡ μὲν γὰρ πρώτη καὶ καθολικὴ « φοβερὸς Φίλιππος· » ἔδειξεν ὅτι οὐ φοβερὸς ἐξ ἀδικίας ηὐξημένος. Ἡ δὲ δευτέρα καὶ μερικὴ « ὅτι βίᾳ καθέξει τὰ πράγματα· » ἔδειξεν ὅτι οὐ καθέξει, μισούντων αὐτὸν καὶ ὑπηκόων καὶ συμμάχων καὶ ξένων, ἄλλως τε καὶ αὐτὸς ὢν μεθυστὴς καὶ ἀσελγής· ἡ δὲ τρίτη καὶ τελευταία « ἀλλ' εὐτυχὴς ὁ Φίλιππος, ὥστε « κἂν μὴ σφόδρα εὔνους ἔχῃ τοὺς συναγωνιζομένους, κατ« ορθοῖ διὰ τῆς τύχης· » ὥστε εἶναι τὰς δύο τὰς τελευταίας μέρη τῆς πρώτης καὶ καθολικῆς. BRSTCV. Δόξειε δ' ἂν ἐναντίον εἶναι τῷ λέγειν ὅτι ἐπίορκος καὶ ἄπιστος ὁ Φίλιππος τὸ δεικνύειν τὴν τύχην αὐτῷ συναγωνιζομένην. Ῥητέον δὲ ὅτι πλείους οἶδε τύχας ὁ Δημοσθένης, καὶ τὴν μὲν ἄλογον, οἵαν τῷ Φιλίππῳ δίδωσι· τὴν δὲ παρὰ τῶν κρειττόνων καὶ κατὰ λόγον, οἵαν ὑπάρχειν τῇ πόλει μαρτυρεῖ, καὶ τὴν μὲν μείζω, τὴν δὲ ἐλάττω. Ὥστε κἀνταῦθα προτιμότερον εἶναί φησι τὴν Ἀθηναίων τύχην τῆς Φιλίππου τύχης. RS.

24, 12. Σώφρονος μὲν ἀνθρώπου] Ἐμήκυνε τὴν ἀντίθεσιν καὶ τὸν προσκομίσαντα αὐτὴν ἐπήνεσε σώφρονα προσειπών, τουτέστι φρόνιμον. Καὶ μεγάλη γὰρ ῥοπὴ καὶ τὸ ὅλον. Ὥσπερ οὖν ἀγωνιζόμενός ἐστι τῷ κομίσαντι τὴν ἀντίθεσιν. Τίς οὖν ἡ πρόφασις; εἴωθεν ὁ Δημοσθένης, ἔνθα ἂν ἀπορῇ λύσεως πρὸς ἀντίθεσιν, μὴ ψιλὴν αὐτὴν τιθέναι, ἀλλὰ κατ' ὀλίγον πλατύνειν, ἕως ἂν λάθῃ τοιοῦτόν τι προσθείς, ἐξ οὗ λήψεται τὴν ἀφορμὴν τῆς λύσεως· ὃ δὴ κἀνταῦθα πεποίηκεν. Ἦν γὰρ ἡ μὲν ἀντίθεσις « εὐτυχὴς ὁ Φίλιππος· » οὐκ ἔχων δὲ λῦσαι ταύτην, κατ' ὀλίγον πλατύνων ἀπὸ τῆς Φιλίππου τύχης αὐτοὺς ἐπὶ τὴν κοινὴν τῶν ἀνθρώπων μετέστησεν εἰπών, τὸ ὅλον ἡ τύχη παρὰ πάντα ἐστίν· σκοπεῖτε δὲ καὶ τὴν τῆς πόλεως τύχην. BHRSTCV.

24, 14. Ἡ τύχη] Τὸ σχῆμα καλεῖται τόπου ἐμβολὴ ἐξ ὀνόματος ἀντὶ τοῦ πράγματος. BRSTC.

Παρὰ] ἀντὶ τοῦ κατά ἢ τοῦ εἰς. Τὸ δὲ λεγόμενον, ἐξουσίαν ἔχει ἡ τύχη πάντων τῶν ἀνθρωπίνων πραγμάτων. HS.

24, 17. Ἐθελόντων] Τοῦτό φησιν, ἵνα μὴ θαρρήσαντες τῇ τύχῃ τῶν πρακτέων ἀμελήσωσι. S.

24, 18. Κατὰ μικρὸν] Μικρὸν ἀπαιτεῖ, ἵνα μὴ εἴπωσιν οὐδὲν ὄφελος τύχης, εἰ μέλλοιμεν πονεῖν. HR.

Πολὺ γὰρ πλείους] ὥσπερ ἀπὸ Πλατωνικῆς ὁρμώμενος διατριβῆς ἐνταῦθα φιλοσοφεῖ λέγων ταῖς ἀρεταῖς καὶ τὰ τῆς τύχης ἀκολουθεῖν. STCV. Ὅτι Πλάτων φησὶ τὰς ἀρετὰς ἀλλήλαις ἕπεσθαι, ὥστε τὸν ὄντα σώφρονα καὶ δίκαιον εἶναι καὶ φρόνιμον καὶ ἀνδρεῖον· ὁ δὲ αὐτός φησι καὶ ταῖς ἀρεταῖς τὰ τῆς τύχης ἀκολουθεῖν. B.

Πολὺ γὰρ πλείους] Ἀντιπῖπτον ἔλυσε. « πόθεν ὅτι εὐτυχεῖς ἐσμέν; » ὅτι περὶ τοὺς θεοὺς εὐσεβοῦντες εὔνους ἔχετε τοὺς κρείττους. Κἀνταῦθα μὲν συνάπτει τοὺς θεοὺς καὶ τὴν τύχην, ἐπὶ δὲ τοῦ Φιλίππου διίστησι. RS.

24, 20. Οἶμαι] Παρέλκον τὸ οἶμαι. S. Ἕτερον ἀντιπίπτον « πῶς οὖν οὐδὲν ὠφελούμεθα παρὰ τῆς τύχης; » ὅπου ἀργοῦντες οὐκ ἀπολαύομεν τῶν παρ' ἐκείνης ἐνδιδομένων. Οἱ μὲν γὰρ θεοὶ τοὺς καιροὺς παρέχουσιν, ἡμεῖς δὲ τούτοις μὴ χρώμενοι οὐ δεχόμεθα τῆς εὐνοίας τῆς παρ' αὐτῶν αἴσθησιν. RS.

24, 21. Οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα] Ἐπιχείρημα ἀπὸ τοῦ ἥττονος. P. Διττὴ ἡ ἐξήγησις· ἢ γὰρ καθολική ἐστιν οὕτως « οὐκ ἔνι δ' αὖ, » ἵν' ᾖ τὸ αὖ σύνδεσμος ἀντὶ τοῦ δή· εἶτα « τὸν ἀργοῦντα » καθολικῶς· ἢ « οὐκ ἔνι δ' αὐτόν, τὸν ἄνθρωπον, ἀργοῦντα. » STCV.

24, 27. Τοὐναντίον γὰρ ἦν θαυμαστὸν] Σχῆμα ἐναντίον, ὅ ἐστι δριμύτης νοήματος ἀπὸ τῆς ἐργασίας λαμβανομένη. BRSTCP.

25, 1. Λακεδαιμονίοις μέν ποτε] τὸν πόλεμον λέγει τὸν ὑπὲρ τῶν Θηβαίων, ὅτε Λακεδαιμόνιοι τὴν Καδμείαν κατέλαβον. HRSTCV.

25, 2. Ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων] Ξενοφῶν φησιν· ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ὁρῶντες οἱ Λακεδαιμόνιοι τοὺς Ἕλληνας ἀδικουμένους ὑπὸ τῆς ἀρχῆς τῶν Ἀθηναίων ὑπίσχοντο αὐτοῖς ἐλευθερίαν, καὶ τούτῳ τῷ λόγῳ χρησάμενοι ἠδυνήθησαν κατὰ μικρὸν μεταστῆσαι πρὸς αὐτοὺς τοὺς Ἕλληνας· ὡς δὲ κατώρθωσαν τὸν Πελοποννησιακὸν πόλεμον, ὕστερον καὶ αὐτοὶ χειρόνως ἤπερ οἱ Ἀθηναῖοι ἠδίκουν τοὺς Ἕλληνας· εἶτα ἀγανακτήσαντες ὑπὲρ τούτου Ἀθηναῖοι ἐξήνεγκαν ὑπὲρ τῶν ἀδικουμένων πόλεμον πρὸς Λακεδαιμονίους· καὶ ἐκ τούτου τῆς προσηγορίας ἔτυχεν ὁ πόλεμος ὁ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων. BHRSTCV.

25, 3. Καὶ πολλὰ ἰδίᾳ] Ἵνα λαμβάνοντες χρήματα παρὰ Λακεδαιμονίων συγχωρήσωσιν αὐτοῖς ἀδικεῖν ἀδεῶς τοὺς Ἕλληνας. TCV.

Πλεονεκτῆσαι] κατὰ μόνας κερδῆσαι. BH. Ἐπὶ τὰ Μηδικὰ ἀνέδραμε σημαίνων τὰ κατὰ τὸν Μαρδόνιον καὶ ὅσα τοῖς Ἀθηναίοις ὑπισχνεῖτο. S.

25, 6. Προεκινδυνεύετε] ὅ ἐστι πρὸ αὐτῶν καὶ ὑπὲρ αὐτῶν τῶν Ἑλλήνων ἐκινδυνεύετε. P. Ἀντήρατε. C.

25, 7. Ὑπὲρ τῶν ὑμετέρων] Οὐ γὰρ βούλεται τὸν πόλεμον εἶναι δοκεῖν ὑπὲρ τῶν Ὀλυνθίων, ἀλλ' ὑπὲρ τῶν Ἀθηναίων ὡς μελλόντων αὐτῶν ὑποχείριον λαμβάνειν τὴν Θρᾴκην. S.

25, 9. Πολλάκις πάντας καθ' ἕνα] Μονονουχὶ ἰσόθεον δύναμιν τῇ πόλει μεμαρτύρηκεν, εἰπὼν καὶ καθ' ἕνα πολλάκις ἔσωσε τοὺς Ἕλληνας. HRS. Οὐ λέγει καθ' ἕκαστον τῶν Ἑλλήνων, ἀλλὰ κατὰ ἔθνη καὶ κατὰ γένη. RTCV.

25, 11. Καὶ ἔτι πρὸς τούτοις] Κατὰ κοινοῦ τὸ θαυμάζω. TCP.

25, 12. Πολεμεῖτε] ἀντὶ τοῦ διαφέρεσθε. S.

25, 13. Χρόνον Φιλίππῳ] Ὥσπερ ὑπομιμνήσκει αὐτοὺς τοῦ χρόνου, ὡς δὴ καὶ τούτου λήθην παθόντας διὰ τὴν πολλὴν ῥᾳθυμίαν. BRSTCP.

25, 15. Ἑτέρους τινάς] οἷον τοὺς ξένους καὶ Χάρητα καὶ Χαρίδημον. BSTCP.

25, 16. Αἰτιωμένων] Οἱ γὰρ στρατηγοὶ τὸν δῆμον ᾐτιῶντο μὴ διδόντα τὰ χρήματα, ὁ δὲ δῆμος ἐκείνους ὡς ἀμελοῦντας κατὰ τοὺς πολέμους. HRS.

Ἀλλήλους] Εἰς τοὺς ῥήτορας αἰνίττεται. TC.

Κρινόντων] Τοῦτο εἰς Χάρητα. Ἵνα δὲ μὴ δοκῇ ἀπολογεῖσθαι ὑπὲρ αὐτοῦ, τῷ κοινῷ καλύπτει τὴν ὑποψίαν. Μεταπεμπόμενοι γὰρ τοὺς στρατηγοὺς εἰς κρίσιν καθιστᾶσι. BSTCV.

Πάλιν ἐλπιζόντων] Οἱ γὰρ στρατηγοὶ κρινόμενοι καθυπισχνοῦντο τοῖς Ἀθηναίοις, ἐὰν ἀφεθῶσι, τάσδε καὶ τάσδε τὰς νήσους αὐτοῖς προσκτήσασθαι καὶ τάδε [καὶ τάδε] κατορθῶσαι. HRSTCV.

Ὅ ἐστι δεῖγμα τῆς ῥᾳθυμίας. C.

25, 18. Εἶθ' οὕτως] Τραχύτητος τὸ σχῆμα μᾶλλον ἢ ἀκμῆς ἡ ἔννοια· μακρὰ γὰρ τὰ κῶλα. B.

Ἀγνωμόνως] νυνὶ ἀβούλως, ἀνοήτως. S.

Ἀγνωμόνως ἔχετε] Ἀγνώμονας, τοὺς ἀνοήτους, κατὰ στέρησιν τῆς γνώμης, οὐχ ὡς νῦν τοὺς ἀχαρίστους. B. Ἀγνώμονας λέγει τοὺς ἀνοήτους, κατὰ στέρησιν τῆς γνώμης· οὐχ ὥσπερ νῦν ἀγνώμονας καλοῦμεν τοὺς μὴ ἀποδιδόντας τὰ χρέα, ἤγουν τὰς ἀμοιβάς. TCV.

25, 19. Δι' ὧν] διὰ τῆς ῥᾳθυμίας. P.

25, 24. Νυνὶ δὲ ὅτι μὲν φυλάξομεν] ἀντικῖπτον ἔλυσεν, ὅτι ξενικοῖς χρησόμεθα στρατοπέδοις. Ὁ δὲ τί φησιν; εἰ μὲν εἴχομέν τι φυλάξαι, καλῶς τοὺς ξένους ἐπέμπομεν· ἐπὶ τοῦτο γὰρ ἀπέστελλον τοὺς ξένους· εἰ δὲ κτήσασθαι δεῖ, πρόδηλον ὅτι τὸν δῆμον εἶναι δεῖ τὸν στρατευόμενον. BHRSTCV.

25, 27. Φημὶ δὴ δεῖν] Ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους μετελήλυθεν, ἐν σχήματι ἀνακεφαλαιώσεως τὴν εἰσβολὴν ποιησάμενος. Τινὲς δέ φασιν ὅτι ἕως ὧδε ἐπλήρωσε τὸ δυνατὸν κεφάλαιον, εἶτα ἐπὶ τὸ συμφέρον ἔρχεται. BTCV. Καθαρῶς ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους μετελήλυθεν ἐν σχήματι ἀνακεφαλαιώσεως τὴν εἰσβολὴν ποιησάμενος. Ἐσχημάτισται δὲ αὐτῷ περὶ τῶν θεωρικῶν ὁ ἐπίλογος. Ἐπειδὴ γὰρ ἐν τῷ προτέρῳ λόγῳ φανερῶς εἰπόντος αὐτοῦ θόρυβος γίγνεται κατὰ τὴν πόλιν, οὔτε παντελῶς ἐσιώπησε φοβηθεὶς οὔτε φανερῶς εἰσήγαγεν, ἀλλὰ σχήματι τὴν εἰσήγησιν ἔκρυψε « φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα· » φοβούμενοι γὰρ τὸ οἴκοθεν εἰσφέρειν ἀποστήσονται. HRS.

25, 28. Μηδένα αἰτιᾶσθαι] Διαβαλλόντων γὰρ τῶν ῥητόρων τοὺς στρατηγούς, μετεπέμποντο αὐτοὺς ἐπὶ κρίσιν, καὶ τούτων ἀναχωρησάντων ἔρημα διεφθείρετο τὰ πράγματα. HRS.

26, 1. Τοὺς μὲν ἀξίους] Οὔτε ἀπολογεῖται παντελῶς ὑπὲρ τῶν στρατηγῶν, οὔτε κατηγορεῖ, καθάπερ ὁ νομοθέτης ὁρίζει τι ποιεῖν. RS.

26, 2. Τὰς προφάσεις] Πάλιν ἐσχηματισμένως ὑπὲρ τῶν θεωρικῶν. Οἱ γὰρ στρατηγοὶ προφάσεις ἐποιοῦντο τῆς ἀπολογίας τὸ μὴ λαμβάνειν χρήματα. Ἐλλείμματα δὲ αὐτὰ καλεῖ τὰ χρήματα· ὀλίγα γάρ, φησίν, εἰς μισθὸν διδόντες τοῖς στρατιώταις τὰ ὑπόλοιπα τοῦ τελείου μισθοῦ εἰς τὰ θεωρικὰ κατέχετε. BHRSTCV.

26, 3. Ἐλλείμματα] τὰ ὑστερήματα. P.

Πικρῶς] ἀντὶ τοῦ δικαίως· πικρὸν γὰρ τοῖς ἀδικοῦσι τὸ δίκαιον φαίνεται. STCV.

26, 5. Τὰ δέοντα] Ταῦτα δέ ἐστι τὸ συνευπορεῖν χρήματα τοῖς στρατηγοῖς. S.

26, 6. Τοῦτον μὲν] ὃν ἔχομεν πρὸς τὸν Φίλιππον. STC.

26, 7. Ἰδίους] Ἰδίους λέγει οὓς αὐτοὶ ἰδίως ποιοῦνται ἐκτὸς τῆς πόλεως. Αἰνίττεται δὲ ἴσως εἰς Χάρητα. STCV.

26, 8. Εἴ δεῖ τι τῶν ὄντων—εἰπεῖν] Δικαιοσύνην ἑαυτῷ προσεμαρτύρησεν ὅτι οὐ πρὸς χάριν λέγει οὐδὲ πρὸς μισθὸν ὥσπερ οἱ ἄλλοι ῥήτορες οἱ τοῖς στρατηγοῖς συναγορεύοντες. Εἰ γὰρ τἀληθὲς περὶ αὐτῶν ἐρεῖ, πρόδηλον ὅτι οὐ πρὸς χάριν οὐδὲ διὰ μισθὸν ταῦτα ψευδῆ, ὡς οἱ μισθοῦ συναγορεύοντες. Αἰνίττεται δὲ τὸν Εὔβουλον καὶ τὸν Ἀριστοφῶντα. RS.

26, 18. Ὅταν δὲ δόντες λόγον] ὅτι χρήματα μὴ λαμβάνοντες οὐ δύνανται ὑπὲρ τῆς πόλεως πολεμεῖν. Οὐκοῦν κἀνταῦθα περὶ τῶν θεωρικῶν. HRSTCV.

26, 19. Περίεστι] ἐκ περιουσίας ἐστί. P.

26, 20. Διεστάναι] διακεχωρίσθαι καὶ διχονοεῖν. P.

26, 21. Πρότερον μὲν γὰρ] Δέκα οὐσῶν φυλῶν παρὰ τοῖς Ἀθηναίοις καὶ εἰς δέκα ὥσπερ μεμερισμένης τῆς πόλεως, ἀνάγκην εἶχεν ὥσπερ ἑκάστη φυλὴ ἀπὸ πάσης προβάλλεσθαι τοὺς πλουσιωτέρους αὐτῆς, ἑκατὸν εἴκοσι ἄνδρας τοὺς λειτουργοῦντας ὑπὲρ αὐτῆς τῇ πόλει. Εἶτα οἱ ἑκατὸν εἴκοσι οὗτοι ἐμέριζον ἑαυτοὺς εἰς δύο μερίδας· ἵνα ἑξήκοντα αὐτῶν ἄνδρες ἔσονται οἱ πάνυ πλούσιοι, οἱ δὲ ἄλλοι ἑξήκοντα ἧττον πλούσιοι. Ἐποίουν δὲ τοῦτο, ἵνα μὴ ἐξαίφνης πόλεμος αὐτοὺς ἐπείξῃ καὶ τύχῃ πρὸς τὸ παρὸν μὴ ἔχειν χρήματα τοὺς ἧττον πλουσίους. Εἰσέφερον γὰρ οἱ πλουσιώτεροι ὑπὲρ αὐτῶν καὶ προετέλουν, καὶ ἐδέχοντο ταῦτα ὕστερον κατὰ σχολήν. Ἐλέγετο δὲ τὸ σύστημα αὐτῶν, τῶν ἑξήκοντα, συμμορία, οἱονεὶ παρὰ τὸ μέρος εἶναι τῆς φυλῆς. Δέκα οὖν οὐσῶν φυλῶν καὶ ἑκάστης προβαλλομένης ἀπὸ ἑκατὸν εἴκοσι, συνέβη τοὺς πάντας εἶναι λειτουργοὺς χιλίους διακοσίους. Ἐμέριζον οὖν αὐτοὺς ἀπὸ ἑξακοσίων ἀνδρῶν, ὅ ἐστιν ἀπὸ δέκα συμμοριῶν. Πάλιν δὲ ἑκατέραν τῶν δύο μερίδων τούτων ἔτεμνον εἰς δύο, ὅ ἐστιν εἰς τριακοσίους μὲν ἄνδρας, κατὰ πέντε δὲ συμμορίας. Οὗτοι δὲ ἦσαν οἱ τριακόσιοι οἱ πάνυ πλούσιοι οἱ πρῶτοι, οἵτινες προεισέφερον τῶν ἄλλων τε καὶ εἶχον αὐτοὺς ὑπακούοντας εἰς πάντα, ὥστε συμβαίνειν εἰς δύο μερίδας εἶναι τοὺς πάντας· εἴ γε οἱ τῶν ἑκατέρωθεν ἦσαν ὥσπερ ἡνωμένοι τοῖς ἑκατέρωθεν τριακοσίοις τοῖς πλουσιωτέροις. Εἶχε δὲ ἑκάστη μερὶς τῶν τεσσάρων καὶ

ἴδιον στρατηγὸν καὶ ἴδιον ῥήτορα. Ὅμως δὲ πάλιν τῶν δευτέρων καὶ οἱ ῥήτορες καὶ οἱ στρατηγοὶ ὑπεῖκον ταῖς προτέραις. Τότε οὖν, φησὶν, ἐμέριζον ἑαυτοὺς, διὰ πλείονα σπουδὴν τοῦ εὐκαίρως εἰσφέρεσθαι τὰ χρήματα· νῦν δὲ [δι'] οὐδὲν ἄλλο μερίζεσθε εἰς συμμορίας ἢ διὰ τὸ πολιτεύεσθαι, ὅ ἐστι διὰ τὸ στασιάζειν. Μέμφεται οὖν αὐτοὺς ὅτι πρώην, ἡνίκα διὰ τὸ εἰσφέρειν ἐποιοῦντο τὰς συμμορίας καὶ καιρὸς ἦν τῶν πραγμάτων, ἡγεμόνας ᾔδεσαν τοὺς πλουσιωτέρους· δευτέρους δὲ τοὺς στρατηγοὺς τοὺς κατορθοῦντας· τρίτους δὲ τοὺς ῥήτορας, τοὺς μόνον λέγοντας. Νῦν δὲ, ἐπειδὴ καιρός ἐστι τοῦ στασιάζειν καὶ τοῦ λέγειν, ἡγεμόνες εἰσὶν οὐχ οἱ πλούσιοι, ἀλλ' οἱ ῥήτορες· καὶ βοησόμενοί εἰσιν οἱ πρῶτοι τριακόσιοι, ἐπαινοῦντες τὰ ὑπὸ τῶν ἰδίων ῥητόρων λεγόμενα, οἱ δὲ ἄλλοι προσνενεμημένοι ἑκατέροις. TCV.

26, 24. Ῥήτωρ ἡγεμὼν] Δεῖ μὴ χωρίζειν τὸ ῥήτωρ ἡγεμὼν, ἀλλὰ συνάπτειν. BTCP.

26, 26. Ὡς τούτους] εἰς τούτους. P.

Δεῖ δὴ ταῦτα ἐπανέντας] Συμπέρασμα τοῦ συμφέροντος. BRP. Ἐντεῦθεν οἱ ἐπίλογοι. BCP.

26, 27. Ἐπανέντας] ἐάσαντας, ἐγχαλάσαντας. B.

Ὑμῶν αὐτῶν—γενομένους] Ὡς ἐπὶ νοσούντων εἶπε τὸ ὑμῶν αὐτῶν γενομένους. BTC.

26, 29. Εἰ δὲ τοῖς μὲν] Πρὸς τὸν Εὔβουλον ἀποτείνεται τὸν πολιτευόμενον. BP. Τὸν Εὔβουλον λέγει ὡς πρὸς χάριν δημηγοροῦντα. BTC.

Τοῖς δ' ἀναγκάζεσθαι] Ἐπειδὴ εἶπεν ἀνωτέρω, φημὶ δὴ δεῖ χρημάτων, ἵνα μὴ εἴπωσιν οἱ πένητες, οὐκοῦν εἰσοίσουσιν οἱ πλούσιοι, προλαβὼν ὑπὲρ αὐτῶν ποιεῖται τὸν λόγον ὅτι, μέχρι πότε οἱ πλούσιοι τριηραρχήσουσι καὶ εἰσοίσουσι καὶ πάντα δαπανήσουσιν; ἐὰν γὰρ αὐτοὺς παρακόψῃ ἀπὸ τῶν πλουσίων, ἐλπίδα μηδεμίαν ἔχοντες μηδ' ἄλλως εὐπορίαν, ἀποστήσονται τῶν θεωρικῶν. Καὶ ὅλως σύνηθες τῷ Δημοσθένει τοῖς πλουσίοις συνίστασθαι· γινώσκει γὰρ ὅτι νεῦρα τῆς πόλεώς εἰσιν οἱ πλούσιοι. BTCV.

27, 3. Τοῖς δὲ ψηφίζεσθαι] τοῖς ῥήτορσι συμπονεῖν. B.

27, 7. Λέγω δὴ κεφάλαιον] Ἐπίλογος. BP. Διὰ τούτου δευτέρας ἐδεήθη ἀνακεφαλαιώσεως, εἰπὼν ὅτι χρὴ πάντας εἰσφέρειν, ἵνα τῆς ἀνάγκης αὐτοὺς περιστάσης ἐκστήσωνται τῶν θεωρικῶν. BTCV.

27, 8. Τὸ ἴσον] κατὰ τὴν ἑκάστου οὐσίαν. B.

Κατὰ μέρος] κατὰ διαδοχήν. B.

27. 12. Ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς] διὰ τὸ πεισθῆναι τοῖς καλῶς συμβουλεύσασιν. BTC.

III. ΟΛΥΝΘΙΑΚΟΣ Γ.

28, 1. Οὐχὶ ταὐτὰ παρίσταταί μοι] Τὸ προοίμιον ἐξ ἐπιτιμήσεως.—Τὸ προοίμιον προσοχὴν διὰ τοῦ παροξυσμοῦ ἀπεργάζεται. AB. Ὡς τῶν πραγμάτων χαλεπῶν ὄντων ἐξ ἐπιτιμήσεως εἴληπται τὸ προοίμιον, ἢ ἐκ τοῦ παραδόξου· παράδοξον γὰρ γίνεται, ὅτε τοῖς λόγοις οὐ συντρέχει τὰ πράγματα, ἢ ἀπὸ συγκρίσεως· συγκρίνων γὰρ δείκνυσι τοὺς λόγους ἐναντίως ἔχοντας τοῖς πράγμασιν. BHRST CV. Παθητικὸν τὸ προοίμιον καὶ μεστὸν ἀξιώματος· ἐν ᾧ γὰρ ἐπηρμένον τὸν δῆμον καὶ φρονοῦντα τῇ νίκῃ συστέλλει καὶ πρὸς φόβον καθίστησιν, ἀφ' ἑτέρου πάθους εἰς ἕτερον ἄγει τὸν ἀκροατήν· ἐν ᾧ δὲ ἀλλάττει τὴν γνώμην τῶν Ἀθηναίων, τὸ τοῦ Περικλέους ἀξίωμα διὰ τῶν ἔργων δείκνυσιν. ABTCV. Καὶ γὰρ ἐκεῖνος ἀθυμοῦντα μὲν τὸν δῆμον ἱκανὸς ἦν ἀναγαγεῖν καὶ μεστὸν ἐλπίδων ἀποφῆναι, θαρροῦντα δὲ αὖθις εἰς φόβον περιαγαγεῖν. BTCV. Κεφάλαια τοῦ λόγου· τὸ συμφέρον, τὸ δυνατὸν καὶ ὀλίγον ἀπὸ τοῦ δικαίου, συμβουλεύοντος αὐτοῦ ὅτι δεῖ ἅπαξ βοηθήσαντας τοῖς Ὀλυνθίοις ἐμμένειν τούτῳ καὶ μὴ καθυφεῖναι τὰ δεδογμένα. RS. Τριμερὴς ὁ λόγος. Τὸ μὲν γὰρ πρῶτον καὶ τὸ δοκοῦν μάλιστα συνέχειν καὶ περὶ οὗ πρόκειται νῦν ἡ σκέψις, [ὃ] καὶ προηγούμενον κέκληται, εἰ χρὴ μεταστῆσαι τὴν δύναμιν εἰς Μακεδονίαν, ἢ κατὰ χώραν ἐᾶσαι μένειν τοῖς Ὀλυνθίοις βοηθήσουσαν· τὸ δὲ δεύτερον, εἰ χρὴ λῦσαι τοὺς νόμους τοὺς θεωρικούς· τὸ δὲ τρίτον, ἐπιλογικὸν ὂν, καταδρομὴν ἔχει τῆς πολιτείας τῶν νῦν δημαγωγούντων. Τούτων δὲ τῶν μερῶν ἕκαστον ὑποπέπτωκεν οἰκείοις κεφαλαίοις. Τὸ μὲν γὰρ πρότερον τοῦ συμφέροντος εἶναι δοκεῖ, τὸ δὲ δεύτερόν ἐστι τοῦ νομίμου, εἴληπται δὲ ἐκ κατασκευῆς τοῦ δυνατοῦ· καὶ γὰρ κεφάλαιον κεφαλαίῳ ἀποδείκνυται· τὸ δὲ τρίτον ἐστὶ τοῦ δικαίου, λέγω δὲ τὸ τῆς καταδρομῆς τῶν νῦν πολιτευομένων καὶ τῆς εὐφημίας τῶν ἐπὶ τῶν προγόνων πολιτευσαμένων. Πᾶσα γὰρ συμβουλὴ περὶ ποιότητος προσώπων γινομένη, ἔπαινον ἢ ψόγον δηλοῦσα, εἰς τὸ δίκαιον ἔχει τὴν ἀναφοράν. Καὶ τὸ μὲν συμφέρον δίχα τέτμηται, εἴς τε τὸ ἀναγκαῖον (ἐλεύσεται γὰρ Φίλιππος εἰς τὴν Ἀττικὴν διαφθαρέντων τῶν Ὀλυνθίων), καὶ εἰς τὸ ἄδοξον (πάντες γὰρ ἴσασιν Ἕλληνες ὅτι τοῖς Ὀλυνθίοις ἐπηγγειλάμεθα βοηθήσειν, εἰ πολεμήσαιεν πρὸς Φίλιππον), καὶ τὸ ψευδεῖς φανῆναι τῶν ἀδόξων. AHRTCV. Ζητήσειε δ' ἄν τις τί δήποτε κωλύων μεθιστάναι τὴν δύναμιν, οὐδεμίαν πεποίηται περὶ αὐτοῦ μνήμην, οὐδὲ φαῦλον δεικνύει τὸ μετάγειν εἰς Μακεδονίαν τοὺς στρατιώτας. Ῥητέον οὖν ὅτι πλείους εἰσὶ τρόποι καθ' οὓς ἀντιλέγειν ἔξεστιν. Ἢ γὰρ πρὸς αὐτοὺς τοὺς λογισμοὺς μαχόμεθα τῶν ἀντιλεγόντων, δεικνύντες αὐτοὺς σαθροὺς ὄντας, ἢ ἑτέραν εἰσηγούμεθα γνώμην, διὰ τῆς ἡμετέρας τὴν ἐκείνων ἀνατρέποντες· ἢ τὸ συμφέρον τὸ μὲν ἐκείνων ἐλέγχομεν, αὐτοὶ δὲ συμβουλὴν ἑτέραν εἰσηγούμεθα. Ἐνταῦθα τοίνυν ὁ ῥήτωρ φρονήματι χρώμενος τῆς μὲν ἐκείνων γνώμης οὐδεμίαν πεποίηται μνήμην, τὴν δὲ αὐτῷ δοκοῦσαν εἰσηγεῖται καὶ ταύτην ἐργάζεται. Ἄλλως. Προοίμιον ἐκ τοῦ ἀναγκαίου. Λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. TCV.

28, 4. Τοὺς μὲν γὰρ λόγους] Κατασκευὴ τοῦ προοιμίου. B.

Τιμωρήσασθαι Φίλιππον] τουτέστιν εἰς Μακεδονίαν μεταβιβάζειν τὴν δύναμιν. A.

28, 5. Εἰς τοῦτο προήκοντα] Οὐχ εἶπεν οὕτως ἔχοντα, ἀλλ' εἰς τοῦτο προήκοντα, διὰ τῆς ἐν τῇ λέξει παρατάσεως τὸν χρόνον δεικνὺς ὄντα αἴτιον τῶν κακῶν. BTCV.

Εἰς τοῦτο κακίας ἐλθόντα. A. Εἰς τοῦτο δηλονότι ἀναιδείας προελθόντες. TC.

Ὥστε ὅπως μὴ πεισόμεθα] Μεγάλῳ θάρσει μέγαν φόβον ἀντέθηκε, σφόδρα τεχνικῶς ποιῶν. Τὰ γὰρ μεγάλα πάθη μείζοσι πάθεσι λύειν προσήκει. BTCV.

28, 7. Οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν] ὥσπερ αἰνιττόμενος· ἀλλὰ νῦν μὲν οὐκ ἔχω Φιλιππισμὸν αὐτοῖς ὀνειδίζειν. BTCV. Ὑπερβατὸν καθ' ὑπέρθεσιν. TP. Τὸ δὲ ἑξῆς οὕτω· οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες

ῥήτορες ἢ ἁμαρτάνειν. Εἶτα ἐν τῷ μέσῳ κατασκευάζει, πῶς; τὴν ὑπόθεσιν ὑμῖν παριστάντες καὶ συμβουλεύοντες, περὶ ἧς καὶ ὑμεῖς βουλεύεσθε· βουλεύονται δὲ νῦν περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, ἀλλ' οὐχὶ τὴν οὖσαν καὶ ἀληθῆ ὑπόθεσιν. Κατὰ κοινοῦ τὸ, παριστάντες ὑμῖν, ἥτις ἐστὶ τὸ βουλεύσασθαι, ὅπως ἂν πρῶτον σώσωμεν τοὺς Ὀλυνθίους. Ἔστι δὲ ὥσπερ συμπέρασμα τοῦ προοιμίου διὰ πλειόνων. TCV.

28, 8. Τὴν ὑπόθεσιν] Σφόδρα βιαίως τὸν δῆμον κοινωνὸν τῆς ἑαυτοῦ γνώμης ἐποίησεν, ὑπὲρ ὧν αὐτὸς μέλλει συμβουλεύειν, περὶ τούτων εἰσεληλυθέναι φήσας βουλευσόμενον τὸν δῆμον. BTCV. Τὸ τιμωρήσασθαι Φίλιππον. P.

28, 9. Τὴν οὖσαν] τὸ σῶσαι τοὺς Ὀλυνθίους. P.

Ἐγὼ δὲ ὅτι μέν ποτε] ἔτι τὴν αὐτὴν ἔννοιαν ἐξεργάζεται. Δηλοῖ δὲ τοὺς καιροὺς ἐν οἷς Ἀμφίπολιν εἶχον καὶ Ποτίδαιαν καὶ τὰ ἐπὶ Θράκης. TCV.

28, 10. Ἐξῆν τῇ πόλει] Λύσις τοῦ ἀντιπίπτοντος. BTCP.

Τὰ αὐτῆς] Δέον εἰπεῖν, καὶ Ὀλυνθίους σῶσαι. TP.

28, 11. Τιμωρήσασθαι] οὐχ ὡς τιμωρησαμένων αὐτῶν τότε τὸν Φίλιππον, ἀλλ' ὡς ἐξουσίαν ἐχόντων, εἴπερ ἠβουλήθησαν. FP.

28, 12. Ἐπ' ἐμοῦ γὰρ] Ὑπερβατὸν καθ' ὑπέρθεσιν. B.

28, 13. Ἱκανὸν] αὔταρκες. Ὡσεὶ ἔλεγε, κἂν τοῦτο δυνηθῆτε ποιῆσαι, καλῶς ὑμῖν ἔχει πρὸς τὴν παροῦσαν δύναμιν. TCV.

Προλαβεῖν] Ὥσπερ ἐπὶ δρομέων εἶπεν ἐπειγομένων διὰ τάχους προαρπάσαι τὸ ἆθλον κείμενον ἐν μέσῳ, ἵνα ἆθλον μὲν νοήσωμεν τὴν Ὄλυνθον, δρομέας δὲ Φίλιππόν τε καὶ Ἀθηναίους. TCV. Ὡς ἐπὶ δρομέων εἶπε τὴν λέξιν. B.

29, 1. Τὴν πρώτην] τὴν ἀρχὴν δηλονότι· ἀρχὴν γὰρ καλεῖ τὸ σῶσαι τοὺς Ὀλυνθίους, τέλος δὲ τὸ τιμωρήσασθαι Φίλιππον. TCP.

29, 2. Ἐὰν γὰρ τοῦτο βεβαίως] Τὸ μὲν λέγειν ὡς οὐκ ἔσωσαν Ὀλυνθίους ἀναίσχυντον· καθεῖλε δὲ αὐτὸ φήσας ὅτι οὐ βεβαίως. Ὥστε ἀνάγκη μένειν κατὰ χώραν τὴν δύναμιν. BTCV. Δέον εἰπεῖν καὶ Ὀλυνθίους σῶσαι. C.

Καὶ περὶ τοῦ τίνα τρόπον] Καὶ ἐν τῷ τρόπῳ τῆς τιμωρίας ἁμαρτάνοντας δείκνυσι τοὺς ῥήτορας· φησὶ γὰρ, τότε ἐξέσται τὸν τρόπον σκοπεῖν. Αἰνίττεται δὲ ὅτι κατὰ θάλατταν ἐπελθεῖν χρὴ τῷ Φιλίππῳ, καὶ κλεῖσαι τὰ ἐμπόρια, ὅπερ αὐτὸς ὕστερον ἐν τῷ τετάρτῳ συνεβούλευσεν. TCV.

29, 3. Πρὶν δὲ τὴν ἀρχὴν] Ἀκόλουθον τῇ ἐξ ἀρχῆς προτάσει τὸ συμπέρασμα· τότε γὰρ τοὺς ῥήτορας μεμφόμενος, ὅτι ἕτερα ἀνθ' ἑτέρων συμβουλεύουσι, νῦν φησι μάταιον εἶναι περὶ τοῦ τέλους σκοπεῖν, ἀρχὴν μὲν τὴν τῶν συμμάχων σωτηρίαν, τέλος δὲ τὴν Φιλίππου καταστροφὴν εἶναι διδάσκων. Τὸ δὲ συμπέρασμα γνωμικὸν ὂν σεμνὴν τὴν βάσιν τοῦ προοιμίου πεποίηκε. Δεῖ γὰρ ἐν μὲν ταῖς ἀρχαῖς τῶν προοιμίων τὰ γνωμικὰ φυλάττεσθαι· καὶ γὰρ ἄγονον καὶ ἀρχαιότροπον τὸν λόγον δεικνύει· τῷ δὲ ἐπὶ τέλει γνωμικῷ ἐπισφραγίζεσθαι τοὺς ἐν μέρει λογισμοὺς τῇ καθόλου προσθήκῃ. BTCV.

29, 5. Λόγον ἐνταῦθα τὴν συμβουλὴν καλεῖ. TCP.

Ὁ μὲν οὖν παρὼν καιρὸς] Δεύτερον προοίμιον ἐκ τοῦ ἀναγκαίου. Λαμβάνεται δὲ ἐξ ὑπολήψεως τῶν πραγμάτων φαύλων ὄντων. AB. Ἀκατάσκευον τὸ δεύτερον προοίμιον εἶπεν, ἵνα ὡς ὁμολογούμενον λάβῃ τὸ ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα. B. Ἐκθέμενος ἐν τῷ πρώτῳ προοιμίῳ σπερματικῶς τὴν ἑαυτοῦ γνώμην, ὅτι δεῖ τοὺς στρατιώτας κατὰ χώραν μένειν, καὶ τὸ προηγούμενον τοῦ λόγου μέρος αὐτῷ κατανείμας, ἐν τῷ δευτέρῳ πάλιν τὰ λειπόμενα δύο μέρη περιείληφεν. TCFV.

29, 8. Πολλῆς φροντίδος] Φοβεῖ αὐτοὺς πάλιν λεληθότως, ἵνα μὴ ὡς ἔτυχεν ἐπὶ Μακεδόνας χωρήσωσι. Διαφέρει δὲ τοῦ πρώτου προοιμίου τὸ δεύτερον, εἰ καὶ φοβεῖ αὐτοὺς ἐν ἑκατέρῳ, ὅτι ἐν μὲν τῷ πρώτῳ ἐξ ἐπιτιμήσεως ἤρξατο τῶν ῥητόρων, ἐνταῦθα δὲ μόνως φοβεῖ. HRS.

29, 9. Ἀλλ' ἐκεῖν' ἀπορῶ] Τὴν λύσιν τῶν κακῶν εἰδὼς ὀκνεῖ ἀποφήνασθαι. Τὸ δὲ « τίνα τρόπον », φανερῶς ἢ ἐξ ἀπάτης, μετὰ παρρησίας, ἢ ὑφειμένως. B.

Τὸ δεύτερον μέρος ἐκ τοῦ περὶ τῶν θεωρικῶν ἐκίνησε. Δείκνυσι δὲ ὅτι τὴν λύσιν τῶν κακῶν εἰδὼς ὀκνεῖ ἀποφήνασθαι. Τὸ δὲ « ἀπορῶ τίνα τρόπον » πολλὰς ἔχει σημασίας, πότερον φανερῶς, ἢ τοὐναντίον ἐξ ἀπάτης; πότερον μετὰ παρρησίας, ἢ ὑφειμένως; οὐκ εἶπε δὲ, ἀπορῶ τί δεῖ λέγειν, ἀλλὰ πῶς δυνήσομαι κολάσεως ἐκτὸς πεῖσαι. Ἰστέον δὲ ὅτι ἀκατασκεύαστον εἶπε τὸ προοίμιον, ἵνα ὡς ὁμολογούμενον λάβοι τὸ ὅτι πολλῆς φροντίδος δεῖται τὰ πράγματα. TCV.

29, 10. Πέπεισμαι γὰρ] Τουτέστιν, ἐξ ὧν αὐτός τε συμβουλεύω καὶ ἐξ ὧν ἕτεροι λέγουσι· δίδωσι γὰρ καὶ τῶν ἄλλων ῥητόρων ἐνίοις λέγειν τὰ χρήσιμά ποτε, ἵνα μὴ πάντα εἰς ἑαυτὸν ἀνάγων φορτικὸς εἶναι δοκῇ. BTCV. Τὸ σχῆμα προδιόρθωσις. BF.

29, 13. Μὴ συνιέναι] Σημείωσαι ὅτι διενήνοχε σύνεσις φρονήσεως, ὅτι ἡ μὲν φρόνησις ἕξις ἐστὶ γεννητικὴ τῶν οἴκοθεν λογισμῶν, ἡ δὲ σύνεσις ἕξις δεκτικὴ τῶν ἔξωθεν λογισμῶν. BTCFP.

Ἀξιῶ δὲ ὑμᾶς] Ἐν τῇ ἀξιώσει κέχρηται τῇ προδιορθώσει. BTCP. Ἀντὶ τοῦ ἄξιον νομίζω· σπανίως γὰρ εὑρίσκεται παρὰ τοῖς Ἀττικοῖς τὸ ἀξιῶ ἀντὶ τοῦ παρακαλῶ. B.

29, 16. Ὁρᾶτε γὰρ] Προσεμβολὴ τοῦ συμφέροντος κεφαλαίου. B. Ἐντεῦθεν αὐτῷ γεννᾶται τὸ τρίτον μέρος τὸ τῆς ἐπιτιμήσεως τῶν νῦν πολιτευομένων. BTCV.

29, 17. Ἐνίους] τοὺς προδότας. B.

29, 18. Ἀναγκαῖον δ' ὑπολαμβάνω] Μετελήλυθεν ἐνταῦθα εἰς αὐτὰ τὰ κεφάλαια. Καὶ ἔστιν αὐτῶν τὸ συμφέρον ἐξεταζόμενον καὶ τὸ προηγούμενον μέρος, πότερον χρὴ μένειν ἐν Ὀλύνθῳ τὴν δύναμιν, ἢ μετάγειν εἰς τὴν Μακεδονίαν. ARTCV.

29, 20. Μέμνησθε] Διηγηματικόν. BC. Ἐντεῦθεν οἱ ἀγῶνες· τὸ δὲ κεφάλαιον διηγηματικὸν τοῦ συμφέροντος. B. Πεῖσαι βουλόμενος τοὺς Ἀθηναίους ἐᾶσαι μένειν κατὰ χώραν τὴν δύναμιν παραδειγματικῇ πίστει κέχρηται· πιθανωτέρα γὰρ πασῶν τῶν πίστεων ἡ τοιαύτη. Διὸ καὶ Ἰσοκράτης μὲν πιθανώτερος εἶναι δοκεῖ, περιττεύων τοῖς παραδείγμασι, Δημοσθένης δὲ βίαιος ὑπείληπται, νῦν μὲν τοῖς ἐνθυμήμασι, νῦν δὲ παραδείγμασιν, αὖθις δὲ ἐντέχνῳ πίστει χρώμενος. ARTCFV. Τοῦτό τινες ἁμαρτάνοντες ὑπενόησαν εἶναι διήγησιν, ἀγνοήσαντες ὡς ἐν συμβουλευτικῷ λόγῳ διηγεῖσθαι οὐκ ἔξεστι. AR.

29, 21. Τρίτον ἢ τέταρτον ἔτος] πρὸ τριῶν ἢ τεσσάρων ἐτῶν. B.

29, 22. Ἡραῖον τεῖχος] πολισμάτιον Θρᾳκικόν. TC.

29, 23. Μαιμακτηριὼν] Κατ' ἔμφασιν μείζονα τῆς σπουδῆς κεῖται τὸ ὄνομα τοῦ μηνός. Θέλει γὰρ εἰπεῖν ὅτι καὶ χειμῶνος ὄντος τὰς ναῦς καθέλκειν ἐψηφίσασθε. Καὶ γὰρ χειμερινὸς ὁ μήν. A. Ἀπὸ τῆς μαιμάξεως μαιμά-

ξαντες ἀντὶ τοῦ ὁρμήσαντες. Ἐτρύγησαν ἀμπέλους καὶ οἶνον ἐποίησαν. HR.

Χειμέριος οὗτος ὁ μήν· ἐξ οὗ δείκνυσιν ὅτι, καίτοι χειμῶνος ὄντος, πλεῖν ἐψηφίσασθε, τοσαύτῃ προθυμίᾳ πρὸς τὴν βοήθειαν ἐκέχρησθε. TCV.

29, 25. Καθέλκειν] ἀντὶ τοῦ ἐμβιβάζειν εἰς τὴν θάλατταν. P.

Μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν] Ὡς παράδοξον τοῦτο εἶπεν, ἵνα ἐμφήνῃ αὐτῶν τὴν πολλὴν σπουδὴν, ὅτι νόμου κελεύοντος παρ' Ἀθηναίοις μέχρι τετταράκοντα ἐτῶν στρατεύεσθαι, ἀρξαμένους ἀπὸ ὀκτωκαίδεκα καὶ μέχρι μέντοι τῶν εἴκοσι παῖδας ὄντας τέως περιπολεῖν τὰ περὶ τὴν πόλιν φρούρια, εἰς ὑπερορίους δὲ πολέμους ἀπὸ εἴκοσιν, αὐτοὶ τότε βουλόμενοι πολλὴν σπουδὴν ἐνδείξασθαι, καὶ οὓς οὐκ ἐκέλευσεν ὁ νόμος στρατεύεσθαι, πολεμεῖν ἐψηφίσαντο. BTCV.

29, 27. Διελθόντος τοῦ ἐνιαυτοῦ] ἤτοι μηνῶν ὀκτὼ παρελθόντων ἀπὸ Αὐγούστου μετρουμένων, καὶ πληρωθέντος τοῦ ἐνιαυτοῦ τούτου, ἦν Ἑκατομβαιὼν ἤτοι Ἀπρίλιος, ὁ καὶ Κρόνιος παρ' Ἕλλησιν, εἶτα Μεταγειτνιὼν ἤγουν Μάϊος, εἶτα Βοηδρομιὼν ἤγουν Ἰούνιος· ὄντων οὖν πάντων μηνῶν ιβ', λέγει ὅτι ὀκτὼ παρεληλύθεσαν μῆνες, ἐξ οὗ τριήρεις ἐκπέμπειν ἐψηφίσασθε, καὶ θάτερον ἦρξεν ἔτος, καὶ Ἰανουάριος, Φεβρουάριος, Μάρτιος ἤδη παρῆλθε· καὶ τότε μόλις μετὰ τὰ μυστήρια, ἤτοι μεγάλα, ἤγουν τὰ Βοηδρόμια, ἀπεστείλατε δέκα ναῦς. P.

29, 28. Τούτου τοῦ μηνὸς] Ἀττικὴ ἡ σύνταξις ἀντὶ δοτικῆς. B.

29, 29. Μετὰ τὰ μυστήρια] τὰ Κόρης καὶ Δήμητρος. B.

30, 1. Κενὰς] πολιτικῆς βοηθείας. BP. Ἀθηναίων ἐπιβατῶν. AR. Ἀθηναίων. Ὅ ἐστι ξένους ἀντὶ Ἀθηναίων ἐχούσας. TCV.

30, 2. Φίλιππος ἀσθενῶν] Ἐπικινδύνως ἀσθενῆσαί φασι Φίλιππον, ὅτε τὴν Μεθώνην ἐπολιόρκει, Ἀστέρος τινὸς στρατιώτου Μεθωναίου ἀπὸ τοῦ τείχους ἐπιγράψαντος τῷ δόρατι,

Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος,

εἶτα πέμψαντος καὶ κατὰ τύχην τινὰ ἐπιτυχόντος κατὰ τοῦ ὀφθαλμοῦ. Λέγεται δὲ ὅτι καὶ ὁ Φίλιππος ἀντέγραψε πρὸς αὐτὸν, καὶ ἀντηκόντισεν, ὅμως οὐκ ἐπέτυχεν αὐτός·

Ἀστέρα Φίλιππος ἢν λάβῃ, κρεμήσεται. TCFV.

Ὡς γὰρ ἠγγέλθη ὁ Φίλιππος ἀσθενῶν] Τὴν αἰτίαν λέγει, δι' ἣν ἐρραθύμησαν, ἐξ ἀρχῆς σπουδάσαντες. B.

30, 5. Τὸν ἀπόστολον] Ἀπόστολος πᾶσα πεμπομένη δύναμις, εἴτε τοξοτῶν εἴτε ὁπλιτῶν εἴτε ἱππέων. Ἐξαιρέτως δ' ἐκάλουν τὴν ναυτικὴν δύναμιν ἀπόστολον οἱ Ἀθηναῖοι. BRS.

Ἦν δ' οὗτος ὁ καιρὸς αὐτὸς] ἀντὶ τοῦ, ἦν δὲ τότε εὔκαιρον ἐπιθέσθαι τῷ Φιλίππῳ, ὅτε ἠρρώστει. B.

Ἀκούσαντες, φησὶ, νοσεῖν τὸν Φίλιππον ἐξελίπετε τὴν βοήθειαν. Καὶ τότε μάλιστα ἐπιτήδειος καιρὸς βοηθεῖν ἐκείνοις ἦν, ἐν ᾧ κακῶς διέκειτο Φίλιππος. TCV.

Εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν] Ἐπηγγείλατο μὲν εἰς ὕστερον παρρησίᾳ χρήσασθαι· οὐδὲν δὲ ἧττον καὶ νῦν ἐπιτιμᾷ, σκώπτων εἰς κουφότητα καὶ ῥαθυμίαν τὸν δῆμον. Οὐ μὴν ἀλλὰ κέκρυπται τὰ τῆς ἐπιτιμήσεως σφόδρα τεχνικῶς. Ὅταν μὲν γὰρ πείθειν τι βουλώμεθα τοὺς ἀκούοντας, κἂν ἐπιτιμᾶν ἔχωμεν, ἐγκεκρύφθαι δεῖ τὴν παρρησίαν, ἵνα μὴ χαλεπήναντες φιλονεικότεροι γένωνται· ὅταν δὲ τοῦτο μόνον βουλώμεθα ποιεῖν, διὰ τὸ σωφρονίζειν ἐπιτιμῶντες, τότε φανερώτερον τῇ παρρησίᾳ προσήκει κεχρῆσθαι. TCV.

30, 8. Οὐκ ἂν ἄλλως ἔχοι] Τὴν αἰτίαν ὥσπερ βούλεται ἡμῖν εἰπεῖν, διὰ τί ἐχρήσατο τῷ διηγήματι τούτῳ. Πῶς γὰρ δυνατὸν μεταποιηθῆναι τὰ ἤδη γενόμενα; καὶ γὰρ οἱ φιλόσοφοί φασιν ὡς ὅτι πάντα δύναται τὸ θεῖον ποιῆσαι, χωρὶς ἑνὸς, τοῦ ἄλλως ποιῆσαι τὰ ἤδη γενόμενα. TCV.

30, 10. Τί δὴ χρησόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι] Ἐρώτησιν προθεὶς οὐκ ἐπήνεγκε τὴν ἀπόκρισιν, βοηθήσομεν· εἶθ' οὕτω τὰ ἑξῆς, εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει. Ὁ δὲ τὴν ἀπόκρισιν ἐξελὼν ἐνέφηνεν αὐτὸ διὰ τοῦ δευτέρου, εἰ γὰρ μὴ βοηθήσετε. Ἐκ τούτου δείκνυται τίς ἦν ἡ ἀπόκρισις, ὅτι δεῖ βοηθῆσαι. TCFV.

30, 12. Παντὶ σθένει] παντοίᾳ βοηθείᾳ, οἷον ναυτικῇ, ὁπλιτικῇ, καὶ διὰ τῶν ἄλλων. TCV. Ναυτικῇ καὶ ὁπλιτικῇ δυνάμει. B.

30, 15. Ἐθάρρει] Ἡ σχῆμά ἐστι κατὰ ἀντίπτωσιν, ἀντὶ τοῦ ἐθάρρει τούτοις, ἢ λείπει τῷ νοήματι τὸ ἀδικεῖν· οἷον οὐκ ἐθάρρει τούτους ἀδικεῖν· καὶ τὸ ἑξῆς δὲ αὐτοῦ οὕτω δεῖ λαβεῖν. B.

30, 18. Πόλιν] τὴν Ὄλυνθον. P.

Ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς] Καλῶς ἐχρήσατο τῇ λέξει. Ἐγγὺς γὰρ οὔσης Μακεδονίας ἐπιτηρεῖν ὥσπερ ἔμελλεν αὐτοῦ τὰ ἀτυχήματα, πότε ἀτυχήσει, ἵνα τότε αὐτῷ εὐκαίρως ἐπίθηται. TCV.

30, 19. Διηλλαγμένην] φίλην γενομένην. TCP.

Ἐκπολεμῶσαι] ἐχθροὺς καταστῆσαι. TCP. Καταβαλεῖν. P.

30, 20. Τοὺς ἀνθρώπους] τοὺς Ὀλυνθίους. P.

30, 21. Ἐθρύλουν] ἠὔχοντο. BP.

Ὁπωσδήποτε] τυχηρῶς. B. οἷον τυχηρῶς· ἢ τῆς τύχης ἐνεργούσης ἡμῖν. C. αὐτομάτως. P.

30, 22. Τί οὖν ὑπόλοιπον] Ὑπερβατὸν καθ' ὑπέρθεσιν. B. Τὸ μέρος τοῦ συμφέροντος ἀνέκοψεν ἐνταῦθα τὸ ἀναγκαῖον, πληρωθέντος χρησίμου. TCP.

30, 24. Χωρὶς γὰρ τῆς περιστάσεως] Καὶ ἐκ τῆς ἀδοξίας καὶ ἐκ τοῦ κινδύνου τὸ συμφέρον συνέστησεν, ἵν' οἱ μὲν σώφρονες καὶ γενναῖοι τὴν αἰσχύνην δείσαντες, οἱ δὲ πολλοὶ καὶ δημόται τὸν φόβον τὸν ἐκ τοῦ μέλλοντος κινδύνου, βοηθήσωσι τοῖς Ὀλυνθίοις. TCFV.

Καθυφείμεθα] ἤγουν ἐνδοίημεν. P

30. 27. Ἐχόντων μὲν ὡς ἔχουσιν] ἤγουν ἐχθρῶς. B. Ἀντὶ τοῦ ἐχθρῶν ὄντων. TCP.

30, 29. Πρὸς ταῦτα ἐπικλῖναι] Μετὰ γὰρ τὴν Ὄλυνθον ἐπ' Ἀθήνας τραπῆναι ἀνάγκη. TCP.

31, 1. Ἀλλὰ μὴν] Ἐντεῦθεν τὸ μέρος τοῦ συμφέροντος τὸ ἀναγκαῖον, πληρωθέντος ἤδη τοῦ χρησίμου. B.

31, 6. Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν] Ἀνθυποφορά. Τὸ δυνατὸν κεφάλαιον. BTC.

Ἐνταῦθα τὸ προηγούμενον κεφάλαιον πεπλήρωκε, τουτέστι τὸ συμφέρον, εἰς δὲ τὸ δυνατὸν μεταβέβηκεν, ὃ παρεμπίπτοντος ἔχει χώραν· δεικνύντος γὰρ αὐτοῦ τὸ συμφέρον, ὅτι βοηθεῖν δεῖ τοῖς Ὀλυνθίοις, ἀντέπεσε, καὶ πῶς δυνησόμεθα χρήματα μὴ ἔχοντες; καὶ γέγονεν ἡ εἴσοδος τοῦ δυνατοῦ ἀντίθεσις πρὸς τὸ συμφέρον· ἐὰν γὰρ ἀποδειχθῇ ὅτι καὶ χρημάτων εὐποροῦμεν, κατεσκεύασε τὸ συμφέρον, ὅτι δεῖ βοηθεῖν τοῖς συμμάχοις. TCFV.

13, 8. Μὴ τοίνυν] Ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος περὶ πολέμου ἀκούειν αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν, διὰ τοῦτο τῇ προθεραπείᾳ χρῆται. Νομοθέτας δὲ λέγει τοὺς κρίνοντας τοὺς νόμους καὶ τιθέντας νόμους καινούς. B.

Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἐπειδὴ τοῦ ἀκροατοῦ προσδοκῶντος ἀκούειν περὶ πολέμων, αὐτὸς περὶ νομοθετῶν μέλλει λέγειν διὰ τοῦτο προθεραπεύει τοὺς πολλούς. Οἱ γὰρ συνετοὶ οὐχ ἡγήσονται αὐτὸ παράδοξον, ἀλλὰ καὶ πάνυ ἀναγκαῖον. Τολμηρὸν δὲ τὸ κελεύειν καθιστάναι νομοθέτας, ὡς λελυμένης τῆς δημοκρατίας, ἢ μελλούσης ὀλιγαρχίας γενέσθαι. Διὰ τοῦτο τῇ προδιορθώσει κέχρηται, διὰ τὸ δοκοῦν ἄτοπον τῆς εἰσηγήσεως. Τὸ οὖν μέλλον ῥηθῆναι παρὰ τοῦ δήμου, ὅτι σὺ κελεύεις νομοθέτας καθίστασθαι; οὐδὲ γὰρ ἔχομεν νόμον, ἀνακόπτει λέγων, ἐν δὲ τούτοις μὴ θῆσθε νόμον μηδένα, ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε. TCV.

31, 10. Νομοθέτας καθίστατε] Νομοθέτης ἐλέγετο παρ' αὐτοῖς καὶ ὁ νόμον καινὸν εἰσφέρων καὶ πάλιν ὁ κρίνων τοὺς νόμους, μή πως ἐναντίοι τινὲς ἀλλήλοις ἔλαθον ὄντες. Τοῦτο δὲ τὸ ἔργον ἦν τῶν θεσμοθετῶν. TCP.

31, 13. Λέγω δὲ] οὐκ εἶπε γράφω, ἀλλὰ λέγω, διὰ τὸ ἀκινδυνότερον. TC.

Τῶν θεωρικῶν] Εἰ μὲν τὰ θεωρικὰ τῇ θεωρίᾳ ἐδίδοσαν, οἰστὸν ἂν ἦν· νῦν δὲ τὰ τῶν στρατιωτῶν τοῖς θεωροῦσι νέμουσιν. Ἑνὸς δὲ ὄντος νόμου, πῶς πολλοὺς αὐτοὺς λέγει; φαμὲν οὖν διοικήσεις πολλὰς καὶ ψηφίσματα γεγενῆσθαι περὶ τῶν χρημάτων. Δι' ὃ καὶ πολλοὺς νόμους λέγει, ἵνα λυθῶσιν ἐν τοῖς νομοθέταις, ἢ ἵνα μὴ δόξῃ μόνῃ τῷ Εὐβούλῳ ἐναντιοῦσθαι ὡς ἐχθρός. AR.

31, 16. Οἱ δὲ τοὺς ἀτακτοῦντας] Τίνι διαφέρουσιν οἱ ἀτακτοῦντες τῶν λειποτακτούντων καὶ τῶν ἀστρατεύτων; Ἀστράτευτος μέν ἐστιν ὁ μηδέποτε ἐγγραφεὶς εἰς τὸν κατάλογον τῶν στρατιωτῶν· ἄτακτος δὲ ὁ ἐγγραφεὶς μέν, μὴ ἐξιὼν δὲ εἰς τὰς ἐπιβαλλούσας αὐτῷ στρατείας· λειποτάκτης δὲ ὁ παρὰ τὴν μάχην καὶ τὸ στρατόπεδον τὴν τάξιν καὶ τοὺς συνασπιστὰς ἀπολιπών. Νόμοι δὲ ἦσαν κελεύοντες ἀφίεσθαί τινας τῆς στρατείας, ὥστε πομπεύειν εἰς τὰ Διονύσια. Κατὰ χάριν οὖν τὴν ἑαυτῶν οἱ χορηγοὶ τοὺς νεωτάτους καὶ τοὺς ἐκ τοῦ καταλόγου μάλιστα ἐπελέγοντο. Ὁ δὲ Δημοσθένης τοὺς μὲν ἐκ τοῦ καταλόγου στρατεύεσθαι ἔφη, ἐκ δὲ τῆς ἀχρήστου ἡλικίας γίνεσθαι τοὺς χορευτάς. TCV.

31, 18. Ἐπειδὰν δὲ ταῦτα λύσητε] Βούλεται ψήφισμα λαβεῖν παρὰ τοῦ δήμου, τὸ παρέχον τὴν ἄδειαν τοῦ κατηγορεῖν τοῦ νόμου. TCV.

31, 19. Τηνικαῦτα τὸν γράψαντα] Σοφίσματι κέχρηται καὶ συναρπάζει τὸν δῆμον. Τῶν γὰρ πλουσίων μόνον συμφέρον ἡγουμένων λυθῆναι τὰ θεωρικά, αὐτὸς πάντας προσέθηκεν, ὡς καὶ τοῦ δήμου τοῦτο σπουδάζοντος. TCFV. Τὸ δὲ ὅτι σύνδεσμος. P.

31, 23. Ἄλλως τε καὶ τούτου μόνου] Ἀντιπῖπτον λύει· ἵνα μή τις εἴπῃ ὅτι « πῶς αὐτὸς ὀκνεῖς ὁ φιλόπολις τὸν « ὑπὲρ τῆς πόλεως θάνατον, ὡς Κόδρος, ὁ βασιλεὺς Ἀθη- « ναίων, καὶ τοῦ Λεὼ θυγατέρες; » ἐπάγει ὅτι, εἰ κἀκεῖνοι ἔπιπτον ὑπὲρ τῆς πατρίδος, ἀλλ' εἶχον παραμυθίαν τοῦ θανάτου τὸ χρησιμεύειν τοῖς πράγμασιν· ἐγὼ δέ, ἐὰν ἀποθάνω νῦν, οὐ μόνον οὐκ ὠφελήσω, ἀλλὰ καὶ βλάψω τοῖς πράγμασι μᾶλλον, φοβερώτερον καταστήσας τὸ βῆμα τοῖς βουλομένοις παρρησιάζεσθαι. BTCV.

31, 27. Καὶ λύειν γε] Ἐντεῦθεν ἐκ τοῦ δικαίου ἐπιχειρεῖ. A.

41, 29. Οἵπερ καὶ τεθείκασι] Βούλεται κατήγορον αὐτὸν ἑαυτοῦ ποιῆσαι τὸν Εὔβουλον. TBP.

32, 4. Πρὶν δὲ ταῦτα εὐτρεπίσαι] Ἀντιπῖπτον ἔλυσε, ἀλλὰ σὺ λύεις τὸν νόμον, μηδὲν εὐλαβηθείς. Ἀπήντησεν οὖν διλημμάτως· εἰ μὲν οὐ δώσω δίκην λύσας τοὺς νόμους, τυραννικὸν τὸ τοιοῦτον· εἰ δὲ ἀνάγκη κινδυνεύειν, πῶς οὐκ ἀνόητος ἔσομαι εἰς πρόδηλον κακὸν ἐμαυτὸν ἐμβάλλων; TCFV.

32, 8. Οὐ μὴν οὐδ' ἐκεῖνο ὑμᾶς] Ἀντιπῖπτον ἐπανορθοῦται, μηδὲν φοβηθῇς, ὦ Δημόσθενες, τὸν νόμον λύσας· ψήφισμα γὰρ ποιοῦμεν ὥστε λυθῆναι. Τί οὖν, φησίν, ἂν ψηφίσησθε μέν, μηδὲν δὲ πράξητε τῶν ἐφεξῆς, οἷον, ἐὰν μὴ συνέλθητε ὥστε λῦσαι, ἢ συνελθόντες μὴ λύσητε, τί τὸ κέρδος τοῦ ψηφίσματος; TCFV.

32, 11. Εἰ γὰρ αὐτάρκη] Καθ' ὑπόθεσιν τὸ σχῆμα. B.

32, 14. Οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι] Ἀσαφὲς τὸ χωρίον· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἂν ἐδεήθητε πολλῶν ψηφισμάτων, καὶ ἐπράξατ' ἂν ἐξ αὐτῶν ἢ μικρὰ ἢ οὐδέν. Ἐξήρκει γὰρ ἓν ψήφισμα καταγωνίσασθαι τὸν Φίλιππον. TCFV.

32, 17. Ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει] Ἐπίκρισις. BTC.

Τὸ γὰρ πράττειν τοῦ λέγειν] Γνώμη ἐνθυμηματική. BTCP. Τόπον Ἀριστοτελικὸν διὰ τῆς γνώμης ἐγύμνασεν. Ἔστι δὲ ὁ τόπος, τὸ αἴτιόν τινι τοῦ εἶναι πρῶτόν ἐστιν· αἴτια δὲ τὰ ἔργα τῶν λόγων· πρότερα ἄρα ἔσται, καὶ πάλιν οὗ ἕνεκά τι πράττεται, τοῦτο κρεῖττόν ἐστιν. TCFV.

32, 19. Τοῦτ' οὖν δεῖ προσεῖναι] τουτέστι τὸ λυθῆναι τὸν νόμον καὶ γενέσθαι τὰ θεωρικὰ στρατιωτικά. TC.

32, 22. Ὀξύτατοι] Ἐκ τούτου ἔστι μαθεῖν ὅτι εἰ καὶ βάναυσοί τινες ἦσαν τὴν τέχνην καὶ κάπηλοι καὶ ἄλλοι τοιοῦτοι ἀκροαταὶ παρὰ τοῖς Ἀθηναίοις καὶ δικασταί, ἀλλ' οὖν γε Ἀθηναῖοι ὄντες καὶ σοφοὶ τὴν φύσιν ἐνόουν τὰ παρὰ τῶν ῥητόρων λεγόμενα. B.

32, 23. Πρᾶξαι δὲ δυνήσεσθε] Οὐκ εἶπε τολμήσετε, φεύγων τὸ λυπεῖν διὰ τῆς δυσχερείας τοῦ ὀνόματος. TCP.

Τίνα γὰρ χρόνον ἢ τίνα καιρὸν] Ἀνακεφαλαίωσις κατὰ ἀναποδισμόν· τὸ δὲ χρόνον ἢ καιρὸν ἐκ παραλλήλου τὸ αὐτό. Ἢ χρόνον μὲν λέγει πάντα, ὃν πολεμοῦσι Φιλίππῳ, καιρὸν δὲ τὸν νῦν, εἰς ὃν πολεμοῦσιν αὐτῷ διὰ τοὺς Ὀλυνθίους. B. Καὶ τοῦτο τοῦ δυνατοῦ μέρους ἐστί. Πᾶσα γὰρ περὶ καιρὸν καὶ χρόνον ἐξέτασις εἰς τὸ δυνατὸν ἔχει τὴν ἀναφοράν. AHRSTCFV.

32, 26. Οὐχ ἅπαντα μὲν] Ἀνακεφαλαίωσις ἡ κατὰ ἀναποδισμόν. TCP.

33, 1. Οὐκ ἐχθρός;] Σφοδρὰ καὶ κατ' ἔννοιαν καὶ κατὰ σχῆμα τὰ κῶλα, ἢ μᾶλλον τὰ κόμματα. B.

34, 2. Οὐ βάρβαρος;] Ὑβρίσαι τοῦτον βουλόμενος καλεῖ αὐτὸν βάρβαρον. Ἐπεὶ τὸ ἀληθὲς σκοπήσει, εὑρήσει αὐτὸν Ἕλληνα Ἀργεῖον καὶ ἀπὸ Ἡρακλέους τὸ γένος καταγόμενον, ὡς πάντες οἱ ἱστορικοὶ μαρτυροῦσιν· ἀμέλει καὶ τὸν υἱὸν αὐτοῦ, Ἀλέξανδρον, μικρὸν κομιδῇ ὄντα, ἀναγαγὼν εἰς τὸ Ἄργος μιᾷ φυλῇ τῶν ἐν τῷ Ἄργει ἐνέγραψεν. B.

33, 9. Πάντων μᾶλλον] ἤπερ ἑαυτοῦ. B.

33, 12. Καὶ νῦν οὐ λέγει τις] Εἰς ἑαυτὸν ἀποτείνεται ὁ ῥήτωρ. B. Ἀνθυποφορά, ἣν λύει δρῶ. R.

33, 14. Ἀγαθῇ τύχῃ] Ἡδομένου ὥσπερ καὶ συνευχομένου αὐτοῖς τὰ κάλλιστα τὸ ῥῆμα, ἵνα δείξῃ ὅτι οὐ διαφωνεῖται τοῖς ἄλλοις ῥήτορσιν. B.

Ἀλλ' οὐχ ἡδέα ταῦτα] Κατὰ ἐρώτησιν. Οὐχ ἡδέα,

φησὶ, τὰ παρ' ἐμοῦ λεγόμενα, ὅτι συμβουλεύω τὰ θεωρικὰ γενέσθαι στρατιωτικά; οὐκ ἐγὼ, φησὶν, αἴτιος τούτων, ἀλλ' ἡ φύσις τῶν πραγμάτων, ὅτι οὐ δύναμαι εἰσαγαγεῖν καὶ τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. TCV.

33, 15. Πλὴν εἰ δέον εὔξασθαι] πλὴν εἰ μὴ ἄρα, φησὶν, ἐν τούτῳ ἀδικῶ, ἐν ᾧ οὐκ εὔχομαι καὶ ἑκάτερα ὑμῖν προσγενέσθαι, καὶ τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. TCV. Εἴπερ δέον εὔξασθαι οὐκ εὔχομαι. Εἰ μὴ ἄρα ἐν τούτῳ ἀδικῶ, ὅτι οὐκ εὔχομαι γενέσθαι ὑμῖν τὰ ἡδέα καὶ τὰ ὠφέλιμα. AR.

33, 16. Εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι] Τί ζητεῖτε, φησὶ, παρὰ τοῦ συμβούλου; εὐχὴν, ὡς ἔοικεν, ἀπαιτεῖται τοῦτο. Οὐ γὰρ μόνον ῥᾴδιόν ἐστι τοῦτο, ἀλλὰ καὶ ἡδύ. Εὔχεται γάρ τις ὅ τι καὶ βούλεται. Τὸ δὲ δέον προσέθηκε συντρέχων ταῖς γνώμαις τῶν φιλοσόφων· εἰσὶ γὰρ αὐτῶν οἵ φασι μὴ δεῖν εὔχεσθαι περὶ τῶν ἐφ' ἡμῖν· ἢ καὶ ἴσως ἀνωφελὲς τὸ τῆς εὐχῆς ἡγούμενος. TCV.

33, 18. Ἑλέσθαι δὲ ὅταν] ὅτε δὲ χρεία βουλεύεσθαι, οὐκέτι ἃ βούλεταί τις σκοπεῖ καὶ αἱρεῖται, ὥσπερ ἐν τῷ εὔχεσθαι, ἀλλ' ὡς ἀπαιτεῖ τὰ πράγματα. A.

33, 21. Εἰ δέ τις ἡμῖν ἔχει τὰ θεωρικὰ] Οὐκ ἔστιν ἀντίθεσις, ἀλλὰ νόημα ἀποκλεῖον τῆς ἀναβολῆς τὸν δῆμον· ἵνα γὰρ μὴ μέλλοντας πόρους ἐπιζητῶσιν, ἐπειγόντων τῶν πραγμάτων, διὰ τοῦτο εἶπεν ὅτι θαυμάζω εἴ τις εὐπορῆσαι τῶν ἀπόντων πρὸς ἃ δεῖ δυνήσεται. Οἱ γὰρ μέλλοντες πόροι οὐδὲν ποιοῦσι πρὸς τὰ παρόντα· αἱ γὰρ νῦν πράξεις οὐ μέλλοντας πόρους ἀπαιτοῦσιν. TCFV.

33, 26. Ἂν τὰ παρόντα ἀναλώσῃ] Σημείωσαι· παρίσωσις κατὰ τὸ τέλος. BTCP.

34. 1. Τὰ δὲ πράγματα πολλάκις] Καλῶς ὁ προσδιορισμός· ἔστι γὰρ ἐνίοτε καὶ οὕτως ἡμῖν ἐκβαίνειν τὰ πράγματα, ὡς καὶ νομίζομεν, εἶναι. B.

34, 4. Καὶ μισθὸν ἕξετε] Μείζονα χρημάτων αὐτοῖς εὐπορίαν ὑποτίθεται. Ὁ γὰρ μισθὸς καθημερινὴ δόσις ἐστὶ χρημάτων· τὰ δὲ θεωρικὰ ταῖς ἱερομηνίαις ἐλάμβανον. TCV.

34, 5. Σωφρόνων] συνετῶν· τὸ δὲ γενναίων οὐκ ἰσχυρῶν λέγει, ἀλλ' ἐλευθέρων καὶ εὐγενῶν. BTCV.

Οὔ τοι σωφρόνων] Τραχεῖα μὲν ἡ ἔννοια, ἐν δὲ τῷ καθόλου λεχθεῖσα λειοτέρως πως γίνεται. Μελετᾷ δὲ τὸ δυνατὸν κεφάλαιον. Λέγει γὰρ ὅτι οὐ δίκαιόν ἐστιν ἐπὶ μὲν Ἕλληνας στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον, βάρβαρον ὄντα, μή· καὶ ὅτι δίκαιόν ἐστιν ἐμμένειν οἷς ἐψηφισάμεθα, τουτέστι τῷ βοηθεῖν τοῖς Ὀλυνθίοις. B.

34, 7. Οὐδ' ἐπὶ μὲν Κορινθίους] Ἀπὸ κοινοῦ τὸ οὐδαμῶς σωφρόνων ἐστὶν, οὐδὲ γενναίων, ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας, ὅ ἐστιν Ἕλληνας ὄντας, στρατεύεσθαι, ἐπὶ δὲ Φίλιππον, τὸν βάρβαρον ὄντα, μή. Αἱ δὲ αἰτίαι αἱ κατὰ Μεγαρέων καὶ Κορινθίων αὗται. Οἱ Μεγαρεῖς τὴν ὀργάδα παρέτεμνον, οἱ δὲ Κορίνθιοι συνεμάχουν τοῖς Μεγαρεῦσι, καὶ διὰ τοῦτο εἰς πόλεμον Ἀθηναίοις κατέστησαν. Ὀργὰς δὲ ἐκαλεῖτο ἡ χώρα ἢ διὰ τὰ ὄργια τῶν θεῶν, ἢ διὰ τὸ ἀργὴν εἶναι καὶ ὀργᾶν ἐν αὐτῇ. TCFV.

Ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας] Ἕλληνας ὄντας. A.

Ἐπὶ μὲν Κορινθίους] Παράδειγμα πρόσφορον εἰσήγαγεν αὐτοῖς. Πολέμων γὰρ μέμνηται καὶ κατορθωμάτων αὐτοῖς ἄνευ καμάτων καὶ πόνων, ἵνα ταὐτὰ νομίσωσι καὶ ἐπὶ τοῦ παρόντος. Κορίνθιοι, λελυπημένοι κατ' Ἀθηναίων, καλοῦντες πάντας Ἕλληνας εἰς τὰ Ἴσθμια (κοινὴ γὰρ ἦν ἡ πανήγυρις) τοὺς Ἀθηναίους παρῆκαν. Οὗτοι, ὡς θεοσεβεῖς ὄντες, ἔπεμψαν τὴν θυσίαν μετὰ ὁπλιτῶν, ἵν', εἰ δέξωνται αὐτὴν, ὑπόσπονδοι ὑποστρέψωσιν· οὐ γὰρ ἐπὶ πόλεμον ἐξεληλύθεισαν. Ὃ δὴ καὶ γεγένηται· ἑωρακότες γὰρ τὴν παρασκευὴν οἱ Κορίνθιοι ἐδέξαντο. Ἄνευ οὖν πόνων συνέβη κατορθῶσαι αὐτοὺς τοῦτο τὸ πρᾶγμα. AR

Μεγαρέας] Τὴν ἱερὰν γῆν ὡς ὀργάδα καὶ ἄνετον ἐγεώργουν οἱ Μεγαρεῖς. Πάλιν ὡς εὐσεβεῖς οἱ Ἀθηναῖοι ἐξελθόντες ἔπαυσαν αὐτοὺς μόνῃ τῇ θέᾳ νικήσαντες. A.

34, 11. Οὐχ ἵν' ἀπέχθωμαι] Ἐπιδιόρθωσις. B.

34, 14. Ἀλλὰ—] Ἐντεῦθεν μεταβέβηκεν ἐπὶ τὸ τρίτον τοῦ λόγου μέρος, ἐπιλογικὸν μὲν εἶναι δοκοῦν, ἔχον δὲ καταδρομὴν τοῦ τε νόμου καὶ τοῦ θέντος αὐτόν. Πέπτωκε δὲ ἀκολούθως τοῦτο τὸ μέρος. Εἰ γὰρ διὰ τὰ χρήματα διέφθαρται τὰ πράγματα τῆς πόλεως, αἴτιος δὲ τούτων ὁ νόμος, ἄξιον ἦν καταδραμεῖν αὐτοῦ τε καὶ τοῦ θέντος αὐτόν. Ἡ δὲ καταδρομὴ γέγονε κατὰ ἀντεξέτασιν τῶν νῦν πολιτευομένων καὶ τῶν ἐπὶ τῶν προγόνων. Κἀκείνοις μὲν ἑαυτὸν ἀπείκασε, τούτων δὲ καθήψατο, καὶ διχόθεν ἑαυτὸν συνέστησεν, ἐξ ὧν καὶ τούτους οὐ μιμεῖται καὶ τοὺς παλαιοὺς ἐζήλωκε τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας, οὐ τοῖς κατορθώμασιν. TCFV.

34, 17. Ἀκούω ὥσπερ ἴσως καὶ ὑμεῖς] Ἐπὶ μὲν αὐτῶν τέθεικε τὸ ἴσως, ἐπὶ δὲ ἑαυτοῦ τὸ ἀκούω, ὡς ἀκριβεστέρου αὐτῶν καὶ πλέον περιεργαζομένου τὰ τῶν προγόνων, οἷα δὴ καὶ τὰ ἐκείνων ζηλοῦντος. Τινὲς δὲ ἐξηγοῦνται τὸ ἴσως πρὸς τὴν ἀκοὴν, ὅτι καί τινες ἦσαν ἴσως μὴ μόνον ἀκοῇ εἰδότες τὰ τῶν προγόνων, ἀλλὰ καὶ τῇ θέᾳ, διὰ τὸ μακρόβιον ἑαυτῶν. BP.

34, 18. Οἱ παριόντες] οἱ δημηγοροῦντες. CP.

34, 20. Ἐκεῖνον] Τὸ ἐκεῖνον ὡς θαυμάζων προσέθηκε. CP.

34, 21. Τὸν Περικλέα] διὰ τί τὸν Περικλέα δεύτερον τέθεικε πρεσβύτερον ὄντα τοῦ τε Νικίου καὶ τοῦ Δημοσθένους; ὅτι τοὺς ἄκρους κατ' ἀρετὴν ἐν ἄκροις ἔταξε, τοὺς δὲ μέσους ἐν μέσοις. Διὰ τί δὲ μὴ καὶ Θεμιστοκλέους καὶ Μιλτιάδου ἐμνήσθη; ἐπειδὴ ἐκεῖνοι μὲν κατὰ βαρβάρων εὐδοκίμησαν, οὗτοι δὲ κατὰ τὴν πολιτείαν. BP.

34, 22. Διερωτῶντες] ἀντὶ τοῦ διόλου ἐρωτῶντες. B.

34, 23. Προπέποται] ἀντὶ τῶν λοιπῶν ἡδέων ἀντιδεδώρηται τῶν πόλεων ἡ ἀπώλεια. Ἀπὸ μεταφορᾶς τοῦ προπίνειν ἐν τοῖς συμποσίοις, ὅταν τις χάριτας ὁμολογῶν τινι δεξιωσάμενος αὐτὸν τῷ πόματι μετὰ τοῦ ποτοῦ χαρίσηται αὐτῷ καὶ τὸ ποτήριον, ἀργυροῦν ὂν ἢ χρυσοῦν. BHRSP.

34, 27. Καίτοι σκέψασθε] Εἰς ταύτην τὴν ἀντεξέτασιν ἐχώρησεν, ἣν διεῖλεν εἰς τρία· πῶς μὲν ἐπολιτεύοντο πρὸς τοὺς Ἕλληνας, πῶς δὲ πρὸς τὴν πόλιν, πῶς δὲ τὰ καθ' ἑαυτοὺς ἰδίᾳ. TCFV.

35, 3. Οἷς οὐκ ἐχαρίζονθ'] Τί οὖν; τοὺς προγόνους ἐμίσουν οὗτοι καὶ οὐκ ἐφίλουν; ἐπάγει εὐθὺς ὅτι ἐφίλουν, ἀλλ' οὐχ ὡς οὗτοι οἱ προδόται· οὗτοι γὰρ φιλοῦσι τῷ δοκεῖν καὶ χαρίζονται ἐπὶ τῷ ἀπολέσαι τὰ πράγματα. BP.

35, 5. Πέντε μὲν] Πῶς τετταράκοντα καὶ πέντε νῦν εἰπὼν ἐν ἑτέρῳ λόγῳ τρία καὶ ἑβδομήκοντα ἄρξαι τῶν Ἑλλήνων φησί; δεῖ γὰρ εἶναι ἐγγὺς τὸν ἀριθμόν· οἷον, ὁ παῖς οὗτος οὐδαμῶς [ἂν] τις εἴποι ὅτι τριῶν ἐτῶν ἐστιν ἢ εἴκοσιν, ἀλλὰ τριῶν ἢ τεσσάρων ἢ πέντε· ἐγγὺς γὰρ ὁ ἀριθμός. Λέγομεν οὖν ὅτι προσέθηκεν ἐνταῦθα τὸ ἑκόντων· τὰ γὰρ ἄλλα ὀκτὼ καὶ εἴκοσιν ἔτη ἀκόντων αὐτῶν ἦρξαν, διὰ τὸ ἐπαχθῶς φέρεσθαι τοῖς Ἕλλησι τοὺς Ἀθηναίους. BP.

Τῶν Ἑλλήνων] Μνημονεύει τούτων Θουκυδίδης ἐν τῇ δευτέρᾳ ἱστορίᾳ. BP.

35, 7. Ὑπήκουε] Καὶ μέντοι καὶ φόρους ἤνεγκεν αὐτοῖς Περδίκκας, ὁ ἀδελφὸς Φιλίππου, θεῖος Ἀμύντου, τοῦ πατρὸς Φιλίππου, ὥς φησι Διόδωρος· Ἀλεξάνδρου γὰρ τοῦ Φιλέλληνος, τοῦ γενομένου ἐπὶ τῶν Μηδικῶν, δύο παῖδες, Περδίκκας καὶ Φίλιππος. Ἐπολέμησαν οὖν πρὸς αὐτὸν οἱ Ἀθηναῖοι. BP. Οἱ μὲν Περδίκκαν εἶναί φασι τὸν ἐνεγκόντα τοὺς φόρους Ἀθηναίοις, οἱ δὲ Φίλιππόν τινα τῶν Φιλίππου προγόνων. TCFV.

Ταύτην τὴν χώραν] τὴν Μακεδονίαν. B.

35, 8. Βασιλεὺς] Περδίκκας ὁ πατὴρ Ἀμύντου τοῦ πατρὸς Φιλίππου. TCF.

35, 10. Μόνοι δὲ ἀνθρώπων] Ὅτι οἱ μὲν τοῖς ἄλλοις φθονοῦντες καθαιροῦσιν αὐτῶν τὴν δόξαν διὰ τοῦ λοιδορεῖν, τὴν δὲ ἐκείνων εὔκλειαν οὐδεὶς ἀφανίσαι δεδύνηται. TCV.

35, 11. Κρείττω] διὰ τὸ ὑπερβάλλον τῶν πράξεων· οἱ γὰρ φθονοῦντες ἢ τοῖς ἴσοις φθονοῦσιν ἢ τοῖς μικρῷ μείζοσιν, οὐ μὴν τοῖς πάνυ ὑπερβάλλουσιν. BP.

35, 14. Ὁποῖοι] ὅ ἐστι, πῶς διέκειντο κοινῶς πάντα πράττοντες εἰς τὰ δημόσια αὐτῶν. Εἶτα καὶ ἐχρήσατο, πῶς ἕκαστος ἰδίᾳ ἐδίου. BP.

35, 17. Ἀναθημάτων] Ταῦτα πάντα ἐποίησαν καὶ ἀνέθεσαν ἀπὸ τῶν λαφύρων τῶν Περσικῶν, τὸν δίφρον τὸν ἀργυρόποδα τοῦ Ξέρξου, καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, καὶ τὰ προπύλαια τῆς ἀκροπόλεως κατεσκεύασαν, καὶ τὴν χαλκῆν Ἀθηνᾶν καὶ τὴν ἐκ χρυσοῦ καὶ ἐλέφαντος. BP.

Ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων] Οὐ περὶ τῶν οἰκοδομημάτων λέγει, ἀλλὰ τῶν ἀναθημάτων· καὶ γὰρ τούτων εἰσὶν ἴσως ὑπερβολαί· ἀλλ' αὔξει τὰ ἀναθήματα διὰ τὰς πράξεις ἐξ ὧν ἀνετέθησαν. Ὁ γὰρ Ξέρξου δίφρος καὶ ὁ ἀκινάκης Μαρδονίου, ὁ μὲν ἐκ Σαλαμῖνος, ὁ δὲ ἐκ Πλαταιῶν ἀνετέθησαν. Τούτων δὲ τῶν κατορθωμάτων οὐδεὶς ἐξεῦρεν ὑπερβολήν. TCV.

35, 21. Οἰκίαν εἴ τις] Ἔδειξε τὸ εὐτελὲς τῶν οἰκιῶν καὶ τὸ ἀφανὲς, οὕτως εἰπὼν, εἴ τις οἶδεν, ὡς μὴ πολλοῖς γνωριζομένων διὰ τὸ ταπεινόν. TBFP.

35, 26. Ἴσως] ἐπίσης. P.

35, 29. Πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν] Εἰρωνεία τὸ σχῆμα. Τῆς δὲ εἰρωνείας ἡ μὲν εὐθὺς ἐπαγόμενον ἔχει τὸν ἔλεγχον διὰ τοῦ λόγου, ὥστε δείκνυσθαι ὅτι εἰρωνεία ἐστὶν, ὅπερ ἔστι νῦν παρὰ τῷ Δημοσθένει· ἡ δὲ διὰ τῶν πραγμάτων, ὅπερ ἔστι παρὰ τῷ Πλάτωνι. Εἰρωνευσάμενος γὰρ ὅτι οὐδὲν οἶδα καὶ παρὰ σοῦ δέομαι μαθεῖν, ἐπάγει μετ' οὐ πολὺ τὸν διὰ τῶν πραγμάτων ἔλεγχον· δι' οὗ δείκνυσιν ὅτι ἐξ ἀρχῆς εἰρωνεία ἦν. TCFV.

Ὑπὸ τῶν χρηστῶν] Ἐμπερίβολον τὸ χωρίον διὰ τὸν πλαγιασμόν. B.

36, 2. Ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε] Ἀντεξετάζει τὴν πολιτείαν τὴν περὶ τὸν Εὔβουλον ὁμοίως ἀπὸ τῶν τριῶν, τῶν τε Ἑλληνικῶν καὶ τῶν ἰδίων καὶ τῶν πολιτικῶν. TCFV.

36, 3. Λακεδαιμονίων μὲν ἀπολωλότων] Φοιβίδας στρατηγὸς Λακεδαιμονίων κατέσχε τὴν Καδμείαν· ἐξέωσαν δὲ αὐτὸν οἱ Θηβαῖοι· ὁ δὲ παρώξυνε τοὺς Λακεδαιμονίους στρατεύεσθαι ἐπὶ Θηβαίους· ἐστράτευσαν καὶ ἡγεῖτο αὐτῶν Κλεόμβροτος, εἷς τῶν βασιλέων, Θηβαίων δὲ Ἐπαμινώνδας. Καὶ ἐγένετο μάχη ἐν Λεύκτροις ἐπὶ Κηφισῷ· ἐν ᾗ ἔπεσον χίλιοι Σπαρτιατῶν καὶ Κλεόμβροτος καὶ τῶν ἐκ περιοικίδος πολὺς ἀριθμός. Ἀπέστησαν αὐτῶν οἱ σύμμαχοι καὶ ἐταπεινώθησαν καὶ οἱ Λακεδαιμόνιοι. AR.

36, 4. Ἀπολωλότων] ἐν Λεύκτροις. TCP.

Ἀσχόλων ὄντων] διὰ τὸν Φωκικὸν πόλεμον BTCP.

36, 8. Ἀπεστερήμεθα χώρας οἰκείας] τῆς Ἀμφιπόλεως λέγει· αὐτῶν γὰρ κτῆμα ἦν. TCP.

36, 9. Ἀνηλώκαμεν] εἰς αὐτὴν Ἀμφίπολιν. TCP.

36, 10. Οὓς δ' ἐν τῷ πολέμῳ] Πρὸ τοῦ Φιλίππου Τιμόθεος ἦν ἔξω τυγχάνων ἐν τῇ Θρᾴκῃ καὶ ἐκεῖ ἐκτήσατο χωρία, ἅπερ νῦν εἴληφε Φίλιππος, Πύδναν καὶ Ποτίδαιαν καὶ τὰς ἄλλας. Ἄγαν γὰρ εὐτυχὴς ὁ Τιμόθεος, ὥστε προσιέναι τὰς πόλεις αὐτῷ καὶ τοὺς ζωγράφους κοιμώμενον γράφειν αὐτὸν καὶ Τύχας αὐτῷ τὰς πόλεις προσφερούσας. A.

Κατὰ τὸν συμμαχικὸν πόλεμον ἀπέστησαν αὐτῶν Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι καὶ ἕτεροί τινες. Πολεμοῦντες οὖν πρὸς αὐτοὺς τοὺς μὲν ἀνεκτήσαντο, τοὺς δὲ οὐκ ἠδυνήθησαν, εἶτα εἰρήνην ἐποιήσαντο ὥστε πάντας αὐτονόμους ἐᾶσαι τοὺς συμμάχους. Τοῦτο οὖν φησιν, ὅτι καὶ οὓς προσηγαγόμεθα τῷ πολέμῳ, καὶ τούτους διὰ τὴν εἰρήνην ἀπολωλέκαμεν. Τοῦ δὲ τοιαύτην γενέσθαι τὴν εἰρήνην αἴτιος Εὔβουλος οὕτω διοικῶν τὰ πράγματα. TCFV.

Συμμάχους] Πυδναίους λέγει. CP.

36, 12. Τηλικοῦτον] Φοβήσας αὐτοὺς διὰ τοῦ εἰπεῖν τηλικοῦτον πάλιν ἐπάγει τὴν θεραπείαν διὰ τοῦ εἰπεῖν ὅτι ἡμεῖς αὐτὸν ἠσκήσαμεν. Εἰ δὲ αὐτοὶ αὐτὸν ἤσκησαν, οὐκοῦν καὶ καθελεῖν δυνήσονται. BP.

Ἢ φρασάτω τις] Τὸ σχῆμα πρόκλησις. C.

36, 14. Ἀλλ' ὦ τᾶν] Ἀνθυποφορὰν λύει διὰ τὸ τὰ πολιτεύματα Εὐβούλου διεξιέναι. TCFV.

Ταῦτα] τὰ ἐκτὸς τῆς πόλεως. BP.

36, 16. Ἐπάλξεις] Ταῦτα ἦν τὰ Εὐβούλου πολιτεύματα, τὸ ποιῆσαι τὰς ἐπάλξεις λευκοχρίστους. TCV.

36, 18. Λήρους] Οἱ μέν φασι τοὺς κρουνοὺς λέγειν, παρὰ τὸ λίαν ῥεῖν· οἱ δὲ τὰ λήρου ἄξια πράγματα· ἐκεῖθεν γὰρ καὶ ὁ Ἀριστοφάνης παρὰ τὸ ληρεῖν ἐποίησε τὴν σύνθεσιν, θέλων τινὰ ὑβρίσαι, ἐν τῷ κρουνοχυτρολήραιον. TCV. Ἢ λήρους λέγει τοὺς κρουνοὺς ἀπὸ τοῦ λίαν ῥεῖν, ὥσπερ καὶ Ἀριστοφάνης (Eq. 89) κρουνοχυτρολήραιον, ἢ λήρους καθολικῶς εὐτελῆ τινὰ ἐκ τοῦ λήρου τοῦ φλυάρου καὶ περιττοῦ. RS. Ταῦτα δὲ ἐπειδήπερ Εὔβουλος πεποίηκε, τούτου χάριν διασύρει. A.

36, 19. Ὧν οἱ μὲν ἐκ πτωχῶν] Αἰνίττεται τοὺς περὶ τὸν Δημάδην, Εὔβουλον, Φρύνωνα, Φιλοκράτην, καὶ εἴ τινες ἕτεροι. TCFV.

36, 20. Οἱ δ' ἐξ ἀδόξων] Οἱ περὶ Δημάδην· υἱὸς γὰρ ἦν ναύτου. TCP.

36, 21. Τῶν δημοσίων οἰκοδομημάτων] Οὐ τῶν ὑπὸ Περικλέους τε κἀκείνων τῶν ἀνδρῶν γεγονότων, ἀλλ' ὧν οὗτοι τῇ πόλει κατεσκεύασαν κρηνῶν καὶ λήρων. Ἴσως δὲ τῶν ἀναθημάτων λέγει. Ἐν δὲ τῷ λέγειν τοῦτο παροξύνει αὐτοὺς κατὰ τῶν ῥητόρων· φύσει γὰρ φθονερὸν τὸ τῶν ἀνθρώπων γένος. TCFV.

36, 23. Τί δὴ τὸ πάντων αἴτιον] Αἰτίας παράθεσις δι' οὗ προτρέπεται ποιεῖν αὐτοὺς τὰ δέοντα· διὰ γὰρ τοῦ λέγειν ὅτι διὰ τοῦ ἐξιέναι ηὐτύχουν εἰς ζῆλον αὐτοὺς τούτων καθίστησιν. TCV.

37, 2. Ὑμεῖς δ'] Ἐμφαντικὸν τὸ ὑμεῖς, ὡς ἂν εἰ ἔλεγεν· οἱ αὐτόχθονες ὑμεῖς καὶ πάλαι τῆς Ἑλλάδος ἡγεμόνες νῦν δοῦλοι τῶν ῥητόρων γεγένησθε. Τὸ δὲ ἐκνενευρισμένοι τῶν νεύρων ἀφῃρημένοι· νεῦρα δὲ καὶ δύναμιν τῆς πόλεως καλεῖ τοὺς συμμάχους. Ἐπειδὴ τραχεῖα ἡ μεταφορὰ, ἐπήγαγε τὸ περιῃρημένοι. Ἀπὸ μεταφορᾶς καὶ

τοῦτο μέρους σώματος εἶπεν, ἐμμένων τῇ τροπῇ τοῦ ἐκνενευρισμένοι. BTCV.

37, 6. Βοΐδια] τοῦτο εἰς Χάρητα. Διαβὰς γὰρ εἰς τὴν Ἀσίαν πρὸς Ἀρτάβαζον, τοῖς ξενικοῖς στρατεύμασι πορθήσας Λάμψακον καὶ Σίγειον, ἔπεμψεν Ἀθηναίοις βοῦς, ἃς διείλοντο κατὰ φυλάς. AR.

Γράφεται καὶ βοηδρόμια. Καὶ γάρ φασιν, ὅτε ἔπεμψε τὴν λείαν ὁ Χάρης, βοηδρόμια ἦν. Τὸ δὲ βοΐδια ὑποκοριστικόν ἐστιν ἐν συναιρέσει Ἀττικῷ ἔθει. TCV.

Καὶ τὸ πάντων ἀνανδρότατον] Γράφεται καὶ ἀνδρειότατον ἵν' ᾖ κατὰ εἰρωνείαν. Ὅ τινες ἀγνοήσαντες τὴν νῦν φερομένην γραφὴν ἐποίησαν. Τὸ δὲ προσοφείλετε χάριν εἶπεν, ἐπειδή φασιν ὅτι ἐστεφάνωσαν ἐπὶ τῇ λείᾳ τὸν Χάρητα. TCV.

37, 8 Καθείρξαντες] οἷον συγκλείσαντες καὶ μὴ ἐῶντες πολεμεῖν· εἶπε δὲ ὡς ἐπὶ δεσμουμένων θηρίων τὴν λέξιν. Διὸ ἐπάγει καὶ τὸ τιθασεύουσι καὶ τὸ χειροήθεις. Ταῦτα γὰρ πάντα ἐπὶ θηρίων εἰώθαμεν ποιεῖν, ἡμεροῦντες αὐτά. Καὶ τὸ ἐπάγουσι δὲ ὡς ἐπὶ θηρίων εἶπεν· εἰώθαμεν γὰρ καὶ τὰ θηρία οὕτως ἐξημεροῦν, διὰ τοῦ τὴν χεῖρα τοῖς σώμασιν αὐτῶν ἐπάγειν, οἱονεὶ κολακεύοντες αὐτὰ διὰ τοῦ χειροτριβεῖν. BP. Ἐκ μεταφορᾶς τῶν ἀλόγων ζῴων· διὸ καὶ τὸ τιθασεύουσιν καὶ τὸ χειροήθεις ἐπήγαγεν. TCV.

37, 14. Ταῦτα μὰ τὴν Δήμητρα] Ἐντεῦθεν οἱ ἐπίλογοι· προκατασκευαστικῶς δὲ ὁ ῥήτωρ τὸν κίνδυνον βουλόμενος φυγεῖν τοῦτό φησιν. TCV.

Μὰ τὴν Δήμητρα] Ἐπειδὴ ᾔσθετο αὐτοὺς ὀργίλους γινομένους διὰ τὸ πολλὰ αὐτοῖς ἐπιτιμῆσαι, τὴν Δήμητρα ἀποκαλεῖται. [Εἰκὸς γὰρ ἦν] ἡμέρους αὐτοὺς ἀπεργάσασθαι, τὴν καὶ τῶν ἡμέρων σιτίων αἰτίαν γενομένην αὐτοῖς. BP. Ὡς ἐπιπλήξας θεραπεύει πάλιν, διὰ τὸ τραχὺ δὲ τὴν Δήμητρα ὄμνυσι, τυγχάνουσαν θεὸν ἥμερον, πρὸς τὸ ἡμέρους αὐτοὺς ποιῆσαι. Ὥσπερ γὰρ ἐκείνη διὰ τῶν καρπῶν ἡμέρους τοὺς ἀνθρώπους ἐποίησεν, οὕτως καὶ αὐτὸς διὰ τοῦ ὅρκου βούλεται ἡμεροῦν αὐτῶν τὴν ἀγριότητα τὴν γενομένην ἐκ τῆς ἐπιτιμήσεως. HR.

37, 17. Ἀλλ' ἔγωγε ὅτι καὶ νῦν] Ἐπειδὴ τὸ ἐν τῇ συνηθείᾳ κακῶς λεγόμενον, οὐ χρῆται τὸ ἔτι καὶ νῦν, ἀλλ' ὅτι νῦν ἀντὶ τούτου κέχρηται. Διὰ δὲ τοῦ λέγειν ὅτι θαυμάζω ὑμᾶς, ὅτι κἂν γοῦν νῦν δεδώκατέ μοι παρρησίαν, προτρέπει αὐτοὺς τοῦτο ποιεῖν. TCV. Καινοπρεπές. C.

37, 20. Καὶ ταῖς περιουσίαις] Τουτέστι τοῖς θεωρικοῖς. Ἀφορμαῖς δὲ ταῖς προφάσεσι. Διὰ δὲ τοῦ ἴσως εἰπεῖν ὡς ἐν ἐπανορθώσει τὸν δισταγμὸν τὸν πρὸς σφᾶς ὑπέφηνεν. TCT.

37, 22. Ἴσως ἄν, ἴσως] Τεχνικὸς ὁ διπλασιασμός. Οὔτε γὰρ φανερῶς ἀπεφήνατο· ἀλαζονικὸν γὰρ τοῦτο καὶ ἐπισφαλές· οὔτε μόνῳ τούτῳ ἠρκέσθη, ἀλλὰ διπλασιασμῷ κέχρηται πρὸς βεβαίωσιν καὶ ἀκρίβειαν· οὐδεὶς γὰρ συμβούλου πείθεται διστάζοντος. Τινὲς δὲ χαριέντως αὐτὸ ἀναγινώσκοντες ἐξηγοῦνται οὕτως, τὸ δεύτερον ἴσως ὡς ἐπανορθωτικὸν λαμβάνοντες τοῦ προτέρου, ὡς ἂν εἰ ἔλεγεν ἐπιτιμῶν ἑαυτῷ εἰπόντι ἴσως· μᾶλλον γὰρ ἀκριβῶς τέλειόν τι καὶ μέγα κτήσεσθε. BP.

37, 24. Ἃ τοῖς ἀσθενοῦσιν] Οἰκείως τῇ παραβολῇ ἐχρήσατο, δεικνὺς ὅτι νοσοῦσιν ἄνοιαν. TCV.

38, 1. Οὐκοῦν] Ἀνθυποφορά. C. Ἐπειδὴ ἡ μισθοφορὰ παρὰ τοῖς Ἀθηναίοις ἐφύβριστος (οἰκετῶν γαρ), ἐχρήσατο τῇ ἀνθυποφορᾷ ταύτῃ, δι' ἧς λύει καὶ ἀποκρύπτει τὸ ἀπρεπές. Ἐπειδὴ δὲ οἶδεν ὅτι οὐκ ἂν πείσειεν αὐτοὺς ἀποστῆναι τῶν θεωρικῶν, βούλεται αὐτοὺς τούτοις μόνοις ἀρκεῖσθαι· καὶ μὴ ἐὰν δικάζωσιν, ἢ συμβουλεύωσιν, ἢ ἐκστρατεύωνται, λαμβάνειν μισθόν. TCV.

Οὐκοῦν σὺ μισθοφορὰν λέγεις;] Ἀνθυποφορὰ τὸ σχῆμα, ἵν' ὡς δοῦλοι λάβωμεν μισθὸν καὶ οὕτως πολεμῶμεν· τοῦτο γὰρ ᾐνίξατο ἐν τοῖς ἄνω, ὅτι δεῖ λαβεῖν τὰ θεωρικὰ εἰς μισθὸν πολέμου. Εἶτα ἐπειδὴ ἐδόκει ἐφύβριστον εἶναι τὸ ὄνομα τῆς μισθοφορᾶς, μεταβάλλει καὶ σύνταξιν αὐτὴν καλεῖ· τῷ δὲ ἔργῳ καὶ τῷ ἀληθεῖ τὴν αὐτὴν καλεῖ καὶ σύνταξιν καὶ μισθοφοράν. Καὶ γὰρ καὶ ἐν τῇ συντάξει μισθός ἐστιν ὁ παρεχόμενος. Ὡσανεὶ ἔλεγε· μισθοφορὰν καλῶ οὐχ ἣν ὑμεῖς νομίζετε, παρεχομένην τοῖς δούλοις, ἀλλὰ τὴν παρεχομένην τοῖς ἐλευθέροις ὑπὲρ τοῦ λαμβάνειν καὶ ποιεῖν τὰ δέοντα. Τὸ δὲ ἁπάντων ἀντὶ τοῦ ὑπὲρ ἁπάντων τῶν πραγμάτων, καὶ ἐν πολέμῳ καὶ ἐν εἰρήνῃ. Βούλεται γάρ, ἐπειδὴ ὁρᾷ αὐτοὺς μὴ βουλομένους λῦσαι τὰ θεωρικά, λαμβάνειν αὐτὰ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ ἀρκεῖσθαι καὶ μὴ ζητεῖν πλείονα ἐν πολέμῳ. Κοινῶν δέ φησι τῶν δημοσίων. BHRSP. Ἀνθυποφορά· ἥτις μέση τυγχάνει ἀντιπίπτοντος καὶ ἀντιθέσεως, μεῖζον μὲν ἀντιπίπτοντος, ἧττον δὲ ἀντιθέσεως. Ἀλλὰ λέξει τις· μισθοφορεῖν ἡμῖν συμβουλεύεις; τοῦτο δ' ἦν Ἀθηναίοις εὐδοξοῦσιν ἐπαχθές τε καὶ βαρύτερον. A.

38, 5. Ἔξεστιν ἄγειν ἡσυχίαν] Πάνυ καλῶς τὴν ἡσυχίαν προέταξε· ῥᾳθύμους γὰρ προσφθέγγεται. Εἶτα ἵνα μὴ μεμνημένος τοῦ ὀνόματος τοῦ πολέμου ἐπαχθὴς ὀφθῇ, οὐκ ὠνόμασεν, ἀλλ' εἶπεν οἷον καὶ τὰ νῦν ὑπάρχει. TCFV.

38, 8. Συμβαίνει τι τοιοῦτον] Ἀποστροφὴ τὸ σχῆμα. C.

Τὰ νῦν] ἀντὶ τοῦ πόλεμον. Ὅρα δὲ πῶς τὸ ὄνομα τοῦ πολέμου ἀποκρύπτεται. B.

Ἀπὸ τῶν αὐτῶν τούτων] τουτέστιν, ἵνα μὴ πρὸς τοῖς θεωρικοῖς λαμβάνῃ μισθὸν στρατιωτικόν. TCV.

38, 9. Λημμάτων] λαμβανέτω δηλονότι. C.

Ὥσπερ ἐστὶ δίκαιον] Καὶ γὰρ οὐ παράνομον τὸ ὑπὲρ τῆς ἐνεγκαμένης τοὺς πολίτας ἀγωνίζεσθαι. TCV.

Ἔστι τις ἔξω τῆς ἡλικίας ἡμῶν;] Καὶ τίς ἐστιν ἔξω τῆς καθολικῆς, οἷον νέων, ἀνδρῶν, γερόντων, εἰ μὴ ἄρα οἱ τελευτήσαντες; λέγομεν οὖν ὅτι ἡλικίαν ἐκάλουν ἐξαιρέτως τὴν τῶν δυναμένων ποιεῖν. Ὁ τοίνυν ταύτης ὢν ἔξω τῆς ἡλικίας γέρων ἂν ὑπάρχοι. BP.

38, 11. Ἀτάκτως νῦν λαμβάνων] ἀντὶ τοῦ μὴ στρατευόμενος. CP.

38, 13. Οὔτ' ἀφελὼν] τῶν θεωρικῶν δηλονότι. B.

38, 14. Πλὴν μικρὸν] ἐπειδὴ συνεβούλευσεν αὐτοῖς μὴ λαμβάνειν μηδὲ στρατιωτικὸν, μηδὲ συμβουλευτικὸν, μηδὲ δικαστικὸν, ἀλλ' ἀρκεῖσθαι τοῖς θεωρικοῖς. Διὰ δὲ τοῦ εἰπεῖν μικρῶν εὐχερεῖς τοῦ καταφρονεῖν αὐτοὺς τούτου παρασκευάζει. TCFV.

Ἀταξίαν] τὴν τῶν νέων δηλονότι. CP.

38, 20. Ἀπορεῖν] Ἀπορεῖν καλεῖ τὸ λαμβάνειν τοὺς δύο ὀβολοὺς, ἐξὸν πλουτεῖν ἀπὸ τοῦ πολέμου. BP.

Τοῦ δεῖνος] οἷον οἱ τοῦ Χάρητος. BP.

38, 22. Οὐχὶ μέμφομαι] Ἐπειδὴ διεβάλλετο τὸ ξενικὸν ἄνω· ξενικῷ γὰρ ἐκέχρητο ὁ Χάρης. Ὡσανεὶ εἰ ἔλεγεν· ἐπαινῶ τὸν Χάρητα πονοῦντα ἀεὶ καὶ μετὰ ξένων, ἀλλ' οὖν γε προκρίνω τοὺς ἐκ τῆς πόλεως στρατιώτας. BP.

38, 25. Τῆς τάξεως] Τάξιν ἀρετῆς καλεῖ τὸ ἡγεμονεύειν τῆς Ἑλλάδος, ἀλλ' [καὶ ?], ὥσπερ εἰώθεσαν, τὸ δι' ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. TCV. Ἡ ἀρετὴ τῆς

τάξεως τὸ ἡγεμονεύειν τῆς Ἑλλάδος καὶ τὸ δι' ἑαυτῶν εἰς τοὺς πολέμους ἐξιέναι. B.

38, 27. Σχεδὸν εἴρηκα] Ἵνα μή τινες καταγνῶσιν αὐτοῦ ὡς παραλείψαντός τινας συμβουλίας, ἢ ῥαθυμήσωσιν ὡς ἅπαντ' ἀκούσαντες, προσέθηκε τὸ σχεδόν. TCV.

38, 29. Συνοίσειν] Πάλιν καὶ ἐνταῦθα διὰ τοῦ αὐτοῖς τὴν αἵρεσιν ἀποδιδόναι, τὴν περὶ τῶν θεωρικῶν κρίσιν ἀποφεύγει. TCV.

IV. ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α.

Κατὰ Φιλίππου] Ζητοῦσιν γὰρ, εἰ τοῦ συμβουλευτικοῦ ἴδιον ἡ προτροπή τε καὶ ἀποτροπὴ, οὐδ' ὅλως δὲ κατηγορεῖ, πῶς ἐνταῦθα ἐπιγέγραπται, ὅλος συμβουλευτικὸς ὢν, κατὰ Φιλίππου. Καὶ φαμὲν ὅτι πολλάκις τὰ τρία εἴδη τῆς ῥητορικῆς ἐπιμίγνυται, ἀντὶ ὕλης ἀλλήλοις καθιστάμενα, ὥσπερ ἐνταῦθα. Βουλόμενος γὰρ κατασκευάσαι ὅτι δεῖ τὴν Μακεδονίαν κακῶσαι ὕλῃ ἐχρήσατο τῇ κατὰ τοῦ Φιλίππου καταδρομῇ. Ἰστέον ὅτι ἐν μὲν τοῖς ἄλλοις λόγοις ὕλη ἦν ἡ τῶν Ὀλυνθίων πολιορκία· αὕτη γὰρ εὐπορίας ἐν τῷ λέγειν αἰτία τῷ ῥήτορι καθίσταται· συνέχον δὲ ἡ τῶν Ἀθηναίων δύναμις. Ἐνταῦθα δὲ ὕλη μὲν ὁ Μακεδὼν, συνέχον δὲ οἱ Ἀθηναῖοι. Διὰ τοῦτο καὶ ἑτέρας ἐπιγραφῆς ὡς πρὸς τοὺς προλαβόντας λόγους ἔτυχε. Τὰ δὲ τοῦ λόγου ἐνθυμηματικὰ κεφάλαια τρία εἰσὶ, τὸ ἐρρωμένως ἀντιλαμβάνεσθαι τῶν πραγμάτων· τὸ αὐτοὺς στρατεύεσθαι· τὸ πόρους χρημάτων ἐπινοεῖν, ὅθεν τὸ σιτηρέσιον τοῖς στρατευομένοις γενήσεται. Διὰ δὲ τοῦ ἀναγινώσκειν τὴν Φιλίππου ἐπιστολὴν οὐδὲν ἕτερον ἢ παροξύνει καὶ ἀντιλαμβάνεσθαι [δεῖν] τῶν πραγμάτων διδάσκει. Τὸ δὲ προοίμιον οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου· ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες, ὃ δὴ καὶ θεραπεύει. TCV.

Ἐν τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν Χαλκιδικῶν τεθορυβημένους ὁρῶν Ἀθηναίους ἀνίσταται παραθαρρύνων ὁ Δημοσθένης· διὸ τῷ δυνατῷ κεφαλαίῳ ἐπὶ πολὺ κέχρηται παραμυθούμενος ὡς ὅτι καὶ νῦν δύνανται αὐτοῦ περιγενέσθαι, ἐὰν βούλωνται. Ἔχει δὲ καὶ τὸ συμφέρον. Ἐπιγέγραπται δὲ κατὰ Φιλίππου, οὐχ ὅτι καὶ οἱ Ὀλυνθιακοὶ οὐκ εἰσὶ κατὰ Φιλίππου, ἀλλ' ὅτι ἐκεῖνοι μὲν πρὸς τούτῳ ἔχουσι τινὰ καὶ ἰδίαν ὑπόθεσιν περὶ τοῦ δεῖν σῶσαι τοὺς Ὀλυνθίους, ἐνταῦθα δὲ μόνον κατατρέχει Φιλίππου καὶ ὧν εἰργάσατο. Ἀπολογεῖται δὲ περὶ τοῦ προαρπάσαι τὴν τάξιν τῶν γερόντων, ἐπεὶ ἔθος ἦν τοιοῦτον. Εἰσήρχετό τις ὁ λεγόμενος περιστίαρχος ὁ περικαθαίρων τὴν ἐκκλησίαν διὰ χοίρου ἐσφαγμένου καὶ ἄλλων τινῶν, καὶ τὰ καθάρσια λαβὼν ἔρριπτεν εἰς θάλασσαν· ὃ καὶ ὁ ποιητὴς εἶπεν·

Οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

Εἶτα εἰσήρχετο κῆρυξ πρῶτον θυμιατίσας καὶ αὐτὸς τὴν ἐκκλησίαν καὶ ὕστερον ἐβόα πρώτῃ φωνῇ « τίς ἀγορεύειν « βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων Ἀθη- « ναίων; » εἶτα εἰ μέν τις ἠβούλετο τούτων λέγειν, ἀνίστατο· εἰ δὲ ἐπὶ πολὺ βοῶντος οὐδεὶς ὑπήκουε, δευτέρᾳ φωνῇ ἐβόα « τίς ἀγορεύειν βούλεται πάντων Ἀθηναίων; » Ἐκέχρητο δὲ ὁ περιστίαρχος χοίρῳ καὶ τοῖς τοιούτοις ἀκαρθάτοις, διὰ τούτων τοὺς ἀκαθάρτους δαίμονας καὶ τὰ πνεύματα πολλάκις ἐνοχλοῦντα ταῖς διανοίαις τῶν ἀνθρώπων, ὥστε πολλάκις ἄλλως βουλεύεσθαι, ἕλκων πρὸς τὰ θύματα καὶ ὥσπερ ἀποχωρίζων τῆς ἐκκλησίας, ἵνα καθαρῶς βουλεύσωνται· Ὁ δὲ κῆρυξ διὰ τῶν θυμιαμάτων ἐπικαλούμενος τὰ θεῖα· χαίρει γὰρ τοῖς ὁμοίοις τὰ ὅμοια, ἵνα διὰ τῆς τούτων παρρησίας ἀγαθόν τι ἔχωσιν Ἀθηναῖοι βουλεύεσθαι. RS.

Τὸ προοίμιον οὐκ ἀπὸ τοῦ πράγματος, ἀλλ' ἀπὸ τοῦ προσώπου· ἀναστάντος γὰρ αὐτοῦ πρὸ τῶν πρεσβυτέρων ἐδυσχέραινόν τινες· ὃ δὴ καὶ θεραπεύει. B. Τὸ σχῆμα οἱ μὲν καλοῦσι διπλοῦν μερισμὸν, οἱ δὲ μερισμόν τε καὶ ὑπομερισμόν. Εἰρηκὼς γὰρ πρότερον δύο « μὲν » ἐπήγαγε δύο « δέ. » Ἐπιφέρουσι δὲ αὐτοὺς πολλάκις οὐ κατὰ τάξιν, ἀλλὰ πρὸς τὸ πρῶτον τὸ τελευταῖον. BTCV.

Ὅτι ἐν τῷ περὶ τῆς περιβολῆς λέγει Ἑρμογένης (vol. 3, p. 265 ed. Walz.) τῆς ἰδέας τὴν κατασκευὴν προτέραν εἶναι τῆς προτάσεως. Τὸ γὰρ « εἰ μὲν περὶ καινοῦ « τινος πράγματος προὐτίθετο λέγειν » καὶ τὰ λοιπὰ ἐστὶν ἡ κατασκευὴ, τὸ δὲ « ἐπειδὴ δὲ περὶ ὧν πολλάκις » καὶ τὰ λοιπὰ ἐστὶν ἡ πρότασις. Πρότασις γάρ ἐστιν ὅτι δεῖ καὶ νεωτέρου ὄντος πρώτου λέγοντος ἀνέχεσθαι· αἱ δὲ ταύτης κατασκευαὶ ὅτι μηδὲν τῶν δεόντων οἱ εἰωθότες, ἤτοι οἱ πρεσβύτεροι, εἰρήκασιν. Ὁ δὲ σοφιστὴς Ἀσκληπιὸς κατασκευὴν εἶναι λέγει ἄνευ προτάσεως. Ὁ δὲ Ἰσοκράτης ἐν τῷ τοῦ Ἀρχιδάμου τὴν πρότασιν πρώτην ποιήσας ἐπήνεγκε τὴν κατασκευήν· οἷον· « ἴσως τινὲς ὑμῶν θαυμάζουσιν « ὅτι τὸν ἄλλον χρόνον ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νο- « μίμοις, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύ- « την πεποίημαι τὴν μεταβολὴν, » καὶ τὰ ἑξῆς, τοῦτο ἡ πρότασις· ἡ δὲ κατασκευή· « ἐγὼ δὲ, εἰ μέν τις τῶν « εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρη- « κὼς, πολλὴν ἂν ἡσυχίαν ἦγον. » BTCV.

Ἀπολογεῖται ἐν τῷ προοιμίῳ περὶ τοῦ προαρπάσαι τὴν τάξιν τῶν γερόντων. Ἰστέον δὲ ὅτι συλλογιστικῶς τοῦτο λύει· ὡσεὶ ἔλεγεν, οἶδα μὲν ὅτι ἀναγκαῖόν ἐστι πρώτους λέγειν τοὺς γέροντας, ἀλλὰ τοῦτό γ' ὅταν ᾖ ἡ βουλὴ περὶ καινοῦ τινὸς πράγματος· νῦν δὲ οὐ περὶ καινοῦ πράγματος. Περὶ γὰρ Φιλίππου βουλευόμεθα, φησὶν, ὥστε ἤδη πολλάκις εἰπόντων τῶν γερόντων περὶ τούτου οὐ παραχαράττω τὸν νόμον. Καὶ οὕτω μὲν οὗτος συνελογίσατο, ἡ δὲ ἀλήθεια ἔχει ὡς, εἴτε παλαιὸν ἦν τὸ πρᾶγμα εἴτε καινὸν, ἔδει τοὺς γέροντας λέγειν πρώτους. Ἐπειδὴ δὲ νῦν πάνυ τεθορύβηνται οἱ Ἀθηναῖοι ἐπὶ τῇ ἀπωλείᾳ τῶν τριάκοντα δύο πόλεων τῶν Χαλκιδικῶν καὶ ἐπὶ τῇ πολλῇ αὐξήσει τοῦ Φιλίππου, διὰ τοῦτο προαρπάσαι τὴν τάξιν ἐπεχείρησεν. BTCFV. Τὸ δὲ προὐτίθετο τινὲς μὲν ἀντὶ τοῦ προεβάλλετο, τινὲς δὲ ἀντὶ τοῦ προεγράφετο· ἐπειδήπερ σανίδας τινὰς ἐνέγραφον ἐχούσας τὸ πρᾶγμα περὶ οὗ ἡ σκέψις καὶ περὶ οὗ συνεληλύθασι, καὶ προετίθουν τῇ ἐκκλησίᾳ, ἵνα γνῶσι πάντες περὶ τίνος ἐστὶν ἡ ἐκκλησία. BTCFV. Εἰς δὲ τὸ λέγειν ὑποστικτέον. Ἰστέον δὲ ὅτι τῷ Ἰσοκρατικῷ προοιμίῳ ἐχρήσατο τῷ ἐν τῷ Ἀρχιδάμῳ· κἀκεῖ γὰρ ἐπιχείρημά ἐστιν, ὅτι νέος ὢν προλαμβάνει τοὺς γέροντας. BTCV. Τὸ δὲ εἰωθότων θέλει εἰπεῖν τῶν γερόντων. Ὅρα δὲ πῶς λεληθότως αὐτοὺς διέβαλε διὰ τοῦ εἰπεῖν εἰωθότων, ἵνα δηλώσῃ ὅτι μόνον ἔθος ἔχουσι πρῶτοι λέγειν, οὐ μὴν καὶ χρήσιμόν τι συμβουλεύσουσι λέγοντες, ὥσπερ καὶ εὐφυῶς πάλιν διαβάλλει ἐν τῷ εἰπεῖν ὑπὲρ ὧν πολλάκις· ὑποφαίνει γὰρ ὅτι πολλάκις μὲν εἰρήκασιν, οὐδὲν δὲ ἤνυσαν. BTCV.

Τὸ προοίμιον ἄνευ προτάσεως· ἄρχεται γὰρ ἐκ τῆς

κατασκευῆς. -ην γὰρ πρότασιν ἐν τῷ νῷ ἔλαβε τὴν ἐκ τῶν γερόντων μέλλουσαν αὐτῷ προτείνεσθαι. Ἐξ ἀντιπίπτοντος τὸ προοίμιον. Ἀντέπιπτε γὰρ αὐτῷ, πῶς παρὰ τὴν ἡλικίαν λέγει. Λύει οὖν διὰ τοῦ λέγειν ὅτι περὶ παλαιῶν πραγμάτων ἡ σκέψις, περὶ ὧν εἶπον καὶ οἱ πρῶτοι. AH. Τὸ προοίμιον ἐξενήνεκται κατὰ τὸ παρὰ τοῖς ῥήτορσιν ἀντίθετον καλούμενον σχῆμα. S.

40, 2. Ἐπισχὼν] Διὰ τοῦ ἐπισχὼν ἔδειξεν ὡς καὶ τότε μόλις εἶχε καρτερῆσαι μὴ ὑπὲρ τῶν συμφερόντων πρῶτος εἰπεῖν, ἐκ μεταφορᾶς τῶν προθυμουμένων ἵππων δραμεῖν καὶ ἐπεχομένων. TCV.

40, 3. Εἰ μὲν ἤρεσκε τί μοι] Διὰ τοῦ εἰπεῖν τοῦτο κριτὴν τῶν προγενεστέρων ἐπέδειξεν ἑαυτόν. TCP. Τῷ μερισμῷ καὶ ὑπομερισμῷ σχήματι κέχρηται ἐνταῦθα. Εἰπὼν γὰρ τὸν μὲν ἄνω σύνδεσμον οὐκ ἐπήγαγεν εὐθέως τὸν δέ, ἀλλὰ ἄλλον μέν. Ἔστι γὰρ ὁ μερισμὸς καὶ ὑπομερισμός, ὅταν εἰπὼν δύο μὲν ἀνάγκην ἔχῃ πρὸς τὰ δύο μὲν ἀποδοῦναι δύο δέ, ὅπερ ἔστι καὶ ἐνταῦθα εὑρεῖν. Ὅρα δὲ πῶς πάλιν ἀξιοπίστως εἶπε τὸ ἤρεσκέ μοι, ὅ ἐστι τῷ ἀγαθῷ συμβούλῳ, ἀγαθὴ συμβουλευθεῖσα βουλή. Τὸ δὲ σχῆμα τοῦτό ἐστι καὶ παρὰ τῷ ποιητῇ (Il, 1, 225)·

> Χαῖρ', Ἀχιλεῦ· δαιτὸς μὲν ἐίσης οὐκ ἐπιδευεῖς
> ἠμὲν ἐνὶ κλισίῃ. TCV.

40, 4. Ἡσυχίαν ἦγον] Τὸ ἦθος τὸ οἰκεῖν δείκνυσιν, ὡς οὐ φιλόνεικος τοῖς καλῶς λεγομένοις. TCP.

40, 5. Αὐτὸς ἐπειρώμην] Διὰ τοῦ ἐπειρώμην ἐταπείνωσε τὸν λόγον, ὡς οὐ πάντως ἐρῶν τὰ συμφέροντα. TCP.

40, 6. Ἐπειδὴ δὲ] Κατασκευὴ τοῦ προοιμίου. P.

Οὗτοι πρότερον] Τὸ σχῆμα δεικτικόν, φαυλισμοῦ δὲ ἐκφαντικόν. P.

40, 8. Συγγνώμης τυγχάνειν] Καίτοι ἀποδείξας ὡς οὐχ ἁμαρτάνει διὰ τὸ ταπεινοφρονεῖν, συγγνώμην τὸ τοιοῦτον καλεῖ. TCP.

40, 10. Πρῶτον μὲν οὖν] Εἰς τὸ δυνατὸν πρῶτον εἰσέβαλε, μεμιγμένην τῇ νουθεσίᾳ τὴν παραμυθίαν ποιησάμενος. FP.

Ἀπὸ θεραπείας ἡ εἰσβολὴ τῶν ἀγώνων. B.

40, 12. Οὐδ' εἰ πάνυ φαύλως] Ἀπὸ θεραπείας τινὸς ἐχούσης αἰτίαν τοῦ μὴ δεῖν ἀθυμεῖν τὴν εἰσβολὴν τῶν ἀγώνων ἐποιήσατο. Διὰ τοῦ εἰπεῖν, οὐκ ἀθυμητέον, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ, δείκνυσιν ὡς θαρρεῖν χρή· καὶ γὰρ τοῖς εἰς ἄκρον ἥκουσι νόσου τοῦτο παραινοῦμεν ἀεί. P.

40, 13. Ὃ γάρ ἐστι χείριστον] τὸ σχῆμα παρὰ προσδοκίαν. Οἱ δὲ λέγοντες δεύτερον εἶναι προοίμιον τοῦτο λέγουσιν εἶναι κατασκευὴν αὐτοῦ. BP.

40, 14. Τί οὖν ἐστι τοῦτο] Τὸ ἐνθύμημα ἐκ τοῦ παραδόξου. B. Καὶ τοῦτο τὸ ἐνθύμημα εἴληπται ἐκ παραδόξου. Ὃ δέ φησι, τοιοῦτόν ἐστιν, ὃ ὑμᾶς ἐκ τοῦ παρελθόντος ἔβλαψε χρόνου, τοῦτο ἀποθέμενοι πάλιν ὠφεληθησόμεθα. P.

40, 18. Ἔπειτα ἐνθυμητέον] Δεῖ γὰρ τοὺς ἄρτι ἀκούοντας κατανοεῖν καὶ ἐνθυμεῖσθαι περὶ τῶν πραγμάτων, τοὺς δὲ εἰδότας διὰ τῆς μνήμης ἀνακαινίζειν τὰ γεγενημένα. P. Τὸ μὲν ἀκούουσιν ἐνθυμουμένοις, τὸ δὲ εἰδόσιν ἀναμιμνησκομένοις. F.

40, 19. Ἐνθυμητέον] Καλῶς ἐπήγαγε τοῦτο τὸ παράδειγμα· εἰώθασι γὰρ οἱ ἄνθρωποι διὰ τῶν ὁμοίων παθημάτων ἐπελαφρύνεσθαι. Μερίζει δὲ τὸν λόγον εἰς δύο, εἴς τε νεωτέρους, μὴ εἰδότας τὰ παλαιὰ καὶ ὀφείλοντας αὐτὰ παρὰ τῶν πρεσβυτέρων μανθάνειν, καὶ εἰς γέροντας, εἰδότας μὲν τὰ παλαιά, χρῄζοντας δὲ ὅμως καὶ ἀναμνήσεως. BP.

40, 20. Ἡλίκην ποτ' ἐχόντων] Ἐπεὶ περιδεὴς ἦν ὁ δῆμος διὰ τὴν τοῦ Φιλίππου δύναμιν, ἐκ παραδείγματος τὸ θαρρεῖν αὐτοῖς ἐπορίσατο· καὶ γὰρ Λακεδαιμόνιοι οὐ μικρότερον τοῦ Μακεδόνος ἴσχυσαν κατὰ γῆν τε καὶ θάλασσαν. P.

40, 21. Οὗ χρόνος] Ἵνα μή τις εἴπῃ, πάλαι τοιοῦτοι ἦμεν, νῦν δὲ ὁ χρόνος ἤλλαξε τὰ πράγματα, προσέθηκεν, ἐξ οὗ χρόνος οὐ πολύς. FP.

41, 2. Οὔτε φυλαττομένοις] Λείπει τὴν ῥᾳθυμίαν· ἐὰν φυλάττησθε, φησί, καὶ ἐκφεύγητε αὐτήν, οὐδὲν ὑμῖν φοβερὸν ἔσται. Σημεῖον δὲ τούτου ἡ Λακεδαιμονίων δύναμις, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν. AH.

41, 3. Οἷον ἂν] Εὐφήμως αὐτὸ εἶπε πάνυ, φάσκων οἷον ἂν ὑμεῖς βούλησθε, τουτέστι μετ' ἀργίας νικῆσαι. TCV.

41, 4. Παραδείγμασι] πρὸς τὸ οὐδὲν ὑμῖν ἐστὶ φοβερόν. TCV.

Χρωμένοις] ἐὰν δὲ χωρὶς τοῦ ς, πρὸς τὸ ἵνα εἰδῆτε χρώμενοι. TCFV.

41, 6. Τῇ νῦν ὕβρει] Ἄνω μὲν ὅτε ἔλεγε περὶ Λακεδαιμονίων, ῥώμην εἶπεν· ἐνταῦθα δέ, ἐπειδὴ θέλει ταπεινοῦν τὸν Μακεδόνα, ὕβριν εἶπε. Πάνυ δὲ τοῦτο ἔχθιστον τοῖς Ἀθηναίοις· καὶ γὰρ ἐλευθερίας ἐργασταὶ καθειστήκεισαν. TCV.

Εὐτελίζει πάλιν τὸν Φίλιππον διὰ τοῦ ὕβριν μόνον καλέσαι αὐτοῦ τὸ πρᾶγμα, ἀλλ' οὐχὶ πόλεμον, καὶ ἅμα τοὺς Ἀθηναίους πρὸς πόλεμον διηρέθισεν, οἷς οὐδὲν ἐπαχθέστερον τῆς ὕβρεως. B.

41, 8. Εἰ δέ τις ὑμῶν] Εἰσβολὴ κατὰ τὸ κεφάλαιον τὸ δυνατόν. AR.

Εἰ δέ τις ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι] Ὅσας οἶδεν ὁ ῥήτωρ ἰσχυρὰς ἀντιθέσεις, πρῶτον τούτων λέγει τὰς λύσεις, εἶθ' οὕτω σαθρὰς ἀποδείξας αὐτὰς προφανῶς προβάλλεται· ὥσπερ οὖν καὶ ἐνταῦθα. Τὴν δὲ ἀντίθεσιν τὴν παροῦσαν εἰς δύο κατασκευάζει, εἴς τε τὴν τούτου δύναμιν καὶ εἰς τὴν ἐκ τῆς οἰκείας ἀσθενείας τῶν Ἀθηναίων*. Εἶτα ἐπειδή, εἰ καὶ τὰ μάλιστα ἐδόκει λελύσθαι ἡ ἀντίθεσις, ὅμως ἔτι σφοδρὰ ἦν, τὴν μὲν ἀρχὴν συντρέχει τῷ ἀντιτιθέντι. Δεῖ γὰρ τὸν ῥήτορα διὰ τὸ μὴ δοκεῖν ἀναιδῆ καὶ τοῖς προφανῶς ἀληθέσι πολέμιον, ἐπὶ τῶν τοιούτων τὴν μὲν ἀρχὴν ἐνδιδόναι, τελευταῖον δὲ καὶ ὑπὲρ τῆς συνδρομῆς ἀπολογεῖσθαι. TCFV.

Δυσπολέμητον] Δυσπολέμητον εἶπε καὶ οὐχὶ ἀκαταγώνιστον. Ὁ μὲν γὰρ ἀκαταγώνιστος οὐδέποτε ἡττᾶται, ὁ δὲ δυσπολέμητος δυσχερῶς μέν, ὅμως δὲ καταγωνίζεται· ὅπερ ἐνταῦθα θέλων ὑποφῆναι παρέθετο. TCV.

41, 10. Λογισάσθω μέντοι τοῦθ' ὅτι] Συντρέχει τοῖς ὁμολογουμένοις τὸ σπουδαζόμενον ἀνύσειν. AH.

41, 14. Κύκλῳ] Τινές φασιν ὅτι, ἐπειδὴ ἀκτή ἐστιν ὁ τόπος, διὰ τοῦτο εἶπε τὸ κύκλῳ· οἱ δὲ ὅτι ἐπειδὴ ἐν κύκλῳ αὗται ἔκειντο. TCFV.

41, 17. Εἰ τοίνυν] Καθ' ὑπόθεσιν τὸ σχῆμα. BP.

41, 19. Ἐπιτειχίσματα] Ἐπιτείχισμα τόπος ὑψηλός, ὃν ἂν προκαταλαβόντες πολέμιοι τειχίσειαν, διὰ τὸ ἐντεῦθεν αὐτοὺς ὁρμωμένους ἐπιτίθεσθαι τοῖς ἐχθροῖς. — Ἐκεῖνος οὖν διὰ τὸ πονεῖν πρὸς ζῆλον τῶν Ἀθηναίων ἐπαινεῖ

τὸν Μακεδόνα. Οἶδε γὰρ ἐν καιρῷ ἐπαινεῖν καὶ τὸν πολέμιον. TCFV.

41, 22. Ἀλλ' εἶδεν] Τοῦτο οὐκ ἔστι τοσοῦτον ἐπαινοῦντος τὸν Φίλιππον ὅσον ἐπιτιμῶντος τοῖς Ἀθηναίοις, ὅτι ἅπαντα, ἃ ἔδει αὐτοὺς ποιῆσαι, Φίλιππος προλαμβάνει ποιῶν. B. Οὐκ ἔπαινον ἔχει τοῦ Φιλίππου μόνον ὡς καλῶς τι ποιήσαντος, ἀλλὰ καὶ προτροπὴν τῶν Ἀθηναίων. Μιμήσασθε γὰρ, φησὶ, καὶ ὑμεῖς τὰ καλῶς πραχθέντα. AHR.

41, 23 Ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ] Ἐκ μεταφορᾶς τοῦ κειμένου τοῖς παλαίουσιν ἄθλου ἐν μέσῳ. Ἔπαθλα δὲ οὐχ εὕρηται, εἰ μὴ ἅπαξ παρ' Εὐριπίδῃ. TCV.

41, 25. Καὶ τοῖς ἐθέλουσιν] Ὅρα ὅτι δι' ἐκείνου τοῦ τρόπου φησὶν αὐτὸν ᾑρηκέναι τὰς πόλεις, δι' οὗ βούλεται αὐτοὺς προσέχειν τοῖς πράγμασιν. TCV.

Τὰ τῶν ἀμελούντων τῶν πονούντων ἐστίν. AHR.

41, 28. Τὰ μὲν ὡς ἂν ἑλών τις] Ἐπειδὴ τὸ κατέστραπται φοβερόν ἐστιν, ἐπήγαγε ταπεινώσεως χάριν, ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ. TCFV.

42, 1. Καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν] Ἐπειδὴ ἐλύπει τοὺς Ἀθηναίους τὸ τὸν Φίλιππον ἔχειν συμμάχους καὶ φίλους, διὰ τῆς καθολικῆς γνώμης τοῦτο ἐθεράπευσεν. TCV.

Τούτοις ἐθέλουσιν] Ἐπειδὴ ἀνωτέρω ἐφόβησεν αὐτοὺς εἰπὼν αὐτὸν τὸν Φίλιππον ἰσχυρὸν διὰ τὸ ἔχειν συμμάχους, ἐπήγαγε τοῦτο παραμυθούμενος, ὡς ὅτι, ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ ἐθέλωσι πρᾶξαι, εὐχερῶς αὐτὸν καθαιρήσουσιν. Ἄξιον δὲ ζητῆσαι πῶς ἀλλαχοῦ καθελὼν αὐτοῦ τὴν δύναμιν διὰ τοῦ εἰπεῖν ὅτι οἱ πολλοὶ αὐτοῦ ἀφίστανται, νῦν λέγει ὅτι πολλοὺς ἔχει συμμάχους. Λέγομεν οὖν ὅτι τὸν τρόπον διέξεισι τῶν ὑπηκόων· εἰ γὰρ καὶ μισοῦσι καὶ φοβοῦνται τοὺς δυνατοὺς, ἀλλ' ἐν ὅσῳ μὴ πράττουσί τι οἱ ἀγαθοὶ διὰ τὴν ῥᾳθυμίαν, ἀνάγκῃ προστρέχουσι τοῖς δυνατοῖς, ἵνα μὴ μετὰ τῶν ῥᾳθύμων ὄντες πάθωσι μετ' αὐτῶν· εἰ δέ ποτε οἱ ἀγαθοὶ σπουδάσουσι καὶ τὴν ῥᾳθυμίαν ἀποθέσθαι θελήσουσιν, εὐθέως πρὸς αὐτοὺς ἀποστήσονται. BP.

42, 7. Πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν] Εἰρωνείων λέγουσι την ἐπὶ τὸ ἔλαττον προσποίησιν, ὅπερ ἐστὶν ἐναντίον τῇ ἀλαζονείᾳ, καὶ αὖθις τὴν βραδύτητα εἰρωνείαν. Ἰουλιανός φησι ταῦτα σοφιστὴς Χριστιανός. RS. Ἰστέον ὅτι εἰρωνεία ἐστὶν ἐναντίον τῆς ἀλαζονείας. Ἀλαζονεύεσθαι μὲν γάρ ἐστι τὸ πλείονα ἐπαγγέλλεσθαι δύνασθαι ποιεῖν ἤπερ δύναιντο, εἰρωνεία δὲ τὸ ἐλάττονα λέγειν δύνασθαι ποιεῖν ἤ τις δεδύνηται. BTCV.

42, 11. Αὐτὸς μὲν οὐδὲν ἕκαστος] Ἴδιον γὰρ καὶ τοῦτο τῶν ῥᾳθυμούντων. TCV.

42, 13. Ἂν θεὸς θέλῃ] Εἰς οὐρανὸν τὰς ἐλπίδας ἀνέπεμψεν, ἵνα, ἐὰν ἴσως ταῦτα ποιησάντων μὴ ἀποβαίνῃ τὰ συμφέροντα, ἔχῃ ἀπολογίαν· τούτου χάριν ἐντεῦθεν ἤδη τὴν δόκησιν τοῦ θεοῦ προσέθηκεν· οἱ δὲ, διὰ τὸ φιλόθεον τὸ οἰκεῖον ἦθος παραστῆσαι. TCV.

42, 16. Μισεῖ τις] Μισεῖ μὲν ὁ ἤδη πεπονθὼς κακῶς, δέδιε δὲ ὁ μηδέπω μὲν ὑπομείνας προσδοκῶν δὲ, φθονεῖ δὲ ὁ ὁρῶν οὕτως τὰς πόλεις καταστρεφομένας. BTCV. Τὸ μεῖζον ἐν μέσῳ θεὶς ἀπέκρυψε τοῖς ἄκροις τὸ ἰσχυρόν. Λ.

42, 19. Καὶ ἅπανθ' ὅσα] Τοῦτο τὸ σχῆμα καλεῖται καθαίρεσις. Καὶ γὰρ διὰ τούτου ὅθεν ῥᾳδίως καὶ μάλιστα βλάβη προσγίνεται τῷ καθόλου τὸν λόγον ἐπιστώσατο. TCV.

42, 21. Κατέπτηχε] ταπεινοῦται. Οὔτε γὰρ ὁ μισῶν βλάπτει, διὰ τὸ ἡμᾶς ῥᾳθυμεῖν, οὔτε ὁ δεδιὼς ἕτερόν τι φρονῆσαι δύναται· ἐπισφαλὲς γάρ· οὔτε ὁ βασκαίνων ἀντιστῆναι· ἀδύνατον γάρ. BTCV. Ἀντιπῖπτον δὲ λύει. Ἵνα γὰρ μή τις εἴπῃ, πῶς οὖν, εἰ μισοῦσιν αὐτὸν, οὐκ ἀφίστανται αὐτοῦ; ἐπάγει ὅτι ἄκοντες καὶ φοβούμενοι εἰσὶ μετ' ἐκείνου, διὰ τὸ μὴ εὑρίσκειν τινὰ καταφυγὴν πρὸς ἡμᾶς ῥᾳθυμίᾳ κατεχομένους. Καὶ μὴν ἤδη ἐπείσθησαν αὐτῷ καὶ ἔπεμψαν βοήθειαν πρὸς Ὀλυνθίους. Πῶς οὖν ῥᾳθύμους αὐτοὺς καλεῖ; καθὸ μηδὲν ἑκόντες ποιοῦσιν, εἰ μή τις αὐτοῖς ἐπιτιμήσει διὰ τοῦ συμβουλεύειν καὶ πείθειν ποιεῖν. BP.

42, 24. Ὁρᾶτε γὰρ] Τοῦτο τοῦ συμφέροντος. Καταμέμικται δὲ τοῦ δυνατοῦ. A. Συμφέρον. Ἐγκαταμίγνυσι γὰρ τῷ δυνατῷ τὸ συμφέρον. S.

42, 25. Ἀσελγείας] Ἀσέλγεια κοινῶς καλεῖται πᾶσι ὕβρις, οὐχ ἡ περὶ τὰ ἀφροδίσια μόνον. BP.

Ὃς οὐδ' αἵρεσιν] Τουτέστι διὰ τὴν ὕβριν τοῦ Μακεδόνος, οὐδὲ δυνατοὶ καθεστήκατε πράττειν ἃ βούλεσθε· ἀλλὰ καὶ ἐξ ἀνάγκης ἔχετε πολεμῆσαι. Διὰ δὲ τούτου τὸ ἀναγκαῖον παρίστησιν. Ἀναγκαῖον δ' ἐστὶν οὗ χωρὶς [ζῆν] οὐ δυνατόν. TCFV.

42, 26. Τοῦ πράττειν] Οὐκ εἶπεν ἁπλῶς πολεμεῖν, ἀλλὰ κοινοτέρῳ ὀνόματι ἐχρήσατο τοῦ πράττειν, οἷον τοῦ ψηφίζεσθαι, τοῦ δικάζειν, τοῦ γεωργεῖν καὶ τῶν λοιπῶν. BP.

42, 27. Καὶ λόγους ὑπερηφάνους] Ἵνα μὴ λέγων τὰ ῥήματα τοῦ Μακεδόνος κακὸς οἰωνὸς δόξῃ, τούτου χάριν παρέδραμεν αὐτά. TCV.

42, 29. Προσπεριβάλλεται] Τινὲς φασὶν, ἐπειδὴ κυκλοτερῶς ἔκειντο αἱ πόλεις, ἃς παρέλαβεν ὁ Φίλιππος, τούτου χάριν εἶπεν οὕτως. Ἄλλοι δὲ, ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν, οἵτινες κύκλῳ περὶ πάσας τὰς ὁδοὺς καὶ πάσας τὰς ἐκτροπὰς τὰς ἄρκυς περιβάλλουσιν, ὑπὲρ τοῦ μὴ διαφυγεῖν τὰ θηρία ἐκεῖθεν. Καὶ τὸ περιστοιχίζεται πάλιν ἐπήγαγεν· ὃ καὶ ἄμεινον. TCFV.

Περιστοιχίζεται] Ἀπὸ μεταφορᾶς τῶν κυνηγετῶν· κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στοίχους ἢ στόχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵνα, ἐὰν αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. Ἔνια δὲ τῶν ἀντιγράφων περισχοινίζεται ἔχει. BRP.

43, 1. Καὶ καθημένους] Ἐπειδὴ φοβεῖ τὸ λεχθὲν, φησὶν ὡς ἐπικουροῦσαν τὴν ἡμετέραν ῥᾳστώνην κτησάμενος τοῦτο διαπράξεται Φίλιππος. TCV.

43, 2. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] Μετάβασις καὶ ἐνταῦθα ἐπὶ τὸ ἀναγκαῖον· δείκνυσι γὰρ ὅτι ἐξ ἀνάγκης ταῦτα ποιητέον. Ἔστι δὲ κατὰ ἐπιτίμησιν· διὸ καὶ τὸ δεύτερον πότε βαρυτέρᾳ φωνῇ προφέρεται. Τρόπον δὲ διαγράφει ἐνταῦθα τῶν ῥᾳθυμούντων. Ἔστι δὲ τὸ σχῆμα διαλογικόν. Εἶτα τῇ ἐρωτήσει τὴν ἀπόκρισιν οὐκ ἀποδίδωσιν, ἀλλ' ὑπὸ τῆς ὀργῆς αὐτὸς ἀντὶ τοῦ δῆθεν ἠρωτημένου φθέγγεται. TCFV.

43, 3. Ἐπειδὰν] ὡς ἐν ἤθει ἀναγνωστέον τὸ ἐπειδὰν νὴ Δία ἀνάγκη· οὐδὲν γὰρ χαλεπώτερον αἰσχύνης τοῖς ἐλευθέροις καθέστηκεν. TCV.

43, 4. Ἐγὼ μὲν γὰρ οἴομαι] Εἰπὼν τὸν μὲν οὐκ ἐπήγαγε τὸν δέ, ἐπειδὴ ἔμελλεν ἐπιφέρειν· « ὑμεῖς δὲ αὐτὴν οὐχ ἡγεῖσθε αἰσχύνην, » ὅπερ ἦν ὑβριστικόν. Καὶ διὰ τοῦτο τὸ μὲν ἀποσιωπᾷ, ἄλλο δὲ ἐπιφέρει τούτου ὅμοιον· BP. Εἰ μὲν δούλων ἀνάγκην ζητεῖς, ἐκδέχου τὰς πληγάς.

εἰ δὲ ἐλευθέρων, ἡ τῶν πραγμάτων αἰσχύνη μεγίστη ἀνάγκη καθέστηκεν. Ἔστι δὲ τοῦ συμφέροντος. AR.

43, 6. Ἢ] ἀντὶ τοῦ ἆρα ἀπορηματικοῦ. A.

43, 7. Εἰπέ μοι] Δέον εἰπεῖν· εἴπατέ μοι, πρὸς τὸ βούλεσθε, εἰπέ μοι εἶπεν Ἀττικῶς. B.

Πυνθάνεσθαι] κατὰ τὴν ἀγοράν. B.

43, 8. Γένοιτο γὰρ ἄν τι καινότερον] Τοιοῦτοι γὰρ οἱ ἄνθρωποι· ἀεὶ τῶν καινοτέρων ὀρέγονται. B.

43, 9. Ἀθηναίους] Τοὺς τὸν Πέρσην ἀπὸ τῆς Ἑλλάδος διώξαντας ἐκ Πέλλης ὁρμώμενος ἄνθρωπος καταπολεμεῖ. TCFV.

43, 10. Τέθνηκε Φίλιππος] Καὶ ἐντεῦθεν ὁρμώμενοί φασιν ὅτι πρῶτος οὗτος ὁ λόγος· καὶ γὰρ ἡ ἀσθένεια Φιλίππου πρὸ τῆς πολιορκίας Ὀλύνθου. Ἀλλὰ φαμὲν ὅτι οὐκ ἀπεικὸς αὐτὸν τὸ τοιοῦτον θεῖναι ὡς ἐν παραδείγματι, κἂν ᾖν τοῖς χρόνοις προγενέστερον· ἐκεῖνοι γὰρ ἅτε ταῦτα θέλοντες γενέσθαι ἐθρύλουν. TCFV.

43, 12. Ταχέως ὑμεῖς] Ἡ ῥαστώνη, φησί, πολλοὺς τίκτειν Φιλίππους δύναται· καὶ γὰρ παρ' ἡμῖν οὔσης τῆς ἀμελείας, ταχέως γενήσεται καὶ ἕτερος Φίλιππος. Ἄλλοι δέ τινες περιέργως φασὶ διὰ τὸν Ἀλέξανδρον αὐτὸν τοῦτο λέγειν. Καθ' ὑπόθεσιν τὸ λεγόμενον. TCV.

43, 14. Τοσοῦτον ἐπηύξηται] Καλῶς ἠσφαλίσατο διὰ τὸ πιθανόν· οὐ γὰρ πάντως πάντα διὰ τῆς ῥαθυμίας Ἀθηναίων, ἀλλὰ καί τινα διὰ τῆς αὐτοῦ ῥώμης κατώρθου. BP.

43, 18. Ἴσθ' ὅτι πλησίον] Τοῦ γὰρ βασιλέως νεωστὶ τετελευτηκότος καὶ τῶν ὑπηκόων, ὡς εἰκὸς ἦν, διχονοούντων, αὐτοὶ προστιθέμενοι ἐνίοις ἐξ αὐτῶν ἠδύναντο τῶν ἑτέρων περιγενέσθαι καὶ οἰκεῖον βασιλέα καταστῆσαι. TCFV.

43, 22. Ἀπηρτημένοι] ἀντὶ τοῦ κεχωρισμένοι, κρεμάμενοι. ATCP.

43, 24. Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα] Ἐντεῦθεν μέτεισιν ἐπὶ τὸ ἄλλο μέρος τοῦ δυνατοῦ. Εἰς δύο γὰρ τοῦτο ἔτεμεν, εἴς τε τὸ ὅτι, ἐὰν λάβωμεν τὴν αὐτὴν γνώμην Φιλίππῳ, δυνάμεθα νικῆσαι, ὃ ἤδη καὶ ἐξείργασται· καὶ εἰς τὸ ποσὸν τῆς δυνάμεως καὶ τὸν τρόπον τοῦ πόρου, ὃν νῦν ἐρεῖ. Διὰ μέσου δὲ εἶπε τὸ ἀναγκαῖον. Τὸν δὲ τρόπον τῆς παρασκευῆς, πότερον ἐκ πολιτῶν, ἢ ξένων αὕτη γίνεται. TCFV.

43, 25. Πεπεισμένων] ἀντὶ τοῦ πεισθέντων. Τοιοῦτος δὲ ὁ Δημοσθένης, τὰ ἀμφιβαλλόμενα λαμβάνων ὡς ὁμολογούμενα. BP.

43, 26. Τὸν δὲ τρόπον τῆς παρασκευῆς] Τὸ δυνατὸν κεφάλαιον. B.

43, 29. Καὶ τάχιστα] Καὶ τὸ τάχιστα προσέθηκεν, ἐπειδὴ μικρὰν μέλλει λέγειν τὴν βοήθειαν ποιεῖσθαι, ἵνα τὸ τάχος πρὸς ἀπολογίαν ἔξῃ. TCV.

44, 1. Δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι] Προθεραπείᾳ κέχρηται, ἐπειδὴ οἶδεν αὐτοὺς ἡδέως τὰ μέγιστα ψηφιζομένους, μηδὲν δὲ ἄξιον ποιοῦντας τῶν δεδογμένων. Θέλει δὲ αὐτοὺς ἐκείνην τὴν βοήθειαν πέμψαι, ἣν δύνανται. Τούτου χάριν ταύτῃ κέχρηται. TCFV.

44, 2. Τοσοῦτον] ἀντὶ τοῦ ὀλίγον. TCP.

44, 4. Καινὴν παρασκευὴν] ὡς πρὸς τὴν τῶν Ἀθηναίων δόκησιν· καὶ γὰρ αὐτοὶ πολλὴν ἤθελον. Ὁ δὲ Δημοσθένης εἰδὼς πῶς ἔχει τὰ πράγματα, ὀλίγην. TCV.

44, 5. Ἀναβάλλεσθαι] ἀναβολὴν τοῖς πράγμασι ποιεῖν. P.

44, 6. Οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες μάλιστα εἰς δέον λέγουσιν] Οὐχ οἱ ταχὺ καὶ τήμερον λέγοντες ἡμῖν ἐξελθεῖν χρήσιμοί εἰσι σύμβουλοι, ἀλλ' ἐκεῖνος ἄριστος σύμβουλος, ὃς ἂν παρασκευὴν ἐξεύρῃ καὶ πόρον, [δι'] οὗ ἀδιάφθορος ἔσται ἡ δύναμις. TCV.

44, 7. Τῇ νυνὶ βοηθείᾳ] τῇ νυνὶ φησὶν ἐκπεμπομένῃ στρατιᾷ μετὰ τὸ ἁλῶναι τὰ πράγματα· ἄλλο τι γὰρ βοήθεια καὶ ἄλλο παρασκευή· ἡ μὲν ἡ πεμπομένη μετὰ τὰ πράγματα, παρασκευὴ δὲ ἡ πεμπομένη ἐξ ἀρχῆς τοῦ φυλάξαι τὰς πόλεις. HRS.

44, 9. Τίς πορισθεῖσα παρασκευὴ καὶ πόση] ξενικὴ ἢ πολιτική. Πάλιν πόσους δεῖ εἶναι στρατιώτας, καὶ πόθεν μέλλουσιν ἔχειν τὰς τροφάς; B.

44, 10. Ἕως ἂν ἢ διαλυσώμεθα] Πάνυ καλῶς, ἵνα μὴ δόξῃ νεμεσητόν τι ποιεῖν προτάττων τὸ νικήσωμεν, προέταξε τὸ λῦσαι τὸν πόλεμον. Εἶτα διὰ τὸ κακοσύμβουλον εἶπε πεισθέντες. FTCV.

44, 12. Οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ] νικήσαντες, ἢ φυλάττοντες τὴν τῶν πολεμίων ἔφοδον. FTCV.

44, 13. Μὴ κωλύων] ἀντὶ τοῦ τοῖς βουλομένοις δημηγορῆσαι μὴ γινόμενος παρεμποδών. Τινὲς δέ φασιν ὅτι ἐξ ἀληθείας ὁ ῥήτωρ βούλεται τὰς δύο γενέσθαι παρασκευάς. Ἄμεινον δὲ λέγειν ὅτι ἐπειδὴ εἶπε μόνην τὴν ἑτέραν παρασκευήν, ἐλύπει τοὺς Ἀθηναίους. Καὶ γὰρ ἡδέως τὰ μεγάλα ἦσαν ψηφιζόμενοι· τούτου χάριν προσέθηκε καὶ ταύτην. Ἀμέλει παρακατιὼν ταύτην μὲν ὑπεσιώπησε, περὶ δὲ τῆς ἑτέρας πολὺν τὸν λόγον ἐποιήσατο. TCFV.

44, 14. Ἡ μὲν οὖν ὑπόσχεσις] ἢ ὅτι διαλυσόμεθα, ἢ περιγενησόμεθα τῶν ἐχθρῶν. B.

44, 21. Καὶ πλοῖα] τὰ φέροντα τὰ ἐπιτήδεια καὶ ὑπηρετικὰ φησίν. TCV.

44, 24. Πύλας] Πύλαι ἦσαν τῆς Ἑλλάδος, μεταξὺ τοῦ τε Παρνασοῦ καὶ τῆς θαλάττης, ποδῶν εἰκοσιπέντε τὸ πλάτος· αἵτινες ἐκαλοῦντο καὶ Θερμοπύλαι, διὰ τὸ θερμὰ ἐκεῖ λουτρὰ τὴν Ἀθηνᾶν ἀναδοῦναι μετὰ τοὺς ἄθλους τῷ Ἡρακλεῖ κεκμηκότι. Ταύτην ἐπειράθη καταδραμεῖν ὁ Φίλιππος [ὢν] ἐν Θετταλίᾳ. Μαθόντες δὲ Ἀθηναῖοι καὶ περιπλεύσαντες τὸν τόπον ἀπεώσαντο αὐτόν. TCFV.

44, 27. Εἰς Ἁλίαρτον] Ὅτι τὸ ἐν Ἁλιάρτῳ πρὸ ἓξ ἐτῶν ἐγένετο, τὸ δὲ ἐν Εὐβοίᾳ πρὸ τριῶν, ὅτε καὶ ὁ ῥήτωρ ἐτριηράρχει· ἢ ὅτι πρὸ πολλῶν ἐτῶν γέγονεν ἡ ἐν Ἁλιάρτῳ μάχη· ὅθεν εἶπε καὶ « τὰ τελευταῖα. » Τελευταῖα μὲν ὡς πρὸς ταύτας τὰς στρατείας, πρώην δὲ ὡς πρὸς τὸν χρόνον, καθ' ὃν ἐλέγετο ὁ λόγος. Τὸ δὲ Ἁλίαρτος ἀρσενικῶς, ὡς καὶ Ὅμηρος (Il. β, 503),

καὶ ποιήενθ' Ἁλίαρτον.

BTCV. Ἁλίαρτος πόλις τῆς Βοιωτίας. Ἐκεῖ ἐξελθόντες οἱ Ἀθηναῖοι Θηβαίοις ἄγαν ταλαιπωροῦσιν ἐβοήθησαν, καὶ μέλλοντας ὑπὸ Λακεδαιμονίων πανωλεθρίᾳ διαφθείρεσθαι κεκωλύκασιν. AHR.

45, 5. Παριδὼν] ἀντὶ τοῦ καταφρονήσας τῆς ἡμῶν παρασκευῆς. TCP.

45, 11 Μή μοι μυρίους] Τὸ σχῆμα ἀποτρεπτικὸν πνεύματος. BP. Βασιλέως τοῦ Περσῶν ἐπιστείλαντος τοῖς ἐπὶ θαλάσσης σατράπαις διαλῦσαι τὰ μισθοφορικὰ στρατεύματα διὰ τὸ πολλὰ χρήματα καταναλώσασθαι, ἀφῆκαν οἱ σατράπαι τοὺς στρατιώτας. Οὗτοι περὶ μυρίους ὄντες ἥκουσι πρὸς Χάρητα στρατηγὸν Ἀθηναίων ἔχοντα ξενικὴν δύναμιν καὶ ἐποίησαν αὐτὸν ἡγεμόνα. Ἀρτάβαζος δὲ Πέρσης ἀνὴρ, ἀποστὰς βασιλέως καὶ πολεμῶν πρὸς αὐτὸν, ἔπεμψε πρὸς Χάρητα, παρακαλῶν αὐτὸν διαβιβάσαι

τὸν στρατὸν εἰς τὴν βασιλέως χώραν. Τῶν οὖν στρατιωτῶν ἢ χορηγῆσαι αὐτοῖς ἀναγκαζόντων τὸν Χάρητα, ἢ ἀπελεύσεσθαι πρὸς τὸν διδόντα, διεβίβασεν ἀναγκασθεὶς τὸν στρατὸν, καὶ ἐνίκησε συμβαλὼν δισμυρίους Περσῶν καὶ πλεῖστον αὐτῶν ἱππικὸν ὑπὸ Τιθραύστου στρατηγούμενον· ὃς καὶ ἔγραψε τοῖς Ἀθηναίοις περὶ τῶν μυρίων ὅτι νενίκηκε μάχην ἀδελφὴν τῆς ἐν Μαραθῶνι. Οἱ δὲ δι' ἐπιστολῶν καὶ ἑτέρους ἐκέλευον μισθώσασθαι Χάρητα. Λέγει οὖν ὁ ῥήτωρ ὅτι, μὴ δι' ἐπιστολῆς τοῖς στρατηγοῖς ἐπιτάττωμεν μισθώσασθαι ξένους μυρίους ἢ δισμυρίους. AHR.

45, 12. Ἐπιστολιμαίους ταύτας δυνάμεις] Οἱ γὰρ Ἀθηναῖοι πολλάκις ἐμάχοντο δι' ἐπιστολῶν πρὸς Φίλιππον. P.

46, 5. Εἶεν] Ἀνάπαυσις τῶν λεχθέντων. Ὅτε γὰρ βουλόμεθα παύσασθαι τῶν λεγομένων καὶ ἐφ' ἕτερα μετελθεῖν, τῷ εἶεν χρώμεθα. Λῆξις γὰρ τῶν πρώτων, ἀρχὴ δὲ τῶν μελλόντων. A.

46. 19. Ξενικὸν] Οἱ ξενικοὶ μισθοφόροι τὸ παράπαν εἰώθασι χρησιμεύειν ἐν πολέμοις, ὅτι οἱ Ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν πρὸς Κορινθίους, διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον, ἔτρεφον αὐτούς. Τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο, ὅπερ ξενικὸν ἐκάλουν. BP.

47, 10. Ταξιάρχους] Ταξίαρχος λέγεται ὁ τῆς πεζικῆς ἄρχων, ἵππαρχος δὲ ὁ τοῦ ἱππικοῦ παντὸς στρατηγός. Ἱεροποιοὶ δὲ οἱ τὰ θύματα ἄγοντες εἰς τὴν πανήγυριν ἀπὸ τόπου εἰς τόπον. AR.

47, 12. Ὥσπερ γὰρ οἱ πλάττοντες] Καθάπερ γὰρ οἱ τὰ πήλινα προτιθέντες εἰς τὴν ἀγορὰν τοῦ ὁρᾶσθαι μόνον ἕνεκα ταῦτα πλάττουσιν, οὕτως καὶ ὑμεῖς ἐπὶ θέαν ψιλὴν χειροτονεῖτε τοὺς στρατηγοὺς, οὐ τῶν εἰς τὸν πόλεμον ἔργων ἕνεκα. A.

48, 1. Τάλαντα] Τὸ τάλαντον ἔχει ξ' μνᾶς, ἡ μνᾶ ρ' δραχμὰς, ἡ δραχμὴ ἓξ ὀβολοὺς, ὁ δὲ ὀβολὸς η' χαλκοῦς, καὶ μέχρι τούτου ἵστατο τούτων ὁ ἀριθμὸς πρώην παρὰ τοῖς Ἀθηναίοις, νῦν δὲ οὐκέτι οὐδεὶς σώζει τῶν νῦν εἰς πόσα νομίσματα ἐν συνηθείᾳ τότε ἀνελύετο. HRS.

48, 16. Ἃ μὲν ἡμεῖς] Ἐντεῦθέν φησι Διονύσιος ὁ Ἁλικαρνασεὺς (T. 6, p. 736) ἑτέρου λόγου εἶναι ἀρχήν. Προοίμιον δὲ, φησὶν, οὐκ ἔχει, ἐπειδὴ δευτερολογία ἐστὶν, ἐν αἷς ὡς ἐπὶ τὸ πλεῖστον οὐκ εἰσὶ προοίμια. BTCFP. Οὐ λέγει δὲ ἀληθῆ. Ἐπειδὴ γὰρ ἄνωθεν ὑπέσχετο περὶ πόρου χρημάτων εἰπεῖν, νῦν τοῦτο δεικνύει, καὶ ἔστιν ὥσπερ ἐπίλογος, ὥσπερ ἐποίησε καὶ Ἰσοκράτης ἐν τῷ τοῦ Τραπεζιτικοῦ τέλει κατὰ Λοχίτου οἰκίας ἐπίλογον θείς. FP.

49, 9. Ῥᾳδίως ἔσται] ἅπαντα δηλονότι. P.

Ἃ μὲν οὖν χρήσεται] Κατὰ τὸ τί χρήσομαι τοῖς παροῦσιν ἐστὶ τὸ ἃ χρήσεται τῇ δυνάμει. P.

50, 20. Ἀντιδόσεις] Τὸ τῆς ἀντιδόσεως ὃν παλαιὸν Ἀθηναίοις τοιοῦτόν τι ἦν. Πολλάκις τις ἐχειροτονεῖτο εἰς λειτουργίαν τινὰ καὶ προεφασίζετο μὴ δύνασθαι ταύτην ὑποφέρειν. Ἀνίστατό τις ἀντιδιδοὺς αὐτῷ τὴν ἑαυτοῦ οὐσίαν καὶ φάσκων ὅτι πρόφασις εἴη τὰ παρ' αὐτοῦ λεγόμενα. Εἰ δέ φησιν ὅτι οὐ δύναται ἡ αὐτοῦ οὐσία ταυτὶ λειτουργῆσαι', λαβὼν ταύτην ἐγὼ καὶ ἀντιδιδοὺς ἐκείνῳ τὴν ἐμὴν, δύναμαι ποιεῖν. Ἐκ τούτου ἠναγκάζετο ἢ δοῦναι τὴν οὐσίαν ἢ λειτουργεῖσθαι. RS.

51, 3. Ἐπιστολάς] Ὁ σκοπὸς τῆς ἐπιστολῆς ἐστιν οὗτος· ὁ Φίλιππος ἐπέστειλεν Εὐβοεῦσι συμβουλεύων μὴ δεῖν ἐλπίζειν εἰς τὴν Ἀθηναίων συμμαχίαν, οἳ οὐδὲ αὐτοὺς δύνανται σώζειν. AH.

52, 19. Θαυμάζω] Τὸν περὶ Ἀμφίπολιν λέγει πόλεμον· ἀρχὴ γὰρ γεγένηται πολέμου ἡ Ἀμφίπολις. Δυσωπεῖ δὲ αὐτοὺς τῇ πολλῇ μεταβολῇ. Ἡ μὲν ἀρχὴ περὶ τιμωρίας ἐγένετο, τὸ δὲ τέλος περὶ τοῦ μὴ παθεῖν κακῶς. AHR.

52, 22. Ἀλλὰ μὴν] ἐκ τοῦ ἀναγκαίου. A.

52, 27. Κενὰς] πολιτικῆς δυνάμεως. BP.

52, 28. Ποῖ οὖν] Ἀνθυποφορὰ, ἣν λύει στοχασμῷ. A.

53, 7. Κενὸν] τὸ λόγοις μόνον γενόμενον, ἄνευ πραγμάτων. BP.

53, 16. Ἀπομίσθων] Ἀπόμισθοι καὶ οἱ μὴ πεπληρωμένοι τὸν ὡμολογημένον μισθὸν καὶ οἱ διὰ κακίαν καὶ δειλίαν μὴ ἀξιούμενοι μισθοῦ. PB. Μισθὸν μὴ δεχομένων. Οἱ δὲ συκοφάνται, ὑπὲρ ὧν ὁ στρατηγὸς ἐκεῖ πράττει, ἐνταῦθα κατηγοροῦσιν εὐχερῶς. Διὰ γὰρ τὸ μὴ παρεῖναι ὑμᾶς καὶ συκοφαντῶν ἀνέχεσθε. Ταῦτα πρὸς Κηφισόδοτον αἰνίττεται. A.

54, 3. Ὑμῶν δ'] Ἐντεῦθεν οἱ ἐπίλογοι. BP.

54, 10. Ὀνειροπολεῖν] φαντάζεσθαι. P.

54, 15. Ἀλλ' ἐὰν ἀφέντες] Κατά τινας ἐντεῦθεν οἱ ἐπίλογοι. BP.

54, 16. Ὅτι ἐχθρὸς] Τὰ τελικὰ κεφάλαια. Ἐχθρὸς τὸ ἄδικον· ἡμέτερα τὸ ἀσύμφορον· ὕβρικε τὸ ἀπρεπές· καθ' ἡμῶν εὕρηται τὸ ἀναγκαῖον. BP.

54, 23. Οὐ γὰρ ἄττα ποτ' ἔσται] Ὑπερβατὸν καθ' ὑπέρθεσιν. BP.

Ἐγὼ μὲν οὖν] Ὁ μερικὸς ἐπίλογος. BP.

V. ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ.

Ὁ Φίλιππος μετὰ τὸ ἀνελεῖν τοὺς Φωκέας ἐν τῇ εἰρήνῃ πάρεδρος Ἀμφικτυόνων ἠβουλήθη γενέσθαι, ὡς λειποντος τοῦ ἑνὸς ἔθνους Ἀμφικτυόνων πρὸς ἀναπλήρωσιν τῶν ιβ'. Τοῦτο ἐψηφίσαντο Θηβαῖοι καὶ Θετταλοὶ καὶ ἄλλοι τινές· ἀναγκαίως οὖν ἐχρῆν καὶ τοὺς Ἀθηναίους τούτοις συμψηφίσασθαι. Ἀμφικτυονία δὲ τόπος ἐν τῇ Ἑλλάδι, κοινὸν τῶν Ἑλλήνων δικαστήριον. Ὅτε γὰρ ἠδικοῦντό τινες τῶν Ἑλλήνων, ἀπῄεσαν ἐκεῖ. Οὐ γὰρ παρὰ τοὺς ἀδικοῦντας καὶ ἀδικουμένους ἐχρῆν δικάζεσθαι. Καὶ πάλιν, ὅτε περὶ κοινοῦ τινος ἐσκέπτοντο, ἐκεῖσε ἐβουλεύοντο. Λέγουσι δὲ ὅτι ἐξ ἥρωός τινος ἔσχε τὸ ὄνομα. Σκοπούντων οὖν Ἀθηναίων εἰ δεῖ δέξασθαι Φίλιππον εἰς τὴν Ἀμφικτυονίαν, συμβουλεύει Δημοσθένης δεῖν δέχεσθαι, διὰ τὸ μὴ κοινὸν ἄρασθαι πρὸς τοὺς Ἕλληνας πόλεμον. Ἦσαν γὰρ ψηφισάμενοι πολλοὶ, καὶ ἔμελλον συναγωνίσασθαι τῷ Φιλίππῳ ὀργιζόμενοι, ὡς τῆς γνώμης αὐτῶν ἀναιρουμένης. Τινὲς δὲ ἐνόθευσαν τοῦτον τὸν λόγον ὡς ἀνομοίαν ἔχοντα ὑπόθησιν τῆς γνώμης αὐτοῦ, οὐ προσσχόντες ἀκριβῶς τῷ σκοπῷ τοῦ ῥήτορος. Ἐπειδὴ γὰρ δοκεῖ ὑπὲρ Φιλίππου λέγειν, ὃ οὐδεπώποτε ὤφθη ποιήσας, ᾠήθησαν εἶναι αὐτοῦ τὸν λόγον ἀλλότριον. Ἠγνόησαν δὲ ὡς ἔστι διαφόρως περὶ τοῦ αὐτοῦ χρήσασθαι πράγματος, τῆς προαιρέσεως οὐκ ἀλλαττομένης. Οἷον λέγει τις ἐχθρὸν κακῶς καὶ λέγει τις κακῶς φίλον ἐπιτιμῶν· καὶ τὸ μὲν κακῶς ἐπ' ἀμφοῖν, ἡ δὲ γνώμη διάφορος.

Οὕτω καὶ νῦν ὁ Δημοσθένης πεποίηκεν. Λέγειν μὲν γὰρ ὑπὲρ Φιλίππου δοκεῖ, οὐ μετέστη δὲ τῆς προαιρέσεως, ἀλλὰ διὰ τὸ κοινὸν χρήσιμον οὕτω τὸν λόγον μετεχειρίσατο. Τινὲς δὲ πραγματικῆς ἐγγράφου τοῦτον ἀπεφήναντο, λέγοντες ὡς περὶ εἰρήνης συμβουλεύει· ἔγγραφος δὲ ἡ εἰρήνη· ἔγγραφος ἄρα πραγματικὴ ἡ στάσις. Φαίνονται δὲ ἀγνοήσαντες ὡς οὐ περὶ τῆς εἰρήνης λέγει νῦν οὐδὲ περὶ ταύτην ἠσχόληται, ἀλλ' ὅτι συμφέρει δέξασθαι αὐτὸν καὶ μὴ πολεμεῖν. Ὥστε εἶναι τὴν στάσιν πραγματικὴν ἄγραφον· ψιλὴ γὰρ ἡ παραίνεσις. Τὸ δὲ προοίμιον, ἐπειδὴ ἐκ παραδόξων ἔρχεται (παρὰ γὰρ τὴν ἑαυτοῦ καὶ τὴν αὐτῶν γνώμην δοκεῖ λέγειν, εἴ γε περὶ εἰρήνης δοκεῖ λέγειν καὶ τρόπον τινὰ ὑπὲρ Φιλίππου), (οὐκ εὐθὺς ἐκ τῶν πραγμάτων τῆς ἀκολουθίας ἀρξάμενος, ἀλλ' ἐκ ταραχῆς,) οὐκ εὐθὺς τῆς ὑποθέσεως ἄρχεται, ἀλλὰ ταράττει πρῶτον, ἵνα ὡς ἐν τηλικαύτῃ ταραχῇ αὐτὸς συμβουλεύων ὥσπερ ἰατρὸς εὑρεθῇ κατὰ τοὺς λόγους γενέσθαι· δεῖ γὰρ, ὅτε τι παράδοξον μέλλομεν λέγειν, μὴ εὐθὺς ἐκ τοῦ πράγματος ἄρχεσθαι, ἀλλὰ ταράττειν τὸν ἀκροατὴν, ἵνα ῥᾷστον ἀποδέχηται, ὡς ἐν μεγίστῳ τυγχάνων φόβῳ, τοῦ συμβουλεύοντος καὶ ὁπωσοῦν ἔχουσαν τὴν παραίνεσιν. Τὸ μὲν οὖν προοίμιον πολλὴν ταραχὴν ἐμποιεῖ τῷ ἀκροατῇ, ὡς ἔφαμεν, διὰ τὴν χρείαν. Ἡ δὲ πρότασις διῃρημένη. A.

57, 1. Ὁρῶ] Πρότασις. — Τὸ προοίμιον ἐκ τοῦ πράγματος καὶ ἐκ τοῦ κατηγοροῦντος. BFP.

57, 2. Πολλὴν δυσκολίαν ἔχοντα] Δύσκολος αὐτῷ καὶ χαλεπὴ δοκεῖ τυγχάνειν ἡ παροῦσα ὑπόθεσις· εἰωθὼς γὰρ κατὰ Φιλίππου λέγειν, ἀναγκάζεταί πως τῷ βουλήματι αὐτοῦ καὶ ἄκων συνηγορῆσαι, καὶ πείθειν τὴν πόλιν εἰρήνην ἄγειν αὐτὸς εἰωθὼς συμβουλεύειν τὸν ἀδικοῦντα ἀμύνεσθαι. Γέγονε δὲ τοῦτο αὐτῷ οὐ κατὰ προαίρεσιν, ἀλλὰ δι' ἀνάγκην, ἁπάντων τῶν Ἑλλήνων συνεληλυθότων καὶ ἐψηφισμένων Ἀμφικτύονα εἶναι τὸν Φίλιππον. Οὐς δεδοικὼς συμβουλεύει τῇ πόλει γενναίως διὰ τὸ αὐτῇ συμφέρειν τὸ συμβεβηκὸς Φωκεῦσι καὶ μὴ διὰ τοῦτο ἐναντιοῦσθαι πρὸς Φίλιππον. Πρόκειται δὲ αὐτῷ μὴ ἐναντιωθῆναι τῷ δόγματι τῶν Ἀμφικτυόνων, ἐψηφισμένων Ἀμφικτύονα εἶναι τὸν Φίλιππον. Χρῆται οὖν τῷ δικαίῳ παραινῶν μὴ προτέρους παραβαίνειν εἰρήνην, μηδὲ ὅρκους συγχεῖν εἶτα γενναιότερον ἐπεξιὼν φόβον αὐτοῖς παρίστησιν ὅτι πρὸς ἅπαντας αὐτοῖς ἔσται τοὺς Ἕλληνας ἐναντιοῦσθαι. FP.

Οὐ μόνον] Κατασκευή. B. Κατασκευὴ τῆς προτάσεως διῃρημένη καὶ αὕτη. Αἱ γὰρ κατασκευαὶ πῇ μὲν διῃρημένως πῇ δὲ διεζευγμένως λέγονται.. Διὰ τοῦ οὖν λέγειν « οὐ μόνον » μερίζει καὶ δείκνυσιν ὅτι κατ' ἄλλο τι διαιρῶν καὶ οὐχ ὑφ' ἓν λέγει τὴν κατασκευήν. AR.

Προεῖσθαι] Οὐ λέγει ὅτι ὑμεῖς προδεδώκατε, ἀλλ' αὐτὰ τὰ πράγματα προδέδονται. R.

57, 4. Προὔργου] ἀντὶ τοῦ χρήσιμον καὶ συμφέρον. R.

Εὖ λέγειν] εὐλογεῖν. R.

57, 5. Κατὰ ταὐτὰ] ἐκ παραλλήλου δηλοῖ τὸ ὁμοῦ. R.

57, 6. Τὸ συμφέρον] ἀντὶ τοῦ τὸ συμφέρον ὀφείλειν εἶναι πρὸ παντὸς ἔργου. R.

57, 7. Δυσκόλου] Δευτέρα πρότασις. BFP.

57, 10. Οἱ μὲν γὰρ ἄλλοι] Κατασκευὴ τῆς δευτέρας προτάσεως. BPFB.

57, 12. Ἐκ δὲ τούτου] ἐκ τοῦ ἁμαρτάνειν ὑμᾶς. R.

57, 13. Παρὰ πάντα] καθ' ὃν ἐγὼ πολιτεύομαι χρόνον. R.

57, 14. Εὐδοκιμεῖν] διὰ τὸ δοκεῖν ἀληθῆ λέγειν.

57, 16. Ἐκφεύγειν] διὰ τὸ μὴ ποιεῖν ὑμᾶς τὰ δέοντα. R.

Οὐ μὴν ἀλλὰ καίπερ] Συμπέρασμα τοῦ προοιμίου. BFP.

57, 17. Πεπεικὼς] Καλῶς τὸ οἶομαι ἐπήγαγε τοῦτο. Οὐδεὶς γὰρ ἀμφιβάλλοντι ῥήτορι πείθεται. R.

57, 22. Ἀκριβῶς δὲ εἰδὼς—παρόντ' ἔσται] Προοιμιακὰ νοήματα ταῦτα πρὸ τῆς ὑποθέσεως, οὐ τέλεια προοίμια ἀναιροῦντα τὸ φορτικόν· ἐπειδὴ γὰρ μέλλει ἑαυτὸν ἐγκωμιάζειν.... R.

Ἀκριβῶς δὲ εἰδὼς] Δεύτερον προοίμιον. BFP. Εἰδὼς τὸ χαλεπὸν τῆς ὑποθέσεως, καὶ ὅτι δυσχερῶς οἱ ἀκούοντες προσήσονται, σύντασιν ποιεῖται τῶν οἰκείων λόγων, ὡς μὴ ἁμαρτανόντων μηδέποτε, μηδὲ διαπιπτόντων περὶ τὰς ὑποθέσεις, ὅσα γοῦν συμβουλεύσαντι αὐτῷ μὴ ἐπείσθησαν, ἀλλὰ διήμαρτον, ταῦτα ὑπέμνησεν, ἵν' ἐπιστρέψῃ πρὸς τὴν παροῦσαν ὑπόθεσιν καὶ καταναγκάσῃ πεισθῆναι. FP. Συμφέρον κεφάλαιον. Ἡ δὲ σύνταξις οὕτως· ἀκριβῶς δὲ εἰδὼς τῶν λυσιτελούντων ὑπάρχον τοῦτο τὸ πρᾶγμα, οἷον τὸ λέγειν τινὰ καὶ περὶ ἑαυτοῦ καὶ περὶ ὧν εἶπέ ποτε καὶ συνεβούλευσεν, ὅτι τὸ ἐπαινεῖν ἑαυτὸν καὶ τοὺς ἑαυτοῦ λόγους οὕτως ἐγὼ φορτικὸν ἡγοῦμαι ὥστε ἀνάγκην ἔχων νῦν ἐμαυτὸν ἐπαινεῖν ὅμως τοῦτο φεύγω ποιεῖν. RS.

57, 26. Ἀνάγκην] τὸ ἐπαινεῖν ἐμαυτὸν πρῶτον. R.

58, 4. Ἔπειθόν τινες ὑμᾶς] Εἰς τοὺς ῥήτορας ἀποτείνεται τοὺς ἄλλους τοὺς προδότας. R.

58, 5. Πλουτάρχῳ] Πλούταρχος ἦν Ἐρετρίας τύραννος. Τούτῳ ἐπανέστη Κλείταρχος, καὶ ἅμα καὶ οἱ πολῖται συνεπέθεντο. Ἔπεμψε πρὸς Ἀθηναίους συμμαχίαν αἰτῶν. Ἀντεῖπε Δημοσθένης. Μὴ πεισθέντες ἀπέστειλαν. Μετεπέμψατο καὶ μισθοφόρους ξένους. Διαλυσάμενος, ἀπαιτούντων αὐτὸν τῶν ξένων τὸν μισθὸν, αὐτοῖς Ἀθηναίων λογάδας δήσας ἔδωκεν, οἱ δὲ Ἀθηναῖοι ν' τάλαντα πέμψαντες ἐλύσαντο αὐτούς. Διὸ καὶ δαπανηρὸν ἐκεῖνον τὸν πόλεμον εἴρηκεν, ἄδοξον δὲ, ὅτι τυράννῳ βοηθεῖν ἤμελλον. AHR.

58, 6. Δαπανηρὸν] ἀναλωτικὸν πολλῶν χρημάτων. P.

58, 15. Νεοπτόλεμον] Ὁ Νεοπτόλεμος Σκύριος ἦν καὶ τραγῳδίας ὑπεκρίνατο. Θέλει δὲ εἰπεῖν ὅτι οὐκ ἠκούσατε τοῦ Νεοπτολέμου ὥσπερ ἐν θεάτρῳ διὰ τῆς φωνῆς κηλούμενοι. Ἐχρῆν δὲ ὑμᾶς τὸ ἐναντίον, εἰ καὶ ἐν θεάτρῳ ἠκούσατε ἀμφοτέρων, μᾶλλον ἐμοὶ προσθέσθαι ὡς παραινοῦντι τὰ χρήσιμα. Οὐκοῦν ἐμὸς ὁ τόπος. Ἐμὴν εἶναι καὶ τὴν ψῆφον ἐχρῆν. Ἐκκλησία γὰρ ἦν. Τὸ δὲ θεᾶσθαι παρατηρητέον ἐπὶ τραγῳδῶν· ἀρχαϊσμὸς γάρ. AHR.

Τὸν ὑποκριτὴν] Ὑποκριτὰς ἐκάλουν οἱ ἀρχαῖοι τοὺς νῦν τραγῳδοὺς λεγομένους τοὺς ποιητὰς, οἷον τὸν Εὐριπίδην καὶ Ἀριστοφάνην, τοὺς δὲ νῦν ὑποκριτὰς (οὗτοι δὲ ἦσαν δύο), τὸν μὲν δευτεραγωνιστὴν, τὸν δὲ τριταγωνιστὴν, αὐτοὺς δὲ τοὺς ποιητὰς τῶν δραμάτων τραγῳδοὺς καὶ τραγῳδοδιδασκάλους. BFP. Turbata hæc sic in ordinem redegit Lambinus in ed. Morellii : ... τοὺς νῦν κωμῳδοὺς καὶ τραγῳδοὺς λεγομένους. Οὗτοι δὲ ἦσαν τρεῖς, ὁ μὲν πρωταγωνιστὴς, ὁ δὲ δευτεραγωνιστὴς, ὁ δὲ τριταγωνιστής· αὐτοὺς δ. τ. π. δ. τραγικοὺς καὶ τραγῳδοδιδασκάλους, οἷον Εὐριπίδην καὶ Ἀριστοφάνην.

58, 23. Αὐτοὺς ὑμᾶς] Τὸ αὐτοὺς ὑμᾶς ἀντὶ τοῦ ὑμᾶς ἁπλῶς νόει. P.

59, 5. Ἐξαργυρίσας] διαπράσας. P.

59, 12. Θεσπιὰς καὶ Πλαταιὰς] Αὗται Βοιωτῶν αἱ πόλεις. Ταύτας ὑπακούειν τοῖς Θηβαίοις μὴ βουλομένας

καταλαβόντες ἐν σπονδαῖς κατέσκαψαν, καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἐξήλασαν. Καὶ τὰ χρήματα σὺν τῇ χώρᾳ αὐτῶν κατενείμαντο. Ταῦτα δὲ λέγει τοῦ Αἰσχίνου καθαπτόμενος. AR.

59, 26. Ἐπανοίσω] ἤγουν ἐπανάξω. P.

Προσποιήσομαι] ἤγουν ὑποκρινοῦμαι. P.

60, 1. Ἕτερον δὲ] Γενναίως τῷ μέρει τῆς προκατασκευῆς τῷ ἐκ τῆς τῶν οἰκείων λόγων συστάσεως ἐπεξελθὼν ἦλθε καὶ ἐφ' ἑτέραν ῥητορείαν, καὶ ποιεῖται σύστασιν τοῦ οἰκείου προσώπου, ὁποίαν ὁ ῥήτωρ ὁ Περικλῆς παρὰ Θουκυδίδῃ (2, 60) ποιεῖται, ὅτι καθαρὸς παντὸς λήμματος καὶ ἀδωροδοκήτως δημηγορεῖ, καὶ διὰ τοῦτο τὸν λόγον ἐλεύθερον ἔχει, ἐνδεικνύμενος ὅτι πανταχοῦ τὸ τῆς πόλεως συμφέρον βούλεται, οὐ πρὸς ἀπέχθειαν, οὐ πρὸς χάριν βλέπων. Θαυμάσαι δ' ἄξιον, ὅτι τοιαύτην δημηγορίαν ποιούμενος οὐδαμοῦ τὸ τοῦ Φιλίππου συμφέρον φαίνεται λέγων, μᾶλλον δὲ οὐδὲ ἀφιστάμενος τοῦ θυμοῦ τοῦ πρὸς τὸν Φίλιππον, ἀλλὰ τὸ συμφέρον τῆς πόλεως σκοπῶν καὶ τοῦτο θηρεύων. FP.

60, 4. Προσηρτημένον] ἤγουν προσκεκολλημένον ἐμοί. P.

60, 7. Τρυτάνην] Τρυτάνη μέν ἐστι τὸ πᾶν ζύγιον, πλάστιγγες δὲ αὐτὰ τὰ πλατέα εἰς ὃ ἐμβάλλομεν τὸ σταθμώμενον. S.

Οἴχεται φέρον] Πῶς οἴχεται ἐπὶ θάτερα; ἐπιβαρήσαντος τοῦ ἐπικειμένου, οὕτω καὶ τῇ γνώμῃ ἐὰν προσενέγκῃς ἀργύριον, οἴχεται φέρον ἑαυτῷ· οὐκοῦν ἕως μὲν ἀκλινής ἐστιν ὁ λογισμὸς, βλέπει τὰ χρήσιμα, βαρούμενος δὲ τῷ χρυσίῳ πλανᾶται καὶ διασφάλλεται. AHR.

60, 10. Ἓν —] Ἀπὸ τοῦ ἓν μὲν ἔγωγε ἡ ἀρχὴ τοῦ κεφαλαίου· ἔστι δὲ τὸ συμφέρον μετὰ τοῦ δικαίου ἀναμεμιγμένον καὶ τοῦ δυνατοῦ. R.

60, 11. Σύνταξιν] φόρους, τέλη. P.

60, 13. Ὑπάρχουσαν] Πανταχοῦ παρατηρητέον ὅτι λέγων μὴ δεῖν λύειν τὴν εἰρήνην οὐδαμοῦ Ἀμφικτύονα τὸν Φίλιππον ὀνομάζει γίνεσθαι, ἀλλὰ διὰ τοῦ μὴ λύειν κατασκευάζει τοῦτο. Καὶ οὕτως λυπεῖ τοὺς Ἀθηναίους καὶ ἀνύει ὃ βούλεται. AHR.

60, 18. Δεύτερον δὲ] φημὶ δὲ δεῖν κατὰ κοινοῦ. P.

60, 19. Ὁρᾶν] σκοπεῖν πῶς οὐ κινήσομεν.

60, 27. Θορυβήσῃ] Ἐπειδὴ ἤμελλον πολεμίους ὄντας τοὺς Θηβαίους ἀκούοντες Ἀθηναῖοι ταράττεσθαι, παρενέβαλε τὸ μὴ θορυβηθῆτε· ἥκιστα γὰρ πολεμοῦσι. Ἕτερος γὰρ καθεδεῖται· ἐπικαθεσθήσεται, κρατήσει τῶν ἄθλων, ὁ Φίλιππος. AHR.

[61, 3. Ἐφεδρεύων] ἐνεδρεύων, ἐπικαθήμενος· καὶ ἐφεδρεία, ἡ ἐπίκληρος παραμονή. Ἔφεδρος, ἐλπίζων παραμένειν. P.]

61, 12. Οὐχ ἄχρι τῆς ἴσης ἕκαστος ἐστὶν εὔνους] οἷον οὐκ ἐπ' ἴσης βοηθοῦσιν Ἕλληνες καὶ κινδυνεύουσι καὶ ἀδικοῦσιν, ὥστε καὶ κρατεῖν τῶν ἄλλων καὶ σώζεσθαι. Οὐχ ὁμοίως γὰρ εὐνοοῦσιν πρὸς τὸ σωθῆναι καὶ πρὸς τὸ πλεονεκτῆσαι. Οἶδα γὰρ ὅτι καὶ οἱ Θηβαῖοι τοὺς μὲν ἐφ' ἡμᾶς ἐρχομένους ἀμυνοῦνται, οὐ μὴν ἐπιστρατεύσουσιν. AHR. Ψήφου δηλονότι. P.

61, 17. Τί οὖν ἡγοῦμαι φοβερόν;] Ἀντιθέσεως ἐμπιπτούσης, ὅτι ἡμεῖς τοὺς Ἕλληνας οὐδὲν ἠδικήσαμεν, ὥστε πῶς ἂν ἡμῖν πολεμήσαιεν, ταύτην λέλυκεν ἐπαγαγὼν, εἰ γὰρ Ἀργεῖοι καὶ Μεσσήνιοι καὶ ἑξῆς, τουτέστιν, ἠδίκηνται μὲν ὑφ' ἡμῶν οἱ Ἕλληνες οὐδὲν, μνησικακοῦσι δὲ ἄλλως· Ἀργεῖοι μὲν καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται διὰ τὴν πρὸς Λακεδαιμονίους ἐπικηρυκείαν· Θηβαῖοι δὲ, ὅτι παρ' ἐκείνων φυγάδας σώζομεν· Θετταλοὶ δὲ, ὅτι τοὺς περιλελειμμένους σώζειν ἐπιχειροῦμεν τῶν Φωκέων· Φίλιππος δὲ, ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς Ἀμφικτυονίας. FP.

61, 23. Ἐπικηρυκείαν] ἤγουν τὸ κήρυκας ἀποστεῖλαι ἡμᾶς πρὸς Λακεδαιμονίους καὶ φιλίαν ποιήσασθαι. Ἐπικηρυκεύω γάρ, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπω. P. Ἐπικηρυκεία φιλία ἡ ἐκ τῶν πολεμίων, τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν. Καὶ ἐπικηρυκεύειν τὸ διὰ κήρυκός τινος συνθήκας καὶ πρεσβείας ποιεῖσθαι. Συντάσσεται δοτικῇ. B. Φιλίαν, ἐπειδὴ διὰ κηρύκων γίνεται. R.

62, 4. Ἐπισπασθῶσιν] ἤγουν ἐφελκυσθῶσιν. P.

62, 5. Ἑαυτοῖς ἡμῖν] ἀντὶ τοῦ ἡμῖν ἁπλῶς. P. Ἢ χωρὶς ἀναγνωστέον, ἑαυτοῖς ἡμῖν πολεμῆσαι, ἵνα τὸ μὲν ἑαυτοῖς συζευχθῇ τῷ συμφέρον, τὸ δὲ ἡμῖν τῷ πολεμῆσαι· P. in var. lect.

62, 6. Ἴστε γὰρ δήπου] Ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τῆς ἐργασίας κατὰ τὸ ἀκόλουθον, ὅτι οὐ συμφέρει τοῖς Ἕλλησιν ἡμᾶς ἀπολέσθαι, ἔλυσε δὲ καὶ τοῦτο εἰπών· οὐδὲ γὰρ Θηβαίοις συνέφερεν αὐξηθῆναι τὸν Φίλιππον, οὐδὲ Θετταλοῖς, ἀλλ' ὅμως διὰ τὴν πρὸς Φωκέας φιλονεικίαν ἅπαντα ταῦτα ὑπέμειναν. Ὑποψίαν δὲ αὐτοῖς ἐμποιεῖ γενησομένου πολέμου, ὅπερ ἀπὸ τῆς λέξεώς ἐστι καταμαθεῖν τῆς ἐπισπασθῶσι. FP.

62, 18. Φίλιππον τοίνυν] Ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ· καὶ μὴν οὐ βοηθήσουσι Θηβαῖοι, Φιλίππῳ ὑπόπτως ἔχοντες· οὐδὲ γὰρ ἑκὼν ἔδωκεν αὐτοῖς Ὀρχομενὸν καὶ Κορώνειαν· ἵνα τὸ λεγόμενον ᾖ τοιοῦτον· καὶ μὴν οὐ βοηθήσουσι Φιλίππῳ Θηβαῖοι. Οὐδὲ γὰρ εὔνως διάκεινται πρὸς αὐτόν· αὕτη γάρ ἐστιν ἡ ἀπὸ τοῦ δυνατοῦ ἀντίθεσις. Ταύτην ἔλυσε κατὰ ἀγανάκτησιν, ὡς εὐήθει ἐπιτιμήσας, εἴ τις χρῷτο τούτῳ τῷ λόγῳ· ἐπειδὴ γὰρ τὸ δυνατὸν κατεσκεύασε τὸ Φιλίππου ἰσχυρὸν ἐξ ἀρχῆς, αὕτη δὲ ἡ ἀντίθεσις ἀνατρέπειν ἐδόκει τὸ σύμπαν, διὰ τοῦτο καὶ ἐρρῶσθαι εἶπε τοῖς χρωμένοις τῷ λόγῳ· μὴ γὰρ εἶναι αὐτὸν ἰσχυρόν. FP.

62, 28. Πυλαίας] Τὴν σύνοδον Πυλαίαν ἐκάλουν, τὴν μὲν ἐαρινὴν, τὴν δὲ μετοπωρινὴν, ἐπεὶ ἐν Πύλαις συνήγοντο, ἃς καὶ Θερμοπύλας ἐκάλουν. Ἔθυον δὲ Δήμητρι οἱ Πυλαγόραι. P.

63, 5. Τὰ κελευόμενα] Ἑτέραν ἔθηκεν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου καὶ τοῦ δυνατοῦ μικτήν· πεισθῶμεν οὖν τοῖς ἐπιτάγμασιν, φοβούμενοι Φίλιππον καὶ τοὺς Ἕλληνας; Ταύτην ἔλυσε κατ' ἀφαίρεσιν, φάσκων μὴ δεῖν μὲν φοβεῖσθαι, οὐ μὴν διὰ τοῦτο τὴν εἰρήνην λύειν· καὶ ἑτέρᾳ λύσει ἀπὸ τοῦ ἐνδόξου, ὅπερ ἐστὶ μέρος τοῦ συμφέροντος, ἵνα μηδὲν ἀνάξιον πράξωμεν ἡμῶν αὐτῶν. Τοῦτο δέ ἐστιν, ἣν μὴ δόξωμεν εἶναι φθονεροὶ, ὅπερ ἀπὸ τοῦ ἐνδόξου ἐστίν· ἢ μὴ δόξωμεν εἶναι ἀνόητοι. Εἶτα τῷ δικαίῳ πάλιν· ἡμεῖς Θηβαίους ἔχειν ἐῶμεν Ὠρωπὸν, ὅπερ ἐστὶ μέρος τοῦ δικαίου. Πρὸς δὲ τὴν ἀντίθεσιν ἅμα ἐστὶ καὶ ἐπίλογος. Ἄρχεται γὰρ ὁ ἐπίλογος ἀπὸ τοῦ· πρὸς δὲ τοὺς θρασέως ὁτιοῦν οἰομένους. FP.

Τὰ κελευόμενα—ποιεῖν] Ἀνθυποφορά. Φησὶν, ὀφείλομεν πᾶσι τοῖς προσταττομένοις ὑπακούειν ὥσπερ καὶ νῦν. Ἡ δὲ ἀνθυποφορὰ ἧττων μὲν ἀντιθέσεως, μείζων δὲ ἀντιπίπτοντος. HR.

[63, 12. Ὠρωπόν] τόπος, ἐν ᾧ ἀπέβαλε τοὺς ὦπας ὁ Ὧρος. B.]

63, 16 Καρδιανοὺς] Καρδία πόλις Μιλησίων ἄποικος ἐν Χερρονήσῳ, ἥτις τοὔνομα ἔσχεν ἐντεῦθεν. Ἑρμοκράτους (Ἑρμοχάρους ap. Steph. Byz. v. Καρδία) τοῦ Μιλησίου οἰκίζοντος αὐτὴν καὶ θύοντος κόραξ ἁρπάσας τοῦ ἱερείου τὴν καρδίαν ἀφῆκεν εἰς τὴν γῆν. Καὶ διὰ τοῦτο κέκληται Καρδία. Οὗτοι δὲ οἱ Καρδιανοὶ οὐκ ἐβούλοντο συντελεῖν μετὰ τῶν ἄλλων Χερρονησιτῶν καὶ ὑπακούειν Ἀθηναίοις, ἀλλὰ ἔφησαν ἔξω τῶν ὅρων εἶναι τῶν Ἀθηναίοις προσηκόντων. Ἡ γὰρ Χερρόνησος Ἀθηναίων ἦν, κτησαμένου αὐτὴν Μιλτιάδου τοῦ Κυψέλου. AH.

63, 17. Τὸν Κάρα] τὸν τῆς Καρίας λέγει σατράπην τὸν Μαύσωλον. HRS.

63, 18. Χίον] Χίος ἡ νῆσος· ὁ ἐν αὐτῇ οἰκῶν Χῖος. P.

63, 19. Βυζαντίους] Βυζάντιόν ἐστιν ἡ νῦν Κωνσταντινούπολις. Ἐκλήθη δὲ ἀπὸ Βύζαντός τινος Μεγαρέων ἡγησαμένου ἀποικίας. Μεγαρέων γὰρ ἄποικοι Βυζάντιοι. HRS.

63, 24. Πρὸς ἅπαντας] Τῶν μεγίστων, φησί, παρακεχωρηκότες δι' ἐπιεικείας νυνὶ περὶ φαύλων καὶ σκιᾶς πολεμήσομεν; FP.

VI. ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Β.

65, 1. Ὅταν] Ἐπιτιμητικὸν τὸ προοίμιον τῆς τῶν Ἀθηναίων ῥαθυμίας· ἔχει δὲ καὶ προσοχήν. BFR. Τὸ προοίμιον ἀκατάσκευον διὰ τὸ ὁμολογεῖσθαι ὅτι λέγεται κατὰ ἀδικοῦντος. Τὸ δὲ συμπέρασμα ἕως τοῦ « χαλεπώτερον εἶναι. » Τὸ δὲ « αἴτιον δὲ τούτων » αἰτία τοῦ συμπεράσματος καὶ ἐπέκτασις. AHR.

65, 2. Πράττει] πλεονεκτεῖ καὶ ἀδικεῖ. BP.

Λόγους καὶ δικαίους καὶ φιλανθρώπους] δικαίους μέν· κατὰ γὰρ Φιλίππου λέγετε ἀδικοῦντος· φιλανθρώπους δέ· ὅτι ἐλεεῖτε τὸ γένος τὸ Ἑλληνικόν. AHR.

66, 6. Αἴτιον δὲ] Κατασκευή. BP. Κατασκευὴ τῆς προτάσεως. Τούτων δὲ λέγει τὸ αἴτιον τὸ δυστυχῶς ἔχειν τὰ πράγματα· πρὸς γὰρ τὸ ἄνω ἔστι. HRS.

66, 12. Ἐπειθ' ὑμεῖς οἱ καθήμενοι] Εἰ γὰρ ἀποδεικνύντων ἡμῶν τὴν ἀδικίαν Φιλίππου οὐδὲν πράττεται, ἀποροῦμεν λοιπὸν τί συμβουλεύσομεν. AHR.

66, 16. Συμβαίνει δὴ] Τὸ συμπέρασμα. BP.

66, 17. Εἰκὸς] Εἰκός ἐστι τὸ πίστεως ἐχόμενον, ἐοικὸς δὲ τὸ ἐμφερές. BP.

66, 19. Εἰ μὲν οὖν—] Τινὲς ἐνόμισαν τοῦτο δεύτερον προοίμιον. Οὐκ ἔστι δέ· τῆς γὰρ αὐτῆς ἐννοίας ἐστὶ τοῦ πρώτου προοιμίου, ἀλλὰ μᾶλλον συμπέρασμα τῆς προτάσεως. HRS.

66, 28. Πρῶτον—] Ἐντεῦθεν τὸ κεφάλαιον ἀπὸ τοῦ συμφέροντος. Καὶ τοῦ δικαίου καὶ τοῦ δυνατοῦ μεμιγμένον. R.

67, 7. Ἵν' ἐὰν μὲν ἐγὼ δοκῶ] Ἐν αἱρέσει αὐτοῖς δίδωσι τὸν πόλεμον, ἐκφυγὼν τὸ ἀποφήνασθαι διὰ τὸ ἄδηλον αὐτοῦ· ἵνα κἂν πταίσῃ ὁ δῆμος αὐτὸν ψηφισάμενος μὴ αἰτιάσηται. AR.

68, 2. Καθ' ὑμῶν] Σημείωσαι τὴν σύνταξιν. Πολλάκις ἀντὶ τῆς ὑπὲρ ἐκλαμβάνεται. Καὶ γὰρ ὁ Θεολόγος ἐν τῷ πρώτῳ τῶν στηλιτευτικῶν· « κατὰ γὰρ τῶν ἀγωνιζομένων οἱ στέφανοι, » ἀντὶ τοῦ ὑπὲρ τῶν ἀγωνιζομένων. B.

68, 18. Γλίχονται] ἄγαν ἐπιθυμοῦσι, διὰ τὸ κοσμεῖσθαι τοὺς λόγους αὐτῶν ἐκ τῆς ὑποθέσεως. A.

68, 19. Διὸ κἀγὼ παραλείψω] τῇ μὲν ἀληθείᾳ διὰ τὸ μὴ οἰκείως ἔχειν τῇ συμβουλῇ τῶν προγόνων παρεκτείνειν τὰ ἐγκώμια, λέγει δέ, ὅτι κἀγὼ εἷς εἰμι τῶν ἡττηθέντων τοῖς πράγμασι. A.

68, 22. Τοὺς μὲν συστρατεύσαντας] τοὺς Θηβαίους. A.

Τοὺς δ' οὐκ ἐναντιωθέντας] τοὺς Ἀργείους. A.

69, 4. Ἀλλὰ νὴ Δία] Ἀντίθεσις ἐκ τοῦ δικαίου· ἥτις δυσχερὴς οὖσα εὐφυῶς ἐλύθη παρὰ τοῦ ῥήτορος. Ἦν γὰρ αὕτη ὅτι δικαιότερον αἰτοῦντας Θηβαίους ἤπερ Ἀθηναίους προείλετο· ἐκεῖνοι γὰρ τῶν ἀδίκων, οὗτοι δὲ ὑπὲρ τῶν ἄλλων Ἑλλήνων φροντίζουσιν. Λύει οὖν ἐκ τοῦ ὁμοίου, ὅτι, εἰ διὰ τοῦτο προκρίνει τοὺς Θηβαίους, πῶς τοῖς Λακεδαιμονίοις ἀφίστασθαι κελεύει τοῦ ἰδίου χωρίου; καίτοι οὕτως ἂν ἐκ τοῦ ὁμοίου ἔδοξε τοῦ δικαίου κατὰ τὸ ἀληθὲς φροντίζειν. HRS.

69, 9. Ὁ γὰρ Μεσσήνην] Μετὰ τὰ Λευκτρικὰ Θηβαῖοι τοὺς Μεσσηνίους, τοὺς τῶν Λακεδαιμονίων συμμάχους, ἀπέσπασαν, ὅπως ἔχοιεν εἰς τὸν κατ' αὐτῶν πόλεμον. Καὶ ὁ Φίλιππος οὖν συναιρόμενος τοῖς Θηβαίοις τοὺς Λακεδαιμονίους κελεύει ἀποστῆναι τῶν Μεσσηνίων, καίπερ ὄντος ἰδίου τοῖς Λακεδαιμονίοις τοῦ κτήματος. Τὸ δὲ « καλῶς » συντρέχει, ἵνα γελοιότερον λύσῃ τὸ δοκοῦν ἰσχυρὸν τυγχάνειν. AH.

69, 10. Ὀρχομενὸν] Οἱ Ὀρχομένιοι καὶ οἱ Κορώνειαν οἰκοῦντες σωζομένων τῶν Φωκέων ἐλεύθεροι καθ' ἑαυτοὺς ἦσαν. Ἀπολωλότων Φωκέων δέδωκε τοῖς Θηβαίοις ὁ Φίλιππος τὴν Κορώνειαν καὶ τὸν Ὀρχομενόν, οὐ κατὰ τὸ δίκαιον. HR.

69, 14. Τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων ὁπλιτῶν] Ἄγαν γὰρ οἱ μὲν Θετταλοὶ ἱππόται εἰσὶν ἄριστοι, οἱ δὲ Θηβαῖοι ὁπλῖται γενναιότατοι. Παρὰ γνώμην οὖν φησὶ διὰ τὴν ἀνάγκην πεποίηκε ταῦτα. HR.

69, 16. Ὑπόπτως] Οὐκοῦν ἔχθραν καὶ ὑποψίαν ἔχει κατ' αὐτῶν AHR.

69, 18. Ἐλάτειαν] Λέγουσιν οὖν τινες ὅτι καὶ τὴν Ἐλάτειαν τειχιεῖ Φίλιππος πρὸς τὸν κατὰ Θηβαίων πόλεμον. R. Ἐλάτεια μεταξὺ Θηβαίων καὶ τῆς Φωκέων κτήσεως κεῖται. Ἔχει δὲ ἐπιτηδείως πρὸς τὴν ἐπιβουλήν. HR.

70, 25. Ἃ καὶ πρὸς Μεσσηνίους] Κατὰ πρεσβείαν ἐξελθὼν πρὸς Ἀργείους ὁ Δημοσθένης συνεβούλευσεν· οὐ πεισθέντες αὐτῷ ἐβλάβησαν τὰ μέγιστα. Βούλεται οὖν εἰπεῖν τὴν δημηγορίαν αὐτοῦ, ἵνα πείσῃ τοὺς Ἀθηναίους δι' ὧν ἤδη τὰ συμφέροντα συνεβούλευσεν, οἷς Ἀργεῖοι πεισθέντες προὐδόθησαν. AH.

70, 28. Ἀντεποιοῦντο] ἀντείχοντο. P.

70, 29. Ποτίδαιαν δ' ἐδίδου] Ποτίδαιαν ἐκπολιορκήσας ὑπ' Ἀθηναίων φρουρουμένην τοὺς Ἀθηναίων φρουροὺς ἀπέστειλεν εἰς αὐτούς, νέμων μέρος τι χάριτος καὶ Ἀθηναίων δήμῳ. Τὴν δὲ πόλιν ἐξανδραποδισάμενος καὶ ἅψας Ὀλυνθίοις ἀστυγείτοσιν οὖσι νέμεσθαι τὰς κτήσεις ἔδωκε. LBSS.

71, 11. Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου] Ταῦτα μὲν ἦν αὐτῶν, εἶγε δὲ αὐτὰ ἀποσπάσας, εἶτα ἔδωκε, πρὸς τὸ ἀπατῆσαι αὐτούς, ἵνα δόξῃ φίλος εἶναι. AHR.

71, 28. Οὐδὲν δεινὸν μὴ πάθητε] Οὐκ ἔστι τὸ τῶν δύο ἀρνήσεων ἐνταῦθα μίαν συγκατάθεσιν ποιοῦν, ὥσπερ ἀλλαχοῦ, ἀλλὰ ἰδίωμα Ἀττικὸν τὸ εἶναι πολλὰς ἀρνήσεις ἐφεξῆς. AHR.

72, 4. Πολέμου] τοῦ ἀπὸ τῶν Λακεδαιμονίων δηλονότι. P.

74, 25. Οὐδένα γὰρ βουλοίμην] ὥστε φείδομαι καὶ τῶν προδοτῶν διὰ τὴν πόλιν. A.

74, 26. Δίκαιος] ἄξιος. P.

VII. ΠΕΡΙ ΑΛΟΝΝΗΣΟΥ.

76, 1. Ἄνδρες Ἀθηναῖοι] Τὸ προοίμιον σχετλιαστικόν. Ἄλλως. Τὸ προοίμιον κατὰ τὸν Ἑρμογένην ἐκ τῶν ἔξωθεν ἐμφαινομένων. Οὐ γὰρ δεῖ διὰ τὰς τοῦ Φιλίππου αἰτίας κωλύεσθαι τοὺς συμβούλους ὑπὲρ τῶν συμφερόντων λέγειν. PFB. Στάσις ἄγραφος πραγματική. BP. Δεῖ βαρέως ἀναγινώσκειν τὸ προοίμιον ὡς δυσφοροῦντος τοῦ ῥήτορος ἐπὶ τοῖς γράμμασι Φιλίππου καὶ λέγοντος ὥσπερ ἐν ἤθει πρὸς τοὺς Ἀθηναίους HRS.

Αἱ αἰτίαι] Τὸ.... τῶν λεγομένων οἷον λέγει. Αἱ αἰτίαι Ἀττικῶς προαναπέμπει τὸν τόνον. Καὶ ὅταν μὲν ἐπὶ τῶν αὐτῶν μόνων τῶν αἰτιῶν λέγηται, προπαροξύνεται· ὅταν δὲ ἐπὶ πραγμάτων ἢ πόλεων, παροξύνεται. Τοῦτο δέ φησιν ἐπειδὴ τοῦτο μετὰ τῶν ἄλλων ἐμέμψατο Φίλιππος, ὅτι οὐ δεῖ ὑμᾶς πιστεύειν τοῖς μισοῦσί με παρ' ὑμῖν καὶ διαβάλλουσιν. HRS.

Οὐκ ἔστιν ὅπως] Πρότασις. BP.

76, 4. Δεινὸν γὰρ ἂν εἴη] Κατασκευή. B. Ἐντεῦθεν ἡ κατασκευή· ἔοικε δὲ ταῦτα πρὸς τὰ Περσικὰ ἔχειν τὴν ἀναφοράν. Διὸ καὶ φθάνει τὸ δεινὸν ἂν εἴη· οἷον· οὐκ ἐφοβήθησαν αὐτοῦ Δαρείου τὰ γράμματα [οὐδ'] ἃ ἐπέστελλε Ξέρξης, ἀλλ' ἀνῄρουν τοὺς ἥκοντας. AR.

77, 1. Παρρησίαν] ἣν οὐκ ἀνεῖλον αἱ παρὰ Ξέρξου καὶ Δαρείου, ὧν οἱ διακομισταὶ ἀνῃροῦντο. Lrss.

77, 2. Ἐγὼ δ' ὑμῖν] Προκατασκευὴ ἤτοι προέκθεσις τῶν κεφαλαίων. BFP. Ὡς ἐπαύσατο τοῦ προοιμίου, ἦλθεν ἐπὶ τὴν ὑπόθεσιν, πρὸς τὴν χρείαν βραχὺ προοίμιον ἐργασάμενος. AHR. Συμπέρασμα. Ἀπ' αὐτοῦ εὐθὺς εἰσβάλλει ἐπὶ τὸ δίκαιον. HRS.

77, 4. Ὕστερον δὲ περὶ ὧν οἱ πρέσβεις λέγουσιν] Ἐκτὸς γὰρ τῆς ἐπιστολῆς ἔσθ' ὅτε προστάττουσι τοῖς πρέσβεσι· καὶ πρὸς ταῦτ' οὖν ἐπαγγέλλεται λέγειν. AHR.

77, 6. Φίλιππος γὰρ] Πρώτη εἰσαγωγὴ τοῦ κεφαλαίου ἐπὶ τοὺς ἀγῶνας ἀπὸ προτάσεως. BFP.

Ἀλοννήσου] Ταύτην τὴν νῆσον οὖσαν περὶ τὴν Θράκην Ἀθηναίων ὑπήκοον Σώστρατος λῃστὴς ἐσφετερίσατο· πρὸς ὃν Φίλιππος πολεμήσας ἀπέσπασεν. Ἀθηναῖοι ἔπεμψαν πρέσβεις ἀπαιτοῦντες ὡς ἰδίαν. Ἔφησε Φίλιππος, εἰ μὲν βούλονται ὡς δωρεὰν λαμβάνειν, διδόναι· εἰ δὲ μή, οὐκ ἀποδιδόναι. AH.

77, 9. Ἔλεγε δὲ] Ὑποφορά, ὁ τοῦ ἐναντίου λόγος. BFP.

77, 12. Τοῦτον δὲ τὸν λόγον] Τρίτη ἀντιπρότασις· ἡ τῆς λύσεως γὰρ ἐπαγγελία. BFP.

77, 13. Οὐ χαλεπόν ἐστιν] Σημείωσαι ὅτι πάντα τὰ τῆς ἐπιστολῆς τῇ διανοίᾳ λύει ὁ ῥήτωρ· πᾶν γὰρ ῥητὸν τῇ διανοίᾳ λύεται. BFP.

Ἀφελέσθαι] Ἐνταῦθα ἡ τοῦ κεφαλαίου εἰσαγωγὴ ἐκ τῶν τεσσάρων πεπλήρωται, προτάσεως, ὑποφορᾶς, ἀντιπροτάσεως, λύσεως. BFP.

77, 14. Ἅπαντες γὰρ οἱ λῃσταὶ] Τετάρτη λύσις, ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς. BFP.

77, 16. Ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος] Καθ' ὑπόθεσιν, ἐκ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. BFP.

78, 29. Ἐφέσιμον] Ἔφεσις ἡ ἔγκλησις ἡ ἀπὸ σμικροῦ εἰς μεῖζον κριτήριον προκαλουμένη. BFP.

79, 3. Περὶ Ποτίδαιαν] Ἔναγχος λαβὼν τὴν Ποτίδαιαν καὶ πολλοὺς τῶν ἐνοικούντων ἀδικήσας. Ἵνα τοίνυν μὴ ἐγκαλῶσιν αὐτῷ, πέπομφε περὶ τῶν συμβόλων, δι' ὧν σπείσεσθαι ἤθελεν, ἵνα διὰ τῶν σπονδῶν λύσῃ τὰ ἐγκλήματα. AHR.

79, 4. Οὐδὲν ἐνεκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι] Σπεισάμενοι αὐτῷ περὶ τῶν συμβόλων, ὡς μηδὲν ἀδικούμενοι δηλονότι· οὐ γὰρ ἂν ἐσπείσασθε. AHR.

79, 17. Σύμβολα] Σύμβολα λέγει τὰς δίκας τὰς περὶ τὰ συμβόλαια τῶν ἐμπόρων. BPF.

79, 19. Ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία] Ἀπὸ τῶν Πελοποννησιακῶν ἔλαβεν, ὅτι περὶ Θράκην εἶχόν τινα χωρία, ἀφ' ὧν καὶ φόρους ἐλάμβανον. Συνῆψαν οὖν τῇ Θρᾴκῃ καὶ τὴν Μακεδονίαν πλησίον οὖσαν. Ἦσαν γὰρ φίλοι τότε, νῦν δὲ πόλεμος ἐπίκειται. AR.

80, 3. Περὶ δὲ τῶν λῃστῶν]. Ἐπὶ ἄλλο κεφάλαιον μεταβαίνει τῆς ἐπιστολῆς. HR.

80, 11. Διαφθείρειν] τὸ διαφθείρειν ἢ λόγοις ἢ χρήμασι. A.

80, 12. Καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον κεκομικέναι] Ἐλεγχθέντες γάρ τινες τῶν Θασίων, ὡς μέλλουσι Φιλίππῳ προδιδόναι τὰ πράγματα, ἐφυγαδεύθησαν ἐκ τῶν πολιτῶν. Τούτους ὁ Φίλιππος πείσας τοὺς περὶ τὸν Χάρητα κατήγαγεν. BFP. Τὸ δὲ τοὺς παρ' ἑαυτοῦ ἀντὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας. FP.

80, 17. Καίτοι οὔ φασι] Ἀντίθεσις στοχαστική, ὅτι οὐ βουλήσεται ἄρχειν τῆς θαλάττης. RS.

80, 19. Κατασκευάζεται] ἀντὶ τοῦ κατασκευασθῆναι ποιεῖ· κυρίως γὰρ ἐπὶ μὲν τοῦ δημιουργοῦ λέγομεν κατασκευάζει, ἐπὶ δὲ τοῦ τὰ ἀναλώματα παρέχοντος κατασκευάζεται. BFP. Κυρίως γὰρ ὁ μὲν τεχνίτης κατασκευάζει, ὁ δὲ παρέχων τὰ ἀναλώματα κατασκευάζεται. AR.

Νεωσοίκους οἰκοδομεῖται] Οἴκους γὰρ ἐποίουν εἰς τὸν αἰγιαλὸν, ἵνα ἐκεῖσε νεωλκῶσι καὶ μὴ διαφθείρωνται τὰ πλοῖα ἢ ὑπὸ ὄμβρου ἢ ὑπὸ καύματος. Διὸ νεὼς οἶκοι καλοῦνται. Ἰστέον δὲ ὅτι δύο λέξεις εἰσὶ καὶ οὐχ ὥς τινες ὑφ' ἓν ἀναγινώσκουσι. Γενικὴ δὲ οὖσα τῆς νεὼς ἀκίνητος μένει. Ἀεὶ γὰρ πλαγία πτῶσις εὑρισκομένη μετ' εὐθείας ἀκίνητος μένει. HRS.

80, 22. Ὧν οὐδὲν προτιμᾷ] ἀντὶ τοῦ ὧν οὐδὲν φροντίζει. B.

80, 26. Οἳ οὐκ αἰσχύνονται] Κατατρέχει τῶν φιλιππιζόντων. A.

81, 4. Ἑκατέρους ἔχειν] Ὁ Φιλοκράτης ἐν τῷ ψηφίσματι γέγραφεν ἑκατέρους ἃ ἔχουσιν ἔχειν, χαριζόμενος Φιλίππῳ· πολλὰ γὰρ ἀλλότρια ἡρπάκει. Συνέντες Ἀθηναῖοι τοῦτο ἔπεμψαν ἐπανορθώσασθαι τὴν εἰρήνην, ὥστε ἔχειν ἑκατέρους τὰ ἑαυτῶν. A.

81, 24. Εὐδοκίμησεν ὁ Πύθων] Ὥσπερ νῦν μεμφόμενος τοὺς ῥήτορας ἔγραψε Φίλιππος, οὕτω καὶ ὁ Πύθων τότε τοὺς συμβούλους δημηγορῶν. Ἐπαινεῖ δὲ τὸν Πύθωνα, ὅτι εὐδοκίμησε κατὰ τοὺς λόγους τότε (ἦν γὰρ ῥήτωρ ἄριστος), καὶ ἐπειδὴ συμφέρει αὐτῷ· δι' αὐτοῦ γὰρ ἐλέγχει τὸν Φίλιππον ψευδόμενον. AHR.

82, 17. Πύθωνα] Ἐπηγγέλλετο γὰρ ποιεῖν τὰ δέοντα καὶ ἐπανορθοῦσθαι τὴν εἰρήνην. A.

82, 18. Ἔλεγε δὲ] ἐπίκρισις. BP.

82, 22. Τῷ Φιλοκράτους ψηφίσματι] Τὸ γὰρ Φιλοκράτους ψήφισμα εἶχεν ἑκατέρους ἃ ἔχουσιν ἔχειν. Εἶχε δὲ Ἀμφίπολιν ὁ Φίλιππος. Οὐκοῦν ἀπώλλυον διὰ τοῦ ψηφίσματος ταύτην. A.

83, 20. Ἐκπολιορκήσας] Πολιορκῆσαι τὸ τοὺς πολεμίους περικαθέζεσθαι τὴν πόλιν ἐπὶ πολὺ, ἵνα τοὺς ἔνδον διαφθείροντες λιμῷ οὕτως ἀναγκάσωσιν ἐκδοῦναι ἑαυτούς. Ἐκπολιορκῆσαι δὲ τὸ ἀπὸ τῆς πολλῆς καὶ πάνυ πολιορκίας δεσπότας γενέσθαι τῶν πολιορκουμένων. HRS.

84, 22. Ἵνα δὴ αὐτόνομοι ὦσιν] Σημείωσαι· εἰρωνικόν. B. Κατ' εἰρωνείαν λέγει τὸ ἵνα. Ἰδοὺ γὰρ τυραννοῦνται τοῖς ὅπλοις. Ὁμολογεῖ τοῦτο λόγῳ· τοῖς ἔργοις τἀναντία πράττει. Τὰς γὰρ Φερὰς ἐχειρώσατο. AHR.

Τὰς δ' ἐν Κασσωπίᾳ] Αὗται αἱ πόλεις ἐν Ἀχαΐᾳ εἰσὶν ἐντὸς Πελοποννήσου. A.

84, 25. Ἀλεξάνδρῳ] τῷ Μολοττῷ, ἀδελφῷ τῆς Ὀλυμπιάδος. Lass.

Σφόδρα γε] Καὶ τοῦτο εἰρωνικόν. BP.

84, 27. Περὶ δὲ τῶν ὑποσχέσεων] Ἄλλο κεφάλαιον τῆς ἐπιστολῆς. Ταύτας δὲ λέγει τὰς ὑποσχέσεις δι' ἃς καὶ ἡ τρίτη πρεσβεία ἐγένετο. HRS.

85, 20. Ὡς ἔοικε] Διὰ τὸ πιθανὸν πρόσκειται τὸ ὡς ἔοικεν· ὅτι ὡς φαίνεται ἔξω τῆς οἰκουμένης ὑμῖν δωρήσεται. Δεῖξον, φησὶ, ξένην οἰκουμένην τῷ Φιλίππῳ, καὶ τότε δωρεὰν ἕξεις ἀμάρτυρον. AHR.

85, 22 Ἄλλο κεφάλαιον τῆς ἐπιστολῆς. Τῆς δὲ εἰρήνης ἤδη γενομένης καὶ μήπω καὶ αὐτοῦ δόντος τοὺς ὅρκους, ἐν τῷ μεταξὺ ἔλαβε χωρία τινὰ τῶν Ἀθηναίων ἐν τῇ Θρᾴκῃ· Ἅπερ ἐπιφέρει πείσας τὸν Αἰσχίνην βραδῦναι ἐν τῇ ὁδῷ. HRS.

85, 27. Ὥσπερ δὲ ταῦτα ἴσμεν] Πάρισον. BP.

86, 6. Τὸν πρόξενον] Πρόξενός ἐστιν ὁ προστάτης ἐν τῇ ἑαυτοῦ πόλει ἄλλης πόλεως. AHRY.

86, 14. Ἀπολλωνίδῃ τῷ Καρδιανῷ] Καρδία ὄνομα πόλεως, ὥς φησιν Ἡρόδοτος (6, 33). Κεῖται δὲ, ὥς φησι Θεόπομπος ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν, τῆς Χερσονήσου κατὰ Μέλανα καλούμενον πόντον (l. κόλπον). Δύο δὲ ἐγένοντο ἐπίσημοι Ἀπολλωνίδαι, οὗτος ὁ προδότης καὶ ἄλλος τις Ὀλύνθιος, οὗ μέλλει μνησθῆναι ἐν τοῖς ἑξῆς ὡς εὔνου περὶ τὴν πόλιν καὶ μισοφιλίππου. HRS.

86, 15. Ἀγορᾶς] Τόπος τῆς Χερρονήσου, καὶ μέχρι τούτου Φίλιππος ὁρίζεται τοῖς Ἀθηναίοις εἶναι Χερρόνησον. Τὴν προσηγορίαν ἔλαβεν ὁ τόπος ἐκ τοῦ εἶναι ὅριον καὶ μέτρον τῆς χώρας. AHRY.

86, 22. Πτελεοῦ καὶ Λευκῆς] πόλεων, οὐ δένδρων, ὀνόματα. A.

86, 23. Ἀμμορίης] κατὰ στέρησιν τοῦ μορίου. BP. Ἀντὶ τοῦ ὁ Ζεὺς ὁ τῆς ἀμορίας, ὁ μετέχων τῶν δύο ὅρων ὁμοῦ τῶν τῆς Χερρονήσου καὶ τῆς Θρᾴκης. Διὰ γὰρ τοῦτο ἀμορίαν αὐτὸν ἐκάλεσεν. S.

87, 7. Ἐγκτήματα] Κτῆμα ἐγκτήματος διαφέρει. Κτῆμα μὲν γάρ ἐστι κυρίως, ὅταν τις ἐν οἰκείᾳ γῇ κτήσαιτό τι χωρίον, ἔγκτημα δὲ, ὅταν ἐν ἀλλοτρίᾳ γῇ τις κτήσαιτό τι χωρίον, ὥσπερ καὶ Φωκεῖς καὶ Θετταλοὶ ἐδικάζοντο περὶ τοῦ ἱεροῦ, καὶ Καρδιανοὶ, ὅτι ἡμετέρα ἐστὶν ἡ γῆ. BFYP.

87, 9. Κάλλιππον Παιανιέα] Ῥήτωρ ἦν Ἀθηναῖος. B.

87, 12. Παραγραφικῶς λύει ἀπὸ χρόνου. S.

87, 22. Ἆρ' οὐ μεγάλα· Σημείωσαι· εἰρωνικόν. B.

87, 23. Καὶ ταύτην —] Κατὰ χλευασίαν ἀναγνωστέον. BFP.

87, 25. Ἐκεῖνος μὲν] Ἐντεῦθεν ὁ ἐπίλογος. BFP.

VIII. ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩ.

Ἐν τούτῳ τῷ λόγῳ καταφέρεται μὲν τῶν ῥητόρων, ὑπεραπολογεῖται τοῦ Διοπείθους, συμβουλεύει κινῆσαι τὸν κατὰ Φιλίππου πόλεμον. Κεφάλαια δὲ τὸ συμφέρον καὶ τὸ δυνατὸν συγγράφει. S

Τὸ προοίμιον ἀπὸ συστάσεως τοῦ οἰκείου προσώπου. Ἐπεὶ γὰρ τοῦ μὲν κατηγορεῖ, τοῦ ἑτέρου δὲ ὑπεραπολογεῖται, τὴν ὑποψίαν ἀποκρούεται τῆς τε ἔχθρας καὶ τῆς εὐνοίας διὰ τῆς πρὸς ἑτέρους εἰσηγήσεως. — Τινὲς ἐνόμισαν τὸν λόγον δικανικοῦ εἴδους, λέγοντες ὅτι ἀπολογίαν ἔχει Διοπείθους καὶ κατηγορίαν Φιλίππου. Ὁ δὲ Ἐπιφάνιος ὁ τεχνικὸς συμβουλευτικοῦ λέγει αὐτὸν εἴδους εἶναι, ἐπειδὴ, φησὶ, τῆς κατηγορίας πλείονα τὴν συμβουλὴν ἔχει. Τὸ δὲ ἀληθέστερον οὕτως· εἰ ἦν παρεστηκὼς ὅ τε κατηγορούμενος καὶ ὁ διώκων καλῶς ἂν ὡς ἐν δικαστηρίῳ καὶ κρίσει αὐτῶν ὄντων ἐλέγομεν εἶναι τὸν λόγον εἴδους δικανικοῦ· ἀλλ' ἐπειδὴ οὔτε δικαστήριον ἦν οὔτε Διοπείθης παρῆν οὐδὲ Φίλιππος, ἀλλ' ὁ ῥήτωρ προσκοπῶν οὔτε τὴν ἀπολογίαν Διοπείθους οὔτε τὴν κατηγορίαν Φιλίππου, ἀλλὰ τῆς πόλεως τὸ συμφέρον συνεβούλευσε, καλῶς ἂν τὸν λόγον εἴποιμεν εἴδους εἶναι συμβουλευτικοῦ. Ἔστι δὲ τὸ προοίμιον ἐξ ἐπιτιμήσεως τῶν κατὰ Διοπείθους λεγόντων. Εὔνοιαν δὲ τὸ προοίμιον ἀπεργάζεται. Δύο δὲ ὄντων εὐνοίας τόπων, ἢ ἑαυτὸν συστῆσαι ἢ τὸν ἀντίδικον διαβαλεῖν, ἀπὸ κοινότητος αὐτὸ ἔλαβε· διὰ δὲ τοῦ λέγειν « ἄλλως τε καὶ περὶ τῶν κοινῶν » προσοχὴν τίκτει τοῖς ἀκούουσιν. BFYP. Οὗτος ὁ Διοπείθης πατὴρ ἦν Μενάνδρου τοῦ κωμικοῦ. Ὁ δὲ Μένανδρος φίλος ἦν Δημοσθένους, δι' ὃν ὑπὲρ Διοπείθους βουλεύεται. BFRP.

Argum. 88, 5. Κληρούχους] γεωργοὺς παροίκους. Κληροῦχοι γὰρ καλοῦνται καὶ οἱ ἀποστελλόμενοι πάροικοι καὶ ὁ κληρουχῶν καὶ μερίζων αὐτοῖς τὴν γῆν. R.

90, 2. Μήτε πρὸς ἔχθραν] διὰ τὸν Διοπείθην λέγει. Τὸ πρὸς χάριν διὰ Φίλιππον. AR.

90, 6. Ἐπειδὴ δ' ἔνιοι] Ἔνιοι συμπέρασμα· ὁ δὲ Ἑρμογένης ἀνταπόδοσιν λέγει αὐτό. BFYP. Ἡ εἰσβολή· ὅτι καὶ μάλιστα πρὸς τὸ συμφέρον χρὴ δημηγορεῖν. A. Ἡ κατασκευὴ ὅτι καὶ μάλιστα πρὸς τὸ συμφέρον δεῖ δημηγορεῖν. R.

90, 10. Ἡ μὲν οὖν σπουδὴ] Τοῦτο τὸ δεύτερον προοίμιον ἐκ τοῦ πράγματος. BY. Δεύτερον προοίμιον ἐκ διαβολῆς τῶν φιλιππιζόντων· ἔστι δὲ ἐκ τῶν πραγμάτων. FRP.

90, 14. Ἐγὼ δ' ὅσα] Κατασκευή. B. Προκατασκευή. P.

90, 18. Περὶ τούτων] Συμπέρασμα. P.

90, 23. Τὴν ταχίστην] ἀντὶ τοῦ ταχέως. P.

91, 3. Πολλὰ δὲ] Εἰσβάλλει εἰς τὸ κεφάλαιον τὸ συμφέρον. AR.

91, 11. Ἕτοιμα] ἐμπαράσκευα. P.

91, 15. Τοὺς κληρούχους] γεωργοὺς παροίκους· κληροῦχοι γὰρ καλοῦνται καὶ οἱ ἀποστελλόμενοι πάροικοι, καὶ ὁ κληρουχῶν καὶ μερίζων αὐτοῖς τὴν γῆν. FP. Οὐκ εἶπε τοὺς στρατιώτας τοὺς μετὰ Διοπείθους, ἀλλὰ τοὺς κληρούχους, οἵτινες εἰρηνικοί εἰσι. FYP.

91, 26. Ἀπέχηται] ἤγουν πολέμῳ οὐχ ἅπτηται. P.

92, 8. Ἀλλὰ νὴ Δία] Ἄλλο μέρος τοῦ δικαίου, ὅτι οἱ ξένοι μετὰ Διοπείθους περικόπτοντες τὰ πλοῖα καὶ βλάπτοντες ἀδικοῦσιν. AR.

93, 1). Ἐτησίας] Ἐτήσιος ὁ κατ' ἔτος· καὶ ἐτησίαι οἱ ἄνεμοι οἱ κατ' ἔτος πνέοντες, οὕστινας ἐτησίας Δημοσθένης φησίν. P.

Φθάσῃ] προλάβῃ. P.

94, 4. Ἀλλ' ἐνθένδε βοηθήσομεν] Ἀντιστοχαστικὸν καὶ περὶ μέλλοντος καὶ ἀδήλου πράγματος. P.

Ἂν δ' ὑπὸ τῶν πνευμάτων] Ἀντίθεσις στοχαστική. FP.

94, 6. Τούτου] περὶ μέλλοντος καὶ ἀδήλου πράγματος. FP.

94, 7. Ὥραν τοῦ ἔτους] τοῦ θέρους. P.

94, 12. Χαλκίδα] Χαλκὶς πόλις Εὐβοίας. P.

94, 13. Ὠρεὸν] Πόλις καὶ αὕτη τῆς Εὐβοίας. P.

94, 19. Βασκαίνειν] οὐ φθονεῖν, ἀλλὰ μέμφεσθαι καὶ συκοφαντεῖν. Δύο γὰρ σημαίνει τὸ βασκαίνειν παρὰ τοῖς παλαιοῖς. FYP.

94, 22. Εἰ γάρ τις] Ἀποστροφὴ πρὸς Φίλιππον. P.

94, 25. Εὐσθενεῖν] εὐτυχεῖν καὶ φιλεῖσθαι παρ' ὑμῶν. FYP.

94, 28. Διασπασθῆναι] ἤγουν συντριβῆναι, κατακλασθῆναι. P.

95, 4. Ἐξετάσαι] κρίνειν πῶς ἔχει τὰ πράγματα. Y.

95, 6 Οὔτε χρήματα] Σημείωσαι, κατὰ κῶλον ἐπαναφορὰ τὸ οὔτε. BP.

95, 12. Τὰ ἡμέτερα αὐτῶν πράττειν] ἀντὶ τοῦ ἡσυχάζειν καὶ μὴ πολυπραγμονεῖν περὶ ἀρχῆς καὶ ἡγεμονίας τῶν Ἑλλήνων. FYP.

95, 13. Λέγοντας] οἷον τοὺς λέγοντας ὅτι ἔθος ἐστὶ τῇ πόλει καὶ τοῖς προγόνοις ἡμῶν τὸ σώζειν τοὺς κινδυνεύοντας, καὶ προΐστασθαι τῆς Ἑλλάδος, καὶ ἐναντιοῦσθαι τυράννοις· ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις ἐκείνοις τοῖς λέγουσιν ὡς ὅτι δεῖ προκινδυνεύειν τῶν Ἑλλήνων συναγωνιζόμεθα. FYP.

95, 18. Εἰ γὰρ μήτε εἰσοίσετε] Κατὰ κῶλον καὶ κόμμα ἐπαναφορά. BFYP.

95, 27. Ἐνίους μαθεῖν δεῖ] καὶ περὶ τούτων προκατηγορούντων ἀκροᾶσθαι τί ἂν τις λέγοι, ἔνιοι φανερῶς, ἢ οἱ μέν, ἢ τινές. P.

95, 29. Πάντες ὅσοι πώποτε] Σημείωσαι ὑπερβατὸν κατὰ παρένθεσιν, ὅ ἐστιν ἐπεμβολή. BFXP.

96, 1. Ἢ ἐγὼ πάσχειν] Τὸ ἢ ἀντὶ τοῦ ἐπεὶ· ἐπεὶ εἰ μὴ οὕτως ἔχει τὸ πρᾶγμα ὡς λέγω, προτιμῶμαι. FYP.

96, 4. Ἡ ἐπαναστροφὴ σχῆμα τοῦ κάλλους ποιητικόν, ἀλλὰ τοῦ κομματικοῦ. R.

96, 6. Καὶ διδόασιν] Ὑπερβατὸν κατὰ ἔννοιαν, μέσον ἔχον τὴν αἰτίαν. BFYP.

96, 9. Παραπέμπεσθαι] οἱονεὶ προπέμπεσθαι καὶ σώζεσθαι. FYP.

96, 10. Τὰ τοιαῦτα] ἀντὶ τοῦ διὰ ταῦτα. Y.

96, 13. Πόθεν γὰρ οἴεσθε] Ὑπερβατὸν καθ' ὑπέρθεσιν· BFYP.

96, 16. Ἐκ τοῦ οὐρανοῦ] Σχετλιάζοντος τὸ ῥῆμα. FYP.

96, 18. Διάγει] οὐ τρυφᾷ, ἀλλὰ μόλις διατρέφεται. FYP.

96, 22. Τοῦτ' εἰσὶν οἱ λόγοι] ἀντὶ τοῦ εἰς τοῦτο συντείνουσιν οἱ λόγοι. EYP.

Μέλλει πολιορκεῖν] Καθ' ὁμοιότητα λέξεως, δεύτερον εἶδος τῆς κατὰ λέξιν δριμύτητος, μέλλει καὶ μέλει. BFYP.

96, 28. Πινάκιον] εἰς ὃ γράφονται τὰ ἐγκλήματα κατὰ τῶν εἰσαγγελλομένων. B.

97, 3. Ὑπερβολὴ μανίας] Καὶ γὰρ τῆς μεγίστης ἀνοίας ἔργον τὸ κατὰ τῶν ἰδίων πολιτῶν στρατιώτας τρέφειν. FYP.

97, 7. Εἰσαγγελία] Ἐμφανισμὸς, μήνυσις. BFYP.

97, 15. Θορυβεῖτε] ἀντὶ τοῦ συντίθεσθε αὐτῷ ὡς ἀληθεύοντι. BFYP.

97, 22. Αἴτιον δὲ] Ὑπερβατὸν κατὰ παρένθεσιν. BFYP.

97, 23. Παρεσκευάκασιν] Προσώπου ὑποβολὴ τὸ σχῆμα. FYP.

98, 16. Παρείχατε] Οἱ Βοιωτοὶ τὸ η εἰς τὸ ει τρέπουσι. Y.

98, 25. Ἀποληφθέντος] ἤγουν ἀπογενομένου καὶ ἀποκρατηθέντος. P.

98, 27. Ἀλλ' ἐκεῖνος] Τὸ σχῆμα ἀντίθετον. Οἷον ὑμεῖς οἴκοι, ἐκεῖνος ἀποδημῶν. FYP.

99, 1. Κατέστησε] ἐν τῇ Ἐρετρίᾳ Κλείταρχον· ἐν τῷ Ὠρεῷ Φιλιστίδην. FYP.

99, 2. Ἐπὶ Σκιάθῳ] Σκίαθος νῆσος πλησίον Εὐβοίας, ὑπήκοος Ἀθηναίων. FYP.

99, 12. Ποιεῖτε] τὸ ῥαθυμεῖν καὶ ἀργεῖν. Y.

99, 19. Ἐδάφει] τῇ γῇ. P.

100, 3. Τὰ νῦν βεβιασμένα] τὰ ἔθνη τὰ νῦν ὑπ' αὐτοῦ κατεχόμενα. EYP.

100, 5. Ἀρχὴν] τὴν τυραννικήν, οὐ τὴν ἔννομον δηλονότι. FBP.

100, 11. Οὐ κακῶς] Σημείωσαι· ἐπίκρισις. BP.

100, 18. Καὶ ὅπου τις] Πάλιν εἰς Διοπείθην αἰνίττεται, ὅτι ἐν τῇ Θρᾴκῃ αὐτὸν ἀμυνεῖται. FYP.

100, 22. Δρογγίλον καὶ Καβύλην] χωρία Θρᾳκικὰ εὐτελῆ περὶ τὸν Στρυμόνα καὶ τὴν Ἀμφίπολιν. FYP.

100, 23. Ἐξαιρεῖ] ἀντὶ τοῦ ἐκβάλλει, ἀφανίζει. P.

100, 27. Τῶν ἀργυρίων] Τὸ Λαύριον φησί· τόπος γάρ ἐστιν ἐν Ἀθήναις, ἔνθα ἄργυρος τίκτεται. FYP.

100, 28. Μελινῶν] Τὴν κέγχρον φησίν· ἄλλοι δὲ ὅμοιον κέγχρῳ. FY.

100, 29. Σιροῖς] Τοὺς θησαυροὺς σιροὺς ἐκάλουν οἱ Θρᾶκες καὶ οἱ Λίβυες ἃ νῦν φοσσία ἰδιωτικῶς. FYP. Τὰ κατάγεια. Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ, σιροὶ κριθῶν. Οἶμαι δὲ λέγειν αὐτὸν φοσσία. B.

101, 12. Βοηθείαις] ταῖς μερικαῖς καὶ κατὰ καιροὺς γινομέναις στρατείαις. SY.

101, 20. Εἰ δέ τῳ δοκεῖ] Ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ. FYP.

102, 11. Ποῖ] ἀντὶ τοῦ ἕως ποῦ. P. Ὅμοιον τῷ « ποῖ μενεῖς ῥάθυμος » ἀντὶ τοῦ μέχρι τίνος. Y.

Ἀναδυόμεθα] ἀντὶ τοῦ χωριζόμεθα τοῦ πράττειν καὶ ἐκφεύγομεν τοὺς πόνους. Ἀπὸ μεταφορᾶς τῶν ὑποζυγίων τῶν καὶ φευγόντων ὑποδῦναι τὸν ζυγόν. Y.

102, 21. Οὔτε λέγειν ἄξιον] Συμφώνως τῷ Θουκυδίδῃ (1,122) ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῷ Πελοποννήσῳ. FYP.

102, 22. Καταπολιτεύονται] καθ' ὑμῶν. P.

102, 26. Τινὲς] ὁ Δημοσθένης· οὕτως γὰρ ἔλεγον τινές. Y.

102, 27. Ἀναβάλλουσι] ἀναβάλλεσθαι καὶ ὑπερτίθεσθαι ποιοῦσιν. VP.

103, 2. Ἐπὶ πολλῷ] κακῷ δηλονότι. Less.

103, 3. Τούτων] τῶν ἡμῖν συμβεβηκότων κακῶν Less.

103, 10. Κωλύειν] Τὸ ὑπερβατὸν, ἵνα ᾖ, καὶ κωλύειν τὸ διαρπασθῆναι τὰ χρήματα, διὰ τὸ τοῦ φύλακάς τινας τάξαι δι' ὧν σωθήσεται. FYP.

103, 12. Αὐτὸ τοῦτο] ἀντὶ τοῦ καὶ κατὰ τοῦτο. YP. Εἰ τὰ μὲν χρήματα] Ἀντίθετον τὸ σχῆμα, ἐκεῖ χρήματα, ἐνταῦθα τὴν Ἑλλάδα. Κἀκεῖ ἀδήλως εἰ διαρπασθήσεται· ἐνταῦθα δὲ φανερῶς· κἀκεῖ μόριον, ἐνταῦθα πᾶσαν. FYP.

103, 29. Ἡ διαδικασία] τὸ φιλονεικεῖν καὶ διαμφισβητεῖν λόγοις· διαδικασία οὖν ἡ φιλονεικία. Κυρίως δὲ διαδικασία ἐστὶν ἡ ἐπὶ χρημάτων ἀμφισβήτησις· ἐνταῦθα δὲ κατεχρήσατο. FYP.

104, 24. Ἀποτυμπανίσαι] ἀνηλεῶς τινα φονεῦσαι. B.

105, 6. Ποτίδαιαν] τὴν Κασάνδρειαν. YP.

105, 7. Τὴν Βοιωτίαν] διὰ τοῦ περιποιῆσαι αὐτοῖς Ὀρχομενὸν καὶ Κορώνειαν· οὐκ ἔχοντες γὰρ καὶ ταῦτα ὑπακούοντα μετὰ τῶν Βοιωτῶν ἐδόκουν μὴ πάσης ἄρχειν Βοιωτίας. FYP.

105, 18. Προσφέρεται] προστίθεται. P.

105, 22. Οὐχ ἦν ἀσφαλὲς] Σχῆμα τὸ περὶ ἐπιμελείας καὶ κάλλους, τὸ λεγόμενον ἡ κατὰ κῶλον ἐπαναφορά. BY.

105, 27. Τοὺς τυράννους] τοὺς Ἀλευάδας. BY.

106, 22. Μαλακὸς] δειλός. P.

107, 1. Ὅστις δ' ὑπὲρ] Ὃ λέγει τοιοῦτόν ἐστιν. Ὁ τὰ ῥᾷστα βουλόμενος λέγειν ὑπὸ τοῦ λογισμοῦ κινεῖται, ἵνα τι κερδάνῃ. Ὁ δὲ τὰ βέλτιστα καὶ μὴ τὰ ταῖς τῶν πολλῶν ἀκοαῖς ἥδιστα, ἐκεῖνος τῇ τύχῃ ἑαυτὸν ἐκδίδωσι, κἂν εἴ τι ἄρα ἐπ' αὐτῷ συμβῇ. Ποιεῖ οὖν κρείττονα τὴν τύχην ἤπερ τὸν λογισμόν. Ἀντὶ τοῦ πλείω ἑαυτὸν ἐκδίδωσι τῇ τύχῃ ἤπερ τῷ λογισμῷ. Less.

107, 15. Οὐδὲν ἂν τούτων εἴποιμι] Τὸ σχῆμα κατὰ παράλειψιν. Y.

107, 16. Τῶν τοιούτων] οἷα οὗτοι οἱ ῥήτορες. Less.

107, 20. Προήχθην] διεγέρθην. Less.

107, 28. Τὸ βέλτιστον ἀεὶ] οὕτως τὸ ὀρθόν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐτὴ βαδιεῖται. Y.

108, 1. Ἐπὶ τοῦτο] τὸ βέλτιστον. P.

108, 2. Προάγεσθαι] ἀντὶ τοῦ προάγειν· παθητικὸν ἀντὶ ἐνεργητικοῦ. FYP.

108, 19. Τούτων] ἤγουν ἐκ τοῦ ἐκεῖνον εἰπεῖν καὶ ὑμᾶς πρᾶξαι. P.

108, 23. Τι τῶν τότε] τὸ ἐκβαλεῖν τοὺς Θηβαίους ἐκ τῆς νήσου. P.

108, 27. Ἐν κεφαλαίῳ] Ἀνακεφαλαίωσις. BP. Ἐν συντόμῳ λόγῳ. Less.

109, 4. Παρὰ πάντα] πάντα ὅσα ἂν δύνωνται τῇ πόλει. S.

IX. ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ.

110, 1. Πολλῶν, ὦ ἄνδρες] Τοπικὴν καταδρομὴν ἔχει Φιλίππου τὸ προοίμιον· σχῆμα τοῦ ἐκ πλαγιασμοῦ τέμνοντος τὸν λόγον. FYP. Πρότασις. Ἄλλως. Τὸ προοίμιον ἐκ τοῦ κατηγορουμένου. Καταδρομὴν γὰρ ἔχει Φιλίππου, καὶ ἔχει καὶ ἐπιτίμησιν. Ἔστι δὲ καὶ τόπος εὐνοίας. BY.

110, 2. Ὀλίγου δεῖν] παρὰ μικρὸν καὶ σχεδὸν εἰπεῖν· οὐδὲ γὰρ ἀεὶ περὶ Φιλίππου ἐκκλησιάζουσιν, ἀλλὰ καὶ περὶ ἄλλων πραγμάτων. Διὸ ἐκόλασεν αὐτό. B.

110, 5. Καὶ πάντων] Κατασκευή. BFYP. Φησάντων] ἀντὶ τοῦ ψηφισαμένων. BFYP.

110, 7. Τῆς ὕβρεως] Οὐκ εἶπεν ἀδικίας ἢ πλεονεξίας, ἀλλ' ὕβρεως· ὃ παρ' Ἀθηναίοις οὐδὲ τοῖς δούλοις ἀνεκτόν. BFYP.

110, 9. Προειμένα] δηλονότι κακίᾳ προδεδομένα. RS.

110, 10. Εἰ καὶ λέγειν] Πρότασις. B. Δεύτερον προοίμιον ἐκ τοῦ ἐναντίου· τὸ δὲ σχῆμα ὡς ἐν ὑποθέσει. BFYP.

110, 14. Πολλὰ οὖν ἴσως] Αἰτία τῆς προτάσεως. FYP. Κατασκευή. BFYP.

110, 18. Ὧν τινὲς] τῶν προδοτῶν οἱ ἀναισχυντότεροι. FYP.

110, 22. Ἕτεροι δὲ] Τοὺς κατηγόρους Διοπείθους αἰνίττεται. FYP.

111, 2. Αἱ δὲ τοιαῦται] Συμπέρασμα τοῦ προοιμίου. BFYP.

111, 4. Ἀξιῶ δ' ὑμᾶς] Εἰσβολὴ ἐντεῦθεν ἐπὶ τὸ συμφέρον· τὸ δὲ σχῆμα προδιόρθωσις. FYP Τρίτον προοίμιον, μᾶλλον δὲ εἰσβολὴ τῶν ἀγώνων, καὶ προθεραπεία. BY. Ἀξιῶ] ἀντὶ τοῦ ἄξιον νομίζω. Y.

111, 14. Ἐξεληλάκατε] τὴν παρρησίαν.

111, 18. Εἰ μὲν οὖν καὶ νῦν] Ἐντεῦθεν τὸ συμπέρασμα. Ἄλλοι δὲ εἰσβολὴν τῶν ἀγώνων ἀπὸ τοῦ εἰ μὲν οὖν. BFYP.

112, 5. Εἰ μὲν οὖν ἅπαντες] Εἰσβολὴ τῶν ἀγώνων. Ἀρχὴ δὲ τοῦ συμφέροντος. BFYP.

112, 9. Ἀτόπως] πονηρῶς καὶ κακῶς τὴν γνώμην. BFYP.

112, 10. Ἔνιοι] τῶν ἀκροατῶν. P.

112, 29. Εἰ δέ τις ταύτην] Ἀντιπῖπτον λύει. Ἀπαρίθμησις τὸ σχῆμα. FYP.

114, 25. Προρρήσεως] ἐκ προαγορεύσεως φανερᾶς. FYP.

115, 4. Σκευωρούμενον] κατὰ μικρὸν ὑφαντοποιούμενον. S.

115, 7. Εἰ μὴ] Τὸ κατὰ συστροφὴν σχῆμα. FYP. Ἐκ παρονομασίας· δριμεῖα λέξις. BFYP.

115, 9. Ὁ γὰρ οἷς] Περίοδος κατ' εὐθεῖαν. BFYP.

115, 12. Τίσιν οὖν ὑμεῖς] ἀντὶ τοῦ διὰ τίνων· εἰ μὴ διὰ τούτων φησὶ τῶν ἀναγκαίων ἡγεῖσθαι κινδυνεύειν. Y.

115, 16. Εἶτα τὸν] δριμεῖα λέξις. BFY.

115, 19. Ἀλλ' ἀφ' ἧς ἡμέρας] Ἀνέμνησεν αὐτοὺς λυπηροῦ διηγήματος. FYP.

116, 6. Τετυφῶσθαι] μεμηνέναι· ἀπὸ Τυφωέως τοῦ ἀντάραντος πόλεμον πρὸς τοὺς θεούς· μανίας γὰρ τοῦτο σημεῖον· ὅθεν καὶ τετυφωμένον ἄνθρωπον καλοῦμεν τὸν ἀλαζόνα καὶ μεῖζον ἢ προσῆκε φρονοῦντα. Τινὲς δὲ τὸ τετυφῶσθαι ἀπὸ τοῦ τύφειν, ὅ ἐστι σκοτοῦσθαι τοὺς ὀφθαλμοὺς ἀπὸ καπνοῦ· σκοτοῦται δὲ καὶ ὁ ἀνούστατος τὴν διάνοιαν. FYP. Ἐξηχεῖσθαι καὶ μαίνεσθαι. S.

116, 29. Μᾶλλον δὲ] Καλῶς προσέθηκε τὴν ἐπιδιόρθωσιν· οὐδὲ γὰρ οἱ νῦν Ἀθηναῖοι ἐποίησαν ἃ ἐπιφέρει. FYP.

117, 16. Ἐπιπολάζει] ἀντὶ τοῦ πλεονάζει τοῖς ἀδικήμασιν. Ἀπὸ μεταφορᾶς τοῦ πλεονάζοντος ὕδατος ὅταν ὑπεραίρηται καὶ ὑπερεχχῆται πλέον τοῦ μέτρου. YP.

117, 18. Τούτων] ὧν ὁ Φίλιππος ποιεῖ. P.

117, 21. Ἐῶ] Παράλειψις μηδὲν ἧττον λέγουσα. Less.

117, 25. Τὰς πόλεις] ὧν ἦρχέ ποτε Ἀχιλλεὺς καὶ Φιλοκτήτης, Πρωτεσίλαος, Ποδαλείριος. FYP.

118, 3. Καὶ οὐ γράφει μὲν ταῦτα] Ὅρα τὴν τῶν σχημάτων ποικιλίαν. BP.

118, 5. Τὸ σχῆμα ἐπιτροχασμός. RS.

118, 11. Διορωρύγμεθα] κατεσκάμμεθα, λεληστεύμεθα. S.

118, 23. Ἀλλ' οὖν] ἤγουν ὅμως. P.

119, 3. Ἡράκλεις] Ἐπίφθεγμα θαυμαστικόν· τὸ δὲ Ἡρακλες κλητικῆς πτώσεως. R.

119, 10. Καίτοι τί τῆς] πνεῦμα. B.

119, 21. Εἰς Πορθμὸν] Πορθμὸς ἐπίνειον τῆς Ἐρετρίας· ὁμωνύμως δὲ ἐκλήθη τῷ πελάγει τῷ μεταξὺ αὐτοῦ καὶ Ἀθηνῶν. FYP.

120, 1. Ναύπακτον] Ναύπακτος ἐκλήθη ἀπὸ τοῦ τοὺς Ἡρακλείδας μέλλοντας κατελθεῖν ἐπὶ τὴν Πελοπόννησον ἐκεῖ πήξασθαι καὶ κατασκευάσαι τὰς ναῦς. Ἐχῖνος δὲ πόλις, Θηβαίων μὲν ἄποικος, πλησίον δὲ Θετταλίας, ἀπὸ Ἐχίνου ἑνὸς τῶν Σπαρτῶν. FYP.

120, 18. Λελύμανται] Τοῦτο καὶ τὰ Ῥωμαίων ἐλυμήνατο πράγματα· καὶ εἰ μὴ παύσεται, οἴχοιτ' ἂν πάντη καὶ διαφθαρείη, μᾶλλον δ' ἤδη διέφθαρται. HRS.

121, 5. Ἐκπέπραται] ὥσπερ νῦν πρίαται ὁ Φίλιππος παρὰ τῶν λεγόντων καὶ τῶν στρατηγούντων. Lbss.

Ἐπίτασιν τὴν ἐκπρόθεσιν ἔχει, ἀντὶ τοῦ σφόδρα καὶ πάνυ πέπραται. HR.

121, 8. Ζῆλος] ἀντὶ τοῦ μακαρίζεται, φησίν, ὁ προδότης. Ἐπὶ γὰρ τοῦ φθόνου ζηλοτυπία λέγεται. HR.

Γέλως] ἀντὶ τοῦ γελᾶται ὡσπερεὶ μωρός, ἂν ὁμολογήσῃ ὅτι ἔλαβέ τι παρὰ τῶν πολεμίων. HR.

121, 9. Ἄν τις τούτοις ἐπιτιμᾷ] Μισεῖται παρ' ἡμῖν ὁ ἐπιτιμῶν τῷ προδότῃ ὡς κωλύων τὸν γέλωτα. HR.

121, 28. Ἄτιμος] Ἄτιμον ἐνταῦθα λέγει οὐ τὸν μὴ μετέχοντα τιμῆς, ἀλλὰ τὸν ἀτιμώρητον, ἵνα, ἐάν τις αὐτὸν φονεύσῃ, μηδεμία τιμωρία γένηται ὑπὲρ αὐτοῦ τελευτήσαντος κατὰ τοῦ φονεύσαντος αὐτόν. HRY. Lbss.

122, 6. Τί τὸ ἀξίωμα] ἀντὶ τοῦ διὰ τί ταῦτα ἠξίουν ποιεῖν. HR.

122, 15. Ὑπὲρ ὧν ἂν] ὑπὲρ τίνων πραγμάτων δικάζεσθαι παρέχονται φόνου δίκας ἐὰν φονεύσῃ. Ἔστι γάρ τινα πράγματα ἔνθα ὁ ποιήσας οὐ τιμωρεῖται. Lbss.

122, 16. Εὐαγὲς] εὐσεβές· ἄγος γὰρ ἐκ τοῦ ἐναντίου τὸ ἀκάθαρτον. Lbss.

Ἄτιμος] ἀτιμώρητος. YP.

122, 23. Δωροδοκοῦντας] Ἐπὶ τῶν δεχομένων δῶρα λέγεται ἡ λέξις, οὐκέτι μέντοι καὶ ἐπὶ τῶν παρεχόντων· ἔστι γὰρ δωροδόκος οἱονεὶ δωροδόχος τις ὤν. ΠΩΑΗ.

Στηλίτας] Στηλίτας ἐποίουν τοὺς δωροδοκοῦντας, ἀντὶ τοῦ ἐνέγραφον αὐτοὺς ἐν ταῖς στήλαις. AY. Lbss. Τοῦτο δέ ἐστιν· ἐποίουν δημοσίας αὐτῶν τὰς τιμωρίας διὰ τῶν γραμμάτων ὧν ἔγραφον ἐν ταῖς στήλαις. A.

123, 16. Τὴν ὡραίαν αὐτὴν] κατὰ τὸν καιρὸν τοῦ θέρους. B.

123, 20. Ἀρχαίως] οὐ παλαιῶς, ἀλλ' ἀφελῶς καὶ χωρὶς πανουργίας. YP.

Πολιτικῶς] δικαίως, μὴ χρήμασιν ὠνούμενοι τὰ πράγματα. FYP.

124, 8. Ἐκτραχηλισθῆναι] ἐκ τραχήλων ἐκπεσεῖν, τῶν ἐλπίδων ἐκπεσεῖν. BFY.

124, 28. Ἐκ πλείστου] πόρρωθεν. P.

Ὧν] τῶν προδοτῶν. YP.

125, 18. Ἀπαλλαγέντος] ἀπελαθέντος. P.

126, 24. Οὕτω δ' ἀθλίως διέκειντο] τῷ φόβῳ. Σημείωσαι δὲ ὑπόστασιν. P. Σημείωσαι, ὑπόστασις. B.

26, 26. Διασκευασάμενοι] τὴν σκευὴν ἀναλαβόντες. FYP.

126, 29. Οἱ μὲν] Μερισμὸς καὶ ὑπομερισμὸς τὸ σχῆμα. FYP.

127, 1. Ἄρχουσι καὶ τυραννοῦσι—Εὐφραῖον] ἀντὶ τοῦ τῶν τότε σωζόντων ἑαυτοὺς καὶ τὸν Εὐφραῖον. Y.

127, 14. Οἱ δ' οὐδὲν] οἱ μὴ πρὸς χάριν λέγοντες. FP.

127, 18. Οἱ δ' ἐξ] οἷς προσῆσαν ἀπέχθειαι. FP.

127, 28. Τεθνάναι γὰρ] Κατὰ κῶλον ἐπαναφορά. BFY.

128, 4. Καλὴν] Κατ' εἰρωνείαν. FYP.

129, 20. Ἐπίσχειν] βραδύνειν. FP.

X. ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Δ.

131, 1. Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει] Ἠγνοήκασιν οἱ πρὸ ἡμῶν ἐξηγησάμενοι καὶ διελόντες τὸν δέκατον λόγον ὅτι πρός τινα ἐξαίφνης ἀπαγγελίαν ἥκουσαν ἐκ τῆς Θράκης δυσχερῆ ποιεῖται ὁ Δημοσθένης τὸν λόγον· ὅθεν αὐτῷ καὶ πρὸς σπουδήν, διὰ τὴν χρείαν τὴν παροῦσαν, τότε ἐκπεφώνηται ὁ λόγος. Καὶ τοῦτο αἴτιον γέγονε τοῦ μὴ σκεψάμενον ἴδιον σκέμμα ἐπὶ τῇ ὑποθέσει ταύτῃ, τότε παρελθεῖν τῶν καιρῶν μὴ ἐνδιδόντων αὐτῷ. Δῆλος γάρ ἐστι Φίλιππος ἐπαμύνων Καρδιανοῖς, Διοπείθους αὐτοῖς ἐπιόντος. Δι' ὃ τῶν μεταξὺ τόπων μέμνηται ὡς ἀμφισβητουμένων ἐν τῷ ἑβδόμῳ. Εἴρηκε δὲ ἐν τῷ ὀγδόῳ. Ἀλλ' εἰ δεῖ τεκμαίρεσθαι ἐκ τῆς ἐπιστολῆς ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν Χερρονήσῳ. Καινότητος δὲ οὔσης πολλῆς ἐν τοῖς πράγμασι, τῷ πρὸς Φίλιππον γίγνεσθαι τὸν λόγον ἀδικοῦντα καὶ παραβεβηκότα τὴν εἰρήνην, ἐξ ἑτοίμου μὲν τὰ πολλὰ ἐκ τῶν ἤδη εἰρημένων λόγων λαμβάνει, ὅμως δὲ τοῖς παροῦσιν ὡς οἰκειότατα αὐτὰ ἐφαρμόζει. Πόθεν δέ ἐστι Φίλιππος καταφανὴς Καρδιανοῖς ἐπαμύνων, καὶ τἄλλα περὶ τὴν Θρᾴκην λυμαινόμενος ἅπαντα λυπεῖ τὸν δῆμον; ἐξ ὧν ὁ ῥήτωρ φησίν· εὐθὺς γὰρ ἐν τῇ ἀρχῇ τοῦτο ἐπισημαίνεται λέγων, « ἣν προσαγγελθῇ τι νεώτερον. » Καὶ « ἡ μὲν οὖν ἀσέλγεια καὶ ἡ « πλεονεξία τοσαύτη τὸ πλῆθος ἐστίν, ὅσην ἀκούετε. » Καὶ μεσοῦντος ἤδη πάλιν τοῦ λόγου προστίθησι, « πρὶν « ἄν, ὥσπερ νῦν, αὐτὰ παρῇ τὰ πράγματα. » Καὶ ταῦτα μέν ἐστιν ἅπαντα δηλωτικὰ τοῦ ἀπηγγέλθαι τι· τοῦ δὲ ὅτι βοηθεῖ Καρδιανοῖς, ἐβοήθει. Ταῦτα γὰρ ἅπαντα δηλωτικὰ σαφῶς τῆς ὑποθέσεως. Φασὶ δὲ οἱ αὐτοί, Ἀλέξανδρος καὶ Διόσκορος καὶ Ζήνων ὁ πολυθρύλητος, τὸ συμφέρον κεφάλαιον μόνον ἐξειργάσθαι κατὰ τὸν λόγον. Δοκοῦσι δὲ σφόδρα ἠγνοηκέναι τῶν κεφαλαίων τὴν φύσιν. Ἔχει γὰρ καὶ τὸ δυνατὸν ὁ λόγος, καὶ τοῦτο διπλοῦν· ἔχει δὲ καὶ τὸ νόμιμον καὶ τὸ δίκαιον, ὡς αὐτή γε ἡ διαίρεσις καὶ τάξις ῥηθεῖσα δείξει. Σκοπὸς δὲ Δημοσθένει συγκροτῆσαι καὶ αὐξῆσαι τὴν Διοπείθους δύναμιν, τοῦ καιροῦ πλείστην παρρησίαν ἐνδιδόντος, μετὰ μέντοι γε τοῦ φυλάττεσθαι τὸ προσκορές, ἵνα μὴ δοκῇ χάριτι λέγειν. Σκοπὸς δὲ καὶ παροξῦναι τὸν δῆμον· δέδοικε γὰρ μὴ τρέψωνται ἐπὶ διαλλαγὰς καὶ πρεσβείας περὶ τούτου· τυχεῖν δὲ προῄρηται τοῦ γράψαι αὐτοὺς περὶ τοῦ πολέμου ψή-

φισμα· σκοπὸς δὲ καὶ πεῖσαι τοὺς ἀκούοντας πρεσβεύσασθαι πρὸς τὸν Μῆδον περὶ χρημάτων καὶ προσλαβέσθαι τὴν βασιλέως εὔνοιαν. Καὶ πρὸς μὲν οὖν τὰ κατὰ τὸν Διοπείθην, ὥστε συμμάχεσθαι τοῦ στρατηγοῦ τὴν δύναμιν, καὶ πρὸς τὸ μὴ δεῖν αὐτὸν Δημοσθένην ἀναγκασθῆναι γράψαι περὶ πολέμου ψήφισμα, ἀντέθηκεν ἀγωνιστικώτατα τὴν παράβασιν τῆς εἰρήνης καὶ τοὺς ὅρκους συγκεχυμένους. Ὧν ἀποδειχθέντων καιρὸν εἴληφε πεῖσαί τε καὶ καταναγκάσαι τοὺς ἀκούοντας συνέχειν καὶ αὔξειν τὴν Διοπείθους δύναμιν καὶ τὸ καθ' ἑαυτὸν περιττὸν ἀπέφηνεν ὄν. Εἰ γὰρ φανερὸς ὁ Φίλιππος παραβεβηκὼς τὴν εἰρήνην, πῶς δίκαιός ἐστιν αὐτὸς ἀναγκασθῆναι γράψαι περὶ πολέμου ψήφισμα; πλὴν εἰ μὴ βούλοιντο πρόφασιν ζητεῖν συκοφαντίας πρὸς αὐτὸν οἱ ταῦτα λέγοντες. Καὶ τὰ μὲν δύο τοῦτον διῳκήσατο τὸν τρόπον· περὶ δὲ τῆς πρεσβείας (χρήματα γὰρ αὐτοῖς τέως παρ' ἐκείνου συμπορίσασθαι βούλεται) τὴν ἔνδειαν συνίστησι τὴν ὑπάρχουσαν τῇ πόλει. Χρῆναι γὰρ τὰ νῦν ὄντα χρήματα διαδίδοσθαι τῷ δήμῳ καὶ καταναλίσκεσθαι, ὡς ἔθος, εἰς τὰς θεωρίας, καὶ μὴ ἀφαιρεῖσθαι τὰ ἐκ τοῦ δημοσίου διδόμενα· μηδὲ μὴν παρὰ τῶν πλουσίων γίγνεσθαι τοὺς πόρους συκοφαντουμένων τε καὶ δημευομένων ἀδίκως. Ὧν ῥηθέντων τοῖς ἀκούουσι πρὸς ἡδονὴν (οὐδενὸς γὰρ οὕτω μετεποιοῦντο ὡς τοῦ νέμεσθαι τὰ κοινὰ) καιρὸν εἴληφε συμβουλεῦσαι αὐτοῖς αἰτεῖν παρὰ βασιλέως χρήματα, ὡς ἀλλαχόθεν μὴ ὑπαρχούσης εὐπορίας τῇ πόλει. Ἡ μὲν οὖν σύμπασα διοίκησις καὶ ἔννοια καὶ σκοπὸς οὗτός ἐστι τῷ ῥήτορι. Ὅντινα τῶν πρὸ ἡμῶν οὐδενὸς εἰδότος, ὅσον ἐμέ γε εἰδέναι, ᾠήθησαν ἐμπεπτωκέναι τὸ περὶ τῶν θεωρικῶν ζήτημα τῆς παρούσης ὑποθέσεως ἀλλότριον. Τὸ δὲ οὐχ οὕτως ἔχον πέφηνεν οὐδὲ φανήσεταί ποτε. Καλὸν δὲ ἀναλαβόντας εἰπεῖν τὴν τάξιν καὶ τὴν διαίρεσιν ᾗ κέχρηται ὁ ῥήτωρ, ἵνα τὴν διοίκησιν αὐτοῦ καὶ τὴν οἰκονομίαν θαυμάσωμεν. Ἄξιον δὲ καὶ πρὸ τῆς διαιρέσεως καὶ τὴν ἐξαγγελίαν θαυμάσαι ᾗ κέχρηται. Καὶ γάρ ἐστι πῇ μὲν λαμπρὰ, πῇ δὲ παθητικὴ, πῇ δὲ ἠθικῶς προῆκται. Καὶ τὸ μὲν πραγματικὸν ἐπιδέδεικται πολλαχοῦ· συνάπτει δὲ τὰς ἰδέας ταύτας πολλάκις ἀλλήλαις, ἅτε τῆς χρείας καταναγκαζούσης αὐτὸν καὶ προσαγούσης ἐπὶ πολλὰ τὴν ῥῆσιν. Ἔχει δὲ οὕτως αὐτῷ τὰ τῆς ῥήσεως καὶ τάξεως. Τὸ παράνομον εὐθὺς ἐν τῷ προοιμίῳ κατὰ πρόληψιν ἐμφανίζει λέγων· « οὐκ ὀλίγων δὲ ὄντων ἁμαρτημάτων, οὐδὲ ἐκ « μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει. » Ἐλέγομεν γὰρ δεῖν ἐκ τῶν κεφαλαίων τὰ προοίμια λαμβάνειν. Καὶ μέγεθος δὲ περιτίθησι τῇ ὑποθέσει ἀναγκαίως, ἵνα μᾶλλον συμπείσῃ καὶ καταναγκάσῃ τὸν ἀκροατὴν προσδέξασθαι τὴν παραίνεσιν. Οὐ γὰρ ἂν ἄλλως πεισθείη κατακοῦσαι τῆς γνώμης, μὴ διατεθεὶς ὅτι μεγάλη ἐστὶν ἡ ὑπόθεσις καὶ σπουδῆς ἀξία περὶ ἧς ὁ λόγος. Τὸ δὲ σπουδαῖα ῥηθὲν τό τε δεῖν θᾶττον ἐπαμύνειν καὶ σπουδῆς μεγάλης ἀξιοῦν, ἅτε τῆς οἰκείας χώρας αὐτῶν πολεμουμένης, σημαίνει. Καὶ τὸ ἀναγκαῖα δὲ, ὅτι οὐ ῥᾳθυμητέον, ὡς ἔθος. Οὐ γὰρ περὶ ἀλλοτρίων, ἀλλὰ περὶ οἰκείων ἡμῖν ὁ φόβος καὶ ὅθεν οὐκ ὀλίγαι οὐδὲ μικραὶ πρόσοδοι τῇ πόλει. Καὶ δοκοῦσα ἡ ἐπιβολὴ κοινῶς ἔχειν ἰδιωτάτη πέφηνε. Καὶ ταῦτα μὲν περὶ τοῦ προτέρου. Διὰ δὲ τῆς ἐπιβολῆς τοῦ δευτέρου τὸ αὐτὸ νόμιμον παραβεβασμένον ὁμοίως καὶ φανερώτερον ἐνδείκνυται λέγων· « ἡ μὲν οὖν ἀσέλγεια καὶ « πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται, » καθέστηκε φανερὰ καὶ πρόδηλος, ὡς καὶ ὑμεῖς ἀκούετε· καὶ ὅτι οὐ δεῖ θαρρεῖν καὶ ἐπαναπαύεσθαι τοῖς τῶν ῥητόρων λόγοις, ὡς δυναμένοις παῦσαι. TCV.

Καὶ σπουδαῖα] Τοῦ ὄντος τμητικοῦ λόγου καὶ δοκοῦντος εἶναι τοῦτο τὸ σχῆμα. FXP.

131, 3. Περὶ αὐτῶν] τῶν προσαγγελθέντων. Less.

131, 11. Ἡ μὲν οὖν ἀσέλγεια] Δεύτερον προοίμιον. FYP.

131, 15. Καὶ γὰρ εἰ μηδ'] Κατασκευή. P.

Καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνὸς] Ἄχρι μὲν οὖν τούτου προελήλυθεν ἡ ἔννοια τοῦ δευτέρου προοιμίου. Δοκεῖ δέ μοι βαθύτατα καὶ δεινότατα προαναιρεῖν ὑπόνοιαν ἤδη τοῦ μὴ αὐτοὺς ὑπονοῆσαι ὅτι οἷόν τέ ἐστι διὰ πρεσβείας καταπαῦσαι τὰ τοιαῦτα διαπραττόμενον. Ὅθεν καὶ ἐδεήθη τῆς τοιαύτης ἐννοίας, ὅτι οὐ λόγων ἀλλὰ ἔργων δεῖ. Καὶ πεποίηκεν ἡμῖν τὴν ὑπόνοιαν ταύτην ἔτι φανερωτέραν δι' ὧν μετὰ τὰ προοίμια εἴργασται· ἅπερ ὁμοίως οὐδένες τῶν πρὸ ἡμῶν κατιδεῖν ἠδυνήθησαν. Πῶς οὖν ἄρχεται εὐθὺς μετὰ τὸ προοίμιον τὸ δεύτερον, καὶ τίνας ποιεῖται λόγους εἰς τοῦτο συντείνοντας, εἰς τὸ μὴ δεῖν πρεσβείᾳ χρήσασθαι, μηδὲ θαρρεῖν ὅτι ῥήτορος λόγος δύναται πεῖσαι Φίλιππον περὶ τῆς παύσεως τῶν ἀδικημάτων, ἄξιον κατιδεῖν. TCV.

131, 17. Ἡμεῖς οὐδαμῶς πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν, ἡττήθημεν, οὐδὲ ἀδικεῖν ἐδόξαμεν] Ἐπειδὴ γὰρ ἡ ἀγγελία γέγονεν ὅτι Φίλιππος ἀδικεῖ καὶ ἐπαμύνει Καρδιανοῖς, εἰκότως ὑπενόησεν ὅτι ἐνδέχεται αὐτοὺς ὄντας φύσει ῥᾳθύμους ἐπί τινα πρεσβείαν τρέψασθαι. Ταύτην τοίνυν τὴν ὑπόνοιαν ἀναιρεῖ τῷ ἀδυνάτῳ κεφαλαίῳ, συνιστὰς ἀδύνατον ἐκ λόγων ἐπισχεῖν τὴν πλεονεξίαν Φιλίππου. Καὶ τούτου τὰ δύο μέρη ἐξείργασται κατὰ ἀντεξέτασιν, οἷον, τί μὲν δύνανται λόγοι, τί δὲ ἔργα ἰσχύει; καὶ ὅτι Ἀθηναῖοι μὲν χρώμενοι λόγοις οὐδὲν ἑαυτοὺς ὠφέλησαν οὐδὲ ἐκείνους ὑπὲρ ὧν τοὺς λόγους λέγουσιν, οἱ προδόται δὲ οἱ τὰ ἐκείνου διοικοῦντες, τῇ δυνάμει τοῦ Φιλίππου χρώμενοι, κατορθοῦσι μόνοι καὶ δύνανται ἅπαντα. Οὕτω μὲν οὖν τὸ πρῶτον μέρος τοῦ λόγου προελήλυθεν ἔχον τὸ ἀδύνατον κατὰ ἀντεξέτασιν· ἐν ᾧ ἀποδείκνυσιν ἀδυνάτως ἔχοντας τοὺς λόγους ταῦτα κατορθοῦν ἃ κατορθοῦσθαι τοῖς ἔργοις πέφυκε. Διῴκηται μὲν οὖν διὰ τούτου τοῦ μέρους [τρία]· ἓν μὲν, ὃ καὶ μέγιστόν ἐστι, τὸ μὴ δεῖν ἐννοεῖν πρεσβείαν, δύο δὲ ἐπὶ τούτῳ πάλιν· ἓν μὲν, ὅτι οὐ δεῖ αὐτὸν καταναγκασθῆναι γράψαι, ἕτερον δὲ, προκατασκευῆς δύναμιν ἔχον, ὅτι ἐὰν αὐτοὶ μὴ θέλωσι πράττειν, ἐπὶ τίσιν ἀκούουσι; μεθ' ὃ δὴ καὶ τὸ συμφέρον ἐξείργασται ἀπὸ ταύτης τῆς λέξεως (p. 133, 2) « εἶτ' οἶμαι (δεῖ γὰρ ὡς « ἐγὼ κρίνω τἀληθῆ λέγειν) οὕτω διαβεβλήμεθα. » Ἐντεῦθεν γὰρ τὴν ἔκβασιν ἐξετάζει, τί ἀποβέβηκεν Ἀθηναίοις ἀεὶ θαρροῦσι τοῖς λόγοις. Εἶτα εὐλαβούμενος μὴ καὶ νῦν ὁμοίως ῥᾳθυμήσωσι καὶ τὰ ἀπηγγελμένα ἐν φαύλῳ ποιήσωσιν, ὑπομιμνήσκει τόπων ἀπολωλότων διὰ ῥᾳθυμίαν καὶ ὑπεροψίαν καὶ ἀμέλειαν, ἃ δὴ φοβούμενος καταριθμεῖται ὅσων καὶ πρότερον ὑπεριδόντες ὅσα ἀπεστέρηνται. Καὶ λέγει δὲ ἀπὸ τῆς λέξεως ταύτης ἀρξάμενος (p. 133, 15)· « ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην· ταῦτα ἀπώλεσε Θρᾴκην καὶ « Κερσοβλέπτην » καὶ ὅσα ἑξῆς, οὐκοῦν ταῦτα ἀμφότερα ἤδη διῴκηται· τὸ μὴ δεῖν πρεσβείαις χρήσασθαι καὶ δεῖν μιμήσασθαι Φίλιππον ἔργοις μᾶλλον ἢ λόγοις τὰ πράγματα χειρούμενον· καὶ τὸ τρίτον, τὸ μὴ δεῖν ὑπεριδεῖν ὡς μικροῦ τινὸς ὄντος τοῦ νυνὶ συμβεβηκότος καὶ ἀπηγγελμένου, ἐπείπερ εἰώθασιν οὐ μικραῖς ζημίαις οὐδὲ φαύλαις βλάβαις περιπίπτειν ὑπερορῶντες ἑκάστοτε τῶν ἁλισκομέ-

νων. Εἰς δὲ τὸ αὐτὸ τοῦτο συντείνει τὸ μὴ δεῖν ῥαθυμεῖν μηδ' οἴεσθαι διὰ πρεσβείας παύσασθαι τὸν Φίλιππον, καὶ ἄλλο ὅπερ αὐτὸς ἐπισημαίνεται εἰπών (p. 134, 2)· « ἀλλ' ἵνα τοῦθ' ὑμῖν δείξω, ὅτι οὐ στήσεται πάντας ἀν-« θρώπους ἀδικῶν, τὰ δ' ὑφ' αὐτὸν ποιούμενος Φίλιππος, « εἰ μή τις αὐτὸν κωλύσει. » Οἱ μὲν οὖν αὖ τὸ δίκαιον εἶναι κεφάλαιον, οἱ δὲ πρὸς ἔλεγχον εἰλῆφθαι τῆς ῥαθυμίας αὐτῶν. Δῆλον δ' ὅτι ὀρθῶς εἴρηται τοῦ ἀσυμφόρου εἶναι. Τὸ μὲν οὖν πρῶτον μέρος τοῦ λόγου προελήλυθεν ἄχρι τούτου, ἀπὸ μὲν τοῦ δυνατοῦ πᾶν ἐπιχειρηθὲν, κατασκευασθὲν δὲ τῷ συμφέροντι περὶ τοῦ μήτε δεῖν πρεσβείαν πέμπεσθαι μήτε ῥαθυμεῖν τῶν ἀπαγγελλομένων, ἔργοις τε προθέσθαι κωλῦσαι μᾶλλον ἢ λόγοις. Τοῦτο δὲ τὸ κεφάλαιον ἠγνόησαν ὁμοίως οἱ πρὸ ἡμῶν εἰς τὸν λόγον θεωρίας καὶ διαιρέσεις συγγράψαντες. Μετὰ ταῦτα τὸ νόμιμον εἰσήγαγε, τῷ αὐτῷ θεωρήματι χρησάμενος ᾧπερ καὶ ἐν τῷ ὀγδόῳ· καὶ τοιαύτῃ δὲ ἑρμηνείᾳ καὶ διδασκαλίᾳ χρῆται. TCV.

132, 3. Δεῖ] ἤγουν ἐλλείπει. P.

132, 8. Παρέρχεται] νικᾷ, ἀπὸ μεταφορᾶς τῶν δρομέων. YP.

132, 22. Πᾶσιν] ἤγουν ἐν πᾶσιν. P.

133, 8. Τοῦ χάριν] συμπέρασμα τοῦ προοιμίου, καὶ εἰσβολὴ ἐπὶ τὸ συμφέρον. FYP.

133, 22. Ἐπετείχισεν] καθ' ὑμῶν εἰργάσατο. Less.

133, 26. Ἀντρῶνας] πόλις Εὐβοίας πληθυντικῶς λεγομένη. Ὅμηρος (Il. β, 697) ἐνικῶς « Ἀγχίαλόν τ' Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην. » FYP.

134, 5. Εἰσὶ δέ τινες οἳ, πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους, εὐθὺς εἰώθασιν ἐρωτᾶν τί χρὴ ποιεῖν] Ἐντεῦθεν μέν ἐστιν εἰσβολὴ τοῦ νομίμου κατὰ ἀντίθεσιν· σεσόφισται δὲ ἡ ἀντίθεσις αὐτῷ κατὰ παράλειψιν. Ἐλλείπει γὰρ τῷ, τί οὖν χρὴ ποιεῖν, τὸ εἰρήνης οὔσης. Ἐσιώπησε δὲ τοῦτο τὸ μέρος ὡς ἰσχυρόν· ἐνεφάνισε δὲ αὐτὸ διὰ τῆς λύσεως. Πῶς δὲ ἔλυσε; καὶ πόθεν χρὴ θηρεῦσαι τὴν ἀντίθεσιν; ἐξ ὧν εἶπεν ἐπαγαγὼν, « πρῶτον μὲν, ὦ Ἀθη-« ναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶσαι, ὅτι τῇ « πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε. » Ταῦτα γὰρ ἐπήνεγκε, μὴ τοιαύτης οὔσης τῆς ἀντιθέσεως, ὅτι εἰρήνη ἐστὶν, ἀλλ' ἵνα λάβῃ τοὺς ἀκροατὰς συνομολογοῦντας ὅτι παραβέβασται ἡ εἰρήνη· διὰ τοῦτο τῇ ἐρωτήσει σοφιστικωτέρᾳ κέχρηται, ὡς ἂν ἑτοίμων ὄντων τῶν ἀκροατῶν ποιεῖν τὰ δέοντα. Καίτοι γε, οὐκ ἄλλο τι δεῖ γνῶναι αὐτοὺς ἢ τὸ παραβεβάσθαι τὴν εἰρήνην, ὅπερ ἐστὶ πρὸς τὸ κεκρυμμένον μέρος τῆς ἀντιθέσεως. Τοιοῦτον δέ ἐστιν αὐτῷ θεώρημα καὶ ἐν τῷ ὑπὲρ Διοπείθους λόγῳ. Ἤδη δὲ προδιοικεῖται διὰ τοῦ νομίμου κεφαλαίου τὸ δεῖν συνέχειν τὴν Διοπείθους δύναμιν. Διὰ τοῦτο γὰρ καὶ προηρώτησεν ἐν σχήματι, τί οὖν χρὴ ποιεῖν; ἵνα ἀποδειχθείσης τῆς εἰρήνης διὰ μέσου παραβεβασμένης, ἐπενέγκῃ πρὸς τὸ, τί χρὴ ποιεῖν; ὅτι δεῖ συνέχειν τὴν Διοπείθους δύναμιν. Πρὸς τοῦτο γάρ ἐστιν αὐτοῦ ἡ σύμπασα σπουδή. Ἐν δὲ τῷ μεταξὺ καί τινας ὑπονοίας λύει καὶ ἐκ τῆς ἐργασίας ἀνακυπτούσας ὑποφορὰς θεραπεύει. Συνίστησι δὲ τὸ νόμιμον πρῶτον μὲν ἐκ δυοῖν· ἐξ ἑνὸς μὲν, ὅτι ἀναγκαίως τὴν ἀντιτεταγμένην ἐλευθερίαν καὶ πολιτείαν τυραννίδι βούλεται καταλῦσαι, εἰδὼς μὴ ἄλλως συστησομένην τὴν βασιλείαν, εἰ μὴ καθαιρεθείη ἡ πολιτεία· ἐξ ἑτέρου δὲ, ὅτι παρ' οὐδέσιν εὑρίσκει τοσούτων ἀγαθῶν ὑπερβολὴν ὅσην παρ' Ἀθηναίοις, ὥστε ἀναγκαίως καὶ διὰ ταῦτα πολεμεῖν τῇ πόλει. Ἀμφότερα δὲ τὰ ἐπιχειρήματα τοῦ ἀναγκαίου· τὸ δὲ ἀναγκαῖον ἀπὸ τῆς γνώμης καὶ τοῦ ἀκολούθου. Εἶτ' ἐπειδήπερ ἐργαζομένῳ αὐτῷ τὸ ἀναγκαῖον, ἐξ οὗ συμβαίνει μισεῖσθαι τὴν πόλιν ὑπὸ Φιλίππου, καὶ λέγοντι ὅτι καταφεύξονται γὰρ ἐφ' ὑμᾶς οἱ βεβιασμένοι, ἀντέπεσεν ἰδίως πρὸς τοῦτο ἐκ τῆς ἐργασίας ὅτι καὶ τίς ἂν ἕλοιτο δουλείαν ἀντὶ δουλείας ἀλλάξασθαι καὶ μὴ στέργειν τὴν ἅπαξ ὑπάρξασαν; ἔλυσεν εἰπών (p. 135, 4)· « ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατα-« σχεῖν ἀρχὴν εὖ πεφυκότες. » Οὐ τοῦτο γάρ ἐστιν ἀντίθεσις, ἀλλ' ἀντιπίπτον ἀπὸ τῆς προτέρας ἐννοίας. Εἶτα πάλιν ἐπανέλαβε τὴν αὐτὴν ἔννοιαν καὶ ἀνήγαγεν εἰς ἑτέραν ἀρχὴν εἰπών (p. 135, 11)· « πρῶτον μὲν δὴ « τοῦτο δεῖ ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δη-« μοκρατίας ἀδιάλλακτον ἐκεῖνον. » Ἐπεὶ γὰρ ἰσχυρὸς ὁ περὶ τῆς εἰρήνης λόγος, ἀναγκαίως πρὸς αὐτὸν συνεχῶς ἀγωνίζεται, τουτέστιν, οὐ δεῖ κηλεῖσθαι τῷ τῆς εἰρήνης ὀνόματι· φύσει γὰρ εἶναι πολέμιον Φίλιππον. Ἀνήγαγε δὲ ἐπὶ ταύτην πάλιν τὴν ἀρχήν· πρῶτον μὲν, ὡς ἔφην, ἵνα γενναίως πρὸς αὐτὴν ἀγωνίσηται· εἶτα, ἐπειδὴ εἶχε καὶ δευτέρᾳ λύσει χρήσασθαι, παρεχούσῃ ἀντεξέτασιν τῶν ὑπαρχόντων Ἀθηναίοις ἀγαθῶν καὶ τῶν ἐπὶ Θράκης φαύλων καὶ μικρῶν καὶ γλίσχρων, πάλιν ἐκαινοποίησε τὴν ἀντίθεσιν· μιᾷ μὲν, ὅτι ἀναγκαίως πολεμεῖ τῇ δημοκρατίᾳ καὶ πολιτείᾳ ἀντικειμένῃ τῇ τυραννίδι. Ταύτῃ δὲ τῇ λύσει ἐχρήσατο πρὸς τὴν ἑτέραν θέσιν τῆς ἀντιθέσεως. Τῇ δὲ δευτέρᾳ λύσει τῇ περιεχούσῃ τὴν ἀντεξέτασιν νῦν μέλλει κεχρῆσθαι πρὸς τὴν δευτέραν ἀντίθεσιν. Ἐκ τούτου τοίνυν τοῦ νομίμου κεφαλαίου λελυμένου μᾶλλον τῷ δικαίῳ, ἀντέπεσεν ἀναγκαίως ἀντίθεσις πάλιν ἀπὸ τοῦ νομίμου· οὐκοῦν εἰ πέπεισαι παραβεβάσθαι τὴν εἰρήνην, Δημόσθενες, γράψον περὶ πολέμου ψήφισμα· ταύτην ἔλυσεν ἐνστάσει, ἥτις ἔνστασίς ἐστιν ἀπὸ τοῦ δικαίου· οὐ γὰρ δίκαιόν φησιν ἀδικεῖσθαι ὑφ' ἡμῶν τὸν προειρημένον ὑμῖν τὰ βέλτιστα συμβουλεύειν· εἶτα ἐκ παραδείγματος ἑτέραν πορίζεται λύσιν, ὅτι οὐδὲ ἄλλοτέ ποτε οὐδενὸς γράψαντος Φίλιππος ἀδικεῖ, καὶ πρῶτα, καὶ δεύτερα, καὶ τρίτα, καὶ νυνὶ δὲ Καρδιανοῖς βοηθεῖ, ὁμοῦ καὶ ἐπισημαινόμενος τὴν αἰτίαν δι' ἣν ὁ λόγος· ὅτι γὰρ ἀπήγγελται Φίλιππος Καρδιανοῖς βοηθεῖν, εὔδηλον ὅτι ὁ δῆμος τετάρακται. Εἶτα τρίτη λύσις, ὅτι ὑμεῖς ἐχειροτονήσατε τὸν πόλεμον, ὅτι ἐξ οὗ χρόνου τὸν Διοπείθην ἀπεστείλατε, κατακεχειροτονήκατε πόλεμον· ὥστε περιττὸν περὶ τῶν ἐγνωσμένων γράφειν. Εἶτα ὥσπερ ἀπαλλαγεὶς τῶν λύσεων ἐπιλογίζεται, ὑποτιθέμενος ὃν δεῖ τρόπον πολεμεῖν. Ἔθος δὲ αὐτῷ πληροῦντι κεφάλαιον καὶ ἐν μέσοις λόγοις ἐπιλογίζεσθαι. Λέγει δὲ δεῖν ἀμύνασθαι, ὅταν ἄρχηται ἐκεῖνος, προσποιούμενος ὑποθετικοῦ λοιπὸν ἅπτεσθαι λόγου ἀπὸ τρόπου· οὐκ ἔστι γὰρ ἄρχεσθαι πολέμου τὸν ἀμυνόμενον, ἵνα φαίνηται λύων [τὴν εἰρήνην] ὁ Φίλιππος, οὐχ ἡ πόλις. Ὁμοίως δὲ κἀνταῦθα τοῦ πραγματικοῦ ἅπτεσθαι δοκεῖ. Οἶδε γὰρ καὶ ἐν ἐπιλόγοις ἀνύειν τι τῶν συνεκτικῶν καὶ συναγωνιζομένων. Φεύγει δ' οὖν οὐδὲν ἧττον κἀνταῦθα τὸ γράψαι, καὶ ἐπισημαίνεται τὴν ὑπόθεσιν, δι' ἣν ὁ λόγος ἐρρέθη. Εἰπὼν γὰρ τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα καὶ τὰ ἄλλα ὅσον δέονται διδόντες, ἐσήμαινεν ὅτι ἔφοδος γέγονε Φιλίππου καὶ ἀμύνεται αὐτὸν Διοπείθης. Ἀπὸ δὲ τῆς προτρεπτικῆς ταύτης τοῦ δεῖν εἰσφέρειν καὶ κατασκευάζεσθαι στράτευμα καὶ τριήρεις ταχείας δῆλός ἐστι μεταβὰς ἐπί τινα ἑτέραν λογικὴν ἔννοιαν ἀπὸ τοῦ συμ-

φέροντος, καὶ τῷ αἰσχρῷ ἐνταῦθα προσχρώμενος, δεικνὺς ὅσην αἰσχύνην ὀφλήσουσι καὶ γέλωτα ῥαθυμήσαντες· εἶτα ἀπὸ τῆς κρίσεως τοῦ πολεμίου Φιλίππου, ὅτι ἐκεῖνος οὐδὲν ἄλλο τι ἂν εὔξαιτο ποιεῖν τὴν πόλιν. Πληρώσας δὲ τὸν ἐπίλογον ἄρχεται τοῦ δυνατοῦ, ἀνενεγκὼν ἐπὶ ἀρχὴν ἀρχαιοτέραν τὸν λόγον, ἀπὸ τῆς λέξεως ταύτης τὴν ἀρχὴν ποιησάμενος (p. 137, 1)· « οὐδὲν πώποτε, ὦ ἄνδρες « Ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε οὐδὲ « κατεσκευάσασθε ὀρθῶς. » Εἰ δὲ καὶ συμπαρομαρτεῖ τῇ ἐργασίᾳ τοῦ κεφαλαίου τούτου, λέγω τοῦ δυνατοῦ, τὸ συμφέρον, καὶ συννοεῖται τοῖς λεγομένοις, οὐδὲν θαυμαστόν· σύνηθες γὰρ αὐτῷ τὰ κεφάλαια πλέκειν. Ὅτι δὲ τῷ δυνατῷ μᾶλλον προσκεχώρηκε δῆλον ἐκ τῶν ἐχομένων· εὐθὺς γὰρ ἔλυσε καὶ ἀνθυποφορὰν, οὐ θεὶς μὲν αὐτὴν ἐκ φανεροῦ, δηλώσας δὲ διὰ τῶν λύσεων· Ἀλλὰ δυνησόμεθα βοηθείαις χρώμενοι κωλύειν ἐκεῖνον. Ἐπειδὴ γὰρ πρὸ βραχέος ἐχρήσατο ἐν τῷ τέλει τῆς λύσεως τῆς τοῦ νομίμου ἀντιθέσεως, τῆς λεγούσης δεῖν αὐτὸν γράφειν περὶ πολέμου ψήφισμα, προτροπῇ τινὶ ἐπιλογικῇ, λέγων (p. 137, 6) δεῖν κατασκευάζεσθαι στράτευμα καὶ ὁπλίτας καὶ ἱππέας καὶ τριήρεις, διὰ τοῦτο καὶ προέλαβεν ἐκ τῆς εἰσβολῆς τὴν λύσιν. Καὶ νῦν ὁμοίως φανερώτερον πρὸς τὴν αὐτὴν ἀπομάχεται λέγων, « οὐκ ἔνεστι βοηθείαις χρωμένους οὐ « δέον τι πρᾶξαι. » Καὶ ἄλλας δὲ ὑπονοίας ἔλυσε, μὴ διαφθείρηται τὰ χρήματα, μὴ μάτην ἀναλωθῇ, δι' ὧν εἶπε δεῖν ταμίας καθιστάναι καὶ λόγους λαμβάνειν παρὰ τῶν στρατηγῶν. Μετὰ ταῦτα πάλιν ἀπὸ τοῦ δυνατοῦ ἀντέπεσεν ἀντίθεσις· Ἀλλὰ χαλεπὰ καὶ ἐργώδη λέγεις· Δημόσθενες· εἶναι δὲ αὐτὴν τοῦ δυνατοῦ φαμὲν διὰ τὸ πραγματείας εἰπεῖν καὶ πόνους. Σχεδὸν γὰρ τὸ μὴ ῥᾴδιον εἶναι τὸ πρᾶγμα σημαίνει, οὐ μὴν ἀπήλλακται τοῦ μετέχειν καὶ τοῦ συμφέροντος· καὶ τοῦτο δείκνυται σαφῶς ἐκ τῶν λύσεων. Καὶ ἔστιν ἡ ἀντίθεσις (p. 137, 22)· « Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πόνων « πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλ' ὀρθῶς δοκεῖ. » Ταύτην ἔλυσε τῷ συμφέροντι, δείξας ἐργωδέστερα καὶ χαλεπώτερα τὰ συμβησόμενα, εἰ μὴ τοὺς μικροὺς τούτους καὶ τοὺς ὀλίγους ἐθελήσαιεν ὑπομεῖναι πόνους. Καὶ ἄλλο δέ τι μέρος λύει τῆς αὐτῆς ἀντιθέσεως, ὅπερ οὐ τέθεικεν ἐκ τοῦ προφανοῦς, ὥσπερ ἐν τῷ Διοπείθους, ἔκρυψε δὲ, διότι οὐκ ἦν εὐπρόσωπος οὐδὲ πιθανὸς οὐδὲ δυνατὸς ὁ περὶ τούτου λόγος. Τίς γὰρ ὑπὲρ ἀλλοτρίων εἵλετο κινδυνεύειν καὶ δαπανᾶν; αἱ μέντοι γε λύσεις ἔχουσαι μεθ' ἑαυτῶν τὸ ἀναγκαῖον τῶν ἔργων καὶ κεραννῦσαι τὴν πρότασιν, εἰκότως τὴν παρρησίαν τῷ συμβούλῳ παρέχουσιν. Ἐχρήσατο γοῦν Θουκυδιδείῳ λύσει, ἧπερ ὁ Λέσβιος χρώμενος φαίνεται, ὅτι τῷ μὲν δοκεῖν ὑπὲρ ἄλλων, τῇ δὲ ἀληθείᾳ ὑπὲρ ἡμῶν τὰ γινόμενα. Καὶ ἡ λύσις ἐναργής· « εἰ μὲν γὰρ « ἐστί τις ἐγγυητὴς ἡμῖν θεῶν, οὐ γὰρ ἀνθρώπων γε οὐ« δείς. » Καὶ πάλιν προϊὼν ὁ λόγος φησίν· « εἰ δὲ πρόϊ« σμεν ἅπαντες ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον « γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ « χρησόμεθα ἐχθρῷ. » Ἐπὶ τούτοις ἀντέπεσεν ἀπὸ τῆς ἐργασίας τοῦ συμφέροντος ὑπόνοιά τις [τοῦ] ἀναγκαίου πάλιν· Ἀλλ' ὅταν ἀνάγκη γένηται καὶ ἐφ' ἡμᾶς ἔλθῃ Φίλιππος, σὺ φής; τοῦτο γὰρ κατεσκευάζετο, ὅτι καὶ γὰρ ἐὰν πάντας λάβῃ, ἐφ' ἡμᾶς ἥξει, τότε αὐτὸν ἀμυνούμεθα. Οὐ μὴν οὕτως αὐτὴν ἔθηκε προφανῶς, ἀλλ' ἀντὶ τῆς ἀφίξεως καὶ τοῦ ἐλθεῖν εἶπεν, ὅταν ἀναγκαῖον ᾖ· τὸ γὰρ ἀναγκαῖον δύναται κοινὸν εἶναι καὶ τῆς ἐφόδου καὶ τῶν νυνὶ καθεστηκότων. Ἵν' οὖν ἀφορμὴ γένηται αὐτῷ μᾶλλον προτρέψασθαι, οὕτω τὴν ἀντίθεσιν μετεχειρίσατο. Πληρώσας δὲ τὸ συμφέρον τοῦτο ὃ ἀντεπήγαγεν εἰς λύσιν τῆς ἀντιθέσεως, προοιμιάζεται λοιπὸν ὑπὲρ τοῦ ἄλλου μέρους τοῦ δυνατοῦ. Σκοπὸς γὰρ αὐτῷ λοιπὸν ἐντεῦθεν διαλεχθῆναι περὶ τῆς πρὸς βασιλέα πρεσβείας. Πάλαι δὲ προδιῳκήσατο ἑαυτῷ τὴν περὶ τούτου πειθώ. Ἀφ' οὗ γὰρ ἤρξατο συμβουλεύειν αὐτοῖς καὶ διαλέγεσθαι περὶ τοῦ δεῖν εἰσφέρειν καὶ κατασκευάζεσθαι στράτευμα καὶ τριήρεις καὶ ἵππους καὶ ὅσα τοιαῦτα, δῆλος ἦν λοιπὸν διὰ τὴν τῶν χρημάτων εἰσφορὰν, καὶ ἕτερον δι' ἑτέρου προανύων. Ἀλλ' ἐκεῖ μὲν τῷ δοκεῖν ἁπλούστερον συνεβούλευεν αὐτοῖς παρασκευάζεσθαι· προκατασκευάζει δὲ οὐδὲν ἧττον ἑαυτῷ τὴν ἀνάγκην τοῦ πεισθῆναι αὐτοὺς περὶ τῆς πρὸς βασιλέα πρεσβείας. Τί γὰρ ἦν ὑπόλοιπον ποιεῖν τοὺς ἀναγκαζομένους μὲν παρέχειν, μὴ ἔχοντας δὲ, ἢ πείθεσθαι τῷ ὑποδεικνύντι πόρον ἄλυτον καὶ ἀζήμιον τοῖς πολίταις; ἐντεῦθεν ὁμοίως ἐρρητόρευσεν ἐκ τῆς λέξεως ταύτης τὴν ἐπιβολὴν ποιησάμενος (p. 138, 23)· « Τὸ « μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνη« ρῶς διακεῖσθαι. » Αὕτη μέν ἐστιν ἡ εἰσβολὴ τοῦ λόγου τοῦ περὶ τῆς πρεσβείας. Ῥητορεύει δὲ διὰ τοῦ προοιμίου αἰτιώμενος ὅτι μὴ βούλονται ἀκούειν περὶ ὧν ἂν λέγῃ, προκαταλαμβάνων ἑαυτῷ τὸν ἀκροατὴν καὶ ἀναγκάζων πειθαρχεῖν οἷς ἂν αὐτὸς συμβουλεύοι. Εἶτα καὶ προσέπλεξε τούτῳ ὅτι δεῖ παρασκευάζεσθαι αὐτοὺς, ἵνα ἀντιπεσόντος ὅτι καὶ πῶς δυνατὸν παρασκευάζεσθαι, μὴ ὑπαρχόντων χρημάτων, εὐχερῶς ὁ περὶ τοῦ βασιλέως εἰσέλθῃ λόγος. Καὶ τῷ βουλομένῳ δὲ κατανοεῖν πλείονα τούτων ἔγκειται τῇ ῥητορείᾳ τοῦ προοιμίου τούτου τοῦ κεφαλαίου· ὑποδείγματος δ' ἕνεκεν ἀπόχρη μοι καὶ ταῦτα. Λῆξιν δὲ ἔλαβε τουτὶ τὸ προοίμιον εἰς ταύτην τὴν λέξιν· « τοῦτ' « ἤδη πᾶσαν ἐπιδέχεται κατηγορίαν· » εἶτα προκατασκευῇ μετὰ τοῦτο χρῆται· « ὑμεῖς τοίνυν οὔτ' ἀκούειν πρὶν ἂν, « ὥσπερ νῦν, αὐτὰ παρῇ τὰ πράγματα, οὔτε βουλεύεσθαι « περὶ οὐδενὸς εἰώθατε ἐφ' ἡσυχίας. » Ταῦτα γάρ ἐστι προδιοικουμένου καὶ προκατασκευάζοντος, δεῖν ἀνέχεσθαι λέγοντος καὶ συμβουλεύοντος περὶ τῆς πρεσβείας τῆς πρὸς τὸν Μῆδον. Τὸ καταπλήττειν δὲ αὐτοὺς, ἀπροαιρέτως ἔχοντας παρασκευάζεσθαι, τῆς αὐτῆς ἔχεται ῥητορείας. Ὅσῳ γὰρ ἂν ἐνδείξηται μᾶλλον μήτε παρασκευαζομένους μήτε πράττειν ἐθέλοντας, τοσούτῳ τὴν αἰτίαν τούτων φανερωτέραν κατασκευάζει, λέγω τὴν τῶν χρημάτων ἔνδειαν, ἵν' ὁ περὶ βασιλέως ἀκόλουθος λόγος τὴν ἀρχὴν ἐντεῦθεν λάβῃ. Ἡ δὲ ἐπιβολὴ αὐτῆς τῆς εἰσηγήσεως μετὰ τὴν προκατασκευὴν (p. 139, 16)· « ὃ δὴ λοιπόν ἐστι, καὶ « πάλαι μὲν ἔδει διαφεύγει δὲ οὐδὲ νῦν, τοῦτο ἐρῶ. » Εἶτα αὐτὸς ἑαυτῷ τὴν ἀντίθεσιν φανερῶς συνομολογεῖ, ἵνα ὁ λόγος εὐπρόσωπον ἀρχὴν καὶ εἰσβολὴν προσήκουσαν λάβῃ. Τίς οὖν ἡ συνομολογία; « οὐδενὸς τῶν πάντων οὕτως « ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγ« ματα. » Ὃ γὰρ ἀντέθηκεν αὐτῷ ὁ ἀκροατὴς, τοῦτο προλαβὼν ὡμολόγησεν αὐτός. Ἐνδείκνυται γὰρ καὶ τὴν ἀνάγκην καὶ τὴν χρείαν, καὶ περὶ τῶν μελλόντων ἐκφοβεῖ, ἵνα ἀνάγκη μείζων γένηται, καὶ ἐκπλαγεὶς τῷ τε μεγέθει τῶν τότε ὄντων καὶ τῇ προσδοκίᾳ τῶν μελλόντων ὁ ἀκροατὴς ταύτην οὖσαν μόνην καταδέξηται τὴν παραμυθίαν· φημὶ δὲ τὴν πρὸς βασιλέα πρεσβείαν. Εἶτα καὶ ἐπειδήπερ ἔμελλεν ἀντιπίπτειν αὐτῷ πρὸς τοῦτον τὸ λόγον ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ· Ἀλλ' ἀδύνατόν ἐστιν ὑπόπτως

ἔχοντα πρὸς ἡμᾶς τὸν βασιλέα πεισθῆναι· πρὸς ταύτην ἵσταται ἐξ ἀρχῆς, λέγων ὅτι, Οὐ παρ' ἡμῶν ταῦτα ἀκούσεται βασιλεὺς πρώτων, ἀλλὰ μάλιστα μὲν παρὰ τῶν σατραπῶν, εἶτα δὲ καὶ παρὰ Ἑρμίου τοῦ εὐνούχου, ὃν νῦν ἀνάσπαστον ἐποιήσατο, ἄρχοντα Ἀταρνέως, μαθὼν αὐτὸν συμπράττειν Φιλίππῳ κατὰ τῆς βασιλέως ἀρχῆς, ὥστε τὴν ἡμετέραν πρεσβείαν καιρὸν λοιπὸν ἔχειν. Οὐκοῦν τὴν ἀντίθεσιν διὰ τούτου φαίνεται λύων, καὶ συνιστὰς ὅτι δυνατὸν πεισθῆναι τὸν βασιλέα· πεισθήσεται δὲ τοῖς λογισμοῖς τοῦ συμφέροντος. Φαίνεται δὲ Δημοσθένης οὐ τὸ συμφέρον αὐτὸ κατασκευάζων, ἀλλὰ τὸ δυνατὸν διὰ τῶν τοῦ συμφέροντος λογισμῶν. Δυνήσεται γὰρ ἡμῖν, φησὶ, πεισθῆναι βασιλεὺς δεδιδαγμένος τὰ συμφέροντα καὶ παρ' ὑμῶν ἀκουσόμενος. Μετὰ ταῦτα τέθεικεν ἐκ τοῦ φανεροῦ τὴν ἀντίθεσιν λέγων (p. 140, 9)· « καὶ τὴν ἀβελτερίαν « ἀπόθεσθε δι' ἣν πολλάκις ἠλαττώθητε, ὁ δὴ βάρβαρος « καὶ κοινὸς πᾶσιν ἐχθρὸς, καὶ πάντα τὰ τοιαῦτα· ». Καὶ ἡ λύσις· Οὐκ ἔστι πρὸς ἡμᾶς πολέμιος, συνεπηνώρθωσε γάρ ποτε τῇ πόλει τὰ πράγματα, τὴν διὰ Κόνωνος ναυμαχίαν λέγων. Πληρώσας δὲ τὸν περὶ τοῦ βασιλέως λόγον, ὃς ἦν περὶ δυνατοῦ καὶ χρημάτων, ἐπισυνῆψεν ἀναγκαίως καὶ ἀκολούθως τὸν περὶ τῆς πολιτείας λόγον, πρόφασιν δῆθεν καὶ ἀφορμὴν λαβὼν εὐπρόσωπον τὴν καθεστῶσαν νυνὶ ταραχὴν, ἵνα ἀνέλῃ τὴν ὑπόνοιαν ἐκείνην. Ἀλλ' ἀρκέσει ἡμῖν τὰ τῆς πόλεως χρήματα, ὥστε μὴ δεῖσθαι τῆς παρὰ βασιλέως δόσεως· καὶ ἵνα, τῆς ἐν τῇ πόλει ἀφορμῆς ἀναλισκομένης, ἅπασι τοῖς πολίταις ἡ παρὰ τοῦ βασιλέως αἴτησις εὔλογος φαίνηται. Ἀλλ' οἱ πρὸ ἡμῶν διελόντες οὐκ εἶδον τοῦτο καθάπαξ. Βουλόμενος τοίνυν ἀνελεῖν τὴν ἀντίθεσιν αὐτὸς εἰσηγεῖται δῆθεν μὴ δεῖν ἀφαιρεῖσθαι τὰ θεωρικὰ τοὺς δημότας, εἴτε Εὐβούλου τετελευτηκότος, πρὸς ὃν εἶχε φιλονείκως περὶ τῶν θεωρικῶν, εἴτε τὸν σκοπὸν τὸν ἑαυτοῦ συμπεραίνων, ἵνα πανταχόθεν συνελάσῃ καὶ καταναγκάσῃ καταδέχεσθαι τὸν περὶ τῆς πρεσβείας τῆς πρὸς βασιλέα λόγον. Διμερὴς δέ ἐστιν ὁ περὶ τῆς πολιτείας λόγος. Ἐπειδὴ γὰρ διχόθεν ἦσαν πόροι, οἱ μὲν ἐκ τῶν δικαστηρίων δημευομένων τῶν εὐπόρων, οἱ δὲ ἐξ ἄλλων ἀφορμῶν καὶ προσόδων λιμένων καὶ ἔργων ἀργυρείων καὶ συμμάχων, βουλόμενος καὶ πλουσίους ἀρέσασθαι καὶ πένητας οἰκειώσασθαι, ἵνα συμψήφους λάβῃ περὶ τῆς πρὸς τὸν βασιλέα πρεσβείας, διὰ τοῦτο διαλέγεται δῆθεν περὶ ὁμονοίας αὐτοῖς εἶναι τὸν λόγον καὶ τοῦ συμφέροντος, παραινῶν μήτε τοὺς κεκτημένους τὰς οὐσίας ἀδικεῖσθαι ὑπὸ τῶν δικαζόντων δημευομένους κατὰ λόγον, μήτε τοὺς καταδεεῖς καταβοᾶσθαι παρὰ τῶν δυνατῶν ὡς διανεμομένους εἰς τὰς θεωρίας τὰ στρατιωτικά. Ἐὰν γὰρ τῶν πόρων τούτων καὶ τῶν προσόδων παύσωνται τῶν παρὰ τῶν εὐπόρων, τὰ δὲ τῆς πόλεως ἀναλίσκωνται εἰς τοὺς δήμους, τίς ἔσται λοιπὸν ἔτι ἀφορμὴ τῇ πόλει, πλὴν τῆς εἰς βασιλέα ἐλπίδος; διὰ ταῦτα οὕτως αὐτῷ τὸ μέρος ἐρρητόρευται τοῦτο τοῦ λόγου. Τὰ γὰρ ἐν τούτοις ἀσαφῆ οἱ ἐξηγηταὶ παραστήσουσι. TCV.

Πληρώσας τοίνυν τὴν περὶ τούτων παραίνεσιν καὶ ῥητορεύσας ὡς ἐδείκνυμεν, μετέβη λοιπὸν ἐπὶ τὸ πέμπτον μέρος τοῦ λόγου ἐντεῦθεν ἀρξάμενος (p. 143, 8)· « ὡς μὲν « οὖν εἴποι τις ἂν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ, ταῦτ' ἴσως « ἐστί· » βάσιν μὲν καὶ συμπέρασμα τῶν προειρημένων τὴν διάνοιαν ταύτην ποιούμενος, καταρχόμενος δὲ ἐκ τοῦ μερισμοῦ πάλιν τῆς ἐννοίας τῷ ἑξῆς. Ἔστι δὲ τὸ νυνὶ κατασκευαζόμενον κεφάλαιον τὸ συμφέρον ἐξ ἀντιθέσεως, ἣν οὐκ ἔθηκε μὲν, ἐνδείκνυται δὲ διὰ τῆς μάχης. Εἰς δύο δὲ μέρη διῄρηται τοῦτο τὸ πέμπτον μέρος. Εἰς ἓν μὲν, ὃ περιέχει τὴν λύσιν τῆς ἀντιθέσεως, εἰς ἕτερον δὲ, τὸ κατὰ τοὺς ῥήτορας. Τίς οὖν ἡ ἀντίθεσις ἀπὸ τῶν εἰρημένων κεκίνηται; ἐπειδὴ πολύν τινα λόγον περὶ τῆς πρὸς βασιλέα πρεσβείας πεποίηται, ἀντέπεσεν ἐκ τούτου· Καὶ τί ἂν ἡμᾶς ὠφελήσειε τὰ τοσαῦτα χρήματα, καὶ εἰς τίνα χρείαν δεησόμεθα τοῦ βασιλέως; λύων τοίνυν ταύτην τὴν ἀντίθεσιν ἐξ ἐπιτιμήσεως δείκνυται ὅτι χρὴ προεστάναι τῶν Ἑλλήνων καὶ τὴν αὐτὴν τάξιν ἀναλαβεῖν, ἥνπερ εἶχον οἱ πατέρες ἡμῶν καὶ πρόγονοι, τὴν χρείαν ἐνδεικνύμενος εἰς ἣν δεήσονται τῶν χρημάτων· τὸ γὰρ μὴ ἄρχειν φησὶν αἰτίαν εἶναι τῶν παρόντων πραγμάτων καὶ τῆς ταραχῆς, καὶ τὸ μὴ προεστάναι αὐτοὺς τῶν Ἑλληνικῶν. Οὐκοῦν διὰ τούτων συνίστησιν ὅτι τὴν λύσιν τῆς ἀντιθέσεως ἐξεργάζεται, ἐνδεικνύμενος ποῖ χρήσιμα γενήσεται αὐτοῖς τὰ χρήματα, καὶ ὅτι διὰ τὸ μὴ προστατεῖν αὐτοὺς τῶν Ἑλλήνων παρῆλθεν ἐπὶ τὰ πράγματα Φίλιππος· ὅθεν εὐδαίμων καὶ μέγας. Ἅπερ ἐστὶ πάντα συστατικὰ τῆς χρησιμωτάτης χρείας τῶν παρὰ βασιλέως δωρεῶν. Τὸ δὲ ἕτερον μέρος, ὅ ἐστι πρὸς τοὺς ῥήτορας, τοιοῦτόν ἐστι. Δέδοικε σφόδρα τὴν παρὰ τῶν ἀντιπολιτευομένων ἀντιλογίαν, καὶ εἰδὼς τὴν ἀντίστασιν κινεῖ μὲν πρὸ τῆς δημηγορίας τόδε τὸ μέρος, τὸν δὲ πρὸς αὐτοὺς λόγον τρίχα διῄρηκεν. Εἰς ἓν μὲν δὴ οὖν μέμφεται ὅτι κωλύουσιν ἀεὶ τὸν πρὸς Φίλιππον πόλεμον· εἰς ἕτερον δὲ, ὅτι διαβάλλουσι τὸν Δημοσθένην, ὡς πολεμοποιόν· εἰς τρίτον δὲ, ὅτι μὴ συγχωροῦσι τῷ βασιλεῖ τὴν πόλιν εὐεργετεῖν· ἐνδεικνύμενος ὡς ὅσα ἂν αὐτοὶ ποιῶσι καὶ λέγωσι, λύοντες τὴν πρὸς βασιλέα πρεσβείαν καὶ τὸν πόλεμον τὸν πρὸς Φίλιππον, χάριτι καὶ μισθῷ κωλύουσιν. Ἐπεὶ πόθεν ἄλλοθεν ηὔξηνται; Εἶτα ἀποστροφῇ χρησάμενος πρὸς ἕνα τινὰ τῶν προδοτῶν Ἀριστομήδη (deb. Ἀριστόδημον) ἐλεγκτικῶς διαλέγεται, δι' ἑνὸς ἀνδρὸς πρὸς ἅπαντας τὸν σκοπὸν τοῦ λόγου γυμνὸν καὶ φανερὸν καθιστὰς τοῖς ἀκούουσιν. Ἐπειδὴ γὰρ οἱ ἀποτρέποντες αὐτοὺς πέμπειν πρὸς βασιλέα καὶ πολεμεῖν Φιλίππῳ δῆλοί εἰσιν ἐπὶ χάριτι μὲν συμβουλεύοντες, τὸ δὲ ἀξίωμα καθαιροῦντες τῆς πόλεως, διὰ τοῦτο φοβούμενος ταύτην τὴν παρ' ἐκείνων ἀντιλογίαν ἠρώτησε τὸν Ἀριστομήδην διὰ τί αὐτὸς μὲν φιλοτιμίας μεταποιεῖται, μὴ συγχωρεῖ δὲ τῇ πόλει τὴν δόξαν τὴν τῶν προγόνων διαφυλάττειν καὶ κληρονομεῖν τῆς εὐκλείας καὶ διαδέχεσθαι τὰς τῶν ἔργων λαμπρότητας. Ὁ μὲν οὖν σκοπὸς οὗτός ἐστιν· εἴπωμεν δὲ, ὅπως μεταχειρίζεται. Μετὰ τοίνυν τὴν λύσιν τῆς ἀντιθέσεως ἐπισυνῆψε τὸ χρειῶδες τοῦ βασιλέως, καὶ ὅτι ἀναγκαία ἡ πρὸς ἐκεῖνον φιλία, εἴπερ τοῖς ἄλλοις ἅπασαν Ἕλλησιν εὐνοϊκῶς διαλέγεται, ἡμῖν δὲ ἀπεχθάνεται βασιλεύς. Καὶ ἀνάγκην μεγίστην καὶ πίστιν πεποίηται [διὰ] τοῦ δεῖξαι ἐν οἵᾳ ταραχῇ καθέστηκε τὰ τῶν Ἑλλήνων· ὡς εἶναι χρείαν τῇ πόλει τῆς παρ' ἐκείνου ἐπικουρίας διὰ τὰ καθεστηκότα. Ἣν βουλόμενος πιστώσασθαι ηὔξησε τὴν ταραχὴν τὴν Ἑλληνικήν· εἶτα ἀπὸ τούτου μετεβίβασε τὸν λόγον πρὸς τοὺς ἐπὶ χάριτι πολιτευομένους. Διαιρεῖ δὲ δίχα καὶ τὴν τῶν ῥητόρων ποιότητα, καὶ ἀντιθέσεις κεκίνηκε πρὸς διαβολὴν τῆς ποιότητος αὐτῶν διαφόρους, ἐνδεικνύμενος δι' αὐτῶν οἷα εἰώθασι λέγειν καὶ ὅτι σύνηθες αὐτοῖς κωλύειν τῶν πράξεων τὴν πόλιν, φοβούμενος μὴ περὶ τῆς πρεσβείας τῆς πρὸς βασιλέα ἀντείπωσι, [καὶ] τοὺς λόγους αὐτῶν ὑποτεμνόμενος καὶ ἀπίστους αὐτοὺς καθιστὰς ὡς διὰ Φίλιππον ἅπαντα

πολιτευομένους πρὸς χάριν. Ἔθηκεν οὖν ἀντίθεσιν πρώτην τείνουσαν εἰς αὐτοὺς τὴν ἀπὸ τοῦ συμφέροντος, ὅτι εἰώθασι μὲν λέγειν ὡς ἀγαθὸν ἡ εἰρήνη καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν· διὰ δὲ τῶν δύο μερῶν τούτων τῆς ἀντιθέσεως ἐνδείκνυται ὅτι καὶ τὴν εἰρήνην ἄγειν δεῖν φασὶ καὶ οὔτε πρὸς Φίλιππον πολεμεῖν οὔτε πρὸς βασιλέα πέμπειν· μὴ γὰρ εἶναι χρείαν χρημάτων μηδὲ τοῦ τρέφειν δύναμιν. Οὕτω πλέον τι ἐν τῇ παρούσῃ ἀντιθέσει· ἣν ἔλυσε τῇ τῶν λόγων τῶν ἐκ τῶν ἄλλων ὑποθέσεων μεταγωγῇ. Μετήγαγε μὲν γὰρ ταῦτα ἀπὸ τοῦ ὑπὲρ Διοπείθους λόγου. Πλέον δέ τι αὐτῶν καὶ ἴδιον μᾶλλον ἐπὶ τῆς παρούσης ὑποθέσεως ἐξεργάζεται. Τοῦτο δέ ἐστι τὸ βούλεσθαι τοὺς ῥήτορας κωλύειν τὴν πρὸς βασιλέα πρεσβείαν· ἧς ἡ λύσις μεταληπτική, ὅτι εἰ καὶ χαλεπὰ ταῦτα, χαλεπώτερα πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν. Καὶ ἑτέραν ἀντέθηκεν, ὅτι πολεμοποιὸς Δημοσθένης· ἣν ἔστι μὲν εἰπεῖν ἀπὸ τοῦ νομίμου, ἔστι δὲ εἰπεῖν ἀπὸ τοῦ συμφέροντος ἔλυσεν εἰπών· Καὶ πρὸ τοῦ ἐμὲ εἰπεῖν πολλὰ Φίλιππος εἶχε τῆς πόλεως, καὶ νῦν εἰς Καρδιανοὺς πέπομφε βοήθειαν· ἐνδεικνύμενος κἀνταῦθα τὴν αἰτίαν τῆς ὑποθέσεως, καὶ ὅτι ἀπήγγελται αὐτοῖς Φίλιππος πεπομφέναι βοήθειαν Καρδιανοῖς. Καὶ τρίτην ἀντίθεσιν· Ἀλλ' οὐ προηγόρευκεν ὁ Φίλιππος ἡμῖν τὸν πόλεμον· ἣν ἔλυσε συνήθως. Οὐδὲ γὰρ Φεραίοις, οὐδὲ Ὀλυνθίοις, οὐδὲ Ἐρετριεῦσιν, οὐδὲ ἄλλοις πώποτε οὐδέσι προεῖπεν. Εἶτα τῷ ἀναγκαίῳ κέχρηται, ἐκ διαφορᾶς αὐτὸς συνιστὰς ὅτι οὐ περὶ τῶν ἴσων αὐτοῖς καὶ τοῖς ἄλλοις ἔστιν ὁ κίνδυνος, ἵνα κἀκείνην τὴν ὑπόνοιαν ἀνέλῃ· Εἴ τινες εἶεν ἀπράγμονες καὶ στέργοντες τὴν δουλείαν, ὅτι οὐ περὶ δουλείας αὐτοῖς ἐστιν ὁ ἀγών, ἀλλὰ περὶ παντελοῦς διαφθορᾶς καὶ ὁλοσχεροῦς ἀναστάσεως καὶ ἀναιρέσεως. Ἄχρι μὲν οὖν τούτων τὰ πραγματικώτερα πρὸς τοὺς ἐπὶ χάριτι πολιτευομένους ῥήτοράς ἐστιν αὐτῷ· τὸ δὲ ἐντεῦθεν εἰσέβαλεν εἰς παρέκβασιν, διαβολὴν ὁμοίως ἔχουσαν τῶν δωροδόκων ῥητόρων, ὅτι δι' αὐτοὺς Φίλιππος οὐκ εὖ ποιεῖ τὴν πόλιν, καὶ ταῦτα Ὀλυνθίους εὖ ποιήσας καὶ Θετταλοὺς καὶ Θηβαίους, ἵνα προκαταλαβὼν ταῖς διαβολαῖς ἐκβάλῃ τὴν ἀντιλογίαν ὁμοίως, ἣ δέδοικεν αὐτοὺς ποιησομένους, καὶ δι' ἣν ἐδεήθη τούτων πάντων τῶν λόγων· καὶ ταύτην καθίστησι φανεράν, ὡς ἔφη, διὰ τῶν ἐλέγχων ὧν πρὸς Ἀριστόδημον ποιεῖται. Ταῦτα δὲ συντείνει σύμπαντα πρὸς τὴν λύσιν τῆς ἀντιθέσεως. Ἐπειδὴ γὰρ ἀντέπεσε, Καὶ διὰ τί δεησόμεθα καὶ εἰς ποίαν χρείαν τοῦ βασιλέως; διέβαλε τοὺς ῥήτορας λέγων σύνηθες εἶναι λέγειν αὐτοῖς ταῦτα ἐξ ὧν κωλύουσι τὴν πόλιν. Ταῦτα γὰρ περὶ Φιλίππου λέγειν εἰώθασιν, ἐπεὶ τίνος ἕνεκεν αὐτοὶ τὴν ἡσυχίαν οὐκ ἄγουσιν, ἀλλὰ τῇ πόλει συμβουλεύουσι μὴ προεστάναι τῶν Ἑλλήνων· τῇ μὲν γὰρ ἀνάγκην ὑπεῖναι προστατεῖν τοῦ κοινοῦ γένους, τοῖς δὲ ῥήτορσιν οὐδεμίαν ἀνάγκην εἶναι φιλοτιμίαν περιεργάζεσθαι. TV.

134, 15. Οὐδενὶ μέντοι μᾶλλον] εἰς τὸν περὶ τῶν ἐν Χερρονήσῳ κεῖνται. B.

234, 18. Ἐξ ἀνάγκης] ἀναγκαίως. P.

135, 7. Τοῖς ἄρχουσι βουλομένοις] ἀντὶ τοῦ ἄρχειν, ὡς ἐν τῷ τέλει τοῦ περὶ Συντάξεως λόγου· « ὑμᾶς οὖν ὑπάρ« ξαι δεῖ χρηστὰ βουλομένους, καὶ πάντα ἕξει καλῶς », ἀντὶ τοῦ δεῖ χρηστὰ βούλεσθαι. Ἢ ἵνα λείπῃ τὸ εἶναι. BY.

137, 7. Τὸ δ' οὐχ οὕτως ἔχει] Ἀπ' ἐντεῦθεν ἕως τοῦ ἑτέρου ἀστερίσκου, τοῦ λόγου τοῦ περὶ τῶν ἐν Χερρονήσῳ ἐπιγραφέντος ἐστίν. B.

138, 26. Πολλοῦ δεῖ] μὴ ἔχειν ὀρθῶς. P.

139, 16. Ὃ δὴ λοιπὸν] Μετέρχεται ἐπὶ τὸ δυνατὸν κεφάλαιον. FYP.

141, 24. Ἀξιῶ] ἀντὶ τοῦ ἄξιον νομίζω. B.

141, 29. Τῆς κακώσεως] Κάκωσις ὄνομα δίκης κατὰ τῶν ἀτιμαζόντων τοὺς γονεῖς FYP.

142, 6. Οὐχ ὅπως] ἤγουν οὐ μόνον. P.

142, 26. Ἑτέραν] αἰτίαν. P.

143, 23. Ἕτερος] ὁ Φίλιππος. P.

143, 29. Ἔρημον] ὡς ἕρμαιον, ἢ θησαυρὸν ἐπ' ἐρημίας εὑρών, μηδενὸς μήτε προϊσταμένου μήτε φυλάττοντος. FYP.

145, 1. Ἄπιστος] ἀντὶ τοῦ μηδετέρους φίλων. FYP.

145, 2. Τοῖς ἑτέροις] τοῖς νικήσασιν. P.

145, 6. Ἥκιστα] πάνυ BP.

145, 24. Ἀχθεσθῆναι] διὰ μίσους γενέσθαι. Less.

145, 27. Κεκλημένοι] ἀπατώμενοι. Less.

145, 28. Ἕτεροι] οἱ προδόται καὶ ὁ Φίλιππος. YP.

146, 2. Παραθεὶς] εἰς σύγκρισιν ποιήσας. Less.

147, 19. Ὠρείταις] ἀπὸ τόπου τοῦ Ὀρεοῦ. B.

150. 5. Καίτοι] Ἕως ὧδε τὰ περὶ τῶν ἐν Χερρονήσῳ ἐκ τοῦ προτέρου ἀστερίσκου. B.

250, 7. Ἀριστόδημε] Προδότης ἦν οὗτος. P.

Φιλαίτιον] Ἰσοκράτης ἐπὶ τοῦ φιλοῦντος ἄλλους αἰτιᾶσθαι, νῦν δὲ ἐπὶ τοῦ εἰωθότος αἰτίας καὶ κατηγορίας ὑπομένειν παρὰ τῶν ἄλλων. FYP.

150, 28. Σοὶ μὲν γὰρ] Σημείωσαι, κύκλος. BFYP.

XI. ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ.

152, 1. Ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ὑμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον] Σηλυβρίαν ἐπολιόρκει Φίλιππος, πόλιν τῶν ἐπὶ Θρᾴκης· Ἀθηναῖοι δὲ ἀπέστειλαν ἐν τῷ καιρῷ τούτῳ σιτηγήσοντα αὐτοῖς πλοῖα· καὶ ὑπονοήσας Φίλιππος μὴ ἐπὶ σιτηγίᾳ πεπομφέναι τὰ πλοῖα, ἀλλ' ἐπὶ συμμαχίᾳ Σηλυβριανῶν, ἔλαβε ταῦτα τὰ πλοῖα, καὶ γέγραφεν Ἀθηναίοις ἐπιστολήν, αἰτιώμενος ὅτι βοηθοῖεν Σηλυβριανοῖς οὐ συμπεριειλημμένοις ταῖς συνθήκαις, καὶ παρ' αὐτοῖς εἶναι τὸ λελύσθαι τὴν εἰρήνην, ἀπειλῶν τε ἀμυνεῖσθαι αὐτοὺς παντὶ σθένει. Ταύτης τῆς ἐπιστολῆς ἀναγνωσθείσης ὁ Δημοσθένης προτρέπει φανερῶς ἐπὶ τὸν πόλεμον, ὡς τοῦ Φιλίππου δεδωκότος τὸ σύνθημα. Ἔοικε δὲ προτροπῇ τινι ἐπὶ στρατοπέδου λεγομένῃ μᾶλλον ἢ δημηγορίᾳ. Καὶ περιέχει κεφάλαια τρία· τὸ δίκαιον, τὸ συμφέρον, τὸ δυνατόν. Καὶ λαμβάνει τὸ μὲν δίκαιον εἰς κατασκευὴν τοῦ δυνατοῦ· τὸ δὲ δυνατὸν καινοτέρᾳ μεθόδῳ μετακεχείρισται καὶ ἀγωνιστικωτέρῳ τρόπῳ συμπέπλεκται· οὐ γὰρ ἰδίᾳ μὲν περὶ τῆς πόλεως εἴρηκεν, ἰδίᾳ δὲ περὶ Φιλίππου, ἀλλ' εἰς ταὐτὸν ἥνωκε καὶ συνήγαγεν ἄμφω τὰ μέρη τοῦ δυνατοῦ, καὶ τοιαύτῃ μεθόδῳ περὶ τοῦτο κέχρηται, περιττότερόν τι νῦν ἢ ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν προσεξευρὼν καὶ διδοὺς χρῆσιν ἀμφοτέρων τῶν μεθόδων. Ἐκεῖ μὲν γὰρ ἦν ἑκάτερον καὶ λόγος περὶ ἑκάστου κεχωρισμένος ἁπλῶς, ἐνταῦθα δὲ διπλοῦν τὸ εἶδος, κατὰ τὸ αὐτὸ συμπεπλεγμένων τῶν δύο δυνατῶν, καὶ λέλυκεν ἐν αὐτῷ ἀνθυποφορὰν καὶ ἀντίθεσιν· τὴν μὲν ἀπὸ τῆς ἐργασίας κατασκευὴν καὶ ἀπόδειξιν ὡς ἐξ ὁμολογουμένων εἰλημμένην, ὡς παραβεβηκότος τὴν εἰρήνην Φιλίππου· ἑτέραν δὲ τοῦ δυ-

νατοῦ κατασκευάζοντος, ὡς χρὴ μηδαμῶς ὀρρωδεῖν τὸν πόλεμον. Εἰσέβαλε δὲ μετὰ τὸ προοίμιον εἰς τὴν ἐργασίαν τοῦ νομίμου κεφαλαίου· ὃ δὴ καὶ λαμβάνει πρὸς ἀπόδειξιν τοῦ δυνατοῦ ἀπὸ ταύτης τῆς λέξεως στοχαστικῶς· « πρῶτον μὲν γὰρ εἰκὸς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς μεγίστους ἡμῖν ὑπάρχειν συμμάχους καὶ βοηθοὺς (p. 153, 1)· » τοῦτο δὲ ὑπάρχει κατασκευὴ τοῦ δυνατοῦ ἀπὸ τοῦ νομίμου λαμβάνουσα τὴν σύστασιν, ὥστε τὸ μὲν δυνατὸν εἶναι τὸ κατασκευαζόμενον, διὰ δὲ τοῦ νομίμου τὰς ἀποδείξεις αὐτοῦ συμπεραίνεσθαι. Νόμιμον δέ ἐστι τὸ ἔγγραφον δίκαιον. Παρατηρητέον δὲ κἀκεῖνο, ὅτι αἱ αὐταὶ ἀποδείξεις εἰσὶ πολλαχοῦ τοῦ τε δυνατοῦ Φιλίππου [καὶ τοῦ τῶν Ἀθηναίων], πῆ μὲν μεμιγμέναι, πῆ δὲ κεχωρισμέναι. Ἡ πρώτη γοῦν ἔννοια διπλῆ καὶ τὴν καθαίρεσιν παριστῶσα τοῦ Φιλίππου δυνατοῦ καὶ τὴν αὔξησιν τοῦ τῶν Ἀθηναίων δυνατοῦ. Ἡ δὲ δευτέρα ἔννοια, ἧς ἡ ἀρχή· « ἐπειθ' οἷς πρότερον ηὐξήθη φενακίζων ἀεὶ τινὰς καὶ μεγάλα ἐπαγγειλάμενος εὐεργετήσειν » μέχρι τοῦ « ἅπαντας ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτόν, » μᾶλλον μὲν ἔχει τὴν ἀπόδειξιν τῆς καθαιρέσεως τοῦ δυνατοῦ τοῦ Μακεδόνος, συνθεωρεῖται δὲ καὶ τὸ δυνατὸν τῶν Ἀθηναίων. Ἡ δὲ τρίτη ἔννοια, « ἔτι τοίνυν, οὐ γὰρ σμικρὸν, οἱ κατὰ τὴν Ἀσίαν σατράπαι (p. 153, 20), » τοῖν δυοῖν ἐστιν ἀποδεικτικὴ, πλέον μὲν ἔχουσα τὸ ἀποδεικτικὸν τοῦ δυνατοῦ τῶν Ἀθηναίων, συνθεωρουμένην δὲ καὶ τὴν τοῦ Ἀθηναίων, συνθεωρουμένην δὲ καὶ τὴν τοῦ Φιλίππου καθαίρεσιν. Ἡ δὲ τετάρτη ἔννοια, « πρὸς τοίνυν τούτοις τηλικούτοις οὖσιν οὐκ « ἐρῶ μέν (p. 154, 3), » εἴληπται καὶ αὐτὴ ἀπὸ τοῦ ἀδίκου πρὸς τὴν αὐτὴν κατασκευὴν τῆς καθαιρέσεως Φιλίππου καὶ συστάσεως τῆς τῶν Ἀθηναίων ῥώμης. Ἡ δὲ πέμπτη ἔννοια, « καὶ πολλάκις εὑρίσκω λογιζόμενος (p. 154, 13), » μονομερῶς καθαιρετικὴ τοῦ δυνατοῦ Φιλίππου, ἡ περὶ τῆς οἰκείας ἀρχῆς αὐτοῦ, ὑπὲρ ἧς τὸ θεώρημα ἡμῖν εἴρηται ἐν τῷ δευτέρῳ· δι' ἣν αἰτίαν εἴρηκεν αὐτὴν ἐν μὲν προσθήκης μέρει ῥοπὴν ἔχειν, αὐτὴν δὲ καθ' αὑτὴν ἀσθενῆ· τοῦτο γὰρ τεκμήριον τῆς ἀσθενείας αὐτῆς ἐστιν, αὐτὸ τὸ μετὰ πολλῶν μὲν τολμᾶν, κατὰ μόνας δὲ μὴ τολμᾶν στρατεύεσθαι. Πρὸς τοῦτο ἀντέπεσεν ἀπὸ τῆς ἐργασίας αὐτῷ, Ἀλλ' εἰκὸς χαίροντας Μακεδόνας τοῖς γινομένοις προθύμως συμπράττειν Φιλίππῳ· τοῦτο ἔλυσεν εἰπών· « μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς χαίρειν τούς τε ἄρχοντάς τε καὶ τοὺς ἀρχομένους (p. 154, 23). » Ἕκτη, ἡ περὶ τῶν ἡγεμόνων τῶν ξένων, καὶ αὐτὴ καθαιρετικὴ τοῦ δυνατοῦ Φιλίππου. Εἶτα ἐπειδήπερ παράδοξον ἔννοιαν εἶπε, καὶ διὰ τοῦτο σχεδὸν ἀπίθανον ἐν τῷ περὶ τῶν ξένων λόγῳ, ὅτι τὰ μάλιστα σκορακίζονται, αὐτὸς ἑαυτοῦ ἐλάβετο καὶ ᾔσθετο τῆς παραδόξου ἐννοίας. Ἔλυσε γοῦν εὐθέως εἰπών· « καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειε (p. 155, 15)· » καὶ ἐπάγει διὰ τῶν ἑξῆς τὴν αἰτίαν. Πρὸς ταῦτα τοίνυν ἅπαντα τὰ προειρημένα περὶ τοῦ δυνατοῦ ἀνθυποφορά τις ἀντέπεσε· « πῶς οὖν, εἴπερ ἔστι τὰ τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν; (p. 155, 20) » ἐκ γὰρ τῶν εἰρημένων ἁπάντων πρὸς καθαίρεσιν ἠθροίσθη τις αὐτῷ δόξα ἀπιθανότητος, ὅτι εἰ ταῦτα ἦν ἀληθῆ, πάντως ἂν ἀπέστησαν. Αὐτὸς δὲ καὶ ταύτην ἔλυσεν εἰπὼν ὅτι « τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις. » Ἄλλη ἀντίθεσις πρὸς τὸ δυνατὸν ἀντέπεσεν. Ἐπειδὴ γὰρ πάντα τὰ μέρη τῆς δυνάμεως καθεῖλεν, ἐλείπετο δὲ τὸ ἀπὸ τῆς τύχης, ἐξ ἀντιθέσεως τοῦτ' ἔλαβεν· « εἰ δέ τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι καὶ δυσπολέμητον νομίζει (p. 156, 7). » Πρὸς δὲ τοῦτο καὶ διὰ τοῦτο ἐγύμνασε καὶ οὐ καθεῖλεν, ἐπειδὴ πλεῖστα αὐτῷ συμβάλλεται· προκατασκευὴν γὰρ τοῦ δυνατοῦ τῶν Ἀθηναίων ἔχει. Καὶ ἡ κατασκευὴ δὲ τῆς ἀντιθέσεως οὐκ ἔστιν αὐξητικὴ τοῦ δυνατοῦ τοῦ Φιλίππου, ἀλλ' αὐτῆς τῆς δυνάμεως τῆς τύχης ἐστὶν αὐξητικὴ καὶ τῆς παρὰ τοῦ δαιμονίου ῥοπῆς. Διὰ τοῦτο δὲ τὴν τύχην ηὔξησε καὶ τὴν παρ' ἐκείνης ῥοπὴν, ἵνα μᾶλλον τὸ τῶν Ἀθηναίων δυνατὸν αὔξησιν λάβῃ· ὅσῳ γὰρ ἂν αὐξηθῇ τὰ τῆς τύχης καὶ ὅσῳ ἂν ἀποδειχθῇ μετὰ τῶν Ἀθηναίων ἡ τύχη, τοσούτῳ μᾶλλον καὶ τὸ τῶν Ἀθηναίων δυνατὸν ἰσχυρότερον φανεῖται. Πρὸς τοῦτον οὖν τὸν περὶ τῆς τύχης λόγον, ἐν ᾧ ἀποδείκνυται ὅτι ἡ Ἀθηναίων πόλις εὐτυχεστέρα, ἀντέπεσεν ἀνθυποφορά· « τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθωσεν ἡμῶν; (p. 156, 22); » ταύτην ἔλυσε τῷ συμφέροντι, τῆς ῥαθυμίας κατηγορῶν καὶ τῆς δεινῆς ἀργίας καὶ ἐκλύσεως, ἣν ἐπιδείκνυνται ἐν τοῖς πράγμασι μέλλοντες καὶ καθήμενοι καὶ ψηφιζόμενοι καὶ πυνθανόμενοι. Εἶτα ἐτρέψατο ἐπὶ τὸ αἰσχρὸν καὶ τὸ ἄδοξον μέρος τοῦ συμφέροντος, εἰ δὲ βούλει τοῦ ἀσυμφόρου· « καίτοι τί γένοιτ' ἂν νεώτερον ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθηναίων καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε μικρῷ πρότερον (p. 157, 1). » Εἶτα ἐπάνεισιν ἐπὶ τὸ δυνατὸν, πάλιν τιθεὶς τὴν πρώτην λύσιν τῆς ἀνθυποφορᾶς, καὶ τὴν αἰτίαν ἀποδίδωσι δι' ἣν ἐκεῖνος μὲν κατορθοῖ, ἡ πόλις δὲ οὐδαμῶς· καὶ τόπον ποιεῖται κατὰ τῶν ῥητόρων, ἐνδεικνύμενος ὅτι διὰ τούτους ἐκεῖνος κατορθοῖ· ἡ πόλις δὲ οὐδὲν τῶν ἐκείνου πραγμάτων στασιάζειν παρασκευάζει. Εἶτα πληρώσας τὰς λύσεις τῆς ἀνθυποφορᾶς, ἃς εἴληφεν ἐκ τοῦ συμφέροντος καὶ τοῦ δυνατοῦ, καὶ εὐλαβηθεὶς μὴ πάλιν ἐπὶ τὴν εἰρήνην δράμωσιν Ἀθηναῖοι, καὶ πρεσβείαις πειράσωνται διαλῦσαι τὰ παρακεκινημένα, ὑπετέμετο καὶ ταύτην τὴν ἔννοιαν εἰπών· « ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν, καὶ λογισαμένους ὅτι οὐδὲ ἐφ' ἡμῖν ἐστι τὸ φάσκειν ἄγειν εἰρήνην· ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκεν ὁ Φίλιππος τὸν πόλεμον καὶ τοῖς ἔργοις ἐξενήνοχε (p. 157, 17). » Ταῦτα γάρ ἐστιν ἀπομαχομένου πρὸς ἐκείνην τὴν ἔννοιαν, ὅτι ἴσως οὐδέπω λέλυται ἡ εἰρήνη, καὶ δυνατόν ἐστι διαλῦσαι τὰς ὑποψίας ταύτας. Ἐπήγαγε δὲ πάλιν τὸ δυνατὸν εἰπὼν « μηδενὸς μὲν φείδεσθαι μήτε τῶν δημοσίων μήτε τῶν ἰδίων. » Εἶτα ἑτέραν πάλιν ἐπὶ τούτοις ἐπιλογικὴν ὑπόνοιαν ἀνήρηκεν· Ἀλλὰ δυνησόμεθα διὰ τῶν ξένων αὐτὸν ἀμύνασθαι. Ταύτην μὴ θεὶς ἔλυσεν εἰπών· « μὴ γὰρ ὑπολάβῃ τις ὑμῶν δι' ὧν ἐγένετο τὰ πράγματα χείρω τῆς πόλεως, διὰ τούτων αὐτὰ πάλιν ἀναλήψεσθαι (p. 157, 54). » Καὶ ἕτερον ἐν ᾧ καὶ τὴν ἀντίθεσιν ἐπεσημήνατο· « μηδὲ νομίσητε, ῥᾳθυμούντων ὑμῶν ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως. » Τοῦτο γάρ ἐστιν ἐνδεικτικὸν τῆς ἀντιθέσεως ὅτι ἀλλὰ δυνησόμεθα διὰ τῶν ξένων ἀδικοῦντα αὐτὸν κωλῦσαι· ἣν ἐκ προλήψεως ἔλυσε, καὶ ἐπισημαινόμενος πάλιν οὐδὲν ἧττον λύει, καὶ συνάπτει τοὺς ἐπιλόγους ἀπὸ τοῦ αἰσχροῦ ἐπιχειρῶν, ἀπὸ τῆς τῶν προγόνων κρίσεως, ἀπὸ τῆς τοῦ πολεμίου κρίσεως, ἀπὸ τῆς ποιότητος τῆς πόλεως, ἀπὸ τοῦ μεγέθους τῶν ἔργων καὶ τῶν κατορθωμάτων τῶν προγονικῶν, ἅπερ ἂν εἴη τοῦ ἐνδόξου. Καὶ ταῦτα μὲν ἀπὸ τοῦ συμφέροντος εἰς τὸν ἐπίλογον· ὁ γαρ τοῦ αἰσχροῦ καὶ τοῦ

ἐνδόξου καὶ τοῦ πρέποντος τόπος καὶ τοῦ καλοῦ ἴδιος ἂν εἴη τοῦ συμφέροντος. Εἶτα ἀπὸ τοῦ δυνατοῦ πάλιν ἐπιλογίζεται « χρῆναι πάντας παρασκευάζεσθαι μὲν πρὸς τὸν « πόλεμον, παρακαλεῖν δὲ τοὺς Ἕλληνας μὴ λόγοις, « ἀλλ' ἔργοις (p. 158, 12). » Εἶτ' ἐπειδήπερ ἀντέπεσεν, Ἀλλὰ πολλάκις παρακαλέσαντες οὐκ ἐπείσαμεν, ἔλυσε καὶ τοῦτο εἰπὼν αὐτοὺς αἰτίους εἶναι, πρεσβευομένους μὲν καὶ τηνάλλως λέγοντας, δεικνύντας δὲ πράξεως μηδὲν ἔργον· εἰωθέναι δὲ ἅπαντας τοῖς ἔργοις μᾶλλον ἢ τοῖς λόγοις προσέχειν, καὶ μάλιστα τῶν ἐξηπατηκότων λόγοις πολλάκις. TCV.

152, 1. Ὅτι μὲν] Μεστὸν παραμυθίας τὸ προοίμιον. FYP.

152, 3. Ὑμῖν] Καλῶς τὸ ὑμῖν, ὡς ἂν εἰ ἔλεγεν, ἐμοὶ γὰρ καὶ πάλαι φανερὸν ἦν. FYP.

Ἐπειδὴ] Κατασκευὴ τῆς προτάσεως. FYP.

152, 4. Ἅλον] Ἅλος καὶ Φάρσαλος δύο πόλεις Θετταλικαί· αὗται πρὸς ἑαυτὰς ἐστασίαζον. Καὶ οἱ μὲν Ἅλιοι τοῖς Ἀθηναίοις φίλοι ὑπῆρχον, οἱ δὲ Φαρσάλιοι τῷ Φιλίππῳ. Χειρωσάμενος δὲ τοὺς Ἁλίους Φίλιππος παρέδωκε τοῖς Φαρσαλίοις τοῖς φίλοις αὐτοῦ. Ἰστέον δὲ ὅτι βουλόμενος εἰπεῖν ὁ ῥήτωρ ἅπερ ἠδίκησεν αὐτοὺς ὁ Φίλιππος μετὰ τὴν εἰρήνην, οὐ κατὰ τάξιν κέκριται, ἀλλ' ἀδιαφόρως· πρῶτον γὰρ ἐγένετο τὸ κατὰ Θρᾴκην, εἶτα τὰ περὶ Ἅλου καὶ Φαρσάλου, καὶ ὕστερον τὸ περὶ Φωκέας. FYP.

152, 6. Αἰτίας οὐκ οὔσας] οἷον περὶ Διοπείθους, λέγων ὅτι ἀδικεῖ τὴν εἰρήνην πολεμῶν, καὶ περὶ Φωκέων, ὅτι ἱερόσυλοί εἰσι, καὶ περὶ Ἁλίων, ὅτι τοὺς Φαρσαλίους ἀδικοῦσι. FYP.

152, 7. Τῷ μὲν] Συμπέρασμα τοῦ προοιμίου. Εὐθὺς δὲ ἀπ' αὐτοῦ εἰσβολὴ τοῦ δυνατοῦ κεφαλαίου FYP.

152, 9. Ὀρρωδεῖν] τὸ φοβεῖσθαι· εἴρηται δὲ ἀπὸ τοῦ ὀρροῦ καὶ τοῦ δέους· ὀρρὸς δὲ λέγεται ἡ πυγὴ τῶν ὀρνίθων· ὅθεν καὶ ὀρροπύγιον. Ἐπειδὴ οὖν συμβαίνει ταῖς ὄρνισιν ἐν τῷ φοβεῖσθαι ἀποπατεῖν καὶ τὸν ὀρρὸν ὑπὸ τοῦ δέους ἐπείγεσθαι πρὸς τὸ ἀφοδεῦσαι, διὰ τοῦτο εἴρηται τὸ φοβεῖσθαι ὀρρωδεῖν. Λέγεται δὲ καὶ ἀρρωδεῖν. Y.

153, 2. Τοὺς θεοὺς] Οὐκ ἔχων δεῖξαι δύναμιν ὑπάρχουσαν ἐπὶ τοὺς θεοὺς καταφεύγει, λέγων αὐτοὺς συμμαχεῖν Ἀθηναίοις διὰ τὸ μισεῖν Φίλιππον. Εἶτα ἐπειδὴ ἄδηλον ἦν εἰ ἐμίσουν αὐτόν, ἐπήγαγε τὴν ἐπιορκίαν, κατασκευάζων ἐκ τούτων ὡς τοῖς τοιούτοις πολέμοις ἀεὶ καθεστᾶσιν οἱ θεοί. FYP.

153, 8. Περινθίων] Πέρινθος πόλις Θρᾴκης, ἥτις νῦν καλεῖται Ἡράκλεια, οὐ πολὺ ἀπέχουσα τοῦ Βυζαντίου· διὸ εὐθὺς συνῆψε τούτοις τὸ Βυζάντιον. FYP.

153, 12. Ὑποπτεύεται] Ἐπειδὴ ἐδόκουν τέως εἶναι φίλοι οἱ Θηβαῖοι, ὑποψίαν ἐπ' αὐτῶν εἶπεν· ἡ δὲ ὑποψία πόλεμον πάλιν ὠδίνει κατὰ γνώμην. FYP.

153, 13. Νίκαιαν] Ἰστέον ὅτι πολὺ ἀφέστηκε τῶν Θηβαίων αὕτη· ἐν γὰρ ταῖς Πύλαις κεῖται. Καλεῖ δὲ αὐτὴν Θηβαίων, ἐπειδὴ ἄποικος ἦν αὐτῶν. FYP.

Κατέχων] ὡς ἐπὶ τυράννου ἡ λέξις. FP.

157, 17. Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἐπίλογος. FP.

XII. ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

159, 11. Τιρίστασιν] Τιρίστασιν οἶμαι τὴν περίστασιν λέγει. BP.

XIII. ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ.

166, 1. Περὶ μὲν τοῦ παρόντος ἀργυρίου καὶ ὧν ἕνεκα τὴν ἐκκλησίαν ποιεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι] Ὁ περὶ συντάξεως λόγος οὐκ ἔχει προφανῆ τὸν χρόνον, εἰκάσειε δ' ἄν τις αὐτὸν εἰρῆσθαι πρὸ τῶν Φιλιππικῶν, ἀφεστηκότων μὲν ἤδη τῶν συμμάχων, Ῥοδίων δὲ ὀλιγαρχουμένων. Ὥστε ὅσοι συντάττουσιν αὐτὸν τοῖς Φιλιππικοῖς, ἠγνοήκασι παντελῶς ὅτι τῶν Φιλιππικῶν ἐστὶ προγενέστερος. Ἔοικε δέ τις Εὐβούλου νενικηκέναι γνώμη τὰ στρατιωτικὰ θεωρικὰ γενέσθαι. Μεθ' ἣν ἐπιχειροτονίαν οὐκέτι μὲν ἀντιλέγειν δύναται τῷ λαμβάνειν, συντρέχων δὲ ταῖς διανομαῖς εἰσηγεῖται δεῖν τὴν ἐκκλησίαν γενέσθαι, καὶ ἐν ἐκείνῃ κυρῶσαι ἅπερ ἀξιοῖ καὶ αὐτός. Ἀξιοῖ δὲ προστεθῆναι τῷ λαμβάνειν τάξιν τοῦ πράττειν τινὰ τὰ δέοντα. Οὐκ ἔστι δὲ ἡ περὶ τούτου προκειμένη συμβουλὴ νῦν ἐντελής, ἀλλ' εἰσήγησις μόνη καὶ προτροπή τισιν ἐν ἑτέρᾳ ἐκκλησίᾳ τὴν τάξιν κυρώσουσιν. Ἀξιοῖ δὲ καὶ τοὺς καιροὺς διαταχθῆναι, τόν τε τοῦ πολέμου καὶ τὸν τῆς εἰρήνης· καὶ τὰ κεφάλαια δὲ περὶ ὧν αὐτοὺς δεῖ βουλεύσασθαι προτίθησι νῦν καὶ προαναφωνεῖ. Τὸ δὲ σύμπαν ἐστὶν ὥστε διὰ παντὸς μὲν λαμβάνειν αὐτούς, λαμβάνοντας δέ, ὡς ἔφη, μηδενὸς τῶν πρακτέων ῥαθυμεῖν ὅτου καιρὸς εἴη. Ἐπειδὴ γὰρ οὐκ ἔσχεν ἀντειπεῖν κρατούσῃ Εὐβούλου τῇ γνώμῃ περὶ τοῦ λαμβάνειν, ἦλθε λοιπὸν ἐφ' ἑτέραν ὁδὸν δι' ἧς προστίθησι καὶ αὐτὸς τὴν ἑαυτοῦ γνώμην, τὸ δεῖν πράττειν δι' αὐτῆς εἰσηγούμενος. Καὶ ἡ μὲν ὑπόθεσις καὶ ὁ σκοπὸς τοῦ λόγου τοῦτον ἔχει τὸν τρόπον, οὔτε δὲ περὶ πολέμου πρόκειται συμβουλή τις οὔτε περὶ τοῦ δεῖν ἄγειν εἰρήνην ἡ σκέψις πάνυ, ἀλλ' ἔστιν, ὡς ἔφην, εἰσήγησις ἀξιοῦντος προστιθέναι τῇ κεκρατηκυίᾳ γνώμῃ περὶ τοῦ λαμβάνειν τὸ πράττειν τὰ δέοντα, χρωμένους ἀφορμῇ ταύτῃ. Παρὰ τῶν τῆς πόλεως Εὐβούλου μικρὰ δεδωκότος καὶ πρὸς χρόνον ῥητὸν τῶν πανηγύρεων, οὗτος καὶ διὰ παντὸς δίδωσι καὶ πλείονα, εἰ μόνον ἐθέλοιεν διὰ τοῦτο λαμβάνειν, ἵνα καὶ τὰ δέοντα πράττοιεν. Τὸ δὲ πρῶτον κεφάλαιον τοῦ λόγου, εἰ μὲν ἐντελῆ τὴν ἐργασίαν εἶχε τοῦ πῶς χρὴ λαμβάνειν πεζοὺς καὶ ἱππέας καὶ τριηρίτας, καὶ πότε καὶ πῶς δεῖ συντετάχθαι, ἀπεφήνατο ἄν τις εἰκότως, θαρρῶν εἶναι τὸ δυνατόν· ἐπεὶ δὲ οὐ περὶ τούτων νῦν ὁ λόγος ἐστίν, ἀλλ' ἁπλῆ τις εἰσήγησις περὶ τοῦ καταδέξασθαι λόγον περὶ τούτων καὶ προθεῖναι γνώμην τῷ βουλομένῳ, εἰκότως ἄν τις ἀποφήναιτο τοῦ συμφέροντος εἶναι. Ὅθεν δὴ τὸ συμφέρον ἀποφαντικῶς φαμὲν τὸν λόγον ἔχειν κατὰ τὸ πρῶτον κεφάλαιον, εἰσηγουμένου τοῦ ῥήτορος συμφέρον εἶναι περὶ τῆς παρασκευῆς βουλεύεσθαι, ὡς περιεκτικὸν μὲν εἶναι τὸ συμφέρον, περιεχόμενον δὲ τὸ δυνατόν· πάντες γὰρ οἱ περὶ τοῦ δυνατοῦ λόγοι καὶ πᾶσαι δὲ αἱ ἀποδείξεις ἀπὸ τοῦ συμφέροντος ἔχουσι τὰς κατασκευάς. Ἀρκτέον δὲ λέγειν ἄνωθεν. Τὸ τοίνυν προοίμιον ἐρρητόρευται αὐτῷ κατὰ τὸν τρόπον τοῦ ὑπὲρ Μεγαλοπολιτῶν καὶ περὶ τῶν ἐν Χερρονήσῳ στρατιωτῶν· καὶ γὰρ ἐν ἐκείνοις προστιθέμενος θατέρῳ μέρει προσποιεῖται μηδετέρῳ συναγορεύειν, ἀλλ' ἀεὶ τὸ μέσον ζητεῖν. Τοῦτο δέ ἐστι

τὸ τῆς πόλεως συμφέρον· εἰ γὰρ μήτε τοῖσδε μήτε ἐκείνοις συναγορεύειν ἐπαγγέλλεται, δῆλον ὅτι τοῦ κοινῇ λυσιτελοῦντος εἵνεκα παρεληλυθὼς ἐπὶ τὸ βῆμα φανήσεται. Ὅθεν δὴ καὶ τοῖς ἀποτρέπουσι προστίθεται· οὐχ ἁπλῶς δὲ προστίθεται, ἀλλὰ μετὰ τοῦ ἀποδεικνύναι τοῦτο λυσιτελοῦν τῇ πόλει καὶ χρήσιμον. Ὅσοι μὲν γὰρ θατέρῳ μέρει συνίστανται αὐτοῦ τοῦ μέρους τὸ λυσιτελὲς μόνον ζητοῦντες, οὗτοι παντελῶς δοκοῦσιν ἀμελεῖν τοῦ κοινῇ συμφέροντος εἰρημένου, ὅπερ κἂν τούτῳ καὶ ἐν ἐκείνοις διαπραττόμενος φαίνεται. Τοιοῦτόν ἐστι τὸ λεγόμενον παρ' αὐτοῦ κατ' Αἰσχίνου ἐν τῷ περὶ τῆς παραπρεσβείας λόγῳ, ὅτι βουλευομένης τῆς πόλεως τὸ περὶ τοῦ πότερον δεῖ Φίλιππον Ἀμφικτύονα ἐγγράφειν, ἢ μή, ὁ μὲν Αἰσχίνης οὐδὲν τῶν συμφερόντων οὐδὲ τῶν βλαπτόντων τὴν πόλιν σκοπούμενος οὕτω συνηγόρει τῷ Μακεδόνι, δηλονότι ἐγκωμιάζων, ἢ καὶ φοβῶν τοὺς ἀκούοντας, ἢ τὸ δίκαιον προτείνων, ὅτι ἄτοπον τῶν ἄλλων ἄξιον αὐτὸν νομιζόντων ἡμᾶς μόνους ἀνθίστασθαι. Ὁ δὲ Δημοσθένης εἰς τὴν αὐτὴν ὑπόθεσιν καθεὶς τὸ μὲν εἰπεῖν τι περὶ Φιλίππου καλὸν, ἢ αἰσχρὸν, ἤ τι τοιοῦτον οἷον Αἰσχίνης, παντελῶς ἀπέχεται, αὐτὸ δὲ τὸ τῆς πόλεως συμφέρον σκοπούμενος ἀπέδειξεν ὡς ἀλυσιτελὲς ἐναντιοῦσθαι τῇ τῶν Ἑλλήνων γνώμῃ. Εἰ μὲν οὖν κἀνταῦθα τὰς γνώμας τὰς τῶν ἀπόρων ἀποδεξάμενος ἐποιεῖτο τὸν λόγον, εἰκότως ἄν τις αὐτὸν ἔφη τῆς ἐκείνων μερίδος ἀκριβῶς εἶναι. Ἐπειδὴ δὲ τὸ μὲν κατ' ἐκείνους σιωπᾷ, φησὶ δὲ συμφέρειν τῇ πόλει τὸ τοὺς λαμβάνοντας καὶ ποιεῖν τι τῶν δεόντων, εἰκότως ἂν δοκοίη τοῦ μὲν χαρίζεσθαι τοῖς διανεμομένοις καθεστηκέναι πόρρω, τοῦ δὲ τῇ πόλει λυσιτελοῦντος ἀντέχεσθαι. Καὶ ταῦτα λέγων τοῖς ἀπόροις οὐ ταὐτὰ λέγειν δοκεῖ. Οἱ μὲν γὰρ ὡς ἴδιον συμφέρον ἢ βλάβος ἐγύμναζον, ὁ δὲ τὸ κατ' ἐκείνους παρεὶς τὸ τῇ πόλει συμφέρον εἰσηγεῖσθαι κατεπαγγέλλεται. Εἰδὼς δὲ ἑαυτῷ τὸν λόγον ἐπικίνδυνον ὄντα καὶ σφαλερὸν, τῷ τοὺς ἀκούοντας μὴ ῥᾳδίως παραδέχεσθαι ταύτην τὴν γνώμην, ἠθικῶς εἰσηγεῖται, ἀξιῶν ἐκκλησίαν ἀποδοῦναι περὶ τούτου, ἵνα καὶ λέγῃ καὶ λέγων δοκῇ μὴ λέγειν. Ἡ μὲν γὰρ οὐκ ἀποφαίνεται, πόρρω καθέστηκε τοῦ προσκρούειν· ᾗ δὲ οὐ σεσίγηκε, ταύτῃ παρρήνεσεν. Ἀπαλλαγεὶς δὲ τοῦ προοιμίου τὸν σκοπὸν ἀθρόως εἶπε, τῆς εἰσηγήσεως ἐντεῦθεν ἀρξάμενος· « ἐγὼ « δὲ φημὶ δεῖν (καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ μέλλω λέ« γειν) (p. 167, 4). » Καὶ ἔστι τοῦτο τοῦ συμφέροντος κεφαλαίου ἐπιβολή. Εἶτα ἀντέπεσεν εὐθὺς τῇ ἐπιβολῇ, καὶ τίνος ἕνεκα βουλευσόμεθα περὶ παρασκευῆς πολέμου καὶ συντάξεως; ἵν' οὖν τὸ λυποῦν διαλύσῃ, ἀπέδωκε τὴν αἰτίαν εὐθὺς εἰπών· « ἵνα, ὦ Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς « ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα πυν« θάνησθε τί πράττει· » ἀντὶ τοῦ, ἵνα στρατευόμενοι τῶν ἀγαθῶν μεταλαμβάνητε. Καὶ αἱ κατασκευαὶ μὲν ἀπὸ τοῦ δυνατοῦ· οὐ μὴν τὸ δυνατόν ἐστι κεφάλαιον, ἀλλ' ἔστι τὸ συμφέρον, ὡς ἔφαμεν. Ὅτι γὰρ χρὴ περὶ τοῦ δυνατοῦ βουλεύσασθαι, τοῦτο αὐτοῖς ὑποτίθεται, ὡς τὴν μὲν παροῦσαν ὑποθήκην τοῦ συμφέροντος εἶναι, τὸ δὲ γενησόμενον περὶ τούτων ὧν κρίνουσι τοῦ δυνατοῦ. Εἶτα ὑπόνοιαν εὐθὺς ἄλλην ἀναιρεῖ, ὅτι ἀλλ' ἀρκέσει τῶν ξένων ἡ δύναμις, ἐπαγαγὼν πρὸς αὐτὴν τηλαυγῶς, « στρατεύε« σθαι δὲ ἑαυτοὺς καὶ μηδενὶ τούτου παραχωρεῖν (p. 167, « 18). » Καὶ ἕτερον, ὅτι δεῖ « τὴν δύναμιν τῆς πόλεως « οἰκείαν εἶναι κατεσκευασμένην. » Καὶ τὴν αἰτίαν εὐθὺς προστίθησι δι' ἣν ἀναγκαῖον εἶναι τῆς πόλεως τὴν δύναμιν· « ἵνα εὐπορῆτε » φησὶ « καὶ τὰ δέοντα ποιῆτε. » Εἶτα καταλέγει τὰ συμφέροντα, ὅσα συμβήσεται στρατευομένων αὐτῶν. Εἶτα πάλιν διαιρεῖ δίχα τὴν αἰτίαν καὶ τὴν ἀνάγκην τοῦ δεῖν αὐτοὺς στρατεύεσθαι, πρῶτον μὲν εἰς τοὺς ξένους καὶ τοὺς στρατηγοὺς, ἵνα μὴ κακῶς ποιῶσι τοὺς συμμάχους, μηδὲ αὐτοὶ παρ' ὑμῖν κρίνωνται· εἰς ἕτερον δὲ, ἵνα τῶν Ἑλλήνων ἄρχητε, φησίν· οὐ γὰρ οἷόν τε εἶναι τῆς μὲν ἡγεμονίας ἀντιποιεῖσθαι, μηδαμῶς δὲ δύναμιν οἰκείαν ἐκπέμπειν. Εἶθ', ἵνα δείξῃ ὅτι πολλὰ ἄτοπα παρὰ τὴν ἀπουσίαν αὐτῶν συμβαίνει, τὰς συμφορὰς καταριθμεῖται τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων, Μυτιληναίων καὶ Ῥοδίων, ὧν ἀναγκαῖόν φησιν αὐτοὺς προεστάναι. Εἶτα ἐπειδήπερ ἐμνημόνευσε Ῥοδίων, ἔλαβεν ἀντιπῖπτον ἐκ τῆς ἐργασίας· Ἀλλ' ἐχθροί γε ἡμῖν Ῥόδιοι, φαίη τις ἄν', φανήσονται. Εἰ μὲν οὖν πρὸς ὅλον τὸ κεφάλαιον, ἢ πρὸς τὸ πλεῖστον μέρος, οὕτως ἀνθυπήγαγεν· Ἀλλ' οὐδὲν ἡμῖν προσῆκε προΐστασθαι τῶν ἐπὶ τῆς Ἀσίας Ἑλλήνων· λελυπήκασι γὰρ ἡμᾶς ἀποστάντες· ἀντίθεσις ἂν ἦν ἀπὸ τοῦ συμφέροντος, πρὸς ἅπαν ἀνθισταμένη τὸ κεφάλαιον· ἐπειδὴ δὲ εἰδικῶς περὶ Ῥοδίων εἴρηται, ἀντιπῖπτον αὐτὸ χρὴ νομίζειν εἶναι. Σκοπὸς δὲ αὐτῷ καὶ τοὺς Ῥοδίους ἐλευθερῶσαι. Διόπερ προαναφωνεῖ καὶ προδιοικεῖται τὸν λόγον. Ὅτι δ' οὖν οὐκ ἔστιν ἀντίθεσις, δῆλον αὐτίκα. Οὐδὲ ἐπέμεινε τῇ λύσει, ἀναδραμὼν εὐθὺς πάλιν ἐπὶ τὸν περὶ συντάξεως λόγον. Δοκοῦσι δὲ μάλιστα ὑπὸ Ῥοδίων ἠδικῆσθαι, ἰσχυσάντων τε κατὰ θάλατταν καὶ πεισάντων τοὺς ἄλλους ἀποστῆναι συμμάχους. Μετὰ ταῦτα ἐπήγαγεν ὅτι διελέχθη καὶ περὶ τούτων πολλάκις, πρὸς ὅπερ ἔοικεν ἀντιπεσεῖν ὑπόνοιά τις αὐτῷ τοῦ ἀσυμφόρου, ὅτι οὐ λυσιτελεῖ γὰρ ἡ συμβούλευσις, καὶ διὰ τοῦτο οὐ πεισόμεθα. Ὅθεν καὶ ἐπήνεγκε δυσχεραίνων· « Ὃ δή μοι πάντων πλείστην ἀθυμίαν παρέσχεν, ἅπαντ' « ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποτρέψομαι, ὅτι, πολλῶν καὶ « μεγάλων καὶ καλῶν ὄντων ὧν συμβουλεύω, τῶν μὲν « ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται, τοῖν δυοῖν δ' ὀβολοῖν « πάντες· » αἰνιττόμενος ὅτι πρὸς τὴν αὐτοῦ βουλὴν δυσχεραίνουσι, μᾶλλον δὲ οὐδὲ ἐθέλουσι μεμνῆσθαι, λαμβάνειν μὲν ἐσπουδακότας, πράττειν δέ τι τῶν ἀναγκαίων οὐ προαιρουμένους. Εἶτα συγκρίνει τὴν ἑαυτοῦ συμβουλὴν, ὡς ἐν συμφέροντι κεφαλαίῳ πρὸς τὸ ἀπὸ τῶν διαδόσεων καὶ διανομῶν κέρδος, ὁμοῦ μὲν κάλλος ἀμύθητον προστιθεὶς τῷ λόγῳ, ὁμοῦ δὲ αὔξων ἐκ τῆς συγκρίσεως τὴν εἰσήγησιν. Πάρεστι δὲ οὐδὲν ἧττον ἐκ τῶν λεγομένων ἀθρῆσαι ὅτι πρὸς ἀντιπίπτοντα ἀπήντηκε τὸν λόγον, ὅτι ἀρκέσει τὸ λαμβάνειν μόνον· σὺ δὲ ἐργώδη καὶ ἀσύμφορα συμβουλεύεις. Μετὰ ταῦτ' ἄλλην ὑπόνοιαν ἀνῄρηκε τοιαύτην· Ἀλλ' ὅταν ἀνάγκη γένηται καὶ χρεία τούτων, τότε περὶ παρασκευῆς βουλευσόμεθα. Ταύτην οὐκ ἔθηκε μὲν, ἔλυσε δὲ ἐπενεγκών (p. 169, 13)· « ἂν μὲν ὑμεῖς νῦν πεισθῆτε τούτων « καιρὸν εἶναι, ὅταν αὐτῶν εἰς χρείαν ἔλθητε, ἕτοιμα « ὑπάρξει· ἐὰν δ' ἀκαιρίαν ἡγησάμενοι παρίδητε, ὅταν « δέῃ χρῆσθαι, τότε ἀναγκασθήσεσθε παρασκευάζεσθαι. » Ἄχρι μὲν δὴ τούτου πεπλήρωται αὐτῷ τὸ κεφάλαιον τῆς εἰσηγήσεως, ὃ διὰ τοῦ συμφέροντος συμπεραίνεται. Εἰσβάλλει δὲ λοιπὸν εἰς δίκαιον, σύγκρισιν ἔχον τῶν ἑαυτοῦ πολιτευμάτων καὶ τῶν ἀντιτεταγμένων καὶ ἀντιπολιτευομένων αὐτῷ ὡς ἐν παρεκβάσει, βουλόμενος δι' αὐτῆς συστῆσαι ὅτι ἄριστα συμβεβούλευκε. Καὶ γὰρ καὶ ἐν τῷ κατὰ Μειδίου λόγῳ, βουλόμενος αὐξῆσαι τὴν κατηγορίαν ταῖς κατὰ Μειδίου διαβολαῖς, πλείονας ἀνήλωκε λόγους ἐν τῇ παρεκ-

βάσει ἢ τοῖς ἀγωνιστικοῖς. Οὑτωσὶ δὲ κἀνταῦθα, βουλόμενος συστῆσαι τὴν εἰσήγησιν, διαβάλλει τὰς τῶν ἄλλων ῥητόρων πολιτείας ὡς πονηράς. Καὶ δίχα διαιρεῖ τὸν περὶ ἐκείνων λόγον· εἰς ἓν μὲν ὅτι περὶ μικρὰ καὶ φαῦλα διατελοῦσι σπουδάζοντες, εἰς ἕτερον δὲ ὅτι πεπείκασι τὴν πόλιν νομίζειν ἐν τοῖς δικαστηρίοις τὴν σωτηρίαν τῆς δημοκρατίας εἶναι. Οὗτοι δὲ ἦσαν οἱ τοῖς εὐπόροις ἐπιβουλεύοντες καὶ τὰς οὐσίας αὐτῶν δημεύεσθαι παρασκευάζοντες. Τούτων δὲ ἁπάντων κατηγορήσας [ὡς] κακῶς πολιτευομένων συνίστησι τὴν ἑαυτοῦ πολιτείαν, καὶ περὶ οἷα καὶ τίνα ἐσπούδακεν αὐτός, ὅτι περὶ μεγάλων ἀκούειν συνεθίζει τὸν δῆμον, συνιστὰς διὰ τούτων ὅτι μόνος καὶ μάλιστα πολιτευόμενος αὐτὸς τυγχάνει, τάχα πρὸς τὸν Εὔβουλον διὰ τούτων ἀποτεινόμενος καὶ τὴν ἑαυτοῦ πολιτείαν πρὸς τὴν ἐκείνου συγκρίνων καὶ δεικνὺς πολλῷ τῷ μέσῳ διαφέρουσαν τὴν ἑαυτοῦ· καὶ οὐ πρὸς τὸν Εὔβουλον μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας ὅσοι τὴν αὐτὴν ἐκείνῳ πολιτείαν ἀνήρηνται. Εἶτα καὶ τὴν αἰτίαν προστίθησι δι' ἣν ἐκεῖνοι μὲν τοῦτον τὸν τρόπον, αὐτὸς δὲ οὐ τὸν αὐτὸν πολιτεύεται. Ταῦτα δὲ ἂν εἴη σύστασις ποιότητος, ἢ θεωρεῖται περὶ τὸ δίκαιον. Διὸ προσποιεῖται ταῦτα λέγειν χαλεπαίνων καὶ ἀχθόμενος ὅτι νενίκηκεν ἀλυσιτελὴς Εὐβούλου γνώμη, διδοῦσα τὰ κοινὰ τῷ δήμῳ σχολάζοντι καὶ εἰς ῥαθυμίαν ἐκκαλουμένη μᾶλλον. Ὅθεν καὶ ἡ ἀντεξέτασις ἑτέρα γίνεται τῆς τῶν προγόνων πολιτείας, ἣν διῴκουν ἄνδρες ἀγαθοὶ οἷος αὐτός, καὶ τῆς νυνὶ καθεστηκυίας, εἰς οἷα οἱ δημαγωγοῦντες ἐπὶ τοῦ παρόντος προήχασι τὴν πόλιν. Εἰκότως δὲ πλεῖστος ὁ περὶ τούτων λόγος· ἐπειδὴ γὰρ ὁρᾷ τὴν πολιτείαν καινοτομουμένην, εἰκότως πλεῖστα περὶ τῆς πολιτείας διαλέγεται, τῇ μὲν ἐπαινῶν, τῇ δὲ μεμφόμενος, μονονουχὶ τὸν Περικλέα μιμούμενος. Πρῶτος γὰρ ἐκεῖνος ἔταξε μισθοφορὰν καὶ ἔδωκε τῷ δήμῳ στρατευομένῳ· καὶ αὐτὸς δὲ βούλεται διδόναι, καὶ προκαλεῖται πράττειν ἃ δεῖ. Δύο τοίνυν εἰσὶν ἐν τῇ παρεκβάσει μέγισται συγκρίσεις ἤτοι ἀντεξετάσεις, μία μὲν τῆς ἑαυτοῦ πολιτείας πρὸς τὴν τῶν ἀντιπολιτευομένων, ἑτέρα δὲ τῆς ὅλης πολιτείας τῆς νῦν πρὸς τὴν πάλαι. Ταύτην δὲ δίχα διαιρεῖ, εἴς τε τὰς νῦν καθεστηκυίας τιμὰς τῶν στρατηγῶν καὶ εἰς τὰς τῶν προτέρων. Καὶ τὸ ἄλλο εἶδος τῆς πολιτείας ἅπαν καὶ αὐτὸ εἰς τρία διῄρηκε, εἰς τὸ κοινὸν τῆς πόλεως, [εἰς τὰ κατὰ τὴν πόλιν add. Wolf.,] εἰς τὰ ἴδια αὐτῶν τῶν δημαγωγῶν. Πᾶσαν τοίνυν, ὡς ἔφαμεν, τὴν πολιτείαν ἀντεξετάζει τὴν τῶν προγόνων, καὶ πρῶτον μὲν τὸν αὐτὸν τρόπον ὅνπερ ἐν τῷ κατὰ Ἀριστοκράτους. Τοῦτο δὲ τὸ μέρος ἔχεται τοῦ περὶ τῶν ῥητόρων λόγου. Δείκνυσι γὰρ ὅπως ἐκεῖνοι μὲν συμμέτρως ἐτίμων τοὺς τότε στρατηγούς, ὅπως δὲ οἱ νῦν πολιτευόμενοι τοὺς [νυνὶ] στρατηγούς, ὅτι μὴ στρατεύεται ἡ πόλις, οὐδένα ὅρον οὐδὲ μέτρον ὁρίζοντες, ἀεὶ δὲ προσβολὰς προστιθέντες. Εἰ δὲ ὁ δῆμος ἐστρατεύετο, οὐκ ἂν οὕτως ὑπερβαλλόντως τοὺς στρατηγοῦντας ἐθαύμαζε. Μετὰ ταῦτα ἐπὶ δεύτερον μέρος τῆς αὐτῆς ἔρχεται, συγκρίνων τὴν παροῦσαν σύμπασαν τῇ παλαιᾷ συμπάσῃ. Διαιρεῖ δὲ τὴν πολιτείαν εἰς τρία, καθάπερ ἐν τῷ τρίτῳ τῶν Ὀλυνθιακῶν· εἰς τὸ κατὰ τοὺς Ἕλληνας, ὅπως μὲν αὐτῶν προειστήκεισαν οἱ πρόγονοι, ὅπως δὲ οἱ νῦν· εἰς τὸ κατὰ τὴν πόλιν, ὅπως ἐκεῖνοι μὲν οἰκοδομήμασι καὶ ἱερῶν κατασκευαῖς πᾶσαν ἐκόσμησαν, οἱ δὲ νῦν κρήνας καὶ λήρους κατασκευάζουσιν· εἰς τρίτον, ὃ περιέχει τοῦ βίου τῶν πολιτευομένων ἀντεξέτασιν, ὅπως μὲν ἐν τοῖς ἰδίοις ἐκεῖνοι μέτριοι καὶ δημοτικοὶ τὰς οἰκίας ὁμοίως τοῖς ἀπόροις κατεσκευασμένοι, ὅπως δὲ οἱ νῦν μεγαλοπρεπεῖς καὶ ὑπερβαλλούσας τινὰς τῶν δημοσίων οἰκοδομημάτων. Καὶ τὴν αἰτίαν προστίθησιν, ὅτι οἱ μὲν ἐφείδοντο τῶν κοινῶν, οἱ δὲ τὰ τῆς πόλεως νοσφίζονται, διὰ τούτων ἔπαινον ἑαυτῷ κατασκευάζων, καὶ ὅτι ἄμεινον ἐκείνων πολιτευόμενος ἀεὶ τὸ κοινῇ συμφέρον, οὐ τὸ ἰδίᾳ κερδαίνειν ὁρᾷ. Εἶτα τούτων ἀπαλλαττόμενος ἀνακεφαλαιοῦται ἀπὸ τοῦ ἐνδόξου, ὅτι πρέπον Ἀθηναίοις ἄρχειν· ἀπὸ τοῦ αἰσχροῦ, ὅτι αἰσχρὸν προέσθαι τοὺς φίλους καὶ τοὺς συμμάχους· ἀπὸ τοῦ ἀναγκαίου, ὅτι οὐχ οἷόν τε προεστηκότας τῶν Ἑλλήνων ἀναχωρεῖν τῆς τάξεως· ἀπὸ τοῦ ἐναντίου, ὅτι ἡμεῖς τοῦ καλοὺς καὶ πονηροὺς εἶναι τοὺς πολιτευομένους αἴτιοι, λέγειν αὐτοὺς τὸ πρὸς ἡδονὴν συνεθίζοντες. Ὡς δὲ συντόμως εἰπεῖν, τριμερὴς ὁ περὶ συντάξεως λόγος, κατὰ τὴν πρώτην τῶν μερῶν τομήν. Καὶ ἓν μὲν αὐτοῦ μέρος ἐστὶ περιεκτικὸν τοῦ συμφέροντος· ἐν ᾧ ποιεῖται εἰσήγησιν περὶ τοῦ δύναμιν κατασκευάσαι τῇ πόλει. Ἐν δὲ τούτῳ τὸ μὲν συμφέρον φαμὲν εἶναι τὸ προηγούμενον, περιεχόμενον δὲ τὸ δυνατόν. Δεύτερον μέρος ἐστὶ τοῦ λόγου παρέκβασις τὸ δίκαιον περιέχουσα, ἐν ᾧ μέμψις καὶ κατηγορία τῶν κακῶς πολιτευομένων ῥητόρων, ὅτι συνεθίζουσι τὴν πόλιν ἀργεῖν καὶ τὰ οὐ δέοντα πράττειν, ἀλλὰ ξένοις ἐπιτρέπειν καὶ στρατηγοῖς ὀλίγοις τῶν πραγμάτων τὰ ἀναγκαιότατα, καὶ δέον προεστάναι τῶν Ἑλλήνων τὴν πόλιν κωλύουσιν· ἐν ᾧ καὶ ἀντεξετάσεις τῆς ἑαυτοῦ πολιτείας πρὸς τὴν ἐκείνων εἰσήγησιν· ἃ καὶ κατασκευαστικὰ τυγχάνει τοῦ δεῖν πεισθῆναι οἷς αὐτὸς εἰσηγεῖται, ἀλλὰ μὴ οἷς αὐτοὶ λέγουσι. [Τὸ] τρίτον μέρος τοῦ λόγου δευτέρα παρέκβασις περιεκτικὴ τοῦ συμφέροντος· ἐν ᾧ τῆς παρούσης πολιτείας ἀντεξέτασιν πρὸς τὴν παλαιὰν ποιεῖται, ἀποδεικνὺς πολλῷ διαφέρουσαν τὴν ἀρχαίαν τῆς νυνὶ καθεστηκυίας. Καὶ τὸ μὲν πρῶτον μέρος καλῶς ἔχει λέγειν περιεκτικὸν εἶναι τοῦ κεφαλαίου τῆς εἰσηγήσεως, τὸ δὲ δεύτερον παρέκβασιν, καὶ τὸ τρίτον δὲ καὶ αὐτὸ παρέκβασιν μὲν εἶναι, διαφέρουσαν δὲ τῆς προτέρας· ὥστε δύο παρεκβάσεις ἔχειν τὸν λόγον, μίαν μὲν περιεκτικὴν τῆς ἀντεξετάσεως τῶν ἀντιδημαγωγούντων, αὐτοῦ τε λέγω Δημοσθένους καὶ τῶν πρὸς ἐκεῖνον, δευτέραν δὲ τῆς καθεστηκυίας πολιτείας πρὸς τὴν παλαιὰν πολιτείαν ἣν διῄρηκε. Τὰ τελευταῖα δὲ τοῦ λόγου ἀνακεφαλαίωσιν ἔχει συντετμημένην εἰς ἃ πρὸ βραχέος διαιροῦντες τὸν λόγον κατετέμνομεν τὰ ἐπιχειρήματα, καταριθμούμενοι καὶ ὑποδεικνύντες ὅθεν εἴληπται τῶν τόπων ἕκαστος. TCV.

170, 6. Τὸν ὀπισθόδομον] Οἶκος ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα, ἢ ἐν τῇ ἀκροπόλει τόπος, ἔνθα τὸ δημόσιον ἀργύριον ἀπέκειτο καὶ ὁ φόρος. FY.

173, 6. Πενέσταις] Πενέσται παρὰ Θετταλοῖς καλοῦνται, ὅπερ παρὰ Λακεδαιμονίοις οἱ Εἵλωτες· καλοῦνται δὲ καὶ Θετταλίκται. FYRP.

173, 16. Φθόρους ἀνθρώπους] φθορᾶς ἀξίους. BP.

174, 17. Ἀλλὰ νὴ Δία] Σημείωσαι· ταῦτα ἐκ τοῦ τρίτου τῶν Ὀλυνθιακῶν. B.

174, 22. Ἀκολούθους] παραπλησίους. P.

176, 23. Πεπολίτευσθε] ἀνενδεῶς προέστητε. FYP.

176, 28. Βουλομένους] ἀντὶ τοῦ βούλεσθαι, ἢ λείπει τὸ εἶναι. BFY.

XIV. ΠΕΡΙ ΤΩΝ ΣΥΜΜΟΡΙΩΝ.

178, 1. Οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ἡμῶν] Ὁ περὶ τῶν Συμμοριῶν λόγος πρόδηλον ἔχει τὴν ὑπόθεσιν. Πέπεισται γὰρ ὁ δῆμος παρασκευάζεσθαι βασιλέα νῦν ἐπὶ τὴν Ἑλλάδα καὶ μέλλειν ἐπιέναι ὅσον οὐδέπω· διὸ καὶ παρώξυνται καὶ προαπαντᾶν αὐτῷ περὶ τὴν Λυδίαν κέκρικε καὶ τοῦ πολέμου κατάρχειν ἤδη. Δημοσθένης δὲ σκοπὸν μὲν ἔχει κωλῦσαι καὶ τὴν ὁρμὴν ἀποτρέψαι. Δεδοικὼς δὲ τοῦ δήμου τὴν ῥοπὴν — χαλεπὸν γὰρ ἦν ἀνθίστασθαι ζέοντι —, οὐδὲ φανερῶς ἀποτρέπειν καὶ συντρέχειν δοκῶν τῇ γνώμῃ κωλύει. Πῶς δὴ τοῦτο ποιεῖ; προστάττει παρασκευάζεσθαι καὶ ἄνευ τῶν Ἑλλήνων μὴ ἐπιχειρεῖν, ἵνα τῷ μὲν συμβουλεύειν παρασκευάζεσθαι δοκῇ συντρέχειν, τῷ δὲ ἄνευ τῶν Ἑλλήνων μὴ κινεῖσθαι λαμπρῶς ἀποτρέπειν, ὥστε τῆς τῆς δεινότητος μεθόδου μετέχειν πως τὸν λόγον. Καὶ σχήματος τοιοῦτόν ἐστιν εἶδος καὶ παρὰ Θουκυδίδῃ ἐν τῇ κατ' Ἀρχίδαμον δημηγορίᾳ τῇ πρώτῃ· καὶ γὰρ κἀκεῖνος δοκῶν ἐπὶ τὸν πόλεμον προτρέπειν οὐδὲν ἧττον ἀνθίσταται. Τοιοῦτον δὲ εἶδος παρὰ τοῖς νεωτέροις οὐκ ἄν τις εὕροι, διὰ τὸ τὴν ὑπερβολὴν τῆς δεινότητος τῶν παλαιῶν μὴ ῥαδίως ὑποπίπτειν μιμήσει. Δύο οὖν σχήματα παραδεδώκασιν ἡμῖν κρυπτῶν λόγων Δημοσθένης καὶ Θουκυδίδης — οὗτοι γὰρ ἐπὶ δεινότητι τῶν ἄλλων διήνεγκαν —· ἓν μὲν τοῦτο, ὃ προειρήκαμεν, ἐν ᾧ δοκῶν τις συντρέχειν κωλύει, καὶ ἔστι πρὸς μίμησιν δυσχερέστατον· δέδωκε δὲ ἰδίᾳ Θουκυδίδης καὶ ἕτερον, ὃ ἀντικρύς ἐστιν ἀπὸ τοῦ ἐναντίου, οἷον τὸ ἐν τῇ δημηγορίᾳ Νικίου. Καὶ γὰρ ἐν ἐκείνῃ συμβουλεύων καὶ προτρέπων δῆθεν πλεῖν ἐπὶ τὴν Σικελίαν τῷ μεγέθει τῆς παρασκευῆς τοὐναντίον ἐργάζεται. Ἐκεῖ μὲν οὖν ὅλον τὸ εἶδος τοιοῦτόν ἐστι διὰ τοῦ ἐναντίου, ἐν ᾧ μεγάλα αἰτῶν οὐκ ἐᾷ τὴν ἔξοδον γίνεσθαι· ἐνταῦθα δὲ συντρέχειν δοκῶν καὶ μεταβιβάζων τὴν διάνοιαν τῶν ἀκροατῶν ἐπὶ παρασκευῆς πρόνοιαν καὶ ἐπιμέλειαν τῶν δικαίων μεθόδῳ τὴν ἀποτροπὴν διὰ τῆς τοιαύτης μελλήσεως καὶ ἤθους καὶ ἐπιμελείας ἐργάζεται, οἷόν ἐστι καὶ τὸ εἶδος τοῦ λόγου, ὡς ἔφην, καὶ τοῦ τῆς Ἀχιδάμου δημηγορίας. Κέχρηται δὲ διαιρέσει μερῶν τοιαύτῃ. Ἓν μὲν πεποίηται προοίμιον, οὐδεμίαν ὁμοιότητα διόλου ἔχον πρὸς τὸ τοῦ Θουκυδίδου προοίμιον, ὥς τῶν πρὸ ἡμῶν τινὲς ᾠήθησαν, ὀλίγας δέ τινας προτάσεις ὁμοίας μόνας, κατασκευὰς δὲ οὐχ ὁμοίας, οὐδὲ τὰς αὐτάς· ὥστε πάνυ πολὺ διεστάναι τὴν ὅλην ἔννοιαν τῆς ἐννοίας καὶ τὴν διοίκησιν ἐκείνης τῆς διοικήσεως. Ἐπαινεῖ δὲ Δημοσθένης οὐ τὰς πράξεις, ἀλλὰ τὰς ἀρετάς, αἰνιττόμενος τοῖς ἀκούουσιν ὅτι δι' εὐβουλίαν ἐκεῖνοι πάντα κατώρθωσαν, ἐνάγων τοὺς ἀκούοντας ἀσφαλέστερον βουλεύσασθαι πρὸ τῶν ἔργων. Τὸ κεφάλαιον εὐθύς ἐστι τὸ συμφέρον, ἔχον ταύτην τὴν ἀρχὴν (p. 178, 22)· « ἐγὼ « νομίζω κοινὸν ἁπάντων ἐχθρὸν εἶναι τῶν Ἑλλήνων « βασιλέα. » Ἡ δὲ πρότασις ἀπὸ τοῦ δικαίου, ὅτι ἄδικος περὶ τοὺς Ἕλληνας βασιλεύς. Τοῦτο δέ ἐστι συντρέχοντος δῆθεν τῇ γνώμῃ τῶν παροξυνόντων. TCV.

178, 24. Οὐ μὴν διὰ ταῦτα] Κατὰ βραχὺ τὸ συμφέρον κατασκευάζει τῷ δικαίῳ καὶ τῷ δυνατῷ, μᾶλλον δὲ τὸ ἀσύμφορον τῷ ἀδυνάτῳ. Εἰώθασι δὲ καὶ τοῖς ἐναντίοις ὀνόμασιν ἀδιαφόρως ἐπὶ τούτων χρῆσθαι οἱ τεχνικοί, καὶ τὸ ἀσύμφορον συμφέρον ὀνομάζειν, καὶ τὸ ἄδικον δίκαιον, ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. Ἐπανέλθωμεν οὖν ἐπὶ τὴν διαίρεσιν. Οὐ συμφέρει πρώτους ὑμᾶς ἐπιθέσθαι τοῖς πράγμασι, διὰ τὸ μὴ ἔχειν δύναμιν καὶ διὰ τὸ τοὺς Ἕλληνας πρὸς ἐκεῖνον μᾶλλον βλέπειν ἢ πρὸς ὑμᾶς. Οὐκ ἀπέχεται δὲ οὐδὲ τοῦ δικαίου ἐν τῇ κατασκευῇ τοῦ συμφέροντος. Ἀξιοῖ γὰρ τὸν πόλεμον δίκαιον γενέσθαι — τοῦτο δέ ἐστι τὸ νόμιμον —, καὶ τὸ μὴ δεῖν παραβαίνειν αὐτοὺς συνθήκας πρότερον. Οὐ μὴν ἐπεξέρχεται τοῦτο σφόδρα, διὰ τὸ εὐλαβεῖσθαι τὴν συμβησομένην ὑπόνοιαν. Οἰηθείη γὰρ ἄν τις αὐτὸν χαριζόμενον βασιλεῖ πειρᾶσθαι δεικνύναι μὴ παραβεβηκότα τὰς πρὸς τοὺς Ἕλληνας γεγενημένας αὐτῷ συνθήκας. Ἐνδιατρίβει δὲ τῷ δυνατῷ μᾶλλον, οὐδὲν ἧττον ἐμφανίζων καὶ διὰ τούτου τὸ δίκαιον, τὸ μέντοι γε συμφέρον, ὡς ἔφην, διὰ τούτων ἁπάντων παραινῶν. Τὸ γὰρ (p. 179, 7) « εἰ γένοιτο ἐναργές τι καὶ σαφὲς ὡς βασιλεὺς « ἐπιβουλεύει τοῖς Ἕλλησι, τότε καὶ συμμαχήσουσι καὶ « ὁμονοήσουσι » δεῖγμα τοῦ μήτε παραβεβηκέναι τὰς συνθήκας τὸν βασιλέα μήτε τοὺς Ἕλληνας ἂν ἐθελῆσαι τοῖς Ἀθηναίοις συνεπαμύνειν· ὧν τὸ μέν ἐστι περὶ τὰς συνθήκας καὶ τὸ νόμιμον, τὸ δὲ κατὰ τὴν συμμαχίαν, ὅπερ ἐστὶ τοῦ δυνατοῦ· καὶ ὅτι τοὐναντίον πολεμήσουσιν ἡμῖν μετ' ἐκείνου οἱ Ἕλληνες, εἰ προαπεχθησόμεθα ἡμεῖς. Καὶ τὸ σύμπαν δὲ στοχαστικῶς. Οὐ γὰρ ἀποφαίνεται ὄντως ἐπιβουλεύειν τὸν βασιλέα τοῖς Ἕλλησιν, ἀλλ', ἐπειδὴ πέπεισται ὁ δῆμος καὶ ἄντικρυς παρρησιάζεσθαι οὐ δύναται, καθ' ὑπόθεσιν καὶ αὐτὸς ἀπολαμβάνει λέγων, « Εἰ ἄρα « ἐγχειρεῖν διέγνωκε τοῖς Ἕλλησι βασιλεύς, » τῷ διασταγμῷ τὴν προθυμίαν πραΰνων καὶ καταπαύων τὴν ὀργὴν τῇ μεσότητι· ἐν ᾧ καὶ τὴν τῶν Ἑλλήνων ἐξετάζει γνώμην, ἣν νῦν ἔχουσι, μὴ πιστεύοντες βασιλέα στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. Οὕτω μὲν οὖν διώκηται τὸ συμφέρον αὐτῷ ἀπὸ τοῦ δυνατοῦ καὶ τοῦ δικαίου πάσας ἔχον τὰς κατασκευάς, ὡς προηγούμενον μὲν εἶναι τὸ συμφέρον, ἐμπεριεχόμενον δὲ τὸ δίκαιον καὶ τὸ δυνατόν. Πέρας δ' οὖν ἐπιθεὶς ταῖς οἰκείαις πίστεσι λαμβάνει πρὸς τὸ κεφάλαιον τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ὁμογενῆ τῷ κεφαλαίῳ μεθοδεύσας αὐτήν, οὐχ ὡς ἀντίθεσιν, ἀλλ' ὡς ἐπιτίμησιν πρὸς τοὺς ῥήτορας. Τί δέ φησιν; « τοῖς δὲ θρασυνο« μένοις καὶ σφόδρα πολεμεῖν κελεύουσιν ἐκεῖνο λέγω (p. 180, 5). » Αὕτη ἐστὶν ἡ ἀντίθεσις. Βουλόμενος δὲ αὐτὴν μὴ πραγματικὴν ποιῆσαι μηδ' ἰσχὺν αὐτῇ περιθεῖναι διαβάλλει αὐτὴν ἐν τῇ θέσει καὶ πρὸς τοὺς ῥήτορας τὸν λόγον ποιεῖται, ὡς νῦν μὲν θρασυνομένους, τότε δ' ἐν τοῖς κινδύνοις ἀποδειλιῶντας, τῷ μὲν δοκεῖν πρὸς τοὺς ῥήτορας λέγων, τῇ δ' ἀληθείᾳ πρὸς τὸν ἀκροατὴν αἰνιττόμενος ὅτι οὐ δεῖ θρασύνεσθαι, ἵνα μὴ μεταγνῶσιν ἐν τοῖς ἔργοις γενόμενοι. Εἶτα ἑτέρᾳ λύσει κέχρηται τῇ ἀπὸ τοῦ δυνατοῦ. Μερίζει δὲ τὸ δυνατὸν εἰς τὸ χαλεπόν, [ὅτι δυσχερὲς] ἐν τοῖς ἐκείνου τόποις πολεμεῖν, τοῦ τριήρεις τοσαύτας καὶ χρημάτων πλῆθος καὶ ἐπικαίρους τόπους [κεκτημένου]· τῷ δὲ ῥᾳδίῳ, ὅτι εὔκολος ἡμῖν ὁ πρὸς ἐκεῖνον ἔσται πόλεμος, εἰ αὐτὸς ἐπέλθοι τῶν Ἑλλήνων κοινῇ συναγωνιζομένων. Εἶτα τῷ συμφέροντι πάλιν, ὅτι « διὰ ταῦτα τοίνυν παραινῶ μὴ προτέρους ἀνελέσθαι τὸν « πρὸς ἐκεῖνον πόλεμον, ἀλλὰ παρασκευάζεσθαι. » Πάλιν ἐκ τῆς ἐργασίας ἀντέπεσε πρὸς τοῦτο τὸ ἐπιχείρημα ὅτι. Ἀλλ' ἐὰν παρασκευαζώμεθα, οὐδὲν ἧττον δόξομεν αἱρεῖσθαι πόλεμον· ἐξ οὗ συνάγεται τὸ δεινόν, εἰ δεῖ στρατεύεσθαι συγκαλέσαντας τοὺς Ἕλληνας. Τοῦτο τὸ ἀντιπῖπτον οὐκ ἔθηκε μὲν ἐκ τοῦ προφανοῦς, ἔλυσε δὲ φανερῶς, εἰπὼν (p. 180, 24)· « εἰ μὲν οὖν ἕτερός τις τρόπος « ἦν δυνάμεως, ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν ἀμύνασθαι,

« ἕτερος δέ τις ᾦ τοὺς Ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ « πρὸς ἐκεῖνον ἐγιγνόμεθα ἀντιταττόμενοι· » τουτέστιν, εἰ παρασκευαζόμεθα ἡμεῖς, οὐκ ἤδη δῆλον ἔσται ὅτι πρὸς βασιλέα τὴν παρασκευὴν συγκροτοῦμεν, ὥστε οὐ δόξομεν ἄρχειν πολέμου. Εἶτα ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν τὴν ἀπὸ τοῦ συμφέροντος, ἄλλο μέρος ἐνταῦθα λύων. Τοῦτο δέ ἐστι, Καὶ νῦν μὲν συγκαλοῦμεν τοὺς Ἕλληνας. Τὸ μὲν οὖν συμφέρειν πολεμεῖν ἔλυσεν ἤδη, τὸ δὲ συγκαλοῦμεν τοὺς Ἕλληνας ἐντεῦθεν ἄρχεται λύειν. Τοῦτο δὲ τὸ μέρος τῆς ἀντιθέσεως μὴ θεὶς ἀνακαλύπτει αὐτὸ τῇ λύσει. Τί γάρ φησι; « καὶ νῦν μὲν συγκαλεῖτε πρὸς ὑμᾶς αὐτοὺς « τοὺς Ἕλληνας· ἐὰν δὲ ἃ κελεύουσιν οὗτοι μὴ ποιῆτε· « (p. 181, 5) » τουτέστιν, ἂν περὶ τῆς ἡγεμονίας ἡμῖν ἀμφισβητῶσιν, ὡς κοινοῦ τοῦ πολέμου τυγχάνοντος, πῶς προσδέξεσθε τὴν ἀμφισβήτησιν; εἶτα ἑτέρᾳ λύσει τῇ ἀπὸ τοῦ καιροῦ, ὅτι ἐπειδὰν αὐτὸς ἐπιστῇ βασιλεὺς, τότε ἑκόντες αὐτοὶ προθυμήσονται· καὶ ἀπὸ τῆς δυνάμεως τῆς πόλεως, ὅτι Οὐκ ἔστιν ὅστις ὁρῶν ὑμᾶς μεγίστην δύναμιν ἔχοντας οὐ μεθ' ὑμῶν ἀξιώσει τετάχθαι. Ἓν μὲν δὴ τοῦτο μέρος τοῦ λόγου πεπλήρωται περιεκτικὸν τοῦ συμφέροντος· οὗ τὸ μέν ἐστι προηγούμενον, τὸ δὲ δεύτερον· προηγεῖται μὲν γὰρ ἐξ ἀρχῆς Δημοσθένους γνώμη, αὐτὸς δὲ ὡς οἰκείαν εἰσηγεῖται, φάσκων ἀσύμφορον κατεπείγουσαν ἐπὶ τὸν πόλεμον. Πέρας δὲ τούτοις ἐπιθεὶς τοῖς μέρεσι τοῦ συμφέροντος, ὃ πολλὴν μίξιν ἔχει καὶ κοινωνίαν, τὸ μὲν πρὸ τῆς ἀντιθέσεως πρὸς τὸ δυνατὸν καὶ δίκαιον, τὸ δὲ μετὰ τὴν ἀντίθεσιν πρὸς τὸ δυνατὸν εἰλημμένον πρὸς ἀναίρεσιν τῆς ἀντιθέσεως. Μεταβαίνει λοιπὸν ἐπ' αὐτὸ καθαρῶς τὸ δυνατὸν, κατασκευὴν ἔχον τῆς παρασκευῆς τῆς πόλεως. Προοιμιάζεται δὲ πρὸ τοῦ κεφαλαίου, ἐνδεικνύμενος τὴν ἀκρίβειαν καὶ τὴν χρείαν μεθ' ὅσης ἐργασίας καὶ πόνων ἐξεῦρεν, ἵνα προτρέψηται διὰ τῶν προοιμιακῶν τούτων τὸν ἀκροατὴν προσδέξασθαι ὡς κάλλιστα καὶ ἐντελέστατα τὸν λόγον ἐξευρημένον. Καὶ ἔστιν ἀρχὴ τοῦ προοιμίου, « ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτά τε « καὶ τὰ παραπλήσια τούτοις, » τῆς μὲν ἐπιβολῆς τοῦ προοιμίου συμπέρασμα τῶν προειρημένων ἐχούσης, ἀρχὴν δὲ τῶν μελλόντων· λήγει δὲ εἰς ταύτην τὴν ἔννοιαν, « οἶμαι δὲ δεῖν ἀκούσαντας ὑμᾶς αὐτὴν, ἂν ὑμῖν ἀρέσῃ, « ψηφίσασθαι. » Μετὰ δὲ τὸ πέρας τοῦ προοιμίου προκατασκευῇ κέχρηται πρὸς αὐτὸ τὸ κεφάλαιον. Ἐπειδὴ γὰρ οἶδε χαλεπὰ συμβουλεύσων καὶ τοῖς εὐπόροις διὰ τὰς εἰσφορὰς καὶ τοῖς τριηράρχαις διὰ τὴν λειτουργίαν, πρόθυμον τὸν ἀκροατὴν πρὸς τὰς πράξεις καὶ εὔνουν πρὸς τὸν λόγον ἑαυτῷ κατασκευάζει· καὶ ἔστι μὲν ἀρχὴ τῆς προκατασκευῆς, « ἔστι τοίνυν πρῶτον μὲν τῆς παρασκευῆς, ὦ « ἄνδρες Ἀθηναῖοι (p. 182, 1)· » πέρας δὲ, « αὐτὸς « μὲν ἕκαστος οὐδὲν ποιήσων, τὸν δὲ πλησίον πράξοντα, « οὐδὲν πώποτε ὑμῖν ἐγένετο. » Εἰσβάλλει τοίνυν εἰς αὐτὸ τὸ κεφάλαιον ἐκ ταύτης τῆς λέξεως, « ἐχόντων δὲ ὑμῶν « οὕτω καὶ παρωξυμμένων τοὺς διακοσίους καὶ χιλίους « ἀναπληρῶσαί φημι χρῆναι καὶ ποιῆσαι δισχιλίους. » Διαιρεῖ τοίνυν τὸν τῆς παρασκευῆς λόγον κεφαλαιωδῶς εἰς τρία· πρῶτον μὲν εἰς τριηράρχους καὶ τὴν οὐσίαν αὐτῶν καὶ τὰς τριήρεις· εἶτα καὶ εἰς τὴν οὐσίαν πάντων τῶν οἰκούντων τὴν πόλιν, ἀφ' ἧς δεῖ τὰ ἀναλώματα γίνεσθαι· τρίτον δὲ εἰς τὸν τόπον καὶ τοὺς νεωσοίκους, οὓς δεῖ κατασκευασθῆναι ταῖς τριήρεσι. Διαιρεῖ δὲ τούτων ἕκαστον εἰς ναῦς [ἑκατὸν] μόνας, εἰ κουφότερος εἴη ὁ πόλεμος· καὶ τὴν τριήρη παρεχέτωσαν δώδεκα ἄνδρες· δωδεκάκις γὰρ ἑκατὸν χίλια καὶ διακόσια. Εἰ δὲ ὀλίγῳ βαρύτερος ὁ πόλεμος γένοιτο καὶ μέσως ἔχων παρασκευῆς ἥκοι ὁ βασιλεὺς, διακοσίας παρεχέτωσαν τριήρεις οἱ χίλιοι καὶ διακόσιοι τριήραρχαι, ὡς παρέχειν ἓξ ἄνδρας τὴν τριήρη· καὶ ὑπομένειν ἀνάγκη βαρύτερον τὸ λειτούργημα. Εἰ δὲ πολλῷ πλείονος παρασκευῆς τῇ πόλει γένοιτο χρεία καὶ βασιλεὺς ἔλθοι πλείονι ῥώμῃ παρεσκευασμένος, τοὺς τέσσαρας ἄνδρας παρέχειν δεῖ, φησὶ, μίαν ναῦν· τετράκις γὰρ τριακόσια χίλια καὶ διακόσια· τούτους δὲ τριηραρχεῖν παρέχοντας τῇ πόλει τριήρη μίαν τοὺς τέσσαρας. Καὶ ὁ μὲν λόγος ὁ περὶ τῶν τριηράρχων καὶ τῶν νεῶν οὗτός ἐστι. Τὴν δὲ οὐσίαν τῶν χιλίων διακοσίων τριηράρχων φησὶ τετιμῆσθαι ταλάντων ἑξακισχιλίων. Τὰ τοίνυν ἑξακισχίλια τάλαντα διαιρεῖ εἰς ἑκατὸν μέρη κατὰ ἑξήκοντα τάλαντα· ἑξηκοντάκις γὰρ ἑκατὸν ἑξακισχίλια· ἵνα, ἐὰν μὲν κουφότερος [ὁ πόλεμος] γένηται, δύνωνται τριηραρχεῖν δώδεκα εἰς μίαν ναῦν, οὐσίαν κεκτημένοι ταλάντων ἑξήκοντα, εἰ δὲ βαρύτερος ὀλίγῳ γένοιτο, τριηραρχῶσι τῆς συμμορίας τέσσαρες ἄνδρες τῆς μιᾶς νεὼς, οὐσίαν κεκτημένοι ταλάντων εἴκοσι. Καὶ ὁ μὲν περὶ τῶν τριηράρχων καὶ τῆς οὐσίας αὐτῶν καὶ τριήρων λόγος ἐνταῦθα τὸ πέρας εἴληφε. Τὸν δὲ περὶ τῶν πληρωμάτων τούτων διεῖλε τὸν τρόπον τοῦτον· δέκα τῶν Ἀθηναίων εἰσὶ φυλαί· τριήρεις τοίνυν τριάκοντα ἑκάστῃ προσνέμει φυλῇ· δεκάκις γὰρ τριάκοντα τριακόσια· διαιρεῖ δὲ τὰς τριάκοντα ταύτας τριήρεις ὁμοῦ τρίχα κατὰ δέκα, καὶ τὴν φυλὴν εἰς μέρη τρία, καὶ ἀξιοῖ τὸ τρίτον μέρος τῆς φυλῆς, τουτέστι τὴν τριττὺν, πληροῦν τὰς δέκα τριήρεις εἰς τὰς τοῦ πολέμου χρείας. Ἔτι δ' εἰσηγεῖται τριάκοντα νεωσοίκους κατὰ φυλὴν ἑκάστην κατασκευασθῆναι ἐν τῷ Πειραιεῖ, ὡς δύνασθαι τὴν μίαν ναῦν ἐκ ἑκάστῳ νεωσοίκῳ σώζεσθαι. Λοιπόν ἐστιν εἰπεῖν περὶ τοῦ τρίτου μέρους τῆς παρασκευῆς· τοῦτο δέ ἐστιν ἡ εἰσφορὰ καὶ ὁ μισθὸς τῶν στρατευομένων· ἥντινα εἰσφορὰν δεῖ γενέσθαι παρὰ πάντων τῶν κεκτημένων οὐσίας κατὰ τὴν πόλιν. Τὸν τοίνυν ὑπὲρ τούτου λόγον ὑπερτίθεται νῦν καὶ ἀξιοῖ μὴ γυμνάζειν περὶ τούτου μηδὲν, ἕως ἂν ὄντως ἐνστῇ ὁ βασιλέως πόλεμος· μὴ γὰρ συμφέρειν νῦν ζητεῖν, ἵνα οἱ τὰς οὐσίας ἔχοντες μὴ ἀρνήσωνται. Ταῦτα μὲν οὖν ἐστιν ἃ περὶ τοῦ δυνατοῦ τοῦ τῆς πόλεως διείλεκται. Εἴληφε μέντοι τὸν περὶ τῶν χρημάτων λόγον ἐξ ἀντιθέσεως, ζητοῦντος τοῦ ἀκροατοῦ τὴν εὐπορίαν ἐκ τοῦ παραχρῆμα· λαμβάνοντός τε τοῦ ῥήτορος ἐξ ἀντιθέσεως τὸ κεφάλαιον, Καὶ πόθεν ἡμῖν ἔσται τὰ χρήματα φατὲ, καὶ λέγε φανερῶς τὸν πόρον. Ὁ δὲ ἔλυσεν, ὡς ἔφαμεν, ἀξιῶν μὴ νῦν ζητεῖν, εἰς δὲ τὸν μέλλοντα χρόνον ὑπερτίθεσθαι τὴν περὶ τούτων ἐπίσκεψιν· τότε γὰρ ἔσεσθαι τὸν πόρον, ἐπειδὰν ἥκῃ βασιλεύς. Εἶτα ἐπήνεγκεν ἐπιχείρημα ἐπὶ τούτοις, ὅτι εἰ ταύτην τὴν δύναμιν παρασκευασόμεθα, μᾶλλον αὐτὸν ἀμυνούμεθα ἢ οἱ πατέρες, διότι ἡμεῖς μὲν νῦν κεκτήμεθα τριακοσίας τριήρεις μόνοι, τὸ δὲ παλαιὸν διακοσίας πάντες οἱ Ἕλληνες. Πεπλήρωκε τὸν λόγον πάντα τὸν περὶ τοῦ δυνατοῦ τῆς πόλεως. Ἐντελῆ δὲ τὴν ἐργασίαν τοῦ κεφαλαίου διδοὺς οὐ μόνον τὸ δυνατὸν ἐξετάζει τῆς πόλεως, ἀλλὰ καὶ τὸ ἀντικείμενον. Μεταβαίνει τοίνυν ἐπὶ τὸ τοῦ βασιλέως δυνατόν· τοῦτο δὲ κατὰ ἀντίθεσιν λαμβάνει. Ἀλλὰ χρήματα, φησὶν, ἐπάξεται βασιλεύς· πολλὰ γὰρ περιβέβληται· τοῦτο τέως μέρος πρῶτον αὐτῆς τιθείς· δεῖ γὰρ αὐτῇ προστεθῆναι τίνος ἕνεκα φοβοῦνται τὰ βασιλέως χρήματα. Τέως δ' ἐμέρισεν, ἵνα εὐπετὴς αὐτῷ πρὸς τὴν λύσιν γένηται. Λύει τοίνυν αὐτὴν ἐκ συγκρίσεως, εἰπὼν τὸ μὲν ἐκείνου

ῥᾳδίως ἀναλωθήσεσθαι καὶ μηδαμόθεν ἕξειν ἐπικουρίαν, Ἀθηναίους δὲ ἐκ τῆς χώρας κατὰ μέρος λαμβάνοντας μηδέποτε τῶν ἀναγκαίων ἀπορήσειν· καὶ τοῦτο εἶναι τὸ μέγιστον, τὸ κρατοῦντας τῆς οἰκείας χώρας καὶ τὰς ἀφορμὰς ἐκ ταύτης λαμβάνοντας αὐτῷ πολεμεῖν. Ἑτέραν ἀντίθεσιν ἔλαβεν ἀκόλουθον τῇ προειρημένῃ, μᾶλλον δὲ μέρος οὖσαν ἔλαβε τῆς πρὸ αὐτῆς, Ἀλλ' δέος μὴ πολὺ μισθοφορικὸν ἐκ τῶν Ἑλληνικῶν χρήματα ἔχων βασιλεὺς ἀθροίσῃ. Δίχα δὲ ταύτην διαιρεῖ· καὶ τὸ μὲν πρότερον μέρος ἔλυσεν, ὡς ἤδη δέδεικται, τὸ δὲ δεύτερον ἐντεῦθεν ἄρχεται, « καὶ μὴν οὐδ' ὅ τινες δεδίασι· » λύει δὲ μεταληπτικῶς· Εἰ μὲν ἐφ' ἑτέρους στρατεύοιτο βασιλεύς, ὑπακοῦσαι ἂν τοὺς τῶν Ἑλλήνων μισθοφόρους· εἰ δ' ἐπὶ τὴν Ἑλλάδα, οὐχ ὑπακούσεσθαι. Εἶτα ἑτέρᾳ μεταλήψει ἀπὸ τῆς τοῦ βασιλέως γνώμης, Ὅτι οὐδὲ ἐκείνῳ συμφέρει διὰ τῶν ξένων κρατῆσαι· παρασκευάσει γὰρ αὐτοὺς καταφρονεῖν τῆς αὐτοῦ δυνάμεως. Τρίτην ἀντίθεσιν ἔλαβεν ἐκ τοῦ αὐτοῦ δυνατοῦ καὶ τῶν συμβησομένων αὐτοῖς πλεονεκτημάτων, εἰ ἀναμείναιεν αὐτὸν εἰς τὴν Ἑλλάδα ἐλθεῖν. Ἔστιν οὖν ἡ τρίτη, Ἀλλὰ δέος μὴ Θηβαῖοι, δεῦρο τοῦ βασιλέως ἐλθόντος, τῆς ἐκείνου γένωνται γνώμης· ταύτην ἔλυσεν ἐνστάσει, εἰπὼν μὴ ἂν ἐθελῆσαι Θηβαίους μετ' ἐκείνου γενέσθαι, καὶ μεταλήψει, Ἀλλὰ μᾶλλον ἂν εὔξασθαι τοῖς θεοῖς καιρὸν γενέσθαι ἀπολογήσασθαι ὑπὲρ ὧν πρότερον ἥμαρτον ἢ πάλιν ἐπαντλῆσαι ταῖς προτέραις αἰτίαις καὶ δευτέρας διαβολάς. Τρίτη λύσις, Εἰ δὲ καὶ Θηβαῖοι μετ' ἐκείνου γενήσονται, ἀλλ' οὖν γε οἱ τῶν Θηβαίων ἐχθροὶ μετὰ τῶν Ἑλλήνων ἔσονται. Εἶτα ἐπισφραγισάμενος καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι καὶ τῷ δυνατῷ· δικαίῳ μέν, ὅτι οὐ δεῖ προτέρους κατάρχειν, δυνατῷ δέ, ὅτι περιγενήσονται τῶν προδοτῶν, Θηβαίων λέγει καὶ Ἀργείων καὶ τῶν μισθοφόρων· συμφέροντι δέ, ὅτι οὐ χρὴ προτέρους ὑπαχθῆναι τὸν πόλεμον ἐκφέρειν. Μετέβη λοιπὸν ἐπὶ τὴν τῶν Ἑλλήνων ποιότητα· Ἀλλὰ δέος μὴ καταπλαγέντες οἱ Ἕλληνες τὸν πόλεμον, ἐπελθόντος βασιλέως, πρόωνται τὴν Ἑλλάδα· ταύτην ἔλυσεν ἐνστάσει· εἶτα κατεσκεύασε μεταληπτικῶς ὅτι, ἕως μὲν αὐτὸν κοινὸν ἐχθρὸν ἐνόμιζον, πολλῶν ἀγαθῶν ἐγένοντο κύριοι, ἀφ' οὗ δὲ φίλον αὐτὸν ᾠήθησαν, πάντα πεπόνθασι τὰ ἀνήκεστα. Τὸ, Οὐκοῦν καλὸν μὲν αὐτοὺς φαίη τις ἄν, αὐτὴν ἔλαβεν ἐξ ἀκολουθίας τὴν ἀντίθεσιν· εἶτα μὴ θεὶς αὐτὴν ἔλυσεν εἰπών, Μὴ νῦν καλῶμεν ὅτε οὐχ ὑπακούσονται, μὴ νῦν πολεμῶμεν ὅτε οὐ δυνησόμεθα. Εἶτα ἐπισυνῆψε καὶ ἕτερον μέρος τοῦ συμφέροντος ὅτι, Ὑπὲρ ἡμῶν τὸ τὸν βασιλέα στρατεῦσαι δεῦρο· οὕτω γὰρ ἂν διαλλαγεῖεν ἀλλήλοις οἱ Ἕλληνες. Ἐπὶ τούτοις ἐπήγαγε τοὺς ἐπιλόγους ἀνακεφαλαίωσιν ἔχοντας· πρῶτον μὲν ἀπὸ τοῦ δικαίου, ἐν ᾧ τὸ μὴ παραβαίνειν τοὺς ἑαυτῶν ὅρκους, μὴ συγχέειν συνθήκας προτέρους, καὶ δεῖν ἀμύνεσθαι βασιλέα μόνον ἐπιόντα, ἀλλὰ μὴ στρατεύεσθαι ἐπὶ τὴν ἐκείνου χώραν· περὶ τῆς παρασκευῆς, ὅπως ἂν εὐτρεπεῖς γένοιντο ἔργῳ μᾶλλον ἢ λόγῳ ἐξειπεῖν, ὅπως ἄξια ἔσται τὰ ἔργα τῶν προγονικῶν πράξεων, μὴ τοῖς λόγοις προσέχειν, ἀλλὰ τοῖς ἔργοις ἀσφαλῶς παρασκευάζεσθαι. Αὕτη δὲ ἡ ἔννοια πλείστην ἔχει συγγένειαν πρὸς τὴν ἐν τῷ προοιμίῳ. Ἐπὶ τούτοις καταστρέφει τὸν λόγον. TCV.

178, 1. Περὶ συμμοριῶν] Συμμορία λειτουργιῶν σύνταγμα παρὰ τοῖς Ἀττικοῖς. BY.

178, 8. Τῆς ὑπειλημμένης] τῆς κεκριμένης. BP.

179, 11. Προαπεχθησόμεθα] προμισηθῶμεν. Y.

182, 1. Ἔστι τοίνυν] Ἀρχὴ τῆς παρασκευῆς. FYP.

182, 2. Ἀρχὴ τῆς προκατασκευῆς. R.

182, 11. Ἐχόντων] Πέρας τῆς προκατασκευῆς καὶ εἰσβολῆς τῶν κεφαλαίων. FYRP.

182, 15. Ἐπικλήρων] Ἐπίκληρος ἡ ἐπὶ τῇ οὐσίᾳ ὅλῃ καθεσθεῖσα, κἂν μήπω ἐκδοθῇ. BFYP.

Τῶν κληρουχικῶν] τῶν γεωργῶν. BP.

Τῶν κοινωνικῶν] τῶν δημίων. P. Τῶν δημοσίων. B.

182, 27. Πεντεκαιδεκαναΐαν] μερίδας δηλονότι κατὰ πέντε καὶ δέκα, ὡς γίνεσθαι ἑβδομήκοντα πέντε ναῦς. Less.

188, 13. Εἶθ' ὃν ἡ τύχη] Περίοδος κατὰ αἰτιατικὴν πτῶσιν. BY.

XV. ΥΠΕΡ ΤΗΣ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ.

190, 1. Οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων] Συνεμάχουν Ἀθηναίοις ποτὲ οἱ νησιῶται καὶ οἱ τὴν παραλίαν οἰκοῦντες ἄχρι τοῦ Βυζαντίου, ἀλλ' ἀποστάντες ἐπολέμησαν Ἀθηναίοις, καὶ μηκυνομένου τοῦ πολέμου ἠναγκάσθησαν εἰς συνθήκας ἐλθεῖν πρὸς αὐτοὺς οἱ Ἀθηναῖοι, ὥστε αὐτονόμους εἶναι καὶ ἐλευθέρους. Μετὰ ταῦτα βασιλέως γνώμῃ βοηθούσης Ἀρτεμισίας τοῖς κατὰ τὴν Ῥόδον εὐπόροις, ἐπιτίθενται τῷ δήμῳ οἱ δυνατοί. Κατέφυγεν οὖν ὁ δῆμος ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀξιῶν ἐλευθερίας τυχεῖν. Δημοσθένης παραινεῖ βοηθεῖν τῷ δήμῳ Ῥοδίων. Εἰ δέ τις ἄλλος Ἀθηναίους ἐλύπησεν ἐν τῷ συμμαχικῷ πολέμῳ καὶ τὴν ἀπόστασιν εἰργάσατο, μᾶλλον πέφηνεν ὁ Ῥοδίων δῆμος. Διόπερ πρὸς αὐτοὺς ἔοικε χαλεπαίνειν ἐξαιρέτως ἡ πόλις. Χαλεπὸς οὖν ὁ λόγος τῷ συμβούλῳ, λέγοντι ὑπὲρ ἀνδρῶν ἀφεστηκότων καὶ λελυπηκότων πολλὰ τὴν πόλιν. Καὶ οὐ τοῦτο μόνον λυπεῖ τὸν δημηγόρον, ἀλλὰ καὶ ὁ παρὰ τοῦ βασιλέως φόβος· δοκεῖ γὰρ οὐ μικρὸν οὐδὲ ἀκίνδυνον εἶναι τὸ προσκρούειν βασιλεῖ, σχεδὸν κατειληφότι τὴν νῆσον διὰ τῶν εὐπόρων. Πρὸς ἑκάτερον οὖν τούτων ἀντέθηκεν ἰσχυρότατα δύο· πρὸς μὲν τὴν τῶν Ῥοδίων ἀπιστίαν τὴν μεγαλοφροσύνην τῆς πόλεως καὶ τὸ σύνηθες εἶναι βοηθεῖν τοῖς ἀδικουμένοις τῶν Ἑλλήνων, διότι πάντες εἰς αὐτοὺς ἀποβλέψουσιν, εἰ τοῦτο ποιήσειαν· πρὸς δὲ τὸν παρὰ τοῦ βασιλέως φόβον τὸ δίκαιον καὶ τὸ δυνατὸν ἀντέθηκε καὶ τρίτον τὸ συμφέρον· δυνατὸν μέν, ὅτι κακῶς πράττοντος τοῦ βασιλέως περὶ τὴν Αἴγυπτον καὶ ἡττωμένου οὔτε Ἀρτεμισία βοηθήσει τοῖς ὀλιγαρχοῦσι Ῥοδίων οὔτε αὐτὸς ὁ βασιλεύς· δίκαιον δ', ὅτι οὐκ ἂν μεταποιήσαιτο βασιλεὺς τῶν μὴ προσηκόντων αὐτῷ· Ἕλληνές τε γάρ εἰσι Ῥόδιοι καὶ [οὐ] μεμερισμένοι τὴν βασιλέως ἀρχήν· τὸ συμφέρον δέ, ὅτι οὐδὲ περιορᾶν δέοι, κἂν μεταποιῆται ὁ βασιλεὺς τῶν Ῥοδίων· σύμβολον γάρ ἐστι τὸ γιγνόμενον τοῦ μὴ μόνον Ῥοδίων ἐπιθυμεῖν ἐκεῖνον, ἀλλὰ καὶ πάντων Ἑλλήνων. Οὕτω μὲν οὖν διῄρηκε τὸν λόγον, καὶ τὰ πράγματα ταύτην ἔχει τὴν φύσιν· ὅπως δὲ ἕκαστον τούτων διῴκηκε καὶ ὃν τρόπον μετεχειρίσατο, ἀρκτέον λέγειν ἄνωθεν ἐκ προοιμίου τὴν ἀρχὴν ποιησάμενον. FYV.

Οἶμαι δεῖν ὑμᾶς] Τὴν εὐλάβειαν, ἣν ἔχει πρὸς τὴν ὑπόθεσιν, διὰ τῆς ἐπιβολῆς ἐνδείκνυται· οὐ γὰρ ἔχει παρρησίαν εἰπεῖν ὑπὲρ ἀνδρῶν δοκούντων πολλὰ καὶ μεγάλα τὸν δῆμον ἠδικηκέναι, διὰ δὲ τῆς ἑξῆς ἐννοίας τοῦ αὐτοῦ

προοιμίου προκαταλαμβάνει τὸν ἀκροατὴν καὶ βούλεται λαβεῖν ὁμολογοῦντα ὅτι ποιήσει τὰ συμβουλευόμενα· ὥστ' αὐτὸ διοικεῖσθαι διὰ τῶν δύο ἐννοιῶν τό τε ἀνασχέσθαι λέγοντος καὶ τὸ πεισθῆναι τοῖς λεγομένοις ἅμα καὶ πρᾶξαι. FYV.

191, 4. Ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ νομίζω] Ἡ ἐπιβολὴ τοῦ δευτέρου προοιμίου. Ἵνα δὲ μὴ δοκῇ χάριτι λέγειν ὑπὲρ Ῥοδίων, κατηγόρησεν αὐτῶν καὶ κατέδραμεν, οὐχ ὡς παροξῦναι, ἀλλ' εἰς εὔνοιαν τὸν ἀκροατὴν ἐκκαλέσασθαι βουλόμενος. Ἔχει δὲ τὸ δεύτερον προοίμιον προκατασκευὴν τοῦ κεφαλαίου· τὴν γὰρ δύναμιν ἐπισημαίνεται τῶν μελλόντων ῥηθήσεσθαι, τὴν δόξαν καὶ τὴν εὔκλειαν, ἣν ἕξουσι διὰ τῆς πράξεως ταύτης, ἀπολογησάμενοι πρὸς τοὺς διαβάλλειν αὐτοὺς εἰωθότας. Ταῦτα μὲν οὖν ἐν τοῖς προοιμίοις διῴκηται. Ἀρχὴ δὲ τοῦ συμφέροντος κεφαλαίου, « ᾐτιάσαντο μὲν γὰρ (p. 191, 11) —. » Κατεσκεύασται δὲ τῷ δικαίῳ ἤτοι ἀδίκῳ τὸ συμφέρον, ὅτι ἀδικούντων καὶ πλεονεκτούντων δόξαν εἴχομεν· διόπερ καὶ ἀπέστησαν ἡμῶν οἱ σύμμαχοι. Ἵνα δὲ μὴ δοκῇ κατηγορεῖν τῆς πόλεως αὐτὸς, ἀνήνεγκε τὴν βλασφημίαν ἐπὶ Μαύσωλον, ἵνα καὶ ὑπὲρ τῆς πόλεως ἀπολογῆται ὡς ψευδῶς διαβαλλομένης καὶ ὑπὲρ τῶν Ῥοδίων ὡς ἠκατημένων. ὁ γὰρ ταῦτα πλασάμενος καὶ πείσας ἀποστῆναι ἐκεῖνος ἦν. Οὕτω τὸ δίκαιον προτείνας ἦλθεν ἐπὶ τὸ συμφέρον, οὗπερ ἦν ἡ πρότασις· Συμφέρει ὑμῖν ἀπολύσασθαι τὰς καθ' ὑμῶν διαβολὰς αὐτοῖς τοῖς ἔργοις. Εἴληπται τοίνυν τὸ κεφάλαιον ἀπὸ τοῦ συμφέροντος, τὴν κατασκευὴν ἔχοντος ἀπὸ τοῦ δικαίου, καὶ καταστρέφει εἰς τὸ ἔνδοξον, ὅτι πρέπον ἐστὶν ἔχειν τὴν εὐδοξίαν ἐκ τοιούτων ἔργων τῇ πόλει. Πρὸς δὲ τοῦτο ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ κεφαλαίου, Ἀλλὰ δεδοίκαμεν βασιλέα. Ταύτην ἔλυσεν ὁμογενῶς ἐκ τοῦ αὐτοῦ κεφαλαίου τοῦ δυνατοῦ, καὶ πρῶτον ἀπὸ τοῦ μαχομένου κατὰ τὴν θέσιν αὐτῆς εὐθὺς, ὅτι (p. 191, 25) Οὐ τῶν αὐτῶν ἐστι λόγων συμβουλεύειν τῇ πόλει βοηθεῖν Αἰγυπτίοις ἀφεστηκόσι τοῦ βασιλέως καὶ φοβεῖσθαι βασιλέα ὑπὲρ Ῥοδίων. Καὶ ἡ προσθήκη τῆς αἰτίας, ὅτι Οἱ μὲν Ἕλληνες, οἱ δέ εἰσιν τῇ ἀρχῇ ἐκείνου μεμερισμένοι. Δευτέρα λύσις, ὅτι Ὑπὲρ μὲν τῶν οἰκείων πολεμήσειεν ἂν βασιλεὺς, ὑπὲρ δὲ τῶν Ἑλλήνων οὔ. Τρίτη λύσις, Εἰ μὲν οὖν ἐγνώκατε ἀδικούμενοι παραχωρεῖν ὧν ἀδικεῖ τοὺς Ἕλληνας βασιλεὺς, οὐκ ἐπαινῶ τὴν γνώμην· εἰ δὲ πᾶν ὁτιοῦν ὑπομένειν, μηδὲ νῦν ὀκνεῖτε. Εἶτα ἐκ παραδείγματος, ὅτι Καὶ Σάμον ἐλευθερώσαντος Τιμοθέου κατειλημμένην ὑπὸ Κυπροθέμιδος, οὐκ ἠγανάκτησε βασιλεύς (p. 193, 3). FYV.

193, 14. Ὅτι δ' οὐδ' ἐναντιωθῆναι] Ἄλλη ἀντίθεσις ἀπὸ τοῦ αὐτοῦ δυνατοῦ· Ἀλλ' Ἀρτεμισία ἡμῖν ἐναντιωθήσεται. Ἀρτεμισία δὲ Μαυσώλου μὲν γέγονεν ἀδελφὴ καὶ γαμετὴ, Καρίας δὲ ἐβασίλευε, φιλία δὲ ἔπραττε βασιλεῖ, διὰ τὸ οἰκεῖον συμφέρον αὐτὸν θεραπεύουσα, καὶ ἄρχουσα μὲν τῶν οἰκείων, οὐδὲν δὲ ἧττον φυλαττομένη βασιλεῖ προσκρούειν, ἔστι δ' ὅτε αὐτῷ συλλαμβανομένη. Λείπει δὲ τῇ ἀντιθέσει κατασκευή. Ἔδει γὰρ καὶ τὴν αἰτίαν προσθεῖναι, δι' ἣν Ἀρτεμισία οὐ συγχωρήσει· ἀλλ', ἵνα μὴ χαλεπωτέρα γένηται πρὸς τὴν λύσιν, τὴν κατασκευὴν παραλιπὼν τὴν μὲν πρότασιν ἔθηκε μόνην, τὴν δὲ κατασκευὴν ταῖς λύσεσι συμπλέξας ἀσθενεστέραν ἐποίησεν. Λύει δὲ τῷ δυνατῷ καὶ τῷ συμφέροντι. Καὶ τῷ μὲν δυνατῷ κατὰ μερισμόν (p. 193, 19)· Εἰ μὲν εὖ πράττοι βασιλεὺς κατ' Αἴγυπτον, βοηθήσειν· μὴ γὰρ εἶναι ἀνόητον ὥσπερ ἐπιτείχισμα κατασκευάσαι τῆς οἰκείας ἀρχῆς. Εἰ δὲ καὶ βηθοήσειε, φαύλως καὶ οὐ πολλῇ τῇ ῥώμῃ, ἀλλ' ἄχρι τοῦ δοκεῖν διὰ βασιλέα. Οὕτω μὲν οὖν ἀπὸ τοῦ δυνατοῦ τὴν ἀντίθεσιν ἔλυσεν· ἀπὸ δὲ τοῦ συμφέροντος στοχαστικῶς (p. 194, 3)· Οὐκ οἶδα μὲν εἰ βοηθήσει βασιλεὺς, συμφέρει δ' οὖν τῇ πόλει γνῶναι πότερον ἀντιποιεῖται Ῥοδίων, ἢ οὔ. Εἰ γὰρ ἀντιποιοῖτο τῆς νήσου, δῆλον ὅτι καὶ πάντων τῶν Ἑλλήνων. FYV. Ἄχρι μὲν οὖν τούτου διηγώνισται πρὸς τὰς ἀπὸ τοῦ συμφέροντος ἀντιθέσεις· λοιπὸν δὲ ἐπὶ τὸ δυσμεταχείριστον ἐληλύθει· ὁ γὰρ τὸν ἀπ' αὐτῆς τῆς ποιότητος τῶν Ῥοδίων κατηγορίαν περιέχοντα..... ὅτι ἀπέστησαν. Καὶ ζητήσειεν Ἄν τις τί δήποτε, ὄντος τοῦ προηγουμένου καὶ περὶ οὗ μάλιστά ἐστιν ἡ σύμπασα ζήτησις, εἰ δεῖ βοηθῆσαι τοῖς ἀδικήκασι τὴν πόλιν, οὗτος αὖ τὸ τοῦ συμφέροντος κεφάλαιον προέταξε, καὶ δεύτερον τὸ δυνατόν· εἶτα εἰ βοηθήσει βασιλεὺς καὶ ἡ Ἀρτεμισία. Τὸ δὲ θεώρημα φανερόν· ἐπειδὴ γὰρ ἔνδοξον τὸ πρόσωπον καὶ παρρησιάζεσθαι ὑπὲρ τῶν ἀνδρῶν οὐ δύναται πολλὴν ἐχόντων διαβολὴν, εἰκότως τὸν ἀκροατήν καταλαμβάνει καὶ τῷ συμφέροντι καὶ τῷ ἀναγκαίῳ, τουτέστι τῷ φόβῳ τῷ παρὰ βασιλέως, ἵνα τῷ μὲν συμφέροντι ἐπαχθεὶς διὰ τὴν εὔκλειαν, τῷ δὲ καταπλαγεὶς, τῷ ἀναγκαίῳ, ἐὰν ἐπιβουλεύῃ τοῖς Ἕλλησι βασιλεὺς, ὑπέρθηται μὲν τὸ μνησικακῆσαι τὰ νῦν, βοηθήσῃ δὲ διὰ τὸ ἑαυτῷ χρήσιμον, τοῦ συμφέροντος ὀρεγόμενος καὶ φόβων καὶ κινδύνων ἀπαλλακτικῶς ἔχων, ὡς αἱρεῖσθαι καὶ τοῖς λελυπηκόσι βοηθεῖν διὰ τὰ ἀναγκαιότατα αὐτά. Δι' ἣν μὲν οὖν αἰτίαν ἐνήλλαξε τὴν θέσιν τῶν κεφαλαίων ἀκήκοας· διαιρεῖ δὲ αὐτὸ τὸ δίκαιον κεφάλαιον οὐ μικρᾷ τινι καὶ φαύλῃ ῥητορείᾳ, οὐδὲ τῇ τυχούσῃ οἰκονομίᾳ κέχρηται. TCV.

194, 12. Ὁρῶ γὰρ αὐτοὺς —] Κατατείνει πολλὴν κατηγορίαν τῶν Ῥοδίων ἀξιοπιστίας εἵνεκα· πάνυ γὰρ συμβάλλεται πρὸς πειθὼ τὸ πρὸς ἡδονὴν ἐν τοῖς τοιούτοις διαλέγεσθαι. Δι' ἡδονῆς δὲ αὐτοῖς ἐστι τὸ κακῶς ἀκούειν Ῥοδίους. Μέμνηται δὲ Ῥοδίων δῆθεν κακῶς, ἐνδεικνύμενος μήτε πρὸς χάριν μήτε δι' εὔνοιαν λέγειν, ἵνα τοὺς ἀκροατὰς ἀρέσηται νῦν μὲν ἐνδεικνύμενος μισεῖν τοὺς λελυπηκότας τὴν πόλιν, νῦν δὲ μὴ ὑπὲρ Ῥοδίων ποιεῖσθαι τὸν λόγον, ἀλλ' ὑπὲρ αὐτοῦ τοῦ συμφέροντος καὶ τῆς ὑπαρχούσης δόξης τῇ πόλει. Μικροῦ δὲ καὶ οἰηθείη ἄν τις αὐτὸν συμβουλεύειν στρατεύειν ἐπὶ Ῥοδίους, τοσοῦτον θυμὸν ἐνδείκνυται πρὸς τοὺς ἠδικηκότας. Ἀλλὰ δι' ὧν κατατρέχει Ῥοδίων, διὰ τούτων πείθει τὸν δῆμον, καὶ δι' ὧν κατηγορεῖ μᾶλλον δοκεῖ πραΰνειν. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα κατὰ τὸ κεφάλαιον θαυμασίως ἐρρητόρευκεν. Ἡ δὲ ἀντίθεσίς ἐστιν ἀπὸ τοῦ δικαίου ἀντεγκληματικῶς εἰσηγμένη· Ἀλλ' ἄξιοι τούτων Ῥόδιοι τῆς πόλεως ἀποστάντες· οὐ μὴν τέθειται προφανῶς· γίνεται δὲ φανερὰ τοῖς ἐπιστήμοσιν ἀπ' αὐτῶν τῶν λύσεων. Ἡ δὲ ἀρχὴ τῆς λύσεως ἐνθένδε (p. 194, 4)· « Οὐ μὴν οὐδ' ἂν εἰ δι' αὐ- « τῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες Ῥόδιοι, παρῄνεσα ἂν « ὑμῖν τούτους ἑλέσθαι. » FYV. Ἄξιον δὲ θαυμάσαι καὶ τὴν μεταχείρισιν ἣν ποιεῖται καὶ τὴν λύσιν. Τῆς γὰρ ἀντιθέσεως λεγούσης ἀξίους εἶναι Ῥοδίους ταῦτα πάσχειν ἃ πεπόνθασι, συντρέχων τῷ ἀξίους αὐτοὺς εἶναι, οὐκ ἐξ ὧν ἠδικήκασι τὴν πόλιν τοῦτο κατεσκεύακεν, ἵνα μὴ ἐναντίον τὸν λόγον ἑαυτῷ ποιήσηται, ἀλλ' ἐξ ὧν αὐτοὶ πρὸς ἀλλήλους διετέθησαν διαβάλλει τὸν τρόπον. Καίτοι τὸ ἀκόλουθον ἦν εἰπεῖν ἐξ ὧν διετέθησαν περὶ τὸν Ἀθηναίων δῆμον· ὁ δὲ, ἵνα μείζω διαβολὴν ἐργάσηται, μετήνεγκε

τὴν κατηγορίαν ἐπὶ τοὺς εὐπόρους· ἀπὸ γὰρ τούτων χαρακτηρίζει τὸ ὅλον Ῥοδίων ἦθος. Τρισὶ τοίνυν θεωρήμασι κέχρηται· ἑνὶ μὲν, καθὸ δοκεῖ συντρέχειν δῆθεν τῇ κατηγορίᾳ· ἑτέρῳ δὲ, καθὸ μετεβίβασε τὴν κατηγορίαν ἀπὸ τῶν εἰς τὴν πόλιν γεγενημένων ἐπὶ τὰ γενόμενα Ῥοδίοις αὐτοῖς πρὸς ἀλλήλους· καὶ τρίτῳ, ἐν ᾧ τὴν κατηγορίαν ἀπὸ τοῦ δήμου μετήνεγκεν ἐπὶ τοὺς εὐπόρους, ὥσπερ ὁ Θουκυδίδης ἀπὸ τοῦ δήμου Ἀθηναίων ἐπὶ τοὺς ὀλίγους. TCV. Προφανῶς δὲ ἀρνεῖται τὴν πρὸς Ῥοδίους οἰκειότητα, φάσκων μήτε ἰδίᾳ ξένος μήτε δημοσίᾳ πρόξενος εἶναι τῶν ἀνδρῶν, ἵνα κἀντεῦθεν χώραν παρρησίας ἑαυτῷ πρυτανεύσηται· τίς γὰρ ἂν ἔτι ὑποπτεύσειε πρὸς χάριν λέγειν τὸν μηδεμίαν ἔχοντα οἰκειότητα; λείπεται οὖν τοῦ κοινῇ συμφέροντος εἵνεκα ποιεῖσθαι τοὺς λόγους. Μετὰ ταῦτα δὲ ἐπιβάλλει τῇ συνηγορίᾳ Ῥοδίων, ἀρκοῦσαν τιμωρίαν παρ' αὐτῶν γεγενῆσθαι φάσκων τὸ τὴν ἐλευθερίαν αὐτοὺς ἀπολωλεκέναι, κουφίζων ταύτῃ τῆς κατ' αὐτῶν ὀργῆς τὸν ἀκροατὴν καὶ ἀποπιμπλὰς αὐτοῦ τὸν θυμὸν, ὡς δοκεῖν κόρον ἔχειν ἀφ' ὧν ἤδη πεπόνθασι Ῥόδιοι. FYV. Οὐδεὶς γὰρ ἂν ἔτι χαλεπήνειεν, οὐδ' εἰ τυγχάνει τῇ γνώμῃ ὠμότατος, μὴ ἐλεῶν τοὺς πολλὰς καὶ μεγίστας συμφορὰς πεπονθότας· μάλιστα δὲ ὁ τῶν Ἀθηναίων δῆμος πεφυκὼς πρὸς εὐεργεσίαν καὶ εἰωθὼς τοὺς ἠδικηκότας σώζειν. Διὰ δὴ τούτων πάντων τὴν παρρησίαν, ὡς ἔφην, ἑαυτῷ προδιοικησάμενος ἄρχεται τῆς εἰσηγήσεως, ὥσπερ ἀρχὴν ἑτέραν τινὰ τοῦ λόγου ποιούμενος, δι' ἣν τήνδε τὴν ἀντίθεσιν κινήσας οὕτω κατέδραμε Ῥοδίων· καὶ πάλιν ἀνέλαβε τὴν λύσιν, ὅτι ἀνάγκη τῇ ἀντιθέσει καὶ ἡ ὑπόνοια ἡ κατὰ τοῦ ῥήτορος συνεισῄει. TCV.

195, 6. Φημὶ δὴ χρῆναι] Οὐχ ἠδύνατο ἀξιοῦν συγγνώμην Ῥοδίοις δίδοσθαι, πρὶν ἀπολύσασθαι τὰς ὑποψίας. Διὰ τοῦτο κινηθείσης τῆς ἀντιθέσεως τὸ καθ' ἑαυτοῦ διέλυσεν. Εἶτα μηδενὸς λυμαινομένου τὴν δόξαν, ἐπὶ τὴν λύσιν θαρρῶν ἦλθε τῆς ἀντιθέσεως· « φημὶ δὴ χρῆναι πει« ρᾶσθαι σώζειν τοὺς ἄνδρας, » ἐνδεικνύμενος διὰ τοῦ μνησικακεῖν τὴν δύναμιν τῆς ἀντιθέσεως ὅτι, Ἀλλ' ἄξιοι Ῥόδιοι, καὶ ὅτι δεῖ μνησικακεῖν αὐτοῖς. Πρὸς τὴν ἀντίθεσιν δὲ ἔχει τὴν ἀναφοράν· ἀπολογία γάρ ἐστιν ἄντικρυς λαμπρὰ ὑπὲρ Ῥοδίων ἠπατημένων, ὥστε συγγνωμονικὴν εἶναι τὴν λύσιν. Καὶ ἐξ ἀορίστων δὲ παραδειγμάτων βαβαιοῖ τὴν συγγνώμην. Ὅτι γὰρ πολλὰ πολλάκις ἐξηπατήθη καὶ ὁ τῶν Ἀθηναίων δῆμος ὑπέμνησε. Τὸ τοίνυν εἶδος τῆς συγγνώμης κατὰ συνδρομήν· συντρέχων γὰρ τῷ κατ' ἀξίαν ταῦτα πεπονθέναι Ῥοδίους αἰτεῖ τοῖς ἠπατημένοις συγγνώμην, διχόθεν τὴν λύσιν ἐργαζόμενος, καὶ τῷ συνομολογεῖν καὶ τῷ τὴν συγγνώμην αἰτεῖν. FYV.

195, 10. Ὁρᾶτε δὲ κἀκεῖνο —] Ἐφ' ἕτερον εἶδος λύσεως μετεβέβηκεν, ὅπερ ἐστὶ μικτὸν ἔκ τε τοῦ συμφέροντος καὶ τοῦ δικαίου, ἐν ᾧ φησιν εἶναι διττὰ πολέμων εἴδη· ἓν μὲν ὑπὲρ τῶν δικαίων πρὸς τὰς δημοκρατίας, ἕτερον δὲ πρὸς τὰς ὀλιγαρχίας, δι' ἕτερον μὲν οὐδὲν, δι' αὐτὸ δὲ τοῦτο, ὅτι ὀλιγαρχίαι εἰσὶ καὶ ἐναντίως πρὸς τὰς δημοκρατίας πολιτεύονται, ἐνάγων τὸν ἀκροατὴν καὶ διὰ τούτου, εἰ καὶ μὴ βούλοιντο Ῥοδίοις βοηθεῖν, τῷ ζηλοτύπως ἔχειν πρὸς τὰς ὀλιγαρχίας προαχθῆναι καταλῦσαι τὴν Ῥοδίων ὀλιγαρχίαν. Μικτὸν δὲ ὂν τὸ εἶδος τῆς λύσεως ὅμως ῥέπει πρὸς τὸ συμφέρον. FYV.

195, 29. Θαυμάζω δ' εἰ μηδεὶς ὑμῶν ἡγεῖται —] Καὶ τῷ ἀναγκαίῳ κέχρηται πρὸς τὴν λύσιν. Πέφυκε γὰρ ὁ Δημοσθένης οὐχ ἀφ' ἑνός τινος ἐπιχειρήματος πείθειν, ἀλλ' ἐκ ποικίλων καὶ παντοδαπῶν, νῦν μὲν φοβῶν, νῦν δὲ πείθων, νῦν δὲ ἐνάγων εἰς φιλανθρωπίαν, νῦν δὲ τὸ δίκαιον ἀπαιτῶν. FYV. Καὶ οὐκ ἐξ ἑνός τινος εἴδους συμφέροντος ἢ ὅτου δήποτε προκειμένου κεφαλαίου πείθει, ἀλλ' ἐκ πάντων αὐτοῦ τῶν μερῶν, ἐξ ὧν ἂν συσταίη τὸ κεφάλαιον, κατὰ πολλὰς καὶ ποικίλας ἐπιβολὰς, κἂν διεστηκυῖαι τυγχάνωσιν ἀλλήλων αἱ ἔννοιαι. Ὁρᾷς γὰρ ὅτι καθ' ὧν συγγνώμην ᾔτησεν ὡς ἠπατημένοις ἠξίωσε μὴ δοῦναι δίκην· οὐδὲ γὰρ Ἀθηναίους δεδωκέναι, εἰ ἠπατήθησαν. Ἂν ἀπήντηκε ὑπὲρ Ῥοδίων τοῖς ὁ . . . . . δίκαιον σύνηθες Ἀθηναίοις ἐστὶ δείκνυσθαι ὑπὲρ πάντων ἀδικουμένων. TCV.

196, 23. Ἐπειδήπερ ἄδηλον] Ἐφόβησε τῷ ἀδήλῳ τοῦ μέλλοντος, δι' οὗ φησιν ἄδηλον εἶναι τὴν τύχην, καὶ δεῖν τοὺς εὐτυχοῦντας ἐπαμύνειν τοῖς ἠτυχηκόσι, προσδοκῶντας περιπεσεῖσθαι παραπλησίᾳ τῇ τύχῃ. Εἶτα ἐκ παραδείγματος ἀπὸ τοῦ ἐλάττονος, ὅτι ἀτυχήσαντί ποτε τῷ δήμῳ καὶ ὀλιγαρχηθέντι ἐβοήθησαν Ἀργεῖοι, καὶ ἄτοπον δοκεῖν Ἀργείων ἐλαττοῦσθαι κατὰ ταύτην τὴν πρᾶξιν. FYV. Συνάπτει λεληθότως λύσιν ἁρμόττουσαν καὶ τὴν ἀπὸ τοῦ βασιλέως ἀντίθεσιν, ἣν τέθεικε κατ' ἀρχὰς, Ἀλλὰ φοβούμεθα βασιλέα. Δῆλον γὰρ ὅτι τὰς λύσεις ἐταμιεύσατο, ἵνα καὶ πρὸς ταύτην καὶ πρὸς ἐκείνην αὐτῷ χρήσιμοι γένωνται. Ἐν ἀρχῇ μὲν γὰρ αὐταῖς καταχρησάμενος οὐκ ἂν ἔσχε χρησίμας πρὸς τὴν νῦν ἀντίθεσιν· πρὸς μόνην γὰρ ἂν ἐκείνην ἤρκεσαν ἀφομοιωθεῖσαι τῷ διαστήματι. Φυλάξας δὲ αὐτὰς τῷ παρόντι καιρῷ καὶ πρὸς ταύτην τὴν ἀντίθεσιν καὶ πρὸς τὴν ἤδη προλυθεῖσαν οἰκειότητα ἔχει· τὰ γὰρ ἐξ ὑστέρου λυθέντα πρὸς ἅπαντα τὰ προηγούμενα πᾶσαν ἀναπέμπει τὴν δύναμιν. TCV.

198, 1. Εἰσὶ δέ τινες —] Ἀντέπιπτεν ἀντίθεσις ἀπὸ τοῦ δικαίου, ἣν οὐ τέθεικε, φοβηθεὶς αὐτῆς τὴν δύναμιν. Τὴν μὲν οὖν ἀντίθεσιν ἔκρυψεν, ἀντὶ δὲ τῆς ἀντιθέσεως τὴν διαβολὴν τὴν κατὰ τῶν ῥητόρων ἔθηκεν εἰπὼν, « εἰσί « τινες, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ἡμῖν δεινότατοι τὰ δίκαια « λέγειν, » καὶ ἑξῆς. Τίνα δέ ἐστι τὰ δίκαια, ἢ ὑπὲρ τίνων τῶν ἄλλων, οὐ κατέστησεν ἡμῖν φανερά· ἀλλὰ μὴν οὐδὲ ἡ λύσις ἐναργῆ ποιεῖ τὴν ἀντίθεσιν. Ἔστι γὰρ ἡ λύσις, Διὰ τί οὐκ ἀπέχονται καταδουλοῦσθαι Κῶν καὶ Ῥόδον, ὥστε ἐκ τούτων μηδὲ ἐξεῖναι λαβεῖν εὐχερῶς τὸ λεγόμενον. Ἀλλ' ἔμοιγε δοκεῖ βούλεσθαι σημαίνειν τὰς συνθήκας ἃς ἐποιήσαντο πρὸς ἀλλήλους οἱ Ἕλληνες ἅπαντες, μηδένα ἐπιφέρειν ὅπλα, ἅπαντας δὲ εἰρήνην ἄγειν καὶ ἡσυχίαν, ὡς τὴν ἀντίθεσιν εἶναι τοιαύτην, Ἀλλὰ δόξομεν ἀδικεῖν καὶ παραβαίνειν πρῶτοι τὰς συνθήκας ὅπλα κινοῦντες. Ὅθεν δὴ καὶ λύων φησὶ μάλιστα μὲν δίκαιον εἶναι τῆς κοινῆς ἁπάντων σωτηρίας ἡμᾶς προεστάναι· εἰ δὲ καὶ ἄδικον τὸ γινόμενον, ἀλλ' οὖν, ἐπειδὴ ἀδικεῖν ἐπιχειροῦσιν ἅπαντες, καὶ ἡμεῖς ταῖς ἐκείνων γνώμαις ἀκολουθοῦντες ἀδικῶμεν. Ἡ μὲν ἀντίθεσις οὕτως ἂν ἐκ τούτων γνωρισθείη· ἡ δὲ μεταχείρισις βίαιος καὶ Θουκυδίδειος ἐκ τῆς Κλέωνος δημηγορίας· οἷον γὰρ ἐκείνου περὶ Μυτιληναίων τὸ διανόημα, τοιοῦτον καὶ τὸ Δημοσθένους ἐνθάδε. Ἀξιοῖ γὰρ κἀκεῖνος, εἰ μὲν δικαία εἴη ἡ ἀρχὴ, δικαίως κολάζεσθαι καὶ Μυτιληναίους· εἰ δὲ ἄδικος, ἀδίκως· χρὴ γὰρ πρὸς τὸ συμφέρον αὐτοὺς πολιτεύεσθαι. Οὕτως καὶ Δημοσθένης ἀξιοῖ μὲν μάλιστα κατὰ τὸ δίκαιον ἐλευθεροῦν τοὺς Ῥοδίους, εἰ δ' ἄρα τις καὶ λέγοι ἄδικον εἶναι εἰρήνης οὔσης ὅπλα κινεῖν, ἀλλ' οὖν γε οὐκ ἄτοπον πάντων ἀδικεῖν αἱρουμένων, νῦν μὲν Ἀρτεμισίας καὶ Μαυσώλου, νῦν δὲ Βυζαντίων. Οὐχ οἷς μόνοις εἴπομεν λέλυκε τὴν

ἀντίθεσιν, ἀλλὰ καὶ τῇ ἐκβάσει, Ἵνα καὶ τιμώμεθα, φησί, μειζόνως. Πρὸς γὰρ τὰς δυνάμεις εἰώθασιν ἀπονέμειν τὰ δίκαια οἱ ἄνθρωποι. Πιστοῦται δ' αὐτὸ καὶ ἐκ παραδείγματος, δεικνὺς ὅσην μὲν ἔσχον δύναμιν, ἡνίκα προΐσταντο τῶν Ἑλλήνων, αὐτοὶ νικήσαντες βασιλέα, καὶ τὴν ἀρχὴν ὁρίζοντες ἐκείνῳ, οἵαν δὲ βασιλεὺς νενικηκὼς ὕστερον· ὡς συνίστασθαι πανταχόθεν δεῖν δύναμιν ἀθροίζειν, εἰ φιλοτιμίας ὀρέγοιντο. Ἔστιν οὖν λύσις τῆς ἀντιθέσεως ἀπὸ τοῦ συμφέροντος, κατασκευαζομένη τῷ δυνατῷ. Ὅτι γὰρ συμφέρει δύναμιν ὑπάρχειν τῇ πόλει κατασκευάζει. FYV.

199, 21. Εἰκότως δέ μοι δοκεῖ —] Τὴν ἀρχὴν ποιεῖται τῶν ἐπιλόγων, ἐν οἷς πολλὴν καταρδρομὴν τῶν δωροδόκων καὶ τῶν τἀναντία πολιτευομένων αὐτῷ πεποίηται. Βουλόμενος δὲ τοὺς ἐκείνων κωλῦσαι λόγους, εἰκότως κέχρηται τῇ διαβολῇ, μετὰ ταῦτα ἐπενεγκὼν τὸ ἔνδοξον, καὶ ἐπιλογισάμενος, καὶ ἐκ τούτου τὴν δημηγορίαν καταπαύει. FYV.

XVI. ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

202, 1. Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἀθηναῖοι συνεμάχησαν Λακεδαιμονίοις ἐν Μαντινείᾳ· κτισθείσης δὲ Μεγάλης πόλεως μετὰ τοῦτον τὸν πόλεμον ὑπὸ Ἀρκάδων συμμαχούντων τότε Θηβαίοις, ὥστε ὁρμητήριον εἶναι κατὰ τῆς Λακωνικῆς, Λακεδαιμόνιοι, τῆς ἐπικηρυκείας αὐτοῖς ὑπαρχούσης πρὸς Ἀθηναίους, στρατεύουσιν ἐπὶ Μεγάλην πόλιν. Ἀρκάδες δὲ, ἀσχολουμένων Θηβαίων περὶ τὸν Φωκικὸν πόλεμον, καταφεύγουσιν ἐπ' Ἀθηναίους, ἀξιοῦντες συμμαχεῖν· ἥκουσι καὶ παρὰ Λακεδαιμονίων πρέσβεις, ἀξιοῦντες μᾶλλον αὐτοῖς ὡς συμμάχοις προστίθεσθαι, καὶ βουλεύονται. Χαλεπὸς ὁ λόγος τῷ ῥήτορι. Τό τε γὰρ συνειπεῖν τοῖς πρὸ βραχέος πολεμήσασι καὶ τὸ ἐναντιωθῆναι τοῖς οὖσι συμμάχοις Λακεδαιμονίοις οὐκ ἔστι τῶν εὐχερῶν· βαρὺ γὰρ οἷον τοὺς μὲν συμμάχους ἀπελαύνειν, τοὺς δὲ πολεμίους προσίεσθαι. Χωρὶς γὰρ τοῦ τὸ πρᾶγμα ὑπάρχειν ἄτοπον καὶ διαβολὴν φέρει μεγίστην τῇ πόλει. Ἔτι καὶ ἐπικίνδυνον διχόθεν εἶναι δοκεῖ αὐτῷ σώζειν τοὺς τῶν πολεμίων Θηβαίων συμμάχους καὶ ἐκ τούτου προσκρούειν Λακεδαιμονίοις συμμάχοις οὖσιν, ὧν μετὰ μικρὸν χρῄζουσιν εἰς τὸν ὑπὲρ Ὠρωποῦ πρὸς Θηβαίους πόλεμον. Ἀλλ' ὅμως ἐξεύρηκε θεώρημα καθ' ὃ καὶ Λακεδαιμονίοις οὐ δοκεῖ προσκρούειν καὶ Ἀρκάδας προσάγεται καὶ Θηβαίους οὐκ αὔξει, σώζων τὴν αὐτῶν συμμαχίαν· καὶ γὰρ καὶ τοῦτο ἕν τι τῶν δυσμεταχειρίστων ἐστὶ, τὸ δοκεῖν συναύξειν τοὺς Θηβαίων συμμάχους. Πῶς οὖν ἕκαστον τούτων πεποίηκε; καθαιρεῖ Λακεδαιμονίους, καθαιρεῖ καὶ Θηβαίους, τοὺς μὲν μὴ συγχωρῶν αὐξάνεσθαι, Θηβαίων δὲ τὴν συμμαχίαν καθιστὰς εἰς τὴν πόλιν. Ἵνα δὲ μὴ δοκῇ χαρίζεσθαι τοῖς Ἀρκάσιν, οὐδὲν δείκνυται τῷ λόγῳ χαριζόμενος Μεγαλοπολίταις, οὐδὲ τὸ ἐκείνων συμφέρον μίσει ζητεῖ τῷ πρὸς Λακεδαιμονίους· οὐδὲ κατηγορεῖ πάλιν Σπαρτιατῶν, ἀλλ' ὡς προκειμένων ἀλλοτρίων προσώπων τῶν τε Λακεδαιμονίων καὶ τῶν Ἀρκάδων τῆς πόλεως, ἀμελήσας τοῦ ὑπὲρ ἀμφοῖν τοῖν αἰτούντοιν τὴν συμμαχίαν δοκεῖν ποιεῖσθαι τοὺς λόγους, τὸ τῇ πόλει συμφέρον παὶ λυσιτελὲς ἐπισκέπτεται, τῇ αὐτῇ μεταχειρίσει χρώμενος. Εἶπε γὰρ τοιαῦτα κἀν τῷ πέμπτῳ τῶν Φιλιππικῶν κἀν τῷ ὑπὲρ τῶν ἐν Χερρονήσῳ, θηρώμενος ἀεὶ τὸ κοινῇ συμφέρον, οὐχὶ δὲ τὸ ἰδίᾳ ἑκάστῳ, δι' ὃν ὁ λόγος, σκοπούμενος. Πρῶτον τοίνυν ἐστὶ κεφάλαιον ἐν τούτῳ τῷ λόγῳ τὸ συμφέρον, λαμβάνον τὰς κατασκευὰς ἐκ τοῦ δυνατοῦ. Φησὶ γὰρ συμφέρον εἶναι τῇ πόλει Λακεδαιμονίους καὶ Θηβαίους ἀσθενεῖς ὑπάρχειν· νῦν δὲ καιρὸν εἶναι τούτου, κατοικισθείσης μὲν τῆς Βοιωτίας, μὴ συγχωρηθέντων δὲ ἰσχυρῶν γενέσθαι τῶν Λακεδαιμονίων. Οὕτω τὰς κατασκευὰς τοῦ συμφέροντος ἀπὸ τοῦ δυνατοῦ κεκόμικεν. Ἀλλὰ τὸ μὲν περὶ τοῦ κατοικισμοῦ τῆς Βοιωτίας ἐνθάδε προὔθηκε καὶ συνέπλεξε διὰ τὴν πιθανότητα, προσρίψας ἀθρόως αὐτὸ πρὸς τὴν λυποῦσαν αὐτοὺς ἔννοιαν ὅτι, Ἀλλ' αὐξηθήσονται Θηβαῖοι σωθέντων τῶν Ἀρκάδων, καταλιπὼν δὲ αὐτὸ ἐν προτάσει καὶ τὴν ἀπόδειξιν εἰς καιρὸν ταμιευσάμενος, μετὰ μικρὸν ἀποδείξων, ὅταν πρὸς αὐτὴν τὴν ἀντίθεσιν ἀγωνίζηται, τὸ κατὰ Λακεδαιμονίους ἀποδείκνυσι μόνον ὡς οὐ συμφέρει συγχωρεῖσθαι γενέσθαι μεγάλους. Κατασκευάζει δὲ τοῦτο τῷ ἐξισάζοντι κατὰ ἀντιστροφήν. Ἐπειδὴ γὰρ ἡ ἔννοια ἦν, Ἀλλ' ἰσχυροὶ γενήσονται Θηβαῖοι, τοῦτο δὲ οὐ συμφέρει, ἐπήγαγεν ἀπὸ τοῦ ἐξισάζοντος τὸ ἀντίστροφον, Οὐδὲ γὰρ Λακεδαιμονίους αὐξηθῆναι συμφέρει. Τὸ δὲ σχῆμα τὸ κατὰ ἀναίρεσιν παραπλήσιον τῷ κατ' ἀρχὰς ἐν τῷ πρὸς Λεπτίνην μετὰ τὴν πρώτην περίοδον· οὐ γὰρ ἐκεῖνο ἄλλου γένους ἔστιν εἰπεῖν. Ταῦτα δὲ πάντα μάχην ἔχει πρὸς τὴν ἀπὸ Θηβαίων ἀντίθεσιν· τὰ γὰρ Ὀρχομενοῦ καὶ Θεσπιῶν καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γεγενῆσθαι τοὺς Θηβαίους τῆς ἀντιθέσεως ἔστι λύσις· οὐ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν ὅτι πλοκὴν ἔχει τὸ κεφάλαιον οὐ τὴν τυχοῦσαν, ἀλλὰ πάσης δεινότητος ἀνάπλεων. Διὰ γὰρ τῶν αὐτῶν καὶ καθαιρεῖ τὴν Θηβαίων δύναμιν καὶ τὸ μὴ αὐξηθῆναι Λακεδαιμονίους συνίστησιν. TCV.

203, 16. Ἀλλὰ, νὴ Δία, ταῦτα μὲν οὕτως ἔχειν φήσομεν, δεινὸν γὰρ ἦν πρὸς οὓς ἐν Μαντινείᾳ παρετεττόμεθα] Ἀπὸ τοῦ συμφέροντος ταύτην ἔλαβε τὴν ἀντίθεσιν, τὸ αἰσχρὸν καὶ τὸ ἄτοπον δεικνῦσαν· ἐκ τούτων γὰρ ἐπιχειρεῖται· καὶ ἔστιν ἡ ἀντίθεσις διμερής. Ἓν μὲν γὰρ αὐτῆς μέρος ἐνδείκνυται τὸ αἰσχρὸν ὅσον ἔσται, εἰ τούτοις βοηθήσουσιν οἷς ἐπολέμουν· τὸ δὲ ἕτερον μέρος τὸ ἄτοπον, εἰ Λακεδαιμονίοις πολεμήσουσιν, οἷς μικρῷ πρότερον συνεμάχοντο. Ταύτης τὸ μὲν πρότερον μέρος ἔλυσε κατὰ συνδρομὴν μὲν, ὅτι καὶ αὐτὸς ὁμολογεῖ τὸ αἰσχρόν· κατὰ μετάληψιν δὲ, εἰ μηδὲν ἀδικούντων πολεμίων, ἀλλὰ ποιεῖν τὰ δίκαια βουλομένων, τούτων εἶναι τὸ αἰσχρόν. Σεσιώπηται δὲ τὸ ἑπόμενον τούτῳ, διὰ τὸ ἀκόλουθον εἶναι καὶ προφανές. Τοῦτο δὲ ἦν· Εἰ δὲ ἀδικοῦσι Λακεδαιμόνιοι, οὐκ ἂν αἰσχρὸν εἴη τὸ γιγνόμενον. Τοῦτο μὲν οὖν πρὸς τὸ πρότερον μέρος· μεταβὰς δὲ ἐπὶ τὸ ἕτερον μέρος λύει αὐτὸ, τῷ δικαίῳ καὶ συμφέροντι· δικαίῳ δὲ, ὅτι Ἀδικοῦσι Λακεδαιμόνιοι, καθ' ὑπόθεσιν, εἰ καὶ μόνον ἠδίκουν, ἄτοπον μὲν, ὅμως δ' ἔδει συγχωρεῖν. Καὶ ἄλλῳ δικαίῳ· Εἰ δὲ στρατεύονται ἐπὶ Μεσσήνην, ἀνάγκη βοηθεῖν Μεσσηνίοις διὰ τοὺς ὅρκους οὓς ἐποιησάμεθα. Μετὰ τοῦτο τῷ συμφέροντι, Οὐδὲ αὐξηθῆναι τῇ πόλει συμφέρει Λακεδαιμονίους. Εἶτα ἀπὸ τοῦ πρέποντος, Τίς ἔσται πρεπωδεστέρα ἀρχὴ τῆς βοηθείας; πότερον ἡ παροῦσα νῦν, ἢ ὅταν εἰς τὴν Μεσσήνην ἐμβάλωσι; τότε μὲν γὰρ δόξομεν δι' εὐλάβειαν καὶ φόβον ποιεῖν, νῦν δὲ διὰ τὸ δίκαιον. Καὶ οὕτω δέδωκέ σοι θεώρημα καινὸν ἐν τούτῳ τῷ λόγῳ, μὴ μόνον προηγούμενα συμπλέκειν κεφάλαια, δίκαιον καὶ συμφέρον, ἢ δυνατὸν καὶ δίκαιον, ἢ συμφέρον καὶ δυνατὸν, ἀλλὰ

καὶ τὰ δευτερεύοντα, ὥσπερ ἐπὶ τῆς λύσεως πεποίηκε ταύτης· καὶ γὰρ καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι λέλυκε. Διὰ τοῦτο δὲ τὴν προσθήκην τοῦ δευτέρου μέρους ἔλαβεν ἡ ἀντίθεσις, ἐπειδήπερ τὸ μὲν πρότερον δύσλυτον ἦν τὸ κατὰ τὴν αἰσχύνην, ὅταν βοηθῶσιν οἷς ἐπολέμουν· τὸ δὲ δεύτερον μέρος ἀφορμὴν παρεῖχε διαβολῆς τοῦ προσώπου Λακεδαιμονίων. Ἐδεήθη οὖν τῆς προσθήκης, ἵνα δι' αὐτῆς δοκῇ πρὸς πᾶσαν μάχεσθαι τὴν ἀντίθεσιν τοῦ συμφέροντος, ἀλλὰ λυσιτελεῖν ἄλλον μᾶλλον προσθέσθαι Λακεδαιμονίοις, ἵνα καὶ αὐτοὶ διασώσωσιν Ὠρωπὸν τῇ πόλει· ἥντινα προσέθηκε τῇ ἀντιθέσει, ἵν' εὐπορήσῃ λύσεων. TCV.

204, 23. Εἰ δ' ἐχθροὺς Λακεδαιμονίους ποιησόμεθα, οὐχ ἕξομεν τοὺς ἡμῖν συμμαχήσοντας] Διμερὴς καὶ αὕτη ἡ ἀντίθεσις. Τὸ μὲν γὰρ ἓν μέρος, Τὸν Ὠρωπὸν δεῖ ἡμᾶς κομίσασθαι, τὸ δὲ ἕτερον, Εἰ δὲ τοὺς συνανασώσοντας ἐχθροὺς ποιησόμεθα, τίνας ἕξομεν συμμάχους; Τὸ τοίνυν πρότερον μέρος ἔλυσε κατὰ συνδρομήν· τὸ δὲ, ὅτι Λακεδαιμονίους ἐχθροὺς ἕξομεν, εἰ τοὺς Ἀρκάδας προσησόμεθα, μεταληπτικῶς, Οὐ τοῦτον τὸν τρόπον ὑμῖν συνεβούλευσα, οὐδὲ ταῦτα ὑμῖν προὔλεγον, [ἀλλ'] οἱ βουλόμενοι λαθεῖν, ἀξιοῦντες βοηθεῖν Λακεδαιμονίοις καὶ διωθήσασθαι Πελοποννησίους ἥκοντας παρ' ἡμᾶς, λοιπὸν ἐπὶ Θηβαίους ἧκον, ὅτι μὴ προσεδέξαντο αὐτούς. Ἡ δὲ λύσις ἀπὸ τοῦ δικαίου. Εἶτα ἑτέρα λύσις, ὅτι Οὐδ' ἂν αὐτοῖς ὑμεῖς ἐβοηθήσατε, εἰ προὔλεγον ὑμῖν ὅτι σωθέντες ἀδικήσουσι. Καὶ τρίτη λύσις, ὅτι Εἰ καὶ ἀνιῶνται Λακεδαιμόνιοι, δίκαιοι χάριν εἰσὶ γιγνώσκειν μᾶλλον ἐφ' οἷς εὖ ἔπαθον ἢ νῦν χαλεπαίνειν ὅτι κωλύονται ἀδικεῖν. Πληρωθέντος τοῦ συμφέροντος μετέβη ἐπὶ τὸ δίκαιον ὡς ἀντικείμενον αὐτῷ. Διόπερ καὶ ἐξ ἀντιθέσεως αὐτὸ λαμβάνει, καὶ ἔστι τριμερές· τὸ μὲν γὰρ πρὸς τὴν πόλιν, τὸ δὲ πρὸς Λακεδαιμονίους, τὸ δὲ πρὸς Ἀρκάδας. Πρώτη τοίνυν ἀντέπεσεν ἀντίθεσις ἀπὸ τοῦ δικαίου, κατηγοροῦσα τῆς ποιότητος τῆς πόλεως, Ἀλλ' ἄπιστος εἶναι δόξει ἡ πόλις νῦν μὲν Λακεδαιμονίοις, αὖθις δὲ Ἀρκάσι προστιθεμένη· ὁμοία δ' ἐστὶν αὕτη τῇ πρώτῃ τεθείσῃ ἀντιθέσει. Ἀλλ' ἐκεῖ μὲν τὸ αἰσχρὸν ἐξητάζετο, ὅπερ ἐστὶ τοῦ συμφέροντος, ἐνταῦθα δέ ἐστι τὸ δίκαιον· ὥστε αἱ αὐταὶ ἔννοιαι τῶν ἀντιθέσεων, ἀλλά γε οὐκ ἐπὶ τῶν ὁμοίων ἐλήφθησαν, ἐπεὶ ἄλλη μέν ἐστι τοῦ συμφέροντος ἡ δὲ τοῦ δικαίου· παρὰ γὰρ τὴν τοιαύτην μεταχείρισιν καὶ ὁ λόγος τὴν δύναμιν μεταλαμβάνει. Ἔλυσε δὲ κατὰ ἀνατροπήν· ἐγγὺς δὲ ἡ ἀνατροπὴ τῆς μεταλήψεως. Εἶτα ἐκ παραδείγματος, ὅτι Καὶ Θηβαίους καὶ Εὐβοέας καὶ Λακεδαιμονίους ἔσωσεν ἡ πόλις, καὶ νῦν ἐστιν Ἀρκάδας τὸν αὐτὸν τρόπον διασώζουσα, ἄλλην ἀντίθεσιν ἀπὸ τοῦ δευτέρου μέρους τοῦ δικαίου κεκίνηκεν, ὅπερ ἐστὶ πρὸς Λακεδαιμονίους· Ἀλλ' ἐπαγγέλλονται Λακεδαιμόνιοι τὰ δίκαια σώσειν ἅπασιν. Ἠλείοις μὲν τὴν Τριφυλίαν παρὰ Ἀρκάδων, Φλιασίοις δὲ τὸ Τρικάρανον ὑπὸ Ἀργείων ἐχόμενον, ἡμῖν δὲ τὸν Ὠρωπὸν ὑπὸ Θηβαίων κρατούμενον. Καὶ αὕτη συγγένειαν ἔχει πρὸς τὴν περὶ Ὠρωποῦ κινηθεῖσαν ἀντίθεσιν· ἀλλ' ἐκείνη μὲν ἀπὸ τοῦ συμφέροντος εἴληπτο, ἡ δ' ἀπὸ τοῦ δικαίου. Καὶ λύει ταύτην τῷ συμφέροντι μὲν, ὅτι Ἴδιόν τι διοικούμενοι κέρδος ταῦτα Λακεδαιμόνιοι πράττουσιν, ἵνα ὡς ἐπὶ Μεσσήνην ἔλθωσιν· ἔχεται δ' οὖν ὅμως καὶ τοῦ δικαίου τοῦτο. Εἰ γὰρ ἡ γνώμη ἄδικος, καὶ τὸ πρᾶγμα ἄδικον. Οὐκ ἂν ἔχοιεν μέμφεσθαι τοῖς μὴ βοηθοῦσιν αὐτοῖς. Εἶτα πάλιν δικαίῳ, ὅτι ἐν ὑποκρίσει καὶ ἀπάτῃ ταῦτα παρὰ Λακεδαιμονίων λέγεται, ἕως ἂν τὴν Μεσσήνην κατεδουλώσωνται. Ἄχρις οὖν τούτων τὸ ἓν μέρος τῆς ἀντιθέσεως λέλυκε· τὸ δὲ κατὰ τὸν Ὠρωπὸν δεύτερον μέρος ἐστὶν οὕτως, ὅτι Δίκαιοι μέν εἰσι καὶ ὑπὲρ Ὠρωποῦ βοηθεῖν Λακεδαιμόνιοι· εἰ δὲ μὴ βοηθοῖεν, ἕτεροι βοηθήσουσιν, ὅσοι τῶν δικαίων φροντίζουσιν. Εἶτα καθ' ὑπόθεσιν, ὅτι αἱρετώτερον Ὠρωπὸν ἀπολέσθαι, εἰ δέοι, μᾶλλον ἢ ὑπὸ Λακεδαιμονίοις γενέσθαι τὴν Πελοπόννησον. Τρίτη ἀντίθεσις ἀπὸ τοῦ δικαίου εἰλημμένη ἐκ τῆς τῶν Ἀρκάδων ποιότητος. Τοῦτο δ' ἦν τὸ τρίτον τοῦ δικαίου μέρος. Ἀλλὰ πολλὰ ἡμᾶς ἠδίκησαν Ἀρκάδες χάριτι τῇ πρὸς Θηβαίους. Ταύτην ἔλυσε τῷ συμφέροντι· πρῶτον μὲν ἀπὸ τοῦ ἀτόπου, εἰπὼν ἄτοπον εἶναι μνησικακεῖν· εἶτα ἐκ περιτροπῆς ἀγωνιστικώτερον, ὅτι Εἰ τότε ὑμᾶς κακῶς ἐποίουν, νῦν οἱ πάλιν αὐτοὺς ἀπελαύνειν προῃρημένοι κακῶς ποιεῖν ὑμᾶς ἐπιχειροῦσι· καὶ γὰρ ὅσῳ σπουδαιότεροι περὶ ἐκείνους ἐγένοντο, τοσούτῳ δικαιότεροι μέμψιν ἐκδέχεσθαι οἱ τῇ πόλει μὴ συγχωρήσαντες αὐτοὺς καταδέξασθαι, ὅτε ἐφ' ἡμᾶς ἧκον πρότερον. Εἶτα ὅτι καὶ ἀναγκασθησόμεθα, εἰ ἔλθοιεν ἐπὶ Μεσσήνην Λακεδαιμόνιοι, γενέσθαι Θηβαίων σύμμαχοι· ὥστε αἱρετώτερον τοὺς συμμάχους Θηβαίων σώζειν ἢ αὐτῶν δεῖσθαι Θηβαίων. Εἶτα τῶν ἀδικημάτων τῶν Λακεδαιμονίων ὑπομεμνῆσθαι κατασκευάζων τὸ μὴ συμφέρειν ἐᾶσαι Λακεδαιμονίους ἰσχυροὺς καταστῆναι θέλει δηλῶσαι. Πεπληρωμένου τοίνυν τοῦ μέρους τοῦ δικαίου, ἀπὸ τοῦ δυνατοῦ λοιπὸν ἀντέπεσεν ἀντίθεσις, ἐπὶ μὲν τὸ συμφέρον ἀναφέρεσθαι δυναμένη, τὰς δὲ κατασκευὰς ἀπὸ τοῦ δυνατοῦ λαμβάνουσα, Ἀλλ' ἰσχυροὺς ποιήσομεν τοὺς Θηβαίους. Αὕτη ἐξισάζει ἡ ἀντίθεσις· δύναται γὰρ καὶ παρὰ Δημοσθένους προτείνεσθαι, Ἀλλ' ἰσχυροὺς ποιήσομεν τοὺς Λακεδαιμονίους. Διὰ τοῦτο τοιγαροῦν οὐκ ἔθηκε μὲν τὴν ἀντίθεσιν ἐξισάζουσαν, τέθεικε δὲ τὴν λύσιν, εἰπὼν « ἔστι γάρ, ἔστι Θηβαίους ταπεινοὺς ἄνευ τοῦ Λακεδαιμονίους ἰσχυροὺς καθιστάναι, » τουτέστιν, ἔξεστιν οὐδετέρους αὐτῶν αὐξῆσαι. Καὶ ὃ τέθεικεν ἀρχόμενος τοῦ λόγου κεφάλαιον, τοῦτό ἐστιν, εντελέστατα δὲ γυμνάζει. Παρὰ τοῦτο ἀντέπεσεν ἐκ τῆς ἐργασίας, Τί οὖν, ἐὰν μὴ συγχωρῶσιν ἡμῖν Θηβαῖοι κατοικίζειν Θεσπιὰς καὶ Πλαταιὰς καὶ Ὀρχομενὸν καὶ Κορώνειαν; Τοῦτο τὸ ἀντιπῖπτον λύων ἐπήγαγεν ὅτι, Κἂν μὴ βούλωνται τὰ δίκαια ποιεῖν Θηβαῖοι, ἀλλ' οὖν γε αἰσχυνόμενοι συγχωρήσουσιν. Εἶτα συμβουλεύει λογοποιεῖν καὶ διαδιδόναι φήμην εἰς τοὺς Ἕλληνας ὅτι κατοικίσουσι τὰς ἐν Βοιωτίᾳ πόλεις, ἵνα μὴ Λακεδαιμόνιοι Μεγαλοπολίταις ἐπιβουλεύωσιν· ἐὰν γὰρ ὁρῶσι Θηβαῖοι τοῖς ἀδικουμένοις ἅπασιν ἡμᾶς ἀεὶ βοηθοῦντας, οὐδὲν ἀντεροῦσι κατοικιζομένων τῶν πόλεων. TCV.

209, 6. Σύμμαχοι] Σημείωσαι· σύμμαχοί εἰσιν οἱ ἑαυτοῖς βοηθοῦντες. B.

209, 24. Θαυμάζω δ' ἐνίων] Ἄλλην ἔθηκεν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου, μάλα θαυμαστῶς ῥητορεύσας, ὡς ἀγαπῶντος τοῦ ἀκροατοῦ, εἰ μόνον ἀποσταῖεν τῶν Θηβαίων τῆς συμμαχίας, καὶ καταδεχομένου βοηθεῖν, εἰ τὰς στήλας ἀνέλοιεν. Καὶ ἡ λύσις δὲ ἔτι θαυμασιωτέρα· γινώσκων γὰρ ὅπως ἔχουσι γνώμης Ἀρκάδες προσποιεῖται ἀγνοεῖν, ἵνα μὴ δοκῇ συναγορεύειν. Καὶ ἀξιόπιστος ἡ προσποίησις· τί γάρ; φησὶν, ἐὰν καταδέχωνται, δῆλοί εἰσι τὰ μὴ δίκαια θέλοντες, ἵνα περὶ τούτων καταγενομένου τοῦ ἀκροατοῦ Δημοσθένης κρατήσῃ τὸ βούλευμα· οὐδὲ γὰρ ἂν ἄλλως ἐτόλμησαν Ἀρκάδες αἰτῆσαι τὴν συμμαχίαν, μὴ προῃρημένοι λαμπρῶς ἀποστῆναι Θηβαίων. Ἀνέλθωμεν δ' οὖν ἐπὶ τὸν λόγον τὸν ἐξ ἀρχῆς· Ἀλλ' εἰ προῄρηνται

γενέσθαι μεθ' ἡμῶν οἱ ἄνδρες, δίκαιοι καθελεῖν τὰς στήλας εἰσίν, ἐν αἷς ἔχουσιν ἀναγράπτους τὰς πρὸς Θηβαίους συνθήκας. Προσέθηκε δὲ τὸ κατὰ τὰς στήλας τὴν ἀντίθεσιν ἑαυτῷ ποριζόμενος· φησὶ γὰρ μὴ ὑπάρχειν στήλας. Εἶτα ἠθικῶς, ὡς ἤδη καταδεξαμένου τοῦ ἀκροατοῦ τὸν λόγον καὶ περὶ τοῦτον λοιπὸν ἔχοντος, ὥστε βεβαίως αὐτῶν γενέσθαι συμμάχους Ἀρκάδας, ἀξιοπίστως καὶ ἠθικῶς διαλέγεται, ἵνα δοκῇ τὸ συμφέρον ὄντως τῆς πόλεως ζητεῖν. Ἐπαμφοτερίζει δὲ τῇ γνώμῃ καὶ ἐνδοιαστικῶς διαλέγεται, ὡς ἀγνοῶν δῆθεν τὴν Ἀρκάδων γνώμην καὶ ταῦτα μὴ ἀγνοῶν. Τί γὰρ φησίν; Εἰ μὲν τὰ δίκαια ἐθελήσειαν ποιεῖν Λακεδαιμόνιοι καὶ εἰρήνην ἄγειν, μὴ ποιώμεθα πόλεμον· εἰ δὲ Ἀρκάδες τὰς στήλας μὴ ἀνέλυοιντο, δῆλοί εἰσιν ἀδικοῦντες. Εἶτα κέχρηται ἀντιστρόφῳ τινὶ νοήματι, ἀντίθεσιν αὐτὸ ποιήσας ἐπιλογικήν, Ἀλλὰ φοβεροὶ Λακεδαιμόνιοι ἔσονται τοὺς Ἀρκάδας προσειληφότες. Τάχα δὲ καὶ ἐξεπίτηδες πάλιν ἔθηκε μετὰ τὸν λόγον τὸν περὶ τῶν στηλῶν, ἵνα αὐτὴ ἑαυτὴν λύουσα φαίνηται. Τίς γὰρ ἂν ἔτι οἰηθείη Θηβαίους ἰσχυροὺς γενήσεσθαι τῶν στηλῶν καθῃρημένων καὶ ἀπηλλαγμένων Ἀρκάδων τῆς ἐκείνων συμμαχίας; ὡς τὴν μὲν προτέραν λύσιν ἐκ τοῦ ἐξισάζοντος εἶναι, ταύτην δὲ ἀπὸ τοῦ δυνατοῦ, κατὰ φύσιν μᾶλλον ἢ λογισμόν, ὃ πολλῷ πιθανωτέραν πεποίηκε τὴν λύσιν. Εἶτα λοιπὸν ταῖς ἐκβάσεσι κέχρηται, ὅτι συμφέρει προσδέξασθαι, ἵνα μὴ δι' αὐτῶν Μεγαλοπολῖται σωθέντες προσχωρήσωσι Θηβαίοις, καὶ ἵνα, εἰ σωθεῖεν ἐκ τοῦ Φωκικοῦ πολέμου Θηβαῖοι, ἀσθενέστεροι ὦσι, τῆς συμμαχίας αὐτῶν προσκεχωρηκυίας τῇ πόλει. TCV.

XVII. ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΤΗΚΩΝ.

Τινὲς Ὑπερίδου λέγουσιν εἶναι τὸν λόγον καὶ οὐ Δημοσθένους. BY.

211, 1. Ἄξιον ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν] Οὐκ ἔστιν ἄδηλον τοῖς φιλομαθέσιν ἐξ ὧν ἀνεγνώκασιν ὑπομνημάτων ὅτι νοθεύεται ὁ ὑπὲρ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν καὶ νενόμισται εἶναι τοῦ Δημοσθένους ἀλλότριος, ὥσπερ καὶ ὁ ἕβδομος τῶν Φιλιππικῶν, ὃν ὑπὲρ Ἀλοννήσου τινὲς ἐπιγράφουσιν. Ἀμφοτέρους γὰρ τούτους ἀναφέρουσιν εἰς Ἡγήσιππον τὸν Κρώβυλον ἐπικληθέντα, Τιμάρχου δὲ ἀγαθὸν φίλον. Ἐπάγουσι δὲ ἐγκλήματα τῷ λόγῳ· πρῶτον μὲν αἱ εἰσαγωγαὶ τῶν κεφαλαίων ὕπτιαι καὶ ἱστορικαί, οἷαι καὶ αἱ παρ' Ἡροδότῳ ἔννοιαι. Ἄλλο, ὅτι τοῦ πολιτικοῦ λόγου καὶ γοργότης καὶ τραχύτης καὶ τὰ τμητικά, ἐν τούτῳ δὲ πολὺ τὸ ἀναβεβλημένον, εἶτα οὐδὲ πνεῦμα φαμὲν Δημοσθενικόν, ἀλλ' ἀσθενὲς καὶ ἄτονον καὶ ἀτελές. Μέμφονται καὶ τῇ λέξει δικαίως· τὸ γὰρ « νεοπλούτου, » καὶ « τυραννίζοντος, » καὶ « βδελυρεύσεταί τις, » καὶ ὅσα τοιαῦτα, οὐ συνήθη Δημοσθένει. Τό τε ἦθος τοῦ λόγου τὴν παρρησίαν οὐκ ἔχει καθαρὰν τὴν Δημοσθενικήν, οὐδὲ τὴν ἐπίπληξιν ἐκείνην καὶ τὴν ἐλευθερίαν τὴν ἐλεγκτικήν· ὅλον δὲ τὸ εἶδος τοῦ λόγου σχεδὸν ὑπὸ κάλυμμά τι κεῖται, πολὺ τῆς Δημοσθένους παρρησίας ἀποδέον. Παρρησιάζεται γὰρ καὶ οὐ παρρησιάζεται, καὶ παρακαλεῖ πρὸς πόλεμον καὶ δέδοικε τὸν περὶ τούτου λόγον, καὶ μέσον φόβου καὶ θάρσους, οὔτε ὡς Δημοσθένης παρρησιαζόμενος οὔτε ὡς Δημοσθένης ὀκνῶν· ἐνδείκνυται μὲν γὰρ τὸ βούλεσθαι, ὥσπερ δὲ τὴν γλῶσσαν ἐμπεφραγμένος ὑπὸ τοῦ δέους τῶν συνθηκῶν ὑποκνεῖ, πλὴν εἰ μή τις αὐτὰ ταῦτα λέγει τῆς ἐκείνου δεινότητος ἄντικρυς εἶναι. Ἐπεὶ γὰρ ὁ τύραννος πρὸς ὃν ἐστιν ὁ λόγος φοβερός, καὶ τὸ τῶν Ἑλλήνων πέπτωκε φρόνημα, Ἀθηναῖοι δὲ . . . . μὴ δεδούλωνται σχεδόν, εἰκότως ταύτῃ τῇ μεθόδῳ κέχρηται, καὶ βιάζεται πρὸς τὴν χρείαν τὴν δύναμιν. Καὶ παρρησίας μὴ ἔχων καιρὸν ὅμως παρρησιάζεται, καὶ νικᾷ τῇ τέχνῃ τὸν φόβον, καὶ λαμβάνει παρὰ τοῦ λόγου τὴν παρρησίαν, μὴ ἔχων αὐτὴν ἐκ τῆς δυνάμεως. Καὶ γὰρ ἐν τοῖς τελευταίοις τῶν Φιλιππικῶν, καίπερ οὐ τοσούτων φόβων ἐπηρτημένων, ὅμως ἐστὶ περὶ τὸν τοῦ πολέμου λόγον εὐλαβής, οὐ προπετῶς αὐτὸς ἀποφαινόμενος, οὐδὲ εἰσηγούμενος δεῖν πολεμεῖν, ἀλλ' ἀξιῶν ἐκ τῶν πραγμάτων σκοπεῖν εἴτε χρὴ τὰ τοιαῦτα νομίζειν εἰρήνης ἔργα εἴτε πολέμου. Κἂν τούτῳ τῷ λόγῳ τοιαύτῃ μεθόδῳ χρώμενος φαίνεται. Ὥστε κατὰ μὲν τὰς μεταχειρίσεις καὶ τὸ ὅλον ἦθος οὐκ ἄν τις αὐτὸν ἐκβάλλοι, κατὰ δὲ τὴν λέξιν εἴ τις αὐτῷ καταμέμφοιτο, οὐκ ἂν εὕροι τις οὐδὲ τὸν Πλάτωνα, οὐδὲ τοὺς κωμικούς, οὐδὲ τοὺς συγγραφέας ἀνεπιλήπτους. Μᾶλλον δὲ χρὴ λέγειν ὅτι καὶ ὀνοματοποιεῖν σύνηθες Ἀττικοῖς καὶ χρῆσθαι πρὸς τὰς ὑποκειμένας ὕλας τοῖς κεκρατηκόσιν ὀνόμασιν, οἷα πολλὰ παρὰ Μενάνδρῳ καὶ Ἀριστοφάνει καὶ τῷ παρὰ τὸν Ἀριστοφάνην ὑπειλημμένῳ ἀττικίζειν, τῷ Πλάτωνι. Εἰ δὲ καὶ τὰς οἰκιστικὰς (καί τινα σολοικιστικά?) προφέροι τις ἄν, δόξειε μὲν ἂν εἰκότως ἐγκαλεῖν, εἴποι δ' ἄν τις ὅμως παρὰ τὸν καιρὸν καὶ τὴν ταχύτητα τοῦτο συμβῆναι. Ὅτι γὰρ οὐ διὰ γῆρας οὐδὲ δι' ἀτονίαν λόγου τοῦτο συμβέβηκεν εὔδηλον ἐκ τοῦ περὶ στεφάνου λόγου, ὅς πολὺ μεταγενέστερός ἐστι ταύτης τῆς δημηγορίας· ὁ μὲν γὰρ εἴρηται ἐν ἀρχῇ τῆς κατὰ Ἀλέξανδρον καταστάσεως, ὁ δὲ περὶ τοῦ στεφάνου λόγος Ἀλεξάνδρου ὄντος ἐν Ἰνδοῖς ἢ ἐν Πέρσαις. Ἔστι δ' οὖν ὁ λόγος πραγματικῆς στάσεως, κεφάλαιον ἔχων τὸ νόμιμον. Τὸ γὰρ ῥητὸν δείκνυσι παραβεβασμένον· τοῦτο δέ ἐστιν αἱ πρὸς τοὺς Ἕλληνας Ἀλεξάνδρῳ συνθῆκαι. Κινδυνεύει δὲ ὁ λόγος εἶναι ἐν σχήματι καὶ οὐκ ἐν σχήματι. Ἧ μὲν γὰρ ἀξιοῖ ταῖς συνθήκαις ἐμμένειν καὶ μηδὲν παραβαίνειν τῶν γεγραμμένων, σώζει τὸ σχῆμα· τὸ γὰρ ἐναντίον κατασκευάζειν βούλεται καὶ πόλεμον κινεῖν κατὰ τῆς ἡσυχίας· τοῦτο δὲ ἴδιόν ἐστι τῶν κατὰ τὸ ἐναντίον ἐσχηματισμένων, τὸ τὰ ἐναντία κατασκευάζειν οἷς δοκοῦσι λέγειν· ὅπερ διὰ τοῦ λόγου τοῦδε σωζόμενον φαίνεται· ᾗ δὲ αὖ πάλιν ἐκ τοῦ φανεροῦ πολλάκις ἀμύνεσθαι συμβουλεύει, διαφεύγει τὸ σχῆμα. Βέλτιον οὖν λέγειν ἠθικῶς αὐτῷ προῆχθαι ὅσα δοκεῖ λέγεσθαι κατὰ σχῆμα. Τοῦτο δὲ πέπονθε διὰ τὸ τοῦ πράγματος ἐπικίνδυνον· οὐ γὰρ δίδωσιν αὐτῇ τῇ ὑποθέσει σύμμετρον παρρησίαν ἡ τοῦ δήμου κατάπληξις καὶ τὸ τὸν Ἀλέξανδρον μεγάλα δύνασθαι καὶ τὸ καταπεπλῆχθαι τοὺς Ἕλληνας· ὅθεν καὶ ὁ λόγος περιδεὴς καὶ παρρησίας ἄμοιρος· Ἐπειδὴ εἶχε δὲ πολλοὺς τοὺς ἀντιλέγοντας, εἰκότως πρὸς αὐτοὺς τὸ προοίμιον πεποίηται, ἅμα μὲν ἠθικῶς, ἅμα δὲ πληκτικῶς. Τὸ δὲ ἑξῆς εὐθύς, « εἰ δή τις ἐρωτήσειεν, ὦ Ἀθηναῖοι, ἐπὶ τίνι ἂν μάλιστα « ἀγανακτήσαιτε, εἴ τις ἀναγκάζοι, » ἀρχή ἐστι τοῦ νομίμου κεφαλαίου, συνιστάντος λελύσθαι τὰς συνθήκας. Χρὴ δὲ εἰδέναι ὅτι πολλάκις καὶ αὐτὰ τὰ προηγούμενα κεφάλαια ὑπ' αὐτοῦ λέγοντος πρωταγωνιστικῶς εἰσάγεται ὡς πρὸς ἀντίθεσιν, ὅταν ὁ ἀκροατὴς διακείμενος ἑτέρως τυγ-

χάνῃ. Αὐτίκα γοῦν τοῦ ἀκροατοῦ κἀνταῦθα νομίζοντος κυρίας εἶναι τὰς συνθήκας εὐθὺς ἀγωνιστικῶς εἰσάγει τὸ κεφάλαιον ἐκ παραδείγματος. Καὶ ἐπειδὴ μηδὲν εἶχεν εἰπεῖν Ἀθηναίοις [εἶναι] πρὸς Μεσσηνίους, [ἀποκρίνοιτ' ἂν ὅτι σύνηθές ἐστι τοὺς ἀδικουμένους] ἐλευθεροῦν ἀεὶ τῇ πόλει. Εἰ τοίνυν τοῦτο πρῶτον τὸ κεφάλαιον, ἀντιπῖπτον ἔλυσε καὶ ἀντίθεσιν· ἀντιπῖπτον μὲν, Ἀλλ' οὐ παρ' ἡμῖν ταῦτα γέγονεν, ὥστε οὐ χαλεπαίνειν δεῖ· διόπερ ἔλυσεν εἰπὼν, Οὐ δὴ δεῖ, εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, ἀγανακτεῖν· εἰ δὲ ἑτέρωθί που, μὴ χαλεπαίνειν ὁμοίως· τὴν δὲ ἀντίθεσιν κατὰ διάνοιαν ἔλαβε· τὸ γὰρ ῥητὸν Μηδένα τυραννεῖν τῶν πόλεων. Εἰ δὲ δὴ κατὰ διάνοιαν εἰσῆκται, Ἀλλὰ πρὸ τοῦ γενέσθαι τὰς συνθήκας ἐτυράννουν οἱ Φιλιάδου παῖδες Μεσσήνης. Ταύτην ἔλυσεν ἐκ παραδείγματος κατὰ τὸ μαχόμενον, Πῶς οὖν κατελύοντο οἱ ἐκ Λέσβου τύραννοι, ἐξ Ἀντίσσης καὶ Ἐρέσου, καὶ ταῦτα πρὸ τῶν συνθηκῶν τυραννοῦντες· μάχεται γὰρ τὸ καταλύειν τῷ καθιστάναι. Εἶτα ἀλλήλοις τῇ ἀπορίᾳ . . . . ὅτι γέγραπται, « αὐτονόμους καὶ ἐλευθέ« ρους εἶναι τοὺς Ἕλληνας. » Δεύτερον κεφάλαιον τῶν ἐγκλημάτων ἐπάγει τῷ Μακεδόνι τὸ καταλελυκέναι τῶν Πελληναίων τὸν δῆμον, πόλεως Ἀχαϊκῆς μιᾶς τῶν ἐν Πελοποννήσῳ, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον ἐγκαταστῆσαι. Πρὸς δὲ τοῦτο ἀντίθεσιν μὲν φέρουσαν εἰς αὐτὸ τὸ πρᾶγμα τέθεικεν οὐδεμίαν, ἁπλῶς δὲ ὥσπερ κοινωνοῦσαν, Ἀλλ' ἐμμένομεν ταῖς συνθήκαις, οὔτε ἀνατρέπουσάν τι τοῦ ἐγκλήματος οὔτε εἰς αὐτὸ φέρουσαν. Λύων τοίνυν καταδρομῇ κέχρηται κατὰ τῶν ῥητόρων οὐ μικρᾷ· κέχρηται δὲ καὶ ἑτέρᾳ καταδρομῇ τῶν συνεδρευόντων καὶ τεταγμένων ἐπὶ τῇ φυλακῇ τῆς κοινῆς εἰρήνης, ὡς παρορώντων τὰ γινόμενα. Τρίτον ἔγκλημά ἐστιν, ὅτι τῶν συνθηκῶν καὶ προσα . . ῶν μὴ ἔχειν . . . . . . « φυγάδας ὁρμήσαντας ὅπλα ἐπι« φέρειν ἐπὶ πολέμῳ ἐπὶ μηδεμίαν πόλιν τῶν μετεχουσῶν « τῆς εἰρήνης, Ἀλέξανδρος τὸν παιδοτρίβην εἰς Σικυῶνα κα« τήγαγε. » Πρὸς τοῦτο ὁμοίως οὐδεμίαν ἀνθυποφορὰν οὐδὲ ἀντίστασιν ἐκόμισεν ἢ τὴν αὐτὴν ὁμοίως, ὅτι ἀγανακτήσουσιν οἱ Ἕλληνες καὶ δόξομεν αἴτιοι γίγνεσθαι τοῦ λύεσθαι τὰς συνθήκας. Τέταρτον ἐπὶ τούτοις ἔγκλημά ἐστιν, ὅτι παρὰ τὰς συνθήκας « ἅπαντα τὰ ἐκ τοῦ Πόντου πλοῖα κατήγα« γον οἱ Μακεδόνες εἰς Τένεδον καὶ οὐ πρότερον ἀφεῖσαν « πρὶν ἑκατὸν ναῦς πληρῶσαι ψηφίσασθαι καὶ στρατηγὸν « ἐπ' αὐταῖς τάξαι Μενεσθέα. » Τὸ μὲν οὖν ἑκατὸν ναῦς ψηφίσασθαι Ἀθηναίους ἔνδειξιν ἔχει τοῦ δυνατοῦ· πρὸς δὲ τὸ ἔγκλημα ἀντίστασιν ἐκόμισεν, Ἀλλ' ἐπαύσαντο τοῦ ἀδικήματος· καὶ δευτέραν ἀντίστασιν, Ἀλλ' ἀσθενὴς ἡ πόλις. Τὴν μὲν οὖν προτέραν ἔλυσε μεταληπτικῶς, Οὐκ ἐπαύσαντο ἀδικοῦντες ἤδη καὶ οὐκ ἠδίκησαν· τὴν δὲ δευτέραν ἐκ τοῦ μαχομένου, ὅτι, Πῶς ἀνυπόστατον τὴν πόλιν εἶναι φαμὲν . . . . . κελευόμενοι ταῖς συνθήκαις ἐμμένειν· οὐ γὰρ ἀκόλουθόν ἐστι πῇ μὲν ἀσθένειαν τῆς πόλεως κατηγορεῖν, πῇ δὲ βοηθεῖν ἀξιοῦν, ὡς δυνατὴν διαφυλάττειν τὰ δίκαια. Ἐπὶ τούτοις πέμπτον ἔγκλημά ἐστιν, ὅτι πλεῦσαι ἐτόλμησαν Μακεδόνες εἰς τὸν Πειραιᾶ, καὶ τοῦτο ἀντέθηκεν ἐκ τῆς πηλικότητος, ὡς μικρὸν τὸ γεγονός· μιᾷ γὰρ τριήρει εἰσέπλευσαν, καὶ τοῦτο οὐκ ἂν εἴποι τις ἔγκλημα. Ταύτην ἔλυσεν ἀπὸ τοῦ τρόπου, ὅτι ἀπόπειρα τὸ γινόμενον ἦν καὶ παράδυσις κατὰ μικρὸν καὶ ἔθος . . . τοῦ τὴν πόλιν ἀνέχεσθαι τοὺς εἴσπλους. Καὶ ἑτέρα λύσις, Τὸν τότε ἐπὶ τῆς νεὼς εἰσπλεύσαντα ξύλα ναυπηγήσιμα αἰτεῖν εἰς κατασκευὴν μικρῶν πλοίων, ἃ συνεχωρήσαμεν αὐτῷ ποιεῖν, καὶ τριήρη ἂν ἐναυπηγήσατο· ἐν ᾧ καὶ ἀντιπῖπτον κατὰ ἀναίρεσιν εἰσήγαγεν, Οὐ γὰρ δὴ φήσειέ τις ἂν ἀφθονίαν ξύλων εἶναι ἐν τῇ Ἀττικῇ, σπανίζειν δὲ τὴν Μακεδονίαν, ὅθεν ἔξεστιν εὐτελέστατα τοῖς βουλομένοις ὠνεῖσθαι. Εἶθ' ὅτι ἐφ' ἡμῖν ἐστι μὴ ἀνέχεσθαι, καὶ τῶν συνθηκῶν τὸ ῥητὸν παρέχεται, ἐν ᾧ γέγραπται· « ἂν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν, » ὡς τοῦ ῥητοῦ καὶ τῶν συνθηκῶν ἐπιτρεπουσῶν, εἰ βούλοιτό τις μηδαμῶς Ἀλεξάνδρῳ ἀκολουθεῖν. Τοῦτο τὸ ῥητὸν δύναται καὶ πόλεμον ἀπειλεῖν τοῖς παραβαίνειν ἐθέλουσιν. Ὁ δὲ πρὸς τὸ χρήσιμον τὸ οἰκεῖον λαβὼν πολλὰ μὲν ὑπέμνησε τῶν προγόνων τῆς δόξης, πολλὰ δὲ τοῦ πρέποντος. Εἶτα κατεπαγγέλλεται γράψαι, εἰ ἐπιτρέποιεν, ψήφισμα περὶ πολέμου. TCV.

214, 24. Βδελυρεύσεται] Σημείωσαι τὸ βδελυρεύεται ἀντὶ τοῦ ἀκολασταίνει. B.

XVIII. ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ.

226, 1. Πρῶτον —] Τὸ προοίμιον ὡς ἀπολογουμένου, ἐξ εὐνοίας λαμβανόμενον. BFYP.

Τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι καὶ κατὰ μερισμὸν εἰσαχθὲν παρασκευάζει τὴν εὔνοιαν. Περιβολὴ δὲ τοῦ προοιμίου τῷ διπλασιασμῷ τῶν ὀνομάτων. BFYP.

Εὐκτικὸν τὸ προοίμιον, ἐπειδήπερ περὶ εὐνοίας καὶ αἰτήσεως στεφάνου ὁ πᾶς ἐστιν ἀγών. AHRTCP.

Οὐκοῦν τὸ πρῶτον προοίμιον εὐκτικόν ἐστι καὶ κατὰ μερισμὸν εἰσαχθὲν παρασκευάζει τὴν εὔνοιαν, ἧς μάλιστα ἐν τῷ παρόντι δεόμεθα. Ὁμηρικῷ δὲ εἴρηται ζήλῳ,

Κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι.

Καὶ δὴ καὶ ἔμφασιν ἔχει τοῦ τῇ εὐνοίᾳ θαρρεῖν. Οὐ γὰρ ἂν ὅλον ἐπεκαλεῖτο τὸ τῶν θεῶν γένος, εἰ μὴ οὕτω διέκειτο. Τὸ δὲ διατελῶ εἴληπται μὲν ἀπὸ τοῦ ψηφίσματος, δηλοῖ δὲ ὅτι συνεβίωσε τῇ εὐνοίᾳ καὶ ἀεὶ αὐτῆς μέλεται καὶ πρότερον ἀφήσει τὴν ψυχὴν ἢ τὴν τοιαύτην διάνοιαν. TC.

Ὅτι οὐκ ἔδει ἐν προοιμίῳ τροπικῇ εὐθὺς χρήσασθαι λέξει. Λέγομεν ὅτι οὐδὲν ἄτοπον, ὁπότε καὶ Αἰσχίνης ἐχρήσατο τῷ πρώτῳ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν. Ὁ δὲ ῥήτωρ ἐνταῦθα οὐκ εἶπε ταύτην ἐν πρώτῳ προοιμίῳ, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου. Ἰστέον γὰρ ὡς ὅτι κατασκευὴν οὐκ ἐποιήσατο αὐτοῦ, ἵνα ὡς ὡμολογημένην δείξῃ τὴν εὔνοιαν ἣν ἔχει εἰς τὴν πόλιν. TP.

225, 3. Διατελῶ] ἀντὶ τοῦ ἀεὶ ἔχω, Ἀττικῶς. P.

Τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν] Τάχα δύναταί τις ὁμοῦ μὲν τὴν πόλιν φιλεῖν, μισεῖν δὲ ἰδίᾳ τινὰς, ὡς ἐπὶ Τίμαρχον τὸν νοῦν ἀναφέρεσθαι, ᾧ ἐπολέμησεν Αἰσχίνης. TCV.

Τοσαύτην ὑπάρξαι μοι] Ὅρα ὅπως οὐ τὸ πλεῖον ἀπαιτεῖ, ἀλλ' ὡς ἀρκοῦσαν τὴν ἰδίαν εὔχεται λαβεῖν. TCV.

226, 2. Ἐπειθ' ὅπερ ἐστὶ] εὔχομαι, δηλονότι. P. Τὸ αὐτό ἐστι τῷ κατὰ μερισμόν· ἀκατάσκευος δὲ ἀναγκαίως ἡ πρότασις, ἐπειδὴ ἅπερ ὁμολογούμενα καὶ φανερὰ οὐ δεῖται, κατασκευῆς. Ὁ δὲ νοῦς ἐπάγεται τοὺς δικαστὰς πλέον εἰς οἰκειότητα. Φαίνεται γὰρ οὐχ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ αὐτῶν [τὴν] ἴσην [πρόνοιαν] ποιούμενος. TCV.

Ἔπειθ'] Τὸ ἔπειτα ἐνταῦθα ἰσοδυναμεῖ τῷ δὲ συνδέσμῳ, ἵνα πάλιν μὴ ζήτησις γένηται διὰ τί εἰπὼν τὸν μὲν οὐκ ἐπήγαγε τὸν δέ. AHRP.

Καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης] Εὐσεβείας μὲν, τῶν ὅρκων· δόξης δὲ, τῆς εἰς πάντας ἀνθρώπους. TV.

226, 3. Παραστῆσαι] ἐμβαλεῖν τῇ ὑμετέρᾳ δόξῃ. P.

226, 4. Μὴ τὸν ἀντίδικον σύμβουλον] Θέσις ἐγγὺς κειμένη τὸ ἄτοπον τῶν ὀνομάτων βιάζεται· ὁ μὲν γὰρ ἀντίδικος πολέμιος, ὁ δὲ σύμβουλος προσφιλής. Εἴρηκε δὲ ταῦτα, ἐπειδὴ ὁ Αἰσχίνης ἔλεγε, Κτησιφῶντος κατηγορῶ. Τί σαυτὸν ἐμβάλλεις εἰς μέσον, Δημόσθενες; μὴ ἐᾶτε αὐτὸν παρακῦψαι εἰς τὸ δικαστήριον. Ἐὰν δ' ἄρα ἐπιτρέπητε αὐτῷ φθέγγεσθαι, τοιᾶδε κεχρήσθω τῇ τάξει τοῦ λόγου ὡς αὐτὸς ὑπάρχει. TCV.

226, 6. Ἀλλὰ τοὺς νόμους] ποιῆσαι συμβούλους δηλονότι. P.

226, 11. Τῇ τάξει] τῶν κεφαλαίων φησίν. A.

226, 13. Πολλὰ μὲν οὖν] Δεύτερον προοίμιον. ABS.

Πολλὰ μὲν οὖν ἔγωγε ἐλαττοῦμαι] Εἰς πλείω μέρη εἰμὶ ἀγωνιζόμενος τοῦ Αἰσχίνου. P. Καὶ τὸ δεύτερον τοῦτο προοίμιον εὔνοιαν κατορθοῖ· ἡ δὲ μεταχείρισις διάφορος. Τὸ μὲν γὰρ πρῶτον μεστόν ἐστιν ἀξιώματος· δοκεῖ γὰρ διδόναι πλεῖον ἢ αἰτεῖν ἐν ἐκείνῳ· ἐν τούτῳ δὲ καὶ ὡς δεόμενος ἐκ ταπεινώσεως ἐργάζεται. Τὸ δὲ ἐλαττοῦμαι, κατὰ πρόσωπον, οὐ κατὰ τὴν ὑπόθεσιν. TCV.

226, 16. Τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν] ἀντὶ τοῦ στεφάνου χρησίμως τὴν εὔνοιαν εἴρηκεν, ὡς χρῄζων αὐτῆς. TCV.

Τῆς παρ' ὑμῶν εὐνοίας] Ἐβούλετο εἰπεῖν, τοῦ στεφάνου. Ἀλλ' ἐπειδὴ ἐπαχθὲς ἦν τοῦτο, ἐπὶ τὴν εὔνοιαν τῆς πόλεως μετήνεγκε τὴν λέξιν. AHRTCP.

226, 17. Μὴ ἑλεῖν] ἀντὶ τοῦ μὴ νικῆσαι. ATC.

226, 18. Ἀλλ' ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν] Τὸ σχῆμα ἀποσιώπησις, τὸ μὲν ἵνα μὴ δύσφημα λέγῃ ἐν ἀρχῇ τοῦ λόγου, τὸ δὲ ἵνα ὑπόνοιαν πλείονα τῷ ἀκροατῇ παρεμβάλλῃ σιωπήσας τὴν ῥῆσιν. TCV.

226, 19. Οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ] ἀπὸ πολλοῦ τοῦ περιόντος. P. Ἢ ὅτι πλοῦτον ἔχει πολὺν, τοῦ Φιλίππου δόντος καὶ Ἀλεξάνδρου, καὶ οὐ πάνυ φοβεῖται κἂν ἡττηθῇ· εὐπορεῖ γὰρ ὥστε δοῦναι τὰς χιλίας. Ἢ οὐκ ἔστιν ἴσον τοῦτον μὲν ἐκ περιουσίας κατηγοροῦντα μὴ νικῆσαι—ἐξῆν γὰρ αὐτῷ τὴν ἡσυχίαν ἄγειν—, κἀμὲ κατ' ἀνάγκην ἀπολογεῖσθαι· οὐ γὰρ ἔξεστί μοι σιωπᾶν. Τινὲς γὰρ τὸ ἐκ περιουσίας ἐκ περιττοῦ ἁπλῶς ἡρμήνευσαν. Περιττὸν γάρ φησιν ἐμοῦ μάτην καθάπτεσθαι καὶ κατηγορεῖν. TCV.

226, 20. Ἕτερον δ' ὃ φύσει πᾶσιν ἀνθρώποις] Παραμυθεῖται τοὺς δικαστὰς, τῇ κοινότητι τοῦ πάθους τὴν συγγνώμην μνηστεύων. TCV.

226, 23. Ὁ μέν ἐστι πρὸς ἡδονὴν] ὅπερ ἐστὶν ἡδύ. P.

226, 24. Λοιπὸν ἐμοὶ] δέδοται δηλονότι. P.

226, 25. Κἂν μὲν εὐλαβούμενος] φοβούμενος. P. Εἰς σκέψιν ἀπορῶν ἄγει τὸ πρᾶγμα, καὶ μονονοὺ λέγει, τί ποιήσομεν; εἰ ἀνάγκῃ ἀποληφθεὶς φεύγω τὸ λέγειν περὶ ἐμαυτοῦ—ἠθικώτατα γὰρ οὐκ εἶπεν ἐπαινεῖν ἐμαυτὸν, ἀλλὰ λέγειν ἁπλῶς—, τί τὸ συμβαῖνον; ἁλώσομαι τῇ σιωπῇ, καὶ δόξει μὲν ἐψεῦσθαι Κτησιφῶν, ἐγὼ δὲ οὐχὶ ἔξω δι' ὅπερ τιμηθήσομαι λέγειν. TCV.

Τοῦτο] τὸ φορτικὸν δόξαι. P.

Τὰ πεπραγμένα] τὰς πράξεις μου. P.

226, 26. Ἔχειν] δύνασθαι καταλῦσαι τὰς κατηγορίας. P.

226, 27. Ἐφ' οἷς] ὧν ἕνεκα δηλονότι. P.

Τιμᾶσθαι] τιμὴν ἔχειν. P.

226, 28. Ἐφ' ἃ] ἰδίᾳ δηλονότι. P.

Πεπολίτευμαι] εἰς τὰ δημόσια. P.

Βαδίζω] Ὅτι οὐκ ἔδει ἐν τοῖς προοιμίοις τροπικῇ εὐθὺς χρήσασθαι λέξει. Λέγομεν ὅτι οὐδὲν ἄτοπον, ὁπότε καὶ Αἰσχίνης ἐχρήσατο ἐν τῷ πρώτῳ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν. Ὁ δὲ ῥήτωρ ἐνταῦθα οὐκ εἶπε ταύτην ἐν πρώτῳ προοιμίῳ, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου. A.

Τινὲς ἐμέμψαντο ὡς τροπικὴν ἐν προοιμίοις οὐ καλῶς κειμένην τὴν λέξιν. Ἀλλ' οὔτε ἐν [πρώτῳ] προοιμίῳ ἐστὶν, ἀλλ' ἐν τελευταίοις τοῦ δευτέρου, οὔτε ἀπεξενωμένη καὶ ἀπόκριτος, ὡς Αἰσχίνης ἐχρήσατο ἐν τῷ προοιμίῳ, παρασκευὴν εἰπὼν καὶ παράταξιν, ἀλλὰ προσεχὴς καὶ μᾶλλον ἁρμόττουσα. Εἰ γὰρ δὴ οἶμος ἡ ὁδός ἐστι, καὶ τὸ προοίμιον ὡς ὁδὸς τοῦ παντὸς λόγου, οὕτω κέχρηται, οὐκ ἀλλότριον ὡς πρὸς ὁδὸν τὸ βαδίζειν. TCV.

226, 29. Λέγειν] ἤγουν ἐπαινεῖν. P.

227, 1. Πειράσομαι οὖν] Ἡ ἀπόδοσις. ATCP. Ἤγουν περὶ ἐμαυτοῦ λέγειν. P.

Πειράσομαι μὲν οὖν] Σημείωσαι· τοῦ Θεολόγου. B.

Μετριώτατα] συμμέτρως. Περισσὸν δὲ τὸ ὡς. P.

227, 3. Ἔχειν] ἐγκαλεῖσθαι δηλονότι. P.

Τοιοῦτον ἀγῶνα] ὑβριστικὸν ἀγῶνα κατ' ἐμοῦ στησάμενος. P.

227, 4. Οἶμαι δ' ὑμᾶς] Τρίτον προοίμιον. ABS.

Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι] Τὸ τρίτον προοίμιον ἐργαζόμενος πάντας τῆς αὐτοῦ γνώμης γενέσθαι παρασκευάζει, ἵνα ἕκαστος μὴ ὡς ἀνόητος δοκῇ. Συνετῶς δὲ οὐ πάνυ χωρίζει τὸν Κτησιφῶντα, ἀλλὰ τὸ ἴσον τοῦ ἀγῶνος πρὸς αὐτὸν μερίζεται. TCV.

227, 5. Ὁμολογῆσαι] τὰ ὅμοια εἰπεῖν. P.

227, 6. Οὐδὲν ἐλάττονος] ἀλλὰ ἀξιοσπουδαστότερον ἐμοὶ μᾶλλον τοῦ Κτησιφῶντος. P

227, 7. Πάντων] τῶν πραγμάτων δηλονότι. P. Κατασκευὴ τοῦ προοιμίου. ATCP.

227, 9. Μάλιστα δὲ] ἔστι λυπηρόν. P.

227, 10. Φιλανθρωπίας] ἀποστερεῖσθαι δηλονότι. P.

227, 11. Περὶ τούτων] ὧν εἴρηκα δηλονότι. Ἔστι δὲ ἀπόδοσις. P.

227, 12. Ἀξιῶ καὶ δέομαι πάντων] Κρᾶσις ἀξιώματος καὶ οἴκτου γεγένηται. Τὸ μὲν ἀξιῶ τὸ δίκαιον νομίζω ὑπολάβοι ἄν τις, τὸ δὲ δέομαι σαφῶς τὸ ἱκετεύω δηλοῖ, ὥστε διὰ μὲν τοῦ ἀξιῶ φυλάττει τὸ φρόνημα, διὰ δὲ τοῦ δέομαι θηρεύει τὸν ἔλεον. TCV.

Ὁμοίως] καθὼς ἠκούσατε τὸν κατήγορόν μου. P.

227, 13. Ἀπολογουμένου] Τί οὖν, ὅτι οὐ καλῶς συγκρίνεις τὸ δίκαιον; TCV.

Δικαίως] κατὰ τοὺς νόμους. P.

Ὥσπερ οἱ νόμοι κελεύουσιν] οἷς οὐδεὶς ἂν μαχέσαιτο καὶ ἀντείποι ὅτι διεσφάλησαν. Εἰπὼν δὲ περὶ τῶν νόμων τῇ προσηγορίᾳ τοῦ Σόλωνος τοῦ τεθεικότος αὔξει καὶ πρεσβεύει τοὺς νόμους. TCV.

227, 15. Δημοτικὸς] ὁ τὴν ταυτότητα τοῦ δήμου ἀγαπῶν. P.

227, 17. Οὐκ ἀπιστῶν ὑμῖν, ὥς γ' ἐμοὶ φαίνεται] ἴσως τὰ αὐτὰ τῷ δήμῳ φρονῶν. P. Ἀρρήτῳ τέχνῃ τὸ δοκοῦν

ἀληθὲς εἰς τὸ ἑαυτῷ δοκοῦν μετεβίβασεν· οὐ γὰρ ἀπιστῶν, φησὶν, ὑμῖν, ἀλλ' ὡς δεδιὼς μὴ ἐπιορκήσητε προκατασχεθέντες ταῖς τοῦ κατηγόρου διαβολαῖς. TCV.

227, 19. Οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν] Προσφόρως εἶπε τὸ παρελθεῖν, ὡς ἐπὶ δρομέων λαβών. Οὐ γὰρ ὁ προδραμὼν καὶ φθάσας νικῆσαι δίκαιος, ἀλλ' ὁ δεύτερος ἐπελθὼν καὶ παρελθεῖν δυνάμενος· εἴη δ' ἂν οὗτος ὁ φεύγων. TCV. Τοῦτο οὐ τοῦ παντὸς λόγου, ἀλλὰ τοῦ κεφαλαίου προοίμιον· μέλλων γὰρ εἰσβάλλειν εἰς τὸ κεφάλαιον, τὸ, ὅτι οὐ δύσνους, εἰκότως εὔνοιαν πάλιν αἰτεῖ δοθῆναι αὐτῷ, ἵνα πείσῃ τοὺς δικαστὰς ὅτι θαρρεῖ ταύτῃ. BFY RSP.

227, 23. Κοινὸν] ἐπὶ ποιότητος. P.

227, 24. Διάγνωσιν] Γράφεται διαγνώμην Ἀττικῶς. P.

Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς] Τέταρτον προοίμιον. TC. Προοιμιακὸν ἐννόημα εἰς τοὺς ἀγῶνας ἐμβάλλον, ἀλλ' οὐ σαφῶς προοίμιον, ὡς δηλοῖ καὶ τὸ σχῆμα τοῦ λόγου. Τὸ γὰρ μέλλον δηλοῖ τὸν ἐπιχειρήσοντα καὶ εἰσιόντα εἰς τοὺς ἀγῶνας. Προοίμια γὰρ τέσσαρα εἶναι ἀδύνατον, κἂν μανῶσιν οἱ λέγοντες. TCV.

Μέλλων δὲ τῶν τε ἰδίου] Οἱ περὶ Ἐπιφάνιον καὶ Γενέθλιόν φασιν αὐτὸ τέταρτον προοίμιον· ἓξ γὰρ λέγουσιν εἶναι προοίμια τοῦ λόγου τούτου· τρία μὲν ὑπὲρ ἑαυτοῦ σκηψαμένου τοῦ ῥήτορος, τρία δὲ ὡς ὑπὲρ Κτησιφῶντος βραχέα. ATCP.

Ὡς ἔοικε λόγον διδόναι τήμερον] Σχετλιάζει πάλιν ἐπὶ τῇ ἐπηρείᾳ τοῦ ἀγῶνος. Τοιοῦτο γάρ ἐστι τὸ ὡς ἔοικεν, οὐκ οἶδα ὅπως εἰς τὴν ἀνάγκην ταύτην, ὡς ὁρᾶτε, καταπέκλεισμαι. Ἰστέον δ' ὡς ἐν μὲν τῷ πρώτῳ προοιμίῳ ἀπαιτεῖ δοθῆναι αὐτῷ ἄδειαν ἀπολογεῖσθαι ὡς βούλεται, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς πολιτείας παρακαλεῖ. Κἀκεῖνο δὲ θαυμάσαι ἄξιον τοῦ ῥήτορος—ἐπῆλθε γάρ μοι καὶ τοῦτο—, ὅτι αὐτὸς μὲν πᾶσι τοῖς δικασταῖς καὶ πάσῃ τῇ πόλει δοθῆναι παρὰ τῶν θεῶν τὴν εὔνοιαν εὔχεται, αὐτὸς δὲ παρ' αὐτῶν εἰς μέσον τὸν ἀγῶνα αἰτεῖ τὴν εὔνοιαν. TCV.

227, 27. Καθάπερ ἐν ἀρχῇ] τοῦ προοιμίου. P. Ἰστέον ὅτι τῇ ταυτότητι ἐχρήσατο τοῦ ἐπιχειρήματος τοῦ ἐν τῷ πρώτῳ προοιμίῳ. Εἴωθε γὰρ ὁ ῥήτωρ τοῖς ἰσχυροῖς πολλάκις κεχρῆσθαι. AHRTP.

227, 28. Ἐναντίον] ἔμπροσθεν. P.

228, 1. Τοσαύτην] ἡ ἀπόδοσις. RP.

228, 2. Συνοίσειν] λυσιτελήσειν. P.

228, 4. Παραστῆσαι] ἤγουν τῇ ὑμετέρᾳ δόξῃ καὶ ὑπολήψει ἐμβαλεῖν. P.

228, 5. Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον] Ἐντεῦθεν εἰσάγει τὰ παραγραφικὰ, τὴν γραφὴν αἰτιώμενος· καὶ ἔστιν ἀπὸ τοῦ τρόπου τοῦτο. Μέμφεται γὰρ τῆς κατηγορίας τὸν τρόπον, ὅτιπερ οὐκ ἔστησεν ἄχρι τοῦ προβλήματος τὴν μέμψιν, ἀλλὰ πρὸς [τούτοις] πλείονα λόγον περὶ τῶν ἄλλων καὶ τῶν ἐκτὸς ἐποιήσατο. TCV.

Εἰ μὲν οὖν] Τοῦτο οὐ προοίμιον, ὥς τινες ἔφασαν, ἀλλ' ἀντιπίπτοντος ἀναίρεσις. Ὃ καὶ ἐν τῷ προοιμίῳ τοῦ κατὰ Ἀριστοκράτους πεποίηκεν. AFYRP. Ἔστι δὲ κατά τινας τόδε τὸ πέμπτον προοίμιον. AP.

228, 7. Προβουλεύματος] Προβούλευμα καλεῖ τὸ ψήφισμα τοῦ Κτησιφῶντος, ἐπειδήπερ ἤδη ἐκυρώθη ἐν τῇ βουλῇ καὶ ἐπῄνεσαν τὸν Δημοσθένην ὡς ἄξιον ὄντα στεφανωθῆναι. AHRTP.

228, 8. Οὐκ ἔλαττω] τοῦ προτέρου. P.

Λόγον] ἐξέτασιν. P.

Τἄλλα] τὰ περὶ ἐμέ. P.

228, 11. Τοῖς ἔξωθεν λόγοις] ταῖς ἀτιμίαις, τοῖς ὑβριστικοῖς λόγοις ἐκείνοις. P.

228, 12. Ἀλλοτριώτερον] ἐξωτερικώτερον. P.

Γραφῆς] κατηγορίας. P.

228, 13. Περὶ μὲν δὴ τῶν ἰδίων] Κατασκευὴ τοῦ προοιμίου. ATCP. Ἐντεῦθεν εἰς τὸ δίκαιον εἰσβάλλει κεφάλαιον. BFRYP. Δηλοῦσι μὲν καὶ αἱ λέξεις τῶν εἰρημένων τὴν ἀσθένειαν· λοιδορίας γὰρ καὶ αἰτιάσεις ἐκάλεσεν. Ἀλλὰ μὴν καὶ τὸ βλασφημεῖν [οὐκ] ἀξιόπιστον· ἐγγὺς γὰρ αὐτὸν τῶν θείων ἐποίησεν· βλασφημοῦσι γὰρ εἰς τοὺς κρείττονας. Τὸ δὲ περὶ τῶν ἰδίων, ὅτι Σκύθης καὶ δυσγενὴς καὶ τὸν βίον αἰσχρός. Σαφῶς δὲ παραιτεῖται λέγειν· οὕτω γὰρ φιλεῖ πανταχοῦ μὴ διαρρήδην τὰς καθ' αὐτοῦ διαβολὰς μηνύειν. TCV.

Τῶν ἰδίων] τῶν ἐμαυτοῦ. P.

Λοιδορούμενος] ἀντὶ τοῦ λοιδορῶν. P.

228, 17. Ὑπέρευ] λίαν καλῶς, ὑπερβαλλόντως. P.

228, 19. Τούτου] τοῦ Αἰσχίνου. P.

Βελτιόνων] γονέων δηλονότι. P.

228, 20. Τῶν μετρίων] ὀλίγων, ταπεινῶν. P.

228, 21. Τοὺς ἐμοὺς] γονεῖς. P.

Ὑπειλήφατε] Τὸ ὀχυρώτερον ἐπήγαγε δεύτερον· τὸ μὲν γὰρ ἀμφίβολον, τὸ δὲ ὁμολογούμενόν τε καὶ βέβαιον. TCV.

228, 23. Ἐπλάττετο] ἐψεύδετο. P.

228, 24. Ἐνδέδειχθε] ἐνεδείξασθε. P.

Ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον] Δεινῶς ἄγαν, οὐχ ὡς διὰ φαυλότητα κρινόμενος, ἀλλ' ὡς ἐπιφθόνως πολιτευόμενος, οὕτω τοῦτο εἴρηκε. TCV.

228, 26. Παράσχεσθε] παράδοτε. P.

Κακοήθης] κακότροπος. P. Ἡ ἀπόδοσις. ATC.

228, 27. Εὐήθες] ἀφελές. P.

228, 29. Τρέψεσθαι] κατ' ἐμοῦ δηλονότι. P.

229, 1. Τετύφωμαι] μαίνομαι, ἀπὸ τοῦ Τυφῶνος τοῦ δαίμονος· ἢ ἀπὸ τοῦ τύφεσθαι καὶ καπνίζεσθαι, ἐξ οὗ τὸ σκοτίζεσθαι. BFYP.

Ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων] Φεύγει μὲν τὰ ἴδια δι' ἣν αἰτίαν εἴπομεν· τὰ δὲ εἰς τὸ κοινὸν αὐτῷ πεπραγμένα ἔνθα εὐδοκιμεῖ, βούλεται ἐξειπεῖν. Τὸ δὲ ἐξετάσω θαυμαστὴν ἔχει τὴν ἀξίαν· δικαστοῦ γὰρ ὑποκρίνεται τάξιν. TCV.

229, 3. Πομπείας] τῆς λοιδορίας, διὰ τὸ ἐν ταῖς πομπαῖς κωμῳδεῖν ἀλλήλους. BFYRSP. Λοιδορίας, ὕβρεως. A. Τῆς χλεύης τῆς περὶ τὸν βίον. Ἤδη γὰρ ἔγνωμεν ὡς ὅτι ἐν ταῖς πομπαῖς προσωπεῖά τινες φοροῦντες ἀπέσκωπτον τοὺς ἄλλους, ὡς ἐν ἑορτῇ παίζοντες, ἐπὶ ἁμαξῶν φερόμενοι. Ὅθεν καὶ ἡ παροιμία ἐξ ἁμάξης με ὕβριζεν. AHRTCP.

Ἀνέδην] ἀθρόας τε καὶ σφοδρᾶς. BSP. Ἐὰν μὲν διὰ τῆς διφθόγγου γράφηται, τῆς ἀναισχύντου δηλοῖ· ἐὰν δὲ διὰ τοῦ ε, ὅπερ καὶ βέλτιον, τῆς πολλῆς, ἀπὸ τῆς ἀνέσεως. ARTCP.

229, 4. Ἂν βουλομένοις ᾖ τουτοισὶ] ἂν ἄρα βούλωνται ἀκούειν. P. Καίτοι πάντες τούτων ἡδέως ἀκούουσιν· ἀλλ' ὡς προτρεπόμενος αὐτοὺς ἐπικρατεῖν τοῦ πάθους· ἅμα δὲ καὶ θηρᾶται πάλιν τῶν καθημένων τὴν εὔνοιαν, ᾗ τῇ ἐκείνων γνώμῃ ἀκολουθεῖν ἐπαγγέλλεται. TCV.

229, 5. Τὰ μὲν οὖν κατηγορημένα] Ἕκτον προοίμιον. Καὶ ἐνταῦθα δύο προτάσεις. Ἡ πρώτη « τὰ μὲν οὖν κατηγορημένα, » ἡ δευτέρα « τοῦ δὲ παρόντος ἀγῶνος. » ARTCP. Ἐν τούτοις τοῖς ῥητοῖς ἀσάφειά ἐστι πολλή, ἐπειδήπερ οὐκ ἀκολουθεῖ ὁ νοῦς τοῖς κειμένοις. Εἰσὶν οὖν δύο προτάσεων θέσεις, εἶτα αἱ δύο λύσεις ἑξῆς. Ὅρα τοίνυν οὕτως, « τὰ μὲν οὖν κατηγορημένα πολλά· » ἰδοὺ μία πρότασις· ἡ δὲ πρὸς ταύτην ἀπάντησις, « τῶν μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων· « ἵνα γένηται οὕτως ὁ νοῦς, πολλὰ μὲν κατηγόρησε καὶ μέγιστα κακὰ, τούτων δὲ δίκην λαβεῖν διὰ τὸ μέγεθος οὐχ οἷόν τε. Καὶ τοῦτο μὲν οὕτως. Λάβωμεν δὲ καὶ τὴν ἑτέραν πρότασιν· ἔστι δὲ « τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη· » Σύναψον αὐτῇ τὸ δεύτερον ἐπιχείρημα, ὅ ἐστιν « οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ· » ἵνα γένηται τὸ σαφὲς οὕτως, ἡ προαίρεσις καὶ ἡ φύσις τοῦ ἀγῶνος ἀνδρὸς φθονεροῦ τυγχάνει καὶ πονηροῦ καὶ βασκάνου. TCV.

Ἐπὶ τὸ ἕτερον μεταβαίνει δίκαιον, τὸ τῆς πολιτείας, καὶ εὐθέως αὔξει τὰ ἀδικήματα καὶ μεγαλύνει τῷ λόγῳ. BFYRSP.

229, 8. Ἐπήρειαν] ἐπίθεσιν. P.

229, 10. Τῶν μέντοι κατηγοριῶν] Πρῶτον μεταληπτικὸν ἀπὸ τοῦ καιροῦ. BYRSP.

229, 11. Αἰτιῶν] μέμψεων. P.

229, 13. Οὐδ' ἐν ἐπηρείας] οὐδὲ δεῖ δηλονότι ἐπιθέσεως. P.

229, 15. Ὀρθῶς ἔχον] ἀληθές ἐστι. P.

Πολιτικὸν] δημοτικόν. P.

229, 18. Ἡλίκα] ὁποῖα μετὰ πάθους ἔλεγε. P.

Ἐτραγῴδει] ἢ διὰ τὸν ὄγκον ὃν προσετίθει τοῖς πράγμασιν, ὡς ἄξια τραγῳδίας φαίνεσθαι, ἢ ὅτι διαβάλλει τὴν τέχνην αὐτοῦ· ἦν γὰρ ὑποκριτής. TCV.

229, 19. Παρ' αὐτὰ] πλησίον. P.

229, 20. Εἰ μὲν εἰσαγγελίας] Δεύτερον μεταληπτικὸν ἀπὸ τοῦ τρόπου. BYRSP. Ἐνταῦθα φανερώτερον ἔδειξε τὰ παραγραφικὰ, τό τε ἀπὸ τοῦ τρόπου καὶ τὸ ἀπὸ τοῦ χρόνου. TCV.

229, 21. Εἰς κρίσιν] παραγαγεῖν ἐμὲ εἰς ἡμᾶς ἐπὶ τὸ κριθῆναι.

229, 24. Ἐμὲ δ', εἴπερ] Τὸ σχῆμα ἐπαναστροφή· γίνεται δὲ, ὅταν τὸ τέλος τοῦ κώλου ἑτέρου κώλου τις ἀρχὴν ποιήσηται· ἔστι δὲ τῶν καλλωπιζόντων. BFYP. Ἀντὶ τοῦ ἐμὲ αὐτὸν ἀδύνατον ποιῆσαι ἐν ταῖς ἀποκρίσεσιν. P. Ἐμὲ ἀντὶ τοῦ αὐτὸν ἐμέ. A.

229, 26. Ὁτιοῦν ἀδικοῦντά με] Παραγραφικὸν ἀπὸ τρόπου· διὰ τί εἰδὼς μείζονα ἀδικοῦντα ἥττονα κατηγορεῖς νῦν; Ἰστέον δὲ ὡς ὅτι πολὺ τὸ παραγραφικόν ἐστιν ἐν τῷ λόγῳ τούτῳ. Εἰσὶ γάρ τινες τῶν ὑπομνηματιστῶν εἰρηκότες ὡς ὅτι ἠριθμήσαμεν τὸ παραγραφικὸν καὶ εὕρομεν αὐτὸ εἰς οβ' κείμενον. AHRTCP.

229, 29. Ἐπιτίμια] κολάσεις. P.

Τούτοις] νομίμοις τιμωρίαις. P.

230, 2. Ὡμολογεῖτο] ἀποδεδειγμένη καὶ φανερά. P.

230, 5. Ἐλέγχους] ἤγουν τοὺς ἐμπράκτους λόγους, τὰς ἀποδείξεις. P.

230, 6. Συμφορήσας] συναγαγών. ATP.

Ὑποκρίνεται] ἀντὶ τοῦ ψευδῶς κατηγορεῖ. Ὑπόκρισις γάρ ἐστιν ἡ προσποίησις ἡ ἐκτὸς οὖσα τῆς ἀληθείας. ATCP. Ἢ διὰ τὴν τέχνην σκώπτει καὶ νῦν ἢ ὑποκρίνεται εἶναι κατήγορος, ταῖς ἀληθείαις οὐκ ὤν. Εἶτα ἡ ἀπόδειξις, κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονὶ Κτησιφῶντα. TCV.

230, 7. Εἶτα κατηγορεῖ] Τρίτον μεταληπτικὸν ἀπὸ τοῦ προσώπου. BYRSP.

230, 9. Προΐσταται] προφασίζεται, προβάλλεται. P.

Ἐπὶ ταύτην] τὴν κατηγορίαν. P.

230, 10. Ἐπιτιμίαν] ἀξίωμα, τιμήν. P.

230, 14. Ἐφ' ἡμῶν αὐτῶν] μονομερῶς. P.

230, 17. Δώσομεν] Δέον εἰπεῖν δώσεις εἶπε δώσομεν, οὐχ ὅτι ὡς καὶ αὐτοῦ τοῦ Δημοσθένους κακόν τι ποιῆσαι τῷ Κτησιφῶντι βουλομένου, ἀλλ' ὡς ἄλλου λέγοντος περὶ ἀμφοῖν, περί τε αὐτοῦ καὶ τοῦ Αἰσχίνου. AHRTCP.

230, 18. Πάντα μὲν τοίνυν] Ἕως ὧδε ἐπλήρωσε πάντα τὰ προοιμιαστικὰ, χωρεῖ δὲ ἐντεῦθεν ἐπὶ τὸ δίκαιον κεφάλαιον. Διήγησιν γὰρ οὐκ ἔχει ὁ λόγος καθαρῶς. ABTCV. Συνεπέρανεν ὅλα τὰ παραγραφικά· καὶ λοιπὸν ἐπὶ τὸ δίκαιον κεφάλαιον χωρεῖ. P.

Ἐκ τούτων] ὧν εἶπον. P.

230, 19. Ἐπ' ἀληθείας] κατ' ἀλήθειαν. P.

230, 20. Βούλομαι δὲ καθ' ἓν] Θαρροῦντός ἐστιν ἄγαν τὸ βούλεσθαι καὶ κατὰ μέρος ἐξετάζειν τὰ πράγματα. TCV.

Αὐτῶν] τῶν πραγμάτων λεπτομερῆ ἐξέτασιν ποιῆσαι. P.

230, 23. Ἀνατιθεὶς] ἐπιφορτίζων. P.

230, 24. Ἴσως] ὁμοίως. P.

230, 27. Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου] Σημείωσαι· τὸ σχῆμα καθ' ὑποστροφήν. BP. Τινὲς μὲν τοῦτο κατάστασιν εἶναι βούλονται, οὐκ ὀρθῶς· ἔστι δὲ διήγησις ἀποδεικτική, τύπῳ μόνον τοῦ πλαγιασμοῦ πρὸς κατάστασιν νεύουσα, οὐ μὴν τοῖς πράγμασιν. Βούλεται τοίνυν ἀποδεῖξαι ὅτι αὐτὸς οὔτ' ἐγενόμην αἴτιος τοῦ ποιῆσαι τὴν εἰρήνην οὔτε τὸ μετὰ κοινοῦ συνεδρίου γενέσθαι ἐκώλυσα. BHRSY. Ἐνόμισάν τινες τὸ χωρίον τοῦτο εἶναι διήγησιν. Οὐκ ἔστι δέ. Πόθεν δὲ δῆλον; λέγομεν ὅτι ἀντιθέσεις τινὰς εἰσάγει ἐν τούτῳ καὶ ἀγῶνας· ὅπερ οὐκ ἔχει ἡ διήγησις. AHRTP. Καὶ τοῦτο τινὲς ᾠήθησαν εἶναι κατάστασιν, τῷ διηγηματικῷ τύπῳ δελεασθέντες· ἀλλ' ἡ μὲν κατάστασις οὐκ ἔσχε χώραν, ἵνα μὴ καταναλώσωμεν τὰς πράξεις ἐν ἐκθέσει ψιλῇ, χρήζοντες ἐν τοῖς ἀγῶσιν αὐτῶν. Ἔπειτα εἰ ἡ κατάστασις τοῦτο ἦν, ὡς ᾠήθησαν, τοῦ χάριν πρὸ τῶν παραγραφικῶν οὐκ ἐτίθετο, τοῦτο ἀπαιτούσης τῆς τάξεως; ἔστιν οὖν τὸ δίκαιον κεφάλαιον διηγηματικῶς εἰσηγμένον, λῦον μεταληπτικῶς τὰ ἐγκλήματα. Ἀνόει δὲ ἐκ περιδρομῆς καὶ χρήσιμον ἕτερον· δείκνυσι γὰρ ὅτιπερ οὐκ ἔστι φιλοπόλεμος, εἴ γε καὶ πρὸ τῆς αὐτοῦ πολιτείας συνεκροτοῦντο παρὰ τοῖς Ἕλλησι πόλεμοι. TCV.

230, 28. Δι' ἐμὲ] οὐ διὰ τὴν ἐμὴν συμβουλήν. P.

Ἐπολιτευόμην] τὰ τῆς πόλεως ἐνήργουν. P.

Πω τότε] Παρέλκεται τὸ πω χάριν τοῦ κώλου μόνον. ARTP.

230, 29. Οὕτω διέκεισθε] τοιαύτην ὁρμὴν γνώμης εἴχετε. P.

231, 1. Καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες] Ἵνα μὴ δοκῇ κοινωνεῖν τῇ ἱεροσυλίᾳ ἡ πόλις, εἶπεν οὐχὶ δίκαια, ὅτι ἐπιχαίρειν ᾤοντο δεῖν τοῖς Θηβαίοις· καὶ ἡ αἰτία τῇ φύσει τῶν Ἀθηναίων ἀκόλουθος, ὅτι πόλιν Ἑλληνίδα καὶ σεμνὴν πανωλεθρίᾳ διαφθείρειν ἐσπούδαζον, ἀμετρίᾳ τὴν νίκην ὑβρίσαντες. TCV.

231, 2. P. Ἐφησθῆναι] εὐφρανθῆναι. P.

231, 3. Ὀργιζόμενοι] ὑμεῖς οἱ Ἀθηναῖοι. P.

Οἷς γὰρ εὐτυχήκεσαν] Σημείωσαι· ἐπίκρισις. B.

231, 4. Οὐ μετρίως ἐκέχρηντο] ἀλλὰ ἐπόρθησαν. P.

231, 5. Διειστήκει] ἤγουν ταῖς γνώμαις διεμερίσθη. P.

231, 7. Δι' ἐκείνων] τῶν Λακεδαιμονίων. P.

231, 8. Ἄκριτος] πολλή. P.

231, 14. Παρεσκευάζετο] παρασκευὴν πολέμου ἐποίει. P.

231, 15. Πολέμου] τοῦ πρὸς Λακεδαιμονίους. P.

Βαρεῖς] διὰ τὸ ἀλαζονεύσασθαι ἐπὶ τῇ κατὰ τῶν Λακεδαιμονίων ἐν Λεύκτροις νίκῃ. P.

231, 18. Αἱ πόλεις] αἱ Ἀθῆναι καὶ Θῆβαι δηλονότι. P.

231, 19. Βοήθειαν] κατὰ Λακεδαιμονίων. P.

231, 20. Συνηγωνίσατο] ἐβοήθησεν. P.

231, 27. Συνελάμβανον] συνεφήπτοντο, συνεκοινώνουν καὶ ἐβοήθουν. Ὤφειλε δὲ παθητικῶς· τὸ γὰρ ἐνεργητικὸν ἐπὶ τῆς συλλαμβανούσης γυναικὸς, καὶ ἐπὶ τοῦ φυγόντος ὁπόταν συλληφθῇ. P.

231, 29. Διὰ ταῦτα] ἅπερ εἶπον. P.

232, 1. Τὰ δὲ τούτων ἀδικήματα] Ἦλθεν ἐπὶ τὸ ἀντεγκαλεῖν, τὴν αἰτίαν ἀποσεισάμενος. TCV.

232, 2. Ἐν αὐτῇ] τῇ εἰρήνῃ. P.

232, 4. Ὑπὲρ τῆς ἀληθείας] ἤγουν ὑπὲρ τῆς δείξεως τῆς ἀληθείας. P.

232, 6. Οὐδέν ἐστι πρὸς ἐμὲ] οὐχ ἅπτονται ἐμοῦ, οὐκ ἐξ ἐμοῦ γεγόνασιν. P.

232, 9. Γράψας] ψηφισάμενος. P.

232, 11. Ὁ Ἁγνούσιος] ἀπὸ δήμου. P.

Ὁ σὸς, Αἰσχίνη] Ἀποστροφή. P.

232, 12. Συνειπόντες] συνηγορηκότες. P.

232, 14. Οὐδαμοῦ] συνεῖπον δηλονότι. P.

232, 18. Κεκωλυκὼς εἴην] ἀντὶ τοῦ ἐκώλυσα. P.

232, 20. Εἶτ' ὦ—τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι;] Διὰ τῆς ἀπορίας δείκνυσι τῆς πονηρίας τὸ μέγεθος, ὡς οὐ δυνάμενος δῆθεν δι' ἑνὸς ὀνόματος δηλῶσαι τὰ πάντα πονηρεύματα προσόντα τῷ Αἰσχίνῃ· ὡς ἂν εἰ ἔλεγε· κἂν δωροδόκον εἴπω, οὐχ ἁμαρτήσομαι· κἂν συκοφάντην, εὐλόγως ἐρῶ· κἂν ἄλλο τι, οὐ σφαλήσομαι· ποῖον οὖν εὕρω ὄνομα ἁρμόττον τῇ σῇ φύσει; ὡς γὰρ μὴ εὑρίσκων καὶ σχετλιάζων πρὸς τοῦτο λέγει τὸ, ὦ τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; AHR.

232, 21. Παρὼν] ἑστὼς δηλονότι. P.

232, 22. Ἐτραγῴδεις] μετὰ συμφορᾶς ἔλεγες. P.

232, 23. Διεξῆλθες] ἐδιηγήσω. P.

232, 25. Καὶ μὴν εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων] Δέον εἰπεῖν τῶν συμμάχων, πάντων ὁμοῦ τῶν Ἑλλήνων ἐμνημόνευσεν, ἐπίθανον τοῦ Αἰσχίνου τὸν λόγον ποιῶν. TCV.

232, 27. Φιλίππῳ] χάριν τοῦ Φιλίππου. P.

232, 28. Διαμαρτύρεσθαι] διδάσκειν. P.

233, 1. Οὔτε γὰρ ἦν πρεσβεία] Προσκείμενον τὸ τότε παρέσχεν ἀληθείας ὑπόνοιαν. Συμβάλλεται δὲ αὐτῷ καὶ ὁ χρόνος πολὺς παρελθὼν εἰς τὸ δύνασθαι κακουργεῖν. TCV.

233, 3. Ἐξεληλεγμένοι] ἀποδεδειγμένοι ἐπὶ τῷ στασιάζειν. P.

233, 6. Εἰ γὰρ ὑμεῖς ἅμα] Διὰ τοῦ ἅμα χώραν ἔχει σοφίσασθαι. Ὄντως γὰρ καθ' αὐτοὺς καὶ πρὸς Φίλιππον εἰρήνην ἐσπένδοντο, καὶ τοὺς Ἕλληνας ἠρέθιζον καλοῦντες εἰς πόλεμον. TCV.

Ἅμα] ἐν τῷ αὐτῷ καιρῷ. P.

233, 8. Εὐρυβάτου] πονηροῦ· ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν, ὥς φησιν Ἔφορος, εἶτα μεταβαλομένου ἐπὶ Κῦρον. RP.

233, 10. Τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθε] Ἄλλο ἐπιχείρημα λῦον τὸ ἔγκλημα ἀπὸ τῆς φύσεως τῶν πραγμάτων. TCV.

233, 11. Ἐπὶ τὴν εἰρήνην;] Κομματικὸν καὶ διαλεκτικόν. B.

233, 13. Οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης] Τὸ ὁμολογούμενον πρῶτον θεὶς, ᾧ οὐκ ἔστιν ὑπεύθυνος, ἐπάγει λοιπὸν ἐκ τούτου πιστούμενος τὸ ἀμφίβολον. TCV.

Τῆς ἐξ ἀρχῆς] τῆς ἄνωθεν γινομένης. P.

233, 17. Ἐνταῦθα πάλιν] ἤγουν ἐν τούτῳ τῷ καιρῷ, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο. P.

233, 18. Ἐκ τούτων] τῶν πραγμάτων ἀκριβῶς γνώσεσθε. P.

233, 19. Ὁ Φιλίππῳ πάντα] ὁ βουλόμενος τὸ συμφέρον τῷ Φιλίππῳ. P.

233, 21. Ἔγραψα] ψήφισμα δηλονότι, ἤγουν ἐψηφισάμην συμβουλεύων ἀποπλεῖν τάχιστα. P.

233, 23. Πυνθάνωνται] αἰσθάνωνται. P.

233, 24. Τοὺς ὅρκους] τοὺς ὀφειλομένους. P.

Οὗτοι δὲ] οἱ περὶ τὸν Αἰσχίνην. P.

233, 26. Τί δὲ τοῦτ' ἠδύνατο] τὸ μὴ ποιῆσαι τούτους κατὰ τὸ ἐμὸν ψήφισμα. P.

234, 2. Ἐξελύσατε] ἐπαύσατε τὰς ἑτοιμασίας. P.

234, 4. Ἐπραγματεύετο] ἤγουν ἐσκέπτετο μετὰ πραγματείας καὶ ἐξετάσεως καὶ πολυπραγμοσύνης. P.

234, 6. Βεβαίως] ἀμεταθέτως. P.

234, 7. Προορώμενος] πρὸ τοῦ γενέσθαι βλέπων τῷ νῷ, καὶ ἀναλογιζόμενος. P.

234, 8. Τοῦτο γράφω] τὸ κελεῦον δηλονότι ἀποπλεῖν. P.

234, 12. Διέσυρε] ὡς οὐδὲν ἐτίθει. P.

234, 14. Ἐργίσκην] Σημείωσαι· Ἐργίσκη, ὃ λέγουσι νῦν Σεργέντζιν. BY.

Τοὺς ἐπικαίρους τῶν τόπων] ἰσχυρούς. P. Αὔξει τὰ χωρία οὐ τῷ μεγέθει, ἀλλὰ τῇ θέσει. Εὐκαίρων γὰρ δεῖται, ὥστε ἐκεῖθεν καὶ ἀμύνασθαι πολεμίους καὶ περιουσίας χρημάτων περιποιεῖν. TCV.

234, 15. Κατασταίη] ἤγουν ἄρξει. P.

234, 17. Τοῖς λοιποῖς] ὑπολοίποις. P.

234, 18. Ψήφισμα] ἤγουν ἐμὸν τὸ περὶ τοῦ ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις τοὺς ὑμετέρους ἐπὶ τὸν Φίλιππον. P.

234, 20. Προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν] Τοῦ Φιλίππου τοὺς πρέσβεις, ἐλθόντας εἰς τὴν Ἀττικὴν, προσάγειν ἐκέλευσεν ὁ ῥήτωρ τῷ δήμῳ. Τοῦτο Αἰσχίνης εἰς φιλιππισμὸν ἐγκέκληκε, τὴν περὶ τοὺς πρέσβεις σπουδὴν διηγούμενος. Ὁ δὲ χλευάζει τοὺς ἐπὶ τούτῳ ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν, οὐκ ἔδει προσάγειν; TCV.

234, 21. Προσάγειν] Διέβαλλεν Αἰσχίνης ὡς διὰ τούτων φιλιππίζοντα τὸν ῥήτορα, διά τε τοῦ γράψαι αὐτὸν περὶ τῶν πρέσβεων τοῦ Φιλίππου ὡς ὅτι δεῖ προσελθεῖν τῷ δήμῳ καὶ θέαν αὐτοῖς κατανεῖμαι, ὅ ἐστι καθέδραν αὐτοῖς ἀφορίσαι ἐν τῷ θεάτρῳ προῖκα. Δείκνυσι τὸ μὲν τοῦ προσελθεῖν ἀναγκαῖον ὂν, τὸ δὲ περὶ τῆς θέας ὑπάρχον εὐτελές. AHRTP.

234, 22. Ἥκοντας] λέγει. P.

Θέαν] τόπον εἰς θεωρίαν. P.

Κατανεῖμαι] δοῦναι. P.
Ἀρχιτέκτονα] ὃς ἄρχων τοῦ θεάτρου λέγεται. P.
234, 24. Ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν] Δύο γὰρ ὄντων πρέσβεων δύο ἦσαν οἱ ὀβολοί· οὕτως εὐτελὲς ἦν ὃ αἰτιᾶται. Ὁ δέ γε Αἰσχίνης τὴν προαίρεσιν ἐγκαλεῖ, οὐ τὸ ἀνάλωμα. TCV.
Ἐν τοῖν δυοῖν ὀβολοῖν] Τὸ διώβολον παρεῖχον οἱ θεωροῦντες, ὡς ἤδη ἔγνωμεν. Ὥστε νῦν γνωστέον ὅτι οἱ δύο πρέσβεις, Ἀντίπατρος καὶ Παρμενίων, τοὺς δύο ὀβολοὺς ἐδίδοσαν, ὁ εἷς πρὸς ἕνα, ἀλλ' οὐ πρὸς δύο. Διὰ τοῦτο εἶπε· τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν. Σημείωσαι διότι εὑρίσκεται καὶ παρὰ Θουκυδίδῃ καὶ ἐνταῦθα τὸ θεωρεῖν ἐπὶ τοῦ θεᾶσθαι. AHRTP.
Ἐθεώρουν ἂν] θεαταὶ ἦσαν. P.
Εἰ μὴ τοῦτ' ἐγράφη] τὸ ψήφισμα τὸ ἡμέτερον, τὸ ἀμισθὶ θεωρεῖν τοὺς πρέσβεις δηλονότι. P.
234, 26. Ὥσπερ οὗτοι] οἱ περὶ τὸν Αἰσχίνην. P.
235, 2. Ἑκατομβαιῶνος] μαρτίου. P.
Ἕνῃ καὶ νέᾳ] ἡ τελευτὴ τοῦ προτέρου μηνὸς καὶ ἡ ἀρχὴ τοῦ ὑστέρου. B.
Πρυτανευούσης] οἰκονομούσης τὰ πράγματα. P.
235, 5. Ἀποστείλας] πέμψας. P.
Ὁμολογουμένας] φανεράς. P.
Συνθήκας] συμφωνίας. P.
Ἐπιτελεσθῇ] τέλος λάβῃ. P.
Ἐπιχειροτονηθεῖσα] καταστᾶσα. P
Πυνθάνωνται] αἴσθωνται. P.
Ὡμολογημέναις] συμβιβασθείσαις. P.
Γράψαντος] ψηφισαμένου. P.
235, 20. Οὐ τῷ Φιλίππῳ ζητοῦντος] Πολλὴν ἀγρυπνίαν αὐτῷ μαρτυρεῖ ἡ λέξις, ὅτι διετέλει ζητῶν ὅπως ἂν εὕροι τὰ τῇ πατρίδι συμφέροντα. TCV.
235, 21. Βραχὺ] οὐδ' ὅλως. P.
Φροντίσαντες οἱ χρηστοὶ πρέσβεις] φροντίσαντες ὧν αὐτὸς εἶπεν· ὡς ὀδυρόμενος δὲ λέγει ὅτι οὐχ εἰσὶ χρηστοί, χρηστοὶ εἶναι ὀφείλοντες. TCV.
235, 22. Κάθηντο] Περὶ τοῦ τόνου λέγομεν ὅτι προπαροξύνεται· ἔστι γὰρ ἀπὸ τοῦ κάθημαι. ARTP.
235, 24. Καταστρεψάμενος] ἀναλώσας. P.
Ἐξὸν] δυνατοῦ ὄντος δι' ἡμερῶν δέκα. P.
Ἐξελεῖν] ἐκκενῶσαι. P.
Παρόντων ἡμῶν] ἤγουν, εἰ δὲ ἥψατο, εἰς ὅρκους ἐβάλλομεν. P.
Διημαρτήκει] ἐξέπεσε. P.
236, 2. Κλέμμα μὲν Φιλίππου] ἤγουν ἀπάτημα. P. Παραμυθεῖται τὰς συμφορὰς κλέμμα λέγων, ἀλλ' οὐ κατόρθωμα. TCV.
Δωροδόκημα] Ἐναλλαγὴ τῶν παρισουσῶν συλλαβῶν. BYP.
Καὶ τότε καὶ νῦν ἀεὶ] Δεικνὺς τὴν ἐν τῇ γνώμῃ μάχην, οὐ τὸν ἀπὸ τῶν ὅπλων πόλεμον, προσέθηκεν οἰκείως τὸ διαφέρεσθαι. TCV. Τοὺς τρεῖς συμπεριέλαβε χρόνους, ὡσανεὶ ἔλεγε, συντεθνήξομαι τῇ δυσμενείᾳ τῇ κατ' αὐτῶν. ARTP.
236, 8. Ὡμολόγησε] συνεφώνησε. P.
236, 10. Πάλιν ὠνεῖται παρ' αὐτῶν] τὸ εὔκολον καὶ τὸ σύνηθες ὑποβάλλει τῆς δωροδοκίας. Σκόπει δὲ τοῦ λόγου τὴν ἀσφάλειαν, ὅτι ἡνίκα μὲν περὶ προδοσίας ἦν ἡ μνήμη, τὸ ὠνεῖται πρὸς αὐτῶν εἶπεν, ὡς οὐχ ὧν αὐτὸς πρεσβευτής· ὅτε δὲ κακὸν οὐδὲν ἦν, συνῆψεν ἑαυτὸν εἰπών, ὅπως μὴ ἀπίωμεν ἐκ Μακεδονίας. TCV.
236, 12. Ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ] κατὰ τῶν Φωκέων ἕτοιμα. P.
236, 29. Μηδὲν ἔξω τῆς γραφῆς] κατηγορίας, προβουλεύματος. P. Ὃ ποιεῖν αὐτὸς διὰ τὸ χρήσιμον βούλεται, τοῦτο περιάπτει τῷ Αἰσχίνῃ, ὅτι αὐτός μοι αἴτιος γενήσεται τοῦ μεμνῆσθαι τῶν ὅλων τοῦ προβουλεύματος· δι' ὧν εἶχεν ἀφορμὴν νικῆσαι τὴν γραφήν. TCV.
237, 2. Ἅμα τούτου] ἐν ταὐτῷ. P.
237, 11. Οἰκειότητας] Οἰκειότητας λέγει τὰς φιλίας· οἷον οὐ τὸ λέγειν τινὰ πρὸς ἄλλον ὅτι φιλῶ σε, ἤδη τοῦτο φιλίαν ἀπεργάζεται, ἀλλὰ τὰ πράγματα συνάπτει τοὺς φίλους, ὅταν ἑκατέροις ὁμοίως συμφέρῃ. AHRP. Οἰκειότητας λέγει τὰς φιλίας, τὰς γνησιότητας τῶν πραγμάτων οὐ τὰ ὀνόματα, δηλονότι τὴν ἔχθραν καὶ τὴν φιλίαν τοῦ Φιλίππου. P.
Ὀνομάζων] ἐξ ὀνόματος καλῶν. P.
Ἀναλγησίας] ἀναισθησίας. P.
Βαρύτητος] ὠμότητος. P.
Ἤκουον αὐτοῦ] τοῦ Αἰσχίνου. P.
Ὑποῦσαν] κεκρυμμένην, οὐ φανεράν. P.
Οὐκ εἰς μακρὰν] μετ' ὀλίγον. P.
238 3. Πρυτάνεων καὶ βουλῆς] δικαστήριον φονικόν. B.
238, 4. Μαιμακτηριῶνος] αὐγούστου τῇ κα'. P.
Ἀπιόντος] φθίνοντος. P.
Παρευρέσει] ἔξω τοῦ ἐνδεχομένου, ἀφορμῇ, αἰτίᾳ. P.
Χώρᾳ] ἀγροῖς. P.
Κοιταῖον] κοιμᾶσθαι κατὰ νύκτα· κοιταῖος γὰρ ὁ εἰς κοίτην ἐρχόμενος. P.
Μὴ ἀφημερεύοντας] ἤγουν μὴ τὴν ἡμέραν ἀποδημοῦντας τῶν φρουριῶν, μήτε ἀφισταμένους κατὰ τὴν νύκτα. P.
Ἔνοχος ἔστω] κρινέσθω ὡς προδότης. P.
Ἀδύνατον] ἤγουν ἀσθένειαν σωματικήν. P.
Καταχομίζειν] ἤγουν ὃ προλαβὼν σκευαγωγεῖν εἶπε. P.
Ὑφ' ἑαυτοὺς πεποιημένους] ἤγουν δουλωσαμένους τὴν Φωκίδα. P.
Προσετίθετο] ἀντὶ τοῦ ὑπήκουσεν ὑμῖν. P.
239, 2. Ἐξανδραποδισάμενοι] αἰχμαλωτίσαντες. P.
Ἀντιπαρεξάγοντες] παραβαίνοντες, εἰς τὸ ἐναντίον περιτρέποντες. P.
Προτερήσετε] ἤγουν οὐδὲν πρότερον καὶ ὑπέρτερον καὶ πλέον ποιήσετε. P.
239, 16. Ῥήμασι] λέξεσι. P.
Ὤχετο ἐκείνους λαβὼν] ἀντὶ τοῦ ἠπάτησε, παρέσυρε, δουλωσάμενος Θηβαίους καὶ Θετταλούς. P. Ἀντὶ τοῦ καταδουλωσάμενος Θηβαίους καὶ Θετταλούς. AHR.
239, 21. Τῆς πίστεως] ὡς ἐπίστευσαν αὐτῷ Θηβαῖοι καὶ Θετταλοί. P.
239, 28. Γεωργῶν τὰ ἐκείνων] καρπιζόμενος τὰ χωρία ἐκείνων. P. Ὡσανεὶ ἔλεγε, μισθὸν τοῦ κατὰ Θηβαίων δράματος τὴν ἐκείνων χώραν ἐδέξατο. Τὸ δέ, τοὺς Θηβαίους ἐλεεῖς, ὡσανεὶ ἔλεγε, μὴ δάκρυε τὰς Θήβας, Αἰσχίνη, ἀφ' ὧν πεπλούτηκας. AHRTP.
239, 29. Ὃς εὐθὺς ἐξητούμην] μετὰ τὴν κατασκαφὴν τῶν Θηβῶν, ἐπελθόντος τοῦ Ἀλεξάνδρου καὶ ταῖς Ἀθήναις, ἐξητούμην ὑπ' αὐτοῦ εἰς τιμωρίαν. ARTP.
240, 1. Ἀλλὰ γὰρ ἐμπέπτωκα] τὸ ἀκουσίως ἐν τούτοις γενέσθαι δηλοῖ. P.
Αὐτίκα] μετ' ὀλίγον. P.
240, 4. Πραγμάτων] ὀχλήσεων P.
240, 9. Ἀνῄρηντο] ἠφανίσθησαν. P.

240, 12. Εἴ τις ἄλλο τι βούλοιτο λέγειν] ἐκτὸς τῶν ὀνομάτων τῶν παριστώντων τὸν Φίλιππον σωτῆρα, φίλον καὶ εὐεργέτην, καὶ τὰ τοιαῦτα. P.

240, 13. Ὑφορώμενα] ὑφορῶμαι ἀντὶ τοῦ κρυπτῶς βλέπω, ὑπονοῶ, ἢ φοβοῦμαι. P.

240, 14. Ἤγετε] ἐστέργετε. P.

Τρόπον τινὰ] ἀντὶ τοῦ συνεσκιασμένως, ἐκ πλαγίου. P.

Ἐκ πολλοῦ] χρόνου δηλονότι. P.

240, 18. Περιιὼν] περιερχόμενος. P. Τὸ σχῆμα τοῦ λόγου νόημά ἐστιν ἓν, τῇ ἑρμηνείᾳ πλείοσι κώλοις ἐπεκταθὲν καὶ γεγονὸς πνεῦμα. BFYP.

240, 19. Ἰλλυριοὺς καὶ Τριβαλλοὺς] ἔθνη ταῦτα πλησίον Μακεδονίας A.

Ἐποιεῖτο ὑφ' ἑαυτῷ] ἤγουν ὑπετάττεσθε P.

Διεφθείροντο] ἤγουν δῶρα λαμβάνοντες ἦσαν διεφθαρμένοι. P.

Ὧν εἷς] τῶν βαδιζόντων εἰς τὸν Φίλιππον. P.

Παρεσκευάζετο] παρεσκεύαζε. P.

240, 24. Εἰ δὲ μὴ ᾐσθάνοντο] ἐργασία· ἕως ὧδε τὸ πρῶτον πνεῦμα, εἶτα τὸ δεύτερον. B.

Ἠσθάνοντο] οἱ φθειρόμενοι. P.

240, 25. Οὐ πρὸς ἐμὲ] οὐκ ἐγὼ αἴτιος, οὐκ ἐμοῦ ἅπτεται. P.

240, 26. Διεμαρτυρόμην] ἐδίδασκον. P.

240, 27. Καὶ ὅποι πεμφθείην] Εἶπε κἀν τοῖς Φιλιππικοῖς οἷα ἐποίησεν ἔν τε Πελοποννήσῳ καὶ παρὰ Ἀργείοις καὶ Μεσσηνίοις δημηγορῶν· εἶτα αὔξει τὰς ἐν ταῖς πόλεσι νόσους, δεικνὺς πόθεν αὐτῷ τὸ μὴ κατορθῶσαι συμβέβηκε. TCV.

240, 28. Τῶν μὲν ἐν τῷ πολιτεύεσθαι] ἤγουν τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων, τῶν ἐν τῷ βήματι, τοῖς πολιτικοῖς πράγμασι. P.

Καὶ πράττειν] τῶν διεξιόντων αὐτά. P.

240, 29. Δωροδοκούντων] δῶρα δεχομένων. P.

Τῶν δὲ ἰδιωτῶν] τῶν ἀπηλλαγμένων ἀρχῆς, τῶν ἔξω ὄντων τῶν πολιτικῶν πραγμάτων. P.

241, 1. Προορωμένων] Προορῶ ἐνεργητικῶς τὸ τοῖς ὀφθαλμοῖς βλέπω, προορῶμαι δὲ τὸ προγινώσκω. HR.

241, 4. Οἰομένων ἑκάστων] τῶν ἀρχόντων καὶ τῶν ἰδιωτῶν. P.

241, 5. Ἀσφαλῶς σχήσειν] ἀκινδύνως διατεθήσεσθαι. P.

241, 11. Ἐδωροδόκουν] δῶρα ἐλάμβανον. BYP.

Κόλακες καὶ θεοῖς ἐχθροὶ] Λεληθότως ὁ ῥήτωρ παραινέσαι βούλεται φεύγειν τὴν προδοσίαν, τὸ πέρας αὐτῆς ἐλεεινὸν ἐξηγούμενος. TCV.

241, 20. Ἀποδομένων] ἤγουν ἀνθρώπων πωλησάντων, προδοτῶν. P.

241, 21. Καὶ μισεῖ καὶ ἀπιστεῖ] Καλῶς ἡ τάξις ἔχει τῶν λέξεων· μισεῖ γὰρ καταγνοὺς, ἀφ' ὧν κακοὶ περὶ τὴν ἐνεγκοῦσαν ἐγένοντο· μισήσας δὲ καὶ ἀπιστεῖ· οὐδεὶς γὰρ μισεῖ, εἶτα πιστεύει τῷ μισουμένῳ. Ὃν δὲ ἄπιστον καὶ ἐχθρὸν ἡγεῖταί τις, ὑβρίζων οὐ παύεται. TCV.

241, 24. Μέχρι τούτου] Τοῦτο λέγεται ἐπαναφορὰ, διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι, καὶ λαμπρότητος πλείστης καὶ κάλλους μετέχει, διὰ τὸ πεπονθότως λέγειν τὸν ῥήτορα· κατὰ κῶλον δέ ἐστιν, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος· μέχρι-μέχρι-μέχρι. B. Σχῆμα τῆς κατὰ κῶλον ἐπαναφορᾶς, ὅπερ ἐστὶ καὶ παρισώσεως εἶδος, μέχρι-μέχρι-μέχρι. P. Less.

242, 3. Ἀπερριμμένοι] ἐξωσθέντες P.

Ἐξ ὧν] τῶν κατὰ τοὺς προδότας πραγμάτων. P.

242. 5. Καὶ πλεῖστα ἀντιλέγων τούτοις] εὑρίσκεται καὶ τῶν προδοτῶν εὐεργέτης ὁ φιλόπολις. TCV.

Τούτοις] τοῖς προδόταις. P.

Οὗτος ὑμῖν, Αἰσχίνη] Ὡς κεφάλαιον τῶν προδοτῶν τὸν Αἰσχίνην ὠνόμακε, καὶ πρὸς αὐτὸν ἀποτεινόμενος οἴεται πρὸς ἅπαντας προσάγεσθαι. TCV.

242, 10. Πάλαι ἂν ἀπολώλειτε] Ἔστι γὰρ διαφθορὰ προδοτῶν ἡ ἀργία καὶ τὸ μὴ ἔχειν πρόφασιν δωροδοκίας. Διὰ τὸ δύσφημον δὲ εἰς αὐτοὺς ἔτρεψε τὴν ἀπώλειαν· ἐπεὶ τό γε ἀκόλουθον ἦν εἰπεῖν, Ἐπεὶ, ὅσον ἥκεν εἰς ὑμᾶς, πάλαι ἂν ἡ πόλις διέφθαρτο. TCV.

Καὶ περὶ μὲν τῶν τότε] Ἕως ὧδε τὰ τρία πνεύματα· διὸ ἐκ τῆς τῶν τριῶν πνευμάτων συνθέσεως ἀκμὴ γέγονεν ἐντελὴς ἐκ νοημάτων οὖσα. BFYP.

242, 12. Πλείω τῶν ἱκανῶν εἰρῆσθαι] Φθάνει τῶν δικαστῶν τὴν ἐπιτίμησιν. Οἶδε γὰρ ὡς ἡ τῶν παλαιῶν ἄκαιρος μνήμη λυπεῖ τὸν καθήμενον. TCV.

242, 13. Ὥσπερ ἑωλοκρασίαν τινὰ] Ἕωλόν φασι πᾶν τὸ ἐπὶ τὴν ἑξῆς ἡμέραν. Ὁ οὖν Δημοσθένους νοῦς οὗτος· ὃ χθὲς καὶ πρώην ἐκέρασε πρᾶγμα, τήμερόν μου καταχέει, καὶ ἐμὲ πρᾶξαί φησι τὰ κακῶς αὐτῷ οἰκονομηθέντα. Ἕτεροι δέ φασιν ὅτι Ἀθήνησιν εἶχον ἔθος οἱ νέοι, εἴ ποτε παννυχὶς εἴη, κιρνάναι κρατῆρας κἀκ τούτων μεθύσκεσθαι. Ἕωθεν δὲ, εἰ παραλείποιτο, κατὰ τῶν ἀπαυδησάντων ἐν τῷ πότῳ κατασκιδνάναι, καλοῦντες τοῦτο ἑωλοκρασίαν. BY.

Ἐγὼ δὲ μᾶλλον νομίζω πεποιῆσθαι τὸ ὄνομα ὑπὸ τοῦ ῥήτορος ἀπὸ τῶν ἑώλων, ἅ ἐστιν ἀρχαῖα, ὅτι πράγματα ἀρχαῖα συγκεράσας κατηγορεῖ ὁ Αἰσχίνης. B. Φανερὸν μὲν τὸ ὄνομα· εἴρηται γὰρ ἀπὸ τοῦ κεκραμένου οἴνου καὶ ἑώλου γενομένου, οἱονεὶ χθεσινοῦ. Ἐγίνετο δὲ τὸ τῆς ἑωλοκρασίας παρὰ τοῖς Ἀθηναίοις οὕτως· ἐν ταῖς πανηγύρεσι συνῄεσαν πολλοὶ μετ' ἀλλήλων συμποσιασόμενοι, καὶ ἔμειναν πολλάκις πίνοντες ἕως τῆς ἄλλης ἡμέρας ὡς ἐν πανηγύρει. Εἰ δέ τις τούτων μεθυσθεὶς κατέδαρθε καὶ εἴασε τὸ ποτήριον αὐτοῦ, τῇ ἑξῆς οἱ λοιποὶ συμπόται λαβόντες τοῦτο ἐξέχεον κατὰ τῆς ἐκείνου κεφαλῆς, ὥσπερ ἐπεγγελῶντες, διότι οὐκ ἴσχυσε πρὸς τὸ μιμήσασθαι αὐτούς. Ἀπὸ μεταφορᾶς οὖν ἐκείνου τοῦ χθεσινοῦ καὶ ἑώλου γενομένου εἶπε καὶ ἐπὶ τῶν πραγμάτων, ὧν αὐτῷ ἐνεκάλεσεν Αἰσχίνης, διότι παλαιὰ αὐτοῦ κατηγόρησεν. AFTP.

241, 14. Κατασκεδάσας] ἐμοῦ δηλονότι. P. Ἐνέμεινε τῇ τροπῇ τῆς ἑωλοκρασίας. AP.

Ἣν] ἑωλοκρασίαν. P.

242, 15. Ἀπολύσασθαι] διαλῦσαι. P.

242, 16. Παρηνώχλησθε] ὄχλησιν ἐλάβετε παρεξαχθέντες.

243, 1. Μισθωτός] Σημείωσαι ὅτι φασὶ τὸν Δημοσθένην μίσθωτος ἀναγνῶναι· τῶν δὲ δικαστῶν μισθωτός εἰπόντων, ἐπὶ διορθώσει δῆθεν τοῦ λόγου, εὐθὺς δράξασθαι τὸν Δημοσθένην τῆς τούτων φωνῆς, καὶ φησίν· εἰ ἀκούεις, ἃ λέγουσιν; B. Πολλαὶ περὶ τούτου φέρονται ἐξηγήσεις. Οἱ μὲν γὰρ λέγουσιν ὅτι ἑκὼν ἐβαρβάρισεν εἰς τὸ μίσθωτος, ἵνα, ὥσπερ τῶν δικαστῶν βουλομένων διορθώσασθαι αὐτὸν, αὐτὸς κακούργως τὴν διόρθωσιν ἀνθ' ὁμολογίας δέξηται καὶ εἴπῃ ὅτι ἀκούεις ἃ λέγουσιν, ὅτι μισθωτόν σε καλοῦσιν. Ἄλλοι δὲ λέγουσιν ὅτι Μένανδρος ὁ κωμικὸς καί τινες αὐτοῦ φίλοι παρόντες ἐν τῷ δικαστηρίῳ χαριζόμενοι τῷ Δημοσθένει, ἅτε δὴ φίλοι, ἐρωτήσαντος αὐτοῦ τοῦτο, ἀνα-

στάντες εἶπον ὅτι μισθωτός ἐστιν ὁ Αἰσχίνης, καὶ αὐτῶν τῶν ὀλίγων τὴν φωνὴν ὥσπερ ἀπόκρισιν ἐδέξατο παντὸς τοῦ δικαστηρίου. Γενέθλιος δέ φησιν ὡς ὅτι ἔθος ἐστὶ τοῖς ῥήτορσι, καὶ μάλιστα τῷ Δημοσθένει, τὰ ἀμφίβολα ὡς ὡμολογημένα λαμβάνειν. ARTP.

Τινὲς εἰρήκασιν ὅτι ἑκὼν ἐν τῷ ἐρωτᾶν ὁ ῥήτωρ ἐβαρβάρισεν ἐξεπίτηδες μίσθωτος λέγων, εἶτα ἐπελάβετό τις αὐτοῦ ὡς διορθούμενος καὶ ἐβόησε τῷ ἰδίῳ τόνῳ μισθωτός, εἶτα τὴν διόρθωσιν ἀπόκρισιν καὶ βεβαίωσιν εἴρηκεν. Οἱ δέ φασιν ὡς Μένανδρος ὁ κωμικὸς, φίλος ὢν αὐτοῦ καὶ ὢν ἐν τοῖς δικασταῖς, ἀπεκρίνατο χαριζόμενος, καὶ τοῦ ἑνὸς τὴν φωνὴν ὡς τῶν πάντων ἐδέξατο. Ἔνιοι δὲ ὑπέλαβον ὡς ἐρωτήσαντος αὐτοῦ οἱ δικασταὶ διελέχθησαν, Τί βούλεται οὗτος, καὶ Τί ποιεῖν δεῖ; καὶ ταύτην αὐτῶν τὴν ζήτησιν προλαβὼν ἐποίησε τὴν ἀπόκρισιν. TCV.

234, 2. Βούλομαι τοίνυν] Διττῶς διεῖλε τὸ δίκαιον· καὶ τὸ μὲν ἐν τῇ ἀναιρέσει τῶν ἀδικημάτων, ἔνθα καὶ ἀντεγκαλεῖ τῷ ἀντιδίκῳ, τὸ δὲ λοιπὸν ἐν τῇ θέσει τῶν εὐεργετημάτων καὶ τῶν πράξεων. BHRFYTCV.

243, 3. Γραφῆς αὐτῆς] Ἐνταῦθα δεῖ λαβεῖν ἀντὶ τοῦ μόνης, οἷον· περὶ μόνης αὐτῆς τῆς γραφῆς, ὥσπερ ἐστὶν ὅμοιον καὶ παρὰ τῷ ποιητῇ, ὅταν λέγῃ (Il. θ, 99)·

Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη.

ἀντὶ τοῦ μόνος. ARTP.

243, 5. Προβεβουλευμένων] προβεβουλευμένου στεφάνου. P.

243, 10. Ἐλαφηβολιῶνος] νοεμβρίου. P.

243, 16. Διονυσίοις] ἐν οἷς Διονυσίοις εἰσήγοντο ἄνθρωποι καινὰς τραγῳδίας λέγοντες. P.

243, 25. Καταβάλλεσθαι] εἰσάγειν. P.

243, 28. Μὴ ἀναγορεύειν] οὐκ ἐώντων τῶν νόμων, ὅτε ἔδει ἀναγορεῦσαι μὲν, οὐ στεφανῶσαι δὲ ἐν τῷ θεάτρῳ. P.

244, 2. Ἐν Πνυκὶ] ὄνομα τόπου. B. Πνὺξ ἡ ἐκκλησία ἀπὸ τοῦ πεπυκνῶσθαι τοὺς ἄνδρας ἐν αὐτῇ. P.

244, 4. Κλήτορες] οἱ μαρτυροῦντες τοῖς καλοῦσιν εἰς δίκην. P.

244, 5. Ἃ μὲν διώκει] Ἀρχὴ τοῦ ἑτέρου μέρους τοῦ δικαίου. BSY.

244, 6. Ἐγὼ δ' ἀπ' αὐτῶν τούτων] κατηγοριῶν. P. Δι' ὧν ἕπομαι τῷ ἀντιδίκῳ δῆλός εἰμι τὴν ἀλήθειαν ἀγαπῶν. Προσεκτέον δὲ ἀκριβῶς τοῖς λεγομένοις, ἵνα μὴ ἐναντιώματι περιπέσωμεν. Εἰ γὰρ ἐν τῷ προοιμίῳ δυσχεραίνων ἔφη μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς δεῖ ἀκούειν, νῦν δὲ ἕπεται τῇ γραφῇ—τοῦτο γὰρ ἐπαγγέλλεται—, πῶς οὐκ ἂν δόξειεν αὐτὸς αὑτῷ περιπίπτειν; Ἰστέον οὖν ὡς Αἰσχίνης, ἡνίκα μὲν ἐξ ἀρχῆς τὴν κατὰ τοῦ Κτησιφῶντος παρεῖχε γραφὴν, τὴν διαβολὴν τοῦ βίου καὶ τῆς πολιτείας τοῦ Δημοσθένους προὔταξεν· ὅτε μέντοι τὸν λόγον τῆς κατηγορίας ᾠκονόμησεν, ἐνήλλαξε τὰ κεφάλαια πρὸς τὸ δοκοῦν αὐτῷ χρήσιμον μεταθεὶς τὴν διοίκησιν. Ὁ τοίνυν ῥήτωρ κατὰ μὲν τὴν γραφὴν ζηλοῦν ἐπαγγέλλεται· λυσιτελεῖ γὰρ αὐτῷ προτάξαι τὴν πολιτείαν· ἀποφεύγει δὲ τὴν ἐπινοηθεῖσαν ἐν τῷ λόγῳ μέθοδον ὡς βλάπτουσαν αὐτόν, ὥστε οὐδὲν ἐναντίον ἀναφανήσεται. TCV.

244, 10. Καὶ οὐδὲν ἑκὼν παραλείψω] ἵνα κἂν ἄλλως ποιήσῃ, σχῇ ἀποφυγὴν τὴν ἄγνοιαν, ἢ λήθην, ἤ τι τῶν τοιούτων. TCV.

244, 11. Γράψαι] ψηφίσασθαι τὸν Κτησιφῶντα P.

244, 13. Ὅτι ἂν δύνωμαι ἀγαθὸν] Προεθίζει τοὺς δικαστὰς περὶ μὲν τῶν συμβάντων μὴ πάντ' αὐτοῦ τῇ γνώμῃ ἐγκαλεῖν, ἃ δὲ μὴ δυνάμεώς ἐστιν ἀνθρωπίνης, ταῦτα τῇ τύχῃ λογίζεσθαι. TCV.

244, 22. Ἔτι μέντοι καὶ τοὺς νόμους] Ὁ μηδένα ἔχων νόμον σκόπει πόσους ἔχει· ὁμολογεῖ δὲ καὶ δεικνύειν ἐπαγγέλλεται. TCV.

244, 24. Τούτῳ] τῷ Κτησιφῶντι P.

Ἁπλῶς] ἀπεριέργως. P.

Πέπρακται] πεπολίτευται. P.

244, 27. Καί με μηδεὶς ὑπολάβῃ] Προθεραπεύει τὸ ἄτοπον. Ἵνα γὰρ μή τις εἴπῃ, τί λέγεις ἡμῖν ἐν Ἑλλάδι πράξεις γεγενημένας, ἐπισημαίνεται ὅτι, τὸν ὅλον μου βίον καὶ πᾶσαν τὴν πολιτείαν μεμψάμενος, αὐτὸς γέγονεν αἴτιος κἀκείνων ποιήσασθαι μνήμην· ὥστε οὐκ ἀποπλανῶν καὶ ἀποχωρίζων τὸν λόγον ταῦτα διέξειμι. TCV.

Ἀπαρτᾶν] χωρίζειν τὴν ἀπολογίαν τὴν νῦν ἀπὸ τῆς γραφῆς καὶ τῆς κατηγορίας, ἧς νῦν κατηγοροῦμαι. A. Χωρίζειν τὴν ἀπολογίαν τὴν νῦν ἐκ τῆς γραφῆς καὶ τῆς κατηγορίας, ἧς νῦν κατηγοροῦμαι. TCP.

Γραφῆς] τοῦ προβουλεύματος. P.

245, 5. Προαιρέσεων] πραγμάτων προκειμένων. P.

Ἀποδείξεις] τὰς ὑπὲρ ἐμαυτοῦ. Ὅτι ἐξ ὧν πεποίηκα εὔνους ὢν τῇ πόλει πεποίηκα. P.

245, 7. Ἃ μὲν οὖν] Σημείωσαι· σχῆμα κατὰ ἀποσιώπησιν. BP.

245, 8. Προὔλαβε καὶ κατέσχε Φίλιππος] Μονονουχὶ μέμφεται τὴν τύχην, ἐφ' οἷς βραδύτερον πεπολίτευται· διὰ τοῦτο γὰρ κατέσχε τῶν πλείστων ὁ Φίλιππος, οὔπω Δημοσθένην βλέπων ἐπὶ τοῦ βήματος. TCV.

Κατέσχε] ἐχειρώσατο. P.

Τούτων] τῶν πρὸ τοῦ πολιτεύεσθαι, ἅπερ οὐχ ἅπτεταί μου. P.

245, 11. Ἐπὶ ταῦτα ἐπέστην] ὥσπερ τινὸς δαίμονος ἐπιστασίαν λέγει τῆς αὐτοῦ κηδεμονίας τὴν παρουσίαν. TCV.

Διεκωλύθη] ὁ Φίλιππος. P.

Πλεονέκτημα] προτέρημα. P.

245, 15. Φορὰν προδοτῶν] τροπικῶς εἶπε· φορὰ γὰρ εἴωθε λέγεσθαι ἐπὶ σίτου ἢ ἄλλων καρπῶν τῶν φερομένων ἐν ἑκάστῳ ἐνιαυτῷ· ἐνέμεινε τῇ τροπῇ εἰπὼν « καὶ φυομένου κακοῦ. » ATCP.

Λαβὼν] ὁ Φίλιππος. P.

Κακῶς ἔχοντας] ὅμοιον τῷ, αἱ πόλεις ἐνόσουν. P.

Διέθηκε] ἐποίησε τῶν Ἑλλήνων. P.

Τοῖς δὲ] τοῖς προδόταις. P.

245, 24. Συνισταμένου] ἤγουν ἐν ὑπάρξει ὄντος, τοῦ οὐσιωμένου καὶ εἰς σύστασιν ἐρχομένου. P. Πλείω σημαίνει τὸ συνίστασθαι, τὸ πεπηγέναι, τὸ ἐν ὑπάρξει εἶναι, τὸ ἀποκαθίστασθαι, τὸ σὺν ἄλλῳ ἵστασθαι, τὸ φίλον τινὶ γίνεσθαι. TP.

245, 28. Ὁ γὰρ ἐνταῦθα] ἤγουν ἐν τῷ λέγειν ὑπὲρ τῶν Ἑλλήνων. P.

245, 29. Πότερον αὐτὴν ἐχρῆν] Ἀποστροφὴ καὶ κατ' ἐρώτησιν τὸ σχῆμα. Θαρρεῖ γὰρ τὸ « φρόνημα ἀφεῖσαν. » Ἔστι δὲ φρόνημα μὲν τὸ ἀπὸ τῶν ἔργων, ἡ δὲ ἀξία τῆς τύχης. TCV.

246, 1. Φρόνημα] ὕψωμα. P.

Ἀξίαν] τιμήν. P.

Συγκατακτᾶσθαι] γίνεσθαι συναιτίους τῷ Φιλίππῳ τῆς κτήσεως τῆς ἀρχῆς τῶν Ἑλλήνων. P.

246, 5. Δεινὸν γὰρ ὡς ἀληθῶς] Τῇ οἰκείᾳ κρίσει τὸ ἀπευκτὸν ἐμφαίνει τοῦ πράγματος. TCV.

Ἀλλὰ καὶ τούτων] ἤγουν τῶν συναιτίων καὶ τῶν περιεωρακότων. P.

Ἀπηλλάχασι] ἤγουν πλέον ἐδυστύχησαν. P.

Ἦγεν ἡσυχίαν] ἡσύχαζε P.

Τὴν ἐλευθερίαν] αὐτονομίαν ἠκρωτηρίαζε. P.

Πολιτείας] δημοκρατίας. P.

Λέγειν] δημηγορεῖν ἢ ψηφίζεσθαι. P.

Τοῦ χρόνου] τῆς ζωῆς, ἕως τῆς ἡμέρας ἐκείνης. P.

247, 6. Καὶ πλείω σώματα καὶ χρήματα] Προλύει καὶ νῦν ὁ ῥήτωρ ἐσομένην ἀντίθεσιν, ἐν ᾗ περὶ Θηβαίων καὶ Εὐβοέων ὁ Αἰσχίνης διαλεγόμενος τοῦτο ἐγκαλεῖ, ὅτι πολλὰ πεποίηκε δαπανῆσαι τὴν πόλιν. TCV.

247, 10. Τὸν ὀφθαλμὸν] Ἤδη ἔγνωμεν ὅτι τὸν ὀφθαλμὸν ἐπλήγη ἐν τῇ Μεθώνῃ, τὴν δὲ κλεῖν ἐν Ἰλλυριοῖς, τὸ δὲ σκέλος καὶ τὴν χεῖρα ἐκ Σκύθαις. ARTCP.

247, 11. Ἐκκεκομμένον] ἐξορωρυγμένον. P.

Πεπηρωμένον] ἤγουν βεβλαμμένον. P.

Εἰς νοῦν ἐμβαλέσθαι] ἐννοῆσαι. P·

Λόγοις] ὁμιλητικοῖς, καὶ ἐν σκέψεσι περὶ τῶν κοινῶν πραγμάτων. P.

Ὑπομνήματα] εἰκόνας. P.

Κακίαν] δειλίαν. P.

Αὐτεπαγγέλτους] αὐτοὺς ἡμᾶς ἐπαγγελλομένους. P.

247, 24. Παραχωρῆσαι Φιλίππῳ] Τὸ οἰκεῖον κτῆμα ἡ λέξις σημαίνει· ἀποδίδωσι μὲν γάρ τις τἀλλότριον, παραχωρεῖ δὲ τῶν ἰδίων. Καὶ τὸ Φιλίππῳ δὲ μετὰ βαρύτητος εἴρηται. Τίνι γάρ, εἰπέ μοι, παραχωρεῖς; ὁμοφύλῳ; στέργω τὴν τύχην, Λακεδαιμονίοις; οὐκ ἀνιῶμαι. Ἐὰν δὲ ἐπιστήσῃς μοι Μακεδόνα δεσπότην, οὐ φέρω τὴν συμφοράν, ἀρνοῦμαι τὸν ἐκ Πέλλης ἡγούμενον. TCV.

Λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον] Ἱκανῶς ἐκ τῶν προλεχθέντων συνήγαγεν ὡς ἀναγκαῖον τὸν ὄντα Ἀθηναῖον ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀμύνασθαι. TCV.

247, 26. Τοῦτ' ἐποιεῖτε μὲν ὑμεῖς] εἰ δὲ ἀναγκαῖον, καλῶς ἐποιεῖτε καὶ ὑμεῖς αὐτά, κἀγὼ συνεβούλευον. Ἐνήλλαξε μέντοι τὴν τάξιν· ἦν γὰρ πρῶτον μὲν τὸ γράφειν, δεύτερον δὲ τὸ πεισθέντας ποιεῖν, ἵνα δόξῃ ἕπεσθαι αὐτοῖς καὶ τῷ φρονήματι τῷ κοινῷ. TCV.

247, 29. Ἔγραφον] ἐψηφιζόμην. P.

248, 1. Ἐπολιτευόμην] τὰ τῆς πολιτείας ἔπραττον. P.

248, 3. Πύδναν] Πύδνα, τὸ νῦν Κίτρος. BP.

Ποτίδαιαν] Ποτίδαια ἡ νῦν Βέροια. BP.

248, 5. Τὴν Πεπαρήθου] Πεπάρηθος νῆσός ἐστι πρὸς τῷ Αἰγαίῳ πελάγει πρὸ τῆς Θετταλίας. Ταύτην ἐπόρθησεν Ἄλκιμος, ναύαρχος τοῦ Φιλίππου. AFT.

248, 8. Τουτουσὶ] δηλονότι τοὺς Ἀθηναίους. ACP.

Εὐβούλου καὶ Ἀριστοφῶντος] Δαιμονία τῶν προσηγοριῶν ἡ θέσις. Προηγεῖται μὲν γὰρ ὁ Εὔβουλος, ὁ φίλος εἶναι τοῦ Μακεδόνος νομισθείς, διαδέχεται δὲ Ἀριστοφῶν, ἀνὴρ πολλάκις μὲν κριθείς, οὐδέποτε δὲ καταγνωσθείς· τρίτος δὲ ὁ Διοπείθης, ὁ περὶ τὴν Θρᾴκην λυπήσας τὸν Φίλιππον, περὶ οὗ ἀγωνίζεται ἐν τοῖς Φιλιππικοῖς ὁ ῥήτωρ. Διὰ τοῦτο τελευταίου ἐμνημόνευσε, πᾶσαν ἀποτέμνων ὑπόνοιαν. TCV.

248, 10. Ὦ λέγων εὐχερῶς] ἀσκέπτως. P. Εἰ γὰρ ἀληθὲς ἢ ψεῦδος οὐ μέλει σοι. TCV.

248, 11. Περὶ τούτων] ἅπερ ἐποίησε μετὰ τοὺς ὅρκους. AT.

Ἀλλ' ὁ τὴν] Πνεῦμα. B.

Σφετεριζόμενος] ἰδιοποιούμενος. P.

248, 13. Ἐπιτείχισμα] Ἐπιτείχισμά ἐστιν ὁρμητήριον τοῖς πολεμίοις πεποιημένον, ἐξ οὗ ὁρμώμενοι τὴν πόλιν κακῶς ποιοῦσιν ἢ μάχονται. P.

Ἐπιχειρῶν] ἅπερ ἐποίησε μετὰ τοὺς ὅρκους. P.

Κατασκάπτων] διὰ τοῦ σκάπτειν ἀναστάτους ποιῶν. P.

Ἀναιρῶν] ἀφανίζων. P.

248, 19. Τοὺς φυγάδας κατάγων] τοὺς ἐξορίστους ποιῶν ἐπανελθεῖν, ὑπὸ τῶν Ἀθηναίων ἐλθεῖν εἰς τὴν ἰδίαν πατρίδα. P.

248, 21. Εἰρήνην ἢ οὔ] Τὸ παρὰ τῷ ῥήτορι Ἑρμογένει θεωρηθὲν πνεῦμα· ὃ δὴ καὶ κάλλιστον κέκριται ὡς ἀπὸ τῆς ἀποφάνσεως μεταπεσεῖν εἰς πεῦσιν τῷ ἢ οὔ; R.

248, 23. Τὴν Μυσῶν λείαν] Παροιμία· τάττεται δὲ ἐπὶ τῶν μάτην καὶ ἀναιτίως ἀπολλυμένων. BSY. Πλέοντες οἱ Ἕλληνες ἐπὶ τὴν Τροίαν προσώρμισαν τῇ Μυσίᾳ καὶ νομίσαντες αὐτὴν εἶναι τὴν Τροίαν ἐπόρθουν. Τήλεφος δὲ ὁ τότε Μυσίας τύραννος πολλοὺς κατατοξεύσας ἐτρώθη καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως εἰς τὸν μηρόν· εἶτα ὕστερον χρωμένῳ αὐτῷ περὶ ἰάσεως ἀνεῖλεν ὁ θεὸς ὡς οὐκ ἄλλως θεραπευθήσεται, εἰ μὴ ὁ τρώσας καὶ ἰάσεται. Ἵνα μὴ οὖν ἀπελθὼν πρὸς τὸν Ἀχιλλέα γνωσθῇ, λαβὼν σχῆμα πτωχοῦ, ἀπελθὼν εἰς τὴν Ἑλλάδα, προσῆλθεν αὐτῷ ὡς πένης, ἰάσεως τυχεῖν βουλόμενος· ἐπεπαίδευτο γὰρ καὶ τὴν ἰατρικὴν ὁ Ἀχιλλεύς, ὡς παρὰ Χείρωνι τραφείς. Καὶ οὕτω θεραπευθεὶς μισθὸν τῆς ἰάσεως λέγεται δοῦναι τῷ Ἀχιλλεῖ τὸ καθηγήσασθαι τοῖς Ἕλλησι τῆς ἐπὶ Τροίαν ὁδοῦ. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς πασχόντων. Τινὲς δὲ ἐπὶ τῶν ἀδίκως ἀπολλυμένων, ὡς καὶ ἡ Μυσία τότε ἀδίκως ἔπαθεν ὑπὸ τῶν Ἑλλήνων πρῶτον, ὕστερον δὲ ὑπὸ τῶν ἀστυγειτόνων [ἐν] τῇ τοῦ Τηλέφου ἀπουσίᾳ. AHRTP. Ἀγνοήσαντες Ἕλληνες Τροίαν προσωρμίσθησαν τῇ Μυσίᾳ, ἧς Τήλεφος ἦρχεν, νομίσαντες αὐτὴν εἶναι τὴν Ἀλεξάνδρου, καὶ ἐκάκουν εἰς ὅσον ἐξῆν. Ἐξιὼν οὖν Τήλεφος καὶ τούτοις συρράξας ἔτρωσε μὲν πολλούς, τέτρωται δὲ καὶ αὐτὸς ὑπ' Ἀχιλλέως πρὸς τῷ μηρῷ. Ἐγνωκότων οὖν Ἑλλήνων τὴν πλάνην καὶ ἀποκεχωρηκότων οἴκαδ' ἑκάστου, ἀπῄει Τήλεφος εἰς Δελφούς, τοῦ τραύματος χρησόμενος πέρι. Καὶ ἰατρὸν τοῦ τραύματος ἀνεῖλε τὸν τετρωκότα ὁ Πύθιος· καὶ ὃς πτωχὸν ὑποκριθείς, δεδιὼς μὴ Ἀχιλλεῖ πεφωρᾶσθαι ἂν ἀπῆλθε παρ' Ἀχιλλεῖ ἰάσεως εἵνεκα, ὑπὸ Χείρωνος πάλαι πεπαιδευμένῳ καὶ ταύτην τὴν ἐπιστήμην μετὰ τῶν τακτικῶν. Τυχὼν οὖν ὧν ᾔτει μισθὸν ἀποδίδωσι τούτῳ εἰς Τροίαν ἡγήσασθαι Ἕλλησιν. Εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν κακῶς ἢ ἀδίκως πασχόντων· ἀμφότερα γὰρ ὑφ' Ἑλλήνων ἔπαθον τότε Μυσοί. F.

248, 26. Περιείργασμαι] ματαίως συνεβουλευσάμην. P. Ἐνταῦθα ἐπὶ τῶν ἡμαρτημένων πρῶτον ἑαυτὸν εἴρηκε, καίτοι ἐν τοῖς ἄνω ἐναλλάξας, ὡς ἔφην. Τὸ δὲ περιείργασμαι, περιττῶς καὶ οὐκ ἀναγκαίως παρῄνεσά τε ἐγὼ καὶ ἡ πόλις ἡ πεισθεῖσα μάτην ἐπείσθη. Εἶτα συναγαγὼν τὴν πόλιν καὶ συνάψας τῷ ἁμαρτήματι πάλιν αὐτὴν ἐλευθεροῖ πρὸς εὔνοιαν ἕλκων, καὶ ἑαυτῷ περιτίθησιν ἅπαν τὸ πλημμέλημα. TCV.

248, 28. Εἰ δὲ ἔδει τούτων κωλυτὴν] Ὕστερον ἐφύλαξε τὸ δίκαιον, πολλὰς πρότερον τὰς ἀτοπίας ἐπισωρεύσας. TCV.

249, 2. Καταδουλούμενον] δούλους ποιοῦντα. P.

249, 7. Ἐφεξῆς] κατὰ τάξιν ἐχόμενα ἀλλήλων. P.

249, 11. Βοηδρομιῶνος] Ἰουνίου. P.

249, 13. Προσήγγειλαν] ἐμήνυσαν. P. Ἀντὶ τοῦ ἤδη ἤγγειλαν B.

249, 14. Ἐν τῇ ἐκκλησίᾳ] Σύγκλητος ἐκκλησία λέγεται ἡ γενομένη διά τι ἐξαίφνης κατεπεῖγον· τρεῖς γὰρ ἐκκλησίαι τοῦ μηνὸς γίνονται ὡρισμέναι, ἡ δὲ σύγκλητος οὐχ ὡρισμένη. P.

250, 1. Ὁ ἀποστείλας] ὁ Φίλιππος. P.

Ὁ ἀπεσταλμένος] ὁ Ἀμύντας. P.

250, 3. Εὔβουλος ἔγραψε] Πάλιν προτάττει τὸν Εὔβουλον, ἵνα δείξῃ περιφανῶς ἀδικοῦντα τὸν Φίλιππον, ὡς κατανοῆσαι αὐτοῦ τὰς ἐπιβουλὰς καὶ τὸν Εὔβουλον· καὶ ἑξῆς μνημονεύει τῶν ἄλλων λοιπόν. TCV.

250, 6. Ἐγὼ δ' οὐδὲν περὶ τούτων] Καλῶς τὸ περὶ τούτων, ἵνα μὴ πάντῃ ἑαυτὸν ἀλλοτριώσῃ τοῦ γράφειν. TCV.

250. 9. Βοηδρομιῶνος] Ἰουνίου. P.

250, 10. Ἐχρηματίσαν] τὴν τῶν χρημάτων ἐξέτασιν ἐποίησαν. P.

250, 24. Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τοῦ Φιλίππου] Σηλυμβρίαν ἐπολιόρκει Φίλιππος πόλιν τῶν ἐπὶ Θρᾴκης. Ἔπεμψαν οὖν Ἀθηναῖοι πλοῖα σιτηγήσοντα αὐτοῖς ἐξ Ἑλλησπόντου, Λαομέδοντος ναυαρχοῦντος· καὶ ὑπονοήσας Φίλιππος μὴ ἐπὶ σιτηγίαν ἀφῖχθαι τὰ πλοῖα, ἀλλὰ βοηθήσοντα Σηλυμβριακοῖς, κατέσχεν αὐτά τε καὶ τὸν ναύαρχον, καὶ γέγραφεν Ἀθηναίοις ἐπιστολὴν αἰτιώμενος αὐτοὺς ὅτι βοηθοῖεν Σηλυμβριανοῖς οὐ συμπεριειλημμένοις τῇ εἰρήνῃ, καὶ παρ' αὐτοὺς εἶναι τὸ λελύσθαι τὰς σπονδάς, ἀπειλῶν τε ἀμυνεῖσθαι αὐτοὺς παντὶ σθένει, εἰ μὴ τῶν κατ' αὐτοῦ πραγμάτων πεπαύσονται. Ἐλθόντων δὲ παρ' Ἀθηναίων εἰς αὐτὸν πρέσβεων ἔδωκέ τε τὰ πλοῖα καὶ ἀφῆκε τὸν ναύαρχον. Νῦν οὖν Δημοσθένης, αἰτιωμένου αὐτὸν Αἰσχίνου ὡς αἴτιος ἐγένετο τοῦ πολέμου, δολίως μεταχειρίζεται τὸ πρᾶγμα, λέγων ἑαυτὸν μὴ ποιῆσαι τὸν πόλεμον, διὰ τὸ μὴ δηλῶσαι τὸν Φίλιππον τοῦτο ἐν τῇ ἐπιστολῇ· καίτοι αὐτὸς ἦν ὁ παρακεκινηκὼς Ἀθηναίους εἰς τὸ πολεμεῖν Φιλίππῳ, καὶ λέγων ὡς τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς, καὶ πρὸς ὀργὴν ἐντεῦθεν Ἀθηναίους ἐπαίρων. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει ἐκ τοῦ λόγου τοῦ ἐπιγεγραμμένου πρὸς τὴν τοῦ Φιλίππου ἐπιστολὴν πᾶς τις ἀναγνοὺς εἴσεται καὶ φωράσει τὸ ποικίλον τοῦ ῥήτορος. F. P.

251, 15. Φιλοτιμούμενον] ἴσως φιλοτιμουμένων. P.

251, 21. Προεστηκόσι] δημαγωγοῖς. P.

251, 25. Οὐδαμοῦ Δημοσθένην] Ἀπὸ τοῦ ὀνόματος μὴ κειμένου ἐπὶ τῇ ἐπιστολῇ ἰσχυρίζεται. Ὀνομαστὶ μὲν γὰρ οὐκ ἔγραψεν ὁ Φίλιππος, ὅμως εἰς αὐτὸν τὸν Δημοσθένην αἰνιττόμενος καὶ τοὺς περὶ αὐτόν. ABTP.

252, 2. Ἔγραψα] ἐψηφισάμην. P.

252, 3. Παρεδύετο] ὡς ἐπὶ λῃστοῦ εἶπε τὴν λέξιν. ABTP.

252, 4. Τὴν εἰς Εὔβοιαν] πρεσβείαν δηλονότι. P.

Ἔξοδον] ἔξοδον λέγει ἀντὶ τοῦ στρατιάν. ATP.

252, 5. Πρεσβείαν] ἀντὶ τοῦ στρατιάν. P.

Καὶ τὴν εἰς Ἐρετρίαν] ἔξοδον. P.

252, 7. Τοὺς ἀποστόλους] τὴν ναυτικὴν δύναμιν λέγει. ATCP. Ἤγουν τὰς ἐκπλεύσεις τῶν νεῶν. P.

Καθ' οὓς] δι' ὧν. P.

Ἀδικουμένων] ὑπὸ Φιλίππου. P.

Περιεγένετο] ὑπῆρξεν. P.

Ὀλιγωρήσασι] ἀμελήσασι. P.

Ἐκβέβηκεν] εἰς τέλος ἦλθεν. P.

252, 16. Καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματα] Κατασκευὴ τῶν εἰρημένων καὶ αὔξησις, ἵνα μήτε ὕπτιος ὁ λόγος γίγνηται καὶ ποιήσῃ τὴν πολιτείαν σεμνοτέραν ἐκ τῆς τῶν χρημάτων καταφρονήσεως. TCV.

252, 19. Ταῦθ' ὑπάρχειν] τὰ πολίσματα ὑπάρχειν καθ' ὑμῶν. P.

252, 22. Καὶ πάντων ἥκιστα σὺ] δηλονότι μάλιστα πάντων σύ. P.

252, 24. Κατέλυον] ἀνεπαύοντο. P.

252, 25. Προὐξένεις] προεστάτευες, πρόξενος, ἀνάδοχος ὑπῆρχες. P.

252, 27. Σοὶ δὲ ἦσαν φίλοι] ὥστ' ἐφάνη καὶ κατὰ τοῦτο τῇ θρεψαμένῃ πολέμιος. TCV.

252, 28. Οὐ τοίνυν ἐπράχθη τούτων οὐδὲν] οὐ τοίνυν διεφθάρην ὑπὸ χρημάτων ἐγώ· ἵνα ἀκολούθως ἐπαγάγῃ, Ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας. Εἶτα περιτροπῇ δείκνυσι τὰ ἴδια τῶν δωροδοκούντων, ὡς βοῶσι μὲν ἔχοντες καὶ συναγωνίζονται τῷ δεδωκότι—τοῦτο δὲ Αἰσχίνης ποιεῖ—, παύσονται δὲ οὐδέποτε ἄλλως, εἰ μὴ ταῖς κολάσεσι. TCV.

Τούτων] ὧν ἐπρέσβευσαν. P.

253, 6. Καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ] Ἴσως οὐδενὸς ἐπισημηναμένου οὐδὲ γραψαμένου ἔλαθε κυρωθὲν τοῦ Ἀριστονίκου τὸ ψήφισμα. Οἱ δέ φασιν ὅτι, ξενικοῦ στεφάνου πεμφθέντος αὐτῷ διὰ τῶν σεσωσμένων, ἔγραψεν Ἀριστόνικος ἐπιτρέψαι καὶ τὸν δῆμον ἀναγορευθῆναι αὐτὸν ἐν τῷ θεάτρῳ· διὸ καὶ λέγει, στεφανωσάντων τοίνυν ἐμὲ καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γνωσθέντος, ὡς καὶ ἑτέρου πρὸ Ἀριστονίκου τὸ αὐτὸ γράψαντος. Ἔοικε δὲ τοῦτο σόφισμα εἶναι· εἰ γὰρ εἶχεν, ἀνέγνω ἄν· ἀλλ' ἔρριπται ἁπλῶς. Οὐ μὴν οὐδὲ ληπτέον τὸ δεύτερον κήρυγμα τὸ ὑπὸ Κτησιφῶντος. Μετὰ μικρὸν γὰρ ἐρεῖ καὶ περὶ ἄλλων αὐτῷ γραφεισῶν δωρεῶν ὑπό τε Ὑπερίδου καὶ Δημομέλους. TCV.

254, 1. Ἔστιν οὖν ὅστις ὑμῶν οἶδεν] Ἀπὸ τοῦ παρεληλυθότος κατασκευάζει τὸ νῦν. Ἐπὶ γὰρ τοῦ νῦν στεφάνου εἶπεν ὁ Αἰσχίνης ὅτι ὀφλήσει πολλὴν αἰσχύνην ἡ πόλις, εἰ τοῦτον οὐδὲν ἔχοντα χρηστόν, πάμπολλα δὲ ἡμαρτηκότα, τιμήσειεν. Ἀλλ' ἐπειδὴ τοῦτο ἄδηλον, ἀπὸ τῶν φθασάντων καὶ ἤδη γενομένων λαμβάνει τὴν πίστιν. Εἰ γὰρ εἶδεν ἐπ' ἐκείνων τὴν αἰσχύνην συμβᾶσαν, ἐλπιζέτω καὶ νῦν· καὶ γάρ πως εἰκὸς ἦν μᾶλλον τότε γενέσθαι, ὅτε καὶ νεώτερα ὑπῆρχε τὰ πράγματα, καὶ ἡ βάσανος ὑπ' αὐτῶν ἀκριβεστέρα πως γίγνεται. TCV.

254, 3. Χλευασμὸν] εἶδος εἰρωνείας. P.

254, 6. Ἐάν τε καλῶς ἔχῃ] καὶ ὦσι συμφέροντα. P.

254, 7. Ἐάν θ' ὡς ἑτέρως] ἐπιβλαβῆ. P.

254, 9. Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων] Συλλογίζεται οὕτως· εἰ τοίνυν, φησίν, οὐδὲν ἐπηκολούθησεν ὄνειδος τῇ πόλει ἐκ τῆς γεγραμμένης τιμῆς ὑπὸ τοῦ Ἀριστονίκου, δέδεικται καὶ ὡμολόγηται ὡς ἅπας ὁ πρὸ τοῦ ψηφίσματος τοῦ βίου μου χρόνος πάσης διαβολῆς ἐκαθάρευσε, καὶ φανερῶς ἔνδοξα πεπολίτευμαι, καὶ ἡ μαρτυρία τῶν ἔργων σαφεστέρα. TCV.

254, 10. Ἀνωμολόγημαι] μία ἐστὶ λέξις, ἀντὶ τοῦ ἀνακεκήρυγμαι. ATP.

254, 12 Καταπραχθῆναι] εἰς τέλος ἀχθῆναι. P.

254, 22. Ἐπὶ Θρᾴκης] τὸν τόπον. P.

254, 23. Τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν] Αὔξει κατὰ καιρὸν τοὺς Βυζαντίους, ἐπειδὴ μέλλει συνάπτειν αὐτοὺς τοῖς Ἀθηναίοις. Ἱκέτης γέγονε τῶν Βυζαντίων διὰ τὴν χρείαν ὁ Φίλιππος, ἄνευ δαπάνης καὶ ὅπλων ἀνύσειν προσδοκήσας τὸ σπουδαζόμενον. TCV.

254, 26. Λέγοντες ἀληθῆ] Μονονοὺ δικαστὴς μέσος τῶν Βυζαντίων καὶ τοῦ Φιλίππου γέγονε, μετὰ τὴν ἀμφισβήτησιν διδοὺς τοῖς Βυζαντίοις ὡς νικῶσι τὴν ψῆφον. Συναγωνίζεται δὲ εἰκότως αὐτοῖς, ἐπειδὴ προσέκρουσαν τοῖς Ἀθηναίοις ἀποστάντες πρότερον. TCV.

Χαρακώματα] στήλας. P.

254, 29. Οὐκέτ' ἐρωτήσω] Ἐνταῦθα οὐκέτ' ἐπάγει τὴν ἐρώτησιν, φοβούμενος μή τις εἴπῃ ὅτι οὐκ ἐχρῆν. Λελύπηνται γὰρ εἰς αὐτοὺς ὡς ἀποστάντας. Πολλάκις γὰρ εἴπομεν ὅτι εἰ μὴ πάνυ θαρσεῖ ὁ ῥήτωρ, ὡς οὐκ ἀποκρινεῖταί τις εἰ μὴ ὃ βούλεται, οὐ χρῆται τῷ σχήματι. Ἐνταῦθα δὲ τὸ ἀμφίβολον ὡς ὡμολογούμενον φθάσας εἴρηκεν. TCV.

255, 1. Τίς ἦν ὁ βοηθήσας] περὶ ἑαυτοῦ ἐρωτᾷ. B.

255, 3. Ἀλλοτριωθῆναι] ἀφ' ἡμῶν. P.

Ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι] εὐκαίρως Ὦ ἄνδρες Ἀθηναῖοι εἶπε, καὶ οὐχὶ Ὦ δικασταί, καίτοι πρὸς τοὺς δικαστὰς διαλεγόμενος· ἐδεῖτο γὰρ τῆς ἀξίας καὶ φιλανθρωπίας ἐνταῦθα τῶν Ἀθηναίων εἰς τὸ σεσῶσθαι τοὺς κινδυνεύοντας. Εἶτα ἐπειδὴ τὸ ὑμεῖς ἔμφασιν ἔχει τῶν καθημένων, πρὸς οὓς ὁ λόγος, ἀξιοπίστως ἅμα καὶ συνετῶς ἐν αὐτοῖς εἶναι τὴν ὅλην πόλιν διϊσχυρίζεται. TCV.

255, 8. Δεῖ μαθεῖν] ὑμᾶς δηλονότι. P.

255, 9. Ἐνστὰς πόλεμος] καθ' ἡμῶν. P.

255, 12. Τῆς νῦν εἰρήνης] τῆς ἐπὶ Ἀλεξάνδρου. Φησὶ γάρ, οὐκ ἔστι μᾶλλον εἰρήνη, ἀλλὰ δουλεία· ἐσπείσατο γὰρ καὶ αὐτὸς πρὸς αὐτοὺς ὥσπερ ὁ πατήρ, ὥστε αὐτοὺς αὐτονόμους εἶναι καὶ ἀφορολογήτους, ὅμως μέντοι ὑπακούειν αὐτῷ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. AHRTCV.

Ἣν] ἥντινα εἰρήνην τηροῦσι μὴ συγχωροῦντες ἡμᾶς Ἀλεξάνδρῳ πολεμῆσαι διὰ τὰς μελλούσας ἐλπίδας. Ἐλπίζουσι γὰρ ἐπανελθόντα τὸν Ἀλέξανδρον ἀπὸ τῶν Περσῶν μεγάλα αὐτοῖς χαρίζεσθαι ὡς προδόταις. AHRTCV.

255, 16. Ὧν αὐτοὶ προῄρηνται] τῆς δουλείας δηλονότι, AP.

255, 21. Ῥήτραν] γνώμην. P.

Παρεστηκότι] ἤγουν ἐνεστῶτι. P.

Ἀναστάσει] ἀναστατώσει P.

Δαίοντος] δηοῦντος καὶ ἀφανίζοντος. P.

256, 2. Ἐξείλετο ἀμὲ] ἐξήγαγεν ἡμᾶς. P.

Ἀποκατέστασε] εἰς τὴν προτέραν κατάστασιν ἐπανήγαγε. P.

Ἐπιγαμίαν] συγγενικήν, γνησίαν, ὥσπερ ἀπὸ γάμου συνεδέθησαν· γνησίαν, ὡσπερεὶ ἦσαν ὁμόφυλοι. P.

Ἀνακηρῦξαι] ἀνακήρυξιν δοῦναι τῷ στεφάνῳ. P.

Ἐπιστέωνται] γινώσκωσιν. P.

Εὐχαριστίαν] ἀντίδοσιν. P.

Ἱδρύονται] καθιδρύουσιν· ἤγουν θεοποιοῦσιν αὐτοὺς Ἀθηναίους. P.

257, 7. Ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία] ἡ βουλὴ ἡ ἐμὴ καὶ ἡ παρὰ τῆς πόλεως πρᾶξις. P. Παρατήρει ὅπως πανταχῆ τὴν προαίρεσιν καὶ τὴν ἐγχείρησιν ἐθίζει αὐτούς, ἀλλ' οὐ τὸ τέλος σκοπεῖν, ἐπειδὴ τοῦτο ἄγειν ἐπὶ τὴν τύχην βούλεται, ὡς οὐκ ἂν ὑπεύθυνος. TCV.

257, 11. Πολιορκῶν] διὰ τὸ μὴ ὑπακοῦσαι αὐτοὺς σὺν ἐκείνῳ πολεμεῖν ἡμῖν. P.

257, 16. Ἐξ ὧν] ἐκ τοῦ δεηθῆναι τοὺς Βυζαντίους, παριδόντες τὰ πταίσματα. P.

257, 20. Σύμβουλον λέγω καὶ ῥήτορα] Ἴσως ἡ διαστολὴ πρὸς τοὺς στρατηγούς. TCV.

257, 21. Πλὴν δι' ἐμὲ] ἀντὶ τοῦ, εἰ μὴ δι' ἐμέ. P.

Ἵνα τοίνυν καὶ τὰς βλασφημίας] Ἐπειδὴ δυστυχοῦντας ἀνθρώπους διέβαλε προλύσας ἱκανῶς διὰ τῶν προειρημένων, τὴν ἀντίθεσιν ὁ ῥήτωρ ἔθηκε νῦν φανερῶς. TCV.

257, 23. Ἐπεισήσατο] Αἰσχίνης δηλονότι. P.

Συκοφαντίας οὔσας] οὐ μόνον τῷ εἶναι ψευδεῖς. Λέγεται γὰρ συκοφάντης οὐχ ὁ ψευδόμενος μόνον, ἀλλὰ καὶ ὁ πολυπραγμονῶν τὰ μὴ προσήκοντα καὶ λέγων πονηρά. TCV.

257, 25, Τοῦτο] ὅτι ψευδεῖς ἦσαν. P.

257, 28. Κέχρημαι] ἀντὶ τοῦ ἐκεχρήμην. P.

Χρήσασθαι] βοηθῆσαι αὐτοῖς. P.

257, 29. Τῶν καθ' ὑμᾶς] τῶν ἐφ' ὑμῶν, ἐν τῷ χρόνῳ ὑμῶν. P.

258, 1. Καὶ ταῦτ' ἐν βραχέσι] ῥήμασι δηλονότι. P. Διὰ τὸ ὀλιγωρεῖν τὸν ἀκροώμενον ψυχαγωγεῖν βούλεται διὰ παραδειγμάτων σεμνῶν καὶ κατορθωμάτων λαμπρῶν καὶ τὸ καθ' αὑτὸν ἀπολύσασθαι καὶ δεῖξαι ὡς διὰ τὸ ἔθος ἡ πόλις, οὐ δι' ἐμέ, βεβοήθηκε. Καὶ γὰρ ὀφείλει καὶ ἕκαστος ἰδίᾳ καὶ ἡ πόλις ὅλη τὰ λοιπὰ πράττειν εἰς ζῆλον τῶν παλαιοτέρων. TCV.

258, 3. Τὰ λοιπὰ] τὰ ἔμπροσθεν. P.

258, 4. Ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Καίτοι παλαιότερα τῶν νῦν ἐστι τὰ λεγόμενα, ἀλλὰ δῆλον ὡς πρὸς μίαν πόλιν διαλέγεται· διὸ καὶ εἶπεν ὦ ἄνδρες Ἀθηναῖοι, τὸ γένος ὅλον δηλῶν. TCV.

258, 8. Οὐ ναῦς οὐ τείχη] Ἦσαν γὰρ οἱ Λακεδαιμόνιοι λαβόντες αὐτῶν τὰς ναῦς ἐν Αἰγὸς ποταμοῖς διὰ Λυσάνδρου καὶ τὰ τείχη αὐτῶν κατασκάψαντες. AHRTCP. Ἀπογυμνοῖ αὐτὴν πάσης παρασκευῆς καὶ δυνάμεως, ἵνα πλέον δυσωπήσῃ τὸν κατήγορον. Εἰ γάρ, ὅτε μηδεμίαν ἐκέκτητο δύναμιν, ἀντεῖχε πρὸς τὴν τοσαύτην δύναμιν φιλανθρωπίας ἕνεκεν, πῶς, ὅτε οὐκ ἀσθενὴς ἦν, ἀλλὰ καὶ σφόδρα ἐπίσημος καὶ δυνατή, προδώσειν τοὺς Ἕλληνας ἔμελλεν; TCV.

258, 10. Οὐ πολλαῖς δὲ] ἵνα μὴ ὡς αὐξηθείσης τῆς δυνάμεως λοιπὸν ἐλαττώσῃ τὸ θαῦμα. Αὕτη δέ ἐστιν ἡ μεγάλη μάχη ὀνομαζομένη· καὶ ἡττήθησαν Ἀθηναῖοι. Ἀλλὰ προεθίζει τοὺς ἀκροατάς, ὅτι καί ποτε τὴν ἧτταν ἐστέρξατε ὑπὲρ τῶν ἀδικουμένων πολεμήσαντες. Ἐξαρκεῖ δὲ τὸ ἐξήλθετε. TCV.

258, 11. Τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων] Νῦν ὅτε περὶ τοῦ μὴ δεῖν μνησικακεῖν ἐμνημόνευσεν, εἶπε τῶν τότε Ἀθηναίων, καίτοι γε τοῖς νῦν αὐτός, ὡς εἴπομεν, λογισάμενος. TCV.

258, 14. Τοῦτο] τὸ μνησικακῆσαι. P.

258, 15. Εὐεργετῶν] μὴ ἐχθρῶν. P.

258, 17. Ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς] ἵνα μὴ δοκῶσιν ὡς μισοῦντες ἀμυνόμενοι Λακεδαιμονίους ὄντας ἐχθροὺς πεποιῆσθαι πόλεμον. Τὸ δὲ ἤθελον, οἷον οὐ Δημοσθένους αὐτοὺς ἐρεθίζοντος. Οὐ λόγος, φησίν, ἐξῆγεν ἡμέτερος, ἀλλὰ ἡ φύσις ἐκίνει πρὸς τὴν παράταξιν. Εἶτα ἐπικρίνει καὶ βεβαιοῖ, τῶν πατέρων τὴν γνώμην ἀποδεχόμενος, καὶ τοῖς κοινοῖς λογισμοῖς κυροῖ τὸ πολίτευμα,

ὥστε δοκεῖν μὲν παρὰ τοῖς Ἀθηναίοις δημηγορεῖν, ἅπασι δὲ συμβουλεύειν ἀνθρώποις τὰ χρήσιμα. TCV.

258, 18. Ὀρθῶς] δικαίως καὶ συμφερόντως. P.

258, 20. Κἂν ἐν οἰκίσκῳ τις αὐτὸν] Φασὶ τὸν ὀρνέων οἶκον οὕτω καλεῖσθαι παρὰ Ἀττικοῖς. Λέγει οὖν ὅτι κἂν μεταβάλλῃ τὴν δίαιταν, κἂν ὄρνις εἶναι νομίζηται, ἀποθανεῖται πάντως καὶ μὴ δεικνὺς ἑαυτὸν, ἀλλ' οὕτω κρυπτόμενος. TCV.

258, 21. Καθείρξας] περικλείσας. P.

Ἀγαθοὺς] ἀνδρείους. P.

258, 22. Ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ] πάλιν τὴν ἐπιχείρησιν ἐπαινεῖ, τὸ δὲ πέρας οὐκ ἀναδέχεται. TCV.

Καλοῖς] ἀγαθοῖς πράγμασι. P.

Τὴν ἀγαθὴν προβαλλομένους] ὥσπερ πρόβολον. TCV.

Πρὸ ὀμμάτων ἔχοντας τὸ νικᾶν. P.

258, 25. Ταῦθ' ὑμῶν οἱ πρεσβύτατοι] Τί λέγω τοὺς πάλαι προγόνους; φησί· καὶ ὑμῶν οἱ ζῶντες πρεσβύτεροι ταύτην ἔσχουν τὴν γνώμην, οἳ καὶ τῶν Λακεδαιμονίων κινδυνευόντων ἐφείσαντο, ἡνίκα οἱ κρατήσαντες αὐτῶν ἐν Λεύκτροις διαφθείρειν αὐτοὺς ἐσπούδαζον. Οὐκοῦν ἐντεῦθεν ἐξενέγκατε νόμον, ὡς εὐτυχοῦσι μὲν ὀργίζεσθαι τοῖς ἐχθροῖς, ἐπταικόσι δὲ ἐπαμύνειν. TCV.

259, 10. Ὑπὸ Θεμίσωνος] Θεμίσων τις καὶ Θεόδωρος Εὐβοεῖς, ἐπιθέμενοι Ὠρωπῷ χωρίῳ Ἀθηναίων, κειμένῳ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ἔλαβον αὐτό. Ὡς δὲ Ἀθηναῖοι ἔμελλον πόλεμον συνάψειν, ἔδοξε δίκῃ μᾶλλον κρίνεσθαι. Τὸν δὲ μέχρι τῆς κρίσεως χρόνον Θηβαῖοι ἔφασαν αὐτοὶ λαβόντες φυλάξειν τὸ χωρίον. Ὡς δὲ ἔλαβον, οὐδὲ ἑτέροις ἀπέδοσαν, μέχρις οὗ Φίλιππος ὕστερον σπεισάμενος Ἀθηναίοις ἐν τῷ ἀναχωρεῖν ἐπὶ Μακεδονίαν ἐχαρίσατο αὐτοῖς παρὰ Θηβαίων λαβών. AHRTFV.

259, 12. Τῶν ἐθελόντων] οὐ χειροτονησάσης τῆς πόλεως τριηράρχους, ἀλλὰ τῶν ἐθελόντων γενομένων τριηραρχῶν. P.

259, 15. Τὴν νῆσον] τὴν Εὔβοιαν. P.

259, 16. Καὶ τῶν πόλεων] τῆς Εὐβοίας. P.

259, 17. Αὐτοῖς τοῖς ἐξημαρτηκόσιν] Εὐβοεῦσι. P.

259, 18. Μηδὲν ὧν ἠδίκησθε] Νομοθετεῖ πάλιν ὁ ῥήτωρ τὰ κάλλιστα φιλοσοφῶν· οὐδὲ γὰρ ἂν ἔχοι λόγον ἀδικεῖν τοὺς πιστεύσαντας. TCV.

259, 20. Ἐξόδους] ἐκστρατείας. P.

259, 23. Τεθεωρηκὼς] ἐννενοηκώς. P.

259, 26. Συμβουλῆς οὔσης] τοῦ σωθῆναι τοὺς Βυζαντίους. P.

Τί ἔμελλον κελεύσειν] παρακινήσειν. P. Τὸ ἀξίωμα τοῦ συμβούλου διὰ τοῦ κελεύειν ἐδήλωσεν, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς βουλῆς οὔσης· οἷον, ἐν οἷς ἐδοκοῦμεν ἄλλοις βοηθεῖν, καὶ τὸ λυσιτελὲς ἠνύετο τῆς πόλεως ἤδη, λέγω τὸ συμμαχεῖν Βυζαντίοις· ἐδόκει γὰρ τῷ φαινομένῳ μὲν Βυζαντίους ὠφελεῖν, ὠφέλει δὲ καὶ τὴν πόλιν διὰ τὴν σιτοπομπίαν. TCV.

259, 28. Σώζεσθαι] Βυζαντίους. P.

260, 5. Οὐκ ἐξῆν] ἄδειαν εἴχετε. P.

260, 6. Βούλομαι τοίνυν ἐπανελθεῖν] Τοῖς εἰρημένοις ὑπαιτίοις οὖσιν ἀναμῖξαι πάλιν τὴν μνήμην τῶν ἀγαθῶν ἐπείγεται, ἵνα στείλῃ [διὰ] τῶν ἐπαίνων τὴν μέμψιν. TCV.

267, 7. Τούτων ἑξῆς] ἐχόμενα τῶν προειρημένων. P.

260, 9. Ὁρῶν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν] Ὅρα τοῦ φροντίζοντος τὴν διάνοιαν. Τὸ καταλυόμενον δὲ, τὸ κατὰ μικρὸν ἀφανίζεσθαι μέλλον. TCV.

Τὸ ναυτικὸν] τάγμα. P.

Ἀναλωμάτων] δαπανημάτων. P.

Τὰ ὄντα] τὰ περιόντα αὐτοῖς. P.

260, 14. Ἔθηκα νόμον] ἐνομοθέτησα. P. Οὐ γὰρ ἐπείθοντο ψιλοῖς λόγοις οἱ πλούσιοι. Εἶτα, ἐπειδὴ τὸ ἀναγκάζειν ὕποπτον ἦν, ἐπήγαγεν εὐθὺς τὰ δίκαια ποιεῖν. Δεῖ γὰρ καὶ ἄκοντας ἐμβάλλειν εἰς τὰ καλὰ τοὺς οἰκείους. Ἀνεπαχθῶς δὲ τὸν κατὰ τῶν πλουσίων μετεχειρίσατο λόγον, μεταλήψει τῶν ὀνομάτων εἰς τὸ χρήσιμον τὴν ζωὴν μεταλλάξας. TCV.

260, 17. Παρασκευὰς] τὰς πολεμικὰς ἑτοιμασίας. P.

260, 18. Καὶ γραφεὶς] κατηγορηθεὶς παρανόμων. P.

260, 24. Ὑπωμοσίᾳ] ὑπερθέσει, σκήψει, προφάσει. Ἔστι γὰρ ὑπωμοσία τὸ ὑπερτίθεσθαι δίκην, ἤγουν ἀναβάλλεσθαι, συνωμοσία δὲ τὸ κατά τινων βουλεύσασθαι καὶ ἀλλήλους ὅρκοις συνδεῖσθαι μὴ ἀποστῆναι τοῦ ἀτόπου βουλεύματος, μέχρις ἂν τοῦτο τελεσθείη. P.

260, 25. Ὀκνήσαιμι] ἀναβαλοίμην. P.

260, 28. Λειτουργεῖν] συνεισφέρειν. P.

261, 1. Γιγνόμενον] ὀφειλόμενον. P.

Τιθέναι] κατατιθέναι, διδόναι. P.

Δυοῖν] νηῶν. P.

Κατὰ τὸν ἐμὸν] ὡς ἐμοὶ δοκεῖ. P.

Προτέρου] τοῦ νόμου. P.

Συντέλειαι] συγκροτήσεις. P.

Ἐπεχειροτόνησεν] ἐπεψηφίσατο. Ἐπὶ χειροτονίᾳ ἡ κατάστασις τῆς βουλῆς. P.

261, 20. Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον] κατ' εἰρωνείαν. T. Ἤθει καὶ ἐν εἰρωνείᾳ· τὸν γράψαντα γάρ πως κατέλεγεν. TCV.

261, 24. Συντελειῶν] συνδόσεων. P.

262, 3. Πλειόνων] τῶν δέκα ταλάντων. P.

Ἀποτετιμημένη ᾖ] ἤγουν ἔχῃ ἐκτίμησιν. P.

Ἀναλογισμὸν] λογαριασμόν. P.

Λειτουργία] συγκρότησις. P

262, 9. Ἆρά γε μικρὰ βοηθῆσαι τοῖς πένησιν] οὐχ ἁπλῶς πένησιν, ἀλλ' ὑμῶν. TCV.

262, 11. Οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖναι] Ἀνακεφαλαιοῦται τὴν αὔξησιν προστιθείς, οὐ κατὰ τοῦτο μόνον αὐχῶ, ὅτι μὴ προὔδωκα τὴν γραφήν, ἀλλ' ὅτι καὶ αὐτὸς ὁ νόμος ἐπῃνέθη τῇ πείρᾳ. Ἔστι γὰρ ἀπάτη νικᾶν μέν, εἶναι δὲ ἀσύμφορον. Ὅθεν τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν εἰς συμμαχίαν καλῶν τὰ ἑξῆς ἐπάγει κατὰ ἀναίρεσιν, οὐχ ἐν Μουνυχίᾳ ἐκαθέζετο. Σημαίνει δ' ὅτι ἱκέτης ἦν ὁ τριήραρχος. Οὐ δεσμώτην ἑώρων οἱ ἄρχοντες οὗτοι, οἱ τῶν Ἀθηναίων, ἀπόστολοι καλούμενοι. TCV.

Καθυφεῖναι] ἐνδοῦναι πρὸς τὰς τῶν πλουσίων αἰτήσεις. P.

Γραφεὶς] κατηγορηθείς. P.

Πεῖραν] αἴσθησιν τοῦ συμφέροντος. P.

Πάντα γὰρ τὸν πόλεμον] κατὰ πάντα τὸν καιρὸν τοῦ πολέμου. P.

262, 17. Ἐν Μουνυχίᾳ] Μουνυχία τόπος περὶ τὸν Πειραιᾶ, ἔνθα ἐστὶν ἱερὸν Μουνυχίας Ἀρτέμιδος· κἀκεῖ ἔφευγον οἵτινες τῶν τριηράρχων ἠδικοῦντο, ἢ ναῦται, ἤ τινες τῶν ἐξεταζομένων ἐν τῷ Πειραιεῖ. Ἐκλήθη δὲ Μουνυχία, ὥς φησιν ὁ Διόδωρος, παραφέρων τὰ Ἑλλανίκου, λέγων ὡς ὅτι Θρᾷκές ποτε στρατεύσαντες κατὰ τῶν οἰκούντων τὸν Μινύειον Ὀρχομενὸν τὸν τῆς Βοιωτίας ἐξέβαλον αὐτοὺς

ἐκεῖθεν· οἱ δὲ ἐξαναστάντες ἦλθον εἰς Ἀθήνας ἐπὶ Μουνύχου βασιλέως· ὁ δὲ ἐπέτρεψεν αὐτοῖς οἰκῆσαι τὸν τόπον τοῦτον, τὴν Μουνυχίαν, ὅστις οὕτως ὠνομάσθη παρ' αὐτῶν πρὸς τιμὴν τοῦ βασιλέως. AHRFTCV.

262, 18. Ἀποστολέων] Ἀποστολεῖς ὄνομα ἦν ἀρχῆς παρὰ τοῖς Ἀθηναίοις, ἔργον ἔχουσα τὸ φροντίζειν τῆς ναυτικῆς δυνάμεως πρὸς τὸ ταχέως ἐξελθεῖν. AHRTCP.

262, 20. Οὔτ' αὐτοῦ ἀπελείφθη] ἐν τῷ λιμένι ἀνεπισκεύαστος. P.

Ἀπόρων] πενήτων. P.

Εὐπόρους] πλουσίους. P.

Μετήνεγκα] Ἡ λέξις δηλοῖ τὸν ἀνεξίκακον. TCV.

Δέοντα] συμφέροντα. P.

262, 29. Βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες] Ἀποτείνεται πρὸς τὸν Αἰσχίνην διὰ φθόνον τοῦ στεφάνου. TCV. Βάσκανον δὲ, φιλαίτιον, μεμψίμοιρον. P.

263, 8. Ἡγοῦμαι τοίνυν λοιπὸν] Ὅτι κατὰ νόμον ἐν θεάτρῳ γενέσθαι τὸ κήρυγμα εἴρηκε, καὶ ὅπως οὐχ ὑπεύθυνον ἔγραψέ με στεφανοῦσθαι. Ἐλέγομεν [δὲ] ὅτι τὸ δίκαιον καὶ τὴν ἐξέτασιν τῆς πολιτείας εἰς δύο διελὼν καὶ μέσον τάξας τὸ νόμιμον οὕτω πεποίηκε τὴν διοίκησιν. TCV. Ἕως ὧδε τὰ περὶ τῆς πολιτείας· ἐνταῦθα δὲ εἰσβάλλει εἰς τὸν περὶ τῶν ὑπευθύνων νόμον, καὶ μετὰ οὐ πολὺ πάλιν ἐπανελεύσεται περὶ τῶν πολιτειῶν. P.

Λόγους] ἀποδείξεις. P.

Περὶ τῶν παραγεγραμμένων νόμων] νόθων νόμων, ὧν εἰσῆγεν Αἰσχίνης. P. Παρ' οὓς παρέγραψε τὸ ψήφισμα, σημειωσάμενος ὅτι παρὰ τούτους τοὺς νόμους ἐγράφη τὸ ψήφισμα. TCV.

Συνεῖναι] συνιέναι τοὺς πολλοὺς αὐτῶν ἀπ' ἐκείνων. P.

Ἁπλῶς] ἀπεριέργως. P.

263, 27. Ὧν μέντοι γε] Τὸ νόμιμον τοῦτο λύει τῷ ῥητῷ καὶ τῇ διανοίᾳ. Ἐκείνου γὰρ λέγοντος ὅτι ὁ νόμος οὐκ ἐᾷ τὸν ὑπεύθυνον στεφανοῦν, οὗτος τῇ διανοίᾳ κέχρηται· ἀλλ' οὐκ ἐν τῷ τὰ ἐμαυτοῦ ἀναλίσκειν, ἃ δέδωκα τῷ δήμῳ· ἐν τῇ τειχοποιίᾳ γὰρ ἐπέδωκεν, ὡς ἔγνωμεν. ARFTCP.

Ἐπαγγειλάμενος] ὑποσχόμενος. P.

264, 6. Τούτους] τοὺς συκοφάντας τε καὶ τοὺς δόντας P.

264, 10. Ἐπέδωκα] ἐπένειμα. P.

264, 11. Ἐπήνεσεν αὐτόν φησιν ἡ βουλὴ ὑπεύθυνον ὄντα] Τοῦτο ὡς ἀπὸ Αἰσχίνου λέγοντος ὅτι ἀπατηθεῖσα ἡ βουλὴ ὑπ' αὐτοῦ ἐπήνεσεν αὐτὸν καὶ ἐστεφάνωσεν ὑπεύθυνον ὄντα. ARTP. Ἀντὶ τοῦ εἰπεῖν, ὁ Κτησιφῶν, ὑποσημαίνει τὴν βουλὴν ὡς ἐπαινέσασαν ἤδη, ἵνα φαίνηται τῆς βουλῆς, οὐ Κτησιφῶντος, κατηγορῶν. TCV.

Οὐ περὶ τούτων γε οὐδενὸς] μὴ κατηγόρει, φησὶν, ἀδίκως, μηδὲ συκοφάντει τὴν εἰρήνην. Οὐ γὰρ οὗτος, ὡς σὺ λέγεις, ἐν οἷς εἰμὶ ὑπεύθυνος, ἐπήνεσεν, ἀλλὰ δι' ἅπερ ἐπέδωκα, εὐκαίρως ἐπήνεγκε τὸ, ὦ συκοφάντα. TCV.

264, 13. Ἀλλὰ καὶ τειχοποιὸς ἦσθά φησι] Καὶ τοῦτο ὡς ἀπὸ Αἰσχίνου. ΛTP. Τοῦτο μὲν εἰ συνῆπτο τῷ ἄνω τῷ περὶ τῶν θεωρικῶν, ἅμα ταῖς δύο ἀρχαῖς αὐτὸν ἡ ἀντίθεσις ἔνοχον ὄντα ἐδείκνυε, λέγουσα ὅτι κατὰ ταὐτὸν καὶ τοῖς θεωρικοῖς ὑπεύθυνον ὄντα καὶ τῇ κατασκευῇ τοῦ τείχους ἔγραψε τιμηθῆναι, ἰσχυρά πως ἐφαίνετο σφόδρα· καὶ περὶ τὴν ἀναίρεσιν ἠποροῦμεν. Νῦν δὲ τὸ ἰσχυρὸν διαπαίξας τὸ περὶ τῶν θεωρικῶν, καὶ τῷ τάχει τὴν ἀπάτην ὑποκλέψας, ὡς ἐκ περιουσίας εἰσάγει ληροῦντα περὶ τούτων τὸν Αἰσχίνην, καὶ λέγοντα, τειχοποιὸς ἦσθα, ὅπου μάλιστα ἡ προλαβοῦσα λύσις ἀκόλουθος ἦν, ἐν οἷς ἔλεγεν, ἀλλ' ἐφ' οἷς ἐπέδωκα. Διὸ καὶ φιλοτιμεῖται διοριζόμενος. TCV.

264, 22. Πρῶτον μὲν Ναυσικλῆς] Ἑτέρα τις ἐπαγωγὴ τῆς ἀκροάσεως. Ὡς γὰρ τοῦ Αἰσχίνου λέγοντος ὅτι οὐκ ἔξεστι τὸν ὄντα ἐν ἀρχῇ φιλοτιμεῖσθαι τὰ ἑαυτοῦ καὶ χαρίζεσθαι, οὕτως ἐπάγει τὰ παραδείγματα. Εἰκὸς δὲ ἦν μετὰ τὸ δοῦναι τὰς εὐθύνας στεφανωθῆναι αὐτοὺς, ἀλλ' ἀορίστως προῆκται. TCV.

264, 25. Εἶθ' οὗτος Νεοπτόλεμος] Οἰκειότερον τοῦτο πρὸς αὐτὸν τὸ παράδειγμα. Καὶ γάρ τοι καὶ τελευταῖόν ἐστιν. TCV.

264, 27. Σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε] Μετὰ τὴν ἀπόδειξιν εὐλόγως σχετλιάζει, τοῖς κοινοῖς λογισμοῖς λοιπὸν χρώμενος. Ἐπειδὴ ἄρχω τινὰ ἀρχὴν, ἀξιοῖς ἐμὲ δοῦλον ποιεῖν, ὡς οὐ δέον τοῖς ἐμοῖς χρῆσθαι ὡς βούλομαι. Καὶ οὐχ ἁπλῶς διδόναι τὰ ἑαυτοῦ εἰπὼν ἀπηλλάγη, ἀλλὰ διδόναι τῇ πόλει προσέθηκεν, ὀνόματι τῆς πατρίδος τὴν ἀτοπίαν συναύξων. TCV.

265, 10. Τοῖς κατοικοῦσιν] Ἀθηναίοις. P.

265, 18. Ὁ ἐπὶ τῶν ὁπλιτῶν] ὁ ἐπιστάτης τῶν ὁπλιτῶν. P.

265, 20. Ὁ ἐπὶ τῶν ἱππέων] ὁ τοῦ ἱππικοῦ ἐπιστάτης. P.

266, 5. Ἐπέδωκα; ἐπαινοῦμαι διὰ ταῦτα] Ἐλέγχει αὐτὸν ὡς ἀγνώμονα καὶ ψευδόμενον. Οὐκοῦν οὐδ' ἐγὼ εὐθύνας ἀπαιτεῖσθαι δίκαιός εἰμι ὧν ἐχαρισάμην, ἀλλὰ τιμᾶσθαι· φυλάττεσθαι γὰρ ἐπὶ πάντων προσήκει τὸ αὐτὸ δίκαιον. Ποῖον τοῦτο; ἄκουε καὶ μάνθανε; Ἐπέδωκα; Ἐπαινοῦμαι τῆς ἐπιδόσεως χάριν. Ἦρξά τινα ἀρχήν; εἶτα δέον εἰπεῖν ὡς ἐπὶ τοῦ προτέρου, Δίδωμι τὰς εὐθύνας τούτων, ἐνήλλαξε τὸν χρόνον, Καὶ δέδωκα εὐθύνας ἐκείνων· ὥς τινας ὑπολαβεῖν ἐντεῦθεν, ὡς μεταξὺ τῆς γραφῆς ἀποτεθείσης, πρὶν ἐλθεῖν εἰς τὸ δικαστήριον, φοβηθεὶς παρέσχε τὰς εὐθύνας τούτων· διὰ τοῦτο καὶ πλάττεταί τινας ὥσπερ ἀνθυποφορὰς παρ' Αἰσχίνῃ. TCV.

266, 8. Νὴ Δί' ἀλλ' ἀδίκως ἦρξα] Οὐ τοῦτο πάλιν Αἰσχίνης κατηγορεῖ, ἀλλ' ὁ ῥήτωρ νῦν αὐτὸ προστίθησιν, ἐπειδὴ θαρρεῖ ἑαυτῷ μὴ κεκλοφέναι. ARTCP. Καὶ τὴν λύσιν εὐθέως κατ' ἐπιτίμησιν εἰσάγει, Καὶ τί προδότης ἐγένου τῆς πόλεως τῇ σιωπῇ; πῶς τοῦ Δημοσθένους ἐφείσω πολιτευσαμένου τὰ χείριστα; τίς εἶδέ σε τῶν λογιστῶν τὴν πονηρίαν μεμφόμενον; TCV.

266, 8. Εἶτα παρὼν] Σημείωσαι· ἀπὸ τοῦ καιροῦ τὸ ἐπιχείρημα. B.

267, 3. Γέγραψαι] Ὁ Πλάτων φησὶ, γραφήν σέ τις ὡς ἔοικε γέγραπται· κεῖται ἐν τῷ Εὐθύφρονι. P.

267, 4. Ἃ δέ φησιν ἡ βουλὴ δεῖν] Πάλιν ἐνέμεινε τῷ θεωρήματι, ἀντὶ τοῦ Κτησιφῶντος μεταλαβὼν τὴν βουλήν. Ἐνθυμεῖται δὲ πάνυ χαριέντως ἐλέγχων ὡς ἀχάριστον ὁμοῦ καὶ ἀνόητον· οἷον, ἂν μέν τις διδῷ τὰ ἑαυτοῦ, λαμβάνειν τὴν βουλὴν οὐκ ἐκώλυσας· ἂν δὲ θέλῃ τὸν δεδωκότα ἀμείψασθαι, παράνομον καλεῖς τὸ γιγνόμενον· καινὸς ἀναφαίνῃ νομοθέτης, τὸ μὲν λαβεῖν ἐπαινῶν, τὸ δὲ ἀποδοῦναι μεμφόμενος. Προσεκτέον δὲ πάλιν τῷ ἀποδοῦναι ὡς εὐκαίρως εἰρημένῳ, ἵνα φαίνηται χρέος ἀποπληροῦσα ἡ βουλή. TCV.

267, 5. Τὸ λαβεῖν οὖν] Καθ' ὅλον κῶλον παρίσωσις. B.

267, 7. Ὁ δὲ παμπόνηρος] Τὸ κόμμα ἔγκλημα. B.

267, 9 Καὶ μὴν περὶ τοῦ γε ἐν τῷ θεάτρῳ] Μεταβαίνει λοιπὸν καὶ εἰς τὸ ἕτερον νόμιμον τὸ περὶ τοῦ κηρύγματος. Καὶ βλέπε τὴν εἰσαγωγὴν ὅπως ἔχει· Καὶ μὴν περὶ τοῦ κηρύγματος εἰ σκοποίη τις, ὁμοίως συκοφάντην εὑρήσει καὶ βάσκανον. TCV.

267, 10. Τὸ μὲν μυριάκις μυρίους] Πολλοὺς ἀληθεύων τῷ ἀορίστῳ. Πολλοὶ γὰρ πολλάκις ἐστεφανώθησαν, ἀλλὰ τῶν ξένων, βουληθείσης τῆς πόλεως. Ὅπερ ἀποκρύπτων εὔπορον τὴν ἀπάτην ἐργάζεται. TCV.

267, 27. Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου] Ἐπεὶ παρακρούεσθαι χρεία, προστίθησι τὸ σαφὲς ἔχειν τὸν νόμον, ὑφαρπάζων τὸν ἀκροατὴν τῆς ἐξετάσεως τὴν ἀκρίβειαν. Δοκεῖ δὲ τὸ ῥητὸν κατὰ τὸ ἐλλεῖπον ἀσάφειαν ποιεῖν. Εὐκρινητέον οὖν οὕτως· ὁ νόμος, φησὶ, λέγει σαφῶς, μηδεὶς ἐν τῷ θεάτρῳ κηρυττέσθω, πλὴν ἐκείνων οὓς ἂν ὁ δῆμος ἕληται καὶ ἡ βουλὴ ψηφίσωνται. TCV.

268, 1. Τούτους δὲ ἀναγορευέτω] ὁ κῆρυξ δηλονότι, οὓς ἂν ὁ δῆμος ἕληται καὶ ἡ βουλή. Ἰστέον δὲ ὅτι περὶ τῶν ξένων ὁ νόμος ταῦτα διείρηκεν, ὡς εἴπομεν. TCV.

Τί οὖν, ὦ ταλαίπωρε] Οἰκτείρει τὸν ἐχθρὸν, ὑπεύθυνον ποιῶν τῷ ἐγκλήματι. Παῦσαι δὴ, δυστυχέστατε, τῇ ἀληθείᾳ μαχόμενος. Ἐλεῶ σε πολεμοῦντα τῷ νόμῳ. Ἀπαλλάσσου τῆς νόσου· χρήσιμος ἐν τοῖς τοιούτοις κακοῖς ὁ ἐλλέβορος· δέχου τῆς πόας τὴν θεραπείαν. Ῥῖψον ἀπὸ τῆς ψυχῆς τὸ ἀρρώστημα. TCV.

268, 9. Ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς] Ὁ Αἰσχίνης, οὐ συγχωρῶν εἶναι τὸν ῥήτορα δημοτικὸν, ἔφασκεν ὥσπερ πλάττων τὸν δημαγωγὸν ὡς ὀφείλει εὐγενὴς εἶναι καὶ προγόνων σεμνῶν, καὶ τετράφθαι καλῶς, [καὶ] πεπαιδεῦσθαι ἐλευθέρως, [καὶ] κήδεσθαι τῆς πατρίδος, καὶ τὰ τοιαῦτα· εἶτα μετὰ τὴν ἀπαρίθμησιν τούτων ἀντιθεὶς τὰ κατὰ τὸν Δημοσθένην, καὶ μηδὲν τοιοῦτον εὑρὼν προσὸν αὐτῷ, σχετλιάζει καὶ ἀγανακτεῖ. Διασύρει οὖν τῇ παραθέσει τοῦ ὁμοίου τὸν λογισμόν. Ἤδη γάρ τις, φησὶν, εἰ δημιουργὸν ἀξιοῖ πλάσαι αὐτῷ ἀνδριάντα καὶ τὰ ὅμοια σχήματα οἷα δεῖ ἔχειν πρὸς αὐτὸν ποιησάμενος, ἐπειδὰν μετὰ ταῦτα ἐλθὼν μὴ εὕρῃ ἐνόντα ἐν τῷ πλάσματι τοῦ ἀνδριάντος τὰ ἐν τῇ γραφῇ, εἰκότως δυσχεραίνει καὶ καταβοᾷ τοῦ τεχνίτου. TCV.

Κατὰ συγγραφὴν] Λέγει κατὰ πρόσταξιν, οἷον ὡσανεὶ προσέταξας ἀνδριαντοποιῷ ἀνδριάντα ποιῆσαι κατά τινα ἐπιταγήν. Οἷον ἐπιτάξας αὐτῷ, ὅτι βούλομαι εἶναι αὐτόν, τὸν ἀνδριάντα, τοιῶσδε, τὴν χεῖρα αὐτὸν ἔχειν τοιῶσδε, καὶ τοὺς πόδας τοιῶσδε, καὶ τὴν κεφαλὴν ὁμοίως· εἶτα μὴ δεξάμενος αὐτὸν, τὸν ἀνδριάντα, ὥσπερ ἐπέταξας, ἐνεκάλεις ὕστερον τῷ ἀνδριαντοποιῷ. AHRTP.

268, 14. Καίτοι καὶ τοῦτο] Διαφορὰ λοιδορίας καὶ κατηγορίας. B.

268, 24. Οὐδὲν ἧττον ἐμοῦ] Ἐπιτηρεῖ ὅτι ἐν οἷς ὠφελεῖ δίδωσιν Αἰσχίνῃ τὸ ἴσον εἰς σύνεσιν, καὶ οὕτω περιτρέπει. TCV.

268, 25. Πομπεύειν] ὑβρίζειν, λοιδορεῖν. P. Ἀντὶ τοῦ λοιδορεῖν. B.

268, 28. Πότερόν σέ τις, Αἰσχίνη] Μέλλων τὰς λοιδορίας ἐργάσασθαι προοδοποιεῖ ἑαυτῷ τὴν παρὰ τῶν καθημένων εὐμένειαν, ἐχθρὸν ἀποφαίνων τῆς πόλεως, οὐχ ἑαυτοῦ, τὸν Αἰσχίνην, ἵν' οὕτως, ὅπερ ἂν εἴπῃ βλασφημῶν αὐτὸν, ἡδέως ἀκούσωσιν, ὡς ἐχθροῦ κοινοῦ βαλλομένου. Ὁ οὖν λόγος τοιοῦτος· Πῶς ἐμὸς ὢν ἐχθρὸς— τοῦτο γὰρ ἂν ὁμολογήσειας ἐρωτηθεὶς—, οὐδαμοῦ φαίνῃ γεγονώς μου κατήγορος, οὐκ ἐν εὐθύναις, οὐκ ἐν γραφαῖς, οὐκ ἐν ἄλλαις κρίσεσιν ἁπλῶς; ὡς εἶναι δῆλον ἀφ' οὗ σεσιώπηκας ὡς οὐκ εἶ τῷ Δημοσθένει πολέμιος, ἄλλως τε ἡνίκα καθαρὸς ἐγὼ καὶ ἄμεμπτος ἐφάνην. TCV.

269, 2. Ἐξέλιπες] ἀφῆκες. P.

Εὐθύναις] Εὔθυνα ἦν ὧν δημοσίᾳ τις ἐπιστεύθη· γραφὴ δὲ κυρίως ἡ ἐπὶ τῶν παρανόμων· κρίσις δὲ ἡ ἐπὶ ἐγκλήματος. AHRFTCP.

Ἀθῷος] ἀζήμιος. P.

269, 6. Τῇ πόλει δ' ἢ πλέον] ἀπὸ τοῦ λαβεῖν με, φησὶ, τὸν στέφανον, ὃ δημοσίᾳ ἐπράχθη, ἀνάγκη τῇ πόλει δόξης μετεῖναι ἢ πλέον ἢ ἔλαττον, τοῦτ' ἔστιν ἢ μέρος τῆς δόξης, ἢ καὶ τὸ ὅλον. AHRFYSTCP.

269, 8. Ἐνταῦθα] ἐπὶ μάχης.

Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς] τὸ ὅρα καλῶς· οὐ θέλει γὰρ αὐτὸς ἀποφήνασθαι, ἀλλ' ἡ τῶν πραγμάτων ἀναγκάζει σε φύσις, φησὶν, ὁμολογεῖν. Θαυμάζω δὲ τὴν δεινότητα, ὅτι πρώην, ὅτε τῆς αὐξήσεως χρεία ἦν, ὅλης τῆς πόλεως ἀπέδειξεν ἐχθρὸν τὸν Αἰσχίνην· ὅτε δὲ συνεπληρώθη πᾶσα ἡ περίοδος, οὐκέτι λέγει τὴν πόλιν, ἀλλὰ τοὺς δικαστὰς λέγων· « μὴ τούτων μὲν ἐχθρὸς ᾖς· » αὐτῶν γὰρ ἐδεῖτο νῦν τῆς εὐνοίας, ἵνα θηράσῃ μὲν τὴν ψῆφον οὕτως, ἐγείρῃ δὲ τῷ ἀντιδίκῳ τὸν πόλεμον. Διὸ καὶ θαρρῶν εὐθὺς ἐπάγει. TCV.

269, 9. Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος] Κινήσας αὐτάρκως εἰς δυσμένειαν τοὺς ἀκούοντας ἐπισημαίνεται ὡς νενικηκώς. « Δέδεικται γάρ, » φησὶν, « ἡ εὐσεβὴς καὶ δικαία ψῆφος τοῖς πᾶσι· » τὸ μὲν οἰκεῖον οὐ φανερῶς εἰπὼν, ὡς αὐτὸς ὀφείλει τὴν ψῆφον λαβεῖν ὑπαινιττόμενος δὲ ἀπὸ τῆς τῶν πραγμάτων ἀποδείξεως τοῦτο. Ἔστι δὲ αὐτῷ μέχρι τούτου τὸ μέρος τοῦ δικαίου τὸ περὶ τῶν εὐεργετημάτων, ᾧ καὶ τὸ νόμιμον συνῆψεν, ἀσθενὲς ὑπάρχον, ὡς ἔφαμεν. Φυλάττει δὲ μετὰ τὰς λοιδορίας τῇ μνήμῃ τὸ ἄλλο τοῦ κεφαλαίου μέρος, ἐν ᾧ τῶν ἐν Χαιρωνείᾳ κακῶν γεγενημένων ἀναιρεῖ τὰ ἐγκλήματα. TCV.

Ἐπειδὴ τοίνυν] Ζητοῦσί τινες· καὶ ποῦ ἐστιν ἡ ἀπόδοσις τούτου τοῦ κώλου; οὐδὲν γὰρ ἐπήγαγε πρὸς ὃ εἶπεν· ἐπειδή. Περὶ τούτου πολλοὶ ἐπεχείρησαν ἀπολογήσασθαι, καὶ σχεδὸν εἰπεῖν πάντες ἀπέσχον. Οἱ μὲν γὰρ αὐτῶν ἔφασκον ὡς δεῖ ἐν ὑπερβατῷ αὐτὸ ἀναγινώσκεσθαι, ἄλλοι δὲ διέστρεφον τὴν φράσιν, ἐναλλάττοντες τοὺς συνδέσμους, ζητοῦντες στῆσαι τὴν ἀπόδοσιν. Ἡμεῖς δέ φαμεν ὡς ὅτι Ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, ἐμπεσὼν εἰς τὸ ἐξηγήσασθαι τοῦτο τὸ κῶλον, οὕτως αὐτὸ ἔλυσεν, ὅτι ἀπὸ θυμοῦ ὁ Δημοσθένης ἐνταῦθα οὐδὲν ἐπήγαγεν. AHRTP. Τοῦτο τὸ κῶλον οὐκ ἔχει ἀπόδοσιν· ἀλλ' εἰς θυμὸν ἐμπεσὼν ὁ ῥήτωρ καὶ πολλὰ μεταξὺ θεὶς ἀφῆκεν οὕτως. Μαρτυρεῖ δὲ καὶ Ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν, καταστὰς εἰς τὴν τούτου ἐξήγησιν. FP.

269, 10. Ψῆφος] ἡ περὶ τοῦ στεφάνου.

269, 11. Δεῖ δέ με, ὡς ἔοικε] δύο συγγνώμας ἔθηκεν, ἐκ μὲν τοῦ δεῖ με τὴν ἀνάγκην δηλῶν, ἐκ δὲ τοῦ φιλολοίδορον, ὅτι οὐ μεθ' ἡδονῆς ἐντρυφᾷ τοῖς Αἰσχίνου κακοῖς, ἀποστρεφομένης τῆς φύσεως τὸ πρᾶγμα. TCV.

269, 14. Τίς ὢν] ἤγουν οὐδαμινός. P.

269, 15. Ἄρχει] ἀρχὴν ποιεῖ. P.

269. 17. Αἰακὸς, ἢ Ῥαδάμανθυς, ἢ Μίνως] οὗτοι οἱ τρεῖς διεβεβόηντο ἐπὶ δικαιοσύνῃ. ARTP.

269, 18. Ἀλλὰ μὴ σπερμολόγος] Τινές φασιν οὕτω καλεῖσθαι τὸν κολοιὸν, ὡς ἀλλοτρίοις πτεροῖς προσχρησά-

μενον· καὶ δὴ καὶ ὁ Αἰσχίνης οὐδὲν ἴδιον ἔχει, τοῖς δὲ τῶν ἄλλων λόγοις προσεκέχρητο, αὐτὸς ἀπαίδευτος ὤν. Ἡ σπερμολόγος, ἀσεβής, ἀπὸ τῶν βωμῶν συλλέγων τὰ ἐπιτιθέμενα ὑπὸ τῶν ἄλλων. Τάχα δὲ καὶ πένης, ὁ τὰ ἀποπίπτοντα ἀπὸ τῶν βασταζόντων ἀναλαμβάνων, τὰ κατὰ βραχὺ ἀπὸ τῆς γῆς συλλέγων καὶ οὕτω τρεφόμενος. TCV. Εὐτελὴς καὶ φαῦλος ἄνθρωπος. P.

269, 19. Ὄλεθρος] ἢ ὀλέθρου ἄξιος, ἢ ὁ πολλοῖς προξενήσας ὄλεθρον τῷ μεταβάλλειν τὰ γράμματα ἐν τῷ ἀναγινώσκειν. TCV.

Γραμματεὺς] ὁ τῶν γραμμάτων τε κύριος καὶ τῶν ψηφισμάτων φύλαξ. P.

269, 21. Ἐπαχθεῖς] φορτικούς. P.

Πορίσασθαι] συναγαγεῖν, λαβεῖν. P.

269, 21. Ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα, ὦ Γῆ καὶ Ἥλιε] Ἔοικε γὰρ τραγικὰ εἶναι ταῦτα. Καὶ ἅμα εἰς τὴν τέχνην ἀποσκώπτει σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον. Ὁ γὰρ Αἰσχίνης δυσχεραίνων εἰ Δημοσθένης ὀφθείη στεφανούμενος, καὶ ταῦτα ἐφθέγγετο. TCV.

269, 23. Ἐπικαλούμενον] ἐπιβοώμενον. P.

269, 27. Διάγνωσις] ἱστορία, γνῶσις τῶν πάλαι ποτὲ γεγονότων πραγμάτων. P.

270, 2. Ἀπολειφθεῖσι] τῆς παιδείας ἐστερημένοις. P.

Προσποιουμένοις] ἰδιοποιουμένοις. P.

270, 5. Οὐκ ἀπορῶν δὲ ὅτι χρὴ περὶ σοῦ] Ἐγκωμιαστικοῦ νοήματος ἐπελάβετο· ἐπεὶ καὶ ὁ ψόγος τῶν ἐγκωμιαστικῶν. TCV. Ὃ λέγει τοιοῦτόν ἐστιν. Οὐκ ἀπορῶν τοῦ εἰπεῖν πολλὰ κατὰ σοῦ, ἀλλ' εὐπορῶν, ἐν τούτῳ δοκῶ ἀπορεῖν, ἐν τῷ μὴ εἰδέναι με ποῖα πρῶτον προτάξω αὐτῶν τῶν πολλῶν. AHRTCP.

270, 7. Παρ' Ἐλπίᾳ] Οὗτος ὁ Ἐλπίας χαμαιδιδάσκαλος ἦν παρὰ τοῖς Ἀθηναίοις, ὑπόσχολον ἔχων τὸν πατέρα τοῦ Αἰσχίνου. AFP.

Θησείῳ] πρὸς τῷ ναῷ τοῦ Θησέως. BFSYP.

270, 8. Χοίνικας παχείας] Εἰπὼν δουλεύειν αὐτὸν τὰ ἑπόμενα τοῖς φαύλοις τῶν δούλων ἐπήγαγε, τὰς πέδας λέγων· τοῦτο γὰρ καλεῖ χοίνικας, τὸ στρογγύλον δηλῶν TCV. Χοίνικας καλεῖ τὰς πέδας, τὸ δὲ ξύλον, ἢ πρὸς τὸ ἐπερείδεσθαι τὸν Τρόμην ἐν τῷ βαδίζειν καὶ ἐπαναπαύεσθαι, ἢ πρὸς τὸ δύνασθαι συνάπτειν τοὺς πόδας αὐτοῦ. BFYP.

270, 10. Κλισίῳ] τῷ προστώῳ. Ἔστι δὲ ὄνομα τόπου. P.

270, 11. Τὸν καλὸν ἀνδριάντα] μικρὸς γὰρ ἦν ὁ Αἰσχίνης τὸ σῶμα. TCV.

Τριταγωνιστὴν ἄχρον] Καὶ τοῦτο κατὰ τὸ ἦθος· ἔστι γὰρ ἀμαθέστατον. TCV.

270, 12. Ἐξέθρεψε] τέλειον ἐξέθρεψέ σε καὶ ἐποίησε P.

270, 13. Ἀλλ' ὡς ὁ τριηραύλης] οὐχ ἁπλῶς αὐλητὴς —ἦσαν γὰρ καὶ ἐπίσημοι—, ἀλλ' ἐν τριήρει αὐλῶν ἄμουσον ῥυθμόν. TCV.

270, 15. Τῆς καλῆς ἐργασίας] κατ' εἰρωνείαν· λέγει γὰρ τῆς πορνείας. ATCP.

270, 16. Ὀκνῶ μὴ περὶ σοῦ] Δύο ἀνύει, καὶ τὸ δοκεῖν εἶναι σώφρων καὶ τὸ φεύγειν τὰς λοιδορίας, κἂν ὦσιν ἀληθεῖς. TCV.

270, 19. Οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν] τὸ παρ' ὑπόνοιαν καλούμενον. Ἐπειδὴ παρ' ὃ προσεδόκων οἱ ἀκροαταὶ τὸ ῥητὸν ἐπήγαγε. TCV.

270, 20. Καταρᾶται] ἵνα λέγῃ τοῖς προδόταις· τοῖς τοιούτοις δὲ καταρᾶται ὁ δῆμος διὰ τοῦ κήρυκος. ARTP.

Ὀψὲ γάρ ποτε] Δεῖ λαβεῖν τὸ μὲν πρῶτον ὀψὲ ὥσπερ διηγουμένου, τὸ δὲ δεύτερον ὡς κατ' ἐρώτησιν καὶ ὡς ἐκπληττομένου ὅτι ἐλησμόνησεν εἰπεῖν. Τὸ « ἐχθὲς μὲν οὖν καὶ πρῴην » ἀντὶ τοῦ ὀψέ· κατὰ κοινοῦ δὲ τὸ ἦν. AHRTP.

270, 22. Καὶ δύο συλλαβὰς] μίαν μὲν εἰς τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ, μίαν δὲ εἰς τὸ τῆς μητρός. ATP.

270, 25. Ἔμπουσαν] ἐκ τοῦ πάντα αἰσχρῶς καὶ ἀνοσίως ποιεῖν· τοιαύτη γὰρ ἡ πάλαι Ἔμπουσα. FYP.

270, 26. Πάντα ποιεῖν] πάντα τὰ αἰσχρὰ καὶ ἀνόσια· τοιαύτη γὰρ ἡ πάλαι Ἔμπουσα. S.

271, 1. Τουτουσὶ] τοὺς πολίτας. SP.

Οὐχ ὅπως] ἤγουν οὐ μόνον οὐ. P.

271, 2. Κατὰ τουτωνὶ πολιτεύῃ] ἤγουν πράττεις πᾶσαν πρᾶξιν καὶ κινεῖς κατ' αὐτῶν. P.

271, 3. Καὶ περὶ ὧν μέν ἐστί τις ἀμφισβήτησις] Ἐπιδείκνυσιν ἐν τούτοις ὅτι οὐχ ὡς ἐχθρὸς ἀκριβολογεῖται, πάντα ἐξετάζων ἃ ἥμαρτεν, ἀλλὰ πλεῖστα καὶ παραπέμπεται. Διηγεῖται δὲ τὰ σαφέστερα καὶ εὐδηλότερα· διὸ καὶ ἀκολούθως ἐπήγαγε. TCV.

271, 6. Τὸν ἀποψηφισθέντα] Οὗτος γὰρ ὁ Ἀντιφῶν Ἀθηναῖος ἐδόκει εἶναι τὸ πρότερον. Γιγνομένων δὲ τῶν καλουμένων διαψηφίσεων, ὅ ἐστιν ἐξετάσεων ἐν τοῖς δήμοις ὡς ἔθος, εἰ ἄρα φύσει Ἀθηναῖος οὐκ ὢν ἐνέγραψεν ἑαυτὸν ἐκ σπουδῆς τινῶν εἰς τοὺς ἀστούς· ἀπεψηφίσθη δὲ καὶ ἀπεδοκιμάσθη ὡς οὐκ ὢν ἀστὸς καὶ ἐκβέβληται. Λυπηθεὶς δ' ᾤχετο πρὸς τὸν Φίλιππον, καὶ ὑπέσχετο αὐτῷ λάθρα τῆς Ἀττικῆς ἐπιβὰς ἐμπρήσειν τῆς Ἀττικῆς τὰ νεώρια. TCV.

271, 8. Τὰ νεώρια] τόποι εἰς οὓς αἱ νῆες ἀνέλκονται. P.

271, 9. Λαβόντος] κατασχόντος. P.

Κεκρυμμένον ἐν Πειραιεῖ] Τὰ εἰκότα εἴρηκεν ὡς πεῖσαι δυνάμενα. Ὅ τε γὰρ τόπος τοῦ Πειραιῶς ὕποπτος καὶ ὁ τρόπος· κεκρυμμένον γὰρ εἰπὼν εἰς πίστιν ἄγει τὴν τόλμαν. TCV.

271, 10. Καταστήσαντος] δῆλον ποιήσαντος ἐν τῇ ἐκκλησίᾳ τοῦ δήμου. P.

271, 11. Ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ] Μιμεῖται τοῦ Αἰσχίνου τοὺς λόγους, τὸ πιθανὸν αὐτοῖς εἰς ἀπάτην διδούς. Ὅρα γὰρ ὅπως ὀνομάζει τὴν πολιτείαν ἐκ φιλανθρωπίας γνωριζομένην καὶ τοὺς ἠτυχηκότας λέγων τῶν πολιτῶν μηχανᾶται τὴν ἄφεσιν. Ποιεῖ δὲ λεληθότως πάλιν πολέμιον τῷ δήμῳ τὸν Αἰσχίνην, εἴ γε ὁ μὲν ὡς οὐκ ὄντα πολίτην ἐκάλει. TCV.

271, 13. Καὶ ἐπ' οἰκίας βαδίζων] Ἐγὼ δηλονότι βαδίζων ἐπὶ οἰκίας τὰς τῶν ἀνθρώπων. P. Πολὺν ἔπαινον φέρει τῷ ῥήτορι. Οὕτως ὑπὲρ τοῦ κοινοῦ συμφέροντος ἀγρυπνεῖ, ὡς καὶ μηδενὸς εἰδότος καὶ ἐπιτρέψαντος αὐτὸν ἐπιζητεῖν τοὺς βλάπτειν ἐθέλοντας. Τινὲς δὲ τῷ ἑξῆς συνῆψαν τὸ « ἄνευ ψηφίσματος ἀφεθῆναι ἐποίησεν· » ἀπατήσας γὰρ τὸν δῆμον ἔπεισεν ἀφεθῆναι τὸν ἄνθρωπον ὀξέως, ὡς μηδὲ καιρὸν ἐγγενέσθαι τοῦ ψηφίσασθαι. Ὅλον τοίνυν ἐξ ἀμφοῖν. TCV.

271, 14. Καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου] Συνάπτει ἑαυτὸν εὐτραπέλως σεμνοτάτῳ βουλευτηρίῳ καὶ χαρποῦσθαι μετ' ἐκείνης πειρᾶται τὴν δόξαν· ὃν γὰρ εὗρε μὲν Δημοσθένης, ἀπέλυσε δὲ Αἰσχίνης, ἐπεζήτησεν ἡ βουλὴ καὶ ἀνέσωσε. TCV.

Τὸ πρᾶγμα αἰσθομένη] τὴν ὑπόθεσιν νοήσασα. P.

Ἐν οὐ δέοντι συμβεβηκυῖαν] Ὀνειδίζει τρόπον τινὰ τῷ δήμῳ διὰ τοῦ προσώπου τῆς βουλῆς· ἔστι μὲν γὰρ ὡς ἀνθρώπους ἀγνοεῖν. Τὸ δὲ, ἐν οὐ δέοντι, τοιοῦτόν ἐστιν, Οὐκ ἀγνοεῖν ἔδει διδαχθέντας ὑπὸ τοῦ ῥήτορος, καὶ εὔνουν ἔχοντες δημηγόρον τὴν ἐπιβουλὴν οὐ συνήκατε. Συνηπίστατο τῷ συμβούλῳ ὁ προδότης καὶ ὑμᾶς ἐγοήτευσε. TCV.

271, 17. Καὶ συλλαβοῦσα] πανταχόθεν ἀγρεύσασα, τὴν θήραν οὐκ ἀπολέσασα. Κατασκευάζει δὲ διὰ τῆς φυγῆς τὴν ὑπόνοιαν· οὐ γὰρ ἂν οὕτω σπουδαίως ἔφυγεν, εἰ μὴ συνῄδει ὡς ὑπεύθυνος ἦν. TCV.

Ἐπανήγαγεν ὡς ὑμᾶς] Θέασαι τῆς λέξεως τὴν ἀκρίβειαν. Ἐπειδὴ γὰρ εἶπεν αὐτὸν ἀπὸ τῆς ἐκκλησίας δι' Αἰσχίνην πεφευγέναι, κυρίως εἶπε τὸ ἐπανήγαγεν, εἰς τὸν αὐτὸν τόπον αὖθις κατέστησεν αὐτὸν ἡ βουλή, ἐξ οὗ σέσωσται πρότερον. TCV.

271, 20. Τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου] Συνάπτει καὶ ἕτερον πολίτευμα τῆς βουλῆς εὐκαίρως κατ' Αἰσχίνου λεγόμενον. Καὶ ἔστι κἀνταῦθα τὴν δαιμονίαν αὐτοῦ κατοπτεῦσαι φύσιν. Ἵνα γὰρ μὴ δόξῃ χάριτι Δημοσθένους γεγονέναι τὸ τοῦ Ἀντιφῶντος, εἰσάγει τὴν βουλὴν αὐτὴν καθ' αὑτὴν, οὐκ ἐκ τοῦ ῥήτορος κατογινώσκουσαν, καὶ ποιεῖ κατὰ τῆς πονηρίας Αἰσχίνου τὴν ψῆφον τῆς βουλῆς ἐξ ἀμφοτέρων βεβαίαν. TCV.

271, 22. Τούτῳ] τῷ Αἰσχίνῃ. P.

271, 25. Προείλεσθε] προεκρίνατε. P.

Κυρίαν] τὴν βουλὴν τοῦ Ἀρείου πάγου. P.

271, 27. Καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα] Ἀναιρεῖ τὰ ὑφορμοῦντα, ἵνα μὴ δυσμένειάν τις μαρτυρήσῃ τῇ βουλῇ. TCV.

271. 28. Ἀπὸ τοῦ βωμοῦ] ἤτοι ὅτι ἐκεῖθεν λαμβάνουσα τὰς ψήφους οὕτως ἐδίδου, ἢ ὅτι τὰς χεῖρας ἐπιθεῖσα τῷ βωμῷ καὶ θύουσα μετετίθει τὰς χεῖρα ἐπὶ τὰς ψήφους, ὡς μηδὲν πρὸς ἔχθραν, ἀλλὰ δικαίως ψηφίζεσθαι. BSFYHR TCV.

272, 1. Ἠνέχθη] συνέβη. P.

272. 10. Οὐκοῦν ὅτε τούτου μέλλοντος] Δοὺς ἑκάστης μαρτυρίας τὴν πίστιν χρῆται λοιπὸν ἐνθυμήματι. Ἡ δὲ σύνταξις ἐπικίνδυνος καὶ σολοικοφανής τισιν ἐνομίσθη· μεταχειριστέον δὲ αὐτὴν οὕτως, ἀμείβοντας μὲν, οὐδὲν δὲ τὸ παράπαν ἔξωθεν ἐπεισάγοντας. Οὐκοῦν ὅτε, τούτου μέλλοντος λέγειν, προσέταξεν ἑτέρῳ δηλονότι λέγειν, καὶ ἀπήλασεν αὐτὸν ἡ βουλή. Τίνος; τῆς συνδικίας. TCV.

272, 14. Τοῦ νεανίου τούτου] τοῦ ἐξ ἐπάρσεως μωροῦ τοῖς αὐτοῦ πολιτεύμασιν· οὐ γὰρ ὅμοιον, δηλονότι οἷς ἐμοῦ κατηγορεῖ. P.

271, 18. Ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν] αἰσχυνῶν τὴν πόλιν. P. Ἐνήλλαξεν ὁ ῥήτωρ ἐξεπίτηδες, οἶμαι, τὰ ῥήματα, τὴν ἀτοπίαν τῆς Φιλίππου γνώμης δηλῶν, ἐπεὶ πρῶτόν τις ἐλέγχειν ὀφείλει τὸν ἀδικοῦντα, εἶτα καταισχύνειν. TCV.

272, 20. Καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν] λόγους κινοῦντι δίκην ῥεύματος. P. Σκόπει κἀνταῦθα τὸ μέγεθος τῆς μεγαλονοίας τοῦ ῥήτορος, ὅτι καὶ δοκῶν, ὡς οἴονταί τινες, θαυμάζειν τὸν Πύθωνα, οὐδὲ ἐπιστήμην αὐτῷ οὐδὲ σύνεσιν ἐμαρτύρησεν, ἀλλὰ τὸ ῥοῶδες καὶ λάλον ἁπλῶς περιττόν· ἅπερ οὐ τέχνης ἀληθοῦς γίγνεται σύμβολα, ῥητορικῆς δὲ ὡς εἰπεῖν εἴδωλα μᾶλλον. Διὸ καὶ θρασὺν αὐτὸν εἰπὼν διέβαλε. TCV.

272, 21. Καὶ τὰ τῆς πόλεως οὐχὶ προὔδωκα δίκαια] Ἐπειδὴ εἶπεν οὐκ εἶξα οὐδ' ὑπεχώρησα, καὶ ἔμελλέ τις, τὸν ἀντίτεχνον ἐννοῶν, ὑπονοεῖν ὡς ἄρα ῥήτορι ῥήτωρ ἐδάσκηνε· διὸ καὶ σοφώτατα μετάγει τὴν αἰτίαν πρὸς τὸ εὐφημότερον, τὰ δίκαια τῆς πόλεως οὐ προὔδωκα φήσας. TCV.

272, 26. Οὐκ ἀπέχρη] οὐκ ἀρεστά (*).

272, 27. Συνιὼν] συνερχόμενος.

272, 28. Ἐλήφθη] ἐφωράθη.

273, 1. Συνῄει] συνήρχετο.

Ἀπεδόθησαν] φανεραὶ ἐγένοντο.

Ἑκατομβαιῶνος) ἀπριλλίου.

Οὕτω πως ἔχει] ὡς μέλλω λέγειν.

Ὑπηρετῶν] μισθωτὸς ὤν.

Οὐ τίθεται ταῦτα] ἤγουν οὐκ ἀκριβῶς μνημονεύεται ταῦτα παρ' ὑμῖν τὰ πράγματα.

Οὐδ' ἣν προσῆκεν] δώσετε τούτῳ.

Φαύλῳ] κακῷ.

274, 1. Αὐτῷ] τῷ Αἰσχίνῃ.

Ἐσεσύλητο] ἐσκυλεύθησαν.

Ἄνθρωπος] ὁ Φίλιππος.

Ὁ βάσκανος] ὁ φθονερός.

274, 6. Ἰαμβειοφάγος] ἰαμβογράφος. R.

Ὑπ' ἐμοῦ τότ' ἔχοντα] ἀντὶ τοῦ ἐμέ.

Ταῦθ' ἕτερα] τὰ ἐμὰ ψηφίσματα.

Τούτων] τῶν ἐμῶν ψηφισμάτων.

Ὥσπερ οὐδὲ ἔγραφεν] ἀλλ' ἔλεγε μὲν, οὐκ ἔγραφε δὲ πλείονα ὧν εἴρηκα.

Ἐπεξειργάσατο] ἐπὶ τοῖς προτέροις εἰργάσατο.

Ἐκνίψῃ] καθάρῃς.

Πεπραγμένα] εἰς τοὺς Ἀμφισσεῖς.

Καλῶ δὲ] ἐπικαλοῦμαι.

275, 1. Τοῦ πράγματος ἁπτόμενον] γενόμενον Πυλαγόραν.

Ἀνόητον] ἐστερημένον.

Τί οὖν;] τίνος οὖν ἕνεκα κατήραμαι;

Διετεινάμην] διὰ συντόνου σπουδῆς ἀπηρνούμην. BP. Διϊσχυρισαίμην.

Ἐν τῷ δημοσίῳ] οἴκῳ δηλονότι, ἐν ᾧ οἱ δημόσιοι χάρται ἔκειντο.

Ἐξ ὧν ταῦτ'] ἃ κατηγορῶ τὸν Αἰσχίνην.

Ὑποληφθῇ] δοξασθῇ.

Ἐν Ἀμφίσσῃ] Ἄμφισσα πόλις τῆς Λοκρίδος· Ἐλάτεια δὲ μεγίστη πόλις τῆς Φωκίδος. FP.

Ἡρέθη] προεκρίθη.

Συγκατασκευάσας] τῷ Φιλίππῳ δηλονότι.

Ἐκ παρακλήσεως] ἀπὸ παρακινήσεως τοῦ Αἰσχίνου.

Αἰτίαν] μέμψιν.

Ἥτις δὲ ἡ φύσις] ἡ ἀρχὴ τῶν πραγμάτων.

Συνεσκευάσθη] μετὰ τοῦ δόλου γέγονε.

Συντεθὲν] συσκευασθέν.

Ἱστορίαν] γνῶσιν.

276, 2. Κακῶς] ἀνάνδρως. — Αὐτῷ] τῷ Φιλίππῳ.

Ἐκ τῆς χώρας] αὐτῆς δηλονότι.

Ἐδεῖτο] χρεία ἦν.

Διϊέντων] δίοδον διδόντων. — Αὐτῷ] τῷ Φιλίππῳ.

Τῷ πολέμῳ κρατοῦντι] τὴν ἰσχὺν ἔχοντι εἰς τὸν πόλεμον, νικῶντι.

Τὰ μὲν παρακρούσασθαι] εἰς τινὰ μὲν ἀπατῆσαι.

(*) Scholia quibus sigla non adscripta est, uni P debentur.

Ὡς εὖ] πῶς ἐπιτηδείως λέγω.
Αὐτοὺς] τοὺς Θηβαίους.
Δεήσεσθαι] χρείαν σχήσειν.
Εἰσηγεῖτο] συνεβούλευε τοῖς Ἀθηναίοις.
Ὑπόψεσθαι] ἐν ὑποψίᾳ ἔσεσθαι.
Ὁ τοῦτο ποιῶν] τὸ εἰσηγεῖσθαι.
Εὐπόρως λήσειν] ᾤετο λαθεῖν.
277, 1. Προβληθεὶς] χειροτονηθείς.
Ἀνεῤῥήθη] ἀνηγορεύθη.
Ἀξίωμα] τὴν τιμήν.
Καθιερώθη] ἀφιερώθη τῷ Ἀπόλλωνι.
277, 6. Ἡ Κιῤῥαία χώρα] ὄνομα πόλεως. B.
Συνθεὶς] πλασάμενος.
Ἱερομνήμονος] Οἱ πεμπόμενοι εἰς τὸ τῶν Ἀμφικτυόνων συνέδριον, ὡς κύριοι τῶν ψήφων, ἐλέγονοτ ἱερομνήμονες. BFYTP.
Ἠτιᾶτο] ἐμέμφετο.
Ἐκεῖθεν] ἀπὸ τῆς ῥηθησομένης αἰτίας.
Τῆς πόλεως] τῆς Κιῤῥαίας.
Συντελέσασθαι] πρᾶξαι.
Ἐκκλήτευσεν] εἰς κρίσιν προσεκαλέσατο ὡς κλητήρ· οὕτω γὰρ ἐκαλοῦντο οἱ τοὺς κρινομένους εἰς κρίσιν προκαλούμενοι.
Προφάσει] εἰς τὸ κατηγορεῖν.
Περιϊόντων] περιερχομένων.
Ἐκ τούτων] ἀπὸ μιᾶς ἀρχῆς, αἰτίας μιᾶς.
Ἐταράχθη] ἐπὶ ταραχῆς ἐγένετο.
277, 23. Κόττυφος] ἱερομνήμων ἦν Θετταλὸς ἢ Ἀρκὰς, πάντα πράττων ὑπὲρ Φιλίππου. BFRTP.
Ὡς δὲ οἱ μὲν] τῶν Ἀμφικτυόνων.
Εἰς τὴν ἐπιοῦσαν] εἰς τὴν ἑορτώδη ἡμέραν τὴν μετὰ ταῦτα.
Οἱ κατεσκευασμένοι] οἱ συγκατασκευασάμενοι τὸν δόλον.
Εἰλήφεσαν] ἔσχον ἀπὸ τῶν πραγμάτων.
278, 3. Ἡγεμὼν] ὁ Φίλιππος δηλονότι.
Διαλαβεῖν] περικυκλῶσαι.
Τοῦ λοιποῦ] χρόνου.
Ἐαρινῆς] κατὰ τὴν Πυλαίαν τὴν γενομένην εἰς τὸν καιρὸν τοῦ ἔαρος.
278, 27. Πυλαίας] Πυλαία ἡ μέση τοῦ ἥπατος εὐρυχωρία παρὰ τοῖς θύταις. BFP.
279, 1. Κατανειμάμενοι] διαμερισάμενοι ἑαυτοῖς τὴν γῆν.
Βοσκήματα νέμουσι] κατατρίβουσι τῇ νομῇ τῶν βοσκημάτων.
Πλημμελούμενον] ἀδικούμενον.
Αὐτὸν] τὸν Φίλιππον.
Ἐπυλαγόρησεν] πυλαγόρας ἐγένετο ὁ Αἰσχίνης.
Ἀπεκρύπτετο] ἐν κρυπτῷ καὶ ἐν ἀποῤῥήτοις εἶχεν.
280, 3. Τῶν ἐν τῇ συμμαχίᾳ] συμμάχων.
Πλημμελοῦσιν] ἀδικοῦσιν.
Λεηλατοῦσιν] ἀφανίζουσιν.
Ἀμύνασθαι] κολάσαι.
Παραβαίνοντας] ἀσεβεῖς.
Συναντᾶτε] συνέρχεσθε ἡμῖν.
Ἐπισιτισμὸν] ἐφόδια.
Τοῖς δὲ μὴ συναντήσασι] τοῖς μὴ συνελθοῦσι, κολάσομεν κοινῇ συναθροισθέντες.
Συμπαρασκευάσας] συγκατασκευάσας.

Παρ' ἑκάστοις] ἔθνεσι δηλονότι.
Ὀκνήσαιμι] ἀναβαλοίμην.
Ἀλιτήριον] φθορέα. BP.
Ὅπως ποτὲ] τὸ ποτὲ ἀργόν.
281, 2. Πρὸ τῆς ἀληθείας] ἔμπροσθεν.
Ἐγὼ μὲν τὰ ἔργα] ἐγὼ ἐπόνησα ὑπὲρ ὑμῶν.
Τῶν τὰ Φιλίππου πραττόντων] τῶν φιλιππιζόντων δηλονότι.
Παρ' ἑκατέροις] παρ' ὑμῖν καὶ Θηβαίοις.
Οὐδὲ καθὲν] οὐδ' ὅλως.
Τοῦτο μὴ γενήσεται] αὐξάνεσθαι τὸν Φίλιππον.
Γνώμης] διαγνώσεως.
Πρᾶξαι] συνεργῆσαι.
Φιλίαν] τοῦ Φιλίππου·
Τῶν ἄλλων] τῶν πολιτικῶν πραγμάτων.
281, 22. Κίναδος] θηρίον ἢ ἀλώπηξ. B.
Τούτου μὲν] τοῦ Αἰσχίνου.
282, 1. Συνέκρουον] εἰς στάσιν συνέβαλλον.
Ἀναλαβεῖν] εἰς τὴν προτέραν κατάστασιν ποιῆσαι ἐλθεῖν.
Προήγαγον] ηὔξησαν εἰς τέλος καὶ ἀκμὴν, προήγαγον τὸ δεινόν.
Ἐλαφηβολιῶνος] Σεπτεβρίου εἰκοσιτετάρτῃ.
Ἃς μὲν κατείληφε] τινὰς μὲν κατέσχε.
Τῶν ἀστυγειτόνων] τῶν πλησιοχώρων.
Εἰς τὴν Ἀττικὴν] κατὰ τῶν Ἀθηναίων.
Ἐπιβάλλεται] ἅπτεται, ἀγαπᾷ.
Πίστεις] συνθήκας.
Διαλέξονται] ὁμιλήσουσιν.
Παρακαλέσουσι] παρακινήσουσι.
Χρόνον] τὸν τεταγμένον δηλονότι χρόνον.
Ἀνοχὰς] ἤγουν τὴν μετὰ συμβιβάσεως ἀργίαν καὶ διακοπὴν τοῦ πολέμου.
Θαργηλιῶνος] Ἀπριλλίου.
Μουνυχιῶνος] Ἰανουαρίου τριακοστῇ.
Γνώμη] ἡ ῥηθησομένη.
Ἐπιβάλλεται] ἐπιχειρεῖ.
Καταστῆσαι] ποιῆσαι.
283, 13. Αἵρεσιν] σκοπόν.
Βέλτιον δὲ] καλὸν, συμφέρον.
Πεπλημμελημένοι] ἠδικημένοι.
Τοῖς παρακαλουμένοις] πράγμασι δηλονότι.
Ἐκομισάμην] ἔλαβον.
284, 2. Προσφέρονται] Προάγουσι τιμήν.
Συγκαταίνους] συμφώνους, στοιχοῦντας τῇ ἐκείνου γνώμῃ.
Παρακαλούμενοις] πράγμασι δηλονότι.
Κατὰ πολλὰ] κατὰ πολύ.
Τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ] ἤγουν εἴχετε εὐνοϊκῶς πρὸς ἐμέ.
Οἴσειν] κομίσειν.
Ῥοπὴν] βοήθειαν.
Προθέσεως] προαιρέσεως.
Ψηφίσμασι] τοῖς προειρημένοις.
Συμπνευσόντων] ὁμονοησόντων.
Κατείληφεν] ὁ Φίλιππος.
Ἐξεῖργον] ἐκώλυον.
Ἐνεπίμπρασαν] κατέκαυσαν.
285, 1. Χρηματίσαι] ἤγουν ἐξ ὁμιλίας ἀποφήνασθαι τὰ δεδογμένα.

Ἄνω καθῆτο] μετέωρος ἦν ἐκδεχόμενος τὰ βουλευθέντα.
Ὡς εἰσῆλθεν] εἰς τὸ βουλευτήριον.
Ῥητόρων] δημαγωγῶν.
Ἐροῦνθ'] βουλευσόμενον.
Παρελθεῖν] εἰς τὸ μέσον.
Ἐπιδόσεις] χορηγίας.
Συλλελογισμένον] ἐντεθυμημένον.
Ὀρθῶς] ἀπλανῶς.
Ἐξηταχὼς] εἰς ἀκρίβειαν μεμαθηκώς.
Οὐδὲν μᾶλλον] οὐδ' ὅλως.
Εἴσεσθαι] γνωρίσειν.
286, 1, Ἅ μου ἀκούσατε] λέγοντος δηλονότι.
Ἐξηταζόμην] ἐφαινόμην.
286, 9. Φίλων Φιλίππῳ] παρίσωσις κατὰ τὴν ἀρχήν. BYP.
Πλησίον] τῶν Θηβαίων.
Παραστήσας] πλησίον κατ' ὀφθαλμοὺς στήσας.
Ἐπᾶραι] παρακινῆσαι.
Ἐν τῷ παρόντι] καιρῷ δηλονότι.
Εἴ τι] δηλονότι τοῦ πολέμου.
287, 2. Ἀμφότεροι] ὅ τε Φίλιππος καὶ οἱ Θηβαῖοι.
Ἐφεστηκότα] ἐπικείμενον.
Ἐπανεῖναι] ἄνεσιν δοῦναι.
Μεταθέσθαι] μεταστῆσαι.
Περὶ τῶν δικαίων] περὶ τῆς ὁμονοίας τῆς πόλεως.
Εἰδόσι] νοήσασιν.
Ἐκεῖσε βαδίζειν] εἰς τὰς Θήβας.
288, 1. Διῳκημένοι] οἰκονομήσαντες.
Προσχήματος] μετὰ τιμῆς ἀξίας.
Κατασχεῖν] ἐπιτεύξεσθαι τοῦ ζητήματος τούτου.
Οὐκ ἔγραψα] κλιμακωτὸν σχῆμα.
Διεξῆλθον] ἐπέρανον.
Ἁπλῶς] ἀφροντίστως.
Εἶναι θῶ] ὀνοματοθετήσω.
Βάταλον] φλύαρον. Ἔστιν ὄνομα αὐλητοῦ.
Κρεσφόντην] Ἡρακλέους ἦν υἱὸς ὁ Κρεσφόντης.
Ἐγὼ Βάταλος] κατά σε.
Χρήσιμος] τῇ πατρίδι.
Σκιροφοριῶνος] Μαΐου.
289, 4. Ὑπεριδὼν] ἀθετήσας.
Δίκαια] ἤγουν τὸ τηρεῖν τοὺς ὅρκους.
Παραιρεῖται] δηλώσει.
Προσηκούσας] ἁρμοζούσας.
Δορυαλώτους] αἰχμαλώτους.
Οὐδὲν] κατ' οὐδέν.
Τῷ παρόντι] καιρῷ.
Προάγει] προάγεται.
Ἃς μὲν ἐμφρούρους ποιεῖ] εἰς τινὰς ἐνέβαλεν οἰκείαν φρουράν.
Πολιτείας] δημοκρατίας.
Κατασκάπτει] ἀφανίζει.
Ἐπὶ τὰ ἱερὰ] ἐπὶ τὸ κατασκάψαι τοὺς τάφους καὶ τὰ ἱερά.
Ἀνελπίστως] παρὰ τὴν ἑαυτοῦ ἐλπίδα.
πλημμελεῖσθαι] ἁμαρτάνειν.
Τοῖς θεοῖς] ἤγουν τοῖς ἐγχωρίοις θεοῖς, ὡς Ἀθηνᾷ, καὶ τὰ ἑξῆς.
290, 3. Ἐντὸς Πυλῶν] εἰς τὰς Θερμοπύλας.
Τῆς ἐκείνων] τῶν Θηβαίων.
Εἰδὼς] ὁ δῆμος.

Τοῖς Ἡρακλέους ἐγγόνοις] ὅρα ὅτι Θηβαῖοι εὔχονται εἶναι ἀπόγονοι Ἡρακλέους, ὡς ἐκ Θηβῶν ἐκεῖνος.
291, 1. Ἀποστήσεται] στερήσεται.
Συνθέσθαι] συμφωνῆσαι.
Αὕτη] σημείωσαι κατὰ ἀπόστασιν.
Τὰ πρὸ τούτων] τῶν καιρῶν, τὰ πρότερον.
Ὑπὸ τούτων] τῶν δωροδόκων.
Ἄλλων] πραγμάτων.
Ὁ μὲν γὰρ] σύμβουλος δηλαδή.
Γνώμην] λογισμὸν, βουλήν.
Ἀποφαίνεται] καθαρῶς.
Σιγήσας] ὁ συκοφάντης.
Δύσκολον] δυστυχὲς ἀπὸ τύχης.
Βασκαίνει] μέμφεται.
Φροντίζοντος ἀνδρὸς] τοῦ ἀρίστου συμβούλου.
Βέλτιον] φρονιμώτερον.
Ἑώρακεν] ἐνόησε.
Ὅλως] καθόλως.
Συνήνεγκεν] ὠφέλησε.
ἦν] ὁ νενοηκώς.
292, 2. Ἐνόντων] δυνατῶν.
Οὐ τότε] ἔδειξας δηλαδή.
Τουτουσὶ] τοὺς Ἀθηναίους.
Τὸ παρὸν] τὸ ἐνεστώς.
Τότε τοίνυν] κατ' ἐκεῖνον τὸν καιρόν.
Τότε τοίνυν τὰ μὲν] σημείωσαι· ζήτει τὸν Ἀπιανὸν λέγοντα τὸ ἐναντίον. B.
Πέρας] ἡ ἔκβασις τοῦ πράγματος.
Κρατῆσαι] νικῆσαι.
Τῷ θεῷ] ἢ τῇ δυνάμει τοῦ θεοῦ.
Κατ' ἀνθρώπινον λογισμὸν] καθὼς ἐστὶ λογισμὸν ἀνθρώπου νοῆσαι.
Ἐνεστησάμην [ἔταξα.
Σκηπτὸς] κεραυνός.
Μείζων γέγονε] ἤγουν περιεγένετο.
293, 2. Κατασκευάσαντα] ἀπαρτίσαντα.
Χειμῶνι χρησάμενον] διαφθορὰν περιτυχόντα.
Ἐκείνη τῶν πάντων] κυρία δηλονότι.
Εἵμαρτο πρᾶξαι] πεπρωμένον ἦν δυστυχῆσαι δηλαδή.
Ὑπὲρ τοῦ] ἤγουν ὑπὲρ τοῦ μὴ τοῖς Θηβαίοις ὁμόνοιαν μεθ' ἡμῶν ποιήσασθαι.
Περιέστη] περιέσχε.
Νῦν μὲν] Τὸ νῦν ἐνταῦθα τμῆμα χρόνου δηλοῖ, καὶ ἔστιν παρεληλυθότος.
Θεῶν τινὸς εὔνοια] σὺν τῇ εὐνοίᾳ τῶν θεῶν. Ἀντὶ τοῦ χρήσασθαι τῇ συμμαχίᾳ ὡς προβλήματι, τοῦτ' ἔστιν ἀσφαλείᾳ.
Κατηγορεῖς] παραγραφικόν.
293, 21. Ἔστι δὲ ταυτὶ πάντα] Παραγραφικὸν προοίμιον σημείωσαι· ὡραῖον πάνυ καὶ ὅτι ἑβδομηκοντάκις διὰ τούτου τοῦ λόγου τοῦτο παρέλαβε. RSY. Σημείωσαι δὲ τὸ παραγραφικόν· θαυμασίως γὰρ καὶ ὑπὲρ λόγον ἐποίησε· τοὺς μὲν γὰρ παραγραφικοὺς λόγους τῷ ἀντιδίκῳ προσέπλεξε πρὸς αὐτὴν ἀποτεινόμενος καὶ ἀποστρέφων τὸν λόγον, τοὺς δὲ τῆς ἀπολογίας τοῖς παροῦσι καὶ τοῖς δικάζουσιν. R.
293, 24. Ἐπεὶ] σημείωσαι· σχῆμα διλήμματον. B.
Ἄλλων] πραγμάτων δηλονότι.
294, 5. Ὀκνήσας] ἤγουν φοβηθεὶς τὸν κατ' ἐμὲ δοκοῦντα κίνδυνον.

Ὑπολογισάμενος] φροντισάμενος.
Τούτοις] τοῖς ῥηθεῖσιν ὑπ' ἐμοῦ δηλαδή.
Χρήσιμον] χρειῶδες.
Ἐνευδοκιμεῖν ἀπέκειτο] ἔμελλε τὰ Ἑλληνικὰ παθήματα εὐδοκιμεῖν, ἐπαγαγεῖν τούτῳ.
Συνενηνόχασιν] ὠφέλειαν καὶ λυσιτέλειαν ἐκόμισαν οἱ τῆς δυστυχίας καιροί.
Πολιτεύῃ] ἴδιον βασκανίας. ΒΥΡ.
Οἷον οὐκ ἔδει] πρᾶγμα ἀσύμφορον.
Ὥσπερ τὰ ῥήγματα] Σημείωσαι· σχῆμα πάρισον κατ' ἀντιστροφήν. ΒΥΡ.
Ἔγκειται] ἐπεμβαίνων δηλονότι.
295, 5. Δοχῇ] τὸ ἀποτυχεῖν δηλαδή.
Προεστάναι] καθ' ὃν καιρὸν λέγω ἐγώ.
Τούτου] τοῦ ἄρχειν δηλονότι.
Αἰτίαν] μέμψιν.
Προεῖτο ἀκονιτὶ] προδέδωκε χωρὶς ἀγῶνος ἢ βίας.
Μὴ γὰρ τῆς πόλεως] οὐ γὰρ κατέπτυσε τῆς πόλεως δηλαδή.
Περιέστη] εἰς δυστυχίαν δηλονότι.
Πάτρια] τὰ ἔθη.
Ἔμφυτα] φυσικά.
296, 1. Σεμνὰ] σεβάσμια.
Εἰς τὰς τριήρεις ἐμβάντες] αἰνίττεται τὸν Περσικὸν πόλεμον.
296, 9. Τὸν δ' ὑπακούειν] περὶ Κυρσίλου. Β.
Τοῦτο ποιεῖν] τὸ ζῆν ἀσφαλῶς.
Τῷ πατρὶ καὶ τῇ μητρὶ] ἤγουν χάριν τοῦ πατρὸς καὶ τῆς μητρός.
Αὐτόματον] φυσικόν.
Προήγαγον] προεκαλεσάμην.
Ἐπιτιμήσειέ μοι] ἀντὶ τοῦ πᾶς ἂν ἐπετίμησε.
Τὸ φρόνημα] τὴν προαίρεσιν.
Ἐφ' ἑκάστοις] πράγμασι δηλονότι.
Μετεῖναι] μετουσίαν εἶναι.
297, 1. Πικρῶς ἔχειν] ὠμῶς διακεῖσθαι.
Τὸ παρὸν] τὸ ἐνεστώς.
Ἡμαρτηκέναι] ἐκπεσεῖν τοῦ ὀρθῶς ἔχειν ὡς πεισθέντες ἐμοὶ δηλονότι.
Ἀγνωμοσύνῃ] ἤγουν ἀδικίᾳ.
Παθεῖν] ἀλλ' ὑπ' ἐμοῦ δηλαδή.
Δημοσίοις μνήμασι] ἤγουν κοινοταφίοις.
Κρατήσαντας μόνους] ἀλλὰ καὶ τοὺς μηδοτιοῦν ἐκεῖσε δηλαδὴ ποιήσαντας.
Γραμματοκύφων] ἀντὶ τοῦ ταπεινὲ γραμματεῦ, διότι οἱ γραμματεῖς προσκεκυφότες γράφουσιν. Υ. Ὑπογραμματεύς. Ρ.
Προσεδεῖτο] χρείαν εἶχον.
298, 3. Καθ' ἡμέραν βίου] δεῖ κρίνειν ἑκάστους δηλαδή.
Συμβόλαια] τὰ κοινῶς συναλλάγματα.
Κοινὰς προαιρέσεις] δεῖ κρίνειν δηλονότι.
Ἀξιώματα] φρονήματα.
Συμβόλῳ] σημείῳ· σύμβολον σημεῖόν τι ὅπερ ἐπάνω τῆς κεφαλῆς εἶχον οἱ κριταί.
Τὸ φρόνημα] τὸ διανόημα.
Δημόσια] πράγματα δηλονότι
Ἐκείνων] τῶν προγόνων δηλαδή.
Χρῆναι] χρεὼν εἶναι.
Ἄ] τινά.

Παρέδην] παρέδραμον.
Συμμάχων] τοῦ Φιλίππου δηλονότι.
Τύχην] φάσκει δηλαδή.
Οὐδενὸς] οὐδὲν ὑμῖν προξενῶ ἀγαθόν.
Αὐτῷ] κατὰ τὸν Αἰσχίνην, τουτέστιν ἡ ἐμὴ συμβουλὴ κατὰ τὸν Αἰσχίνην ἀλυσιτελής ἐστιν.
299, 1. Μέχρι τούτου ἀνελλιπῶς ἔχει καὶ τὰς ἐπιστολὰς καὶ τὰ ψηφίσματα καὶ τοὺς μάρτυρας. R.
299, 2. Ἐπειδὴ τοίνυν] μέχρι τούτου ἀνελλιπῶς ἔχει καὶ τὰς ἐπιστολὰς καὶ τὰ ψηφίσματα καὶ τοὺς μάρτυρας.
Ἐκείνους] τοὺς Φιλίππου πρέσβεις.
Προτέρους] ἡμῶν δηλαδή.
Ἐπράξατε] ἠναντιώθητε.
Διϊέντας] δίοδον διδόντας.
Συνεμβαλόντας] συστρατεύοντας καθ' ἡμῶν μετὰ τοῦ Φιλίππου.
Ἔφασαν] ἔλεγον δηλαδὴ ὅτι ἐξ ὧν ὑμῖν συμβουλεύουσιν Ἀθηναῖοι εἰ πεισθῆτε, διαρπασθήσεται τὰ βοσκήματα ὑμῶν.
Καθ' ἕκαστα] ἤγουν κατὰ μέρος.
Ἀντὶ παντὸς] ἀντὶ τῆς ζωῆς μου ἠρεθισάμην τὸ λεπτολογῆσαι αὐτὰ καθ' ἕκαστον.
Κατακλυσμὸν] κατάχυσιν· ὡς γὰρ κατακλυσμὸς συνελθὼν ὁ Φίλιππος πάντα ὑφ' ἡμῶν ἀπῆρεν.
Μετὰ ταῦτα] μετὰ τὸ πεῖσαι ἡμᾶς.
Οἰκείως] συγγενικῶς.
300, 1. Δέχεσθαι] καθ' ἣν εἰσεδέξαντο τὴν στρατιὰν ἐντὸς τῶν Πυλῶν.
300, 3. Καθ' ὑμῶν] ἀντὶ τοῦ ὑπὲρ ὑμῶν· ὁ δ' Ὅμηρος τοὐναντίον τὸ ὑπὲρ ἀντὶ τοῦ κατά·

ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω.

Ὑφ' ὑμῖν] ἐπὶ τῇ ἐξουσίᾳ τῇ ὑμετέρᾳ.
Κατά γε ὑμᾶς] κατὰ τὴν ὑμετέραν γνώμην.
Συμπαραταξάμενοι] μετὰ παρατάξεως πεποιηκότες τὰς μάχας.
Τῷ κόσμῳ] τῶν ὅπλων δηλαδή.
Ταῖς παρασκευαῖς] συντάξεσι δηλονότι.
Πομπαὶ] πανυγήρεις.
Καὶ ἔγωγε] σημείωσαι· σχῆμα διλήμματον. ΒΡ.
Ζήλου] μακαρισμοῦ.
Δυσμεναίνων] φθονῶν, ἐχθαίρων, δηλαδή.
Ἐξητάζετο] συνηριθμεῖτο.
301, 1. Ὀμωμοκότας] δικαστάς.
Περιειστήκει] περιεγένετο ἡμῖν.
Οὗτοι] οἱ περὶ τὸν Αἰσχίνην.
Ἐπὶ τούτοις] ἕνεκεν τῶν συμβάντων.
Ἡ ἐμὴ συνέχεια] ἤγουν ἡ πλησμονὴ τοῦ δημηγορεῖν καὶ τοῦ ψηφίζεσθαι, ἐξ ὧν πεπλάνησθε καὶ τεταλαιπώρησθε, ὡς οὗτός με διαβάλλει λέγων.
Ἔνδοξοι] ἐπὶ τῇ ἰσχύϊ τῆς γλώττης.
301, 19. Κέφαλος] πρὸ Δημοσθένους ἦν. ΒΡ.
Πρεσβεύων] πρεσβευτὴς γενόμενος.
Ἀναφορὰν] μετάθεσιν τῆς ἀληθείας.
Διδόναι] ἐμαυτῷ δηλαδή.
302, 1. Ἐδόκει δηλονότι.
Τούτων] τῶν λόγων δηλαδή.
Τῇ πόλει] κατὰ τῆς πόλεως.
Ἐπαιρόμενος] ἐπαίρων.
Τουτωνὶ] τῶν δικαστῶν.

Ἀποπεφευγότα] ἤγουν ἔξω τῆς κατηγορίας γιγνόμενα.
Γραφέντα] κατηγορηθέντα.
Τῷ γραψαμένῳ] τῷ Διώνδᾳ.
Γράφοντα] περὶ ἐμοῦ δηλονότι.
Τόνδ'] τὸν Κτησιφῶντα.
Γνώσεις] ὅτι ἐκυρώθησαν ὑπὸ τῆς βουλῆς.
Τοῦτον αὐτὸν] τὸν Αἰσχίνην.
Ἐκείνων] τῶν ψηφισμάτων.
303, 1. Γραψάντων] ψηφισαμένων.
Οὗτος] ὁ Κτησιφῶν.
Πραχθέντων] ὑπὲρ τῶν ἀρίστων πολιτευμάτων τῶν ὠφελούντων τὴν πολιτείαν.
Τούτων] ὧν εἶπον.
Ἐκλέξαντα] χωρίσαντα.
Μετενεγκόντα] μεταβιβάσαντα.
Μεταθέντα] μετὰ παραδρομὴν χρόνων ἐπάγοντα.
Τὰ πράγματα] τὸ κατηγορῆσαι αὐτὰ τοῦτον.
Ἐλέγχους φυγὼν] τοὺς ἐγγὺς τῶν πραγμάτων ἐλέγχους φυγών.
Ῥητόρων] δημηγόρων.
Λόγων] προφορικῶν δηλονότι.
Ἧκετ' ἔχοντες] τουτέστι περὶ ἐμοῦ μὲν ὑπολαμβάνειν μεγάλα, περὶ δὲ τούτου μικρά.
Μεταπείθειν] τὰς ὑπολήψεις, τουτέστιν, ἐμοῦ μὲν λέγοντος περὶ τῆς πατρίδος, τούτου δὲ ὑπὲρ Φιλίππου.
304, 3. Τὴν δόξαν] περὶ ἑκατέρου ὑπόληψιν.
Πραγμάτων] χρημάτων.
Λογισμὸς] λογαριασμός.
Βραχέσι] ῥήμασι.
304, 7. Ἡ γὰρ ἐμὴ πολιτεία] κατὰ κῶλον ἐπαναφορά. B.
Ἑπτακόσια στάδια] μίλια μη'.
Ἀντανελεῖν] ἀνταναιρεῖσθαι.
Φιλανθρωπίας] τουτέστι διὰ τὸ φιλανθρωπεύεσθαι πρὸς ὑμᾶς ἐκεῖνον, ὅτι περ ἦμεν παρ' ἐκείνου ζητοῦντες.
Περιβαλλόμενος] περιπλεκόμενος rec. T. Μηχανὴν περιτιθεὶς περὶ τὰ λοιπὰ τῶν πραγμάτων.
305, 3. Γέγονε] ἤγουν αὔξησιν ἔλαβον.
Ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων] ἀλλ' ἔξω τοῦ δέοντος ἐκίνησαν.
Ἐσκόπει] ἀνελογίζετο ὁ βουλόμενος ἐξετάξειν ἐμέ.
Ἐπιστὰς ἐγὼ] ἐπιστάτης γενόμενος τοῖς πράγμασι.
Πέφευγας] τὸ τὰ πράγματα ἐξετάζειν.
Δικαίως] μετρίως.
Σύνταξιν] συγκρότησιν.
Προεξηλεγμένα] προηπατημένα.
Οἰκείων] ἐγχωρίων.
Παρεσκευάκεισαν] ἡτοίμασαν.
Ἐγγυτέρω] εἶναι δηλαδή.
Οὗτοι] οἱ περὶ τὸν Φίλιππον.
Ἔπραττεν] ἐκεῖνος.
306, 1. Προλέγων] τὸν πόλεμον.
Φεύγων] κατηγορούμενος.
Ἁπλῶς] καθολικῶς εἰπεῖν.
Τοῦτον] τὸν Φίλιππον.
Περιγένοιντο] κρείττονες ἐγένοντο.
Τύχοι πρόφασιν] διὰ τὴν τυχοῦσαν πρόφασιν.
Ἀφ' ὧν] εἶπον δηλονότι.
Συντέλειαν] συνεισφοράν.
Εἰ δὲ λέγεις] ὅτι δίκαιον ἦν κἀκείνους ὡς τὴν αὐτὴν παρασκευὴν ἡμῖν ποιῆσαι.
Ἐλαττοῦσθαι] ἔλαττον ἔχειν ἑαυτήν.
307, 1. Τί γὰρ νῦν λέγεις] Διφορεῖται ἡ ἀνάγνωσις· ἄλλως γὰρ ἀναγινώσκεται στιγμῆς ἐν τῷ λέγειν μεσιτευούσης, καὶ ἄλλως ἐν μόνῳ τῷ πράττειν τιθεμένης. BFP.
Ἐνεδέχετο] δυνατὸν ἦν εἰπεῖν.
Προσθήσων] δώσων ἐκείνοις.
Ἕτοιμος] Φίλιππος.
Ἀκριβολογουμένου] ἀκριβῶς περὶ τούτων ἐξετάζοντος τῶν δικαίων.
Ἀπῆλθον] ἀφ' ἡμῶν.
Ἐξεδόθησαν] ὑπ' ἐμοῦ παρεδόθησαν.
Ἀπηλάθησαν] ὑφ' ὑμῶν.
Ὅμορος] πλησιόχωρος.
Βάσκανον] μεμψίμοιρον.
Κίναδος] ἀναιδὴς καὶ ἀναίσχυντος ὁ Αἰσχίνης. Πραγματικὴ ἡ σύνταξις· μαλθακὸς, ἀνδρόγυνος, βδελυρός. P. Περιβολὴν ἐποίησεν ἔξωθεν προσλαβών· γένος μέν ἐστιν ὁ συκοφάντης, εἶδος δὲ τοῦτο δὲ φύσει κίναδος τἀνθρώπιον. B.
Ἐξαρχῆς] ἀφ' οὗ ἤρξατο πολιτεύεσθαι.
Ἐλεύθερον] πεπαρρησιασμένον.
Αὐτοτραγικὸς πίθηκος] οἴκοθεν καὶ ἀφ' ἑαυτοῦ ἔχει τὸ πιθηκίζεσθαι.
Κάμνουσι] νοσοῦσι.
308, 2. Τὰ νομιζόμενα] τὰ κατὰ νόμους φερόμενα τοῖς νεκροῖς.
Γαυριᾷς] ἀλαζονεύῃ.
Τῶν παρ' ἐμοὶ] πολιτευμάτων δηλονότι.
Λογίζεσθε] ὡς ῥηθήσεται δηλαδή.
Τῷ λόγῳ] τῷ ἐμῷ δηλονότι.
Κατεστρέφετο] ἐκεῖνος δηλαδή.
Μαλακίαν] χαύνωσιν.
Τοῖς λόγοις] κύριος ὤν.
Σκαιὸς] ἀπαίδευτος.
Οὐ παραιτοῦμαι] οὐκ ἀθετῶ.
Τίνα οὖν ἐστι ταῦτα] ὧν εἰμι ὑπεύθυνος.
Ὄκνους] ἀναβολάς.
309, 1. Ἀναγκαῖα] φυσικά.
Ἐλάχιστον] ὀλιγώτερον.
Προτρέψαι] παρακινῆσαι.
Κατ' ἐμὲ] ὅσον τὸ εἰς ἐμὲ ἧκον.
Τίσι] διὰ τίνων ὀργάνων.
Διδόναι] ἤγουν χρήματα.
Διαφθείρειν] δωροδοκεῖν τοὺς ῥήτορας.
Ὁ λόγος] ἡ ἀπολογία.
Λαβὼν] τὰ χρήματα.
Ὠνούμενον] τὸν δῶρα διδόντα.
Κατ' ἐμὲ] κατὰ τὴν δύναμιν ἐμοῦ.
Τοῦτον] τὸν Κτησιφῶντα.
Τὰς ἐμὰς γνώμας] τὰ ἐμὰ ψηφίσματα.
Φυλακῆς] τῆς τηρήσεως τῆς πόλεως.
310, 2. Σιτώνην] ἀγοράζοντα σῖτον.
Συστάντων] συναθροισθέντων.
Γραφὰς] κατηγορίας.
Δι' ἑαυτῶν [αὐτοπροσώπως.
Ἀπείρατον] ἀπρόσβλητον.
Τὰ εὔορκα] ἀληθῆ, δίκαια.
Ἀπεψηφίζεσθέ μου] ἤγουν ἀπεκρούσασθε τὴν ψῆφον δι' ἐμὲ, ἀθῷόν με ἐποιεῖτε ταῖς ψήφοις.
310, 25. Οὐχ ὁ τὸν δῆμον] κατὰ κῶλον ἐπαναφορά. BRYP.

Μηδεμίαν γραφὴν φυγεῖν] τὸ μηδ' ὅλως κατηγορηθῆναι, ἤγουν ἴσως ἐστὶ τῷ μηδ' ὅλως φυγόντι.

310, 29. Φυγεῖν] εὐθυνθῆναι. BRY.

Ἀλλὰ τί μᾶλλον] ἀντὶ τοῦ οὐδὲν μᾶλλον.

311, 1. Φυγὼν] κατηγορηθείς. BRYP.

Τοῦτον] τὸν Αἰσχίνην.

Ἐγράψατό με] ὁ Αἰσχίνης.

Ἀγνωμοσύνην] ἀκρισίαν.

Τύχην προφέρει] τὰ τυχηρὰ συμπτώματα ὀνειδίζει.

Θεωρήσατε] ἐξετάσατε.

Ἀνθρωπινώτερον] ὅσον ἁρμόζει εἰς ἀνθρωπίνην φύσιν.

Ἐπέχει] κρατεῖ.

Προσκροῦσαι] πταῖσαι.

312, 2. Μέρος μετειληφέναι] ἤγουν μετέσχομεν καὶ ἡμεῖς τῆς ἐναντίας τύχης ἐκ μέρους.

Ἰδίαν τύχην] τὴν μερικὴν δυστυχίαν.

Νομίζω δὲ] ὅμοιον τῷ καὶ ὡς ἐμαυτὸν πείθω λίαν ὀρθῶς.

Κυριωτέραν] ἰσχυροτέραν.

Ψυχρότητα] ἀναισθησίαν.

Προπηλακίζει] φανερῶς ὑβρίζει.

Χαλεποῦ] τοῦ ἐπικειμένου.

Ἐνόντων] δυνατῶν.

Ὑπῆρξεν] ἐγένετο.

Τὰ προσήκοντα] ἁρμόδ

Τούτοις] τοῖς προϋπηργμένοις.

Ἀπολείπεσθαι] ἀμοιρεῖν.

Χρήσιμον] λυσιτελῆ.

Πρὸς τὰ κοινὰ προσῆλθον] ἡψάμην τῶν πολιτικῶν πραγμάτων δηλαδή.

313, 3. Τοὺς ἐχθροὺς] τοὺς κατὰ σὲ τὸν Αἰσχίνην.

Συμβεβίωκα] συνεκληρώθην κατὰ τὸν βίον.

Σεμνὸς ἀνὴρ] εἰρωνικῶς.

Διαπτύων] φαυλίζων, ὑβρίζων.

Παιδαγωγεῖον] σχολεῖον.

Κορῶν] φιλοκαλῶν.

Νεβρίζων] νεβρίδα περικείμενος.

Κρατηρίζων] κρατῆρα κατέχων.

Ἀπομάττων] ἀπομοργνύς.

Ὑπέρλαμπρον] ταῖς μὲν νυξὶν οὕτως ἦσθα ποιῶν.

Θιάσους ἄγων] ὁδηγῶν τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ καὶ τιμῇ τῶν θεῶν, ὑποκρινόμενος.

313, 26. Εὐοῖ σαβοῖ] βακχικὸν τὸ ἐπίφθεγμα κατὰ τὴν τῶν Φρυγῶν διάλεκτον, ἵνα οὕτως ἔχῃ, εὖ οἱ μύσται. Ἀπὸ τούτου μέντοι καὶ ὁ Σαβάζιος Διόνυσος. BFHRYP.

313, 28. Κιστοφόρος] ὁ φέρων τὰς κοίτας.

Κιττοφόρος] ἐστεμμένος κιττῷ.

Λικνοφόρος] παρὰ φύλαξι τιμώμενος. BP.

314, 1. Ἔνθρυπτα] τὸ ἐκ πέμματος, ὅς ἐστι πλακοῦς, ἢ τὸ ἐνθρυβόμενον βρῶμα. Εἰσὶ δὲ ψωμοὶ οἴνῳ βεβρεγμένοι, οἷς ἐπίκειται, ὥς φασι, καὶ φακῆ. YHR.

Ψωμοὶ ἦσαν οἴνῳ βεβρεγμένοι, οὓς ἐποίουν εἰς σκάφην ἄρτους διαθρύψαντες καὶ φακῆν ἐπισκεδάσαντες. BFP.

νεήλατα] ἄλευρα νεωστὶ ἀληλεσμένα.

Ἐνεγράφης] ἐνετάγης.

Ἀρχιδίοις] ἤγουν τοῖς χαρτοφυλακείοις, τοῖς δημοσίοις οἴκοις, ἔνθα οἱ δημόσιοι χάρται ἔκειντο. P. Γράφεται τοῖς ἀρχείοις. Λέγει δὲ τοῖς χαρτοφύλαξιν. B.

Τοῖς βαρυστόνοις] τοῖς ἀξίοις βαρέων στεναγμῶν.

Ἐτριταγωνίστεις] πολλάκις ἠγωνίζου.

Ὀπωρώνης] ὁ ὠνούμενος τὰς ὀπώρας.

Ἀπὸ τούτων] τῶν βαρυστόνων ὑποκριτῶν.

Ἠγωνίζεσθε] Πρὸς τοὺς ἄλλους Ἀθηναίους τοῦτο λέγει.

Ἄσπονδος] ἀκατάλλακτος.

Ἀκήρυκτος] σύντονος.

Ὑφ' ὧν] θεατῶν δηλονότι.

Παρεὶς] ἐγὼ, ὅτι πένης ὢν ταῦτα ἐποίει.

Ἐπῆλθέ σοι] ἐνθύμιον ἔλαβες.

Δι' ἣν] τὴν πολιτείαν δηλαδή.

Συνῄδεις] διὰ τὰ ἀδικήματα ἅπερ ἐποίεις.

Ὤφθαι] ἐθεάθης.

315, 4. Παράλληλα] παρακείμενα.

Ἐτέλεις] τὰ τοῦ Διονύσου μυστήρια ἐδίδασκες.

Ἐγραμμάτευες] ὑπογραμματεὺς ἦσθα.

Ἐκκλησίαζον] τῆς βουλῆς μετεῖχον.

315, 6. Εἶτ' ἐρώτησον τουτουσὶ] Σημείωσαι· σχῆμα ἀντίθετον. Ἀντίθετον δέ ἐστι σχῆμα τὸ διπλασιάζον πάντα τὸν ὑποκείμενον νοῦν, εἴ τις τοῦ κατὰ φύσιν ζητουμένου ἐναντίον λαμβάνων καταβαίνοι εἰς τὸ ὑποκείμενον. Καὶ τοῦτο μέν ἐστι τῆς λέξεως, ὅπερ καὶ καθ' ὑπόθεσιν λέγεται· τοῦτο δὲ τὸ ἀντίθετον τῆς διανοίας ἐστὶ σχῆμα διανοήματι διανόημα ἀντικείμενον. BY.

315, 11. Ἐσύριττον] φωνὴ ἄσημος. B.

Δοκιμάζομαι] ἄξιος κρίνομαι.

Ἀνωμολόγημαι] ἤγουν πεφανέρωμαι ἀπὸ τῆς ὁμολογίας πάντων ὅτι οὐκ ἀδικῶ.

Τοῦτο ποιεῖν] συκοφαντεῖν.

316, 4. Ἐλυσάμην] διὰ λύτρων ἠλευθέρωσά τινας ἐκ τῶν πολεμίων.

Συνεξέδωκα] συνεπροίκισα.

Ὑπείλημμαι] ὁποίαν ὑπόληψιν ἔχουσι πρός με.

Πάντων] τῶν κακῶν δηλονότι.

Τύχην κοινὴν] δυστυχίαν.

Αἰτίαν] γενομένην δηλονότι.

317, 1. Ὅλον μέρος] τῆς ἀτυχίας ἀφ' ὑμῶν ἦν δηλαδή.

Παρῆτε] παρετυγχάνετε.

Ἐλπίδων] ἕνεκα δηλονότι.

Ζήλου] μακαρισμοῦ.

Διωρισμένα] διευκρινημένα, κεχωρισμένα.

Ἐξήμαρτέ τις] ἔξω τοῦ δέοντος ἐγένετο.

Οὕτως] ἔχοντα δηλαδή.

Τοῖς ἄλλοις] οἷς εἶπε δηλονότι.

Ἁπλῶς] περιέργως.

318, 1. Ἐξαπατήσω] αὐτοὺς δηλαδή.

Δεινὸν] πονηρόν.

Γόητα] ἀπατεῶνα.

Ἐν τοῖς κοινοῖς] πράγμασι δηλονότι.

Ἐξεταζομένην] φαινομένην.

Προσέκρουσε] ἠναντιώθη.

Ἀλλὰ μάλιστα] παρέπονται τῇ φύσει ἐγκείμενα ἔχειν.

Σφοδρὸν] τῷ θυμῷ δηλαδή.

Κινδυνεύεται] εἰς κίνδυνον ἔχεταί τι τῆς πόλεως.

Ἐν τούτοις] δεῖ ἔχειν τὴν ὀργήν.

319, 3. Συνεσκευασμένον] αὐτὸν τὸν Αἰσχίνην τεχνουργήσαντα καὶ μεμηχανευμένον.

Χρηστοῦ] ἀνθρώπου δηλαδή.

Κακίαν] ἀκέραιον.

Φωνασκίας] φωνῆς ἀσκήσει καὶ μεγαλοφωνίᾳ. BYP.

Τοῖς πολλοῖς] τοῖς δημόταις.

319, 17. Οὐχ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς] Παροιμία ἐστὶν ἐλλειπτικῶς λεγομένη. Προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας. Α.

Οὐκ ἐπὶ τῆς αὐτῆς] οὐ τὰ αὐτὰ λογίζεται.

Χρείαν] ὑπηρεσίαν.

319, 26. Καίτοι τίς] πολύπτωτον. Β.

320, 2. Οὗτος] ἀντὶ τοῦ τοιοῦτος. Β.

320, 3. Τουτωνὶ] τῶν δικαστῶν.

Ἡγῇ] ἤγουν νομίζεις.

Διομνύμενος] διϊσχυριζόμενος μετὰ ὅρκου.

Ἀλλ' ἐμὲ] ἔφης δηλαδή.

Τούτων] τῶν προειρημένων λόγων.

Ξενίαν] ὑποδοχήν. ΥΡ.

320, 15. Ξένος] ὑποδεχόμενος. ΒΡ.

Ἠμνημόνησε] ἡ πόλις δηλαδή.

Ἐροῦντα] τὸν λέξοντα ἐγκώμιον δηλαδή.

321, 15. Ἐκείνους] τεθνεῶτας.

Παιωνίζειν] εὔχεσθαι καὶ τοῖς θεοῖς χάριν ὁμολογεῖν· παιὼν γὰρ ὕμνος χαριστήριος. ΒΡ.

Αὐτοχείρων] αὐτοκρατόρων.

Ἐπὶ τὰς ταφὰς] ἐπὶ τὸ θάπτειν.

Ἄλλως πως] εἶπον δηλαδή.

Ἀλλὰ δέον ποιεῖν] ἀλλὰ κἀκεῖνοι συνεφώνησαν τῇ χειροτονίᾳ τοῦ δήμου.

Περίδειπνον] ἡ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίασις γινομένη. ΑR. τὴν εὐωχίαν τὴν ἐπιτάφιον.

Παρ' ἐμοὶ] παρὰ τῇ ἐμῇ οἰκίᾳ.

Διέφερεν] κέρδος ἦν.

Δημοσίᾳ] συμφωνίᾳ τοῦ δήμου.

Δῆριν] μάχην.

Ἀντιπάλων] ἐχθρῶν.

Ἀπεσκέδασαν] διεσκόρπισαν.

Μαρνάμενοι] μαχόμενοι.

Ἀρετῆς] ἕνεκα δηλαδή.

Δείματος] φόβου οὗ εἶχον ὑπὲρ τῆς πατρίδος.

Βράβην] βραβεῖον.

Ἔστι] ἴδιον δηλονότι.

Γνώμην] προαίρεσιν.

323, 1. Λαρυγγίζων] πλατύνων τὴν φωνήν.

Ἐξέφερε] κατὰ τὸ φαινόμενον.

Καὶ εἰ μηδὲν ἄλλο] λέγει φροντίζειν τῶν νόμων καὶ τῆς πολιτείας.

Πάντων] τῶν κακῶν.

Πράγματα] ὀχλήσεις.

Προαιρέσεως] θελήματος.

Ἐπιτιμῶ] ἐπιπλήττω αὐτῷ ὡς ἐψευσμένῳ.

Φιλιππισμὸν] φρονοῦντα τὰ τοῦ Φιλίππου.

324, 6. Ἕκαστοι] τῶν προδοτῶν.

Ἐποίησαν] τοὺς ἑαυτῶν πολίτας.

Μιαροὶ] φονεῖς.

Προπεπωκότες] ἤγουν προδεδωκότες.

Ἕλλησιν] ἤγουν τοῖς προγόνοις τῶν Ἑλλήνων.

Ἀνατετραφότες] καταλύσαντες.

Συστάσεως] πλήθους τῶν πολιτῶν.

325, 1. Ληρεῖν] πολυλογεῖν.

Ἐπῆρεν] ἤγουν παρεκίνησεν.

Προηγάγετο] ἐξήγαγε.

Ἀδιαφθόρου] ἀδωροδοκήτου.

Τῶν κατ' ἐμαυτὸν] τῶν κατὰ τὴν ἐμὴν τάξιν.

Προστὰς] προστάτης γεγονώς.

Τὸν δὲ τειχισμὸν] τὸν καθαρισμὸν τῆς τάφρου.

Τίθεμαι] λογίζομαι.

Οὐδ' ἐπὶ τούτοις] οὐκ ἐπὶ τῷ τειχισμῷ καὶ ἐπὶ τῇ ταφρείᾳ μέγα φρονῶ, ἀλλ' ἐπὶ τῶν ἑτέρων ἐμοῦ πράξεων.

Προὐβαλόμην] φυλακτήριον ἔθηκα ἔμπροσθεν τῆς Ἀττικῆς.

326, 2. Λογισμοῖς] ἐνθυμήμασι.

Παρασκευαῖς] παρατάξεσι τῶν ὁπλιτῶν.

Τῇ τύχῃ] ἡττήθησαν ὑπὸ τῆς τύχης.

Ἀποδείξεις] ὅτι οὐχ ἡττήθην ἐγώ.

Ὁμόρους] γείτονας τῇ Ἀττικῇ.

Παρὰ πᾶσαν φιλίαν] διὰ πάσης φιλικῆς γῆς.

Φαυλότης] ἀσθένεια.

Ἐλυμήνατο] λύμην καὶ φθορὰν ἐποίησεν.

327, 18. Ἀναμφισβητήτως] ὁμολογουμένως.

Θεραπεύειν] δι' ἐπιμελείας ἔχειν.

Βασκαίνειν] φθονεῖν.

Ἡσυχίαν ἄγειν] χρὴ τὸν ἀγαθὸν πολίτην.

328, 1. Ὕπουλον] δολεράν.

Ἀπλῶς] ἀπεριέργως.

328, 4. Πολλοῦ γε καὶ δεῖ] ἀντὶ τοῦ οὐδ' ὅλως. Β.

Ἀνθρώπινα] συμπτώματα δηλαδή.

Συνείρει] συμπλέκει.

Ἀπνευστὶ] ἀδιακόπως

Τῆς μελέτης] τῆς περὶ τοὺς λόγους φροντίδος δηλαδή.

Θέσεις] εἰσαγωγάς.

Ἀποδειχθεῖσι] φανεροῖς.

Τοῖς ἄνω] παλαιοῖς.

Οὐχ ὁποστοσοῦν] ἤγουν ἐν οὐδενὶ ἀριθμῷ.

328, 27. Τίς γὰρ συμμαχία] πολύπτωτον. Β.

329, 2. Πράξαντος] ὑπουργήσαντος.

Ξενικῶν] συμμάχων.

Ἐπισκευὴ] ἀνάκτησις.

Ἐπεδίδοσαν] συνεκρότουν.

Ἐπιτιμίαν] διὰ τιμὴν τῆς πόλεως.

Ἡγεμόνων τῶν συμμοριῶν] ἀρχόντων τῶν πραγμάτων τῶν ναυτικῶν.

Ἐκκρούσω] ἐκβαλῶ.

Τούτων] τῶν πολιτῶν.

330, 2. Συζῶντα] νῦν δηλονότι.

Ὕπεστί τις] ὕπεστιν ἐκείνοις φθόνος.

Κρίνομαι] ἐξετάζομαι.

Θεωροῦμαι] παραβάλλομαι.

Διὰ τὰς τῶν προτέρων εὐεργεσίας] διὰ ταύτας δηλαδὴ οὔσας μεγάλας κατηγορεῖν, καὶ τὰς παρ' ἡμῖν γενομένας τῇ πόλει οὔσας οὐκ ἀναξίας ἐκείνων.

Οἱ διασύροντες] οἱ διαβάλλοντες.

Τοὺς ζῶντας] τὸν νῦν χρόνον δηλονότι.

331, 8. Οὐδενὶ ἐξίσταμαι] οὐδενὶ παραχωρῶ τῶν πρωτείων δηλαδή.

Ἐφαμίλλου] ἴσης.

Ἐν κοινῷ] εἰς τὴν κοινότητα.

Διῳκεῖτο] ᾠκονομεῖτο.

Μισθαρνεῖν] δωροδοκεῖν.

Ἀσθενὴς] ἐπὶ πτωχείας.

Μέτριον πολίτην] τὴν ἰσότητα ἀγαπῶντα τῆς πόλεως, ἤγουν τῆς πολιτείας.

Ἀνεπιφθονώτατον] ἀμεμπτότατον.

Τοῦ γενναίου] γενναιότητα.

Τούτου] τῆς εὐνοίας.

Φύσις] τοῦ ἀνθρώπου.
Ἑτέρα] ἡ τύχη.
Ταύτην] τὴν εὔνοιαν.
Παρ' ἐμοὶ μεμενηκυῖαν] ἐφ' ἡμῖν ἐστι τὸ ἀγαπᾶν.
332, 4. Τὸ γὰρ ἐξαρχῆς] τοῦ πολιτεύεσθαί με.
Τούτοις] τοῖς φιλιππίζουσι.
Διαμενεῖ] ἤγουν ἡ εὐτυχία τῶν ἐχθρῶν.
Ἐξώλεις] Ἐξώλης ὁ ἄξιος ἀπωλείας, προώλης δὲ ὁ πρὸ τοῦ καιροῦ τοῦ θανεῖν αὐτὸν φθαρείς.

XIX. ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.

Ἡ μὲν ὑπόθεσις τοῦ λόγου στοχαστική· οὐ γὰρ συντρέχει τοῖς ἐγκαλουμένοις Αἰσχίνης, ἀλλ' ἀρνεῖται παντάπασι. Τὸ δὲ εἶδος οἱ μὲν ἁπλοῦν νενομίκασιν, ὕλης πολλῆς ὡς ἐν ἀληθείαις συνδραμούσης, οἱ δὲ συγκατασκευαζόμενον, δύο λαβόντες ἐγκλήματα, τὸ κατὰ Φωκέας καὶ Θρᾴκην. Μένανδρος δὲ ἐμπίπτοντά φησιν. Εἴληπται δὲ ἐκ διαβολῆς τὸ προοίμιον· δι' ὧν γὰρ αὐτὸν δεδιότα ποιεῖ καὶ δεόμενον, διὰ τούτων δείκνυσιν οὐ πάνυ τοῖς δικαίοις τεθαρρηκότα. BFSY.

341, 1. Ὅση μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι] Συγκρουστικὸν εὐθὺς τὸ προοίμιον ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ, οἷον τοῦ Εὐβούλου καὶ τῶν περὶ αὐτόν. Ἀεὶ γὰρ ὁ Εὔβουλος πολεμεῖ τῷ Δημοσθένει, ἐκ τῆς αἰτίας τῆς κατὰ Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου. ATCV. Σπουδὴ δὲ τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων αὐτοῦ συνηγόρων. Τὸ δὲ ἑωρακότας ἄρτι κατασκευή ἐστι τῆς προτάσεως. Δεῖ δὲ τὸν ῥήτορα μὴ μόνον τὴν κρινομένην ὑπόθεσιν συνορᾶν, ἀλλὰ καὶ τὰ λυποῦντα πρὸ τῆς ὑποθέσεως. Ἐπεὶ τοίνυν ἑώρα συνεστηκότας οὐκ ὀλίγους περὶ τὸν Αἰσχίνην, καὶ Εὔβουλον ἄνδρα τῶν εὐδοκιμούντων ἕνα, πρὸς τούτους ἀποτεινόμενος διδάσκει τοὺς ἀκούοντας πείθεσθαι τοῖς νόμοις καὶ τοῖς ὅρκοις μᾶλλον ἢ τοῖς συνηγόροις. Φυλακτέον δὲ ἐν προοιμίοις ἐπ' αὐτῶν ὀνομάτων ποιεῖσθαι τὰς διαβολάς· οὐ γὰρ ῥητορικὸν ἀρχόμενον πολλοῖς προσκρούειν. Ἀνύει δὲ πολλὰ διὰ τῆς ἐννοίας. Καὶ γὰρ διαβάλλει τὸν Αἰσχίνην ὡς μὴ ὑποθαρροῦντα ἐπὶ τοῖς δικαίοις ἐκ τοῦ καταφεύγειν ἐπὶ τοὺς βοηθήσοντας, καὶ πλήττει τοὺς περὶ τὸν Εὔβουλον ὡς κοινωνοῦντας, καὶ ὑπόπτους ποιεῖ τοῖς δικάζουσι τοὺς συνεστηκότας. Ἔτι γε μὴν αἰνίττεται καὶ τὸ ἰσχύσειν τοῖς δικαίοις αὐτός· οὐ γὰρ ἂν πολλοὶ συνῆλθον ἐπὶ ταύτην τὴν σπουδὴν, εἰ μὴ τὸν ἔλεγχον ἐδεδίεσαν. Ἔπειτα κρείττους ἀποφαίνει καὶ ἰσχυροτέρους τοὺς δικάζοντας τῆς τῶν πλουσίων δυνάμεως· ἐπ' αὐτοῖς γὰρ εἶναι ἰσχυροὺς ποιεῖν τοὺς πλουσίους καὶ μή. Τοῦτο δὲ χρήσιμον αὐτῷ πρὸς τὸ παρασκευάζειν θαρρεῖν τοὺς δικαστάς. TCV.

Τουτονὶ] τὸν προκείμενον. P.

341, 2. Παραγγελία] παράκλησις, δέησις, προτροπή. P.

Γέγονε] ἐκ τοῦ κατηγοροῦντος δηλονότι. P.

341, 3. Ἠσθῆσθαι] συννενοῆσθαι. P. Τὸ δὲ ἄρτι ἀντὶ τοῦ πρὸ ὀλίγου. Ἐνοχλοῦντας δὲ λέγει (ἤγουν οὐχὶ θαρροῦντας τῷ δικαίῳ, ἀλλὰ ὄχλησιν εἰσάγοντας. P). Ὄχλησιν καὶ ἀδικίαν ἀποκαλῶν τὴν παράκλησιν, ἵνα δείξῃ ὡς αὐτοὶ τὰς δεήσεις ὡς ἀδίκους οὐ προσεδέξαντο. TCV.

Ἑωρακότας ἄρτι] Κατασκευὴ τῆς προτάσεως. AR.

Ἄρτι] ἀντὶ τοῦ πρὸ ὀλίγου. Τοὺς συνηγόρους λέγει τοῦ Αἰσχίνου. — Ἀντὶ τοῦ [τοῦ] τε Αἰσχίνου καὶ τῶν ἄλλων αὐτοῦ συνηγόρων εἶπεν. A.

341, 5. Δεήσομαι] Τὸ δεήσομαι συμπέρασμα τῆς προτάσεως. Τὸ δὲ ἄνδρα τὸν Εὔβουλον λέγει· οὐκ ὀνομάζει δ' αὐτὸν φανερῶς, ἀντιπαρατίθησι δὲ, ὅπως ὠφελῇ τὸ αὐτοῦ, τὸ δὲ Αἰσχίνου πως βλάπτῃ. ACDGRTV.

Δεήσομαι δὲ] Οὗτοι μὲν παρενοχλοῦσιν, ἐγὼ δὲ ἱκετεύω. Τίνων οὖν δέῃ τυχεῖν; οὐκ ἄλλων, ἀλλὰ ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν. TCV.

341, 7. Μήτ' ἄνδρα ποιεῖσθαι] Πρὸς τὸν Εὔβουλον ἀποτείνεται πολέμιον ὄντα αὐτῷ, κἂν τῷ κατὰ Μειδίου ποιεῖται μνήμην. SFTCV. Σωφρονεῖ δὲ καὶ ὀργιζόμενος ὁ ῥήτωρ· κρύπτει γὰρ ἐν προοιμίοις τὴν προσηγορίαν, τῇ τέχνῃ πειθόμενος. TCV.

Ἡ τὸ δίκαιον καὶ τὸν ὅρκον] τὸ μὲν ἐντρέπει, τὸ δὲ φοβεῖ. TCV

341, 9. Ἐνθυμουμένους] [Ἱκετεύω ὑμᾶς] μετ' εὐνοίας ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου καὶ τὸ πλῆθος τῶν αἰτιῶν πρὸς ἃς ἀπολογήσασθαί με δεῖ καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου καὶ τὴν ὠμότητα. Lass.

341, 10. Τῶν παρακλήτων] τῶν ἐκ παρακλήσεως, οὐ διὰ τὸ δίκαιον, παραγενομένων. BSFYR. Ἡ εὐθεῖα τοῦ πληθυντικοῦ οἱ παράκλητοι ἀπὸ τοῦ ὁ παράκλητος. Λέγει δὲ τοὺς ἐκ παρακλήσεως ἐλθόντας συνηγορῆσαι, ἀλλ' οὐ τοῦ δικαίου ἕνεκεν. ARTC.

341, 11. Τῶν ἰδίων πλεονεξιῶν] κερδῶν καὶ δυναστειῶν, ὅταν ἴδωσιν αὐτοὺς προϊσταμένους τῶν κρινομένων καὶ σώζοντας, προξενοῦσιν αὐτοῖς κερδῶν ἀφορμάς. TCV.

Ἃς ἵνα κωλύητε] ἀλλὰ μὴ φοβῆσθε· ἐφ' ὑμῖν γάρ ἐστι τὸ κωλῦσαι, τῶν νόμων παρεχόντων τὴν ἄδειαν. TCV.

341, 12. Κυρίας] ὄνομα ἐκκλησίας, ὅτε ἀπεψήφιζον τῆς ἀρχῆς τοὺς ἀδικοῦντας. BT.

341, 13. Τοὺς μὲν οὖν ἄλλους] Δεύτερον προοίμιον ἐκ διαβολῆς καὶ αὐτό. BSFY. Δεύτερον προοίμιον « τοὺς μὲν οὖν ἄλλους » καὶ αὐτὸ εἰλημμένον ἐκ διαβολῆς τοῦ Αἰσχίνου ἐκ παραθέσεως ἑτέρων προσώπων. AR.

Τοὺς μὲν οὖν ἄλλους] Ἐντεῦθέν ἐστι τὸ δεύτερον προοίμιον ἐκ διαβολῆς εἰλημμένον καὶ αὐτὸ, ὡς καὶ τὸ πρῶτον, ὡς οὐ θαρρεῖ τοῖς δικαίοις. Ὅλη δὲ ἡ ὑπόθεσις κατὰ συμπλοκὴν προελήλυθεν· καὶ γὰρ κατηγορεῖ καὶ ἀπολογεῖται. Τοιοῦτον αὐτῷ καὶ τὸ προοίμιον εἴληπται· καὶ γὰρ ἐπ' ἀμφότερα ἕλκεται. Μόνου δὲ τούτου τοῦ ῥήτορος καὶ Θουκυδίδου καὶ Πλάτωνος καὶ τῶν ὁμοίων τούτοις διὰ τῆς αὐτῆς ἐννοίας πολλὰ κατορθοῦν. Ἔχει δὲ καὶ τοῦτο μεταληπτικοῦ λύσιν· αὐτὸς μὴ δεδωκὼς εὐθύνας πῶς ἑτέρου κατηγορεῖς; ὁ δὲ ὅτι δέδωκε σημαίνει, καὶ ὅτι πάλιν περὶ τῶν αὐτῶν διδόναι βούλεται προκηρύττει. TCV.

Ὅσοι πρὸς τὰ κοινὰ] Τῷ γὰρ μηδὲν ἑαυτοῖς συνειδέναι κακὸν ἀεὶ θέλουσι καὶ ὑπομένουσι δοῦναι λόγον· τοῦτο γάρ ἐστιν ἀειλογία. Ἐπειδὴ δὲ ἐπαχθὲς ἦν τὸ περὶ αὑτοῦ λέγειν, καθολικῶς ἐπήγαγε « τοὺς μὲν οὖν ἄλλους, » καὶ ἀξιόπιστον ἑαυτὸν ποιεῖ, μονονουχὶ βοῶν, τίς τὰς εὐθύνας λαμβάνειν προῄρηται; μίμησαί μου πρὸς θεῶν, Αἰσχίνη, τὴν πρόκλησιν· ἢ καὶ ἄλλως καθολικῶς λέγει τὸν λόγον, ἵνα δείξῃ τοὺς μὲν ἄλλους πάντας βελτιωθέντας τοῖς τῶν Ἀθηναίων παιδεύμασι καὶ ταῖς ὁσημέραι διδαχαῖς, τουτονὶ δὲ μόνον Αἰσχίνην μηδὲ μετὰ τοσούτους λόγους καὶ πρά-

ξεις τοσαύτας τὰς εἰς ἄλλους βελτιωθέντα. Κἀντεῦθεν ἐπαινεῖ καὶ τοὺς πολίτας, καὶ ἐκ παραθέσεως μεγίστως ψέγει καὶ διαβάλλει τὸν κατηγορούμενον. TCV.

Τὴν ἀειλογίαν ὁρῶ] Ἀειλογία ἐστὶ τὸ ἀεὶ προτείνεσθαι λόγον καὶ λέγειν, τίς ἡμῶν κατηγορεῖ; Τοῦτο δὲ ποιοῦσιν οἱ συνειδότες ὅτι ὁσάκις κρίνονται καθαροὶ, τοσαυτάκις καὶ θαυμάζονται. Φησὶ δὲ ὁ Γενέθλιος ὅτι πεποίηται ἡ λέξις τῷ ῥήτορι τῆς ἀειλογίας· σπανίως γὰρ εὑρίσκεται παρ' ἄλλῳ. ATCV.

Τὴν ἀειλογίαν] τὸ ἀεὶ λόγον ἐθέλειν τῶν πραττομένων διδόναι, διὰ τὸ μηδὲν αὐτοῖς τῶν φαύλων συνειδέναι. BSFYR.

341, 16. Πρὶν γὰρ εἰσελθεῖν εἰς ὑμᾶς] Ἔδει μὲν γὰρ πρῶτον παρασχεῖν εὐθύνας, εἶθ' οὕτω τοῦ Τιμάρχου κατηγορεῖν· νυνὶ δὲ οὐκ ἀξιώσας εἰς ὑμᾶς εἰσελθεῖν, οὐδὲ θεάσασθαι τοὺς δικαστὰς ἀνεχόμενος, ἠτίμωσε τὸν ἄνθρωπον. Εὖ δὲ καὶ τὸ προτεινομένους εἶπεν, ἵν' αὐτοὶ θαρροῦντες τοὺς μὴ βουλομένους προτρέψωσι. TCV.

Πρὶν γὰρ εἰσελθεῖν] Κατασκευὴ καὶ συμπλοκή. AB.

Ἀνῄρηκε] Τὸ ἀνῄρηκεν ἀντὶ τοῦ ἄτιμον ἐποίησε τὸν Τίμαρχον. Δύο γὰρ κατήγοροι ἐπέστησαν Αἰσχίνῃ, ὅ τε Δημοσθένης καὶ ὁ Τίμαρχος. Καὶ τὸν μὲν Τίμαρχον παρεγράψατο ὡς ἡταιρηκότα, πρὸς δὲ τὸν Δημοσθένην ἔγραψεν ἀπολογίαν πρὸς τὴν κατηγορίαν τοῦ λόγου. AR.

Τὸν μὲν ἀνῄρηκε] Τίμαρχον δηλαδή. P. Ἢ ὅτι ἄτιμος γέγονεν—οὗτοι δὲ τῷ μηδενὸς τῶν κοινῶν μετέχειν ἐγγὺς τῶν τεθνηκότων εἰσίν—ἤ, ὥς τινές φασιν, ἐπειδὴ ἀπήγξατο, τὴν αἰσχύνην οὐκ ἐνεγκών. TCV.

341, 19. Τοῖς δὲ ἀπειλεῖ περιϊὼν] Ἦν μὲν ἀκόλουθον εἰπεῖν, ἐμοὶ δ' ἀπειλεῖ· ἀλλ', ἐπειδὴ αἰσχρὸν ἦν, ἀορίστως εἴρηκε. Δείκνυσι δὲ ὅτι καὶ ἄλλοι ἦλθον ἂν ἐπὶ τὴν κατηγορίαν, εἰ μὴ ἐφοβοῦντο. Τὸ δὲ περιϊὼν, οἷον ἔργον τοῦτο τιθέμενος, καὶ πολυπραγμονῶν μή τις ἄρα κατηγορήσῃ· οἷον, τίς ἄρα ἀπειλεῖ μοι γραφήν; τίς μοι σύνοιδεν ἐν τῇ πρεσβείᾳ τὰ σφάλματα; Σεμνύνει δὲ καὶ ἄλλως ὁ ῥήτωρ ἑαυτὸν διὰ τούτων, εἰ, τῶν ἄλλων φοβουμένων καὶ οὐ κατηγορούντων, αὐτὸς τοῦτο οὐ πέπονθε. TCV.

341, 20. Καὶ βαρυσυμφορώτατον (legitur ἀσυμφορώτατον) ὑμῖν] Ὁ γὰρ ἀναιρῶν καὶ ἐπιστομίζων τὸν κατήγορον τὸν τόπον ἀναιρεῖ τοῦ δικάζοντος, εἰ μηδεὶς ἔτι δικάζεται. TCV.

341, 22. Φόβῳ] μετὰ φόβου, ἤγουν διὰ φόβου. P.

342, 2. Τὸ μὲν οὖν ἐξελέγξειν] Τρίτον προοίμιον, μεταληπτικοῦ περιέχον λύσιν. BFSY. Τρίτον προοίμιον μεταληπτικὸν ἀπὸ τοῦ χρόνου περιέχον λύσιν. Ἔστι δὲ ἡ σύνταξις οὕτως· ὅπερ δὲ φοβοῦμαι, καίπερ ὑπειληφώς, (ὅ ἐστι θαρρῶν ἐπὶ ταῖς ἀποδείξεσιν, ὅπερ προεῖπε), τοῦτο φράσω, φησὶ, πρὸς ὑμᾶς καὶ οὐκ ἀποτρέψομαι. Διὰ τί δὲ εἶπε φοβοῦμαι; ἐπειδὴ ἔμελλεν ὥσπερ ἐλέγχειν τοὺς δικαστὰς μὴ σφόδρα προσέχοντας τοῖς πράγμασιν, ἀλλ' ἐπιλανθανομένους τῷ χρόνῳ. Καίπερ οὖν, φησὶ, φοβούμενος τοῦτο, οὐκ ἀποτρέψομαι εἰπεῖν τῷ φόβῳ τῷ πρὸς ὑμᾶς. Γράφεται δὲ καὶ ἀποκρύψομαι. ARTCV. Σημειωτέον δὲ ὡς ὅπερ ἦν Αἰσχίνου καὶ τοῦ φεύγοντος παραγραφικὸν, τοῦτο δι' ὑπερβολὴν τέχνης ὁ Δημοσθένης προήρπασεν, ἵνα μὴ εὕρῃ χρήσασθαι αὐτῷ ὁ Αἰσχίνης. Ἀεὶ δὲ τὸ ἐναντίον οὗ βούλεται ποιεῖν κατασκευάζειν εἴωθεν. Αὐτὸς γὰρ μέλλων τι τῶν καθ' ἑαυτὸν διοικεῖσθαι, καὶ προορώμενος τὰς παρ' Αἰσχίνου διαβολὰς, δεδοικέναι φησὶ τῶν δικαζόντων τὴν λήθην, ὡς ἂν τῆς ἀληθείας πολλάκις διαμαρτόντων αὐτῶν διὰ χρόνου πλῆθος καὶ λήθην· ἵνα ἃ μὲν προτίθησι πιστευθῇ, ἃ δ' Αἰσχίνης ἐρεῖ, ὕποπτα γένηται. TCV.

342, 5. Ὁ δὲ καίπερ ὑπειληφὼς] ἔστι μὲν ἀντὶ τοῦ πιστεύων. Ἐκόλασε δὲ τῇ λέξει τὸ ὑπερήφανον. Τὸ δὲ οὐχ ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, οἱονεὶ, οὐχ ἧττον ἰσχύει καιρὸς ἢ πραγμάτων φύσις, ἢ οὕτως, οὐ μᾶλλον ἐξελέγχονται τοῖς πράγμασιν οἱ ἀδικοῦντες ἢ τοῖς καιροῖς, ὅταν ἐπὶ προσφάτοις κρίνωνται. TCV.

Ταῦτα] τὸν ἐξέλεγχον. P.

342, 7. Ἀγῶνες] ἤγουν αἱ κρίσεις.

342, 8. Τῶν καιρῶν] τῶν παρελθόντων, ὁπότε ἐγένοντο. P.

342, 10. Λήθην ἢ συνήθειαν] Δύο γὰρ ταῦτα ὁ χρόνος ποιεῖ. Ἢ γὰρ ἐπιλανθανόμεθα, ἢ συνεθισθέντες ὡς καλὰ ἀγαπῶμεν. TCV.

342, 11. Ἐμπεποιήκῃ] Ὑποτακτικῆς ἐστιν ἐγκλίσεως παρακειμένη καὶ ὑπερσυντελική· οἷον ἐὰν ἐμπεποιήκω. Ἐὰν ἐμπεποιήκῃ. Διὸ καὶ ὑποτακτικὸν ἔχει προσγραφόμενον τὸ ι. A.

Ὡς δή μοι δοκοῖτ' ἂν] Τοῦτο τὸ νόημα ἐπισφραγίζεται μὲν τὰ προειρημένα καὶ τῶν μελλόντων κατάρχεται, ἅπτεται δὲ ἤδη λοιπὸν τῆς προκατασκευῆς. BFRSY.

Συμπέρασμά ἐστι τοῦ προοιμίου. Ὡς γὰρ ὡμολογημένην λαβὼν τὴν πρότασιν οὐκ εἶπε κατασκευὴν, εὐθὺς δὲ εἰσβάλλει εἰς τὴν προκατασκευὴν ἐκ τοῦ εἰ σκέψαισθε παρ' ὑμῖν. A.—V. Τοῦτο δὲ τὸ νόημα διπλῆν ἔχει τὴν δύναμιν. Ἐπισφραγίζεται γὰρ τὰ προειρημένα διὰ τοῦ προοιμίου καὶ τῶν μελλόντων κατάρχεται, ἅπτεται δὲ ἤδη λοιπὸν τῆς προκατασκευῆς. Ἔχει δὲ τοιαύτην ἡ προκατασκευὴ δύναμιν, ὥστε τινὰ τῶν λυπούντων περὶ τὴν ὑπόθεσιν διορθοῦσθαι. Ἔστι δὲ ἡ χρεία αὐτῆς καὶ οὗπερ ἕνεκα τοῖς ῥήτορσιν ἐπιτετήδευται αὕτη· ἤτοι γὰρ τὴν ὑπόθεσιν ἅπασαν ὁ ῥήτωρ συμπεπλεγμένην ὁρῶν καὶ πολλῶν πραγμάτων περιεκτικὴν καὶ δυσδιάκριτον, διὰ τοῦτο δεῖται τῆς προκατασκευῆς, ἵνα τὴν σύγχυσιν ἅπασαν διαλύσῃ καὶ εἰς κεφάλαια τὴν ὑπόθεσιν ἀνάγων παρασκευάσῃ τοὺς ἀκροατὰς, ὥσπερ πρός τινας κανόνας ἀποβλέποντας, οὕτως ἀπαιτεῖν παρ' αὐτοῦ τὰς ἀποδείξεις καὶ περὶ ταῦτα τὰ κεφάλαια ἵστασθαι, ἢ πρὸς τὸν ὅλον ἀγῶνα τοὺς δικάζοντας ἐναντίως ἔχοντας ὁρᾶν, καὶ δεῖται προδιορθώσασθαι τὴν γνώμην αὐτῶν, ὡς ἐν τῷ κατὰ Μειδίου πεποίηκεν, ἢ μέρος τι τῆς ὑποθέσεως ὁρῶν δεόμενον μεθόδου τινὸς κέχρηται τῇ προκατασκευῇ, καθάπερ ἐν τῷ κατὰ Ἀριστοκράτους λόγῳ. TCV.

342, 13. Εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς] Προκατασκευὴ διακρίνουσα τὰ ἐν τῇ ὑποθέσει ζητούμενα. TCV. Μενάνδρου· προκατασκευή. Ἀσκληπιοῦ· προκατασκευῆς δίκην διευκρινεῖ τὰ ἐν τῇ ὑποθέσει ζητούμενα SY.

342, 15. Λόγον] ἤγουν ἀπολογίαν. P.

Πρῶτον μὲν τοίνυν] Ἡ προκατασκευὴ μετὰ τὸ προοίμιον εὐθὺς πρὸ τῆς διηγήσεως. BFY. Περὶ τῶν κεφαλαίων τῆς κατασκευῆς· α' περὶ ὧν ἀπήγγειλε, β' περὶ ὧν ἔπεισε, γ' περὶ ὧν προσετάξατε αὐτῷ, δ' περὶ χρόνων, ε' περὶ τοῦ ἀδωροδοκήτως ἢ μὴ ταῦτα πεπρᾶχθαι. B.

Πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλε] Οὐκ ἦν μὲν τῇ τάξει πρῶτον τὸ ἀπαγγεῖλαι, ἀλλὰ τὸ ἰσχυρότερον καὶ τὸ σημεῖον προέθηκεν, ἐφ' ᾧ μάλιστα κρίνεται ὁ Αἰσχίνης. Ἐλάβετο οὖν εὐθὺς τοῦ μεγίστου τῶν τεκμηρίων. Τοῦτο δὲ γένεσις αὐτῷ τῆς ὑποθέσεως ὅλης. Ἐπειδὴ γὰρ οὔτε

ἐκ γραμμάτων οὔτε ἐκ ψηφισμάτων οὔτε ἐξ ἄλλων ἀποδείξεων ἔχει τὸν ἔλεγχον, εἰκότως ἐχώρησεν ἐπὶ τοὺς Αἰσχίνου λόγους, καὶ τούτων καθάπτεται ὡσπερεὶ τινος ἀρχῆς καὶ κρηπῖδος, καὶ πρὸς τούτους ἀποβλέπων τὴν ὅλην κατηγορίαν ποιεῖται. Ἔστι τοίνυν τὸ ὧν ἀπήγγειλε διπλοῦν καὶ τοῦ ἐγκλήματος ἔχει δύο τεκμήρια, ἓν μὲν, ὅτι ἀπήγγειλεν ἀπολεῖσθαι Θηβαίους, ἕτερον δὲ, ὅτι ὑπέσχετο σωθήσεσθαι Φωκέας. Καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον καὶ αὐτὸς προϊὼν ἔδειξεν· ἰδίαν τε γὰρ ἑκατέρῳ τούτων ἀποδέδωκεν ἐργασίαν καὶ διττὰ τούτοις ἀντέθηκεν ἐπιχειρήματα, ὡς ἐπ' αὐτῶν τῶν ῥητῶν ἐπιδείξομεν. TCV.

342, 16. Δεύτερον δὲ, ὧν ἔπεισεν] ἢ ὑμᾶς, εἰπὼν ταῦτα δι' ὧν ἀπώλετο τὰ πράγματα· ἢ τούτους πρὸς οὓς ἐπέμφθη· ἢ ὅτι, ἡνίκα ἐβουλεύετο ἡ πόλις περὶ τοῦ πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, ἔπεισεν ἄνευ Φωκέων ποιήσασθαι καὶ χωρὶς τῶν ἄλλων Ἑλλήνων, καὶ ἡνίκα λέγειν ἐβούλετο Δημοσθένης, ἔπεισε μὴ ἀκοῦσαι τῶν Δημοσθένους λόγων τὸν δῆμον. Ἐπὶ τούτοις ἔπεισε μήτε στρατεύσασθαι ὑπὲρ Φωκέων μήτε ψηφίσασθαί τι ἄξιον ὑπὲρ τῆς αὐτῶν σωτηρίας, μηδὲ μὴν ἀπιστεῖν τῷ Φιλίππῳ· ταῦτα γὰρ πάντα συμπεριέλαβε μὲν ἐνταῦθα βραχέσι ῥήμασιν, ἐπὶ δὲ τῆς ἐργασίας ἔδειξεν οὐκ ὄντα μικρὰ οὐδὲ ὀλίγα, πλείστας αὐτοῖς καὶ ἰσχυροτάτας ἀποδοὺς ἐργασίας. Ὁμοῦ τε διὰ τούτων διαγράφει τοὺς Αἰσχίνου λόγους, οὓς ποιήσεται περὶ τῆς εἰρήνης αἰτιώμενος Δημοσθένην ὡς εἰσηγησάμενον τὴν εἰρήνην. Τοῦτο δὲ τὸ μέρος δέδοικε Δημοσθένης. Λύει δὲ οὐδὲν ἧττον διὰ τοῦ δευτέρου τὸ ἰσχυρότατον Αἰσχίνου χρῶμα καὶ τὸ μεταληπτικὸν ἅμα· τοῦ γὰρ Αἰσχίνου δυναμένου κατὰ φύσιν ἀναχωρεῖν ἐπὶ τὴν ἀπάτην ἣν ὑπὸ Φιλίππου ἠπάτηται, καὶ λέγειν ἐξεῖναι [καὶ] ἀπαγγέλλειν ἅ τις ἀκήκοεν, ἐπενεγκὼν ὧν ἔπεισε, δι' ἑνὸς ῥήματος ἀμφότερα ταῦτα ἀνῄρηκε. TCV.

Τρίτον δὲ ὧν προσετάξατε αὐτῷ· εἶτα τῶν χρόνων] Ταῦτα αὐτὰ καθ' αὐτὰ κρινόμενα ἐγκλήματ' ἂν εἴη· νῦν δὲ πρὸς ἀπόδειξιν ἑτέρου παραλαμβανόμενα, τεκμήρια γίνεται. Προσέταξαν δὲ αὐτῷ ταῦτα, πρῶτον μὲν λαβεῖν τοὺς ὅρκους παρὰ τῶν συμμάχων, λέγει δὲ Θετταλῶν· εἶτα προσέταξαν αὐτῷ πεῖσαι Φίλιππον Ἀμφίπολιν ἀποδοῦναι τῇ πόλει· ἐπειδὴ γὰρ ἐκ ψηφισμάτων καὶ προσταγμάτων ἐγγράφων οὐκ ἔχει ταῦτ' ἐγκαλεῖν, ἀορίστως ἐχρήσατο τῷ ῥήματι, εἰπών « ὧν προσετάξατε αὐτῷ· » τὸ γὰρ προσετάξατε ἀπροσδιορίστως τεθὲν, πότερον ἐγγράφως ἢ οὔ, δίδωσιν αὐτῷ χορηγίαν ἐφ' ἅπαντα τὰ ἐγκλήματα. Τῶν γὰρ προσταγμάτων ἃ μέν ἐστιν ἔγγραφα, ἃ δὲ ἄγραφα· ἔγγραφα μὲν τὰ περὶ τῶν ὅρκων, ἄγραφα δὲ τὰ περὶ τῆς Ἀμφιπόλεως καὶ τῶν Φωκέων. Ἐν ᾧ καὶ τῷ καθ' ἑαυτὸν προδιορθοῦται ὁ ῥήτωρ· ἐπειδὴ γὰρ Αἰσχίνης ἀποσκώπτων φησὶ λέγοντα αὐτὸν προοίμιον ὑπὲρ τῆς Ἀμφιπόλεως ἐκπεσεῖν, ἐντεῦθεν ἤδη διωθεῖται τὸ ἔγκλημα, καὶ δίδωσιν Αἰσχίνῃ προσῆκον λέγειν, οὐχ ἑαυτῷ, εἴπερ αὐτῷ ἡ πόλις προσέταξεν. Εἰκότως δὲ προσέταξε τούτῳ· μόνος γὰρ ἐφώρασε Φίλιππον ἐπιβουλεύοντα τοῖς Ἕλλησι, καὶ μόνος παρεκάλει τὸν δῆμον καὶ τοὺς Ἕλληνας ἐπὶ τὴν ἀκόλουθον τάξιν τῶν πραγμάτων. Ἔστι μὲν οὖν ἰσχυρότατον μέρος πρὸς τὴν κατηγορίαν οἱ παρ' Αἰσχίνου λόγοι, οὓς διεῖλε δίχα, εἴς τε τὸ εἰπεῖν καὶ πεῖσαι. Καίτοι γε ἓν πρᾶγμα εἶναι δοκεῖ τό τε εἰπεῖν καὶ πεῖσαι· ἅμα γὰρ τῷ λέγειν καὶ πείθει τις. Ἀλλ' ἐπειδὴ τὸ μὲν λέγειν ἀπαγγελίαν περιέχειν δύναται, τὸ δὲ πείθειν συμβουλὴν, διὰ τοῦτο τὸ μὲν ὡς γένος, τὸ δὲ ὡς εἶδος εἴληφεν. Ἕπεται δὲ τούτῳ τῷ μέρει καὶ τὰ λοιπά. Εἰ γὰρ αὐτὸς ἀπήγγειλεν, αὐτὸς ἠπάτησεν, αὐτοῦ ἄρα εἴη ἂν καὶ τὰ λοιπὰ ἁμαρτήματα. Ὅρα δὲ ὅτι τῶν προκειμένων τὰ μὲν ἴδια Αἰσχίνου, τὰ δὲ λοιπὰ κοινὰ τῶν πρέσβεων· ἴδια μὲν ἅ τε ἀπήγγειλεν ἅ τε ἔπεισε· τὸ δὲ ὧν προσετάξατε αὐτῷ κοινὸν γενέσθαι δυνάμενον κατὰ τῶν πρέσβεων ἔγκλημα, ἐπ' αὐτὸν ἀνενήνοχε τὸν Αἰσχίνην. Τοῦτον γὰρ εἰκὸς τὰ πάντα ἠδικέναι, τὸν ἑλόμενον ὑπὲρ ἁπάντων καὶ εἰπεῖν καὶ ψεύσασθαι. Μετὰ ταῦτα τῶν χρόνων, καθ' οὓς ἐποίησεν ὑμᾶς μὴ βοηθῆσαι Φωκεῦσι, μελλήσας ἕως ἂν εἴσω Πυλῶν γένηται Φίλιππος. Δοκεῖ δὲ καὶ τοῦτο κοινὸν ἔγκλημα εἶναι τῶν πρέσβεων· ἀλλὰ προταχθὲν μὲν ἐγένετο ἂν τῶν πάντων, ὑποταχθὲν δὲ τοῖς ἄλλοις ἴδιον Αἰσχίνου γίνεται. Τίνες τοίνυν εἰσὶν οἱ χρόνοι; ἤγουν πρῶτον ἐκεῖνοι, οὓς ἀνάλωσε παρασκευαζομένου Φιλίππου ἐπὶ Φωκέας· εἶθ', ὅτι ὀψέ ποτε Φιλίππου χωρισθεὶς, καταλαβόντος σχεδὸν ἤδη τὰς Πύλας, οὐκ ἐνέδωκε τῷ δήμῳ περιπλεύσαντι κλεῖσαι τὸν τόπον. Πρὸς τούτοις ἐν οἷς ἀντεξετάζει οὓς ἀνάλωσε χρόνους ἐπὶ τῆς προτέρας πρεσβείας καὶ οὓς ἐπὶ τῆς δευτέρας, τεκμήριον τὸν χρόνον λαμβάνων τῆς δωροδοκίας. Εἰ δέ τις οἴεται τῶν χρόνων μεμνημένον αὐτὸν τὴν Θρᾴκην λέγειν, οὐκ ὀρθῶς ὑπείληφεν — οὐ γὰρ χρόνος ἐστὶν ἡ Θρᾴκη—, ἀλλ' ὅτι δῶρα εἴληφε, τεκμήριον ἡ ταχύτης καὶ ἡ βραδύτης. TCV.

342, 18. Εἰ ἀδωροδοκήτως] Καλῶς ἐπήγαγε τὸ ἀδωροδοκήτως μετὰ τὰ ἄλλα ὅλα ὡς ἰσχυρότερον. Ἀεὶ γὰρ ἐν τοῖς ἄκροις τάττεται τὰ ἰσχυρὰ, τὰ δὲ ἥττονα καὶ ἀσθενῆ ἐν τῷ μέσῳ. Ἐπειδὴ πρὸς ἕκαστον τῶν προειρημένων ἐστί τις αὐτῷ ἀπολογία· οἷον ἐπὶ τῆς ἀπαγγελίας, ὅτι ἠπατήθην ὑπὸ Φιλίππου· ἐπὶ τοῦ πεῖσαι, ὅτι ἀγνοῶν οὕτως ὑμᾶς ἔπειθον, ὡς νομίζων τὰ παρ' ἐκείνου εἶναι ἀληθῆ· ἐπὶ τῶν χρόνων, ὅτι ἄκων ἐβράδυνα, ἢ διὰ νόσον ἢ δι' ἄλλο τι· ἐπὶ δὲ τοῦ δωροδοκεῖν οὐδὲν ἔχει ἔτι εἰπεῖν. ARTCDGV. Τελευταῖον ταχθὲν τοῦτο ἀνῄρηκεν Αἰσχίνου πᾶσαν ἀπολογίαν· ὥστε μὴ δοκῶν ἀγωνίζεσθαι ἀποδείκνυσιν. Εἰ γὰρ ἀπήγγειλε τὰ ψευδῆ, καὶ ἔπεισεν ἀπατῶν, καὶ τῶν προστεταγμένων πεποίηκεν οὐδὲ ἕν, καὶ τοὺς χρόνους ἀνήλωσεν, ἔχει μὲν ἴσως ἀπολογίαν, εἰ μὴ φανῇ δωροδόκος· ὀφθεὶς δὲ ἔνοχος τῇ μισθαρνίᾳ οὐδεμίαν ἕξει τῶν ἐγκλημάτων ἀπολογίαν, ἵνα καὶ τὰ κοινὰ ἴδια γένηται. Εἰ γὰρ ἁπάντων εἴη τὰ ἐγκλήματα, μόνος δὲ εἴληφε δῶρα, καὶ τοῦ τοὺς ἄλλους ἡμαρτηκέναι καθέστηκεν αἴτιος. Ἔστιν οὖν τριμερὴς ἡ προκατασκευή. Καὶ τἄλλα μέν ἐστιν ὡς ἐν γένει κατὰ πάντων πρέσβεων, τὸ δὲ τρίτον μέρος τῆς προκατασκευῆς ἴδιόν ἐστιν Αἰσχίνου. TCV. Ἰστέον ὅτι τὸ πέμπτον ἐν τῇ προκατασκευῇ κεφάλαιον τεθειμένον πρῶτον διαπεραίνει τὰς τῶν ἐπιχειρήσεων προσάγων δυνάμεις. P.

342, 19. Πάντα ταῦτα πέπρακται] Δεινότατον πάνυ· οὐ γὰρ εἶπεν εἴρηται, ἀλλὰ πέπρακται, συνεθίζων αὐτοὺς ἔργα νομίζειν τὰ ῥήματα. TCV.

342, 27. Περὶ ὧν γε] προσήκει τῷ πρεσβευτῇ P.

342, 29. Εἶεν. Τῶν δὲ δὴ χρόνων διὰ τί; ὃν ἄν τις ἑκὼν καθυφῇ] Διὰ μὲν δὴ τοῦ ἑκὼν τὸ χρῶμα ἀναιρεῖ, διὰ δὲ τοῦ καθυφῇ τὴν δωροδοκίαν μηνύει. Ὅθεν ἐπήνεγκε καὶ προδῷ. TCV.

343, 8. Διώρισε] διέστειλε, διεχώρισε. P.

343, 19. Δῶρα καὶ μισθοὺς εἰληφότα] Συνέζευξε τοῖς δώροις τὸν μισθὸν, ἐπονείδιστον ὄνομα, πρὸς δὲ καὶ τῇ

ποιότητι τοῦ Φιλοκράτους τὴν διαφθορὰν τῆς γνώμης πιστούμενος. TCV.

343, 22, Ἐμὲ μὲν φαῦλον ἡγεῖσθε] Τιμωρία γὰρ αὐτάρκης τὸν Ἀθηναίων σύμβουλον καὶ πρεσβευτὴν φαῦλον παρ' Ἀθηναίοις νομίζεσθαι. TCV. Φαῦλον, ἤγουν ψεύστην. P.

343, 23. Ἄφετε] ἤγουν ἀπολύσατε τῆς κατακρίσεως. P.

Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων] Προκαταστατικὸν ἐννόημα. Πληρώσας τὴν προκατασκευήν, εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὴν προκατάστασιν. ARP. Αἰνίττεται ἴσως τὴν ἐν Μακεδονίᾳ μέθην, καὶ τὴν Ὀλυνθίαν αἰχμάλωτον, καὶ τὴν αἰσχρὰν παροινίαν, καὶ τὰ κατὰ Θρᾴκην. Ἔφη δ' ὅτι τὸ ἦθος Αἰσχίνου, καὶ ἡ προειληφυῖα δόξα καὶ ἡ πρόληψις ταράττει τὸν ῥήτορα. Ἐπειδὴ γὰρ ἀφ' ἧς ἡμέρας εἷλε τὸν Τίμαρχον, εὐδοκιμεῖν ἐπὶ σωφροσύνῃ ἐδόκει, πόρρωθεν κατεπαγγέλλεται τοῦ ἤθους καὶ τῆς ὑποκρίσεως τὸν ἔλεγχον. Τὸ δὲ « ἐξ ὧν οὐκ ἔστιν ὃν ἂν οὐκ εἰκότως μισήσειεν αὐτὸν » σημαντικόν ἐστιν ὅτι καὶ παρ' ἡμῖν οἱ φαυλότατοι μαθόντες τὸν βίον Αἰσχίνου μισήσουσιν. Αἰνίττεται δέ, ὡς εἶπον, τὴν ἐν Μακεδονίᾳ μέθην, καὶ ἑξῆς. TCV.

343, 26. Μνημονεύοντας ὑμῶν] Θηρεύει μαρτυρίαν ἤδη παρὰ τῶν ἀκουόντων, ἵνα καὶ τὴν κατάστασιν μόνον οὐκ ἀγῶνα ἐργάσηται καὶ τὸ ἐπενεχθὲν πιστεύηται, ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ μάλιστα ἐξελεγχθήσεται δῶρα ἔχων. Διχόθεν δὲ ὁ ἔλεγχος, καὶ παρὰ τῶν ἀκροατῶν καὶ παρὰ τοῦ φεύγοντος. Λέγει δὲ οὐ πάντα ἐν τῷ προκαταστατικῷ τὰ μέρη τῆς καταστάσεως, φοβηθεὶς τῶν λόγων τὸν ὄχλον, ἀλλ' ἐπαγγέλλεται μὲν περὶ τῆς δωροδοκίας εἰπεῖν, σιγᾷ δὲ τὸ κατὰ Φωκέας, ὡς ἑπόμενον καὶ ἀκόλουθον. TCV.

343, 27. Ὑπομνῆσαι] ἤγουν εἰς μετρίαν μνήμην ἀγαγεῖν. P.

343, 29. Δημηγορεῖν] παρρησίᾳ λέγειν προσῆκον εἶναι. P.

344, 1. Εἰδῆτε] Ἰστέον ὅτι τὸ πέμπτον ἐν τῇ προκατασκευῇ κεφάλαιον τεθειμένον πρῶτον διαπεραίνει, τὰς τῶν ἐπιχειρήσεων προσάγων δυνάμεις. BFY.

344, 3. Ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων] Ἡ κατάστασις. Ἔστι δὲ διμερής, καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς περιεκτικόν ἐστι τῆς δωροδοκίας, τὸ δὲ δεύτερον περιεκτικὸν τοῦ κατὰ Φωκέας ἐγκλήματος. BFRSY.

Ἔστι τοίνυν—Ἀθηναίων] Αὕτη ἐστὶν ἡ κατάστασις. Διώκηται δὲ σοφώτατα, ἵνα δι' ὧν ὡς φρόνιμον καὶ πρὸ τῶν ἄλλων αἰσθόμενον εἰσάγει, διὰ τοῦτο ἀνέλῃ τὸ ὅτι οὐκ ἠπάτηται. Διμερὴς δ' ἐστὶν ἡ κατάστασις, ὥσπερ καὶ ἡ ὑπόθεσις. Καὶ τὸ μὲν πρῶτον μέρος αὐτῆς περιεκτικὸν τῆς δωροδοκίας ἐστί, καὶ λαμβάνει πέρας τοῦτο τὸ μέρος ἐνταῦθα (p. 346, 1) « καὶ ταῦθ' ὁ σχετλιώτατος « καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν, ἐφεστηκότων τῶν « πέρσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων ὑμεῖς « μετεπέμψασθε, ὑπὸ τούτου πεισθέντες, ὅτ' οὔπω πεπρα« κὼς αὐτὸν ἦν. » Τὸ δὲ δεύτερον μέρος ἐστὶ περιεκτικὸν τοῦ κατὰ Φωκέας ἐγκλήματος, οὗ ἡ ἀρχή· « ὃν μὲν οὖν « τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, χειροτονησάντων ὑμῶν « ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν, » Ὁρᾷς γὰρ ὅπως ἡ μετάβασις σαφὴς καὶ πρόδηλος, πρῶτον μὲν εἰσαχθεῖσα ἐν προοιμίου εἴδει, ἔπειθ' ὅτι κατεπαγγέλλεται πραγμάτων ἑτέρων ἀπόδειξιν. Ἔστι καὶ τρίτον μέρος τῆς καταστάσεως, ἐν ᾧ τὰς αἰτίας ἀποδίδωσι τῶν προειρημένων, οὗ ἡ ἀρχή (p. 348, 15)· « τοῦ χάριν δὴ ταῦτα πρῶτον « ὑπέμνησα; » ἐπειδὴ δὲ διαίρεσιν εἰπεῖν τοῦ λόγου προὐθέμεθα, κωλύει δὲ οὐδὲν διὰ βραχέων ὥσπερεὶ σπέρματα καταβαλλομένους ἐφοδεῦσαι τοὺς ἐντυγχάνοντας, δεῖ τῆς δεινότητος πανταχοῦ στοχάζεσθαι τοῦ ῥήτορος. Ἐπεὶ τοίνυν οὐκ ἦν εἰκὸς τὸν Φίλιππον δῶρα δοῦναι ἀνδρὶ τῶν τυχόντων, ἀλλὰ τῷ δοκοῦντι τῶν ἄλλων κατὰ τὴν πρεσβείαν κρατεῖν· καί, ἐπειδὴ οὐχ οἷόν τε ἦν προδοῦναι Φωκέας τὸν μὴ μάλιστα πάντων δυνάμενον οὐδὲ μὴν οἷόν τε ἦν πεῖσαι τοὺς ἀκούοντας ὅτι πάντων τῶν πρέσβεων ὄντων μόνος Αἰσχίνης προδότης, ἀναγκαίως εἰδὼς τοῦτο εὐθὺς ἐν ἀρχῇ τῆς καταστάσεως θεραπεύει τὸ ἀντικείμενον. Τὰ πρῶτα γὰρ Αἰσχίνῃ διδοὺς τῆς πολιτείας, καὶ μονονουχὶ Περικλέους ἀξίωμα περιτιθείς, τὴν δύναμιν αὔξει καὶ τῷ προσώπῳ μέγιστον ἀξίωμα περιτίθησιν, ἵνα καὶ ἀναγκαίως φαίνηται Φίλιππος τοῦτον θεραπεύων, ὃν μάλιστα κρατοῦντα τῆς πρεσβείας ἑώρα, καὶ τῷ παντὶ ἀγῶνι παρασκευάζῃ τὴν πιθανότητα. Τὸ δὲ θαυμασιώτατον ἐκεῖνό ἐστιν, ὅτι αὐτὸν Αἰσχίνην παρέχεται τῶν δωροδόκων κατήγορον καὶ μάρτυρα τοῦ διαφθείρεσθαι ὑπὸ Φιλίππου τοὺς εἰς Μακεδονίαν ἀφικνουμένους. Ἐπὶ τούτοις καὶ τρίτον, ὅτι οὐ διελάνθανεν αὐτὸν ἡ τοῦ Φιλίππου προαίρεσις, οἷά τε ἦν περὶ τὴν πόλιν καὶ τὴν Ἑλλάδα, ἵνα καὶ τὸ χρῶμα φαίνηται διὰ τούτων λύων· οὐ γὰρ ἦν εἰκὸς ἀγνοῆσαι τοῦ Φιλίππου τὴν γνώμην τὸν πάλαι ποτὲ κατηγοροῦντα τοῦ Φιλίππου τῶν τρόπων. TCV. Τοῦτο περιέχει τὸ τοῦ χρώματος· ὁ γὰρ αἰσθόμενος πρῶτος Φίλιππον ἐπιβουλεύοντα τοῖς Ἕλλησι καὶ Φωκεῦσιν ᾔδει ἐπιβουλεύοντα καὶ διαφθείροντά τινα τῶν ἐν Ἀρκαδίᾳ, ἵνα ἐξ ἀκολουθίας τὸν προεστηκότα τῆς πρεσβείας φαίνηται διαφθείρων. TCV.

344, 7. Καὶ ἔχων Ἴσχανδρον] Παρέχεται μὲν τοῖς Αἰσχίνου λόγοις ἡ μαρτυρία· οὐκ ἀπήλλακται δὲ καὶ σκώμματος. Ὑποκριτὴν γὰρ ἔχει τὸν συναγωνιζόμενον. TCV.

344, 8. Προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ] Κατὰ κῶλον ἐπαναφορά. Y. Θεώρησον πόσην αὐτῷ μαρτυρεῖ τήν σπουδήν τε καὶ εὔνοιαν· παρηνώχλει γὰρ πᾶσιν ὁρῶν ἀδικοῦντα τὸν Φίλιππον. Διὰ δὲ τοῦ ἥκων τὴν ἔξοδον καὶ τὸ ἀπελθεῖν ἐδήλωσεν, εἰ καὶ μὴ εἴρηκε φανερῶς. Τὸν δὲ Ἱερώνυμον προδότην τινὰ λέγει Ἀρκάδων ἐναντιούμενον αὐτῷ ἐν Ἀρκαδίᾳ περὶ τοῦ πολέμου τοῦ πρὸς Φίλιππον, μαθητὴν γενόμενον Ἰσοκράτους. TCV.

344, 10. Συνάξοντας] συναγαγόντας. P.

344, 12. Ἐξ Ἀρκαδίας] Οὗτος ἦν ἐν Ἀρκαδίᾳ, ἥτις οὕτω Μεγάλη πόλις ἐκαλεῖτο, ὅθεν ὑπὲρ Μεγαλοπολιτῶν Δημοσθένης γράφει. Lᴇss.

Καλοὺς] Οὐ κεῖται ὡς ἐν εἰρωνείᾳ, ἀλλὰ κατ' ἀλήθειαν. Ὕστερον γὰρ μέλλει ἐπιφέρειν τὸ κατ' εἰρωνείαν. ARTP.

344, 13. Ἱερώνυμον] προδότην τινὰ λέγει Ἀρκάδων, ἐναντιούμενον αὐτῷ ἐν Ἀρκαδίᾳ περὶ τοῦ πολέμου τοῦ πρὸς Φίλιππον, μαθητὴν γενόμενον Ἰσοκράτους. AR.

344, 16. Οὐχὶ τὰς ἰδίας ἀδικοῦσιν] Αὐτὸν ποιεῖ τὸ μέγεθος τοῦ κακοῦ τοῦ κατὰ τὴν προδοσίαν ὁρίζοντα. TCV.

344, 18. Πολιτευομένου] τὰ τῆς πολιτείας οἰκονομοῦντος, τούτου φροντίζοντος, ὑπὲρ τῶν πολιτικῶν. P.

344, 19. Δεῖγμα] ἤγουν ἀπόδειξιν δείξαντος P.

344, 21. Καὶ Κτησιφῶντος] Οὐκ ἔστιν οὗτος εἷς τῶν ὑποκριτῶν (πρεσβευτῶν?) ἀλλ' ἑτέρας ἕνεκα προφάσεως ἀποσταλεὶς εἰς τὴν Μακεδονίαν, καὶ παρὰ τοῦ Φιλίππου

ἀκηκοὼς ὡς βούλεται σπείσασθαι, οὕτως ἀπήγγειλε. TCV.

344, 23. Γίνεται τῶν πρέσβεων οὗτος] Παρὰ χρόνον [ἐναλλαγή]· ἔστι γὰρ ἀντὶ τοῦ ἐγένετο. Ὅμοιον δὲ τῷ Θουκυδίδου· « ἐπαινοῦσι τὸν προσθέντα, » ἀντὶ τοῦ, ἐπήνεσαν. TCV.

344, 24. Οὐχ ὡς τῶν] Ἐγκατάσκευος διήγησις, ὡς ταῖς αἰτίαις κατασκευαζομένη, διότι ἐστὶ σύντομος καὶ πολιτική. BFYP. Τὸ συμβεβηκὸς κατὰ ἄρνησιν. B.

Ἀποδωσομένων] ἤγουν ἐμποληסόντων. P.

344,25. Πεπιστευκότων] πληροφορίαν ἐχόντων δηλαδὴ τῶν εὐνοούντων τῷ Φιλίππῳ. P.

344, 26. Διὰ γὰρ τοὺς προειρημένους λόγους] συγγνώμη τῆς χειροτονίας Αἰσχίνου. B.

344, 28. Δόξαν] ὑπόληψιν. P.

Προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα] Παρὰ τοῦ ἀντιδίκου λαμβάνει τῆς οἰκείας δόξης καὶ προαιρέσεως μαρτυρίαν· οὐδενὶ γὰρ τῶν πρέσβεων περὶ σωτηρίας πραγμάτων Αἰσχίνης φαίνεται διαλεγόμενος, εἰ μὴ μόνον τῷ ῥήτορι· ὥστε τὸν ἔπαινον τὸν οἰκεῖον ἀνεπαχθῆ γενέσθαι, μὴ παρ' αὐτοῦ λεγόμενον, ἀλλὰ παρὰ τοῦ ἀντιδίκου μαρτυρούμενον. TCV.

344, 29. Συνετάττετο] συνεφώνει, παρεκάλει ὁμογνωμονεῖν. P.

345, 1. Καὶ ὅπως τὸν μιαρὸν] Ἄνοια, φησὶ, τοῦ δήμου πολλὴ, εἴ γε ᾔδεσαν ὡς προδότης ἦν ὁ Φιλοκράτης Ὅτι δὲ ἀμφοτέροις ἐχθρὸς ὁ Φιλοκράτης Αἰσχίνης ὁμολογεῖ. Πῶς οὖν καλούμενος ἐπὶ τὴν μαρτυρίαν Φιλοκράτους Αἰσχίνης σιγᾷ· καὶ τίς ἡ κοινωνία τῆς πολλῆς προνοίας ὑπὲρ Φιλοκράτους αὕτη; πῶς δὲ πολλὴν ὑπὲρ αὐτοῦ ποιεῖται πρόνοιαν; τίνα δὲ ἄλλον παρεχόμεθα μάρτυρα τοῦ πολεμεῖν αὐτῷ Δημοσθένη, σαφῶς καὶ διαρρήδην μαρτυροῦντος Αἰσχίνου; ἄνοια οὖν, ὡς εἴρηται, τοῦ δήμου πολλὴ, εἴ γε εἰδότες ὡς προδότης Φιλοκράτης, ἐχειροτόνησαν αὐτόν. Ἔστι δὲ οὐ τοιοῦτον· ἀλλ' ἐπειδὴ χρεία πολλάκις ἐν ταῖς πρεσβείαις ἰταμωτέρων καὶ παρρησιαστικῶν, ἵνα μὴ τὰ δίκαια διὰ τὴν ἐπιείκειαν πρόωνται τῆς πόλεως, ἐδόκει δὲ τοιοῦτος ὁ Φιλοκράτης, ἕνεκεν τούτου εἵλοντο αὐτόν. Ὡς οὖν εὐχερῆ ὄντα εἰς τὸ μεταπεισθῆναι καὶ διαφθαρῆναι, εἶπε τὸ φυλάξωμεν. Διὰ τοῦτο γὰρ μιαρὸν καὶ ἀναιδῆ ἐκάλεσεν, οὐ προδότην. TCV.

345, 2. Καὶ μέχρι] Σύστασις τοῦ οἰκείου πρὸ τῆς ἐπικρίσεως τοῦ κατηγορουμένου. B.

345, 5. Χωρὶς] πρὸς διαστολὴν τῶν ἀκουόντων. B.

345, 12. Ἄριστα] ἰσχυρότερα, ῥητορικώτερα. P.

345, 16. Δεῖν] ἀντὶ τοῦ ἀναγκαίαν εἶναι. ATP.

Βραχεῖς τε καὶ μετρίους] Τὸ μὲν τῆς συντομίας, τὸ δὲ τῆς ἀρετῆς τῶν εἰρημένων. TCV. Βραχεῖς, ἤγουν συντόμους· μετρίους, ἤγουν ἐπιεικεῖς, φιλανθρώπους. TP.

345, 19. Τῷ τῶν συμμάχων] ὡς εἰ ἔλεγεν· ἅπασιν Αἰσχίνης ἠναντιώθη, τοῖς συμμάχοις καὶ νυνὶ δὲ τοῖς ἀκροαταῖς. B.

345, 20. Συνηγοροῦντος δόγματι] συμμαχοῦντος δόξῃ. P.

345, 21. Πράττοντος] ἀγωνιζομένου. P.

345, 22. Ταῦτα] ἐμά. P.

345, 24. Συνηγόρει ἐκείνῳ] μεθ' ἑτέρας διανοίας ἐξετάζει τοῦ κατηγορουμένου τὰ ῥήματα. B.

345, 25. Ὡς οὔτε τῶν προγόνων ὑμᾶς] Ὁ μὲν Αἰσχίνης περὶ τῶν φαυλοτέρων ἔφη, οὓς καὶ ζηλοῦν ἐκώλυσεν, ὁ δὲ τῷ κοινῷ τὸν λόγον ἐτράχυνε. TCV. Ἰστέον ὅτι σοφίζεται ἐνταῦθα ὁ ῥήτωρ· ὁ μὲν γὰρ Αἰσχίνης τὸ ἄκαιρον τοῦ μιμεῖσθαί τινας τῶν προγόνων ἔλεγε φυλάττεσθαι, αἰνιττόμενος τοὺς ἐν Σικελίᾳ μόνους· οὐ γὰρ ἔλεγε περὶ πάντων τῶν προγόνων· ὁ δὲ ῥήτωρ τῷ καθολικῷ ὀνόματι τῶν προγόνων διαβάλλει τὸν λόγον. ACDBRTV.

345, 27. Νόμον τε θήσειν] Ἰδοὺ καὶ νομοθέτην αὐτὸν ἀποφαίνει, πανταχόθεν αὔξων τὴν φρόνησιν. TCV.

345, 28. Μηδενὶ τῶν Ἑλλήνων] Παραινεῖ τῇ πόλει τὴν αὐτοῦ δωροδοχίαν μιμήσασθαι καὶ μισθοῦ βοηθῆσαι τοῖς Ἕλλησι. TCV.

346, 1. Σχέτλιος] δυστυχής. P.

Καὶ ταῦτα ὁ σχέτλιος] εὐκαίρως ἐπιφύεται κατ' αὐτοῦ μετὰ τὴν δείνωσιν BF.

346, 5. Δεύτερον μέρος τῆς καταστάσεως. S.

346, 7. Κατέτριψε] ἤγουν ἀργῶς καὶ ἀμελῶς διετρίβασε. P.

346, 10. Ἀλλ' ἐπειδὴ πάλιν ἥκομεν] Τὸ εἶδος τοῦ λόγου περιβλητικὸν κατὰ τὴν μέθοδον. Τὸ γοῦν ἀναστρέφειν τὰ πράγματα καὶ τὰ δεύτερα πρῶτα λέγειν, εἶτα ἐπεμβάλλειν τὰ πρῶτα, περιβολῆς ἴδιον. ACDGRTV.

346, 12. Εὔθυναι] ἐξετάσεις, ἔρευναι. P.

346, 14. Καὶ προσδοχηθέντων] Ὑπὲρ τῶν περὶ Ἀριστόδημον λέγει καὶ Νεοπτόλεμον. ARTCV.

346, 15. Καὶ τούτων ἕτερα] τὴν Θρᾴκην λέγει AR. TCV.

346, 16. Προσῄειμεν] Πρῶτον γὰρ ἔδει εἰσελθεῖν ἐν τῇ βουλῇ, εἶτα ἐν τῷ δήμῳ. ACDGRTV.

346, 18. Τὸ γὰρ βουλευτήριον μεστὸν] Τὴν ἐπιθυμίαν αἰνίττεται τοῦ μαθεῖν· οὐ γὰρ ἀνέμειναν τὴν ἐκκλησίαν κατὰ τὸ ἔθος, ἀλλ' ἀνεμίχθησαν οἱ ἰδιῶται τοῖς βουλευταῖς. TCV.

346, 20. Κατηγόρησα τούτων] Οὐ λέγει περὶ πάντων τῶν πρέσβεων, ἀλλὰ τῶν αἰτίων. ACDGRTV.

346, 26. Προέσθαι] προδοῦναι. P.

346, 27. Ἀναρτωμένους] ἐκκρεμαμένους. P.

346, 28. Εἰς τοὔσχατον] ἀπώλειαν. P.

346, 29. Ἐπειδὴ δὲ ἧκεν ἡ ἐκκλησία] Ἐνταῦθα ἀποδείκνυσι τῆς προκατασκευῆς τὸ δεύτερον κεφάλαιον, δεύτερον τιθείς· οὐ γὰρ τῇ τάξει ἐχρήσατο τῆς ἐπαγγελίας, ἀλλὰ τὴν τάξιν συγχέας τῶν κεφαλαίων τῆς προκατασκευῆς, οὐχ ὡς ἐπηγγείλατο κατασκευάζει, ἀλλὰ τῆς ἐπαγγελίας τὸ πέμπτον τίθησι πρῶτον, τὸ δὲ δεύτερον τίθησι δεύτερον· κατασκευάζει δὲ μόνον τὸ δεύτερον νῦν. BY.

Ἧκεν] συνηθροίσθη.

347, 1. Πρῶτος] ἐν πρωτολογίᾳ. P.

347, 2. Πειρᾶσθε συνδιαμνημονεύειν] Αἰσχυνθήσεται γὰρ ἕκαστος τῶν ἀκουόντων μόνος ἀπολειφθῆναι τῆς μνήμης. TCV.

347, 8. Πάμπληθες] παντελῶς, ὅλως.

347. 9. Ὥσθ' ἅπαντας] ἀντὶ τοῦ δουλώσας ὑμᾶς τοῖς ἡδέσι λόγοις, ὥσπερ αἰχμαλώτους ἀπάγαγεν. P.

347, 10. Ἔφη γὰρ ἥκειν πεπεικὼς] Καλῶς εἶπεν οὐκ ἀκηκοὼς παρὰ Φιλίππου ἁπλῶς, ἀλλὰ πεπεικὼς Φίλιππον, ἵνα μὴ ὡς ἐξαπατηθεὶς φαίνηται. Προδιαλύει δὲ καὶ οὕτω τὸ χρῶμα· πῶς γὰρ ὁ τότε πείσας ἠπάτηται; TCV.

347, 12. Καὶ περὶ τῶν ἐν Ἀμφικτύοσιν] ὥστε ζητῆσαι καὶ μαθεῖν τίνες ἐσύλησαν τοῦ ἱεροῦ τὰ χρήματα. Ἔμελε γὰρ τοῖς Ἀμφικτύοσι τούτου. TCV. Ὅτι Θηβαίων καὶ Φωκέων πολεμούντων πρὸς ἑαυτοὺς διὰ τὴν Παραποταμίαν γῆν, οἱ Θηβαῖοι μᾶλλον ἱεροσύλησαν τὸ ἐν Δελφοῖς ἱερὸν

ἥπερ οἱ Φωκεῖς, εἰ καὶ οἱ Φωκεῖς κατὰ τὸ ἀληθὲς τοῦτο πεποιήκασιν. Πρῶτοι γάρ, φησὶν, ἐπεχείρησαν οἱ Θηβαῖοι τοῦτο ποιῆσαι καὶ « οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βεβουλευ« κότες τῶν ταῖς χερσὶ διαπραξάντων, » ὡς ἐπιφέρει μετὰ μικρὸν λόγον. ACDGRTV.

347, 15 Ἀπελογίζετο] ἐστοχάζετο, ἐπελάμβανε. Ἀντὶ τοῦ, ὑπὸ λόγους καὶ ἀριθμοὺς ἐπετίθει. P.

347, 16. Πεπρεσβευμένων] ἤγουν ἐκ τῆς πρεσβείας ἑαυτοῦ ὡς τεθαρρηκὼς αὐτῇ. P.

Δυοῖν ἢ τριῶν ἡμερῶν] Τὸ τάχος τῆς ἐπαγγελίας τὴν ἀπάτην ἐπηύξησε. TCV.

Καθ' αὐτὰς] μόνας. P.

Εἰσπραττόμενα] ζητούμενα P.

347, 23. Διδάσκειν γὰρ αὐτὸ; ἔφη] Ὅρα ὅπως πάλιν προδιοικεῖται τὴν λύσιν. Ὁ γὰρ διδάσκων οὐ φενακίζεται. Καὶ τὸ αὐτὸς δὲ τὴν ἐξοχὴν δηλοῖ τῆς εὑρέσεως. Οὐκ ἂν οὖν ὁ τοιοῦτος ἀπατηθείη. TCV.

347, 26. Ἐπικεκηρυχέναι] Ὁμολογεῖται ὑποσχέσθαι δοῦναι. P. Ὅταν πόλις ἔχῃ πρός τινα δυσμένειαν, ἐπιβοᾷ καὶ κηρύττει μισθὸν καὶ χρήματα τῷ φονεύοντι. TCV. Ἄλλο ἐστὶν ἐπικηρυκεία καὶ ἄλλο ἐπικήρυξις. Ἐπικηρυκεία μὲν ἡ φιλία, ἐπικήρυξις δέ· πολλάκις πόλις ἔχουσα ἐχθρόν τινα ἐπιβουλεύοντα αὐτῇ ἐβούλετο αὐτὸν ἀνελεῖν ὡς βαρὺν ἑαυτῇ καὶ ἐπεκήρυττε χρήματα κατ' αὐτοῦ τῷ βουλομένῳ λαβεῖν καὶ φονεῦσαι αὐτόν. Πολλάκις δὲ καὶ ἐπὶ ἰδιωτῶν τοῦτο ἐγίνετο. ACDGRTV.

347, 29. Ὦ ἄνδρες πρέσβεις] Τοῦτο ὥσπερ ἠθοποιΐα ἐστὶν, ὡς ἀπὸ τῶν Εὐβοέων λεγόντων πρὸς τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις. Καὶ πῶς εὑρέθησαν αὐτοὶ οἱ πρέσβεις ἐν τῇ Εὐβοίᾳ; λέγομεν ὅτι δι' αὐτῆς παρῆλθον, ἐπανερχόμενοι ἐπὶ τὰς Ἀθήνας· οὐ γὰρ ἠδύναντο διὰ τῆς Βοιωτίας ἐπανελθεῖν διὰ τὴν ἔχθραν ἣν εἶχον πρὸς τοὺς Θηβαίους. Ἦσαν δὲ οἱ Εὐβοεῖς Ἀθηναίων ἀποστάντες ἐκ τῶν ὑστέρων Θουκυδίδου μέχρι τοῦ νῦν χρόνου. ACDGRTV.

348, 3. Ὡμολόγηκε] καθυπέσχετο. P.

Εὐδοκιμῶν] ἤγουν δόκιμος δόξας ἕνεκεν τούτων. P.

Ῥήτωρ ἄριστος] πιθανολόγος ἐπὶ τέχνης. P.

Ἀνὴρ θαυμαστὸς] ἐπαινετὸς ἐπὶ γνώμης. P.

348, 9. Κατέβη μάλα σεμνῶς] Πλήττει λεληθότως τὸν δῆμον, ὅτι ὑπερευδοκιμοῦσιν οἱ φενακίζοντες. TCV. Σεμνῶς, ἤγουν μεγαλοπρεπῶς. P.

348, 10. Ἀναστὰς δ' ἐγὼ] Παραγραφικὸν λύει « καὶ « διὰ τί οὐκ ἀντέλεγες; » AR.

348, 13. Ἐβόων, ἐξέκρουόν με] Αἰσχίνου βοῶντος, Φιλοκράτους παροινοῦντος, προκατειλημμένου τοῦ δήμου, ποῦ Δημοσθένης ὀφθήσεται; TCV. Ἐξέκρουον μὲν, ἀντὶ τοῦ, ἐπωνείδιζον· ἐχλεύαζον δὲ, ἐνέπαιζον μετ' εἰρωνείας. P.

348, 14. Ὑμεῖς δ' ἐγελᾶτε] Καθάπτεται τῶν πολιτῶν, ὅτι τοῖς φενακίζουσι τὴν πόλιν ἐπίστευον, τὸν δὲ φιλόπολιν καταγέλαστον ἐποίουν. ART.

348, 16. Νὴ τοὺς θεοὺς εἰκός τι παθεῖν] Θεραπεύει τὸν δῆμον μετὰ τὴν ἐπιτίμησιν. TCV. Θεραπεία τῆς ἐπιτιμήσεως. B. Καθαψάμενος τῶν πολιτῶν πάλιν αὐτοὺς θεραπεύει. AR.

Δεύτερα] ἐλάττονα. P.

Ὑποκειμένων] παρισταμένων. P.

Ὄχλος] Ταὐτόν ἐστιν εἰπεῖν, ὀχλοῦντες ἦσαν καὶ φθονοῦντες. P.

348, 25. Τοῦ χάριν δὴ] Τρίτον μέρος τῆς καταστάσεως αἰτιολογικόν· τὰς αἰτίας γὰρ ἀποδίδωσι τῶν προειρημένων. S. Πληρώσας τὴν διήγησιν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ πρῶτον κεφάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶ τὸ παραγραφικόν. Λαμβάνει δὲ αὐτὸ ἐκ τοῦ χρόνου. Οἷον, καὶ διὰ τί μὴ τότε ἀντέλεγες; ACDGRTV.

349, 2. Παραχρῆμα] ἤγουν συντόμως μετὰ τὴν πρεσβείαν. P.

349, 11. Οὗπερ εἶπον] ὅτι οὐκ ἐδίδασκον ταῦτα παραχρῆμα, ἀλλὰ μετὰ ταῦτα. P.

349. 15. Προβεβλημένη] εὐλαβῶς ἔχουσα καὶ φυλαττομένη. BYP. Πρὸ τῶν ἄλλων ἦν, ἔμπροσθεν μαχομένη. P.

Καλῶς] συμφερόντως P.

Διὰ τὴν ἀλήθειαν] τοῦ Αἰσχίνου δηλαδή. P.

Διὰ τὴν αἰσχροκέρδειαν] νομίσητε γεγενῆσθαι. P.

Ἀποδόσθαι] πωλῆσαι P.

349, 25. Βούλομαι δὲ] Συμπεράνας τὴν κατάστασιν ἄρχεται ἐντεῦθεν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ὧν ἐστι τὸ προοίμιον. Ἐπειδὴ δὲ κινηθέντος τοῦ ἐγκλήματος ἐδείχθη τὸ μέγεθος, ἀφέμενος ἀναγκαίως ὧν προήρξατο, τὴν λυποῦσαν αὐτὸν ἀντίθεσιν διαβάλλειν πειρᾶται. Ἔστι δὲ αὕτη τίς; ἡ ἀπὸ τῆς Αἰσχίνου δυνάμεως. Ἀλλ' οὐχ ἱκανὸς Αἰσχίνης, οὐδὲ τοσαύτην ἔχει δύναμιν ὥστε εἴκοσι δύο πόλεων προδοῦναι κατάλογον. Τί δήποτε δὲ στοχαστικῆς οὔσης τῆς ὑποθέσεως ἐλέγχων ἀπαιτήσει οὐ κέχρηται; καὶ λέγομεν ὅτι γνώμης ἐστὶ στοχασμός. Οὐχ οἷόν τε δὲ προδήλων ὄντων τῶν πραγμάτων ὑφ' ὧν πέπρακται, καὶ καταφανοῦς ὑπάρχοντος τοῦ πεποιηκότος ἐλέγχων ἀπαίτησιν γενέσθαι. Ἐνταῦθα γὰρ τῆς βουλήσεως μόνης ἐξέτασις καὶ τῶν τεκμηρίων. Ἐλέγχους δὲ οὐκ ἀπαιτοῦμεν, ὅτι μὴ τὴν ἑτέρου γνώμην οἶδέ τις εἰ ἑκὼν ἢ ἄκων καὶ ἐξηπατημένος τοὺς λόγους εἴρηκε. Καὶ ἡ βούλησις δὲ ἠρέμα μὲν δηλοῦται, φυλάττεται δὲ ἡ πλείων ἐξέτασις ἐν τῷ χρώματι. Τὴν δὲ δύναμιν βλάπτουσαν καὶ ὑπερβαίνουσαν τὴν ποιότητα κατέμιξε τῇ θέσει τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, πιθανὰ ποιῶν τὰ ἐγκλήματα. TCV.

Βούλομαι δὲ] Τί δήποτ στοχαστικῆς οὔσης τῆς ζητήσεως οὔτε ἐλέγχων ἀπαιτήσει κέχρηται οὔτε μὴν βουλήσει πρὸ τῆς δυνάμεως; λύσις, ὅτι γνώμης ἐστὶ στοχασμός. BFRSY. Πληρώσας τὸ παραγραφικὸν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ δεύτερον κεφάλαιον τοῦ στοχασμοῦ, ὅπερ ἐστὶν ἡ τῶν ἐλέγχων ἀπαίτησις. ATCV.

349, 26. Ὃν τρόπον] ἀντὶ τοῦ, καθ' ὃν ὑστέρησαν τρόπον ποτὲ ὑμᾶς τοὺς Φωκεῖς. P.

349, 28. Δεῖ δὲ μηδένα ὑμῶν] Ἔστιν οὖν τῆς ἀντιθέσεως ἡ δύναμις ἐν τούτοις κατὰ ἀναίρεσιν εἰσηγμένη· ἐνταῦθα γὰρ τῆς βουλήσεως μόνης ἡ ἐξέτασις καὶ τῶν τεκμηρίων. BFSY.

Ἡ μὲν βούλησις μέχρι τοῦ μετρίου συμπέπλεκται ἐκ τούτου. Εἶθ' οὗτος, εἴπερ ὥσπερ οὗτος, ἠβουλήθη μισθώσας αὐτὸν τοῖς ἐχθροῖς ἐξαπατᾶν ὑμᾶς καὶ φενακίζειν, τῶν ἴσων αἴτιος ἦν κακῶν ὅσων περ καὶ οὗτος. Τὴν δέ γε δύναμιν ηὔξησεν ἐκ τῆς ποιότητος, εἰπὼν ὅτι ὑμεῖς κατεστήσατε κύριον, καὶ τοὺς καιροὺς συνῆψεν ἐπὶ τούτοις, μέρος τῆς δυνάμεως ὄντας. TCV.

350, 3. Ὅτι ὅντιν' ἂν ὑμεῖς] εἰ καὶ τοῦ Αἰσχίνου ταπεινότερόν τε καὶ ἧττω. TCV.

350, 5. Εἶθ' οὗτος] Συνέζευξε τῇ δυνάμει τὴν βούλησιν, κρατύνων αὐτὴν τῇ κοινωνίᾳ. TCV.

350, 6. Ἐβουλήθη] Διὰ τί ἐπ' ἐλάχιστον χρῆται νῦν τῇ βουλήσει; λέγομεν ὅτι τεχνικῶς τοῦτο ποιεῖ. Βούλεται γὰρ αὐτὴν τηρῆσαι ἐν τῷ δευτέρῳ στοχασμῷ. Δεύτερος γὰρ ἐμπίπτει μεταξὺ τοῦ λόγου ἀπ' ἀντιθέσεως, οἷον « καὶ πόθεν δῆλον ὅτι ταῦτα ἐβουλόμην ποιεῖν; » — Διὰ τοῦ εἰπεῖν ἐβουλήθη ἐσήμανε τὴν βούλησιν· τὴν γὰρ δύναμιν προειπὼν ἐπήγαγε τὴν βούλησιν. ACDGRTV.

350, 8. Οὐ γὰρ εἰ φαύλοις] Τοῦτο μέν ἐστι μέρος τῆς ἀντιθέσεως, ὅτι φαῦλος καὶ τῶν τυχόντων καὶ οὐδὲ τῶν σεμνῶν οὐδὲ τῶν λαμπρῶν Αἰσχίνης, ὁμοῦ ἐξεπίτηδες φαυλίζων, οὐ παρ' ἑαυτοῦ δὲ φαυλίζων—ἐναντίου γὰρ ἦν—, ἀλλὰ παρὰ τῶν ἐχόντων ταύτην τὴν ὑπόληψιν λαμβάνων τὸν λόγον. Ἔστι δὲ καὶ τῶν ἀσαφῶν τὸ χωρίον. Τί γοῦν βούλεται λέγειν ἐν τούτῳ; ὅτι οἱ Φωκεῖς, εἰ καὶ φαύλῳ κατεχρήσασθε διακόνῳ καὶ πρεσβευτῇ, οὐ πρὸς ἐκεῖνον εἶδον, ἀλλὰ πρὸς τὴν πόλιν. TCV.

350, 10. Ἀξιοῦται] ἄξια κρίνεται. P. Τί γάρ; ὧν ἡ πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις, ἐπ' αὐτοὺς ἀναφέρεται, ἀντὶ τοῦ, οὐχ ἠξίωσαν ὀλιγωρῆσαι τῶν Αἰσχίνου λόγων, ἀλλ' ἀπεῖδον πρός τε τὸ τῆς πόλεως πρόσωπον καὶ ἀξίωμα, καὶ τούτοις πιστεύσαντες ἀπώλοντο. Ἵνα δὲ ἡ δύναμις ἰσχυρὰ γένηται, προσέθηκε καὶ τοὺς ἄλλους πρέσβεις, καὶ διηυκρίνησεν ἐπὶ τίνι κατηγορεῖ, προσθεὶς καὶ εἰπών, « εἰ « ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, ταῦθ' « ἅπαντ' ἀπώλεσαν οὗτοι. » Καὶ προσέθηκε πάλιν τὴν βούλησιν, εἰπών, « καὶ διέφθειραν ἑκόντες. » Τὸ δέ γε ἰσχυρότερον μέρος τῆς βουλήσεως, τὴν αἰτίαν, οὐ λέγει· τούτου γὰρ τοῦ κεφαλαίου τὸ μέγιστον μέρος ἐστὶν ἡ αἰτία, ἣν ἐν τῷ δευτέρῳ στοχασμῷ διεφύλαξε. TCV.

350, 17. Δὸς δέ μοι τὸ προβούλευμα] Εἰσβάλλει ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν, πληρώσας τὴν δύναμιν. Προβούλευμα δὲ λέγει τὸ ἀκοῦσαι τὴν βουλὴν πρὸ τοῦ δήμου Δημοσθένους κατηγοροῦντος τοῦ Αἰσχίνου καὶ τῶν ἄλλων πρέσβεων ὅτι παρεπρέσβευσαν καὶ καταψηφίσασθαι αὐτῶν ὡς ἀδικησάντων καὶ γράψαι καὶ ψήφισμα ἕνα αὐτῶν τῶν βουλευτῶν, ὥστε μὴ κληθῆναι εἰς τὸ πρυτανεῖον πρὸς δεῖπνον. Ἀεὶ γὰρ οἱ πρέσβεις ἐπανερχόμενοι ἐκαλοῦντο εἰς δεῖπνον ἔθει τινὶ τιμῆς χάριν. Τοῦτο γοῦν παραφέρει εἰς ἔλεγχον αὐτῶν τῆς προδοσίας, ὅτι ὡς προδοτῶν καταγνοῦσα ἡ βουλὴ οὐκ ἐκάλεσεν αὐτοὺς εἰς δεῖπνον. ACDGR TV. Μετέβη πάλιν ἐντεῦθεν ἐπὶ τὸ κεφάλαιον, οὗπερ ἦν ἐξ ἀρχῆς τὸ προοίμιον, λέγω δὴ τοῦ ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἄρχεται δὲ ἐκ μεταληπτικοῦ, « νῦν ἡμῖν λέγεις περὶ τῆς προδοσίας, ἐξὸν πρὸ τῶν πραγμάτων εἰπεῖν καὶ σῶσαι; » Ὁ δὲ ὅτι οὐκ ἐσίγησε συνίστησι, παρεχόμενος τὸ προβούλευμα· εἶναι γὰρ σημεῖον τῶν αὐτοῦ λόγων, ὅπερ ἐψηφίσατο πρὸς τὰς ἐπαγγελίας τοῦ ῥήτορος. Πληρώσας δὲ διὰ τῆς προσηκούσης ἐξεργασίας τὸν τρόπον μεταβέβηκεν ἐπ' αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, καθαρῶς ἀπὸ τῶν χρόνων ἀρξάμενος. Αἰτιᾶται γὰρ τὸν Αἰσχίνην ὡς ἐξεπίτηδες ἀποκλείσαντα τῶν καιρῶν τὴν πόλιν, ὡς μηδὲ ἐγγενέσθαι βουλεύεσθαι περὶ τῶν προκειμένων, τοῦ Φιλίππου κατειληφότος τὰς Πύλας· ἅμα τε γὰρ ἤκουσε κἀκεῖνος παρῆν. Εὔδηλον ὡς ἀπωλώλει τῆς βοηθείας ὁ χρόνος, ἐν ᾧ κλεῖσαι τὰς Πύλας οἷόν τε ἦν τῷ δήμῳ. Εἶτ', ἐπειδὴ ἀντέπιπτεν, Οὐ γὰρ ἦν ἑτέρως βοηθεῖν ἢ προειπόντας Φωκεῦσιν ἀσφαλέστερόν τι περὶ αὐτῶν βουλεύσασθαι, ἔλυσε δύο λύσεσι· μιᾷ μέν, ὅτι οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβούλευμα· ᾗ γὰρ ἂν ὁ δῆμος ἐβουλεύσατο· ἑτέρᾳ δέ, ὅτι εἰ καὶ βουλεύσασθαι ὁ δῆμος οἷός τε ἦν, ἐξηπάτησεν αὐτὸν Αἰσχίνης ἐλπίσι καὶ ὑποσχέσεσιν. Ἐν ᾧ καὶ εἰσάγει τὰ ἰσχυρότατα τῶν τεκμηρίων, λέγων τοὺς Αἰσχίνου λόγους. TCV.

350, 18. Ἐπαγγελίαν] πρόσταξιν ἢ αἴτησιν. BRP.

Κωλυθεῖσα] ὡς πρότερον. P.

Τούτους] τοὺς πρεσβείας. P.

350, 24. Οὔτε εἰς τὸ πρυτανεῖον] Ἐνεδέχετο ὑπερτεθῆναι τὴν κλῆσιν, ἕως ἂν γνῷ ἡ βουλὴ τὴν ἀκρίβειαν· ἢ ὅτι οὔπω ἐν τῷ δήμῳ ἀπεπρέσβευσαν. Ὁ δὲ τὴν ὑπέρθεσιν εἰς τὸ μὴ γενέσθαι μηδὲ ἔσεσθαι παραλαμβάνει. TCV.

350, 26. Οὗ θάνατον κατεχειροτόνησεν] Κατεδίκασε, κατέκρινεν. P. Ἐνήλλαξε τὸν χρόνον· δῆλον γὰρ ὡς ἐκλήθη πρότερον, εἶθ' ὕστερον καταγνωσθεὶς ἀνῃρέθη. TCV.

351, 2. Ἐνταῦθ' οὔτ' ἔπαινος] Τρίτον Κεφάλαιον περὶ ὧν ἀπήγγειλεν· ὃ τῆς προκατασκευῆς ἐστι πρῶτον κεφάλαιον, τρίτον δὲ τῆς κατασκευῆς καὶ ἀποδείξεως. BFY.

351, 5. Εἰ μὲν τοίνυν ταὐτὰ] Λύει οὖν τοῦτο διλημμάτῳ σχήματι, ὅτι, εἰ μὲν πάντες οἱ πρέσβεις ταὐτὰ ἐπρεσβεύομεν, ὅ ἐστιν εἰ πάντες ἐγενόμεθα προδόται, δικαίως ἂν πάντες οὐκ ἐκλήθημεν· εἰ δὲ οἱ μὲν ἡμῶν τὰ δίκαια ἔπραττον, οἱ δὲ παρεπρέσβευσαν, διὰ τοὺς παραπρεσβεύσαντας συνέβη καὶ τοὺς ἄλλους μὴ κληθῆναι. A—V.

Δεινὰ] φοβερά. P.

Διακρουσαμένῳ] ἐκφυγόντι, ἀποπεμψαμένῳ. P

351, 19. Τούτων δὲ] ἤτοι τὸ μὴ κληθῆναι. R.

351, 20. Ἡ μὲν οὖν βουλὴ ταῦτα] Ἐντεῦθεν ἄρχεται τῶν σημείων, ὅπερ κεφάλαιον καλεῖται, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. ACDGRTV.

352, 1. Ἀναστὰς δ' οὗτος ἐδημηγόρει] Δύο θεὶς ἀπ' ἀρχῆς ἄχρι τέλους, τόν τε χρόνον, καὶ τοὺς λόγους Αἰσχίνου, ἀναγκαίως καὶ χρῶμα ἐπήγαγεν· ἑκάστῳ γὰρ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀποδοτέον χρῶμα. BFRSYTCV.

352, 4. Ἐπικεκηρυχέναι] Ὁπότε βούλοιτο ἢ πόλις, ἢ ἄρχων, ἀναιρεθῆναί τινα τῶν μὴ ὄντων ὑφ' ἑαυτοῖς, ἐκήρυττον δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα. BF.

Παρουσία] ἐπιδημία. P.

Τούτοις] τοῖς πρέσβεσι. P.

Προηγγελκέναι] ὡς τὸ βοηθῆσαι Φωκεῦσι. P.

352, 7. Πρᾳοτέρους γενέσθαι τινὸς] ἢ παντὸς ἀνθρώπου βούλεται τὸ τινός, ἢ τίνος λέγει· πόρρω γὰρ εὑρεῖν παραπλήσιον εἰς φιλανθρωπίαν. TCV.

352, 10. Καὶ μετὰ ταῦτα] Ἡ λύσις. S.

Καὶ μετὰ ταῦτα ἀνεγινώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ Φιλίππου] Τοῦτο δέ ἐστι τὸ χρῶμα τὸ ὑπὲρ τῶν χρόνων ἐν οἷς ὁ Φίλιππος κατέσχε τὰς Πύλας, καὶ τούτου γέγονεν ἐκεῖνος αἴτιος. Εἶτα ἡ λύσις εὐθύς· οὗτος ἔγραψε τὴν ἐπιστολὴν ἀπολειφθεὶς ἡμῶν, οἱονεὶ χωρισθείς· πρὸς δὲ τοὺς Αἰσχίνου λόγους ἀπήντησεν οὕτω λέγων· Φίλιππος οὐκ ἐξηπάτησεν, ἀλλ' Αἰσχίνης. TCV.

352, 11. Ἣν οὗτος ἔγραψεν ἀπολειφθεὶς ἡμῶν] Τὸ μὲν ἀπολειφθεὶς ἡμῶν, ἵνα μὴ δόξῃ κοινωνεῖν τῶν πραχθέντων· τὸ δὲ οὗτος ἔγραψεν, ἵνα μὴ ἐπὶ Φίλιππον ἄγῃ τὴν αἰτίαν· ἐπὶ τὰς πόλεις δέ, ἵνα τὰς συμμαχικὰς δηλοῖ, ἃς καὶ ὁρκοῦν ἔδει· οὐκ ἀπὸ ταὐτομάτου δέ, ἵνα δείξῃ τὴν κακουργίαν, ὅτι ἐμερίσαντο τὴν ἐπιβουλὴν Αἰσχίνης καὶ Φίλιππος. TCV.

352, 13. Διαρρήδην] μεγαλοφώνως. P.

352, 16. Συνδιαλλάττωσιν] φιλιώσωσιν. P.

352, 17. Τοὺς Ἀλεῖς πρὸς τοὺς Φαρσαλίους] πολίτας. B. Ἤδη ἔγνωμεν ἐν τοῖς Φιλιππικοῖς ὅτι αἱ δύο πόλεις αὗται τῆς Θετταλίας ἐστασίαζον πρὸς ἑαυτάς, ἡ μὲν Φάρσαλος φίλη οὖσα τοῦ Φιλίππου, ὁ δὲ Ἄλος τῶν Ἀθηναίων. ACDGRTV.

353, 3. Λέγε αὐτοῖς τὴν ἐπιστολὴν] Τὸ θαυμαστότατον τοῦτό ἐστιν ὅτι ἧπερ ἂν Αἰσχίνης ἐχρήσατο πρὸς ἀπολογίαν ἐπιστολῇ, ταύτην ἔλαβε πρὸς κατηγορίαν Δημοσθένης· σύνηθες γὰρ αὐτῷ τὰ ἰσχυρὰ τῶν ἀντιδίκων διὰ ἰσχὺν δεινότητος αὐτοῦ ποιεῖσθαι. TCV.

353, 9. Περὶ δὲ Φωκέων] Μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς, ὥσπερ ἐπιβεβαιούμενος τὴν ἐξ αὐτῆς ὠφέλειαν, πάλιν ἐπάγει « περὶ δὲ Φωκέων, ἢ Θηβαίων, ἢ τῶν ἄλλων « ὧν οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, οὐδὲ γρῦ. » Οὗτος, οὐκ ἄρα Φίλιππος, ἐξηπάτηκε. Τοῦτο γάρ ἐστιν ὃ προορᾶται. Λύσας δὲ ἐν τῷ μεταξὺ τὰ λυποῦντα, καὶ συστήσας τὴν ἐπιστολὴν Αἰσχίνου μᾶλλον ἢ Φιλίππου εἶναι, πάλιν ἐπὶ τοὺς Αἰσχίνου λόγους ἐπανῆκεν, οὐκ ἀναχωρῶν τῶν ἰσχυροτάτων, θεώρημα παραδιδούς, ἐνδιατρίβειν τοῖς ἀναγκαίοις. TCV.

353, 11. Οὐδὲ γρῦ] γράφει δηλονότι. P. Ἀντὶ τοῦ οὐδὲ ὅλως. Εἴρηται δὲ τὸ γρῦ τὸ μικρὸν ἀπὸ μεταφορᾶς τοῦ ῥύπου τοῦ γινομένου ἐν τοῖς ὄνυξιν, τοῦ οὕτω καλουμένου. ARTP.

353, 13. Ἀλεῖς] Ἄλος πόλις καὶ Ἀλεῖς οἱ πολῖται. BF.

353. 16. Ὁ σκοπῶν] Φίλιππος δηλονότι. Ἐκείνου γράψαντος πρὸς Ἀθηναίους ὅτι σκοπῶ τί ποιῶν ὑμῖν χαρίσαιμι. P.

Λύσασθαι] διὰ λύτρων ἀποδοῦναι. P.

Ἐγγράψαι] μὴ λῦσαι τοὺς Ἀλεῖς. P.

353, 22. Ὁ τοίνυν μέγιστον] Ἀποκοπὴ τὸ σχῆμα, ἀντὶ τοῦ ἀκούσατέ μου. ATP.

353, 24. Ἠνέγκαμεν ἡμεῖς] μετὰ Ἀντιπάτρου καὶ Παρμενίωνος. AR.

354, 11. Ἐπαγγείλασθαι] ἀντὶ τοῦ αἰτῆσαι. ARTP.

354, 14. Προΐεσθαι] προδιδόναι. P.

354, 15. Εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαὶ] Πάλιν ἐνταῦθα προσέθηκε τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους Θηβαίους, οὐκ ἀθρόως ἐκχέας ἅπαντα, κατὰ δὲ μέρος ἀεὶ προστίθησιν, ἵνα καὶ αἱ λύσεις ἀκόλουθοι καὶ οἱ λόγοι σαφεῖς γένωνται. Εὐθὺς γοῦν ἐπὶ τὴν μνήμην Θηβαίων ἐλθὼν πάλιν τὸ χρῶμα ἐζήτησεν, ὥσπερ καὶ ἐπὶ τῶν προτέρων· ἔφη γὰρ καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην. Ποῦ τοίνυν ἡ δίκη; ἤκουσαν οἱ Θηβαῖοι, φησί, καὶ διὰ τοῦτο ἐφυλάξαντο· καὶ Φίλιππος οὐκ ἔσχεν ἀνελεῖν τὰς Θήβας. Εἰ τοίνυν παρὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ἔχει δὲ τὸ χρῶμα καὶ τὴν λύσιν εὐθὺς τοῦ χρώματος, ἐπὶ τούτοις ἀκολούθως ζητήσας τὸ μεταληπτικόν· πῶς οὖν ἐσιώπησας ἀπατωμένης τῆς πόλεως; καὶ πρὸς τοῦτο ἀπαντῶν ὑπομιμνήσκει τῆς ἑαυτοῦ παρόδου καὶ ὧν ἔπαθε λέγειν βουλόμενος. Εἶτ' ἐπειδήπερ οὐκ εἶχε μαρτυρίαν τῶν λόγων, ὡς ἐν ποιήματι ἠθοποιίας συνέπλασεν· ἔχει γὰρ καὶ τὸ μεγαλεῖον τῶν λόγων ἐκ τοῦ Πλάτωνος, καὶ λαμβάνει τὸ χρήσιμον ἐκ τῶν διαλόγων τῶν ἀμοιβαίων, εἶδος καινὸν καὶ πιθανὸν εἰσάγων. Οὐδὲ γὰρ ἀκατάσκευον ἀφῆκεν ὅ τι εἴρηκεν, ἀλλ' ἐν τῇ τῆς πλάσεως εὑρέσει τὴν πίστιν παρέσχετο· μᾶλλον γὰρ ἐνδιατιθέμεθα πρὸς τοὺς ἐγκατασκεύους λόγους ἢ τοὺς ἁπλούστερον εἰρημένους. TCV.

354, 17. Καίτοι ταῦτα εἰ μὲν ἀκοῦσαι] Λύσις ἰσχυροτάτη ἀντιθέσεως, οἷον, ἀλλ' ἀκούσαντες οἱ Θηβαῖοι ἐφυλάξαντο καὶ δι' αὐτὸ οὐ διεφθάρησαν· εἶτα λύει αὐτὴν διλημμάτῳ σχήματι. Ἔμελλε κατὰ τὸ ἀληθὲς ταῦτα ποιεῖν ὁ Φίλιππος, ἢ οὔ. Εἰ μὲν γὰρ οὐκ ἔμελλε ποιῆσαι, ἀλλὰ σὺ ἠπάτας, εἰκότως ἐφλυάρεις ταῦτα ἀπατῶν ἡμᾶς, εἰδὼς ὅτι οὐ γενήσεται· εἰ δὲ διὰ τὸ προαισθέσθαι κεκώλυται, διὰ τί μὴ ἐσιώπας; εἰ μὲν γὰρ ἐγίνωσκες ὅτι, ἐὰν καὶ ἀκούσωσιν οἱ Θηβαῖοι, οὐ δυνήσονται φυλάξεσθαι, ὡς ὄντες ἀσθενεῖς, τί οὖν μὴ διεφθάρησαν; εἰ δὲ ἐγίνωσκες ὅτι ἰσχυροί εἰσι, καὶ ἐὰν προακούσωσι φυλάττωνται, τί ἐφλυάρεις; ACDGRTV.

Οὗτος] ὁ Αἰσχίνης. P.

354, 29. Ἐσπαθᾶτο] ἀντὶ τοῦ συνετίθετο μεταφορικῶς ἀπὸ τῆς τῶν ὑφαντῶν σπάθης. BRY. Ὑφαίνετο, κατεσκευάζετο, ἢ ἐπεδαψιλεύετο, ἀπὸ τοῦ σπαθᾶν καὶ πολλὴν κρόκην ἐμβάλλειν τῇ ἐσθῆτι, ὡς ἔχομεν τὴν χρῆσιν παρὰ τῷ Ἀριστοφάνει ἐν ταῖς Νεφέλαις (55) « ὦ γύναι, λίαν σπαθᾷς. » ACDGRTV.

355, 3. Καὶ ὅθεν] ἐψεύδετο. P.

355, 6. Ὑπὸ τούτων] ὑπὸ Φιλίππου καὶ Αἰσχίνου. TCV.

355, 7 Σιωπᾶν] Τοῦτο γὰρ ἔδει τὸν Φίλιππον σιωπᾶν, καὶ μὴ προσθεῖναι τῇ εἰρήνῃ, τό, πλὴν Φωκέων καὶ Ἀλέων, εἴπερ ἔμελλεν αὐτοὺς σῶσαι καὶ μὴ τῷ ἐκσπόνδους ἀφεῖναι καταστρέψασθαι. CDGRT.

355, 15. Τραχέως δ' ὑμῶν] Ἐδόκει γάρ πως βασκαίνειν εὐπραξίᾳ τῆς πόλεως, δι' ὧν οὐδὲ προσδοκᾶν ἀνέχεται. TCP. Ἐπειδὴ ὥσπερ ἐδόκει ἀπεύχεσθαι τὰ ἀγαθὰ τῇ πόλει τῷ μὴ προδοκᾶν. ACDGRTV.

355, 16. Ἐχόντων] εἰς ἐμέ, διὰ τὸ εἰπεῖν ἐμὲ προσδοκᾶν. Καὶ ὅπως γε ἔφην καὶ τοῦτο, ὅτι ἀντὶ τούτων, καὶ τὰ λοιπά. P.

Μὴ νῦν ὑπολαμβάνων] Οὐ νῦν ὀφείλεις ἐκστῆναι τοῦ δοκεῖν κεκοινωνηκέναι ἡμῖν τῆς πρεσβείας, ἀλλὰ τότε ἀφίστασο, καὶ μὴ προσποιήσῃ κοινωνεῖν ἡμῖν, ὅταν ταῦτα γένηται καὶ ἡμεῖς μέλλωμεν στεφανοῦσθαι διὰ ταῦτα. ACDGRTV.

355, 25. Οὗτος μὲν γὰρ ὕδωρ] Ἐπειδὴ ἡμέρᾳ τροφῇ καὶ ποτῷ χρῶνται οἱ ἄνθρωποι, ὕδατι δὲ τὰ θηρία, σκώπτων αὐτὸν εἰς θηριώδη βίον ὁ Φιλοκράτης ταῦτα ἔλεγεν. Ἄγει δὲ αὐτοὺς εἰς ὑπόμνησιν τοῦ σκώμματος, ἵν' ἐπιταράξας τῷ γελοίῳ τῶν δικαστῶν τὰς κρίσεις συμμάχῳ τῷ πάθει πρὸς τὴν πειθὼ καταχρήσηται. Θαυμαστὴ δὲ καὶ τῆς ὕβρεως ἡ προσποίησις. Ἐκ γὰρ τῆς τοῦ ἐχθροῦ κρίσεως τοῦ βίου τὴν ἐγκράτειαν ἐσέμνυνε, καὶ πρὸς τὰ τῆς μισθαρνίας ἐγκλήματα [ἀπολογεῖται]· ὁ γὰρ ὕδωρ πίνων πῶς ἀπρεπὲς κέρδος ἐπόθει; TCV.

355, 26. Σκέψασθε δὴ τὸ ψήφισμα] Ταῦτα αἰτίαν καὶ πίστιν περιέχει τοῦ διὰ τοὺς Αἰσχίνου λόγους ἰσχῦσαι τὸ Φιλοκράτους ψήφισμα· εἰ γὰρ ἅμα τε εἶπεν Αἰσχίνης ἅμα τε Φιλοκράτης ἔγραψεν, εἴη ἂν τὸ ψήφισμα περιεκτικὸν τῶν Αἰσχίνου λόγων. Ὅτι μὲν οὖν καὶ τοῦτο τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους δῆλον. Ὅτι δὲ λυπεῖ τὸν ῥήτορα γνοίη τις ἂν ἐνθυμηθεὶς ὅτι ῥᾴδιον Αἰσχίνῃ μεταστατικῷ χρωμένῳ εἰς τὴν ἀπολογίαν μετενεγκεῖν ἐπὶ τὸν Φιλοκράτην τὸ ἔγκλημα· ἐρεῖ γὰρ ὡς ὁ γράψας τὸ ψήφισμα καὶ τὸν Φίλιππον ἐπαινέσας αἴτιος γέγονε τοῦ μὴ τὴν πόλιν ψηφίσασθαί τι χρηστὸν ὑπὲρ Φωκέων. Τοῦτο οὖν εὐλαβηθεὶς ὁ ῥήτωρ δεινότητι κέχρηται, πρῶτον μὲν ἀποδεικνὺς ταῦ-

τὸν Αἰσχίνου τὴν δημηγορίαν καὶ τὸ ψήφισμα, ἔπειτα ὅτι οὐκ ἂν παρεδέξατο τὸ Φιλοκράτους γράμμα ἡ πόλις, μὴ τῶν ὑποσχέσεων τούτων προειρημένων· ὅπερ γὰρ ἐπὶ τῆς ἐπιστολῆς εἴπομεν, τοῦτο κἀνταῦθα ἐποίησεν, τὸ ἰσχυρὸν τοῦ ἀντιδίκου συναγωνιστικὸν ἑαυτῷ πεποίηκεν. Εἶτα πάλιν ἐνταῦθα φοβηθεὶς τὸ παρ' Αἰσχίνου χρῶμα — ἠδύνατο γὰρ ἐκ τῶν γεγραμμένων ἐν τῷ ψηφίσματι μαρτυρίαν λαβεῖν, ὅτι Φίλιππος ἦν ὁ ὑπισχνούμενος — εἴρηκεν εἰπών, « ἀλλ' οὐδὲν ἐκεῖνος ἐπηγγέλλετο, » ἀλλ' οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. Εἶτα ἐπιβεβαιῶν ὅτι Αἰσχίνου μᾶλλον ἢ Φιλοκράτους τὸ ψήφισμα, πάλιν ἐπάγει λέγων, « πρὸς δὲ τοὺς παρὰ τούτου λόγους « ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φιλοκράτης ἐγγράφει τοῦτο « [εἰς] τὸ ψήφισμα. » Διορίζεται γὰρ ἐν τούτοις κατασκευὴν εἶναι τῆς τοῦ ψηφίσματος ἀπάτης τοὺς Αἰσχίνου λόγους. TCV.

355, 27. Μετὰ ταῦτα] μετὰ τὸ σκῶψαι. AR.

355, 28. Οὑτωσὶ] ἁπλῶς καὶ μὴ μετ' ἐπιστασίας. Lᴇss.

356, 3. Μόνον οὐκ ὀπίσω] Ἔδει πληθυντικῶς εἰπεῖν τὰς χεῖρας, ἵνα ᾖ ἐπὶ πάντων. TCV.

Τὼ χεῖρε] ἐπὶ ἑνὸς ἑκάστου τῶν Φωκέων.·ARTP.

356, 6. Ὅσων] ὅσα ἔγραψε, φησὶν, ὁ Φιλοκράτης περὶ Φιλίππου. ARP.

356, 10. Ἐκεῖνός γε ἐπηγγέλλετο] Εἴποι ἄν τις ὅτι ἐναντιοῦται ἑαυτῷ λέγων, « ἀλλ' οὐδὲν ἐπηγγέλλετο. » Λέγομεν ὅτι αὕτη λύσις ἐστὶ τοῦ ἐναντίου, ἵνα, ὅταν λέγῃ τὸ, οὐδὲν ὑπισχνεῖτο, νοήσωμεν ὡρισμένως, ὅταν δὲ λέγῃ ὅτι ὑπισχνεῖτο, ἵνα λάβωμεν ἀορίστως. ACDGRTV.

356, 14. Ὡρμηκότας ὑμᾶς λαβὼν] ἀλόγως αὐτῷ πεισθέντας καὶ προσχωρήσαντας. Φρονίμως δὲ ἐπάγει τὴν αἰτίαν ἐπὶ τὸν Αἰσχίνην. Οὐκ ἂν γὰρ εὗρε, φησὶν, ἀπατῆσαι ὁ Φιλοκράτης, εἰ μὴ τὴν ἀπάτην Αἰσχίνης προκατεσκεύασεν. TCV.

356, 18. Τοὺς διακωλύοντας] οὐκ εἶπε φανερῶς τοὺς Φωκέας· οὐ γὰρ ἂν ἠνέσχοντο Ἀθηναῖοι· ἀλλὰ τῷ ἀορίστῳ ἔλαθε τὴν κακουργίαν ἐργασάμενος. TCV.

356, 19. Οὐκοῦν] διὰ τὰς ὑποσχέσεις τοῦ Αἰσχίνου. AR.

356, 23. Εὐφημότατα ἀνθρώπων] Τοῦτο, φασὶ, τεχνικῶς ἐξεῦρε· παρέδωκε γὰρ τοῖς ἐχθροῖς αὐτῶν εὐφήμως, τῷ ὀνόματι χρησάμενος τῶν Ἀμφικτυόνων. ACDGRTV.

356, 26. Ἀλλ' οὐδὲ συγκαλέσαι] Ταῦτα ἀπὸ τῶν παρειμένων λοιπόν. Ἔστι δὲ καὶ αὐτὸ μέρος τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. TCV. Ὁ Πρόξενος στατηγὸς ἦν Ἀθηναίων. Διέτριβε δὲ περὶ Πύλας, ἐπιτηρῶν τὴν Φιλίππου πάροδον. ACDGRTV.

356, 29. Καίτοι καὶ ἐπιστολὰς] Πάλιν ἕτερον καὶ τοῦτο μεταστατικόν. Διωθούμενος γὰρ ἀφ' ἑαυτοῦ τὰς αἰτίας Αἰσχίνης, τὰς μὲν ἐπὶ Φιλοκράτην ἀναθήσει, τὰς δὲ τῇ πόλει. Τί γὰρ ἐρεῖ; ὑμεῖς αἴτιοι γεγόνατε τῆς Φωκέων ἁλώσεως, κληθέντες μὲν ὑπὸ Φιλίππου, ταῖς δὲ ἐπιστολαῖς ὑπακούσαντες. Ἡ λύσις τοίνυν εὐθὺς καὶ συνεχής, τὸ οὐχ ἵνα ἐξέλθητε. TCV.

357, 2. Πώμαλα] ὑφ' ἓν ἀναγνωστέον· λέγουσι δὲ Συρακοσίων εἶναι τὴν φωνὴν ἀντὶ τοῦ οὐδαμῶς, ἔμαθον δὲ αὐτὴν οἱ Ἀθηναῖοι ἀπὸ τῶν φυγάδων. AR.

Πώμαλα] ὄνομα δέ ἐστιν ὑφ' ἓν ἀναγινωσκόμενον, ὡς μέν τινές φασι, Σικελῶν κομισάντων τῶν ἐκεῖθεν φυγάδων. Ἰσοδυναμεῖ δὲ τῷ κατ' οὐδένα τρόπον καὶ τῷ οὐδ' ὅλως. Καὶ ἄλλην δὲ λύσιν ἐπήγαγε τῷ αὐτῷ μεταστατικῷ « ἵνα « μὴ ἀμύναιντο, μηδὲ ἀντέχοιεν οἱ Φωκεῖς, ἐπὶ ταῖς παρὰ « ὑμῶν ἐπανέχοντες ἐλπίσιν. » Ἀναγινώσκει δὲ καὶ τὰς ἐπιστολὰς τοῦ Μακεδόνος, αἷς οἷόν τε ἦν χρήσασθαι Αἰσχίνην, ἵνα τὰ ἰσχυρὰ πανταχοῦ ὑφέληται καὶ τὰς ἀπολογίας αὐτοῦ σαθρὰς ἐργάζηται. TCV.

Χρόνους] οὐ τοὺς περὶ Θρᾴκην λέγει νῦν, ἐν οἷς τὰ ἐκεῖ πράγματα ἀπώλετο, ἀλλὰ τοὺς Φωκέων. P.

Ἀνελὼν] φθείρας. P.

Τηνικαῦτα] τότε. P.

Τούτῳ] τῷ Αἰσχίνῃ. P

Ἥκιστα] οὐδαμῶς. P.

357, 7. Ἀλλ' ἵνα] ἄλλη λύσις μεταστατική. BSYP.

Αὐτὸν] τὸν Φίλιππον. P.

Ἀμύνοιντο] τιμωροῖεν. P.

Ἐπανέχοντες] θαρροῦντες. P.

Καλοῦσιν] ἡμᾶς. P.

Ἤδη γε] Τὸ τάχος δηλοῖ διὰ τῆς λέξεως· οἷον ἤπειγεν ἡμᾶς ἐξιέναι ταῖς ἐπιστολαῖς ὁ Φίλιππος τοῖς ἔργοις ἐναντιούμενος. FYP. Lᴇss.

Συνειπεῖν] ἀναγκάσαι. P.

357, 17. Καὶ τὸν Πρόξενον ὃν] Τρίτην ἐπήνεγκε λύσιν ἀγωνιστικωτέραν. Ἀπὸ δὲ τοῦ ἐναντίου τὸ ἐπιχείρημα. Εἰ Φίλιππος ἐκάλει καθαρᾷ τῇ γνώμῃ, « τί ἄλλο προσῆκεν ἢ συνειπεῖν ὅπως ἐξέλθητε ὑμεῖς, καὶ τὸν Πρόξενον, « ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν εὐθέως βοη« θεῖν; » ἀλλὰ μὴν οὐ συνεβούλευον ταῦτα, οὐδὲ ἔγραφον. Ἤδεσαν ἄρα ἃ φρονῶν ταῦτ' ἔγραψεν ὁ Φίλιππος. TCV.

Τούτων] ὧν ἀπήγγειλε. P.

Τούτοις οὖν] οἷς ὁ Φίλιππος ἐφρόνει. P.

357, 22. Οἱ μὲν τοίνυν Φωκεῖς] Τέταρτον μεταστατικόν· ἀλλ' οἱ Φωκεῖς αἴτιοι γεγόνασιν, εἴσω Πυλῶν δεξάμενοι Φίλιππον σὺν τῇ δυνάμει. Προλαμβάνει δὲ τὴν ἀντίθεσιν τῇ λύσει. Τί γάρ, φησί; πυθόμενοι Φωκεῖς τὸ ψήφισμα καὶ τὴν ἀπαγγελίαν τούτου καὶ τὰς ὑποσχέσεις ἐθάρρησαν τῷ Μακεδόνι· ἐπεὶ πρό γε τούτων τῶν λόγων « ἦσαν οἱ ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ καὶ νοῦν « ἔχοντες », ἀλλὰ νομίσαντες μὴ ἀπατηθῆναι τὸν δῆμον ὑπὸ τῶν πρέσβεων ἠναγκάσθησαν πιστεῦσαι. Οὐ μὴν οὐδὲ ἀπαράσκευοι πρὸς πόλεμον καὶ πολιορκίαν ἦσαν Φωκεῖς, ὡς ἂν Αἰσχίνου τὴν ἀσθένειαν αἰτιωμένου Φωκέων καὶ λέγοντος διὰ ταῦτ' ἀναγκασθῆναι αὐτοὺς ὑποκατακλίνεσθαι. Ἀνάγκη γὰρ ἦν τὸν μεθιστάντα ἐπὶ Φωκέας τὴν αἰτίαν εἰπεῖν τοὺς τρόπους δι' οὓς ἑάλωσαν· ἢ γὰρ ὅτι ἐξηπατήθησαν, ἢ ὅτι ἀμύνασθαι οὐκ ἠδυνήθησαν. TCV.

Αὐτόθι] ἐν Φωκεῦσι. P.

Οὓς βοηθήσειν] ἡμᾶς. P.

Τούτοις ὅτι] τοῖς οὕτως οἰομένοις. P

358, 14. Διόπερ ταῦτα πάντα] Ἐκ τῆς ἐργασίας τῶν λύσεων ἀντιπίπτον πάλιν ἀνέκυψεν· οὐκοῦν ὁ δῆμος αἴτιος, τὸ Φιλοκράτους κυρώσας ψήφισμα. Τούτων ἡ λύσις· τοῦτο τοίνυν οὐδέποτ' ἂν ὑμεῖς ὑπεμείνατε ὕστερον προσγράψαι. BFRSY. Ἰστέον ὅτι πολλὰ χρώματα λέγει, ἐπειδὴ πολλὰ καὶ τὰ σημεῖα· ἀλλὰ ταῦτα μὲν μερικά, ἐκεῖνο δὲ κυριώτερον καὶ πρὸς τὸ ἔγκλημα τὸ κατὰ Φωκέας, τὸ τῆς ἀπάτης. ARTP.

358, 20. Παρὰ τῆς τύχης εὐεργεσιῶν] Εἰ γὰρ βουληθείη, φησὶν, ἡ τύχη εὐεργετῆσαι ἡμᾶς διὰ τοῦ ἀνελεῖν τὸν Φίλιππον, ἄχρηστος αὐτῆς γίνεται ἡ δωρεά, ὡς εἰ ἔλεγεν· προδόται καὶ τῆς τύχης γεγενήμεθα. AR.

359, 2. Ἵνα δὲ εἰδῆτε σαφῶς] Τοῦτο μὲν ᾠήθησάν τινες τῶν πρὸ ἡμῶν ἀντὶ τῆς τῶν μαρτύρων κεῖσθαι παραγωγῆς· ἡμεῖς εἰρήκαμεν ὅτι οὐχ οἷόν τε ἐν τῷ ἀπὸ γνώμης στοχασμῷ μάρτυρας παρέχεσθαι, [μὴ] ὡμολογημένων τῶν πραγμάτων ὑφ' ὧν πέπρακται. Ἀλλ' εἶδος ἐλέγχων τοῦτό ἐστι καὶ ἀπόδειξις τοῦ διὰ τὸν Αἰσχίνην Φωκέας ἀπολωλέναι. Λέγει γάρ, ἵνα τοίνυν εἰδῆτε ὅτι οὐ δι' ὑμᾶς οὐδὲ δι' αὐτοὺς οὐδὲ διὰ Φίλιππον ἠπατηκότα Φωκεῖς ἀπολώλασι, τοὺς χρόνους ὑμῖν λογιοῦμαι· ἐκ τῶν χρόνων γὰρ βούλεται συλλογίσασθαι τὴν ἀπόδειξιν, ἵν' ἡ τοῦ χρόνου βραδύτης καὶ τὸ δὴ λεγόμενον ἀχαρὲς σύστασιν ἐργάσηται τοῦ διὰ τὸν Αἰσχίνην ἀπολωλέναι Φωκέας· εἰ γὰρ πρὸ τῆς εἰρήνης ἐσώζοντο, καὶ μετὰ τὴν εἰρήνην, ἐπαγγελλομένου δὲ καὶ ὑποσχομένου τὴν σωτηρίαν Αἰσχίνου, τρεῖς ἡμέραι γεγόνασιν ἐξ οὗπερ Φωκεῖς ἐπύθοντο· εἶτα συνθεμένων πρὸς Φίλιππον ἅλωσις γέγονε· πῶς οὐχ εὔδηλον δι' Αἰσχίνην ἀπολωλέναι; μὴ γὰρ δὴ λογιζώμεθα μηδὲ τὰς πέντε ἡμέρας, ἐν αἷς οἱ Φωκεῖς ἐπύθοντο· λέγει γὰρ αὐτοὺς ἐγνωκέναι μετὰ τὰς πέντε ἡμέρας, δύο δὲ ἐν τῷ μεταξὺ μόνας τῆς ἀπαγγελίας γεγενῆσθαι καὶ τῆς ἁλώσεως. Πάλιν Αἰσχίνου [τῷ μεταληπτικῷ] δυναμένου χρήσασθαι καὶ λέγειν ὅτι αὐτοὶ πιστεύσαντες τῷ Φιλίππῳ, τοῦτον τὸν τρόπον σπεισάμενοι, [ἀπώλοντο], ἑτέραν ἐπάγει ἀπόδειξιν, μεθ' ὑπερβαλλούσης δεινότητος. Ἐκ περιτροπῆς γὰρ τὸ αὐτὸ πάλιν εἰς τοὐναντίον λαμβάνει. Τὸ γὰρ μὴ ἀπολέσθαι τὰς πόλεις ἐκ πολιορκίας, ἀλλ' ἐκ συμβάσεως καὶ σπονδῶν, σημεῖον εἶναι λέγει τοῦ πιστεύσαντας αὐτοὺς τοῖς λόγοις Αἰσχίνου τὰς πίστεις προσδέξασθαι. TCV.

359, 4. Λογιοῦμαι] ἀντὶ τοῦ ἀπαριθμοῦμαι. A.

359, 6. Ἐλαφηβολιῶνος] Δεκεμβρίου. P. Δεκεβρίου. B.

Σκιροφοριῶνος] Μαρτίου. P.

Ἀπὸ τοίνυν ταύτης] ἀπὸ ταύτης οὖν τῆς ις' τοῦ Μαρτίου διαγενομένων ἡμερῶν ἀκηκόασι ταῦτα οἱ Φωκεῖς. P.

Ταύτην] εἰκοστήν. P.

359, 29. Ἧκε δὲ Δέρκυλλος] ὁ πεμφθεὶς ἀπαιτῆσαι παρὰ Φιλίππου τὰς ὑποσχέσεις, ὃς ἤκουσεν ἐν Χαλκίδι τὰ συμβάντα Φωκεῦσι. TCV.

Καὶ πέμπτην] τῇ γὰρ κγ' ἐγίνοντο αἱ σπονδαί. P.

Αὐτὸ συμβαίνει] ἀντὶ τοῦ ἀκριβῶς συμβαίνει πέμπτην εἶναι, εἰς ἣν καὶ ἐσπείσαντο καὶ ἀπώλοντο. TCV. Ἀριθμοῦσιν οἱ Ἀθηναῖοι ἕως τῆς ιϐ' ὡς ἡμεῖς, ὡς ἔχομεν τὴν χρῆσιν ἐν τῷ κατὰ Τιμοκράτους, ἐν οἷς λέγει (708, 13). « ια' καὶ ιϐ' τὸν νόμον εἰσήνεγκεν ὄντων Κρονίων. » Εἶτα λοιπὸν οὐκέτι ὁμοίως ἡμῖν, ἀλλὰ κατὰ προσθήκην ἀριθμοῦσιν, οἷον οὕτως· τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα, ἐπὶ τὰ πλείονα προστιθέντες τὰ ἥττονα, ἕως ἁπλῶς τῆς εἰκάδος. Εἶτα λοιπὸν ἀπὸ τῆς α' καὶ εἰκάδος ἐξ ὑποστροφῆς, λέγοντες τὴν α' καὶ εἰκάδα ὑστέραν δεκάτην, καὶ τὴν β' εἰκάδα ἐνάτην, καὶ τὴν γ' εἰκάδα ὀγδόην, καὶ ὁμοίως οὕτως ἕως τριακάδος, ἐπειδήπερ, ὡς ἔγνωμεν, κατὰ σελήνην ἀριθμοῦσιν οἱ Ἀθηναῖοι καὶ ἀπὸ τῆς α' καὶ εἰκάδος τὰ πλεῖστα αὐτῆς φῶτα μειούμενα φαίνεται. Τὸ δὲ γ' ἐπὶ δέκα καὶ τὰς ἄλλας ἕως εἰκάδος Ἀττικῇ συνηθείᾳ λέγουσιν. Ἃς δὲ εἴπαμεν λέγεσθαι ἐξ ὑποστροφῆς, ταύτας καὶ φθινούσας καλοῦσι μετὰ τοῦ προσθεῖναι τὴν ἡμέραν ἑκάστην ἀπὸ α' ἀρξαμένης, οἷον α' φθίνοντος καὶ β' καὶ ἀκολούθως ἀεὶ χρήσασθαι τῇ προσθήκῃ, ἐπειδήπερ, ὡς εἴπαμεν, φθίνειν ὥσπερ καὶ φθείρεσθαι δοκεῖ τὰ φῶτα. Τὴν δὲ τριακάδα καλοῦσιν ἕνην τε καὶ νέαν. ACDGRTV.

360, 9. Ἔτι τοίνυν τὸ μηδεμίαν] Ἄχρι τούτων αὐτῷ προκεχώρηκεν ἡ ἀπόδειξις τοῦ κατὰ Φωκέας κεφαλαίου, καὶ τὰς οἰκείας πίστεις παρέσχετο, ἀνελὼν δηλαδὴ τὰ ὑφορμοῦντα ταῖς ἑαυτοῦ πίστεσιν, ἵνα πανταχόθεν τὸ πιθανὸν ὁ λόγος συνερανίσηται. Ἐντεῦθεν δ' ἀφίσταται τῶν τοῦ ἐγκλήματος ἀποδείξεων, χωρεῖ δ' ἐπὶ τὰς [ἀπὸ] τῆς ποιότητος ἀντιθέσεις, ὡς Αἰσχίνου μηδὲν ἔτι ἔχοντος εἰπεῖν ἰσχυρὸν, ἀποστῆσαι δὲ τοὺς Ἀθηναίους σπουδάζοντος τῆς ὀργῆς, καὶ πραΰνοντος τοὺς ἀκούοντας, καὶ ἀξιοῦντος μὴ ὀργίζεσθαι ὑπὲρ Φωκέων, μὴ γὰρ συμμάχους εἴχετε; βούλεται ὁ Δημοσθένης ἐκ τῆς ἀντιθέσεως πλείονα τὸν παροξυσμὸν ἐργάσασθαι, καὶ προλαμβάνει τὴν ἀντίθεσιν καὶ τὴν λύσιν ἐργάζεται. Ὁμοῦ δὲ καὶ ἐπίλογός ἐστι τὸ γινόμενον. Ἴδιον δὲ τῶν ἐπιλόγων αὔξησις. Αὐξάνομεν δὲ ἢ ἀπὸ ποιότητος προσώπων ἢ ἀπὸ ποιότητος πραγμάτων. Ὁ μὲν οὖν Αἰσχίνης καθαιρεῖ τὴν ποιότητα, ἀλλ' οὐκ ἦσαν σύμμαχοι καὶ πολλὰ τὴν πόλιν ἠδίκησαν· ὁ δὲ προλαμβάνων τὰς ἀντιθέσεις συνίστησι διὰ τῶν λύσεων τὴν ποιότητα, σύμμαχοι τῆς πόλεως οἱ Φωκεῖς καὶ εὐεργέται τοῦ δήμου, « φέρε δή μοι τὴν συμμαχίαν τὴν τῶν Φωκέων » λέγων. TCV.

360, 11. Ἄρδην] ἀντὶ τοῦ παντελῶς, παρὰ τὸ αἴρειν τε καὶ λαμβάνειν ἐν εἱρκτῇ. AP.

Διὰ τούτους] τὸν Αἰσχίνην καὶ Φιλοκράτη. P.

Αὐτοὺς] τοὺς Φωκέας. P.

360, 14. Οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν] ἵνα μὴ λέγωσι, διὰ τί γὰρ αὐτῷ ἐπείθοντο οἱ Φωκεῖς; δεικνυσιν ὅτι ᾔδεσαν αὐτὸν καὶ οὐκ ἂν ἐθάρρησαν αὐτῷ [εἰ μὴ] διὰ τούτους. Οὐ γὰρ οἱ Ἀθηναῖοι, ἀλλ' οἱ περὶ τὸν Αἰσχίνην, τοῦ πάθους αἴτιοι. TCV.

Ἐκεῖνόν γε] τὸν Φίλιππον. P.

360, 21. Ὧν δ' ἔτυχον] Ἵνα μὴ δοκῇ συντρέχειν τοῖς τοῦ ἀντιδίκου λόγοις, τὸ τῆς πόλεως μέρος ἐξήτασεν. Εἶτ', ἐπειδήπερ ἐναντίον πρὸς τὴν χρείαν αὐτῷ γέγονε τὸ ῥηθὲν, πῶς οὖν οὐκ ἐβοηθήσαμεν τοῖς συμμάχοις; ἵνα μὴ δοκοίη κατηγορεῖν τῆς πόλεως, μεταστήσας εὐθὺς ἅμα τῇ ἐργασίᾳ τὸ ἔγκλημα εἶπε « διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσαντα. » TCV.

360, 25. Ἀκούετε] Ἕτερον μεταστατικὸν ὡς ἐν ἐπιλόγῳ· Θηβαίοις ἑαυτοὺς οἱ Φωκεῖς ἐνέδοσαν, Θετταλοῖς ἐπίστευσαν, πρὸς Λοκροὺς ἐσπείσαντο. Ἀνῄρηκε τοίνυν ἅπαντα τὰ μεταστατικὰ, εἰπὼν πρὸς Φίλιππον αὐτὸν γεγενῆσθαι τὰς συνθήκας, ἵνα πανταχόθεν ἀφέλῃ ταύτην τὴν συγγνώμην Αἰσχίνου, καθαρῶς ἐπ' αὐτὸν ἐλθόντος τοῦ ἐγκλήματος. Ἐπιλογίζεται δ' ἐν τούτοις ἅμα καὶ ἀγωνίζεται αὔξων τὰς συμφορὰς καὶ πάντας ἀφιεὶς πλὴν Αἰσχίνου τῶν ἐγκλημάτων. BFRSY.

361, 10. Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι] Ἐν τούτοις ἐπιλογίζεται ἅμα καὶ ἀγωνίζεται· ἐπίλογος γὰρ αὔξει τὰς συμφορὰς, ἐπαγωνίζεται δὲ πάντας ἀφεὶς πλὴν Αἰσχίνου τῶν ἐγκλημάτων, αὔξει τε τὸ πάθος τῇ δεινώσει χρώμενος· ἡ δὲ δείνωσις ἐκ τῆς συγκρίσεως. Αἱ γὰρ συγκρίσεις εἰσὶ τῶν αὐξήσεων· αὔξομεν δὲ οὐ τὰ ἀγαθὰ μόνον, ἀλλὰ καὶ τὰ ἐναντία. Εἶθ' ἵνα ὄγκον ἡ δείνωσις λάβῃ, ἐμέρισε τὸν χρόνον εἰς ἐνεστῶτα καὶ παρῳχηκότα, καὶ τὰ πράγματα εἰς πηλικότητα καὶ ποιότητα, καὶ δεινότερα εἰπὼν καὶ μείζονα. Ἵνα δὲ μὴ ψιλὸν ποιήσηται τὸν λόγον, ὥσπερ ἐν τραγῳδίᾳ δεινολογούμενος παραμίγνυσι καὶ τὸν ἐκ τῶν πραγμάτων παρεπόμενον φόβον, ἵνα καὶ ὁ τῆς πόλεως κίνδυνος προστεθεὶς χαλεπώτερον τὸ πάθος ἐργάσηται. BFRSY.

Τούτῳ δὴ] τῷ Αἰσχίνῃ. P.

Τούτων, ὦ Ἀθηναῖοι] Τῇ δεινώσει χρώμενος αὔξει τὸ πάθος. Κινεῖ δὲ καὶ φόβον ἀπὸ τῶν πολεμίων, ἵνα πανταχόθεν ὀργὴ συλλέγηται, ἀπὸ τῆς ποιότητος, ἀπὸ τῶν χρόνων, ἀπὸ τῆς τῶν πολεμίων αὐξήσεως. Εἶτα καὶ ἄλλο δεινώσεως εἶδος, ὅτι καὶ οὔσης τῆς Ἀθηναίων πόλεως αἱ τῶν Ἑλλήνων ἀπόλλυνται πόλεις. Καὶ διὰ τίνας; διὰ τοὺς Ἀθηναίων πρέσβεις, ἵνα διχόθεν τὸ τῆς ὀργῆς γένηται, καὶ ὅτι σωζομένης τῆς πόλεως, καὶ ὅτι ἣν σώζειν ἔδει, ταύτης οἱ πρέσβεις ἀπώλλυον. Καὶ ἡ ἀκρίβεια δὲ, ὅτι ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον, ἵνα κἂν ἠδικηκότες ὀφθῶσι Φωκεῖς, δοκῇ πάτριον τῇ πόλει τὸ σώζειν καὶ τοὺς ἀδικοῦντας. TCV.

Χρόνῳ] γενήσεται δηλονότι. P.

Πάτριον] ἔστι σύνηθες καὶ ἴδιον. P.

361, 15. Προεστάναι] ἔμπροσθεν στῆναι· ὡς τὸ (Il. 1, 339) « πρός τε θεῶν, » ἔμπροσθεν, ἐνώπιον τῶν θεῶν, « πρός τε θνητῶν ἀνθρώπων. » BY.

361, 16. Καὶ μηδὲν τοιοῦτον περιορᾶν γινόμενον] Τοῦτο πολλὴν ἔχει τὴν ἔμφασιν τῆς ἀτοπίας. Τὴν κατὰ τῆς πόλεως γὰρ βλασφημίαν αὔξει διὰ τούτου, ὅτι δέδωκε λαβὰς Αἰσχίνης τοῖς βουλομένοις κατηγορεῖν τοῦ δήμου, ὥσπερ ἤδη παροξύνων ἐπὶ τιμωρίαν τοὺς δικάζοντας· ἓν γὰρ εἶδος τοῦ περιορᾶν τὰ τοιαῦτα, τὸ μὴ τιμωρήσασθαι τὸν αἴτιον. TCV.

Ὃν μὲν τοίνυν τρόπον] Προοίμιον. B. Ἐμέρισε τὸ πάθος εἴς τε τὴν δείνωσιν καὶ τὴν διατύπωσιν. Ἐξ αὐτοῦ δὲ τοῦ εἴδους καὶ τοῦ τρόπου τοῦ πάθους ὑπ' ὄψιν ἄγει τῷ λόγῳ τὰς συμφοράς. Βούλεται δὲ ἡ διατύπωσις τὰ καθ' ἕκαστον περιεργάζεσθαι, καὶ, ἵνα ὁ μερισμὸς κατάδηλος γένηται, προοιμίῳ κέχρηται γόον καὶ θρῆνον ἐμποιοῦντι τοῖς ἀκούουσι· ταλαιπώρους γὰρ ὀνομάσας τὴν τύχην ὠδύρατο. TCV.

361, 19. Θέαμα δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι] Διασκευή τις ἐπιλογικὴ, ἐκ μέρους τὰ κατὰ Φωκέας αὔξουσα πάθη. Ἀπὸ τῶν φόβων δὲ ἄρχεται, ἵνα εἰκὼν καὶ παράδειγμα γένηται τὸ γεγονὸς τοῦ μέλλοντος, καὶ μὴ μόνον ὀδύρωνται Φωκέας, ἀλλὰ καὶ ὑπὲρ τῶν ἄλλων Ἑλλήνων δεδίωσι. TCV.

Θέαμα δεινὸν] Ἐνδιάσκευος διήγησις. Φησὶ γὰρ Ἑρμογένης (vol. 3, p. 94 W.)· « ὅταν σύντομος καὶ φαι« δροτέρα ἡ διήγησις ὑπάρχῃ, τῷ ἐνδιασκεύῳ χρησόμεθα « τρόπῳ, μὴ φειδόμενοι μηδὲ τῶν ἀπὸ τοῦ τρόπου κατα« σκευῶν. Εἶτα· αἰτία μὲν γὰρ διήγησιν, τρόπος δὲ « διασκευὴν κατασκευάζει. » BY. Διατύπωσις τὸ σχῆμα, ὅταν ὥσπερ διατυποῖ καὶ εἰς ὄψιν ἄγῃ τὰ πράγματα διὰ τῶν λόγων. Διαφέρει δὲ ἡ διατύπωσις τῆς ἐκφράσεως τῷ τὴν μὲν διατύπωσιν διὰ πάθος τι λέγεσθαι, τὴν δὲ ἔκφρασιν ὥσπερ διήγημά τι εἶναι. ACDGRTV.

361, 20. Ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφοὺς] Ἀπόδειξις ἅμα καὶ πίστις τοῖς λεγομένοις γέγονε. Πόθεν γινώσκεις; νῦν ἐπορευόμεθα εἰς Δελφοὺς, καὶ τὰ λεγόμενα ἡ ὁδὸς πιστοῦται. TCV.

361, 21. Ἐξ ἀνάγκης ἦν] ὥσπερ δυσχεραίνων ὅτι θεατὴς γέγονεν Ἑλληνικῶν συμφορῶν, ἀπὸ τοῦ γένους ἄρχεται. Αἱ γὰρ αὐξήσεις ἀπὸ τῶν γενῶν καὶ ἀπὸ τῶν εἰδῶν γίγνονται. TCV.

Οἰκίας κατεσκαμμένας] Μεταβέβηκεν ἐπὶ τὰ εἴδη· τὰ γὰρ καθ' ἕκαστον ἐμψυχότερον τὸν λόγον ἐργάζεται, καὶ χαίρει τούτῳ ἡ διατύπωσις. Τῶν οἰκιῶν, φησὶ, κατεσκαμμένων, ἀπολώλασι καὶ οἱ ἔνοικοι. Ἔχει δὲ καὶ τῆς ὕβρεως τῶν πολεμίων ἔμφασιν· ἡ γὰρ κατασκαφὴ περιεργότερον εἶδος τῆς συμφορᾶς. TCV.

361, 22. Τείχη περιῃρημένα] Διὰ μὲν τῶν οἰκιῶν τὸν γόον ηὔξησε, διὰ δὲ τῶν τειχῶν τὸν φόβον. TCV.

Χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ] Διπλοῦν τὸ πάθος· ἐνταῦθα γὰρ ὁμοῦ καὶ φόβος καὶ ἔλεος. Τίνες γὰρ οἱ ἀνῃρημένοι; οἱ ἄνδρες οἱ τῆς ἡλικίας. Ἀπὸ δὲ τῶν ἀψύχων μεθίστησι τὸ πάθος ἐπὶ τὰ ἔμψυχα. TCD.

Τῶν ἐν ἡλικίᾳ] νέων. P.

361, 23. Γύναια δὲ καὶ παιδάρια] ἄχρηστα πρὸς τὸν πόλεμον. Οὐκ ἀφῆκε μάρτυρα τῶν ἀπὸ τῆς χώρας οὐδένα, τὴν συμφορὰν συναύξων. Ὄντος δὲ ἀσθενοῦς φύσει τοῦ γυναικείου φύλου, ἔτι καὶ τῷ ὑποκοριστικῷ ὀνόματι γύναια ἀσθενέστερον ἔδειξεν. Οὐδὲ παῖδας ἡβῶντας εἶπεν, ἵνα κἂν παραμυθία ταῖς μητράσι γένηται, [ἀλλὰ παιδάρια]. TCV.

361, 24. Καὶ πρεσβύτας ἀνθρώπους οἰκτροὺς] Πρεσβύτης μὲν γὰρ αὐτὸς καθ' ἑαυτὸν δεῖται τοῦ συμμαχήσοντος· νῦν δὲ καὶ ἡ οἰκτρότης συμπεσοῦσα παραμυθίαν οὐ δέδωκε. Πῶς μὲν οὖν ἐν τούτοις τὸ Φωκέων πάθος εἰργάσατο, καὶ ὅπως ἐμψύχως ἕκαστος τῶν ἡλίκων ἐπεξελήλυθεν, ἔξεστι μὲν ἐκ τῶν εἰρημένων συνιδεῖν, ἔξεστι δὲ μιμουμένους καὶ ἕτερα πλείω προσθεῖναι. Ἐξελέγχει μέντοι ὁ Δημοσθένης ἐν τούτοις τοὺς τολμήσαντας εἰπεῖν ὅτι οὐχ ἱκανός ἐστιν ἐλεεινολογήσασθαι. Ἐπεὶ δὲ παροξῦναι κατὰ τοῦ τολμήσαντος ἔδει, ὁ δὲ παροξυσμὸς γένοιτ' ἂν ἐξ ὀργῆς, μᾶλλον ἐχρῆν φόβον ἐμποιῆσαι καὶ ἔλεον, ἅπερ συνεκέρασεν, ἐξ ἀμφοτέρων τὴν οἰκείαν ἐργασίαν ἀποδιδοὺς καὶ τὴν προσήκουσαν ἑκάστῳ μέρει, TCV.

361, 26. Ἀλλὰ μὴν ὅτι τὴν ἐναντίαν] Μετὰ τὸν Πελοποννησιακὸν πόλεμον καταχρατήσαντες ἰσχυρῶς οἱ Λακεδαιμόνιοι τῶν Ἀθηναίων προέθεντο ψῆφον περὶ τῶν Ἀθηναίων τοῖς ἰδίοις συμμάχοις, ὥστε ἀποκρίνασθαι ἕκαστον τί βούλεται παθεῖν τοὺς Ἀθηναίους. Εἶτα Εὐανθός τις Θηβαῖος ἐψηφίσατο τὴν μὲν πόλιν αὐτῶν κατασκαφῆναι, τὴν δὲ χώραν μηλόβοτον γενέσθαι, ἵνα ἐκεῖ νέμωνται τὰ τῶν Βοιωτῶν πρόβατα. Οἱ δὲ Φωκεῖς ὄντες καὶ αὐτοὶ τότε ὑπὸ τοὺς Λακεδαιμονίους ἀντέλεξαν, συμβουλεύοντες μὴ ἑτερόφθαλμον τὴν Ἑλλάδα ποιῆσαι, αἰνιττόμενοι δύο ὀφθαλμοὺς εἶναι τῆς Ἑλλάδος, τήν τε Ἀθηναίων πόλιν καὶ τὴν Λακεδαιμονίων. Καὶ οὕτω πεισθέντες οἱ Λακεδαιμόνιοι οὐ κατέσκαψαν λοιπὸν τὴν πόλιν. ACDGRTV.

Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀντέφησαν, προκειμένης σκέψεως τί δεῖ παθεῖν, παραινούντων Θηβαίων μηλόβοτον ποιῆσαι τὴν Ἀττικήν. Ἐνταῦθα συνίστησι καὶ πότε εὐεργέτησαν, ὅτε οὐκ ἦσαν σύμμαχοι, ἵνα εἰ καὶ μὴ νῦν ἦσαν σύμμαχοι, φανῶσιν ἄξιοι τῆς ἰσορρόπου βοηθείας· περὶ ἁλώσεως γὰρ κινδυνευούσῃ τῇ πόλει ποτὲ συνέστησαν, ἐναντιουμένων μὲν Θηβαίων, παρόντων δὲ Λακεδαιμονίων. Οὐκοῦν ἔδει καὶ αὐτοὺς τῆς αὐτῆς βοηθείας παρ' ὑμῶν τετυχηκέναι. Τὸ δὲ « τὴν ἐναντίαν ποτὲ Θηβαίοις » προσθεὶς χαλεπωτέραν τὴν ὀργὴν εἰργάσατο, εἰ αὐτοὶ μὲν Θηβαίοις ὑπὲρ Ἀθηναίων διηνέχθησαν, νῦν δὲ διὰ τοὺς προδότας ἐτιμωρήθησαν. Ἔστιν οὖν ἔτι καὶ ταῦτα τῶν ἐπιλόγων. TCV.

Οὗτοι] οἱ Φωκεῖς. P.

Ἀνδραποδισμοῦ] τῆς πόλεως. P.

361, 28. Ὑμῶν ἔγωγε ἀκούω] ὑμῶν ὁ λόγος ὃν Δημοσθένης ἐπλάσατο. TCV.

Καταλεύσαντας] λιθοστρώτους ποιήσαντας. P.

Καὶ περιῶφθαι] τοὺς Φωκεῖς. P.

362, 11. Πολλὰ τοίνυν ἄν τις] Πληρώσας τὸν ὑπὲρ Φωκέων ἐπίλογον ἐκ τῆς δεινώσεως, ἐκ τῆς διατυπώσεως, ἐκ τῆς ποιότητος τῶν παθόντων, μεταβέβηκεν ἐνταῦθα ἐπὶ τὴν ποιότητα τοῦ πολέμου, πληρῶν καὶ διὰ τούτων τὸ θεώρημα· φοβῆσαι γὰρ αὐτῷ πρόκειται. Αὔξει τοιγαροῦν τὴν δύναμιν τοῦ Μακεδόνος, δύο διὰ τούτων κατασκευάζων, ὅτι τε χρήσιμοι ἦσαν Φωκεῖς καὶ δι' αὐτοὺς ἐσώζετο καὶ τὸ κοινὸν τῶν Ἑλλήνων καὶ τὸ ἀκίνδυνον εἶχεν ἡ πόλις, καὶ ὅτι ηὔξηται καὶ διπλασίων γέγονε τῇ παρασκευῇ καὶ τῇ δυνάμει Φίλιππος, καὶ τρίτον ἐπὶ τούτοις προστίθησι καταδρομὴν τῶν δωροδόκων, ὡς ἐν ἐπιλόγῳ τῷ κοινῷ τύπῳ χρησάμενος, εἶτ' ἐπὶ τούτοις ἀναγινώσκει τὴν ἀρὰν, φοβῶν διὰ τούτων τοὺς ἀκούοντας, καὶ συμβουλεύων φυλάττεσθαι τὴν ἐπιορκίαν, καὶ ἅμα καθαιρῶν καὶ τὴν Αἰσχίνου ποιότητα. BFRSY.

Ἐδέησε] συνέβη. P.

362, 24. Τηλικούτων οὐσῶν αὐτῷ τῶν διαφορῶν] Πολὺ γὰρ ὑμῶν κἀκείνου τὸ μέσον, καὶ μεγάλη τις πρὸς αὐτὸν ἡμῖν διαφορά. TCV.

363, 3. Τῆς ἐλευθερωτάτης πόλεως] Οἳ κύριοί εἰσι τοῦ πράττειν ὃ βούλονται, οὐχ ὥσπερ ἐκεῖνοι δεσπότῃ διακονούμενοι. TCV.

363, 10. Λέγε τὴν ἀρὰν] Δείκνυσιν ὅτι οὐδενὸς τῶν Ἀλκμαιωνιδῶν καταψηφιοῦνται, ἀλλ' ἀνδρὸς φαύλου καὶ τῶν τυχόντων ἑνὸς, ὃν ὑπογραμματεύοντα ἀναγινώσκειν τὴν ἀρὰν ποιεῖ. Δι' ὧν δέ φησι μηδὲν λανθάνειν τῶν πραττομένων τοὺς θεοὺς, φόβον ἐφίστησιν αὐτοῖς τὸν παρὰ τῶν κρειττόνων, μάλιστα δὲ Ἀθηναίοις. TCV.

Βούλεται λεληθότως δόγματα ἀνύσαι ἐνταῦθα Πλατωνικὰ, ὅτι περὶ ὧν δυνάμεθα πρᾶξαι καὶ ἐν ἡμῖν, τοῦτο οὐ δεῖ ἀφέντας ἡμᾶς τὸ πράττειν σχολάζειν ταῖς εὐχαῖς, ἐν οἷς δ' οὐ δυνάμεθα, δεῖ εὔχεσθαι, οἷον εὐτυχεῖν, ὑγιαίνειν. ACDGRTV.

363, 19. Ὑπερφυὲς] σημείωσαι· ἐπὶ κακῷ. B.

Πάλιν] εὔχεται. P.

Ἐκείνοις] τοῖς θεοῖς. P.

Καὶ γένος] αὐτοῦ. P.

Μηδαμῶς] ἀφήσητε. P.

363, 27. Εἰς τοῦτο τοίνυν ἀναιδείας] Ἀρχὴ ἑτέρας ἀποδείξεως πρὸς τὰ προτεινόμενα παρὰ τοῦ ἀντιδίκου. BRSYV. Μέχρις ὧδε ἡ διήγησις, ἐντεῦθεν λοιπὸν οἱ ἀγῶνες. Ἄλλως. Ἡ μετάθεσις τῆς αἰτίας κατ' ἀντίθεσιν. Ἔστι δὲ μεταστατικῆς. Σημείωσαι δὲ ὅτι τούτου μνημονεύει ὁ Ἑρμογένης τοῦ κεφαλαίου ἐν τῷ γ' τόμῳ τῶν εὑρέσεων, ἡνίκα λέγει τάδε « ἐπεὶ μηδὲ Δημοσθένης ἡδύσθη πολλάκις « ἑνὶ χρησάμενος ἐπιχειρήματι· καὶ ποτὲ μὲν αὐτὸ τρέ« ψας, ποτὲ δὲ μεταποιήσας, ὡς ἐν τῷ Παραπρεσβείας « τοῦ σχήματος τοῦ μεταστατικοῦ δ'. » P.

Ἰστέον ὅτι πληρώσας τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου μετέρχεται. Πρῶτον γὰρ ἔδειξε τὰ σημεῖα τὰ αὐτοῦ οἷς κατηγορεῖ· εἶτα καὶ τὰ ἀντιλεγόμενα ὑπὸ τοῦ ἀντιδίκου θέλει λῦσαι. Οὐ γὰρ δεῖ μόνον τὰ ἴδια συνιστάναι, ἀλλὰ καὶ ἐκβάλλειν τὰ παρὰ τῶν ἀντιδίκων. Χωρεῖ οὖν ἐπὶ τὰς ἀντιθέσεις αὐτοῦ τοῦ Αἰσχίνου, ὁμοῦ τρεῖς οὔσας, οἷον περὶ Λακεδαιμονίων καὶ Φωκέων καὶ Ἡγησίππου, καὶ τὰς μὲν Λακεδαιμονίων καὶ Ἡγησίππου μεταστατικὰς οὔσας, τὴν δὲ Φωκέων ἀντεγκληματικήν. ACDGRTV.

Ἐντεῦθεν τῶν ἐπιλόγων τῶν μερικῶν πεπαυμένων εἰσάγει τὰς ἀντιθέσεις πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Καὶ ἔστιν ἡ μὲν μεταστατικὴ, ὅταν ἄγῃ ἐπὶ Λακεδαιμονίους καὶ Ἡγήσιππον τὰς αἰτίας, ἡ δὲ ἀντεγκληματική· μέμφεται γὰρ τοῖς Φωκεῦσιν ἀξίως παθεῖν. Τὴν δὲ τοιαύτην τίθησιν ὑπερβαλλούσῃ καὶ ἀρρήτῳ τέχνῃ. Κατεδέχετο γὰρ ὁ Αἰσχίνης διὰ τούτου τὸ ἔγκλημα· ὁ γὰρ ἀξίους ἀποφαίνων ὡς πεπόνθασι τοὺς Φωκέας ἐν τῇ τοῦ μίσους ὁμολογίᾳ τὴν ἐπιβουλὴν ἐλέγχει. Ὁ δὲ ῥήτωρ Ἡγήσιππος [οὐκ] ἐδόκει τὰ Φωκέων φρονεῖν· ὃς παροξύνας τὸν Φίλιππον αἴτιος ἐγένετο τοῦ ἀπολέσθαι αὐτούς. Πολλὰς δὲ ὁμοῦ καὶ διαφόρους τεθεικὼς ἀντιθέσεις μίαν κατὰ πασῶν λύσιν τέως ἀπὸ τοῦ χρόνου προσήγαγεν. Εἶτα πρὸς τῷ ἀντεγκληματικῷ τό τε ἔθος καὶ τὸ συμφέρον ἀντέθηκεν. Δοκείτω δὲ μηδενὶ θαυμαστὸν εἶναι καὶ ἐπίλογον ἐν μέσῳ λόγου τυγχάνειν· μέθοδος γὰρ τοῖς παλαιοῖς, καὶ μάλιστά γε τῷ ῥήτορι πληρώσαντι μὴ μόνον ἔγκλημα, ἀλλὰ καὶ κεφάλαιον, ἐπιλογίζεσθαι, καὶ οὐκ ἐπιλογίζεσθαι μόνον, ἀλλὰ καὶ προοιμιάζεσθαι περὶ τῶν δευτέρων, ὡς πολλὰ μὲν ἔχειν προοίμια τὸν λόγον, πολλοὺς δὲ καὶ ἐπιλόγους καθ' ἕκαστον μέρος τῶν κεφαλαίων· καὶ οἱ ἐπίλογοι δὲ οἱ μὲν τελευταῖοι πάσης ἂν εἶεν τῆς ὑποθέσεως, οἱ δὲ κατὰ μέρος ἑκάστου τῶν κεφαλαίων. Πληρώσας τοίνυν ἐνταῦθα τὰς ἀποδείξεις τοῦ διὰ τὸν Αἰσχίνην ἀπολωλέναι Φωκέας, ἀναγκαίως μετὰ τὴν προδοσίαν καὶ τὴν ἅλωσιν ηὔξησε τὰ συμβεβηκότα· ὅταν δὲ τὴν αὔξησιν εἴπω, τοὺς ἐπιλόγους λέγω. Κατασκευάσαντος οὖν ἐνταῦθα τοῦ Αἰσχίνου ὅτι ἄξιοι ἦσαν ἀπολέσθαι Φωκεῖς, ἀκολούθως πρὸς τὴν τοσαύτην ἐναντιότητα ἀπαντήσας ὁ ῥήτωρ εἶπεν· « εἰς τοῦτο « τοίνυν ἀναιδείας καὶ τόλμης αὐτὸν ἥξειν ἀκούω· » ἀναιδὴς γὰρ ὁ τολμῶν ἐπὶ τῶν αὐτῶν τἀναντία λέγειν αὐτὸς ἑαυτῷ, πάλαι ὑποσχόμενος πείσειν τὸν Φίλιππον σώσειν Φωκέας· καὶ μετὰ τὴν ἐπάνοδον εἰπὼν ὅτι σωθήσονται, νῦν φησιν ἀξίους αὐτοὺς εἶναι τῆς ἁλώσεως. TCV.

364, 1. Πρῶτον μὲν Λακεδαιμονίων] Ἀφίκοντο Λακεδαιμόνιοι πλείστας ἐλπίδας ἔχοντες ἀποδοθήσεσθαι τῇ ἑαυτῶν μητροπόλει, Δωριεῦσι λέγω, τὸ ἱερόν· τούτων γὰρ ἦν τὸ ἀρχαῖον. Ἀλλὰ καὶ τούτους ἐξηπάτησε Φίλιππος. Γνόντες δὲ αὐτὸν ἐν παρασκευῇ τῆς ἁλώσεως, εἰκότως ἐξέκλιναν. Ἡγησίππου δὲ μέμνηται, διότι Φιλίππῳ πρεσβευομένῳ περὶ τῆς εἰρήνης ὁ πρῶτος εἰπὼν καὶ διακωλύσας Ἡγήσιππος ἦν. Φωκέων δὲ κατηγορεῖ, διότι καθ' ὃν χρόνον ἔνσπονδοι τοῖς Ἀθηναίοις ἦσαν, ἀπέστειλαν Πρόξενον αὐτοῖς βοηθήσοντα οἱ Ἀθηναῖοι· οἱ δὲ οὐ προσεδέξαντο, κατάλυσιν τῶν πόλεων ὑποπτεύσαντες. Ἐντεῦθεν πονηροὺς Φωκέας ἐκάλεσεν. Ἀσεβεῖς δὲ, ὅτι μετὰ τὸ τὸν Πρόξενον μὴ προσδέξασθαι, μελλόντων Ἀθηναίων ἐπιτελεῖν τὰ μυστήρια κατὰ τὸ σύνηθες, τὰς μυστηριώδεις σπονδὰς οὐκ ἐδέξαντο οὐδὲ ταύτας Φωκεῖς. Ὅθεν αὐτοὺς καὶ ἀσεβεῖς ὠνόμασεν. TCV

364, 14. Ἀλλὰ πάντα ταῦθ' ὑπερβὰς] Πόρρωθεν ἤδη προαναιρεῖ τὸ χρῶμα· οὐ γὰρ ἦν εἰκὸς τὸν διδάξαντα καὶ πείσαντα τοῦτον ὑπὸ τοῦ διδασκομένου καὶ πεπεισμένου ἐξαπατᾶσθαι. TCV.

364, 16. Βοιωτίαν οἰκίζειν] Οὐ λέγει τὴν πᾶσαν, ἀλλ' ἃς κατέσκαψαν οἱ Θηβαῖοι μὴ βουλομένας αὐτοῖς ὑπακούειν, φημὶ δὴ Θεσπιὰς καὶ Πλαταιάς. Κατέσκαψαν δὲ αὐτὰς ἰσχύσαντες μετὰ τὰ ἐν Λεύκτροις. ACDGRTV.

364, 19. Μὴ τοίνυν] Ἑτέρα μεταποίησις τοῦ αὐτοῦ ἐπιχειρήματος. P.

364, 22. Φωκέων, ὡς πονηροὶ] Σημείωσαι· ἐναλλαγὴ πτώσεως. B.

365, 1. Πέντε γὰρ γεγόνασιν] Τὰ ὀνόματα τῶν πραγμάτων ἡμέρας ἐκάλεσεν. TCV.

365, 11. Ὑποποιήσωνται] ἀντὶ τοῦ φίλους ποιήσωνται τοὺς Λακεδαιμονίους δι' ὑμῶν. ARP.

365, 18. Μὴ οὖν ὅτι καὶ Λακεδαιμονίους] Κατηγορεῖ γὰρ Φωκέων ὡς ἠπατημένων. Φωκεῖς πονηροί, Φωκεῖς ἀσεβεῖς· εἶτα δὲ καὶ ἐξηπατήθησαν ὑπὸ Φιλίππου. TCV.

Ἂν τοίνυν ἀντὶ Φωκέων] Ἑτέρα μετάθεσις τῆς αἰτίας κατ' ἀντίθεσιν. Ἔστι δὲ ἀντιστατική. P. Τὸ ἀντιστατικόν ἐστι κεφάλαιον τῆς ἀντιστάσεως. Ἔστι δὲ καὶ ἐνθύμημα ἀντιστατικόν. Διαφέρει δέ, ὅτι ἐν μὲν τῇ ἀντιστάσει ἐξ αὐτοῦ τοῦ ἀδικήματός ἐστι τὸ εὐεργέτημα, ἐν δὲ τῷ ἐνθυμήματι ἄλλο τὸ ἀδίκημα καὶ ἕτερον τὸ εὐεργέτημα. ACDGRTV. Ἀντιστατικὴ τὸ συμφέρον ἐπεισάγουσα ἀφ' ὧν ἠδίκησε. Συνέζευκται δέ πως τῇ ἀντεγκληματικῇ, ὡς ἔχουσα πρὸς αὐτὴν καὶ συγγένειαν· ἐν οἷς γὰρ λέγει ὅτι Καλῶς καὶ ἀξίως ἀπολώλασιν οἱ Φωκεῖς, ἐπάγει ὅτι Καὶ ἄλλα ἔχομεν ἀντὶ τῶν ἀπολωλότων χωρία σωζόμενα. Εἰς τὸ αὐτό. Πρῶτον ἦν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς ἐν ἀρχῇ ἐξέθετο ὧν ἀπήγγειλε. Δεύτερον δέ, ὧν ἔπεισεν. Οὐκοῦν τὸ ἔπεισε φαίνεται τριμερές· ἓν μέν, ὅτι ἔπεισε τὴν πόλιν μὴ βοηθεῖν Φωκεῦσιν, εἰπὼν σωθήσεσθαι Φωκέας παρὰ Φιλίππου· δεύτερον, ἔπεισε καὶ περὶ Θηβαίων ὅτι ἀπολοῦνται Θηβαῖοι· τρίτον, ἔπεισεν, ἡνίκα ἐποιεῖτο τὴν εἰρήνην, Φωκέας μὲν ἐξαλεῖψαι τοῦ ψηφίσματος, πιστεῦσαι δὲ ἀπαγγελλομένῳ αὐτῷ πείσειν τὸν Φίλιππον. Οὐκοῦν πρὸς τοῦτό ἐστιν ἡ παροῦσα ἀντίθεσις. Πῶς ἔπεισας τὴν πόλιν ἄνευ Φωκέων τὴν εἰρήνην ποιήσασθαι; ὃ δὲ βούλεται εἰπεῖν τοιοῦτόν ἐστι, κρυπτόμενον μὲν ὑπὸ τοῦ ῥήτορος διὰ τὸ χρήσιμον, δεικνύμενον δὲ διὰ τῆς ἐργασίας· εἰ μὴ τὴν εἰρήνην ἐποιησάμεθα, ὥσπερ ἠξίου Φίλιππος, ἄνευ Φωκέων, οὐδὲν ἂν ἐκώλυσεν ἐπὶ Θράκης ὄντα λαβεῖν τὴν Χερρόνησον, καὶ διὰ τοῦτο ἀνάγκη γέγονεν οὕτω ποιήσασθαι τὴν εἰρήνην, ὡς ἐβούλετο Φίλιππος, διότι ἐδεδοίκειμεν ὑπὲρ Χερρονήσου. Ἐπειδὴ δὲ ἡ ἀντίθεσις μία ἐστὶν ἐκ τῶν ἀντιθετικῶν—ἀντιστατικὴ γάρ ἐστι—, ζητοῦμεν ὅθεν πέπτωκεν. Οὐκοῦν τὸ μὲν ἔγκλημά ἐστιν, ὅτι Προδέδωκας τοὺς Φωκέας· αἱ δὲ ἀποδείξεις τούτου ποικίλαι καὶ πολλὰ τεκμήρια. Ἓν τοίνυν ἐστὶ τῶν τεκμηρίων τῆς προδοσίας, ὅτι βουλευομένης τῆς πόλεως ὅπως χρὴ ποιήσασθαι τὴν εἰρήνην, παρελθὼν Αἰσχίνης ἀνέπεισεν ἄνευ Φωκέων ποιήσασθαι. Ὁ μὲν οὖν Δημοσθένης τοῦτο προτείνεται ὡς τεκμήριον, ὁ δὲ Αἰσχίνης ἐπὶ τὴν χρείαν μεθιστὰς τῷ συμφέροντι κέχρηται· λέγει γάρ, οὐκ ἐνὴν ἄλλως πεῖσαι Φίλιππον δέξασθαι τοὺς παρὰ τῆς πόλεως ὅρκους, μὴ τῶν Φωκέων ἐξῃρημένων· εἰ δὲ μὴ βεβουλήμεθα ἐξελεῖν τοὺς Φωκέας, πολεμῶν ἂν ὁ Φίλιππος τῇ πόλει τὴν Χερρόνησον ἔλαβεν. Κηδόμενος ταύτην τῇ πόλει σώζεσθαι παρῄνεσα τῷ δήμῳ πλὴν Φωκέων ποιήσασθαι τὴν εἰρήνην. Ἐπεὶ τοίνυν τεκμήριον ἦν τῆς προδοσίας τὸ πεῖσαι τὴν πόλιν ἐξελεῖν τῶν ὅρκων Φωκέας, ἀναγκαίως ἀπαντῶν πρὸς τοῦτο Αἰσχίνης τὴν αἰτίαν λέγει δι' ἣν κατηναγκάσθη τοῦτο ποιῆσαι. Ἔστιν οὖν ἡ αἰτία ἀντιστατική. Ἦν μὲν οὖν δυσχερὴς ἡ λύσις τῆς ἀντιθέσεως τῷ ῥήτορι· δοκεῖ γὰρ ὡς ἀληθῶς ἔχεσθαι τῆς ἀληθείας, ὅτι δεδοικότες περὶ τῆς Χερρονήσου τότε τὴν εἰρήνην ἐδέξαντο. Ἵνα τοίνυν μὴ συνδραμὼν ταῖς ἀληθείαις ὁ δικαστὴς ἀποδέξηται τοὺς Αἰσχίνου λόγους, προλαβὼν ὁ Δημοσθένης συγχεῖ καὶ ταράττει τὸν λόγον, ἀσάφειαν ἐντεῦθεν ταῖς ἀπολογίαις κατασκευάζων· λέγει γὰρ συγκρουστικῶς, ὡς ἂν Αἰσχίνου λέγοντος, πανούργως τὴν πόλιν τὰς συνθήκας πεποιῆσθαι, ὠνουμένη τὴν σωτηρίαν τῆς Χερρονήσου τῇ τῶν Φωκέων ἁλώσει, ἵνα τῷ αἰσχρῷ τὸ ἰσχυρὸν ἐκλύσῃ. TCV.

365, 25. Καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος] Πολέμιος τοίνυν Αἰσχίνης καὶ πρεσβεύων ἐστὶ καὶ φθεγγόμενος. TCV.

366, 3. Εἶτα καὶ νῦν ἐν μείζονι] Τοῦτο εἶπε διὰ τὴν ἀντίθεσιν τὴν λέγουσαν ὅτι ἔχετε τὴν Χερρόνησον ἀντὶ Φωκέων· καὶ πρῶτον μὲν ἔλυσε λέγων ὅτι οὐκ ἀντὶ Φωκέων ἔχομεν Χερρόνησον· εἴχομεν γὰρ αὐτὴν καὶ ἤδη σωζομένων. Εἶτα καὶ ὅτι νῦν οὐδὲ τὴν Χερρόνησον ἔχομεν ἀσφαλῶς· κινδυνεύσει γὰρ καὶ αὐτὴ ἀπολέσθαι, ἀπολομένων Φωκέων. AV.

366, 5. Τότε] ὅτε, φησίν, ἐσώζοντο οἱ Φωκεῖς ACDGRTV.

366, 6. Εἰς αὐτὴν] εἰς τὴν Χερρόνησον. ACDGRTV.

Πρὶν τούτων τι τῆς πόλεως] Καὶ μάλιστα μὲν καὶ σωζομένων Φωκέων εἴχομεν ἀσφαλῶς τὴν Χερρόνησον. Εἶτα οὐδὲ ἔχειν αὐτὴν νῦν ἀπολομένων Φωκέων ῥᾳδίως δυνήσεσθε. TCV.

Τούτων] τῶν Φωκικῶν πόλεων. ACDGRTV.

366, 8. Τίς οὖν ἡ ταύτης περιουσία] Τί οὖν χρησιμεύει ὑμῖν τὸ σώζεσθαι τὴν Χερρόνησον, ὁπότε ἀφῃρέθησαν οἱ φόβοι ἐξ αὐτῆς τῷ Φιλίππῳ βουλομένῳ αὐτὴν ἀδικῆσαι; ACDGRTV.

366, 10. Ἔτι τοίνυν καὶ τοιοῦτόν τι] Ἀντίθεσις μεταληπτικὴ ἀπὸ προσώπου. Διαφέρει δὲ παραγραφῆς ἐν τῷ δοκεῖν ἑκατέρας ἐκβάλλειν τὰς κρίσεις, καθὸ ἡ μὲν παραγραφὴ παντελῶς ἐκβάλλει τὴν κρίσιν, ὅτι οὐ δεῖ περὶ τῶν αὐτῶν ἀγωνίζεσθαι, ἡ δὲ μεταληπτικὴ οὐ πάντως ἐκβάλλει τὴν κρίσιν, ἀλλὰ μεταλαμβάνει ὅτι ἄλλως ἔδει αὐτὴν γενέσθαι, ὥσπερ καὶ ἐνταῦθα ἐκ προσώπου Δημοσθένους μεταλαμβάνει καὶ λέγει ὅτι οὐ σύ μου ὀφείλεις κατηγορεῖν, ἀλλ' οἱ Φωκεῖς οἱ πεπονθότες. ACDGRTV. Ἄλλη μεταληπτικὴ ἀντίθεσις, τὸ πρόσωπον λαμβάνουσα κατὰ παραγραφήν· οὐ γὰρ εἶπε, περιττὸς εἶ σύ, ἀλλὰ τί σὺ καὶ μὴ Φωκεῖς; Χρησίμως καὶ διὰ πολλὰς αἰτίας ταύτῃ τῇ ἀντιθέσει κέχρηται. Πρῶτον μέν, ἵνα τοὺς Αἰσχίνου μάρτυρας διαβάλλῃ. Ἔπειτα, ἵνα τοῖς λόγοις Αἰσχίνου βεβαιωθῇ τὸ ἔγκλημα· ἰδὼν γὰρ οὐ μικρὰν ῥοπὴν γεγενημένην τῷ ἀντιδίκῳ ἐκ τοῦ παρέχεσθαι μάρτυρας Φωκεῖς ἀρνουμένους διὰ τὸν Αἰσχίνην ἀπολωλέναι, ἠναγκάσθη ὥσπερ ἐκ διορθώσεως ταύτῃ χρήσασθαι τῇ ἀντιθέσει πρὸς ἀναίρεσιν τῶν ἰσχυρῶν τῶν ἐκείνου. Ἔστι δὲ μεταληπτική. Μεθώδευται δὲ οὐχ ὡς παραγραφομένου Αἰσχίνου, ἀλλ' ὡς μετὰ τοῦ Δημοσθένους ἀπαιτοῦντος καὶ τοὺς Φωκέας, ἵνα καὶ αὐτὸς τῇ οἰκείᾳ φωνῇ κατήγορον φαίνηται παραδεχόμενος τὸν ῥήτορα. Κατὰ δὲ τὴν λύσιν ἄξιον θαυμάσαι τὸν ῥήτορα τῆς μεθόδου, ὅπως, μὴ δοκῶν πρὸς τοὺς Αἰσχίνου μάρτυρας διαλέγεσθαι, λεληθότως ἐκβάλλει τοὺς μάρτυρας οὓς Αἰσχίνης παρέχεται· ἐπειδὴ γὰρ Αἰσχίνης παρέσχετο μάρτυρας Φωκεῖς, οἵ φασι μηδενὸς τῶν κακῶν αἴτιον γεγενῆσθαι αὐτοῖς τὸν Αἰσχίνην, ἀναγκαίως ὁ Δημοσθένης τὸ μεταληπτικὸν πρὸς τὴν οἰκείαν χρείαν ἐξεῦρεν, ἵνα τοὺς ἐκείνου μάρτυρας ἐκβάλλειν δοκῇ, καί, εἰ κινοῖτο λόγος παρ' Αἰσχίνου, μεταληπτικῶς φαίνοιτο καὶ τοῦτον λύων. TCV.

366, 19. Οὐ γὰρ ἂν ἔγωγε ἂν ἔδωκα] Ἀντιπίπτοντος

λύσις· διὰ τί σὺ μὴ δέδωκας; ἤρκει μοι καὶ μόνα βοῶντα τὰ πράγματα. Καὶ ἄλλην δὲ ἀδοξίαν διωθεῖται· τοῦ γὰρ Αἰσχίνου λέγοντος, ἐμισθώσαντό τινας τῶν Ὀλυνθίων ὥστε μου καταμαρτυρεῖν, ἀπὸ τῶν Φωκέων ἐκβάλλει τὴν ὑπόνοιαν. TCV.

366, 24. Τὰς Ἀθήνησιν εὐθύνας] ὥστε μὴ εἶναι ἑκάστῳ τὸν λόγον, εἴ τι, Ἀθήνησιν εὐθύνας δίδωσιν. Οἱ δὲ ἐνήλλαξαν ὡς ἐν σχήματι τὰς πτώσεις, γενικὴν ἀντὶ αἰτιατικῆς εἰληφότες καὶ εὐθυνῶν εἰπόντες. Τὸ δὲ παρῃρημένοι ἀντὶ τοῦ ἀφῃρημένοι. Ἡ δὲ σύνταξις πρὸς τὸ ἄνω, ὅτι, διὰ τί Δημοσθένης μου κατηγορεῖ, Φωκέων δὲ οὐδὲ εἷς. ATCV.

367, 3. Σώζου] Ἐν τοῖς ἄνω ἔλεγεν ὅτι πάρεισιν ἐν ταῖς Ἀθήναις, ἀλλ' οὐ διὰ τοῦτο ὥστε συνηγορῆσαι μὲν τῷ Δημοσθένει καὶ καταμαρτυρῆσαι τοῦ Αἰσχίνου. ACDGRTV.

367, 7. Καὶ μὴν ὅτι χωρὶς] Ἐνταῦθα σώζεται πρὸς τὴν λύσιν τῆς ἀντιστατικῆς ἀντιθέσεως· τῆς γὰρ λύσεως λεγούσης μετὰ τὴν εἰρήνην γεγενῆσθαι τὴν ἅλωσιν, ἀκολούθως ἐζήτησεν ὁ Αἰσχίνης, εἰ τοίνυν ἔγωγε τοὺς Φωκέας προδέδωκα, ὡς σὺ φῄς, τίνος ἕνεκεν οὐκ ἐλθόντες αὐτοὶ κατηγοροῦσιν; ἡ μέντοι ἀντίθεσις Αἰσχίνου τοῦτο ἐβούλετο λέγειν, ὅτι χρησιμώτερον ἡ Χερρόνησος Φωκέων τῇ πόλει. Οὐκοῦν πρὸς τοῦτο ἀπαντῶν ὁ Δημοσθένης δείκνυσι τοὐναντίον, ὅτι χρησιμώτεροι Φωκεῖς ἦσαν μᾶλλον τῇ πόλει. Εἶτα ἐπειδήπερ ἀντέπιπτεν ὅτι ἀσθενεῖς ἦσαν Φωκεῖς, ἐκ τῆς θέσεως καὶ τοῦ τόπου καὶ τῶν τότε συμβεβηκότων πολέμων αὔξει τὴν δύναμιν. Λέγει δὲ ἄντικρυς, « τίς γὰρ « οὐκ εἶδεν ὑμῶν ὅτι τῷ Φωκέων πολέμῳ καὶ τῷ κυ« ρίους εἶναι Πυλῶν Φωκέας ἥ τε ἀπὸ Θηβαίων ἄδεια « ὑπῆρχεν ὑμῖν καὶ τὸ μηδέποτε ἐλθεῖν ἂν εἰς Πελοπόννη« σον μηδ' εἰς τὴν Ἀττικὴν Φίλιππον; » οὕτω χρησιμώτεροι Φωκεῖς ἦσαν σωζόμενοι Χερρονήσου τῇ πόλει. Μὴ γὰρ ἔχων ἐκ τῆς δυνάμεως τῆς Φωκέων συστῆσαι τὴν ὠφέλειαν, μηδὲ μὴν ἐκ τῆς προαιρέσεως, ἐκ τῆς φύσεως τῶν τόπων καὶ τῶν συμβεβηκότων τὴν ὠφέλειαν ηὔξησε· καὶ πρὸς σύστασιν τούτου τοῦ μέρους, ὅτι μεγάλα ὠφέλουν τὴν πόλιν σωζόμενοι, παρέχεται δύο ψηφίσματα, τό τε Διοφάντου, καθ' ὃ ἔδοξεν αὐτοῖς θύειν τοῖς θεοῖς εἴρξασι Φιλίππου τὴν ἐπὶ τὰς Πύλας ὁδὸν τὸ πρότερον, καὶ τὸ Καλλισθένους, καθ' ὃ μετὰ τὴν ἅλωσιν ἐσκευαγώγουν ἐκ τῆς χώρας. TCV.

397, 6. Καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν] Λογισμῷ λοιπὸν τοῦ συμφέροντος φοβεῖ τοὺς Ἀθηναίους, αὔξων τὰ Φωκέων καὶ δεικνὺς τὴν ἀπὸ τῆς ἐκείνων σωτηρίας ἀσφάλειαν, ἧς ἀπολομένης συναπολεῖται καὶ τὰ φρουρούμενα. Ὅρα γὰρ ὅτι καὶ ἀπὸ γῆς καὶ ἀπὸ θαλάττης μαρτυρεῖ τὴν Ἀττικὴν ὑπ' ἐκείνων πεφρουρῆσθαι τῇ θέσει. TVC.

367, 14. Ὅτι τῷ Φωκέων πολέμῳ] Ἵνα σημαίνῃ τὸν κατὰ γῆν καὶ κατὰ θάλατταν πόλεμον. ARTP.

367, 21. Καὶ ματαία μὲν ἡ προτέρα βοήθεια] ἧς μέμνηται ἐν τοῖς Φιλιππικοῖς « καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας. » TCV.

367, 23 Ἰδίας] ἀντὶ τοῦ ἰδιωτικάς· οὐ γὰρ μόνον δημόσια χρήματα ἀνάλωσαν τότε, ἀλλὰ καὶ εἰσφορὰς ἐποιήσαντο ἐκ τῶν ἰδίων οὐσιῶν. ARTP.

368, 6. Τὸ τοῦ Διοφάντου καὶ τὸ τοῦ Καλλισθένους] Οὗτος ὁ Διόφαντος, τῶν συμμάχων περισωθέντων καὶ ἀπελαθέντος ἐκ τῆς Φωκίδος Φιλίππου, ἔγραψε χαριστηρίους θυσίας θύειν τοῖς θεοῖς· τὸ δὲ τοῦ Καλλισθένους ἐκ τῶν ἐναντίων, ἑαλωκότων Φωκέων καὶ φόβου κατασχόντος πολλούς, κελεύει σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν καὶ μηδένα ἔξω μένειν, ὡς τῶν πολεμίων ἐπιόντων, διὸ καὶ τὰ Ἡράκλεια εἴσω τῆς πόλεως τελεῖν, ἃ δέον ἦν ἔξω τείχους ἄγειν. TCV.

368, 15. ΨΗΦΙΣΜΑ] Διοφάντου· οἷον τὸ θῦσαι τοῖς θεοῖς ὑπὲρ τοῦ διῶξαι Φίλιππον. AR.

358, 18. ΨΗΦΙΣΜΑ] Καλλισθένους· οἷον τὸ σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν δι' ἅπερ ἐποίησε Φίλιππος εἰς τοὺς Φωκέας. ART.

368, 23. Θαυμάσια] Ἐπὶ καλοῦ τέθεικε τὴν λέξιν. ARP.

368, 24. Πρὸς Πορθμῷ] Πάλιν ἀπὸ θαλάττης καὶ ἀπὸ γῆς ὁ φόβος. Πορθμὸς μὲν γὰρ τῆς Εὐβοίας· αὕτη δὲ νῆσος· τὰ δὲ Μέγαρα ἐν ἠπείρῳ. TCV.

Οἶδα τοίνυν ὅτι] Ἔστι μὲν καὶ αὕτη ἡ ἀντίθεσις πρός τι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἔχεται δὲ τῆς προτέρας ἔτι. Σχεδὸν γὰρ καὶ αὕτη τοῦ αὐτοῦ γένους ἐστὶν ἀντιστατική. Οὐκοῦν ἔχει τὴν ἀναφορὰν πρὸς ἐκεῖνο τὸ ἀπ' ἀρχῆς, ὅτι αὐτὸς ἔπεισας τὴν εἰρήνην ποιήσασθαι· ἵνα φαίνηται ἀποκρινόμενος Αἰσχίνης ὅτι ἔπεισα βελτίονα τῶν πολέμων τὴν εἰρήνην ἡγούμενος. Ἀνόει δὲ κατὰ ταύτην τὴν ἀντίθεσιν πολλὰ καὶ οὐ μικρά. Πρῶτον μέν, ὅτι τὸ ἑαυτῷ πεπραγμένον μετατίθησιν ἐπὶ τὸν ἀντίδικον. Δοκεῖ γὰρ συμβεβουλευκέναι καὶ αὐτὸς περὶ τοῦ δεῖν γενέσθαι τὴν εἰρήνην. Οὐκοῦν, ἵνα φαίνηται αὐτὸς Αἰσχίνης ἀναδεχόμενος τὸ κατὰ τὴν εἰρήνην, οὕτως εἰσῆξε τῇ ἀντιθέσει χρώμενος. Διόπερ ἄξιον ἄγασθαι τῆς δεινότητος ὅτι ὑπὲρ ὧν αὐτὸς ἔμελλεν ἐγκλημάτων ἀπολογεῖσθαι, ταῦτα ἤδη πεποίηκεν ἐγκλήματα τῆς ἀπολογίας Αἰσχίνου. Εἰ γὰρ ὁ ἀντίδικος ἐγκώμια τῆς εἰρήνης ἐρεῖ, τίς ἂν ἔτι τοῦ τὴν εἰρήνην πείσαντος γενέσθαι κατηγορήσειε; Καὶ ἡ ἀπόκρισις δὲ ἀκόλουθος τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους· Ναί, φησίν· οὐδὲν γὰρ ἄτοπον συμβουλεύειν εἰρήνην ἄγειν, ἐπειδὴ πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις ἡ εἰρήνη αἰτία καθίσταται. Οὐκ ἀνατρέπει δὲ τὴν ἀντίθεσιν, ὅπερ οἰκεῖον τοῦ ἀντιλέγοντος, ἀλλὰ καὶ καταδέχεται. Τί γάρ; φησὶν ὅτι δῶρα λαμβάνοντες οὗτοι τὸ καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν· ἵνα ἡ μὲν εἰρήνη μὴ κατηγορῆται, τὰ δὲ ἐν τῇ εἰρήνῃ πραχθέντα ποιῆται ἐγκλήματα. Καὶ πόθεν δῆλον ὅτι τὸ ἔγκλημα τὸ περὶ τῆς εἰρήνης Δημοσθένης δέδοικεν; ἐν τῷ ὑπὲρ τοῦ στεφάνου δεδήλωκε λόγῳ· τὴν γὰρ πρώτην ἀντίθεσιν καὶ τὸ πρῶτον ἔγκλημα, τὸ τὴν εἰρήνην γενέσθαι, ἔθηκεν, ἀρνούμενος αὐτὸς μὴ πεποιηκέναι. Οὐκοῦν οὐδὲ τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ἐγὼ φαίνομαι, καλῶς προσθεὶς τὸ ἐξ ἀρχῆς· ἐπειδὴ γὰρ ψήφισμα παρέσχετο Δημοσθένους Αἰσχίνης, διαρρήδην περὶ τῆς εἰρήνης λέγοντος, διὰ τοῦτο τὰ δεύτερα σιωπήσας ἐπὶ τὴν ἀρχὴν ἵεται, ἀναφέρων ἐπὶ τὸν Ἀριστόδημον καὶ Νεοπτόλεμον αὐτήν. TCV.

369, 11. Τί τις εἶναι τοῦτο φαίη] Φανερῶς ἐνταῦθα προκαλεῖται τὸ κεφάλαιον τὸ λεγόμενον χρῶμα, εἰ καὶ διέσπαρται ἐν τῷ λόγῳ. AR.

369, 14. Κτήμαθ' ὑμῖν περίεστι] Ὑπερθέσει λύει τὴν ἀντίθεσιν, πλείονα τὸν Φίλιππον λέγων κτησάμενον ἀπὸ τῆς εἰρήνης. AR.

369, 23. Ἡ μὲν ἡμετέρα] λέγει δὲ τὴν εἰρήνην. ATYP. Ἢ γὰρ ἑαυτοῖς περιποιοῦσι συμμαχοῦντες τὰ ἀγαθά, ἢ τοῖς κρείττοσιν ἑαυτῶν καὶ δυνατωτέροις, οἷς καὶ συνάπτονται διὰ τὴν χρείαν. TCV.

370, 3. Ὅλως, ὦ ἄνδρες Ἀθηναῖοι] Ἵνα μὴ τὸ σόφι-

σμα αὐτῷ κατάφωρον γένηται καὶ φανῇ δεδοικὼς τοὺς περὶ τῆς εἰρήνης λόγους, ἀνέδραμεν ἐπὶ τὸν πόλεμον, τὸ ζητούμενον τῷ ζητουμένῳ συσκιάζων. Ἐν γὰρ τῷ πλήθει τῶν πραγμάτων οὐκ ἄν τις ῥαδίως φωράσειεν, ὑπὲρ οὗ καὶ δέδοικεν. Ἀμέλει γοῦν πολλὰ προτείνας εἰς αὐτὸ τὸ ἰσχυρότερον κατέληξεν, εἰπὼν, « εἴργετε οὖν, εἴργετε, αὐτὸν τῶν « ὑπὲρ τῆς εἰρήνης λόγων. » Ἐπειδὴ δὲ δοκεῖ γεγραφέναι ψήφισμα περὶ τῆς εἰρήνης, ἀπολογούμενος ὑπὲρ τούτου, ποτὲ μὲν μεταστατικῶς ἐπὶ τοὺς περὶ Νεοπτόλεμον καὶ Ἀριστόδημον τὴν αἰτίαν φέρει, ποτὲ δὲ συμπεριλαμβάνει τὴν πόλιν, ποτὲ δὲ τὴν ἐκ τῆς ἀνάγκης χρείαν προβάλλεται εἰπὼν, « ἤγαγον δεῦρο τοὺς ποιησομένους, » πάλιν ἐπὶ τὴν πρεσβείαν. Κἀνταῦθα μεθιστὰς, ἐπειδήπερ αὐτὸς φαίνεται καὶ τοὺς παρὰ Φιλίππου πρέσβεις ἥκοντας τῇ βουλῇ προσάγων, καὶ ὅλως τοῦτο τὸ μέρος διοικησάμενος, [ὑπὲρ] οὗ λαμπρῶς ἐν τῷ περὶ τοῦ στεφάνου ἀπολελόγηται, μεταβέβηκεν ἐπὶ τὸ χρῶμα. Διὰ τί δὲ κἀνταῦθα οὐχ ἀπολογεῖται ὑπὲρ τῆς εἰρήνης, ὥσπερ ἐν τῷ περὶ τοῦ στεφάνου; ὅτι ἐνταῦθα μὲν αὐτὸς ἔχων πρωτολογίαν, καὶ δυνάμενος ὡς ἐβούλετο τὰ συμφέροντα διοικήσασθαι, πρὸς τὴν χρείαν μεθώδευσεν, ἐν δὲ τῷ περὶ στεφάνου κατηγορούμενος καὶ τῆς αἰτίας λαμπρῶς ἐπ' αὐτὸν φερομένης ἠνάγκασται διὰ τῆς εἰρήνης διαρρήδην ποιήσασθαι τὴν ἀπολογίαν. TCV.

370, 15. Ἢ ὑμῖν πόλεμος] Κύκλος. BY. Διηγηματικῶς ἐνταῦθα. A.

371, 6. Τοῖς τὰ δίκαια γράφουσιν] Εἰς ἑαυτὸν αἰνίττεται. ART.

371, 7. Τῷ μισθοῦ] τῷ Φιλοκράτει. AP.

371, 10. Τοὺς δ' ἐπὶ τοῦ πολέμου] τρίτον κεφάλαιον τῆς προκατασκευῆς. BYP.

371, 18. Τούτῳ] Αἰσχίνῃ. P.

Δεξάμενοι] οἱονεὶ διαδεξάμενοι τοὺς περὶ Ἀριστόδημον εἰς τὸ φεναχίσαι ὑμᾶς. ARTP.

371, 29. Ἣν δέδοικα] Κύκλος. B.

372, 1. Πολλῷ] κακῷ δηλονότι. T. Λείπει κακῷ. AR. κακῷ ἢ τόκῳ. P.

372, 14. Οὐ γὰρ Αἰσχίνης] Κύκλος. BY.

372, 18. Ἔξω τοῦ ἀδόξως γεγενῆσθαι] ὅτι οὐκ ἐχωρίζετο τῇ ἀδοξίᾳ, ἀλλ' ἐνυπῆρχον τοῖς πράγμασιν. TCV.

Ἀνήκεστον] Λύσις τοῦ χρώματος τοῦ πρὸς τὰς ἐπαγγελίας. ARP.

372, 22. Ὅτι μὲν τοίνυν αἰσχρῶς] Πολλῶν ὄντων, ὡς ἔφαμεν, τεκμηρίων κατὰ τὴν ὑπόθεσιν, οὐδενὶ τούτων οὕτως * ὥστε ταῖς ἐπαγγελίαις καὶ ταῖς ὑποσχέσεσι διϊσχυρίζεσθαι. Ἀναγκαίως οὖν ἐνταῦθα λοιπὸν αὐτό τε τὸ τεκμήριον προτείνει καὶ τὴν ἀντίθεσιν τὴν πρὸς αὐτὸ θεὶς λύειν πειρᾶται. Οὐ μὴν τέθεικεν οὕτως ἐκ τοῦ προφανοῦς, ὡς ἐν ἀντιθέσεως εἴδει, ἀλλὰ τὴν λύσιν εἰσάγων τὸ χρῶμα ἐνέφηνεν. Ὡς γὰρ Αἰσχίνου δυναμένου λέγειν ὅτι δι' ἀβελτερίαν ἢ δι' εὐήθειαν ἢ δι' ἄγνοιαν τοῦ Φιλίππου ταῦτα εἴρηκεν, οὕτω καὶ αὐτὸς συντρέχων φησὶν, ἐὰν ταῦθ' οὗτος ὑπ' ἀβελτερίας φανῇ πεπραγμένα. Οὐ γὰρ ἁπλῶς παραδέχεται τὸν παρ' Αἰσχίνου λόγον, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων μόνην ἐπίδειξιν ἐπιζητεῖ· τί γάρ; φησὶν, « εἰ ταῦθ' ὑπὸ ἀβελτερίας ἢ δι' εὐήθειαν ἢ δι' ἄλ- « λην ἄγνοιαν ἡντινοῦν τούτῳ πέπρακται, » ἀντὶ τῶν λόγων τὰς πράξεις ἐπιζητῶν, ἐξ ὧν αἱ ἀποδείξεις εἰσὶν ἰσχυραί. Καὶ πάλιν ὀλίγον προελθὼν εἰς τὴν αὐτὴν λύσιν ἐπάγει « ἀλλ' ὑμεῖς ἄφετε Αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερ- « βάλλοντα, ἂν δι' εὐήθειαν ἢ δι' ἄλλην ἄγνοιαν λελυ- « μασμένος φανῇ. » TCV.

372, 24. Ἐγὼ δὲ, ὦ ἄνδρες] Ἰστέον ὅτι ἐκλείπει ἡ πιθανὴ ἀπολογία. ARTP.

372, 27. Ὥστε εἰ ταῦθ' ὑπὸ ἀβελτερίας] Ἐπὶ τὸ χρῶμα τὸ κυριώτερον ἔρχεται λοιπὸν, ὅ ἐστι πρὸς τὰ σημεῖα τοῦ Αἰσχίνου, ἅ ἐστιν ἐν οἷς ἀπήγγειλε, πρὸ δὲ τῆς θέσεως διαβάλλει, ὡς ἔθος, σαθρότερα οὕτω ποιῶν. TCV.

373, 9. Ἐὰν δ' ἀποτυγχάνῃ] Σημείωσαι· περὶ τοῦ μὴ ἔχειν ἄδειαν τὸν κριτὴν λέγειν ἔλαθέ με ἐν οἷς ψηφίζεται. YP.

373, 10. Οὐ γὰρ ἂν ἐξαρκέσειεν] Οἷον λέγε Φωκεῦσι τὴν ἄγνοιαν, καὶ στῆσον τὰς συμφορὰς, ὁμολόγει τὴν ἀβελτερίαν. TCV.

373, 17. Ἂν μέντοι διὰ πονηρίαν] Ἕως ὧδε ἐπλήρωσε τὸν πρῶτον στοχασμὸν, καὶ ἄρχεται ἐντεῦθεν τοῦ δευτέρου· δείξας γὰρ ἐν τῷ πρώτῳ ὅτι ἀπώλεσε Φωκέας, καὶ ἐλθὼν ἕως τοῦ χρώματος, ἐμπεσόντος ἄλλου ζητήματος, ὅτι Διὰ δῶρα ταῦτα ἐποίησας, τοῦτο μεταχειρίζεται. ACDGRTV.

373, 18. Ἀργύριον λαβὼν καὶ δῶρα] Ὁρᾷς ὅπως ἀπὸ τοῦ χρώματος δεύτερον ἀναφαίνεται ζήτημα τὸ περὶ τῆς δωροδοκίας; ὁ μὲν γὰρ ἐρεῖ ὡς ἠπάτηται, ἡμεῖς δὲ ἀποδείκνυμεν ὡς ἑκὼν εἴρηκεν, ἀπατῆσαι διὰ τὴν μισθαρνίαν ἑλόμενος. TCV.

373, 21. Σκοπεῖτε δὴ] Ἐντεῦθεν ἀποδεικτικῶς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἄρχεται. P.

373, 22. Ὡς δίκαιος ἔσται μεθ' ὑμῶν] Ὁ νοῦς οὕτως, σκοπεῖτε μεθ' ἡμῶν ὡς δίκαιος ἔσται ὁ ἔλεγχος. Ἐὰν δὲ ᾖ μεθ' ὑμῶν, μένει ὡς ἔχει τὸ ῥητὸν, ἵνα ᾖ, ὁ ἔλεγχος δίκαιος ἔσται μεθ' ὑμῶν· καὶ ὑμεῖς γὰρ δίκαιοι. Ἐντεῦθεν δὲ προσπλέκει καὶ τὸν δεύτερον στοχασμόν· ἐὰν δῶρα μὲν λαβὼν φανῇ, φανήσεται οὐδαμῶς ἐξηπατημένος· « ἂν « μέντοι διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ « τοῦτ' ἐξελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων. » Ἐπειδὴ γὰρ οὐκ ἔχει μάρτυρας οὐδ' αὐτὸς παρασχέσθαι τῆς δωροδοκίας, ἀξιοῖ διὰ τῶν πεπραγμένων ἐξελέγχειν ὅτι ἠπατήθη. Ἐντεῦθεν δὲ ἐπὶ τὰς ἀποδείξεις χωρεῖ λοιπὸν καὶ τὰς λύσεις τοῦ μηδαμῶς Αἰσχίνην ἐξηπατῆσθαι. Λέγομεν δὲ πολλάκις ὅτι πᾶν χρῶμα ἐκ τῆς τοῦ ἀκολούθου ἀπαιτήσεως λύεται. Εἰ ἐξηπατήθη, ἀναγκαῖον ἦν αὐτὸν μισεῖν τὸν ἐξηπατηκότα· ἀλλὰ μὴν οὐ μισεῖ τὸν Φίλιππον, οὐκ ἄρα ἐξηπατήθη. Διαιρεῖ δὲ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους εἰς αἰτίας διττάς. Εἴρηκας, Αἰσχίνη, ἢ αὐτὸς πιστεύσας τῷ Φιλίππου τρόπῳ, ὅτι Φωκέας σώσει, ἢ διαρρήδην ἀκούσας τοῦ Φιλίππου λέγοντος. Εἰ μὲν οὖν ἐκεῖνος ἐξηπάτησε, δίκαιος ὑπὸ σοῦ μισεῖσθαι· εἰ δὲ αὐτὸς ἐξηπατήθης πιστεύσας τῷ Φιλίππου τρόπῳ, καὶ κατὰ τοῦτο εἶ πολεμεῖν δίκαιος· οὐ γὰρ ἐφάνη τοιοῦτος οἷον καὶ ἤλπισας. Οὐκοῦν δι' ἀμφότερα ταῦτα δίκαιος ἦσθα μισεῖν. Ἀλλ' οὐδεὶς ἀκήκοε λόγῳ μισοῦντά σε Φίλιππον, οὐδὲ μὴν διὰ τῶν ἔργων τοῦτο ἐπέδειξας· τοὐναντίον δὲ καὶ ὑπὲρ ἐκείνου λέγεις. Πῶς οὖν ἐξηπατήθης, οὐχὶ δὲ χρήματα λαβὼν τούτους προήκω τοὺς λόγους; ἄξιον δὲ ζητῆσαι περὶ ὧν Ἑρμογένης ἐτεχνολόγησε περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· Ἐὰν μὲν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν λύεται, ἐὰν δὲ ἐν πάθεσι, συγγνωμονικῶς, ἐὰν δὲ ἐν ἔργοις, θετικῶς. Εὑρήσομεν δὲ ἀπὸ τῶν ἐν λόγοις ὄντων οὐχ ὑγιὲς ὂν τὸ θεώρημα. Ῥητὸν μὲν γὰρ ἐστι τοῦ Αἰσχίνου, ὅτι σωθήσονται οἱ Φωκεῖς. Τοῦτο

γὰρ ἦν ὃ ὑπέσχετο. Λύσις δὲ, εἰ κατὰ διάνοιαν ἦν, οὕτως ἂν εἶπε, σωθήσονται Φωκεῖς. Πῶς; ἐξελθούσης τῆς πόλεως [καὶ] ψηφιζομένης τι χρηστὸν ὑπὲρ Φωκέων. Αἱ γὰρ λύσεις τοῦ ῥητοῦ κατὰ προσθήκην τοῦ ἐμπίπτοντος γίνονται, οἷον ὡς ἐπ' ἐκείνου, ξένον μὴ ἀναβαίνειν ἐπὶ τὸ τεῖχος, τοῦτό ἐστι τὸ ῥητόν· ἡ δὲ λύσις ὀλίγον τι προσθεῖσα τῷ ῥητῷ ποιεῖ τὴν διάνοιαν, ξένον μὴ ἀναβαίνειν, λέγει τὸν κατασκοπήσαντα, τὸν ἐπὶ βλάβῃ τῆς πόλεως περιαθροῦντα καὶ περιεργαζόμενον, οὐ μὴν τὸν ἐπὶ σωτηρίᾳ ἀναβαίνοντα λέγει. Ὁρᾷς ὅτι τῷ ῥητῷ ὡς λείποντι προσθεὶς λύειν τὸ ῥητὸν δοκεῖ; ἐπὶ στοχαστικοῦ πάλιν ζητήματος ἐκείνου, θαρσεῖτε, ὦ δεσμῶται, οὐκ εἰς μακρὰν λυθήσεσθε, τοῦτό ἐστι τὸ ῥητὸν καὶ δοκεῖ τὸ θεώρημα σώζεσθαι· προσθήκῃ γὰρ βραχείᾳ τινὸς δοκεῖ λύεσθαι τὸ ῥητόν. Ἐνταῦθα δὲ ἐπὶ τοῦ κατ' Αἰσχίνου λόγου σωζόμενον οὐχ εὑρίσκομεν τὸ θεώρημα, ἀλλ' ἔστιν ἐνταῦθα τὸ χρῶμα μεταστατικὸν ὁμοῦ καὶ συγγνωμονικόν· ἐξαπατηθεὶς γὰρ ὑπὸ Φιλίππου λέγει ταῦτα εἰρηκέναι. Οὐκοῦν εἰ μὲν ἐπὶ τὸν Φίλιππον μεθίστησι, μεταστατικόν· εἰ δὲ [συγγνώμης τυχεῖν] ἀξιοῖ ὡς ἐξηπατημένος, συγγνωμονικὸν γίνεται. Δεῖ τοίνυν μὴ ἀνεξετάστως παραδέχεσθαι τὰ ἐν ταῖς τέχναις ὥσπερ νενομοθετημένα, ἀλλ' ἐπὶ πολλὰς καὶ διαφόρους ἄγειν ὑποθέσεις, κἂν εὕρῃς ἐφαρμόττον τὸ θεώρημα, τότε θαρρεῖν καὶ χρῆσθαι· ἐὰν δὲ ὀλίγοις μὲν ἐφαρμόττῃ, μὴ πᾶσι δὲ, δῆλον ὅτι φανήσεται οὐκ ἔχον ὑγιῶς. Καὶ γὰρ οὐδ' ἐπὶ τοῦ πλάσματος τούτου σώζεται τὸ θεώρημα. Πένης καὶ πλούσιος ἐχθροὶ τὰ πολιτικά. Ἐν συμποσίῳ ὤμοσεν ὁ πλούσιος τυραννήσειν· ἀντώμοσεν ὁ πένης τυραννοκτονήσειν. Εὕρηται νεκρὸς ἀσκύλευτος ὁ πένης ἀναχωρῶν ἀπὸ τοῦ δείπνου, καὶ κρίνεται φόνου ὁ πλούσιος. Ποῖον γάρ ἐστι τὸ πρῶτον ἀπ' ἀρχῆς ἄχρι τέλους; ὤμοσε τυραννήσειν ὁ πλούσιος. Οὐκοῦν τοῦτο ἐν ῥητῷ κεῖται. Ἡ λύσις ἐνταῦθα οὐκ ἐκ διανοίας, ἀλλὰ συγγνωμονικὴ γίνεται· περὶ γὰρ μέθην εἰρηκέναι φησί. Πῶς οὖν λέξομεν ἀληθῆ νομοθετεῖν τὸ τεχνικόν; ἵνα δὲ μὴ ἀπερίσκεπτον τοῦτο ὑποληφθῇ, λέγω ὅτι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ὅσα ἐν λόγοις ἐστὶ, τὰ μὲν οὕτως εἴρηται, καὶ ἔστιν ὡς μηδεμιᾶς δεῖσθαι προσθήκης, τὰ δὲ οὕτως εἴρηται, ὥστε ἐπὶ δύο ὁδοὺς φέρεσθαι τὴν ἐξήγησιν. Οἷς μὲν οὖν οἷόν τέ ἐστι προσθεῖναι ὡς ἐλλεῖπον, διανοίᾳ λύεται· ἃ δὲ ἀπηρτισμένην ἔχει τὴν διάνοιαν, ταῦτα ἢ μεταστατικῶς ἢ συγγνωμονικῶς λυθήσονται. Τῶν δὲ συγγνωμονικῶν ἐστι καὶ ὁ ἔρως καὶ ἡ ἄγνοια καὶ ἡ μέθη καὶ εὐήθεια καὶ ἀβελτερία, καὶ ὅσα τοῦ γένους ἐστὶ τούτου· ἡ γὰρ συγγνώμη ἀπὸ τῶν παθῶν χαρακτηρίζεται τῆς ψυχῆς. Ἐπειδὴ δὲ πολλάκις ἀναμεμιγμέναι εὑρίσκονται αἱ ἀντιθέσεις ἐν τῷ αὐτῷ ζητήματι, καὶ συγγνωμονικὴ καὶ μεταστατικὴ, ἀπὸ τῆς πρώτης δεῖ χαρακτηρίζειν τὸ ζήτημα. Ἐὰν μὲν γὰρ ἡ συγγνωμονικὴ πρώτη, συγγνωμονικὸν ποιεῖ τὸ ζήτημα· ἐὰν δὲ ἡ μεταστατικὴ, μεταστατικόν· ἐπεί γε εἰς τύχην μεταφέρων ὁ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου τὸ πταῖσμα μεταστατικῶς ἀπολογεῖται, καὶ οὐ δύναται ὑπεύθυνον γενέσθαι ἡ τύχη, ὥς φησιν ὁ Ἑρμογένης. Ἐνταῦθα δὲ τὴν ἄγνοιαν ὡς λύσιν λαβὼν τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, ἠγνόησα γάρ, φησί, τὸν Φιλίππου τρόπον, συγγνωμονικῶς λύει· εἰ μὲν ὄντως ἠγνόησας ἢ ἐξηπατήθης, συγγνώμης ἀξιωθήσῃ, ἐπεὶ καὶ τὴν ὀργὴν ἐν τῷ κατὰ Μειδίου πάθος οὖσαν τῶν περὶ τὴν ψυχήν, συγγνωμονικῶς ἔλυσεν· « εἰ μὲν δι' ὀργὴν ταῦτα πεποίηκε Μειδίας, » καὶ ἑξῆς. Ἐπανέλθωμεν δὲ ἐπὶ τὸ προκείμενον. Οὐκοῦν ἡ λύσις τοῦ χρώματος εἰσάγει τὴν βούλησιν· καὶ τίνα τρόπον; « ἂν μέντοι διὰ πονηρίαν ἀργύριον λαβὼν « καὶ δῶρα, » καὶ πάλιν ἐφεξῆς, διότι « οὐ παρακρουσθεὶς « οὐδὲ ἐξαπατηθεὶς, ἀλλὰ μισθώσας αὐτὸν καὶ λαβὼν ἀρ« γύριον, ταῦτα εἶπε καὶ προὔδωκεν ἐκεῖνος. » Ἐλέγομεν δὲ ἀρχόμενοι τοῦ λόγου ὅτι ἤρξατο μὲν καὶ τῆς βουλήσεως ἐν τῷ κεφαλαίῳ τῷ περὶ τῆς δυνάμεως· τὴν δὲ πλείονα ἐργασίαν ἐτήρησεν ἐν τῷ δευτέρῳ στοχασμῷ· ἡ γὰρ βούλησις γέγονε μεταξὺ τῶν δύο στοχασμῶν, λύουσα μὲν τὸ χρῶμα, εἰσάγουσα δὲ τὸν δεύτερον στοχασμόν. Εἰσάγει δὲ αὐτὸν ἀπὸ τῆς αἰτίας, εἰπὼν ὅτι « μισθώσας αὐτὸν καὶ λαβὼν ἀργύριον προὔδωκεν ἐκείνῳ. » Ἡ γὰρ αἰτία ἐνταῦθα ζητεῖται, διὰ τί ἂν ἐβουλήθη ὁ Αἰσχίνης τὸν δῆμον ἐξαπατῆσαι; Τὸ δὲ μέγιστον τῶν ἐν βουλήσει ἔστιν ἡ αἰτία· δεῖ γὰρ πανταχοῦ βούλησιν ἐξετάζοντα τὴν αἰτίαν ζητεῖν· ὡς ἂν ἐξέλῃς τὴν αἰτίαν τῆς βουλήσεως, ἄχρηστον καὶ ἀνωφελῆ ποιήσεις τὴν βούλησιν. Δι' ἣν αἰτίαν ἠβουλήθη προδοῦναι; δι' ἣν αἰτίαν ἠβουλήθη ἐξαπατῆσαι; ἵνα ἀργύριον λάβῃς, φησίν. Εἶτ' ἐπειδὴ ἀντέπιπτεν ἐκ τῆς ἐργασίας, οὐ γέγονε καιρὸς ὥστε μνησθῆναι Φιλίππου, εὐκαίρως ἔλυσεν εἰπών, (p. 384, 29) « καὶ μὴν ἧκον παρ' ὑμῶν « ἔναγχος Ἀμφικτύονα ψηφίσασθαι. » Ὅτε τοσοῦτον ἀπέσχες ἀντειπεῖν, ὥστε καὶ συναγωνίσασθαι προείλου. Ἄχρι μὲν τούτου ἔστι τὰ τῆς βουλήσεως, κοινά τε ὄντα τῆς λύσεως τοῦ χρώματος καὶ εἰσακτικὰ τοῦ περὶ τῶν δώρων ζητήματος. Ἐπισημήνασθαι δὲ ἄξιον ὃ περὶ τῶν ἐμπιπτόντων εἰώθασιν αἱ τέχναι λέγειν. Λέγουσι γὰρ ὅτι τὸ χρῶμα ποιεῖ τὸ δεύτερον ζήτημα. Αὐτὸ γὰρ τὸ χρῶμα οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ εἰσαγόμενον ζήτημα. Ἐνταῦθα δὲ εὑρίσκεται ἄλλο μὲν τὸ χρῶμα, ἄλλο δὲ τὸ ἀγωνιζόμενον ζήτημα. Χρῶμα μὲν γάρ ἐστιν, ὅτι ἐξαπατηθεὶς ὑπὸ Φιλίππου ταῦτα εἴρηκα· ἡ δὲ λύσις, ὅτι οὐκ ἐξαπατηθεὶς ταῦτα εἴρηκας. Εἰ γὰρ ἐξηπατήθης, καὶ ἐμίσησας ἂν Φίλιππον. Ἀλλὰ μὴν οὐκ ἐμίσησας, οὐκ ἄρα ἐξηπατήθης· δῶρα δὲ λαβὼν εἴρηκας. Καὶ αὕτη εὑρίσκεται ἡ αἰτία δι' ἣν ἐξηπάτησας. Ἡ αἰτία οὖν γέγονεν ἐνταῦθα ὁ δεύτερος στοχασμὸς, εἰ δῶρα εἴληφα, παράσχου μάρτυρας, ὦ Δημόσθενες. Καὶ γίγνεται ἐνταῦθα ἐμπῖπτον ζήτημα. Εἰ δὲ μὴ συντρέχει ταῖς νῦν τέχναις ὁ τοῦ ῥήτορος λόγος, οὐ τὰς τέχνας δεῖ κυριωτέρας ἡγεῖσθαι τῶν Δημοσθένους λόγων· τοὺς γὰρ ἀρχετύπους νομοθέτας ὑπολαμβάνειν δεῖ, οὐ τοὺς παρ' αὐτῶν μικρὰ λαμβάνοντας. Δεῖ οὖν ἐπὶ τὸν ῥήτορα καταφεύγειν. Καὶ γὰρ ἐν τῷ τοῦ ἀσώτου προβλήματι καθολικῶς Ἑρμογένης ἡμῖν ἀποφαίνεται μὴ οἷόν τε εἶναι ἁπλοῦν στοχασμὸν ἄνευ πραγμάτων, ἄντικρυς Ἰσοκράτους ἡμῖν ἐν τῷ πρὸς Εὔθυνον τἀναντία νενομοτεθηκότος. TCV.

373, 26. Δυοῖν θάτερον] Οἱ εἰρημένοι λόγοι, φησί, παρὰ σοῦ ἐν ταῖς ἐπαγγελίαις δι' ἕτερον τῶν δύο πάντως ἐλέχθησαν· ἢ γὰρ φανερῶς εἰπόντος τοῦ Φιλίππου, σώσω Φωκέας καὶ ἀπολῶ Θηβαίους, ἀκούσας καὶ πιστεύσας ἀπήγγειλας· ἢ πρᾶον αὐτὸν καὶ φιλάνθρωπον ἐν τοῖς ἄλλοις ἰδὼν ἤλπισας καὶ ταῦτα ποιήσειν αὐτὸν καὶ θαρσήσας ὑπέσχου. Οὐκοῦν ἐξ ἀμφοτέρων ἀποτυχὼν μισεῖν ὀφείλεις τὸν Φίλιππον, ὅτι οὔτε τοὺς λόγους οὓς εἶπεν ἐβεβαίωσεν, οὔτε τὰς ἐλπίδας ἃς ἔσχες ἐπλήρωσεν. Ἀλλὰ μὴν φαίνῃ καὶ ἐπαινῶν αὐτὸν καὶ θαυμάζων· καὶ οὐ δύνασαι εἰπεῖν ὡς ἠπάτησαι. TCV.

Ἡ σύνταξις. Ἔστι δὲ τὸ νόημα παραγραφικὸν τοῦ δευτέρου στοχασμοῦ. Ἐκ γὰρ τῶν παραλελειμμένων αὐτῷ

παραγράφεται, ἐξ ὧν ἔδει αὐτὸν ποιῆσαι καὶ οὐκ ἐποίησεν. ART.

374, 8. Εἰσαγγελίᾳ] Εἰσαγγελία ἐστὶ τὸ παρέχειν εὐθύνας ὡς ὑπὲρ καταλύσεως τοῦ δήμου. ART.

374, 13. Ἀλλὰ πάντες Ἀθηναῖοι πρότερον κατηγοροῦσι Φιλίππου] Ἵνα μὴ εἴπῃ τις, ἀλλὰ καιρὸς οὐκ ἦν τοῦ κατηγορεῖν. TCV.

374, 15. Ἰδίᾳ] Ἀσφαλῶς εἶπεν ἰδίᾳ. Ἠδίκηνται γὰρ κοινῇ πάντες οἱ Ἀθηναῖοι νῦν παρ' αὐτοῦ, οὐ μέντοι ἰδίᾳ, ἀλλὰ γενικῶς. ART.

Ἐγὼ δὲ ἐκείνους] Οὗτος καὶ ἰδίᾳ ἀδικηθεὶς οὐδ' οὕτως κατηγόρει. P.

374, 17. Ἐμοὶ μὲν χρήσασθε] Τῶν ἰσούντων διαλύει τὴν ἁρμονίαν. Τὸ γὰρ ἠθικὸν οὐκ ἐθέλει τὴν τῆς λέξεως εὐρυθμίαν ἐνδύεσθαι. TCV.

374, 27. Τρὶς] ἀντὶ τοῦ πολλάκις. Ἔστι γὰρ ἀρχαϊσμὸς, ὡς παρὰ τῷ ποιητῇ (Od. 5, 306) « τρὶς μάκαρες « Δαναοί. » ART.

375, 7. Καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν] Πρὸς τῷ μὴ σῶσαι Φωκέας καὶ Θεσπιὰς, ὡς ὑπέσχετο, καὶ ἄλλα ἠδίκησεν. Προσεξηνδραπόδισε γὰρ τὸν Ὀρχομενὸν καὶ τὴν Κορώνειαν, ὅπερ πάλιν συνέφερε Θηβαίοις, ἐπειδὴ αὗται ἦσαν αὐτῶν ἀφεστηκυῖαι. A,

375, 12. Προσεξηνδραπόδισται] Οὐ γὰρ μόνον φάσκει μὴ γεγενῆσθαι ἃ ὑπέσχετο, ἀλλὰ καὶ προσθήκας ἐπεισάγει κακῶν, ἐπὶ μὲν Θηβαίων εἰπὼν τὸ, « μείζους ἢ προσῆκε πεποίηκεν, » ἐπὶ δὲ Θεσπιέων * Ὀρχομενὸν καὶ Κορώνειαν ὅτι προσαπώλεσεν. TCV.

375, 21. Ἐνδεικνύμενος τοῖς πρέσβεσι] ὅλην ἀπογυμνῶν τὴν προαίρεσιν ἐκ τῶν λόγων. TCV.

375, 24. Αὐτὸς, οἶμαι] Ἐν ἤθει τοῦτο ἀναγνωστέον. ATP.

375, 25. Ἔτι τοίνυν] Μενάνδρου· ἐντεῦθεν ἄρχεται τῆς τῶν μαρτύρων συστάσεως τῆς περὶ τῶν δώρων. Ἀσκληπιοῦ· ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν χωρεῖ τοῦ δευτέρου ζητήματος. BFSY. Εἰσβάλλει εἰς τὴν τῶν ἐλέγχων ἀπαίτησιν. Βούλεται δὲ εἰπεῖν ὅτι, εἰ μὴ ἦν τὰ πράγματα καταμαρτυροῦντα αὐτοῦ, βασάνους καὶ τὰ τοιαῦτα. ACDGRTV.

Ἔτι τοίνυν] Ἐπὶ τὴν τῶν ἐλέγχων ἀπαίτησιν χωρεῖ τοῦ δευτέρου ζητήματος. Ὡς δὲ Αἰσχίνου τοὺς μάρτυρας ἀπαιτήσαντος, οὕτως ἀπήντησεν, Εἰ μηδὲν μηδένα εἴχομεν δεῖξαι τῶν πρέσβεων ἔχοντα, τῶν οἰκετῶν ἔδει βασανίσαι τινάς. Τῆς τῶν μαρτύρων συστάσεως ἐντεῦθεν ἄρχεται, τῆς περὶ τῶν δώρων λέγω. Καὶ ζητοῦμεν τί δήποτε ἐνταῦθα μέλλων μεταβαίνειν ἀπὸ στοχασμοῦ ἐφ' ἕτερον στοχασμὸν, οὔτε ἐπελογίσατο οὔτε προοιμίῳ κατεχρήσατο ἀρχόμενος δευτέρου ζητήματος, ἀλλὰ συνῆψεν οὕτως ὥστε δὶς διάκριτον δοκεῖν εἶναι τὴν εἴσοδον, καίτοι εἰωθὼς τοῦτο ποιεῖν. Καὶ φαμὲν ὅτι ἔνθα μὲν διῄρηται τὰ πράγματα ἀπὸ τῶν πραγμάτων, ἐκεῖ καὶ ἐπιλογίζεται καὶ προοιμιάζεται, ἔνθα δὲ συμπλοκή τίς ἐστι καὶ οὐκ ἔστιν ἁπλῆ ὑπόθεσις, ἐκεῖ συμπλέκει καὶ τὰ κεφάλαια καὶ τὰ πράγματα. Ὃ δὴ καὶ δείκνυσι μὴ ἁπλοῦν εἶναι στοχασμὸν τὸν παρόντα λόγον, ὥς τινες ᾠήθησαν. Ἐπεὶ γὰρ ὁ ἐμπίπτων πρὸς ἀπόδειξιν τοῦ προτέρου λαμβάνεται, διὰ τοῦτο οὐχ ἡγήσατο καιρὸν εἶναι διελεῖν τὴν ἑκάστου ἀπόδειξιν, τοὐναντίον δὲ καὶ συνάψαι τῷ δευτέρῳ τὰ πρότερα. Ἡ γὰρ ἐπαγωγὴ τοῦ ἐμπίπτοντος ἀπόδειξις γέγονε τοῦ ἐκόντα αὐτὸν ἐξαπατῆσαι. Γίνεται δὲ ἐμπῖπτον, διότι καὶ τελείαν ἐργασίαν ἐπεδείξατο ἀπὸ τοῦ χρώματος ἀναφέρεσθαι, ἀλλ' οὐ πάντως αὐτὸ τὸ χρῶμα γίνεται δευτέρου ζήτημα. Ἔθος δὲ τῷ Δημοσθένει καὶ πρὸ τῶν ἀντιθέσεων τιθέναι λύσιν καὶ μετὰ τὰς ἀντιθέσεις. Ὅρα γὰρ πῶς ἀντίχρυς λύσις ἐστὶ τῆς τῶν ἐλέγχων ἀπαιτοῦντος ἀπαιτήσεως. Ὡς γὰρ Αἰσχίνου τοὺς μάρτυρας ἀπήντηκεν, εἰ μὲν μηδένα μηδὲν ἔχοντα εἴχομεν δεῖξαι τῶν πρέσβεων εἰληφότα, τινὰς τῶν οἰκετῶν ἔδει βασανίζειν. Οὐ γὰρ ἐξῆν ἐλεύθερον βασανίζεσθαι τότε, ἀλλ' ἢ δούλους τῆς πόλεως ἢ οἰκέτας ἰδιωτῶν. Εἰ δὲ δείκνυται Φιλοκράτης εἰληφὼς, τούτου δὲ φίλος Αἰσχίνης, εἴληφεν ἄρα καὶ μετὰ Φιλοκράτους Αἰσχίνης. Ἐπειδὴ γὰρ καὶ αὐτὸ τοῦτο στοχαστικὸν ἐγίνετο ζήτημα, εἰληφότος Φιλοκράτους καὶ Αἰσχίνης εἴληφεν, ἐνδιατρίβει τῷ μέρει τούτῳ, συνιστὰς ἐκ τῆς πάνυ φιλίας καὶ τῆς πολλῆς οἰκειότητος εἰληφέναι τὸν Αἰσχίνην· καὶ διὰ τοῦτο καὶ ἀπὸ τῶν ἐναντίων ἐξετάζει. Οὐ μόνον γὰρ ἀπὸ τῆς οἰκειότητος, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐξὸν διαμαρτυράμενον τῆς τοιαύτης ὑποψίας αὐτὸν ἀπολύσασθαι, οὐκ ἐποίησε τοῦτο παρελθὼν, καίτοι καλοῦντος αὐτὸν τοῦ ῥήτορος. Λέγει γοῦν, οὐ τοίνυν παρῆλθεν Αἰσχίνης οὐδ' ἔδειξεν αὐτὸν, ἵν' ἀπ' ἀρχῆς ἄχρι τέλους γένηται τὰ ἀπὸ τῶν πεπραγμένων καὶ ἀπὸ τῶν παρειμένων, ὅτι σύνεστιν ἀεὶ τῷ Φιλοκράτει. Καὶ τοῦτο μὲν ἀπὸ τῶν πεπραγμένων· ἀπὸ δὲ τῶν παρειμένων, ὅτι καλούμενος οὐχ ὑπήκουεν. Εἶτ' ἐπειδὴ καὶ τοῦτο κοινὸν ἦν — οὐδὲ γὰρ ἄλλος οὐδεὶς κατεμαρτύρησε Φιλοκράτους —, τοῖς μὲν ἄλλοις συγγνώμην ἔχει, Αἰσχίνην δὲ οὐκ ἀφίησι τοῦ ἐγκλήματος, λέγων, « καὶ τῶν μὲν ἄλλων ἑκάστῳ ἐστι τις πρόφασις, τούτῳ δὲ οὐδὲν τούτων. » Ἐν τούτῳ τῷ μέρει καὶ φανερῶς ἐμνημόνευσε Φρύνωνος, ἀμφότερα διὰ τοῦ αὐτοῦ θεωρήματος διοικούμενος, καὶ τὸ μὴ προσκροῦσαί τισι τῶν πρέσβεων καὶ τὸ ἐπαγαγέσθαι. Ἐὰν μὲν [γὰρ] προσκρούσῃ, παροξυνεῖ καὶ προάξεται εἰς λοιδορίαν, καὶ διὰ τούτου συστήσει μὴ κεκοινωνηκέναι τῆς δωροδοκίας αὐτοῖς· ἐὰν δὲ ἐπαγάγηται, ἕξει καταμαρτυροῦντας Αἰσχίνου, ὅπερ καὶ βούλεται καὶ τοῦτο διὰ παντὸς διοικεῖται τοῦ δευτέρου στοχασμοῦ. Ἐπιμένει δὲ τῷ κατὰ Φιλοκράτους λόγῳ, βουλόμενος κατὰ πλείονα εἴδη τῶν ἐπιχειρημάτων καὶ τὴν σύστασιν ἐργάσασθαι τῆς δωροδοκίας. TCV.

376, 1. Πυροπωλῶν] τὸν σῖτον πωλῶν. P.

Ξυληγῶν] ξύλα λέγων. P.

376, 2. Τὸ χρυσίον] ὅπερ εἴληφεν ἐκ Μακεδονίας ἀπὸ τοῦ Φιλίππου ἀντικατήλλασεν εἰς Ἀττικὰ νομισμάτια, ἵνα ἔχῃ ταῦτα ἀναλίσκειν εἰς αὐτὰς τὰς Ἀθήνας. TCV.

376, 9. Πρὸς δ' ἐκεῖνον ἐλθὼν] προσχωρήσας δὲ τῷ Φιλοκράτει καὶ μετ' αὐτοῦ γεγονώς. TCV.

376, 19. Εἰ μόνος Φιλοκράτης] ὅτι Φιλοκράτης μόνος ἐστὶν αἴτιος τῶν τοιούτων κακῶν, ἄλλος δὲ οὐδείς. P.

376, 28. Μηδὲ ἀρέσκειν αὐτῷ] Δελεάζει πρὸς τὸ μαρτυρῆσαι τοὺς πρέσβεις ἁπλούστερον ὁ ῥήτωρ εἰπών. Οὐδὲν γὰρ μέγα καὶ ἄτοπον λέγειν ὡς οὐκ ἀρέσκει μοι. TCV.

377, 1. Ἀφίημ' ἔγωγε] Ὅρα τοῦ ἀξιώματος τὸ μέγεθος, εἴ γε αὐτὸς ἀντὶ τῆς πόλεως ἀποφαίνεται. TCV.

377, 5. Ὁ μὲν οὐχ ὑπεύθυνος] ἀντὶ τοῦ ἐγὼ ὁ Δημοσθένης, ἀλλ' ἢ σὺ δῆλον ὁ Φιλοκράτης. P.

Ὁ δ' οὐχὶ παρῆν] εἷς τῶν πρέσβεων, τοὔνομα Ἰατροκλῆς, οὐ παρῆν. ART.

Τῷ δὲ κηδεστὴς ἦν ἐκεῖ] πολλὴ καὶ δριμύτης καὶ σωφροσύνη. Δι' ὧν μὲν ἀπολογεῖται καθάπτεται, τῷ δὲ

κρίπτειν τὴν αἰσχύνην καρτερεῖ γαμβρὸν αὐτοῦ εὐφήμως ἀποκαλῶν τὸν Φίλιππον διὰ τὸν υἱόν. TCV.

Τῷ δὲ] τῷ Φρύνωνι λέγει. Οὗτος γὰρ κηδεστὴν ἐποιήσατο ἑαυτῷ τὸν Φίλιππον, ἐκδοὺς ἑαυτοῦ υἱὸν τῷ Φιλίππῳ. ART.

377, 6. Τούτῳ δ'] Αἰσχίνῃ. P.

377, 11. Οὐδ' ἀφιέντων ἀφίησιν] οὕτως οὐ βούλεται κατὰ Φιλίππου λέγειν ὥστε ζημίαν ἡγεῖται τὸ μὴ συνηγορεῖν αὐτῷ. Κἂν γὰρ ὑμεῖς ἀφῆτε αὐτὸν, ἀνεύθυνος εἶ, φάσκοντες, μὴ πολιτεύου, ἀπαλλάττου, οὐκ ἀφίσταται ὑμῶν. TCV.

Οὐδ' ἀφιέντων ἀφίεται] Ὅτι κἂν ὑμεῖς αὐτὸν ἐάσητε τῆς τιμωρίας, αὐτὸς οὐκ ἀφίσταται τῆς Φιλίππου φιλίας. ART.

377, 14. Καίτοι, τίς] ἡ τῶν ἐλέγχων ἀπαίτησις ἐνταῦθα πάλιν. ARTP.

377, 22. Βοᾷ] Μικροῦ καὶ φωνὴν τοῖς πράγμασι περιέθηκεν ἔμψυχον ποιῶν τὸν λόγον. BFRSYTCV. Καὶ τὸ συνεχῶς δὲ τὸ πλῆθος τῶν ἀποδείξεων ἐμφαίνει. TCV.

377, 25. Καὶ τίς μου καταμαρτυρεῖ, φησὶν] Ἐν βαρύτητι κεῖται οὕτως. Ὡς τῆς ἀποδείξεως δὲ τῆς διὰ τῶν πραγμάτων ἐλεγχούσης εἰληφότα, ἐν ἤθει τὴν ἀντίθεσιν εἰσήγαγε. Καὶ τούτων οὕτω δεικνυμένων, φησὶ, τολμᾷ λέγειν, « καὶ τίς μου καταμαρτυρεῖ δῶρα λαβεῖν; » Ἡ λύσις δὲ κατὰ ἀντεξέτασιν τῶν πραγμάτων [τε καὶ ῥημάτων·] τίνα τούτων ἀξιοπιστότερα; δῆλον ὅτι τὰ πράγματα. TCV.

377, 26. Τοῦτο γάρ ἐστι τὸ λαμπρὸν] Ἢ ὅτι τοῦτο ὡς μέγα καὶ λαμπρὸν Αἰσχίνης προτείνει, ἢ ὅτι τὸ φανερῶς σε πλέον ἐλέγχον, τοῦτό ἐστιν. TCV.

378, 2. Πρὸς δὲ τοῖς πράγμασιν] Σημείωσαι· κλητικὴ περίοδος, μέρος πνεύματος, ὡς ἀποστροφὴν ἐργαζόμενον καὶ καταφοράν. BYP.

378, 3. Ἀπόκριναι] Δύο βήματα ἦν, τοῦ κατηγόρου καὶ τοῦ ἀπολογουμένου, καὶ τοῦ ἑνὸς λέγοντος ἐκαθέζετο ὁ ἕτερος, ἕως οὗ εἴπῃ. Τὸ δὲ ἀπόκριναι εἰπὼν οὐκ ἀπέδωκεν, ἀλλ' εὐθὺς πρὸς ἄλλο ἐτράπη. Λέγομεν ὅτι πρὸς τὸ ἀνώτερον κῶλον ἀπέδωκεν οἷον· τίς ἡ πρόνοια αὕτη ἡ ὑπὲρ τοῦ Φιλοκράτους; ART.

Ἀπόκριναι γὰρ δεῦρο] Ἢ πρὸς τὸ ἀνωτέρω ἔχει τὴν ἀναφορὰν τοῦτο, ἢ ὅτι τῶν ἄλλων πρέσβεων ἐχόντων πρόφασιν σὺ οὐδεμίαν ἔχεις τοῦ μὴ ὑπακοῦσαι· ἐπεὶ ἀπόκριναι, διὰ τί οὐχ ὑπήκουσας καλούμενος; τὸ δὲ ἀναστὰς, ἐπειδὴ εἰς τὸ ἕτερον βῆμα ὁ κρινόμενος ἐκαθέζετο, ἕως ἂν πληρώσῃ τὸν λόγον ἐπὶ τοῦ ἑτέρου βήματος ὁ κατήγορος. Ἢ πρὸς τὸ νῦν ἀπόκριναι εἰρημένον. Ἀπόκριναι ὅτι οὐ τὰ πράγματά ἐστι τῶν μαρτύρων πιστότερα. TCV.

378, 5. Ὃς γὰρ ἀγῶνας] διὰ Τίμαρχον λέγει, διότι κατηγόρησεν αὐτοῦ, γέροντος ἀνδρὸς, ὡς ἡταιρηκότος. ART.

Ἀγῶνας καινοὺς] Παράδοξος γὰρ ὁ κατὰ Τιμάρχου ἀγών· ἐπειδὴ σχεδὸν γεγηρακότος αὐτοῦ λοιπὸν περὶ τῆς ἑταιρήσεως κατηγόρησεν, ἐάσας τὴν νέαν ἡλικίαν τὴν ὕποπτον. Ἄνω δ' εἰπὼν τίνος ἕνεκα καλούμενος, ὅτε Ὑπερίδης τὴν εἰσαγγελίαν ἐποιεῖτο, οὐχ ὑπήκουσας, ἐπειδήπερ ἀντέπιπτεν, Οὐ γὰρ ἐσκέμμην οὐδ' ἑτοίμως ἔχω λέγειν, τὴν αἰτίαν· ἐξεῖλεν εἰπὼν, « ὃς γὰρ ἀγῶνας καινοὺς, ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς « διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων. » Τὸ δὲ [ὥσπερ] δράματα διὰ τὸ εἶναι ὑποκριτὴν εἶπεν, οἱονεὶ πλάσματα. Εἰσάγονται γὰρ κἀκεῖ ὥσπερ ἐπὶ τῆς σκηνῆς καινὰ δράματα. Τὸ δὲ « καὶ τούτους ἀμαρτύρους » ἔμφασιν ἔχει τοῦ μηδεμίαν ἀπόδειξιν ἀκριβῆ παρασχόμενον Τίμαρχον καταδικάσασθαι, χρήσιμον δὲ καὶ πρὸς τὴν παροῦσαν ὑπόθεσιν· οὐδὲ γὰρ αὐτὸς παρέχεται μάρτυρας, ἵνα τὸ ὅμοιον τῷ ὁμοίῳ παραβληθὲν τὴν ἴσην ἀξίαν παρὰ τοῖς ἀκούουσι λάβῃ. Τὸ δὲ πρὸς διαμεμετρημένην τὴν ἡμέραν φησὶν, ὅτι τινὲς τῶν ἀγώνων διὰ τὸ μέγεθος λαμβάνουσιν ὅρον τὴν ἡμέραν καὶ ὕδωρ τὸ ἐξαρκοῦν. Αἱρεῖς δὲ διώκων, κατηγορῶν. TCV.

378, 7. Αἱρεῖς] ἀντὶ τοῦ νικᾷς. Ὀξυτόνως ἀναγνωστέον. ART.

378, 8. Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων] Ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ τοῦτο ἐκ τῶν πεπραγμένων, καὶ ἄλλη ἀπόδειξις τῆς δωροδοκίας. BFRSYTCV. Ἁμαρτάνει δέ τι περὶ τοῦτο τὸ μέρος γενόμενος, οὐκ ἐπιστήσας τῷ καιρῷ, καθ' ὃν ἡ πρεσβεία γέγονε. Γίνεται γὰρ αὕτη τρίτη πρεσβεία πρὸς Φίλιππον, ὄντα ἐν Φωκεῦσιν ἤδη. Συνίστησί τε διὰ τούτου τόν τε ἔλεγχον τῆς δωροδοκίας καὶ τὸ παρειμένον αὐτό. Δι' ἣν γὰρ αἰτίαν οὐκ ἐφώρασε τοὺς Αἰσχίνου λόγους μετὰ τὴν ἔξοδον, συνίστησιν ἐκ τοῦ τὸν Αἰσχίνην καταμεῖναι δεῦρο. TCV.

378, 10. Δοκεῖν] ἀντὶ τοῦ φαίνεσθαι. ARTP.

378, 15. Καλαῖς καὶ μεγάλαις] κατ' εἰρωνείαν. ART.

378, 18. Ἐξωμοσάμην εὐθέως] Τί διαφέρει ἐξωμοσία καὶ ὑπωμοσία; ἐξωμοσία μὲν γάρ ἐστιν ἡ παντελὴς ἄρνησις μεθ' ὅρκου, ὑπωμοσία δὲ ἡ ἔνορκος ἀναβολὴ, ὅταν ὀμνύῃ τις ὅτι νῦν μὲν οὐ δύναμαι τόδε ποιῆσαι, ὕστερον δὲ αὐτὸ ποιήσω. Διωμοσία δὲ ἡ γινομένη ἐν τοῖς δικαστηρίοις, ὅταν ὀμνύῃ καὶ ὁ κατήγορος καὶ ὁ φεύγων· αὕτη δὲ καὶ ἀντωμοσία λέγεται. ACDGRTV.

Εὐθέως] Ἀσκληπιοῦ· τὸ εὐθέως σοφώτατα πρόσκειται· ἐπειδὴ γὰρ καὶ Αἰσχίνης ἐξωμόσατο καὶ ἰσάζει, τὸ μὲν αὐτοῦ δείκνυσιν εὐλόγως γινόμενον, τὸν δὲ Αἰσχίνην μετὰ τὸ στέρξαι κακούργως ἀρνησάμενον. BFASYTCV. Δηλοῖ δὲ ἅμα καὶ τὴν εὔνοιαν· ὡς γὰρ φιλόπολίν με ἠναγκάσατε. TCV.

378, 26. Μὴ σύγκλητος ἐκκλησία γένηται] Σύγκλητος ἐκκλησία ἡ γινομένη ἐξαίφνης διὰ τὸ κατεπεῖγον. BY. Τρεῖς γὰρ ἐκκλησίαι τοῦ μηνὸς γίνονται ὡρισμέναι· ἡ δὲ σύγκλητος οὐχ ὡρισμένη. ACDGRV. Σύγκλητος δὲ ἐκκλησία ἐκλήθη, ἐπειδὴ ἐν μὲν τοῖς νομίμοις καὶ συνήθεσιν ἀφ' ἑαυτοῦ ὁ δῆμος συνέτρεχεν· ὅταν δὲ ἐξ ἀνάγκης τινὸς σύλλογος γένηται, συγκαλοῦσι τινὲς περιιόντες. TCV.

378, 28. Καὶ τὰ πράγματα ἐκφύγῃ τὸν Φίλιππον] Οἷον τὸ κατασκάψαι Φωκέας. Ὅρα δὲ πῶς ἡμᾶς ἐδίδαξεν ἐνταῦθα ὅτι καὶ τῆς τρίτης πρεσβείας πεμφθείσης παρὰ τῶν Ἀθηναίων ἔτι ἐσώζοντο οἱ Φωκεῖς. ATCV.

379, 3. Οὔτε γὰρ σῖτος ἦν] Οἱ μὲν περὶ τῆς Μακεδονίας ἔλαβον, οἱ δὲ περὶ τῆς Φωκίδος. Εἶτα ἐπειδὴ εἰκὸς ἦν τινας ἐννοεῖν ὅτι ἀλλ' ἔξωθεν ἐπεισάξει, λύων φησὶν, « Οὔθ' ἡ σιτοπομπία δυνατή. » TCV. Τὸ δὲ ᾕρει ἀντὶ τοῦ ἐλάμβανε καὶ ἐχειροῦτο, ἔστι δὲ ὡς ἐκ τοῦ αἱρῶ ῥήματος περισπωμένου. ACDGRTV.

379, 12. Τί λέγεις] Πλάσις χαριέντως τοῦ προσώπου ἀντιλέγοντος. Ἔστι δὲ ἀποστροφὴ πρὸς αὐτὸν, ὡς ἐκ τῶν Ἀθηναίων. Τὸ δὲ ἔδει δὲ μένειν, ὡς ἐκ τοῦ Δημοσθένους· τὸ δὲ πῶς οὖν κατ' ἐρώτησιν· τοῦτο γάρ φησιν ὁ ῥήτωρ· τί οὖν; ὅτι χρεία ἦν παραμεῖναι. TCV.

379, 19. Καὶ τέλος εἶχε τὸ μίσθωμα] ὡς μεσεγγυήσαντος Αἰσχίνου καὶ ὁμολογήσαντος, ἃ ἔπαθον Φωκεῖς. TCV.

379, 22. Ὑμῖν ἐκκλησιάζουσι] δηλονότι σκοπούντων αὐτῶν ἢ περὶ τοῦ νεωρίου ἢ περὶ ἄλλου τινός. Παρατήρησαι δὲ ἐκ τούτου ὅτι, ὡς ἤδη ἔγνωμεν, οὐ μόνον ἐν πυκνὶ ἠκκλησίαζον, ἀλλὰ πολλάκις ἐν Πειραιεῖ καὶ ἐν ἄλλοις τόποις. Καὶ λοιπὸν, ὅπου συνήγοντο, ἐκκλησία ἐκαλεῖτο· οὐχ ὅτι οἱ τόποι ἐκκλησίαι ἐκαλοῦντο, ἀλλὰ μόνον ὅτε συνήγετο ὁ δῆμος, παρὰ τὸ αὐτὸν ἐκεῖσε ἐκκλησιάσαι. Ἡ δὲ πνὺξ ἐκαλεῖτο διὰ τὸ ἀεὶ ὡς ἐπὶ τὸ πλεῖστον ἐκεῖ τὸν δῆμον ἐκκλησιάζειν. ACDGRTV.

379, 28. Ἐπειδὴ ταῦτ' ἦν] Ἡ πιθανὴ ἀπολογία. BS.

379, 29. Ἐπειδὴ τοιαύτη ταραχὴ] Συνῆψεν ἐντεῦθεν τὴν λεγομένην πιθανὴν ἀπολογίαν· καὶ μὴν εἰ συνῄδειν ἐμαυτῷ δεδωροδοκηκότι, οὐκ ἂν οὕτω προφανῶς ἀπῄειν ὥστε κατάφωρον ἐμαυτὸν καταστῆσαι. Ἡ λύσις « ἀλλ' « οὕτως ἔκφρων ἦς καὶ ὅλως πρὸς τῷ λήμματι καὶ τῷ δω« ροδοκήματι, ὥστε ταῦτα πάντα ἀνελὼν καὶ παριδὼν « ᾤχου. » Ἀνελὼν δὲ ταῦτα, ποῖα; τὸ ἀρρωστῆσαι, τὸ φοβεῖσθαι Θηβαίους, ὅτι ἔλεγεν ἐν τῇ ἀρχῇ ὅτι οὕτως αὐτὸν ἐμίσουν οἱ Θηβαῖοι ὥστε καὶ χρήματα κατ' αὐτοῦ ἐπεκήρυξαν, καὶ τἄλλα. Ἄξιον δὲ ἰδεῖν ποῖόν ἐστι τὸ χρῶμα τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἐξωμόσατο Αἰσχίνης, ἕτερος ἐχειροτονήθη, αὐτὸς πορεύεται μετὰ τὴν πρεσβείαν. Τί τοίνυν ἐρεῖ πρὸς ταῦτα; ὅτι οὖν ἐξαλήλιπτο ἡ χειροτονία· καὶ ἄτοπον ἦν χειροτονηθέντα, ἐπειδὴ ῥᾷον ἔσχε, μὴ βαδίζειν παρὰ τὸν Φίλιππον. Ὁ ῥήτωρ, ἵς τ' ἂν ἕτερος ἀντιχειροτονηθῇ, ἔδει σε βαδίζειν, οὐ τότε ὅτε Φωκέας ἀπολωλότας ἐπύθου. TCV.

380, 6. Ἥρητο] ἀντὶ τοῦ ᾑρέθη καὶ ἐχειροτονήθη ἀντ' αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ. Χρῶμα δὲ λύει ἐνταῦθα. Ἔμελλε γὰρ λέγειν ὁ Αἰσχίνης ὅτι ῥᾷον ἐσχηκὼς ὕστερον, διὰ τοῦτο ἐπρέσβευσα χειροτονηθεὶς ἐξ ἀρχῆς ἐν τῇ τρίτῃ πρεσβείᾳ. Λύει οὖν τοῦτο ὁ ῥήτωρ λέγων ὅτι ἦν ἄλλος ἀντ' αὐτοῦ χειροτονηθεὶς, ὁ ἀδελφὸς αὐτοῦ. ART.

380, 9. Ἐπειδὴ Θηβαῖοι] Ἰστέον ὅτι ἐνταῦθα ἐνέπεσεν ἡ πιθανὴ ἀπολογία. Ἔμελλε γὰρ λέγειν ὁ Αἰσχίνης ὅτι, καίτοι εἰ συνῄδειν ἐμαυτῷ τὴν προδοσίαν, οὐκ ἂν ἐβάδιζον τότε πρὸς Φίλιππον, ἵνα μὴ γένωμαι κατάδηλος. Λύει οὖν τοῦτο ὁ ῥήτωρ λέγων ὅτι ἡ δωροδοκία σε οὐκ ἀφῆκεν ἰδεῖν τὸ δέον, ἀλλ' ἔκφρονα κατέστησε τοῦ γινώσκειν ὅ τι ποιεῖς. AR.

380, 13. Ἀλλ' οὕτως ἔκφρων ἦν] Ἡ ἀντίθεσις· καὶ μὴν, εἰ συνῄδειν ἐμαυτῷ δεδωροδοκηκότι, οὐκ ἂν οὕτω προφανῶς ἀπῄειν, ὥστε κατάφωρον ἐμαυτὸν καταστῆσαι. Ἡ λύσις· ἀλλ' οὕτως ἔκφρων ἦν. BFSY.

380, 14. Πάντα ταῦτα] τὸ προφασίζεσθαι ἀρρωστεῖν καὶ τὰ ἐφεξῆς. A.

380, 15. Καὶ τοιούτου τοῦ πράγματος] Ἔθος ἦν κατὰ τὰ πάτρια πέμπειν τῷ Ἀπόλλωνι ἐν τῷ ἀγῶνι τῶν Πυθίων τοὺς θεωροὺς καὶ τοὺς θεσμοθέτας, ἵνα μεῖζον ᾖ τὸ ἀξίωμα τῆς θυσίας. ACDGRTV.

280, 23 Ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον] Θηβαίους προσθεὶς τῷ Φιλίππῳ δεδήλωκε διὰ τῶν ἐχθρῶν ὅτι δεινὰ καὶ ὁ Φίλιππος κατὰ τῆς πόλεως ηὔχετο. Ὅρα δὲ ὅπως ὃ μὲν ἦν ἀνεύθυνον, τὸ ἑστιᾶσθαι καὶ σπένδειν, τοὺς πρέσβεις ἔπεισε μαρτυρῆσαι· τὸ δὲ ἐστεφανῶσθαι κατὰ τῆς πατρίδος ὁ ῥήτωρ ἐκ τοῦ ἀκολούθου, καὶ μὴ εἰπόντων τῶν πρέσβεων, κατεσκεύασεν. TVC.

380, 27. Καὶ φιλοτησίας] ἅπερ φιλεῖ γίγνεσθαι ἐν τοῖς συμποσίοις, τὸ δεξιοῦσθαι ἀλλήλους τοῖς ποτηρίοις — πολλάκις καὶ αὐτὰ τὰ ποτήρια χαρίζεσθαι τὸν βασιλέα οἷς προπίνει χρυσᾶ ὄντα· τοῦτο γὰρ ἦν τὸ προπίνειν —, ταῦτα πάλιν ὡς ἐγκλήματα καὶ σημεῖα προδοσίας πεποίηται. ACDGRTV. Φιλοτησία, ἡ κύλιξ ἦν κατὰ φιλίαν τοῖς φίλοις προύτεινον. BYP.

381, 2. Δημόσιος] οἶκος δηλαδή. P.

381, 7. Τὸ ψήφισμα] ὅπερ τις ἐψηφίσατο τῶν πολιτῶν (βουλευτῶν?), ὅτε ἐξωμόσατο ὁ Αἰσχίνης ἀρρωστεῖν. ACDGRTV

381, 9. Τοὺς μάρτυρας] οἷον τοὺς συμπρεσβευτὰς τοῦ Αἰσχίνου τὴν τρίτην πρεσβείαν. A.

381, 10. Τίνας οὖν εὐχὰς] Ἐπιλογίζεται πληρώσας τὸ δεύτερον ζήτημα· σύνηθες γὰρ αὐτῷ μετὰ τὰς ἀποδείξεις τὰς ἰσχυροτάτας ἐπιλογίζεσθαι. BFRSY.

371, 13. Τοῖς συμμάχοις] φησὶ τῶν Φωκέων, ἵνα αἰνίξηται εἰς Ἀθηναίους. A. Τοῖς Ἀθηναίοις αἰνίττεται. T.

381, 16, Οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον] Ἐνταῦθα ἐπιλογίζεται λοιπὸν καὶ συναγωγὴν ποιεῖται τῶν ἐγκλημάτων, πληρώσας τὸ δεύτερον ζήτημα. Σύνηθες γὰρ αὐτῷ τοῦτο ποιεῖν, μετὰ τὰς ἀποδείξεις ἐπιλογίζεσθαι. Ἔστι δὲ τοῦ δευτέρου ζητήματος τὰ κεφάλαια ταῦτα. Τῶν μὲν γὰρ παρειμένων ἓν πρῶτον· οὐδεπώποτ' ἐμνήσθης τοῦ Φιλίππου κακῶς, ἐπειδήπερ σαυτὸν περιπεπτωκότα δεινοῖς ἑώρας· μετὰ τὴν ἐπαγγελίαν οὐκ ἐμνησικάκησας. Ἀπὸ δὲ τῶν πεπραγμένων, ὅτι Πύθωνος ἀφικομένου καί τινων ἑτέρων πρέσβεων, εἶτα ἀξιούντων Φίλιππον Ἀμφικτύονα ψηφίσασθαι, πάντων ἀντιλεγόντων, μόνος συνεῖπε. Τὸ χρῶμα συνῆπται τούτῳ, οὗπερ οὐκ ἐμνήσθημεν πρότερον, νυνὶ δὲ προσθήσομεν ὅτι πόλεμον εὐλαβηθεὶς συνεῖπον τοῖς πρέσβεσι. Θαυμάσαι δὲ δεῖ τὸν ῥήτορα τῆς δεινότητος, ὅτι οὐχ ὡς χρῶμα εἰσήγαγεν, ἀλλὰ συγκρουστικῶς παροξῦναι μᾶλλον ἢ συστῆσαι τὴν ἀπολογίαν αὐτοῦ προαιρούμενος. Τρίτον ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι Φιλοκράτης δωροδόκος εἶναι ὁμολογεῖ, οὗτος δὲ Φιλοκράτει συνῆν. Τέταρτον, ὅτι εἰσαγγείλαντος Ὑπερίδου Φιλοκράτην, καλοῦντός μου διαρρήδην τοὺς βουλομένους διαμαρτύρασθαι ὅτι μὴ κεκοινωνήκασιν, οὐ παρῆλθεν Αἰσχίνης. TCV.

381, 27. Κοινωνεῖν] Τοῦτο εἶπε προλαβὼν, ὅτι οὐκ ἔπεμψαν ἐν τοῖς Πυθίοις οὔτε τοὺς θεωροὺς οὔτε τοὺς θεσμοθέτας. AR.

382, 10. Ὅς ἐκ πολέμου ποιούμενος εἰρήνην] Εἰ γάρ, φησὶ, καὶ ὁ Φίλιππος ἡμᾶς ἠδίκει, ἀλλ' οὖν γε εἶχέ τινα συγγνώμην καθ' ὃ πολέμιος ἦν. ART.

Πωλούντων] παρὰ τῶν συνεστηκότων καὶ συναγορευόντων Αἰσχίνῃ. P.

382, 15. Τάχα τοίνυν ἴσως] Ἀντίθεσις τῶν ἐπιλόγων· κεχώρισται δὲ τῶν ἀγωνιζομένων. Ἀντιθέσεις γὰρ λέγομεν κυρίως τὰ πρὸς αὐτὰ τὰ κρινόμενα ἐξεταζόμενα, ἐπιλογικὰς δὲ ἀντιθέσεις τὰς ἀπὸ ποιοτήτων ἐπιλογικῶν πιστουμένας. Ἔστιν οὖν ἀπὸ τοῦ συμφέροντος ἡ ἀντίθεσις. BFRSY. Ἀντίθεσις ἐπιλογική. Χρησίμως δὲ ταύτην ἔπλασεν ὁ ῥήτωρ, ἵνα δείξῃ Φίλιππον μέγαν διὰ τοῦ λέγειν ὅτι μέλλομεν αὐτὸν κινῆσαι πρὸς ὀργὴν, ἐὰν τὸν φίλον αὐτοῦ τιμωρησώμεθα, ἵνα διὰ διὰ τούτου κινήσῃ τοὺς δικαστὰς πρὸς τὸ αἱρεῖσθαι μᾶλλον τιμωρήσασθαι τὸν Αἰσχίνην. ACDGRTV.

Τάχα τοίνυν] Ἀπὸ τοῦ συμφέροντός ἐστιν ἡ ἀντίθεσις, ζητούντων εἰ λυσιτελήσει καταψηφίσασθαι. (Ἔστι δὲ ἀκόλουθος τοῖς ἀνωτέρω ῥηθεῖσιν· εἰπόντος γὰρ τοῦ Δημοσθένους δίκαιον εἶναι τὸν Αἰσχίνην τιμωρηθῆναι, ἀκόλουθον ἦν εἰπεῖν τὸν Αἰσχίνην μὴ συμφέρειν τοῦτο τοῖς

Ἀθηναίοις, ἵνα μὴ ἐχθρῶς αὐτοῖς διατεθῇ ὁ Φίλιππος. P.) Ἀλλ' ἐπειδήπερ οἱ ἐπίλογοι ἐκ τῶν τελικῶν κεφαλαίων λαμβάνονται, διὰ τοῦτο πολλάκις ἐκ τούτων ἐπιλογικαί τινες ἐμπίπτουσιν ἀντιθέσεις, ἐν στοχασμῷ καὶ ἐν ὅρῳ, ἤδη δέ που καὶ ἐν ἑτέραις στάσεσιν. Ἡ δὲ ἐπίσκεψις λοιπὸν περὶ τῆς τιμωρίας. Ἀμέλει γοῦν οὐχ ὡς παρ' Αἰσχίνου ταύτην εἰσήγαγεν, ἀλλ' ὡς παρὰ τῶν συνηγόρων, εἰπὼν « τάχα τοίνυν καὶ τοιοῦτος ἥξει λόγος παρὰ τούτων », δηλονότι τῶν συνεστηκότων καὶ συνηγορούντων Αἰσχίνῃ. Ἡ λύσις δὲ κατὰ ἀντιπαράστασιν. Προτέραν δὲ τὴν λύσιν τῆς ἀντιθέσεως ἐξειργάσατο, ἔκ τε τῶν Αἰσχίνου λόγων καὶ παραδειγμάτων, τοῦτο μὲν τῶν κατὰ βασιλέα καὶ Τιμαγόραν μνησθείς, τοῦτο δὲ τῶν κατὰ Θηβαίους καὶ τοὺς πρέσβεις. Οἰκεῖα δὲ ἄμφω τὰ παραδείγματα. Τὸ μὲν γὰρ πρότερον διαβάλλει τὸν Αἰσχίνην, ὅμοιον Τιμαγόρᾳ τοῦτον, τὸ δὲ ἔπαινον περιέχει τοῦ ῥήτορος δι' εἰκόνος τῆς κατὰ Φίλωνα. Ἃ γὰρ ἂν εἴποι τις περὶ τοῦ Φίλωνος, ταῦθ' ὁ Δημοσθένης λέγων ἑαυτὸν ἀποσεμνύνειν βούλεται. Ἐν σχήματι γὰρ τὸν μὲν ἀντίδικον διαβάλλει, ἑαυτὸν δὲ συνίστησι. Πιστοῦται δὲ τὸ προκείμενον, ὅτι εὐεργετήσειεν ἂν τὴν πόλιν τῶν Ἀθηναίων Φίλιππος, μὴ ὄντων τῶν δωροδόκων. Ἵνα δὲ ἐκ τῆς λύσεως ἀκολούθως ἐπὶ τὴν ἑξῆς ἀντίθεσιν ἔλθῃ, πάλιν κατὰ καιρὸν ἐμνημόνευσε τῶν τε οἰκείων εἰσηγήσεων, ἃς ἐποιήσατο βουλευομένης τῆς πόλεως περὶ τοῦ ποίαν χρὴ ποιῆσαι τὴν εἰρήνην, καὶ τῶν Αἰσχίνου λόγων οὓς εἶπε τότ' ἐναντιούμενος. Πάλιν γὰρ ἀνέδραμεν ἐπὶ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, δεικνὺς ποῖα λέγων καὶ οἷα πολιτευόμενος Αἰσχίνης, οἵων αἴτιος γέγονε τῇ πατρίδι. Ποῦ τοίνυν πεποίηκε; « καὶ « κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν καὶ πεπεικότος « ὑμᾶς τὸ τῶν συμμάχων δόγμα κυρῶσαι ἐκκρούσας. (P. 385, 23.) » Οὗτος εἰς τὴν ὑστεραίαν τὴν Φιλοκράτους γνώμην ἑλέσθαι ἔπεισεν, ὁμοῦ μὲν ἀπὸ Φιλοκράτους μεταφέρων ἐπὶ τοῦτον τὸ ἔγκλημα, ὁμοῦ δὲ καὶ ὑπομιμνήσκων ὅτι οὐκ ἐσιώπησεν, ὁμοῦ δὲ καὶ διδοὺς χώραν τῇ ἑξῆς ἀντιθέσει. Εἰπὼν γὰρ ἐν τούτοις ποῖα ἔπεισεν Αἰσχίνης τὸν δῆμον ψηφίσασθαι, βουλευόμενον περὶ τοῦ πῶς χρὴ ποιήσασθαι τὴν εἰρήνην, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων, λέγων οἵους μὲν εἶπε Φίλων λόγους ὑπὲρ τῆς Θηβαίων πόλεως, οἵους δὲ Αἰσχίνης ὑπὲρ τῶν Ἀθηναίων, ἀναγκαίως ἐπὶ τὴν ἀντίθεσιν ἦλθεν· ἐν ᾗ φησι μὴ εἶναι δυνατὸν οὕτω ποιήσασθαι τὴν εἰρήνην ὡς Δημοσθένης ἠξίου, καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀντιδίκου τῶν βελτίστων αὐτὸς νομίζεται. Εἰ γὰρ ὁ μὲν ἠξίου βελτίστην γενέσθαι τὴν εἰρήνην καὶ μαρτυρῶν Αἰσχίνης φαίνεται, Αἰσχίνης δ' ἠναντιοῦτο, ἔπαινον μὲν ἑαυτοῦ διὰ τῆς μαρτυρίας καθίστησιν ἰσχυρότατον, Αἰσχίνῃ δ' οὐ τὸν τυχόντα περιάπτει ψόγον. Ἔστιν οὖν τρία μέρη τῆς ἀντιθέσεως· τὸ μὲν γὰρ αὐτῆς ἔχει ἔπαινον τοῦ ῥήτορος, τὸ δὲ ὁμολογίαν ὅτι Αἰσχίνης ἠξίου τὴν εἰρήνην γίνεσθαι, τρίτη δὲ ὅτι οἱ στρατηγοὶ κακῶς ἐχρῶντο τῷ πολέμῳ. Ἡ λύσις δὲ αὐτῆς ἀπὸ τῆς δωροδοκίας γίνεται· ὅθεν καὶ δευτέρα μετὰ τὸν δεύτερον στοχασμὸν τέτακται. TCV.

382, 16. Παρὰ τούτων] τῶν συνεστηκότων καὶ τῶν συναγορευόντων Αἰσχίνῃ. BFSY.

382, 18. Ἐγὼ δ', εἰ τοῦτ' ἔστιν ἀληθὲς] Ἡ λύσις κατὰ ἀντιπαράστασιν. BFSY.

382, 20. Εἰ γὰρ ὁ τῆς εἰρήνης] Σημείωσαι· τὸ τρίτον εἶδος τῆς λύσεως τὸ βίαιόν ἐστιν, ὅταν εἰς τὸ ἐναντίον περιιστάναι δυνώμεθα τὸν λόγον, ἐξ αὐτῶν αἱροῦντες τὸν ἀντίδικον, οἷς θαρρῶν εἰσέρχεται. BFY. Ἡ λύσις ἐκ περιτροπῆς. FSY. Λύσις κατὰ τὸ πρῶτον εἶδος τοῦ βιαίου. P.

282, 20. Ἀναλώσας] τοῖς περὶ Ἀριστόδημον. A.

382, 25. Οὐ μὴν ἀλλ' ὅτι] ἑτέρα λύσις κατὰ τὸ δεύτερον εἶδος τοῦ βιαίου. P.

383, 3. Εἶπον ἐγὼ] ὡς ἐμοῦ ψευδομένου ἐφ' οἷς τότε εἶπον. ARTP.

383, 6. Ἀσυνθετώτατον] ἀπὸ τοῦ τὰ συντεθειμένα εὐτάκτως κεῖσθαι. ARTP.

383, 8. Ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθεν] τινὲς οὕτω· ἦλθέ τις διαλεχθῆναι αὐτῷ, ὁ δὲ ἀπῆλθεν οὐκ ἀναμείνας ἀκοῦσαι. TCV.

383, 14. Ἤκουσεν] ὁ Φίλιππος. P.

Τοὺς εἰπόντας] τοὺς περὶ τὸν Αἰσχίνην. ART.

383, 16. Ἐποίησεν ἂν] ὁ Φίλιππος. Τῷ βασιλεῖ δὲ λέγει τῷ Ἀρταξέρξῃ, πρὸς ὃν ἀνῆλθεν ὁ Τιμαγόρας καὶ ὁ Λέων, πρεσβευταί, ὡς ἔγνωμεν. ART.

384, 1. Οὐδὲ γὰρ] Ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ, καὶ διὰ τί μὴ καὶ ἐπὶ τῶν Θηβαίων τὸ ὅμοιον ἐποίησε καὶ εἵλετο μᾶλλον τοὺς πρεσβευτὰς αὐτῶν θεραπεῦσαι ἤπερ τὴν πᾶσαν πόλιν; ART.

384, 8. Ἠβούλετο δοῦναι] δηλονότι ἀφ' ἑαυτοῦ. Καὶ μηδενὸς ἄλλου διδόντος δέξασθαι τὸ διδόμενον ἢ πεμπόμενον. Lass.

Ὡς ἔφασαν πολλὰ] Οὐκ ἀνέχεται περὶ προδοσίας καὶ δωροδοκίας διαλαβὼν οἰκείῳ χρῆσθαι προσώπῳ, ἀλλ' ὡς παρ' ἑτέρων ἀκούσας λέγει. TCV.

384, 10. Οἱ τῶν Θηβαίων πρέσβεις] βαρέως ἀναγνωστέον· οἱ τὸν Μῆδον ὑποδεξάμενοι. Καὶ ὤφθη θέαμα καινότερον· Θηβαῖοι μὲν ἀττικίζοντες, Ἀθηναῖοι δὲ τὰ Θηβαίων νοήσαντες. TCV.

384, 16. Φίλων] ὄνομα κύριον. A.

384, 17. Οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν] Ὁ μὲν εἰπὼν Θηβαῖος, ὁ δὲ λόγος Ἀθηναίων. Ταῦτα γάρ ἐστιν ἃ συνεῖπεν. Ἐνήλλαξε τὴν τάξιν, τὸ πρῶτον δεύτερον εἰπών, ἵν' ὅλον τῷ ἀντιδίκῳ λογίσηται. TCV.

384, 20. Φίλοι καὶ ξένοι] ἐκ παραλλήλου τὰ αὐτά. ARTP.

385, 5. Κορσιαί] ὀξυτόνως ὡς Θεσπιαί. ART.

385, 12. Ἀντιθῶμεν δὴ] Ταὐτά ἐστιν ἃ λέγει ὁ Αἰσχίνης (28, 18) κακοήθη ἀντίθετα εἶναι ἐν τῷ ἰδίῳ λόγῳ. ARTP.

385, 28. Ἐν ᾗ καὶ ταῦτα καὶ πολλὰ] τὸ μὴ μετέχειν τοὺς Ἕλληνας τοὺς ἄλλους τῆς εἰρήνης. Τὸ δὲ « πολλὰ ἔτι » τὸ μέχρι τῶν ἐκγόνων εἶναι τὴν εἰρήνην ART.

386, 3. Ξύλα, πυροὺς] Ταῦτα Φιλοκράτην ᾔδεσαν ἔχοντα ἅπαντες. Προκατασκευάσας δὲ τὴν συνηγορίαν ἐβιάσατο δεῖξαι ὡς καὶ τούτων ἐστὶ κοινωνός. TCV.

386, 7. Τριάκοντα μνᾶς] Τὸ ἥμισυ ἐχαρίσατο τῷ Φιλοκράτει. ARTP.

386, 19. Οὐ τοίνυν θαυμάσαιμ' ἂν] Διασυρτικῶς ἐπενήνεκται ἡ ἀντίθεσις. B. Ἀντίθεσις μεταστατική. AR.

386, 20. Ὡς οὐκ ἦν καλήν, οὐδ' οἵαν ἠξίουν] Μεταστατικὴ ἀντίθεσις, ἐπὶ τοὺς στρατηγοὺς μεταφέρουσα τὴν αἰτίαν. Ποιεῖ δὲ αὐτὸν ὁμολογοῦντα ὡς ἡ εἰρήνη κακή, ἵνα λύσωμεν ὅτι διὰ τὴν αὐτοῦ δωροδοκίαν ἐγένετο κακή, οὐ διὰ τοὺς στρατηγοὺς οὓς αἰτιᾶται. TCV.

386, 23. Πότερον ἐξ ἑτέρας] οἷον νενικηκυίας, ἢ ταύτης, οἷον τῆς ἡττημένης. TCV.

387, 4. Ἔτι τοίνυν κἀκεῖνο] Δεύτερον ἐπιχείρημα εἰς τὸ αὐτὸ κατὰ ἀντιπαράστασιν, ἡττώμεθα τῷ πολέμῳ, ὡς σὺ φῂς, Αἰσχίνη, οὐκοῦν ἐκ τῶν παραδειγμάτων ἐξετάσωμεν ταὐτὸ τοῦτο πάλιν. BFRSY. Δεύτερον ἐπιχείρημα εἰς τὸ αὐτό. Πειρᾶται δὲ ἀποδεικνύναι διὰ τῶν δευτέρων ὅτι οὔτε τὸ ἡττᾶσθαι οὔτε τὸ νικᾶν αἴτιον γέγονε τοῦ τὸν Φίλιππον ποιῆσαι κακῶς, ἀλλ' ἡ πρόφασις τῶν πρέσβεων. Λέγει γὰρ ὅτι, εἰ καὶ συνέβαινεν ἡμᾶς ἡττᾶσθαι τῷ πολέμῳ, ὡς καὶ Θηβαίους ὑπὸ Φωκέων, οὐδὲν ἂν ἐκώλυσεν αὐξηθῆναι τὰ πράγματα τῆς πόλεως, μὴ αὐξηθέντος Φιλίππου. Ἡττῶντο γὰρ οἱ Θηβαῖοι τῷ πολέμῳ τῶν Φωκέων· προσθέμενος δὲ τοῖς Θηβαίοις τοῖς ἡττημένοις ὁ Φίλιππος διὰ τοὺς λόγους τῶν πρέσβεων, ἐπικυδέστερα τὰ πράγματα τῶν Θηβαίων πεποίηται. TCV.

387, 9. Ἀπειλήφεσαν αὐτῶν] Πολιορκουμένους τινὰς καὶ ἀπειλημμένους ἐν τῷ χωρίῳ ἑαυτῶν διέσωσαν οἱ Φωκεῖς καὶ ἐρρύσαννο. Τὸ δὲ Ἡδύλειον τόπος ἢ ὄρος ἐν Βοιωτίᾳ. TCV.

387, 11. Ἐπὶ τῷ Ἡδυλείῳ] ὄρος Φωκίδος. AR. Ἡδύλειον, ὄρος ἐν Βοιωτίᾳ ἔχον με' στάδια. Καλεῖται δὲ τριχῶς· τὸ μὲν σύνεγγυς τῶν Παρακοταμίων, Ἡδύλειον· τὸ δὲ κατὰ μέσον, Ἀκόντιον· τὸ δὲ ὑπὲρ τὴν Ὀρχομενὸν κείμενον Ὁρμίσιον. BFP. Lass.

387, 12. Κακῶν Ἰλιὰς] ἀπὸ τῶν ἐν Τροίᾳ κακῶν ἡ παροιμία, ἐπὶ τῶν τὰ δεινότατα πασχόντων. Φησὶ δὲ ὁ Γενέθλιος ὅτι ἐνήλλακται ἡ πτῶσις· ἔδει γὰρ εἰπεῖν Ἰλιάδος κακά. ACDGRTV.

387, 24. Ἀλλὰ νὴ Δία τοὺς συμμάχους] Ἡ αὐτή ἐστιν ἀντίθεσις τῇ προκειμένῃ. Τοῦ γὰρ γενέσθαι τὴν εἰρήνην κακὴν καὶ οἱ στρατηγοὶ αἴτιοι καὶ οἱ σύμμαχοι Φωκεῖς, ἀπειρηκότες τῷ πολέμῳ. Προῆκται δὲ μετ' εἰρωνείας, ὡς εἰ ἔλεγεν· ἀλλ' ὅμως φανερῶς οὕτως ἡττηθέντων Θηβαίων τολμᾷ λέγειν Αἰσχίνης ὅτι ἀπειρήκασι Φωκεῖς τῷ πολέμῳ. Καὶ οὕτως ἡ ἀντίθεσις διὰ τὴν τῆς τάξεως εὐκαιρίαν ἑαυτὴν λύει. TCV. Διασυρτικῶς ἐπενήνεκται ἡ ἀντίθεσις. RSY.

387, 26. Ὅτι γὰρ ταῦτα οὕτω πέπρακται] Ἔστι μὲν οὖν τὸ προκείμενον ἐπιδεῖξαι ὅτι ἐκ τοῦ ψηφίσματος Φιλοκράτους καὶ τῆς συνηγορίας Αἰσχίνου τοῦτον τὸν τρόπον Φωκεῖς ἀπολώλασι καὶ ὅτι ἐπὶ τούτοις καὶ Αἰσχίνης κεκόμισται χρήματα· τὸ δὲ ἐπαγόμενον παρ' Αἰσχίνου ἀντέγκλημα κρύπτεται μὲν ἐπὶ τοῦ παρόντος, λύεται δὲ εὐθὺς ἐφεξῆς· « Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη. » Διὰ τοῦτο ἄρχεται μὲν λύειν, ὡς ἔφαμεν, τὸ ἀντέγκλημα, τὸ δ' αὐτὸ καὶ πρὸς ἀπόδειξιν λαμβάνει τῆς Αἰσχίνου δωροδοκίας. Βούλεται γὰρ μὴ μόνον ἀπολογήσασθαι ὑπὲρ τῆς Θρᾴκης, ἀλλὰ καὶ ἀντεγκαλέσαι περὶ τῆς αὐτῆς Αἰσχίνῃ, ὡς ἑκόντι προεμένῳ καὶ αὐτὴν καὶ τὸν Κερσοβλέπτην. Περιφεύγων δὲ τὸ ὄνομα τοῦ Κερσοβλέπτου καὶ τὴν περὶ αὐτοῦ μνήμην τὴν Θρᾴκην ἀντ' ἐκείνου προβάλλεται, τῷ μείζονι τὸ ἔλαττον συμπεριλαμβάνων, μείζω καὶ πλείω ἐγκαλῶν ἢ ἐγκαλεῖται. Φανερωτέραν δ' ἐποίησε καὶ ἐναργεστέραν τὴν χρῆσιν τοῦ θεωρήματος, εἰπὼν ἐφεξῆς « ἠξίουν ὑμᾶς ἐγώ. » BFRSYP. Lass.

Ὅτι γὰρ ταῦτα οὕτω] Τοῦτο πλείστην ἀκολουθίαν ἔχει πρὸς τὴν ἀντίθεσιν. Ἐπειδὴ γὰρ βουλευομένης τῆς πόλεως περὶ τοῦ ποίαν δεῖ γενέσθαι τὴν εἰρήνην καὶ ἐπὶ τίσιν, ὁ Δημοσθένης ἐγκαλεῖ τῷ Αἰσχίνῃ ὡς παρελθόντι καὶ πείσαντι ἄνευ Φωκέων ποιήσασθαι· καὶ πάλιν Αἰσχίνης ἐγκαλεῖ τῷ Δημοσθένει ὡς πείσαντι ἄνευ Κερσοβλέπτου ποιήσασθαι. Ἀποδείξας οὖν ἐν ταῖς προκειμέναις λύσεσιν ὅτι οὐ διὰ τὸ ἡττᾶσθαι τὴν πόλιν ἠνάγκασε τοιαύτην ποιήσασθαι τὴν εἰρήνην Αἰσχίνης, ἀπολογεῖται πάλιν ἐντεῦθεν ὡς οὐ δι' αὐτὸν ἀπώλετο Κερσοβλέπτης γράψαντα μὴ ἀναμένειν τοὺς παρ' ἐκείνου συνέδρους, ἀλλὰ δι' Αἰσχίνην βραδύναντα καὶ μὴ σπεύσαντα εἰς τοὺς τόπους ἔνθα ἐπύθετο εἶναι τὸν Φίλιππον, ὡς καὶ Δημοσθένης ἐγεγράφει, ὡς εἶναι τὴν ἀντίθεσιν ἀντεγκληματικήν· οὐ μόνον ἔπεισεν ἡμᾶς Αἰσχίνης τὴν εἰρήνην ἄνευ Φωκέων ποιήσασθαι, ἀλλὰ καὶ σὺ ἔπεισας ἡμᾶς, ὦ Δημόσθενες, ἄνευ Κερσοβλέπτου ποιήσασθαι. Ἀντεγκαλοῦσιν οὖν ἀλλήλοις περὶ ὧν ἔπεισαν, ὁ μὲν Δημοσθένης Αἰσχίνῃ ὅτι ἄνευ Φωκέων, ὁ δὲ Αἰσχίνης πάλιν τῷ ῥήτορι ὅτι ἄνευ τοῦ Κερσοβλέπτου. Διὰ τοῦτο συστήσας ὁ Δημοσθένης ὅτι οὐ καλῶς ἄνευ Φωκέων, συνίστησιν ἐντεῦθεν ὅτι καλῶς ἄνευ Κερσοβλέπτου, ἐπὶ τοῦ τότε παρόντος καιροῦ· ῥᾴδιον γὰρ ἦν σῶσαι τὸν Κερσοβλέπτην πλεύσαντας ἐπὶ τὴν Θρᾴκην τοὺς πρέσβεις. Ἔθος δὲ τῷ Δημοσθένει τὰ χαλεπώτατα καὶ ἃ δέδοικε προλύσαντι μετὰ ταῦτα ἐπάγειν πολλάκις αὐτὰ τὰ λυποῦντα, τουτέστι τὰς παρὰ τῶν ἀντιδίκων προτάσεις. Προϊούσης οὖν τῆς ἐργασίας τοῦτο ἐπήγαγεν (p. 389, 23) « ἐνθένδε τοίνυν αὐτοὺς ἐξήγαγον, » ὡς σπεύδων σῶσαι τὸν Κερσοβλέπτην, τούτων δὲ βραδυνόντων καὶ μὴ θελόντων, ἵνα προδῶσιν αὐτόν. Καὶ πάλιν ἑξῆς (p. 392, 2)· « καὶ μὴν ὅτι τὸν Φίλιππον ἐν Ἑλ- « λησπόντῳ κατελάβομεν. » Ἐνταῦθα γάρ ἐστιν ἐνδεικνυμένου ποιήσασθαι ταχεῖαν τὴν εἰρήνην ἐπὶ τῷ σώζεσθαι Κερσοβλέπτην. Καὶ ἡ μαρτυρία δὲ τοῦ Εὐκλείδου αὐτὸ τοῦτο συνίστησι. Διὰ γὰρ τὴν βραδύτητα τῶν πρέσβεων ἔφη πρὸς Εὐκλείδην ὁ Φίλιππος ἀγνοῆσαι τὸν καιρὸν τῆς εἰρήνης, καὶ διὰ τοῦτο χειρώσασθαι τὸν Κερσοβλέπτην. Ὥστε τοῦτο τὸ μέρος λύσιν περιέχει τῶν κατὰ Δημοσθένους ἐγκλημάτων, καὶ ἀντέγκλημα κατ' Αἰσχίνου, ὡς ἑκόντος προεμένου τὸν Κερσοβλέπτην. Περιφεύγων δὲ τοὔνομα τοῦ Κερσοβλέπτου καὶ τὴν περὶ αὐτοῦ μνήμην τὴν Θρᾴκην ἀντ' ἐκείνου προβάλλεται, τῷ μείζονι τὸ ἔλαττον συμπεριλαμβάνων, καὶ πλείω καὶ μείζω ἐγκαλῶν ἢ ἐγκαλεῖται. Φανερωτέραν δὲ ἐποίησε καὶ ἐναργεστέραν τὴν χρῆσιν τοῦ θεωρήματος εἰπὼν ἐφεξῆς, « ἠξίουν ὑμᾶς ἐγὼ, καὶ τούτοις ἔλεγον πλεῖν τὴν ταχίστην ἐφ' Ἑλ- « λησπόντου· » ἡ γὰρ ταχύτης καὶ ἡ σπουδὴ ἔμφασιν ἔχει τῆς Δημοσθένους κηδεμονίας καὶ τοῦ σπεύδειν αὐτὸν σῶσαι τὸν Κερσοβλέπτην, ἵνα παρὰ τὸν μέλλοντα καὶ τὸν βραδύνοντα ἡ προδοσία γένηται. TCV.

387, 26. Καὶ ἐκ τῶν ἐπιλοίπων] τῶν Θρᾳκῶν λέγει. Οὕτως οἶδεν οὐκ ἐγκλήματα προηγούμενα, ἀλλ' ὡς ὑπόλοιπα τῶν ἀποδείξεων. TCV.

387, 29. Ἀπήρκεσαν] ἀντὶ τοῦ ἀπέπλευσαν, ἀπὸ τοῦ ἀπᾶραι. ATP.

388, 4. Τὰ θαυμάσια] κατ' εἰρωνείαν. A.

388, 6. Ἐφ' Ἑλλησπόντου] Ἀττική ἐστιν ἡ φράσις τὸ λέγειν, ἐπὶ Βυζαντίου, ἐφ' Ἑλλησπόντου. AT.

Καὶ μὴ προέσθαι μηδ' ἐᾶσαι] Δείκνυσιν ὅτι οὐ παρὰ τὸν μὴ ἀναμεῖναι τοὺς Κερσοβλέπτου συνέδρους ἀπόλωλεν ὁ Κερσοβλέπτης, ἀλλὰ διὰ τὴν τούτου βραδύτητα· ὥστε ἡ προδοσία ἐνταῦθα πέφηνεν. Εἶτα ἐπειδήπερ ἀντέπιπτεν, ἀλλ' ἄδηλον εἰ μήπω ταῦτα κατειλήφει Φίλιππος, ἐμέρισε τὴν λύσιν, ταῦτα εἰπὼν, δίχα. Ἀλλ' εἰ καὶ προειλήφει, ἀλλ' οὐ πάντα, καὶ αὐτὰ δὲ πάντα ἃ προειλήφει πάντως ἂν ἀπέδωκε παρόντων ἡμῶν καὶ τῶν λοιπῶν ἐφείσατο ἄν. Ἢ εἰ μὴ ταῦτα πεποιήκει, οὐκ ἂν ὡρκίζομεν αὐτὸν, καὶ

πάντες ἂν ἐφυλαξάμεθα, ταῦτα εἰδότες, ἐξαπατηθῆναι περὶ Φωκέων· Καὶ κατασκευάζει διὰ τῶν ἑξῆς ὅτι καὶ ῥᾴδιον ἦν ἀνακομίσασθαι Κερσοβλέπτην [Φωκέων] σωζομένων. TCV. Δυοῖν ἀποδεικτικὸν τὸ προκείμενον· ἑνὸς μὲν ὅτι οὐ παρ' αὐτὸν ἀπόλωλε Κερσοβλέπτης, ἑτέρου δὲ τοῦ διὰ τὸν Αἰσχίνην καὶ τοὺς ἄλλους πρέσβεις ἑκόντας ἐπιβουλεύσαντας ἀπολωλέναι τὸν Κερσοβλέπτην. BFSYP. Less.

388, 7. Ἐν τῷ μεταξὺ χρόνῳ] τῆς εἰρήνης καὶ τῶν ὅρκων. TCV.

389, 1. Ἀνατείνασθαι] ἀπειλῆσαι. TCV.

389, 12. Ἐκκλησία] ἐκ τῶν τριῶν ἐκκλησιῶν λέγει τῶν ὡρισμένων, ὡς ἤδη ἐκείνων προαναλωθεισῶν τῶν τριῶν. AT.

389, 13. Διὰ τὸ προκατακεχρῆσθαι] δεδαπανῆσθαι. Τὸν δὲ στρατηγὸν Πρόξενον λέγει, ἵνα μὴ προφασίζωνται φόβον ἢ κίνδυνον. TCV.

389, 25. Σύνεσμεν τῷ Προξένῳ] Ἵνα [μὴ] εἴπῃ, σὺ μὲν ἔγραψας λαβεῖν παρὰ Προξένου ἡμᾶς τριήρη, οὐκ ἠδυνήθημεν δὲ εὑρεῖν αὐτόν· διὰ τοῦτο ἐπάγει, « ἐπορεύοντο « κύκλῳ, » καμπάς τινας καὶ οὐκ ὀρθὴν ποιούμενοι. TCV.

389, 28. Τρεῖς καὶ εἴκοσιν ἡμέρας] Λύσιν περιέχει τοῦ ἀντιπίπτοντος. Ἐπειδὴ γὰρ ἠδύνατο Αἰσχίνης ἀνθυποφέρειν, ἀλλ' οὐκ ἦν ῥᾴδιον ἐν ἐλαχίστῳ χρόνῳ [ὡς] τὸν Φίλιππον ἐλθεῖν, λύει διττῶς, ὅτι μάλιστα μὲν ἔδει πλεῖν, εἰ δὲ ἄρα μὴ ἐβούλεσθε, ἱκανὸς ἦν ὁ χρόνος ὥστε κατὰ γῆν ὑμᾶς πορευθέντας συμμῖξαι Φιλίππῳ. TCV.

390, 1. Πέλλῃ] Ἰστέον ὅτι Πέλλη ἐκλήθη διὰ τὸ ἀπὸ βοὸς εὑρῆσθαι τὴν προσηγορίαν πελλῆς τὸ χρῶμα, ὅ ἐστι τεφρῶδες κατὰ τὴν Μακεδόνων φωνήν, ἢ παρὰ τοὺς πέλλας, τοὺς λίθους κατὰ τὴν Μακεδόνων φωνήν. ATCV.

390, 2. Ἐν δὲ τούτῳ Δορίσκον] Ἔδειξε δι' ἣν αἰτίαν ἀπώλετο Κερσοβλέπτης καὶ Θρᾴκη. Καὶ τὰ μὲν τῶν ἐγκλημάτων ἐπὶ Φίλιππον μετήνεγκε, τὰ δὲ εἰς τοὺς πρέσβεις. TCV.

390, 3. Τὰ ἐπὶ τειχῶν] ἐν Θρᾴκῃ δηλονότι χωρία καὶ φρούρια. Σκόπει δὲ ὅτι ἄνω μὲν ἐπορεύοντο εἶπεν, ἑαυτὸν τοῦ ἐγκλήματος ὑπεξαιρῶν· ὕστερον δὲ καὶ ἑαυτὸν συγκατέμιξεν, ὃ ἦν διὰ τὴν ἀνάγκην ἀνεύθυνον. TCV.

390, 5. Πολλὰ λέγοντος ἐμοῦ] Ἵνα μὴ πρὸς ἀφοσίωσιν ἅπαξ εἰρηκέναι δοκῇ, προσέθηκε τὸ ἀεὶ κοινῇ τε καὶ φανερῶς λέγοντος, ὡς ἐνδεχομένου καὶ σωθῆναι τὸν Κερσοβλέπτην. Αἱ δὲ ποικίλαι δημηγορίαι καὶ συμβουλαὶ καὶ πλάσεις καὶ πρὸς τοὺς πρέσβεις ἀπέχθειαι ἔνδειξιν περιέχουσι τῆς τε εὐνοίας τοῦ ῥήτορος καὶ τῆς ἐπιβουλῆς ἐκείνων. TCV.

Θρυλοῦντος] ἠρέμα αὐτοῖς λέγοντος. A.

390, 10. Ὁ δὲ τούτοις ἀντιλέγων] Τοῦτο εἶπεν, ἵνα μὴ γένηται παντελῶς κοινὸν, ἀλλ' ἴδιον. Τοῦτο μὲν οὖν καὶ πάλαι προδιῳκήσατο ἐν τῇ ἐλέγχων ἀπαιτήσει, εἰπὼν μέγιστον εἶναι τοῦτο τὸ σημεῖον τῆς δωροδοκίας τοῦ Αἰσχίνου, τὸ ἐξὸν αὐτῷ καταμαρτυρήσαντα Φιλοκράτους ἀπηλλάχθαι τῆς ὑποψίας, μήτε παρελθεῖν μήτε εἰπεῖν ἐναντίον Φιλοκράτει μηδέν. Ἐνταῦθα δὲ ὁμοίως τῷ αὐτῷ κατακέχρηται καὶ ἐπὶ τῶν ἄλλων πρέσβεων, ἐνάγων αὐτοὺς καὶ προτρεπόμενος ἐπὶ τὴν μαρτυρίαν τὴν κατ' Αἰσχίνου. TCV.

390, 19. Οἵτινες δ' οἱ τούτων μετεσχηκότες] Πολλή γε ἡ δεινότης. Ἐγκαλούμενος γὰρ τοσοῦτον ἀπέχει καθ' ἑαυτοῦ δοῦναι λαβὴν, ὥστε καὶ περὶ τῶν αὐτῶν ἐγκαλῶν φαίνεται. Τὸ δὲ ἀνοσιωτάτους ἀνθρώπους, ἡ λέξις αὕτη δηλοῖ τὸν φιλόπολιν· πῶς γὰρ οὐκ ἀσεβέστατοι προδιδόντες τὴν γῆν ἐν ᾗ πρῶτον εἶδον τὸν ἥλιον; TCV.

390, 20. Ἀλλὰ νὴ Δία ἐν τούτῳ τῷ χρόνῳ] ἐν τῷ χρόνῳ ἐν ᾧ ἐκάθηντο ἐν Πέλλῃ τὸν Φίλιππον ἀναμένοντες. Δεινῶσαι δὲ ἐβουλήθη διὰ τῶν ἑξῆς τὸ ἀδίκημα καὶ σύστασιν δοῦναι τῷ δωροδοκήματι, ὅπου γε ἐπανιόντες τοὺς ὅρκους ἔλαβον, καὶ οὐκ ἐπ' αὐτῆς τῆς Μακεδονίας οὐδ' ἐν μέσῳ τῶν στρατοπέδων οὐδ' ἐν ἱερῷ, ἀλλ' ἐν πανδοκείῳ καὶ κρύβδην κατὰ τὴν ἐπάνοδον. Καὶ δῆλον ὅτι διατεθῆναι ὀργιλώτερον βούλεται τοὺς δικάζοντας, ὅμως δ' οὐδὲν ἧττον καὶ τὸ καθ' ἑαυτὸν ἀπολύσασθαι. Ἵνα δὲ μὴ εἴπωσιν ὅτι οὐκ ἐνῆν ἱερὸν, ἀντεξήτασε τοὺς τόπους· ὅτι καὶ ἱεροῦ παρακειμένου ἐν πανδοκείῳ οἱ ὅρκοι ἐγίνοντο ἐν βεβήλῳ τόπῳ καὶ φαύλῳ, καὶ ταῦτα ἱεροῦ πλησίον ὄντος Διοσκουρίου, καὶ διὰ τοῦτο καὶ μάρτυρας τοὺς θεασαμένους τὸν τόπον ἐπικαλεῖται. Παρενέβαλε δὲ τὰ κατὰ τοὺς ὅρκους οὐκ ἀκολούθως, ἀλλ' ἵνα σημείου σημεῖον καὶ τοῦτο γένηται. Ἡ μὲν γὰρ βραδύτης σημεῖόν ἐστι τῆς δωροδοκίας καὶ τοῦ ἑκόντως παραδοῦναι τὴν Θρᾴκην, ἡ δὲ κατὰ τοὺς ὅρκους μνήμη, δείξασα μήτ' ἐν καιρῷ γεγενῆσθαι μήτ' ἐν τόπῳ προσήκοντι, πιστοῦται τὸ σημεῖον τῆς δωροδοκίας. TCV.

390, 28. Ὅτε δεῦρο ἤδη τὸ στράτευμα] Βούλεται μὲν εἰς Φωκέας εἰπεῖν, ἐπειδὴ ἄνω κατεσκεύασεν ὡς τεῖχος καὶ ἀσφάλεια τῶν Ἀθηναίων ἦσαν οἱ Φωκεῖς σωζόμενοι, διὰ δὲ τοῦ ἀπολέσθαι ἐκεῖνα ἀνεῴγει αὐτῷ καὶ ἐπὶ τὴν Ἀττικὴν ὁδός. TCV.

391, 27. Εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου] ἣν ἀνέγνωκεν ἐν τῷ περὶ τοῦ στεφάνου, ὅπου εἶπεν ὅτι « ἐγὼ « ταῦτα πεποίηκα ἀκόντων Ἀθηναίων· » τὸ δέ γε ψήφισμα τοῦ Φιλοκράτους, ὃ ἔγραψεν ἑκατέρους ἔχειν ἃ ἔχουσι· τὸ δὲ τοῦ δήμου, ἔνθα διωρθώσαντο ἕκαστον ἔχειν τὰ ἑαυτοῦ. TCV.

392, 2. Καὶ μὴν ὅτι τὸν Φίλιππον] Ἐπιμένει ταῖς ἀποδείξεσι· τὸ γὰρ ἔγκλημα πανταχοῦ χαλεπὸν, διὰ πάντων συνιστὰς, ὅτι οὐ δι' αὐτὸν ἀπώλετο Κερσοβλέπτης. TCV.

392, 8. Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν] Ἀκούσασα ἡ πόλις ἀπολωλέναι τὸν Κερσοβλέπτην ἀπέστειλεν ὕστερον Εὐκλείδην αἰτιασόμενον Φίλιππον διὰ τὰ ἐν Θρᾴκῃ γενόμενα. Ὁ δὲ ἀπεκρίνατο μηδὲν ἡμαρτηκέναι· ὀψὲ γάρ ποτε συντυχεῖν τοῖς πρέσβεσι καὶ πρὸ τῶν ὅρκων λαβεῖν αὐτά. Σκόπει δὲ καὶ τὰς λέξεις, καὶ ἐπιτήρει πῶς μὲν ἐπὶ τοῖς ἀνευθύνοις τὸ ἀπήραμεν λέγει, πῶς δὲ ἐπὶ τοῖς μεμπτοῖς « ἦλθον εἰς Ὠρεὸν οὗτοι, » πόρρω ἑαυτὸν ποιῶν. Καὶ τὸ « οὐκ ἀνέμειναν τὸν κήρυκα » καὶ τὰ τοιαῦτα, ἐπιτήρει. TCV.

392, 12. Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν] Ἀπολογησάμενος ὑπὲρ ἑαυτοῦ καὶ συστήσας ὅτι οὐ δι' αὐτὸν ἀπώλετο Κερσοβλέπτης, ἐντεῦθεν ἄρχεται τῶν ἀποδείξεων τῶν κατ' Αἰσχίνου, συνιστὰς δι' αὐτὸν ἀπολωλέναι τὴν Θρᾴκην. TCV.

393, 5. Ἔστιν οὖν ὅπως ἂν] Ἐνθύμημα ἐπὶ τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, καὶ ἀπόδειξις ἐναργὴς ὥσπερ ἐν συλλογισμῷ τοῦ διὰ τὸν Αἰσχίνην ἀπολωλέναι τὸν Κερσοβλέπτην. BFSYR.

393, 10. Σκέψασθε τί πράττων ἕκαστος] Εὐκαίρως βούλεται φιλοτιμίαν ἑαυτοῦ προειπεῖν, ἢ τὴν ἀγρυπνίαν καὶ

τὴν σπουδὴν αὐτοῦ δηλοῖ· οἷον, ποῦ πλανᾶται πολίτης ἐμός; ποῦ δυστυχεῖ τις αὐτόχθων αἰχμάλωτος; προσένειμε δὲ τοὺς αἰχμαλώτους τούτῳ τῷ μέρει, ἵνα ἀναίρεσιν ἐργάσηται τῆς ὑπονοίας. Τίς γὰρ ἂν εἵλετο παρὰ τῶν πολεμίων λαβεῖν, τὴν οὐσίαν ὑπὲρ τῶν αἰχμαλώτων [καὶ] τῆς πόλεως προέμενος; ἀλλὰ καὶ [ἡ] εἰσαγωγὴ τῆς μνήμης τῶν ξενίων δεινότητος ἀνάπλεως. Οὐ γὰρ ὡς ἄπιστον κατασκευάζων εἰσήγαγεν, ἀλλ' ὡς ὁμολογουμένῳ κατεχρήσατο, ξένια αὐτοῖς ἐδίδου Φίλιππος, ὥς φησιν. Ἐμέρισε δὲ τοὺς ἐλέγχους τῆς δωροδοκίας καὶ τούτῳ τῷ μέρει, ἵνα τὰ καθ' ἑαυτὸν ἀποτρέψηται. Ἐπειδὴ γὰρ ἀναγκαῖον ἦν τὸν ἑκόντα προδεδωκότα Κερσοβλέπτην, ἐπὶ χρήμασιν αὐτὸν προδεδωκέναι, ἀναγκαίως ἐνταῦθα ἐζήτησε, τίς ἐστιν ὃς χρήματα εἴληφεν; ὁ γὰρ μὴ ξένια ἑλόμενος παρὰ Φιλίππου λαβεῖν, ἀλλὰ μισήσας καὶ ἀποστραφεὶς καὶ τοῖς ἄλλοις ἀπειπὼν μὴ λαβεῖν, δῆλός ἐστι μὴ προδούς. Τί γὰρ ἂν ἐβουλήθη προδοῦναι μέλλων κερδαίνειν μηδέν; ὁ δέ γε λαβὼν κρύβδην παρὰ Φιλίππου τὰς δωρεὰς δῆλός ἐστι προέμενος αὐτῷ τὴν Θρᾴκην. Τοῦτο δὲ πεποίηκεν Αἰσχίνης. Δι' Αἰσχίνην ἄρα καὶ Κερσοβλέπτης ἀπώλετο. TCV.

393, 17. Διεκωδώνιζεν ἅπαντας] ἐδοκίμαζεν, ἐπείραζεν· ἀπὸ μεταφορᾶς τοῦ κώδωνος οὗ περιάγουσι νύκτωρ οἱ φύλακες, ἀποπειρώμενοι εἰ ἐγρηγόρασιν οἱ περὶ τὰς πύλας φυλάττοντες. TCV. Εὕρηται τὸ διακωδωνίσαι . . . . . φύλακας διὰ κώδωνος, εἰ καθεύδουσιν. A.

393, 19. Ὡς δ' ἀπετύγχανεν] Ἐνταῦθα τὴν ἑαυτοῦ βούλησιν κατασκευάζει ὡς ἐπὶ τοῦ Κερσοβλέπτου, τίνα εἰκὸς ἦν μᾶλλον αὐτὸν προδοῦναι, τὸν ἑλόμενον μηδὲ ξένια λαβεῖν καὶ τὸν τὴν οὐσίαν προέμενον ὑπὲρ τῶν αἰχμαλώτων, ἢ τὸν λάθρα παρὰ Φιλίππου προσιέμενον ξένια; BFSYT CV.

393, 22. Εὐήθως] οὐ λέγει μωρῶς, ἀλλ' ἀκακούργως. AT. Ἁπλούστερον λαβεῖν ὡς οὐ δηλοῦντα δωροδοκίαν. TCV.

394, 2. Τὸ διεκρούσατο ἀντὶ τοῦ ὑπερέθετο. AT.

394. 6. Φέρε δὴ καὶ ὅσα αὐτὸς] Δυοῖν ἐστιν ἐν τούτῳ σύστασις, τοῦ τε αὐτὸν μὴ δωροδόκον γεγενῆσθαι καὶ τοῦ μόνον τῶν πρέσβεων εἶναι φιλόπολιν. Ἐπειδὴ γὰρ τὸ ἔγκλημα εἰς ἅπαντας διήκει—ἅπαντες γὰρ ἐδόκουν διατετριφέναι κατὰ τὴν Μακεδονίαν—, τῇ διαφορᾷ τὸ ἐξισάζον λύει· οὗτοι μὲν τηνάλλως διῆγον, ἐγὼ δὲ ὑπὲρ τῆς πόλεως καὶ τῶν αἰχμαλώτων τὴν διατριβὴν ἀνήλισκον. TCV.

394, 9. Ἀπιστοῦντες ὡς ἐμοὶ δοκεῖ] Μεγάλην ἀποφαίνει τὴν δαπάνην, ὡς καὶ τοὺς αἰχμαλώτους ἀδύνατον νομίσαι προῖκα τὴν ἄφεσιν γενέσθαι. Τὸ δὲ ἐδανείζοντο δοκεῖ μὲν ὑβριστικὸν εἶναι, αὐξῆσαι δὲ τὴν δαπάνην βουλόμενος εἶπεν ὅτι Καὶ τὸν τόκον ἀφῆκα καὶ τὸ κεφάλαιον. TCV.

394, 16. Οἷς αὐτὸς ἔχρησα τἀργύριον] Ἐπειδὴ ἐκακίζετο ὁ τόκος, ὑπέμνησε μὲν ἐξ ἀρχῆς, χρηστῷ δὲ ὀνόματι τῷ ἔχρησα ἐκφεύγει τὸ ἄτοπον. TCV.

394, 19. Τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου] Αἰνίττεται ὅτι πάντας ἀφῆκεν, εἰ μὴ προλαβὼν ὑπέσχετο αὐτοὺς λύσασθαι καὶ δώσειν εἰς δύναμιν. Ἀφῆκα δὲ, λέγει, τὰ δοθέντα παρὰ Φιλίππου αὐτῷ εἰς λόγον ξενίων. Τὸ δὲ δέδωκα δωρεὰν, ἅπερ ἐχαρίσατο τοῖς αἰχμαλώτοις. TCV.

394, 24. Καὶ δωρεὰν ἔδωκα τοῖς ἀτυχήσασι] Συλλογίζεται τὸ κεφάλαιον μετὰ τῶν τόκων, ἵνα φαίνηται αὐτῷ τὸ τῆς φιλοτιμίας διπλάσιον. TCV.

395, 3. Δεινὸν οὖν ψεύσασθαι] Ἐμοὶ μὲν δεινὸν ἐπὶ ὀλίγων ψεύσασθαι, Αἰσχίνης δὲ παρούσης ὅλης τῆς πόλεως ἐψεύσατο. Εἰ δεινὸν πρὸς ὀλίγους ψεύσασθαι καὶ ταῦτα δυστυχοῦντας, δεινότερον πρὸς ὅλον δῆμον, καὶ ταῦτα τὸν Ἀθηναίων. TCV. Ἀντιπῖπτον λύει, ἵνα μή τις εἴπῃ, ἀλλ' ἠδόνω καὶ ἐν τῇ δευτέρᾳ πρεσβείᾳ ἐξομόσασθαι, ὥστε μὴ ἀπελθεῖν μετὰ τῶν πρέσβεων, ἀλλ' ἰδίᾳ· ἐπάγει οὖν, ἀλλ' οὐκ ἦν μοι ἀσφαλὲς τὸ ἰδίᾳ ἀπελθεῖν καὶ πλανᾶσθαι ἐκεῖσε, μὴ ἔχοντι τὸ ἀσφαλὲς τὸ ἐκ τῶν πρέσβεων. ATCV.

395, 4. Ἰδίᾳ δ' ἐξομοσάμενον] οὐκ ἔστιν ἀργὸν, ἀλλ' ἔχει τὴν ἀναφορὰν πρὸς τὴν Αἰσχίνου πρεσβείαν, μᾶλλον δὲ πορείαν καὶ πλάνην παρὰ τὸν Φίλιππον. TCV. Ἐξώλης δὲ λέγεται ὁ ἀπολούμενος ἐκτὸς τῆς πατρίδος, προώλης δὲ ὁ πρὸ τῆς εἱμαρμένης τελευτῶν. Τὸ δὲ παράλληλα ἀντὶ τοῦ παρατιθέμενα ἀλλήλοις καὶ συγκρινόμενα. AT. CV.

396, 3. Εἶθ' ὁ γενναῖος οὑτοσὶ] Τῇ ὑπερβολῇ τῶν ἐγκλημάτων τὸ κατὰ Θρᾴκην ἔγκλημα λύει· ὅταν γὰρ παρὰ τὴν ἀξίαν καὶ τὴν ὑπόνοιαν μείζονά τις ἐγκαλῇ τῷ ἔλαττον ἡμαρτηκότι, τὸ τηνικαῦτα διὰ τὴν ὑπερβολὴν ἀπιστεῖν εἰώθασιν οἱ ἀκούοντες. TCV.

396, 4. Καταλύσειν ἐπηγγέλθαι] Καὶ τοῦτο ἀπίθανον ἀπὸ τοῦ μεγέθους τῶν ἐγκλημάτων. Τίς γὰρ ἂν πιστεύσειεν ὅλον Ἀθηναίων δῆμον προδοθῆναι ὑφ' ἑνὸς ἀνδρὸς τῷ Μακεδόνι; TCV.

396, 5. Ὅτι ταῦτ' ἐπέπληττον] Τοῦτο ἡ λύσις· τὸν γὰρ ἐπιπλήττοντα τοῖς δωροδόκοις, τοῦτον ἔδει τἀναντία ποιεῖν. Καὶ ἄλλη δὲ λύσις, δεδιὼς μὴ συμπαραπόλωμαι· τίς γὰρ ἂν προδοίη τούτους μεθ' ὧν συναπολεῖται; TCV.

396, 9. Δερκύλος δ' αὐτὸν] Ἵνα μὴ δοκῇ ὡς ἐχθρὸς λέγειν, ἄλλῳ περιτίθησι· καὶ ὁ καιρὸς δὲ τῆς νυκτὸς ὑποψίαν ἐργάζεται. Οὐκέτι δὲ περὶ τῆς Θρᾴκης ταῦτα λέγει, ἵνα μὴ ὥσπερ ἴδιον γένηται τὸ ἔγκλημα, ἀλλὰ τῆς ὅλης δωροδοκίας. Ἐπειδὴ γὰρ ἐνεκάλεσε τῷ Δημοσθένει προδεδωκέναι τὸν Κερσοβλέπτην, διὰ τοῦτο ἐφύλαξε τὰς ἀποδείξεις τῆς δωροδοκίας κἀν τούτῳ τῷ μέρει. TCV.

396, 15. Καὶ ταῦτα ὅτι ἀληθῆ λέγω] Πῶς κατηγορῶν μαρτυρεῖν ἐπαγγέλλεται; ἢ δῆλον ὡς ἐν ἄλλοις καὶ οὐκ ἐν οἷς ἐγγράφει; ἔστι δὲ τὸ ἐγγράφως καταμαρτυρεῖν μᾶλλον ἐπικίνδυνον. Ἐπεὶ οὖν ἄτοπον ἦν τὸν αὐτὸν κατηγορεῖν καὶ μαρτυρεῖν, ἔδωκεν ἡμῖν μεθόδους, προσθεὶς καὶ εἰπὼν καὶ συγγραψάμενος. Ὁ γὰρ κατὰ συγγραφὴν μαρτυρῶν ἑαυτὸν ὑπεύθυνον κατηγορίᾳ καθίστησιν. Ἔπειθ' ὅτι εὐθύνας ἀπαιτῶν οὐδὲν παράδοξον, εἰ βούλεται μαρτυρεῖν συγγραψάμενος. Ἔπειτα καὶ δι' ἄλλο τι χρήσιμον τοῦτο πεποίηκεν, ἵνα καὶ τοὺς ἄλλους προτρέψηται ταὐτὸν ποιῆσαι, ἑαυτὸν παράδειγμα τοῖς ἄλλοις παρασχὼν, καὶ προοδοποιῶν ἐκείνοις τὴν μαρτυρίαν, οὐ περὶ ὧν νῦν προέτεινε. Κατηγορεῖ μὲν γὰρ προδοσίας Φωκέων καὶ δωροδοκίας ἐνταῦθα, ὅτι νύκτα καὶ ἡμέραν ἔμεινε παρὰ Φιλίππῳ Αἰσχίνης. Πολλὴ δὲ διαφορὰ μαρτυρίας καὶ μάρτυρος· ὁ μὲν γὰρ μάρτυς αὐτοπροσώπως εἰσιὼν ἐμαρτύρει καὶ οὐκ ἦν ὑπόδικος, ὁ μέντοι γε μαρτυρίαν συγγραψάμενος ἐδίδου ἑαυτὸν ὑπεύθυνον τῷ καταμαρτυρηθέντι καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον. TCV.

396, 19. Μαρτυρεῖν ἢ ἐξομνύναι] Προϊδὼν τὴν τῶν πρέσβεων ἀπέχθειαν χρησίμως ἐπὶ τὴν μαρτυρίαν αὐτοὺς καλεῖ· ἢ γὰρ μαρτυρήσαντες παρέξουσιν ὃ βούλεται, ἢ ἐναντιούμενοι δείξουσιν ὡς οὐ ταὐτὰ ἐκείνῳ ἐπρέσβευσαν. Τοῦτο δέ ἐστιν ὃ μάλιστα συστῆσαι βούλεται. TCV.

396, 22. Οἵοις μὲν τοίνυν] ὡς σχετλιάζων λέγει, διὰ τὸ τοὺς πρέσβεις ἐξομόσασθαι, μὴ εἰδέναι. ΑΤ. Κληθέντες οἱ πρέσβεις οὐκ ἠθέλησαν μαρτυρεῖν. Διὸ σχετλιάζων ταῦτα λέγει. Κινηθείσης δὲ ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους ἀντιθέσεως καθ' ἃ ἔδοξεν Αἰσχίνης πεπεικέναι τὸν δῆμον ἄνευ Φωκέων ποιήσασθαι τὴν εἰρήνην, ἀντετέθη ἑτέρα ἀντίθεσις ἀντεγκληματική· καὶ μὴν σὺ δεινότερα ἔπεισας, ὦ Δημόσθενες, καταναγκάσας τὴν πόλιν ποιήσασθαι θᾶττον τὰς συνθήκας, πρὶν ἀφικέσθαι τοὺς παρὰ Κερσοβλέπτου συνέδρους, καὶ τοῦτον τὸν τρόπον αὐτὸς ἀπολώλεκας Κερσοβλέπτην. Διὰ τοῦτο τοίνυν ἠναγκάσθη ὁ Δημοσθένης μὴ μόνον τὸ κατὰ Φωκέων συστῆσαι προδοσίαν γεγονὸς, ἀλλὰ καὶ ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ ὡς μὴ ἀπολωλεκότος τὸν Κερσοβλέπτην, καὶ ἀντεγκαλέσαι Αἰσχίνῃ ἐκ τῆς αὐτῆς ἀκολουθίας περί τε τοῦ Κερσοβλέπτου καὶ αὐτῆς τῆς Θρᾴκης, πανταχοῦ συνιστὰς ἐπὶ δώροις αὐτὸν καὶ τὰς εἰσηγήσεις καὶ τὰς βραδύτητας πεποιηκέναι τῶν χρόνων· ὡς μὴ ζήτημα τοῦτο εἶναι, ἀλλ' ἀπόδειξιν καὶ σύστασιν τῆς δωροδοκίας, ὅτι οὐδεπώποτε οὔτ' εἶπεν Αἰσχίνης οὔτε εἰσηγήσατο ἄνευ τοῦ λαβεῖν χρήματα καὶ ἐπὶ δώροις τὰς εἰσηγήσεις ποιεῖσθαι. TCV.

396, 26. Συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα] Ἀνακεφαλαίωσις μερική. Α. Ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων πολλῶν ὄντων, ἵνα μὴ ἐπιλάθωνται. Αὐτὸς δὲ ἐπισημαίνεται καὶ διὰ τῶν ἐπιλόγων ταῦτα. Ηὔξησε δὲ, ἵνα μᾶλλον τοὺς ἀκούοντας εἰς ὀργὴν ἐκκαλέσηται. Αὐτίκα γοῦν οὐκ ἀποδείξεις, ἀλλὰ αὐξήσεις πεποίηται. Αἱ δὲ αὐξήσεις πάθους εἰσὶ κινητικαὶ, ἡγησάμενος συναρπάζειν ἐκ τούτων τοὺς ἀκούοντας καὶ προαγαγεῖν εἰς ὀργήν. TCV. Συλλογίζεται λοιπὸν καὶ ἀνακεφαλαιοῦται τὰ προειρημένα πάλιν, ἵνα δείξῃ τοῦτο τὸ μέρος ὂν τῶν προειρημένων, οὐκ αὐτὸ καθ' αὐτὸ ὑπάρχον ζήτημα· ὁ γὰρ κοινὸς ἐπίλογος τὴν τῶν πραγμάτων κοινωνίαν συνίστησιν. BFS YP.

397, 21. Οὐ γὰρ μόνον Φωκέας] Ἐντεῦθέν τινες συγκατασκευαζόμενον ἀπεφήναντο εἶναι τὸν λόγον οὐκ ὀρθῶς. Οὐ γὰρ ἐξ ἀρχῆς οὐδ' ἐν τοῖς ἀγῶσι τοῦτο ποιήσας φαίνεται, ἀλλ' ὕστερον ὡς ἐν ἐπιλόγοις αὔξων τὴν δωροδοκίαν. Ἔστι δὲ ἐμπῖπτον. Τινὲς γὰρ ᾠήθησαν συγκατασκευαζόμενον διὰ τὸ ὥσπερ δύο ἐγκλήματα εἶναι, τὰ περὶ Θρᾴκην καὶ τὰ κατὰ Φωκέας. Ἡμεῖς δὲ λέγομεν ὅτι οὐκ ἀπὸ ἑνὸς ῥήματος δεῖ χαρακτηρίζειν πᾶσαν στάσιν, ἀλλ' ἐκ τῶν πλειόνων. Εἰ γὰρ ἦν συγκατασκευαζόμενος, διὰ τί μὴ ἔταξε τὰ κατὰ Θρᾴκην μήτε ἐν τῇ διηγήσει μήτε ἐν τοῖς ἀγῶσι; λέγομεν γοῦν ὅτι εἰς σημεῖον μόνον τῆς προδοσίας λέγει τὰ κατὰ Θρᾴκην, ὥσπερ καὶ ἄλλων σημείων ἐμνήσθη. ATCV.

398, 11. Καίτοι τούτων οὐδενὸς] Μετὰ τὴν ἀπώλειαν τῆς Θρᾴκης καὶ τῶν Φωκέων ἐψηφίσαντο ἀναγκάζοντες αὐτὸν ἀφεῖναι τὸν Κερσοβλέπτην καὶ τῆς Ἀμφικτυονίας ἀποστῆναι. Διὸ λέγει « καίτοι τούτων οὐδενὸς ἄν. » Οὐ γὰρ ἂν ἔφθη χειρωσάμενος τὸν Κερσοβλέπτην ὁ Φίλιππος, εἰ πλεῖν ἤθελεν Αἰσχίνης· ἐσώζοντο γὰρ ἂν Φωκεῖς, καὶ οὐ κατεφρόνει τῆς πόλεως ὁ Φίλιππος. TCV.

398, 13. Νῦν δ' ἃ μὲν ἦν] Περίοδος. B.

398, 15. Ἀγανακτήσει] Ἔστι μὲν ἀντιληπτικὴ ἡ ἀντίθεσις. Ἔγνωμεν δὲ ἐξ ὧν ἠκούσαμεν ἐν ταῖς τέχναις ὅτι, ὅταν τις κρίνηται ἐφ' οἷς αὐτὸς εἴρηκεν ἢ πεποίηκεν ἢ κέκτηται, τὸ τηνικαῦτα εἰς τὸ τοιοῦτο χωρεῖ κεφάλαιον· ἐπὶ γὰρ τὴν ἀντίληψιν καταφεύγειν βούλεται. Τὸ δὲ συνεκτικώτατον τῆς ἀπολογίας Αἰσχίνου τοῦτό ἐστι τὸ κεφάλαιον. Ἡ δὲ λύσις κατὰ συνδρομὴν, ὅτι πάντως λόγων δεῖ παρέχειν εὐθύνας. Ἔστι δὲ τῶν σημείων τοῦ προτέρου ζητήματος τὸ ἀντιληπτικόν. Εἰσῆκται δὲ βαρέως· τὸ γὰρ ἀγανακτήσει σημαίνει τὸ τυραννικὸν, οὐκ ἀνεχόμενον ἔτι τὰς εὐθύνας διδόναι. BFSY. Ἀντίθεσις ἀντιληπτικὴ, ἥντινα λύει ὁ ῥήτωρ μεταληπτικῶς· τοῦ γὰρ Αἰσχίνου λέγοντος ὅτι ἐξῆν μοι συμβουλεύειν ἅπερ ἐνόμιζον εἶναι συμφέροντα, λύει ὁ ῥήτωρ· « ἀλλ' ἐξῆν σοι (φησί) λέγειν ἐν ἄλλοις, « ἀλλ' οὐκ ἐν οἷς ἔβλαπτες τὴν πόλιν δῶρα δεξάμενος. » AT.

Ἀγανακτήσει τοίνυν] Ἀντιληπτικὴ ἡ ἀντίθεσις. Ἐξῆν γὰρ λέγειν, φησὶ, καὶ τὸ ἀπαγγέλλειν ἀνεύθυνον. Λύει δὲ κατὰ συνδρομὴν, ὅτι πάντως λόγων δεῖ παρέχειν εὐθύνας. Ἔστι δὲ τῶν σημείων τοῦ προτέρου ζητήματος. Τὸ δὲ ἀντιληπτικὸν εἰσῆκται βαρέως. Τὸ δὲ ἀγανακτήσει σημαίνει τὸν τύραννον μὴ ἀνεχόμενον εὐθύνας διδόναι. Καλῶς δὲ ἐφ' ἅπασι τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους τέθειται, ἵνα μηδαμόθεν ἔχῃ πρὸς τὴν ἀπολογίαν ἐπικουρίαν. Ἑάλωκεν εἰσηγούμενος ταῦτα τῷ Φιλοκράτει, κωλύσας τοὺς Ἕλληνας κοινωνῆσαι τοῦ συνεδρίου, πείσας τὴν πόλιν ἄνευ Φωκέων ποιήσασθαι τὴν εἰρήνην, μὴ συγχωρήσας τε περὶ τῶν δικαίων μηδένα ποιῆσαι λόγον, περὶ τῆς Ἀμφιπόλεως λέγω καὶ περὶ Θρᾴκης, ἐξηπάτησεν ἀπελθὼν ἐκ τῆς πρεσβείας πρὸς τὸν δῆμον, εἶπε σωθήσεσθαι Φωκέας, καὶ ἀπολώλασιν, ἀπολεῖσθαι Θηβαίους, καὶ σώζονται. Πῶς οὖν δυνήσεται καταφεύγειν ἐπὶ τὸ ἐξεῖναι λέγειν; TCV.

399, 14. Καὶ τοῦθ' ὅταν ᾖ κήρυξι] Πρόγραμμά ἐστι τὸ προτιθέμενον τῆς ἐκκλησίας, ὥστε βουλεύσασθαι ἢ περὶ τοῦ πέμψαι πρέσβεις, ἢ πρέσβεων ἡκόντων μαθεῖν ὅ τι λέγουσι. TCV.

399, 20. Τῇ τῶν πολλῶν ἀδυναμίᾳ] τῇ τῶν πενήτων διοικήσει· δεῖ γὰρ ἐνδοῦναι αὐτοῖς, ἵνα τὰ οἶκοι διοικήσωνται. TCV.

399, 24. Ἔστι τοίνυν τις πρόχειρος λόγος] Ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος. AFY. Ἀντίθεσις ἐπιλογικὴ καὶ ἀκόλουθος τῇ προτέρᾳ. Ἡ μὲν γὰρ ἀρχὴν ἔχθρας λέγει γίνεσθαι, ἡ δὲ νῦν ὅτι οὐκ ἐῶσιν εὖ ποιεῖν τὸν Φίλιππον. Καὶ ἐν ἐκείνῃ μὲν ἔλεγεν ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, ἐνταῦθα δὲ ἀκολούθως ὅτι οὐδὲ εὐεργετήσει· οὐ γὰρ οἷόν τε τὸν ἔχθιστον εὐεργέτην γενέσθαι τῶν πολεμίων. Ἐκεῖνο περὶ τῆς εἰρήνης ἦν, ἐνταῦθα περὶ τῆς εὐεργεσίας, καὶ ὅτι οὐκ εὖ ποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. Ἡ δὲ λύσις ἐξ ἀτέχνων πίστεων. Παρέχεται γὰρ διαφόρους ἐπιστολὰς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος οὐδέν τι τὴν πόλιν ποιήσας φαίνεται. TCV. Πεπληρωμένων τῶν κεφαλαίων καὶ τῶν ἀγώνων ἤδη καὶ τῶν ἀποδείξεων μετελήλυθεν ἐπὶ τὴν ἀντίθεσιν ταύτην, ἐπιλόγου χρείαν πληροῦσαν· ἔχει δὲ ἀκολουθίαν πλείστην καὶ συγγένειαν πρὸς τὴν προειρημένην ἤδη ἐπιλογικὴν ἑτέραν ἀντίθεσιν. Ἐν ἐκείνῃ μὲν γὰρ ἐλέγετο ὅτι ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, ἐνταῦθα δὲ ἀκολούθως ὅτι οὐδὲ εὐεργετήσει καὶ ὅτι οὐκ εὖ ποιήσει τοῦ λοιποῦ τὸν δῆμον, εἰ καταψηφιούμεθα τῶν πρέσβεων. Ἡ δὲ λύσις ἐξ ἀτέχνων πίστεων. Παρέχεται γὰρ διαφόρους ἐπιστολὰς, ἐν αἷς πλεῖστα πολλάκις ὑποσχόμενος Φίλιππος οὐδέν τι τὴν πόλιν εὖ ποιήσας φαίνεται. BFSYP.

399, 29. Τὰς δ' ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι] ἐν αἷς εὖ ποιεῖν ἐπαγγειλάμενος οὐδὲν ἤγαγεν εἰς πέρας. TCV.

400, 1. Ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα] ἤτοι ἀλαζονείας γέμον· ψυχροὺς γὰρ τοὺς ἀλαζόνας λέγουσιν· ἐν οἷς ἄνω καὶ κάτω βοᾷ εὐεργετῆσαι τοὺς Ἀθηναίους. Παρελήλυθεν ἄχρι κόρου ἀπατῶν· ἐκορέσθημεν τῆς ἀπάτης, Ἢ, ὥς τινες, ψυχρὸν τὸ εὐτελὲς, καὶ παροιμιῶδες τὸ ἄχρι κόρου. TCV.

400, 4. Οὕτω τοίνυν αἰσχρὰ] Παρέκβασις, προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. BFSY. Προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως. Ἀπὸ δὲ τοῦ οἰκείου ἤθους ἀρξάμενος πειρᾶται τὴν οἰκείαν σώζειν ὑπόληψιν, φιλοσόφου μᾶλλον πρᾶγμα ἢ ῥήτορος ἀπεργασάμενος· τοῦ μὲν γὰρ ῥήτορος συμφέρον ἐστὶ τὸ τὰ ἐμπίπτοντα ζητεῖν, τοῦ δὲ φιλοσόφου φροντίζειν τῆς εἰς ἅπαντα τὸν βίον ὑπολήψεώς τε καὶ δόξης. Εἴληφεν οὖν τὴν πρόφασιν ἀπὸ τῶν Αἰσχίνου λόγων. Δημοσθενικῆς γὰρ τοῦτο μεθόδου, τὸ μὴ ἀπὸ τοῦ οἰκείου προσώπου εἰσάγειν ἢ ψόγου ἀναίρεσιν ἢ οἰκείων ἐπαίνων σύστασιν, ἀλλὰ κατά τινα ἀνάγκην καὶ χρείαν. Ὡς οὖν Αἰσχίνου βλασφήμους περὶ αὐτοῦ πεποιημένου λόγους, οὕτως ἀναγκάζεται τὴν ἀπολογίαν ποιεῖσθαι. Εἶτ' εὐαφόρμως μέτεισιν ἀπὸ τοῦ οἰκείου ἤθους ἐπὶ τὴν ἀντεξέτασιν τοῦ ἤθους Αἰσχίνου. Καὶ γίνεται τὸ ἴδιον τῆς παρεκβάσεως κατὰ τὴν ἀντεξέτασιν, ὡς εἶναι παρόμοιον τῷ ἐν τῷ περὶ τοῦ στεφάνου μέρει. Ἐκεῖ μὲν γὰρ βίον ὅλον ὅλῳ ἀντεξήτασε βίῳ, ἐνταῦθα δὲ τὴν ἀπὸ τῆς πρεσβείας ὑπάρχουσαν ὑπόληψιν ἑκατέροις, τίς μὲν παρὰ τοῖς ἀνθρώποις Δημοσθένης εἶναι δοκεῖ, τίς δ' Αἰσχίνης ὑπείληπται, καὶ ὅτι Δημοσθένης καὶ σώφρων τὸν βίον καὶ ὅτι ἀκόλουθον ἦθος παρέχεται τῇ πολιτείᾳ καὶ ὅτι οὐ φιλαπεχθήμων, οὐ περὶ φίλους ἀβέλτερος, οὐ περὶ ἅλας καὶ τράπεζαν ἀσεβής· ὁ δὲ περὶ τὴν πόλιν ἄδικος, ὅτι ἀκόλαστος, ὅτι οὐ σώφρων. Οὐ γὰρ οἷόν τε τὸν περὶ ταῦτα ἀκόλαστον δικαιοπραγίαν τιμᾶν. TCV.

400, 19. Ἐγὼ δὲ οἶδ' ὅτι πάντες] Διὰ παραδειγμάτων ἡ λύσις. TCV.

400, 24. Εἰσιτήρια] Προηγεῖται γὰρ εἰσιούσης τῆς βουλῆς ὁ τὰς θυσίας ποιούμενος. TCV.

400, 29. Συμπεπρεσβευκὼς τέσσαρα ἔτη] Τῷ μήκει τοῦ χρόνου τὴν ἀπολογίαν ἐπέτεινεν· οὐκ ᾐσχύνθη τεττάρων ἐτῶν συνήθειαν. TCV.

401, 12. Ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον] Διηγηματικὸν χωρίον. A. Ὑπέμνησε πάθους καὶ συμφορᾶς τοὺς ἀκούοντας. Ἀλγοῦσι γὰρ ἐπὶ τοῖς Ὀλυνθίοις, ὡς μόνοις ἂν κωλύσασι Φίλιππον ἐλθεῖν ἐπὶ τὴν Ἑλλάδα. TCV.

401, 13. Ὀλύμπια ἐποίει] Ἐκ τῆς πανηγύρεως τὸ πάθος τῶν ἀκουόντων ἔτι μᾶλλον ηὔξησεν. Αἱ γὰρ εὐπραγίαι τῶν πολεμίων λυποῦσι τοὺς ἡττωμένους. Ὁ μὲν οὖν πανήγυριν εἰσήγαγεν ἐπὶ νίκῃ καὶ συμφορᾷ τῶν Ἑλλήνων, ἡ δὲ πόλις πληγεῖσα τοῖς συμβεβηκόσιν ἔστενε τὰς συμφοράς. Τὰ Ὀλύμπια δὲ πρῶτος Ἀρχέλαος ἐν Δίῳ τῆς Μακεδονίας κατέδειξεν. Ἤγετο δ' ἐπ' ἐννέα, ὥς φασιν, ἡμέρας, ἰσαρίθμους ταῖς Μούσαις. Συνέζευξε δὲ τὰ κατὰ τὴν Ὄλυνθον, ἵνα δοκῇ πανηγυρίζειν ἐπὶ τῇ ἁλώσει τῶν Ἑλλήνων καὶ συνεορτάζειν καὶ ὁ Αἰσχίνης, οἷον, Ἐγὼ μὲν ἐθρήνουν, Φίλιππος δὲ ἐτέλει μετὰ Αἰσχίνου πανήγυριν. TCV.

Εἰς δὲ τὴν θυσίαν ταύτην] Ἐκ δευτέρων ηὔξησε τὰ συμβεβηκότα· καὶ γὰρ τοῖς θεοῖς ἔθυε καὶ πανήγυρις συνεκροτεῖτο. Τεχνίτας δὲ, τοὺς ὑποκριτὰς οὕτω καλεῖ κωμικούς τε καὶ τραγικούς. Τὴν δὲ τοῦ ἤθους ἔμφασιν, ἣν περιτίθησι τῷ Σατύρῳ, ἔδειξε διὰ τῆς διανοίας τοῦ λόγου. Τὸ γὰρ σιγᾶν καὶ μὴ φθέγγεσθαι σημεῖον τοῦ στένειν καὶ ἀνιᾶσθαι τοῖς συμβεβηκόσι γίγνεται. TCV.

401, 17. Τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται] ἀντὶ τοῦ αἰτεῖ. A. Τὸ μὲν ἐπαγγέλλεσθαι αἰτεῖν σημαίνει. Ὅτι δὲ ἔθος τῷ Φιλίππῳ διαφθείρειν ἐν συμποσίῳ συνίστησι, καὶ τὴν ἐγκράτειαν ἐπαινεῖ τοῦ σιωπῶντος. Μικροψυχίαν δὲ ὠνόμασε τὴν περὶ τὰ χρήματα φειδώ. Ἡ δὲ πλάσις σύμπασα τὸ ἦθος ἐμφανίζει, ὅπως χρημάτων κρείττων ὁ Σάτυρος, καὶ ταῦτα τεχνίτης ὢν καὶ συνήθειαν ἔχων τοῦ λαμβάνειν. Καὶ ἡ πολλὴ δὲ παράκλησις, καὶ ὁ μετὰ τοῦ δέους λόγος, καὶ τὸ μὴ ἐπιδραμεῖν εὐθὺς ταῖς αἰτήσεσι μέγεθος ἐμφανίζει τῆς αἰτήσεως, εὔνοιαν δὲ τοῦ αἰτοῦντος. TCV.

401, 22. Δεδοικέναι δὲ μὴ διαμάρτῃ] Δι' ὧν εὐλαβεῖσθαι προσποιεῖται πλέον εἰς τὸ δοῦναι παροξύνει τὸν Φίλιππον. TCV.

401, 24. Καί τι καὶ νεανιευσαμένου τοιοῦτον] Τὸ ἀλαζονικὸν αὐτοῦ καὶ αὔθαδες διαβάλλει. Ἐμφαίνει δὲ βαθέως ὅτι καὶ Φωκέας εἰ ἐξήτησε Φίλιππον Αἰσχίνης, οὐκ ἂν ἀπέτυχεν. TCV.

401, 26. Ξένος καὶ φίλος] Ξένος ἐστὶν ὁ φίλος ὤν τινος ἀπ' ἄλλης πόλεως, φίλος δὲ ἀπὸ τῆς αὐτῆς πόλεως. ATL.

402, 1. Αἰχμάλωτοι γεγόνασιν] Οὐδὲν ἁμαρτήσασαι τῆς ἀλλοτρίας μετεσχήκασι τύχης. TCV.

402, 3. Βούλομαι δέ σε ἀκοῦσαι] Ἵνα μὴ ἄλλο τι ὑποπτεύσῃ ὁ Φίλιππος, διδάσκει αὐτὸν τὴν αἰτίαν τοῦ μὴ ἀνάξιον παθεῖν. Ὥραν γάμου γὰρ ἐχούσας, μὴ διὰ τὴν ἀπορίαν τῶν ἀναγκαίων πορνεύσωσι. TCV.

402, 8. Τοσοῦτον κρότον] τὸ ἴδιον τῆς εὐημερίας τῆς ἐν τῇ κωμῳδίᾳ προσέθηκεν ὁ ῥήτωρ. TCV.

402, 9. Ὥστε τὸν Φίλιππον παθεῖν] Τὰς ἀνθρωπίνας ἠλέησε τύχας καὶ πέπονθέ τι ἀνθρώπινον. TCV.

402, 10. Καίτοι τῶν ἀποκτεινάντων] Ὅσον εὔκαιρος αἴτησις ἰσχύει δεδήλωκε δι' ὧν ἐπελάθετο τῆς πρὸς τὸν ἀδελφὸν εὐνοίας ὁ Φίλιππος. TCV.

402, 12. Ἐξετάσωμεν δὴ] Εἰρωνείᾳ διέσυρε τὴν δόξαν. Διὰ δὲ τοῦ κληθέντες γὰρ οὗτοι δηλοῖ ὅτι αὐτὸς οὐ κέκληται· ᾔδει γὰρ ὅτι οὐ πεισθήσομαι. Διὰ δὲ τοῦ οὐκ ἐπορεύθην μεῖζον αἰνίττεται, ὡς καὶ κληθεὶς οὐκ ἀπελήλυθε. Δηλοῖ δὲ ὅτι ὁ τοῦ τυράννου παῖς οὐκ ἠγνόησε διακρῖναι τοὺς εὔνους καὶ δύσνους τῇ πόλει· καλεῖ γὰρ Αἰσχίνην καὶ Φιλοκράτην καὶ Φρύνωνα. Οὕτως ᾔδει τοὺς ὁμοίους συγκροτεῖν εἰς συμπόσιον. TCV.

402, 15. Κληθέντες περὶ συμποσίου. B.

402, 16. Τὸν υἱὸν τοῦ Φαιδίμου] Ἀπὸ τοῦ πατρὸς χαρακτηρίζει τὸν παῖδα. Ὑπέμνησε καὶ τῶν συμβεβηκότων τῇ πόλει δεινῶν, καὶ ὅτι ἐδείπνουν παρὰ παιδὶ τοῦ πατρὸς τὴν δημοκρατίαν λυμηναμένου τότε. Εἰκὸς γὰρ ἦν τεθραμμένον ἐν ὕβρει τοιαῦτα συγκροτεῖν συμπόσια γεγυμνωμένα τοῦ σώφρονος. Καὶ τὸ ᾤχοντο πλείστην ἐμφαίνει τὴν ἡδονήν. Μόνον οὐκ ἦσαν ὑπόπτεροι φθάσαντες τῇ παρουσίᾳ τὴν κλῆσιν. TCV.

402, 17. Ἐγὼ δὲ οὐκ ἐπορεύθην] Ἔμφασιν μὲν ἔχει τοῦ αὐτὸν μὲν κληθέντα μὴ ἀπελθεῖν, ἔχει δὲ καὶ μεσότητα τοῦ μὴ κληθῆναι. Τὸ γὰρ « κληθέντες οὗτοι » οὐχ ὅτι διὰ καταφρόνησιν οὐκ ἐκλήθη αὐτὸς δείκνυσιν, ἀλλ' ὅτι ἐγινώσκετο μισῶν τοὺς τριάκοντα καὶ τοὺς τῶν λυπησάντων παῖδας τὴν πόλιν. TCV.

Ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν] Παυσάμενοι τοῦ ἐσθίειν ἔπινον μόνον, καὶ εἰκότως ἐμεθύσκοντο καὶ παρῴνουν. Τὸ

δὲ μετὰ δεῖπνον ἥκειν εἰς φιλοποτίαν ἱκανὸν εἰς κατηγορίαν ἀνδρὸς πρεσβευτοῦ καὶ ῥήτορος. Τὴν δοκοῦσαν δὲ σωφροσύνην ἐξελέγχει, δεικνὺς ἀκρατῆ περὶ μέθην. TCV.

402, 18. Εἰσάγει τινὰ] Ἵνα ἡ εἴσοδος τῆς γυναικὸς καιρὸν τὸν πρέποντα λάβῃ πίνουσιν αὐτοῖς καὶ μεθύουσιν εἰσάγει. Δείκνυσι δὲ συγγένειαν τῶν συμποσίων, ὅτι ὁ μὲν Φίλιππος μετ' Ὄλυνθον ἤγαγε συμπόσιον, ὁ δὲ Ξενόφρων συνεκρότει συμπόσιον ἐπὶ τοῖς λαφύροις καὶ τοῖς αἰχμαλώτοις τῶν Ὀλυνθίων. Ἐλευθέραν δὲ καὶ σώφρονα εἰπὼν τὸ οἰκεῖον ἦθος καὶ ἣν εἶχεν ὑπόληψιν περὶ Ὀλυνθίων ἐπισημαίνεται. Ἐλευθέραν δὲ καὶ σώφρονα καὶ μετὰ τὴν ἅλωσιν οὐ διέφθειρεν ἡ τύχη τὸν τρόπον, οὐκ ἤμειψεν ἡ δουλεία τὴν γνώμην. Ἵνα δὲ παροξύνῃ τοὺς ἀκούοντας, τῆς αἰχμαλώτου γυναικὸς ἐμνημόνευσεν· ἵνα δὲ ἀφέληται τὴν Αἰσχίνου δόξαν, τὴν ἀκολασίαν καὶ ἀκρασίαν διεκωμῴδησεν· ἵνα δὲ πιθανότητα ὁ λόγος λάβῃ ὡς ἐν ποιήσεως εἴδει συνέπλασε τὸ διήγημα, ἐνάργειαν τῷ λόγῳ διδούς. TCV.

402, 20. Οὑτωσὶ πίνειν ἡσυχῇ καὶ τρώγειν] Ἔδει τινὰ εἶναι καὶ τὸν ἐξαγγέλλοντα, ἵνα καὶ ὁ λόγος τὴν πίστιν λάβῃ καὶ ὁ ἐξαγγέλλων μαρτυρίαν ἔχῃ τῆς ἀκολασίας μὴ κοινωνεῖν. Τὸ δὲ ἠνάγκαζον βεβαιοῦντός ἐστι τῆς γυναικὸς τὴν σωφροσύνην· καὶ ἡσυχῇ προσθεὶς πιθανότητα εἰργάσατο. Οὐ γὰρ ἦν ἀπεικὸς ἀναγκαζομένην, εἶθ' ὁρῶσαν ἡσυχῇ κοινωνεῖν τραπέζης, μηδὲν οἰομένην ἀδικήσεσθαι. TCV.

402, 21. Ὡς διηγεῖτο Ἰατροκλῆς ἐμοὶ τῇ ὑστεραίᾳ] Αὐτῇ γὰρ τῇ ἡμέρᾳ οὐδὲ συντυχεῖν μοι δεδύνηται, διὰ τὸ μέχρι τῆς ἑσπέρας κατεσχηκέναι τὸ συμπόσιον. Τὸ δὲ ἐμοὶ ἔμφασιν ἔχει τῆς αὐτοῦ ὀρθῆς προαιρέσεως. Οὐ γὰρ ἂν αὐτῷ διηγεῖτο, εἰ μὴ ᾔδει ὅτι ἀγανακτῆσαι ἔμελλεν. TCV.

402, 22. Ὡς δὲ προῄει τὸ πρᾶγμα] Οὐκ ἀθρόως ἐξήγγειλε τὴν ἀκολασίαν. Οὐδὲ γὰρ πιθανὸν οὐδὲ ῥητορικὸν ἦν εὐθὺς ἀπιθάνως ἐπιβαλεῖν τῷ πράγματι καὶ τῆς ἀκμῆς γενέσθαι τὸν ἔλεγχον, ἵνα ἡ ἀνάγκη τὴν φύσιν ἐξελέγχῃ καὶ τὴν προαίρεσιν. Οὐ γὰρ ἦν ἀπεικὸς παρὰ τῷ τυράννῳ εἰς ὕβριν γυναῖκα αἰχμάλωτον γενέσθαι. TCV. Ἰστέον ὅτι ἐν τούτῳ τῷ χωρίῳ ἀνέστησαν οἱ δικασταὶ καὶ εἴασαν τὸν ῥήτορα λέγοντα, τοῦ Εὐβούλου συμπράττοντος τῷ Αἰσχίνῃ, μισοῦντος δὲ τὸν ῥήτορα, εἰπόντος αὐτοῖς, τοιούτων αἰσχρῶν ἀνέχεσθε λέγοντος ῥήτορος; AYTCV.

402, 24. Καί τι καὶ ᾄδειν ἐκέλευον] Μίμησις ἀκριβὴς τῶν ἀκρατῶς ἐχόντων. Προσποιοῦνται γὰρ εἶναι καὶ μουσικοί. Τῆς δὲ αὐτῆς ἀσελγείας καὶ τὸ ᾄδειν κελεύειν καὶ τὸ κατακλίνεσθαι TCV.

Ἀδημονούσης δὲ τῆς ἀνθρώπου] Ἔδει εἰπεῖν, βοώσης καὶ ἐπικαλουμένης τοὺς βοηθήσοντας, οὐκ ἀδημονούσης· ἀλλὰ τῆς φύσεως τὴν ἀσθένειαν διὰ τῆς λέξεως ἐνέφηνεν. Οὕτως οἶδεν οἰκείοις χρῆσθαι ὀνόμασι, σημαίνουσι τῶν ὑποκειμένων πραγμάτων τὰς φύσεις. TCV.

402, 25. Καὶ οὔτε ἐθελούσης] Ἵνα τὸ μὴ θέλειν τῆς γνώμης ἔργον γένηται, τὸ δὲ μὴ ἐπισταμένης τῆς ἀγωγῆς καὶ τοῦ βίου· οὐ γὰρ ἧκτο διὰ τοιούτων. TCV.

Ὕβριν τὸ πρᾶγμα ἔφασαν] Ὅταν μὲν δέῃ διαβάλλειν εἰς δωροδοκίαν, Φιλοκράτης συνάπτεται· ὅτε δὲ εἰς ἀκολασίαν καὶ ἀκρασίαν, τότε Φρύνων διὰ τὴν περὶ τὸν υἱὸν πρᾶξιν. Οὐ γὰρ ἦν ἀπεικὸς τὸν προδόντα τὴν ὥραν τοῦ παιδὸς, τοῦτον εἰς γυναῖκα ἀλλοτρίαν ὑβρίζειν. TCV.

402, 26. Καὶ οὐκ ἀνεκτὸν εἶναι τῶν θεοῖς ἐχθρῶν] ἐνταῦθα λαμπρῶς ἣν ἔχουσι δυσμένειαν πρὸς τὴν δημοκρατίαν ἐξήλεγξεν. Ταῦτα γάρ φησι, τῆς πικρίας, ἣν ἔχουσι πρὸς τὸν δῆμον, ἔστι τεκμήρια· τὸ δὲ τρυφᾶν οἷον ἐν ἐξουσίᾳ εἶναι τοῦ πράττειν ὅ τι βούλεται.

402, 28. Καὶ κάλει παῖδα] Μιμεῖται, ὥσπερ ἐν δράματι, ἦθος ἐξεστηκότων ἀνδρῶν μέθῃ καὶ ἔρωτι πεπληγότων. TCV.

Κάλει] βέλτιον παροξύνειν, ἵνα ᾖ προστακτικόν. A.

402, 29. Ῥυτῆρα] οἷον μάστιγα· κυρίως δὲ λέγεται ῥυτὴρ ὁ χαλινὸς ἀπὸ τοῦ ῥύεσθαι καὶ ἕλκεσθαι παρὰ τῶν ἡνιόχων. « Αὐέρυσαν μὲν πρῶτα (Il. 1, 459) » ATCV.

403, 2. Εἰπούσης τι καὶ δακρυσάσης] Καλῶς εἰσήγαγε τὰ ὑπὲρ ἐκείνης ῥηθέντα, ἵνα ὁ ἀκροατὴς οἴηται περιαλγοῦσαν αὐτὴν ἐπικαλεῖσθαι τὴν Ἀθηναίων πόλιν. Τὸ τί γὰρ εἰπεῖν ἔμφασιν ἔχει ὅτι ἐπὶ τὴν πόλιν ἀνέδραμε ταῖς ἐλπίσιν ὑπογογγύσασα καὶ ταῦτα φάσκουσα, Παρὰ τῶν Ἀθηναίων ὑπομένω; ἆρα μὴ ἐν Σκύθαις εἰμί; οὗτοι τῆς φιλανθρωποτάτης πρέσβεις πόλεως; καὶ τὸ ἐδάκρυσε δὲ, ὅτι ἐξ ὧν ἤλπισεν ἐλεεῖσθαι, παρὰ τούτων ὑβρίζετο. TCV.

403, 3. Περιρρήξας τὸν χιτωνίσκον] καὶ τὸ ἄγριον καὶ τὸ αἰσχρὸν σημαίνει τῆς γνώμης. Ἐγύμνου γὰρ τὸ σῶμα, διότι πρὸς ἡδονὴν ᾔδει γιγνόμενον τοῖς θεωμένοις. TCV.

Ξαίνει κατὰ τοῦ νώτου πολλάς] Τὸ ἄμετρον τῶν πληγῶν τὴν πρὸς τὴν πόλιν βεβαιοῖ δυσμένειαν. TCV.

403, 4. Ἔξω δ' αὑτῆς οὖσα] Ἐμαρτύρησε τῆς γυναικὸς τὴν σωφροσύνην. Οὐ γὰρ ἂν κατέφυγεν ἐπὶ τὸν συνηδόμενον ταῖς ἀσελγείαις. Οἶδε γὰρ πάντως αὐτὸν ἐπὶ τοῖς γιγνομένοις ἀηδιζόμενον· ὅθεν αὐτὸν ὑπέθετο καὶ διηγούμενον αὐτῷ τῇ ὑστεραίᾳ τὰ γιγνόμενα. Οὐ κατὰ προαίρεσιν δὲ ἀνατρέπει τὴν τράπεζαν. Τοῦτο δὲ ὡς πρὸς τὸ ὑπ' Αἰσχίνου εἰρημένον κατὰ τοῦ ῥήτορος· ποῦ δ' ἔλες; ποῦ τράπεζαι; ἰδοὺ γὰρ αὐτὸς ἃ αἰτιᾶται πεποίηκε. TCV.

403, 8. Καὶ γὰρ ἡ παροινία] Καλῶς ὠνόμασεν ἐπὶ τοιούτοις ἔργοις κάθαρμα τὸν Αἰσχίνην. Αὐτὸ γάρ ἐστι κάθαρμα τὸ καθαιρόμενον καὶ ὃ ἂν ἀποσείσαιτό τις. Ἵνα δὲ μὴ μικρὸν ἡγήσωνται οἱ ἀκούοντες τὸ γιγνόμενον, ηὔξησεν αὐτὸ τῇ μαρτυρίᾳ τῶν Θετταλῶν καὶ τῶν Ἀρκάδων, γένεσιν Ἑλληνικοῖς καὶ ἀντικειμένοις τῇ πόλει. Λυπεῖ δὲ τοὺς ἀκούοντας, ὅταν τὰ παρ' αὐτοῖς συμβαίνοντα ἡδονὴν καὶ γέλωτα κατασκευάζῃ τοῖς ἐναντίοις· ἐχθροὶ γὰρ καὶ Ἀρκάδες καὶ Θετταλοί. TCV.

403, 10. Ἐν τοῖς μυρίοις] Τὸ συνέδριον τῶν Ἀρκάδων μυρίων ὑπῆρχεν ἀνδρῶν. A.

403, 11. Καὶ Διόφαντος ἐν ὑμῖν] Οὐκ ἐκ τῆς Δημοσθένους μόνης κατηγορίας φαίνεται δεινὸν τὸ γεγονὸς, ἀλλὰ καὶ ἐκ τῆς Διοφάντου καταβοήσεως· ὅτι μέντοι γε τοῦ βίου ἕνεκα τοῦ Αἰσχίνου καὶ τῆς ὑπολήψεως ἐρρέθη σύμπαντα δῆλον ἐκ τῶν ἐπαγομένων. Τί γάρ φησιν; « καὶ τοιαῦτα συνειδὼς αὑτῷ πεπραγμένα », καὶ ἑξῆς. Οὕτως ἄρα ἐφαίνετο ὁ Δημοσθένης ἀνιώμενος ἐπὶ τῇ ὑπολήψει καὶ τῇ δόξῃ, ἧς ἐτύγχανε παρὰ τὴν ἀξίαν Αἰσχίνου. Ἀνιῶσι γὰρ τὸ φρόνημα τῶν ἐλευθέρων οἱ παρ' ἀξίαν εὖ πράττοντες· καὶ ἐπιμαρτυρεῖ τῷ θεωρήματι καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ, τοῖς βαρβάροις ἀξιῶν φθονεῖν παρὰ τὴν ἀξίαν πολλῶν κυρίοις καθεστηκόσι. TCV.

403, 19. Καὶ παῖδα ὄντα ἐν θιάσοις] Ἀναμίξας τὴν ἡλικίαν τὴν διαβολὴν ὑπέφηνε. Δοκεῖ δὲ ταῦτα εἶναι μυστήρια δημοτελῆ καὶ κοινὰ καὶ οὐ πάνυ σεμνά. TCV.

403, 21. Καὶ δυοῖν καὶ τριῶν δραχμῶν] Ἐνίοτε γὰρ

λαμβάνοντες οἱ γραμματεῖς ἀργυρίδιον ἑτέρως πρὸς τὸ χρήσιμον ἀνεγίνωσκον τοὺς νόμους καὶ τὰ ψηφίσματα. TCV.

403, 22. Ἐν χορηγίοις ἀλλοτρίοις] Πρὸς ἑαυτὸν ἀντιδιαστέλλει τοῦτο, ὅτι αὐτὸς μὲν ἐκ τῶν ἰδίων ἐχορήγησεν, Αἰσχίνης δὲ ἐν ἀλλοτρίοις, ἐν τῷ μισθοῦσθαι τραγῳδός. AT.

404, 9. Ἐγγυτάτω μανίας] τὸ ψιλῷ λόγῳ δωροδοκίαν ὀνειδίζειν τῷ φιλοπόλιδι. TCV.

404, 11. Ἀκούω γὰρ αὐτὸν] Ἕως ὧδε ἐπλήρωσε τὸ περὶ κατηγορίας Αἰσχίνου. Ἐντεῦθεν δὲ βούλεται καὶ ὑπὲρ ἑαυτοῦ ἀπολογήσασθαι εἰς ἃ αὐτοῦ κατηγόρησεν Αἰσχίνης. Καλῶς δὲ ἐποίησεν ὅτι ἐν τοῖς ἐπιλόγοις ἔταξε ταῦτα καὶ οὐκ ἐν τοῖς ἀγῶσιν. Ἢ γὰρ ἂν ἐδόκει ἑαυτοῦ κατηγορεῖν; ATCV.

Πάντων ὧν κατηγορῶ] Τῇ ὑπερβολῇ διὰ τοῦ πάντων εἰπεῖν ἐμφαίνει τὸ ἄτοπον καὶ ὅτι ψεύδεται. TCV.

404, 16. Ἐμοῦ μέντοι τίς κατηγορεῖ] Οὐ γὰρ εἰ Δημοσθένης μετέσχεν, ἤμειψεν ἡ φύσις τὰ πράγματα. TCV.

Ἐγὼ μὲν γὰρ εἰ ταῦτα] Συντρέχει πρῶτον τῇ ἀντιπαραστάσει χρώμενος. Θαρρεῖ γὰρ αὐτοῦ τῇ ποιότητι. TCV.

405, 4. Οὐκοῦν ὡς οὐ κεκοινώνηκα] Ἐντεῦθεν ἡ ἔνστασις. TCV.

406, 7. Ὅτ' αὐτὸν εἴατε πρεσβεύειν] Βουλόμενον γὰρ ἐπὶ τὴν τρίτην αὐτὸν ἐξελθεῖν πρεσβείαν, ἣν ὡς νοσῶν παρῃτήσατο, οὐκ εἴων ἐξελθεῖν, ἀλλ' ἐκώλυε μὲν ἡ πόλις, κατηγόρουν δ' ἐγώ. Καὶ ἔστι μὲν ὡς δυσχεραίνοντος τὰ ῥήματα, ἴσως δὲ καὶ διὰ τὴν τέχνην καὶ διὰ τὴν ὑπόκρισιν. TCV.

406, 11. Ἃ κἂν ἐχθὲς ἐωνημένος] οὐ προμελετήσας οὐδὲ πεπαιδευμένος, ἀλλὰ ἐχθὲς ἐκ βαρβάρων ἥκων. TCV.

406, 15. Ἢ μετειληφὼς] τὸ μέρος μετ' ἐμοῦ λαβών, ἵνα τέως ὁμολογήσῃ εἰληφέναι ὁ Αἰσχίνης. TCV.

406, 26. Λογισταῖς] Λογισταὶ ἐκαλοῦντο οἱ εἰσάγοντες ἐν τῷ δήμῳ τοὺς ὑπευθύνους. Ἀρχὴ γὰρ ἦν καὶ αὕτη ἡ τῶν λογιστῶν. TCV.

Ἔχων μάρτυρας] τοὺς ἀκούοντας. Οἷον ἐπὶ μαρτύρων λέγων πολλῶν. TCV.

406, 28. Καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον] Ἐγὼ μὲν οὐκ ἔφευγον τὰς εὐθύνας, αὐτὸς δὲ ἐκώλυεν. TCV. Ὅτι ἐμοῦ βουλομένου δοῦναι εὐθύνας ἐκεῖνος οὐ συνεχώρει. AT.

407. 16. Οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ] τοῦτ' ἔστιν, οὐδείς μοι λόγον μετὰ ταῦτα δίδωσιν, οὐδὲ ἀπολογίαν, ἤγουν οὐκ ἐξέσται μοι μετὰ ταῦτα περὶ τῶν ἐμοὶ κατηγορημένων ἀπολογεῖσθαι. TCV.

407, 19. Ἔτι τοίνυν κἀκεῖνα σκοπεῖτε] Καθ' ὑπόθεσιν τὸ σχῆμα. A. Πληρώσας οἰκείαν γνώμην ἀπὸ τῆς ποιότητος τῶν δικαζόντων ἐπιλογίζεται καὶ ἧς ἔχουσι προαιρέσεως ἐπὶ τοῦ παρόντος, καὶ τίνα δόξαν περὶ αὐτῶν ἕξουσιν οἱ Ἕλληνες, εἰ κακῶς κρίνοιεν τὸν παρόντα ἀγῶνα. Ἔχοντος δὲ ὑπόληψιν κατὰ τὴν πόλιν Αἰσχίνου οὐ φαύλην οὐδὲ ἄδοξον ἀφ' ἧς ἡμέρας τὸν Τίμαρχον ἔκρινε, ταύτην τὴν δόξαν ἀπωθεῖσθαι Δημοσθένης βουλόμενος καὶ δεῖξαι τὸν βίον οὐ συμφωνοῦντα τῇ δόξῃ, ὑπέθετο δύο συμπόσια, ὅμοιον ὁμοίῳ παρατιθείς. Τόπος μὲν γὰρ ὁ αὐτὸς τῷ συμποσίῳ ὑπόκειται ἡ Μακεδονία, τὰ δὲ πρόσωπα ὅμοια. Ὑποκριτὴς γὰρ τραγῳδίας Αἰσχίνης, ὑποκριτὴς δὲ καὶ ὁ Σάτυρος. Φιλοποσία ἀμφοτέροις καὶ κρίσις (χρῆσις?) τῆς περὶ τὰ ἀφροδίσια ἀκρασίας καὶ μέθης. Οὐκοῦν ὁ μὲν Σάτυρος παρθένους ὥραν ἐχούσας γάμου αἰτεῖ διὰ σωφροσύνην οὐχ ἡττημένος τῆς ὥρας, ἀλλὰ σώζων ταῖς κόραις τὰς ὥρας. Ὁ δὲ ῥήτωρ ὁ Ἀθηναῖος γυναῖκα συνοικοῦσαν ἀνδρὶ λαβὼν ἡττᾶτο τῆς ὄψεως καὶ μεθύων διεθερμαίνετο. Καὶ ἐπειδὴ τὸ λεγόμενον ὕποπτον ἦν, δέδωκε τῷ δράματι τόπον τὴν τοῦ τυράννου ξενίαν, τοῦ τῶν τριάκοντα. Ἔδει γὰρ παρὰ ἀνδρὶ ἀσώτῳ συγκροτηθῆναι συμπόσιον. Καὶ ἵνα ὁ λόγος τὴν πειθὼ προσλάβῃ, πότος μετὰ τὸ δεῖπνον συνίσταται· καὶ ὁ μὲν τὰς θυγατέρας τοῦ λυπήσαντος τὸν Φίλιππον σώζειν αἱρεῖται — τῶν γὰρ ἀπεκτονότων τὸν ἀδελφὸν τοῦ Φιλίππου Ἀλέξανδρον εἷς ἦν Ἀπολλοφάνης —, ὁ δὲ τῶν συμμάχων τῶν τοῖς Ἀθηναίοις Ὀλυνθίων γυναῖκα καὶ αἰχμάλωτον ὕβρισε, καὶ ἣν ἔδει ἐλεεῖν, ταύτην ᾐκίζετο. TCV.

407, 25. Εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας] Φανερῶς μὲν εὐεργέτην Φιλίππου τὸν Αἰσχίνην εἴρηκε, βαρὺ τὸ πρᾶγμα ποιῶν, ἑαυτὸν δὲ τῆς πόλεως οὐκέτι, διὰ τὸ φορτικόν, καίτοι τοῦ νοήματος ἴσον ἀπαιτοῦντος. TCV.

408, 18. Μηδ' εἰ φαῦλον ἐγὼ] πρὸς τὸ καλὸν καὶ μέγα φαῦλον ἐπήγαγεν, ὃ δηλοῖ καὶ τὸ κακὸν καὶ τὸ εὐτελές. TCV.

411, 2. Συνεπισπάσησθέ με] συνελκύσητε, συγκατενέγκητε. TCV.

411, 3. Νῦν δὲ ἀναπεπτωκότες] οἷον ὕπτιοι καὶ νυστάζοντες, ἀλλ' οὐκ ὀρθοὶ καὶ νήφοντες. TCV.

411, 4. Ἐκλελύσθαι] οἷον ὥσπερ ὑπὸ τρυφῆς χαῦνοι γενόμενοι. Κατὰ κοινοῦ γὰρ τὸ δέδοικα. Τὸ δὲ πεπτώκασιν γάρ, ὦ Ἀθηναῖοι, ἐκλελύσθαι ἐπεξηγεῖται τί ἐστιν ἀναπεπτωκότες. AT.

411, 9. Νῦν λέγειν ἐξάγομαι] Μανίας γὰρ ἐνέπλησάν με οἱ δυσσεβεῖς οὗτοι, ὥστε καὶ ἃ κρύπτειν ἔκρινον ἀναγκασθῆναι βοᾶν. TCV.

411, 11. Καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν] Ἵνα μὴ ἀντιπίπτῃ, τί οὖν εἰ τὴν φιλίαν ἔλυσας αὐτὸς κακὸς περὶ αὐτὸν φανείς; φησίν· ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται καὶ τὰ Φιλίππου φρονεῖ, κἂν ἡ τύχη συνάψῃ [με] αὐτῷ καὶ ἀναγκασθῇ που συντυχεῖν, κατὰ περίστασιν ἀμύνεται θᾶττον ἀποπηδῶν. TCV.

411, 11. Ἐκτρέπεται] ἵνα μὴ διαβληθῇ πρὸς Φίλιππον. AT.

411, 15. Μετὰ δ' Αἰσχίνου περιέρχεται] Ἵνα μή τις ὑπολάβῃ ὅτι ἄγριός ἐστι καὶ σκαιὸς τὸν τρόπον διὰ τοῦτό σε ἀποφεύγει, ἐπάγει ὅτι μετ' Αἰσχίνου περιέρχεται πᾶσαν τὴν πόλιν. TCV.

411, 26. Ἀλιτηρίοις] Ἐκλήθησαν ἀλιτήριοι ἐξ ἀρχῆς οἱ κλέπται καὶ ἄδικοι ἀπὸ τοιαύτης αἰτίας, ἀπὸ τοῦ λιμὸν γεγενῆσθαι παρὰ τοῖς Ἀθηναίοις καὶ ἁρπάζειν τινὰς τὰ ἄλευρα. AT.

412, 2. Ἕν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν] Σημείωσαι. Ποῦ εἰσιν οἱ λέγοντες δύο ψυχὰς τὸν ἄνθρωπον ἔχειν; BY.

412, 11. Τούς γε οὐδένα βουλομένους] ἢ διὰ τὸ φθονεῖν τοῖς οὖσιν ἀγαθοῖς, ἢ διὰ τὸ μὴ βούλεσθαι εἶναί τινα μέγαν ἐν τῇ πόλει. TCV.

412, 16. Τίς ἔσται λόγος] ὥς τινος Ἕλληνος ἐρωτῶντος, ἄλλου δὲ ἀποκρινομένου. A.

412, 17. Ἀθήνηθεν ἐπρέσβευσάν τινες] Σκόπει τὴν μέθοδον, ὅτι, πλειόνων ὄντων πρέσβεων, τοὺς μὲν ἄλλους ἀφῆκε, τοὺς δὲ τρεῖς τοὺς ἐπισημοτάτους ἐπὶ κακίᾳ ὠνόμασεν, ἑαυτὸν μόνον ὡς εὔνουν ἀντιτιθείς. TCV.

412, 24. Πρὶν εἰς ἄνδρας ἐγγράψαι] Τὴν ὑποψίαν αἰσχρὰν ποιεῖ ἡ ἡλικία. TCV.

413, 10. Ἐμβεβροντῆσθαι] Τοῦ Θεολόγου (Gregorii Naz.) ὅμοιον. B.

413, 14. Εἰ μήτε λαβεῖν] Κύκλος. B. Οὐκέτι ἀπὸ τοῦ ἄλλου προσώπου τῆς πλάσεως, ἀλλ' ὡς ἀπ' αὐτοῦ τοῦ ῥήτορος. AT.

413, 25. Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης] Ἀμύνεται τὸν Φρύνωνα τῆς καταμαρτυρήσεως, καὶ καιρὸν ἔχει τὸ πικρὸν τοῦ λόγου μετὰ τὴν γεγενημένην κατὰ Δημοσθένους ὕβριν. Ἐφ' οἷς γὰρ παρελθόντες ἀντὶ τοῦ καταμαρτυρεῖν [Αἰσχίνου αὐτὸν] ὕβρισαν, ἐπὶ τούτοις παροξυνθεὶς ἐλέγχει τὸν βίον. Εἶτα συνίστησιν ὅτι οὐδὲ σώφρων Αἰσχίνης. Προδέδωκε, φησὶ, τὴν ὥραν τοῦ παιδὸς Φιλίππῳ Φρύνων. Ποῦ τοίνυν ὁ σωφρονιστὴς Αἰσχίνης; καίτοι γε ἐπὶ παιδὶ μειρακίῳ δίκαιος ἦν κατηγορεῖν προδοθέντι τυράννῳ, ὃς ἀνδρὸς πρεσβύτου κατηγόρησεν ἐκπεφευγότος ἤδη τῷ μήκει τῆς ἡλικίας τὸ ἔγκλημα. TCV.

413, 27. Εἰ δέ τις ὢν ἐφ' ἡλικίας] Ἀπολογεῖται δαιμονίως ὑπὲρ Τιμάρχου, ἔλαττον αὐτῷ κακὸν μαρτυρήσας, καὶ διὰ τούτου τοῦ μείζονος [καὶ] χαλεπωτέρου μᾶλλον ἀπαλλάξας ἐγκλήματος. Ἰταμώτερον γὰρ αὐτὸν εἰπὼν κεχρῆσθαι τῷ μετὰ ταῦτα βίῳ, συνέδραμε τῷ θράσει καὶ ἀπήλλαξεν αὐτὸν ἑκατέρωθεν τῆς αἰσχύνης, τόν τε ἰταμὸν βίον εἰπὼν καὶ τὴν ἐκ τῆς εὐπρεπείας δόξαν· ἐντεῦθεν γὰρ κἀκείνῳ φῦναι τὴν γένεσιν τῆς διαβολῆς, οὐκ ἐκ τῶν ἔργων οὐδ' ἐκ τῶν βεβιωμένων. Κανόνα γὰρ ἡμῖν δίδωσιν ὁ ῥήτωρ, ὅτι ἐν ταῖς ὑπὲρ τῶν Φαυλοτάτων ἀπολογίαις ἀφεῖναι δεῖ τι μικρὸν καὶ δέξασθαι δι' οὗ τὸ μεῖζον ἀπωσόμεθα· καὶ γὰρ πιθανὸς ἔσται ὁ λόγος, οὐ τὸ πᾶν ἐκβαλλόντων ἡμῶν, ἀλλ' ἀντὶ τῆς πορνείας δεχομένων τὴν ἰταμότητα. TCV.

414, 1. Φέρε δὴ καὶ περὶ τῆς ἑστιάσεως] Ἐντεῦθεν λαμπρῶς εἰσῄει εἰς τὴν ὑπὲρ ἑαυτοῦ γενομένην ἀπολογίαν. Ἔστι δὲ τὸ μὲν ἔγκλημα κατὰ τοῦ ῥήτορος, ὅτι δωροδόκες. Αἱ δὲ ἀποδείξεις διτταί· μία μὲν ὅτι αὐτὸς ἔγραψε τὸ ψήφισμα περὶ ἑστιάσεως τῆς ἐν πρυτανείῳ περὶ τῶν πρέσβεων, οὕτως ἐκοινώνει τῆς πρεσβείας καὶ τῶν πραττομένων, ἑτέρα δὲ ὅτι αὐτὸς εἱστίασε τοὺς παρὰ Φιλίππου πρέσβεις, καὶ θέαν τὸν ἀρχιτέκτονα αὐτοῖς νεῖμαι προσέταξεν, καὶ φοινικίδας ὑπεστόρεσε, καὶ ὀρικοῖς ζεύγεσιν ἐξέπεμψε μέχρις Εὐρίπου καὶ τῆς Χαλκίδος. Περὶ μὲν οὖν τῆς ἑστιάσεως τῶν συμπρεσβευτῶν ἔστιν οὕτως εἰπεῖν τὴν διάνοιαν Αἰσχίνου· εἰ μὲν ἐδωροδόκησαν, δῆλον ὅτι καὶ Δημοσθένης ὁ ἐπαινέτης, εἰ δὲ μὴ αὐτὸς, οὐδὲ ἐκεῖνοι· περὶ δὲ τῶν κατὰ Φίλιππον, ὅτι εἰ Φίλιππος ἐδίδου τοῖς θεραπεύουσιν αὐτὸν, καὶ τοῖς ἐκείνου πρέσβεσιν ἔδει δοῦναι. Πρὸς μὲν οὖν τὸ πρῶτον μέρος τῆς ἀντιθέσεως χρῶμα ἀπέδωκε λύων ἀπὸ τοῦ χρόνου, εἰπών, πρὸ τοῦ φανεροὺς αὐτοὺς γενέσθαι προδότας γέγραπται αὐτῷ τὸ ψήφισμα· πρὸς δὲ τὸ δεύτερον, ὅτι ἐξένισα τοὺς Φιλίππου πρέσβεις, κατὰ συνδρομὴν ἀπήντηκεν ἀντιστατικῷ χρησάμενος, ὑπὲρ ὑμῶν ἐξένισα, ἐνδεικνύμενος ὅτι καὶ ἐν ἅπασι πλεονεκτοῦμεν, καὶ ἐν ταῖς παρ' αὐτοῖς νομιζομέναις εὐδαιμονίαις τοὺς Μακεδόνας καταγελῶν εἰ ἐν τοῖς συμποσίοις ὁρίζονται τὴν εὐδαιμονίαν. Οὔτε δὲ τῶν ὀρικῶν ζευγῶν οὔτε τῶν ἐν τῷ θεάτρῳ στρωμάτων οὔτε ἄλλου οὐδενὸς ἐπεμνήσθη φοβηθεὶς ὀχυρωτέραν διὰ τούτων ἀπεργάσασθαι τὴν ἀντίθεσιν, ἔδοξε δὲ λύειν σύμπαντα ταῦτα συλλαβὼν τῷ τῆς λαμπρότητος καὶ τῷ τῆς ψευδομανίας ὀνόματι. Ἐφ' οἷς γὰρ εἶδεν αὐτοὺς σεμνυνομένους καὶ μεγαλαυχουμένους, ταῦτα ἀπέφηνε πάντα μικρὰ διὰ τῆς οἰκείας μεγαλοπρεπείας καὶ ὧν παρέσχετο. TCV.

414, 28. Ἴσως τοίνυν ἀδελφὸς] Ἐκβολὴ τῶν συνηγόρων ὡς ἐν τοῖς ἐπιλόγοις. Ἐν δὲ ταῖς λέξεσιν ἐκακούργησεν ἴσως εἰπὼν ὡς καὶ τῶν ἀδελφῶν αἰσχυνομένων αὐτῷ βοηθῆσαι διὰ τὴν περιφάνειαν τῶν ἀδικημάτων. Ἐπειδὴ δὲ στρατηγὸς εἷς τῶν ἀδελφῶν Αἰσχίνου γέγονε καὶ λαμπρός ἐστι κατὰ τὴν πόλιν, τῆς στρατηγίας ἀφέμενος καὶ τὸν ἔμπροσθεν διασύρας βίον, τὴν εὐδοξίαν ἣν ἔχουσιν ἀνήρηκε τῇ τῶν ὀνειδῶν τῶν ἀπὸ τοῦ γένους καὶ τῆς ἄλλης αἰσχύνης παραθέσει. Εἶτα συνάπτει τὸν μὴ στρατηγήσαντα τῷ στρατηγήσαντι, ἵνα τὴν κοινὴν ποιότητα τῶν τριῶν λάβῃ. Ἐπειδὴ γὰρ εἰώθασιν οἱ δικάζοντες πολλάκις καὶ διὰ τὸ εὐπατρίδας εἶναι καὶ διὰ τὸ γένος καταχαρίζεσθαι τοῖς κρινομένοις τὰς ψήφους, ἐξεφαύλισε τὴν παλαιὰν τύχην ἐξετάσας τὴν ὅλην οἰκίαν Αἰσχίνου. Ἔδωκε δὲ ἡμῖν θεώρημα τὸ τὰ μέγιστα πᾶσι νομιζόμενα ὡς μικρὰ καὶ φαῦλα διαβάλλειν. Ἐπειδὴ γὰρ ὁ Φιλοχάρης ζωγράφος ἦν κατὰ Ζεῦξιν ἢ Ἀπελλῆν γε ἢ Εὐφράνορα ἤ τινα τῶν ἐνδοξοτάτων, καθελεῖν βουλόμενος αὐτοῦ τὴν τέχνην ἀλαβαστροθηκῶν καὶ τυμπάνων γραφέα καθεστηκέναι φησὶν, ἀπὸ τοῦ μείζονος ἐπὶ τὸ ἔλαττον καταβάλλων τὸ ἐπιτήδευμα καὶ διασύρων τῇ ταπεινότητι. TCV. Πεπλήρωται αὐτῷ τὰ τῆς παρεκβάσεως. Τὰ δὲ τῶν ἐπιλόγων τῶν ἐν τῷ ἀγῶνι ἐντεῦθεν ἄρχεται. Ἴδιον δὲ τῶν ἐπιλόγων καὶ τοῦτο, τὸ τοὺς συνηγόρους ἐκβάλλειν. Κοινωνεῖ δὲ ὁ ἐπίλογος τῇ παρεκβάσει τῷ προκεῖσθαι τῷ ῥήτορι ἐν ἀμφοτέροις ἢ διαβολὴν ἐργάσασθαι ἢ σύστασιν ἤθους καὶ βίου τῶν προκειμένων. Διαφέρει δὲ τῷ τὴν μὲν παρέκβασιν τοῦ μὴ νῦν κρινομένου βίου τὴν ἐξέτασιν ἔχειν, ἀλλὰ τῶν ἐν τῷ ἄλλῳ χρόνῳ βεβιωμένων· τὸν δὲ ἐπίλογον αὐτῶν τῶν κρινομένων αὔξησιν περιέχειν, τῶν συντεινόντων πρὸς αὐτὰ τὰ κρινόμενα. Ἓν οὖν καὶ τοῦτο τῶν ἐπιλόγων ἐστὶ, τὸ τοὺς συνηγόρους ἐκβάλλειν· ὃ ποιεῖ νῦν. BFSYP. Ἐκβολὴ συνηγόρων. AT.

415, 4. Σὲ] Ὅτι τὸ « σὲ μέν » οὐ πρὸς τὸν Ἀφόβητον ἀπήντησεν, ἀλλὰ πρὸς τὸν Φιλοχάρην· ὑπογραμματέας δὲ, τὸν Ἀφόβητον καὶ τὸν Αἰσχίνην. AT.

Τὰς ἀλαβαστροθήκας] μυροθήκας, τὰς θήκας τῶν ἀλαβάστρων, αἵ εἰσι λήκυθοι, ὧν οὐκ ἔστι λαβέσθαι διὰ λειότητα. BPY. Ἀλάβαστρα λέγεται μικροὶ βῖκοι οἱ δεχόμενοι τὰ μύρα. Ἐκλήθησαν δὲ οὕτω παρὰ τὸ μὴ ἔχειν λαβάς· θήκη δὲ τὸ γλωσσόκομον τὸ δεχόμενον αὐτοὺς, τοὺς βίκους· τούτων οὖν αὐτὸν λέγει γενέσθαι γραφέα. AT.

Ἴσμεν σε τὰς ἀλαβαστροθήκας] Τῶν ληκυθίων τῶν μὴ ἐχόντων λαβὰς, ἀλλὰ λείων, τὰς κίστας καὶ θήκας. Ἐζωγράφουν δὲ αὐτὰς, ἵνα τοὺς ἀγοράζοντας δελεάζωσιν. Ἔοικε δὲ οὐδὲ σεμνὸν αὐτὸν φάσκειν ζωγράφον, ἀλλ' εὐτελέστατον· ἦσαν γὰρ καὶ θαυμαστότεροι ζωγράφοι. TCV.

415, 5. Τούτους δὲ ὑπογραμματέας] Ἀφόβητον λέγει καὶ τὸν Αἰσχίνην. Εἶτα ἐπειδήπερ εἶδεν ἀντιπεσοῦσαν αὐτῷ τὴν τῶν ἀκουόντων ποιότητα — πλανῆται γὰρ καὶ χειροτέχναι σύμπαντες, ἢ οἱ πλείους —, ἀνήρηκεν εἰπὼν « καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ στρατηγίας ἄξια. » Καὶ ἵνα μὴ τοῦ ἀξιώματος αἰδώς τις τοῖς ἀκούουσι γένηται, κατέστησεν αὐτὸν εἰς τὸ δεῖν μᾶλλον χάριν ὁμολογεῖν ἐπὶ τῷ ἀξιώματι, ὅμοιόν τι ποιῶν τοῖς ἐν τῷ κατὰ

Μειδίου. Καὶ γὰρ ἵνα μὴ δυσωπήσῃ κἀκεῖ τοῖς ἀξιώμασιν ὁ Μειδίας, εἰς τὸ δεῖν χάριν αὐτὸν ὁμολογεῖν ἐπὶ τῷ ἀξιώματι τῇ πόλει παρέστησε. Προστίθησι δὲ ὅτι καὶ ἄξιος τιμωρίας ὁ παρ' ἀξίαν τυχὼν ἀξιώματος, καταισχύνων καὶ τὸ ἀξίωμα καὶ τὸν τηλικούτων ἠξιωκότα δῆμον. TCV.

415, 23. Εἰ μὲν γὰρ] Εἰ μὴ, φησὶν, ἀδικεῖ ἡμᾶς, κἀγὼ, φησὶ, σώζειν αὐτὸν λέγω. A.

416, 17. Ἃ γὰρ ὡρίσω σὺ δίκαια] Ἐπειδὴ πρὸς ἀπόδειξιν τὸ κατὰ Τιμάρχου λαμβάνει τῆς δωροδοκίας, εἰκότως ἀπολογεῖται ὑπὲρ τοῦ ἀνδρὸς καὶ προδιοικεῖται αὐτῷ τῆς ἀτιμίας ἄφεσιν· εἰ γὰρ ποιεῖ ταῦτα ἀεὶ καὶ κατὰ μέρος πείθει τὴν πόλιν, ἔστιν ὅτε καιροῦ γενομένου καὶ τὸν ἅπαντα δῆμον πείσει ῥᾳδίως ψηφίσασθαι τὴν ἐπιτιμίαν αὐτῷ. Συμπλέκει δὲ τὸ κατὰ Τιμάρχου χρησιμώτερον διὰ δεινότητα· ἐπειδὴ γὰρ [Αἰσχίνης] ἀμάρτυρον ἐκείνῳ ἀγῶνα παρασχόμενος, ἔδοξεν αἱρεῖν τὸν ἐναντίον, βουλόμενος τῶν ὁμοίων τυχεῖν καὶ αὐτὸς ἐπὶ τοῦ παρόντος ἀγῶνος, τῶν ὁμοίων παραδειγμάτων ἐμνήσθη, καὶ τὰ συνεκτικώτατα τοῦ λόγου τῆς κατὰ Τιμάρχου κατηγορίας λαβὼν τοῖς αὐτοῖς καὶ κατ' Αἰσχίνου κέχρηται· οἷς εἰ μὲν ἀκολουθήσουσιν οἱ δικάζοντες, ὀρθῶς νενίκηκεν Αἰσχίνης, εἰ δὲ μὴ πεισθεῖεν, οὐκ ἀκολούθως. Εἰ γὰρ ὁ Αἰσχίνης διὰ τούτων νενίκηκεν, ὁ δὲ Δημοσθένης τοῖς αὐτοῖς χρώμενος οὐ νικήσει, οὐ τὰ αὐτὰ περὶ τῶν αὐτῶν οἱ δικασταὶ δικάζοντες ὀφθήσονται· ὥστε καὶ τὴν κατηγορίαν Τιμάρχου διαβεβλῆσθαι, καὶ τὴν κατηγορίαν Δημοσθένους μηδαμῶς ἡττῆσθαι. TCV.

416, 24. Πῶς; τί;] Πῇ γὰρ, ἐξιόντος αὐτοῦ ἀπὸ τοῦ δικαστηρίου, ἐρωτῶσιν οἱ φίλοι, πῶς, ὦ Δημόσθενες, ἔχει τὸ πρᾶγμα; τί γέγονεν : εἶτα ἀποκρίνεται αὐτοῖς, ᾠχόμην αὐτοὺς ἀπατήσας τῷ λόγῳ. Ἢ ὅλον ἀπ' αὐτοῦ τοῦ ῥήτορος πῶς ὑμῖν ἔδοξα; τί κατώρθωσα; εἶτα ἐπάγει τὰ ἑξῆς. Ἢ τὰ μὲν ἀπὸ τοῦ ῥήτορος, πῶς ὑμῖν ἔδοξα; τὰ δὲ ἀπ' ἄλλων. Εἶτα καὶ ἐκεῖνοι ὑπολαμβάνουσι, τί κατώρθωκας, καὶ ἐπάγει τὰ ἑξῆς. TCV.

416, 26. Μὴ σύ γε] Ἰστέον ὅτι τῷ μὲν κατηγόρῳ ἔξεστι κατηγορεῖν ὃ βούλεται, τῷ δὲ ἀπολογουμένῳ μόνων τῶν κατηγορηθέντων ποιεῖσθαι τὴν λύσιν. ATCV.

416, 29. Οὐδένα μάρτυρα ἔχων] οὐδένα μάρτυρα δυνάμενος παρασχέσθαι ἐπὶ τούτοις ἐφ' οἷς Τίμαρχον ἔκρινες· ἔλεγες δὲ δηλονότι τάδε τὰ Ἡσιόδου ἔπη. P.

417, 12. Ὡς εἴπερ ἐστὶν ἀληθής] Οὐ διστάζων εἶπεν, ἀλλ' ἔστιν ἐπείπερ, ὡς καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, Εἴπερ ἦν Ἕλλην ὁ παθών. TCV.

417, 18. Ὅστις δ' ὁμιλῶν] Γνώμη Εὐριπίδου ἐκ Φοίνικος. B.

Παρῴδησε τὸ ἰαμβεῖον ἐκ τοῦ ὁμοίου. Εἰ γὰρ ὁ φαύλοις συνὼν φαῦλος, οὐκοῦν καὶ ὁ δωροδόκοις συνὼν δωροδόκος. AT.

417, 25. Ὀρθῶς καὶ προσηκόντως.] Κατὰ παρῳδίαν. B.

418, 12. Ἐξαίρετόν ἐστιν ὥσπερ γέρας] Ἵνα μὴ ἔχῃ λέγειν, ἀλλ' οὐκ οἶδα, οὐ γὰρ ὑπεκρινάμην τὸ δρᾶμα· λέγει δὲ ὁ τὰς θεατρικὰς ἱστορίας συγγράψας (Juba?) διὰ τοῦτο τοῖς τριταγωνισταῖς τὰς ὑποκρίσεις τῶν δυναστευόντων παρέχεσθαι, ἐπειδὴ ἧττόν ἐστι παθητικὰ καὶ ὑπέρογκα. TCV.

418, 15. Ὁ Κρέων Αἰσχίνης] ὁ τὸν Κρέοντα ὑποκρινόμενος Αἰσχίνης. TCV.

418, 16. Πεποίηται τῷ ποιητῇ] Ἵνα ἀποσπάσῃ ἀπ' αὐτοῦ τὴν φιλοτιμίαν. Οὐ γὰρ ἦν αὐτὸς ὁ ποιήσας. Τὰ δὲ ἰαμβεῖά εἰσι ταῦτα.

ΙΑΜΒΕΙΑ ΕΞ ΑΝΤΙΓΟΝΗΣ ΣΟΦΟΚΛΕΟΥΣ.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
Ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
Μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
Ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
Κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ.
Καὶ μείζον' ὅστις ἀντὶ τῆς αὐτοῦ πάτρας
Φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
Ἐγὼ γὰρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ,
Οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
Στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
Οὔτ' ἂν φίλον ποτ' ἄνδρα συμμάχου χθονὸς
Θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
Ἥδ' ἐστὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
Πλέοντες ὀρθῶς τοὺς φίλους ποιούμεθα. TCV.

419, 12. Ἐρρῶσθαι] ἀντὶ τοῦ οἰμώζειν· τῶν δυσφορουμένων γὰρ ἡ λέξις· καὶ ἐπὶ κακοῦ λέγεται. ATCV. Τὸ δὲ στείχουσαν ὁμοῦ ἀντὶ τοῦ ἐγγύς. TCV.

419, 16. Καὶ τοὺς βουλομένους εἰπεῖν] ἑαυτὸν δηλοῖ ἀνεπαχθῶς. TCV.

419, 18. Ταύτης ἔπι τελοῦσα] Τινὲς ἐνόμισαν μίαν λέξιν εἶναι, οὐκ ἔστι δὲ, ἀλλὰ τὸ ἔπι συναπτέον πρὸς τὸ ταύτης καὶ τὸ τελοῦσα καθ' ἑαυτὸ, ἵνα ᾖ ἐπὶ ταύτης τελοῦσα. Ἤδη δὲ ἔγνωμεν ὅτι ἐπῳδὸς ἦν ἡ μήτηρ αὐτοῦ κατὰ τὸν Δημοσθένους λόγον καὶ καθαίρουσα τοὺς μέλλοντας μυεῖσθαι. TCV.

419, 21. Ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω] Μέμνηται τῶν προγόνων Αἰσχίνου· ὅσῳ γὰρ ἂν ἐκ φαύλων καὶ ταπεινῶν ἐπιδείξῃ γενόμενον, τοσούτῳ μᾶλλον ἀφαιρεθήσεται καὶ τὴν τῆς ὑπολήψεως αἰδῶ καὶ ἄχρι τῆς ἀσελγείας. Δύο δὲ μέρη τῶν ἐπιλόγων εἰργάσατο· ἓν μὲν τὸ κατὰ τὸ γένος, ἕτερον δὲ τὸ κατὰ τοὺς λόγους οἷς Αἰσχίνης ἐχρήσατο ἐν τῷ κατὰ Τιμάρχου. Ἐντεῦθεν τρίτον ἐστὶ μέρος λοιπὸν, ὃ πρὸς τοὺς ἀκούοντάς ἐστιν, ἐκφοβοῦντος ἤδη καὶ ταράττοντος ἐφ' οἷς ἅπαξ αἱ πόλεις μετὰ προδοτῶν εἰσι, φόβον ἐργάσασθαι τοῖς ἀκούουσι βουλόμενος, ὡς οὐ μικρᾶς φροντίδος δεῖ τοῖς παροῦσι πρὸς τὰς ὑπερβαλλούσας δωροδοκίας· ἐν ᾧ μέρει καὶ τὰ κατὰ τὸν Ζελείτην ἐξήτασε καὶ ὅσα οἱ πατέρες κατὰ τῶν προδοτῶν πολλάκις ἐψηφίσαντο. Προστίθησι δὲ καὶ ὅσα ἐπὶ τῆς παρούσης ἡλικίας ἐψήφισται κατὰ προδοτῶν· ἐν ᾧ πάλιν μέρει ὁ Τιμαγόρας καὶ ὁ Λέων καὶ οἱ πρεσβεύσαντες πρὸς τὸν βασιλέα τῶν Περσῶν, τῆς εἰρήνης τῆς ἐπὶ Ἀνταλκίδου γενομένης, ἐξεταζόμενοι φαίνονται. TCV.

419, 22. Ἥρως] Οὕτως ἐκαλεῖτο ἥρως ἰατρός τις παρὰ τοῖς Ἀθηναίοις. Ἐκλήθη δὲ ἥρως διὰ τὸ μέγεθος τοῦ σώματος. Τὸ δὲ κύριον ὄνομα αὐτοῦ Ἀριστόμαχος. ATCV.

419, 26. Ἐν τῇ θόλῳ] ἡ θόλος τόπος ἐστὶν, ἔνθα ἐσιτοδοτοῦντο ἀπὸ τοῦ δημοσίου γραμματεῖς οἱ χειροτονηθέντες ἐκ τῆς πόλεως. Ἐκλήθη δὲ θόλος διὰ τὸ θολοειδὲς καὶ στρογγύλον εἶναι τὸ σχῆμα. ATCV. Τόπος, ἔνθα ἐδείπνουν οἱ πρυτάνεις. BYP.

419, 29. Κατέδυσε] ἐνέμεινε τῇ τροπῇ τοῦ πλοίου. A.

420, 2. Εἶτ' οὐ σὺ σοφιστής, καὶ πονηρός γε] Προστί

θησιν ἀπὸ τῆς οἰκείας κρίσεως ἐπ' ἀμφοτέρων τὴν ῥοπὴν τοῦ κακοῦ, ἵνα τῆς γνώμης ᾖ καὶ μὴ τῆς τύχης τὸ κατηγόρημα. TCV.

420, 7. Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος] Σημείωσαι περὶ τοῦ Σόλωνος ὅτι ἀμφισβητούντων Μεγαρέων καὶ Ἀθηναίων περὶ Σαλαμῖνος ὁ Σόλων ἐκ τῶν Ὁμηρικῶν ἐπῶν (Il. 2, 557) τὴν ἀπόδειξιν ἐποιήσατο, στίχον παρενθεὶς πεπλασμένον,

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,

καὶ προσέθηκε τόνδε τὸν στίχον,

Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

Τοῦτον πλάσας τὸν στίχον ἐνίκησεν ἐν τῇ δίκῃ τοὺς Μεγαρέας· ἔδειξε γὰρ ὅτι Ἀθηναίων ἦν ἡ Σαλαμὶς ἐκ παλαιοῦ. Σημείωσαι δὲ καὶ τὰ ἐλεγεῖα αὐτοῦ· τὰ μὲν πρῶτα,

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου
ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσάμενοι.

τὰ δὲ δεύτερα,

Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
ἀστοὶ βούλονται χρήμασι πειθόμενοι. ATCV.

421, 22. Καὶ πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν] Οἱ μέν φασιν ὅτι ἐν ταῖς πομπαῖς ἐλοιδοροῦντο ἀλλήλοις προσωπεῖα φοροῦντες, ὑποκάτω δὲ πιλίδια ἐφόρουν, ὥστε μὴ βλάπτεσθαι καὶ τρίβεσθαι τὴν κεφαλήν. Ὅτι τὸν Οἰνόμαον ὑποκρινόμενος καὶ καταπεσὼν ἐπλήγη καὶ ἐτραυματίσθη καὶ ἐδέδετο τὴν κεφαλήν. Οὐ φεύξῃ οὖν τὸ μὴ δοῦναι δίκην, κἂν πιλίδιον φορῇς. TCV.

423, 17. Ὑπακούσαντά τινα] τὸν Τίμαρχον λέγει. AT.

424, 11. Καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι] Ὑποκορίζεσθαί ἐστι κυρίως τὸ τοῖς παισὶ πρὸς ψυχαγωγίαν καὶ ἀπάτην λέγειν τινὰ ὀνόματα, οἷον, ὡς Διόνυσός ἐστιν, ὡς βασιλεύς, καὶ τὰ τοιαῦτα. Καταχρηστικῶς δὲ καὶ τὸ εὐφήμοις ὀνόμασι κλέπτειν τὴν ἀτοπίαν. ATCV.

424, 19. Τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμα] Κοινὸν ἀξίωμα τὴν ἐλευθερίαν τῶν Ἑλλήνων φησίν, οὐ τῆς Ἑλλάδος δέ φησι τὴν ἡγεμονίαν· οὐ γὰρ εἶχον ταύτην οἱ Θετταλοί, ἀλλ' ἢ τῆς Ἀμφικτυονίας ἢ τῶν οἰκείων πόλεων τὴν ἀρχήν. Ἔοικε δὲ τὸ ἀξίωμα λέγειν ἢ τῆς αὐτῶν ἀρχῆς, ἢ τῆς διοικήσεως τῆς Πυλαίας, ἢ ἁπλῶς τῆς ἐλευθερίας, ὡς καὶ προείπομεν. TCV.

424, 22. Τὰς ἐν Ἤλιδι σφαγὰς] Ἐστασίαζον πρὸς ἀλλήλους, οἱ μὲν τὰ Φιλίππου φρονοῦντες, οἱ δὲ τἀναντία βουλόμενοι. Εἶτα ἀπέσφαξαν ἀλλήλους, τῶν φιλιππιζόντων ἐπικρατησάντων. TCV.

425, 7. Καὶ τοὺς πρώτους εἰσαγαγόντας ἠτιμώσατε] Ἀνέῳξε, φησί, τὰς Πύλας ὁ Φιλοκράτης τῇ νόσῳ· Αἰσχίνην αὐτὸν καὶ μὴ βουλόμενον εἰσενήνοχεν· οὐ γὰρ ἀφ' ἑαυτοῦ εἰσῆλθεν, ἀλλ' οὐ βουλόμενον εἰσήγαγε. TCV.

425, 24. Καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν] ὄνομα ἴδιον τῶν ἀρχόντων. Εἰσὶ δὲ οὗτοι, Τελευτίας, Ἀγησιλάου ἀδελφός, μετ' αὐτὸν Ἀγησίπολις, τρίτος Πολυβιάδης· πρὸς οὓς τὰς διαλύσεις οἱ Ὀλύνθιοι ἐπεποίηντο. TCV.

426, 1. Ἤρεψε] ἐρέπτω τὸ θέμα αὐτοῦ, ὃ καὶ ἐρέπω. P.

426, 5. Οὐχ ὅπως] οὐ μόνον. P.

426, 6. Ἀλλ' ἀπέβλεπον] ὥσπερ ἐκθειάζοντες αὐτούς. TCV.

428, 13. Ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως] ὡς ἀπὸ τῶν περιστατικῶν ἡ αὔξησις γέγονεν. TCV.

428, 29. Ἵππου μὲν δρόμον] ὅρος τῆς Ἑλλάδος. Ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων καὶ ἀποστόλων εἰς τοῦτο κατῆλθεν, ὥστε ὡμολόγησε δυοῖν ἐντὸς ὅροιν μηκέτι πλευσεῖσθαι, πρὸς μεσημβρίαν μὲν Χελιδονίας, πρὸς δὲ ἄρκτον Κυανέας θέσθαι. Lass.

430, 4. Ὧν εἷς ἦν Ἐπικράτης] Πολλῶν ὄντων τῶν κεκολασμένων τοῦ Ἐπικράτους ἐμνημόνευσεν, ἵνα φανῶσι μηδὲ τῶν εὐεργετῶν φειδόμενοι. TCV.

430, 25. Καὶ ἠλέγχθησάν τινες] Τοῦτο πάλιν ἐκ τοῦ προτέρου ψηφίσματος εἴληπται· ἀλλ' οἱ μὲν ἐπὶ τῆς βουλῆς μόνης ἐψεύσαντο, οὗτοι δὲ καὶ ἐπὶ τοῦ δήμου. TCV.

430, 26. Οὗτοι δέ γε] ὡς παρ' Αἰσχίνου τοῦτο λαμβάνει. A.

430, 29. Οὐδ' ἐπιστέλλοντες, φησί, τἀληθῆ] Ἀπὸ κοινοῦ τὸ ἠλέγχθησαν. TCV.

431, 5. Ἀλλὰ μὴν ὑπέρ γε τοῦ δώρα] Τῷ ἀπὸ τοῦ ἐναντίου κέχρηται ἐπιχειρήματι, φάσκων ἄτοπον εἶναι τοὺς μὲν εὐεργέτας καὶ τῶν εὐεργετῶν τοὺς παῖδας ἐκπεπτωκέναι δι' ἁμαρτήματα μικρὰ καὶ φαῦλα, τὸν Ἀτρομήτου δὲ μὴ ἐκπεσεῖν· ἐν ᾧ καὶ τὸν ἔλεον ἐκβάλλει, ὑπομνήσας καὶ τῶν λόγων οἷς τοῦ Τιμάρχου τὸν ἔλεον ἐξέβαλε. BFRSY TCVL.

431, 6. Ἐξελέγχειν] ἐφηγεῖσθαι, γράφεσθαι, δικάζεσθαι. B.

431, 15. Καὶ τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος] Τὸν Πρόξενον λέγει τὸν στρατηγόν· ἐκεῖθεν γὰρ ἦν. TCV.

431, 22. Παιδία ὁμώνυμα] Εἰκὸς γὰρ ἦν τὸν Πρόξενον τῷ Ἁρμοδίου ὀνόματι χρῆσθαι ἐπί τινος υἱοῦ. TCV.

431, 25. Ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια] ἐφ' οἷς φαρμάκοις καὶ ἄλλη ἱέρεια τέθνηκεν. Λέγει δὲ τὴν Νίνον λεγομένην. Κατηγόρησε δὲ ταύτης Μενεκλῆς ὡς φίλτρα ποιούσης τοῖς νέοις. ARTCV. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐξ ἀρχῆς γέλωτα εἶναι καὶ ὕβριν κατὰ τῶν ὄντως μυστηρίων τὰ τελούμενα ταῦτα [νομίζοντες] τὴν ἱέρειαν ἀπέκτειναν· μετὰ τοῦτο τοῦ θεοῦ χρήσαντος ἐᾶσαι γενέσθαι τὴν Αἰσχίνου μητέρα μυεῖν ἐπέτρεψαν. TCV.

432, 17. Ὅτι τοῦτον εἶδεν ἀδικοῦντα] Ἐπειδὴ διὰ σωφροσύνην ἔδοξε τοῦ Τιμάρχου κατηγορῆσαι, ὑποβάλλει ἄλλην αἰτίαν καὶ ἀναιρεῖ τὴν καλήν. TCV.

432, 19. Εἰ γὰρ παρὰ τῶν εἰς αὐτοὺς ἐξαμαρτανόντων] Πορνεύοντες ἑαυτούς. Ἅπτεται δὲ τῆς ὑπολήψεως καθαιρῶν αὐτήν. TCV.

432, 23. Νὴ Δί'. Οἱ νέοι γὰρ] Ἀνθυποφορὰν ἔθηκεν ἐπιλογικὴν ἐκ τῆς Αἰσχίνου ποιότητος, ἀπὸ τῆς ἐργασίας ἀνακύψασαν· ἀλλὰ χρήσιμός ἐστι τῇ πόλει σωφρονίζων διὰ τοῦ βίου τοὺς παῖδας. Ἔστι δ' ὅτε ἐξεπίτηδες αὐτὸς ἑαυτῷ κινεῖ τὰς τοιαύτας ἐναντιώσεις, ἵνα πλείονας ἐπιχειρημάτων εὐπορίας εὑρίσκῃ. Ἐπαινεῖ μὲν οὖν τὴν ἀγωγὴν τῶν παίδων διὰ τῆς λύσεως, διαβάλλει δὲ τὸν Αἰσχίνην ὅτι ἀδοξίαν ἰσχυρὰν περιῆψε τῇ πόλει. Καὶ τίνος ἕνεκα κατηγόρησε Τιμάρχου συνίστησιν, ὅτι εὔνους, φησίν, ἦν ὑμῖν καὶ πολέμιος τῷ Φιλίππῳ. Τὴν δὲ βούλησιν Αἰσχίνου, δι' ἣν κατηγόρησε Τιμάρχου, διαπορήσεως σχήματι μᾶλλον ἔπλεξεν, εἰπών, οὐκ οἶδα ὅπως ἔχομεν. Ὁ

γὰρ ἀκροατὴς παρ' ἑαυτῷ βασανίζων τὸν λόγον μείζονα κατ' αὐτοῦ λαμβάνει τὴν ὑπόνοιαν ὧν ὁ ῥήτωρ ἐπέπληξεν, ἢ φανερῶς ὠνείδισε. TCV.

433, 6. Πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος] ὅτε καὶ νέος ἦν, καὶ χώραν εἶχεν ἡ γραφὴ πλέον. Ἦν δὲ ἐν τῇ πόλει εἶπεν, ἵνα μὴ λέγῃ ὅτι ἀπόντος ἐλάνθανεν. TCV.

433, 16. Ἀπόλωλε καὶ ὕβρισται] Τὸ δεύτερον προστεθὲν τὸ μάτην καὶ ἀδίκως ἀπολωλέναι δηλοῖ. TCV.

433, 19. Κηδεσταῖν] Κηδεστάς. ἐνταῦθα καλεῖ τοὺς ἀδελφοὺς τῆς γυναικὸς αὐτοῦ. ACDGRTV.

433, 20. Ὃς ἑαυτὸν ἐμίσθωσε Χαβρίᾳ] Αἰγύπτιόν τινά φασιν οὕτω καλεῖσθαι. Ἐμίσθωσε δὲ ἐπ' αἰσχρότητι. TCV.

433, 21. Καὶ τοῦ καταράτου Κυρηβίωνος] Τὸ μὲν ὄνομα Ἐπικράτης, τὸ δὲ Κυρηβίωνος Ἀττικῶς (σκωπτικῶς?). Λέγει δὲ τὸ κάθαρμα καὶ εὐτελές. Κυρήβια γὰρ τὰ ἀποκαθάρματα τοῦ σίτου λέγουσι. TCV. Τὸ ἀναίσχυντον αὐτοῦ βουλόμενος δεῖξαι, εἶπε τὸ ἄνευ τοῦ προσώπου. Οἱ γὰρ ἐν ταῖς ἑορταῖς τότε βουλόμενοι σκώπτειν τινὰς ἐφόρουν προσωπεῖα, ἵνα μὴ αἰσχύνωνται. Ἰστέον δὲ ὅτι οἱ νεώτεροι λέγουσιν αὐτὸ προσωπεῖον, ἐν δὲ τοῖς ἀρχαιοτέροις βιβλίοις εὑρίσκεται τὸ πρόσωπον. ACDGRTV. Σημείωσαι· λέξις ἐκ παρονομασίας, τρίτου εἴδους τῆς κατὰ λέξιν δριμύτητος. BFYP.

433, 24. Ἀλλὰ δῆτα ἄνω ποταμῶν] Ἐναλλὰξ καὶ ἀτάκτως ἡ παροιμία ἔχει· οἷον, Αἰσχίνης κατηγορεῖ πορνείας, ὅλην τὴν ἑστίαν πορνῶν ἔχων μεστήν. Ἡ παροιμία δὲ λέγεται ἐπὶ τῶν ἐναντίως φρονούντων. TCV. Ἡ παροιμία λέγεται ἐπὶ τῶν ἐναντίων. Φησὶν οὖν ὅτι ἐναντία ταῦτα ἐγίνετο· πορνείας κατηγορεῖ ὁ Αἰσχίνης πᾶσαν αὐτὸς τὴν ἑστίαν ἔχων πόρνων. AR. Τὸ ἐρρύησαν περὶ ποταμοῦ λέγων ἐνέμεινε τῇ τροπῇ. ACDGRTV.

434, 1. Τοῦτ' ἐπετήρουν] ὥσπερ τι θεῖον ἐπετήρουν διὰ τὸ μὴ ἀπολέσαι τὸ κέρδος. TCV.

434, 2. Νῦν δὲ δὴ περιερχόμεθ' ἡμεῖς] ὡς τῆς ἐσχάτης συμφορᾶς, ἀποδημεῖ τις τὰς Ἀθήνας ἐῶν, ἵνα συμβουλῆς ἀκούσῃ τινὸς ὁ τοῖς ἄλλοις ἀεὶ γενόμενος σύμβουλος. TCV.

434, 6. Ἀλλ' εἰ τῆς πόλεως τέθνηκε] Τὸ μὲν ἀπολόμενον ἔστι καὶ εὑρεθῆναι, τὸ δὲ τεθνηκὸς οὐκέτι ἔσται. TCV.

434, 8. Ἀλλ'] Κατὰ κοινοῦ τὸ φοβεῖ με. Εἰς Εὔβουλον δὲ ἀποτείνεται, ὡς ἐπάγει. AT.

434, 10. Καὶ συνεροῦσί τινες τούτοις] Ἐπ' ἄλλον συνήγορον μετέβη, τὸν Εὔβουλον, ὃν εἰς ὑποψίαν κατέστησε φιλιππισμοῦ καὶ κοινωνίας τῆς πρὸς τὸν Αἰσχίνην. BFRSY. Μετέβη ἐπ' ἄλλον συνήγορον, οὐ φαῦλόν τινα καὶ ἀδόκιμον οὐδὲ τῶν κατὰ τὴν πόλιν ἀριθμουμένων ἐν πολλοῖς, ἀλλ' ἀποφερόμενον τὰ πρῶτα καὶ δοκοῦντα ὑπὲρ τοὺς πολλοὺς εἶναι, Εὔβουλον, τὸν διὰ χειρὸς ἔχοντα τὴν πολιτείαν. Τοῦτον γὰρ δέδοικε καὶ τὴν παρὰ τούτου ῥοπὴν καὶ προσθήκην· λέγουσι γάρ τινες δι' αὐτοῦ τὸν Αἰσχίνην σωθῆναι. Εἰς ὑποψίαν οὖν κατέστησεν Εὔβουλον φιλιππισμοῦ καὶ κοινωνίας τῆς πρὸς τὸν Αἰσχίνην. Καὶ ὅσῳ γε μάλιστα κατὰ τὴν πόλιν ἰσχύειν δοκεῖ, τοσούτῳ μᾶλλον ἐκφοβεῖ τὸν δῆμον τῇ περιουσίᾳ τῆς δυναστείας εἰς περιουσίαν κακοποιίας δεικνὺς αὐτὸν ἐπιχρώμενον. Ἐπειδὴ δὲ τῶν ἐπισημοτάτων καὶ δυναστευόντων ἦν κατὰ τὴν πόλιν ὁ Εὔβουλος, πλείστης ἐδεήθη τῆς ἀντιρρήσεως καὶ τῶν πρὸς αὐτὸν ἀγώνων. Ἀντέθηκεν οὖν καὶ χρησμοὺς θεῶν καὶ μαντείας, δεικνὺς ἐκ λογισμῶν διὰ πάντων μηδὲν τοῖς τοιούτοις καθ' ἑαυτῶν ἐνδιδόκαι, ἔτι δὲ καὶ ἀπὸ τῶν πολιτευμάτων αὐτῶν ἐπεχείρησε διαβάλλειν τὸν Εὔβουλον. TCV.

434, 14. Ἡγησίλεῳ μὲν κρινομένῳ] Οὗτος εἰς Εὔβοιαν ἐπεστρατήγησεν, ὅτε τῷ Πλουτάρχῳ τὴν βοήθειαν ἔπεμψαν Ἀθηναῖοι, ὡς εἶπεν ἐν Φιλιππικοῖς. Ἐκρίθη δὲ ὡς συνεξαπατήσας τῷ Πλουτάρχῳ τὸν δῆμον. Βούλεται οὖν δεῖξαι ὅτι οὐ φιλανθρωπίας ἕνεκα συναγωνίζεται τῷ Αἰσχίνῃ, ἀλλὰ διὰ τὸ φιλιππίζειν, ὅπου γε τοῦ οἰκείου τοῦ Ἡγησίλεω οὐκ ἐφρόντισε. TCV.

434, 15. Τῷ Νικηράτου θείῳ] Ἄλλο παράδειγμα, δεικνύον ὡς οὐ δι' ἔλεον συμβάλλεται ὁ καὶ τοῦ θείου καταφρονήσας τότε. TCV.

434, 16. Καλούμενος] Ἵνα μὴ εἴπῃ, Οὐ γὰρ ἐδέετό μου· ὅτι καὶ ἐβόα καλῶν· ἀλλ' ἀνόνητος ἦν ἡ βοή. TCV.

434, 22. Συγκατηγόρει μετ' ἐκείνου σου] Οὗτος οὖν τοῖς συγγενέσι μὴ βοηθήσας, τῷ δὲ κατηγόρῳ συμπράττων, δόξειεν ἂν διὰ τὸν Φίλιππον πεποιῆσθαι τὴν βοήθειαν. TCV.

434, 24. Δεδιξάμενος] ἀντὶ τοῦ εἰς δέος καταστήσας, ὡς ἀπὸ θέματος τοῦ δεδείξω. Κακῶς δέ· ὤφειλε γὰρ δεδειξόμενος. AT.

435, 5. Τί γὰρ δήποτε Μοιροκλέα] Ἐν τοῖς ἄνω παραδείγμασιν ὅτι οὐ φιλάνθρωπος ἔδειξε· πῶς γὰρ ὁ τοῖς ἐπιτηδείοις μὴ βοηθῶν; νῦν δὲ ὅτι καὶ τοὺς ὀλίγα ἡμαρτηκότας φαίνεται κρίνων, ἵνα μή τις λέγῃ, ἀήθης γάρ ἐστι τοῦ κατηγορεῖν, καὶ διὰ τοῦτο φείδεται τοῦ Αἰσχίνου. TCV.

435, 26. Ξένοι καὶ φίλοι προσαγορευόμενοι] τοῦτο εἴρηκεν, ἐπειδήπερ ἄχρι ὀνόματος οἶδε τὴν φιλίαν οὖσαν τὴν παρὰ τῶν ἐχθρῶν. TCV.

435, 29. Ἐν τοῖς τριακοσίοις] Σύστημα ἦν τὰ τῶν τριακοσίων οἱ τὰ κοινὰ διοικοῦντες, ὥσπερ ἐν Ἀρκάσιν οἱ μύριοι. ART.

436, 2. Καὶ πλούτῳ καὶ γένει καὶ δόξῃ] Ἵνα μὴ δόξῃ ὁ Εὔβουλος ὡς εὐεργέτης καὶ πλούσιος μὴ λέγεσθαι εἶναι προδότης, εἰκάζει αὐτῷ τὸν Πτοιόδωρον. Ὅρα τὸν Πτοιόδωρον, φησί, καὶ φυλάττου τὸν Εὔβουλον. TCV.

436, 5. Ἐτύρευε] κατεσκεύαζε, ἐμηχανᾶτο. Μεταφορὰ ἀπὸ τοῦ γάλακτος συναγομένου. P.

436, 8. Σωζέσθω] εἰς τὸν Εὔβουλον πάλιν αἰνίττεται. Μὴ πρὸς χάριν, φησί, τοῦ Εὐβούλου σωζέσθω ὁ Αἰσχίνης μηδ' ἀπολλύσθω. ART.

436, 12. Ἐπὶ καιρῶν γεγόνασιν] Πάνυ θαυμασίως ἐπεχείρησεν, οὐ πάντη τοὺς ἰσχυροὺς ἀτιμάζων καὶ ἐκβάλλων. Ὠφελεῖ γὰρ καὶ τοῦτο τὰς πόλεις, ἀλλὰ ἀπὸ τοῦ τόπου καὶ τοῦ τρόπου διαβάλλων. TCV.

436, 13. Καλλίστρατος] Ὁ Καλλίστρατος τῶν πάνυ δεινῶν ἦν ῥητόρων, ὃς καὶ ἐφυγαδεύθη διὰ τὴν δεινότητα, οὗ καὶ ἀκούσας ὁ ῥήτωρ ἐπεθύμησε καὶ μετελθεῖν τὴν τέχνην. ART.

Ἀριστοφῶν] Πολλάκις καὶ περὶ Ἀριστοφῶντος εἴπομεν ὅτι οὗτός ἐστιν ὁ τὰς ἑβδομήκοντα γραφὰς διαφυγών. ART.

436, 22. Τὰς μαντείας] Ἰστέον ὅτι ἡ μὲν Πυθία ἔφησεν ἀμφιβόλως ὡς δεῖ φυλάττεσθαι τοὺς ἡγεμόνας, ὅπερ δυνατὸν ἁρμόσαι καὶ κατὰ τῶν δημαγωγῶν καὶ κατὰ τῶν στρατηγῶν καὶ κατὰ τῶν ῥητόρων. ART.

436, 27. Πολέμου γάρ εἰσιν ἡγεμόνες] Πολύπτωτον. B.

437, 7. Ὅπως ἂν μὴ χαίρωσιν οἱ ἐχθροὶ] Ὁρᾷς ὅτι οἱ μὲν ἔξωθεν, οἱ δὲ ἔνδοθεν ἐπιβουλεύουσιν. TCV.

437, 11. Ἔξωθεν οἱ ἐπιβουλεύοντες] Τοῦτο δοκεῖ μὲν εἶναι καθ' ἑαυτό· ἔχεται δὲ τῶν ἄνω, ἔνθα φησὶ συνέχειν δεῖν τὴν πόλιν, ὅπως ἐν μιᾷ γένηται γνώμῃ. TCV.

437, 20. Τῷ παρὰ τῶν πωλούντων] Ἐπαναφορά. B.

437, 21. Προεστηκότας] Τινὲς λέγουσι περὶ τοῦ Αἰσχίνου. Βέλτιον δὲ λαβεῖν αὐτὸ περὶ Εὐβούλου. A.

437, 22. Ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστι] Φρονίμως πάνυ μετὰ τὴν αὔξησιν τῆς τῶν προδοτῶν κακίας καὶ τῆς δυναστείας μείζονα καὶ ἰσχυρότερα δείκνυσι τὰ δικαστήρια, ἵνα μὴ φοβῶνται αὐτούς, ἀλλὰ κολάζωσιν. TCV.

438, 4. Ὃς γὰρ ἑαυτὸν τάξας] Ἀνακεφαλαίωσιν ποιεῖται τῶν εἰρημένων ἐν τῇ καταστάσει πάντων, μηδὲν παραλείπων ὡς εὐσύνοπτον γενέσθαι τὴν ὑπόθεσιν. Εἰ δέ τι καὶ παραβέβληται τοιοῦτον ἐκβολῆς ἐλέου ἕνεκα, ὥσπερ τὰ κατὰ Ἀτρεστίδαν, καὶ τὰ γύναια καὶ τὰ παιδάρια, ἢ ἄλλο τι τῶν αὐξήσεως ἐχομένων, οὐδὲν θαυμαστόν· σύνηθες γὰρ τῷ ῥήτορι κατὰ τοὺς καιροὺς τοὺς ἐμπίπτοντας χρῆσθαι τοῖς τοιούτοις τόποις. TCV.

Οὐ μὴν οὐδενὶ μᾶλλον] Ἀνακεφαλαίωσις τῶν προειρημένων ἁπάντων, ὡς εἶναι καὶ τοῦτο ἄλλο μέρος τῶν ἐπιλόγων· ἀναλαμβάνει γὰρ ἅπαντα τὰ κεφαλαιωδῶς εἰρημένα κατὰ τὴν ὑπόθεσιν, μηδὲν παραλιπών, ὡς εὐσύνοπτον γενέσθαι τὴν ὑπόθεσιν πάλιν τοῖς δικάζουσι διὰ βραχέων. Ἐπειδὴ γὰρ πολλὰ τὰ εἰρημένα καὶ πολυμερὴς ὁ λόγος καὶ πλοκὴν ἔχει ποικίλην, πολλὰ δὲ τὰ ἐμβεβλημένα, πολλαὶ δὲ καὶ αἱ αὐξήσεις, ἐξ ὧν ἡ ἐν τοῖς πράγμασι πολλάκις συμβαίνει ἀσάφεια, διὰ τοῦτο κατηναγκάσθη πάλιν διὰ βραχέων αὐτῶν τῶν ἀναγκαιοτάτων ἐπιμνησθῆναι. Ἄρχεται δὲ οὕτως « ὁ γὰρ ἑαυτὸν τάξας· » τοῦτο γὰρ ὅμοιόν ἐστιν ἐκείνῃ τῇ ἐπιβολῇ τῆς καταστάσεως· (p. 344, 4) « Ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον. » BFRSYP. Ἀνακεφαλαίωσιν ποιεῖται τῶν προειρημένων ἐν τῇ καταστάσει πάντων. A.

438, 13. Συσκευάζεσθαι] ἀντὶ τοῦ ἐπιβουλεύεσθαι. A.

438, 15. Τίς ὁ τοὺς μακροὺς καὶ καλοὺς λόγους δημηγορῶν] Ἀποσκώψας αὐτὸν καὶ εἰς μῆκος λόγων, ἐνεφάνισε δὲ καὶ [τὸ] Μιλτιάδου καὶ τὸ Θεμιστοκλέους ψήφισμα ἀναγνούς, ὅτι μισοφίλιππος ἦν Αἰσχίνης τὸ πρότερον. Εἰ γὰρ ἠξίου τὴν πόλιν μιμεῖσθαι τὸν Μιλτιάδου δρόμον, καὶ τὰ Θεμιστοκλέους στρατηγήματα, καὶ τῶν ψηφισμάτων ὧν ἔγραφον ἐκεῖνοι προτρεπόμενοι τὴν πόλιν ἐπὶ τοὺς βαρβάρους, εὔδηλος ἦν τοῦτον διακείμενος τὸν τρόπον. Ἐπαινεῖ δέ, οὐχ ἵνα μαρτυρήσῃ τὴν ἀρετήν, ἀλλ' ἵνα διὰ τῆς μαρτυρίας ταύτης φανερώτερον ἕλῃ αὐτόν. Τὸν γὰρ ἐναντία τούτων πολιτευόμενον τίς οὐκ ἂν μισήσειεν ὡς δωροδόκον; ἀλλὰ καὶ τὸν ὅρκον τῶν ἐφήβων ἐν τῷ τῆς Ἀγραύλου Αἰσχίνην ἀναγινώσκειν φησίν, ἧς Πάνδροσος καὶ Ἕρση ἀδελφαί. Ἱέρεια δὲ γέγονεν ἡ Ἄγραυλος Ἀθηνᾶς, ὥς φησι Φιλόχορος. TCV.

438, 16. Καὶ τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους] ἐπιόντων τῶν Μήδων ἐξ ἀρχῆς καὶ ὁ Μιλτιάδης δραμεῖν εὐθὺς ἐπὶ τὸν Μαραθῶνα ἐψηφίσατο καὶ μὴ ἀναμένειν ἕως συλλεγῶσιν οἱ συμμαχήσοντες. Διὸ καὶ νενίκησε μόνος. Ὁ δὲ Θεμιστοκλῆς κατὰ γῆν ἄπορα βλέπων τὰ πράγματα συνεβούλευσε μὲν ἀφεῖναι τὴν πόλιν, εἰς Σαλαμῖνα δὲ μετοικισθῆναι. Ὁ γοῦν Αἰσχίνης παροξύνων κατὰ τοῦ Μακεδόνος αὐτοὺς ἐκεῖνα προύφερε. TCV. Οἱ δύο ἔγραψαν, ἀλλ' ἑκάτερος αὐτῶν προτρεπόμενος τοὺς Ἀθηναίους πρὸς ἀρετὴν καὶ ἐλευθερίαν. Ὁ μὲν γὰρ Μιλτιάδης, ὅτε ἐπῆλθον οἱ Πέρσαι, ἔγραψεν ὥστε εὐθὺς ἀπαντῆσαι τοῖς πολεμίοις, Θεμιστοκλῆς δὲ καταλιπεῖν ἐρήμην τὴν πόλιν καὶ εἰς τὰς τριήρεις μεταβιβασθῆναι, ὅτε τὰ ἐν Σαλαμῖνι καὶ ἐπ' Ἀρτεμισίῳ. AR.

438, 17. Καὶ τὸν ἐν τῷ τῆς Ἀγραύλου] Ἔστι μὲν μία τῶν Κέκροπος θυγατέρων ἡ Ἄγραυλος. Ἐν δὲ τῷ τεμένει αὐτῆς οἱ ἐξιόντες εἰς τοὺς ἐφήβους ἐκ παίδων μετὰ πανοπλιῶν ὤμνυον ὑπερμαχεῖν ἄχρι θανάτου τῆς θρεψαμένης. Ἡ δὲ ἱστορία αὕτη· Ἄγραυλος καὶ Ἕρση καὶ Πάνδροσος θυγατέρες Κέκροπος, ὥς φησιν ὁ Φιλόχορος. Λέγουσι δὲ ὅτι, πολέμου συμβάντος παρ' Ἀθηναίοις, ὅτε Εὔμολπος ἐστράτευσε κατὰ Ἐρεχθέως, καὶ μηκυνομένου τούτου, ἔχρησεν ὁ Ἀπόλλων ἀπαλλαγήσεσθαι, ἐάν τις ἀνέλῃ ἑαυτὸν ὑπὲρ τῆς πόλεως. Ἡ τοίνυν Ἄγραυλος ἑκοῦσα αὑτὴν ἐξέδωκεν εἰς θάνατον· ἔρριψε γὰρ ἑαυτὴν ἐκ τοῦ τείχους. Εἶτα ἀπαλλαγέντες τοῦ πολέμου ἱερὸν ὑπὲρ τούτου ἐστήσαντο αὐτῇ παρὰ τὰ προπύλαια τῆς πόλεως καὶ ἐκεῖσε ὤμνυον οἱ ἔφηβοι μέλλοντες ἐξιέναι εἰς πόλεμον. TCV.

438, 19. Τὴν ἐρυθρὰν θάλατταν] ὡσανεὶ ἔλεγε, πανταχοῦ τῆς οἰκουμένης. ART.

438, 22. Οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα] Ἐμερίζοντο, φησί, τὴν κατὰ Φιλίππου προσβολὴν Αἰσχίνης καὶ Εὔβουλος, ὁ μὲν ψηφίσματα γράφων, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον, ἵνα τῇ κοινωνίᾳ καὶ αὐτὸς μεταβεβλημένος εὑρίσκηται. TCV.

439, 1. Καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις] ἡ πολλὰ καθεύδουσα. TCV.

439, 3. Συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ] Χρησιμωτάτη γέγονεν αὐτῷ ἡ μνήμη τῶν κατὰ Ἀτρεστίδαν οὐ μόνον διὰ τὴν τοῦ ἐλέου ἐκβολήν, ἀλλ' ἵνα καὶ φαίνηται διὰ τούτου Αἰσχίνης συνομολογῶν τάς τε δωροδοκίας καὶ τὰς Φιλίππου δόσεις, καὶ ὅτι οἷός τέ ἐστι καὶ εἰς διαφθαρεὶς καὶ ὅλας ὁμοῦ προδοῦναι πόλεις, ἵνα φαίνηται Αἰσχίνης διὰ τῶν οἰκείων ἁλισκόμενος λόγων· τὰ γὰρ ὅμοια τοῖς ὁμοίοις ἀκόλουθα. Εἰ γὰρ Ἀτρεστίδας ἦγεν αἰχμάλωτα καὶ δι' Ἀτρεστίδαν ὠδύρετο τὴν Ἑλλάδα, ὠδύρετο ἄν τις καὶ διὰ τὸν Αἰσχίνην Φωκέας. Οὐχ ἧττονες γὰρ Ἀτρεστίδου τὴν δωροδοκίαν Αἰσχίνης καὶ Φιλοκράτης. TCV. Οὗτος ὁ Ἀτρεστίδας προδότης ἦν Ἀρκάς. ART.

439, 4. Γύναια καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν] Ὡς στοχαζόμενος εἶπεν ἀορίστως τὸν ἀριθμόν, ἵνα ὑπολάβωσι καὶ γυναῖκας τριάκοντα καὶ παιδάρια τριάκοντα. TCV.

439, 6. Τίς ἄνθρωπός ἐστι· καὶ τίς ὄχλος;] ἆρα μὴ τύραννος; ἆρα μὴ στρατηγὸς τοῦ Φιλίππου λόχον καθίζει τινά; TCV.

439, 14. Ἀκούειν γὰρ ἔφη τῶν φίλων] Δίδωσιν αὐτῷ τότε καὶ φίλους, ὅτε καὶ αὐτὸς ἦν εὔνους. Ἐπιστροφὴν δὲ ἢ τιμωρίαν κατὰ τῶν προδοτῶν ἢ μεταβολὴν τοῦ τρόπου ἀπὸ ῥαθυμίας εἰς σπουδήν. TCV.

439, 22. Μήτε τρόπαια λέγειν] Ὅρα πῶς οὐκ εἶπε μάχας οὐδὲ κινδύνους, ἀλλὰ τρόπαια, τὸ ἡδὺ καὶ σεμνὸν καὶ ἔνδοξον αἰδεῖσθαι οὐκ ἐῶν. TCV.

Μήτε βοηθεῖν οὐδενί] Τὸ καθόλου καὶ τὸ ἄτοπον, μηδ' ἂν οἰκεῖος ᾖ, μηδ' ἂν παῖς ἐμός, μηδ' ἂν εὖ πεποιηκὼς ἐμὲ πρότερον, μηδ' ἂν οἱ θεοὶ προστάττωσι καὶ Ἀθηνᾶ συγχωρῇ. TCV.

439, 25. Εἶναί τε τὸν Φίλιππον αὐτόν; Ἡράκλεις] Σημεῖον τοῦ θαύματος τὸ Ἡράκλεις. Ἑλληνικώτατον δὲ

καθαρώτατον, εἰλικρινέστατον· ὅπερ γὰρ οἱ βάρβαροι ἀρνοῦνται, τοῦτο δεδώρηται ὁ τρόπος αὐτῷ. TCV.

439, 27. Δεινότατον λέγειν] Καὶ τοῦτο γὰρ Ἑλληνικὸν, τὸ δύνασθαι λέγειν, ὡς εἶναι καὶ τῷ τρόπῳ καὶ τῇ γλώττῃ τὸν Φίλιππον Ἕλληνα. TCV.

440, 1. Ἔστιν οὖν ὅπως ἂν ταῦτ' ἐκεῖνα] Συναγωγὴ τῆς πίστεως. Οὐκ ἠδύνατο, φησὶν, ὁ ἐκεῖνα προειρηκὼς ταῦτα εἰπεῖν ὄντα ἐναντία, εἰ μὴ προδιέφθαρτο. Ὅρα δὲ αὐτὸν καὶ τὸ ἦθος Αἰσχίνου μιμησάμενον ἐν οἷς ὑπέμνησεν Αἰσχίνου δημηγορίαν εἰπών. TCV.

440, 7. Ἤγαγε δεῦρ' ἐφ' ὕδρει] Βαρέως εἰς ὄψιν τῶν Ἀθηναίων αἱ γυναῖκες ὑβρίζονται. TCV.

440, 16. Ἀλλ' ὑπὲρ αὐτοῦ κλαιήσει] Ἐντεῦθεν ἡ τοῦ ἐλέου ἐκβολή. ART. Ἵνα μὴ εἴπῃ ὅτι οὐ πέφυκα δακρύειν καὶ διὰ τοῦτο οὐκ ἐδάκρυσα, ἐπάγει ὅτι ὑπὲρ αὐτοῦ μὲν κλαιήσει, ἐκείνους δὲ οὐκ ἠλέησε. TCV.

440, 20. Καὶ πτωχοὶ περιέρχονται] Ἐπλήρωσαν θρήνων τὴν οἰκουμένην πλανώμενοι. Ἐπειδὴ δὲ ἔστι πλανᾶσθαι καθ' ἱστορίαν ἢ ἐμπορίαν, ἵνα τὴν συμφορὰν ἐμφήνῃ, τὸ πτωχοὶ προσέθηκεν. TCV.

440, 23. Καὶ προδότου πατρὸς] Προέταξε τοῦ χρηστοῦ ὀνόματος, λέγω τοῦ πατρὸς, τὸ αἰσχρὸν τὸ τοῦ προδότου. TCV.

441, 8. Ὡς ἐπέδη Μακεδονίας] τὰς Ἀθήνας καταλιπών. TCV.

441, 13. Τίς γάρ ἐστιν Ἑλλήνων] Τιμᾷ τὰς Ἀθήνας καὶ βάρβαρος, καὶ δίδωσί μοι τὴν ψῆφον, οὐχ ὡς Ἕλληνα φιλῶν, ἀλλ' εἰ καὶ δυσμενὴς, τῆς ἀληθείας ἡττώμενος. Οὐκοῦν ἔστω καὶ τῶν φύσει πολεμίων Αἰσχίνης. Πολεμιώτερος γάρ. Τρία ἐστὶ τὰ ποιοῦντα μὴ λέγεσθαι τῆς Ἀττικῆς τὰ ἀνδραγαθήματα· ἢ γὰρ ἀνόητος ὢν οὐκ οἶδεν, ἢ ἀνήκοος ἔμεινεν ἔξω τῆς οἰκουμένης οἰκῶν, ἢ ἐχθρὸς ὑπάρχει τῆς πόλεως καὶ μισῶν κρύπτειν πειρᾶται, δέον ἓν τῶν τριῶν ὑποστῆναι τὸν Αἰσχίνην, μὴ συντιθέμενον τῇ δόξῃ τῆς πόλεως. TCV.

441, 19. Ἐν Μαραθῶνι] τὸ Μαραθῶνι, ὅπου μόνως ἐνίκησαν οἱ Ἀθηναῖοι. TCV.

441, 22. Εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν] Τὰ κοινὰ τὰ ἐν Σαλαμῖνι ἴδια πεποίηκεν οὗτος, ἀποστερῶν τῶν ἐπαίνων δηλονότι. Καλῶς δὲ τὸ ἀποστερῶν. Ἐπειδὴ καὶ κτῆμα αὐτῶν ἔφησε τὴν δόξαν εἶναι. Τοιοῦτον γάρ ἐστι καὶ τὸ στερηθείη ἑξῆς· στερίσκεται γάρ τις ὧν ἔχει, ἀποστερεῖται δὲ τὰ ἀλλότρια. Ἐνεβράδυνε δὲ τοῖς προγόνοις, παροξύνων πλέον τοὺς δικαστὰς τοὺς αἰδουμένους αὐτούς. TCV.

441, 27. Οἱ δὲ ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι] Σημείωσαι· περὶ ἐγκωμίων τεθνεώτων. B.

442, 2. Τῆς ἐπιτιμίας] τῆς εὐπορίας ἢ τῆς μὴ ἀτιμίας. B.

442, 9. Καὶ χάριν ὑμῖν ἔχειν] Ἤδει γὰρ ὅτι μείζονος ἢ καθ' αὐτὸν ἔτυχεν· ὁ γὰρ τυχὼν τιμῆς, ἧς ἄξιός ἐστιν, οὐκ ἔχει χάριν τῷ δόντι, ἀλλ' ὁ παρ' ἀξίαν λαβών. TCV.

442, 10. Καὶ μέτριον παρεῖχεν ἑαυτὸν] οὐκ ὢν δηλονότι, ἀλλ' ὑποκρινόμενος. TCV.

442, 11. Τὰς ὀφρῦς ἀνέσπακεν] Ἵνα μὴ αὐτομάτως ἐκ φύσεως γένηται, αὐτὸς ἀνασπᾷ, φησὶ, πρὸς τοὺς καιροὺς σχηματιζόμενος. TCV.

442, 12. Κἂν ὁ γεγραμματευκὼς Αἰσχίνης] Ἐὰν τολμήσῃ τις ὅλως εἰπεῖν, οὐχ ὁ νῦν γραμματεὺς Αἰσχίνης, ἀλλ' ὁ ποτὲ γενόμενος, ἐχθρός ἐστιν εὐθέως· κατέχονται γὰρ πάντες τῷ δέει. TCV.

442, 14. Θοἰμάτιον] τὸν τρίβωνα φησί. ARB.

442, 20. Τὴν θόλον] ὁ τόπος, ἔνθα ἐδείπνουν οἱ πρυτάνεις. B.

Βούλομαι τοίνυν ὑμῖν ἐπελθεῖν] Ἀνακεφαλαίωσις τῶν ἐκ τῆς δωροδοκίας κακῶν, ὧν ἐπολιτεύσατο Φίλιππος. BFRYSTCV. Οὐ γὰρ τοῖς ὅπλοις εἷλεν ὑμᾶς, ἀλλ' ἐκ τῆς πολιτείας νενίκηκε. Μόνον γὰρ οὐκ ἐδημηγόρει παρ' ὑμῖν, τοῖς προδόταις λέγων ἃ βούλεται. TCV.

442, 25. Διαφορουμένης αὐτῷ τῆς χώρας] πορθουμένης, λεηλατουμένης· οἷον, ὁ τοὺς λῃστὰς Φωκέας ἀνήρπασε. TCV.

442, 27. Τοὺς τὰ φιλάνθρωπα λέγοντας] Ἐν λόγοις γὰρ μόνον ἦν, οὐκ ἐν ἔργοις ἡ φιλανθρωπία. TCV.

443, 1. Ἡμεῖς οἱ πρέσβεις] Χωρίζει νῦν τὸν Αἰσχίνην. Χρηστὸν γὰρ ὄνομα ἡ πρεσβεία. TCV.

443, 2. Ἐμισθώσατο μὲν τοῦτον εὐθέως] Τὸ εὔπολον αὐτοῦ καὶ εὔωνον δείκνυσι τὸ εὐθέως. TCV.

443, 17. Συνεξαιρήσειν] Καλῶς προσέθηκε τὸ σύν, ἀντὶ τοῦ σὺν αὐτοῖς πορθεῖν. ARC.

443, 28. Οὔτε Ἕλληνος οὔτε βαρδάρου] Οὐκοῦν καὶ νῦν ἠδύνατο καὶ μόνη ῥύσασθαι αὐτοὺς ἡ πολιτεία, ἡ μηδὲ τότε παρ' ἄλλων δεηθεῖσα συμμαχίας. TCV.

444, 11. Πῶς; οὕτως] ὡς ἔτι ζητοῦντος. Τὸ δὲ οὕτως, ὡς λοιπὸν εὑρόντος Ἀθηναίων τινὰς, καὶ τοῦ Φιλίππου ἀποροῦντος καὶ μονονοὺ δυσχεραίνοντος. Ἆρα παρ' Ἀθηναίοις εὑρήσομεν ἄνδρα ουτωσὶ μοχθηρότατον; ἆρα δυνατὸν ὀφθῆναί τινα παρ' ἐκείνοις ῥᾳδίως ψευσόμενον; φοβοῦμαι τὴν τῆς Ἀττικῆς φύσιν. Χρηστοὺς ἐπίσταται τρέφειν οἰκήτορας. TCV.

444, 20. Ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν αὐτὸν] Τί θέλετε, φησὶν, αὐτὸν ὁμολογήσειν τοῖς λόγοις ἃ κατορθώσει τοῖς ἔργοις; TCV.

445, 8. Μηδ' ἐναντίον ἔλθῃ ψήφισμα] Ἤρκει μοι πρὸς τὴν νίκην τὸ ψήφισμα δίκην στρατιᾶς. Ἐφοβεῖτο γὰρ τὸ δόγμα τῶν Ἀθηναίων ὁ Φίλιππος. TCV.

445, 20. Ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς] Ἐπόθουν, φησὶ, πόλεις Ἑλληνίδας ἰδεῖν οἰκιζομένας, καὶ ἀνδραποδισθείσας ἀκήκοα. TCV.

445, 23. Καὶ περιαιρεθῆναι τὴν ὕδριν] Ἵνα μὴ κατὰ φθόνον δοκῇ λέγειν τὸ περιαιρεθῆναι, οἷον τοῦ φρονήματος καὶ τοῦ ἀξιώματος, προσέθηκε τὴν ὕδριν, ἵνα δικαίως δοκῇ λέγειν. TCV.

445, 25. Θηδαῖοι δὲ ἦσαν οἱ κατασκάπτοντες] Διπλοῦν εἰργάσατο πάθος, ἐχθροὺς δεδειχὼς τοὺς αὐτόχειρας. TCV.

445, 26. Οἱ διοικισθέντες] οἱ διαιρεθέντες, ὥστε μὴ ὁμοῦ οἰκεῖν. FBY.

Ὑπ' Αἰσχίνου τῷ λόγῳ] εἴθε καὶ Φωκέας εἶδον διοικισθέντας τῷ λόγῳ. Νῦν δὲ οὓς τοῖς ῥήμασιν ἔσωσας διέφθειρας ἐν τοῖς πράγμασιν. TCV.

446, 2. Περὶ Δρυμοῦ] πόλις μεταξὺ τῆς Βοιωτίας καὶ τῆς Ἀττικῆς. BFY.

446, 5. Τὰ πάτρια] Τὰ πάτρια ἔθη λέγει, οἷς ἐκέχρηντο οἱ πατέρες. ART.

446, 7. Ἀμφικτύονες] Ἀμφικτύονας τοὺς Φωκέας λέγει. ART.

446, 12. Ἡ πόλις δὲ] ἡ πόλις τῶν Ἀθηναίων. Εἰ γὰρ καὶ οἱ Φωκεῖς εἶχον ταύτην, ἀλλ' οὖν γε κατὰ τιμὴν παρεχώρουν τοῖς Ἀθηναίοις, ὡς μείζοσιν. ART.

446, 13. Αἴνιγμα] Αἰνίγματα γάρ ἐστι τὰ διὰ τῶν ἐναντίων δηλούμενα. ART.

446, 26. Ἔστιν ὅντιν' ὑμεῖς] Ἀρχὴ τοῦ κατὰ τὴν δωροδοκίαν ἐπιλόγου. BFSY.

Ἔστιν ὅντιν' ἂν ὑμεῖς] Τὰ μέρη τοῦ προτέρου στοχασμοῦ ἐργασάμενος μνημονεύει οὐδὲν ἧττον καὶ τοῦ δευτέρου τοῦ περὶ τῆς δωροδοκίας. Καὶ ἄρχεται λοιπὸν ἐντεῦθεν τοῦ κατὰ τὴν δωροδοκίαν ἐπιλόγου, φάσκων ὅτι οὐκ ἂν ὁ Φίλιππος ἔδωκεν· οὐδὲ γὰρ ἂν ὑμεῖς εἰκόνα δοίητε οὐδὲ σίτησιν οὐδὲ τῶν ἁπάντων οὐδὲν, εἰ μὴ ὑπὲρ ὑμῶν πολιτεύσαιτο. TGV.

447, 11. Ἀλλὰ Ξενοκλείδην τουτονὶ] Οὗτος ποιητὴς ὢν Ἀθηναῖος διέτριβεν ἐν τῇ Μακεδονίᾳ· ὃς ὑπεδέξατο πολίτην ὄντα καὶ ἀτιμαζόμενον τὸν Ἡγήσιππον. Εἶτα μαθὼν ὁ Φίλιππος ἀπείρηκεν αὐτῷ εἶναι ἐν Μακεδονίᾳ. TCV.

447, 17. Εἶπε τοίνυν μοί τις] Πάλιν ἡ ἀντίθεσις αὕτη μεταστατικὴ ἐπὶ τοὺς στρατηγούς. AR.

Τίς ἄρτι προσελθὼν πρὸ τοῦ δικαστηρίου] ἵνα μὴ δόξῃ ἐσκεμμένα λέγειν. Βούλεται δὲ πρὸς τῷ τέλει τοῦ λόγου στρατηγοὺς ἀντιτάξαι τῷ Αἰσχίνῃ, ὡς ὑβριζομένους ὑπ' αὐτοῦ. TCV.

447, 21. Ἐγὼ δ' ὅτι πάντα τρόπον κρινόμενος Χάρης] Ἐπειδὴ μεμερισμένοι ἦσαν οἱ στρατηγοὶ καὶ οἱ ῥήτορες καὶ ἀλλήλοις συνειστήκεισαν, οἱ μὲν Εὐβούλῳ, οἱ δὲ τῷ ῥήτορι, ὧν Φωκίων ἦν τῶν ἐναντιουμένων Δημοσθένει, εἰκότως ἐπάγεται καὶ αὐτὸς ἐνταῦθα τὴν εὔνοιαν τὴν τοῦ Χάρητος, ὥσπερ κἀν τῷ κατὰ Μειδίου πεποίηκε, συγκρούων τοὺς ἄλλους ἱππάρχους Μειδίᾳ. Κἀνταῦθα τὸ αὐτὸ τοῦτο θεώρημα φαίνεται ἡμῖν ἐπιδειξάμενος. Ποῖον τοῦτο; συγκρούειν βούλεται Χάρητα τῷ Αἰσχίνῃ, ὁμοῦ μὲν εὔνοιαν ἑαυτῷ κατασκευάζων, ὁμοῦ δὲ πρὸς ἐκεῖνον ἀπέχθειαν, ἵνα ὥσπερ ὁ Φωκίων τέτακται μετὰ τῶν ἀντιδικούντων τῷ ῥήτορι, οὕτω φαίνηται καὶ Χάρης αὐτῷ συντεταγμένος. Ἐνδιατρίβει οὖν ἀπολογούμενος ὑπὲρ τοῦ ἀνδρός. Καὶ ἐπειδὴ ἡ ἀντίθεσις εἶχεν Αἰσχίνου ἐν τοῖς προειρημένοις, ἀλλ' οὐχ οἷόν τε ἦν ποιήσασθαι τὴν εἰρήνην οἵαν ἠξίου Δημοσθένης, κακῶς τῶν στρατηγῶν κεχρημένων τῷ πολέμῳ, φαίνεται ἀπαλλάττων τὸν στρατηγὸν τῆς τοιαύτης βλασφημίας, καταλιπὼν τὴν στρατηγίαν τῶν στρατηγῶν τῷ βλασφημοῦντι Αἰσχίνῃ, ἵν' Αἰσχίνης φαίνηται τῶν φίλων κατηγορῶν. TCV.

449, 14. Καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη] Ἐπ' ἄλλο τι μεταβαίνει μέρος τῶν λυπούντων λύσων· ἔστι γὰρ εὐφωνότατος Αἰσχίνης, ὡς αὐτὸς μαρτυρεῖ πολλάκις ὁ Δημοσθένης. Ἐπειδὴ οὖν πολλάκις συμβαίνει τοὺς ἀκούοντας καταγοητεύεσθαι τῇ ποιᾷ φωνῇ καὶ ὑποκρίσει, διὰ τοῦτο εἰκότως καὶ τοῦτο, ὡς ἕν τι τῶν λυπούντων, θεραπεῦσαι βούλεται. Μέγα γὰρ εὐφωνία καὶ ὑπόκρισις ἐν ἀγῶνι καὶ λόγῳ, καὶ μάλιστα πρὸς ἰδιώτας κριτὰς ὅταν γίγνηται. Ἐπειδὴ τοίνυν αὐτὸς ἐλαττοῦται τούτῳ τῷ μέρει, ἀντιτίθησι τῇ εὐφωνίᾳ τὴν ἑαυτοῦ γνώμην καὶ προαίρεσιν, βουλόμενος θηρεῦσαι τοὺς ἀκούοντας ἐκ τῆς περὶ αὐτὸν σχέσεως καὶ εὐνοίας, ἣν πολλάκις ἐπεδείξατο ἐν τοῖς κοινοῖς. Ὅταν γὰρ μὴ ἔχωμεν ὅμοια ὁμοίοις ἀντιτιθέναι, τὸ τηνικαῦτα οὐδὲν κωλύει καὶ ἕτερα πλεονεκτήματα καταλέγειν· καὶ διὰ τούτου καιρὸν ἔσχε καὶ τῶν ἑαυτοῦ πολιτευμάτων ὑπομνῆσαι καὶ λύσεων αἰχμαλώτων καὶ πολλῶν εὐεργετημάτων, ἵνα διὰ τούτων εἰς εὔνοιαν τοὺς ἀκούοντας ἐκκαλέσηται. TCV.

449, 18. Τὰ Θυέστου] ἀντὶ τοῦ τὸν Θυέστην τὸ δρᾶμα. ART.

449, 22. Ἐπὶ τῆς σκηνῆς] σκηνῆς—κοινοῖς καθ' ὁμοιότητα λέξεως· δριμύτητος εἶδός ἐστιν. B.

450, 2. Οὗτος δ' ἐκείνου μὲν προὐκυλινδεῖτο] ὡς ἀνδράποδον δραπετεῦσαν. Διὰ δὲ τῶν ἐναντίων μῖσος κατασκευάζει Αἰσχίνῃ. Ἐπειδὴ δὲ ῥήτορες ἄμφω, ἐβουλήθη τὸ ἐξισάζον διαφορᾷ λῦσαι, δεικνὺς ὅτι οὐ τῆς ἴσης τιμῆς οὐδὲ τῆς ἀξίας ἀμφότεροι, εἴπερ ὁ μὲν ὑπὲρ τῆς πατρίδος, ὁ δὲ ὑπὲρ Φιλίππου πεπολίτευται. TCV.

450, 14. Ἐπιεικῶς] ἀντὶ τοῦ μετρίως. AR.

450, 17. Ὅτι δ' οὐ μόνον κατὰ τὰ ἄλλα] Ἐκβάσεις εἰπὼν, τί μὲν ἀποβήσεται αὐτοῖς ὀρθῶς δικάσασι, καὶ τί μὴ, κατέκλεισεν ἐν τούτοις λοιπὸν τὴν ὑπόθεσιν. BFRSYP.

XX. ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ.

457, 1. Ἄνδρες δικασταὶ, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ Χαβρίου, ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ, συνερεῖν] Πᾶσα δευτερολογία ἐπ' ἔλαττον ἀσχολεῖται περὶ τὰς προοιμιακὰς ἐννοίας· ἐπιεικῶς γὰρ τὰ λυποῦντα θεραπεύεται παρὰ τῶν λαγχανόντων τοῦ λέγειν τὴν πρώτην χώραν. Τῶν δὲ δευτερολογιῶν ἐστὶ διαφορά· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἐπίλογοι μόνον, ὥσπερ οἱ κατὰ Ἀριστογείτονος, πρωταγωνιστοῦντος Λυκούργου, καὶ μικρὰ, μᾶλλον δὲ οὐδὲν καταλιπόντος εἰς ἀπόδειξιν τῶν πραγμάτων τῷ ῥήτορι· αἱ δὲ ἐπ' ἔλαττον μὲν ἔχουσι τὸν ἀγῶνα, ὥσπερ ὁ κατὰ Ἀνδροτίωνος, διὰ τὸ μὴ πολὺ διαφέρειν κατὰ τὴν ἐν τοῖς λόγοις ὑπόληψιν Διοδώρου Εὐκτήμονα· ἡ δὲ νῦν ἐξεταζομένη δευτερολογία σχεδὸν τὰ ἀναγκαιότατα τοῦ ἀγῶνος συμπεριλαβοῦσα ἔχει, ὡς δείκνυται ἐκ τῆς ἐργασίας. Διὰ ταύτην τὴν αἰτίαν βραχὺ καὶ τὸ προοίμιον [ὂν] ἐμφαντικὸν γέγονε τῶν ἀναγκαιοτάτων δύο κεφαλαίων, τοῦ τε συμφέροντος καὶ τοῦ δικαίου, ἃ δὴ καὶ κατωνόμασε· [τὸ μὲν συμφέρον ἐν οἷς ἔλεξεν « ἕνεκα « τοῦ νομίζειν συμφέρειν τῇ πόλει· »] τὸ δὲ δίκαιον διὰ τῆς συνηγορίας τῆς ὑπὲρ Χαβρίου παιδὸς δεδήλωκεν. Ἐμνημόνευσε δὲ καὶ τοῦ νομίμου ἐν ταὐτῷ. Διὰ μὲν οὖν τοῦ νόμου τὸ νόμιμον, διὰ δὲ τοῦ συμφέροντος τὸ λυσιτελοῦν τῇ πόλει, διὰ δὲ τοῦ Χαβρίου παιδὸς τὸ δίκαιον. TCV.

457, 3. Εἶτα καὶ τοῦ παιδὸς] Ἀπολαυέτω, φησὶ, τοῦ κοινοῦ συμφέροντος καὶ ὁ παῖς τοῦ εὐεργέτου. Ὀνίνησιν ἡ γραφὴ καὶ τὴν πόλιν ὅλην καὶ τοῦ στρατηγοῦ τὸν υἱόν. Τὸν δὲ Χαβρίαν ὀνομάζει κρύπτων τοῦ παιδὸς τὴν προσηγορίαν, ἤτοι ὅτι νέος ἦν κομιδῇ καὶ οὐδὲν τέως πράξας, καὶ διὰ τοῦτο οὐκ ἦν αἰδέσιμος τοῖς ἀκούουσι· καὶ εἰκότως αὐτὸν ἀπὸ τοῦ γεγεννηκότος κοσμεῖ, καθάπερ τινὰ κλῆρον συμπλάττων τὸ γέρας αὐτῷ. Πρέπον οὖν ἡγήσατο ἀπὸ τοῦ στρατηγήσαντος καὶ κεκοσμημένου ταῖς παρὰ τῆς πόλεως τιμαῖς καὶ ἐνδοξοτέρου τὴν συνηγορίαν ποιήσασθαι· διὰ γὰρ τὸν πατέρα καὶ ὁ παῖς λαβεῖν ἀγωνίζεται. Ὅτε μὲν οὖν οἱ παῖδες ἐνδοξότεροι τῶν πατέρων εἰσὶν, ἀπὸ τῶν παίδων πολλάκις ἐπὶ τοὺς πατέρας ἡ φιλοτιμία χωρεῖ· ὅταν δὲ οἱ πατέρες διδῶσι τοῖς παισὶ σεμνύνεσθαι, τότε ἀπὸ τῶν ἐνδόξων ἐπιχειρητέον. Οὔπω γὰρ στρατηγὸς ὁ Κτήσιππος οὐδὲ λαμπρὸς ἐν κατορθώμασιν. Εἰκότως οὖν ἀπ' ἐκείνου μᾶλλον ἡ μνήμη· οὐ γὰρ ὅτι ἄσωτος ἦν ὁ παῖς, ὥς φασί τινες, ἔκρυψε τὴν προσηγορίαν. Εἰ γὰρ τοῦτο ἦν, οὐκ ἂν ὅλως ἦγεν εἰς ὄψιν· νῦν δὲ καὶ νομοθετεῖ καὶ παρέστηκε. Καὶ πάντως ὄψις ἀκοῆς ἐναργεστέρα. TCV.

Ὡμολόγησα τούτοις] τοῖς περὶ τῆς ἀτελείας κινδυνεύουσιν, ἤ, ὥς τινες, Κτησίππῳ καὶ Ἀψεφίωνι, ἀντεισφέρουσι τὸν ἀμείνω νόμον. Υἱὸς δὲ Βαθίππου ὁ Ἀψεφίων, ἑλόμενος τὴν γραφὴν ὡς διάδοχος τοῦ πατρὸς, εἶτα ἰδιώτης ὢν, συνήγορον τὸν Φορμίωνα ἐκάλεσεν. TCV.

457, 4. Ὡς ἂν οἷός τε ὦ] τὸ κατὰ δύναμιν εἰσφέρω, φησί· μὴ ζήτει τὸ πλέον. TCV.

Ἔστι δ' οὐκ ἄδηλον] Ἀντιθέσεις τοῦ δικαίου ἢ ἀντιπρότασις. T. Πρώτη ἀντίθεσις τοῦ δικαίου. BRSY. Τεχνικὸν θεώρημα παρέδωκεν ἡμῖν ὁ ῥήτωρ ἐν τῷ κατ' Ἀνδροτίωνος, ἐν τῷ περὶ στεφάνου, κἀνταῦθα. Εὐθὺς γὰρ μετὰ τὰς προοιμιακὰς ἐννοίας ἄρχεται τῶν ἀντιθέσεων· διὰ μὲν δὴ ταύτην τὴν αἰτίαν ἐκ τῶν ἀντικειμένων ἄρχεται. Δύο δὲ προκειμένων κεφαλαίων, τοῦ τε δικαίου καὶ τοῦ συμφέροντος, οὐκ ἀπὸ τοῦ συμφέροντος ἄρχεται, χωρεῖ δὲ μᾶλλον ἐπὶ τὸ δίκαιον, ὅτι λυπεῖ μᾶλλον αὐτὸν τὸ συμφέρον, πλείστην ἰσχὺν παρέχον Λεπτίνῃ, συναγωνίζεται δὲ αὐτῷ τὸ δίκαιον. Διὰ τοῦτο φυγὼν τὴν πρὸς ἐκεῖνο τὸ κεφάλαιον μάχην πλέκεται τὸ ὑπὲρ αὐτοῦ· καὶ οὐ διὰ τοῦτο μόνον τὸ θεώρημα, ἀλλὰ καὶ δι' ἕτερον. Ἐπειδὴ γὰρ ὁ νόμος αὐτὸς, ὃν εἰσφέρει Δημοσθένης ὑπὲρ Κτησίππου καὶ Φορμίωνος (deb. Ἀψεφίωνος), τοῦτ' ἐπαγγέλλεται τοῦ κρίσεις εἶναι κατὰ τῶν ἀναξίως δοκούντων εἰληφέναι δωρεὰς, εὐθὺς ἐκ τῆς ἀντιθέσεως τὴν σύστασιν τοῦ νόμου προὔθηκεν, ἵνα μὴ φαίνηται αὐτὸς εἰσάγων τὸν νόμον, ἀλλὰ παρὰ Λεπτίνου φαίνηται τὸ περὶ αὐτὸν νομοθετεῖν ἀπαιτούμενος οὕτως. Δοκῶν δὲ συντρέχειν δείκνυσιν ἄτοπον ὂν διὰ τοὺς ὀλίγους ἀναξίους ἀφαιρεῖσθαι τοὺς πλείονας. Ὅταν γὰρ φιλονεικῇ δεῖν καὶ τοὺς ἀναξίους μὴ ἔχειν, τότε μάλιστα συνίστησι τοὺς δικαίως ἔχοντας δεῖν ἔχειν. Δείκνυσι δὲ τὴν πόλιν μὴ περὶ τούτου τοῦ μέρους κινδυνεύουσαν μόνον, ἀλλὰ καὶ περὶ πάσης τῆς πολιτείας καὶ τῆς ἀξίας. Σύνηθες γὰρ αὐτῷ ταράττειν τὸν ἀκροατὴν ἐν οἷς ἂν φοβῆται τὴν ὑπόθεσιν, καὶ μετάγειν ἐπὶ μείζονας καὶ παραδόξους φόβους· ὡς ἐν τῷ κατὰ Ἀριστοκράτους ὑπὲρ Χερρονήσου, ὡς ἐν τῷ περὶ εἰρήνης ὑπὲρ πολέμου κοινοῦ τῶν Ἑλλήνων, ὡς ἐν τῷ κατὰ Τιμοκράτους ὅτι ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκέτου καὶ Μελανώπου τίθεται καὶ οὐχ ὑπὲρ ὑμῶν ὁ νόμος· ἐκεῖ μὲν φαυλίζων τὴν προαίρεσιν, ἐνταῦθα δὲ ὑπὲρ τῶν κυριωτάτων φοβῶν. TCV.

457, 6. Κἄν τις ἄλλος] ἴσως τοὺς συνηγόρους καὶ τοὺς συνδίκους λέγει. TCV.

457, 8. Εὑρομένους ἀτέλειαν] περιποιήσαντας ἑαυτοῖς καὶ λαβόντας ἀφ' ὧν ἐποίησαν. Ἔθος δὲ ἦν παρὰ Ἀθηναίοις τοὺς εὐεργέτας τῆς πόλεως λαμβάνειν διαφόρους τιμὰς, ἢ χαλκῆν εἰκόνα ἢ σίτησιν ἐν πρυτανείῳ ἢ ἀτέλειαν, ἀλλ' οὐ πασῶν τῶν λειτουργιῶν· οὐδέποτε γὰρ ἐλάμβανον οὔτε τῶν τριηραρχιῶν οὔτε τῶν εἰσφορῶν τοῦ πολέμου ἀτέλειαν. TCV.

457, 9. Καὶ τούτῳ πλείστῳ] Κατ' ἐπίκρισιν. BRTY.

457, 10. Ἐγὼ δ' ὅτι μέν τινων] τῆς τοῦ ῥητοῦ κατηγορίας ἀντιλαμβάνεται, ὅτι διαβάλλων ὀλίγους βλάπτει τοὺς πάντας. TCV.

457, 11. Καὶ γὰρ εἴρηται] ὑπὸ Φορμίωνος πάντως. Καὶ ἵνα μὴ ὡς κατήγορος ὑποπτεύηται, προστίθησιν ὅτι καὶ ὑμεῖς ἅπαντες, καὶ μὴ λέγοντος ἑτέρου, γνωρίζετε. TCV.

457, 13. Τίνος ἕνεκα, εἰ τὰ μάλιστα μή τινες, ἀλλὰ πάντες ἦσαν ἀνάξιοι τῶν αὐτῶν] Κατὰ συγχώρησιν συνδραμὼν συγκρούει τοῖς δικασταῖς τὸν Λεπτίνην, πόλεμον αὐτῷ πρὸς τοὺς καθημένους ἐγείρων. Σύνηθες γὰρ αὐτῷ ταράττειν τὸν ἀκροατήν. Ἐκ τούτων γὰρ εὔνουν, διὰ δὲ τὸ δέος ποιεῖ καὶ προσεκτικώτερον, περὶ πάσης τῆς πολιτείας ἐμβάλλων φροντίδας. Οὐκέτι γὰρ πρὸς τὸ κέρδος ἀφορᾷ, ἀλλὰ ζητεῖ πρῶτον ὅπως ἂν φύγοι τὴν ἐπιβουλὴν, τῆς ἐξουσίας ἀποστερούμενος. TCV.

457, 15. Ἐν μὲν γὰρ τῷ] Ἀναστρέφουσα περίοδος. P. Τετράκωλος περίοδος. TC.

457, 21. Οὕτω καὶ τὸν δῆμον] Οὐ γὰρ ἐπ' ἀμφοῖν, φησὶ, δυνήσεται προβάλλεσθαι τὸ ἀνάξιον καὶ ἐπὶ τῶν εὐεργετῶν καὶ δήμου ἀνάξιοί τινες, ὦ Λεπτίνη, τῶν εἰληφότων εἰσίν· ἔστω· δέχομαι τὴν ἀπολογίαν· στερισκέσθωσαν οἱ ἀνάξιοι. Τί δέ σοι κατὰ τοῦ δήμου τὴν τοιαύτην ὕβριν κεκίνηκεν; ἀφαιρῇ τῆς πατρίδος τὴν ἄδειαν, λύεις τὴν ἐξουσίαν τῆς πόλεως. TCV.

457, 22. Ἀλλὰ, νὴ Δί', ἐκεῖνο] Δευτέρα ἀντίθεσις· ἀνθυποφορά. BRSTY. Πολλή τις ἔμφασις καὶ δεινότης, καὶ πολὺ τὸ πικρόν. Μετενήνεκται γὰρ ὁ Λεπτίνης ἐφ' ἕτερον ἀπὸ τοῦ συμφέροντος. Οὐκέτι γὰρ, ἵνα λειτουργήσωσιν οἱ πλουσιώτατοι, τέθεικε τὸν νόμον, ἀλλ' ἵνα μὴ ἐξαπατᾶται ὁ δῆμος. Ἵνα ὁ δῆμος, φησὶν, ἀποστὰς τῆς περὶ τῶν λειτουργιῶν ζητήσεως, κατίδῃ τοῦ ἀνδρὸς τὴν δυσμένειαν, καὶ ὡς ὀλιγαρχίαν προοιμιάζεται, τοσούτων ἀγαθῶν αὐτοὺς ἀποστερεῖν ἐπειγόμενος. Πεπανούργηται δὲ σφόδρα τῆς ἐπιχειρήσεως ἡ εἴσοδος. Ἵνα γὰρ μὴ τῆς τῶν ἀπατώντων δεινότητος εἴη τὸ ἔγκλημα, ἀλλὰ τῆς τῶν ἀπατωμένων εὐηθείας σημεῖον ὑπάρχῃ τὸ ὄνειδος, ἐπὶ τὸν δῆμον μετέστησε, διὰ τὸ ῥᾳδίως ἐξαπατᾶσθαι φήσας. Λύει δὲ τῷ ἐξ ἀκολουθίας ἀτόπῳ, τῷ κατ' ἐρώτησιν ἐλέγχῳ τὴν πλῆξιν αὐξήσας. Τί οὖν κωλύει, φησὶ, πάντα ἀφῃρῆσθαι; οὐδὲν γάρ ἐστι τῶν πάντων, ἐν ᾧ τὸ ἀπατᾶσθαι πεφεύγαμεν. Ἰστέον δὲ ὅτι ἡ δευτέρα ἀντίθεσις ἀπὸ τῆς ἐργασίας ἀνέκυψε, καὶ ἔστιν ἀνθυποφορά. Διαφέρει δὲ ἀντίθεσις ἀνθυποφορᾶς τῷ τὴν μὲν ἐξ αὐτῶν ἀντικεῖσθαι τῶν πραγμάτων ἡμῖν, τὴν δὲ ἐκ τῆς ἐργασίας καὶ τῶν ἐπιχειρημάτων εὑρίσκεσθαι. Ἡ μὲν οὖν προτέρα ἀντίθεσις αἰτιᾶται ὅτι ἀνάξιοί τινες εἰλήφασι, τούτους δὲ ὁ Δημοσθένους νόμος ἐκκρίνει· ἡ δὲ δευτέρα φησὶν ἐξαπατᾶσθαι τὸν δῆμον. Διὰ τοῦτο δὲ ἐξ ἀντιθέσεων ἄρχεται, ἵνα τῷ μὲν δοκεῖν ἀντίθεσιν λύῃ, τῇ δ' ἀληθείᾳ προκατασκευάσῃ τῷ ἑαυτοῦ νόμῳ τὴν εἴσοδον. Ἃ γὰρ Λεπτίνης ἐν ταύταις μέμφεται, ἄντικρυς ὁ τοῦ Δημοσθένους λέλυκε νόμος· δοὺς γὰρ κρίσιν καὶ τοὺς ἀναξίους ἐκβαλὼν, οὔτε τὸν δῆμον ἐξαπατᾶσθαι συγχωρεῖ καὶ τοὺς ἀναξίους ἐκβάλλει. Οὐκ ἠδύνατο δὲ εὐθὺς ἀπὸ τῶν ἰδίων ἄρξασθαι κεφαλαίων, μὴ προκατηγορήσας τοῦ Λεπτίνου νόμου. TCV.

458, 2. Τί οὖν κωλύει] Λύσις κατὰ συνδρομὴν ἐξ ἀντιπαραστάσεως. BFSTCYV.

458, 9. Ἆρ' οὖν θησόμεθα] Καλόν γε. Οὐ γὰρ θησόμεθα νόμον ἐπὶ καθαιρέσει τῶν νόμων. Κινδυνεύει γάρ τις περὶ τοῦ παντὸς ἀπατώμενος· κόλαζε τὸν ἀπατῶντα, μὴ τὸν φεναχιζόμενον τιμωροῦ. Ἔχει δὲ ταῦτα τὴν ἀναφορὰν ἴσως πρὸς τοὺς δύο νόμους, τόν τε Λεπτίνου καὶ τὸν παρεισφερόμενον. Ὁ μὲν γὰρ Λεπτίνου ἁπλῶς ἀφαιρεῖται, ὁ δὲ ἀντεισφερόμενος διδάσκει τἀληθὲς, δικαστήριον καθίζων καὶ ἀτιμάζων τοὺς ἀπάτῃ εἰληφότας. Ἀψίνης δὲ καὶ Ἀσπάσιος κατὰ τὴν εἰς ἄτοπον ἀπαγωγὴν φασὶ τὸ ἐγχείρημα. Ἡμεῖς δὲ λέγομεν ὅτι ἡ εἰς ἄτοπον ἀπαγωγὴ γίνεται, ὅταν ἐξ ἀνάγκης ἀκολουθῇ τὰ ἄτοπα τοῖς προηγουμένοις· ὅταν δὲ ἡ φύσις τῶν πραγμάτων μὴ τοιοῦ-

τον δεικνύῃ τὸ γινόμενον, τηνικαῦτα οὐ ῥητέον τὴν εἰς ἄτοπον ἀπαγωγήν. Ἐνταῦθα οὖν τὸ ἀκόλουθον ἔλαβεν ἀπὸ τοῦ ὁμοίου κατ' ἐρώτησιν, οὐ μὴν ἀποδεικνύμενον διὰ τῶν ἑπομένων. TCV. Ἐνταῦθα ἔλαβε τὸ ἀκόλουθον ἀπὸ τοῦ ὁμοίου κατ' ἐρώτησιν, ἔπειτα ἀνέτρεψεν, ὡς ἔχειν μέν τι καὶ ἄτοπον τὴν ἐρώτησιν, οὐ μὴν ἀποδεικνύμενον διὰ τῶν ἐχομένων. BFSYP.

458, 12. Οὐ γὰρ ἐσμὲν ἀφαιρεθῆναι] Ἐσχημάτισε πρὸς ἀμφοτέρους τοὺς νόμους τὴν ἔννοιαν· πρὸς μὲν τὸν Λεπτίνου νόμον τί ἀφαιρεῖται, πρὸς δὲ τὸν οἰκεῖον τί διδάσκει, πῶς ἂν ὁ δῆμος ἔτι μὴ ἀπατῷτο. Δείκνυσι γὰρ κρίνεσθαι δεῖν τοὺς εἰληφότας. TCV.

458, 14. Καὶ θέσθαι νόμον] Ὅρα πῶς ἐν τῷ δοκεῖν λύειν καὶ τίθησι, συμπλέκων ὁμοῦ τὰ κεφάλαια, καὶ τὸ δίκαιον καὶ τὸ συμφέρον. Ἔχεις γὰρ ἐν τούτοις ἀμφοτέρων τῶν νόμων εἰκόνας, τοῦ μὲν Λεπτίνου νόμου διὰ τῆς ἀφαιρέσεως, τοῦ δὲ Δημοσθένους διὰ τῆς τῶν ἀπατώντων τιμωρίας· ὁ μὲν γὰρ ἀφαιρεῖται τελέως ἅπαντας, ὁ δὲ τοὺς παρ' ἀξίαν λαβόντας ἐξελεγχθέντας τιμωρεῖσθαι προστάττει. TCV.

458, 18. Πότερόν ποτε] Κατὰ παράθεσιν ἄλλος λογισμὸς ἐκ τοῦ καθ' ἑκάτερον ἀποβαίνοντος, ἵνα δειχθῇ βέλτιον οὗ εἶπε Λεπτίνης ὡς φαῦλον, λέγω δὴ τὸ διδόναι τινὶ καὶ ἀναξίῳ τὸν δῆμον ἐξηπατημένον, καὶ ὅτι ἧττον αἰσχρὸν εἰς εὐήθειαν σκώπτεσθαι ἢ πονηρίαν. TCV

459, 1. Ὅσῳ δὴ κρεῖττον εὐήθη δοκεῖν] Τέσσαρα τοῦ ἐνθυμήματος τὰ σχήματα· ἀποδεικτικὸν, ἐλεγκτικὸν, συλλογιστικὸν, μικτόν. Ἀποδεικτικόν ἐστι τὸ ἐξ ἀκολούθων κώλων τὴν ἐπαγωγὴν ἔχον, ὡς ὁ Δημοσθένης ὧδε « ὅσῳ « δὴ κρεῖττον. » Ἐλεγκτικὸν δέ ἐστι τὸ ἐξ ἐναντίων κώλων συνιστάμενον, ὡς ἐν τῷ Παραπρεσβείας· « τὸ λαβεῖν « οὖν τὰ διδόμενα ἔννομον εἶναι ὁμολογῶν. » Συλλογιστικὸν δέ ἐστι τὸ ἄλλο ἐξ ἄλλων ἀποδεικνύον, ὥσπερ « ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην. » Μικτὸν δὲ « ὥσπερ γὰρ εἴ « τις ἐκείνων ἑάλω, σὺ τάδε οὐκ ἂν ἔγραψας » καὶ τὰ ἑξῆς. Ἀρετὴ δὲ ἐνθυμήματός ἐστι βραχύτης κώλων καὶ εὐρυθμία κατὰ τὴν σύνθεσιν τῶν ὀνομάτων. TCR.

459, 3. Οὐ τοίνυν ἔμοιγε] Ἐπὶ τὴν ἐξ ἀρχῆς ἀντίθεσιν πάλιν ἐπανήγαγε τὸν λόγον. Πῶς γὰρ ἀκόλουθον, φησὶ, τὴν αὐτὴν τοῖς τε κακοῖς μέμψιν καὶ κατὰ τῶν ἀμέμπτων καὶ ὅλως εὐεργετῶν προχωρεῖν; ἀποστερεῖ γὰρ καὶ τούτους κἀκείνους ὁμοίως. Ἐξ οὗ πάντες ἔσονται πονηροὶ, μηδεμίαν τιμὴν τῆς ἀρετῆς ἐχούσης. Τὸν γὰρ ἐκ χάριτος μὴ δοκοῦντα εἶναι χρηστὸν οὐκ ἔνι δήπουθεν ἀτιμασθέντα γενέσθαι σπουδαῖον. Ἐκαινοτόμησε δὲ τὴν μέθοδον. Ἄνωθεν μὲν γὰρ ἐξήτασε τοὺς ἀναξίους καὶ τοὺς ἀξίους, ἐνταῦθα δὲ κατὰ μόνων τῶν ἀναξίων πληροῖ τὴν ἔννοιαν, ἀφελὼν μὲν τὴν τῶν ἀξίων ἐξέτασιν, τοὺς φαύλους δὲ αὐτοὺς καθ' ἑαυτοὺς ἐξετάζων· καὶ γέγονεν ἡ ἔννοια συμπέρασμα τῶν ἀντιθέσεων ἀμφοτέρων. TCV.

Συγκρούσας ἱκανῶς διὰ τῶν προειρημένων καὶ τὴν ἀντίθεσιν Λεπτίνου, καὶ τὴν γένεσιν τῆς ἀνθυποφορᾶς χρησίμην εὑρὼν, καὶ προοικονομήσας διὰ τούτων ἱκανῶς τὴν οἰκείαν νομοθεσίαν, ἐπανήγαγεν ἐντεῦθεν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀντίθεσιν. Καινοτομεῖ δὲ τὴν μέθοδον κατὰ μόνων τῶν ἀναξίων πληρῶν τὴν ἔννοιαν. Καὶ ἔστι συμπέρασμα τῶν ἀντιθέσεων ἀμφοτέρων. BFRSYP.

459, 10. Ἔτι τοίνυν κἀκεῖνο] Πληρώσας τὸ δίκαιον ἐντεῦθεν ἐννοίας ἄρχεται τοῦ συμφέροντος· σύνηθες γὰρ αὐτῷ προλύειν τὰς ἀντιθέσεις καὶ πρὸ τῶν θέσεων. BFRSY. Πληρώσας τὸ δίκαιον ἄρχεται τῆς ἐννοίας τοῦ συμφέροντος. Ἐπεὶ δὲ οὔτε στρατηγοῦ οὔτε τεχνίτου πρὸς τὰ ἰσχυρὰ τῶν ἀντιτεταγμένων χωρεῖν, ἀλλὰ μεθοδεύειν ὡς ἔνι μάλιστα καὶ ταῖς μεταχειρίσεσι περιγίνεσθαι, κλέπτει ἐντεῦθεν ἤδη τὴν εἴσοδον, ἵνα λάθῃ τὸν ἀκροατὴν ἐπ' αὐτὰ τὰ πράγματα ἀσθενῆ γεγενημένα ἄγων, ἵνα, ὅταν ἡ ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος τεθῇ, ὁ ἀκροατὴς καταγνῷ τῆς ἀντιθέσεως, ἐκ τῶν εἰρημένων ἠγμένος. Τοῦ γὰρ Λεπτίνου πειρωμένου λέγειν ὡς αἱ λειτουργίαι νῦν μὲν εἰς πένητας ἀνθρώπους περιήκουσι, τότε δὲ λειτουργήσουσιν οἱ πλουσιώτατοι, προλύων καὶ προοικονομῶν δείκνυσιν ὅτι οὔτε πολλοὺς περιποιήσει καὶ ὅτι ὁ νόμος ἔδωκεν αὐτοῖς τὴν ἀτέλειαν, ὥστε μηδὲν ἔχειν τοὺς ἀκούοντας εὑρίσκειν ἐκ τῆς ἀντιθέσεως ὄφελος. TCV.

459, 13. Ὥστε τὸν ἥμισυν] Σμικρύνει τὸ γέρας καὶ εἰς εὐτέλειαν κατάγει τὴν σεμνὴν ὀνομαζομένην ἀτέλειαν, μέρος μὲν αὐτῆς καὶ τοῖς οὐκ οὖσιν εὐεργέταις διδοὺς, μικρὸν δ' ἔτι λοιπὸν προστεθῆναι φάσκων τοῖς εὖ ποιήσασιν. TCV.

459, 14. Εἶθ' ἧς πᾶσι μέτεστιν] Τῆς ἀτελείας δηλαδή. P. Εἰς αἰδῶ τῶν εἰληφότων τοὺς ἀκούοντας ἐκκαλεῖται, ἵνα τὴν ἀτοπίαν τῆς ἀφαιρέσεως δείξῃ. Ἠθικῶς δὲ πρὸς τὸν Λεπτίνην διαλέγεται. Πολύτροπος γὰρ ὁ ἀνὴρ καὶ πρὸς τὴν τῶν πραγμάτων φύσιν συμμεταβάλλεται. Ὅταν μὲν γὰρ δέῃ συγκροῦσαι τῷ δήμῳ, τότε πικρῶς διαλέγεται· ὅταν δὲ πρὸς αὐτὸν, τότε δῆθεν ὑφειμένως. Καὶ πρὸς τοὺς ἀκροατὰς δὲ παραπλησίως, ἐπειδὴ εἰς αὐτοὺς ἥκει τὸ κεφάλαιον τῆς κρίσεως· καὶ βιάσασθαι μὲν οὐ δύναται, ἐκκαλέσασθαι δὲ εἰς αἰδῶ τῶν εἰληφότων βούλεται. Οὕτω καὶ τὸ συμβουλευτικὸν ἐμπλέκεται πανταχοῦ, καὶ μάλιστα ἐν τοῖς ἐγκωμίοις, ἐν οἷς τὰ συμπεράσματα ἠθικά. TCV.

459, 17. Οὔτε γὰρ ἄλλως καλὸν] οὔτε τῇ φύσει καλὸν, φησὶν, οὔτε τῷ ἤθει τῆς Ἀττικῆς ἁρμόττον. Εἰ γὰρ μέλλομεν ὠφελεῖσθαι, ἀλλὰ τό γε ψεύδεσθαι ἀλυσιτελὲς εἰς δόξαν. TCV.

459, 18. Πῶς γὰρ οὐκ αἰσχρὸν] Ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος, οὐκ ἀπήλλακται δὲ τοῦ ἤθους. BFRSYTCP. Ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος, δι' οὗ αὔξει τὸ ὄνειδος. Πολιτείαν γὰρ ἀψευδῆ μέχρι καὶ τῶν ὠνίων διώκοντες, πῶς δολερῶς κατασκευάζετε τὰς τιμάς; ἐπὶ μὲν τῶν οὐκ ἐχόντων τι βλαβερὸν τὸ δεινὸν φυλαττόμενοι, ἐπὶ δὲ τοῦ ζημίας μεστοῦ τὴν πρᾶξιν τολμῶντες. TCV.

459, 25. Οὐ γὰρ, εἰ μὴ χρήματα] Ἀπὸ τοῦ μείζονος ἐξ ἐνθυμήματος. BFRSY. Τοῦτο ἀπὸ τοῦ μείζονός ἐστι. Φιλεῖ γὰρ ἀκολουθεῖν ἀλλήλοις ἄμφω τὰ ἐπιχειρήματα, τῷ μὲν ἀπὸ τοῦ ἐλάττονος τὸ ἀπὸ τοῦ μείζονος, κἀκείνῳ τοῦτο ὁμοίως. Μὴ ἔχων δὲ ἀντιθεῖναι τῷ συμφέροντι ἕτερον συμφέρον ἐκ χρημάτων καὶ κέρδους, τὴν εὔκλειαν καὶ τὴν εὐδοξίαν τῷ τῶν χρημάτων κέρδει ἀντιπαραβάλλειν πειρᾶται. Δείξει δὲ μετὰ μικρὸν ὅτι οὐδὲ κέρδος προσγίνεται. TGV.

460, 4. Ταύτην] ἤγουν δόξαν. P.

460, 7. Ὅτι τοίνυν] Ἄλλος τόπος εἰς τὸ αὐτὸ ἐπιχείρημα ἀπὸ τοῦ μείζονος. Ὅταν γὰρ πλειόνων εὐπορῇ τόπων, οὐ φείδεται. Ἔστι δ' ὁ μὲν πρότερος τόπος ἐξ ἐνθυμήματος, ὁ δὲ ἐντεῦθεν ἐκ παραδείγματος. TCV.

460, 8. Τοῦ ἤθους] ἤγουν τῆς ὑμετέρας γνώμης. P.

460, 11. Λέγονται χρήματα] Ἔστι μὲν τὸ παράδειγμα ἱστορικὸν, πρὸς πίστιν τῶν προκειμένων εἰλημμένον.

Ὅσην δὲ ἔχει καὶ δεινότητα καὶ χάριν ἄξιον συνιδεῖν. BFRYTCV. Πρόσωπον δὲ ἔλαβε τῶν τριάκοντα τῶν λελυπηκότων, ἵνα φαίνηται ἡ πόλις πολλάκις καὶ ὑπὲρ αὐτῶν τῶν πολεμίων αἱρουμένη προΐεσθαι. Καὶ τὸ δριμὺ τοῦ ἐπιχειρήματος, ὅτι ἐδανείσαντο καὶ κατὰ τῆς πόλεως καὶ παρά τινων πολεμίων ἑτέρων ἐπὶ τοὺς ἐν Πειραιεῖ, τοῦτο δέ [ἐστι] κατὰ τῶν δημοτικῶν τῶν κατειληφότων τὸν Πειραιᾶ. Καὶ προσέθηκε τὸν καιρὸν καὶ τὸν τόπον, ἵνα καὶ τὴν χρείαν δηλώσῃ, ὅτε ὑπὲρ τῆς ἐλευθερίας ὁ δῆμος ἐκ Πειραιῶς ἠγωνίζετο. Οὕτω πανταχόθεν ἡ αὔξησις ἐκ τῶν τόπων, ἐκ τοῦ προσώπου, τῶν πράξεων. TCV.

460, 13. Ἐπειδὴ δὲ ἡ πόλις εἰς ἓν ἦλθε] μιᾶς ἐγένετο γνώμης· διπλῆ γὰρ ἦν στασιάζουσα· ἔκρυψε δὲ τὰ δεινὰ τῶν γεγενημένων μὴ βουληθεὶς ἐμπομπεῦσαι ταῖς τῆς πόλεως συμφοραῖς—οὐδὲ γὰρ τοῦτο πρόκειται—, ἀλλ' ἐπίδειξιν ποιήσασθαι βούλεται τοῦ τῆς πόλεως ἤθους, καὶ ὅπως ἐν ἁπάσαις ἐστὶν ἀεὶ κρεῖττον χρημάτων. Τὴν δὲ αἰτίαν εἴρηκε τοῦ μὴ ἐκ δέους παρεσχηκέναι τὸν δῆμον, ἀλλ' ὅμως ἀδικηθεὶς καὶ τὴν ζημίαν αἱρεῖται. Οὐ γὰρ ἀνάγκῃ καὶ φόβῳ φαίνεται ὁ δῆμος διδοὺς, ἀλλὰ προαιρέσει νικώμενος. Εἰ γὰρ καθεστηκότων τῶν πραγμάτων ἀπῄτουν τὰ χρήματα, τίς ἦν ἀνάγκη τὸν δῆμον διδόναι μὴ ὀρρωδοῦντα; οὕτως οὐ χρημάτων πώποτε πλεονεκτεῖν, ἀλλὰ δόξης, βούλεται. TCV.

460, 14. Καὶ τὰ πράγματα ἐκεῖνα κατέστη] τὰ τραγικὰ καὶ φρικώδη, τὰ τυραννικὰ, ὧν εὐλαβοῦμαι τὴν μνήμην καὶ τὸν ζῆλον ἀπεύχομαι. TCV.

Πρέσβεις πέμψαντες] Ἁπλοῦν τὸν λόγον πεποίηκεν, ἵνα μὴ φαίνηται παρὰ Λακεδαιμονίων τις φόβος Ἐν ἤθει δὲ τὸ τοῦ λόγου πέμψαντες ἀπῄτουν, ὥσπερ ἰδιωτῶν πρὸς ἰδιώτας ὄντος τοῦ συναλλάγματος. TCV.

460, 16. Λόγων δὲ γινομένων] Οὕτως ἡ πόλις ἦγεν ἄδειαν καὶ πόρρω τῶν φόβων ἦν. Καὶ ἡ τῶν παραδανεισαμένων δὲ ἧττα παντάπασιν ἀναιρεῖ τοῦ φόβου τὴν ὑπόνοιαν. TCV.

460, 17. Τοὺς ἐξ ἄστεος] τοὺς τυραννικούς. Αὐτοὶ γὰρ εἶχον τὸ ἄστυ. Εἶτα [διὰ] ζημίας χρημάτων οὐκ ἀνεχόμενοι ψεύσασθαι, νῦν ἄνευ δαπάνης ψευσόμεθα; κἀκεῖ μὲν τοὺς ἀδικοῦντας προσέθηκεν, ἐνταῦθα δὲ τοὺς εὐεργέτας ὠνόμασε. TCV.

460, 18. Τῶν δὲ τοῦτο πρῶτον] Οὕτως ὑπὲρ αὐτῶν ἐφοβοῦντο μᾶλλον, καὶ ὁ δῆμος οὕτως αὐτοῖς φοβερός. Οὐ γὰρ προσδοκῶντες παρὰ Λακεδαιμονίων τὴν συμμαχίαν ἠξίουν τὸν δῆμον πίστιν δοῦναι τῆς εἰς αὐτοὺς εὐνοίας, τὴν καταβολὴν τοῦ δανείσματος. TCV.

460, 20. Φασὶ τὸν δῆμον ἑλέσθαι] Οὕτως ἐκ προαιρέσεως καὶ οὐ διὰ φόβον εἵλετο κοινωνεῖν τοῦ δανείσματος. Διὰ δὲ τοῦ συνεισενεγκεῖν καὶ ἑλέσθαι τὴν ὑπερβάλλουσαν τοῦ δήμου προαίρεσιν ἐνέδειξε διὰ τῶν ὀνομάτων. Οὐκ ἀνάγκης, φησὶν, ἐπειγούσης οὐδεμιᾶς ὁ δῆμος εἰσήνεγκεν οἴκοθεν, οὐκ ἐξ ἀκροπόλεως ἐκ περιουσίας λαβών. TCV.

460, 21. Ὥστε μὴ λῦσαι τῶν ὡμολογημένων] Ἵνα φαίνηται μὲν πρὸς τὴν παροῦσαν ὑπόθεσιν ἑλκομένη χρησίμως ἡ ἔννοια· περὶ γὰρ τοῦ μὴ δεῖν λύειν τὰς δεδομένας δωρεὰς ὁ ἀγών. TCV.

460, 27. Τὸ μὲν τοίνυν τῆς πόλεως] Ἐκ τοῦ ἐναντίου. S. Τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐναντίου. Δείκνυσι δὲ ὅτι οὐ λυσιτελεῖ ὁ νόμος ὁ τὸ φυλακτήριον τῆς πόλεως διαφθείρων· καὶ διορίζεται ὅτι ἐν μὲν ταῖς δυναστείαις κολακείας ἆθλόν ἐστιν ἡ τιμὴ, ἐν δὲ ταῖς δημοκρατίαις καθαρεύει τοῦ αἰσχροῦ. Κἀκεῖ μὲν ὁ φόβος μείζω τῆς χάριτος, παρ' ὑμῖν δὲ ἡ δωρεὰ παντὸς δέους ἀπήλλακται. TCV.

461, 2. Τὸ δὲ τοῦ θέντος τὸν νόμον] Ὑφειμένῳ ἔοικεν, οὐ μὴν ἀπήλλακται τοῦ πικρὸς εἶναι; οὔτε γὰρ τὸν ἔπαινον ἀποδίδωσιν οὔτε ψέξαι τετόλμηκεν. Οὕτω τὸ ἦθος τῷ πραγματικῷ συμπέπλεκται. TCV.

461, 13. Νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες δικασταὶ] Τὸ ἐπιχείρημα ἐντεῦθεν ἀπὸ τοῦ ἴσου. Ὅρα δὲ πῶς ἐφ' ἑκάστῳ προοιμιάζεται. BFRYTCV. Εἰ γὰρ καὶ διὰ μικρῶν τῶν ἐννοιῶν, ἀλλ' οὖν γε ὅμως προοιμιάζεται. Ἡ δὲ ἰσότης, ὅτι διδοῦμεν δωρεάς. Καὶ αἱ λοιπαὶ δὲ πολιτεῖαι διδόασι, καὶ τάχα διαφερούσας τῇ τῶν χρημάτων περιουσίᾳ. Ὧ δὲ πλεονεκτεῖν δοκοῦμεν ἡμεῖς, τῇ πίστει λέγω, τοῦθ' ὁ νόμος ἀφαιρεῖσθαι βιάζεται. Ὁρᾷς ὅτι διὰ πάντων τούτων τῶν ἐπιχειρημάτων, κἂν δοκῇ τὸ δίκαιον ἐργάζεσθαι, πρὸς τὴν ἀντίθεσιν ἀγωνίζεται, ὅτι οὐ δεῖ τὰ δεδομένα ἀφαιρεῖσθαι, ἵνα, κἂν φαίνηται τὸ συμφέρον ἐπαγγελλόμενος ὁ Λεπτίνης, ἀλλ' οὖν γε ὁ δῆμος διὰ τὸ εὔλογον ἀφίησι. TCV.

462, 6. Τάχα τοίνυν ἴσως] Προανῄρηκεν ἐν ταῖς προκατασκευαῖς τῆς ἀντιθέσεως τὴν ἰσχύν· ἐξέλυσε δὲ πλέον τῷ διαταγμῷ αὐτὴν, πρὸς δὲ καὶ κατακερματίσας εἰς μέρη πολλά. Μέγα γὰρ εἰς καθαίρεσιν τὸ καταμερίσαι, εἴ γε καὶ ἀθροισμὸς ἐγείρει τὴν αὔξησιν. Εἶτα κακουργεῖ τοῖς ὀνόμασιν, ἵνα δείξῃ τὸν Λεπτίνην ψευδόμενον. Διαβολὴν γὰρ πρὸ τῆς ἀντιθέσεως κεκίνηκεν, ἵν' ὁ ἰσχυρότατος Λεπτίνου λόγος ὕποπτος γένηται, καὶ ἡ εὕρεσις. Ὁ γὰρ ἕτερα μὲν γράφων, ἕτερα δὲ φθεγγόμενος, ἀνίσχυρος. Τοῦ γὰρ Λεπτίνου λέγοντος ἐν τῷ νόμῳ διαρρήδην ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, καὶ διὰ τοῦτο σημαίνοντος ὅτι πλούσιοι μὲν λειτουργοῦσιν ἴσως, οὐ μὴν οἱ πλουσιώτατοι διὰ τὸ τὰς ἀτελείας ἔχειν, τοῦθ' ὁ ῥήτωρ μεταβαλὼν οὐ κατὰ τὸ ὑποκείμενον λέγει, πένητας ἀντὶ μέσως πλουσίων λαβὼν, ἵνα φαίνηται τὴν ἰσχὺν ἐξελέγχων τοῦ νόμου, λέγω διὰ τῆς τῶν πενήτων προσηγορίας. Ἐναντία γὰρ πρὸς τὸ συμφέρον εὑρίσκει, ἵν' ἐκ ταύτης τῆς ἐννοίας καὶ τῆς προσηγορίας ὁ ἀκροατὴς ψευδόμενον Λεπτίνην λάβῃ, νῦν μὲν εἰς πένητας ἀνθρώπους τὰ τῶν λειτουργιῶν ἔρχεσθαι λέγοντα, νῦν δὲ λέγοντα πάλιν ὑπερθετικῶς, ὅπως ἂν οἱ πλουσιώτατοι. Ἀντίκεινται γὰρ οὐκ ἀκολούθως αὐτοῖς ὅ τε πένης καὶ ὁ πλουσιώτατος, ἀλλ' ὁ μὲν πένης πρὸς τὸν πλούσιον, ὁ δὲ πλούσιος πρὸς τὸν πλουσιώτατον. Ἔστι τοίνυν ἡ ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος κεφαλαίου, καὶ ταύτῃ μάλιστα Λεπτίνης ἰσχύει, καὶ ἡ ταράττουσα μάλιστα τὸν Δημοσθένην τῶν ἀντιλογιῶν ἡ παροῦσά ἐστι. Καὶ διὰ τοῦτο καὶ μεθόδοις πολλαῖς ἐχρήσατο, νῦν μὲν προλύων, νῦν δὲ προδιαβάλλων, νῦν δὲ τεχνικῶς τιθεὶς τὰ ὀνόματα. Εἰ γὰρ ταύτην λύσειεν, ἰσχυρὰ τὰ λοιπὰ τοῦ λόγου. Εἰς γὰρ τοῦτον τὸν λόγον καὶ ταύτην τὴν ὑπόσχεσιν ὁ ἀκροατὴς ἀπιδὼν ἐδέξατο τὸν νόμον, ἀλλ' οὐχ, ὡς ᾠήθησάν τινες, ἐκείνην τὴν ἀντίθεσιν συνέχειν τὸν λόγον, ἣν πολλαχοῦ τίθησιν, ὅτι ἀνάξιοι πολλοὶ τῶν εἰληφότων τυγχάνουσιν. Ἐκείνην μὲν γὰρ εἰσάγει τοῦ οἰκείου χρησίμου ἕνεκα, προοικονομῶν τὸν οἰκεῖον νόμον, ταύτην δὲ μόνην χαλεπὴν καὶ ἀνταγωνιζομένην ἔχει. Διόπερ οὐκ ἐθάρρησεν αὐτὴν πρωταγωνιστοῦσαν θεῖναι. TCV.

462, 8. Ὡς αἱ λειτουργίαι] Λύει τῷ κατὰ συνδρομὴν θεωρήματι, ὅ ἐστι τῇ ἀντιπαραστάσει. BFRSTYP.

462, 10. Ἔστι δὲ τοῦτο] Οὐκ ἠδυνήθη τὸ ἰσχυρὸν εὐ-

θὺς ἀφελέσθαι. Συγκατατίθεται οὖν καὶ αὐτὸς τοῖς λεγομένοις, ὡς οὐκ ἔχων ῥᾳδίως ἀντιλέγειν, ὅτι μεταστήσονται εἰς τοὺς πλουσιωτάτους αἱ λειτουργίαι. Οὕτω πιθανὸν ἐδόκει τι καὶ συμφέρον προτείνειν Λεπτίνης. Διὸ καὶ μεθόδου δεῖται ἰσχυρᾶς πρὸς τὴν λύσιν. Τίς οὖν ἡ μέθοδος; μερίζει τὰς λειτουργίας κατὰ πρόσωπον δίχα, τούς τε μετοίκους ἰδίᾳ καὶ τοὺς πολίτας τιθείς. Μέγα γὰρ εἰς καθαίρεσιν ὁ τοῦ πλήθους μερισμὸς, ὥσπερ αὔξησιν ὁ ἀθροισμὸς περιέχει· ὥσπερ πάλιν ἐν ταῖς παραβολαῖς χρήσιμον ἡμῖν τὸ θεώρημα. Καὶ γὰρ κἀκεῖ μερίζοντες τῶν πραγμάτων τὴν φύσιν μεγαλοποιεῖν δυνάμεθα, κἀνταῦθα δὲ μεριζόμενα τὰ τῶν λειτουργιῶν καθαίρεσιν φέρει. Καὶ οὐδὲν κωλύει τὸ αὐτὸ θεώρημα καθαιρεῖν καὶ αὔξειν κατὰ διάφορον λόγον· καὶ γὰρ ἡ πηλικότης οἶδεν αὔξειν τε καὶ μειοῦν. Λύει δὲ τῷ κατὰ συνδρομὴν θεωρήματι, ὅπερ καλοῦσιν ἀντιπαράστασιν. Συγκατατιθέμενος γὰρ τοῖς λεγομένοις ὑπὸ Λεπτίνου βούλεται δῆθεν διὰ τοῦ μερισμοῦ τὴν ἀκρίβειαν τοῦ λόγου μαθεῖν, καὶ εἰ μὴ φαινόμενός ἐστιν, ἀλλ' ἀληθὴς ὁ λόγος. TCV.

462, 13. Εἰσὶ γὰρ δήπου παρ' ὑμῖν] Ἀλέξανδρος μὲν ἐξηγούμενός φησιν ὅτι ἔδει πανηγυριζούσης τῆς πόλεως μήτε τοὺς ξένους μήτε τοὺς μετοίκους πορρωτάτω τῶν ἀπολαύσεων καθεστάναι. Ἐχορήγουν τοίνυν καὶ αὐτοὶ δηλονότι καὶ εἱστίων ἀλλήλους, ἵνα μηδεὶς ἄμοιρος ᾖ κατὰ τὴν πόλιν τῆς μετουσίας τῶν ἑορτῶν. Δόξειε δ' ἂν μᾶλλον ὁ Δημοσθένης, διὰ τῆς ἐπαγομένης ἐννοίας πρὸς τὴν ἀντίθεσιν ἁπαντῶν, ἰσχυροτέραν αὐτὴν ποιεῖν. Τί γὰρ ἕτερον εἶπε Λεπτίνης ἢ ὅτι πολλοὶ τῶν μετοίκων καὶ τῶν πολιτῶν ἔξω λειτουργιῶν καθεστᾶσι, τὴν ἀτέλειαν ἔχοντες; οὐ μὴν οὕτως ἔχει, ἀλλ' εἰς τὸν μερισμὸν μεταβιβάζει τὸν ἀκροατὴν, ἵνα καθ' ἑκάτερον μέρος ἡ ἀπόδειξις εὐμαθεστέρα γένηται· εἶτα καὶ διὰ τῶν ξένων καὶ μετοίκων τὴν ἐκ περιουσίας λειτουργίαν δείκνυσι. Ζητεῖ γὰρ ἡ πόλις οὐχ εἴ τις μέτοικος χορηγήσει, ἀλλ' εἴ τις πολίτης τῇ πόλει. TCV.

462, 14. Ὧν ἑκατέρων ἐστὶ τοῖς εὑρημένοις] ὡς ἀντικαταλλαξαμένης τῆς πόλεως πρὸς τοὺς εὐεργέτας τὴν χάριν. Εὑρέσθαι γάρ ἐστι τὸ λαβεῖν ἀνθ' ὧν τις ἔδωκε. TCV.

462, 15. Τῶν γὰρ εἰς τὸν πόλεμον] Δύο διὰ τῆς ἐννοίας ταύτης ἀνύσει· ἓν μὲν, ὅτι οὐδεὶς ἀτελὴς τῶν εἰς τὸν πόλεμον, ὥστε χρησίμους φαίνεσθαι ταύτῃ τοὺς εἰληφότας τὴν ἀτέλειαν, περὶ ὧν ὁ πολὺς Λεπτίνου λόγος· ἕτερον δὲ, ἵνα μή τις οἴηται τὰς λειτουργίας τὰς αὐτὰς εἶναι ταῖς εἰσφοραῖς καὶ τριηραρχίαις. Τὸ δὲ « ἣν οὗτος ἀφαιρεῖται » τεθὲν τοῦ βιαίου καὶ τῆς ἀδικίας πλείστην ἔμφασιν ἔχει. Ἀφαιρεῖται γάρ τις ἐκείνων, ὧν μή ἐστι κύριος, οὐ κατὰ νόμον λαμβάνων, ἀλλὰ πολεμίων τρόπῳ χρώμενος. TCV.

462, 18. Οὐδ' οὓς οὗτος ἔγραψε] Πρὸς σύστασιν τοῦ οἰκείου νόμου τοῦτό φησιν. Εἰ γὰρ αὐτὸς ὁ Λεπτίνης τούτους ἀνῆκε τῷ νόμῳ, εὔδηλον ὡς οὐχὶ λειτουργίαι τῶν πολεμίων γίνονται. TCV.

462, 22. Τούτῳ] Λεπτίνη δηλαδή. P.

Οἱ μὲν τοίνυν πλουσιώτατοι] Μερίσας τὰς λειτουργίας εἴς τε πολίτας καὶ τοὺς μετοίκους, καὶ ταύτην κατ' ἐρώτησιν ἐργασάμενος, ζητεῖ καθ' ἑκάτερον μέρος πόσους εἰσποιεῖ Λεπτίνης, καὶ πόσους τῶν πενήτων ἀφίησιν· εἶτ' ἐπὶ τούτοις ἐξαιρεῖ τοὺς πάνυ πλουσιωτάτους, ὡς ἀεὶ ταῖς τριηραρχίαις νεμεμημένους. Οὐκοῦν τὸ μέσον ὑπολειφθήσεται, τῶν πλουσιωτάτων ὑφῃρημένων. Οὐκοῦν εὐθὺς ἐξελέγχει τοῦ νόμου τὸ πρῶτον νόημα, ἐν ᾧ τὸ μέγιστον τῆς ὅλης νομοθεσίας. Λέγοντος γὰρ τοῦ Λεπτίνου, Ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσιν, αὐτὸς ἀφαιρεῖται τοὺς πλουσιωτάτους, νέμων ταῖς τριηραρχίαις, ὥστε εὐθὺς ἁλίσκεσθαι ψευδῆ τὸν Λεπτίνην. Ἐκεῖ μὲν γὰρ ἁπάντων τῷ νόμῳ, Ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, λέγει· δείκνυσι δὲ ἡ πολιτεία ψεῦδος ὂν τὸ τοὺς πλουσιωτάτους λειτουργεῖν, νέμουσα ταῖς τριηραρχίαις αὐτούς· ὥστε πῶς ἂν οἱ πλουσιώτατοι λειτουργήσαιεν; ἡ λύσις δὲ τῆς ἀντιθέσεως κατὰ μείωσιν γέγονε, διὰ τὸ μὴ ἔχειν τὸν ῥήτορα ἀνατρεπτικὴν ἀντιλογίαν, βιάζεσθαι δὲ ὑπὸ τῆς φύσεως τῶν πραγμάτων εἰς τοῦτο καταφέρεσθαι. Εἶτα καὶ τὴν βλάβην εὐθὺς τῇ λύσει συνάπτει, προσθεὶς τοὺς ἅπαντας ἀπίστους πρὸς αὐτοὺς μέλλοντας γίνεσθαι. TCV.

462, 28. Πολλεὺς] ἀτελεῖς δηλονότι. P.

463, 1. Θήσω τοίνυν ἐγὼ] Μετὰ τὴν ἀναίρεσιν συνδρομή· ἐκ περιουσίας γὰρ ταῦτα λέγει λοιπόν. TCV.

463, 6. Φανήσεται γὰρ οὐδὲ πολλοῦ δεῖ] ἀντὶ τοῦ, οὐδὲ αὐτῆς τῆς αἰσχύνης ἄξιον, οἷον, οὐδὲ ἰσόρροπον τῆς αἰσχύνης, ἀλλ' ἔλαττον κέρδος· ὥστε Λεπτίνης εἰς δόξαν ζημιῶν οὐδέπω φιλεῖ, ἀλλὰ πονηρεύεται.

463, 16. Πόσοι δήποτ' εἰσὶν] Ἀπὸ τοῦ πόσοι ἕως τοῦ ἑστιάτορες οὐδεμία στιγμὴ μεταξύ. B.

Ἵν' οὖν τριάκοντα ἄνθρωποι] Οὐ λέγει τῶν τριάκοντα πλείους, ἀλλ' ὅταν πολλοὺς δῶμεν, ἐσομένους τριάκοντα.

463, 19. Ἀλλ' ἴσμεν] Ἄλλος τρόπος λύσεως, καὶ τῷ καθ' ὑπόθεσιν κέχρηται σχήματι ἐκ περιουσίας. BFSYP.

463, 20. Ἄν περ ἡ πόλις ᾖ, πολλοὶ] Πολὺ τῷ φιλοπόλιδι καὶ τὸ ἀπὸ τῆς εὐνοίας ἦθος. Οὐ γὰρ ἀφίησιν ἡ δεξιὰ τύχη τῆς πόλεως σπάνιν γενέσθαι λειτουργιῶν, σωζομένης τῆς πόλεως.

463, 22. Εἶεν. Εἰ δὲ δὴ] Ἄλλος τρόπος λύσεως ἐντεῦθεν, ὅτι βέλτιον εἰς συντέλειαν ἀγαγεῖν τὰς λειτουργίας. Καὶ τῷ καθ' ὑπόθεσιν κέχρηται σχήματι, ἵν' ἐκ περιουσίας καὶ τούτῳ χρώμενος φαίνηται Εἶτα συνάπτει πάλιν τῷ κατὰ μείωσιν συγκριτικῷ· ἀντεξετάζει γὰρ τὸν κατὰ συντέλειαν τρόπον τοῖς ἐπαγγέλμασιν.

463, 24. Εἰς συντέλειαν ἀγαγεῖν] Ἄλλος τρόπος τὴν ἔνδειαν διορθούμενος κατὰ μετάληψιν, ὡς ἐν ταῖς τριηραρχίαις ποιῆσαι κἂν ταῖς χορηγίαις· καὶ τῇ παραθέσει τὸ βέλτιον εὑρίσκει. Βέλτιον γὰρ τοῦτο, φησὶν, ὅτι βραχύτητι τὴν αἴσθησιν ὑποκλέπτει.

463, 25. Τριηραρχίας] Πάντες γὰρ ἐν ταῖς τριηραρχίαις συνετέλουν πλὴν τῶν ἐννέα ἀρχόντων. P.

464, 3. Οὕτω τοίνυν τινὲς] Ἔπαινον ἔχει τῶν οἰκείων πίστεων, ὡς οὐδεὶς ἀναιρεῖν αὐτὰ ἰσχύει. Μάχεται δὲ ἑτέρᾳ τινὶ ἀντιθέσει, ὡς ἄρα πλουτοῦσί τινες, ἀτελείας ἐπειλημμένοι· ἣν λύει κατ' ἄμφω, φιλανθρώπως καὶ δικαίως. Εἰ μὲν ἀδίκως καὶ κλέψαντες ἔχουσιν· ἔδει κατηγορεῖν· εἰ δὲ οὐδὲν παρανομήσαντες, συκοφαντεῖς τὴν μέμψιν ποιούμενος. Εἶτα ὡς οὐδ' ἔσεσθε εὐπορώτεροι δείκνυσιν ἐκ τῆς ἀφαιρέσεως. Τοῦτο γὰρ ἦν ἄλλο τῆς ἀντιθέσεως μέρος. TCV.

Ἄλλης ἀντιθέσεως ἅπτεται. Ἔστι δὲ δηλαδὴ τοῦ αὐτοῦ κεφαλαίου. Ἔστι δὲ κατὰ μείωσιν συγκριτικῶς. FBSYT.

464, 7. Ἰδίᾳ δέ τινες πλουτήσουσι] Καὶ τοῦτο πάλιν μερίζει. Ἰδίᾳ πλουτοῦσι γάρ· πῶς; πότερον ὑφῃρημένοι τὰ τῆς πόλεως, ἢ ἀδικοῦντες οὐδένα; εἰ μὲν ὑφῃρημένοι, κατηγορεῖν καὶ ἀφαιρεῖσθαι δεῖ— καὶ γίνεται ἡ λύσις τούτου μεταληπτική—· εἰ δὲ οὐδὲν ἀδικοῦντες, οὐ χρὴ βασκαίνειν. TCV.

464, 14. Καὶ μὴν περὶ τοῦ γε μὴ εἶναι χρήματα]

ἐντεῦθεν ἐπὶ τὸ ἕτερον μέρος μεταβαίνει τῆς ἀντιθέσεως, καὶ λύει τοῦτο κατὰ τρόπου διαφοράν. Οὐ γὰρ ἐξ ὧν ἄν τις λειτουργήσειεν αἱ πρόσοδοι τῆς πόλεως αὔξονται, φησὶν, ἀλλ' ἑτέρωθεν ἔχει ταύτας ἡ πόλις. Εἶτα εὐθὺς πάλιν μεταβαίνει ἐφ' ἑτέραν λύσιν—ἔστι δὲ καὶ αὕτη κατὰ σύγκρισιν—, πότερον εὐδοξίαν αἱροῦνται μᾶλλον ἢ χρήματα; λέγει δὲ τοῦτο πρὸς δῆμον φιλότιμον τῆς πατρίου μεγαλοφροσύνης γέμοντα. Ὃ γὰρ ἰσχυρότατον ἀντιθεῖναι πρὸς τοὺς Λεπτίνου λόγους ἔχει, τοῦτό ἐστι τὸ τῆς εὐδοξίας διὰ τὸ ἦθος τῶν ἀκουόντων. TCV.

464, 19. Χωρὶς δὲ τούτων, νυνὶ τῇ πόλει δυοῖν] Λύσις. B. Σύνηθες καὶ τούτῳ τὸν πλοῦτον ἀγαθὸν καλεῖν καὶ Ἰσοκράτει καὶ τοῖς παλαιοτάτοις. Συγκρίνει δὲ τὸν πλοῦτον πρὸς εὔνοιαν. Αἱ δὲ συγκρίσεις ἐξ ὁμογενῶν γίνονται. Ἐὰν δέ τίς ποτε πολέμου καὶ εἰρήνης ἢ κακῶν καὶ ἀγαθῶν ἑτερογενῶν ὄντων δόξῃ ἀντεξετάσεις ποιεῖσθαι, οὐ φήσομεν εἶναι σύγκρισιν τὸ γινόμενον, ἀλλ' ἀντεξέτασιν μόνον. Ἔχουσι μὲν γὰρ αἱ συγκρίσεις καὶ ἀντεξετάσεις, οὐ μὴν αἱ ἀντεξετάσεις πανταχοῦ εἰσι συγκρίσεις. Ἐνταῦθα δὲ σύγκρισιν εἶναι φήσομεν τὸ γινόμενον, διὰ τὸ ὁμογενῆ τυγχάνειν τὰ ἀμφότερα. Συγκρίνει δὲ τῷ πλούτῳ τὴν δόξαν πρὸς φιλότιμον δῆμον διαλεγόμενος· καὶ κρεῖττον δείκνυσι τὸ θαυμάζεσθαι. Ἔχει δέ τινα καὶ κατὰ τὴν λέξιν ἀσάφειαν. Οὐ γὰρ λέγει ὅτι τῇ πόλει πρόσεστι δύο, καὶ ὁ πλοῦτος καὶ τὸ θαυμάζεσθαι· ἀλλὰ, δυοῖν ὄντων ἀγαθοῖν παρὰ πᾶσιν ἀνθρώποις, τῇ πόλει τὸ κρεῖττον ὑπάρχει. TCV.

464, 22. Εἰ δέ τις οἴεται δεῖν] ἠθικῶς S. Τοῦτο εἰς Λεπτίνην ἀπέρριψεν, ἠθικῶς μὲν οὐ μὴν πόρρω καὶ τὸ πικρὸν ἐνδείξασθαι. Διαβάλλει γὰρ τὸν οὕτω διακείμενον, ὅταν τοιαῦτα ἄτοπα λέγῃ, δι' ἑνὸς προσώπου παιδεύων τοὺς ἅπαντας. Καίτοι τὸ ἑξῆς ἠθικώτερόν ἐστι τὸ « ἐγὼ « μὲν γὰρ εὔχομαι τοῖς θεοῖς. » TCV.

464, 23. Ἐγὼ μὲν γὰρ] ἠθικώτερον. BS.

464, 26. Φέρε δὴ καὶ τὰς εὐπορίας] Ἥκει πάλιν ἐπὶ τὸ αὐτὸ μέρος τῆς ἀντιθέσεως. Εὐποροῦσί τινες· οὐκοῦν ὑπὲρ τῆς πόλεως τὸν πλοῦτον συλλέγουσιν ἔν τε ταῖς ἱερομηνίαις καὶ ταῖς πανηγύρεσιν. Εἶτ' ἐπιτίθησιν ὅτι ἅπαντες εἰσφέρουσιν εἰς τὸν πόλεμον οἱ τὴν ἀτέλειαν εἰληφότες· ἐξ οὗ καὶ ἡ σύγκρισις αὐτῷ συναύξεται καὶ τὸ τῇ πόλει τὸν πλοῦτον συλλέγεσθαι δείκνυται. Εἶτα παρέχεται νόμον καὶ σοφίζεται περὶ αὐτόν. Δύο γὰρ προτείνας τὸ μὲν ἕτερον ἀποδείκνυσι, τὸ δ' ἕτερον συλλογίζεται. Ὅτι μὲν γὰρ τριηραρχίας οὐδεὶς ἀτελὴς συνομολογεῖται διὰ τοῦ νόμου· ὅτι δὲ καὶ εἰσφέρειν εἰώθασιν εἰς τὸν πόλεμον οἱ τὴν ἀτέλειαν ἔχοντες συλλογίζεται ὡς ἐν εἴδει τῆς τοῦ συλλογισμοῦ ἐτάσεως. Τὸ γὰρ μὴ γεγραμμένον εἰς ταυτὸν τῷ ἐγγράφῳ συλλογίζεται, οὐδαμοῦ τοῦτο διδόντος τοῦ νόμου. Τὴν δὲ πίστιν τοῦ λόγου προὔθηκε πρὸ τῆς ἐννοίας, εἰς τὴν μαρτυρίαν τῶν ἀκουόντων αὐτὴν ἀναγαγών. Τί γάρ φησιν; « ἴστε δήπου τοῦθ' ὅτι « τῶν τριηραρχιῶν, » καὶ ἑξῆς, ὡς τῆς μαρτυρίας ἀρκούσης αὐτῷ. TCV.

465, 5. Παρὰ μὲν γὰρ τὰς τῶν χορηγιῶν δαπάνας] Καὶ χάριν ὁμολογεῖν πειρᾶται τοῖς πλουτοῦσι, τῇ παραθέσει τῶν καιρῶν τὴν προσθήκην ἐπινοῶν. Ἂν εὑρεθῇ, φησὶ, χορηγὸς, ψυχαγωγεῖ τοὺς θεωμένους ὑμᾶς ἐν βραχεῖ μορίῳ τῆς ἡμέρας· ἐν δὲ ταῖς τριηραρχίαις ἀντὶ τῆς ἡδονῆς ἡ σωτηρία, καὶ οὐ κατὰ σμικρὸν μέρος, ἀλλ' ὅλον τὸν χρόνον, καὶ οὐκ ὀλίγοις ὑμῶν τοῖς ἐν τῷ θεάτρῳ φανεῖσιν, ἀλλὰ πάσῃ τῇ πόλει. TCV.

465, 10. Καὶ δίδοτε ἐν μέρει τιμῆς] Τί κομπάζεις, φησὶν, ὡς ἐν ταῖς δωραῖς τοὺς εὖ ποιοῦντας νικῶν; ματαίαν χαρίζῃ τιμήν· φιλότιμος εἶ κενῶς· κἂν μὴ δῷς, αὐτὸς ἔχω τριηραρχῶν τῆς χορηγίας ἀτέλειαν. TCV.

465, 19. Ὁρᾶθ' ὡς σαφῶς, ὦ ἄνδρες Ἀθηναῖοι] Ἀναγινώσκει τὸν νόμον· διὸ εἴρηκεν ὡς οὐδεὶς τῶν πλουσίων τριηραρχίας ἀτελὴς, ἵνα γένηται φανερὸν ὡς οἱ πλουτοῦντες ἐκ τῶν ἀτελειῶν ἐποίουν συντελείας ἐν τοῖς πολέμοις, τριηραρχοῦντες δὲ οὐκέτι χορηγοῦσιν· οὐ γὰρ ἀμφότερα δύνανται. TCV.

465, 20. Διείρηκεν] διαρρήδην εἶπεν. B.

465, 22. Ἐν ταῖς εἰσφοραῖς] περὶ τῶν εἰσφερόντων μόνον εἰς τὸν πόλεμον, καὶ περὶ τῶν τριηραρχούντων ἅμα καὶ εἰσφερόντων. Lass.

465, 25. Τίνα οὖν ῥαστώνην τοῖς πολλοῖς] Ὅτε ἐθάρρησε τοῖς δικαίοις καὶ τοῖς εἰρημένοις, τότε πρὸς τὸν Λεπτίνην ἐλεγκτικῶς διαλέγεται. Καὶ περὶ τίνος; περὶ τοῦ μὴ τοὺς πένητας ἀνάπαυλαν ἔχειν, ἵν' ὁ ἐλεγκτικὸς λόγος ἐπὶ τῶν πενήτων γενόμενος μᾶλλον ἀληθεύοντα δείξῃ τοῦτον, ψευδόμενον δὲ τὸν Λεπτίνην ἐλέγξῃ. Ἐνδείκνυται γὰρ διὰ τοῦ « τίνα γὰρ ῥαστώνην » καὶ ἑξῆς ὅτι τοὺς πολλοὺς ἀπατᾷς, ῥήμασι μόνοις τὴν ἀνάπαυλαν αὐτοῖς χαριζόμενος, ἕτερον ἀνθ' ἑτέρου ποιῶν. Ὁ μὲν γὰρ Λεπτίνης φησὶν « ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσιν, » ὁ δὲ Δημοσθένης, ὡσανεὶ λέγοντος Λεπτίνου ὅτι τοὺς πένητας ἀφίημι, οὕτω τὸν ἀγῶνα καὶ τὴν μάχην ποιεῖται. Ἐξαπατᾷς, φησὶ, τὸν δῆμον καὶ λόγους ἐπαγγέλλῃ μόνον τοῖς πένησι, κέρδος οὐδὲν περιποιῶν τοῖς πολλοῖς. Δοκεῖ δὲ διασύρειν καὶ εἰς ταπεινότητα κατάγειν τὸ ὑπὸ τοῦ νόμου δεικνύμενον. TCV.

465, 27. Εἰ μιᾶς ἢ δυοῖν φυλαῖν ἕνα χορηγὸν] Τοῦτο ὡς ἀσαφὲς δῆθεν ζητεῖται· καὶ ἐξηγήσαντό τινες, ὅτι τοῖς Θαργηλίοις δυοῖν φυλαῖν εἷς μόνος καθίστατο χορηγὸς, τοῖς δὲ μεγάλοις Διονυσίοις, Ἀνθεστηριῶνος μηνὸς, πλείονος αὐτῷ γιγνομένης τῆς δαπάνης, εἷς χορηγὸς ἑκάστης φυλῆς καθίστατο. Ἐμοὶ δὲ δοκεῖ σοφιστικῶς εἰρῆσθαι σχήματι Θουκυδιδείῳ. Εἶπε γὰρ ἐκεῖνος ἐν τῇ δευτέρᾳ (imo 3, 17) τῶν ἱστοριῶν « Τήν τε γὰρ Ποτίδαιαν δί« δραχμοι ὁπλῖται ἐφρούρουν· ἑαυτῷ γὰρ καὶ τῷ ὑπηρέτῃ « δραχμὴν μισθὸν ἐλάμβανε. » Καὶ λείπει ἡ πρός πρόθεσις, ἵνα ᾖ, πρὸς δραχμὴν ἐλάμβανεν. Οὕτω καὶ ἐνταῦθα εἰρῆσθαι χρὴ, εἰ μιᾶς ἢ δυοῖν φυλαῖν πρὸς ἕνα χορηγὸν καθίστησι. Τίνος δ' ἕνεκα οὕτως συνέστειλεν; ἵνα μηδὲ φαίνηται πολλῶν χορηγῶν εὐπορίαν εὑρίσκων Λεπτίνης. TCV.

465, 28. Ὃς ἀνθ' ἑνὸς ἄλλου τοῦτο ἅπαξ] Ὁ γὰρ ἅπαξ χορηγήσας δηλαδὴ ἀπαλλάξεται τοῦ χορηγεῖν. Ἔστι δ' ἄλλο μὲν χορηγία, ἄλλο δὲ εἰσφορὰ καὶ τριηραρχία. Τριήραρχος μὲν γάρ ἐστιν ὁ ναῦν παρεχόμενος πολεμικὴν καὶ σκεύη τῇ νηὶ καὶ ὅσα τοιαῦτα· χορηγὸς δὲ ὁ τοῖς Διονυσίοις καὶ τοῖς Παναθηναίοις τῷ χορῷ τὴν τροφὴν παρέχων καὶ στεφάνους καὶ κόσμον καὶ ὅσα περὶ τὴν τοιαύτην πανήγυριν· ἑστιάτωρ δὲ ὁ τὴν φυλὴν εἰς δεῖπνα καλῶν· γυμνασίαρχος δὲ ὁ παρέχων τοὔλαιον τοῖς γυμναζομένοις—γυμνάσιον γὰρ τὴν παλαίστραν ἐκάλουν—, καὶ κρατῆρας ἐπίμπλασαν τοῖς βουλομένοις δημοσίᾳ χρίεσθαι· εἰσφέρειν δὲ λέγουσιν εἰς τὸν πόλεμον, ὅταν ἔρανον διδῷ [τις] τοῖς ὑπὲρ τῆς πατρίδος παραταττομένοις. Αὗται ἦσαν παρ αὐτοῖς αἱ λειτουργίαι, αἱ μὲν πρὸς εἰρήνην, αἱ δὲ πρὸς πόλεμον. TCV.

465, 29. Τῆς δέ γ' αἰσχύνης ὅλην ἀναπίμπλησι τὴν

πόλιν] ὅτε τοίνυν τὸ μὲν χρήσιμον ἄπεστι, πληροῖς δὲ τῶν αἰσχίστων τὴν πόλιν, ἄφες· λυθήτω θᾶττον ὁ νόμος τῇ τῶν καθημένων ψήφῳ. Καὶ σοὶ μὲν μέτεστι τῆς αἰτίας, ὁ δῆμος δὲ τῆς βλασφημίας ἐλεύθερος. Οὐκ ἀφίσταται δὲ τῆς ἐννοίας, πῇ μὲν τὸ ἔνδοξον κατασκευάζων, πῇ δὲ τοὐναντίον· ἐν ᾧ καὶ πλείοσι κέχρηται ὡς ἐν καταφορᾷ τοῖς ὀνόμασιν, αἰσχύνην καὶ ἀπιστίαν λέγων καὶ ἀδοξίαν. TCV.

466, 1. Οὐκοῦν ὅτε πολλῷ] Ὁμολογεῖ μὲν καὶ αὐτὸς ὠφέλειάν τινα συμβαίνειν περὶ τοῦ νόμου, ἀλλὰ μείζω τῆς ὠφελείας εἶναι ταύτην τὴν βλάβην. TP.

466, 4. Ἔτι δέ, ὦ ἄνδρες δικασταὶ] Δοκεῖ τοῦ νομίμου κεφαλαίου εἶναι, οὐκ ἔστι δέ, ἀλλὰ τοῦ συμφέροντος μᾶλλον. Ἔστι δὲ τὸ ἐπιχείρημα ἀπὸ τοῦ ἐλλείποντος, ἢ ἀπὸ τοῦ ἀδιορίστου. BFSYP. Τοῦτό τινες οἴονται εἶναι τοῦ νομίμου κεφαλαίου· μᾶλλον δὲ ἀποφαίνειν ὁ ῥήτωρ πειρᾶται πολλὴν ἐσομένην σιτόδειαν καὶ βλάβην, ἐκ τῆς ἀσαφείας τὸ ἀποβαῖνον πολυπραγμονῶν. Ἀεὶ γὰρ ὁ ῥήτωρ τὸ δοκοῦν ἀσαφὲς ἐπὶ τὸ συμφέρον ἀνάγει, τὴν ἀπ' αὐτοῦ βλάβην δηλῶν. TCV.

466, 6. Μήτε τῶν ἰσοτελῶν, μήτε τῶν ξένων] Ἰσοτελεῖς μὲν λέγει τοὺς ξένους τοὺς τετυχηκότας τῆς ἴσης τιμῆς τοῖς πολίταις. Τέλος γὰρ καὶ τὴν τῶν ἀρχόντων τιμὴν ὀνομάζουσιν, ὥσπερ καὶ Θουκυδίδης λέγει Λακεδαιμονίων καταλέγων τὰ τέλη, τοὺς ἄρχοντας ὀνομάζων αὐτῶν. Ξένους δὲ λέγει τοὺς οὐκ ἐγχωρίους. Διὰ μὲν οὖν τῶν προειρημένων ἐπιχειρημάτων κατεσκεύασεν ὅτι οὐδὲν ὄφελος περιγίνεται τῇ πόλει, κειμένου τοῦ νόμου· διὰ δὲ τοῦ παρόντος ἐπιχειρήματος ὅτι καὶ βλάπτεται ἡ πόλις. Τί γὰρ ἂν καὶ γένοιτο μεῖζον βλάβος σιτοδείας; περὶ ἧς ὁ παρὼν αὐτῷ κεκίνηται λόγος. TCV.

466, 7. Μὴ διειρῆσθαι δὲ ὅτου ἀτελῆ] Τῷ ἐλλείποντι κέχρηται, μὴ διειρῆσθαι λέγων, τὸ ἀδιάκριτον τῆς λέξεως ἐπισημαινόμενος. Πολλὰ δ' ἐπισημαίνεται ὡς παραλελειμμένα καὶ ἀορίστως εἰρημένα τῷ νομοθέτῃ. Πρῶτον δὲ ἐκεῖνο, ὅτι τῶν ξένων εἰπὼν οὐ δεδήλωκε πότερον τῶν οἰκούντων Ἀθήνησιν, ἢ περὶ τῶν ἀλλαχόθι· δεύτερον δέ, ὅτου ἀτελῆ. Οὐ γὰρ εἶπε τὸ εἶδος τῆς ἀτελείας, χορηγίας ἢ τινὸς ἄλλου τέλους τοιούτου, τέλος λέγων κἀνταῦθα τὰς καταβολὰς καὶ τελωνείας τὰς παρὰ τῶν ἐμπόρων, καὶ τὸ εἰς ὅπερ αὐτὸν δεῖ συντελεῖν χορηγοῦντα τῇ πόλει, ὡς καὶ περὶ τὸ τέλος εἶναι τὴν ἀσάφειαν. Πῇ μὲν γὰρ τέλος λέγεται ἡ τελωνεία, πῇ δὲ καὶ τὸ λειτουργεῖν τῇ πόλει. Ἐπεὶ οὖν συνέβαινε τὸν Λεύκωνα εἶναι ἀτελῆ, πῇ μὲν διὰ τὸν τιθέμενον πυρὸν ἐν τῷ Πειραιεῖ, πῇ δὲ τὸ μὴ χορηγεῖν ξένον ὄντα, αἰτιᾶται ὡς διδόντος τοῦ νόμου κατὰ τὴν ἀσάφειαν ταύτην καιρὸν τῷ βουλομένῳ καλεῖν εἰς χορηγίαν τὸν Λεύκωνα, καὶ μὴν καὶ ἐπηρεάζειν εἰς τελωνείαν. Ὅθεν καὶ ζητεῖ κατὰ ποῖον τέλος ὁ Λεπτίνης λέγει· πότερον κατὰ τὸ μηδένα ἀτελῆ τῶν χορηγιῶν τυγχάνειν, ἢ κατὰ τὸ μὴ δεῖν αὐτὸν τελωνεῖσθαι, κατακλείων εἰς τὸ ἐξεῖναι τῷ βουλομένῳ τελώνῃ χορηγεῖν καὶ καλεῖν εἰς χορηγίαν τὸν Λεύκωνα. Ἐχρήσατο δὲ καὶ τοῖς τρισὶν ὀνόμασι, τῷ [τῶν πολιτῶν καὶ] τῶν ἰσοτελῶν καὶ τῶν ξένων, τῷ τὸν Λεύκωνα τῶν τριῶν μετέχειν δύνασθαι· πολίτης μὲν γάρ ἐστι τῇ ποιήσει, ἰσοτελὴς δὲ τῇ τιμῇ, ξένος δὲ τῷ μήτε γένει μήτε φύσει πολίτης εἶναι. Λυπεῖ δὲ τούτῳ τῷ μέρει σφόδρα. Τί γὰρ ἂν γένοιτο μεῖζον ταραχῆς αἴτιον τῇ πόλει τῆς σπάνεως [καὶ] τῆς σιτοδείας; ὅθεν καὶ εἰς τὸ τῆς βλάβης μέρος τοῦτο ἐξετάζει τὸ ἐπιχείρημα. Ἵνα δὲ καὶ δοκῇ ἀπολογεῖσθαι ὑπὲρ τοῦ ἀνδρός, μέλλοντος ἀποστερεῖν τῶν πυρῶν, τῇ πόλει δίδωσι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην τοῦ συμβησομένου περὶ τῆς πόλεως· εἶτα [ποιεῖ] πρεσβευόμενον καὶ μεμφόμενον καὶ ὀνειδίζοντα· εἶτα ἐπὶ τούτοις μόλις ἀφαιρούμενον, ὥστε τὴν κατηγορίαν μηκέτι εἶναι τοῦ Λεύκωνος, ἀλλὰ τοῦ δήμου. TCV.

466, 11. Ἐν δὲ τῷ τῶν ξένων] περὶ Λεύκωνος, ἄρχοντος Βοσπόρου. B.

466, 12. Ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα] Ὁρᾷς ὅσην καὶ τὴν ἔμφασιν συνεισήνεγκεν; εἶτα προσθεὶς καὶ τὸ Βοσπόρου, μονονοὺ βλέπειν αὐτοὺς ἐποίησε τοῦ σίτου τὰς ὁλκάδας μεστάς· ὥστε λιμοῦ παραίτιος ὁ Λεπτίνης γενήσεται, δι' ὧν ἀφαιρεῖται τῆς ἀτελείας τὸν ἄνθρωπον. TCV.

466, 16. Κατ' οὐδέτερον δ' αὐτῷ] οὔτε ὡς πολίτῃ οὔτε ὡς ξένῳ· στερίσκονται γὰρ ἀμφότεροι. TCV.

466, 21. Ἴστε γὰρ δήπου] Αὔξει τὴν εὐεργεσίαν τοῦ Λεύκωνος, ἐκ τῶν ἐναντίων τὴν σπάνιν προφέρων. Ἐν γὰρ ταῖς ἐνδείαις καὶ τὰ μικρὰ τῶν κερδῶν μεγάλα εἶναι δοκεῖ. Ὅταν δὲ καὶ τοῦτο μέγιστον ᾖ, ποίαν λοιπὸν ὑπολείπει τοῖς ἀκούουσιν ὑπερβολήν; εἶτα καὶ συγκρίνει τὸν ἀπὸ τοῦ Πόντου σῖτον πρὸς ἅπαντα τὸν ἀπανταχόθεν αὐτοῖς κομιζόμενον. TCV.

466, 25. Οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον] Ἐπειδὴ καθαίρεσιν εἶδε παραπεμπομένην τῷ θεωρήματι— δοκεῖ γὰρ αὐτὸς μᾶλλον ὠφελεῖσθαι ὁ πέμπων τὸν σῖτον ἢ τὴν πόλιν ὠφελεῖν—, ἀνῄρηκε καὶ τοῦτο τὸ ἀντιπῖπτον καὶ ὑπετέμετο. Ὡς γὰρ τῶν ἀκουόντων λεγόντων ὅτι διὰ τὸ πλεῖστον γίνεσθαι σῖτον ἐν τοῖς τόποις τοῦτο ποιεῖ, [κατὰ] συνδρομὴν ἀνῄρηκε τῷ εἰπεῖν, Οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον σῖτον πλεῖστον ἔχειν τοῦτο γίνεται, ἀλλὰ διὰ τὸ ἀτέλειαν ὑμῖν αὐτὸν δεδωκέναι, διὰ τοῦτο προτιμᾷ τῶν ἄλλων ἐμπόρων τοὺς Ἀθηναίους. TCV.

466, 29. Ἔχων γὰρ ἐκεῖνος ἑαυτῷ] Συλλογίζεται τὸ κέρδος τῇ ποσότητι τὴν φιλοτιμίαν ἐγείρων, ἀπὸ τοῦ συνήθους καὶ τεταγμένου τέλους τὸ κέρδος δηλῶν. TCV.

467, 1. Τοῦτο δὲ ἡλίκον ἐστὶ] Τῇ πηλικότητι κέχρηται, ἵνα μὴ μόνον τοῖς πρὸ τοῦ πράγματος αὐξήσῃ, ἀλλὰ καὶ δι' αὐτῆς τῆς ποσότητος. Μέρος γὰρ καὶ τοῦτο τῆς πηλικότητος. TCV.

467, 9. Ἐμπόριον Θευδοσίαν] Θευδοσία χωρίον Βοσπόρου. P. Τὸ μὲν ὄνομα τῷ ἐμπορίῳ ἢ ἀπὸ τῆς ἀδελφῆς ἢ ἀπὸ τῆς γαμετῆς· διαφωνεῖται γάρ. Δείκνυσι δὲ καὶ οὕτω τὴν εὔνοιαν, ὅτι ἁμιλλᾶται πρὸς ἑαυτὸν ἐν ταῖς εὐποιΐαις ὑμῶν· διὰ τοῦτο γὰρ αὔξει καὶ αὐτὸ τὸ ἐμπόριον, ἵνα μὴ φαύλη τις ἡ προσθήκη φανῇ. TCV.

467, 14. Ἀλλὰ προσέρυσι σιτοδείας] Τὴν μνήμην ἀνακαινοῖ, τὰ ἀρχαῖα παραδραμών· ἀεὶ γὰρ ἔχουσι τῆς εὐεργεσίας τὴν αἴσθησιν. Ἴστε γὰρ δήπου τοῦτο, φησίν, ὅτι, τῆς οἰκουμένης ἁπάσης τῷ λιμῷ πιεσθείσης, μετέστησεν ὑμῖν τῇ εὐπορίᾳ τὴν συμφοράν. Τότε πρῶτον εἴδομε σιτόδειαν ποιοῦσαν καὶ πλοῦτον καὶ κόρον. Ἡκέτω Καλλισθένης μάρτυς ἀληθὴς τῆς φιλοτιμίας τῆς Λεύκωνος, λεγέτω τῶν ταλάντων τὸν ἀριθμὸν ὅσον τῇ πατρίδι περιεποίησε. TCV.

467, 21. Καὶ μηδ' ἂν μεταδόξῃ] Εὐδιόρθωτα ποιεῖ τοῖς Ἀθηναίοις τὰ πλημμελήματα. Ἥμαρτεν ὁ δῆμος κακῶς βουλευσάμενος; ἄφες· τῇ μετανοίᾳ λύσει τὰ πταίσματα. Ἀλλὰ τοῦτο οὐκ ἔτι ἐξέσται, ἐὰν ὁ νόμος Λεπτίνου κυ-

ρωθῇ. Γέγραπται γὰρ [ἐν] τῷ νόμῳ, « μηδὲ τὸ λοιπὸν « ἐξεῖναι δοῦναι. » TCV.

467, 24. Καὶ ὑμῶν τοὺς παρ' ἐκείνου σιτηγοὺς] Συναδικεῖς, Λεπτίνη, τὴν πόλιν μετὰ τοῦ Λεύκωνος. Πρὸς πολλοῖς γὰρ ἄλλοις βλάπτεις καὶ εἰς δόξαν· ἡ δὲ ζημία τῶν πραγμάτων παγχάλεπος.

468, 1. Εἶθ' ὑμεῖς ἔτι σκοπεῖτε] Αὐξήσας τὴν κατηγορίαν παροξύνει πρὸς τὴν ἀναίρεσιν· οὐ δεῖ περὶ τῶν ὁμολογουμένων σκοπεῖν, φθασάτω τοὺς λόγους ἡ λύσις. TCV.

468, 2. Ἀνάγνωθι λαβὼν αὐτοῖς αὐτὰ τὰ ψηφίσματα] ἵνα αἰσχυνθῶσιν ἐναντία τοῖς δεδογμένοις ποιεῖν. Εἰπὼν δὲ τὰς εὐεργεσίας ἤδη τῷ λόγῳ βούλεται καὶ ἐγγράφως αὐτὰς ἀναγνῶναι. TCV.

468, 6. Ὡς μὲν εἰκότως καὶ δικαίως] Ὅρα πῶς δριμέως ὡς μισθὸν κεκομισμένον Λεύκωνα δείκνυσιν· ἀνθ' ὧν γὰρ δέδωκεν, ἀντὶ τούτου μετείληφε, καθαιρῶν ἐν τούτῳ τὸ περὶ τούτου φρόνημα τοῦ δήμου, μᾶλλον δὲ μαρτύριον μέγιστον παρεχόμενος διὰ τούτου ὅτι μεγάλα εὐεργέτηται ὁ δῆμος. TCV.

468, 9. Ἀντιγράφους] τὰ ἴσα ἐχούσας καὶ τὰ αὐτὰ βοώσας. TCV.

468. 10. Τὴν δ' ἐν Πειραιεῖ] Διττῶς ἐκεῖνος, ἐπειδὴ καὶ ἐμπορίοις δύο εὐποιεῖ. Ἔπειτα τὸ αἰσχρὸν ἐπάγει καθ' ὑπερβολήν, νενίκηται ὑφ' ἑνὸς ἀνδρὸς ὅλη πόλις εἰς πίστιν, ἡττήθη δῆμος αὐτόχθων εἰς εὐγνωμοσύνην τοῦ Λεύκωνος TCV.

Τὴν δ' ἐφ' Ἱερῷ] Ἱερὸν οὕτω καλούμενον διὰ τὸ τοὺς Μινύας ἱερὰ ἱδρύσασθαι τῶν ἡρώων στελλομένους ἐπὶ τὸ χρυσόμαλλον δέρας. Τοῦτο δέ ἐστι κατὰ τὸ στόμα τοῦ Πόντου. TCV. Ἱερὸν, τόπος ἐστὶ περὶ τὸν Ἑλλήσποντον οὕτω καλούμενος, διὰ τὸ τοὺς Μινύας ἱδρύσασθαι ἱερὸν τῶν θεῶν στελλομένους ἐπὶ τὸ χρυσόμαλλον δέρας. BFSYP.

468, 14. Ὧν ἔχετε ἢ δεδώκατε συνθήκας] σεμνὸν τῶν συνθηκῶν τὸ ὄνομα· διὸ καὶ ὁ παραβὰς ἐπονείδιστος. TCV.

468, 17. Ὃ πολὺ δεινότερον τοῦ καθελεῖν] Θέλεις κυρῶσαι, Λεπτίνη, τὸν νόμον; μικρὸν ἐπίσχες, ἄφες· καθελῶ τὰς στήλας, τὸν ἔγγραφόν μου καὶ δῆλον κατήγορον. Αὗται κυροῦσι τὰς μέμψεις, βεβαιοῦσι τὰς διαβολὰς τὰς ματαίας ταυτασί, τὸν ἐπιλήσμονα τῶν εὐεργετῶν ἐξελέγχουσαι. TCV.

468, 20. Φέρε, ἐὰν δὲ δὴ πέμψας] Ἐν καιρῷ κέχρηται τῇ πλάσει· ἐναργέστερος γὰρ ὁμοῦ καὶ ἐμψυχότερος ὁ λόγος γίνεται. BRSYTCV. Χάριεν δὲ τὸ νόημα. Μόνον γὰρ οὐχὶ διαδικασίαν πρὸς τὸν δῆμον καθίστησιν. Εὐπρόσωπος δ' οὗτος ὁ λόγος· οὐ γὰρ τῇ παρ' ἑαυτοῦ συνηγορίᾳ, τοῖς δ' ἑαυτοῦ δικαίοις νενικηκὼς ὁ Λεύκων φανεῖται. TCV.

468, 24. Ὁ τὸ ψήφισμα ὑπὲρ ὑμῶν γράφων] ὁ τὴν ἀπόκρισιν ὑπὲρ ὑμῶν διδούς. TCV.

Ὅτι νὴ Δία ἦσάν τινες τῶν εὑρημένων] Οὐκ ἐπιλέλησται τοῦ οἰκείου θεωρήματος, ἀλλ', ἵνα δῷ τῷ οἰκείῳ νόμῳ παρείσδυσιν, αὐτὸν τὸν δῆμον ὁμολογοῦντα ποιεῖ τὴν ἀντίθεσιν, νὴ Δί' ἦσάν τινες τῶν εὑρημένων, ὡς μηδενὸς ἄλλου λυποῦντος τὴν πόλιν, ἢ τούτου· ἵνα ὁ νόμος τοῦ Δημοσθένους μετὰ μικρὸν ἀναγινωσκόμενος καὶ τοῦτο λύων φαίνηται. TCV.

468, 26. Καὶ γὰρ Ἀθηναίων τινὲς] Ἑτέρῳ μὲν περιάπτει τὴν βλασφημίαν· οὐ μὴν οὐδὲ ἐνταῦθα ταύτην ἀκόλαστον τίθησιν, ἀλλὰ προσέθηκεν εἰς θεραπείαν, τινὰς εἰπὼν καὶ οὐ πάντας, καὶ ἴσως, ἵνα καὶ τῷ ἐπιρρήματι καὶ τῷ δισταγμῷ μὴ πάντως ἀποφαίνηται κατὰ τῶν πολιτῶν ὅτι πονηροὶ τυγχάνουσι. Καλῶς δὲ ἐπιμένει τῇ ἐξεργασίᾳ τοῦ πράγματος, ἵν' ἐναργέστερος αὐτοῖς ἔλεγχος γένηται, καὶ διὰ βραχέων ἡ ἀντίθεσις ἀνῃρῆσθαι δοκῇ. TCV.

468, 28. Οὐ δικαιότερ' ἡμῶν ἐρεῖ; ἔμοιγ' οὖν δοκεῖ] Μετὰ τῶν κατηγορημένων καὶ αὐτὸς εὑρίσκεται καὶ συνομολογεῖ ὅτι ἀδικεῖται ὁ Λεύκων. Εἶτα τοῖς κοινοῖς ἔθεσι καὶ λογισμοῖς ἐπικυροῖ τὸ ἐπιχείρημα, ὡς φιλοῦσιν ἅπαντες αἰδοῖ τῶν χρηστῶν φαύλους τινὰς ἀγαπᾶν [μᾶλλον] ἢ μίσει τῶν πονηρῶν καὶ τοὺς ἀγαθοὺς ἀποστρέφεσθαι. TCV.

468, 29. Παρὰ πᾶσι γὰρ ἀνθρώποις] Σημείωσαι· ὅμοιον τούτῳ τὸ τοῦ Θεολόγου. B.

469, 4. Καὶ μὴν οὐδ' ὅπως οὐκ ἀντιδώσει] Ἄχρι τούτων συμπεράνάμενος τὸν λόγον τὸν περὶ τῆς τελωνείας μεταβέβηκεν ἐπὶ τὸ ὁμώνυμον. Ὅτι γὰρ κατὰ τὸ πρότερον μέρος τὴν τελωνείαν ἐξήτασεν ἐκεῖθεν δῆλον· ἐλογίσατο γὰρ τίνα καρποῦται τέλη ἐκ τοῦ μὴ τελωνεῖσθαι. Εἶτα ἔδειξεν αὐτοὺς ἀφαιρουμένους τὴν δωρεὰν τοῦ Λεύκωνος· εἶτα τὸν Λεύκωνα λοιπὸν ἀνταφαιρούμενον. Οὐκοῦν τοῦτο περὶ τῆς τελωνείας εἴρηται. Μεταβαίνει δὲ ἐφ' ἕτερον τέλος καὶ τὴν ὁμωνυμίαν, λέγω δὲ τὸ κατὰ τὴν λειτουργίαν· καὶ τὸ ἐπιχείρημα διὰ τῆς διαβολῆς σημαίνει τὸ βούλημα. TCV.

Καὶ μὴν οὐδ' ὅπως οὐκ ἀντιδώσει] Ὡς κοινοτέρου τινὸς ἐπιχειρήματος ἀρχὴν ποιούμενος, λέγω δὴ τοῦ περὶ τῆς χορηγίας. Διὰ τί δὲ οὐκ ἐκ τοῦ προδήλου καὶ προφανοῦς εἰσήγαγεν ὅτι ἀντιδώσει τις, ἀλλ' ἐκ τοῦ ἐναντίου κατὰ ἀναίρεσιν, ὅτι ἂν βουληθῇ τις ἀντιδοῦναι, οὐχ εὑρίσκω ὅπως λυθήσεται καὶ οὐκ ἀντιδώσει; ὅτι τὸ μὲν ἐκ τοῦ προφανοῦς λέγειν οὐκ ἔστι πιθανὸν, τὸ δὲ κατὰ ἀναίρεσιν σημαίνει τὴν τοῦ φιλονεικοῦντος προαίρεσιν. Σχεδὸν γὰρ μιμεῖται τὸν τοῦ φιλονεικοῦντος τρόπον διὰ τῆς τοῦ ἐνθυμήματος μεταχειρίσεως. TCV.

469, 7. Ἐάν τις ἐπ' αὐτὰ ἔλθῃ] κατὰ τὴν ἀντίδοσιν, φησὶν, ἐπιλάβηται. TCV.

469, 9. Ἔστι δ' οὐ τὸ τῆς δαπάνης μέγιστον] Ἀπὸ τῆς περιουσίας καὶ δυναστείας τοῦ Λεύκωνος ἀντέπεσεν, ἀλλὰ πλούσιος ὢν οὐκ αἰσθάνεται τῆς δαπάνης; ναί· ἀλλ' ἡ ἀφαίρεσις ἐπονείδιστος. TCV.

469, 11. Οὐ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Κῶλα ἐπιμελείας καὶ κάλλους ἐξ ἐπεμβολῆς πεπλεγμένα μετά τινος γοργότητος τῆς ὅλης διανοίας μὴ καθ' ἕκαστον πληρουμένης. TC. Τί δήποτε, ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ μείζονα τρέπων τὸν λόγον ἐνταῦθα τὸ ἐναντίον πεποίηκεν [καὶ] ἀπὸ τῶν μειζόνων ἐπὶ τὰ ἐλάττονα ἦλθε; λεκτέον ὅτι ὁ μᾶλλον ἐτάραττε τοὺς ἀκούοντας, τοῦτο καὶ προὔταξε. Ποθεῖ γὰρ ὁ δῆμος τὸν σῖτον καὶ στερισκόμενος ἄχθεται. Ἀφ' οὗ οὖν ἔμελλε πείθειν μᾶλλον, τούτου τὸν φόβον προὐβάλλετο. TCV.

469, 13. Ἀλλὰ καὶ εἴ τις ἄλλος εὖ μὲν ἐποίησε] Θαῦμα πολὺ τῆς εὐεργεσίας τοῦ Λεύκωνος ποιησάμενος ἐνταῦθα καὶ οἶκτον ἐντίθησι τοῦ Ἐπικέρδους, τῇ μεταβολῇ τῆς τύχης τὴν πειθὼ προσαγόμενος. Ὁ γὰρ πάλαι, φησὶν, εὐημερῶν, ὁ τὴν Ἀθηναίων πόλιν εὐεργετεῖν ἀξιῶν, οὗτος νῦν ἐπίκουρον ἔχει τοῦ ζῆν τὴν ἀτέλειαν, βεβλημένος ὑπὸ τῆς τύχης. Φασὶ γὰρ τοὺς παῖδας μεταστῆναι τοῦ Ἐπικέρδους ἀπὸ Κυρήνης Ἀθήναζε, καὶ διὰ τοῦτο λέγουσιν αὐτῷ εἰς δέον γεγονέναι τὸ παρ' ὑμῶν δοθῆναι τὴν

ἀτέλειαν. Εἰκὸς γὰρ ἦν αὐτοὺς καὶ εἰς λειτουργίαν κληθῆναι παρόντας. TCV.

469, 16. Τίς οὖν οὗτός ἐστιν; Ἐπικέρδης] Ἠρώτησε τοὺς Ἀθηναίους, ὡς ποθοῦντας τὸν τοιοῦτον εὐεργέτην μαθεῖν, ἵνα θαρρῶν ἀποκρίνηται. Κυρήνη δὲ πόλις ἐστὶ Λιβύης, Λακεδαιμονίων ἄποικος· Ἐπικέρδης δὲ Κυρηναῖος, εὐεργέτης τοῦ δήμου κατὰ τὸν ἐν Σικελίᾳ καιρόν. Ἰδὼν δὲ τῆς ἐπιδόσεως μικρὰν τὴν ποσότητα ηὔξησεν αὐτὴν πολλαχόθεν, πρῶτον μὲν τῷ συνδραμεῖν καὶ εἰπεῖν, « οὐ τῷ μεγάλα καὶ θαυμάσια ἡλίκα δοῦναι. » Εἶτα τῷ καιρῷ καὶ τῇ γνώμῃ τοῦ δεδωκότος καὶ τῇ ποιότητι [τῶν πεπονθότων καὶ τῷ φόβῳ] τῶν ἀντικειμένων, καιρῷ μὲν ὅτε ἥττητο ἡ πόλις καὶ ἐν συμφοραῖς ἦν μεγάλαις, γνώμῃ δὲ ὅτι ἐκ προαιρέσεως καὶ ἐθελοντής, ποιότητι δὲ τῶν πεπονθότων ὅτι [ἐν] συμφορᾷ, φόβῳ δὲ τῶν ἀντικειμένων ὅτι ἐπεκράτουν Συρακούσιοι καὶ Λακεδαιμόνιοι, ὧν οὐκ ἐφοβήθη τοῦ φρονήματος τὸν ὄγκον. Ἀλλὰ καὶ τῇ γειτνιάσει αὔξει, ὅτι παρ' οἷς ἦν· καὶ γὰρ τοῦτο συντελεῖ πρὸς αὔξησιν. Τὸ γὰρ παρόντα μὴ φοβηθῆναι τὸν κίνδυνον μηδὲ φιλοψυχῆσαι οὐ μικρὸν εἰς φιλοτιμίαν. TCV.

469, 20. Ἐν ᾧ καὶ τῶν εὖ πεπονθότων] Ἰδὼν τὴν ὀλιγότητα τῆς ἐπιδόσεως ἐκ τοῦ κατὰ σύγκρισιν τόπου ηὔξησε. Συνέκρινε γὰρ τὴν προαίρεσιν τῶν τε ἑκόντων εὐεργετούντων πρὸς τὴν τοῦ δικαίως ἀποδιδόντος ἐν καιρῷ χάριν· δείξας δὲ ἐνίους τῶν ἀνθρώπων μηδ' ἐθελοντὰς ἀποδιδόναι ἐν ταῖς δυστυχίαις ἣν ὀφείλουσι χάριν, ηὔξησε τὴν τοῦ δεδωκότος προαίρεσιν, ὅτι ἐθελοντὴς τοῖς δυστυχοῦσιν ἐπέδωκεν. TCV.

469, 22. Ὡς τὸ ψήφισμα τοῦτο δηλοῖ] Πιστοῦται διὰ τοῦ ψηφίσματος τοῦ Ἐπικέρδους τὴν εὔνοιαν, ἵνα μὴ δοκῇ χαρίζεσθαι τοῖς λόγοις. TCV.

469, 25. Καὶ τοῦ μὴ τῷ λιμῷ πάντας] Οὐ μόνον ἐκ τῶν προειρημένων τόπων, ὡς ἔφαμεν, ηὔξησεν, ἀλλὰ καὶ ἐκ τοῦ κωλῦσαι τὸ συμβὰν αὐτοῖς, εἰ μὴ ἐπέδωκεν ἑκών. Κωλύει γὰρ αὐτοὺς λιμῷ πάντας ἀποθανεῖν, προθύμως ἐπιδιδούς. Εἰς τὸ αὐτό. Οὐ μόνον ηὔξησεν ἀφ' ὧν ἐποίησεν, ἀλλὰ καὶ ἐξ ὧν ἐκώλυσε τὸ συμβὰν κακὸν ἀφ' ὧν ἐπέδωκε· διχῶς γὰρ τὸ συμφέρον ἢ κτήσει καλοῦ ἢ ἐπισχέσει βλάβης ὑπάρχει. TCV.

469, 29. Τάλαντον ἔδωκε] Μετὰ τὸ λαβεῖν φησι τὴν ἀτέλειαν ἐπὶ τοῖς πρότερον ἐπιδοθεῖσιν ἐν Σικελίᾳ, οὐχ, ὡς ἂν καταφρονήσας ὅτι περ ἅπαξ ἔτυχε τῆς τιμῆς, ἐπαύσατο τῆς κηδεμονίας, ἀλλά, μηδενὸς αἰτήσαντος, τὴν χρείαν ἰδών, αὐθαίρετος ἐφιλοτιμήσατο, αὐτὸς προσεπινοήσας τὴν αὔξησιν. TCV.

Ἐπαγγειλάμενος] παρακαλέσας, ἀξιώσας. B. Ἀξιώσας, μᾶλλον δὲ αὐτεπάγγελτος καὶ αὐθαίρετος. P.

470, 1. Σκέψασθε δὴ πρὸς Διὸς καὶ θεῶν] Εἰπὼν διὰ τῶν προειρημένων τὰς εὐεργεσίας, καὶ αὐξήσας εἰς ὅσον εἶχεν ἐντεῦθεν ἐπενθυμεῖται τοῖς προειρημένοις. Τοιοῦτος ὁ ῥήτωρ ἁπανταχοῦ μετὰ τὰ διηγήματα πάλιν ἐπενθυμούμενος. Οὐχ ἁπλοῦν δέ ἐστι τὸ διήγημα ἐνταῦθα, ἀλλὰ δεικτικόν. TCV.

470, 6. Καὶ τὴν παρὰ τούτων χάριν] Καὶ τῆς καλοκαγαθίας ἐπίδειξις. Οὐ γὰρ ἐλπίδι τῆς ἀμοιβῆς εὖ ἐποίησεν— ἄδηλος γὰρ αὕτη—, ἀλλ' εὐνοίᾳ καὶ φιλοστοργίᾳ τοὺς ἡττημένους ἀντὶ τῶν κεκρατηκότων ἠσπάσατο. Καὶ οὐ μόνον νενικηκότας εἶπεν, ἀλλὰ καὶ παρ' οἷς ἦν· ὅτι καὶ συνηθείας κατεφρόνησε καὶ φιλίας ἠμέλησε καὶ φοβεῖσθαι τοὺς κρατοῦντας οὐκ ἠνέσχετο, προθέμενος ἐν πᾶσιν ὑμᾶς. TCV.

470, 15. Οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται] Ἡ ἀτέλεια διττή· ἢ γὰρ κατ' ἐμπορίαν ἐστίν, ἢ κατὰ λειτουργίαν. Οὔτε δὲ οἷόν τε λειτουργεῖν ξένον ὄντα καὶ Λιβύην οἰκοῦντα, οὔτε μὴ ἐμπορευόμενον· οὐδὲ γὰρ ἐμπορευόμενος φαίνεται, ὥσπερ ὁ Λεύκων, μὴ φερομένων αὐτῷ ἀπὸ Λιβύης φορτίων, ἀφ' ὧν κερδαίνειν ἔμελλε. Καὶ τοῦτο δῆλον ἐκ τῆς τῶν τελωνειῶν ἀπογραφῆς, ὅθεν εἶπε τεθαρρηκότως. « Οὐδὲ γὰρ οὔσῃ χρώμενος φαίνεται· » οὐ φαίνεται γὰρ ταῖς τῶν ἐμπόρων ἀπογραφαῖς χρώμενος. Εἰς τὸ αὐτό. Ὁ μὲν Ζήνων, λύων τὸ προκείμενον, φησὶ μὴ χρήσασθαι τῇ δωρεᾷ τὸν Ἐπικέρδην διὰ τὸ ἑκόντα ἐπιδοῦναι μνᾶς ἑκατόν· ἡμεῖς δὲ φαμὲν μὴ τοῦτο βούλεσθαι τὸν Δημοσθένην σημαίνειν· οὐδὲ γὰρ ἐπιδόσεως οὐδὲ φιλοτιμίας ἐστὶν ἀτέλεια, ἀλλὰ τῶν κατ' ἀνάγκην γινομένων λειτουργιῶν. Πῶς οὖν φαίνεται Ἐπικέρδης μὴ χρώμενος; οὐχ ὅτι ἐπιδέδωκεν, ἀλλὰ τῷ μηδ' ἐμπορίαν ποιήσασθαι μηδὲ κληθῆναι εἰς λειτουργίαν μηδεπώποτε, διὰ τὸ ἀπεῖναί τε φαίνεται τῇ δωρεᾷ μὴ χρήσασθαι· ὅτι γὰρ οὐκ ἂν ἐκλήθη ἀπὼν εἰς λειτουργίαν δῆλον ἐκ τῶν κατὰ Λεύκωνα. Ἐκεῖ γάρ φησι χρήματα ὑπάρχειν τῷ Λεύκωνι ἐνταῦθα, ὧν λάβοιτο ἄν τις· Ἐπικέρδους δὲ μὴ ἔχοντος μηδεμίαν ἐμπορίαν ἐν τοῖς λιμέσι, πῶς ἄν τις λάβοιτο; Τὸ οὖν χρώμενος ἀντὶ τοῦ χρησάμενος. Οὐ γὰρ περὶ τῶν παίδων ἐνταῦθα τέως ὁ λόγος ἐστίν, ἀλλὰ περὶ τοῦ πατρός· ὅτι δὲ καὶ τὸ συντελεῖν εἰς πόλεμον οὐκ ἦν παράβασις ἀτελείας δῆλον ἐκ τοῦ κατὰ Ἁρμόδιον καὶ Ἀριστογείτονα. Καὶ γὰρ εἰληφότες ἀτέλειαν ὅμως ἐχορήγουν εἰς πόλεμον· ὥστε, εἰ Ἐπικέρδης εἰς πόλεμον ἐπιδέδωκεν, οὐ δήπου διὰ τοῦτο τὴν δωρεὰν ἀνῄρηκεν, ἀλλὰ καὶ αὐτὸς παρέχεται νόμον τοιοῦτον, τὸν κελεύοντα μηδένα ἀτελῆ εἶναι τῶν εἰς τὸν πόλεμον. TCV.

470, 21. Οὓς ἥκιστα προσῆκεν] οὓς οὐδαμῶς ἀδικεῖν ἐχρῆν. TCV.

470, 29. Ἀλλὰ τὴν προθυμίαν καὶ τὸ αὐτὸν] Τῇ κρίσει τῶν πατέρων σεμνύνει τὸν ἄνθρωπον. TCV.

471, 3. Οἱ προϋπάρχοντες τῷ ποιεῖν εὖ] οἱ τὴν ἀρχὴν τῆς εὐποιΐας ποιησάμενοι. Πλέον δὲ θαυμάσειεν ἄν τις τοὺς ἐν ταῖς χρείαις ὑπηρετήσαντας. TCV.

471, 5. Εἶτ' οὐκ αἰσχυνοίμεθα, ὦ ἄνδρες Ἀθηναῖοι] Χαριέντως τῷ αἰσχυνοίμεθα συνῆψεν εὐθὺς τὸ ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῇ ποιότητι τῆς πόλεως μεῖζον φανῇ τὸ αἰσχρόν. TCV.

471, 7. Μηδὲν ἔχοντες ἐγκαλέσαι] Δίδαξόν μέ τινα τῆς ἀφαιρέσεως ἀπολογίαν· προσέστω τις εὐπρόσωπος τόπος τῷ σφάλματι, ἂν καλέσῃ μέ τις τῶν παίδων ἀχάριστον. Ποῖον ἔγκλημα προφέρων λύσω τὴν μέμψιν; τί πραχθὲν ὑπαίτιον ἐπενεγκὼν αὐτοῖς τὴν αἰσχύνην ἐκφεύξομαι; TCV.

471, 8. Οὐ γὰρ εἰ ἕτεροι μὲν ἦσαν] Τῇ τῆς ἀπαντήσεως περιτροπῇ τὴν γένεσιν τῆς ἀντιθέσεως ἀνεῖλε, φάσκων, οὐκ ἀπολύει τοῦτο τῆς αἰσχύνης, ἀλλὰ προσθήκην ἀδοξίας ποιήσει· λυμαίνῃ τὴν τῶν προγόνων ψῆφον, λύεις προπετῶς ἃ ἐκεῖνοι κεκρίκασι. Καὶ ἡ προσθήκη βεβαιοῖ τὴν ἀλήθειαν, ὅσῳ κρείττων ἡ τῶν ὁρώντων καὶ παρόντων μαρτυρία τοῦ τὴν γνῶσιν ἐξ ἀκοῆς εἰληφότος. TCV.

471, 15. Καὶ περὶ τῶν τοὺς τετρακοσίους] Ἐγένετο γάρ τις ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τετρακοσίων ὀλιγαρχία, ἣν οἱ καταλύσαντες ἐτιμήθησαν. TCV.

471, 17. Χρησίμους αὐτοὺς παρασχόντων] ἐπὶ τῶν τριάκοντα λέγοι ἄν· τότε γὰρ οἱ δημοτικοὶ μὴ φέροντες τὴν κακίαν τῶν τριάκοντα ἔφυγον, καὶ οἱ ὑποδεξάμενοι ἐθαυμάσθησαν. TCV.

471, 20. Εἰ τοίνυν τις ὑμῶν ἐκεῖνο πέπεισται] Τὰς τῶν ἔξωθεν ἐπισωρεύσας εὐεργεσίας τὴν ἐκ τῆς ἀκολούθου νοήσεως ὑποϐάλλει πρότασιν. Ἐλέγομεν δὲ ὅτι τὸ κατὰ τὸν Ἐπικέρδην ἐπιχείρημα τῆς μελλούσης ἐστὶ βλάϐης· τοῦτο τοίνυν ἐπισφραγίζεται κατὰ τὸ νῦν προκείμενον ἐννόημα. Ἀντέπεσε γὰρ ἐκ τῶν λεγομένων, ἀλλ' οὐκ ἂν δεηθείημεν τοῦ τὴν πόλιν εὐεργετήσοντος, οὐδὲ γάρ ἐστι πόλεμος. Πρὸς ὅπερ ἀγωνιζόμενος λύει ἐκ τῆς κοινῆς τῶν ἀνθρώπων φύσεως καὶ τῶν κοινῶν λογισμῶν, ὡς ἄδηλον τὸ μέλλον καὶ πάντα χρὴ προσδοκᾶν, οὕτως ἐπισφραγίζεται διὰ τούτων τὴν γενησομένην ἐκ τοῦ νόμου βλάϐην, εἰ γένοιτο κύριος. TCV.

471, 21. Κἀγὼ συνεύχομαι] Τὴν ὑπερϐολὴν τῆς εὐνοίας δηλοῖ, κοινωνῆσαι τῆς εὐχῆς οὐκ ὀκνῶν. TCV.

471, 24. Ὧ μὴ λυθέντι δεήσει χρῆσθαι] Κυρίου ὄντος εἰκός ἐστι γενέσθαι καὶ χρείαν εὐεργετῶν· ἄγουσι γὰρ τὰς εὐδαιμονούσας πόλεις ἐπὶ τὸ χεῖρον οἱ πονηροὶ νόμοι· τοῖς μὲν γὰρ ἀγαθοῖς ἀνδράσι καὶ τοῖς ἀμείνοσι ἀκολουθεῖ τὸ πράττειν καλῶς, τοῖς δὲ ἐναντίοις πρὸς τὸ φαῦλον ἡ μεταϐολή. TCV.

471, 27. Ἐπ' ἀμφότερα] εὐτυχίαν καὶ δυστυχίαν. P.

472, 1. Ὑπέρρει κατὰ μικρὸν] κατὰ μικρὸν ὑπεχώρει καὶ ἀπώλλυτο· ῥεῖν γὰρ τὸ φθείρεσθαι. Ἐπεὶ καὶ οἱ ἄνθρωποι κτῶνται μὲν εὐϐουλίᾳ τὰ χρήσιμα, ῥιπτοῦσι δ' ἐξ ἀϐουλίας τὰ κτώμενα. TCV.

472, 6. Ὥς καλῶς πράττουσαν τὴν πόλιν] Κατ' ἀμφότερα δείκνυσιν ἄχρηστον καὶ ἀλυσιτελῆ τὸν νόμον. Ἐν ἀσφαλείᾳ τε γὰρ ζῶσιν ἡμῖν ἡ τοῦ πράγματος ἀδοξία πρόσεστιν· ἑτέρου δέ τινος καὶ φαύλου συμϐαίνοντος, τὸν ἐπικουροῦντα οὐχ ἕξομεν. TCV.

472, 9. Οὐ τοίνυν μόνον, ὦ ἄνδρες Ἀθηναῖοι] Ἄλλο ἐπιχείρημα τοῦ αὐτοῦ τόπου, διαφορὰν δὲ ἔχον οὐ μικράν. Περὶ τοῦ γὰρ εὐεργέτου πάλιν μέλλει ποιεῖσθαι τὸν λόγον, δεικνὺς ὅσον βλάψει τὴν πόλιν καὶ ὅσων ἀποστερήσει εὐεργετῶν, εἰ καιρὸς γένοιτο· διαφέρει δὲ τοῦ περὶ Ἐπικέρδους ἐπιχειρήματος. Ἐκεῖνο μὲν γὰρ ἴδιον, τοῦτο δὲ κοινόν· ὅτι καὶ πόλεις ὅλας τὰς ἑαυτῶν πατρίδας συμμάχους κατέστησαν τῷ δήμῳ. Ἀπὸ γὰρ τοῦ κατὰ πρόσωπον μεταϐέϐηκεν ἐπὶ τὰς πόλεις, ἰδίᾳ μὲν θεὶς τὸν Λεύκωνα, ἰδίᾳ δὲ τὸν Ἐπικέρδην· μετὰ ταῦτα δὲ πλῆθος τῶν τὰς πατρίδας τὰς ἑαυτῶν παρασκευασάντων συμμαχεῖν τῷ δήμῳ. Δύο δὲ ἀνύει διὰ τῶν τοιούτων ἐπιχειρημάτων· ἓν μὲν ὅτι τῶν ἀτοπωτάτων ἐστὶν ἀποστερεῖν τοὺς εὐεργέτας, ἕτερον δὲ ὅτι κωλύσομεν δι' ὧν ἀποστεροῦμεν καὶ τοὺς βουλομένους εὐεργετεῖν. TCV.

472, 11. Ἐπὶ τηλικούτων καὶ τοιούτων καιρῶν] ἐν σιτοδείᾳ μὲν ὁ Λεύκων, ἐν συμφοραῖς δὲ ὁ Ἐπικέρδης. Τελεία δ' ἡ εὐεργεσία καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. TCV.

472, 21. Ἃ παρ' ὑμῶν τῶν πρεσϐυτέρων] Ἱκανὸν ποιῆσαι τὴν πειθὼ τὸ λέγειν ὡς ὑμεῖς με τὰ τοιαῦτα ἐδιδάξατε. TCV.

472, 23. Ἀλλ' ὅθ' ἡ μεγάλη μάχη] Περὶ ταύτης τῆς μάχης καὶ Ὑπερείδης εἴρηκεν ἐν τῷ πρὸς Δίωνα· καὶ παρὰ Ἐφόρῳ καὶ Ἀνδροτίωνι ἱστορεῖται ὡς ἐνίκησαν τοὺς Ἀθηναίους Λακεδαιμόνιοι σφόδρα. TCV.

472, 27. Ἐπικηρυκεύεσθαι] διὰ κηρύκων σπονδὰς περὶ φιλίας ποιήσασθαι. TCV.

472, 28. Καὶ τῆς παρόδου κρατοῦντας] ὡς καὶ τὴν ἀναχώρησιν καὶ τὴν φυγὴν ἐπικίνδυνον εἶναι. TCV.

473, 1. Ἀλλὰ πλησίον ὄντων μεθ' ὅπλων] Αὔξησιν ἔχει τῆς εὐνοίας· οὐκ ἔδεισαν τὸ πλῆθος, οὐ τὰ ὅπλα, οὐ τοὺς πολίτας ᾐσχύνθησαν, ἀλλὰ βιασάμενοι τοὺς ἔνδον, καταφρονήσαντες τῶν ἔξω, εἰσέφερον τὸ στράτευμα, τοῦτ' ἔστιν εἰσεδέχοντο εἰς τὴν πόλιν, ἤγουν ὑπεδέχοντο, τὸν μεθ' ὑμῶν κίνδυνον τοῦ ζῆν ἀσφαλῶς προτιμήσαντες. TCV.

473, 8. Ἡ ἐπὶ Ἀνταλκίδου] Οὗτός ἐστιν ὁ τὴν αἰσχρὰν εἰρήνην πρὸς βασιλέα τὸν μέγαν σπεισάμενος, ἐν ᾗ τοὺς ἐν τῇ Ἀσίᾳ κατοικοῦντας ἐκδότους τῷ βαρϐάρῳ πεποίηκε. Τότε οὖν, φησίν, ἐφυγάδευσαν αὐτοὺς Λακεδαιμόνιοι, ὑμεῖς δὲ ὑπεδέξασθε καὶ προσηκόντως ἐστέρξατε [κατὰ] πάντα. TCV.

473, 14. Εἴ τις ἀκούσειεν ὡς Ἀθηναῖοι σκοποῦσι] Σκέπτεταί τις ἤδη περὶ τῶν κεκυρωμένων πάλιν καὶ ἀναιρεῖ τῶν ἐψηφισμένων τὴν πίστιν· ἀλλότριον τῶν Ἀθηναίων τὸ νόημα, ξένον τῆς Ἀττικῆς τὸ ἐλάττωμα. TCV.

473, 16. Ἀνάγνωθι δέ μοι] Ἀναγινώσκει τὸ ψήφισμα, καταιδέσαι βουλόμενος. TCV.

473, 22. Καὶ διεξιόντος ἀκούσας] Οἱ γὰρ μὴ τῇ ὄψει μαθόντες παρὰ τῶν εἰδότων διηγουμένων τὴν γνῶσιν ἔχουσιν. Ἆρ' οὖν, φησίν, ὁ τοὺς καιροὺς ἐκείνους ἢ θέᾳ ἢ ἀκοῇ καταμαθὼν ἐξεταζέτω τὸ μέγεθος τῆς χάριτος· οὐκοῦν ἔσται πάντως τῆς κακίας κατήγορος. Μισῶ γὰρ φιλανθρωπίαν διὰ τὴν χρείαν συμϐαίνουσαν. Ὁ φιλότιμος ἐν ταῖς συμφοραῖς παρελθόντων τῶν δεινῶν καὶ τῆς εὐχῆς πληρωθείσης ἐπιλήσμων τῶν εὐεργεσιῶν καὶ ἀχάριστος. TCV.

473, 29. Νὴ Δία ἀνάξιοι γάρ τινες] Πληκτικῶς εἰσάγει, διασύρων ὡς ὀχληρὸν καὶ βάσκανον, εἰ ἄνω καὶ κάτω τοῦτο καὶ οὐδὲν ἄλλο προΐσχετο. Τὸ δὲ σύμπαν διὰ τὸν οἰκεῖον νόμον οὕτω μεθώδευσεν, ἵν' ἐκ τῆς συνεχοῦς μνήμης ὁ δῆμος ἡγμένος τὸν ὑπὲρ τοῦ νόμου δέξηται λόγον. Ἀπαγαγεῖν γὰρ ἀπὸ τοῦ Λεπτίνου νόμου καὶ τοῦ συμφέροντος τὸν ἀκροατὴν βουλόμενος μετατίθησιν αὐτοῦ τὴν διάνοιαν εἰς τὸ κατηγόρημα τῶν εἰληφότων, ὡς εἶεν ἀνάξιοι. Καὶ οὐ τοῦτο δὲ μόνον ἔλεγε Λεπτίνης, ὅτι ἀνάξιοί εἰσιν, ἀλλ' ὅτι καὶ οὐκ εἰσὶ λειτουργοί, δίκαιον δὲ τοὺς πλουσίους λειτουργεῖν. Ὃ δὲ ὡς ἰσχυρὸν αὐτῷ δίδωσιν ἐν παντὶ τῷ νόμῳ, τοῦτο σαθρότατον δεικνύει καὶ ἄδικον, καὶ ἐνίους καὶ πάντας ἀδικεῖν. Οὕτως ἡμᾶς ὁ ῥήτωρ ἐδίδαξε τὰ μὲν ἰσχυρὰ τῶν ἀντιδίκων παραλείπειν, μεθοδεύειν δὲ ἐφ' ἕτερα τοὺς δικάζοντας TCV.

474, 2. Ἔπειτ' ἐκεῖνο ἀγνοεῖν φήσομεν] Ταύτην τὴν ἀντίθεσιν λύει μεταληπτικῶς, πρῶτον μὲν ἀπὸ τοῦ χρόνου, εἶτα ἀπὸ τοῦ τρόπου· ἀπὸ χρόνου μέν, ὅτι, ὅταν διδῶμεν, τὴν ἀξίαν δεῖ σκοπεῖν, οὐ μετὰ ταῦτα· τρόπῳ δέ, ὅτι οὐ τὸν αὐτὸν τρόπον ἐξεταστέον ἰδιώτῃ καὶ πόλει. ΑΛΛΩΣ. Παραγραφικῷ λύει τὴν ἀντίθεσιν. Ἐχρῆν σε, φησί, τοῦτο αὐτὸ ἐξετάζειν, ὅτε καὶ ἐτιμῶντο, εἰ ἄξιοί εἰσιν· οὐ νῦν μετὰ τὸ λαϐεῖν, χρησάμενον λόγῳ εὐπροσώπῳ καὶ ἀπολογίαν ἔχοντι, ὅτι ἀνάξιοι ἦσαν. TCV.

474, 5. Ἔργον ἀνθρώπων ἐστὶν] ἀντὶ τοῦ, οὐ κακῶν, φρονίμων δέ. TCV.

474, 16. Τοῦτο δὲ οὐχὶ δεῖ δοκεῖν ὑμᾶς πεπονθέναι] τὸ τῶν φθονούντων πάθος. TCV.

474, 8. Ἐγὼ γὰρ οὐ τὸν αὐτὸν τρόπον] Τὸ νόημα τοιοῦτον· ὅτι ἕκαστος τῶν ἀνθρώπων, ὅτε βούλεται δοῦναι θυγατέρα αὐτοῦ τινὶ ἢ λαϐεῖν, ἐξετάζει πότερον ἄξιός ἐστιν ἢ οὔ, καὶ πῶς δοξάζουσι περὶ αὐτοῦ, καὶ πότερον νόμιμον ἢ οὔ, καὶ τὸ γένος καὶ τὸν βίον. Ἐπὶ δὲ τῶν εὐεργετῶν οὐκέθ' ὁμοίως, ἀλλὰ κἂν δυσγενὴς ᾖ, δέχονται,

παρὰ τὴν χρείαν τὴν πρᾶξιν ἀποδεχόμενοι, κἂν ὁποῖός τις ἂν ᾖ. TCV.

474, 16. Ὅταν μὲν οὖν εὖ πάσχειν] Συμπέρασμα τοῦ ἐνθυμήματος. Παρενέβαλε δὲ ταῦτα εἰς μέσον τοῦ μεμνῆσθαι τῶν εὐεργετῶν, ἵνα μὴ ὕπτιος καὶ προσκορὴς ὁ λόγος γένηται. TCV.

474, 19. Ἀλλὰ νὴ Δία οὗτοι μόνοι] οἱ ἀναξίως εὑρημένοι τὴν ἀτέλειαν. P.

474, 24. Ἓν δὲ ἢ δύο δείξας ἔτι ψηφίσματα] περὶ τῶν ξένων φησίν· ἐπειδὴ πάμπολλα ἐφεξῆς ἐρεῖ περὶ τῶν πολιτῶν ἐξετάζων. TCV.

474, 25. Τοῦτο μὲν τοίνυν Θασίους] Θάσος καταντικρὺ τῆς Θράκης, ὅπου ἦν καὶ τὰ μέταλλά ποτε τῶν Ἀθηναίων. Ἐπανῆλθε δὲ εἰς τὰ ὁμογενῆ τῶν ἐπιχειρημάτων, καὶ τὸ κατὰ Ἀρχέβιον δὲ καὶ Ἡρακλείδην τοῦ αὐτοῦ τόπου, οἵ, ὥς φασιν, οὐδὲ φαίνονται ἀτέλειαν εἰς τὰς Ἀθήνας ἔχοντες. TCV.

474, 28. Καὶ τὴν Λακεδαιμονίων φρουρὰν μεθ' ὅπλων] ὅτι οὐ λόγοις ἔπεισαν, ἀλλ' ὅπλων ἐδεήθησαν πρὸς τὴν δίωξιν. Ἔκφαντος δὲ στρατηγὸς τῶν Θασίων· Θρασύβουλον δὲ τὸν Ἀθηναίων στρατηγὸν λέγει. Τὸ δὲ εἰσαγαγόντες μετὰ τὴν μάχην λέγει. TCV.

474, 29. Παρασχόντες] ἤγουν παραδόντες ἤτοι ποιήσαντες. P.

475, 5. Ὥστε τὴν δεκάτην ἀποδόσθαι] Δεκάτην ἐκ τῶν φορτίων τῶν ἐμπόρων τοῦ Ἑλλησπόντου ἐλάμβανον. Ἐπώλουν οὖν τὰ τέλη, καὶ ἐποίουν χρημάτων εὐπορεῖν τὴν πόλιν. Εἶτα τὸ χρήσιμον τῶν χρημάτων λέγει, ὅτι Λακεδαιμόνιοι ὁρῶντες ἐφοβήθησαν καὶ ὡς ἠθελήσαμεν ἐσπείσαντο. Πρόξενοι δὲ λέγονται οἱ ἐν τοῖς ὁρίοις τοὺς ἐπιδημοῦντας δεχόμενοι, φίλοι τυγχάνοντες καὶ κοινῇ καὶ ἰδίᾳ. TCV.

475, 10. Προξενίαν] ὑποδοχήν, προστασίαν. B.

475, 25. Ὡς συκοφαντούντων] οὐκ ἐχόντων οὐδὲν ἀληθὲς ὡς πρὸς τὸ συμφέρον. TCV.

476, 14. Τούτων δ' ἴσως ἔνιοι τῶν ἀνδρῶν] ἐτεθνήκεσαν γάρ τινες· ἀλλ' εἰ ἐκεῖνοι ἀπέθανον, καὶ αἱ εὐεργεσίαι οὐκ ἀπώλοντο. Τινὲς δὲ καὶ ζῶσιν. Ἔλεγε δ' ὁ Λεπτίνης ὅτι οἱ πλεῖστοι αὐτῶν τεθνήκασι, καὶ οὐ πολλοὺς βλάψομεν. Ὁ δὲ ἐκ περιτροπῆς αὐτὸ ἔλαβε καὶ λέγει, μᾶλλον ὀφείλομεν μὴ στερίσκειν αὐτοὺς διὰ τοὺς λοιπούς· διὰ γὰρ τοῦτο καὶ πάντας τιμῶντες ὀφθήσεσθε καὶ ἡ πόλις δόξει εἶναι καλή. TCV.

476, 24. Τὰς μὲν συμφορὰς] Θέλει εἰπεῖν, εἰ ἔτυχε κινδυνεῦσαι καὶ ἀποθανεῖν τοὺς εὖ ποιήσαντας ὑμᾶς, καὶ δὴ ἀπώλοντο καὶ διὰ παντὸς ἐκέχρηντο τῇ συμφορᾷ. Ἄδικον οὖν κινδυνεύειν μὲν ὡς ἐπὶ φανεροῖς, σωθέντας δὲ στερίσκεσθαι τῆς ἐλπίδος καὶ τῆς τιμῆς. TCV.

476, 29. Τούτων] τῶν ἀτυχημάτων. P.

477, 5. Πάνυ τοίνυν ἀχθοίμην ἂν] Ἐντεῦθεν προοιμιάζεται μέλλων ἑτέρας μερίδος ἄρχεσθαι τοῦ λόγου, τοῦ περὶ τῶν πολιτῶν δηλονότι. BFRSTYP. Ὡς φιλόπολις συνάχθεται, εἰ σπανίζει γενναίων ἀνδρῶν ἡ πόλις. Ἄξιον δὲ τὸ ἦθος τῆς ἐννοίας ἄγασθαι. Τὸ γὰρ ἀχθοίμην ἂν εἰπεῖν, εἰ μὴ φαίνοιτο ἔχουσα γενναίους εὐεργέτας ἡ πόλις, ἐνδεικνυμένου [ἐστὶ] τὴν εὔνοιαν, ἣν ἔχει τῇ πόλει, ἄλλως τε καὶ βαρυνομένου τὸ διάθεσιν ἔχειν αὐτοὺς τοὺς πολίτας, ὡς μηδὲ ἐθέλειν ὑπὲρ τῆς ἐνεγκούσης κινδυνεύειν, TCV.

477, 9. Καὶ γὰρ καὶ τἄλλα ἀγαθὰ] Τῆς αὐτῆς ἐστιν ἐννοίας κατασκευὴ τοῦ ῥήτορος. Ἐπειδὴ δὲ συνέβαινε καὶ ἐν κακῇ πόλει ἕνα εἶναι ἄριστον, διὰ τοῦτο εἴρηκε πλείστους· ἀρίστους δέ, ἵνα τὸ μὲν ᾖ τοῦ πλήθους, τὸ δὲ τῆς ἀρετῆς. TCV.

477, 12. Πρῶτον μὲν τοίνυν Κόνωνα] Ἀπὸ τῶν ξένων ἀρξάμενος ἐπὶ τὸν περὶ τῶν πολιτῶν ἐλήλυθε λόγον· πρῶτον μέν, ἵνα δείξῃ τὸ πλῆθος τῶν οὐκ ἐγχωρίων εὐεργετῶν, καὶ ὅσων ἐν χρείᾳ γέγονε ξένων ποτέ. Εἷς δὲ τῶν δέκα στρατηγῶν ἐστιν οὗτος, [Τιμοθέου] πατήρ, οὗ μέμνηται καὶ ἐν τοῖς Φιλιππικοῖς. Τί δήποτε δὲ τὸν Κόνωνα τοῦ Χαβρίου προέταξε; καίτοι περὶ ἐκείνου πᾶς ἦν ὁ λόγος αὐτῷ. Λέγομεν δὲ ὅτι ὑπωπτεύετο ὡς διὰ τὸν υἱὸν αὐτοῦ ἠγωνίζετο καὶ οὐ διὰ τὸ συμφέρον τῆς πόλεως, καὶ τῇ μητρί γε αὐτοῦ, ὥς φασι, συνῆν. Ἵνα οὖν μὴ ἐπίτηδες δόξῃ καὶ ὥσπερ ἐκ συντάγματος αὐτὸν προφέρειν, ἀλλὰ διὰ τὴν πόλιν τὸν λόγον ποιεῖσθαι, τούτου χάριν τὸν Κόνωνα πρῶτον ἔθηκεν. TCV.

477, 13. Ἢ τὸν ἄνδρα ἢ τὰ πεπραγμένα] Καὶ τὸν τρόπον αὐτοῦ καὶ [τὰς] πράξεις διέρχεται. Συμβαίνει γάρ τινα βίον καλὸν μὲν ἔχειν, μηδὲν δὲ ἐπικεχειρηκέναι κοινόν· διὰ τοῦτο τὰ δύο ὁμοῦ ἔλαβεν, τὰς δύο ποιότητας ἐξετάζων ἐν τῷ αὐτῷ, καὶ τοῦ προσώπου καὶ τῶν πραγμάτων. Ἔστι μὲν γὰρ προσώπου κατηγοροῦντα μὴ μέμφεσθαι πρᾶξιν· ἔστι δὲ πράξεις ἀποδεχόμενον τὴν ποιότητα διαβάλλειν· νῦν δὲ ἐξ ἑκατέρων ἐργάζεται τἀνδρὶ τὸν ἔπαινον. TCV.

477, 15. Ὡς ὑμῶν τινῶν ἔστιν ἀκοῦσαι] τῶν πρεσβυτέρων. Ἀλλ', ἐπειδὴ ἔφη ἀκοῦσαι, ἡ ἀκοὴ δ' οὐχ ἦν πιστή, προσέθηκε τοὺς θεασαμένους ἀπαγγείλαντας. TCV.

477, 17. Ἀσθενοῦς ἡμῶν τῆς πόλεως οὔσης] περὶ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου ἐν Ἀργινούσαις· ἔστι δὲ τῆς Λέσβου χωρίον, οὗ μετὰ τῶν Λακεδαιμονίων Ἀθηναῖοι ἐπολέμησαν· καὶ δὴ συνέβη Ἀθηναίοις νικῆσαι· τῶν δὲ πεπτωκότων τὰ σώματα ἐκ τῆς θαλάττης Ἀθηναῖοι διὰ τὸν χειμῶνα ἀνελέσθαι οὐκ ἠδυνήθησαν· ἦσαν γὰρ ναυμαχήσαντες. Οἱ οὖν συγγενεῖς τῶν πεσόντων ὑπό τινων συκοφαντῶν ἀναπεισθέντες προσῆλθον τῷ δήμῳ μελανειμονοῦντες καὶ ἐπεσπάσαντο εἰς εὔνοιαν. Κατεψηφίσατο οὖν ὁ δῆμος τῶν δέκα στρατηγῶν, τῶν μὲν φυγήν, τῶν δὲ θάνατον. Καὶ οἱ μὲν πρὸ τῆς κρίσεως ἔφυγον, εἰδότες τὸ ἐσόμενον αὐτῶν κακόν· ὧν ἦν Κόνων, ὃς καὶ ἀπῆλθε πρὸς Εὐαγόραν τὸν τῆς Κύπρου ἄρχοντα. Καὶ πεποίηκε φίλον τὸν Κόνωνα τῷ Περσῶν βασιλεῖ ὁ Εὐαγόρας· ἦν γὰρ ἔχων πρὸς αὐτὸν φιλίαν. Τὸ τηνικαῦτα δὲ οἱ Λακεδαιμόνιοι σχολὴν ἄγοντες κακῶς ἐποίουν τὰ τοῦ βασιλέως· ὁ δὲ Κόνων καιροῦ λαβόμενος ἐπηγγείλατο περιγενέσθαι αὐτῶν, εἰ λάβοι παρ' αὐτοῦ στράτευμα. Καὶ δὴ λαβὼν καὶ συμβαλὼν [ἐν] Κνίδῳ τῆς Καρίας κατὰ Λακεδαιμονίων ἐνίκησε, καὶ ἐπανῆλθεν εἰς τὰς Ἀθήνας, οὐκ ἀποστραφεὶς καταγνούσας αὐτοῦ. TCV.

477, 19. Οὐδ' ἡντινοῦν ἀφορμὴν λαβὼν] μηδεμίαν, φησίν, ἀφορμὴν λαβὼν παρὰ τῆς πόλεως κατεναυμάχησε Λακεδαιμονίους, στρατηγὸς ἀποδειχθεὶς παρὰ βασιλέως. TCV.

477, 20. Καὶ τοὺς πρότερον τοῖς ἄλλοις ἐπιτάττοντας] Οὐκ εἶπεν εἴθισεν ὑπακούειν ὑμῶν. Καίτοι γε ἠκολούθει τῷ λέγειν ἐπιτάττοντας τοῖς ἄλλοις τὸ ὑφ' ὑμῶν ἐπιτάττεσθαι· ἀλλ', ἐπειδὴ τοῦτο οὐκ εἶχε παρὰ τῆς ἱστορίας, εἴθισεν ἀκούειν ὑμῶν εἶπεν, ἐπειδήπερ προσεδέξαντο τὸν περὶ τῆς εἰρήνης λόγον, ἐγίνετο πάλιν ὁ λόγος πρὸς Λακεδαιμονίους τῇ πόλει. TCV.

477, 22. Ἁρμοστὰς] Ἁρμοσταὶ οἱ ἐκπεμπόμενοι ἄρχοντες εἰς τὰς ὑπηκόους πόλεις ὑπὸ Λακεδαιμονίων. BP.

477, 23. Ἀνέστησε τὰ τείχη] ἃ Λακεδαιμόνιοι κατέστρεψαν, ταῖς Ἀθηναίων χερσὶν ἀναγκάσαντες, πάλαι Θεμιστοκλέους οἰκοδομήσαντος, ἐξ ἀρχῆς ἀνέστησε διὰ τοῦ Περσικοῦ κρατήσας στρατεύματος. Ἁρμοστὰς δὲ τοὺς ἐν ταῖς πόλεσιν ἄρχοντας τῶν Λακεδαιμονίων λέγει. Ἁρμοσταὶ δὲ λέγονται ὅτι ἁρμόζουσι τὰ ἤθη τῶν πολιτῶν τοῖς τῶν Λακεδαιμονίων. Νήσων δὲ, οὐ τῶν Κυκλάδων μόνον ἀλλὰ καὶ ἄλλων. TCV.

477, 24. Περὶ τῆς ἡγεμονίας ἐποίησε] Πάλιν οὗτος πρῶτος ἐποίησε τὸν λόγον, τοῦτ' ἔστι τὴν ἀμφισβήτησιν καὶ φιλονεικίαν εἶναι περὶ τῆς ἡγεμονίας καὶ τῆς ἀρχῆς. P.

477, 25. Καὶ γάρ τοι μόνῳ τῶν πάντων] μόνῳ μετὰ τὸν Ἁρμόδιον καὶ Ἀριστογείτονα. TCV.

477, 28. Ἐκείνῳ μὲν φιλοτιμίαι] Φιλοτιμεῖ τὴν κοινωνίαν, ἵνα ἀποστεροῦντες καὶ ἑαυτοὺς βλάπτωσιν. TCV.

478, 1. Ἀγαθοῦ τοῖς ἄλλοις αἴτιος γένηται] Θέλει εἰπεῖν, πολίτης ἐάν τις ἄλλους εὖ ποιήσῃ, καὶ ἡ πόλις κοινωνεῖ τῶν κατορθωμάτων.

478, 5. Πρῶτον] πάλιν μετ' ἐκείνους. TCV.

478, 12. Ἐπετιμήθη] ἀντὶ τοῦ ἐδοξάσθη. BRSP.

Ἀλλὰ καὶ ὑπ' ἄλλων πολλῶν] οὐ πάνυ γὰρ μέγιστον τὸν πολίτην τὴν πόλιν τιμᾶν· διὰ τοῦτο προσέθηκε τὸ ὑπ' ἄλλων. TCV.

478, 13. Οἳ δικαίως] Τί οὖν, οἳ φόβῳ αὐτὸν ἐτίμησαν, ἢ ἀνάγκῃ; διὰ τοῦτο πρόσκειται τὸ δικαίως, ἵνα καθαρὰ ἡ φιλοτιμία. TCV.

478, 16. Τῆς δὲ παρ' ἡμῶν μόνος τοῦτ' ἀφαιρεθήσεται] Τὸ ἀφαιρεθήσεται δηλωτικόν ἐστι τοῦ μὴ πάσας ἀφαιρεῖσθαι τὰς δεδομένας τιμὰς τῷ Κόνωνι, ἀλλὰ τὴν ἀτέλειαν μόνην. TCV.

478, 21. Κατεναυμάχησε Λακεδαιμονίους] Σημείωσαι τὸ καταναυμαχεῖν εἰς αἰτιατικὴν ἀποδιδόμενον. rec. S.

478, 24. Γνοίη δ' ἄν τις εἰ παραθείη] Οὐχ ὅλον τὸν Θεμιστοκλέα παραβάλλει ὅλῳ τῷ Κόνωνι, ἀλλὰ τειχοποιίαν τειχοποιίᾳ. Οὐκ ἀπὸ πάντων οὖν τῶν τόπων συγκρίνειν ἐπιχειρεῖ τῷ Θεμιστοκλεῖ τὸν Κόνωνα—οὐδὲ γὰρ αἱ πράξεις ἀμφοῖν παραπλήσιαι—, ἀλλὰ ἀπὸ τῆς τειχοποιίας μόνης. Οὐ γὰρ ἀναγκαῖόν ἐστιν [ἐν] ταῖς συγκρίσεσι πάντα πᾶσι παραβάλλειν. Καὶ Ἰσοκράτης γὰρ ἐν τῷ τῆς Ἑλένης ἐγκωμίῳ συγκρίνων τὴν Ἑλένην τῷ Ἡρακλεῖ οὐκ ἀπὸ τῶν πράξεων αὐτὴν ἐγνώρισεν, ἀλλὰ τὴν ἰσχὺν καὶ τὴν ῥώμην μόνην ἀντέθηκε τῷ κάλλει. Καὶ διδάσιν ἡμῖν οἱ παλαιοὶ θεωρήματα, μὴ φιλονεικεῖν πρὸς τὰ ἰσχυρὰ μηδὲ μάχεσθαι, μηδὲ μὴν ὀκνεῖν ἀφ' ἑνός τινος τῶν περὶ τὸ πρᾶγμα θεωρουμένων τὴν σύγκρισιν ἐργάζεσθαι. Οὐ μέγεθος δὲ πρὸς τὸ μέγεθος τῶν τειχῶν συγκρίνει, ἀλλὰ τὸν τρόπον μόνον τῆς τειχοποιίας· παρέλιπε δὲ τὸν καιρὸν, ἐν ᾧ πλείστη διαφορά. Τότε μὲν γὰρ ἡγοῦντο πάντων Ἑλλήνων Λακεδαιμόνιοι, νυνὶ δὲ ἥττηντο περὶ Ῥόδον ὑπὸ τοῦ βασιλέως. Ὥστε τὸν καιρὸν κλέψας ἐν ᾧ τούτων τὴν πόλιν ἑκάτερος τειχίζειν ἔδοξεν, αὔξει τὸ κατὰ Κόνωνα. TCV.

478, 26. Λέγεται τοίνυν ἐκεῖνος τειχίζειν] Συντέμνει τὸ διήγημα θαυμαστῶς, ἅτε δὴ παλαιὸν, καὶ ἵνα ὑποκλέψῃ τῇ συντομίᾳ τοῦ Θεμιστοκλέους τὴν μνήμην. TCV.

479, 5. Καὶ πάντες ἴσως ἀκηκόατε] ἤγουν, ἴστε πῶς ἀνέστησεν ἀπάτῃ τὰ τείχη. TCV.

479, 7. Μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ] Ἐπειδὴ τοῦ Θεμιστοκλέους αὐτὸν ἀποφαίνει κρείττονα, εἰκότως προθεραπεύει τῷ λόγῳ. TCV.

479, 14. Οὐδ' ἔλαττον σχεῖν τῶν ῥητόρων] Οὔκουν, φησὶ, δίκαιον ἡττηθῆναι τὰς πράξεις αὐτοῦ τῷ λόγῳ τῶν συκοφαντῶν. TCV.

479, 16. Εἶεν, ἀλλὰ τὸν παῖδα τοῦ Χαβρίου] ἀντὶ τοῦ, ἄγε δὴ, τί λείπεται τῷ λόγῳ, ἵνα ἐξ ἀνάγκης δόξῃ ἐπὶ τὸν Χαβρίαν ἔρχεσθαι καὶ οὐκ ἐκ προνοίας, ἀλλ' ἑπόμενος τῷ λόγῳ; ἀφείλετο γὰρ τὴν ὑπόνοιαν τοῦ δοκεῖν πρὸς χάριν ὑπὲρ τοῦ Χαβρίου παιδὸς λέγειν· πανταχοῦ δὲ τὸν παῖδα συμπλέκει τῷ τοῦ πατρὸς ὀνόματι, καὶ τοῖς ἀπὸ τοῦ πατρὸς εἰς ἀπόδειξιν κέχρηται—δηλονότι διὰ τὸ τοῦ πατρὸς ἀξίωμα τὴν δωρεὰν ὁ παῖς ἔχειν δοκεῖ—, δεικνὺς ἐκ τούτων τῆς ἀτοπίας τὸν ἔλεγχον, εἰ ἐπὶ τοσούτοις καὶ τηλικούτοις τοῖς εὐηργετημένοις ἀφέλοιντο τὴν ἀτέλειαν. TCV.

Ἀλλὰ νὴ Δία τὸν παῖδα τὸν Χαβρίου] Τὸ μὲν σχῆμα τῆς μεταβάσεως πάνυ θαυμαστόν. Τὸ γὰρ μὴ ἐκ περιβολῆς μηδὲ πεφροντισμένως ποιήσασθαι τὴν ἀρχὴν ἀφείλετο τὴν ὑπόνοιαν τοῦ δοκεῖν πρὸς χάριν ὑπὲρ τοῦ Χαβρίου παιδὸς λέγειν. Ἔστι δὲ ἠθικὴ ἡ διάνοια, ὡς ἂν τοῦ πράγματος ἔχοντος τῆς ἀτοπίας τὸν ἔλεγχον, εἰ ἐπὶ τοσούτοις καὶ τηλικούτοις εὐηργετημένοις ἀφέλοιντο τὴν ἀτέλειαν· οὐ μὴν ἀλλὰ κἀκεῖνο ἄξιον κατιδεῖν, ὅτι πανταχοῦ τὸν παῖδα συμπλέκει τῷ τοῦ πατρὸς ὀνόματι, καὶ τοῖς ἀπὸ τοῦ πατρὸς εἰς ἀπόδειξιν κέχρηται. BFRSP.

479, 21. Ἴστε μὲν οὖν ἴσως καὶ ἄνευ τοῦ παρ' ἐμοῦ λόγου] Προκατέλαβε τὸν ἀκούοντα, μάρτυρα τῶν ἑαυτοῦ ποιησάμενος λόγων, ἵνα εἰσβάλλων εἰς τὰ τοῦ Χαβρίου ἐγκώμια μὴ χάριτι δοκῇ τὸν λόγον ποιεῖσθαι. Συναγορεύσουσι δὲ καὶ αὐτοὶ ὅτι σπουδαῖος ἦν ὁ ἀνὴρ, ἵνα καὶ, εἴ τι ἁμάρτημα περὶ τὸν παῖδα τυγχάνοι, μὴ τῆς τοῦ πατρὸς ἀγωγῆς τὸ κατηγόρημα γένηται. Οὐκ ἀπολογεῖται δ' ὑπὲρ τῆς ποιότητος τοῦ παιδὸς, ἵνα [μὴ] δοκῇ ὥσπερ κνίζειν εὐθὺς ἐν ἀρχῇ τοὺς ἀκούοντας· προϊόντος δὲ τοῦ λόγου τὴν ἀπολογίαν πεποίηται, εἰπὼν, ἐν ὀρφανίᾳ τέθραπται διὰ τὴν τοῦ πατρὸς ἀναίρεσιν· ὡς εἶναι μεταστατικὴν τὴν ἀπολογίαν· εἰ γὰρ ὑπὲρ Ἀθηναίων ἀπώλετο, διὰ τὸν δῆμον ὁ παῖς τοιοῦτος γέγονε. TCV.

479, 25. Καὶ ὡς Γοργώπαν ἀπέκτεινε] στρατηγὸς Λακεδαιμονίων ὃν κτείνει Χαβρίας ἐν Αἰγίνῃ ἀπιὼν βοηθῆσαι Εὐαγόρᾳ. TCV.

479, 27. Ἐν Αἰγύπτῳ] πρὸς τοὺς Πέρσας. TCV.

480, 1. Πολλή τε αἰσχύνη λέγοντος ἐμοῦ] Ἑκὼν ἡττᾶται, ἵνα νικήσῃ καθ' ἕτερον. TCV.

480, 5. Ἐνίκησε μὲν τοίνυν] Ταὐτὰ λέγων ἑτέρῳ σχήματι προσποιεῖται ἄλλα διηγεῖσθαι. TCV.

480, 6. Μιᾶς δεούσας] ὥστε πλήρεις εἶναι πρὸς ἀναπλήρωσιν. TCV.

480, 7. Εἷλε δὲ τῶν νήσων τούτων] Ὅτι καὶ ἐνίκησε καὶ ἔσωσεν. TCV.

480, 9. Ἐχθρῶς ἐχούσας] Τί γάρ, εἰ καὶ λόγοις ἐπείσθησαν, εἶτα μεταβάλλονται; TCV.

480, 19. Ἀφ' ὑμῶν] ἀφῃρημένον. P.

480, 20. Ἀπὸ πολλῶν] ἐχθρῶν. P.

Πολλὰ] ἀφῃρημένα. P.

480, 21. Ἵνα δὲ μὴ λέγων παραλείπω τι] Ἔθος ἐστὶ τῷ ῥήτορι τοῖς ἰσχυροτέροις ἐνδιατρίβειν καὶ μὴ ῥᾳδίως αὐτῶν ἀπαλλάττεσθαι· ἵνα δὲ τὸν κόρον φεύγῃ, ἐξαλλάττειν

εἴωθε τὰ σχήματα τῆς ἐννοίας. Ἀναγινώσκει δὲ ἐξ ὑπομνήματος τὰς Χαβρίου πράξεις. TCV.

480, 27. Δοκεῖ τισὶν ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι] Σημείωσαι τὸ σχῆμα τοῦτο τὸ, δοκεῖ ὑμῖν οὗτος ἄξιος εἶναι ἀποστερηθῆναι τὴν ἀτέλειαν. S. rec. Τῷ κατ' ἐρώτησιν προῆχθαι τὸν ἔλεγχον τῆς ἀτοπίας ἐμφαίνει. Ἠθικὴ δὲ κἀνταῦθα ἡ ἔννοια. Δύο δὲ διὰ τῆς αὐτῆς ἐννοίας παρέστησε· πρῶτον μὲν τὴν εὔνοιαν, δεύτερον δὲ τὴν περὶ τοῦ παιδὸς ἀπολογίαν. Ἐπειδὴ δὲ ἀντέπιπτεν ὅτι ἑαυτὸν σῶσαι μὴ δυνηθεὶς Χαβρίας, πῶς οἷός τε ἦν σώζειν ἑτέρους; ἰδὼν λυποῦσαν αὐτὸν τὴν ἔννοιαν ταύτην ὑποτέμνεται λέγων· ἡνίκα μὲν τὴν τοῦ σώζειν ἀξίαν εἶχεν, αὐτὸς στρατηγὸς ἀφελὴς ἦν τοῖς συστρατευομένοις· ἡνίκα δὲ ἔδει, ὡς στρατιώτης παραταξάμενος ἐθελοντὴς ἔπεσεν ὑπὲρ τῆς πατρίδος. TCV.

481, 3. Ἐγὼ μὲν οὐκ] Σημείωσαι· ἐκ τοῦ ἐναντίου. BP.

481, 17. Διὰ ταύτην] ἤγουν τὴν τελευτὴν αὐτοῦ γενομένην. P.

481, 20. Ἐφ' οὓς] Σημείωσαι ὅτι ἔσθ' ὅτε καὶ ἡ ἐπὶ πρόθεσις ἀντὶ τοῦ κατά λαμβάνεται, τότε δὲ καὶ εἰς αἰτιατικὴν ἀποδίδοται· τὸ γὰρ ἐφ' οὓς ἐνταῦθα ἀντὶ τοῦ καθ' ὧν. S. rec.

481, 21. Ἦλθεν] ὁ Χαβρίας. P.

482, 7. Τούτῳ] ἤγουν τῇ ἀσφαλείᾳ. P.

482, 16. Οὐ σκέψεσθε, ὦ ἄνδρες Ἀθηναῖοι] Τῷ μὲν δοκεῖν ὁ νόμος ἐστὶν ὁ κρινόμενος, τῇ δὲ ἀληθείᾳ ὁ τρόπος τῆς πόλεως βασανίζεται. Σκέψαι γὰρ, ὦ βέλτιστε, καὶ φρονῶν ἀνθρωπίνως ἀπόβλεψον εἰς τὸ μέλλον· ἂν ἐμπέσῃ τις χρεία, ποῦ τὸν εὐεργέτην ὀψόμεθα; TCV.

482, 21. Ὅρα δὴ καὶ σκόπει] ὑποκρίνεται μὴ εὑρίσκειν τὸν γραμματέα, ἵνα δόξῃ αὐτοσχεδιάζειν ἃ λέγει καὶ μὴ ἐσκέφθαι. TCV.

483, 3. Οὓς νῦν οὗτοι μεμφόμενοι] τουτέστι τοὺς ἀξίους τῆς δωρεᾶς. TCV.

483, 6. Ἔγωγε ἡγοῦμαι] ὡς γὰρ ὁμολογούμενον αὐτὸ καὶ ἐψηφίζετε. TCV.

Εἶθ' οἷς δι' ἐκεῖνον ἂν τότε] Θέλων δεῖξαι τοῦτό φησιν ὅτι, εἰ διὰ τοὺς ἀξίους καὶ τοὺς μὴ ὄντας ἐτιμήσατε, διὰ τοὺς ἀναξίους νῦν τοὺς ἀξίους ἀφαιρήσετε; TCV.

483, 15. Οὓς μὲν τοίνυν ἀδικήσετε] Πληρώσας τὸν περὶ τῶν εὐεργετῶν σύμπαντα λόγον τῶν ἐπιλόγων ἅπτεται· ἐπιλόγων δὲ οὐ τῆς ὑποθέσεως πάσης, ἀλλὰ αὐτοῦ τοῦ μέρους. TCV.

483, 17. Σκοπεῖτε δὲ καὶ λογίσασθε] Ἐπίλογος τούτου τοῦ μέρους. B.

483, 31. Εἰ γὰρ ὧν ἔργῳ πεποίηκε] Συμπέρασμά ἐστι τῶν εἰρημένων. TCV.

483, 23. Ἂν ὑφ' ἡμῶν μὴ καλῶς ῥηθῇ] ὑπὸ τῶν συνηγόρων, φησίν. Ἄτοπον οὖν, ὧν ὑμῖν δεδώκασι, πεῖρᾳ τὴν γνῶσιν λαβόντες, ἂν μὴ κατὰ τοὺς λόγους δύνωνταί τινες ἀποδεῖξαι τοῖς κατορθώμασιν, ἧττα γενήσεται ὑμῖν. TCV.

483, 24. Ἵνα τοίνυν εἰδῆτε] Ἀρχὴ τοῦ νομίμου κεφαλαίου. S. Ἐντεῦθεν πάλιν ἄρχεται τοῦ νομίμου κεφαλαίου, ἀκολούθως ποιῶν. Ἔδει γὰρ κατηγορῆσαι τοῦ νόμου τοῦ Λεπτίνου ὡς ἀδίκου καὶ ἀσυμφόρου, ἵν' οὕτως ἀντεισενεχθῇ ὁ αὐτοῦ ἐκ συγκρίσεως καὶ ἀντιπαραθέσεως. TCV.

483, 29. Ἀναγνώσεται τὸν νόμον ὑμῖν] Ὁ Σόλων προσέταξε τὸν λόοντά τινα τῶν κυρίων νόμων τιθέναι ἕτερον. Ὅπου μὲν οὖν κύριος, ἀντεισφέρειν δεῖ· ὅπου δὲ οὔ, λύειν μόνον. Ὁ νόμος δὲ, ὃν εἰσέφερεν, εἶχε τὰς δωρεὰς τὰς παλαιὰς κυρίας, καὶ εἰ ἀνάξιοί τινες ἦσαν ἐν τῷ δικάζεσθαι. TCV.

484, 3. Τούτου] τοῦ ἡμετέρου νόμου. P.

484, 11, Γράφεσθαι μὲν ἄν τις] Γραφὴ λέγεται κυρίως ἡ κατὰ τῶν νόμων κατηγορία. Διδάσκει δὲ διὰ ταύτης τῆς διανοίας ὅτι χρὴ πρότερον δεικνύναι τοὺς παλαιοὺς νόμους οὐκ ἔχοντας κατά τι καλῶς, εἶτα ἀντεισφέρειν ἕτερον. Τούτοις ἀκολουθήσας μετὰ τὴν κατηγορίαν τοῦ νόμου τοῦ Λεπτίνου τὴν ἀνάγνωσιν τοῦ οἰκείου παρέχεται, ἀλλὰ καὶ τὸν Σόλωνος νόμον ἀναγινώσκει, καθ' ὃν δεῖ νομοθετεῖν, ὅτι ἐν τοῖς δικασταῖς νομοθετεῖν δεῖ, ὅτι πρὸ τῶν ἐπωνύμων ἐκτιθέναι, τὸν δὲ μὴ ταῦτα ποιοῦντα ὑπεύθυνον εἶναι γραφῇ. Ἃ μὲν οὖν δεῖ ποιεῖν τὸν νομοθετοῦντα εἴρηκε, διὰ τούτου ἐπισημαινόμενος ὅτι οὐ δεῖ κυρωθῆναι αὐτοῦ τὸν νόμον, ἕως ἂν τὰ τῶν νόμων γένηται· ἃ δὲ δεῖ πάσχειν τὸν παραβαίνοντα οὐ προσέθηκε, διὰ τὸ μὴ ὑπεύθυνον εἶναι τῇ κατηγορίᾳ Λεπτίνην. Μετὰ τοῦτο τίθησι τὸν νόμον τοῦ Λεπτίνου, ἐπισημαινόμενος ὧν λαμβάνεται. Εἶτα ἀναγινώσκει κατὰ τὸ συνεχὲς καὶ ἕτερον νόμον ἀρχαῖον, ἐν ᾧ κεῖται τὰς δωρεὰς ἃς ὁ δῆμος ἔδωκε κυρίας εἶναι, ὥσπερ ἐναντίος ἐστὶν ὁ τοῦ Λεπτίνου νόμος· εἶτα καὶ ἕτερον τὸν κελεύοντα ὑπεύθυνον εἶναι γραφῇ τὸν ἐναντίον εἰσφέροντα τοῖς ὑπάρχουσι νόμοις· ἵνα διὰ μὲν τούτου τὸν οἰκεῖον ἀκολούθως ἔχοντα δείξῃ καὶ ὅτι οὐκ ἐναντίος ἐστὶ, κατηγορῇ δὲ τοῦ Λεπτίνου ὡς παραβεβηκότος. TCV.

484, 14. Οὐ γὰρ ᾤετο δεῖν ὁ Σόλων] Τὴν γνώμην τοῦ νομοθέτου φησί. Θεσμοθέται δὲ ἐκλέγονται ἐξ τοῦ ἐνιαυτοῦ, οἱ τῶν ἐννέα ἀρχόντων εἰσὶ, δι' ὧν τὰ πολλὰ διοικεῖται πράγματα. Νομοθέται δὲ οἱ αἱρούμενοι δικασταὶ, τὸν εἰσαγόμενον νόμον ἢ λύοντες ἢ κυροῦντες. Οἱ θεσμοθέται οὖν τὸν ἐνιαυτὸν ἦρχον· δεύτερον δὲ ἐδοκιμάζοντο διὰ τὸ ἐκεῖθεν εἰς τὸν Ἄρειον πάγον ἀνέρχεσθαι, εἰ μή τις μεταξὺ διεβέβλητο· ἕως δὲ θανάτου ἔμενον Ἀρειοπαγῖται. TCV.

484, 18. Τοὺς δὲ νόμους αὐτοὺς, καθ' οὓς καὶ τούτοις ἄρχειν] Ἄτοπον, φησὶ, τοὺς νομοθέτας πολλάκις βασανίζεσθαι καὶ δοκιμάζεσθαι, τοὺς δὲ νόμους, καθ' οὓς εἰσι καὶ οὗτοι ἄρχοντες καὶ πάντες, ὡς ἔτυχε τίθεσθαι. TCV.

484, 20. Ἐπὶ καιροῦ τεθέντας] Πρὸς γὰρ τὴν χρείαν εἰσέφερον οἱ πολιτευόμενοι νόμους, ἢ ἐν ὀξύτητι καιροῦ, ὥστε λαθεῖν. Ἀπὸ ἐλάττονος τὸ ἐπιχείρημα. TCV.

484, 25. Ὡς ἐγὼ πυνθάνομαι] Τὴν ἀρχὴν λέγει, καθ' ὃν τρόπον δεῖ νομοθετεῖν, εἶτα ὃν τρόπον τῶν πολιτευομένων τινὲς ᾑροῦντο νομοθετεῖν. Διὰ τοῦτο δὲ εἶπεν « ὡς « ἐγὼ πυνθάνομαι, » ἵνα φύγῃ τὸ συνειδέναι, τῇ ἀκοῇ δὲ τὴν γνῶσιν παραδίδωσι, καὶ ἵνα μὴ δόξῃ διαβάλλειν αὐτόν. TCV.

484, 27. Τοσοῦτοι μὲν οἱ ἐναντίοι] Ὅτι δὲ, φησὶ, τοσοῦτοι ἀντικείμενοί εἰσιν ὑμεῖς μαρτυρεῖτε· ἐξ ὑμῶν γὰρ νομοθέτας ἐκλέγεσθε, καὶ μέχρι νῦν πέρας οὐκ ἔχει τὸ πρᾶγμα διὰ τὸ πλείστους εἶναι τοὺς ἐναντίους νόμους. TCV.

485, 4. Ψηφισμάτων] Σημείωσαι περὶ νόμου καὶ ψηφίσματος. BP.

485, 9. Συνίετε καθ' ὃν τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι] περὶ νόμου. B. Ἐξέτασις τοῦ νόμου, ἐπειδὴ καὶ περὶ αὐτοῦ ὁ λόγος ἦν TCV.

485, 10. Πρῶτον μὲν παρ' ὑμῖν ἐν τοῖς ὀμωμοκόσιν] Ὤμνυον γὰρ οἱ δικάζοντες. Πρῶτον δὲ οὐ τῇ τάξει, ἀλλὰ τῷ ἀξιώματι καὶ τῷ κυροῦν· δεῖ γὰρ προαναγνωσθῆναι τῷ

δήμῳ, ἔπειτα προτεθῆναι, εἶτα λαβεῖν τὸν γραμματέα, καὶ μετὰ ταῦτα τοὺς δικάζοντας ἀκοῦσαι. Πῶς οὖν εἶπε πρῶτον παρ' ὑμῖν; οὐδεὶς γὰρ πρὸ αὐτῶν ἄλλος ἦν, οὐδὲ ἐκύρουν τοὺς εἰσφερομένους νόμους, εἰ μὴ οἱ νομοθέται, οἵτινες ἐκληροῦντο δοκιμάζειν τοὺς νόμους. TCV.

485, 13. Ἵνα εἷς ᾖ περὶ τῶν ὄντων ἑκάστου νόμος] ἵνα μὴ περὶ ἑνὸς πράγματος δύο ἐναντίοι ἑαυτοῖς ὦσι νόμοι. Αὐτὸ γὰρ τοῦτο, τὸ δύο νόμους περὶ ἑνὸς εἶναι πράγματος, ποιεῖ τοὺς ῥήτορας διὰ τούτου πλανᾶν τοὺς ἰδιώτας· ἑνὸς γὰρ ὄντος τοῦ νόμου οὐκ ἠδύναντο ἐξαπατᾶν τοσοῦτον. TCV.

485, 17. Πρόσθεν τῶν ἐπωνύμων] Ἀνδριάντες ἦσαν τῶν ἡρώων, καὶ αἱ φυλαὶ ἐπώνυμοι ἦσαν, — κατὰ δὲ πρόσταξιν Ἀπόλλωνος ἐγένοντο—, παρ' οἷς βουλόμενος νομοθετεῖν προετίθει, ἵνα πάντες Ἀθηναῖοι ἴδοιεν πότερον ἀρέσκει ἢ οὔ· ἐν ἐπισήμῳ δὲ τύπῳ εἱστήκεισαν. TCV.

Τῶν ἐπωνύμων] Τῶν φυλῶν ἐπώνυμοι ἥρωες, οἵπερ ἦσαν δέκα, ὥσπερ Ἐρεχθεύς, Πανδίων. BFYP.

485, 19. Τοῦτον δ' ἐν ταῖς ἐκκλησίαις] τῷ δήμῳ λέγει· ἐκεῖ γὰρ συνήγετο ὁ ὄχλος. Τρεῖς δὲ ἐγίνοντο ἐκκλησίαι. Ἀνεγινώσκετο οὖν τῷ δήμῳ ὁ νόμος ἵνα πάντες ἀκούσωσι, καὶ ὁ βουλόμενος ἀντείπῃ. TCV.

485. 22. Ταῦτα νομοθετῇ] Οὐχ ὅτι ἐν τῷ δήμῳ ἐνομοθέτουν, ἀλλ' ἀντὶ τοῦ νομοθετεῖσθαι ἐάσῃ. Δύο δὲ παρανομιῶν τρόποι· εἷς μὲν περὶ τὸ πρόσωπον, ὅτε καὶ παρὰ τὸν ὡρισμένον χρόνον γράφεται· ἕτερος δὲ, ὅταν αὐτὸς ὁ νόμος κακῶς ἔχῃ καὶ ἐναντίως τοῖς παλαιοῖς. Τὸν οὖν κατὰ πρόσωπον τέως διεξέρχεται. TCV.

485 24. Οὐδὲ γὰρ ἂν ὑμεῖς τότε ἐπείσθητε] ἵνα καὶ εὐλόγως δόξωσιν ἠπατῆσθαι, τοῦ Λεπτίνου λάθρα τεθεικότος αὐτὸν, καὶ αὐτοῦ ᾖ μόνον τὸ ἔγκλημα. TCV.

485, 25. Ἡμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι] πάντα δηλονότι ἐποιήσαμεν. P. Τὰ δίκαια ἐγράψαμεν ἐν τῷ νόμῳ ἡμῶν, φησὶ, καὶ παρεισφέρομεν πολλῷ κρείττονα τούτων. TCV.

485, 28. Λάβε καὶ λέγε] Ἐπὶ τὸν νόμον ἦλθε, πληρώσας τὸ κατὰ πρόσωπον. TCV.

Πρῶτον μὲν ἃ τούτου τοῦ νόμου] Μέρη, οὐ γὰρ ὅλον· ἀλλὰ κακῶς ἔχοντα ἀντεισφέρει λύων, ἕτερα δὲ τιθείς. TCV.

486, 4. Διώκομεν] εἰς κρίσιν ἄγομεν. B.

486, 5. Τὰ δὲ ἐφεξῆς λέγε] Οὐκ αὐτοῦ τοῦ νόμου Λεπτίνου, ἀλλὰ μετὰ τὸν ἐκείνου τὰ ἐν τῷ ἑαυτοῦ λέγει ὁ Δημοσθένης. TCV.

486, 6. Προσέχετε, ὦ ἄνδρες δικασταὶ] Θαρρῶν παροξύνει αὐτοὺς ἀκριβῶς ἐπισκοπεῖν. Ἦ γὰρ ἂν καὶ λαθεῖν ἐσπούδασε. TCV.

486, 9. Τοῦτο μέν ἐστιν ἐν τοῖς οὖσι νόμοις] τὸ τοὺς εὐεργέτας ἔχειν τὰς δωρεάς. TCV.

486, 13. Πρὶν τοῦτον ἔλυσε] τὸν ἐναντίον νόμον [τὸν κελεύοντα τὰς δωρεὰς, ἃς ὁ δῆμος ἔδωκε, κυρίας εἶναι. P.] Μαρτυρίαν δὲ κατηγορίαν. TCV.

486, 16. Ἑτέρου κελεύοντος νόμου] μὴ πρότερον τιθέναι νόμον, πρὶν τὸν ἐναντίον λύσῃ. TCV.

486, 17. Καὶ κατ' αὐτὸ τοῦτο] Θέλει εἰπεῖν, ἄξιος τιμωρίας. Εἰ γὰρ καὶ ὁ νόμος ἦν καλὸς, τὸν ἐναντίον δ' οὐκ ἔλυσε, κατ' αὐτὸ τοῦτο παρανομεῖ. TCV.

486, 21. Οὐκοῦν ἐναντίον] Ἀνεγνώσθη ὁ νόμος ὁ κελεύων ἔνοχον εἶναι τῇ γραφῇ τὸν νομοθετοῦντα νόμον ἐναντίον τοῖς πρότερον κειμένοις. P.

486, 24. Ἀλλ' οὐκ ἐν ᾧ νῦν ὅδε] Ἀφεψίων· οὕτω γὰρ βέλτιον. Σαφὲς δὲ τοῦτο ἐν οἷς ἑξῆς ἐγγυητὴν δίδωσι Φορμίωνα τῆς νομοθεσίας, ὅτι ἀκύρους τὰς δωρεὰς λέγει ἃς ἔδωκεν ὁ δῆμος. TCV.

486, 25. Καὶ πρόφασις δικαία] Ἐν ᾧ γὰρ εἰσέφερον νόμῳ οἱ περὶ Δημοσθένην, τοὺς ἀναξίους δοκιμασθέντας ἀφαιρεῖσθαι, οὐ νόμῳ, ὡς οὗτος. Οὐκ ἔμελλεν οὖν συμβλάπτεσθαι ἡ πόλις. Ἡ γὰρ κρίσις τοὺς ἀναξίους ἐστέρισκε τῆς ἀτελείας. TCV.

487, 1. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ καταμανθάνετε] Ἀναγνοὺς τὸν οἰκεῖον νόμον ἐπιδείκνυσιν ὡς ἔστιν ἀκόλουθος τῷ πρὸ μικροῦ παρασχεθέντι νόμῳ· εἶτα τίθησιν ἀνθυποφορὰν πρὸς τὸν παρ' αὐτοῦ εἰσαγόμενον νόμον. Λέγει γὰρ ἐξ ἀπάτης γεγράφθαι τὸν νόμον, ὥς φησι Λεπτίνης, δεινότητι πολλῇ χρώμενος. Ἵνα γὰρ τὸν ἀντίδικον καὶ τὸν συνομολογοῦντα λάβῃ τὸν πρὸς ἔπαινον τοῦ νῦν ἀντεισφερομένου νόμου, τοῦτον τὸν τρόπον μετεχειρίσατο. TCV.

487, 7. Οὔτ', ἂν λέγῃ, δεῖξαι δυνήσεσθαι] κἂν ἀναισχυντῇ, φησὶν, οὐκ ἔχει ἀποδεῖξαι· ἡττᾶται γὰρ τῆς ἀληθείας. TCV.

487, 8. Ἃ δὲ πρὸς τοῖς θεσμοθέταις] τοὺς εἰσάγοντας τὰς γραφὰς καὶ προδιαγινώσκοντας, ὅτε τὴν τῶν παρανόμων γραφὴν εἰσῆγον. Λέγει οὖν τοὺς προαγῶνας· εἰώθασι γὰρ ἔξω τοῦ δικαστηρίου λέγειν πολλάκις τινά. TCV.

487, 10. Ἔφη γὰρ ἐξαπάτης] Ἀντίθεσις ἐκ τοῦ νόμου, οὐ τῆς ὅλης ὕλης. Ἡ μὲν γὰρ ἀντίθεσις ἐκ τῆς ὑποθέσεως πάντως ἐστὶν, ἡ δὲ ὑποφορὰ μέση τῆς ἀντιθέσεως καὶ τοῦ ἀντιπίπτοντος· μετέχει γὰρ καὶ τῆς ὑποθέσεως καὶ τοῦ λόγου ἐξ οὗ τὸ ἀντιπῖπτον· τὸ γὰρ ἀντιπῖπτον τῇ ἐργασίᾳ τοῦ λόγου συμβαίνει, οὐκ ἐκ τῆς ὑποθέσεως, λέγω δὴ τῆς ὕλης. Μέρος οὖν ἀμφότερα τῆς ἀντιθέσεως. Τὸ δὲ ἐξαπάτης Ἀττικὸν ἀντὶ τοῦ ἀπάτης, πρὸς ἔμφασιν δὲ μείζονα ἡ πρόθεσις. TCV.

487, 12. Ἐγὼ δ', ὅτι μὲν τῇ ὑμετέρᾳ] Πάντως γὰρ λυθέντος ὁ εἰσφερόμενος ἐγίνετο κύριος. Τοῦτο οὖν, φησὶ, κἂν ἡμεῖς μὴ θέλωμεν, ἔχοντος αὐτὸν ἤδη τοῦ γραμματέως, ὑμεῖς κυρώσετε. Νόμος γὰρ ἦν πάντα τὸν Εἰσφερόμενον * * * ὅτι Κάσιος τυχὸν ἢ ὅς γε κατηγορεῖ εὐδαίμονος, τὸν δὲ ἀντεισφέροντα τὸν νόμον. Λεπτίνης οὖν ἔλεγε δεδιέναι, μὴ λυθέντος τοῦ νόμου, μὴ μεταγράψωσι τὸν ἑαυτῶν, ἴσως μὴ βουλόμενος ἔχειν αὐτόν. Ὁ δέ φησι, κἂν μὴ θέλωμεν, οὐ δυνησόμεθα· εἰσῆκται γὰρ ἤδη διὰ τοῦ γραμματέως· ἄλλως τε καὶ νόμος ἦν, τὸν λύοντά τινα νόμον καὶ μὴ ἀντεισφέροντα κολάζεσθαι. TCV.

487, 13. Παρεισενεχθέντα] παρ' ἡμῶν δηλαδή. P.

487, 21. Βούληται] ὁ παρεισφέρων. P.

487, 22. Ἐγὼ Φορμίων] Ἐντεῦθεν δῆλον ὡς Ἀφεψίων ἐστὶν ὁ τὸν νόμον ἀντεισφέρων, ὡς καὶ ἄνω ἐπεσημηνάμην. Εἰ γὰρ ἦν Φορμίων, οὐκ ἂν ὁ αὐτὸς καὶ ἐγγυητὴς ἐγίγνετο. TCV.

487, 23. Εἴ τινα βούλεται] ἐγγυώμενον. Θέλει δὲ εἰπεῖν, αὐτὸς δέξαι τὸν νόμον καὶ θὲς, καὶ μὴ ἀμφίβαλλε ὡς ἡμεῖς οὐ θήσομεν. TCV.

487, 24. Ἔστι δὲ δήπου νόμος ὑμῖν] Ἵνα γὰρ μὴ εἴπῃ ὅτι ἐγγυᾷ θεῖναι αὐτὸν, οὐκ εἰσφέρεις δέ· λέγει ὅτι ἀλλ' εἰσὶ νόμοι οἱ τοὺς ἀπατῶντας κολάζοντες. TCV.

487, 27. Ταῦτα γραφόντων] γραφέτωσαν ὡς ἐγγυώμεθα τοῖς ἄρχουσι τῶν ὑπηρετῶν ἐγγράφως. TCV.

488, 3. Ἐκεῖνό γε οὐ λόγος] τὸ διὰ τοῦ θεῖναι τὸν

Λεπτίνην τὸν νόμον, ἀλλ' ἀλήθειαν. Ἢ οὐ λόγος ἀντὶ τοῦ οὐ φροντίς. TCV.

Αὐτὸς θέτω] Οὕτως ἐδέξαντό τινες, ὅτι ὑπεύθυνον ἑαυτὸν καταστήσας κυρωσάτω τὸν ἑαυτοῦ, εἰ θαρρεῖ αὐτῷ. TCV.

488, 6. Ἐμοὶ δ', ὦ ἄνδρες Ἀθηναῖοι] Ἠθικὸν μὲν τυγχάνει τὸ ἐννόημα, προσείληφε δὲ καὶ τὸ πικρόν. Τὸ γὰρ μὴ ἀνεγνωκέναι λέγειν τοὺς Σόλωνος νόμους, ἢ μὴ συνεῖναι, οὐκ ἀπήλλακται τοῦ πληκτικοῦ. TCV.

488, 7. Καί μοι πρὸς Διὸς] Τῷ ἤθει δελεάζει αὐτόν. TCV.

488, 8. Ἢ οὐκ ἀνεγνωκέναι τοὺς Σόλωνος νόμους, ἢ οὐ συνιέναι] Ἵν' ᾖ τὸ μὲν τῆς φύσεως, τὸ δὲ τῆς ῥᾳθυμίας. Ἢ γὰρ οὐκ ἀνέγνως δι' ἀμέλειαν· εἰ δ' ἀναγνοὺς οὐκ ἐνόησας, νωθὴς εἶ κατὰ φύσιν. TCV.

488, 10. Ἐξεῖναι δοῦναι τὰ ἑαυτοῦ] Ἐπιχείρημα ἐκ τοῦ ἐλάττονος· ἰδίᾳ γὰρ ἕκαστος τοῦ κοινοῦ ἐλάττων. Λέγει δὲ ὅτι ἄτοπον, εἰ ὁ μὲν Σόλων ἐξουσίαν ἑνὶ ἑκάστῳ δέδωκε τῶν ἑαυτοῦ, σὺ δὲ τὴν πόλιν τὴν μείζονα στερίσκεις τῶν ἑαυτῆς. TCV.

488, 11. Οὐχ ἵν' ἀποστερήσῃ τοὺς ἐγγυτάτω γένει] τῆς συγγενείας καὶ τοῦ κλήρου. Ἐγίνετο γὰρ καὶ διὰ τῆς δόσεως τῶν χρημάτων σχεδὸν συγγενὴς τῇ γνώμῃ, εἴ γε καὶ μὴ τῷ γένει συναπτόμενοι φιλοτιμήσονται καὶ εὐεργετηθήσονται. TCV.

488, 19. Καὶ μὴ κἀκεῖνος τῶν καλῶς δοκούντων] περὶ τοῦ μὴ λέγειν κακῶς τὸν τεθνεῶτα. B. Ὁ Σόλωνος νόμος ἀπηγόρευσε τοὺς τεθνεῶτας ἅπαντας λέγειν κακῶς, κἂν ἐρεθίζηταί τις ὑπὸ τῶν παίδων τοῦ τεθνηκότος ὑβριζόμενος. Ὁ δέ φησιν, ἔργῳ σὺ κακῶς ποιεῖς. Ἐκεῖνος μὲν γὰρ λόγῳ κωλύει, σὺ δὲ καὶ ἐν ἔργοις· κἀκεῖνος οὐ τοὺς φίλους, ἀλλ' ἁπλῶς ἀπηγόρευσε μὴ δυσφημεῖν, σὺ δὲ καὶ τοὺς εὐεργέτας αὐτοὺς ἀδικεῖς. Ἐπιχείρημα δέ ἐστι καὶ αὐτὸ ἐκ τοῦ ἐλάττονος. TCV.

488, 24. Ὧν οὐδὲν ἐκείνοις προσῆκεν] τοῖς εὐεργέταις. TCV.

488, 26. Πάνυ τοίνυν σπουδῇ τις ἀπήγγειλεν] Ἀντίθεσίς ἐστιν ἐκ τοῦ ἔθους, ὅπερ ἐστὶν ἄγραφον νόμιμον· διαιρεῖται γὰρ τὸ νόμιμον εἰς ἄγραφον καὶ ἔγγραφον· ἐκ τοῦ οὖν ἀγράφου ἀντέπεσεν. Ἐλέγομεν δὲ ἐξ ἀρχῆς διπλοῦν εἶναι αὐτὸ τὸ νόμιμον, κατὰ τὸ εἶδος τῆς διπλῆς πραγματικῆς. Οὐκοῦν τὸ διπλοῦν ἐδήλωσε διὰ τῆς ἀντεξετάσεως τῶν νόμων καὶ διὰ τῶν ἔξωθεν παραναγνωσθέντων, ὡς οἱ μὲν κατηγοροῦσι τοῦ νόμου τοῦ Λεπτίνου, οἱ δὲ συμφωνοῦσι τῷ Δημοσθένει· δείκνυσι δὲ οὐδὲν ἧττον διὰ τῶν ἀντιθέσεων. Τὴν μὲν γὰρ ὑπὲρ τοῦ Λεπτίνου νόμου· ἔστι γὰρ ἀπὸ τοῦ νομίμου καὶ αὕτη, εἰ καὶ ξένα καὶ Λακωνικὰ καὶ Θηβαίων τὰ νόμιμα εἶναι δοκεῖ. Θαυμαστὴ δὲ ἡ μέθοδος· ὥσπερ γὰρ ἐλεγχομένου Λεπτίνου καὶ μηδαμῶς εὐποροῦντος λυτικῶν παραδειγμάτων, οὕτω μνήμην πεποίηται Λακωνικῶν καὶ Θηβαίων. Ἡ δὲ λύσις ἐκ διαφορᾶς, ὅτι οὐχ ἡ αὐτὴ πολιτεία παρ' ἡμῖν καὶ ἐκείνοις. Εἰς δύο δὲ διεῖλε τὰς λύσεις, εἴς τε τὸ κατὰ Λακεδαιμονίους πρότερον, εἶτα εἰς τὸ κατὰ Θηβαίους δεύτερον. Ἐπειδὴ γὰρ καὶ ἐν ταῖς λύσεσιν ἦν τις διαφορὰ περί τε τὰς πολιτείας καὶ τὰς ποιότητας τῶν προσώπων, ἠναγκάσθη διπλαῖς ταῖς διαφοραῖς χρῆσθαι, ἑτέρᾳ μὲν γὰρ ἐπὶ Λακεδαιμονίων, ἑτέρᾳ δὲ ἐπὶ Θηβαίων· καὶ τὸ οἰκεῖον ἀποδέδωκεν ἑκατέρᾳ ποιότητι. Ἐοίκασι γὰρ πρὸς μὲν Θηβαίους δυσμενῶς ἔχειν, πρὸς δὲ τοὺς Λακεδαιμονίους οἰκείως· ἀεὶ γὰρ καὶ τῶν καιρῶν καὶ τῶν προσώπων καὶ τῶν χρειῶν δεῖ στοχάζεσθαι. Ἐπειδὴ Πλάτων καὶ ἄλλοι πολλοὶ καὶ τὴν ὀλιγαρχίαν καὶ τὴν πολιτείαν τὴν Λακεδαιμονίων τῆς δημοκρατίας προκρίνουσι καὶ τῆς παρ' ἑτέροις κρίσεως ἐμνημόνευσε, μάλιστα μὲν ἀποδείξας ἐν τοῖς πρώτοις καλλίστην τὴν δημοκρατίαν· εἶτα καὶ τὸ κατὰ συγχώρησιν, εἰ ἄρα καὶ κατὰ τὸν λογισμὸν ἐκεῖνα φανείη βελτίω, ἀλλ' οὖν γε τύχης ἕνεκα τὰ τῶν Ἀθηναίων κρείττω. TCV.

489, 8. Αὐτὸ γὰρ τοῦτο πρῶτον, ὃ νῦν οὗτοι ποιήσουσι] Συγκρουστικὸν νόημα· παροξύνει γὰρ τοὺς δικαστὰς διὰ τούτων ἐντεῦθεν, ἵνα βεβαιώσῃ ὅτι ἤκουσαν. TCV.

489, 13. Εἶτα καὶ Λακεδαιμόνιοι τῶν μὲν τοιούτων] Τῶν ἐθῶν τῶν παρ' ἡμῖν καὶ τῆς πολιτείας. Θέλει δὲ εἰπεῖν ὅτι τιμῶσι μὲν Λακεδαιμόνιοι, οὐχ ὁμοίως δὲ ἡμῖν, ἐπειδὴ οὐδὲ ὁμοίως πολιτεύονται. TCV.

489, 15. Ἃς ἀπεύξαιτ' ἂν] τὰς παρ' ἐκείνων τιμάς· σχεδὸν γὰρ τυραννὶς ἡ τιμή. TCV.

489, 17. Τὰς μὲν καθ' ἕκαστον ἐάσω] Σοφίζεται πρὸς τὸ λυσιτελοῦν ἅπαντα· ἦσαν γὰρ παρ' ἐκείνοις στέφανοι καὶ σιτήσεις, ὥσπερ καὶ παρ' Ἀθηναίοις, σαφεῖς. TCV.

489, 19. Γερουσίαν] Ὄνομα ἀρχῆς παρὰ Λακεδαιμονίοις, εἰς ἣν ἔρχονται οἱ καλῶς βιοῦντες, καὶ γέροντες οἱ μετέχοντες ἀπὸ τοῦ τιμίου τῶν ἡλικιῶν. TCV.

Παρασχὼν ἑαυτὸν οἷον χρὴ] παρὰ Λακεδαιμονίοις ὡς πολιτεύονται. TCV.

489, 20. Δεσπότης ἐστὶ τῶν πολλῶν] ἀντὶ τοῦ ἄρχων δεσπότης εἶπεν, ἐξ οὗ ἐμφαίνει δουλείαν. Βαρὺ δὲ ὄνομα παρὰ Ἀθηναίοις ἡ δουλεία. Ἐξ ἐλευθερίας γὰρ ἡ δημοκρατία γνωρίζεται. TCV.

489, 22. Μετὰ τῶν ὁμοίων] μετὰ τῶν ἄλλων ἀρχόντων. TCV.

489, 24. Στέφανοι δὲ καὶ ἀτέλειαι] Οὐ τοὺς στεφάνους ἢ τὰς σιτήσεις ὁ Λεπτίνης ἐμέμφετο, ἀλλὰ τὴν ἀτέλειαν, ἵνα λυθῇ. TCV.

489, 26. Καὶ ταῦτ' ἀμφότερα ὀρθῶς ἔχει] καὶ τὰ παρ' ἡμῖν καὶ τὰ ἐκείνων. Πῶς δὲ διαβαλὼν ἄνω τὴν τῶν Λακεδαιμονίων πολιτείαν ἐνταῦθα ἐπαινεῖ; Ἐκεῖ μὲν ὡς πρὸς τὴν ἑαυτοῦ συγκρίνων πολιτείαν διέβαλεν, ἐνταῦθα δὲ ὡς πρὸς τὴν αὐτῶν Λακεδαιμονίων ἐπαινεῖ. Ἡ εὔνοια δὲ, φησὶν, ἐκεῖ ἐκ τοῦ εἶναι πάντας τοὺς ἄρχοντας ἴσους, ἐνταῦθα δὲ ἐκ τοῦ λαμβάνειν τοὺς ἀξίους τιμάς. Οὐκοῦν ὁ τὰς τιμὰς ἀφαιρῶν, οὗτος ἀναιρεῖ τὴν πολιτείαν. TCV.

490, 3. Καὶ μὴν περί γε τοῦ μηδὲ Θηβαίου] Ζητήσειεν ἄν τις τίνος χάριν ἡ ἀντίθεσις εἶχε μετὰ τῶν Λακεδαιμονίων ὁμοῦ καὶ Θηβαίους, ἐν δὲ τῇ λύσει διῃρημένως λέγει. Ὅτι διὰ τὴν τῶν προσώπων ποιότητα οὐκ ἠδύνατο ἐξετάζων ἀμφοτέρους εἰπεῖν. TCV.

490, 4. Ἀληθὲς οἶμαι] οὐ μόνον εἰπεῖν, ἀλλὰ καὶ μετὰ τῆς ἀληθείας. TCV.

490, 7. Εἰ ἄρα εὔξασθαι δεῖ] Δι' ὧν κατεύχεται τοὺς πολεμίους μὴ τιμᾶν τοὺς εὐεργέτας, διὰ τούτων τοὺς ὁμοφύλους προτρέπει φεύγειν τοῦτο, ποιεῖν δὲ τὸ ἕτερον. Σφόδρα δὲ κακίζει τὴν φύσιν τοῦ πράγματος, ὅπου γε ἀμφιβάλλει, καὶ ἐπὶ τῶν ἐχθρῶν εὔξασθαι συμβῆναι αὐτό. Τηνικαῦτα δὲ ἐχθροὶ ἦσαν Θηβαῖοι ἐπὶ τῶν Φωκικῶν, ὅτε καὶ Φίλιππος ἦν ἔτι ταπεινός· μετὰ γὰρ τὰ Φωκικὰ ἔδοξαν καὶ φιλίαν τινὰ ἔχειν, ὅτε καὶ τὴν Ἐλάτειαν Φιλιπ-

πος κατείληφε τῆς Βοιωτίας καὶ Ὀρχομενὸν ἐξηνδραποδίσατο συγγενεῖς ὄντας. TCV.

490, 12. Λόγῳ μετὰ τῶν νόμων τὰ δίκαια] Ὅτι Θηβαῖοι μὲν ὅπλοις ἀπαιτοῦσι τὰς δίκας, ἡμεῖς δὲ λόγῳ καὶ τῷ δικαίῳ. TCV.

490, 18. Ἄμεινον ἐκείνων] Βέλτιον ἀεὶ ἐκείνων πράττετε, κατὰ τὸ ἴδιον τῶν πολιτειῶν. TCV.

490, 20. Εἰ γὰρ καὶ κατὰ λογισμὸν] Θέλει εἰπεῖν, εἰ κατὰ τὸν κοινὸν λογισμὸν ὑπερβάλλει τὰ τῶν Λακεδαιμονίων (σχεδὸν γὰρ πάντες τιμῶσιν ὡς ἀριστοκρατίαν αὐτήν), ἀλλ' ἐπειδὴ ἡ τύχη ἡμῖν πλέον συναίρεται ἐν οἷς ἔχομεν, δεύτερος δὲ ὁ λογισμὸς τῆς εὐτυχίας, ὡς καὶ ἐν τοῖς Φιλιππικοῖς φησι, χρηστέον ταύτῃ μᾶλλον. TCV.

490, 21. Παρὰ ταῦτα] τὰ νόμιμα. Ἐπειδὴ δὲ Πλάτων καὶ ἄλλοι τινὲς τῶν παλαιῶν προκρίνουσι τὴν ὀλιγαρχίαν τῶν Λακεδαιμονίων τῆς δημοκρατίας, διὰ τοῦτο ἐπὶ τὴν τύχην ἔδραμεν. TCV.

490, 26. Οὐδὲ δι' ὧν μὲν ἐκεῖνοι μεγάλοι] Θέλει εἰπεῖν ὅτι εἴ τις τὰ τῶν Λακεδαιμονίων ἄγοι ἐνταῦθα ἔθη, δι' ὧν ἐκεῖνοι τὴν ὀλιγαρχίαν συνέχουσιν, ἀποκτενεῖτε αὐτόν. Ὑπερβατὸν δὲ τίθησι τὸ κῶλον. TCV.

490, 27. Κἂν ἀποκτεῖναι] ἀντὶ τοῦ, καὶ ἀποκτεῖναι ἂν θέλειν τὸν μεταφέροντά τι τῶν ἐκεῖ ἐνταῦθα· εἶτα τὸν καταλύοντα, δι' ὧν ἡμῖν αὔξεται ἡ πολιτεία, λέγω δὴ τὸν τὴν δωρεὰν ἀφαιρούμενον, δι' ἧς ἁμιλλώμενοι αὔξουσιν αὐτήν, οὐ κολάζετε; TCV.

491, 1. Ἔστι τοίνυν τις πρόχειρος λόγος] Ἀντιθέσεις τοῦ ἔθους παραδειγματικαί· ἡ δὲ λύσις κατὰ ἔνστασιν. BPSY. Μεταληπτικῷ κέχρηται πάλιν. Ἡ δὲ ἀντίθεσις ἐκ τῶν ἐθῶν, οὐκέτι δὲ τῶν παρ' ἄλλοις· ἔλυσε γὰρ ταύτην. Ἀλλά, φησιν, οὐ βούλει μιμεῖσθαι τοὺς Λακεδαιμονίους ἢ τοὺς Θηβαίους, ἀλλά γε τοὺς προγόνους. Λύει δὲ τὴν ἐκ τῶν ἐθῶν ἀντίθεσιν ἐνστάσει, λέγων, οὐχ ἡγοῦμαι τὸν λόγον τοῦτον εἶναι δίκαιον λέγεσθαι, οὐδὲ συμφέροντα. Εἶτα συνίστησι διὰ τῶν ἑξῆς, καὶ τῶν κατὰ Λυσίμαχον ὅτι ψευδὴς ὁ λόγος. TCV.

491, 3. Οὐδενὸς ἠξιοῦντο, τοιούτου] Εἰσῆκται μὲν ἀφελῶς, κακούργως δὲ αὐτὸ ἔλαβεν· οὐ γὰρ οὐδενὸς ἀπετύγχανον, ἀλλὰ τινῶν. Ὁ δέ φησιν οὐδενός, ἵνα δεινοποιήσῃ τὸ πρᾶγμα. TCV.

491, 4. Ἐν τοῖς Ἑρμαῖς] Ξύλα ἢ λίθοι τετράγωνοι ἦσαν ἔχοντες ὄψιν Ἑρμοῦ ἐπάνω, κάτω δὲ ἐν τῷ πλάτει τὰ ἐπιγράμματα. TCV.

Οἱ Ἕλληνες οἷά τινας ἀνδριάντας ἐποίουν, μήτε χεῖρας μήτε πόδας ἔχοντας, οὓς ἐκάλουν ἑρμᾶς. Ἐποίουν δὲ αὐτοὺς διακένους, θύρας ἔχοντας καθάπερ τοιχοπυργίσκους. Ἔσωθεν οὖν αὐτῶν ἐτίθεντο ἀγάλματα ὧν ἐσέβοντο θεῶν, ἔξωθεν δὲ ἀπέκλειον τοὺς ἑρμᾶς. R.

Τοῦθ' ὑμῖν ἀναγνώσεται τὸ ἐπίγραμμα] Ἕως τούτων ἡ ἀντίθεσις TCV.

491, 8. Εἰ μὲν γὰρ ἀναξίους εἶναί τις φήσει] Φησὶ γὰρ ὅτι οὐδὲ οἱ πρόγονοι ἐτίμων. TCV.

491, 15. Οὐδὲ ὀλίγου δεῖ] πολλοῦ γε καὶ δεῖ· πάνυ, φησίν, ἀφέστηκεν TCV.

491, 16. Ἐπὶ μὴ προσήκοντα πράγματα] ἐπὶ μὴ ὄντα ἀληθῆ. TCV.

491, 17. Δυσχερεῖς ἀνάγκη φαίνεσθαι] τοὺς λόγους. Ἀντὶ τοῦ δυσφήμους καὶ κακούς. Οὐχ εὑρίσκων γὰρ τῇ ἀληθείᾳ μάχεσθαι καταφεύγει καὶ εἰς ἔθη τινὰ καὶ τοὺς προγόνους οὓς διαβάλλει ψευδόμενος. TCV.

491, 18. Ὡς δὲ τἀληθές τ' ἔχει] Ἦσαν πολλοὶ σπουδαῖοι, οὐχ, ὥσπερ οὗτός φησι, μηδένα εἶναι· καὶ ἡ πόλις ἐτίμα τοὺς ἀγαθούς, καὶ ἦν ἅμιλλα τῶν μὲν εὖ ποιούντων, τῶν δὲ ἀμειβομένων. TCV.

491, 21. Αἱ μέντοι τιμαὶ καὶ τὰ ἄλλα πάντα] Ἵνα μὴ ἠμεῖφθαι τῷ χρόνῳ μόνη ἡ τιμὴ δόξῃ, ἀλλὰ καὶ πάντα τὰ πράγματα. Θέλει δὲ εἰπεῖν ὅτι καὶ τότε τοῖς ἔθεσιν ἐτίμων τοὺς εὐεργέτας· οὔπω δὲ ἦν τότε ἡ ἀτέλεια, ἕτεραι δὲ ἦσαν. TCV.

491, 23. Ὅτι φήσαιμ' ἂν ἔγωγε] Ὁ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἦν, φησί, θελῆσαί τι καὶ μὴ λαβεῖν παρὰ τῆς πόλεως τὸν εὐεργέτην. TCV.

491, 26. Ὅτι Λυσιμάχῳ δωρεὰν] Ἀρειστείδου τοῦ δικαίου ἦν υἱός, τοῦ δὲ πάππου εἶχε τὸ ὄνομα· δεδώκασι δὲ αὐτῷ ταύτην τὴν δωρεὰν δι' ἐκεῖνον. Ἐπειδὴ τοίνυν ὅσα ἐχαρίσαντο αὐτῷ ἧττω τῆς τοῦ ἀνδρὸς δόξης ἦν, ἵνα μὴ φανῇ ἡ πόλις μικρότερα τῶν εὐεργεσιῶν τιμῶσα τὸν υἱὸν αὐτοῦ, εἰσήγαγεν οὐδὲν εὖ ποιήσαντα τὴν πόλιν, ὡς κατὰ τὴν ἱστορίαν ἔχομεν, πλὴν ὅτι Ἀριστείδου ἦν υἱός· καὶ τοῦτο δὲ ἔκρυψεν, ἵνα μὴ πολλὰ πάνυ εὐεργετήσαντι δοκῇ ἡ πόλις τοσαῦτα δεδωκέναι. TCV.

491, 29. Καὶ τούτων ψήφισμά ἐστιν Ἀλκιβιάδου] ἀξιοπίστου ἀνδρὸς καὶ οὐδὲν πρὸς χάριν ποιοῦντος. Ἵνα γὰρ μὴ ἀντιπέσῃ, τί οὖν, εἰ ἀπατηθεὶς ὁ δῆμος ἐπείσθη δοῦναι ὑπό τινος μισθὸν λαβόντος; διὰ τοῦτο προσέθηκε τὸν ἄνδρα τὸν μέγιστον [καὶ] μεγίστου φρονήματος, ὃς οὐκ ἂν ἔγραψε τοιοῦτον, οὐ πεφυκὼς κολακεύειν, εἰ μὴ σφόδρα ἐθαύμασε τὰ ὑπ' αὐτοῦ γενόμενα. TCV.

492, 3. Νῦν δ' εὐπορήσει] Ὡς εὔνους ὢν ἐπηύξατο εὐπορεῖν τὴν πόλιν. TCV. Εἶπε δὲ τὸ εὐπορήσει κατ' εὐφημίαν ἀντὶ τοῦ ἀπορεῖ, ὃ διὰ τὸ βλάσφημον ἐφυλάξατο λέγειν. P.

492, 4. Καίτοι τίν' οὐκ ἂν οἴεσθε] τῶν ἐχόντων τὴν ἀτέλειαν, οὐχ ὅλον, ἀλλὰ τὸ τρίτον μέρος λαβεῖν, ἧς πολύ γε μείζονα ἐδωροῦντο. TCV.

492, 5. Τούτων] ὧν δηλαδὴ ἔδοσαν Λυσιμάχῳ. P.

492, 9. Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Λύσας τῷ κατὰ ἔνστασιν λύσει καὶ τῷ κατὰ ἀντιπαράστασιν ἐντεῦθεν ἀρξάμενος. Ἐγύμνωσε δὲ ἐνταῦθα τὴν ἀντίθεσιν φανερώτερον. TCV.

492, 12. Ἕτερόν τι τοῦτ' ἂν εἴη] Οὐχ ὅτι οὐκ ἔδοσαν, ἀλλ' ὅτι κατ' ἄλλον τρόπον· οὐ γὰρ ἔχεις δεῖξαι ὅτι οὐκ ἐτίμων παντάπασιν. TCV.

Εἰ τοίνυν μήτε Λυσίμαχον] Ἐντεῦθεν ἤρξατο τῆς ἀντιπαραστάσεως· συντρέχει γὰρ αὐτῷ. TCV.

492, 14. Τί μᾶλλον οἷς ἔδομεν νῦν] Εἰ καὶ μηδένα ἐτίμησαν οἱ πρόγονοι κατά τι, νῦν δὴ οὖν ἀφαιρῇ δικαίως οὓς ἐτίμησας, πάλιν ὕστερον ἀφαιρούμενος. Οἱ μὲν γὰρ πρόγονοι οὐ δεδώκασι καὶ συγγνώμης ἔχονται, ὑμεῖς δὲ δόντες μηδὲν ἀδικήσαντας ἀποστερεῖτε. Ἵνα δὲ μὴ ἀντιπέσῃ, ἀλλ' ἀφαιροῦμαι αὐτόν, κακὸς γὰρ ὤφθη περὶ τὸν εὐεργέτην· διὰ τοῦτο προαρπάζει καὶ λέγει « μηδὲν ἐγκαλοῦντες. » TCV.

492, 20. Καίτοι τό γ' αἰσχρὸν ὁμοίως] Εἰ καὶ μιμήσεσθε τοὺς προγόνους, ἁμαρτήσετε πάλιν· τοῦ γὰρ αἰσχροῦ οὐκ ἀπηλλάχθε. Κἂν ὦσιν ἐκεῖνοι οἱ προϋπάρξαντες, ὅμως συγχωρῶ ἑπομένους ὑμᾶς τοῖς προγόνοις τοιοῦτό τι ποιῆσαι· εἰ δὲ οὐδέποτε τοῦτο γέγονε, τοιοῦτον ἔργον, ἀχαριστίας γνώρισμα, μὴ πρῶτοι, φησί, καταδείξητε. TCV.

492, 24. Ὅτι νῦν ὀμωμοκότες] Μεμνῆσθαι, φησὶν, ὀφείλετε ὅτι δικάσειν ὠμόσατε κατὰ τοὺς Ἀθηναίων νόμους, οὐ κατὰ τοὺς τῶν Λακεδαιμονίων ἢ ἄλλων τινῶν. TCV.

492, 26. Οὐδ' οἷς ποτὲ ἐχρήσανθ' οἱ πρῶτοι] καθ' οὓς ἔλαβον, φησὶ, τουτέστι, κατὰ τοὺς νῦν ὑπάρχοντας. Πρώτους δὲ λέγει τῶν προγόνων τοὺς ἀρχαιοτάτους. TCV.

492, 27. Ἀλλὰ καθ' οὓς] Οὐ γὰρ νόμῳ ἢ ψηφίσματι, ὡς προϊὼν ἐρεῖ, τὰς ἀτελείας ἐδίδοσαν οἱ Ἀθηναῖοι. P.

492, 29. Καὶ περὶ ὧν ἂν νόμοι μὴ ὦσιν] Ὅσα δὲ νόμοις οὐχ ὥρισται, ταῦτα κατὰ τὸν καιρὸν καὶ δίκαιον λογισμὸν ὠμόσατε δικάσειν. TCV.

493, 1. Τὸ τοίνυν τῆς γνώμης] Οἷον συνάψατε, φησὶ, τὸν νόμον Λεπτίνου τῷ κοινῷ δικαίῳ· εἰ δεῖ τοὺς εὐεργέτας τιμᾶν, ὁ κοινὸς λόγος σκοπείτω· ἀντεξετασάτω δὲ αὐτὸν τῷ ἀφαιρουμένῳ τοὺς εὐεργέτας νόμῳ τὴν ἀτέλειαν· δίκασον αὐτός. Ἐπιψηφίζεται δὲ, ἵνα γένηται ὁ ῥήτωρ κοινὴ τῆς φύσεως φωνή· τοῦτο γὰρ ἡ φύσις βούλεται ἡ κοινὴ, τὸ τιμᾶν τούτους. TCV.

493, 4. Ταῦτα τοίνυν αὐτοί τε ποιεῖτε] Τὰ ὁμολογούμενα καλὰ παρὰ πᾶσιν ἀνθρώποις, καὶ ἀπαιτεῖ φύσις. Αὐτοὶ δὲ ἢ πρὸς διαστολὴν τοῦ Λεπτίνου ἢ ὅτι πλέον ἐχέτωσαν τῶν ἄλλων φρονήσεως οἱ Ἀθηναῖοι. TCV.

493, 6. Ὀργίζεσθε ἂν μή τις φῇ ποιεῖν] μὴ δυσφήμως μνησθῆναι τῶν προγόνων, ἵνα αὐτοῦ συστήσῃ τὸν λόγον· ὁ δὲ μεθοδεύει τοῦτο καλῶς καὶ ἐπὶ ἕτερον ἄγει. TCV.

493, 13. Οἶμαι τοίνυν καὶ τοῦτον τὸν λόγον] Σημείωσαι· ἀντίθεσις. BS. Ἀπὸ τοῦ ῥητοῦ ἀντίθεσιν κεκίνηκεν· ἀλλ' ἔξεστί σοι, φησὶν, εἰκόνας διδόναι καὶ σίτησιν καὶ στεφάνους καὶ ἑρμᾶς καὶ ὅσα τοιαῦτα. Λύει δὲ τῷ συμβησομένῳ κατὰ τὸ ἀκόλουθον· εἰ ἄπιστον ἡ ἀτέλεια ἣν ἀφῃρήμεθα, ἄπιστοι δηλονότι καὶ αἱ λοιπαὶ δωρεαί. Ἔπειτα ἄτοπον, ὅτι τῶν αὐτῶν τιμῶν ἀξιοῦσι τοὺς μεγάλα καὶ μικρὰ τὴν πόλιν εὐεργετηκότας. TCV.

493, 18. Πλὴν τούτου] πλὴν τῆς ἀτελείας. Τοὺς ὄντας ἀξίους, φησὶν, οὐ πάντα ἀφαιρεῖται ὁ νόμος. TCV.

Ὑπὲρ ὧν μὲν τῇ πόλει καταλιπεῖν] τῷ συμβησομένῳ λύει. BS. Ὥστε χαρίζεσθαι. TCV.

493, 20. Καὶ τὰς ὑπολοίπους] Ἐάν τινα ἀφεληθέ τι, καὶ αἱ λοιπαὶ ἄπιστοι γίνονται δωρεαί. TCV.

493, 23. Ἣν πρότερόν τισι δόντες] Οὐδεμία, φησὶ, πίστις τῶν δωρεῶν ἢ . . . που δοῦναι. Ἐὰν οὖν ἀφέλητε, καὶ τὴν πίστιν ἀπωλέσατε. Οὐ γὰρ πιστευθήσῃ· ἠρνήσω γάρ. TCV.

493, 24. Ἔτι δ' εἰ μηδὲν ἔμελλε] Θέλει εἰπεῖν ὅτι εἰ καὶ τὸ προειρημένον οὐκ ἔβλαπτε, λέγω τὸ τῆς ἀπιστίας, ἀλλὰ τὸ ἕτερον ὃ ποιήσει τὴν ἴσην δωρεὰν πᾶσι διδόναι τοῖς εὐεργέταις, ὅτι τὴν ἀτέλειαν ἀφῃρημένοι ἦσαν· ἢ γὰρ οὐ τιμῶσα τοὺς πάνυ ἀγαθοὺς ἀξίως — οὐ γὰρ ἦν τηλικαύτη δωρεὰ μετὰ τὴν ἀτέλειαν, — ἀχάριστος ἐγίγνετο ἡ πόλις ἢ ὕβριζε τῷ ἴσῳ. TCV. .

493, 28. Μεγάλων μὲν οὖν εὐεργεσιῶν] Θέλει εἰπεῖν, μὴ γένοιτο μεγάλων εὐεργετῶν χρήζειν τὴν πόλιν· διὰ τῶν μεγάλων κακῶν οὗτοι γνωρίζονται, ὅτι χρεία ἐν τούτοις μεγίστων εὐεργετῶν· εἰ δὲ καὶ γένοιτο καιρὸς, οὐδεὶς ῥᾳδίως εὑρεθήσεται. Δύο δὲ διὰ τούτου ἀνύει μεγάλα· καὶ φοβεῖ περὶ τοῦ μέλλοντος καὶ παραμυθεῖται λεληθότως ὅτι οὐ πολλοῖς δώσετε· ἀφεῖλου γὰρ τὴν δωρεὰν, δι' ἧς πάντες ἡμιλλῶντο. Δεῖ τοίνυν μεμερίσθαι τὰ τῶν τιμῶν, ἵνα μὴ ἴσας, ἀλλὰ διαφόρους, ἵνα ἕκαστος ἀξίως τιμᾶται. TCV.

494, 7. Ἀλλὰ μὴν ὑπὲρ ὧν γε] Οἱ ἔχοντες μετὰ τῆς ἀτελείας καὶ ἄλλας δωρεὰς ἀποστερούμενοι λέξουσιν ὅτι, εἴπερ τὰς ἄλλας ἡμῖν καταλίπῃς, καὶ τὴν ἀτέλειαν κατάλιπε· ὡς εὖ πεποιηκόσι γὰρ δέδωκας κἀκείνην καὶ ταύτας, οὐκοῦν ἀμφότερα κατάλιπε. TCV.

494, 11. Οἱ δὲ, φενακίζειν] Οἱ δὲ μόνον τὴν ἀτέλειαν εἰληφότες φάσκουσιν, ἀπατᾷ ὡς καταλείπει· οὐδὲ γὰρ ἡμῖν ἀφῆκεν· ἀφεῖλετο γὰρ ἣν μόνην εἴχομεν· ὥστε δι' ἑτέρων ἑτέρους ἀδικεῖ. TCV.

494, 16 Μὴ τοίνυν διὰ μὲν τοῦ τούτων κατηγορεῖν] περὶ ὧν λέγει ὅτι ἀνάξιοί εἰσιν. TCV.

494, 17. Ἐκείνοις] τοῖς δόξασιν ἀξίοις. P.

494, 25. Ὃν τοίνυν κακουργότατον] Ἀντίθεσις. B. Ἐπειδὴ πιθανώτατος ὁ περὶ τῶν ἱερῶν λόγος καὶ ἱκανὸς ἐπάγεσθαι, φθάσας διέβαλε κακουργότατον ὀνομάσας. Ἔστι δὲ ἀπὸ τοῦ δικαίου ἡ ἀντίθεσις, εἴ γε τὸ δίκαιον, γένος ὂν, περιέχει τὰ περὶ τὸ θεῖον καὶ τὰ ἀνθρώπινα. Διακρούει δὲ ἐν τῇ λύσει τὴν τῆς ἀντιθέσεως πανουργίαν. Διαιρεῖ γὰρ τίνα μὲν χρὴ καλεῖν ἱερὰ ἀναλώματα, τίνας δὲ λειτουργίας. Λεῖτον δὲ ἐκάλουν οἱ παλαιοὶ τὸ δημόσιον, ὅθεν λειτουργεῖν τὸ εἰς τὸ δημόσιον ἐργάζεσθαι ἔλεγον· ὅθεν καὶ λεία λέγεται ἡ παρὰ τῶν πολεμίων εἰς τὸ κοινὸν τῶν διαρπαζόντων ὠφέλεια. Φάσκει δὲ δεινότατον εἶναι, καὶ ἀδικώτατον τὸ ἀφαιρεθῆναι τὸ δεδομένον. Οὐ γὰρ τὸ μὴ λειτουργεῖν δεινὸν, ἀλλὰ τὸ τῶν δεδομένων ἀποστερεῖσθαι· καὶ ὅτι ἐπ' ὀνόματι τῶν θεῶν τὸ δεινὸν ἐργάζονται, τοῦτό ἐστι τὸ δεινότατον. Εἶτα ἐκ διαφορᾶς καὶ διαιρέσεως ἐντεῦθεν ἄρχεται, ὅτι οὐκ ἔστι τὸ αὐτὸ ἱερῶν ἀτέλειαν ἔχειν καὶ λειτουργιῶν. Ἐν ᾧ καὶ τὸ συγκριτικὸν ἀπὸ τοῦ νόμου λαμβάνει, ὡς ἕτερα μὲν γεγραφότος Λεπτίνου, ἕτερα δὲ λέγοντος· καὶ τὴν ἀπόδειξιν ἐκ τῶν γεγραμμένων παρὰ Λεπτίνου λαμβάνει· καὶ διὰ τοῦτο πάλιν ἐδεήθη τῆς ἀναγνώσεως τοῦ νῦν κατηγορουμένου. Τὸ μὲν οὖν πρότερον δίκαιον τὴν ἀναφορὰν εἰς τοὺς εἰληφότας ἀδίκως ἔχει, τίνες εἰλήφασι καὶ οὐκ εἰσὶν ἄξιοι τῆς δωρεᾶς. Ἐνταῦθα δὲ ἕτερον δίκαιόν ἐστι τὸ πρὸς τὴν πόλιν τῶν λειτουργούντων· ὡς τὸ μὲν πρότερον δίκαιον περὶ τὴν ποιότητα τῶν εἰληφότων θεωρεῖσθαι, τὸ δὲ νῦν δίκαιον περὶ τὴν ποιότητα τῆς πόλεως. TCV.

494, 28. Ἐροῦσι γὰρ ὅτι ταῦτα ἱερῶν ἐστιν ἅπαντα] Ἀναλώματα λέγεται τὰ εἰς τὰ ἱερὰ ἀναλισκόμενα, τὰ δὲ ἄλλα, λειτουργίαι καὶ χορηγίαι, τρόπον τινὰ εἰς τοὺς θεοὺς ἀναλίσκονται. Οὐδεὶς δὲ ἦν ἀτελὴς τούτων τῶν ἀναλωμάτων. Διὰ τοῦτο σοφίζεται Λεπτίνης (καὶ φησὶ), μὴ δεῖν διδόναι ἀτέλειαν τῶν ἱερῶν, λέγων. TCV.

495, 1. Δεινὸν οὖν] Λύσις ἐκ περιτροπῆς. BYP.

495, 2. Ἐγὼ δὲ τὸ μὲν τινὰς] Κατὰ συγχώρησιν λέγων συντρέχει διὰ τοὺς θεοὺς, ἵνα μὴ δόξῃ τραχύς. Θέλει δὲ εἰπεῖν, εἰ καὶ ἱερῶν ὁ δῆμος ἀτέλειαν ἐθέλει διδόναι, οὐ χρὴ ἀντιλέγειν· ἐγγὺς θεῶν αὐτὸν ποιῶν. TCV.

495, 5. Εἰ γὰρ ἃ κατὰ μηδένα ἄλλον ἔχουσι τρόπον] Ἐπειδὴ γὰρ ἀνθρωπίνῳ λογισμῷ οὐ δύνανται δεῖξαι ὅτι καλὸν τοῦτο, καταφεύγουσιν ἐπὶ τοὺς θεοὺς, ἵνα αἰδοῖ τούτων νικήσωσιν. TCV.

495, 10. Οἷα μηδ' ἂν ἐπ' ἀνθρώπου πραχθέντα] Ὃ λέγει, τοιοῦτον ἂν εἴη· ὁ πράττων ἐπὶ ὀνόματι τῶν θεῶν τι, τοιαῦτα ὀφείλει ποιεῖν, ἵνα τὰ πραχθέντα μηδὲ ἐπὶ ἀνδρῶν πονηροτάτων, οἷς ἔθος πλημμελεῖν, ἔχοι λαβὴν διαβολῆς. Τοιαῦτα δὲ Λεπτίνης εἴρηκεν ὡς ἀπὸ τῶν νόμων. TCV.

495, 11. Ὅτι δ' οὐκ ἔστι] Λύσις ἐκ διαιρέσεως. BYP.

495, 18. Καίτοι εἰ ἦν ἱερῶν ἀτέλειαν ἔχειν] Εἰ ἀτελεῖς τοὺς ἀφ' Ἁρμοδίου εἶπες, οὐδεὶς δ' ἀτελὴς τῶν ἱερῶν ἀναλωμάτων, εἶπες δέ τινας εἶναι ἀτελεῖς, πῶς ἱεραὶ λειτουργίαι; TCV.

495, 21. Ἵνα δὲ εἰδῆτε] Ὅτι οὐχ ἱερῶν ἀτέλειαν ἔχουσιν, ἀλλὰ τῶν ἐγκυκλίων λειτουργιῶν. P.

495, 22. Πρῶτον μὲν τῆς στήλης] Στήλη ξύλον ἢ λίθος τετράγωνος, εἰς ὃν ἐγέγραπτο τὰ τῶν δωρεῶν. TCV.

495, 26. Ἀκούετε τῶν ἀντιγράφων] Κατασκευή, ὅτι οὐκ εἰσὶν αἱ λειτουργίαι αὗται ἱεραί, ὡς Λεπτίνης σοφίζεται. TCV.

496, 2. Καλῶς] Καλῶς ἔχει, μὴ ἀναγίνωσκε πλείονα. TCV.

Γράψας ὅπως ἂν οἱ πλούσιοι] Λεπτίνης ἔγραψε διὰ τούτου τοῦ νόμου ἵνα λειτουργήσωσιν οἱ πλούσιοι. TCV.

496, 3. Μηδένα εἶναι ἀτελῆ προσέγραψεν] Εἰ οὖν ἱερῶν εἰσιν, οὐδεὶς δὲ ἀτελὴς τούτων, ἀφώρισας δὲ τοὺς ἀφ' Ἁρμοδίου, οὐκ ἄρα ἱερὰ, ἀλλὰ ἐγκύκλια καὶ κοινά. Τέλος δὲ τὸ ἀνάλωμα. Τὸ ἀναλίσκειν δὲ εἰς τὰ ἱερὰ λειτουργεῖν ἐστίν. TCV.

496, 7. Ἡδέως δ' ἂν ἔγωγε] Εἰς ἄπορον αὐτὸν ἄγει. Εἴ γε ἱεραὶ αὗται λειτουργίαι, οὐδεὶς δὲ ἐκτὸς τούτων, δέδωκας δὲ σὺ ἀτέλειαν, τίνος; εἰπέ. Συγκλείει γὰρ αὐτὸν ἐπάγων εἰς ἄπορον. TCV.

496, 9. Ἢ ἐκείνους] Τοὺς προγόνους τοὺς δεδωκότας. TCV.

496, 15. Τίνος; ἢ τοῦ μετοικίου] Παίζει αὐτούς. Τυραννοκτόνους, φησὶν, οὐκ ἀπαιτοῦμεν τὸ μετοίκιον. Γελοῖον δὲ τὸ τοιοῦτο. TCV.

496, 17. Προσδιώρισας] Εἰπὼν ἀτελῆ μηδένα εἶναι, πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος, οἳ τῶν ἱερῶν οὐκ εἰσὶν ἀτελεῖς. P.

496, 18. Ἐν ᾧ τοσούτῳ τὸ πλῆθος ὄντι] Ἐν ᾧ χρόνῳ ἐκ τοῦ γενέσθαι τὸν Ἁρμόδιον. Καὶ ὅμως οὐδεὶς ἐλειτούργει τούτων· ὥστε τούτων εἶχον ὧν σὺ λέγεις ἱερῶν ἀτέλειαν· καὶ μαρτυρεῖ πᾶς ὁ χρόνος τοῖς λόγοις. TCV.

496, 21. Οὔτ' ἐνεχθεὶς αὐτοῖς] Ποτὲ προβληθεὶς χορηγεῖν ἀντιδέδωκεν ἐκείνοις τὴν ἑαυτοῦ οὐσίαν, ὥστε λειτουργεῖν· εἶχον γὰρ ἀτέλειαν. TCV.

Οἷς οὐκ ἀκουστέον] λεγομένοις ταῦτα οὐκ ἀκουστέον· ἂν τἀναντία λέγειν τούτοις τολμήσωσι, μὴ ἀκούετε. TCV.

496, 22. Ἔτι τοίνυν ἴσως ἐπισύροντες] Ἀντίθεσις ἀπὸ τῆς ποιότητος τῶν εἰληφότων. BFRY. Τὸ μὲν ἐπισύροντες ἀντὶ τοῦ διασύροντες. Ἔστι δ' ἡ ἀντίθεσις αὕτη πάλιν ἀπὸ τῆς ποιότητος τῶν εἰληφότων· διαφέρει δὲ τῷ κατ' ἀρχὰς μὲν ἀορίστως τινὰς αἰτιᾶσθαι τῶν εἰληφότων, ἐνταῦθα δὲ κατ' ὄνομα διαρρήδην προήχθη ὅτι Μεγαρεῖς καὶ Μεσσήνιοι, ὅπερ κατ' εἶδός ἐστιν. TCV.

496, 26. Μαστιγίαι] κακοὶ, πονηροὶ, μαστίγων ἄξιοι, δοῦλοι, φησὶ, καὶ οὐδὲ οὗτοι χρηστοὶ, ἀτέλειαν ἔχουσι. Λεπτίνης δὲ ἔλεγεν ὅτι καὶ δοῦλοι καὶ Μεσσήνιοι ἔχουσιν ἀτέλειαν. Ἐπισύροντες δὲ οἷον εἰς ἔδαφος ἕλκοντες καὶ διαβάλλοντες, οὐδὲν ἀληθὲς λέγοντες. Μέμνηται δὲ καὶ τῶν ὀνομάτων· οἶδε γὰρ ὅτι οὐ βλάπτει αὐτόν. TCV.

496, 28. Ὅταν ταῦτα] Ἡ λύσις κατὰ ἔνστασιν. BFRYP.

497, 2. Ὅτῳ μὴ ψήφισμα ἢ νόμος] διὰ τοῦ νόμου ψήφισμα. Ἐννόμως γὰρ ἐδίδου ψήφισμα τοῦ δήμου· ὅμοιον γὰρ τῷ νόμῳ. TCV.

497, 3. Πρόξενοι] οἱ ὑποδεχόμενοι ἀλλήλους ἐν ταῖς ἑαυτῶν πόλεσιν. Ἦσαν δὲ καὶ ἰδίᾳ καὶ κοινῇ. TCV.

Πρόξενος ὁ τὸν ἀπὸ ἄλλης πόλεως ἀναδεχόμενος καὶ προσόδου φροντίζων τοῦ πρὸς τὸν δῆμον αὐτῷ. Γ.

497, 13. Εἰ μὴ μόνον ἐξαρκέσει] Τοῖς κατὰ δύο, φησὶν, ἂν ἀδικηθείη Χαβρίας, ὅτι καὶ τῶν δούλων αὐτῷ ἴσον ἐποιήσαντο πολίτην καταριθμεῖσθαι· καὶ ὁ μὲν παῖς τὴν προξενίαν μένει ἔχων, αὐτὸς δὲ διὰ τοῦτον ἀφαιρεθήσεται τῆς ἀτελείας. Ἦν δὲ αὐτοῦ ἀπελεύθερος ὁ Λυκίδας, ξενικῶν δὲ στρατευμάτων ἦν ἡγεμών· ὡς ἂν οὖν χρήσιμος οὗτος ἠξιώθη τῆς πολιτείας. TCV.

497, 17. Οὐ γάρ ἐστιν οὐθ' οὗτος οὔτ' ἄλλος] Οὐχ ὅτι πρόξενος ὢν ἐτύγχανε Λυκίδας, διὰ τοῦτο ἀτελὴς ἦν· τὸ γὰρ πρόξενον εἶναι τοῦ εἶναι ἀτελῆ διαφέρει. Οὐ μέντοι τοῦτο λέγω, ὅτι οἱ πρόξενοι τῆς δωρεᾶς εἰσιν ἀνάξιοι· ἦσαν γὰρ καὶ πρόξενοί τινες ἀτελεῖς· ἀλλ' ὅτι ἄνευ ψηφισμάτων εἴληφε μηδείς. TCV.

497, 22. Ὁ τοίνυν μάλιστα πάντων οἶμαι] Τρέπεται ἐπὶ τὸν ἐπίλογον ἐντεῦθεν, πληρώσας τὸν ἀγῶνα. Διαιρεῖ δὲ τὸν ἐπίλογον εἰς τὴν ποιότητα τῆς πόλεως, ὅτι οὐ πρὸς Ἀθηναίων καὶ τῆς ἐκείνων ἀξίας ἐστὶν ἀφαιρεῖσθαι τὰ δεδομένα· ὅσπερ ἐστὶ τόπος ἀπὸ τοῦ πρέποντος. Γίνεται δὲ ἀπὸ τοῦ πρέποντος τόπος οὐχ ὅταν τὸ λαμπρὸν μόνον καὶ εὐπρεπὲς κατασκευάζωμεν, ἀλλὰ καὶ τὸ ἐναντίον, τουτέστι τὸ ἀπρεπὲς καὶ τὸ αἰσχρόν. Ἕκαστος γὰρ τόπος ἑκατέρωθεν ἔχει τὴν γυμνασίαν. Κἀνταῦθα γὰρ ἀπὸ τοῦ αἰσχροῦ καὶ τοῦ ἀπρεποῦς λαμβάνει τὸ ἐπιχείρημα. Εἰς δὲ τοῦτο ἔλαβε τόπον πρῶτον μὲν ἐκεῖνον, ὅτι ἄτοπον τὸ δοκεῖν ἀπατᾶν τοὺς εὐεργέτας, δεύτερον δὲ τὸν ἀπὸ τοῦ μαχομένου, ὅτι τὸν ἀπατῶντα τὸν δῆμον κολάζετε, ἐὰν ὑποσχόμενός τι μὴ ποιήσῃ· οὐκοῦν ὁμοίως αἰσχρὸν αὐτοὺς φαίνεσθαι παραβαίνοντας τὸν νόμον. TCV.

Ἐπίλογος ὅτι εἰς πολλὰ μέρη διαιρεῖ τὸν λόγον ἐπίλογον πρῶτον εἰς τὴν ποιότητα τῆς πόλεως· δεύτερον ἀπὸ τοῦ ἀπρεποῦς καὶ αἰσχροῦ καὶ ἀπ' ἄλλων. BFRSYP.

497, 24. Εἰ γάρ τις πάντα ὅσα Λεπτίνης ἐρεῖ] Κατὰ συνδρομὴν τοῦτό φησι κυρίου γενομένου τοῦ νόμου, καίτοι κύριός ἐστι, καὶ λῦσαι αὐτὸν ζητοῦσιν· ἀλλὰ καὶ λέγουσι μετὰ τὴν κρίσιν ταύτην ὅτι εἰ καὶ ὁ νόμος καλὸς, φησὶν, ἀλλ' ὅμως ἐκεῖνο αἰσχρὸν ἔχει, ὅτι ἀπατεῶνας ὑμᾶς τῶν εὐεργετῶν ποιεῖ· ἀφαιρεῖ γὰρ τὴν δωρεάν. TCV.

498, 2. Ὅσῳ δ' ὑμῖν τῶν ἄλλων αἴσχιον] διὰ τὴν ποιότητα τῶν Ἀθηναίων. Πρὸς ἄλλο δὲ καὶ ἄλλο ἔλαβε τὸν αὐτὸν νόμον· ἐκεῖ μὲν πρὸς τὴν ἐγγύην, ἐνταῦθα δὲ πρὸς τὴν ἀπάτην τῶν εὐεργετῶν. TCV.

498, 6. Εἰ ἐφ' ᾧ τοῖς ἄλλοις] Δεῖ μὲν γὰρ τὰ αἰσχρὰ φεύγειν, μάλιστα δὲ ἐκεῖνα ἃ αὐτὸς μὴ ποιεῖν παραινεῖς. Οἶδας γὰρ αὐτὸς ὅτι πονηρὰ, διὸ καὶ κωλύεις· καὶ ἄλλως οὐκ ἐρεῖς ὡς οὐκ οἶδας· αὐτὸς γὰρ καὶ ἀπηγόρευσας. TCV.

498, 14. Ὅπως μηδὲν ὧν ἰδίᾳ φυλάξαισθ' ἂν] Ἄτοπον γὰρ ἰδίᾳ μέν τι ποιεῖν φυλάττεσθαι ὡς κακὸν, κοινῇ δὲ αὐτὸ ποιεῖν· ὅ τι δ' ἄν τις δῷ τινὶ φίλῳ ἑκὼν, οὐκ ἀφαιρεῖται αὐτόν. TCV.

498, 21. Ἐφ' οἷς εὕρετο ἔχειν] μὴ ὄντα ἄξιον· διότι ἠξιώθη τὸ ἔχειν δωρεάν. Ἡ δὲ σύνταξις· ἐφ' οἷς τὸ ἔχειν εὕρετο γράφεσθαι. TCV.

Οὐ δεῖ, φασὶν, ἔχειν τὴν δωρεὰν μὴ πεποιηκότα ἐκεῖνα ἐφ' οἷς αὐτὴν εὕρετο. P.

498, 22. Κατὰ τὸν νόμον] κατὰ τὸν αὐτόν. Ἦν γὰρ

γεγραμμένον, τοὺς δὲ ἀναξίους κρίσει ἀφαιρεῖσθαι τὴν τιμὴν, οὐ νόμῳ. TCV.

498, 23. Ἢ θέντας ὑμᾶς] Ἀκόλουθον ἦν εἰπεῖν, ἢ θέντων αὐτῶν, ὁ δ' εἶπεν, ἢ θέντας αὐτοὺς, ἵν' ᾖ πτῶσις ἀντὶ πτώσεως. TCV.

498, 25. Ὅταν πρῶτον γένωνται νομοθέται] Οἱ μέλλοντες εἰς ἄλλο δικαστήριον κυροῦν τὸν νόμον· νῦν γὰρ ἐδοκιμάζοντο ὑπευθύνους ποιήσαντες ἑαυτούς. Ὡς ἀσαφὲς δὲ τοῦτο φαίνεται. Λέγει δὲ, ἐπειδὰν πρῶτον ἡ πόλις νομοθέτας καθίσῃ, τότε πρῶτον εἰσαχθήτω ὁ νόμος. Ἔθος γὰρ ἦν τῇ πόλει, εἰ γένοιτο χρεία νομοθετεῖν, καθίζειν ἕξ, ὡς ἐν τῷ κατὰ Τιμοκράτους φησίν· ἀξιῶν οὖν εὐθὺς καὶ παραχρῆμα, εἰ κατ' ἀρχὰς τοῦ ἔτους γένοιντο νομοθέται, τοῦτον εἰσάγεσθαι πρῶτον τὸν νόμον ἐν τοῖς πρώτοις νομοθέταις. TCV.

Ἔστι δ' ἑκάστῳ τις αὐτῶν, ὡς ἔοικεν, ἐχθρὸς] Ἐπειδὴ ἐδόκουν ὑπὲρ τοῦ κοινοῦ τεθεικέναι τὸν νόμον, ἵνα ἀνέλῃ τὴν ὑπόνοιαν ταύτην, δι' ἑαυτούς φησι πεποιηκέναι τοῦτο, ἵνα ἀποστεροῦντες τοὺς ἔχοντας ἀτέλειαν τοὺς ἐχθροὺς ἀμύνωνται. Ἦσαν γὰρ ἀτελεῖς ἐχθροί τε ἄλλων καὶ Λεπτίνου, ἔχοντες ταύτην τὴν δωρεάν. Καὶ διὰ τοῦ νόμου ἀμύνασθαι αὐτοὺς ζητοῦσι, φησί· καὶ ὃ αὐτὸς ηὑρήσατο κατὰ τῶν ἐχθρῶν, τοῦτο ὑμᾶς κατὰ τῶν εὐεργετῶν πείθει κατεργάσασθαι, τὸ μὴ διὰ κρίσεως, ἀλλὰ νόμῳ στερίσκειν. Ἡ γὰρ κρίσις ηὕρισκε τὴν ἀλήθειαν. Ἀντιπίπτον δὲ ἐκ τῆς ἐργασίας ἀνακύψαν τοῦτο τῇ προκειμένῃ ἐννοίᾳ ὑποτέμνεται· ἀλλ' οὐχ αἱροῦνταί τινες προσκρούειν καὶ κατηγορεῖν τῶν ἀναξίων. Ἔλυσε δ' εἰπὼν, ἀλλ' εἰσί τινες αὐτῶν ἐχθροὶ τῶν τὰ μέγιστα δυναμένων ἐν τῇ πολιτείᾳ, ἵνα κἂν ἀντιπέσῃ, ἀσθενεῖς δὲ καὶ οὐχ οἷοί τε ἐξελέγχειν, προσέθηκε καὶ τὴν ποιότητα τῶν ἐχθρῶν. TCV.

499, 5. Δι' ὑμῶν ἀθρόους] Διὰ τῶν εὖ πεπονθότων παρ' αὐτῶν. Ἀθρόους δὲ πολλοὺς, ἵνα ᾖ κἂκ τοῦ πλήθους τὸ ἄτοπον· ὅτι οὐδ' ὀλίγους ἀδικήσετε, ἀλλὰ πολλούς· καὶ καιρὸν δὲ, φησὶν, εὑρίσκουσιν ἀμύνασθαι τοὺς ἐχθροὺς ἑαυτῶν, ἀπάγοντες αὐτοὺς διὰ τοῦ νόμου εἰς κρίσιν. TCV.

499, 7. Κατ' ἄνδρα κριθέντας] μὴ ἀθρόους, ἀλλὰ κατ' ἄνδρα· καὶ κρίσει, μὴ νόμῳ. TCV.

Ἐγὼ μὲν γὰρ ὑπολαμβάνω] Ἐντεῦθεν τὰ ἐπιλογικὰ δηλοῦται. Τὰ γὰρ ἑκάστου κεφαλαίου ἰσχυρὰ συνάγει δι' αὐτῶν τούτων τῶν περὶ Λεπτίνην· λέγει δὲ ὅτι καὶ οὕτω συμβαίνει, εἴ γε ἀνάξιοι, δι' ὑμῶν τῶν ἐχθρῶν ἀποστεροῖντο τῆς τιμῆς. TCV.

499, 9. Καὶ μὴν οὐδ' ἐκείνου γε ἀποστατέον τοῦ λόγου] Ἐπαγωνίζεται πάλιν τῷ μεταληπτικῷ ἐκ περιουσίας, ὅτι οὐδὲ νῦν κρίνεσθαι δεῖ τοὺς ἔχοντας, ἀλλὰ πάλαι ἡνίκα ἐλάμβανον. Ἂν δέ τις οἴηται ταῦτα μὴ προσήκειν τοῖς ἐπιλόγοις, ἴστωσαν ὅτι καὶ ἐν τοῖς ἐπιλόγοις οἱ παλαιοὶ ἀγωνίζονται πρὸς αὐτὰς τὰς προτάσεις τὰς ἐν αὐτοῖς κειμένας. TCV.

499, 10. Ὅτι τῆς μὲν ἀξίας] Παραγραφικὸν ἐκ τοῦ χρόνου. Δισσῶς δὲ τοῦτο ποιεῖ· καὶ γὰρ καὶ κατὰ τὸ πρόσωπον αὐτὸ ποιεῖ· ὅτε μὲν γὰρ λέγει ὅτε ἐδώκαμεν, τὸν χρόνον ἐμφαίνει, ὅτε δὲ οὗτοι παρόντες, τὸ πρόσωπον. TCV.

499, 11. Τὴν ἐξέτασιν ἦν δίκαιον λαμβάνειν] ἀντὶ τοῦ, ἔδει δοκιμάζειν αὐτοὺς τότε. TCV.

499, 13. Εἰ δ' οὗτοι τοῦτο φήσουσιν] ὅτι ἀνάξιοι, οὐδὲν κωλύει τῷ λόγῳ αὐτοὺς ἐπαγγέλλεσθαι. TCV.

499, 15. Παρ' αὐτὰ τἀδικήματα] ἀντὶ τοῦ παραχρῆμα. Τότε χρῆν αὐτοὺς, φησὶν, ὅτε ἐλάμβανον φαινομένους ἀναξίους κολάζεσθαι. Ἡ παρ' αὐτὰ, ἂν δείξωσιν ὑμῖν οἷον προσφόρως τιμωρήσασθαι, καὶ ἐγγὺς τῶν ἀδικημάτων τῆς φύσεως ἢ τοῦ χρόνου. TCV.

499, 16. Εἰ δὲ μηδενὸς ὄντος τοιούτου] κατὰ τοὺς εὐεργέτας κακοῦ, μηδὲ ὀφθέντων ἀναξίων. TCV

499, 17. Δόξετε φθονήσαντες] Τὸ ἐπιχείρημα τοιοῦτόν ἐστιν, ὅτι οὐ πρὸς Ἀθηναίων ἐστὶ τὸ δοκεῖν βασκαίνειν· ἐν ᾧ καὶ τὸ πρέπον πάλιν κατὰ τὸ ἐναντίον ἐξετάζει, ὅτι ὑμεῖς τιμᾶτε τοὺς ἀξιονίκους τῶν ἀθλητῶν μεγίσταις τιμαῖς, ὑμᾶς δὲ τιμᾶτε τοὺς τεθνηκότας τοῖς ἐπιταφίοις, οὕτω πόρρω καθέστηκε τῶν Ἀθηναίων ἡ πόλις τοῦ φθόνου. TCV.

499, 18. Ἔστι δὲ πάντα μὲν ὡς ἔπος εἰπεῖν] Θέλει εἰπεῖν ὅτι καὶ κατὰ πάντα τὰ ὀνείδη καθαρὰ τυγχάνει ἡ πόλις καὶ πόρρω τούτων τῶν κακῶν, πολὺ δὲ πλέον τῶν ἄλλων τὸν φθόνον πέφευγε. TCV.

499, 21. Φύσει κακίας σημεῖόν ἐστι ὁ φθόνος] Ὃ λέγε τοιοῦτόν ἐστιν, ὅτι ἐν ἄλλοις ἐάν τις ᾖ πρός τινα κακόνους, ἔχει τινὰ ἀπολογίαν φάσκων πεπονθέναι τι παρ' ἐκείνου· ἐπὶ δὲ τοῦ φθόνου ἀσύγγνωστον τὸ πάθος· οὐ γὰρ ἐξ ὧν πάσχει λυπεῖται, ἀλλ' εἰ ἄλλος τις εὖ πράττει, λυπεῖται καὶ ζημιοῦσθαι νομίζει. Διὸ καὶ πεπονθότα αὐτὸν φησί· τήκει γὰρ τοὺς ἔχοντας. TCV.

499, 27. Πρῶτον μὲν μόνοι] Πρῶτον εἶπεν ἀντὶ τοῦ, ἀφ' οὗ ἐστὲ δι' ὅλου τοῦ χρόνου. TCV.

499. 29. Ἐν οἷς κοσμεῖτε] Ἐφ' οἷς λόγοις λέγει ὅτι τιμᾶτε τοὺς ἀνδρείους ἀποθνήσκοντας, οὐ καταφρονεῖτε· οὕτως οὐχ ἐστὲ φθονεροί. TCV.

500, 5. Τοὺς στεφανίτας] τοὺς περιοδικοὺς καλουμένους λέγει· οἱ μὲν γὰρ τῶν ἀγώνων εἰσὶ στεφανῖται, οἱ δὲ ἀργυρῖται. Δίδονται οὖν μέγισται δωρεαὶ καὶ μετὰ τὸν στέφανον. Ἐπειδὴ γὰρ εἴρηκε περὶ τῶν πολεμικῶν τοὺς ἐπιταφίους, εἴρηκε καὶ τοὺς ἐπὶ τῇ εἰρήνῃ ἀγωνιζομένους· ἐστεφανοῦντο γὰρ οἱ νικῶντες ἐν τούτοις. TCV.

Καὶ οὐχ ὅτι τῇ φύσει τούτων μέτεστιν] Οἱ ἀγαθοὶ ὀλίγοι ἀναγκαίως· κακοὶ γὰρ οἱ πολλοί. Διὰ τῶν ὀλίγων οὖν τοὺς γενναίους σημαίνει. Τούτοις οὖν οὐ φθονεῖτε, ἀλλὰ καὶ συνήδεσθε, δι' ὧν τιμᾶτε αὐτοὺς, εἰ καὶ ἀνόμοιοί εἰσι κατὰ φύσιν. TCV.

500, 8. Διὰ ταῦτα] διὰ τὸ εἶναι αὐτοὺς γενναίους καὶ ὀλίγους. TCV.

Οὐδεὶς πώποτε τὴν πόλιν ἡμῶν] Καὶ ἐν τῷ τιμᾶν μισεῖτε τὴν ἧτταν· τοιγάρτοι τῆς εὐεργεσίας μείζονα δωρεὰν δίδοτε. Ὁ γὰρ ἐξ ἴσου τιμῶν χρέος, οὐ χάριν, παρέχει. TCV.

500, 10. Ἀντευποιεῖ] τοὺς εὐεργετήσαντας αὐτὴν δηλαδή. P.

500, 11. Ἔστι τοίνυν ταῦτα πάντα, ὦ ἄνδρες Ἀθηναῖοι, δικαιοσύνης] πρὸς τὸ ἀντιδιδόναι τοῖς εὖ ποιοῦσι· δίκαιον γάρ. Ἀρετῆς δὲ τῆς μεταδόσεως· μεγαλοψυχίας ἀντὶ τοῦ μεγαλοδωρεᾶς. Εὐδοξίας ἀντὶ τοῦ ἔχειν δόξαν. Ἡ τοῦ τῆς πόλεως ἀξιώματος, οὐ τοῦ παρὰ τῆς τύχης, οἷον εὐδαιμονίας, ἀλλὰ τοῦ τῆς ψυχῆς λέγει ἤθους· μεγαλόψυχοι γὰρ ἦσαν. TCV.

500, 21. Πολλὰ δὲ θαυμάζων Λεπτίνου] ἀπὸ τῆς ποιότητος τῆς πόλεως μετέβη ἐπὶ τὴν ποιότητα Λεπτίνου, διαβολὴν ποιούμενος τοῦ τρόπου αὐτοῦ. TCV.

500, 24. Ὥσπερ ἂν εἴ τις μεγάλας] Ἀντιστροφή· ὡς τὸ (p. 12, 10) « ἂν μὲν ὅσα ἄν τις λάβῃ καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δ' ἀναλώσας λάθῃ,

« συνανάλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν. » « ΒΥ. Δι' ὧν τις κολάζει σφόδρα τὸν μοιχὸν, δεικνυσιν ὡς μισεῖ τὸ πρᾶγμα· οὐ γὰρ ὃ φιλεῖ τις, τοῦτο τιμωρεῖται. Οὕτω καὶ ἀπὸ τοῦ ἐναντίου Λεπτίνης, στερίσκων τοὺς εὐεργέτας τῶν τιμῶν, δῆλός ἐστιν ὡς οὐ δύναταί τινας εὖ ποιεῖν. Ἰδοὺ γὰρ καὶ νόμον τοιοῦτον τίθησι. Τοῦτο οὖν, φησὶν, ἠγνόησεν ὁ νομοθέτης, καὶ ὃς ὤφειλεν ἁπάντων εἶναι σοφώτερος, ὃ πάντες ἴσασιν ἀγνοεῖ. Λέγω δὲ ὅτι δι' ὧν νομοθετεῖ ἐλέγχει τὴν γνώμην αὐτοῦ διὰ τοῦ νόμου. Τοιγαροῦν βλάπτει τοὺς εὐεργέτας καὶ γυμνοῖ τὴν γνώμην διὰ τοῦ τιθέναι τοιοῦτον νόμον. TCV.

501, 1. Αὐτὸς ἥμαρτεν] Ὑμεῖς δὲ ἔγνωτε. Οὐκοῦν καὶ ἐπανορθώσασθε αὐτὸν, καὶ γνῶτε λυομένου τοῦ νόμου τὸ σφάλμα. Ἐὰν δὲ κυρωθῇ, οὐκ ἔχω ὅπως ἐπαινέσω· τῷ γὰρ κακῷ συναγωνίζεσθε. TCV.

501, 4. Ψέγειν δ' οὐ βούλομαι] καίτοι ἄξιον ὄντα. Διὰ δὲ τοῦ ἤθους πλέον αὐτὸν κολάζει. TCV.

501, 6. Μήτ' αὐτὸς δόξῃς βελτίων εἶναι] οἷον, εἰ ὠφελεῖσθαι γοῦν ἕτερος ἔμελλε, φορητὸν ἦν τὸν ἄλλον ἁμαρτάνειν διὰ τὸν ἕτερον· ὅτε δὲ ἀμφότεροι βλάπτονται, φευκτὸν πάντη τὸ πρᾶγμα καθίσταται. TCV.

501, 9. Αὐτὸν ἔτ' ὄντα] τὸν Λεπτίνην. Μεταβαίνει εἰς τρίτον πρόσωπον ἀπὸ δευτέρου. P.

501, 10. Ἐξῆλθον οἱ τῆς κρίσεως χρόνοι] καθ' οὓς ἐκινδύνευε κατηγορούμενος. Κατ' αὐτοῦ δὲ τοῦ νόμου, οὐ κατὰ σοῦ, ὁ κίνδυνος. Καὶ πῶς ἂν δύναιτο κατηγορεῖν τοῦ μὴ κρινομένου; Ἐντεῦθεν κεκώλυται τῆς συνήθους παρρησίας ὁ ῥήτωρ. TCV.

501, 12. Τούτῳ δ'] τῷ Λεπτίνῃ. P.

Καίτοι καὶ τοῦτ' ἀκούω σε λέγειν] Τὴν περιουσίαν τῶν δικαιωμάτων Λεπτίνου εἰς ἀλαζονείαν διέβαλε· μᾶλλον δὲ περιέτρεψε πικρῶς εἰς ὑπόνοιαν, καθαψάμενος, ὡς ἂν διαλυσαμένου καὶ ἑκόντος ὑποβαλόντος τοὺς ἐπαγγειλαμένους τὴν κατηγορίαν. TCV.

501, 15. Ὅτι σε οὐ κατέστησαν εἰς κίνδυνον] Πάντως γὰρ εἰ ἐπεξῆλθον τότε οἱ κατηγορήσαντες, ἑάλως ἂν καὶ ἐκινδύνευες. TCV.

501, 19. Εἴ τις ἢ τετελεύτηκε] Τὸν Βάθιππον λέγει. TCV.

501, 20. Ἢ πεισθεὶς ὑπὸ σοῦ] ἀργυρίῳ δηλονότι, καὶ διὰ τοῦτο ἀπέστη, οὐ διὰ τὸ μὴ δύνασθαι δεῖξαι κακῶς ἔχοντα τὸν νόμον. TCV.

Ἢ καὶ ὅλως ὑπὸ σοῦ παρεσκευάσθη] ὑπὸ σοῦ ἐπείσθη κατηγορῆσαι καὶ ἀποστῆναι, ἵνα δὴ ἔχῃς λέγειν ὅτι κατηγόρησάν τινες ἤδη, οὐδεὶς δὲ ἐνίκησεν, οὕτως ἄρα καλὸς ὁ νόμος. TCV.

501, 21. Ἀλλὰ ταῦτα μὲν οὐδὲ λέγειν καλὸν] Ἐπειδὴ καθήψατο αὐτοῦ, κέχρηται τῇ θεραπείᾳ. TCV.

501, 22 Ἥρηνται δὲ τῷ νόμῳ σύνδικοι] Ἕπεται τῇ ποιότητι τοῦ προσώπου καὶ ἑτέρων προσώπων ποιότης. Βούλεται γὰρ περιγράψασθαι τοὺς συνηγόρους τοῦ νόμου. Ἔξεστι δὲ τοῦτο ποιεῖν, ὡς ἔοικε, καὶ ἐκβάλλειν τοὺς αἱρεθέντας ὑπὸ τοῦ δήμου, εἰ παρὰ τὸν νόμον λέγειν δοκοῖεν. Πληρώσας δὲ τὸν περὶ ποιότητος τῶν προσώπων λόγον μεταβαίνει ἐπ' ἄλλο μέρος τῶν ἐπιλόγων, ὅπερ ἐστὶν ἀπὸ τοῦ νομίμου. Οἱ γὰρ ἐπίλογοι ἐκ τῶν τελικῶν κεφαλαίων λαμβάνονται. Ἐνταῦθα τοίνυν προτερεῖ μὲν ὁ τοῦ δικαίου λόγος—ὅσα γὰρ περὶ τῆς ἀξίας τοῦ προσώπου διείλεκται, ταῦτα ἂν εἴη τὸ δίκαιον—, ἕπεται δὲ τὸ ἐκ τοῦ νομίμου. TCV.

501, 23. Καὶ μάλιστα οἱ δεινοὶ λέγειν] Ἐκβολὴ τῶν συνηγόρων τοῦ Λεπτίνου· ἑκάστῳ δὲ οἰκείως ἀπαντᾷ. TCV.

502, 1. Οἱ νόμοι δ' οὐκ ἐῶσι πρὸς τὸν αὐτὸν] Παραγραφὴ τελεία τῆς εὐθυδικίας. Οὐ περὶ τῶν αὐτῶν οὖν οὗτοι ἐδικάζοντο, ἵνα ἔχῃ πιθανῶς ἐκβάλλειν διὰ τοῦ νόμου τὴν εὐθυδικίαν. Ὁ δὲ νόμος οὐ περὶ τῶν αὐτῶν. Ἐπειδήπερ εἷς τῶν ἀποστερουμένων τὴν δωρεὰν ὁ Χαβρίας, ἤδη δὲ ἐδικάσατο πρὸς αὐτὸν ὁ Λεωδάμας καὶ ἡττήθη, διὰ τοῦτο τῷ Χαβρίᾳ καὶ τοὺς ἄλλους συλλαμβάνει, καὶ ἐκβάλλει τὸν συνήγορον τοῦ νόμου, λέγων, δὶς περὶ τῶν αὐτῶν οὐ δεῖ δικάζεσθαι. TCV.

502, 3. Οὔτε διαδικασίαν] Διαδικασία ἡ ἐπίκρισις τοῦ ἐπιτηδείου πρὸς λειτουργίαν, ἣν ποιοῦνταί τινες τοῖς μέλλουσι χορηγεῖν, οὓς ἂν ὁρισθῆναι βούλωνται, πότε δεῖ λειτουργεῖν αὐτούς. BP. Φιλονεικίαν ἁπλῶς καὶ ἀμφισβήτησιν τῶν δύο προσώπων. TCV.

502, 5. Εἰ τότε μὲν τὰ Χαβρίου παρ' ὑμῖν ἔργα] Οἷον, εἰ Χαβρίας μόνος δικαζόμενος ἐνίκησε τὸν Λεωδάμαντα, νῦν προστεθέντες καὶ οἱ ἄλλοι εὐεργέται, ἡττηθήσονται τοῦτο δ' ἄτοπον. TCV.

502, 11. Οὗτος εὕρετο τὴν δωρεὰν] Καὶ μὴν οὐκ εἴληφε τὴν δωρεὰν Ἀριστοφῶν, ἀλλὰ τῷ θέλειν τὸν δῆμον δοῦναι τὴν δωρεὰν, οὗτος λογίζεται καὶ λέγει, ἔλαβεν ὅσον εἰς τὴν προαίρεσιν τοῦ δήμου. Ἔδωκε μὲν γὰρ ὁ δῆμος, οὗτος δὲ οὐκ ἠθέλησε, φησὶ, λαβεῖν ὡς εὔνους. TCV.

502, 19. Τοῖς ἐν Πειραιεῖ] τοῖς δημοτικοῖς. Καὶ οὗτος δὲ, ὥσπερ Ἐπικέρδης, δεδώκει τὰ πέντε τάλαντα χρήζουσιν εἰς τὸν κατὰ τῶν τυράννων πόλεμον. CTV.

502, 26. Καὶ μὴν πρός γε Κηφισόδοτον] Ἑκάστῳ τὸ οἰκεῖον ἀποδίδωσι προσώπῳ· ἔτι δὲ ἔχεται τῆς ἐκβολῆς τῶν συνηγόρων. TCV.

503, 2. Εἰ γὰρ ἀπεχθάνεσθαι δεῖ τισιν] Οἷον, εἰ βεβούλησαί τινας λυπεῖν, ὅλως τοὺς ἀδικοῦντας ὠφέλεις, μὴ μέντοι τοὺς τὸ συμφέρον ποιοῦντας τῇ πόλει. Καλὸν γὰρ τῇ δεινότητι εἰς τὸ χρήσιμον χρῆσθαι καὶ μὴ λυμαίνεσθαι τοῖς πράγμασι. TCV.

503, 4. Πρὸς τοίνυν Δεινίαν οὗτος ἴσως ἐρεῖ] Τὸ « ἴσως « ἐρεῖ τριηραρχίας » δείκνυσιν ἢ ὅτι ὡς οὐκ ἔχων προσποιεῖται λέγειν ἢ ὅτι ζητεῖ λαβεῖν δωρεὰν διὰ τὸ συμφέρον τῆς πόλεως. Ὁ δέ φησι, κάλλιόν ἐστι τῆς εὐεργεσίας σε δωρεὰν αἰτεῖν ἢ στερίσκειν ταύτης τοὺς εὐεργέτας· ὕστερον μέντοι τιθεὶς τῇ τάξει ἀσθενέστερον πεποίηκεν. TCV.

503, 7. Ὡς ἔμοιγε δοκεῖ] Ὡμολόγητο γὰρ, καὶ διὰ τοῦτο οὐκ ἠναντιώθη, ἵνα μὴ δόξῃ τῇ ἀληθείᾳ μάχεσθαι. TCV.

503. 12. Ὃ δὲ δὴ μέγιστον ἁπάντων] Ὁμοῦ λειπόντων προσηκόντων ἡ παραγραφή. TCV.

503. 16. Οὐκ ἐπὶ τούτοις τεθεὶς] οἷον, ἀορίστως ἐτέθη καὶ οὐκ ἐπίτηδες ἐπὶ τούτοις· οὐ γὰρ ᾔδει ἐσομένους αὐτούς. TCV.

503, 17. Ὥσπερ ἐργασία τις ᾖ] Ἐργασία διὰ τὸ κέρδος. TCV.

Καὶ συκοφαντία] ἀφορμὴ τοῦ κακῶς ποιεῖν ἄλλους. TCV.

503, 18. Συνδικῆσαι] συμφωνῆσαι. Καὶ σύνδικοι οἱ ἐν ταῖς δίκαις βοηθοί. BFY. Οἱ συνήγοροι, ὅταν πλείονες παρῶσι τῷ πράγματι. B.

503, 20. Τοῖς ὑπάρχουσι νόμοις δεῖ πειθομένους] Εἰς τὸ ἄτοπον ἀπήγαγεν, ὅτι τοὺς συνεργοῦντας νόμῳ πείθεσθαι καλὸν τοῖς ὑπάρχουσι, καὶ μὴ παραβαίνειν αὐτούς. Οὗτος δ'

νόμος ἐκέλευε μὴ δεύτερον συνδικεῖν. Καὶ γὰρ ἅπαξ τοῦτο ποιήσας κωλύεται, ἵνα μὴ διὰ τὸ κέρδος ψεύδεσθαι ἐπιχειρῶσιν. Ὁ δὲ τὸ μὴ χρῆναι συνδικεῖν δεύτερον καθόλου ἔλαβε, καὶ οὕτως ἐκβάλλει. Εἰ δέ τις ζητήσειε πῶς τὸν νόμον ἐνταῦθα τέθεικε καὶ οὐκ ἐν τῇ ἐξετάσει τοῦ νομίμου, λέγομεν ὅτι οὐδὲ ἐνταῦθα ἐξήτασεν ὡς νόμιμον. Ὅπου γὰρ τὸ νόμιμον κεφάλαιον, ἐξήτασται νόμῳ· ἐνταῦθα δὲ πρὸς τὸ διαβάλλειν μόνον τοῦτον εἴληφεν. Ἔστι γὰρ ἐπιλογικὰ ὅλα. TCV.

503, 21. Γέλοιον] Γέλοιος ὁ καταγέλαστος· γελοῖος ὁ γελωτοποιός. BY.

503, 28. Ἔστι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντας μὲν τοὺς νόμους] Περὶ τοῦ μέρους τῶν ἐπιλόγων λέγει, ὅπερ ἐστὶν ἀπὸ τοῦ νομίμου. Καὶ πρῶτον μὲν ἀπὸ τοῦ ἐναντίου, ὅτι ἔθος ἡμῶν ἐχόντων τιμᾶν τοὺς εὐεργέτας, οὗτος καὶ κολάζειν προστάττει· ἐν ᾧ καὶ ἄλλο ἐστὶν ἐπιχείρημα, ὅτι εὐεργετεῖν μὲν ἔξεστι κατὰ τοὺς νόμους, αἰτεῖν δὲ χάριν οὐκ ἔξεστι κατὰ τὸν Λεπτίνου νόμον. Εἶτα τῷ ἀτόπῳ, ἀλλὰ μνησθέντες τῶν καιρῶν παρ' οὓς οἱ πεπονθότες εὖ. Εἶτα τῷ ἀπὸ τοῦ μείζονος, ὅτι νὴ Δία τουτὶ τοιοῦτον ἐλπίζει πόρον. Καὶ γίγνεται κατὰ τὴν πηλικότητα· ἴδιον γὰρ ταύτης καὶ μειοῦν καὶ αὔξειν. Ἀλλ' οὐκ ἔστι πόλεμος οὐδ' ὁ καιρὸς φοβερός. Διόπερ οὐδὲ μεγίστων εὐεργετημάτων ἡ πόλις δεῖται. Ἐν ᾧ τὸ κατὰ τὴν ἧτταν Λακεδαιμονίων τὴν ἐν Λεύκτροις καὶ τὸ κατὰ Διονύσιον παράδειγμα, ὅτι δεῖ ἀνθρώπους ὄντας προσδοκᾶν καὶ τὰ τοιαῦτα. Μετὰ δὲ τὴν συμπλήρωσιν τούτων τῶν τόπων ἀντεξέτασιν πεποίηται καὶ ἀντιπαράθεσιν τῶν συμβησομένων ἐξ ἑκατέρου νόμου· ἧς παραθέσεως ἡ ἀρχὴ « σκέψασθε « παράλληλα καὶ λογίσασθε παρ' ὑμῖν αὐτοῖς. » TCV.

504, 16. Ἐν ἑκάστῳ τίμημα ὑπάρχει] Ἀντὶ τοῦ καταδίκη τοῖς κακουργοῦσι, μηδὲν πλέον. Οἱ δὲ τὰς δωρεὰς αἰτοῦντες πλέον τῶν κακούργων κολάζονται. Κἀκεῖ μὲν, ἐάν τις δικαίως ἀποκτείνῃ, ἐξέστω· ἐνταῦθα δὲ, κἂν δικαίως τις αἰτήσῃ, κολαζέσθω. TCV.

504, 22. Ἄτιμος ἔστω, φησὶ, καὶ ἡ οὐσία δημοσία ἔστω] Ὁ καί σύνδεσμος ἀντὶ τοῦ ἤ διαζευκτικοῦ κεῖται, ἵνα ᾖ· ἄτιμος ἢ ἡ οὐσία δημοσία. TCV.

504, 23. Εἶναι δὲ καὶ ἐνδείξεις καὶ ἀπαγωγὰς] Ἔνδειξις, ἀπολογία, καὶ εἶδος κατηγορίας· ἀπαγωγὴ δὴ ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα παράδοσις. Οἱ δὲ ἕνδεκα ἄρχοντες Ἀθήνησιν, οἷς παρεδίδοντο οἱ εἰς θάνατον καταδικασθέντες. BFY. Ἔνδειξις ὄνομα δίκης κατὰ τῶν ἀτίμων καὶ ἀδικούντων· ἀπαγωγὴ δὲ κατὰ τῶν κλεπτῶν. TCV.

504, 27. Οὐκοῦν τρία τιμήματα ταῦτα] Σοφίζεται, τὸ ἓν τρία ποιῶν. TCV.

505, 14. Χέρνιβος] οὐ τοῦ ὕδατος, ἀλλὰ τοῦ ἀγγείου. TCV.

505, 19. Εἶτα ἀποκτεῖναι μὲν δικαίως] Ἐπιχείρημα ἀπὸ τοῦ ἐναντίου κατ' ἄμφω· καὶ ὅτι ἔθους ὄντος τοὺς εὐεργέτας τιμᾶν, οὗτος καὶ κολάζειν προστάττει, καὶ ὅτι ἀναιρεῖν ἔξεστι κατὰ τοὺς νόμους Λεπτίνου. TCV.

505, 21. Οὔτε δικαίως οὐθ' ὁπωσοῦν] Τὸ μὲν ἐπὶ τοῦ δικαίου δῆλον, τὸ δὲ οὐθ' ὁπωσοῦν ὡς ἐνίοτε θαρρῶν καὶ παρὰ τὸ δίκαιον διὰ τὸ συμφέρον αἰτοῦντος, ἀνάγκη δοῦναι διὰ τὸν κίνδυνον. TCV.

505, 22. Μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι] Δείξας τῇ παραθέσει τῶν δικαίων τὴν ἀτοπίαν τοῦ νόμου, θαρρῶν ἀπαγορεύει λοιπόν. Διὰ τοῦτο δὲ ἐγγὺς τοῦ μηδαμῶς τὸ ὄνομα κεῖται τῶν Ἀθηναίων, τῇ δόξῃ τῆς πόλεως ἐμφαίνων τοῦ πράγματος τὸ παράλογον. TCV.

Μὴ βούλεσθε δοκεῖν πλείω πεποιῆσθαι σπουδὴν] Ἵνα μὴ ἔχωσι καταφυγεῖν εἰς ἀνάγκην, τῇ βουλήσει τὴν ἐξουσίαν πεποίηται. Τῷ δὲ δοκεῖν παρὰ τοῖς ἄλλοις πονηρὰν καθ' αὐτῶν, φησὶ, κατασπείρετε δόξαν, πονηρὰ βουληθέντες. TCV.

505, 26. Ἀλλ' ἀναμνησθέντες τῶν καιρῶν] Ἄλλο ἐπιχείρημα ἀπὸ τοῦ ἴσου· εἶτα τὸ ἀπὸ τοῦ μείζονος προσέθηκε, κατὰ λόγον τῇ τάξει χρώμενος. Ὁμοιοῖ γὰρ τοὺς εὐεργέτας, περὶ ὧν ὁ λόγος, Ἁρμοδίῳ καὶ Ἀριστογείτονι, συλλογιζόμενος οὕτως· ὁ εὖ ποιῶν τὸ κοινὸν ἐν κινδύνοις σώζει τὴν πόλιν καὶ τὴν δημοκρατίαν, ὡς οἱ τοὺς τυράννους διαφθείραντες. Οὐδὲν οὖν ἀπεικὸς ἐξισοῦσθαι αὐτοῖς καὶ κατὰ τὰς τιμάς. Ταῦτα δὲ γέγραπται ὑπὸ Διαφάντου ἐν στήλῃ, εἴρηται δὲ ὑπὸ τοῦ πρώτου ῥήτορος Φορμίωνος. TCV.

506, 3. Οὐ γὰρ ἔνεστιν εὐορκεῖν] Ἀποφαίνεται, ἵνα μὴ μερισθῶσι τὴν γνώμην οἱ δικασταὶ, ὡς ἄρα ἐστὶν εὐορκεῖν, κἂν ἕτερόν τι δράσωσιν. TCV.

506, 4. Οὐκ ἔνι τοῦτον ἔχειν καλῶς] βουλόμενος αὐτοὺς τῷ ἀδήλῳ τοῦ μέλλοντος εἰς ἀγωνίαν καὶ ταραχὴν ἐμβαλεῖν συνάγει τοὺς δύο χρόνους κατὰ τὸν νόμον, ἀρχὴν αὐτῷ τοῦ πράγματος ἐντεῦθεν ποιούμενος. Ἔστι δὲ ἀπὸ τοῦ νομίμου κεφαλαίου τὸ ἐννόημα. Συντρέχει δὲ τῷ παρελθόντι δῆθεν, ἵνα μὴ δοκῶν ἄγαν φιλονεικεῖν ἔχῃ πειθομένους περὶ τοῦ μέλλοντος, λέγων, μηδ' ἂν τοιοῦτοί τινες γένωνται. Δι' ὧν γὰρ συνέδραμε τῇ ἀρετῇ αὐτῶν τὰ πρεσβεῖα δεδωκὼς, διὰ τούτων ἀπαιτεῖ τοῖς τὰ ἴσα ἐπιδεικνυμένοις τὸ δίκαιον. TCV.

506, 10. Ὅτι, νὴ Δία, πόρρω τοῦ τι] Ἀλλ' ἐρεῖ ὡς οὐκ ἔστι πόλεμος, οὐδὲ καιρὸς παρενοχλεῖ χαλεπὸς, οὐδὲ κίνδυνος· ὅθεν οὐ δεῖται τοιούτων εὐεργετῶν ἡ πόλις. Βαρὺς ὁ λόγος· οὐ γὰρ εἶπε πόρρω τοῦ τι παθεῖν ἐσμὲν, ἀλλὰ τοῦ ἐλπίζειν, ἵνα ἔχῃ λῦσαι τοῖς παραδείγμασι. TCV.

506, 11. Καὶ εἰημέν γε, ὦ ἄνδρες Ἀθηναῖοι] Ηὔξατο μὲν διὰ τὸ μέγεθος, ὡς φιλόπολις, ἐμφαίνει δὲ ὅτι εὐχῆς, οὐ νόμου, δύναμις τὰ τῶν λογισμῶν ἐστί. TCV.

506, 12. Ἀλλὰ χρή γε ἀνθρώπους ὄντας] Μετὰ φιλοσοφίας τὰ ἐνθυμήματα καὶ ἀνθρωπίνων λογισμῶν, ὅταν αἰτοῦντες τὰ ἀγαθὰ καὶ περὶ τῶν ἐναντίων μὴ ἀπελπίζωμεν· νεμεσᾷ γὰρ ὁ δαίμων, ὅταν διατεθῶμεν ὡς οὐδέποτε φαῦλον [οὐδὲν] πεισόμενοι. TCV.

506, 14. Προσδοκᾶν] Σημείωσαι ὅτι ἀδιαφόρως τῷ προσδοκᾶν καὶ τῷ ἐλπίζειν χρῆται. BP.

506, 15. Πάντα ἀνθρώπινα] τὸ μηδὲν ἀπελπίζειν, ὅτι τὰ ἀνθρώπινα εὐμετάβολα. BYP.

506, 16. Οὐδὲ γὰρ ἂν Λακεδαιμόνιοί ποτε] Τοῦτο πρὸς τὸ ἄνω ἔχει τὴν ἀναφορὰν, ἐν ᾧ ἔφη « πόρρω τοῦ τι « τοιοῦτον ἐλπίζειν ἐσμὲν, » ἵνα ἀποκρίνηται « οὐδὲ γὰρ « ἂν Λακεδαιμόνιοί ποτε ἤλπιζον εἰς τοιαῦτα πράγματ' « ἀφίξεσθαι, » ἃ οὐχ ἥρμοττε διὰ τὴν εὔνοιαν τῆς πατρίδος εὐθὺς ἀποκρίνασθαι διὰ τὸ δύσφημον. Τοιγαροῦν παρεμβαλὼν ἠθικῶς τὰ πρῶτα τότε τὸ λυποῦν ἐπήγαγε λανθάνων· ἀναμιμνήσκει δὲ τῆς ἐν Λεύκτροις συμφορᾶς τῆς καθελούσης τὴν Σπάρτην καὶ τῶν κατὰ τοὺς Συρακοσίους· πανταχόθεν δὲ αὔξει καὶ τούτους, ἐπειδήπερ ἐπὶ Λακεδαιμονίων ὡς ὄντων γνωρίμων οὐκ ἐδέετο. Ἡ δὲ αὔξησις ἀπὸ πολλῶν· ἀπὸ τοῦ λαμβάνειν φόρους ἀπὸ Καρχηδονίων,

ἀπὸ τοῦ ἄρχειν τῶν περὶ αὐτοὺς, ἀπὸ τοῦ νικῆσαι συμμαχίᾳ τοὺς Ἀθηναίους. Πρόσκειται δὲ καὶ τὸ δημοκρατούμενοι, ἵνα τὸ ἀληθὲς τῆς μεταβολῆς καὶ τῆς τυραννίδος τὸ πταῖσμα ποιήσῃ σφοδρότερον. Εἶτα ἐξάρας τὴν τῶν Συρακοσίων ἰσχὺν τὸν κεκρατηκότα λίαν ἠλάττωσε, γραμματέα καὶ ὑπηρέτην προσειπὼν, ὀνόματα παρ' Ἀθηναίοις ἀπερριμμένα. Τοιγάρτοι καὶ ὥς φασι προσέθηκεν, ἵν' ὑπολάβοι τις τῶν διηγησαμένων ὑπάρξαι τὸ αἴτιον. Εἴρηται δὲ ὑπό τινων ὡς οἱ παρὰ τοῖς Συρακοσίοις γραμματεῖς σεμνοί τέ εἰσι καὶ ἔνδοξοι, καὶ οὐχ ὡς οἱ παρ' Ἀθηναίοις· ὅθεν τὸ ὑπηρέτης συνέζευξεν, ἵνα εἰς ἔννοιαν τοῦ παρ' αὐτοῖς γραμματέως ἀφίκωνται. TCV.

506, 22. Οὐδέ γε ὁ νῦν ὢν Διονύσιος ἤλπισεν] Περὶ οὗ παροιμία, Διονύσιος ἐν Κορίνθῳ. BY. Υἱός ἐστιν ὁ δεύτερος· ὁ γὰρ πατὴρ αὐτοῦ Ἑρμοκράτους υἱὸς ἦν· Δίωνος δὲ ἀδελφὴν εἶχεν ὁ πρῶτος Διονύσιος γυναῖκα· οὐ μὴν ἐξ αὐτῆς ἦν ὁ δεύτερος Διονύσιος γεγονὼς, ἀλλ' ἐξ ἑτέρας γυναικὸς Λοκρίδος. Ἐπεβούλευσεν οὖν τῷ Δίωνι ὡς συμπράττοντι τοῖς ἄλλοις, τοῖς ἀπὸ τῆς ἀδελφῆς αὐτοῦ παισί· καὶ δὴ ἔφυγεν ὁ Δίων, καὶ ὁ υἱὸς αὐτοῦ κακῶς ἔπασχεν ὑπὸ Διονυσίου. Ὑπὲρ τούτων ἀγανακτήσας ὁ Δίων ἀθρόως ἐπῆλθε λαθών. TCV.

506, 23. Πλοίῳ στρογγύλῳ] Φορτηγῷ δηλονότι. Μακρὰ γὰρ τὰ πολεμικὰ ὀνομάζουσιν. Ὅρα δὲ ὅσα πάλιν ἀντέθηκε, τριήρεις πολλὰς καὶ ξένους καὶ πόλεις κεκτημένον· ὥστε μηδὲ τοὺς Ἀθηναίους, εἰ καὶ πολλὰ πρὸς δύναμιν κέκτηνται, περὶ τὴν ἀσφάλειαν θαρρεῖν. TCV.

506, 25. Ἀλλ' οἶμαι τὸ μέλλον ἄδηλον] Μετὰ τὸν ἀπὸ τῶν παραδειγμάτων φόβον ἦλθεν ἐπὶ τὸ κοινὸν ἐνθύμημα λοιπὸν, ᾧ πάντες ἄνθρωποι δουλεύουσιν· ὅθεν καὶ παραινεῖ φιλοσόφως μετριάζειν καὶ μὴ λέγειν ὡς πόρρω τοῦ ἐλπίζειν ἐσμὲν τὰ κακά. TCV.

507, 4. Σκέψασθε παράλληλα] Ἀντεξέτασιν ποιεῖται καὶ ἀντιπαράθεσιν τῶν ἀποβησομένων ἐξ ἑκατέρου μέρους, ἐάν τε λυθῇ ὁ νόμος, ἐάν τε κύριος γένηται· δεδωκὼς δὲ τὴν σκέψιν καὶ τὴν αἵρεσιν, ὅμως πάλιν ἀφ' ἑαυτοῦ διορίζεται, καὶ πρὸς τὸ χρήσιμον διοικεῖται ἃ βούλεται. TCV.

507, 9. Οἱ μὲν ἄξιοι] Οὐκ ἐπήγαγε τιμηθήσονται, ἀλλὰ τὰ δίκαια ἕξουσιν. TCV.

507, 10. Εἰ δέ τίς ἐστιν ἀνάξιος] Ἐπειδὴ τοῦτο ἄνω καὶ κάτω προφέρει Λεπτίνης, οὐδ' αὐτὸ ἀφῆκεν ἀδιόρθωτον. Τὸ δὲ ὡς ἔστω τοιοῦτόν ἐστιν· ἐγὼ μὲν οὐκ οἶμαί τινα εἶναι ἀνάξιον, ἔστω δὲ διὰ τὸ φάσκειν τούτους, ἵνα μὴ πάντῃ λυπήσωμεν. TCV.

507, 12. Δίκην, ἣν ἂν ὑμῖν δοκῇ, δώσει] Ἔχει μετὰ τοῦ δικαίου καὶ θεραπείαν ὁ λόγος, τὸ ὑμῖν, μὴ τὸ Λεπτίνῃ, δοκοῦν κυροῦσθαι. Τοῦτο δὲ ὁ ἡμέτερος ὑμῖν χαρίζεται νόμος ὁ παρεισφερόμενος. TCV.

507, 13. Ἡ δὲ πόλις πιστὴ] Πιστὴ, διὰ τὸ μὴ μεταβάλλεσθαι, δικαία, διὰ τὴν ἀντίδοσιν, ἀψευδὴς, διὰ τὸ μὴ ἠπατηκέναι τοὺς εὖ ποιήσαντας. TCV.

507, 14. Ἐὰν δὲ ἀποψηφίσησθε, ὃ μὴ ποιήσαιτε] Ἀπεύχεται γενέσθαι τὸ φαῦλον, ὃ διαβάλλει καὶ βλάπτει τὴν πόλιν· εἶτα τὸ ἄτοπον ἐν ὑπερβολῇ, οὐχ ὅπως γε, ὡς ἄνω εἰρήκαμεν, οἱ ἀνάξιοι δίκας παρέξουσιν, ἀλλὰ καὶ τοῖς ἀγαθοῖς συμφορῶν γενήσονται πρόξενοι. Μετὰ ταῦτα μέγιστα ὀνείδη προσέσται τῇ πόλει καὶ φθόνου καὶ ἀπιστίας καὶ φαυλότητος. TCV.

507, 16. Ἑτέροις] ἤγουν τοῖς ἀξίοις. P.

507, 19. Οὐκοῦν ἄξιον, ὦ ἄνδρες Ἀθηναῖοι] Εἰς ὄψιν αὐτοῖς ἄγων ἀμφότερα λέγει, τίς οὖν εὖ φρονῶν τάδε μὲν ἀφίησιν, αἱρεῖται δὲ τὰ χείρω; TCV.

507, 29. Ὧν τοῖς βελτίοσι πειθόμενοι] Δόντες, φησὶ, τοῖς βελτίοσι τὰ νικητήρια καὶ μεθ' ὑμῶν γενόμενοι πάντα κομιεῖσθε τὰ συμφέροντα καὶ νῦν καὶ εἰς ὕστερον. TCV.

508, 6. Ὅπως μὴ βιασθῆτε ἁμαρτεῖν] Φιλονείκους αὐτοὺς πρὸς τὸ μὴ εἴκειν καθίστησιν· οὐ γὰρ ἀνέξονται βιασθῆναι. TCV.

Πολλὰ γὰρ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι] Θεραπεύει πρὸς τῷ τέλει τὸ δικαστήριον, μετάγων τὴν αἰτίαν τῶν ἁμαρτημάτων ἐπὶ τοὺς ῥήτορας· καὶ, ἵνα μὴ εὐάλωτοι δόξωσιν εἶναι, πολλὰς τὰς ἀνάγκας τῆς ἀπάτης εἰργάσατο, κραυγῆς καὶ βίας καὶ ἀναισχυντίας εἰπών. TCV.

508, 10. Ὃ μὴ πάθοιτε νῦν] Κρατήσατε οὖν τούτων νῦν· οὐ γὰρ ἄξιον Ἀθηναίους ὄντας ἐν τοῖς οὕτω φανεροῖς ἀπατᾶσθαι. TCV.

Ἀλλ' ἃ δίκαια ἐγνώκατε] Ὑφαρπάζει τὴν ψῆφον, ὡς ἤδη ἔχων αὐτὴν ἀπὸ τῆς διανοίας τῶν δικαστῶν· προσποιεῖται δὲ καὶ ὑπὲρ αὐτῶν φροντίζειν, προσπαρεμβαλὼν τὸ εὔορκον. TCV.

508, 13. Θαυμάζω δ' ἔγωγε εἰ τοῖς μὲν τὸ νόμισμα] Ἐπιχείρημα ἀπὸ τοῦ ἐλάττονος· εἰ γὰρ ἐπ' ἐκείνῳ τῷ νομίσματι θάνατος ἡ ζημία, πῶς οὐ μισητέον πλέον τοὺς κίβδηλον τῆς πόλεως τὸ ἦθος δεικνύντας; νόμισμα δὲ τὸ ἀργύριον, ὃ ἄν τις, φησὶ, παραχαράξῃ, κολάζεται. Καὶ τοῦτο μὲν οὐ ποιεῖ κοινὴν βλάβην, ὅμως δ' οἱ παραχαράσσοντες τιμωροῦνται. Νόμους δὲ τὸν παραχαράσσοντα οὐ τιμωρούμεθα; οὐκοῦν κολαζέσθω. Ἐπεχείρησε γὰρ διαφθεῖραι διὰ τοῦ νόμου τὴν πολιτείαν. TCV.

XXI. ΚΑΤΑ ΜΕΙΔΙΟΥ. *

Ὅρος κατὰ σύλληψιν. B.

Τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταὶ, καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας οὐδένα οὐθ' ὑμῶν οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἴομαι] Τὸ προοίμιον ἐξ ὑπολήψεως τοῦ κατηγόρου κατ' αὐτοῦ τοῦ τὸ ἔγκλημα ἔχοντος. Ἔνθα φησὶν Ἑρμογένης ὅτι περὶ αὐτῶν ὑπολήψεις ἢ χρησταὶ συνίστανται ἢ πονηραί. Κατηγοροῦντες μὲν οὖν τὰς φύσει προσούσας φαύλας βεβαιώσομεν, τὰς δὲ χρηστὰς διαλύσομεν. Ἐνταῦθα οὖν ὁ ῥήτωρ τὰς φαύλας βεβαιοῖ, τῶν δὲ χρηστῶν οὐ μέμνηται. Ὡς ὁμολογούμενον δὲ παρὰ πάντων θεὶς ἀφῆκε τὴν κατασκευὴν ἀναγκαίως. Οὐ γὰρ ἀμφίβολον. Παθητικὸν δὲ τὸ προοίμιον ἀλγοῦντος ἐπὶ τῇ τοῦ Μειδίου ὕβρει. Ζητήσειε δ' ἄν τις ὅπως δημοσίᾳ κρίνων αὐτὸν ὕβρεως ἐμνημόνευσε. Καὶ ῥητέον ὅτι βούλεται πᾶσαν ὕβριν δημοσίαν ἐπιδεῖξαι καὶ μάλιστα τὴν Μειδίου. Εἰ γὰρ καθ' ἕνα πάντας ὑβρίζει, ἐκ δὲ τῶν καθ' ἕνα ἡ πόλις, δῆλον ὅτι δημοσίᾳ ἀδικεῖ. Καταφορικῇ δὲ κέχρηται τῇ προτάσει διὰ τὴν ποιότητα τοῦ Μειδίου. Πλούσιος γὰρ καὶ μεγαλόφρων· οἱ δὲ τοιοῦτοι μείζους εἰσὶ τῶν πολλῶν καὶ ὡς τυραννικοὶ διαβέβληνται. Διὸ δὴ καὶ εἶπεν ὅτι πάντας ὑβρίζει, τὸ τῶν τυράννων ἴδιον αὐτοῦ κατηγορῶν. Εἰσφέροντες δέ τινες ἡμῖν κοινὸν ὄνομα λέγουσιν ὅτι τὴν ἀσέλγειαν ἐνταῦθα ἔλαβεν ἐπὶ τῆς αἰσχρουρ-

* **Scholia, quibus sigla non apponitur, in TCV leguntur.**

γίας. Φαμὲν δὲ καὶ ἡμεῖς ὅτι ἀσελγὴς λέγεται ὁ μὴ μετέχων μήτε δικαιοσύνης μήτε ἀρετῆς. Σέλγη γάρ ἐστι μία πόλις τῆς Παμφυλίας, ἐν ᾗ πάντες δίκαιοι ἦσαν καὶ ἀρετῆς ἀνάμεστοι. Ἀσελγὴς οὖν ὁ μὴ μετέχων τῆς Σέλγης.

514, 4. Ἐγὼ δ', ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος] Ἐντεῦθεν τὸ πρῶτον μέρος τοῦ δευτέρου μέρους τῆς προτάσεως. Ἐπειδὴ δὲ διαβάλλων εἰς δεινότητα αὐτὸν ὁ Μειδίας ἔλεγεν, οὐδὲν πέπονθε δεινὸν, ἀλλὰ τῇ τέχνῃ θαρρῶν ἐπαίρει τὰ πράγματα καὶ τὰ μικρὰ μεγάλα ποιεῖ, διὰ τοῦτο ἐπιείκειαν καὶ μετριότητα ὑποκρίνεται λέγων, ὃ καὶ ὑμῶν ἕκαστος ἂν ἐποίησεν ὑβρισθεὶς, τοῦτο κἀγὼ νῦν ἐποίησα, ὁ νομιζόμενος ῥήτωρ.

514, 5. Τοῦτο καὶ αὐτὸς ἐποίησα] Ἐκεῖνον μὲν τυραννικὸν, ἑαυτὸν δὲ ὡς ἕνα τῶν πολλῶν (ἄξιον) ἐπιδεικνύμενος.

514, 16. Καὶ προὐβαλόμην ἀδικεῖν τουτονὶ περὶ τὴν ἑορτήν] Ἀντὶ τοῦ εἰσήγαγον. Ἔδειξε δὲ ἐκ τούτου τίνος κρίνει τὸν Μειδίαν. Οὐ γὰρ εἶπεν ἀσεβεῖν, ἀλλ' ἀδικεῖν περὶ τὴν ἑορτήν. Τοῦτο δὲ δημόσιον. Προβολὴ γάρ ἐστιν ὄνομα δίκης κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων.

514, 7. Οὐ μόνον πληγάς] Ἐντεῦθέν ἐστιν ἡ κατασκευὴ τοῦ πρώτου μέρους τῆς προτάσεως. Διὰ μὲν γὰρ τοῦ λέγειν « τοῖς Διονυσίοις » συνάπτει τὸ δημόσιον. Καὶ τὸ « βίαια δὲ παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν » οὕτως ἔχει. Συνῆπται γὰρ πάλιν ἀμφότερα καὶ τὸ ἴδιον καὶ τὸ δημόσιον. Δόξειε δ' ἂν ὡς ἔλαττον προτιθέναι τὸ τῶν πληγῶν. Ἔχει δὲ οὐχ οὕτως, ἀλλὰ διὰ τῆς τοιαύτης συνθέσεως ἀντιπῖπτον ὑποτέμνεται καὶ προλύει τὸ συγγνωμονικὸν, ὅτι δι' ὀργὴν ἔπληξα. Εἰ γὰρ καὶ ἄλλα πολλὰ καὶ βίαια καὶ πρὸ τῆς ἑορτῆς πεποίηκε πρόδηλον ὅτι οὐ δι' ὀργὴν, ἀλλ' ἐκ προνοίας.

514, 9. Ἐπειδὴ δὲ καλῶς καὶ τὰ δίκαια ποιῶν] Ἐντεῦθεν τὸ δεύτερον τοῦ δευτέρου μέρους τῆς προτάσεως. Σχεδὸν δὲ ὥσπερ ἀσύστατον καὶ μονομερῆ τὸν λόγον ἀπεργάζεται. Εἰ γὰρ φθάνει προκατεγνωσμένος ὑπὸ παντὸς τοῦ δήμου, πρόδηλον ὅτι οὐδεμίαν ἔχει ἀπολογίαν. Δεῖ δὲ τὸν κατήγορον, κἂν μὴ οὕτως ἔχῃ τὰ πράγματα, πειρᾶσθαι μονομερῆ τὸν λόγον ποιεῖν, ἵνα οἱ δικασταὶ ὡς ἐφ' ὁμολογουμένοις καταψηφίσωνται.

514, 10. Ὁ δῆμος ἅπας] Κἀνταῦθα πάλιν ἀντίθεσιν προλέλυκεν. Φησὶ γὰρ ὁ Μειδίας (p. 577, 4) ὅτι χορευταὶ καὶ ξένοι καὶ τοιοῦτοί τινες κατεχειροτόνησαν. Ὁ δὲ προλαβών φησιν ὅτι ὁ δῆμος ἅπας, καὶ δείκνυσιν οὐ μόνον τὸν δῆμον, ἀλλὰ καὶ τοὺς δικαστὰς αὐτοῦ κατεγνωκότας. Εἰ γὰρ μέρος οἱ δικασταὶ τοῦ δήμου, πρόδηλον ὅτι κἀκεῖνοι συγκατέγνωσαν.

514, 11. Καὶ σφόδρα] Ἵνα δόξῃ κατεγνωκέναι ὁ δῆμος « καὶ σφόδρα » μετ' ἐπιτάσεως εἶπε, καὶ ὅτι οὐ δεινότητι τῇ ἐμῇ παραχθεὶς, « ἐφ' οἷς ἠδικημένῳ μοι. »

514, 12. Ὥστε πάντα ποιοῦντος τούτου] Σφόδρα βιαίως οὐ μόνον δικαστὰς καὶ δῆμον, ἀλλὰ καὶ αὐτὸν ἑαυτοῦ κατεγνωκότα πεποίηκεν. Εἰ γὰρ καὶ ἱκέτευεν, πρόδηλον ὅτι κατέγνωκεν ἑαυτοῦ. Τὸ γὰρ ἱκετεύειν τῶν ἑαλωκότων.

Καί τινων ἄλλων ὑπὲρ αὐτοῦ] Προδιαβάλλει τοὺς μάρτυρας τοῦ Μειδίου ὡς καὶ αὐτοὺς συγκατεγνωκότας. Προϊὼν γάρ φησιν, « Εὐκτήμων ὁ κονιορτὸς καὶ τοιαύτη τίς ἐστι « περὶ αὐτὸν μαρτύρων συνεστῶσα ἑταιρία. » Πῶς [οὖν] δύνανται τἀληθῆ μαρτυρεῖν οἱ μετ' αὐτοῦ συνικετεύοντες;

515, 1. Οὐκ ἐπείσθη] Ἐπαινεῖ τὸν δῆμον ὡς πάντων καταφρονήσαντα ἕνεκα τῶν δικαίων· ὑφορᾶται δὲ τοὺς δικαστὰς μὴ χρήμασι πεισθέντες καταχαρίσωνται τὸν ἀγῶνα τῷ Μειδίᾳ. Μὴ λέγων οὖν φανερῶς θεραπεύει τὸ λυποῦν. Εἰ δὲ ὁ δῆμος οὐ προσήκατο τὰς ὑποσχέσεις, οὐδ' εἰς τὸν πλοῦτον ἀπέβλεψεν, οὐδὲ ταῖς φανεραῖς ὑποσχέσεσιν ἡττήθη, πόσῳ μᾶλλον ὑμεῖς [οὐκ] ὀφείλετε κρύφα γεγενημέναις; τίνες δὲ ἦσαν αἱ πρὸς τὸν δῆμον ὑποσχέσεις; ἡμεῖς εἰσοίσομεν, χορηγήσομεν, τριηραρχήσομεν. Ὅτι δὲ ψευδεῖς αἱ ὑποσχέσεις, προϊών φησιν « ἐμὲ οἴεσθε ὑμῖν « εἰσοίσειν, ὑμᾶς δὲ νεμεῖσθαι. »

515, 2. Ἀλλὰ μιᾷ γνώμῃ] Οὐδεὶς διεσφάλη τοῦ πρέποντος, οὐδεὶς ἠγνόησε τὰ εἰκός· τότε πρῶτον ὁ πᾶς δῆμος μιᾶς ἐγένετο γνώμης, ἵν' ἕκαστος καταψηφίσηται τοῦ Μειδίου, φοβούμενος, ἢ αἰσχυνούμενος τἀναντία τοῖς ἄλλοις γνῶναι.

Πολλοί μοι προσιόντες, ὦ ἄνδρες δικασταὶ] Ἀπίθανον ἔδοξε τὸ νόημα ὅτι καὶ οἱ δικασταὶ παρωξύνοντο εἰς τὴν κατηγορίαν, εἰ μὴ προλαβὼν εὐθὺς ἐν ἀρχῇ πάντας ἦν δείξας ὑβρισμένους.

515, 7. Ὡς μὲν ἐμοὶ δοκεῖ] Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ δευτέρου μέρους τῆς προτάσεως. Τὸ ἀπίθανον δὲ τῆς προτάσεως ὅρκῳ διέλυσε, καὶ ἵνα μή τισιν ἐπίορκος δόξῃ, τὸ στοχαστικὸν προσέθηκεν.

515, 10. Ὃν ἐπὶ τῶν ἄλλων ἐτεθέαντο] Ἀντικρὺς διὰ τούτων αἰνίττεται τὸν τύραννον. Εἰ γὰρ ἐν δημοκρατίᾳ ζῶν οὐκ ἔστι καθεκτὸς, τί ἄλλο ἢ τύραννος ὁ τοιοῦτος; προσθεὶς δὲ τὸ ἰδιωτικὸν τῷ καθ' ἑαυτὸν ὅτι δεινὰ πέπονθεν, ἐπήγαγε τὸ δημόσιον, ὅτι καὶ ὑπὲρ τῶν ἄλλων ἠβούλεσθε δίκην λαβεῖν.

515, 11. Οὕτω δὲ τούτων ἐχόντων] Οὐ δεύτερον τοῦτο προοίμιον, ὥς τινες ᾠήθησαν, ἀλλὰ συμπέρασμα τῶν κειμένων ἐν τῷ πρώτῳ μέρει τοῦ προοιμίου. BFRSTCV. Τοίνυν ἐντεῦθέν ἐστι τὸ συμπέρασμα τοῦ προοιμίου, ἐν ᾧ ἔστι καὶ ἡ προσοχή. Ἔχει δὲ κατασκευῆς δύναμιν τὸ τελευταῖον μέρος τοῦ προοιμίου. Δύο γάρ εἰσιν ἐν τῷ λόγῳ προκατασκευαὶ, μία μὲν ὥστε μὴ ἰδιωτικὸν νομισθῆναι τὸν ἀγῶνα, ἣν διὰ τῆς ἀναγνώσεως τῶν νόμων κατεσκεύασεν, ἑτέρα δὲ ὥστε μὴ πεισθέντας τοὺς δικαστὰς προδοῦναι τὸν ἀγῶνα. Τούτων γὰρ ὁπότερον ἂν συμβῇ, οἴχεται τὰ τῆς κατηγορίας τῷ ῥήτορι, καὶ διὰ τοῦτο μακρότερον δοκεῖ γεγενῆσθαι τὸ προοίμιον, ὥστε τὴν ἐπιθυμίαν τὴν κατὰ τὰ χρήματα τῶν δικαστῶν ἐξελεῖν.

515, 12. Ὅσα μὲν οὖν] τουτέστιν ἐπείσθην ὑμῖν. Καὶ κατηγορῶν πάντα δείξω τετηρημένα, οὐ προὔδωκα τὴν κατηγορίαν δι' ὑμᾶς, οὐδὲ χρήμασιν ἐπείσθην. Μὴ τοίνυν μηδ' ὑμεῖς. Καὶ τὸ μὲν ἀκόλουθον τοῦτο ἦν. Ὁ δὲ ἀπεσιώπησεν ὑπὲρ τοῦ μὴ προδήλως ἐξελέγχειν τοὺς δικαστάς. Φιλονεικοτέρους γὰρ ἂν αὐτοὺς κατέστησεν.

515, 14. Ἐπειδή τις εἰσάγει] Μετὰ γὰρ τὸ ἀποκληρωθῆναι τὸ δικαστήριον ἐδίδοντο τοῖς θεσμοθέταις αἱ γραφαὶ, κἀκεῖνοι ἠρώτων λοιπὸν, βούλει κατηγορεῖν; ἢ μάρτυρας ἔχεις εἰς τὰς ἀποδείξεις ἑτοίμους; καὶ εἰ συνέφησεν, οὕτως ἤδη λοιπὸν εἰσήγετο. Τοῦτό ἐστι τὸ ἐπειδή τις εἰσάγει. Ἄρχοντες δὲ ἦσαν οἱ ἐν ἑκάστῳ δικαστηρίῳ τὰς κρίσεις εἰσάγοντες. Εἰσαγωγὴ γάρ ἐστιν Ἀθήνησιν ἀρχὴ τῶν τὰ ἐγκλήματα εἰσαγόντων.

515, 15. Πολλὰ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι] Πόρρωθεν ἀποτρέπει τοῦ λήμματος τοὺς δικαστάς. Εἰ γὰρ ἐγὼ πολλὰ λαμβάνων οὐκ ἐδεξάμην, πῶς ὑμεῖς ὀλίγα; πρόδηλον γὰρ ὅτι ἑνὶ μὲν διδοὺς καὶ αὐτῷ τῷ πεπονθότι πολλὰ ἠδύνατο

δοῦναι, τοῖς δὲ δικασταῖς πολλοῖς οὖσιν οὐκ ἠδύνατο πολλὰ ὑποσχέσθαι. Κἀμοὶ μὲν ἐξὸν ἦν λαβεῖν, ὑμῖν δὲ ὑπισχνεῖται μόνον, κἀγὼ μὲν ὁ πεπονθὼς δι' ὑμᾶς οὐκ ἔλαβον, ὑμεῖς δὲ οἱ μηδέν τι πεπονθότες κατ' ἐμοῦ λήψεσθε;

515, 15. Πολλὰς δὲ δεήσεις] Οὐ πρὸς τὰς δεήσεις, ἀλλὰ πρὸς τὰς ἀπειλὰς κυρίως τὸ ὑπομείνας. Σώζεται δὲ κατὰ φύσιν ἡ τάξις. Πρῶτον γάρ τις ἱκετεύει, εἶτα μὴ τυχὼν χρῆται ταῖς ἀπειλαῖς.

515, 18. Ἃ δ' ἐν ὑμῖν μετὰ ταῦτά ἐστιν ὑπόλοιπα] Τὸ λοιπὸν ἀπεσιώπησε, μὴ βουλόμενος φανερῶς ἐγκαλέσαι τοῖς δικασταῖς, καὶ διὰ τοῦτο τὰ ἑξῆς ἀκαταλλήλως ἀπήγγειλεν, ἵνα μηδεὶς ἀπαιτήσῃ τὸ ἀκόλουθον. Τὴν γὰρ τάξιν ἐνήλλαξε καί φησιν, ὅσῳ πλείοσιν ἠνώχληκεν. Ἔθος δὲ ἔχει ὁ ῥήτωρ ὀχλήσεις καλεῖν τὰς γινομένας τοῖς δικασταῖς ἀξιώσεις. Ἔστιν οὖν ἀπηρτημένος ὁ λόγος. Ἠκολούθησε γὰρ οὕτως ἂν ὁ νοῦς· ὅσῳ δὲ πλείοσιν οὗτος ἠνώχλησε, τοσούτῳ [μᾶλλον] προσδοκᾷ λήψεσθαι τὴν ψῆφον. Οἱ γὰρ ἀναισχυντοῦντες ἐν ταῖς παρακλήσεσιν οὐχ ἡδέως αὐτὰς ποιοῦνται τοῖς ὑπομένουσιν. Ἐπέτεινε δὲ καὶ ἐμήκυνε τὸ προοίμιον ὁ ῥήτωρ ἐπισυνάγων τὰ νοήματα, διὰ τὸ θυμικὸν περιγράφειν αὐτὰ οὐκ ἰσχύσας, ἵνα τῇ ῥύμῃ τοῦ πάθους ἀκολουθήσας ὁ λόγος ἀπορήσῃ ποίαν τελευτὴν ποιήσεται.

515, 19. Ὅσῳ πλείοσιν] Σχῆμα τὸ παρὰ τοῖς ῥήτορσιν ὑποστατικὸν λεγόμενον ἐστὶ τοῦτο. Καλεῖται δὲ οὕτως ἀπὸ τοῦ ὑφιστᾶν τὴν ποσότητα τὴν εἰς τόδε τὸ πρᾶγμα. S.

515. 21. Οὐ γὰρ ἂν καταγνοίην] Πληρώσας τὴν προκατασκευὴν ἐν τῷ προοιμίῳ διπλοῦν ἐπήγαγε συμπέρασμα, τὸ μὲν εἰς τὴν πρώτην πρότασιν, ὅτι πάντας ὑβρίζει Μειδίας καὶ οὐ χρὴ συγχωρῆσαι ὥστε καὶ τὸ λοιπὸν ἀδεῶς ὑβρίζειν, τὸ δὲ εἰς τὴν προκατασκευήν, ὅτι μὴ ἐναντία ποιήσητε χρήματα λαβόντες οἷς πρότερον ἠξιοῦτε. Καὶ ἐτελεύτησεν αὐτῷ τὸ συμπέρασμα εἰς τελικὸν κεφάλαιον, τὸ συμφέρον. Διὰ τοῦτο γάρ φαμεν συγγένειαν ἔχειν τὰ προοίμια πρὸς τοὺς ἐπιλόγους, διότι συμπληροῦνται κἀκεῖνοι τοῖς τελικοῖς κεφαλαίοις. BFRSYTCV.

515, 26. Εἰ μὲν οὖν, ὦ ἄνδρες] Τὸ μὲν πρῶτον προοίμιον τοῦ πραγματικοῦ πλεῖστον μετέχον ἔλαττον εἶχε τὸ παθητικόν· ἐν δὲ τούτῳ πλέον βούλεται κινῆσαι τὸ πάθος, ἵνα πανταχόθεν τὸν δικαστὴν χειρώσηται. Εἰς τελικὸν δὲ κεφάλαιον κατέληξε τὸ συμπέρασμα τῆς πρώτης προτάσεως. BFRSYTCV.

Ἐντεῦθεν τὸ [δεύτερον] προοίμιον. Ἔστι δὲ καὶ ἡ πρότασις αὐτοῦ διμερής, καὶ τίκτεται ἐντεῦθεν ἡμῖν ἀπορία, ὅτι πῶς ἐνταῦθα λέγει, εἰ ἦν παραπρεσβείας ὁ ἀγών, οὐκ ἂν ἐδεόμην, καὶ πῶς ἐν τῷ κατ' Αἰσχίνου (p. 341, 5), παραπρεσβείας ὑπάρχοντος τοῦ ἀγῶνος, δεῖται. Καί φαμεν ὅτι αὐτὸς ἐπιλύεται λέγων ὅτι δέομαι ὑμῶν μετ' εὐνοίας ἀκοῦσαι. Φοβηθεὶς δὲ μὴ σοφίζεσθαι δόξῃ, κατηγορῶν μέν, ἱκετεύων δὲ ὡς οἱ φεύγοντες, ἐθεράπευσε τὸ λυποῦν ἐκ τῆς τοῦ προοιμίου προτάσεως Εἰ μὲν ἐπ' ἄλλοις ἔκρινον, οὐκ ἂν ἐδεήθην, καὶ εἶπε δημοσίων ἀδικημάτων ὀνόματα, παρανόμων καὶ παραπρεσβείας, ἐξισάζων τὴν ὕβριν τοῖς δημοσίοις ἀδικήμασι. Βούλεται οὖν καὶ ὡς κατήγορος κατατρέχειν καὶ ἐλεεῖσθαι ὡς φεύγων, καὶ ἅμα δεῖξαι ὡς καὶ αὐτὸς ὁ ἀγὼν ὁμολογουμένως ἐστὶ δημόσιος.

515, 29. Νομίζων τῷ μὲν κατηγόρῳ] Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ πρώτου μέρους. Θέλων δὲ σώζειν τὸ ἀξίωμα δεικνύει ὡς οὐδέποτ' ἂν ἐδεήθην κατηγορῶν, εἰ μὴ νῦν ἐν τῷ τῶν φευγόντων σχήματι καθειστήκειν. Τὸ γὰρ τυπτηθέντα μὴ λαβεῖν δίκην ἔοικε τῷ ἡττᾶσθαι. Ζητήσειε δ' ἄν τις πῶς ἐν τῷ κατ' Αἰσχίνου, καίτοι κατηγορῶν φησι· « δεήσομαι πάντων ὑμῶν. » Ῥητέον οὖν ὅτι διαφοραὶ δεήσεών εἰσιν. Ἐκεῖ μὲν γὰρ καὶ δέησις σεμνὴ καὶ φρόνημα ἔχουσα, ἐνταῦθα δὲ ταπεινότητα ἔχει ἡ δέησις. Φησὶ γὰρ « δέομαι δὲ ὑμῶν καὶ ἱκετεύω, » καὶ ὥσπερ ἡττημένος τὸν ἀγῶνα οὕτω πυνθάνεται (ποιεῖται?)

516, 3. Καὶ διὰ τοῦτο τῆς φυλῆς] Ἀνθ' ἑαυτοῦ τὴν φυλὴν ὠνόμασεν, ἐπισείων αὐτῷ πολεμίους πολλοὺς καὶ ὁλόκληρον τὴν φυλήν. Καλῶς δὲ καὶ τὸ « ἀδίκως. » Οὐ γὰρ ἁπλῶς εἶπεν « ἀφῃρέθη ἡ φυλή, » ἀλλ' « ἀδίκως. » Ὁ πολέμιος ἔχει [παρὰ] τὸ δίκαιον.

516, 9. Εἰ γὰρ οἷόν τε] Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ δευτέρου μέρους. Συνῆψε, φησί, Μειδίας τῇ κακίᾳ τὰ ἄμικτα, κατήγορον ἀποφήνας τὸν φεύγοντα.

516, 10. Ἔστι τις συμφορά] Τῇ παραθέσει τῶν ἄλλων ἐστὶ συμφορά. Εἰ οἱ κρινόμενοι, φησίν, ἐν συμφοραῖς ὄντες ἱκετεύουσι, κἀγὼ ὁ ὑβρισμένος, εἰ μὴ λάβοιμι δίκας, ἐν συμφορᾷ ἔσομαι. Εἰκότως ἄρα δεήσομαι.

516, 11. Δέομαι οὖν ὑμῶν ἁπάντων] Διωκήσατο ἱκανῶς τὸ δεῖν ἱκετεύειν. Ἐντεῦθεν δὲ τὸ συμπέρασμα τοῦ δευτέρου προοιμίου, ὅπερ προοίμιον εἴληπται αὐτῷ ἐκ συστάσεως τοῦ οἰκείου προσώπου ἐν διορισμῷ. Διορίζει γὰρ (ὅτι) ἐν ποίοις ἐγκλήμασι δεῖ δεῖσθαι τὸν κατήγορον, καὶ ἐν ποίοις οὐ δεῖ.

516, 13. Ἔπειτ' ἐὰν ἐπιδείξω] Εἰς τελικὸν δὲ κεφάλαιον, τὸ συμφέρον, κατέληξε τὸ συμπέρασμα τῆς προκατασκευῆς. BRY.

516, 17. Ὕβρισμαι μὲν ἐγώ] Ἐκ τεττάρων ὅρων βιάζεται δημόσιον δεικνύναι τὸ γεγονός· πρώτου μέν, ὅτι πᾶσα ὕβρις καὶ ἐν ὁποίῳ δήποτε καιρῷ δημόσιόν ἐστι. Καὶ τοῦτο δείκνυσιν ἑνὶ μὲν διὰ τοῦ εἰπεῖν, « τὰς μὲν γραφὰς ἔδωκε παντὶ τῷ βουλομένῳ, τὸ δὲ τίμημα ἐποίησε δημόσιον ὅλον. » Δευτέρου δέ, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γιγνόμενα, κἂν εἰς ἰδιώτην ᾖ, δημόσιά ἐστι· τρίτου, τὰ εἰς χορηγὸν γιγνόμενα καὶ πολλῷ πλέον· τετάρτου, ὅτι οὐ δι' ἐμὲ μόνον, ἀλλὰ καὶ διὰ πάντας τοὺς ἄλλους ὅσους ὕβρισεν ἄξιός ἐστιν ὡς ὑβριστὴς καὶ τυραννικὸς δημοσίᾳ κολασθῆναι. Πρῶτον οὖν ἀποδείκνυσιν ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστι, καί φησιν·

516, 21. Εἴ τις οὖν ὑμῶν] Ἐντεῦθεν ἡ προκατασκευή, ἔνθα τίθησι τοὺς δύο νόμους, δεικνύων ὅτι δημόσιόν ἐστι τὸ ἀδίκημα. Ἕτεροι δέ φασιν ὅτι τοῦτο δοκεῖ μὲν συνηρτῆσθαι τῷ προοιμίῳ, τὸ δὲ ἀληθὲς ὥσπερ προοίμιόν ἐστι τῆς κατασκευῆς τῆς μελλούσης. Ἐντεῦθεν γὰρ προβιβάζει περὶ τοῦ χρῆναι τὰ ἐν τῇ ἑορτῇ πάντα δημόσια νομίζειν, καὶ οὐ τῶν ἰδίων τινὸς ἕνεκα γίνεσθαι, τουτέστιν ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν.

Εἴ τις ὑμῶν ἄρα] Τρίτον προοίμιον. BR.

516, 23. Ἐνθυμηθεὶς νῦν] Καὶ τοῦτο τοῦ πρώτου ὅρου καὶ ὥσπερ κοινοῦ τοῦ πράγματος. Πάντα γὰρ ταῦτα τοῦ δημοσίαν εἶναι πᾶσαν ὕβριν κατασκευαστικά ἐστιν.

516, 28. Ἀναγνώσεται] Ἐντεῦθεν καθαρῶς εἰς αὐτὴν τὴν προκατασκευὴν εἰσβέβληκεν, ἥτις ἐστὶν ὁ δεύτερος ὅρος, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γινόμενα δημόσιά ἐστιν. Καὶ ἀναγινώσκει τοὺς νόμους, δι' ὧν τοῦτο κατασκευάζεται. BFRSTCV.

Τὸν νόμον] Ὁ νόμος κατασκευάζει τὸν ὅρον τοῦ πάντα τὰ ἐν τῇ ἑορτῇ γινόμενα δημόσια δοκεῖν εἶναι. BFTC.

517, 1. Νόμος· τοὺς πρυτάνεις ποιεῖν] Ἐφοβήθη μὴ

λέγων ἃ πέπονθεν ὑπόνοιάν τινα ἐμβάλλῃ τοῖς ἀκούουσιν, ὅθεν ἀνέγνω πρὸ τῆς διηγήσεως τοὺς νόμους, ὅπερ ἔφαμεν, κατορθῶν. Ἐδεδοίκει γὰρ μὴ ἰδιωτικὸς ὁ ἀγὼν γένηται ἐκ τῆς καταστάσεως, ἰδιωτικὰ πράγματα ἐχούσης, καὶ διὰ τοῦτο πρὶν εἰπεῖν ἃ πέπονθε, προὔλαβε τὸν δικαστὴν τῇ ἀναγνώσει τῶν νόμων, ἵνα κἂν ὕβρεις λέγῃ κἂν πληγὰς καὶ τὰ τοιαῦτα, ὡς δημοσίων ἀκούωσιν, ἀποδειχθέντος τοῦ πάντα τὰ ἐν ἑορτῇ γιγνόμενα δημόσια εἶναι. Ἔστι δὲ ὁ πρῶτος νόμος τοιοῦτος, ὅτι μετὰ τὴν ἑορτὴν ἐγίγνετο ἐκκλησία ἐν Διονύσου, καὶ ἐξητάζετο ὁ ἄρχων περὶ ὧν διῴκηκε καὶ περὶ ὧν ἠδίκησέ τις καὶ παρενόμησεν.

517, 7. Ὁ μὲν νόμος οὗτός ἐστιν] Ἐκ τούτου τοῦ νόμου συλλογίσασθαι βούλεται περὶ τῶν κατὰ τὴν ἑορτήν. BRSYTCV. Πόθεν οὖν; ὅτι ἡ προβολὴ δημόσιον ἐκ τῶν ἑξῆς δείκνυσιν.

517, 9. Ἐν Διονύσου μετὰ τὰ Πάνδια] Ἐν Διονύσου μὲν ἐν τῷ θεάτρῳ. Συνῆπτο γὰρ τῷ θεάτρῳ τὸ τέμενος. Πάνδια δὲ οἱ μὲν Διὸς ἑορτὴν ἐνόμισαν, οἱ δὲ Πάνδιαν τὴν Σελήνην νομίζουσιν, ἴσως ἀπὸ τοῦ πάντοτε ἰέναι. Τὸν μὲν γὰρ Ἥλιον ἐν ἡμέρᾳ μόνῃ θεωρεῖν ἔξεστι, τὴν δὲ Σελήνην καὶ ἡμέρας καὶ νύκτωρ. Ἦγον οὖν καὶ τῆς Σελήνης ἑορτὴν μετὰ τὰ Διονύσια, ἐπειδὴ Διονύσου ἀδελφὴ ἡ Σελήνη, εἴπερ τὸν Διόνυσον καὶ Ἀπόλλωνα καὶ Ἥλιον καλοῦσιν, ἔνιοι δὲ παῖδα Σελήνης τὸν Διόνυσον.

Μετὰ τὰ Πάνδια] Πάνδια καὶ Πάντια ἡ Σελήνη, ὅτι πάντοτέ ἐστι καὶ λάμπει, ἔν τε νυκτὶ καὶ ἡμέρᾳ. Διόνυσον δὲ λέγει τὸν Ἥλιον ἤτοι τὸν Ἀπόλλωνα BY. Ὅτι Πάνδια ἡ Σηλήνη διὰ τὸ πάντοτε διεῖναι. Ὁ μὲν γὰρ Ἥλιος ἐν ἡμέρᾳ μόνῃ θεωρεῖται, ἡ δὲ Σελήνη καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί. BF. Πάνδειαν τὴν Σελήνην τινές. Καὶ ἴσως ἀπὸ τοῦ πάντοτε διεῖναι. Τὸν μὲν γὰρ Ἥλιον ἐν ἡμέρᾳ μόνον θεωρεῖν ἔξεστι, τὴν δὲ Σελήνην καὶ ἐν ἡμέρᾳ καὶ νύκτωρ. RSY.

517, 10. Ἐν δὲ ταύτῃ ἐπειδὰν χρηματίσωσιν οἱ πρόεδροι] Πρόεδροι ἐκαλοῦντο οἱ πεμπόμενοι ἐν τῇ βουλῇ παρὰ τῆς πρυτανευούσης φυλῆς. Οὗτοι δὲ πάλιν ἐπέμποντο παρὰ τῆς βουλῆς εἰς τὸν δῆμον, καὶ προκαθεζόμενοι ἐν τῷ θεάτρῳ, (διὸ καὶ πρόεδροι ἐκλήθησαν,) ἠρώτων τὸν δῆμον εἰ δοκεῖ αὐτοῖς ἐπισκέψασθαι περὶ τῶν κατὰ τὴν ἑορτήν, οἱ δὲ ἦρον τὰς χεῖρας. BFYTCV.

517, 11. Περὶ ὧν διῴκηκεν ὁ ἄρχων] Ἐδίδου γὰρ λόγον, εἰ τὸ ἄγαλμα ἀλώβητον ἔσωσεν, εἰ τῶν ἄλλων μηδέν τι ἐνέλιπε χρηματίζων.

517, 12. Καὶ περὶ ὧν ἄν τις] Προθεὶς ἄρχοντας καὶ προέδρους συνῆψε καὶ τὰς ὕβρεις τὰς ἐν τῇ ἑορτῇ. Δῆλον γὰρ ὅτι ἐν τῷ ἑνὶ νόμῳ οὐ τὸ μὲν δημόσιον, τὸ δὲ ἰδιωτικόν, ὥστε ἐκ τούτου συλλογίζεται τὸ καὶ τὰς ὕβρεις δημοσίας εἶναι, εἴπερ καὶ περὶ τὸν ἄρχοντα δημοσίας.

517, 13. Καλῶς, ὦ ἄνδρες Ἀθηναῖοι] Συναγωνίζεται τῷ νόμῳ, διὰ τῶν ἐπαίνων συστῆσαι βουλόμενος. Καὶ περὶ τῶν τοὺς ὑπερημέρους εἰσπραττόντων, ὥσπερ κἀπὶ τῶν ἰδιωτῶν, εἰ γένοιντό τινες ὑπερήμεροι, δίδωσι τὴν ἀσφάλειαν ὁ νόμος.

517, 18. Βούλομαι τοίνυν] Δεύτερον ἀναγινώσκει νόμον, ἀντιπίπτον ὑποτεμνόμενος. Ἐπειδὴ γὰρ ἀπέδειξεν ὅτι πάντα τὰ περὶ τὴν ἑορτὴν δημόσιά ἐστιν, ἀντέπιπτεν αὐτῷ, ἀλλ' οὔ τά γε περὶ τοὺς ἰδιώτας γιγνόμενα, ἀλλ' εἴ τις ἢ χορηγὸν εἴρξειεν, ἢ αὐλητὴν ἀπελάσειεν ἢ κωμῳδόν, ἢ τὸν δῆμον τῆς θέας κωλύσειεν. Βουλόμενος ἀποδεῖξαι καὶ τὰ περὶ τοὺς ἰδιώτας ἐν τῇ ἑορτῇ δημόσια ὄντα τὸν δεύτερον ἀναγινώσκει νόμον.

518, 6. Ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταὶ] συνέλαβε τὸ νόημα τὸ ἐν τῷ προτέρῳ νόμῳ, ἵνα δείξῃ κοινωνίαν τῷ προτέρῳ νόμῳ πρὸς τὸν δεύτερον. Τοῦ νόμου δὲ τοῦ δευτέρου ὄντος τοιούτου, ὅτι μηδὲ τοὺς ὑπερημέρους ἀπαιτεῖσθαι [ἔξεστιν] ἐν τῇ ἑορτῇ (οὓς ἀπαιτεῖν καὶ χειρὶ μᾶλλον ἐκέλευεν ὁ νόμος), ἀγωνίζεται ἐκ τοῦ ἐλάττονος, λέγων ὅτι, εἰ τοὺς ὑπερημέρους ὁ νόμος κελεύει μὴ ἀπαιτεῖσθαι ἐν τῇ ἑορτῇ χειρί, πόσῳ γε μᾶλλον κελεύει μὴ τοὺς ἀναιτίους βιάζεσθαι; ἔστι γὰρ ὅλον ἀπὸ τοῦ ἐλάττονος τὸ ἐπιχείρημα, ἔκ τε προσώπου καὶ πράγματος εἰλημμένον, προσώπου μέν, χορηγὸς πρὸς ὑπερήμερον, πράγματος δέ, ὕβρεως καὶ χρημάτων.

518, 11. Οὐ γὰρ ὅπως] Τὸ μὲν μὴ κείμενον ἐν τῷ νόμῳ συνήγαγεν ὡς ὁμολογούμενον, τὸ δὲ γεγραμμένον ὡς παρακολούθημα ἔλαβε· τὸ μὲν γὰρ περὶ τοῦ σώματος οὐ γέγραπται, περὶ δὲ τῶν ὑπερημέρων μόνον. Ὁ δὲ ἐκεῖνο μὲν ὡς ὁμολογούμενον ἔλαβεν, ὅτι οὐ τοῦτο μόνον ἔδοξεν ἡμῖν δεινόν, τὸ μὴ ὑβρίζεσθαί τινα εἰς τὸ σῶμα, περὶ δὲ τῶν ὑπερημέρων ὡς προσθήκην, ἀλλ' ἤδη καὶ ταῦτα ἐκωλύσατε, ὅσα καὶ κατὰ δίκην γίνεται.

518, 14. Ἀλλὰ καὶ τὰ δίκῃ] Τῶν νενικηκότων, ἐν τῇ κρίσει δηλονότι, ταῦτα γίνεται τῶν ἡττηθέντων ἐν καιρῷ τῆς ἑορτῆς. Συνήγαγε δὲ ἐξ ἀποδείξεως τοῦ προτέρου νόμου ὅτι καὶ τὰ περὶ τοὺς ἰδιώτας δημόσιά ἐστιν.

518, 15. Γιγνόμενα] χρήματα δηλονότι. P.

518, 17. Ὑμεῖς μὲν τοίνυν] Μέλλων ἀναγινώσκειν τὸν νόμον ὑπέσχετο δεῖξαι τήν τε τῶν ἄλλων εὐλάβειαν καὶ τὸ Μειδίου θράσος. Ὅπερ οὖν ὑπέσχετο νῦν ἀποδείκνυσιν.

518, 23. Βούλομαι δὲ ἕκαστον] Προκατασκευαστικὸν μὲν τὸ νόημα, εἰσβολὴ δὲ εἰς τὴν προβολήν. Πληρώσας δὲ τὴν προκατασκευήν, ἐν ᾗ πάντα τὰ γινόμενα περὶ τὴν ἑορτήν, κἂν εἰς ἰδιώτην ᾖ, δημόσια ἀπέδειξε, μεταβαίνει λοιπὸν ἐπ' αὐτὴν τὴν κατάστασιν. Οὐκ ἔτι γὰρ ὡς ἰδιωτικῶν ἀκούσονται τῶν πραγμάτων. Κέχρηται οὖν προοιμίῳ καταστατικῷ, τὸ δὲ αὐτὸ καὶ ἐπαγγελίαν τινὲς καλοῦσιν. Ὃ σύνοψιν ποιεῖται τῶν λεχθησομένων ἐν τῇ καταστάσει. Τὸ γὰρ τοιοῦτον καὶ εὐκρινῆ ποιεῖ τὸν λόγον καὶ προσέχειν τὸν ἀκροατήν. BFRSYTCV.

518, 27. Ἐπειδὴ γὰρ οὐ καθεστηκότος] Ἡ κατάστασις ἐντεῦθεν, ἣν καὶ προβολήν τινες ὀνομάζουσιν. rec. S. Ἐντεῦθεν ἡ ἀρχὴ τοῦ πρώτου μέρους τῆς προβολῆς. Φασὶ γάρ τινες τοῦτο μὴ εἶναι διήγησιν, διὰ τὸ προειδέναι τὸν δῆμον τὰ γεγενημένα καὶ διὰ τὸ ἐν ὅρῳ μὴ χρῆναι διηγεῖσθαι, ἀλλὰ προβάλλεσθαι. Ῥητέον οὖν ὅτι οὐ πάντες ᾔδεσαν τὰ γεγενημένα ὥσπερ ἐν τοῖς ἐπιλόγοις φησίν, ὡς οὐ παρῆν ὁ δῆμος, ἀλλὰ χορευταὶ καὶ ξένοι καὶ τοιοῦτοί τινες ἦσαν, ὥστε ἀναγκαῖον ἦν διηγήσασθαι. Καὶ οὐ διηγήσασθαι βούλεται μόνον, ἀλλὰ καὶ αὐξῆσαι τὴν ἑαυτοῦ φιλοτιμίαν ἐν τῇ καταστάσει. Πρὸς τούτοις ὅτι ἐν ὅρῳ ταὐτόν ἐστι προβολὴ καὶ κατάστασις. Ἤδη δὲ καὶ ὅρου δύναμιν ἡ κατάστασις ἔχει. Προβαλλόμεθα γὰρ ἐφ' οἷς πεπόνθαμεν. Λέγοντες δὲ ταῦτα τὴν διήγησιν πληροῦμεν. Ὅταν δὲ πρὸς τὸ ἡμῖν χρήσιμον διηγώμεθα, ὅρον περαίνομεν. Ἡμῶν γὰρ διὰ τῆς καταστάσεως εἰσαγόντων ὡς δημόσιον, εὐθὺς ὁ ἀντίδικος ὑπολαμβάνων ὡς ἰδιωτικὸν ὁρίζεται. Οὐκοῦν ὅρου δύναμιν ἔχει ἡ κατάστασις. Ἀλλ' ἐκεῖ μὲν συνεστραμμένως καὶ δι' ὀλίγων ὁρι-

ζόμεθα ἀγωνιστικῶς, ἐν δὲ τῇ καταστάσει πλατέως καὶ ἧττον ἀγωνιστικῶς. Διὰ τί δὲ ὁρικὴν δύναμιν ἔχουσα προβολὴ κέκληται; ὅτι ἐπάναγκες ἦν δύο ἀνθορισμοὺς ἐμπίπτειν, εἴπερ ὅρος τις ἡ κατάστασις ἐκαλεῖτο. Ἡμῶν γὰρ ὁριζομένων ἐν τῇ καταστάσει πλατέως, ὁ ἀνθοριζόμενος πρὸς ἐκεῖνον δύο ἐποίει ἀνθορισμούς. Ἵν' οὖν μὴ δύο ἀνθορισμοὺς ὀνομάζωμεν, τὸν μὲν πλατὺν ὅρον προβολὴν ἐκαλέσαμεν ἐν καταστάσει κείμενον, τὸν δὲ στενὸν μετὰ τὴν προβολὴν τὸν μὲν παρὰ τοῦ φεύγοντος, ὅρον, τὸν δὲ παρὰ τοῦ διώκοντος, ἀνθορισμόν. Ἔτι πρὸς τούτοις ἐπειδὴ πολλὰ καὶ ψευδῆ καὶ αἰσχρὰ καὶ ἐπηρείας καὶ χλευασμοὺς ἐβούλετο κατειπεῖν τοῦ Μειδίου, ταῦτα δὲ ἐν μὲν τοῖς ἀγῶσι λέγειν οὐκ ἐξῆν, διὰ τὸ μικρὰ εἶναι καὶ τοὺς ἐλέγχους ἀπαιτεῖσθαι, ἐν δὲ τῇ καταστάσει τὰς μὲν ἀποδείξεις ἧττον ἔμελλε προσάγειν, λέγων δὲ διαβάλλειν καὶ παροξύνειν τοὺς δικαστὰς ἐν τῷ πλήθει τῶν ἐγκλημάτων, διὰ τοῦτο καταστάσει ἐχρήσατο, καὶ τοῖς φανεροῖς καὶ μεγάλοις τὰ μικρὰ καὶ ἀσθενῆ συνέπλεξεν, ἵνα δι' ἐκείνων καὶ ταῦτα αὐξήσῃ τε ὁμοῦ καὶ πιστὰ καταστήσῃ. Μικτὴν [δὲ] ἔφαμεν εἶναι τὴν κατάστασιν ἔκ τε δημοσίων καὶ ἰδιωτικῶν πραγμάτων, ἔτι δὲ καὶ αὐξήσεως καὶ τὸ μὲν πλεῖστον αὐτῆς ἐστι πραγματικὸν, τὸ δὲ παθητικὸν, τὸ δὲ καταφορικὸν, καὶ τὸ σύμπαν ὅλος ὁ λόγος τοιαύτην ἔχει τὴν μῖξιν· πραγματικὸν μὲν, ἐν οἷς περί τε τῶν εἰς ἑαυτὸν γεγενημένων καὶ τοῦ δημόσιον εἶναι τὸ ἔγκλημα διαλαμβάνει, παθητικὸν δὲ, ἐν οἷς αὔξει τὴν ὕβριν, καταφορικὸν δὲ, ἐν οἷς εἰς τὸ πρόσωπον ἀποτείνεται τοῦ Μειδίου. Ἀπὸ τοῦ δημοσίου δὲ τὴν ἀρχὴν ἐποιήσατο, χορηγὸν ὀνομάσας.

518, 28. Τῇ Πανδιονίδι φυλῇ]· Δέκατον μέρος ἡ φυλὴ τῆς πόλεως.

Τρίτον ἔτος τουτὶ] Ἢ ὡς τριῶν ἐτῶν ἑξῆς οὐ παρασχούσης τῆς φυλῆς τὸν λειτουργὸν, ἵνα γένηται πλείων αὔξησις, ἢ πρὸ τριῶν τούτων ἐτῶν, ὡς καὶ ἐν Φιλιππικοῖς (p. 29, 21)· « Φίλιππος ἐν Θρᾴκῃ τρίτον ἢ τέταρτον « ἔτος. » Οὐ γὰρ δυνατὸν ἐφεξῆς λαβεῖν τὸν χρόνον. Τὴν φιλοτιμίαν δὲ ηὔξησιν, ὅτι διὰ τριῶν ἐτῶν μόνος αὐτὸς ἐκ τῆς φυλῆς ἐπέδωκεν.

518, 29. Παρούσης δὲ τῆς ἐκκλησίας] Πάντα δημόσια τὰ ὀνόματα, ἐκκλησία, ἄρχων, ἐπικλήρωσις αὐλητῶν εἰς τὴν ἑορτήν. Οὐκοῦν ἐκ τούτων ὡς περὶ δημοσίων τῶν καθ' ἑαυτὸν ἤδη προσδιαλέγεται.

519, 2. Λόγων καὶ λοιδορίας γινομένης] Ἐκ τῶν ἐναντίων ἡ αὔξησις. Ἔστι γὰρ μέγιστος τόπος αὐξήσεως τὸ τὴν προϋπάρχουσαν ἢ εὐπορίαν, ἢ ταλαιπωρίαν, ἢ πολεμίων ἰσχὺν αὔξειν, ἵνα μεγίστη φανῇ τῷ λῦσαι τὰς τοιαύτας ἀπορίας καὶ κρατῆσαι τῆς δυνάμεως τῶν ἐναντίων.

Καὶ κατηγοροῦντος] Οὐκοῦν στάσις καὶ θόρυβος ἦν, ἐγὼ δὲ τὸν θόρυβον ἔλυσα διὰ τῆς ὑποσχέσεως.

519, 4. Παρελθὼν ὑπεσχόμην ἐγὼ] Πόλεμος ἦν τῶν ἐπιμελητῶν κατὰ τοῦ ἄρχοντος. Ὁ ἄρχων τοῖς ἐπιμεληταῖς ἐπῆγε τὴν μέμψιν. Ἐπιεικῶς δὲ τὸ « ὑπεσχόμην » εἴρηκε, διὰ τὸ ἐπαχθὲν « πρῶτος αἱρεῖσθαι τὸν αὐλητὴν « ἔλαχον. » Διὰ γὰρ τούτου τὴν πρὸς αὐτὸν εὐμένειαν ἔδειξεν, ἵνα πιστὸν καταστήσῃ ὅτι διὰ Μειδίαν ἡττήθη τὸν ἀγῶνα, οὐ διὰ τὴν τύχην.

519, 9. Καὶ τὸ συμβὰν ἀπὸ τῆς τύχης] Ἡ τύχη τῇ γνώμῃ συνέδραμε, δέδωκε τὴν ψῆφον ἀποδεξαμένη τὸν τρόπον.

Καὶ θόρυβον καὶ κρότον τοιοῦτον] Εἰς αὐτὸν ηὔξησεν, ἵνα μὴ Μειδίας δι' ὀργὴν δόξῃ ταῦτα πεποιηκέναι, ἀλλὰ φθονήσας ἐπὶ τοῖς ἐπαίνοις τοῖς εἰς τὸν ἐχθρὸν γινομένοις. Ταχέως δὲ τὸν κρότον ἐπενεγκὼν ἔδειξε ποῖον εἴρηκε θόρυβον. Τὸ δὲ « ὡς ἂν ἐπαινοῦντες » ἐπισφραγιζόμενος λέγει.

519, 11. Μειδίας δὲ οὑτοσὶ μόνος τῶν πάντων ἠναντιοῦτο, φησὶ, καὶ τῇ τύχῃ καὶ τῇ πόλει. Ἡ μὲν γὰρ ἐδωρεῖτο τὸν κλῆρον, ὑμεῖς δὲ ἐθαυμάσατε, Μειδίας δὲ ἐδυσφόρει καὶ ἀηδίζετο.

519, 12. Ὡς ἔοικε] Ὡς φαίνεται, φησὶν, ἀφ' ὧν πεποίηκεν.

519, 13. Ἐπηρεάζων μοι συνεχῶς] Οὐκοῦν ἐκ προνοίας καὶ [οὐ] δι' ὀργὴν πεποίηκε· τὸ δὲ « καὶ μικρὰ καὶ μείζω » ἀντὶ τοῦ ἰδιωτικὰ καὶ δημόσια.

519, 14. Ὅσα μὲν οὖν τοὺς χορευτὰς] Ἔθος ἦν τοὺς τῷ Διονύσῳ χορεύοντας μὴ στρατεύεσθαι τοῦτον τὸν χρόνον. Ὁ τοίνυν Μειδίας ἠνάγκασεν αὐτοὺς ἐξιέναι, καὶ οὐκ εἶα τῆς στρατείας ἀφίεσθαι· εἰσῆκται δὲ κατὰ παράλειψιν, ἐπειδήπερ οὐκ ἔχει πολλὴν τὴν ἰσχύν. Τετραχῇ δὲ διεῖλε τὰ ἐγκλήματα, καὶ πρῶτον μὲν τὰ σαθρότερα προέταξεν, εἶτα τὰ ἰσχυρότερα, καὶ τρίτον τὰ σαθρὰ πάλιν, καὶ τέταρτον τὰ ἰσχυρά. Δεῖ γὰρ, εἰ μὲν πλείω εἴη τὰ ἰσχυρὰ καὶ ἓν σαθρὸν, μέσον τιθέναι τὸ σαθρόν· εἰ δὲ ἴσα εἶεν τά τε ἰσχυρὰ καὶ τὰ σαθρὰ, ἄρχεσθαι μὲν ἀπὸ τῶν σαθροτέρων, τελευτᾶν δὲ εἰς τὰ ἰσχυρότερα. Ἔστιν οὖν καὶ νῦν τὰ πρῶτα σαθρά. Τί γὰρ μέγα ἔγκλημα, εἰ τοὺς χορευτὰς ἐκώλυσεν ἀφεθῆναι, καὶ ταῦτα ἵππαρχος ὤν; καὶ εἰ τῶν Διονυσίων ἐπιμελητὴς ἐβούλετο καταστῆναι;

519, 18. Οὐ γὰρ ἀγνοῶ τοῦτο] Γνοὺς ὅτι μικρῶν ἐμνημόνευσε, πρῶτον μὲν τῷ κατὰ παράλειψιν σχήματι κέχρηται, ἔπειτα καὶ ἰσχὺν αὐτοῖς διὰ τῶν ἑξῆς προσέθηκεν εἰπὼν ὅτι πάσχων ἐγὼ ὁμοίως ἐπὶ τούτοις ἠγανάκτουν ὥσπερ ἐπὶ τοῖς δεινοτάτοις.

519, 24. Μετὰ ταῦτα] Ἃ εἴρηκα προσεχῶς. S.

519, 25. Καὶ οὐδ' ἂν ἐπεχείρησα] Μεταβέβηκεν ἐπ' αὐτὸ τὸ ἰσχυρότατον, τὸ κατὰ τὴν ἐσθῆτα, καὶ πρὸ τῆς εἰσαγωγῆς αὐξήσει κέχρηται, προσεχέστερον τὸν δικαστὴν ποιῶν. Ἄπιστα γὰρ, φησὶν, ἔδοξε τὰ λεχθησόμενα, εἰ μὴ τότε παραχρῆμα ἠλέγχθη.

519, 27. Τὴν γὰρ ἐσθῆτα τὴν ἱερὰν] Τὸ ἰδιωτικὸν δημόσιον ἐποίησε τῇ προσθήκῃ τῆς ἱερᾶς. Ἐντεῦθεν δὲ ἡ τῆς προβολῆς αὔξησις. Ποιεῖ δὲ αὐτὴν ἱερὰν ἀπὸ τοῦ τόπου καὶ τοῦ καιροῦ καὶ τοῦ φοροῦντος· τὸ δὲ « τέως ἂν « χρησθῇ » ἢ φορῆται, ἢ τρίβηται.

Ἱερὰν γὰρ ἔγωγε] Τὸ ἀντιπῖπτον ἔλυσεν· ἱερὰν λέγεις, ἣν φορεῖς σύ; μὴ γὰρ ἱερεὺς εἶ; ὁ δὲ ἀπὸ τῆς πανηγύρεως καὶ τοῦ καιροῦ τὸ ἱερὰν εἶναι κατεσκεύασεν. Εἶτα ἐπειδὴ σοφισματώδης ὁ λόγος, προσέθηκε τοὺς στεφάνους, ὥσπερ συμμαχίᾳ χρώμενος. Μᾶλλον γὰρ τὸ κατὰ τοὺς στεφάνους ὥσπερ δημόσιον, ἐπειδὴ καὶ ὁ χορὸς ὁ ᾄδων αὐτοὺς περιέκειτο.

519, 29. Χρησθῇ] Ἤτοι ἐὰν ἐν χρήσει γένηται. rec. S.

520, 3. Νύκτωρ ἐλθὼν] Ἀρκέσθητι ταῖς ἡμέραις εἰς ἐπιβουλὴν, ὦ Μειδία, σπένδου τῷ πολέμῳ τὴν νύκτα, καθ' ἣν καὶ οἱ τῇ φύσει πολέμιοι ἡσυχίαν ἀσπάζονται. Πολλὴν ἔχει καὶ τοῖς πολεμίοις ἡ νὺξ τὴν τιμήν. Ἀνακωχὴν δίδωσιν αὐτῇ καὶ ὁ δοκῶν δυσμενέστατος, σὺ δέ μοι ποιεῖς ἐν ἑορτῇ νυκτομαχίαν παράλογον.

520, 4. Οὐ μέντοι πᾶσάν γε] Τοῦτο εἶπεν, ἵνα κακίσῃ μὲν τὴν γνώμην, ἐπαινέσῃ δὲ τὴν τύχην τὴν ἐμποδίσασαν. Τάχα δὲ τὸν χρυσοχόον ὁ Διόνυσος ἐξανέστηκεν, ἵνα ληφθῇ.

520, 6. Οὐκ ἀπέχρησε δὲ αὐτῷ τοῦτο] Πάλιν ἀπὸ τοῦ ἰσχυροτέρου μετῆλθεν ἐπὶ τὸ σαθρότερον, τό τε διαφθεῖραι τὸν χοροδιδάσκαλον καὶ τὸν ἄρχοντα, καὶ τὸ στασιάσαι πρὸς αὐτὸν τοὺς χορηγούς, καὶ τὰς ἄλλας ἐπηρείας. Ταῦτα γὰρ καὶ μικρὰ πρὸς κρίσιν καὶ ἄλλως ἀνέλπιστα. Τούτων γὰρ ὁ Μειδίας ὁμολογήσει οὐδέν.

520, 8. Καὶ εἰ μὴ Τηλεφάνης] Ἵνα μὴ ὑποπτεύσῃ τις ὅτι μισθὸν προσδοκῶν πλείονα δέξασθαι Τηλεφάνης, μάτην τὸν διδάσκαλον διαβέβληκε, τούτου χάριν ἐπαινεῖ τὸν τρόπον, βέλτιστον αὐτὸν ἀποκαλῶν καὶ εὔνουν περὶ αὐτόν. Καὶ ἵνα λύσῃ τὸ ἀντιπῖπτον, ὅτι διὰ φιλονεικίαν ὁ αὐλητὴς ἐξέβαλε τὸν χοροδιδάσκαλον, ἵνα μόνος δόξῃ εὐδοκιμεῖν. Οὕτω γοῦν καὶ τὸν χορὸν αὐτὸς ἐδίδαξεν ἀπελάσας τὸν ἄνθρωπον. Φησὶν οὖν ὁ ῥήτωρ ὅτι καὶ βέλτιστος ἦν Τηλεφάνης καὶ εὔνους περὶ ἐμέ. Οὐκ ἂν οὖν διὰ τὴν ἰδίαν φιλονεικίαν ἐπιβουλεύειν ἠθέλησεν, εἴπερ ᾔδει μὴ διεφθάρθαι τὸν ἄνθρωπον.

520, 12. Οὐδ' ἂν ἠγωνισάμεθα] Καλῶς οὐκ ἐπὶ τοῦ χοροῦ μόνον εἶπεν ἠγωνίσατο, ἀλλὰ πληθυντικῶς καὶ ἑαυτὸν καὶ πᾶσαν περιέλαβε τὴν φυλήν.

520, 16. Ὥστε τὸν ἐστεφανωμένον] Ὁ γὰρ τὰ πλεῖστα διοικῶν τῆς ἑορτῆς ὁ ἄρχων ἦν, ὥστε καὶ πολλὰ βλάπτειν ἠδύνατο, εἴπερ διαφθαρεὶς κατασκευάζειν ἠβουλήθη.

520, 17. Τοὺς χορηγοὺς συνῆγεν ἐπ' ἐμὲ] ἀντὶ τοῦ ἄκοντας αὐτοὺς ἠρέθιζεν, οὐ βουλομένους παρώξυνεν, ἵνα μὴ δοκοῖεν διὰ τὸ βούλεσθαι νικᾶν προσφιλονεικεῖν αὐτῷ. Τὸ δὲ ἐξ ἀνάγκης συμβαῖνον τοῦτο εἰς τὸν Μειδίαν ἀνήνεγκεν. Οἱ γὰρ ἄλλοι χορηγοὶ φιλονεικοῦντες περὶ τῆς νίκης στασιάζουσι πρὸς ἀλλήλους. Φησὶν οὖν ὅτι Μειδίας αὐτοὺς ἀνέπεισεν ὥστε μοι πολεμεῖν. Εἶτα ἡ κατασκευή.

Βοῶν, ἀπειλῶν] Εἰ γὰρ ἐκείνων πρός με διαμαχομένων οὗτος ἐβόα καὶ ἠπείλει μοι, πρόδηλος ἦν αὐτὸς ἐνάγων τοὺς χορηγούς.

Ὀμνύουσι] Τουτέστιν ἐδίδασκεν οὕτως ὀμνύειν ὥστε σοφίσασθαι τὸν ὅρκον, ἵνα μου κατασπουδάσαιεν.

520, 18. Τὰ παρασκήνια φράττων] Τουτέστιν ἀποφράττων τὰς ἐπὶ τῆς σκηνῆς εἰσόδους, ἵνα ὁ χορὸς ἀναγκάζηται περιιέναι διὰ τῆς ἔξωθεν εἰσόδου, καὶ οὕτω βραδύνοντος ἐκείνου συμβαίνῃ καταγελᾶσθαι τὸν Δημοσθένην. Τὸ δὲ προσηλῶν, ἢ τοὺς ἥλους ἐντιθείς, ἵνα ἀσφαλῶς αἱ θύραι ἐγκλείωνται καὶ μὴ ἐξῇ κατὰ καιρὸν εἰσελθεῖν, ἀφ' οὗ τὸ γελᾶσθαι καὶ αἰτιαθῆναι συμβέβηκεν, ἢ ὅτι τοὺς ἥλους καταχρούων καὶ τύπτων ἐξακούεσθαι τὸν χορὸν ᾄδοντα οὐ συνεχώρει.

520, 19. Ἰδιώτης ὢν τὰ δημόσια] Καίτοι Διονυσίων ἦν ἐπιμελητής. Ἀλλ' ἐπειδὴ αὐτὸν προὐβάλλετο εἰς τὴν χειροτονίαν, διὰ τοῦτο ἰδιώτην φησὶν αὐτὸν εἶναι.

520, 21. Καὶ τούτων ὅσα γε] Ἄτοπον ἡγεῖτο τῶν μικρῶν τούτων μάρτυρας παρέχεσθαι. Διὰ τοῦτο οὖν ὡς αὐτοῦ τοῦ δήμου θεασαμένου καὶ μαρτυροῦντος ἐπήγαγεν « ὑμεῖς ἐστέ μοι μάρτυρες. »

520, 26. Προσδιαφθείρας] Ἀπὸ τοῦ σαθροῦ πάλιν ἐπ' αὐτὸ τὸ κύριον καὶ τελευταῖον ἐχώρησε, τουτέστι τὰς πληγάς, διότι καὶ μείζονά εἰσι τῶν ἑτέρων καὶ ἄλλως ὁμολογεῖται παρὰ τοῦ φεύγοντος.

Τῶν ἀγωνιστῶν ἀνδρῶν] Ἐκ πάσης ἡλικίας ἠγωνίζοντο χοροὶ τῷ Διονύσῳ, διότι καὶ πᾶν σχῆμα αὐτῷ περιτιθέασι· καὶ γὰρ παῖδα καὶ πρεσβύτην καὶ ἄνδρα γράφουσιν αὐτόν. Ἀλλαχοῦ οὖν εἶπε, « χορηγοῦντα παισὶ Διονύσια. » Ὁ δὲ Δημοσθένης ἀνδρῶν [χορηγὸς ὢν] ἠγωνίσατο, ὡς προϊὼν (p. 565) φησιν « ἐγὼ δὲ αὐληταῖς ἀνδράσιν. »

520, 28. Ἐμοῦ μὲν ὕβρισε τὸ σῶμα] Οὐκ εἶπε πληγὰς ἔδωκέ μοι καὶ κονδύλους, ἵνα μὴ ταπεινότητα ἑαυτοῦ κατηγορήσῃ.

521, 4. Ταῦτά ἐστιν] Ἐπειδὴ δεῖ μητέρα τῶν ἀγώνων εἶναι τὴν κατάστασιν, μέλλει δὲ προϊὼν καὶ περὶ τοῦ φόνου λέγειν τοῦ κατὰ Ἀρίσταρχον καὶ περὶ λιποταξίου καὶ περὶ ὧν εἰς ἄλλους πολλοὺς πεποίηκε, διὰ τοῦτο προλέγει καὶ περὶ τούτων ἐν τῇ καταστάσει.

521, 18. Ὑμεῖς ἐστε κληρονόμοι] τρόπον τινὰ διάδοχοι.

521, 24. Λέγε μοι τὴν τοῦ χρυσοχόου] Ἔθος γὰρ ἦν καὶ τῶν λεγομένων ἐν τῇ καταστάσει παρέχειν μαρτυρίαν, ἵνα μὴ δοκοῖεν ψιλὰς ἁπλῶς ἀφηγήσεις ποιεῖσθαι. Συνεπέρανε δὲ τὴν κατάστασιν.

522, 10. Πολλὰ μὲν τοίνυν, ὦ ἄνδρες] Ἐθρασύνατο θαρσήσας ἐπὶ τῇ μαρτυρίᾳ τοῦ χρυσοχόου. Συναρπάζει δὲ διὰ ταύτης τοὺς δικαστάς, ὡς καὶ περὶ τῶν ἄλλων ἀληθῆ κατηγορῶν.

522, 14. Αὐτοὶ γὰρ οἱ πεπονθότες] Ἀντέπιπτε, διὸ ὑποτέμνεται. « Ὅλην περιήεις τὴν πόλιν, Δημόσθενες; « πολυπραγμονῶν διετέλεις, τίς ἄρα παρὰ Μειδίου τι πέ-« πονθεν; » « Οὐκ ἔστι ταῦτα. Πόθεν; οἴκοι καθήμενος « εἶχον τὴν γνῶσιν· ὡς πρὸς κοινὸν ἀπήντων πατέρα « σύμπαντες, κατάλογον ὧν ἔπαθον ὑπὸ Μειδίου ἀδικη-« μάτων ποιούμενοι. »

522, 15. Βούλομαι δὲ πρὸ τούτων] Μέλλων εἰς τοὺς ἀγῶνας εἰσβάλλειν προοιμίῳ κέχρηται, βουλόμενος προσεχεστέρους ποιῆσαι τοὺς ἀκούοντας. BFRSYTCV.

522, 23. Ἔστι δὲ πρῶτον μὲν] Πρότασις. B.

522, 24, Ἐξ ὧν ἰδίᾳ] Αὐτὸς τοὺς συνόντας αὐτῷ καὶ φίλους μισοῦντας αὐτὸν πεποίηκεν, εἴπερ πρὸς τὸν ἐχθρὸν ἀπήγγελλον ἅπερ αὐτοῖς ἐν ἀπορρήτῳ Μειδίας διελέγετο.

522, 25. Ὡς εἴπερ ἀληθῶς] Ὑποφορά. Ὅρος παραγραφικός. BY. Ἀρνούμενον ἐν τοῖς φανεροῖς ποιεῖ τὸν Μειδίαν, διαβάλλων αὐτὸν εἰς ἀναίδειαν. Πῶς δὲ ἀρνούμενον εἰσάγει αὐτόν; ἴσως δὲ καὶ τὸ ἴδιον τοῦ ὅρου φυλάττων, ἐπειδὴ ἐν ὅρῳ τὰ μὲν ἀρνούμεθα, τὰ δὲ ὁμολογοῦμεν. Ἐν τούτῳ γὰρ τὰ μάλιστα ὅρος τοῦ στοχασμοῦ διαφέρει καὶ κοινωνεῖ, τῇ μὲν ἀρνήσει κοινωνῶν, τῷ δὲ μὴ πάντα ἀρνεῖσθαι διαφέρων.

522. 26. Δίκας ἰδίας μοι] Ὅτι ἔβλαψε καὶ ὕβρισε, δημοσίᾳ δὲ οὐκ ἠδίκησεν. BY. Αὕτη ἐστὶν ἡ γενικὴ ἀντίθεσις, παραγραφικοῦ δύναμιν ἔχουσα, ὅτι οὐ χρὴ ἐπὶ τοῖς ἰδίᾳ γινομένοις δημοσίᾳ κρίνεσθαι. Καθόλου γὰρ ποιεῖται τὴν ἀντίθεσιν, μὴ λέγων τὸ ὄνομα τοῦ παθόντος. Ἡ δὲ λύσις καὶ αὕτη μεταληπτικὴ ἀπὸ τοῦ τρόπου.

523, 1. Καὶ τίμημα ἐπάγειν] Ἐπὶ γὰρ τοῖς ἰδιωτικοῖς ἐκ τῶν νόμων ὥριστο τὸ τίμημα, ἐπὶ δὲ τοῖς δημοσίοις ὁ κατήγορος ἐτιμᾶτο.

523, 2. Ἐγὼ δὲ ἐν μὲν ἐκείνου] Ἀντιπρότασις. Λύσις, ἡ καὶ ἀνθυποφορά. BY. Μεταληπτικῆς οὔσης τῆς ἀντιθέσεως, ὅτι ἰδίᾳ χρὴ καὶ οὐ δημοσίᾳ κρίνειν, μεταληπτικῶς ἔλυσε ταύτην εἰπών, εἰ μὴ τοῦτον κατηγόρησα τὸν τρόπον, πάλιν τἀναντία ἔλεγεν, ὅτι δημοσίᾳ κρίνειν ἐχρῆν τὰ ἴδια.

Ἐὰν γὰρ τρόπον ἀντὶ τρόπου ὑποβάλλῃ, μεταληπτικὴ γίνεται ἡ λύσις. Ὥστε οὐκ ἀκριβὲς τὸ τοῦ Μητροφάνους, ὅτι πᾶσα μετάληψις ἀντιλήψει λύεται. Ἐφάνη γὰρ καὶ μεταληπτικὸν μεταληπτικῷ λυόμενον.

523, 7. Ὅ τε γὰρ χορὸς ἦν τῆς πόλεως] Αὐτὸν τὸν ἐχθρὸν πεποίηκεν ὁμολογοῦντα τὸ δημόσιον εἶναι τὸ ἀδίκημα καὶ δι' ὧν περιτίθησι τῷ χορῷ τοὺς λογισμοὺς, διὰ τοῦτο καὶ λύει τὴν ἀντίθεσιν καὶ τὸν ἐχθρὸν καθ' ἑαυτοῦ δείκνυσιν ἀγωνιζόμενον.

523, 17. Μὴ δὴ τοῦτο λέγειν] Ἐν τούτῳ φησὶ Μητροφάνης τὸ κατὰ σύλληψιν δηλοῦσθαι, ἐν ᾧ φαίνεται συγχωρῶν ὁ ῥήτωρ [ὅτι] καὶ δίκας ἰδιωτικὰς δίδωσιν ὁ νόμος. Οὐ μὴν οὕτως ἔχει· μηδέπω γὰρ τῆς δίκης τεθείσης, τουτέστιν αὐτοῦ τοῦ ὅρου τεθέντος, μηδὲ ἀνθορισαμένου ἰδιωτικῶς τοῦ ῥήτορος, πῶς οἷόν τε κατὰ σύλληψιν εἰσάγεσθαι; ἢ πῶς συναγωγή ἐστι τοῦ ὅρου καὶ τοῦ ἀνθορισμοῦ; ἔστιν οὖν λύσις μᾶλλον τῆς γενικῆς ἀντιθέσεως « δίδωσιν ὁ νόμος καὶ ἰδίᾳ δικάζεσθαι », ὁ δὲ κατὰ συγχώρησιν ὁμολογῶν καὶ αὐτὸς εἶναι καὶ δίκας ἰδιωτικὰς, ἃ μέντοι κατηγόρηκα ἐγὼ, καὶ ἃ τετόλμηκε Μειδίας, ταῦτα περὶ τὴν ἑορτήν ἐστιν ἀδικήματα· πῶς οὖν ἰδίᾳ κρίνεσθαι βούλεται δημοσίᾳ πλημμελήσας;

523, 22. Εἰ δ' ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν] Ὁ μὲν ἰδιωτικὸν λαγχάνων αὐτὸς ἐλάμβανε παρὰ τοῦ φεύγοντος τὸ ἐκ τῶν νόμων τίμημα. Παρεόρακα δὲ μόνος τὴν ἐμαυτοῦ δίκην διδόντα.

523, 25. Χάριν, οὐ βλάβην] Προετίμησα πρὸ ἐμαυτοῦ τὴν πόλιν, καὶ ταύτῃ παρεχώρησα τὸ ἐκ τοῦ τιμήματος ὄφελος. Βούλεται γὰρ αὐτὸν δημευθῆναι.

523, 26. Οἶδα τοίνυν ὅτι καὶ τούτῳ πολλῷ χρήσεται τῷ λόγῳ] Ὁρικὸν τὸ κεφάλαιον. TCP. Οὗτός ἐστιν ὁ κύριος ὅρος εἰδικῶς ἐπηγμένος· διὸ καὶ ὀνόματι προήγαγε· καὶ πολλῷ, φησὶ, χρήσεται τῷ λόγῳ, ἀληθῆ λέγων. Ἐπ' οὐδενὶ γὰρ ἑτέρῳ, ὡς ἐπὶ τούτῳ καταφεύξεται ὁ Μειδίας, τῷ ἰδιωτικὸν ἀποφῆναι τὸν ἀγῶνα. Μία δέ ἐστιν ἡ ἀντίθεσις, εἰς τρία κῶλα μερισθεῖσα. BFRSYTCV. Φασὶ δέ τινες τρεῖς εἶναι ἀντιθέσεις, μίαν μὲν, « μή με Δημοσθένει παραδῶτε, » ἑτέραν δὲ « μηδὲ διὰ Δημοσθένην με ἀνέλητε, » τρίτην δὲ « ὅτι τούτῳ πολεμῶ, διὰ τοῦτό με ἀναιρήσετε; » Καὶ τοῦτό φασι γνώριμον ἐκ τοῦ πρὸς ἕκαστον τούτων πορίζεσθαι καὶ τὰς λύσεις παρὰ τοῦ ῥήτορος. Οὐ μὴν οὕτως ἔχει· μία γάρ ἐστιν ἀντίθεσις εἰς τρία κῶλα μερισθεῖσα· καὶ τοῦτο δῆλον μάλιστα μὲν ἐκ τῶν λύσεων, πᾶσαι γὰρ πρὸς ἓν νόημα τὴν ἀναφορὰν ἔχουσιν, ὅτι οὐ Δημοσθένης μόνος ἐστὶν ὁ ὑβρισθεὶς, ἀλλὰ καὶ ὁ χορηγός. Ἔπειτα δὲ καὶ ἀπ' αὐτῶν τῶν κώλων τῶν ἐν τῇ ἀντιθέσει. Καὶ γὰρ ἐν τούτοις ἕν ἐστι νόημα διὰ πάντων, ὅτι ἰδιώτης ἐστὶν ὁ ὑβρισθείς. Καὶ τὰ μὲν δύο πρόδηλον ἔχει τὴν συγγένειαν, « μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ Δημοσθένην με ἀνέλητε. » Τὸ γὰρ μὴ παραδοῦναι τῷ ἐχθρῷ ταὐτόν ἐστι τῷ μὴ ἀνελεῖν. Τὸ δὲ τρίτον ἔχει μὲν καὶ αὐτὸ συγγένειαν πρὸς τὰ πρότερα, ἐν ᾧ φησι « διὰ τοῦτόν με ἀναιρήσετε; » ταὐτόν ἐστι γὰρ τῷ « μηδὲ διὰ Δημοσθένην με ἀνέλητε. » Διαφέρει δὲ τῷ εἰπεῖν, « ὅτι τούτῳ πολεμῶ. » Δείκνυσι γὰρ ἐκ τούτων ἰδιωτικὴν τὴν ἔχθραν, ὅτι πρὸς ἕνα μοι ἔστιν ὁ πόλεμος πρὸς Δημοσθένην. Αὐτὸς δὲ ὑβρισθεὶς οὐκ ὀφείλει κοινῆς τῆς πόλεως λέγειν τὸ ἀδίκημα. Καὶ ἔστιν ἐν τῷ ὅρῳ τούτῳ τὸ μὲν ὁμολογούμενον, τὸ δὲ ἀρνούμενον. Ὅτι μὲν γὰρ ὕβρισε Δημοσθένην ὁμολογεῖ, ὅτι δὲ δημόσιον τὸ γεγονὸς ἀρνεῖται, ὡς εἶναι τὸ μὲν παρὰ τοῦ φεύγοντος ὅρον ἐκ τῶν λειπόντων, τὸ δὲ παρὰ τοῦ διώκοντος ἐκ τῶν πεπραγμένων. Ὁ μὲν γάρ φησιν, οὐκ ἄρχοντα ὕβρισα, οὐ παρὰ τὴν πόλιν ἐξήμαρτον, ἀλλ' εἰς Δημοσθένην, καὶ σιωπᾷ τὸν χορηγὸν, τὴν ἱερομηνίαν, τὸ θέατρον. Ὁ δὲ πρὸς τοῖς ὑπὸ Μειδίου ὁμολογουμένοις καὶ αὐτὰ προστιθεὶς δημόσιον ποιεῖ τὸ ἔγκλημα. Διὰ τί οὖν μιᾶς οὔσης τῆς ἀντιθέσεως εἰς τρία μέρη πεποίηκεν αὐτήν; ὅτι ἐθάρρει τῷ πλήθει τῶν λύσεων, καὶ ἵνα μὴ δόξῃ περὶ ἓν μέρος πολλῇ χρῆσθαι τῇ περιουσίᾳ, διὰ τοῦτο ἐμέρισεν, ὥστε λανθάνειν τὴν ἰσχὺν τῆς ἀντιθέσεως. Ἔνθα γὰρ πολλὰς ἔχει λύσεις, ἐκεῖ καὶ τὴν μίαν ἀντίθεσιν πολλὰς ποιεῖ, ὥστε τὴν εὐπορίαν ἐπιδείξασθαι τῶν λύσεων.

524, 1. Βουλόμενος φθόνον τινὰ] Μειδίας ἰδιωτικὸν ποιῆσαι τὸν ἀγῶνα βουλόμενος χρῆται τῇ ἀντιθέσει· ὁ δὲ ῥήτωρ, φησὶν, ἵνα μοι φθόνον κινήσῃ, καὶ πεποίηκεν ὁμολογοῦντα τὸν ἐχθρὸν, ὅτι ἀδικεῖ, φοβούμενον δὲ μὴ παραδοθῇ τῷ ἀντιδίκῳ. Καὶ γὰρ ἄξιον φθόνου τὸ ἐκ δικαστηρίου παραλαβεῖν τὸν ἐχθρὸν ὥστε χρήσασθαι ὅ τι βούλεται. Δείξας δὲ ὅτι οὐκ αὐτῷ παραδώσουσιν, ἀλλὰ τοῖς νόμοις, μεταβαίνει ἐπὶ τὸ ἕτερον μέρος τὸ ὅτι οὐ Δημοσθένης ἐστὶν ὁ ὑβρισθεὶς, καί φησιν, ἔχει δ' οὐχ οὕτω ταῦτα.

524, 13. Ἀλλὰ μὴν πρός γε τὸ τοιοῦτο] Ὁ ὅρος τοῦ φεύγοντος· « ὕβρισται Δημοσθένης, » ὁ ἀνθορισμὸς τοῦ διώκοντος « οὐκ ὄντα μόνον Δημοσθένην, ἀλλὰ καὶ χορηγὸν, » ὅτι οὐ μόνον ὑβριστὴς, ἀλλὰ καὶ ἀσεβὴς ὁ Μειδίας. Ἐστὶ γὰρ τοῦτο ὅρος διπλοῦς κατὰ σύλληψιν. BFY.

524, 15. Οὐ γὰρ εἰς Δημοσθένην ὄντα με ἠσέλγαινεν, ἀλλὰ καὶ εἰς χορηγὸν ὑμέτερον] τουτέστιν εἰς ἄρχοντα· μὴ ἔχων δὲ δεῖξαι ὅτι ἄρχων ἐστὶν, ἐκ τῆς τοῦ ὁμοίου παραθέσεως συνίστησι διὰ συλλογισμοῦ. Ὁ θεσμοθέτης, ὅταν ἔχῃ τὸν στέφανον τῆς πόλεως, ἔστιν ὄνομα ἄρχων. Ὁμοίως δὲ διεξιὼν τὰ ὁμολογούμενα τὸ ἀμφισβητούμενον συνίστησι διὰ συλλογισμοῦ.

524, 18. Ἴστε δήπου] Παράδειγμα T.

524, 27. Ἐὰν μὲν ἐστεφανωμένον] Συλλογισμός. BY.

524, 29. Καὶ οὐ μόνον περὶ τούτων οὕτω ταῦτα ἔχει] Ἐκ γὰρ τῶν κατὰ μέρος τὸ καθόλου συνίστησιν.

Καὶ οὐ μόνον] Συλλογισμὸς, ὅτι οὐ μόνον ὑβριστὴς, ἀλλὰ καὶ ἀσεβὴς ὁ Μειδίας. Ἐστὶ γὰρ ὅρος διπλοῦς κατὰ σύλληψιν. TCP.

525, 1. Οἷς ἂν ἡ πόλις] Ἔχει γάρ τινα καὶ ὁ χορηγὸς ἄδειαν, οἷον ἀφιέναι τῆς στρατείας τὸν χορὸν, καὶ εἰσάγειν, ὅτε βούλοιτο. Εἶτα καταλιπὼν τὸ λέγειν τὰ ἴδια τοῦ θεσμοθέτου καὶ τοῦ ἄρχοντος, ὅπερ ἦν αὐτοῖς κοινὸν πρὸς τὸν χορηγὸν, τοῦτο εἶπε « στεφανηφορίαν καὶ τιμήν. » Ὅρα δὲ ὅτι οὐ φανερῶς εἶπεν ἀρχήν· εἶχε γὰρ καὶ ὁ χορηγός τινα ἄδειαν ἐπὶ τῶν χορηγιῶν καὶ τῆς πανηγύρεως.

525, 2. Οὕτω τοίνυν καὶ ἐμὲ] Κατασκευὴ τῆς ἀσεβείας ἀπὸ τοῦ χρόνου. BYTC.

525, 3. Εἰ μὲν ἐν ἄλλαις τισὶν ἡμέραις] Τοῦτό ἐστι συλλογισμὸς εἰδικῶς εἰσηγμένος. Ἐπειδὴ γὰρ ὁ πρότερος καθόλου ὢν ἀγνωστότερος ἦν τοῖς ἀκούουσι καὶ βιαιότερος, διὰ τοῦτο ἐπήγαγε τὸν εἰδικὸν, συνάπτων αὐτὸν τῷ καθόλου καὶ πιθανώτερον ποιῶν τὸν συλλογισμόν. BFRSYTCV.

525, 5. Εἰ δὲ χορηγὸν ὄντα ὑμέτερον] Κατασκευὴ τοῦ

ἀνθορισμοῦ ἐκ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους. BFYTCP.

525, 8. Ἅμα γὰρ τῷ Δημοσθένει καὶ ὁ χορηγὸς ὑβρίζετο] Τοῦτό ἐστι τὸ κατὰ σύλληψιν νόημα. Μετὰ γὰρ τὸν ἀνθορισμὸν, ὃν ἐβεβαίωσε τῷ συλλογισμῷ, ἀναγκαῖον ἦν ἐπάγειν τὸ κατὰ σύλληψιν, ὥστε συλλαβεῖν αὐτοῦ καὶ τὸν ὅρον καὶ τὸν ἀνθορισμόν. BFRSYTC.

525, 10. Χρὴ δὲ ὅταν μὲν θῆσθε τοὺς νόμους] Ἐντεῦθεν ἡ τοῦ νομοθέτου διάνοια, ἵνα καὶ ἐξ αὐτῆς βεβαιώσῃ τὸν συλλογισμόν. BRS. Ἐντεῦθεν εἰσέβαλεν εἰς τὴν τοῦ νομοθέτου διάνοιαν, ἵν' ἐξ ἐκείνης βεβαιώσῃ τὸν συλλογισμόν. Διαφέρει δὲ νόμου διάνοια νομοθέτου διανοίας, ὅτι ἐν μὲν τῇ τοῦ νόμου διανοίᾳ τὸν νόμον αὐτὸν ὡς ἀσαφῆ πρὸς τὸ ἡμῖν συμφέρον ἐξηγούμεθα, τὴν δὲ τοῦ νομοθέτου διάνοιαν ἔξωθεν ἐξετάζομεν, ὅτι γνοὺς οὕτως ἐνομοθέτησεν, οὐκ ὄντων ἀσαφῶν τῶν νόμων.

525, 13. Καὶ ἄλλως δίκαια] Καὶ χωρὶς τοῦ ὀμόσαι δηλονότι.

525, 14. Ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος] Ἑτέρα κατασκευὴ, ὡς ἐστὶ δημόσια τὰ ἐν ταῖς ἑορταῖς ἀδικήματα, ἀπὸ τῆς γνώμης τῶν νομοθετῶν. Ἐπεὶ διὰ τί νόμον ἕτερον τὸν τῆς προβολῆς εἰς χάριν τοῦ Διονύσου, πρεσβεύοντες τὴν πανήγυριν, ἔθεντο, εἰ ἐξήρκουν οἱ πρότεροι; Σεμνύνει δὲ τῷ ῥήματι τὸν νόμον ἱερὸν κεκληκώς. Βούλεται οὖν ἐκ τῆς τοῦ νομοθέτου διανοίας δημόσιον ἀποδεῖξαι τὸ γεγονὸς, καί φησιν ὅτι διὰ τοῦτο τὸν περὶ τῶν Διονυσίων νόμον ἔθηκεν, ὄντων περὶ τῆς βλάβης νόμων καὶ τῆς ἀδικίας καὶ τῆς ὕβρεως, πρόδηλον ὅτι μείζονος τιμωρίας ἀξιῶν τοὺς περὶ τὴν ἑορτὴν πλημμελοῦντας, καὶ εἶπε τοὺς νόμους τούτους, καθ' οὓς ἀξιοῖ Μειδίας κρίνεσθαι, τοὺς περὶ βλάβης καὶ τῶν ἄλλων. Εἰ γὰρ τούτων ὑπαρχόντων ὕστερον ὁ περὶ τῶν Διονυσίων ἐτέθη, πρόδηλον ὅτι οὐ κατὰ τοὺς παλαιοὺς, ἀλλὰ κατὰ τὸν ὕστερον ὀφείλει κρίνεσθαι.

525, 15. Εἰ τοίνυν ἀπέχρη] Ἐπαναφορὰ τὸ σχῆμα, ὅταν ὁλόκληρος λέξις ἐπ' ἀμφοῖν τοῖν κώλοιν κατ' ἀρχὰς γένηται, καὶ ἔστιν ἐπιμελείας καὶ κάλλους. BYTCP.

Ἀπέχρη] Ἤρκει. B.

525, 19. Εἴ τις οὖν κἀκείνοις] Ὁμοίως τοῖς περὶ τῆς αἰκίας λέγει καὶ τῆς ὕβρεως. Ἔστι δ' ἀντίθεσις συγγνωμονική.

525, 20. Καὶ τούτῳ τῷ μετ' ἐκείνους τεθέντι] Τῷ περὶ τῶν Διονυσίων λέγει, ἵν' ἔκ τε τῶν ἰδιωτικῶν νόμων καὶ τοῦ περὶ τὴν ἑορτὴν τὸ κατὰ σύλληψιν βεβαιώσῃ.

525, 22. Ἀπήγγελλε τοίνυν τίς μοι] Ἐστὶ παραδειγματικὴ μέν πως ἡ ἀντίθεσις, εἰσῆκται δὲ καὶ κατὰ συγγνώμην ὑπὸ τοῦ ῥήτορος πρὸς τὸ ἑαυτοῦ συμφέρον, ἵνα δειχθῇ ἐπὶ δεήσεις καταφεύγων ὡς ὄντως ἠδικηκώς. Ἐπεὶ ὅ γε Μειδίας οὐχὶ συγγνώμην αἰτεῖ, ἀλλὰ τῷ ὅρῳ συνάπτει, φάσκων ὅτι οὕτως ἰδιωτικόν ἐστι τὸ γεγονός. Πρόεδροι γὰρ καὶ θεσμοθέται πληγέντες οὐκ ἐπεξῆλθον, ἀλλὰ ἰδίᾳ διελύσαντο. Ὡς εἴ τις αὐτὴν τὴν ὁρικὴν συνῆψεν, οὕτως ἂν αὐτὴν ὁλόκληρον γίνεσθαι. Καὶ γὰρ καὶ πρόεδροι καὶ θεσμοθέται πληγέντες ἰδίαν δίκην ἔλαχον. Ὁ δὲ Δημοσθένης εἰδὼς τὴν ἰσχὺν τῆς ἀντιθέσεως ἰδίᾳ μὲν τὴν ὁρικὴν, ἰδίᾳ δὲ τὴν παραδειγματικὴν εἰσήγαγεν, ἥντινα μετέστησεν εἰς συγγνώμην. Δεῖ γὰρ ἐκ τῶν λύσεων κανονίζειν τὰς ἀντιθέσεις.

525, 27. Ὑποφορά. S.

525, 28. Ὃς ἔναγχος ἐπλήγη] Οἱ θεσμοθέται τῶν τε ἄλλων ἐπεμελοῦντο καὶ δὴ καὶ τῆς εὐκοσμίας, καὶ νύκτωρ περιιόντες ἐσκόπουν μή τινες ἁρπαγαὶ γίγνωνται. Τότε οὖν εὑρών τινας νεωτέρους ἁρπάζοντας τὴν αὐλητρίδα, ἠβουλήθη ἀφελέσθαι, καὶ οὕτως ὑπ' αὐτῶν ἐπλήγη.

526, 12. Ἔτι τοίνυν] Ὁρᾷς ὅπως συγγνωμονικὴν ἐποίησε τὴν ἀντίθεσιν, λέγων ὅτι οὐκ ἄξιός ἐστι συγγνώμης. Εἶτα κέχρηται ἀντεξετάσει διπλῇ, τίνα μὲν Μειδίᾳ πέπρακται καὶ τοῖς ἄλλοις ὑβρισταῖς, τίνα δὲ αὐτῷ καὶ τοῖς ὑβρισθεῖσιν. BRSY. Ὁρᾷς ὅπως συγγνωμονικὴν ἐποίησε τὴν ἀντίθεσιν, λέγων ὅτι οὐκ ἄξιός ἐστι συγγνώμης· καὶ δίδωσιν αὐτοῖς τῆς [συγ]γνώμης τὰς προφάσεις, Μειδίας δὲ τούτων οὐδεμίαν ἔχει τὴν πρόφασιν. Τί οὖν; ἀντεξετάζει τὰ πραχθέντα αὐτῷ τε καὶ τῷ θεσμοθέτῃ, καὶ μέμφεται, διότι μὴ ἐπεξῆλθε τοῖς ὑβρισταῖς. Ποιεῖται δὲ τὴν λύσιν ἐκ διαφορᾶς· συγκρίνει γὰρ καὶ τὰς πληγὰς καὶ τοὺς πλήξαντας. Δίδωσι δὲ τῷ κατὰ τὸν θεσμοθέτην ἀπολογίας πλείονας διὰ τὸ τοῦ προσώπου σεμνόν. Τρία γὰρ πάθη κατασχόντα τὴν ψυχὴν καὶ βιασάμενα τὴν διάνοιαν ἐργάζεται καὶ τὴν παραίτησιν.

527, 2. Εἰ μὲν τοίνυν ἐκείνων] Αὐτὸν τὸν Μειδίαν πεποίηκε κατηγοροῦντα τοῦ προέδρου καὶ τοῦ θεσμοθέτου, ὅτι τοῖς ὑβρίσασιν οὐκ ἐπεξῆλθον. BRSYTCV.

527, 9. Καὶ νῦν ἀποδεδωκὼς ὑμῖν] Κυρίως ἀποδεδωκώς· αὐτοῖς γὰρ ὠφείλετο· ἀποδίδωσι δὲ τὸ ἀλλότριόν τις.

527, 13. Ποία γὰρ πρόφασις] Ἑτέρα συγγνωμονικὴ ἀντίθεσις, ὅτι δι' ὀργὴν ἐποίησα. Καὶ δείξας ὅτι οὐ δι' ὀργὴν, ἀλλ' ἐκ προνοίας ἐπεβούλευσεν, ἐπάγει καὶ τὰς κατασκευὰς ἀπὸ τοῦ, ἀλλὰ μήν. RSY. Μεταβέβηκεν ἐφ' ἑτέραν συγγνωμονικὴν ἀντίθεσιν, ὅτι οὐ δι' ὀργὴν, ἀλλ' ἐκ προνοίας. Ἐπάγει λοιπὸν τὰς κατασκευὰς, ὅτι τοῖς ἑκουσίοις πλημμελήμασιν οὐδεμίαν χρὴ συγγνώμην ἀπονέμειν.

527, 14. Ὀργὴ νὴ Δία] Ὁρισμοὶ δεικνύντες τί μὲν ὀργὴ, τί δὲ ὕβρις, ὡς τὸ μὲν ἐκ τοῦ παραχρῆμα, τὸ δὲ ἐκ μελέτης συμβαίνει. TCV. Συγγνωμονικὴ ἀντίθεσις. BY.

527, 22. Ἀλλὰ μὴν ὁπηνίκα] Ἐντεῦθεν ἡ ἀρχὴ τῆς κατασκευῆς. Οὐδὲ γὰρ ἀρνεῖται Μειδίας ἃ πεποίηκεν, ὅτι [δ'] οὐ δι' ὀργὴν, ἀλλ' ἐξ ἐπιβουλῆς.

Ἀλλὰ μὴν ὁπηνίκα] Κατασκευὴ, ὅτι τοῖς ἑκουσίως πλημμελοῦσιν οὐδεμίαν χρὴ συγγνώμην ἀπονέμειν· τῆς γὰρ συγγνωμονικῆς ἀντιθέσεώς ἐστιν ἡ λύσις. BRSY.

527, 24. Τοὺς νόμους ἤδη δεῖ σκοπεῖν] ὅτι τὰ ἑκούσια μειζόνως κολάζουσιν.

527, 28. Πρῶτον μὲν τοίνυν] Καθ' οὓς βούλεται Μειδίας ἀγωνίζεσθαι, κατ' αὐτοὺς δείκνυσιν αὐτὸν μεγάλης τιμωρίας ἄξιον, ἵνα κἂν ἰδιωτικὸς ὁ ἀγὼν ἀποδειχθῇ, μὴ μικρὸν μηδὲ φαῦλον ὑποστῇ τὸ τίμημα.

528, 5. Ἔπειθ' οἱ φονικοί] Περὶ φόνου διαφορᾶς. B. Καὶ τούτους τοὺς νόμους ἀκολούθως παρέλαβεν. Ἐπειδὴ γὰρ πληγὰς εἴληφεν, ἐκ δὲ τῶν πληγῶν καὶ τὰ τραύματα παρακολουθεῖ, ἐκ δὲ τῶν τραυμάτων φόνοι, διὰ τοῦτο κἀκείνοις τοῖς νόμοις ὑπεύθυνον αὐτὸν ἀποδείκνυσι, δοκῶν μὲν ὡς εἰς παράδειγμα αὐτοὺς λαμβάνειν, τῇ δὲ ἀληθείᾳ κἀκείνοις ἔνοχον αὐτὸν ποιῶν.

528, 8. Αἰδέσεως] Οἷον ἀξιώσεως. Εἰ γὰρ δεηθείη τινὸς τῶν συγγενῶν τοῦ ἀνῃρημένου, εἶτα ἐκεῖνος ἐπιτρέποι, καταλύεται ὁ φόνον ἀκούσιον δράσας.

528, 9. Οὐ μόνον δ' ἐπὶ τούτων] Ὅτι τὴν συγγνωμονικὴν ἀντίθεσιν λύει πρόδηλον καὶ ἐκ τούτων. Φησὶ γὰρ ὅτι ὁ ἐκ προαιρέσεως ποιήσας μεγάλης τιμωρίας ἐστὶν ἄξιος. Τὸ γὰρ ἐκ προαιρέσεως προσθεὶς μεγάλας τὰς τιμωρίας ἐποίησεν, ἵνα κἂν δόξῃ τοιοῦτος ὁ ἀγὼν εἶναι, μείζους πα-

ράσχῃ τὰς δίκας τῶν ἄλλων. Πῶς; ἢ δι' ἄγνοιαν, ἢ δι' ὀργὴν, ἢ δι' ἔρωτα, ὡς εἴρηκεν ἐν τοῖς ἄνω.

528, 12. Οὐκ ἔτ' ἐποίησεν ὁ νόμος] Ἔλαβεν εἰς ἀπόδειξιν πάλιν οἰκεῖον παράδειγμα. Ἐπειδὴ ἐξούλης ἔχει δίκην πρὸς αὐτὸν, βούλεται δεῖξαι νῦν ὅτι καὶ ὑπὲρ ἐκείνης δημοσίαν δίκην ὀφείλει ὑποσχεῖν. Ἐξούλης δὲ ἦν, ὅτε ἐκινδύνευεν ἐκπεσεῖν κτήματός τινος, ἢ χωρίου, ἢ οἰκίας, διὰ τὸ μὴ ἐκτετικέναι τὴν καταδίκην κατὰ χρόνον τὸν ὡρισμένον, καὶ ἐγίγνετο δημόσιον τὸ τίμημα. Ἐπειδὴ γὰρ καὶ οἱ διαιτηταὶ νόμιμοί τινες ἦσαν δικασταὶ, τούτων δὲ παρήκουεν, ὡς μὴ κατὰ προθεσμίαν ἀποδιδοὺς τὸ κατεγνωσμένον, δημοσίαν ἐδίδου τὴν δίκην. Ἐξούλης ὄνομα δίκης κατὰ τῶν μὴ στερξάντων οἷς ὥρισαν οἱ δικάζοντες. Ὁ δὲ νοῦς τοιοῦτος· ἐάν τις ἰδιωτικὴν νικήσῃ δίκην, λαμβάνει τὸν ἡττηθέντα ἐπεύθυνον. Εἶτα ἂν μὴ εἴσω τῆς προθεσμίας ἐκτισθῇ ὃ κατεδικάσθη, ἀλλὰ γένηται ὑπερήμερος, ἔξεστι γράψασθαι καὶ ἐπιλαβέσθαι αὐτοῦ τῶν χρημάτων, ἕως οὗ πληρώσῃ τὸ ὁρισθέν. Εἰ δὲ κωλύοι τὸν ἁπτόμενον καὶ ἀπελαύνοι, γράφεται αὐτὸν κατὰ τὴν ἐξούλην, καὶ γίγνεται μετὰ τοῦ ἰδιωτικοῦ καὶ δημόσιον τὸ πρᾶγμα λοιπὸν, ὅτι ἠπείθησε τοῖς δικασταῖς καὶ τοῖς νόμοις.

528, 14. Τί δήποτε ἐὰν μὲν ἑκὼν παρ' ἑκόντος] Ἐπειδὴ ἠδύνατο λέγειν ὁ Μειδίας ὅτι ὁ χρυσοχόος ἔδωκέ μοι τοὺς στεφάνους, διὰ τοῦτό φησιν ὅτι εἰ μὲν παρ' ἑκόντος ἔλαβες, ἀκίνδυνον, εἰ δὲ βίᾳ παρ' ἄκοντος, τοῖς διπλασίοις ὑπεύθυνος καθέστηκας.

528, 23. Καὶ τὸν μὲν πεισθέντα ἰδίας] Πρὸς τὸν θεσμοθέτην καὶ τὸν πρόεδρον ἀποτείνεται.

528, 24. Τὸν βιασθέντα] Περὶ αὐτοῦ νῦν αἰνίττεται.

528, 25. Διόπερ καὶ τῆς ὕβρεως αὐτῆς] Ὅπερ ἄνω δι' αἰνιγμάτων ἐπεδείκνυε, τοῦτο νῦν σαφῶς ἔθηκεν, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν [ἀδίκημα]. Εἰ γὰρ πᾶσιν ἔξεστι κατηγορεῖν τοῦ ὑβριστοῦ, πρόδηλον ὅτι κοινὸν ἁπάντων τὸ ἔγκλημα. Καὶ πεποίηκε τὴν ὕβριν ἴσον τοῖς φόνοις καὶ πάσαις ἱεροσυλίαις καὶ ταῖς προδοσίαις καὶ τοῖς τοιούτοις, ἐφ' ὧν ἔξεστι παντὶ τῷ βουλομένῳ κατηγορεῖν.

528, 26. Τὸ τίμημα ἐποίησεν ὅλον δημόσιον] Πῶς ἀνωτέρω προειπὼν « Εἰ δ' ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν ἀφεὶς, » νῦν φησιν ὅτι ἐποίησε τὸ τίμημα ὅλον δημόσιον; ἐναντίον γὰρ τὸ λέγειν ὅτι ἐξῆν ὕβρεώς μοι δικαζομένῳ χρήματα λαμβάνειν τῷ νῦν φάσκειν ὅτι τὸ τίμημα τῶν ὕβρεων δημόσιόν ἐστιν. Ῥητέον οὖν ὅτι εἰ μὲν αὐτὸς ὁ παθὼν κατηγόρει τῆς ὕβρεως, αὐτὸς ἐλάμβανε καὶ τὸ τίμημα τὸ ἐκ τῶν νόμων· εἰ δὲ ἕτερος ἦν ὁ κατηγορήσας, δημόσιον ἐγίγνετο τὸ τῆς καταδίκης. Ἀκολούθως οὖν εἶπεν ὅτι [τὸ] τίμημα ἐποίησεν ὅλον δημόσιον, διὰ τὸ προειπεῖν ὅτι τὰς γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ.

529, 1. Χρήματα δ' οὐ προσῆκεν] Οὐ περὶ αὐτοῦ λέγει τοῦ παθόντος, ἀλλὰ τῶν ἔξωθεν κατηγορούντων.

529, 2. Καὶ τοσαύτῃ γε ἐχρήσατο ὑπερβολῇ] Καὶ διὰ τούτου τοῦ νόμου δείκνυσιν οὐκ ἄξιον συγγνώμης Μειδίαν, εἴπερ καὶ τοῖς ὑβρίζουσι τοὺς δούλους θάνατός ἐστιν ἡ ζημία.

529, 3. Ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις] Τῇ ὁμωνυμίᾳ σοφίζεται. Ὕβρις μὲν γὰρ καὶ ἡ τῶν πληγῶν, ὕβρις δὲ καὶ ἡ αἰσχρὰ συνουσία, περὶ ἧς ὁ νομοθέτης λέγει. Οὕτω γὰρ εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, οὐδὲ κατὰ τῶν οἰκετῶν τὰς αἰσχρὰς γίνεσθαι μίξεις. Τὸ γοῦν ὄνομα τῆς ὕβρεως ἐπ' ἀμφοτέρων λεγόμενον ἄδειαν τῷ ῥήτορι τοῦ χρῆσθαι τῷ σοφίσματι δέδωκεν.

529, 4. Οὐ γὰρ ὅστις ὁ πάσχων] Μὴ τοῦτο σκόπει, φησὶν, εἰ Δημοσθένης ἐστὶν ὁ ὑβρισθεὶς, ἀλλ' εἰ τὸ ὑβρίζειν παρὰ τοὺς νόμους μεμελέτηται.

529, 8. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι] Ἐπειδὴ γλίσχρως ἐδόκει ποιεῖν καὶ περὶ τῶν δούλων ἀγωνιζόμενος, καθόλου τὸ τῆς ὕβρεως ηὔξησεν ὡς ἀφόρητον, κἂν εἰς δοῦλον γίνηται.

529, 11. Οὐδὲν γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου] Οὐδὲν γὰρ ἄλλο τοιοῦτον ἡδὺ ὡς τὸ ἀκούειν τοῦ νόμου, καὶ οὐδὲν τοιοῦτον εἰπεῖν ἡμεῖς ὃ αὐτὸς ὁ νόμος βοᾷ τε καὶ δείκνυσιν.

529, 18. Εἰς τὴν ἡλιαίαν] Εἰς τὸ δικαστήριον. B.

529, 28. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι] [εἰ] Οὐκ ἠκούσατε; ἀλλὰ καὶ νῦν βοῶντος ἀκούετε τοῦ νόμου, φησὶν, οὐκ ἀνθρώπου τινὸς, οὐ γάρ ἐστιν ἡ τῶν δούλων πρὸς τοὺς ἐλευθέρους φύσις, ἀλλ' ἡ τύχη τὸ διαλλάττον ἐκαινοτόμησεν. Ὅσῳ δ' ἂν μᾶλλον ἐπαινέσῃ τὸν περὶ τῶν δούλων νόμον, τοσούτῳ χαλεπώτερα δείξει τὰ Μειδίᾳ κατ' αὐτοῦ τολμηθέντα.

530, 1. Τί οὖν πρὸς θεῶν] Ἐπὶ γένος ἀνήμερον ἀνήνεγκε τὴν κρίσιν τῶν νόμων. Εἰ γὰρ καὶ τῆς βαρβάρων ὠμότητος κρείττων ὁ νόμος, ὥστε κἀκείνους ἐπαινέσαι τὴν φιλανθρωπίαν τοῦ γράμματος, ποῖόν τινα χρὴ νομίζειν εἶναι Μειδίαν τὸν καταφρονήσαντα τοῦ νόμου;

530, 2. Παρ' ὧν τὰ ἀνδράποδα] Πάλαι γὰρ οὐκ ἐξῆν Ἕλληνα εἶναι δοῦλον, ἀλλὰ βαρβάροις ἐκέχρηντο.

530, 4. Ὅτι εἰσὶν Ἕλληνές τινες] Οὕτω τοῦ πλασθέντος προσώπου δοκοῦσιν οἱ λόγοι.

530, 7. Καὶ φύσει τῆς πρὸς ἡμᾶς ἔχθρας] Ἐστὶ μὲν τοῦτο κοινὸν, αὐξήσεως δὲ ἕνεκα εἴληπται. Διτταὶ δέ εἰσιν αἱ ἔχθραι, ἡ μὲν ἐκ φύσεως, ἡ δὲ ἐκ προαιρέσεως. Καὶ γὰρ καὶ φιλίαι εἰσὶ διτταὶ, ἡ μὲν φύσει πρὸς τοὺς συγγενεῖς, ἡ δὲ ἐκ τοῦ παρατυχόντος συμβαίνουσα.

530, 10. Ἀλλὰ νόμον δημοσίᾳ] Τοῦτόν φησιν, ὃν μετὰ χεῖρας ἔχω. Οὐ χαρίζομαι τοῖς λόγοις, ἀναγινώσκω τὰς συλλαβὰς, ἔχω πλησίον τὸν ἔλεγχον, αὐτὸν ἥκω κομίζων τὸν νόμον, οὐκ ἐφθόνησα ὑμῖν τῆς γνώσεως.

530, 11. Καὶ πολλοὺς ἤδη παραβάντας] Ἵνα μή τις ὑπολάβῃ ὅτι φιλάνθρωπος μὲν ὁ νόμος, παραβαίνεται δὲ καὶ καταφρονεῖται, εἶπεν ὡς θανάτῳ τις ἤδη παραβὰς τοῦτον κεκόλασται.

530, 13. Καὶ συνεῖεν οἱ βάρβαροι] Ἀνοητότεροι γὰρ καὶ ἧττον τῶν Ἑλλήνων νοῆσαι δυνάμενοι.

Οὐκ ἂν οἴεσθε] Ἐπειδὴ γὰρ φυσικὸς πόλεμός ἐστι τοῖς βαρβάροις πρὸς τοὺς Ἕλληνας, καὶ διὰ τοῦτο οὐ θαρροῦντες ἐπιμίγνυνται τοῖς Ἕλλησι, διὰ τοῦτό φησιν ὅτι παρ' ὑμῖν μόνοις οὐκ ἂν φοβηθεῖεν καταλῦσαι, μαθόντες ὑμῶν τὴν φιλανθρωπίαν.

530, 14. Προξένους] Προστάτας, φροντιστάς. BY.

530, 15. Τὸν τοίνυν μὴ παρὰ τοῖς Ἕλλησι μόνον] Συμπεράσματι κέχρηται τοῦ νοήματος, μᾶλλον δὲ καὶ ὅλης τῆς συγγνωμονικῆς ἀντιθέσεως, δεικνὺς ὅτι οὐδεμιᾶς φιλανθρωπίας ἄξιος ὁ Μειδίας. BYTCV.

530, 18. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, χορηγὸς ὢν] Ἐντεῦθεν εἰσέβαλεν εἰς τὸ πρός τι, βουλόμενος αὐξῆσαι τὸ ἔγκλημα, καὶ γέγονεν ἀκόλουθος ἡ εἰσαγωγὴ τοῦ κεφαλαίου. Εἰ γὰρ ὁ τοὺς δούλους ὑβρίζων οὐκ ἄξιος συγγνώμης, πόσῳ μᾶλλον ὁ τὸν χορηγὸν τυπτήσας; ἔχει μὲν αὔξησιν τὸ πρός τι τοῦ ἐγκλήματος, οὐ μὴν ἀπήλλακται τῶν ἀγώνων. Ἀποδεικτικῶς γὰρ αὐτῷ χωροῦσιν

αἱ αὐξήσεις. Τεττάρων δὲ ὄντων τῶν τόπων τοῦ πρός τι, ἀπὸ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος καὶ τοῦ ἐναντίου καὶ τοῦ ἴσου, τοῖς πᾶσι κέχρηται, καὶ πρῶτόν γε ἔθηκε τὸν ἀπὸ τοῦ μείζονος.

Εἰ μὲν τοίνυν] Ἐντεῦθεν εἰσέβαλεν εἰς τὸ πρός τι, βουλόμενος αὐξῆσαι τὸ ἔγκλημα, καὶ γέγονεν ἀκόλουθος ἡ εἰσαγωγὴ τοῦ κεφαλαίου. Ηὔξησε δὲ τὸ κεφάλαιον ἐκ τῶν τεσσάρων τόπων τοῦ πρός τι, τοῦ μείζονος, τοῦ ἐλάττονος, τοῦ ἐναντίου, καὶ τοῦ ἴσου. BY. Α' τόπος τοῦ πρός τι ἀπὸ τοῦ μείζονος. RSYTCDG.

530, 21. Νῦν δέ μοι δοκεῖ] Τοῦτό τινες μὴ νοήσαντες ὅτι αὐξήσεως εἴληπται ἕνεκεν, περὶ ἀσεβείας εἶναι τὴν κρίσιν ἀπεφήναντο. Εἶτα προσέθηκε τὴν ἀπόδειξιν τοῦ ἄξιον αὐτὸν εἶναι καὶ ἀσεβείας κρίνεσθαι. Φανερῶς μὲν γὰρ αὐτοῦ ἀσεβείας κατηγορεῖν ὀκνεῖ διὰ τὴν σαθρότητα τῶν πραγμάτων, πειρᾶται δὲ διὰ τῆς ἔξωθεν βίας καὶ τοῦτο κατασκευάζειν. Τίς οὖν ἡ κατασκευὴ τῆς ἀσεβείας; κατὰ μαντείας τοὺς χοροὺς συγκροτοῦμεν καὶ στεφανηφοροῦμεν, καὶ κνισῶμεν τὰς ἀγυιάς. Οὐκοῦν ὁ τύπτων τοὺς ἐστεφανωμένους κατὰ τὰς μαντείας εἰς τὰς μαντείας ἀσεβεῖ. Ὅθεν καὶ δῆλον ὡς οὐκ ἔστιν ἀσεβείας ἡ κρίσις· οὐ γὰρ τὸν Διόνυσον εἶναί φησι τὸν ἀσεβηθέντα, ἀλλὰ τὰς μαντείας. Κνισᾶν μέντοι τὰς ἀγυιὰς τὸ θύειν τοῖς Ἑρμαῖς. Ἀγυιὰς γὰρ τοὺς Ἑρμᾶς [ἐκάλουν] κατὰ στέρησιν, διὰ τὸ μὴ χεῖρας ἔχειν μηδὲ πόδας. Γυῖα δὲ τὰ μέλη, ἐξ οὗ καὶ Ὅμηρος (Il. 5, 122) « γυῖα δ' ἔθηκεν « ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν. »

Νῦν δέ μοι δοκεῖ] Ὁ τύπτων τοὺς κατὰ τὰς μαντείας ἐστεφανωμένους εἰς τὰς μαντείας ἀσεβεῖ. BY.

530, 23. Καὶ ὕμνους οὓς τῷ θεῷ ποιεῖτε] Ἀνιεροῦτε αὐτοὺς τῷ θεῷ, ἢ εἰς τὸ ὑμνεῖν αὐτοὺς παρασκευάζετε.

530, 26. Ἀνῃρημένον] Ἀναδοθὲν, μεμαντευμένον. P.

530, 28. Κνισᾶν ἀγυιάς] Κνίσης καὶ θυμιαμάτων πληροῦν τὰς ὁδοὺς, οἱ δὲ ἀγυιάς φασι τοὺς Ἑρμᾶς.

530, 29. Ἀνάγνωθι δέ μοι] Ἀπὸ τοῦ μείζονος. BY.

531, 16. Παρηνέγκατε] Παρήλθετε. P.

532, 1. Τί οὖν ἐκ τούτων ὑμεῖς ἐνθυμεῖσθε] Ἐπειδὴ ἀνέγνω μαντείας, ἐν αἷς ἐγέγραπτο ὅτι ἔδει θύειν Ἡρακλεῖ ἀλεξικάκῳ καὶ κνισᾶν τὰς ἀγυιὰς, ἐδόκει δὲ ταῦτα ἀπηρτῆσθαι πρὸς τὴν παροῦσαν κρίσιν, διὰ τοῦτο εἶπεν ὅτι μὴ πᾶσι τοῖς γεγραμμένοις ἐν ταῖς μαντείαις προσέχετε, ἀλλ' ἐνθυμεῖσθε τὸ προσγεγραμμένον ἐν πάσαις, τουτέστι τὸ χοροὺς ἱστάναι καὶ στεφανηφορεῖν· ταῦτα γάρ ἐστιν οἰκεῖα πρὸς τὴν παροῦσαν ἐξέτασιν.

532, 3. Τοῖς ἐφ' ἑκάστης μαντείας προφαινομένοις] Τοῖς γὰρ ἄρτι φοιτήσασι καὶ ἐπιφανεῖσι θεοῖς εἰ δεῖ θύειν ἐμαντεύοντο, καὶ μετὰ τὸ δηλοῦν εἰ δεῖ θύειν ἢ μὴ, προσετίθεσαν πάντως τὸ ἱστάναι χορούς.

Προφαινομένοις] Ἀπὸ τοῦ μαντείου δηλονότι. P.

532, 9. Ὑπὲρ αὐτῶν] Τῶν θεῶν δηλονότι ἁπάντων. P.

532, 11. Τὴν δὲ τῶν ἐπινικίων] Ἀντιπῖπτον ἔλυσεν ὅτι οὐ διὰ τὰς μαντείας, ἀλλὰ διὰ τὴν νίκην τὴν ἰδίαν περιέκειτο τὸν στέφανον. Ὁ δέ φησιν ὅτι ὁ μὲν νικήσας ὑπὲρ ἑαυτοῦ στεφανοῦται, ὁ δὲ πρὸ τοῦ ἀγῶνος ἐστεφανωμένος κατὰ τὰς μαντείας ἐστεφάνωται.

532, 16. Καὶ μὴν ἴστε γε τοῦτο] Β' τόπος ἀπὸ τοῦ ἐλάττονος S. Δεύτερον ἀπὸ τοῦ ἐλάττονος κατασκευάζει τὸν κατὰ Μειδίου. B. Ἐπλήρωσε τὸν ἀπὸ τοῦ μείζονος τόπον, ἐγγὺς ἀσεβείας ἀποδείξας τὸ ὑπὸ τοῦ Μειδίου πραχθὲν, καὶ ἐπάγει τὸν ἀπὸ τοῦ ἐλάττονος, ἔκ τε τῶν ξένων καὶ τῶν ἀτίμων αὐτὸν ἐργαζόμενος. Ὅπου γὰρ οὔτε ξένον οὔτε ἄτιμον ἔξεστιν ὑβρίζειν ἐν τῇ ἑορτῇ, πῶς οὐ πολλῷ πλέον φείδεσθαι προσήκει τῶν ἐπιτίμων καὶ ἀστῶν; Τέθεικε δὲ τὸ κατὰ τοὺς ξένους παράδειγμα, ὅπερ ἐστὶν ἀντὶ νομικοῦ. Δύο γάρ εἰσι νόμοι, περὶ οὓς στρέφεται, μὴ ἐξεῖναι ξένον ἀγωνίζεσθαι, καὶ ἕτερος νόμος, ἂν χορηγὸς ἀγωνιζόμενον τὸν ξένον καλέσῃ πρὸς ἄρχοντα ἐπὶ τῷ δοκιμάσαντα εἰ ξένος ἐστὶν ἐκβαλεῖν, διδόναι [πεντήκοντα] δραχμὰς, ἐὰν δὲ κελεύσῃ αὐτὸν ἀπελθόντα εἰς τὸ πλῆθος καθέζεσθαι ὡς ξένον, χιλίας διδόναι.

532, 17. Οὐχ ἑωράκατε ἁπλῶς] Ἔξεστι μὲν γὰρ, ἀλλ' οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ πανταχῇ, οὐδὲ ἐν τῷ θεάτρῳ, ἀλλ' ἔξω καθέζεσθαι, οἷον οὐ βιαίως ἀποσπάσειν μὲν ἀπὸ τοῦ χοροῦ, θεωρεῖν δὲ καὶ μετὰ τῶν ἄλλων καθέζεσθαι ἀναγκάσει.

532, 19. Ἀλλ' ἐὰν μὲν καλέσῃ] Πρόσκλησις τὸ προσκαλεῖσθαι εἰς τὸ δικαστήριον. TYP.

532, 21. Ὅπως μὴ τὸν ἐστεφανωμένον] Τὴν χρείαν τοῦ παραδείγματος ἔδειξεν· καθόλου γὰρ εἰπὼν τὸ « ἐστε- « φανωμένον » καὶ τὸ καθ' ἑαυτὸν συνήνεγκεν.

532, 24. Εἶτα τὸν μὲν χορευτὴν] Κατὰ τὸν νόμον τὸν εἴργοντα ξένον ἀγωνίζεσθαι. BTY.

Οὐδ' ὁ προσκαλέσας κατὰ τὸν νόμον] Καὶ μὴ ὁ νόμος προσκαλεῖν ἴσως ἐκώλυσε· λέγει οὖν τὸν ἕτερον νόμον, τὸν κελεύοντα ξένον μὴ ἀγωνίζεσθαι. Κακούργως δὲ εἶπεν. Οὐ γὰρ ἀπείρητο πανταχῇ, ἀλλ' εἰσελθόντα ἅπαξ εἰς τὸ θέατρον οὐκ ἔτι ἐχρῆν προσκαλέσασθαι, ἔξω δὲ ἐξῆν. Παρὰ τὸν τόπον οὖν καὶ τὸν καιρὸν ὁ σοφισμὸς ἐπάγεται.

532, 25. Τὸν δὲ χορηγὸν] Ἀνταπέδωκε τῷ παραδείγματι ἀκόλουθον αὔξησιν ταῖς προσθήκαις, ὅτι οἱ μὲν νόμοι καὶ δοκιμάζεσθαι μόνον τὸν ξένον οὕτως ἐκώλυσαν, οὗτος δὲ οὐ τὸν ξένον χορευτὴν, τὸν δὲ χορηγὸν συνέκοψε φανερῶς, παρόντων καὶ ξένων καὶ πολιτῶν.

533, 1. Τῶν ἀεὶ κυρίων] Τῶν λαχόντων δικάζειν. Αὐτοὶ γάρ εἰσι τοῦ τιμωρήσασθαι κύριοι.

533, 2. Φέρε δὴ πρὸς θεῶν] Ἕτερον παράδειγμα ἀπὸ τοῦ ἐλάττονος, τὸ κατὰ τοὺς ἀτίμους, πολλῷ ἔλαττον ὂν τοῦ κατὰ τοὺς ξένους. BSYTCV.

533, 3. Παραιτήσομαι δ' ὑμᾶς] Ἐπειδὴ μέλλει καταλέγειν ἀτίμους γεγονότας πολίτας ἀπαιτούσης τῆς χρείας, προθεραπεύει τὸ ἄτοπον, ἵνα μὴ δοκῇ ἐπεμβαίνειν.

Παραιτήσομαι] Ἀντὶ τοῦ ἱκετεύσω. B.

533, 5. Οὐ γὰρ ὀνειδίσαι μὰ τοὺς θεοὺς] Ἐπειδὴ ἀναγκαῖον ἦν μνημονεῦσαι τῶν πταισμάτων, διὰ τοῦτο ὅρκῳ προέλαβε τοὺς ἀκούοντας, ἵνα μὴ ὀνειδίζειν αὐτὸν ὑποπτεύσωσιν.

533, 9. Σαννίων ἐστὶ δήμου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων] Δῆλον ὅτι μετὰ τοῦ ῥυθμοῦ καὶ τοῦ προσήκοντος μέλους ᾄδειν διδάσκων. Τραγικοὺς δὲ, ἐπειδὴ ἴσως καὶ κωμικοί εἰσιν.

533, 10. Οὗτος ἀστρατείας ἑάλω] Ἄτιμος γέγονεν, ἐλεγχθεὶς ὡς δέον στρατεύεσθαι μὴ στρατευόμενος.

Καὶ κέχρηται συμφορᾷ] Ἐπιεικῶς ἐπὶ τὴν τύχην ἄγει τὸ κατηγόρημα, τὸν τρόπον ἐλευθερῶν.

533, 12. Φιλονεικῶν χορηγὸς] Οἷον φιλόνεικος εἰς τὸ νικᾶν καὶ ἡττᾶσθαι μὴ ἀνεχόμενος. Νέμει γὰρ καὶ τῷ μισθωσαμένῳ συγγνώμην.

533, 13. Ἠγανάκτουν οἱ ἀντιχορηγοὶ] λέγοντες « οἱ

« νόμοι παραβαίνονται, λέλυται τῆς πολιτείας ὁ θεσμὸς, « οἱ ἄτιμοι λοιπὸν πολιτεύονται. »

533, 16. Ὤκνησαν, εἴασαν, οὐδεὶς ἥψατο] Πολλὰ ὀνόματα κατὰ τοῦ αὐτοῦ, ὥστε δηλῶσαι τὴν ἡμερότητα.

533, 17. Τίς ἂν ὑμῖν ἴδοι τὸ συγκεχωρηκὸς] Οὕτως ἕκαστος αἰδοῖ τῆς ἑορτῆς πολὺ τὸ συγχωροῦν εἶχε κατὰ τὴν γνώμην.

533, 20. Τοσοῦτον ἀπέχει τοῦ χορηγόν τινος ἅψασθαι] Οὕτως ἡ γραφή. Καὶ γὰρ ἤρτηται τοῦ ἄνω « οὐδεὶς ἐχθρῶν ἐκώλυσε, » πόσῳ γε πλέον χορηγόν τις;

533, 21. Ἄλλος ἐστὶν Ἀριστείδης] Καὶ τοῦτο ἀπὸ τοῦ ἐλάττονος. Ἔνθα γὰρ εὐποροῦμεν πλειόνων παραδειγμάτων, οὐ παραιτητέον ἐκ τῶν αὐτῶν τόπων πολλάκις λαμβάνειν.

533, 22. Ἠτυχηκώς τι καὶ οὗτος τοιοῦτον] Ἀστρατείας ἑαλωκώς. Πάλιν δὲ ἐνέμεινε τῷ σκοπῷ « ἠτυχηκώς » εἰπὼν, οὐχ « ἠδικηκώς. »

533, 23. Καὶ ἥττων χορευτὴς] Δυσκίνητος γὰρ διὰ τὸ γῆρας ἐγένετο.

533, 24. Ἦν δέ ποθ' ἡγεμὼν τῆς φυλῆς κορυφαῖος] Τὸν χοροδιδάσκαλον λέγει. Οἱ γὰρ χορευταὶ ἐξ ἁπάσης ἐπελέγοντο τῆς φυλῆς, τῶν δὲ χορευτῶν μόνων ἦν χοροδιδάσκαλος. Τινὲς δὲ λέγουσιν ὅτι ὁ μὲν ἄλλος χορὸς διάφορος ὢν ἐξ ἄλλων φυλῶν συνελέγετο, ὁ μέντοι ἡγεμὼν ὁ κορυφαῖος καὶ μείζων ἀπὸ τῆς οἰκείας ἦν φυλῆς.

533, 27. Οὐδεὶς πώποτ' εἶδεν] Εἰ γὰρ ἦν ἀπελαθεὶς ὁ διδάσκαλος τοῦ χοροῦ, πρόδηλον ὅτι τὸ πλεονέκτημα ἐγίγνετο τοῦ ἀντιχορηγοῦ· διελύετο γὰρ ὁ τοῦ φιλονεικοῦντος χορός.

533, 29. Διὰ γὰρ τὸ δεῖν αὐτὸν] Ἐκέλευε γὰρ ὁ νόμος τοὺς ξένους προσκαλεῖν πρὸς τὸν ἄρχοντα, τοὺς δὲ ἀτίμους ἐπιλαμβάνεσθαι τῆς χειρὸς καὶ ἐξάγειν ἐκ τῆς θυμέλης.

534, 2. Ὥσπερ ἂν εἰ ξένον τις] Οὐ γὰρ ἐξῆν ἄλλως τὸν ξένον ἐξάγειν, ἀλλὰ προσκαλεσάμενον πρὸς τὸν ἄρχοντα.

534, 4. Αὐτόχειρ ὀφθῆναι] Ὅρα ὅπως τὸ τῶν ἀνδροφόνων ὄνομα ἔθηκεν ἐπὶ τῶν ὑβριστῶν ἐγγὺς ποιῶν τὸ πλημμέλημα παρὰ ταῦτα, εἰ ἐκβάλλει τοῦ χοροῦ τὸν διδάσκαλον.

534, 7. Τῶν ἀνηλωκότων πολλάκις] Δοκεῖ μὲν καθόλου λέγειν περὶ τῶν χορηγῶν, μάλιστα δὲ αὑτὸν σημαίνει, ὅτι πάντα τὰ ὄντα εἰς τὴν χορηγίαν ἀνάλωσεν.

534, 12. Καὶ προορᾶσθαι τὰς ὑμετέρας βουλήσεις] Ὅτι κἂν ᾖ νόμιμον, οὐ ποιεῖτε δι' εὐσέβειαν. Ἐβούλετο γὰρ ὁ δῆμος μηδένα θόρυβον γίνεσθαι κατὰ τὴν ἑορτήν· διὰ τοῦτο γὰρ κἂν παρανόμως τις ἠγωνίζετο, οὐ συνεχώρουν αὐτὸν ἐξάγεσθαι, ἀλλὰ τότε μὲν ἀγωνίζεσθαι, μετὰ ταῦτα δὲ κρίνεσθαι προσέταττον.

534, 18. Πολλῶν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι] Γ' τόπος ἀπὸ τοῦ ἐναντίου. BSY. Πληρώσας καὶ τὸν ἀπὸ τοῦ ἐλάττονος τόπον μετῆλθεν ἐπὶ τὸν τοῦ ἐναντίου. Οὗτος δέ ἐστι τοιοῦτος. Ἰφικράτης καὶ Χαβρίας ἐχθροὶ γινόμενοί τισιν, ὁ μὲν Διοκλεῖ, ὁ δὲ Φιλοστράτῳ, τοιοῦτον οὐδὲν ἐποίησαν, οὐκ ἐσθῆτας ἠφάνισαν, οὐ στεφάνους διέφθειραν, οὐκ ἄλλο οὐδὲν, Μειδίας δὲ τἀναντία τούτων ἐποίησεν, ὥστε τἀναντία ἐκείνοις πράξει. Εἰ τοίνυν ἐκεῖνοι θαυμαστοὶ τῆς ἐπιεικείας, μισητέος ἄρα τῆς θρασύτητος οὗτος. Ἰστέον δὲ ὅτι τὸν ἀπὸ τοῦ μείζονος τόπον ἔθηκε πρῶτον, ἐπειδὴ νεωστὶ ἐπέπαυτο δεικνὺς οὐκ ἄξιον εἶναι συγγνώμης τὸν Μειδίαν, καὶ ἀναγκαῖον ἦν τῷ μείζονι χρήσασθαι πρὸς τὸ μέλλον κινῆσαι τοὺς ἀκούοντας εἰς ὀργήν· δεύτερον δὲ τὸν ἀπὸ τοῦ ἐλάττονος· ἕπονται γὰρ ἀλλήλοις οἱ τόποι, καὶ ὁπότερος ἂν αὐτῶν ῥηθῇ πρότερος, ἀνάγκη τὸν ἄλλον δεύτερον ἕπεσθαι. Τρίτον δὲ τὸν ἀπὸ τοῦ ἴσου, διότι ὁ μὲν ἀπὸ τοῦ ἐναντίου, παραλιπὼν τὸν ἀπὸ τοῦ ἴσου, διότι ὁ μὲν ἀπὸ τοῦ ἐναντίου σφοδρότητα ἐκίνει τοῖς ἀκούουσιν ὥσπερ οἱ πρότεροι, ὁ δὲ ἀπὸ τοῦ ἴσου ἠθικήν τινα ἔχων ἐπιτίμησιν ἀμβλύτερος ἦν· τοῦτο δὲ πόρρω σφοδρότητος. Εἰκότως οὖν ἔθηκεν αὐτὸν πλησίον τῆς πηλικότητος, ἵνα τὴν ἀμβλύτητα τοῦ τόπου διὰ τῆς αὐξήσεως τῆς κατὰ πηλικότητα μᾶλλον ὀρθώσῃ, ἢ καὶ συσκιάσῃ τὸ ἠθικὸν αὐτοῦ διὰ τῶν πραγματικῶν τόπων τοῦ πρός τι καὶ τῆς πηλικότητος.

534, 24. Τισίαν τὸν Ἰφικράτους ἀδελφὸν] Ἰδοὺ γὰρ καὶ τῆς τύχης παρασχούσης τὴν πρόφασιν (ἠδύνατο γὰρ διὰ τὸν ἀδελφὸν ἐπηρεάσαι) οὐκ ἐτόλμησεν.

Φρονῶν δ' ἐφ' ἑαυτῷ τηλικοῦτον] Πρῶτος γὰρ Ἰφικράτης τιμῶν ἔτυχεν ὧν Ἁρμόδιος καὶ Ἀριστογείτων. Κόνωνος μὲν γὰρ πρώτου χαλκοῦς ἀνδριὰς ἔστη, ἀλλὰ τούτῳ μόνῳ ἐτιμήθη· Ἰφικράτης δὲ καὶ τὰς ἄλλας δωρεὰς τὰς ἐκείνοις ψηφισθείσας ἔλαβεν, ὥστε καί τινα τῶν ἀφ' Ἁρμοδίου δικάσασθαι τῷ Ἰφικράτει περὶ τῶν δωρεῶν ὡς ἀναξίως λαβόντι. Καὶ ἔστι Λυσίου λόγος εἰς Ἰφικράτην ἀναφερόμενος, ἔχων τὴν ἐπιγραφὴν « περὶ τῶν αὐτοῦ δωρεῶν, » ἐν ᾧ σκωφθεὶς εἰς δυσγένειαν παρὰ τοῦ κατηγόρου φησὶν ὅτι « τὸ μὲν ἐμὸν γένος ἀπ' ἐμοῦ τὴν ἀρχὴν τοῦ γνωρί« ζεσθαι λαμβάνει, τὸ δὲ σὸν μέχρι σοῦ τὴν δόξαν ἔστη« σεν. » Ἦν γὰρ ὁ Ἰφικράτης ἐκ σκυτέων γεγονὼς, ηὐδοκίμησε δὲ διὰ ταύτην τὴν πρόφασιν. Στρατιώτης ὢν καὶ ναυμαχῶν ἐπήδησεν ἀπὸ τῆς αὐτοῦ νεὼς εἰς πολεμίαν τριήρη, καὶ τὸν στρατηγὸν τῶν πολεμίων ἐναγκαλισάμενος μετῆλθεν αὖθις ἔχων αὐτὸν εἰς τὴν οἰκείαν τριήρη, καὶ διὰ τοῦτο τῆς ἀριστείας ἐπαινεθεὶς στρατηγὸς ἐχειροτονήθη, καὶ παρὰ πάντας τοὺς στρατηγοὺς τοὺς τότε μείζω τὴν πόλιν ὠφέλησεν.

535, 1. Οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας] Δύο πεποίηκεν ἐν ταὐτῷ. Καὶ κατὰ ἀναίρεσιν εἰσήγαγεν, ὅπερ οἰκεῖον τοῖς ἀπὸ τοῦ ἐναντίου ἐπιχειρήμασι, καὶ ταῦτα εἶπεν ἐκεῖνον μὴ πεποιηκέναι, ἅπερ αὐτὸς ὑπὸ Μειδίου πέπονθε. Τοῦτο γὰρ ἴδιον Δημοσθένους, τὸ πολλάκις τὰ αὐτὰ λέγοντα φεύγειν τὸ προσκορὲς διὰ τῆς ἐξαλλαγῆς τῶν μεθόδων καὶ τῶν σχημάτων.

535, 6. Ἠνείχετο] Τὴν καρτερίαν δηλοῖ, ὅτι καὶ ἀνιώμενος ὑπέφερεν.

535, 9. Πάλιν Φιλόστρατον] Δεύτερον ἀπὸ τοῦ ἐναντίου παράδειγμα. Καὶ γὰρ Χαβρίας γενόμενός τισιν ἐχθρὸς οὐδὲν ὧν Μειδίας ἐποίησεν.

535, 10. Τὴν περὶ Ὠρωποῦ κρίσιν] Ὁ Χαβρίας ἔπειθε Θηβαίοις βοηθῆσαι Ἀθηναίους, ὅτε ἐκινδύνευον, εἶτα σωθέντες ἀπέσπασαν τὸν Ὠρωπὸν, χωρίον ἐν τοῖς ὁρίοις κείμενον· ὑπωπτεύθη οὖν ὁ στρατηγὸς ὡς συνειδὼς καὶ προδοσίας ἐκρίθη. Τὸ δὲ θανάτου ἢ τὸ περὶ κοινῶς, ἵνα ᾖ τὴν περὶ θανάτου, ἢ ἐλλιπῶς, ὅτε ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν, ἵν' ᾖ θανάτου πικρότερον γενόμενον· ἵνα μή τις ὑπολάβῃ ὅτι ἡ πρᾳότης τοῦ γραψαμένου καταφρονεῖν παρεσκεύασεν.

535, 11. Καὶ πάντων τῶν κατηγόρων πικρότατον] Τῶν μὲν γὰρ ἄλλων εἰς χρήματα τιμωμένων τῷ Χαβρίᾳ μόνος ἐκεῖνος θανάτου ἐτιμήσατο.

535, 29. Ἡράκλεις] Ἐν τοῖς ἄγαν κακοῖς ἐπεκαλοῦντο τὸν θεὸν ὡς ἀλεξίκακον.

536, 1. Εἰ γὰρ ἑκάστῳ τῶν χορηγούντων] Πληρώσας καὶ τὸν ἀπὸ τοῦ ἐναντίου τόπον ἐπιλογικῇ ἐκδάσει ἐχρήσατο τελικὸν ἐχούσῃ κεφάλαιον, ὅτι οὐδεὶς ἐθελήσει χορηγὸς ἑκὼν καταστῆναι, μέλλων τοιαῦτα πάσχειν ὑπὸ τῶν ἐχθρῶν. Σύνηθες δὲ αὐτῷ πληρώσαντι κεφάλαιον ἐπιλογίζεσθαι.

536, 7. Ὅστις ἑκὼν ἂν μίαν δραχμὴν] Ἐπειδὴ κατ' ἀνάγκην καθίσταντο χορηγοί, διὰ τοῦτο εἶπε « τοὺς ἐκ « προαιρέσεως φιλοτιμεῖσθαι βουλομένους ἀπείρξετε. »

536, 12. Ἐγὼ τοίνυν] Ἐντεῦθεν ἐπὶ τὸν τοῦ ἴσου μεταβαίνειν βούλεται τόπον καὶ κέχρηται προεπαγγελίᾳ. Σύνηθες γὰρ καὶ τοῦτο τῷ Δημοσθένει. BSY.

536, 14. Καίτοι πᾶσιν ὑμῖν] Ἐντεῦθεν εἰς τὸν ἀπὸ τοῦ ἴσου τόπον μεταβῆναι βούλεται.

536, 19. Ἐχρῆν γὰρ αὐτὸν] Δ' τόπος ἀπὸ τοῦ ἴσου. BSY.

536, 26. Ἐμοὶ δὲ, ὃς εἴτε τις, ὦ ἄνδρες Ἀθηναῖοι] Τοῦτό ἐστιν ἠθικόν· ἐπαινεῖ γὰρ αὐτοῦ τὴν φιλοτιμίαν· καὶ ἵνα μὲν αὐξήσῃ τὸ ἀνάλωμα, μανίαν αὐτοῦ κατηγόρησεν, ἐκ τοῦ καθόλου πιστωσάμενος ὅτι πάντα τὰ ὑπὲρ δύναμιν μανία ἐστίν. Ἵνα δὲ μὴ ἀλογίας ὄντως φανῇ τὸ ἀνάλωμα, προσέθηκεν, « εἴτε καὶ φιλοτιμία, » δεικνὺς ὅτι διὰ φιλοτιμίαν μικροῦ τὰ τῶν μαινομένων ἔπραξα.

537, 1. Ὥστε μηδὲ τῶν ἱερῶν ἱματίων] Ταύταις ταῖς προσθήκαις τὸ ἰδιωτικὸν εἰς τὸ δημόσιον μεθίστησιν.

537, 3. Εἰ τοίνυν τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι] Πληρώσας ἅπαν τὸ πρός τι μετῆλθεν ἐπὶ τὴν πηλικότητα, ἥτις περιέχει μὲν αὔξησιν καὶ αὐτὴ τοῦ πραχθέντος, διαφόρως δὲ ἢ κατὰ τὸ πρός τι· ἐν ἐκείνῳ μὲν γὰρ τὸ δημόσιον ηὔξησεν, οἷον τὸ κατὰ τὸν χορηγὸν, ἐν ταύτῃ δὲ τὸ ἰδιωτικὸν, τὸ κατὰ τὰς πληγάς. Καὶ τὸ μὲν πρός τι τῶν ἐν αὐτῷ τῷ θεάτρῳ καὶ τῇ πανηγύρει πραχθέντων ἔχει τὴν ἐξέτασιν, ἡ δὲ πηλικότης καθόλου περὶ ὕβρεως ποιεῖται τὸν λόγον, ὅτι δεινὸν ἡ ὕβρις· ὥστε ἐκεῖ μὲν τὸ ἰδιωτικὸν, ἐνταῦθα δὲ τὸ γενικὸν ἐξετάζεσθαι. Καὶ ἐν μὲν τῷ πρός τι παντὶ προσάγει τὴν αὔξησιν, ἐν δὲ τῇ πηλικότητί τινα καὶ ἐλάττω. Αὔξει μὲν γὰρ τὴν Μειδίου θρασύτητα, καθαιρεῖ δὲ τὴν ἑαυτοῦ γνώμην, ὡς ἔλαττον τοῦ προσήκοντος ἐπὶ τοῖς γινομένοις παροξυνθεῖσαν. Ἴδιον δὲ μάλιστα πηλικότητος μὴ μόνον αὔξειν, ἀλλά τινα καὶ μειοῦν. Κἀκεῖ μὲν ὡρισμένους τόπους ἐγύμνασεν, ἐνταῦθα δὲ ἁπλῶς ἀορίστως τὰ ἐμπίπτοντα παραλαμβάνει πρὸς αὔξησιν. Ἔτι πρὸς τούτοις ἐν παντὶ τῷ λόγῳ πρῶτον μὲν τάττει τὰ δημόσια, δεύτερον δὲ τὰ ἰδιωτικὰ, ἵνα διὰ τῆς ἐκείνων προλήψεως καὶ ταῦτα ὡς δημόσια φαίνηται. Καὶ νῦν οὖν εἰκότως δευτέραν ἔταξε τὴν πηλικότητα τοῦ πρός τι· καὶ γὰρ τὸ ἰδιωτικὸν ἐν αὐτῇ περιείληφεν· ἐξ ἀντιθέσεως δὲ ἐπήγαγε τὴν πηλικότητα· τοῦτο δὲ ἐν ὅρῳ γίγνεται μόνῳ. Ἐν γὰρ ταῖς στάσεσιν ἡ πηλικότης ἐπιλογικὴν ἔχει τὴν χώραν· αὔξησιν γὰρ ἔχει· τῶν δὲ ἐπιλόγων ἡ αὔξησις, ἐν ὅρῳ δὲ κεφαλαίου δύναμιν ἔχει διὰ τὴν φύσιν τοῦ ὅρου· ἐν γὰρ τοῖς ὅροις, ἐν οἷς μάλιστα ὁμολογεῖται τὸ πεπραγμένον, περὶ αὔξησίν ἐστιν ἡ πᾶσα ζήτησις τῶν κεφαλαίων, τοῦ μὲν κατηγόρου τὸ μεῖζον ἐπάγοντος, τοῦ δὲ φεύγοντος ἐπὶ τὸ ἔλαττον ἀποκλίναντος. Ὥστε οὐδὲν κωλύει καὶ τὴν πηλικότητα αὔξησιν ἔχουσαν κεφαλαίου ἔχειν τὴν ἐργασίαν, τοῦ μὲν αὔξοντος ἐν αὐτοῖς, τοῦ δὲ μειοῦντος. Παρὰ δὲ τῶν δικαστῶν εἴληφε τὴν ἀντίθεσιν, εἰκότως. Ἔστι γὰρ περὶ τιμήματος ὁ λόγος· τὸ δὲ τιμᾶσθαι τοῦ τε κατηγόρου καὶ τῶν δικαστῶν ἐστιν. Συνήθως δὲ κἀνταῦθα τὴν δύναμιν τῆς ἀντιθέσεως ἐνήλλαξεν. Οὕτω γὰρ ἂν ὁ Μειδίας προήγαγεν· « ἀλλ' οὐδὲν πέπονθας δεινὸν, Δη« μόσθενες· οὔτε γὰρ σκέλος ἐπηρώθης οὔτε χεῖρας συνε« τρίβης οὔτ' ἄλλο τηλικοῦτον οὐδέν. Πῶς οὖν αὔξεις τὸ « πρᾶγμα καὶ θανάτου τιμᾷς; » Ἴδωμεν οὖν καὶ ταύτην τὴν ἀντίθεσιν. « Οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐγὼ τῷ « λόγῳ τὸ πρᾶγμα νῦν αἴρω. » Τοιαύτη ἦν ἡ ἀντίθεσις τοῦ Μειδίου, ἐλαττοῦσα τὸ γινόμενον, ὡς ἄρα ἱκανὸς τὰ μικρὰ ἐγεῖραι τῷ λόγῳ· δεινὸν γὰρ οὐδὲν ἐκ τούτων συμβέβηκεν. Ἀλλ' οὗτος τὴν πρώτην εἰσαγωγὴν τῆς ἀντιθέσεως παρὰ τῶν δικαστῶν ἔλαβεν, ἵνα δείξῃ τὸν μὲν Μειδίαν οὐκ ἔχοντα λοιπὸν ὅ τι ἀπολογήσεται, τοὺς δὲ δικαστὰς ἀμφιβάλλοντας περὶ τοῦ τιμήματος. Δῆλον οὖν ἐκ τούτων ὅτι πηλικότης ἐστὶν ἡ ἐξεταζομένη· περὶ γὰρ ποσότητος τοῦ τιμήματός ἐστιν ἡ ζήτησις.

Εἰ τοίνυν] Ἐνταῦθα ἡ πηλικότης, ἥτις περιέχει μὲν αὔξησιν τοῦ πραχθέντος, διαφόρως δὲ ἢ κατὰ τὸ πρός τι. Ἐξ ἀντιθέσεως δὲ εἰσήχθη, ἥτις ἐν ὅρῳ γίνεται μόνῳ· ἐν γὰρ ταῖς ἄλλαις στάσεσιν ἡ πηλικότης ἐπιλογικὴν ἔχει χώραν· αὔξησιν γὰρ ἔχει τῶν ἐπιλόγων· ἐν ὅρῳ δὲ κεφαλαίου δύναμιν ἔχει διὰ τὴν στενότητα τῶν ἐν τῷ ὅρῳ κεφαλαίων. BSY. Σημείωσαι· ἡ πηλικότης. B.

537, 6. Οὐ γάρ ἐστι δίκαιον] Ἀντίθεσις. B. Οὐδὲν, φησὶ, γέγονε δεινὸν οὐδὲ φόνος ἢ πήρωσις διὰ τὴν ἐμὴν ἐπιείκειαν, οὐ διὰ τὴν Μειδίου. Ὁ μὲν γὰρ πάντα τὰ εἰς αὐτὸν ἥκοντα πεποίηκεν, ἐγὼ δὲ μὴ βουληθεὶς ἀμύνασθαι παρέσχον ἀφορμὴν τοῦ μηδὲν ἀνήκεστον γενέσθαι.

537, 8. Ἀλλὰ τὸν μὲν] Τῆς πηλικότητος ἀντίθεσις καὶ ταύτης λύσις. BY.

537, 10. Οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν] Ἐπίκρισις τὸ σχῆμα. B. Αὕτη ἦν ἡ ἐξ ἀρχῆς τοῦ Μειδίου ἀντίθεσις « τῷ λόγῳ τὰ πράγματα φοβερὰ ποιεῖς, οὐδενὸς δεινοῦ « γεγονότος. » Ὁ δὲ ἐν ἀρχῇ μὲν ἐφοβήθη θεῖναι, προλαβὼν δὲ ταῖς λύσεσι καὶ ταῖς κατασκευαῖς τὸν ἀκροατὴν « ὅτι διὰ τὴν ἐπιείκειαν τὴν ἐμὴν οὐδὲν γέγονε δεινόν, » τότε ἔθηκε φανερῶς ὅτι οὐκ ὠφελεῖται Μειδίας ταῦτα προβαλλόμενος, δεδειγμένου τοῖς δικασταῖς ὅτι οὐ δι' ἐκεῖνον, ἀλλὰ δι' αὐτὸν οὐδὲν ἀνήκεστον γέγονεν.

537, 13. Ἀλλ' ἴσασιν ἅπαντες] Πρώτας τίθησι τὰς παραδειγματικὰς πίστεις, πιθανωτέρας οὔσας τοῖς ἀκούουσιν. Οὐ μὴν ἐπὶ τούτων ἔστιν εἰπεῖν ἀπὸ τοῦ μείζονος ἢ ἀπὸ τοῦ ἐλάττονος, ὥσπερ ἐν τῷ πρός τι· οὐδὲν γὰρ τοιοῦτον ἐν αὐταῖς καταφαίνεται.

537, 16. Ἰσχυρός τις ἦν μέλας] Ἐκ πολλῶν σημείων ἐπιφέρει τὴν μνήμην, ἔχει δὲ καὶ τῆς ὕβρεως ἔμφασιν. Ὁ παγκρατιαστὴς, ὁ γεγυμνασμένος ἐν τῷ τύπτεσθαι, φησὶ, καὶ φέρειν πληγὰς ἐπιστάμενος οὐκ ἤνεγκε τυπτηθείς· ἡ γὰρ ὕβρις τὴν ὀργὴν, οὐχ ὁ πόνος ἐκίνησεν. Ἀμφιβόλου δὲ ὄντος τοῦ ῥηθέντος εἴη ἂν ὁ μὲν Εὔθυνος ὁ λυπήσας, ὁ δὲ ἀποκτείνας ὁ Σώφιλος.

537, 18. Ἐν συνουσίᾳ τινὶ καὶ διατριβῇ] Τετραπλῆ ἐστιν ἡ τῆς πηλικότητος ἐργασία· καθαιρεῖ τὰ τῶν ἄλλων, ὅτι μικρὰ παθόντες μεγάλως ἠμύναντο, καὶ αὔξει τὰ καθ' ἑαυτὸν, ὅτι μεγάλα παθὼν οὐδ' ὅλως ἠμυνάμην, καὶ πάλιν αὔξει μὲν τὴν Μειδίου θρασύτητα, καθαιρεῖ δὲ τὴν ἑαυτοῦ γνώμην ὡς ἔλαττον τοῦ δέοντος παροξυνθεῖσαν, ἐξ ὧν ἐπιείκειαν ἑαυτῷ μαρτυρεῖ. Καὶ πρῶτον μὲν τὰ τῶν παθόντων ἐλαττοῖ. Σώφιλος καὶ Εὐαίων ἰδίᾳ τυπτηθέντες, καὶ φίλων ἐναντίον καὶ ἐν δείπνῳ, καὶ ἔνθα μὴ βαδίζειν ἐξῆν αὐτοῖς, ὅμως οὕτως ὠργίσθησαν ὥστε καὶ ἀπο-

κτεῖναι τοὺς ὑβρίσαντας. Ἐγὼ δὲ ἐν θεάτρῳ πάντων ἐναντίον τῶν Ἑλλήνων, καὶ οὗ πολλὴ ἦν ἀνάγκη βαδίζειν, ἐτυπτόμην, ἀλλ' ὅμως οὐκ ἠμυνάμην. Οὐκοῦν ἐν τούτοις ηὔξησεν ἃ πέπονθεν αὐτός.

537, 20. Ἴσασιν Εὐαίωνα πολλοὶ] Μέμφονται τοῦτο ὡς ἀσαφῶς ἀπηγγελμένον. Ἄδηλον γὰρ τίς ὁ τυπτήσας ἢ τίς ὁ φονευθεὶς καὶ πότερον Βοιωτὸς ἦν ὁ ἀποκτείνας ἢ Εὐαίων. Αἴτιον δὲ τῆς ἀσαφείας τὸ ὁμοιόσχημον τῆς ἀπαγγελίας Πάντα γὰρ τὰ ὀνόματα κατὰ πτῶσιν αἰτιατικὴν προήγαγεν.

537, 23. Οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις] Ἔδειξεν ὅτι τοῦ καθόλου καὶ γενικοῦ αὔξησιν ποιεῖται, συνεμφαίνει δὲ οὐδὲν ἧττον ἐν τῷ καθόλου τὸ καθ' αὑτόν. Καὶ τὸ ἐφ' ὕβρει δὲ καλῶς προσέθηκεν.

537, 25. Πολλὰ γὰρ ποιήσειεν ὁ τύπτων] Διατυπώσει κέχρηται. Ἴδιον δὲ μάλιστα τῆς πηλικότητος ἡ διατύπωσις, ἐπειδὴ ὑπ' ὄψιν ἄγουσα τὰ πράγματα πλείω ποιεῖ τὴν αὔξησιν. Ἔχει δὲ συγγένειαν πλείστην πρός τε ἔκφρασιν καὶ διήγησιν. Ἐν ἅπασι γὰρ τούτοις ἔκθεσίς ἐστι πραγμάτων γεγονότων, ἀλλὰ τὸ μὲν διήγημα ἁπλῆν καὶ ἀκατάσκευον ἔχει τὴν ἔκθεσιν, ἡ δὲ διατύπωσις τὸ πᾶν ἐν αὐξήσει καὶ ἐναργείᾳ κεῖται. Καὶ αὖ τὸ μὲν διήγημα κατ' ἀκολουθίαν πρόεισι τοῖς συνδέσμοις ἑνούμενον, ἡ δὲ διατύπωσις κομματική ἐστι καὶ ἀπόλυτος, δι' ἐξαλλαγῆς σχημάτων προϊοῦσα.

537, 28. Ὅταν ὡς ὑβρίζων] Σημείωσαι· ἐπαναφορά. B. Ταῦτα δὲ διὰ τοὺς πατέρας καὶ διὰ τοὺς διδασκάλους, οἵτινες οὐ δι' ἔχθραν, ἀλλ' ἐπὶ νουθεσίᾳ τύπτουσιν.

537, 29. Ὅταν κονδύλοις] Ἃς πέπονθεν αὐτὸς, ταῦτα ἐν τῷ καθόλου προάγει, φεύγων τὸ φανερῶς ἑαυτὸν ὑβρίζειν. Οὕτω καὶ ἐν τῷ περὶ στεφάνου (p. 228, 15) « εἰ μὲν ἴστε τοιοῦτον, » διὰ τῆς ἐμφάσεως μόνης ἀπελύσατο τὰς βλασφημίας.

Ὅταν ἐπὶ κόρρης] Τῆς κεφαλῆς, τουτέστιν ἐπὶ κόρσης, ὥσπερ μυρρίνη καὶ μυρσίνη.

Ταῦτα ἐξίστησιν ἀνθρώπους] Ἔξω ἑαυτῶν γενέσθαι καὶ μανῆναι ποιεῖ, καὶ τὸ αἴτιον ποῖον; ἀήθεις ὄντας· ταράττει γὰρ τὸ ἀπροσδόκητον καὶ οὐκ εἰθισμένον.

538, 8. Ὅσῳ πλείονα ὀργὴν ἐμοὶ προσῆκε] Τοῦτό ἐστιν ἐν ᾧ τὴν ἑαυτοῦ γνώμην ἐλαττοῖ μετὰ τῶν παθόντων, αὔξει δὲ τὰ καθ' ἑαυτόν.

538, 10. Ὁ μέν γε ὑπὸ γνωρίμου] Τῇ διαφορᾷ προσάγει τὴν αὔξησιν.

538, 11. Καὶ τούτου μεθύοντος] Ὑπέθετο γὰρ εἶναι συμπόσιον.

538, 15. Οἷ μηδὲ βαδίζειν ἐξῆν αὐτῷ] Τοῦτο δι' ἑαυτὸν καὶ τὴν ἀνάγκην τῆς λειτουργίας ἔφησεν, ὅτι ὁ μὲν εἰ ὑπώπτευέ τινα ἔσεσθαι ἀηδίαν ἑαυτῷ, ἐδύνατο καὶ φυλάττεσθαι καὶ μὴ ἀπελθεῖν εἰς τὸ δεῖπνον, ἐμοὶ δὲ οὐδὲ τοῦτο ἐξῆν παραβάλλοντι [μέλλοντι] χορηγεῖν.

538, 19. Καὶ ἐμαυτὸν μέν γε, ὦ ἄνδρες Ἀθηναῖοι σωφρόνως, μᾶλλον δὲ εὐτυχῶς] Εἰ μὲν γὰρ δεινὰ παθὼν ἐσωφρόνησε καὶ οὐκ ἐξήχθη, θαύματος ἄξιος· εἰ δὲ λέγων πάνδεινα πάσχειν οὐκ ὠργίσθαι φησὶν, ἀπίθανον τὸ τοιοῦτον· διὸ προσέθηκε « μᾶλλον δὲ εὐτυχῶς, » ἵνα μὴ γνώμης μόνον, ἀλλὰ καὶ εὐτυχίας φανῇ τὸ ἐπισχεῖν τὴν ὀργήν. Ἢ αὐξῆσαι βουλόμενος ἐπὶ πλέον τὴν διόρθωσιν ἔθηκεν. Τὰ μὲν γὰρ μικρὰ καὶ [διὰ] τῶν λογισμῶν διαφεύγομεν, ὅσα δὲ ὑπερβαίνει φύσιν ἀνθρωπίνην, τύχῃ δεξιᾷ κατορθοῦμεν.

538, 25. Καὶ τῶν δικασάντων τότε πολλοὶ] Συγγνώμην ἐσχηκέναι δηλαδή. P. Νέμει τῷ πεφονευκότι συγγνώμην, ἵνα μὴ δοκοίη αὐτὸς διὰ τὸ πεπονθέναι λέγειν.

538, 26. Μιᾷ μόνον ἁλῶναι ψήφῳ] Περιττῇ δηλονότι, οἷον εἰ τύχοι, τριάκοντα ἐκομίζοντο κατ' αὐτοῦ καὶ τοσαῦται ὑπὲρ αὐτοῦ. Οὐκοῦν αἱ καταγιγνώσκουσαι ὑπὸ τῶν ἑτέρων ἐξωθοῦντο· εἰ δὲ μία λείποι ταῖς ἀπογινωσκούσαις, ἡλίσκετο, ὥστε μικρὰν διδόναι τιμωρίαν.

Οὔτε κλαύσαντα] Ἔμελλε γὰρ δακρύων ὀλίγου τὴν σωτηρίαν ὠνήσασθαι, καὶ ἀπῆλθεν ἂν ἔχων τὴν νίκην μετὰ τὴν δέησιν.

538, 29. Θῶμεν τοίνυν οὑτωσὶ] Ἐξετάζει τὴν διάνοιαν τῶν κολασάντων.

539, 1. Καταγνόντας] Καταψηφισαμένους. S.

539, 2. Ἀλλ' ὅτι τοῦτον τὸν τρόπον] Ὥστε δεῖν μὲν ἀμύνασθαι, ὁ δὲ τρόπος τῆς ὑπερβολῆς μεμπτός.

539, 3. Καὶ ταύτην τὴν ὑπερβολὴν] Οἱ ἀνέντες δικασταὶ τὸν ὑβριστὴν ἄξιον εἶναι καὶ ταύτης τῆς μεγάλης ἀγανακτήσεως ἐνόμισαν. Σῶμα γὰρ ἐλεύθερον προπηλακίσας καὶ θανάτου τυχεῖν δίκαιος ἦν. Ἔοικε δὲ ταῦτα τῆς κατὰ τὴν πηλικότητα εἶναι αὐξήσεως.

539, 5. Τί οὖν ἐμοὶ τῷ τοσαύτῃ κεχρημένῳ] Ἐπανῆλθεν ἐπὶ τὸ ἐξ ἀρχῆς ἐν τῇ ἀντιθέσει κείμενον, ὅτι « οὐδὲν « γέγονε δεινόν· τί οὖν ἐμοὶ θανάτου τιμᾶσθε; » καὶ συμπεραίνει τὴν πηλικότητα « διὰ τὴν ἐμὴν πρόνοιαν οὐ« δὲν γέγονε δεινόν· οὐκοῦν παρ' ὑμῶν ὀφείλω κομίσα« σθαι τὴν ἄμυναν. »

539, 9. Καὶ παράδειγμά γε πᾶσι γενέσθαι] Συνήθως πάλιν τῇ ἐπιλογικῇ παρεκβάσει ἐχρήσατο. Τοῦτο γὰρ εἴωθε ποιεῖν, ἐπειδὰν κεφάλαιον πληρώσας ἐφ' ἕτερον μέλλῃ καταβαίνειν.

539, 14. Οἶμαι τοίνυν τινὰς ὑμῶν] Τοὺς μὲν ἀγῶνας καὶ τὰ κεφάλαια πάντα τὰ περὶ τὸ κρινόμενον πρᾶγμα πεπλήρωκεν, ἐντεῦθεν δὲ εἰσβάλλει λοιπὸν εἰς τὴν παρέκβασιν.* Ἔστι δὲ παρέκβασις λόγος ἐξαγώνιος μὲν, συναγωνιζόμενος δὲ πρὸς τὸν ἀγῶνα. Βούλεται οὖν διηγήσασθαι τὴν ἔχθραν τὴν ἀρχαίαν, ἥτις κατάστασις μὲν ἦν τοῦ ἀγῶνος, ἐπειδὴ δὲ ἰδιωτικὸν ἐποίει τὸν ἀγῶνα, διὰ τοῦτο ἐν ἀρχῇ μὲν παρῃτήσατο θεῖναι, νῦν δὲ εἰσάγει λοιπὸν, ὅτε ἀποδέδεικται δημόσιος ὢν ὁ ἀγών. Ὥσπερ γὰρ καθ' ἕκαστον κεφάλαιον πρῶτον εἰσήγαγε τὸ δημόσιον, οὕτω καὶ τῆς πάσης ἔχθρας καὶ τῶν εἰς αὐτὸν ἀδικημάτων πρῶτον μὲν ἐπήγαγεν ἅπερ ἔπαθε κατὰ τὴν ἑορτὴν, δεύτερα δὲ τὰ κατὰ τοὺς ἄλλους χρόνους, ἵνα τὰ μὲν δημόσια τάξιν ἔχῃ προηγουμένου, τὰ δὲ ἰδιωτικὰ τοῦ ἑπομένου. Ζητήσειε δ' ἄν τις εἰ τὰ τοιαῦτα ἐξαγώνια ὄντα μετὰ τῶν ἀγώνων τάττειν προσήκει, ἢ ἐπιλογικὰ δεῖ καλεῖν αὐτά. Ῥητέον οὖν ὅτι μέσην τινὰ φύσιν ἔχει τῶν τε ἀγώνων καὶ τῶν ἐπιλόγων. Ἧ μὲν γὰρ περὶ αὐτὸ τὸ πρᾶγμα τὸ κρινόμενον οὐχ ἵσταται, πλησιάζει τοῖς ἐπιλόγοις, ᾗ δὲ χωρεῖ δι' ἀποδείξεως καὶ ἀδικημάτων ἑτέρων μνήμην ἔχει κατὰ τοῦ φεύγοντος, ἐπιγράφεται τοῖς ἀγῶσι· τὰ γὰρ τοιαῦτα συναγωνίζεται ἡμῖν πρὸς πίστιν τοῦ γιγνομένου ἐγκλήματος. Οἱ δὲ ἐπίλογοι αὔξησιν μόνον ἔχουσι τοῦ προκειμένου πράγματος. Διὸ καὶ μέσης φύσεως οὖσα ἡ παρέκβασις μέσην καὶ τάξιν παρὰ τοῦ ῥήτορος εἴληφε· κεῖται γὰρ μεταξὺ τῶν ἀγώνων καὶ τῶν ἐπιλόγων· κέχρηται δὲ τῇ παρεκβάσει διὰ δύο προφάσεις, πρῶτον μὲν ἵνα δείξῃ καὶ τὰ περὶ τὴν ἑορτὴν πάντα κατὰ ἐπιβουλὴν γεγενημένα καὶ οὐ δι' ὀργὴν, ὡς Μειδίας φησίν. Εἰ γὰρ παλαιὸς ἦν ἐχθρὸς, πρόδηλον ὅτι διὰ τὴν ἔχθραν ἑκὼν

ἐπεβούλευε· δεύτερον δὲ, ἵνα μᾶλλον εἰς ὀργὴν παροξύνῃ τοὺς ἀκούοντας. Εἰ γὰρ ἐπὶ τοῖς νῦν ἀδικήμασι δικαίως ἂν ὀργισθεῖεν, πόσῳ μᾶλλον, εἰ καὶ ἕτερα φαίνοιτο πρότερον; σφόδρα δὲ τεχνικῶς τὴν ἀνάγκην τοῦ διηγήματος ἀπὸ τῶν δικαστῶν ἔλαβε, πρῶτον μὲν ὑπὲρ αὐτοῦ τοῦ πράγματος, ἵν' εἰ φαίνοιτο ἰδιωτικά τινα διηγούμενος, μὴ αὐτὸς ἑκὼν δόξῃ λέγειν, ἀλλ' ὑπὸ τῶν δικαστῶν ἀναγκασθεὶς, ἔπειτα διὰ τὸ μῆκος τῆς παρεκβάσεως, ἵν' εἴ τις ὄχλος ἐγγίνοιτο τῶν λεγομένων, ἑαυτοῖς ἐγκαλῶσι τοῖς ἀναγκάσασιν, ἀλλὰ μὴ τῷ ῥήτορι. Ἠθικῶς δὲ οὐ διαβεβαιοῦται, ἀλλὰ στοχάζεται αὐτῶν τῆς γνώμης διὰ τοῦ « οἶμαι. » Καὶ τὸ « ποθεῖν ἀκοῦσαι » χαρίεν, ἵνα καὶ ὡς χαριζόμενος αὐτοῖς δόξῃ ποιεῖσθαι τὴν παρέκβασιν, ἤτοι τὴν διήγησιν, ἣν καὶ παραδιήγησιν λέγομεν.

539, 16. Οὕτως ἀσελγῶς καὶ βιαίως] Καὶ τὴν κατασκευὴν τοῖς δικασταῖς περιέθηκεν, ἵν' εὐλόγως φαίνωνται τῆς ἀκροάσεως τῶν ἐξαγωνίων ἐπιθυμοῦντες.

539, 18. Ὃ αὐτῷ προωφείλετο] Οὐ γὰρ ἐμάνη τοσοῦτον Μειδίας, εἰ μὴ προηδίκητο μείζονα. Ἔχει δὲ καὶ ψυχαγωγίαν ὁ χρόνος· ἐν βραχεῖ γὰρ δηλώσειν αὐτοῖς ἐπαγγέλλεται.

539, 20. Ἵν' εἰδῆτε ὅτι καὶ τούτων ὀφείλων δοῦναι δίκην] Οὕτως ἔδειξε τὴν χρείαν τοῦ διηγήματος.

539, 21. Ἔσται δὲ περὶ αὐτῶν βραχὺς ὁ λόγος] Φιλανθρωπότερος ὤφθη τῶν δικαστῶν, εἴπερ ὑπισχνεῖται δι' ὀλίγων δηλώσειν ἅπερ ἐκεῖνοι διὰ πολλῶν ἤλπιζον.

539, 22. Ἡνίκα τὰς δίκας ἔλαχον] Πληρώσας τὸ προοίμιον εἰσέβαλεν εἰς αὐτὰ τὰ διηγήματα καί φησιν « ἡνίκα « τὰς δίκας ἔλαχον. » Πολλὴν δὲ ἐν τούτοις αὐτοῦ μὲν ἐπιείκειαν, Μειδίου δὲ τὴν ὠμότητα δείκνυσιν, εἴπερ αὐτὸς μὲν διὰ χρηστότητα καὶ τῶν πατρῴων ἐκινδύνευε στερηθῆναι, Μειδίας δὲ παρὰ τὸν καιρὸν τῆς δίκης ἐπέθετο τῷ δυστυχοῦντι.

539, 23. Μειρακύλλιον ὢν κομιδῇ] Τὸ κομιδῇ πρόσκείμενον ἔμφασιν δίδωσιν ὡς οὐδεμιᾶς ἔχθρας λαβὴν παρέχειν ἠδύνατο οὐδὲ ἀδικίας ὁ τοιαύτην ἄγων τὴν ἡλικίαν. Καθεῖλε δὲ τὴν ἡλικίαν αὐτοῦ διὰ τὸ χρήσιμον, ἵνα λύσῃ τὸ ἀντιπῖπτον « τί οὖν, εἰ παρέσχες τὴν πρόφασιν τῆς « ἔχθρας θρασὺς ὤν; » ὁ δὲ ἀπίθανον ἔδειξε τὸ τοιοῦτο τῷ ὑποκοριστικῶς τὴν ἡλικίαν ἐλαττῶσαι, ὅτι μειρακύλλιον ἦν κομιδῇ, τῶν δὲ τοιούτων οὐκ ἔστι τὸ θρασύνεσθαι πρὸς τοὺς πρεσβυτέρους.

539, 24. Καὶ τοῦτο οὐδ' εἰ γέγονε] Τὸ ἀφελὲς καὶ ἀπερίεργον διὰ τῆς ἡλικίας ἔδειξε. Πῶς θρασὺς ὁ τοιοῦτος;

539, 25. Ὡς μηδὲ νῦν ὤφελον] Ἡ γὰρ πεῖρα τὴν βλάβην προὐξένησεν. Ὀργῆς δὲ καὶ βαρύτητος ἔμφασις.

Τότε μοι μελλουσῶν εἰσιέναι τῶν δικῶν] Καὶ τοῦτο δὲ ἀφελῶς· τὴν γὰρ δίκην ὡς πρόσωπον ἐποίησεν « εἰσιέναι » εἰπών. Τὸ ἐκ προνοίας δὲ αὐτῶν ἔδειξεν· ἐπετήρησαν γὰρ ὅτε ἔμελλον δικάζεσθαι πρὸς τοὺς ἐπιτρόπους, ἵνα με καὶ τῆς ὁδοῦ τῆς εἰς τὸ δικαστήριον ἐκκρούσωσιν.

539, 26. Εἰς ἡμέραν ὡς περὶ τετάρτην] Πρὸ τεττάρων ἢ πέντε ἡμερῶν. Δηλοῖ δὲ τὴν πονηρίαν Μειδίου, εἴ γε τὸν ἄλλον χρόνον ἀφεὶς τότε αὐτῷ μᾶλλον ἐπέθετο, ἵνα στερηθῇ τῶν πατρῴων. Διὰ δὲ τῆς « εἰσεπήδησαν » λέξεως τὴν βίαν αὐτῶν καὶ τὴν θρασύτητα ἔδειξεν.

539, 29. Καὶ ἦν ὁ ἀντιδιδοὺς Θρασύλοχος] Νόμος ἦν παρ' Ἀθηναίοις, εἴ τις προβληθεὶς ἕτερος εἰς τὴν τριηραρχίαν*, εἰ δὲ μὴ βούλοιτο ἐκεῖνος λαμβάνειν μὲν τὴν τοῦ νομιζομένου οὐσίαν, διδόναι δὲ τὴν ἑαυτοῦ, καὶ οὕτω τριηραρχεῖν. Τοῦτο Θρασύλοχος ἠξίου Δημοσθένη τότε ποιεῖν, εἰ μὴ βούλοιτο ὑποδέξασθαι τὴν τριηραρχίαν, ἀντιδοῦναι τὴν οὐσίαν τῷ Θρασυλόχῳ, καὶ λαβεῖν αὐτὸν τὴν ἐκείνου.

540, 1. Τὰ δ' ἔργα πάντ' ἦν] Ἵνα μή τις εἴποι, πῶς οὖν ὑπὸ τοῦ ἀδελφοῦ παθὼν Μειδίου κατηγορεῖς;

540, 2. Καὶ πρῶτον μὲν κατέσχισαν τὰς θύρας] Ἅλωσιν ὑπογράφει τῷ λόγῳ. Εἰκὸς μὲν γὰρ ἦν ἀνοῖξαί τινας θύρας, ἐφ' ᾧ τε γνῶναι τὰ ἐνόντα, εἰ ἄξιά ἐστι τῆς ἀντιδόσεως. Ὁ δὲ « κατέσχισαν » εἶπεν, ὡς καὶ « εἰσεπή- « δησαν. »

540, 3. Ὡς αὐτῶν ἤδη γινομένας κατὰ τὴν ἀντίδοσιν] Τὸ γὰρ τὰ ἀλλότρια οἰκεῖα νομίζειν τοῦτο παράνομον, καὶ τὸ κατασχίζειν τὰς θύρας, πρὶν (ἂν) καταδέξασθαι τὴν ἀντίδοσιν τὸν Δημοσθένην, καὶ τοῦτο ἄτοπον.

540, 5. Παιδὸς οὔσης κόρης] Τὸ μὲν παιδὸς τὸ ἁπαλὸν τῆς ἡλικίας, κόρης δὲ οἷον παρθένου καὶ ἀντιβλέπειν διὰ τὴν αἰδῶ μὴ τολμώσης.

Ἐφθέγγοντο αἰσχρὰ] Τῇ συνήθει τέχνῃ καὶ νῦν τὰς ὕβρεις ἀπεσιώπησεν, ἵνα μὴ αὐτοῦ ὑβρίζειν δοχῇ τὸ γένος.

540, 6. Οὐ γὰρ ἔγωγε προαχθείην] Εἴωθεν ὁ Δημοσθένης ἐν τοῖς αἰσχροῖς σωφρονεῖν κατὰ τὸν λόγον, ἵνα μήτε αὐτὸς ἑαυτὸν ὑβρίζῃ μήτε φαίνηται τοῖς αὐτοῖς μὴ αἰδούμενος.

540, 10. Τὰς δίκας ὡς αὐτῶν οὔσας ἠφίεσαν]* Τοῦ ἴσως, εἰ γένοιντο κύριοι τῆς οὐσίας, ἐλευθερώσειν τῶν δικῶν τοὺς ἐπιτρόπους, εὔνους αὐτοὺς σφισι κατασκευάζουσι. Κἀνταῦθα δὲ τὴν αὐτῶν παρανομίαν ἔδειξεν, εἴ γε διελύοντο πρὸς τοὺς ἐπιτρόπους ὡς ἐπὶ ἰδίοις τοῖς πράγμασιν.

540, 15. Ἔρημος ὢν] Βοηθείας δηλονότι καὶ φίλων. Οὔπω γὰρ ἥρμοττέ μου τῇ ἡλικίᾳ πρὸς ἄλλους συνάπτεσθαι.

540, 16. Οὐχ ὅσα ἐδυνήθην ἀνακομίσασθαι] Ἀνακομίσασθαι ἀντὶ τοῦ ἀναλαβεῖν καὶ ἀπολαβεῖν ἀφ' ὧν ἔσχον ἐκεῖνοι παρὰ τοῦ πατρός. Ὁ δὲ νοῦς τοιοῦτος. Κἀγὼ τοιαῦτα πάσχων καὶ προσδοκῶν ἀπολαβεῖν παρὰ τῶν ἐπιτρόπων ὅσα ὁ πατήρ μου κατέλιπεν, ἀλλ' οὐχ ὅσα ἐδεξάμην ὀλίγα ὄντα μετὰ δίκην, ἔδωκα αὐτοῖς, ὡς πολλὰ ληψόμενος. Εἰ γὰρ προῄδειν ὡς οὐ πάντα ἀπολήψομαι, παρεχώρησα ἂν τῶν ὀλίγων καὶ τῆς οὐσίας. Τὸ βαρὺ δὲ αὐτῶν καὶ τὸ ἐπαχθὲς ἐνέφηνεν. Οὐ γὰρ εἶπεν « ὑπέστην « τὴν λειτουργίαν, » ἀλλὰ « δίδωμι τούτοις, ὠνοῦμαι « τῶν χρημάτων τὰς ὕβρεις, τὴν ἐπιβουλὴν ἐπριάμην τῇ « δόσει. » Τὴν τέχνην δὲ καὶ τὴν πανουργίαν τῶν περὶ τὸν Μειδίαν ἔδειξεν. Τριῶν γὰρ συντελῶν ἐπὶ τὴν λειτουργίαν αἱρουμένων καὶ πρὸς εἴκοσι μνᾶς συντελούντων, ὁ Θρασύλοχος τρίτος αἱρεθεὶς ἀπῄτησε παρ' ἐμοῦ τὰς εἴκοσιν, ὥστε συνέβη αὐτῷ μήτε ἀναλῶσαι μηδὲν μήτε ἀντιδοῦναι τὴν οὐσίαν, ἀλλ' ὁλόκληρον γενέσθαι Δημοσθένους τὸ ἀνάλωμα.

540, 19. Ὅσου τὴν τριηραρχίαν ἦσαν μεμισθωκότες] Τάλαντον εἰσεπράττοντο παρὰ τῶν συντελῶν οἱ τριηράρχαι, καὶ τοῦτο λαμβάνων ὁ βουλόμενος αὐτὸς ἐτριηράρχει τὸν ἐνιαυτὸν, μηδὲν ἐνοχλῶν ἔτι τοῖς συντελοῦσιν. Ἦν δὲ τὸ τῆς τριηραρχίας λειτούργημα οὐκ ἐνιαύσιον, ἀλλὰ διὰ βίου, καὶ διὰ τοῦτο οἱ πλουσιώτατοι ἀεὶ ἐτριη-

ράρχουν. Πολλοὶ δὲ τῶν τριηραρχῶν οἴκοι μένοντες ἄλλους ἀνθ' ἑαυτῶν ἐξέπεμπον, καὶ λαμβάνοντές τινες τὴν δαπάνην ἀνεδέχοντο τὴν λειτουργίαν. Ὁρᾶτε οὖν τὴν ἐπήρειαν; ἐτρύφα Μειδίας, Δημοσθένους τελοῦντος, τριηραρχεῖν νομιζόμενος· « ἐπίβηθι τῆς νεώς, » ἐβόων, « ἰδοὺ « παρέχω τὰ χρήματα. » Ὁ δὲ « μικρὸν ἐπίσχες, » ἔφη, « ζητῶ γὰρ ἔτι τὸν μισθωσόμενον. »

540, 21. Δίκην δὲ τούτων λαχὼν ὕστερον τῆς κακηγορίας] Ἐφ' οἷς εἶπε κακῶς τὴν μητέρα κἀμὲ καὶ τὴν ἀδελφήν.

540, 22. Εἷλον ἐρήμην] Ὄνομα δίκης.

Οὐ γὰρ ἀπήντα] Οὐκοῦν κατὰ τῶν μὴ ἐθελόντων ὑπακούειν, ἀλλὰ φυγοδικούντων λέγεται. Ἐκέλευε γὰρ ὁ νόμος τοὺς ἐμπρόθεσμον δίκην ἔχοντας εἶτα μὴ ἀπαντῶντας εἰς τὴν κυρίαν ἐρήμην ἁλίσκεσθαι. Ἦν δὲ κατὰ τῶν τοιούτων ἐκ τῶν νόμων ὡρισμένον τὸ τίμημα χίλιαι δραχμαί.

540, 23. Οὐδενὸς ἡψάμην] Πανταχῇ κηρύττει τὴν ἐπιείκειαν, ἵνα μὴ δοκῇ αὐτὸς δεδωκέναι τῇ ἔχθρᾳ τὰ σπέρματα. Ἰδοὺ γοῦν τοῦ νόμου διδόντος, εἴ τις ἐκπροθεσμήσειε καὶ [μὴ] καταβάλοι τὰς δίκας, ἐξεῖναι ἅπτεσθαι αὐτοῦ τῶν κτημάτων, οὐδὲν τοιοῦτον ἐποίησα.

540, 24. Ἀλλὰ λαχὼν ἐξούλης] Οὐ γὰρ ἀποδιδόντος αὐτοῦ τὴν ἐξούλης ἐπήγαγον, αἰτιώμενος ὡς οὐ στέργει τὴν ψῆφον. Ἐξούλης δὲ δίκη τις ἦν ἢ περὶ χωρίου ἢ περὶ οὐσίας, ἧς ἔδει ἐκβληθῆναι τὸν ὀφλόντα τὰς χιλίας. Ἔδει δὲ ἄξιον εἶναι τὸ κτῆμα τῶν χιλίων δραχμῶν. Ἦν δὲ διπλῆ τις ἡ τιμωρία τῆς ἐξούλης. Καὶ γὰρ τὰς χιλίας ἐκομίζετο ἐξ ἀρχῆς ὁ νενικηκὼς καὶ ἔξωθεν προσετίμα τὸ δικαστήριον τῷ ἡττωμένῳ, διότι τῶν νόμων καὶ τῶν διαιτητῶν παρήκουσε, καὶ τὸ δικασθὲν ὅτι οὐκ ἐξέτισε. Τὸ δὲ ὕστερον ὑπὸ τῶν δικαστῶν προστιμηθὲν τοῦτο ἐγίγνετο δημόσιον.

540, 26. Κἀγὼ μὲν οὕτως εὐλαβῶς] Καίτοι ἐκέλευον οἱ νόμοι τῶν ἐνεχύρων λαμβάνεσθαι. Πῶς οὖν οὐ κατὰ τοὺς νόμους ἐποίησα μηδενὸς ἁψάμενος; ὅτι οὐκ ἐξῆν τῷ λαχόντι ἐξούλης οὐκέτι καθ' ἑαυτὸν ἐπιλαμβάνεσθαι, πρὶν ἢ διαγνῶναι τὸ δικαστήριον.

Πληρώσας ἐν τῇ πηλικότητι τοὺς ἀγῶνας ἥκει λοιπὸν ἐπὶ τὴν παρέκβασιν, ἥτις καὶ ἐμπίπτων κέκληται, δι' ἧς τά τε παλαιὰ ἀδικήματα τοῦ Μειδίου περὶ τὸν Δημοσθένην καὶ [τὰ] μετὰ τὴν χορηγίαν συνάπτει δεικνὺς ὅτι δι' ἔχθραν καὶ ἐξ ἐπιβουλῆς πολεμῶν ταῦτα πεποίηκεν. Τί δὲ ἐν τῇ παρεκβάσει; πρῶτον μὲν τὰ κατὰ τὸν Στράτωνα, ὅτι κἀκεῖνον ἠτίμωσε κἀμοὶ τὴν καταδίκην οὐκ ἐξέτισεν· ἔνθα καὶ ἐλέου ἐκβολὴν ἐποιήσατο, καιρὸν ἐπιτήδειον νομίσας αὐξῆσαι μὲν τὰς συμφορὰς τοῦ Στράτωνος καὶ εἰς ἔλεον διὰ τούτων ἀγαγεῖν τοὺς δικάζοντας, φθόνον δὲ καὶ μῖσος κινῆσαι τῷ Μειδίᾳ. Βεβαιοῖ δὲ καὶ τὴν δίκην ἑαυτῷ τὴν περὶ τῆς ἐξούλης, εἶτα ἐπὶ τὰ λοιπὰ δύο μετῆλθε, τὸ μὲν πρότερον ὅτι λιποταξίου γραφὴν παρεσκεύασε κατὰ Δημοσθένους, τὸ δεύτερον δὲ περὶ τῆς ἐφ' αἵματι γραφῆς. Πεποίηται δὲ τὴν ἀπολογίαν τούτου τοῦ μέρους κατὰ στοχασμὸν τὸν προκατασκευαζόμενον οὐ διὰ πάντων τῶν κεφαλαίων, ἀλλ' ὥστε τὸ σχῆμα σώζεσθαι τὸ στοχαστικόν· προκατασκευαζόμενος δοκεῖ, ὅτι καὶ τὸν Ἀρίσταρχον ἀπολύειν πειρᾶται τῆς αἰτίας. ΒΥ

540, 29. Ἀλλὰ καὶ εἰς τοὺς φυλέτας] Ἀναμιμνήσκει αὐτοὺς μεταξὺ τοῦ κοινοῦ ἀδικήματος, ἵνα μὴ εἰς λήθην ἐμπέσωσι, τῶν ἰδίων ἀκούοντες. Οἱ γὰρ φυλέται τοῦ κοινοῦ τυγχάνουσι γνώρισμα.

541, 1. Κάλει μοι τούτων τοὺς μάρτυρας] Ὅτι ὕβρισε κἀμὲ καὶ τὴν μητέρα καὶ τὴν ἀδελφήν, ὅτι θύρας κατέσχισαν, ὅτι τὰς εἴκοσι μνᾶς ἔλαβον, αὐτοὶ μηδὲν ἀναλώσαντες.

541, 4. Οἷα ἀκηκόατε] Δηλονότι τὰ ἐν τῷ θεάτρῳ γενόμενα.

541, 12. Ὁ τοίνυν πεποίηκε] Σαθρόν ἐστιν ὅλον τὸ περὶ τὸν Στράτωνα μέρος τῷ Δημοσθένει καὶ μικροῦ μονομερές. Κατεγνώσθη γὰρ Στράτων ὡς κακῶς διαιτήσας, καὶ κινδυνεύει καὶ ἡ δίαιτα δι' αὐτὸ ἄκυρος γενέσθαι. Καὶ ὅλως ἔοικε τοῖς ἀσυστάτοις κατὰ τὸ προειλημμένον. Πειρᾶται οὖν ὁ ῥήτωρ καὶ ὑπὲρ τοῦ Στράτωνος ἀπολογεῖσθαι καὶ κυρίαν ἀποφαίνειν τὴν δίαιταν, καὶ ἵνα μὴ χρήσηται διαβολαῖς κατὰ τοῦ Στράτωνος ὁ Μειδίας, ἅπερ ἂν ἐκεῖνος κατηγορῶν εἶπε, ταῦτα προλαβὼν αὐτὸς συνίστησι.

541. 16. Ταύτης λέγων ἧς εἷλον αὐτὸν] Οὐκοῦν ἡττηται ὁ Μειδίας καὶ ἑάλω. Πῶς οὖν ἄκυρα βιάζεται ποιεῖν τὰ κατεγνωσμένα;

541, 17. Ἄνθρωπος πένης μέν τις] Προσυνίστησι τὸ πρόσωπον ἀναγκαίως, ἵνα μὴ λάβωσι χώραν αἱ τοῦ Μειδίου διαβολαί. Πένης δὲ εἶπεν· οὐ γὰρ χρὴ τὰ πρόδηλα ἀρνεῖσθαι.

541, 18. Καὶ ἀπράγμων] Συνῆψε τῷ πράγματι τὴν ἀπραγμοσύνην, ἵνα τὴν ἐναντίαν δόξαν ἀφέληται.

Ἄλλως δ' οὐ πονηρὸς] Τὴν μὲν τύχην πονηρὸς οἱονεὶ δυστυχής, τὸν δὲ τρόπον οὐ πονηρός. Ἐπήνεσε δὲ τὰ μὲν κατὰ θέσιν, τὰ δὲ ἐξ ἀναιρέσεως, ὡς φεύγων τὸ προσκορές.

Ἀλλὰ καὶ πάνυ χρηστὸς] Τὸν ἀφελῆ νοῦν καὶ τὸν ἁπλοῦν νῦν ἐπαινεῖν ἔοικεν, ἵνα δείξῃ καταγοητευθέντα τὸν Στράτωνα παρὰ τοῦ Μειδίου.

541, 19. Ὅπερ τὸν ταλαίπωρον οὐκ ὀρθῶς] Ἑτέραν πρόφασιν τοῦ Μειδίου λέγοντος, ὅτι διὰ τὴν πονηρίαν κατεγνώσθη, ἑτέραν ὁ ῥήτωρ προβάλλεται· « τί συγχεῖς » « φησίν, ὦ Μειδία, τὰ πράγματα, τὴν ἐπιείκειαν συμφο- « ρᾶς ἀπεργασάμενος πρόξενον; » τὸ δὲ « ἀπολώλεκεν » ἐπὶ τῆς ἀτιμίας φιλεῖ λέγειν ὁ ῥήτωρ, ὅτι περ ἐγγὺς θανάτου καθέστηκεν.

541, 21. Ἐπειδή ποθ' ἧκεν ἡ κυρία] Ἵνα μὴ ἄφνω συμβᾶσα συγγνώμην ποιήσῃ τῷ Μειδίᾳ, ὡς ἄρα εἰκότως ἠγνόησεν.

541, 23. Ὑπωμοσίαι καὶ παραγραφαὶ] Ὑπωμοσίαι ὅρκοι ἀναβολὴν τῆς δίκης ποριζόμενοι, ἐάν τις προφασίζηται ἢ νόσον ἢ θάνατον οἰκείων ἢ ὅλως τῆς τύχης ἐπήρειαν. Καὶ ἡ παραγραφὴ δὲ ἄλλη ἀναβολῆς πρόφασις, ἢ τρόπον ἢ πρόσωπον παραγραφομένη ἢ χρόνον. Εἰς τὸ αὐτό. Ἔδει τὸν μέλλοντα κατηγορεῖν, εἰ πάντα ἕτοιμα ἔχοι τὰ πρὸς τὸν ἀγῶνα, ἐρωτᾶσθαι· εἰ δὲ συνέφησεν ἐκεῖνος, ὅρκον ἀπῃτεῖτο λοιπὸν ὑπὲρ τοῦ ἐπεξελθεῖν. Εἰ μὲν οὖν ἦν ὀμόσας εἰσήγετο· εἰ δὲ ᾔτησέ τινα χρόνον ὑπὲρ τοῦ ἐπισκέψασθαι, ἔμενεν ἡ γραφή. Ἐκαλεῖτο δὲ τὸ τοιοῦτον ὑπωμοσία. Διεξεληλύθει οὖν, φησίν, ἡ ὑπωμοσία, τούτεστιν οὐκ ἦν ἐν μετεώρῳ τὰ τῆς κατηγορίας· ὠμωμόκει γάρ· ἀλλὰ καὶ [αἱ] παραγραφαὶ διεξεληλύθεσαν. Πολλάκις γὰρ οἱ ἀντίδικοι παρεγράφοντο, « οὐ πρὸς διαιτητήν με κρίνε- « σθαι δεῖ, ἀλλὰ πρὸς ἄρχοντα ἢ θεσμοθέτην, οὐ σὲ δεῖ « κατηγορεῖν, ἀλλ' ἕτερον, οὐ νῦν, ἀλλ' αὖθις, » καὶ τὰ τοιαῦτα. Ταῦτα οὖν διεξεληλύθει, τουτέστιν, εἴ τινας εἶχε παραγραφὰς ὁ Μειδίας, πεπληρώκει καὶ ὡμολόγητο σαφῶς ὅτι χρὴ πρὸς διαιτητὴν δικάσασθαι. Ταῦτα δὲ ὁ

ῥήτωρ φησὶ βουλόμενος δεῖξαι ὅτι Μειδίᾳ οὐδεμία ἦν πρόφασις τοῦ μὴ ἀπαντῆσαι, δι' ὧν συνίστησιν ὅτι δικαίως αὐτοῦ κατεδιῄτησεν ὁ Στράτων.

541, 24. Ἐπισχεῖν ἐδεῖτό μου] Οὐχ ὁ Μειδίας, οὐ γὰρ παρῆν, ἀλλ' ὁ Στράτων, δηλονότι λέγων, « ἴσως ἥξει μετὰ « μικρὸν, μὴ σπεῦδε, μὴ ἀθύμει· » ἵνα λύσῃ τὴν ἐναντίαν δόξαν, ἣν ὑπέσπειρεν ὁ Μειδίας περὶ τοῦ Στράτωνος, ὡς ἔστιν ἐχθρὸς αὐτοῦ, δείκνυσι καὶ ὑπὲρ Μειδίου πράττοντα τὸν Στράτωνα. Βραδύνοντος γὰρ αὐτοῦ παρεκάλει με τέως ἐπισχεῖν, ἐπαγγελλόμενος ὅτι ἴσως ἐλεύσεται.

541, 25. Ἔπειτα εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι] Ἤδη με καὶ τὴν προθεσμίαν ἠξίου παραβαίνειν ὁ Στράτων, φάσκων « οὐδὲν ἐκ μιᾶς ἡμέρας γενήσεται βλάβος, αὔριον « ἀκουσόμεθα. »

541, 26. Ὡς οὔτ' ἐγὼ συνεχώρουν] Πολιορκούμενον εἰσάγει πανταχόθεν τὸν Στράτωνα Δημοσθένης, ἀπειθοῦντος Μειδίου. Πρόδηλον οὖν ὅτι ἄκων κατεδιῄτησεν.

541, 27. Τῆς δὲ ὥρας ἐγίγνετο] Τουτέστιν ἡ δικάσιμος ὥρα τῶν διαιτητῶν παρεληλύθει.

541, 28. Κατεδιῄτησε] μετὰ δυσχερείας ἀναγνωστέον. Οὐ γὰρ ἔχων ὅ τι ποιήσῃ καὶ ποῖ τράπηται καὶ ἄκων κατεδιῄτησε.

Ἤδη δ' ἑσπέρας οὔσης καὶ σκότους] Οὐχ ἁπλῶς ἑσπέρας, ἀλλὰ καὶ νυκτὸς ἀρξαμένης· διὰ τοῦτο γὰρ τὸ « σκότος » ἐπήνεγκε. Κακοήθειαν δὲ κατηγορεῖ τοῦ Μειδίου. Τοιαύτην γὰρ ὥραν ἀπήντησεν, ἐν ᾗ ἐδόκει ἀπαντᾶν καὶ μὴ ἀπαντᾶν· ἀπαντᾶν μὲν, ἵν' ἔχῃ τοῦ διαιτητοῦ κατηγορεῖν ὅτι ἀπαντήσαντος ἐρήμην κατεδιῄτησε, μὴ ἀπατᾶν δὲ, ἵνα μὴ καταλαβὼν ἐμὲ προδήλως ἡττηθῇ.

542, 2. Πρὸς τὸ τῶν ἀρχόντων οἴκημα] Ὅπου συλλέγονται οἱ ἄρχοντες, ἵνα, εἴ τις δέοιτο αὐτῶν, εὑρίσκωνται· ἔδει γὰρ τὴν διαιτηθεῖσαν δίκην ὑπογραφῆναι παρὰ τῶν ἀρχόντων. Ἐκεῖ μὲν οὖν κατέλαβε τὸν διαιτητὴν ἤδη ἀναχωροῦντα. Οὐκοῦν εἰ σκότους ὄντος τότε ἀνεχώρει, πρόδηλον ὅτι βραδέως κατεδιῄτησεν.

542, 4. Ὡς ἐγὼ τῶν παραγενομένων τινὸς] Τὴν σεμνότητα καὶ τὴν σωφροσύνην τὴν ἑαυτοῦ δείκνυσιν, ὅτι σκότους ὄντος οὐ παρῆν, ἀλλ' οἴκοι διέτριβεν.

542, 6. Οἷός τε ἦν πείθειν αὐτὸν] Ἐπειρᾶτο καὶ ἐπεχείρει πείθειν αὐτοὺς κοινῇ μεταθεῖναι τὴν ψῆφον τὴν καταδικάσασαν, καὶ ποιῆσαι αὐτὴν ἀποψήφισιν· τοῦτο γάρ ἐστι τὸ μεταγράφειν τὴν ὑπογραφὴν τῆς διαιτήσεως.

542, 9. Ὡς δ' ἐδυσχέραινον οὗτοι] Πολλὴν δικαιοσύνην τοῖς ἄρχουσιν ἐμαρτύρησεν, ὅτι ἐχαλέπαινον θέλοντος χρήμασιν αὐτοὺς τοῦ Μειδίου διαφθείρειν. Εἶτα οἱ μὲν ὀλίγοι πολλὰ χρήματα λαμβάνοντες οὐ προήκαντο· ὑμεῖς δὲ τοσοῦτοι τὸ πλῆθος ὄντες ὀλίγα λήψεσθε; τοῦτο γὰρ βούλεται κατασκευάζειν.

542, 10. Καὶ οὐδετέρους ἔπειθεν] Οὔτε τὸν ἄρχοντα οὔτε τὸν Στράτωνα. Ἔπαινον ποιεῖται τῆς γνώμης αὐτῶν, ὅτι οὐδὲ αὐτῆς ἠνείχοντο τῆς ἀκοῆς. Ἀξίωμα δὲ περιέθηκεν ἴσον καὶ τὴν αὐτὴν δικαιοσύνην τῷ τε Στράτωνι καὶ τοῖς θεσμοθέταις.

Ἀπειλήσας καὶ διαλοιδορηθεὶς] Ἀντὶ τοῦ οὐδὲν εἶδος λοιδορίας ἀφείς. Ὁ δὲ τοῖς ἄρχουσι τῆς πόλεως ἀπειλῶν καὶ λοιδορούμενος, ἐφ' οἷς θάνατος ὥρισται, πῶς ἂν ἐφείσατο τοῦ χορηγοῦ;

542, 11. Ἀπελθὼν τί ποιεῖ;] Θαυμάζει τὴν εὕρεσιν, ἐκπλήττεται τὴν ἐπίνοιαν, διὸ καὶ λέγει « θεάσασθε τὴν « κακοήθειαν, » ἵνα καὶ ὑμεῖς θαυμάσητε.

542, 12. Τὴν μὲν δίαιταν ἀντιλαχὼν οὐκ ὤμοσεν] Ἔθος ἦν τοὺς καταδικασθέντας ἐρήμην, εἰ νομίζοιεν ἀδικεῖσθαι, ἀντιλαχεῖν πρὸς τοὺς ἄρχοντας, οἷον αἰτιάσασθαι τὴν κρίσιν καὶ φάσκειν ὡς αὖθις θέλουσι κρίνεσθαι. Οἱ δὲ τοῦτο ποιοῦντες καὶ ὤμνυσαν ἦ μὴν ἐπεξιέναι ταῖς ἀληθείαις. Ἀντέλαχε μὲν οὖν ὁ Μειδίας καὶ ᾐτιάσατο, οὐ μὴν ὤμοσεν, ὑπόνοιαν ἐντεῦθεν παρέχων τῷ Στράτωνι ὡς οὐκ ἐπεξέρχεται. Δέον γὰρ ὀμόσαι, εἴπερ ἐβούλετο ἐπεξελθεῖν, οὐκ ὤμοσεν, ἵνα νομίζων Στράτων ὅτι ἐν μετεώρῳ ἐστὶ τὰ τῆς δίκης μὴ παρασκευάσηται πρὸς αὐτήν· διὸ καὶ λέγει « κυρίαν εἴασε γενέσθαι τὴν ψῆφον » καὶ ἀνώμοτος ἀπηνέχθη » φησὶ, δηλονότι παρὰ τοῖς ἄρχουσιν.

542, 13. Ἀλλ' εἴασε καθ' ἑαυτοῦ κυρίαν γενέσθαι] Σοφίζεται ἐνταῦθα. Μὴ ὀμόσας γὰρ, φησὶν, ἐποίησε καθ' ἑαυτοῦ κυρίαν τὴν δίαιταν. Καίτοι φήσειεν ἂν ὁ Μειδίας ὅτι μὴ ὀμόσας ἐν μετεώρῳ τὴν μὲν δίαιταν εἴασε, καταγνωσθέντος δὲ αὐτοῦ παρὰ τῆς βουλῆς λέλυται καὶ τὰ τῆς διαίτης. Ὁ δέ φησιν ὅτι ἐκεῖνος οὐ θελήσας ὀμόσαι ἐν τούτῳ συνωμολόγησε καλῶς κεκρίσθαι τὴν δίαιταν.

542. 15 Φυλάξας τὴν τελευταίαν ἡμέραν] Ἔδει τοὺς τὰ κοινὰ διοικοῦντας εὐθύνας διδόναι τῶν πεπραγμένων. Ἔθος δὲ ἦν ἐν ἡμέραις ῥηταῖς εἴς τινα τόπον συλλέγεσθαι τοὺς διαιτητὰς, ἵνα τῷ βουλομένῳ κατηγορεῖν αὐτῶν, ὡς ἢ πρὸς χάριν ἢ δι' ἔχθραν δικασάντων ἢ διὰ κέρδος ἑτοίμως ὑπακούσωσι καὶ ἀποκρίνωνται. Ἐξιόντος δὲ τοῦ ἐνιαυτοῦ πρῶτον ἀπὸ τῶν διαιτητῶν ἤρχοντο· μικρότερα γὰρ ἦν τὰ ὑπ' αὐτῶν διοικούμενα. Ἦσαν γὰρ οἱ διαιτηταὶ μδ' καθ' ἑκάστην φυλήν. Οὗτοι δὲ ἐν τῷ Σκιροφοριῶνι τὰς εὐθύνας ἐδίδοσαν, ὃς ἦν ἑνδέκατος μὴν παρ' Ἀθηναίοις. Μειδίας οὖν κακούργως ἐφύλαξε τὴν τελευταίαν ἡμέραν τὴν τοῦ Σκιροφοριῶνος, ἣν τινὲς ἕνην καὶ νέαν, τινὲς δὲ νουμηνίαν νομίζουσι, καὶ τότε ἧκεν. Καὶ διὰ τοῦτο ἔνιοι τῶν διαιτητῶν οὐκ ἀπήντων ἐπὶ τὰς εὐθύνας, νομίζοντες ἐκβεβηκέναι τὸν μῆνα, ὅπερ ἔπαθε καὶ ὁ Στράτων. Διὰ τοῦτο γὰρ αὐτὸν προλαβὼν ἀφελῆ καὶ ἀπράγμονα ἔφησεν, ἵνα ἀκόλουθον δόξῃ τὸ μὴ περιεργάζεσθαι τὸν τοιοῦτον, μηδὲ ἀκριβῶς εἰδέναι πότε μὲν ἕνη καὶ νέα, πότε δὲ νουμηνία. Οὐ δι' ἀφέλειαν καὶ ἀπραγμοσύνην ἐδυστύχησεν.

542, 18. Πείσας τὸν πρυτανεύοντα δοῦναι ψῆφον] Ἵνα μὴ δόξῃ πάσης κατηγορεῖν τῆς βουλῆς, εἰς ἕνα, τὸν πρύτανιν, ἀνήγαγε τὴν μέμψιν. Τί οὖν, κἀκεῖνος δικαίως ἐποίησεν; ὁ δὲ « πείσας » εἰπὼν, δωροδοκίαν ᾐνίξατο. Τὸ δὲ κατὰ τὸν πρύτανιν τοιοῦτον ἦν. Ψῆφον ἐδίδου τοῖς βουλευταῖς, λέγων « ὁ δεῖνα τῶν διαιτητῶν « οὐκ ἀπήντησε, καίτοι κατήγορον ἔχων· τί οὖν ὑμῖν δο« κεῖ περὶ αὐτοῦ; » καὶ οὕτως οἱ βουλευταὶ κατεψηφίζοντο. Εἰσὶ δὲ ἄρχοντες τῆς βουλῆς πρυτάνεις.

542, 19. Κλητῆρα οὐδ' ὅντιν' ἐπιγραψάμενος] Ὁ γὰρ διδοὺς τὴν γραφὴν προσέγραφεν ὅτι κατηγορῶ τοῦδε, καὶ προσκαλοῦμαι αὐτὸν διὰ τοῦ δεῖνος εἰς τὸ βουλευτήριον. Ἵν' οὖν μὴ ὁ Στράτων κατηγορήσῃ τοῦ κλητῆρος, ὡς μὴ σημήναντος, διὰ τοῦτο οὐ προσέγραψε κλήτορα, βουλόμενος ἀπαράσκευον καὶ ἀφύλακτον λαβεῖν τὸν Στράτωνα.

542, 22. Καὶ νῦν εἷς Ἀθηναίων] Παθητικῶς ἅμα καὶ πικρῶς εἶπε· παθητικῶς μὲν, ἵνα οἱ Ἀθηναῖοι τὸν Ἀθηναῖον ἐλεήσωσι, πικρῶς δὲ, ὅτι ὁ Ἀθηναῖος ὑπὸ τοῦ βαρβάρου καὶ ὑποβολιμαίου Μειδίου ἠτίμωται.

542, 24 Καὶ καθάπαξ ἄτιμος γέγονεν] Ἀσαφὲς τὸ καθάπαξ, ἔστι δὲ τοιοῦτο. Τῶν ἀτιμουμένων οἱ μὲν τὸ

τρίτον μέρος τοῦ σώματος ἠτιμοῦντο, οἱ δὲ τὰ δύο, οἱ δὲ ὁλόκληρον, [οἳ] οὐδενὸς μετεῖχον τῶν κοινῶν. Τοῦτο οὖν ἐστι τὸ « καθάπαξ » ἀντὶ τοῦ ὁλοκλήρως.

Καὶ οὔτε λαχεῖν ἀδικηθέντα] Φθόνον αὐτῷ κινεῖ καὶ ὥσπερ τινὰ τύραννον διὰ τῶν ὀνομάτων δείκνυσιν.

542, 26. Οὐδ' ὅλως τὴν αὐτὴν ὁδὸν] Ἂν ἴδῃς κατὰ τὴν ἀγορὰν Μειδίαν, φεῦγε· οὐδὲ γὰρ οὐδὲ τὴν θέαν ἕξεις ἀζήμιον.

542, 27. Δεῖ δὴ τοῦτο τὸ πρᾶγμα] Ἐπεξεργάζεται μειζόνως, ἵν' αὐξήσας τοῦ Μειδίου τὴν ἀπόνοιαν εἰς ἔλεον ἀγάγῃ τοῦ Στράτωνος.

543, 6. Μεγάλην νὴ Δί' ὦφλε δίκην] Προσώπου πλάσις, ὡς ὑπὲρ Μειδίου διαλεγομένου.

543, 7. Ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν] Ψεύδη· πεντακοσίων γὰρ ἦν ἡ καταδίκη [ἡ] πολλή.

543, 9. Συνέβη δ' ὑπερημέρῳ γενομένῳ] Ἀσαφὲς εἶναι δοκεῖ τοῦτο, ἔστι δὲ τοιοῦτο. Ἵνα ἀδικήσῃ, ἀπέκρυψε τὴν κυρίαν καὶ διὰ τοῦτο παρέλαθεν ὑπερήμερος γενόμενος. Τοῦτο δὲ τὸ νόημα οὐκ ἀληθὲς εἶπε, διὸ καὶ τοῦτο τὸ μέρος ὠβέλισται παρὰ τῶν κριτικῶν καὶ ὡς ἀδιόρθωτον παραλέλειπται.

543, 10. Ἀλλ' αὐθημερὸν μὲν ᾔσθετο] Εἰπὼν ὅτι λαθεῖν * ληφθῇ, ἐπήνεγκε τὴν λύσιν, ὅτι αὐθημερὸν ᾔσθετο, ὅτι ἐνέστηκεν ἡ κυρία.

543, 13. Ἐκτέτικεν] Ἀποδέδωκεν. B.

Ἀλλὰ τὴν μὴ οὖσαν ἀντιλαχεῖν] Εἰ μὴ ἠβούλετο, φησίν, ἐκτῖσαι τὰς χιλίας, ὤφειλε πρὸς ἐμὲ τὴν οὖσαν ἀντιλαχεῖν, τουτέστιν ἀνάδικον μὲν ποιῆσαι τὴν δίαιταν, πρὸς ἐμὲ δὲ τὸν κύριον τοῦ πράγματος δικάσασθαι. Ἐκαλεῖτο δὲ μὴ οὖσα δίκη ἡ ἀνάδικος, (ἢ) ὅτι πρότερον δοκοῦσα εἶναι καὶ κεκυρῶσθαι ὕστερον εἰς τὸ μὴ εἶναι περιίστατο. Ἔστιν οὖν μὴ οὖσα ὄνομα δίκης, ἐν οἷς τις ἐξ ὑπαρχῆς ἐθέλει δικάσασθαι, τὴν ἐνεχθεῖσαν κατ' αὐτοῦ πρότερον ψῆφον ἀναιρῶν.

543, 16. Ἀλλ' ἵνα μὴ Μειδίας] Τὴν ὑπερηφανίαν σημαίνει τούτου.

543, 17. Ἀτίμητον ἀγωνίσηται] Ἄλλη ἀπολογία ὑπὲρ τοῦ Στράτωνος, ὅτι οὐκ αὐτὸς ὥρισε τὴν καταδίκην, ἀλλ' ὁ νόμος εἶχεν αὐτήν. Ἀτίμητον γὰρ καλοῦσιν ἣν οὐχ ὁ δικαστὴς τιμᾷ, ἀλλ' ἐγγέγραπται τοῖς νόμοις.

543, 18. Καὶ εἰ μὲν ἠδίκηκεν] Ἵνα μὴ εἴποι ὅτι τῆς ἐπιβουλῆς φανερᾶς οὔσης ἀπαντᾶν οὐκ ἠβουλήθη.

543, 23. Καὶ τοῦτ' ἐχαρίσασθε αὐτῷ] Φαίνεται γὰρ αὐτὸς τὸ πᾶν συσκευάσας.

543, 25. Τὴν καταδίκην ἐκτέτικεν] Εἰκότως οὐκ ἐδίδου, λέγων ὅτι συνεχωρήθη αὐτὰ ὑπὸ τοῦ Στράτωνος. Ὁ δὲ ῥήτωρ βούλεται ἀτιμῶσαι τὸν διαιτητήν, οὐχ ὅτι κακῶς ἔκρινεν, ἀλλ' ὅτι κρινόμενος οὐκ ἀπήντησεν. Οὐδὲν οὖν κωλύει κυρίαν εἶναι τὴν δίαιταν καὶ * αὐτὸς ἐπίτιμος ἔμεινεν.

543, 26. Οὐδὲ χαλκοῦν] Ὀβολόν.

543, 27. Ἀλλὰ καὶ δίκην ἐξούλης ὑπομένει] Τοῦ Μειδίου μηδὲ τὴν καταδίκην κυρίαν λέγοντος ὁ ῥήτωρ ὑφαρπάζων φησίν, ἔτι βούλεται περὶ ἐξούλης δικάσασθαι.

543, 28. Οὐκοῦν ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν] Ἐπειδὴ τοῖς ἀπολωλόσιν οὐχ οἷόν τε μετεῖναι τῶν ἐν τῷ βίῳ καλῶν, οἱ δὲ ἄτιμοι τῆς τῶν κοινῶν ἀπολαύσεως οὐ μετεῖχον, διὰ τοῦτο εἶπε « παραπόλωλε, » τουτέστι παρέοικε τοῖς ἀπολωλόσιν, ἢ ἀντὶ τοῦ εὐθὺς ἀπέθανε, ζηλωτόν γε μηδὲν ἔχων τῶν ζώντων.

544, 13. Κάλει μοι τούτων τοὺς μάρτυρας] Τῶν εἰρημένων ἁπάντων, ὅτι ᾔδει τὴν κυρίαν καὶ ὅτι τὰς πεντήκοντα δραχμὰς ἐδίδου τοῖς ἄρχουσιν.

544, 14. Καὶ τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον] Ὅτι μένειν ἄχρι τῆς ἑσπέρας ὀφείλει ὁ διαιτητής, μὴ φανέντος δὲ τοῦ φεύγοντος καταδικάζειν ἣν ὁ νόμος βούλεται καταδίκην. Τοὺς μὲν οὖν μάρτυρας ἀπαιτεῖ τοῦ καὶ εἰδέναι τὴν κυρίαν τὸν Μειδίαν καὶ τοῦ παρακαλεῖν τοὺς ἄρχοντας λαβεῖν τὰς πεντήκοντα δραχμὰς καὶ τοὺς ὅρκους αὐτὸν ἀπαιτῆσαι πρὸς τοὺς ἄρχοντας, καὶ τῶν τοιούτων. Τὸν δὲ νόμον ἀναγινώσκει τῶν διαιτητῶν, ἵνα δείξῃ τοῖς δικάζουσιν ὅτι τὸ ἐκ τῶν νόμων τίμημα κατεδίκασεν ὁ Στράτων καὶ ὅτι κατὰ τοὺς νόμους ἐποίησεν ἐρήμην αὐτοῦ καταψηφισάμενος.

545, 1. Καταβραβευθέντα] Οὐδαμοῦ ἀλλαχοῦ εὕρηται παρὰ τῷ Δημοσθένει. B.

545, 11. Κάλει δὴ καὶ τὸν Στράτωνα] Φιλάνθρωπος ὁ Δημοσθένης, καὶ τοῖς ἀτυχοῦσιν, ἐπειδὰν εὕρῃ καιρόν, πειρᾶται βοηθεῖν, ὡς καὶ ὑπὲρ Τιμάρχου πολλοὺς ἐποιήσατο λόγους ἐν τῷ κατ' Αἰσχίνου, καὶ νῦν ὑπὲρ Στράτωνος, ἐπειδὴ καὶ δοκοῦσιν ἀμφότεροι δι' αὐτὸν ταύταις περιπεπτωκέναι ταῖς συμφοραῖς. Ὅτε οὖν ἱκανῶς ἀπελογήσατο, βούλεται καὶ οἶκτον αὐτῷ κινῆσαι παρὰ τοῖς δικασταῖς. Ἴσως γὰρ οἱ δικασταὶ καὶ ὅτι οὐδὲν ἀδικεῖ πισθέντες καὶ πρὸς τὸ πάθος ἐλεήσαντες ἀποδώσουσιν αὐτῷ τὴν ἐπιτιμίαν. Ἐν ταὐτῷ δὲ κίνησιν καὶ ὀργὴν κατὰ τοῦ Μειδίου ποιεῖ. Τί οὖν ἐποίησε; βούλεται εἰσάγειν ὡς ἐπὶ σκηνῆς τὸ πρόσωπον τοῦ παθόντος. Αἱ γὰρ ὄψεις τῶν δυστυχῶν ἔλεον ἐκκαλοῦνται μᾶλλον ἢ οἱ τῶν ῥητόρων λόγοι. Ὑπέμνησε διὰ τοῦ ὀνόματος τὴν συμφοράν.

545, 12. Τὸν τὰ τοιαῦτα πεπονθότα] Οἷα ἠκούσατε. Προδιατέθεικε δὲ ταῖς αὐξήσεσι τὸν ἀκροατήν, ἵνα μᾶλλον γένηται περιπαθὴς ὡς δεινοῦ πράγματος μέλλων γίγνεσθαι θεατής.

Ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ] Ἀντιπῖπτον λυσει· κελεύει οὖν τὸν Στράτωνα εἰς δικαστήριον παρεῖναι, καὶ μετέχειν ὧν οἱ νόμοι κεκωλύκασιν. Φησὶν οὖν, σιγάτω μὲν διὰ τὸν νόμον, τῆς στάσεως δὲ αὐτῷ μετέχειν ἔξεστιν. Οὐ γὰρ δὴ καὶ τούτου Μειδίας αὐτὸν ἀφαιρήσεται. Οὐκοῦν ὥσπερ ἄφωνον πρόσωπον ἐπὶ σκηνῆς βούλεται τὸ σχῆμα τὸν ἄνθρωπον μόνον δεικνύντα τοῦ πάθους ἑστάναι. Δῆλον γὰρ ὅτι ὠφεληθήσεται τὰ μέγιστα. Τίς μὲν γὰρ συγγενὴς θεασάμενος οὐκ ἐλεήσει τὸν συγγενῆ; τίς δὲ πολίτης τὸν πολίτην; τίς δὲ πρεσβύτης τὸν πρεσβύτην; τίς δὲ δημότης τὸν συνεκκλησιάσαντα; ὠβέλισται δὲ καὶ ταῦτα. Οὐδὲ ἐπιβῆναι γὰρ τοῖς τοιούτοις ἐφεῖται.

545, 14. Πένης μὲν ἴσως ἐστὶν] Ὑποκριτοῦ χρείαν ἔσχεν ἄφωνον πρόσωπον μιμούμενος. Τοιαύτην δὲ τύχην αὐτοῦ κατηγόρησεν, ἧς καὶ οἱ δικασταὶ κοινωνοῦσιν. Δῆλον γὰρ ὅτι οἱ πένητες τὸν πένητα ἐλεήσουσιν.

Οὐ πονηρός δέ γε] Συμμίγνυσι τῷ πάθει τὴν ἀπολογίαν· εἰ γὰρ χρηστὸς ὢν δεινὰ πέπονθεν, οἴκτου καὶ συγγνώμης ἄξιος.

Οὗτος μέντοι πολίτης ὢν] Περὶ στρατείας. B.

545, 15. Πολίτης ὢν] Ἐπειδὴ Μειδίας ὑποβολιμαῖος καὶ βάρβαρος, τοὺς πολίτας ἐκκαλεῖται τὸν πολίτην ἐλεεῖν.

Ἐστρατευμένος ἁπάσας] Οὐκοῦν τὴν ἐπιβάλλουσαν πένησι λειτουργίαν ἐπλήρωσε· λειτουργία δὲ πένητος ἡ διὰ τοῦ σώματος εἰσφορά.

Ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας] Πρεσβύτης ὢν τοῖς πονη-

ροῖς ταῦτα πέπονθε, καὶ παρὰ τοιαύτην ἡλικίαν, ἐν ᾗ καὶ τοὺς ὄντως ἀδικοῦντας αἰδεῖσθαι πεφύκαμεν. Εἶτα καὶ εἰς τὰς στρατείας ἐπῄνεσε τὸν Στράτωνα, διότι μέλλει μετ' ὀλίγον καὶ εἰς δειλίαν καὶ εἰς ἀστρατείαν σκώπτειν τὸν Μειδίαν.

545, 16. Καὶ δεινὸν οὐδὲν εἰργασμένος] Ἐν τῇ καθόλου ἀναιρέσει καὶ τὸ παρὸν ἔδειξεν ὅτι οὐδὲ περὶ τὴν δίαιταν οὐδὲν δεινὸν ἐποίησεν.

Ἕστηκε νυνὶ σιωπῇ] Τοῦτο τοῖς δυστυχοῦσιν εἰς ἔλεον.

545, 19. Καὶ οὐδ' εἰ δίκαια ἢ ἄδικα πέπονθε] Δοκεῖ μὲν ἀμφιβόλως εἰρηκέναι, διότι κατέγνωσται, τὸ δὲ ἀληθὲς αἰνίττεται, ὡς εἴπερ ἐξῆν αὐτῷ ἀπολογήσασθαι, ἔδειξεν ἂν ἑαυτὸν ἀδίκως κατεγνωσμένον. Καὶ οὐδεμίαν μὲν ἀπολογίαν ἀπολέλοιπεν ὑπὲρ τοῦ Στράτωνος ὡς πολλῷ πλέον ἐξευρεῖν ὁ Στράτων ἂν ἠδυνήθη, δοθείσης ἀδείας αὐτῷ τοῦ λέγειν. Ὅμως δὲ, ἐπειδήπερ οἶδεν ὅτι ἀδύνατόν ἐστιν αὐτῷ φθέγξασθαι, θαρρεῖ καὶ τὰς ὑπερβολὰς τῶν δικαίων αὐτῷ δίδωσιν.

545, 20. Καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου] Τίνος; Τοῦ ὑποβολιμαίου, τοῦ ἀστρατεύτου.

545, 21. Καὶ τοῦ Μειδίου πλούτου] Φθόνον αὐτῷ συνάγει διὰ τῆς ὑπομνήσεως τοῦ πλούτου· μισοῦσι γὰρ τοὺς τοιούτους οἱ δημόται διὰ τὴν πενίαν.

545, 22. Παρὰ] Σημείωσαι· ἡ παρὰ ἀντὶ τῆς διά. Β.

545, 23. Καὶ τὸ τῶν πολλῶν εἷς εἶναι] Συγκρούει πρὸς τοὺς δικαστὰς τὸν Μειδίαν καὶ εἰς φόβον αὐτοὺς καθίστησιν. Εἰ γὰρ Στράτων διὰ τὴν πενίαν ἠτιμώθη, καὶ ὑμεῖς πένητες, καὶ εἰς ὑμᾶς ὁρμήσει. Καὶ ταῦτα πέπονθε διὰ τὸ εἶναι τῶν πολλῶν εἷς, ἐλεύσεται δὲ καὶ ἐφ' ὑμᾶς τὸ δεινὸν, δι' ὧν τυραννίδα αὐτοῖς αἰνίττεται τὴν Μειδίου.

Καὶ εἰ μὲν παραβὰς τοὺς νόμους] Μισθὸν δικαιοσύνης ἀτιμίαν ἐκομίσατο. Καὶ οἱ μὲν ἄλλοι παραβαίνοντες τοὺς νόμους κολάζονται, Στράτων δὲ πεισθεὶς τοῖς νόμοις ἠτιμώθη.

546, 1. Καὶ τηλικαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτου] Μειδίας οὖν ἐστιν ὁ ἀτιμώσας. Οὐκοῦν ἐὰν εἰς τὴν ἀρχαίαν τύχην αὐτὸν ἐπαναγάγητε, οὐ τὴν ψῆφον τῆς βουλῆς ἀκυρώσετε, ἀλλ' ἑνὸς ἀνδρὸς Μειδίου τὴν βουλὴν ἀνατρέψετε.

546, 2. Εἶθ' ὑμεῖς τὸν οὕτως ὠμὸν] Ἱκανὸν ἔλεον συνάξας τῷ Στράτωνι βούλεται καὶ τὸν Μειδίου ἔλεον ἐκβαλεῖν. Αἰτιῶνται δέ τινες τὸν ῥήτορα ὅτι δεύτερον ἐχρήσατο τῇ τοῦ ἐλέου ἐκβολῇ. Κέχρηται γὰρ αὐτῇ καὶ πρὸς τοῖς ἐπιλόγοις, ἐν οἷς σύγκρισιν ἔχει τοῦ Μειδίου πρὸς αὐτὸν Δημοσθένην. Τὰ γὰρ ἐκείνου παιδία τῇ ἑαυτοῦ ἀπαιδίᾳ ἀντιτίθησι καὶ τὰ ἐκείνου δάκρυα οἷς αὐτὸς πέπονθε. Νυνὶ δὲ οὐ πρὸς ἑαυτὸν ποιεῖται τὴν σύγκρισιν, ἀλλὰ πρὸς Στράτωνα καὶ τὰ ἐκείνου παιδία. Οὐδὲν οὖν κωλύει καὶ δεύτερον χρῆσθαι τῇ τοῦ ἐλέου ἐκβολῇ, ἐπειδὰν μέλλῃ τις ἐπὶ διαφόρων αὐτῇ προσώπων κεχρῆσθαι.

546, 4. Ὧν αὐτὸς ἠδικῆσθαί φησι μόνον· οὐ γὰρ ἠδίκητό γε] Δοκεῖ μὲν καταδεδικάσθαι χιλίων δραχμῶν, τῷ δὲ μηδὲν ἐκτῖσαι φαίνεται μηδὲν ἠδικημένος.

546, 6. Καὶ μήτε ἑορτῆς] Ἐν τῷ καθόλου ἐκφέρων παραλαμβάνει καὶ τὸ καθ' αὐτόν.

546, 16. Τὸ γὰρ χρημάτων πολλῶν] Πάλιν ἐνταῦθα τὸν τύραννον ὑποβάλλει· τίνα γὰρ μᾶλλον εἰκὸς γενήσεσθαι τύραννον ἢ τὸν ἔχοντα χρήματα πολλὰ, θρασὺν δὲ ὄντα καὶ βδελυρόν;

546, 19. Ἐλεῆσαι νὴ Δία] Δοκεῖ νῦν ὥσπερ ἀνδρικῶς ἐπὶ τοῦ Στράτωνος ἀντεξετάζειν τὸν ἔλεον.

546, 25. Ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα] Πρόδηλον ὅτι οὐ πρὸς ἑαυτὸν νῦν τὴν τοῦ ἐλέου ποιεῖται ἐκβολὴν, ἀλλὰ πρὸς Στράτωνα καὶ τὰ τούτου παιδία.

546, 26. Χωρὶς τῶν ἄλλων κακῶν] Ὁ νοῦς οὗτος· ἡ συμφορὰ τοῦ Στράτωνος, τουτέστιν ἡ ἀτιμία, χωρὶς τῶν ἄλλων κακῶν, λέγει δὲ τῆς πενίας, ἀπορίαν ἐπιδέχεται. Οὐ γάρ ἐστιν ἐξ ὀφειλήματος ἄτιμος, ἵνα δανεισάμενοι ἢ μισθώσαντες αὐτοὺς καταθῶσι τὸ χρέος καὶ ποιήσωσιν ἐπίτιμον.

546, 27. Οὐ γάρ ἐστιν ὄφλημα] Εἰ μὲν ἐξῆν χρήματα καταθέντα ἀπαλλάξαι τῆς ἀτιμίας τὸν ἄνθρωπον, οὐκ ἂν ὤκνησε καταβαλεῖν. Μετήνεγκε δὲ τὸν λόγον ἐπὶ τοὺς παῖδας τοῦ Στράτωνος, ἵνα μᾶλλον ἐλεεινότερον φανῇ ὅτι καίτοι πένητος παῖδες ὄντες οὐκ ἐφείσαντο καταβαλεῖν. Οὐκοῦν ἐπειδὴ οὐχ οἷόν τε χρήματα δόντα ἐπαναγαγεῖν εἰς τὴν ἀρχαίαν τύχην τὸν ἄνθρωπον, ὑμέτερον λοιπὸν ἐλεήσαντας ἀφεῖναι.

547, 2. Καὶ δι ἃ ταῦτα ποιεῖ χρήματα ἀφαιρεθῆναι] Τὸ μὲν ῥητὸν ἀσαφὲς, ἐστὶ δὲ τοιοῦτον. Ἐὰν Μειδίαν ἀπολύσητε τοιαῦτα πράξαντα, τίς πώποτε ἄλλος ἀφαιρεθήσεται χρημάτων ὑφ' ὑμῶν, δι' ἃ πλημμελεῖ; πάντες γὰρ οἱ πλούσιοι τοῖς χρήμασιν ἐπαιρόμενοι πλημμελοῦσιν. Εἰ γὰρ Μειδίαν τὸν ὑπερβαλλόμενον πάντας οὐκ ἀφαιρήσεσθε τῶν χρημάτων, τίνος ἄλλου ἀδικοῦντος ἀφαιρήσεσθε χρήματα, δι' ἃ καὶ θρασύνεται;

547, 6. Οὐδεὶς γάρ ἐστι δίκαιος] Καθόλου τὴν γνώμην εἰσενεγκὼν δείκνυσιν ὅτι οὐ διὰ τὴν ἔχθραν τὴν πρὸς Μειδίαν κωλύει τὸν ἔλεον, ἀλλὰ δι' αὐτὸ τὸ δίκαιον.

547, 8. Ἐγὼ γὰρ οἶμαι πάντας ἀνθρώπους] Οὗτοί εἰσιν οἱ ἐπίλογοι τοῦ κατὰ τὸν Στράτωνα διηγήματος, ἐν οἷς ἐκβάλλει τὸν ἔλεον τοῦ Μειδίου. Τηλικούτου γὰρ ὄντος τοῦ διηγήματος, εὗρε καιρὸν καὶ τῇ τοῦ ἐλέου ἐκβολῇ χρήσασθαι. Καθόλου γὰρ ἐν παντὶ παθητικῷ ζητήματι, καὶ μάλιστα ἐὰν ἴσον ᾖ τὸ κρινόμενον καὶ τὸ πρόσωπον τὸ φεῦγον, χρηστέον τῇ τοῦ ἐλέου ἐκβολῇ. Οὐ δεῖ δὲ θαυμάζειν εἰ τοῖς αὐτοῖς ῥήμασι καὶ ἐν τῇ ἄλλῃ τοῦ ἐλέου ἐκβολῇ ἐχρήσατο. Σύνηθες γὰρ τοῦτο ποιεῖν τοῖς παλαιοῖς, καὶ αὐτὸς δὲ πεποίηκεν αὐτὸ καὶ ἐν τοῖς Φιλιππικοῖς καὶ ἐν τῷ κατὰ Τιμοκράτους, καὶ Ἰσοκράτης ὁμοίως ἔν τε τῷ Παναθηναϊκῷ καὶ ἐν τῷ περὶ ἀντιδόσεως.

547, 10. Ἔρανον παρὰ πάνθ' ὅσα πράττουσιν] Οὐ τοῦτον μόνον ὃν συλλέγουσι καὶ ὧν πληρωταὶ γίγνονταί τινες, ἀλλὰ καὶ ἄλλων. Τ.

547, 12. Οἷον ἐγώ τις οὑτοσὶ μέτριος] Χαρακτῆρα βίου σώφρονος καὶ ὀρθοτάτου ἑαυτὸν ὑποτίθεται, Μειδίαν δὲ τοὐναντίον.

547, 19. Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Μέλλων ἐφ' ἕτερα μέρη μεταβαίνειν τῆς παρεκβάσεως προοιμίῳ κέχρηται συνήθως, ὅπερ αὔξησιν ἔχει τῶν τε ἤδη λεχθέντων καὶ τῶν ῥηθησομένων. Καὶ γὰρ ἐπὶ τοῖς φθάσασιν ἄξιος μεγίστης ὀργῆς, καὶ τὰ μέλλοντα λέγεσθαι χαλεπώτερα τῶν λεχθέντων. Ἔστι δὲ ταῦτα τό τε λιποτάξιον καὶ ἡ ἐφ' αἵματι γραφή. Πέπρακται δὲ ταῦτα μετὰ τὴν ὕβριν τὴν ἐν τοῖς Διονυσίοις· οὐκοῦν συνῆψε τῇ παρεκβάσει τὰ πεντεκαίδεκα ὅλοις ἔτεσιν ἀφεστῶτα. Τὰ μὲν γὰρ κατὰ Στράτωνα παιδὸς ὄντος τοῦ ῥήτορος πέπρακται, τὰ δὲ μετὰ τὴν ἑορτὴν δύο καὶ τριάκοντα ὄντος ἐτῶν. Δέδωκε δὲ ἡμῖν ἐν τούτοις καθολικὸν θεώρημα, συνάπτειν τὰ ὁμοιογενῆ, κἂν τοῖς χρόνοις διεστήκῃ· ὄντων γὰρ ἐξαγωνίων καὶ τούτων κἀκείνων καὶ πάντων τῶν ἐν τῇ πα-

ρεκβάσει κειμένων, πάντα συνάγων εἰς ἓν χωρίον ἔταξε.

547, 25. Τοσαύτην ἀφθονίαν οὗτος πεποίηκε] Σφόδρα τεχνικὸν καὶ βίαιον τὸ ἐπ' ἐγκλήμασιν ἀπολογούμενον περιτρέπειν ταῦτα εἰς κατηγορίαν. Ἔστι δὲ τὸ ἔγκλημα τὸ λυποῦν αὐτὸν ἡ φήμη τοῦ φόνου. Δοκεῖ γὰρ Ἀρίσταρχος παρὰ τοῦ Δημοσθένους ἀναπεισθεὶς ἀνῃρηκέναι τὸν Νικόδημον· ἦν γὰρ οὗτος τῶν περὶ τὸν Εὔβουλον ἐσπουδακότων. Εἰκὸς δὲ ἦν τοὺς συναγωνιζομένους τοῖς ἐχθροῖς περικόπτειν τὸν ῥήτορα. Δεδοικὼς οὖν τὴν φήμην οὔτε φανερῶς ἀπελογήσατο, μηδενὸς κατηγοροῦντος, εὔηθες γάρ, οὔτε μὴν εἴασεν ἁπλῶς· οὐ γὰρ ἀνδρὸς πολιτικοῦ περιορᾶν ἑαυτὸν ἀδοξοῦντα. Τί οὖν πεποίηκεν; εὗρε τὸν παρόντα καιρὸν ἐν ᾧ σχηματίζεται καὶ τῆς κατηγορίας ἀποτρίψασθαι τὴν φήμην, καὶ παρατίθησι τῷ Μειδίᾳ τὴν αἰτίαν. Εἰκὸς γὰρ τὸν ἐν πολλοῖς ἐπιβουλεύοντα καὶ ἄνωθεν ὄντα δυσμενῆ καὶ τοιαύτας ἤδη φήμας κατὰ τοῦ ἐχθροῦ κατασκευάζειν. Λοιπὸν οὖν ἐν τῷ ἀπολογεῖσθαι κατηγορεῖ. Τοῦτο γὰρ ἴδιον τῆς Δημοσθένους δεινότητος, καὶ τὰς ἀπολογίας εἰς κατηγορίας περιτρέπειν καὶ αὖθις κατηγοροῦντα μηδὲν ἧττον ἀπολογεῖσθαι.

547, 26. Ὅτι μὲν δὴ λιποταξίου γραφὴν] Δευτέρα κατηγορία κατὰ Δημοσθένους ὑπὸ Μειδίου. Β. Προκαλύμματι κέχρηται τοῦ φόνου τοῖς κατ' Εὐκτήμονα πράγμασιν, ἵνα μὴ δόξῃ ἐσπουδασμένως πρὸς ἐκεῖνο χωρεῖν, καὶ εἴληφε πρᾶγμα ὁμολογούμενον, ἵνα καὶ ἐπὶ τῶν ἀμφισβητουμένων ἀξιόπιστος δόξῃ. Διὸ καὶ ἐν παραλείψεως εἴδει τὴν εἰσαγωγὴν πεποίηται. Ὅτι μὲν οὖν Εὐκτήμων ἐγράψατο Δημοσθένην λιποταξίου, τοῦτο εὔδηλον, ἀλλ' ὅμως [οὐκ] ἀξιόπιστον τὸ τοιοῦτο λέγειν περὶ ἐχθροῦ.

547, 27. Καὶ τὸν τοῦτο ποιήσαντα ἐμισθώσατο] Συνήθειαν κατασκευάζει τῷ Μειδίᾳ τοῦ διαφθείρειν, ἵν' ἐπειδὰν μέλλῃ λέγειν ὅτι χρήματα ἐδίδου τοῖς τοῦ τετελευτηκότος οἰκείοις, μηδεὶς ἀπιστήσῃ, προειδὼς ὅτι τοιοῦτος ὁ Μειδίας, καὶ αὐτὸς τοῦτο εἶπεν, ὅτι καὶ τοῖς ἄρχουσι πεντήκοντα ἐδίδου.

547, 28. Καὶ λίαν εὐχερῆ, τὸν κονιορτόν.] Ἀντιπῖπτον ἔλυσεν ὅτι πότ' ἂν εἵλετο Εὐκτήμων ψευδῆ γραφὴν ἐνστήσασθαι προδήλου πᾶσιν ὄντος ὅτι τοῖς ἡττηθεῖσιν ἀτιμία πρόσκειται, εἰ μὴ ἦν λίαν εὐχερής; καὶ ὁ κονιορτὸς διὰ τοῦτο κέκληται, οἱονεὶ ὁ ῥᾳδίως πειθόμενος· οὕτω γὰρ καὶ ἡ κόνις εὐκόλως ὑπὸ τοῦ ἀνέμου ῥιπίζεται.

547, 29. Καὶ γὰρ οὔτ' ἀνεκρίνετο] Οὐκ ἐτόλμησε προσελθὼν ὑπὸ τῶν ἀρχόντων ἀνακριθῆναι, δηλονότι κατεγνωκὼς ἑαυτοῦ. Διὸ καὶ εἰκότως προσέθηκεν « ὁ συκο« φάντης. » Ὑφ' ἓν ἀναγνωστέον « ἀνεκρίνετο. » Ἔστι γὰρ ἀνάκρισις τὸ τοιοῦτον. Ὅτε τις ἀπωθεῖται γραφήν, ἀνακρίνεται πρὸ τοῦ δικαστηρίου παρὰ τοῖς ἄρχουσιν εἰ ἐπέξεισιν, εἰ μάρτυρας ἔχει, εἰ χρῄζει τοῦ παρεῖναί τινα, ἵνα πάντων εὐτρεπισθέντων εἰσέλθῃ εἰς τὸ δικαστήριον. Ὁ δὲ μὴ ἀπαντῶν ἐπὶ τὴν ἀνάκρισιν ἐγίγνετο ἄτιμος.

548, 2. Πλὴν ἵν' ἐκκέοιτο] Προτεθείη καὶ πᾶσι βλέποιτο.

548, 3. Πρὸ τῶν ἐπωνύμων] Ἐπώνυμοι οἱ ἐκ τῶν φυλῶν τὰς ἐπωνυμίας ἔχοντες BY.

548, 6. Ὅτι Μειδίου μισθωσαμένου] Ἵνα μὲν πολλὴν εὐχέρειαν καὶ ἄνοιαν δείξῃ τοῦ Εὐκτήμονος, φησὶν ὅτι ἡδέως ἂν καὶ προσέγραψε τῇ γραφῇ ὅτι Μειδίας ἐμισθώσατο. Ἵνα δὲ φύγῃ τὸ ἀπίθανον τοῦ νοήματος προσέθηκεν εἰπὼν « εἴ πως ἐνῆν. » Πρόδηλον γὰρ ὅτι οὐδὲ ὁ πάντων εὐηθέστατος τοῦτ' ἂν ἐποίησεν.

548, 7. Ἐφ' ᾗ γὰρ ἐκεῖνος] Ἐφ' ᾗ δίκῃ. Καίτοι εἰ μήτε ἐκρίθη μήτε εἰσῆλθεν εἰς τὸ δικαστήριον, φαίνεται μηδὲ ἀψάμενος τοῦ πράγματος. Οὐκοῦν οὐκ ἠτιμοῦτο, μηδὲ τὴν ἀρχὴν εἰσελθών. Ὁ δὲ σοφιστικῶς συνήγαγεν, ὁ μὴ ἐλέγξας ἐν δικαστηρίοις ἀτιμοῦται, οὗτος δὲ μὴ ἐπεξελθὼν ἑαυτοῦ κατέγνω. Κυριώτερα δὲ ἅ τις αὐτὸς περὶ ἑαυτοῦ βεβαιοῖ τῆς ἔξωθεν καὶ παρ' ἄλλων καταγνώσεως. Αὐτὸς γὰρ ἑαυτὸν ἠτίμωκεν. Καὶ τοῦτο λέγει οὐχ ὅτι τῆς παρρησίας καὶ τῶν κοινῶν ἀπεστέρητο Εὐκτήμων, ἀλλ' ὅτι κατὰ τὴν ἐκείνου ψῆφον περὶ αὑτοῦ πάντων ἐστέρηται. Κατέγνω γὰρ ἀτιμίαν ἑαυτοῦ μὴ ἐπεξελθών. Καὶ ἔστι τοῦτο παραπλήσιον τῷ προοιμίῳ τῷ κατ' Ἀνδροτίωνος (p. 593, 1) « ὅπερ Εὐκτήμων, ὦ ἄνδρες Ἀθηναῖοι, « παθὼν κακῶς ὑπὸ Ἀνδροτίωνος, » καὶ ἐκεῖ φαίνεται μᾶλλον παθὼν ὁ Ἀνδροτίων ἢ ποιήσας. Εἰ γὰρ κατηγορήσας τοῦ ψηφίσματος τοῦ Εὐκτήμονος ἡττήθη, πρόδηλον ὅτι κατέβαλε τὰς χιλίας, ἀλλ' ὅμως φησὶν « ὅπερ Εὐκτή« μων ἔπαθε κακῶς, » τὴν προαίρεσιν λέγων τοῦ Ἀνδροτίωνος, ὅτι ὅσον ἐπ' ἐκείνῳ κακῶς ἐποίησεν, εἴπερ ἐνίκησε τὴν γραφήν.

548, 8. Οὐδεμιᾶς ἔγωγ' ἔτι προσδέομαι δίκης] Ὥσπερ ἀντιπῖπτον ἔλυσε, τί οὖν οὐ κατηγορεῖς τοῦ Εὐκτήμονος, εἴπερ ψεῦδος ἐγράφετο; ὁ δέ φησιν ὅτι οὐ δέομαι γὰρ ἔτι δίκης, ἀτιμωθέντος ἐκείνου. Καὶ ἄτιμον καλεῖ τὸν μὴ ἐπίτιμον, πρὸς τὴν γνώμην ἀφορῶν τοῦ Εὐκτήμονος.

548, 9. Ἀλλ' ἱκανὴν ἔχω] Μὴ λαβὼν εἰληφέναι φησίν. Ἀρκεῖ γὰρ αὐτῷ πρὸς τιμωρίαν Εὐκτήμων ἑαυτοῦ κατηγορῶν.

Ἀλλ' ὃ καὶ δεινόν, ὦ ἄνδρες] Τοῦτο ἦν ἐφ' οὗ παρεῖχεν ἐκ πολλοῦ τὴν σπουδήν, καὶ διὸ τοῖς προκαλύμμασιν ἐχρήσατο· ἐντεῦθεν λοιπὸν ἐρρωμένως αὐτοῦ πεποίηται τὴν εἰσαγωγήν· « δεινὸν καὶ οὐκ ἀδίκημα μόνον, ἀλλὰ « καὶ ἀσέβημα. » Καὶ ἀσέβειαν ὀνειδίζει τῷ Μειδίᾳ τῷ κατασκευάσαι τὴν φήμην. Οὐκοῦν εἰ ἀσεβὴς ὁ περὶ τοιούτων ψευδόμενος, πολλῷ μᾶλλον ὁ κοινωνήσας. Πῶς οὖν ὁ ἀσέβειαν ἑτέροις ἐγκαλῶν αὐτὸς ἀνεδέξατο τὸ ἔγκλημα;

548, 12. Τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ] Τρίτη κατηγορία, ἣν λύει ὁ Δημοσθένης κατὰ στοχασμὸν προκατασκευαζόμενον, οὐχ ὁλοκλήρως μέντοι διὰ πάντων τῶν κεφαλαίων, ἀλλ' ὥστε μόνον τὸ σχῆμα σώζεσθαι τὸ στοχαστικόν. Προκατασκευαζόμενος μὲν οὖν δοκεῖ, διότι καὶ αὐτὸν τὸν Ἀρίσταρχον ἀπολύειν πειρᾶται τῆς αἰτίας. Ἔχει δέ τινα στοχαστικὰ κεφάλαια, οἷον χρῶμα, διὰ τί ἂν ἠβουλήθη φόνου ἔγκλημά σοι ἐπάγειν; Ὁ δέ φησιν, ἵνα μὴ δῷ τὴν ἐπὶ τῇ ὕβρει δίκην. Πιθανὴ δὲ ἀπολογία, ὅτι καὶ οὐκ ᾐσχύνθη θεούς, ἢ ὁσίαν, ἢ ἀνθρώπους ἐκείνους, οὓς ἔπειθε κατηγορεῖν ἐπὶ τῷ φόνῳ· ὁ δὲ ἐκ περιτροπῆς· τοῦτο γάρ ἐστι τὸ δεινὸν τούτων οὐδὲν ἐννοῆσαι. BY.

Τῷ γὰρ ἀθλίῳ καὶ ταλαιπώρῳ] Εἰσβάλλει λοιπὸν εἰς τὰ κατὰ τὸν Ἀρίσταρχον, τὸν ἑταῖρον αὐτοῦ καὶ μαθητήν. Ἦν δὲ τὸ πρᾶγμα τοιοῦτον. Νικόδημός τις ἀπὸ δήμου Ἀφιδναῖος ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς εὑρέθη νεκρός, Εὐβούλου τοῦ πολιτευομένου ὢν εἰς τὰ μάλιστα φίλος. Ἐπεὶ οὖν ἐπολέμει τῷ ῥήτορι καὶ οὗτος ἐκείνῳ ἐκ πολιτείας, ὑπωπτεύθη ὡς πείσας νέον ὄντα τὸν Ἀρίσταρχον ἐπιθέσθαι τῷ Νικοδήμῳ καὶ διαφθεῖραι. Φοβηθεὶς μὲν δὴ τὴν ὑπόνοιαν ὁ Ἀρίσταρχος ἔφυγε. Διεβάλλετο δὲ ὁ ῥήτωρ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ Ἀριστάρχου, καὶ ἔστι τόπος προκατασκευαζομένου στοχασμοῦ. Ἐλευθεροῖ γὰρ ὁ ῥήτωρ πρότερον τὸν Ἀρίσταρχον, ᾧ αἰτίαν ἔχει συνειδέναι. Ὀδύ-

ρεται δὲ τῆς τύχης τὸν Ἀρίσταρχον, ὅτι τοιαύτην εἶχε φήμην. Τὸ δὲ ἀληθὲς, τὸ καθ' ἑαυτὸν ἀποκρίνεται· ἵνα μὲν γὰρ μὴ αὐτὸς ὑποπτεύηται, τῷ Ἀριστάρχῳ τὸ ἔγκλημα περιτίθησιν· αἱρετώτερον γὰρ ἕτερον δοκεῖν ἢ αὐτὸν πεποιηκέναι. Ἵνα δὲ μηδὲ ἐκεῖνος ὡμολογημένως δόξῃ πεπραχέναι, παραθραύει κἀκείνου τὴν φήμην. Καὶ ἔοικε τοῦτο, ὡς εἴρηται, τοῖς προκατασκευαζομένοις στοχασμοῖς. Ὅσῳ γὰρ ἂν ἀμβλύνηται τὰ κατ' Ἀρίσταρχον, τοσούτῳ πορρωτέρω αὐτὸς τῆς αἰτίας καταστήσεται.

548, 13. Καὶ χαλεπῆς συμβάσης αἰτίας] Ἡ συνέχεια τῶν λέξεων τὸν οἶκτον ἐργάζεται· καὶ γὰρ ἄθλιον καὶ τα αἴπωρον ὀνομάζει. Καὶ τὸ « κακῆς καὶ χαλεπῆς » φευκτὴν ἀποφαίνει τῇ αὐξήσει τόλμαν· χαρίεν δὲ καὶ τὸ « συμβάσης » εἰπεῖν, ἀλλὰ μὴ « πραχθείσης. » Τὸ γὰρ συμβάσης ὡς δυστυχήματος ἔμφασιν ἔχει. Συμβαίνειν γὰρ λέγομεν τὰ παρὰ τῆς τύχης. Σοφώτατα δὲ καὶ τὸ « αἰ- « τίας » ἐπήνεγκεν, ἵνα ψιλὴν συκοφαντίαν ἀποδείξῃ τὸ κατηγόρημα. Ὁρᾷς δι' ὅσων καὶ οἵων ἀπωθεῖται τὴν ὑπόνοιαν. Σκοπεῖν ἄξιον τὴν ὑπερβολὴν τῆς φρονήσεως. Οὔτε γὰρ φανερῶς ὡς κατήγορος λέγει (φίλος γὰρ ἦν) οὔτε ὡς ἀπολογούμενος (ὕποπτον γὰρ), ἀλλὰ μέσως ἀμφοῖν ἐχώρησεν. Ἡ δὲ αἰτία ἄδηλος εἰ ἀληθής ἐστιν ἢ ψευδής. Δύναται δὲ ταῦτα καὶ εἰς αὐτὸν ἁρμόττειν τὸν Δημοσθένην. Διπλοῦς γὰρ ὁ ῥήτωρ.

548, 14. Τὸ μὲν πρῶτον, ὦ ἄνδρες] Οὐκοῦν Μειδίας ἐστὶν ὁ τὴν πρώτην φήμην καταχέας ἐν τῇ πόλει. Δεῖ δὲ μὴ πιστεύειν τοῖς παρὰ τῶν ἐχθρῶν λεγομένοις.

548, 21. Καὶ οὔτε θεοὺς οὔθ' ὁσίαν] Τοῦτο ἀπολογία δόξειεν εἶναι, « καὶ οὐκ ἂν ἐφοβήθη τοὺς θεοὺς ἢ τὴν « ὁσίαν, τηλικαῦτά σου καταψευδόμενος; » ὁ δὲ ἐκ περιτροπῆς, τοῦτο γάρ ἐστιν ἐφ' ᾧ καὶ μισήσειεν ἄν τις αὐτὸν, ὅτι οὐδὲν τούτων ἐφοβήθη. Τὰς γὰρ πιθανὰς ἀπολογίας προλύειν εἰώθαμεν.

548, 23. Ἀλλ' οὐδὲ πρὸς οὓς ἔλεγε] Τοῦτο γὰρ ὥσπερ ἕτερον μέρος τῆς πιθανῆς ἀπολογίας « καὶ αὐτοὺς τοὺς « ἀκούοντας οὐκ ἂν ᾐσχύνθη; » ὁ δέ φησιν ὅτι οὐδὲ τούτους. Οὐκοῦν ἐκ τούτων καὶ ἀσεβῆ καὶ ἀναίσχυντον δείκνυσι τὸν Μειδίαν.

548, 26. Ὡς δέον, εἴ τις ὑβρισθεὶς ὑπὸ τούτου] Χρώματος ἀπόδοσίς ἐστι τοῦτο. « Καὶ διὰ ποίαν αἰτίαν εἵλετο « τοιαῦτα περί του κατασκευάζειν; » ὅτι ἐφοβεῖτο μὴ δίκην δῷ τῆς ὕβρεως, διὰ τοῦτο ἤθελέ με προαναρπάσαι.

548, 29. Καὶ ἐφ' αἵματι φεύγειν] Ὡς φονέα κρίνεσθαι. Τὸ δὲ μηδαμῇ παρεθῆναι ἀντὶ τοῦ ζῆν συγχωρηθῆναι, ἀλλὰ πάσας ὑποστῆναι κατηγορίας καὶ μονονοὺ προσηλῶσθαι, τοῖς ἥλοις παραδίδοσθαι καὶ ἐσταυρῶσθαι, τουτέστιν, ἐντεῦθεν μὲν τῷ λιποταξίῳ, ἑτέρωθι δὲ τῇ τοῦ φόνου γραφῇ.

549, 1. Καίτοι ταῦθ' ὅταν ἐξελεγχθῇ] Πάλιν ἐνταῦθα παθητικοῦ μέρους ἐμνημόνευσεν, ἵν' ἐκβάλῃ τοῦ Μειδίου τὸν ἔλεον.

549, 2. Ὕβριζέ με χορηγοῦντα] Εἴπομεν ὅτι τὸ κοινὸν παρεμβάλλει πανταχοῦ, ἵνα μὴ τῇ μνήμῃ τῶν ἰδίων ἐλαττώσῃ τὸ ἔγκλημα.

549, 5. Αὐτόχειρά μου γεγενῆσθαι] Τοῖς ἔργοις, δι' ὧν ἐποίει, τὸ αὐτοῦ μέρος πεφόνευμαι· ἅπερ δὲ αὐτὸς ἐγκαλεῖται, ταῦτα τῷ Μειδίᾳ περιτρέπει, τουτέστι τὸ φόνους ποιεῖν καὶ ἀποκτιννύναι. Καὶ ηὔξησε τὴν κατηγορίαν. Αὐτὸς μὲν γὰρ αἰτίαν εἶχεν ὡς συνειδὼς, τὸν δὲ Μειδίαν αὐτόχειρά φησι γεγενῆσθαι. Εἰ γὰρ ἓν ὧν με ἐπεβούλευσεν ἐποίησεν, ὡς αὐτόχειρ ἂν ἐνομίζετο. Καὶ γὰρ ἐξ ὧν ἤλπιζέ με διαφθεῖραι ταῦτα κατεσκεύασεν.

549, 13. Εἰ γὰρ ἐάν τις παρὰ πάντας τοὺς νόμους ὑβρισθεὶς] Πάλιν αἰτίαν ἀποδίδωσι δι' ἣν εἰκὸς ἦν κατασκευάζειν ταῦτα τὸν Μειδίαν. Ἐπειδὴ γὰρ οὐκ ἀνεκτὰ τὰ πράγματα δοκεῖ λέγειν, διὰ τοῦτο συνεχῶς τὰς αἰτίας ἀποδίδωσιν.

549, 16. προσκυνεῖν τοὺς ὑβρίζοντας ὥσπερ ἐν τοῖς βαρβάροις] Οἱ γὰρ ἐκεῖ δυναστεύοντες, οἷς ἔξεστιν ὑβρίζειν, ὅταν βούλωνται καὶ ὃν ἂν ἐθέλωσιν, ὑπὸ τῶν πασχόντων προσκυνοῦνται.

549, 17. Ὥσπερ ἐν τοῖς βαρβάροις] Μνημονεύσας τῶν βαρβάρων τὸν Μειδίαν ὠνείδισε. Βούλεται γὰρ μὴ Ἀθηναῖον, ἀλλ' ὑποβολιμαῖον εἶναι καὶ βάρβαρον. Οὐκοῦν τίς ἔσται ὁ προσκυνούμενος; ὁ ὑβρίζειν πεφυκὼς καὶ ἀνυπόδικος καὶ ἀνυπεύθυνος, οἷος ὁ Μειδίας. Τυραννήσει ἄρα Μειδίας νῦν ἀποφυγών.

549, 18. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω] Βούλεται μάρτυρας παρασχέσθαι ὅτι χρήματα Μειδίας ἐδίδου τοῖς τοῦ τετελευτηκότος οἰκείοις, ὥστε κατηγορεῖν Δημοσθένους.

549, 29. Λαβὲ δή μοι καὶ τὸν περὶ τῶν δώρων νόμον] Ὁ μὲν νόμος οὗτός ἐστι, μὴ ἐξεῖναι δῶρα διδόναι μηδὲ λαμβάνειν ἐπὶ διαφθορᾷ. Κέχρηται δὲ ἑκατέροις τοῖς μέρεσι τὴν ἁρμόττουσαν χρείαν προσανάγων, καὶ πρῶτον μὲν τῷ μὴ διδόναι. Καὶ τίς δὲ ἡ χρεία παρασχεῖν μάρτυρας ὅτι Μειδίας ἐδίδου χρήματα τοῖς τοῦ τετελευτηκότος οἰκείοις; εἰκὸς δὲ τούτους τοὺς μάρτυρας χρήμασι πεισθέντας ὑπὸ τοῦ Δημοσθένους τὰ ψευδῆ μαρτυρεῖν. Οὐκοῦν πρὸς ἀμφότερα χρήσιμος ἡ ἀνάγνωσις τοῦ νόμου, διότι θανάτου τῆς ζημίας ὡρισμένης κατὰ τῶν διαφθειρόντων, ὡς αὐτός φησιν, οὗτος ὅμως ἐδίδου χρήματα. Ἀπωθεῖται δὲ τὴν ὑπόνοιαν τὴν καθ' αὑτοῦ, τὸ δοκεῖν διεφθαρκέναι χρήμασι τοὺς μάρτυρας. Ὁ γὰρ εἰδὼς τὴν κειμένην ζημίαν ἐπὶ τοῖς διαφθείρουσι πότ' ἂν αὐτὸς διέφθειρεν; διὰ τοῦτο καὶ μετὰ τὴν μαρτυρίαν εὐθὺς ἀνέγνω τὸν νόμον, ἵνα μὴ συγχωρήσῃ τινὰ ταύτην κατ' αὐτοῦ λαβεῖν τὴν ὑπόνοιαν. — Εἰ μὲν γὰρ περὶ αὐτοῦ τοῦ φόνου νῦν ἡ κρίσις ἦν, τάχα ἂν ὤκνησε ψευδεῖς παρασχέσθαι μάρτυρας. Ἐπειδὴ δὲ ὡς ἐν παρέργῳ περὶ τῆς φήμης ἀγωνίζεται, ἀκίνδυνον ἡγεῖτα καὶ τὸ ψεύδεσθαι τοὺς μάρτυρας. Ἵνα δὲ μὴ ὑποψία γένηται τῆς διαφθορᾶς, ἀνέγνω τὸν νόμον, καὶ ὅπερ αὐτὸς πεποίηκε, κατηγορεῖ τοῦ Μειδίου, ἵνα μὴ μόνον ἀπώσηται τὴν ὑπόνοιαν, ἀλλὰ καὶ ἐπ' αὐτῷ τούτῳ δίκην παρὰ τοῦ ἐχθροῦ κομίσηται, φανερᾶς γινομένης [τῆς] τιμωρίας, ἣν ὥρισεν ὁ νόμος κατὰ τῶν διαφθειρόντων. Καὶ τῷ μὲν πρώτῳ μέρει τοῦ νόμου, τουτέστι τοῦ μὴ διδόναι χρήματα, πρὸς τούτους κέχρηται, τῷ δὲ δευτέρῳ τοῦ μὴ λαβεῖν πρὸς τοὺς δικαστάς· φοβεῖται γὰρ μὴ χρήματα λαβόντες καταχαρίσωνται τὸν ἀγῶνα.

550, 1. Ἐν ὅσῳ δὲ τὸν νόμον] Ἀπὸ σχήματος ἤρξατο. Βουλόμενος γὰρ αὐτοῖς διαλεχθῆναι περὶ τοῦ μὴ λαβεῖν, ἵνα μὴ δόξῃ κατὰ σπουδὴν ἐπὶ τοῦτο ἥκειν, πρόφασιν ἐξεῦρε τὴν ἀσχολίαν τὴν περὶ τοῦ νόμου ζήτησιν.

550, 3. Δεηθεὶς ὑμῶν ἁπάντων] Ἐπειδὴ προστάττειν οὐ δύναται τοῖς δικασταῖς, ἐπὶ δέησιν καταφεύγει. Ἡγούμενος δὲ μικρὰν τὴν δέησιν πρὸς πειθὼ, διὰ τοῦτο τὸν ὅρκον προσέθηκεν. Εἰ γὰρ ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους, ὁ δὲ νόμος κωλύει χρήματα λαμβάνειν, εὔκαιρος ὑπόμνησις πρὸ τῆς ἀναγνώσεως τοῦ νόμου.

550, 4. Περὶ πάντων ὧν ἂν ἀκούσητε] Διὰ τούτων τῶν

ῥημάτων αὐτοὺς κωλύει χρήματα λαμβάνειν. Ἃ γὰρ ἂν αὐτοὶ παθόντες ἠξίωσαν τοὺς δικαστὰς, μὴ προδοῦναι τὸν ἀγῶνα, δηλονότι καὶ νῦν, ἂν οὕτω διατεθῶσιν ὡς αὐτοὶ πεπονθότες, οὐ λήψονται χρήματα.

550, 7. Ἐγὼ γὰρ ἐνηνοχὼς χαλεπῶς] Ἀναγκαῖος ὁ οἰκτισμὸς καὶ ἡ δείνωσις τῶν παθῶν· ἄξιοι γὰρ αὐτοὺς οὕτω διατεθῆναι ὡς αὐτοὺς πεπονθότας. Πῶς δ' ἂν γένοιντο περιπαθεῖς, μὴ πολλῶν ἐλεεινῶν καὶ ὑπερβαλλόντων αὐτοῖς κακῶν ὑποδειχθέντων;

550, 16. Καὶ χρῷτο τῷ πλουτεῖν] Ἐπειδὴ τοῖς πλουσίοις ἐπίφθονον παραιτεῖσθαι τὴν δαπάνην.

550, 21. Καὶ γὰρ αἰτίαν ἐπήγαγέ μοι] Τὸ ἔγκλημα τὸ καθ' ἑαυτοῦ μεγίστης κατηγορίας ἀφορμὴν κατὰ τοῦ Μειδίου πεποίηται.

550, 23. Ὡς τὸ πρᾶγμα αὐτὸ ἐδήλωσεν] Ἔφυγε γὰρ ὁ Ἀρίσταρχος οὐχ ὑπομείνας τὴν κρίσιν· οὐκοῦν ἐκεῖνος ἦν ὁ ποιήσας. Ποτὲ μὲν γὰρ ἐκεῖνον εἶναί φησι τὸν ποιήσαντα, ἵνα δὲ μηδ' ἐκεῖνος δοκῇ, ποτὲ καὶ ἀπ' ἐκείνου τὴν αἰτίαν ὑποθραύει. Μετ' ὀλίγον γὰρ πάλιν ἀπολογεῖται ὑπὲρ τοῦ Ἀριστάρχου.

550, 24. Καὶ γραφὴν λιποταξίου με ἐγράψατο] Δειλὸς ὁ Δημοσθένης ἐδόκει, αὐτὸς δὲ τὴν δειλίαν εἰς τὴν παρακειμένην ἀρετὴν μεταβάλλει, τὸ αὐτὸν εὐλαβῆ εἶναι. Λιποτακτεῖν δὲ ἔδοξεν ἐν τοῖς περὶ Εὔβοιαν.

Τρεῖς αὐτὸς τάξεις λελοιπὼς] Ἐρεῖ τὰς τρεῖς αὐτὸς μετ' ὀλίγον, ὅτι ἵππαρχος χειροτονηθεὶς οὐ συνεξῆλθε τοῖς στρατιώταις, ὅτι τριήραρχος ὢν ἐξ Εὐβοίας οὐ παρέπεμπεν ἐκ Στύρων μόνος τῶν ἄλλων τριηράρχων.

550, 25. Καὶ τῶν ἐν Εὐβοίᾳ πραγμάτων] Ὅπου τὸ στράτευμα τῶν Ἀθηναίων.

550, 26. Ἃ Πλούταρχος ὁ τούτου ξένος] Αἰτίαν ἔσχεν ὁ Δημοσθένης ὡς αἴτιος τῆς Εὐβοέων ἀποστάσεως. Αἰτοῦντος γὰρ Πλουτάρχου βοήθειαν ἀντεῖπεν ὁ Δημοσθένης. Οἱ δὲ Ἀθηναῖοι οὐδὲν ἧττον ἀπέστειλαν. Ὑποπτεύσαντες οὖν οἱ Εὐβοεῖς ἐπὶ καταδουλώσει τῆς νήσου βεβοηθηκέναι καὶ οὐ διὰ τὴν ἐξ ἀρχῆς φιλίαν, ἀπέστησαν.

550, 29. Διὰ Πλουτάρχου γεγονὸς] Ταύτην, φησὶν, ἔλαβον τὴν ὑπόνοιαν, ὦ Δημόσθενες, διὰ τὸ σὲ κωλύειν βοηθεῖν. Ὁ δὲ Δημοσθένης, ὅτι Πλούταρχός ἐστιν ὁ ἀποστήσας τὴν νῆσον, καὶ δῆλον ἐκ τοῦ τοὺς ὑμετέρους στρατιώτας αὐτὸν παραδοῦναι τοῖς μισθοφόροις τοῖς ἑαυτοῦ πρὸς τὸ ἐκτῖσαι τὸν μισθόν. Οὐκοῦν εἰ Πλούταρχος ἀπέστησε, φίλος δὲ Μειδίας Πλουτάρχου, Μειδίας ἄρα αἴτιος τῆς ἀποστάσεως.

Καὶ τελευτῶν βουλεύειν μου λαχόντος] Σιωπᾷ τὸ ἔγκλημα, ἐφ' ᾧ αὐτοῦ κατηγόρει Μειδίας, ἵνα μὴ αὐτὸς ἀναμιμνήσκειν καθ' ἑαυτοῦ δοκῇ.

551, 6. Οὐκ ὢν οὔτε τῶν ἐρημοτάτων] Ἐνταῦθα πάλιν φοβεῖ τοὺς Ἀθηναίους. Μόνου γὰρ Δημοσθένους ἐστὶ τὸ διὰ τῶν ἐναντίων ἀνύειν τὸ σπουδαζόμενον. Καὶ πρὸ μικροῦ μὲν ἱκέτευε, νῦν δὲ φοβεῖ. Διὰ τοῦτο γὰρ καὶ Διονύσιος (t. 6, p. 975) αὐτὸν Πρωτέα ἐκάλεσεν, ὅτι εἰς πολλὰ καὶ τὰ ἐναντία μορφοῖ τὸν λόγον, νῦν μὲν ἱκετεύων, νῦν δὲ οἰκτιζόμενος, μετ' ὀλίγον προτρέπων, αὖθις φοβῶν. Ὃ δὴ καὶ νῦν πεποίηκε· φοβεῖ γὰρ τοὺς Ἀθηναίους ἐπὶ τοῖς μέλλουσιν· « εἰ γὰρ ἐγὼ καίτοι φίλους « ἔχειν δοκῶν καὶ μὴ ὢν παντάπασιν ἔρημος οὐ δύναμαι « δίκην λαβεῖν, τί ποιήσετε ὑμεῖς οἱ ἄποροι καὶ ἔρη- « μοι; »

551, 9. Οὐ μέτεστι τῶν ἴσων] Τοῖς πολλοῖς πρὸς τοὺς πλουσίους. Προδήλως δὲ ἐνταῦθα μετάστασιν τῆς πολιτείας καὶ ὀλιγαρχίαν αἰνίττεται. Εἰ γὰρ τῶν ἴσων οὐ μέτεστι τοῖς πένησι πρὸς τοὺς πλουσίους, τί ἄλλο ἢ τὰ τῆς δημοκρατίας οἴχεται;

551, 11. Ἀλλὰ καὶ χρόνοι τούτοις τοῦ τὴν δίκην ὑποσχεῖν] Ὥσπερ ἀντικῖπτον λύει ὅτι, κἂν ὑβρίσῃ τις ἡμᾶς, ἐξ αὐτῆς κατηγορήσομεν καὶ δίκην ληψόμεθα. Ὁ δέ φησιν ὅτι ἀναβολὰς καὶ ὑπερθέσεις εὑρίσκουσιν, ὡς ἂν συνήθεια γένηται τοῦ ἀδικήματος. Λέγει δὲ τοῦτο διὰ τὴν ἐξούλην, ἐπειδὴ ἐκ νέας ἡλικίας ἔχων τὴν δίκην οὐδέπω εἰσελήλυθεν.

551, 13. Καὶ τἀδικήματα ἕωλα τὰ τούτων ὡς ὑμᾶς καὶ ψυχρὰ ἀφικνεῖται] Τροπικῇ λέξει ἐχρήσατο ἀπὸ τῶν ποτηρίων, ἃ ψυχρὰ γίνεται διὰ τὸ χρονίζειν.

551, 15. Πρόσφατος κρίνεται] Ἕτερον δι' ἑτέρου κατασκευάζει. Δοκεῖ μὲν γὰρ ἁπλῶς περὶ πλουσίων λέγειν καὶ πενήτων, τὸ δὲ ἀληθὲς, δείκνυσιν ὅτι, εἰ τοῖς πλουσίοις ἔθος προσφάτως φέρειν τοὺς ἀδικήσαντας, δῆλον ὅτι καὶ Μειδίας ἔκρινεν ἄν με τοῦ φόνου τότε καὶ παραυτίκα. Νῦν δὲ τῷ συνειδέναι μηδὲν ὤκνησε τὴν κατηγορίαν. Τὸ δὲ « πρόσφατον » ἐστὶ μὲν τροπικὸν, κέχρηται δὲ αὐτῷ καὶ ἐν τῷ κατὰ Ἀριστογείτονος.

Καὶ μάρτυρές εἰσιν ἕτοιμοι] Πάλιν ὑπομιμνήσκει τῶν μαρτύρων, μέλλων ἀναγινώσκειν τὸν νόμον, καὶ ἀντικατηγορεῖ τοῦ Μειδίου ταῦτα, ἅπερ αὐτὸς πεποίηκεν, ὅτι μάρτυρας ἔχει παρεσκευασμένους.

551, 16. Πάντες καθ' ἡμῶν εὐτρεπεῖς] Εἰ πάντες καθ' ἡμῶν εἰσι, πρόδηλον ὅτι οἱ νῦν μαρτυροῦντες οὐκ ἂν ἠθέλησαν μαρτυρεῖν, εἰ μὴ διὰ τὴν ἀλήθειαν ἠναγκάζοντο.

551, 17. Ἐμοὶ δὲ οὐδὲ τἀληθῆ μαρτυρεῖν] Φαίνονται τῶν μαρτύρων Δημοσθένους οἱ μὲν εἰπόντες, οἱ δὲ ἀρνησάμενοι τὴν μαρτυρίαν, καὶ τοῦτο κατὰ τέχνην τοῦ ῥήτορος. Ἵνα μὲν γὰρ μὴ δόξῃ διεφθαρκέναι, τινὰς ἐξ αὐτῶν καὶ ἀρνουμένους πεποίηκεν· ἵνα δὲ μᾶλλον πρόσθωνται τοῖς καταμαρτυρήσασι, μέμφεται τοὺς ἀρνησαμένους τὴν μαρτυρίαν, ὅτι διὰ τὸν φόβον τῶν πλουσίων οὐκ ἠθέλησαν οὐδὲ τἀληθῆ μαρτυρῆσαι.

551, 18. Ταῦτα μὲν οὖν εἴποι τις ἂν, οἶμαι] Ὑπέμνησε πάλιν τοῦ πάθους καὶ ᾠκτίσατο, μέλλων ἀναγινώσκειν τὸν νόμον, ἵνα διὰ τούτων δυσωπήσῃ τοὺς ἀκούοντας πεισθῆναι τῷ νόμῳ.

551, 26. Οὕτω τοίνυν οὗτός ἐστιν ἀσεβὴς] Ἀναγνοὺς τὸν νόμον οὐκ ἔτι μὲν ἐπεσημήνατο περὶ αὐτοῦ, νομίζων αὐτάρκη τὰ προρρηθέντα, μεταβαίνει δὲ ἐφ' ἕτερον μέρος, τὸ περὶ τοῦ φόνου. Βούλεται γὰρ καὶ αὐτὸν τὸν ἀντίδικον μάρτυρα παρασχέσθαι τοῦ μηδὲν αὐτὸν πεπραχέναι τοιοῦτον οἷον ἐγκαλοῦσιν. Καὶ διὰ τοῦτο βίαιον καλοῦσι τὸν ῥήτορα, οὐχ ὅτι βιαίως ἐνθυμεῖται, ἀλλ' ὅτι τοὺς ἐχθροὺς ἀναγκάζει συναγωνίζεσθαι τοῖς ἑαυτοῦ λόγοις.

551, 28. Εἰ δὲ ἀληθὲς ἢ ψεῦδος] Ὁμοῦ πᾶσαν αὐτοῦ κακίαν κατηγόρησεν, ὅτι εὐχερὴς, ὅτι ἄπιστος, ὅτι δύστροπος.

552, 1. Ὥστ' ἐπαιτιασάμενός με φόνου] Ἐνταῦθα ὡς μαρτύρων ἀπαίτησιν ἐκπεπλήρωκε. Μαρτύρεται γὰρ καὶ θεοὺς καὶ δῆμον καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν, ὅτι ἐπέτρεψέ μοι θύειν ταῖς Εὐμενίσι, τὸν δὲ ἀντίδικον, ὅτι οὐδαμοῦ ἐκώλυσέ με ταῦτα πράττοντα. ΒΥΡ.

552, 2. Εἰσιτήρια] Ὅταν ἄρχηται βουλεύειν ἢ θύειν. ΒΥ.

Εἴασε μέν με εἰσιτήρια] Ἐκ μεταλήψεως ποιεῖ μαρτυ-

ροῦντα τὸν ἐχθρόν. Οὐ γὰρ ἐξ ὧν πεποίηκεν, ἀλλ' ἐξ ὧν οὐκ ἐκώλυσε δείκνυσιν αὐτὸν ἀφέμενον καὶ παρ' ἐκείνου. Καὶ ἔστι παραπλήσιον τοῖς περὶ τοῦ στεφάνου, οἷον « ἔστιν « οὖν ὅπου σὺ παρὼν τηλικαύτην πρᾶξιν. » Καὶ γὰρ ἐκεῖ συλλογίζεται τὸν Αἰσχίνην ἐξ ὧν οὐκ ἐποίησε ψευδεῖς αἰτίας ἐπάγειν. Εἰσιτήρια δὲ ἐγίγνετο μελλούσης εἰσιέναι τῆς βουλῆς εἰς τὸ βουλευτήριον, ὥστε κατὰ γνώμην ἀπαντῆσαι τῶν πραγμάτων τὴν σκέψιν, καὶ ταύτην ἐκάλουν εἰσιτήρια.

552, 4. Εἴασε δὲ ἀρχιθεωροῦντα] Φροντίζοντα τῶν θείων. ΒΥ. Δοκεῖ μὲν ταῦτα παρὰ Μειδίου λέγειν, τὸ δὲ ἀληθὲς μάρτυρας ποιεῖται τοὺς θεοὺς τὸ μηδὲν πεπραχέναι τοιοῦτον. Πῶς γὰρ ἂν προσεδέξατο τὴν θυσίαν ὁ Ζεὺς ὁ βουλαῖος, ὁ Ζεὺς ὁ Νέμειος, εἰ τοιοῦτος ἦν Δημοσθένης; Ἀρχιθεωροῦντα δὲ λέγει ἄρχοντα θεωρόν. Θεωροὶ δὲ ἦσαν οἱ τὰς θυσίας ἔξω τοῖς θεοῖς ἀποφέροντες.

552, 6. Θεωρίαν] Φροντίδα θείαν. ΒΥ.

Περιεῖδε δὲ ταῖς σεμναῖς θεαῖς ἱεροποιὸν αἱρεθέντα] Μείζων ἔτι ἡ πίστις αὕτη τοῦ καθαρὸν εἶναι τὸν ῥήτορα, καὶ διὰ τοῦτο ἔοικε τελευταῖα φυλάξαι τὰ καίρια. « Τί « γὰρ » φησὶν « ἔθυσα ταῖς σεμναῖς θεαῖς· εἰ δὲ ἔφοροι « καὶ τιμωροὶ τῶν φόνων αὗται, πῶς ἂν ἠνέγκαντο τὴν « θυσίαν; ἀλλὰ καὶ ἡ ἐξ Ἀρείου πάγου βουλὴ εἵλετό με « ἱεροποιόν, ἥτις μάλιστα τὰς φονικὰς δίκας ἀκριβῶς δι« κάζειν πεπίστευται. » Καὶ οὐκ εἶπεν ὅτι « ἔλαχον ἱερο« ποιεῖν, » ἀλλ' « ᾑρέθην, » ἵνα μὴ τῆς τύχης, ἀλλὰ γνώμης φανῇ τὸ ἔργον. Ἱεροποιὸν δὲ καλοῦσι τὸν ἐποπτεύοντα τοὺς μάντεις, ὅτε θύουσι, μή πού τι κακουργῶσιν ἐν ταῖς θυσίαις. « Τρίτον δὲ αὐτὸν » εἰπὼν τὸ ἀξίωμα ἑαυτοῦ δηλοῖ· διὸ καὶ ἔκρυψε τῶν ἄλλων τὰς προσηγορίας. Τρεῖς δὲ ἴσως ἐπέστησαν, ἐπεὶ καὶ τρεῖς δοκοῦσιν εἶναι αἱ θεαί. Ἡ ἐξ Ἀρείου δὲ πάγοο βουλὴ τὸν ἱεροποιὸν ᾑρεῖτο. Ἐπειδὴ γὰρ ἐν Ἀρείῳ πάγῳ τὰ τῶν ἱερῶν τῶν Εὐμενίδων ἐπετέτραπτο καὶ πλησίον ἵδρυτο τῆς βουλῆς. Καὶ οἱ μέν φασιν ὅτι διὰ τὸν Ὀρέστην ἐκεῖ καθιδρύθη· βέλτιον δὲ λέγειν ὅτι διὰ τὰς φονικάς. Ἐπειδὴ γὰρ ἐν Ἀρείῳ πάγῳ τὰ τῶν φόνων ἐγυμνάζετο, ἵν', εἴ τι καὶ λανθάνειν μέλλοι τὴν βουλήν, αὗται συναγωνίζωνται πρὸς τὸν ἔλεγχον, ἐγγὺς ἐφεστῶσαι.

552, 12. Ἐπειδὴ τοίνυν τοῦτο τὸ πρᾶγμα] Ἐπανῆλθεν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀκολουθίαν· τὸ γὰρ κατὰ τὸν νόμον μέση τις ἦν παρεμβολή, ληφθεῖσα διὰ τὸ χρήσιμον.

552, 14. Δι' ἐμοῦ τὸν Ἀρίσταρχον] Διὰ τὴν ἔχθραν τὴν πρὸς ἐμέ, προφάσει τιμῆς (τιμωρίας?). Καὶ ἵνα μὲν ἀφ' ἑαυτοῦ τὴν αἰτίαν ἀπώσηται, τὸν Ἀρίσταρχον εἶπεν, ἵνα δὲ κἀκεῖνον ἐξέληται, τὸ « ἐσυκοφάντει » προσέθηκεν.

552, 18. Καὶ τὸν αὐτόχειρα ἔχοντες] Οὐκοῦν τίς μὲν αὐτόχειρ φανερῶς ἔδειξεν, ἵνα δὲ μὴ δόξῃ κατὰ φίλου λέγειν, τῷ ἐχθρῷ τοὺς λόγους περιέθηκεν.

552, 19. Μέλλετε καὶ ζητεῖτε καὶ τετύφωσθε] Πολλὴν εὐχέρειαν καὶ ἀλογίαν αὐτοῦ κατηγόρησε. Πρῶτον οὖν ὅτι ὡς ἐφ' ὡμολογημένοις παρώξυνε τὴν βουλήν, καὶ τὰ τοιαῦτα κατηγόρει τοῦ σεμνοτάτου τῶν συνεδρίων. Τοῦτο δὲ πόσης θρασύτητος; ἐξ οὗ συνίστησιν ὅτι πότ' ἂν ἐφείσατο Δημοσθένους ὁ τῆς βουλῆς μὴ φεισάμενος;

552, 22. Ἐξεληλυθὼς τῇ προτεραίᾳ] Τὴν δυστροπίαν αὐτοῦ καὶ τὴν ἀπιστίαν [δηλοῖ,] ὅτι ᾧ πρὸ μιᾶς διελέγετο, τούτου κατηγορεῖν οὐκ ὤκνει.

552, 23. Καὶ χρώμενος ὥσπερ ἂν ἄλλος τις] Τὴν ἀπόνοιαν δηλοῖ τοῦ Μειδίου, εἰ τοῖς Ἀρεοπαγίταις ἔλεγε « τετύφωσθε. » Καὶ ἐνταῦθα δὲ βούλεται τρέψαι τὴν κοινωνίαν τοῦ φόνου ἐπὶ τὸν Μειδίαν. Εἰ γὰρ ἐγὼ διὰ τὸ συνεῖναι αὐτῷ νομίζομαι συνειδέναι τῷ φόνῳ, πολλῷ πλέον ἂν ἔχοις αὐτὸς τὴν αἰτίαν, ὁ πλείστην πρὸς αὐτὸν τὴν ἑταιρίαν ἀσπασάμενος. Εἶτα κατασκευὴ τῆς φιλίας. Πολλὰ γάρ, φησίν, ἀεί μοι παρεῖχε πράγματα καὶ ὤχλει σφοδρῶς ὁ Ἀρίσταρχος, πρὶν ἐμπεσεῖν εἰς τὴν αἰτίαν τοῦ φόνου, δεόμενός μου διαλύσασθαι πρὸς αὐτὸν καὶ ἀποστῆναι τῆς κατὰ Μειδίου κατηγορίας. Βαθέως οὖν μεθίστησι τὴν φήμην ἐπὶ τὸν Μειδίαν· εἰ γὰρ φίλων ἐστὶ τὸ κοινωνεῖν τοῖς τῶν φίλων ἁμαρτήμασιν, οὐδὲν ἧττον Μειδίας μετέχει τοῦ φόνου· ἐχρῆτο γὰρ αὐτῷ πρὸς φιλίαν ὥσπερ ἂν ἄλλος τις· καὶ ἀπεσιώπησε τὸ καθ' ἑαυτὸν ὄνομα.

552, 24. Καὶ ὅτ' εὐτύχει πλεῖστα παρεσχηκότος] Τὸ ἐξισάζον διαφορᾷ ἔλυσε· τί οὖν, εἰ ἀμφοτέροις φίλος ἦν, οὐδὲν ἧττον καὶ αὐτός, ὦ Δημόσθενες, ὑπεύθυνος εἶ τῷ ἐγκλήματι; ὁ δὲ δείκνυσιν ὅτι μᾶλλον ἦν φίλος Μειδίου, ὡς ἴστε καὶ αὐτοί, ἢ Δημοσθένους. Φιλικῶς γὰρ φαίνετα. πρὸς αὐτὸν διακείμενος μᾶλλον ἢ πρὸς ἐμέ. Καὶ οὐ χαλεπῶς παρέσχες τὰ πράγματα, ἀλλὰ καὶ ὑπὲρ πάντας τοὺς ἄλλους. Οὐκοῦν οὐδένα τοιοῦτον εἶχε φίλον Μειδίας κατα τὴν πόλιν. Ἐν ταὐτῷ δὲ συναποδείκνυσιν ὅτι καὶ κατέγνω ἑαυτοῦ Μειδίας· εἰ γὰρ ἠξίου διαλύεσθαι, πρόδηλον ὅτι ἐδεδοίκει τὴν κρίσιν.

55, 26. Εἰ μὲν οὖν εἰργάσθαι τι τούτων] Ἀμφίβολον τὸ πρᾶγμα καθίστησιν, ὅταν ὡς ἀπορῶν λέγῃ, πότερον ἐνόμιζεν αὐτὸν δεδρακέναι, ἢ οὐ πεπιστευκὼς τοῖς τῶν αἰτιασαμένων λόγοις. Πανταχόθεν οὖν ἠμαύρωσε τὴν φήμην. Εἰ γὰρ ἀκοὴν μαρτυρεῖν οὐκ ἔξεστιν, οὗτος δ' ἐξ ἀκοῆς κατηγόρει (τοῖς γὰρ λόγοις τῶν αἰτιωμένων ἐπίστευσεν, οὐ τῇ ὄψει τῶν θεασαμένων), οὐκοῦν παντάπασιν ἕωλον τὸ ἔγκλημα.

553, 2. Μηκέτι τῆς λοιπῆς φιλίας] Ὁμοῦ καὶ ἀπελογήσατο ὑπὲρ αὐτοῦ καὶ τῷ Μειδίᾳ τὸ ἔγκλημα περιέτρεψεν. Αὐτὸς μὲν γὰρ τὸ ἀντιπῖπτον ἔλυσε « διὰ τί γὰρ οὐ κατη« γόρεις τοῦ Ἀριστάρχου, εἴπερ μὴ συνῄδεις; » ὁ δέ φησιν ὅτι « τὴν ἁρμόττουσαν φίλῳ δίκην ἔλαβον· ἀπέστην « γὰρ αὐτοῦ τῆς λοιπῆς φιλίας. » Τὸν δὲ Μειδίαν δείκνυσι νῦν μὲν ὡς ἐχθροῦ κατηγοροῦντα, νῦν δὲ ὡς φίλῳ συνόντα μετὰ τὴν φήμην.

553, 3. Τοῖς πεπονθόσι καὶ τοῖς ἐχθροῖς] Οὐκοῦν πρὸς τοῖς ἄλλοις καὶ φιλοπράγμων, ὅτι ἃ μόνοις τοῖς ἠδικημένοις ἔξεστι, ταῦτα μηδὲν πεπονθὼς ἔπραττεν.

553, 5. Εἰ δὲ ἄλλων μὲν καὶ ὁμωρόφιος] Ἀριστάρχῳ μετὰ τὴν φήμην οὐδὲν ἐκείνῳ πέπρακται δεινόν. Εἰ δέδρακε δὲ τὸν φόνον, κοινωνεῖ τοῦ μύσους, ἐπειδήπερ αὐτῷ καὶ στέγης τῆς αὐτῆς ἐκοινώνησεν.

553, 11. Τῇ δ' ὑστεραίᾳ πάλιν] Πᾶσαν αὐτοῦ παρείλετο πρόφασιν. Ἵνα γὰρ μὴ εἴπῃ « συνῆν Ἀριστάρχῳ πρὶν ἢ γενέσθαι τὴν « φήμην, » προσέθηκεν ὅτι « πῶς, εἰ « καὶ μετὰ τὴν κατηγορίαν, ἣν αὐτὸς κατηγόρησας; »

553, 13. Οὑτωσὶ καθιζόμενος] Δεικτικῷ τρόπῳ κέχρηται σημαίνων ὅτι, ὥσπερ ὑμεῖς οἱ δικασταὶ πλησίον ἀλλήλων καθέζεσθε, οὕτω κἀκεῖνος συνεκαθέζετο Ἀριστάρχῳ. Δείκνυσιν οὖν ὅτι τὴν ἐσθῆτα τῇ ἐσθῆτι συνῆπτεν.

553, 14. Τὴν δεξιὰν ἐμβαλὼν] Εἰς τὴν ἐκείνου δηλονότι, ὥστε τὴν χεῖρα ἠσπάζετο τὴν ἐργασαμένην τὸν φόνον, τρόπον τινὰ διὰ τοῦ σώματος τῇ ψυχῇ συναπτόμενος. Οὐκοῦν ἄντικρυς ἐκοινώνησε τοῦ μιάσματος.

553, 15. Μετὰ τοὺς ἐν τῇ βουλῇ τούτους λόγους] Ὃν

χθὲς ὡς ἀνδροφόνον ᾐτιάσατο, τούτῳ τῇ ὑστεραίᾳ συνῆν.

553, 17. Ὤμνυε μὲν κατ' ἐξωλείας] Χρῶμα, διὰ τί ἂν ἐβουλήθη ἔγκλημά σοι ἐπάγειν; ὅ δέ φησιν, ἵνα μὴ δῷ τὴν ἐπὶ τῇ ὕβρει δίκην. BY.

553, 18. Καὶ οὐδὲν ἐφρόντιζεν ἐπιορκῶν] Πάντα ἀθρόως κατηγόρησεν, ἀναισχυντίαν, ἐπιορκίαν, ἀπιστίαν, ἀσέβειαν.

553, 19. Ἠξίου δὲ καὶ πρὸς ἐμέ] Πληρώσας τὴν παρέκβασιν εἰσέβαλεν εἰς τοὺς καθολικοὺς ἐπιλόγους, οἵτινες μικρῷ πλείους εἰσὶ τῶν ἀγώνων. BY. Τὰ πολὺ διεστῶτα τοῖς χρόνοις συνῆψεν, ἵνα καὶ τὰ ἕτερα πιθανὰ παραστήσῃ. « Παρακαλεῖ γάρ », φησὶ « τὸν Ἀρίσταρχον, ὥστε δι' αὐ« τὸν πρὸς ἐμὲ διαλύσασθαι. » « Τοῦτο δὲ Μειδίας μὲν ἴσως ἐποίησε, πρὶν ἢ γενέσθαι τὸ ἔγκλημα τοῦ φόνου. » Δημοσθένης δὲ συνάγει τὸν χρόνον, ὅτι καὶ μετὰ τὴν φήμην, ἵνα ποιήσῃ πιθανὸν ὅτι καὶ συνῆν καὶ ὡμίλει, καὶ ἤτοι κοινωνεῖ τοῦ μύσους, ἢ οὐδὲν Ἀριστάρχῳ πέπρακται δεινόν, καὶ εἰ Μειδίας καθαρός.

553, 20. Καὶ τούτων τοὺς παρόντας ὑμῖν καλῶ μάρτυρας] Ὅτι μὲν περὶ διαλύσεων Μειδίου Ἀριστάρχῳ μαρτυρήσουσιν, ὅμως δὲ ὁ ῥήτωρ ἐᾷ τὸ ἕτερον συναρπάζει.

553, 23. Καίτοι πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι] Τὸν ἐχθρὸν αὐτὸν δείκνυσι φανερῶς ἀπολύοντα τοῦ φόνου, « καὶ πάλιν λέγει μηδὲν εἰρηκέναι τοιοῦτον. » Οὐκοῦν διὰ τῆς ὕστερον ἀρνήσεως ἀνατρέπει τὰ φθάσαντα. Καὶ οὐδὲ ὁμοίως ἑκάτερον ἐποίησεν· ὅτε μὲν γὰρ κατηγόρει, λόγοις ἐχρῆτο ψιλοῖς, ὅτε δὲ ἠρνεῖτο, καὶ τοὺς θεοὺς ἐπώμνυτο· πιστότεροι δὲ οἱ ὅρκοι τῶν ἁπλῶς λεγομένων.

553, 26. Τούτῳ δ' ὁμωρόφιον γίγνεσθαι] Ἀφ' ὧν ἐβόα καθαρὸν εἶναι τὸν ἄνθρωπον· οὐ γὰρ ἂν ἑκὼν ἐμολύνετο.

553, 27. καὶ προδῶ τὴν ὑμετέραν] Μὴ προδόντες ὑμεῖς τὴν ὑμῶν αὐτῶν προδώσετε.

553, 28. Ἂν δ' ἐπεξίω] Ἐπανήγαγεν ἐπὶ τὴν ἐξ ἀρχῆς αἰτίαν τὸν λόγον, δι' ἃ ταῦτα κατασκευάζει κατ' ἐμοῦ. Ἤδη γάρ με βουλόμενον ἐπεξελθεῖν οἷς ὑβρίσθην. Δεῖ ·ἀρ ἐν ταῖς ἰσχυροτάταις πίστεσι καταλύειν τὰ κεφάλαια.

554, 3. Φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν] Τοῦτο παραπλήσιόν ἐστι τῷ ἐν προοιμίῳ] « εἴπερ ὑβρισθέντα μη« δεμιᾶς δίκης τυχεῖν ἐστί τις συμφορά. »

554, 6. Κάλει μοι τούτων τοὺς μάρτυρας] Ὅτι ἐθεάσαντό τινες τὸν Μειδίαν καὶ πρὸ τῆς κατηγορίας καὶ μετὰ τὴν κατηγορίαν εἰσιόντα παρὰ τὸν Ἀρίσταρχον.

554, 25. Τίς οὖν ὑπερβολή;] Καὶ ἐκ τούτων ἔδειξε περὶ τίνων οἱ μάρτυρες αὐτῷ μεμαρτυρήκασιν, ὅτι ὁμοῦ καὶ κατηγόρει τοῦ Ἀριστάρχου καὶ πρὸς ἐμὲ ἠξίου διαλύειν· τοῦτο δέ ἐστι μετὰ τὴν κατηγορίαν.

555, 2. Τοῦτο μέντοι τοιοῦτον ἔθος] Πληρώσας τὴν παρέκβασιν ἐπιλογίζεται λοιπόν. Ἔθος γὰρ αὐτῷ μὴ πρότερον ἐφ' ἕτερον μεταβαίνειν πρὶν ἢ τὸ πληρωθὲν ἐπιλογίσασθαι.

555, 6. Ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν] Κοινὸν ἐργάζεται φόβον, τοὺς δικαστὰς ἐπάγων εἰς ἀγανάκτησιν.

555, 7. Ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον] Πάλιν εἰς τὸ δημόσιον ἀνάγει τὰ πραχθέντα καὶ κέχρηται τελικὰ κεφάλαια τῷ συμφέροντι. Παρειλήφαμεν γὰρ ὅτι τοῖς τελικοῖς κεφαλαίοις οἱ ἐπίλογοι πληροῦνται.

555, 12. Οἱ βδελυροὶ καὶ χρήματ' ἔχοντες] Καλῶς τὸ μιαρὸν τοῦ τρόπου προέταξε τοῦ πλούτου· οἶδε γὰρ ὡς αὐτὸς καθ' ἑαυτὸν ὁ πλοῦτος οὐ διαβάλλεται.

555, 18. Ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην] Ὅρα ὅπως καὶ τὸ φορτικὸν διέφυγε τὸ « ἴσως » εἰπὼν καὶ τὸ δεινὸν ἐπηύξησεν. Εἰ γὰρ ῥήτωρ ὢν αὐτὸς οὐ πάντως ἀπωθεῖσθαι δύναται συκοφαντίαν, τί ποιήσουσιν οἱ μὴ ἔχοντες τὴν τέχνην; ἀποδείκνυσι δὲ ὅτι πεπλήρωται τὰ τῆς ἀπολογίας τῆς περὶ τοῦ φόνου. Διεωσάμην γάρ, φησί, ψευδῆ λόγον, τουτέστι τὸν περὶ τοῦ φόνου, διεωσάμην δὲ καὶ συκοφαντίαν, τουτέστι τὴν τοῦ λιποταξίου.

555, 20. Οἱ δὲ πολλοὶ τί ποιήσετε] Δεδήλωκεν ὅτι ἐπὶ τὸ δημόσιον πάντα ἀνάγει.

555, 22. Δόντα λόγον καὶ ὑποσχόντα] « Καλεῖ σέ « τις » φησὶν « εἰς κρίσιν. » « Μὴ διάφευγε τὸ δικαστή« ριον, ὕπεχε τὰς εὐθύνας. Οὐ γὰρ ἄλλως φανείης ἂν « ἀναμάρτητος. Ἀλλ' ἐρεῖς » « μάτην ἐγκαλοῦμαι, συ« κοφάντης ἐστὶν ὁ κατήγορος. » « Ἄφες τοῦτον γνωσθῆ« ναι τῇ ψήφῳ. » Συγχεῖ, φησί, τὴν τάξιν τῆς πολιτείας ὁ Μειδίας. Πρὶν ἀπολογήσασθαι κατηγόρηκεν, πρὶν ἢ δίκας ὑποσχεῖν ἀπαιτεῖν βούλεται, καὶ ταῦτα τοὺς μηδὲν ἀδικοῦντας.

555, 27. Ὅσα μὲν τοίνυν] Πληρώσας τοὺς ἀγῶνας καὶ τὴν παρέκβασιν καὶ τοὺς ἐπιλόγους τῆς παρεκβάσεως, ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους τοῦ παντὸς λόγου κεχώρηκε. Καὶ κέχρηται προοιμιακῇ ἐννοίᾳ, ἅτε δὴ μέλλων εἰς ὁλόκληρον κεφάλαιον ἐμβαλεῖν, χωρεῖ δὲ εὐθὺς ἐπὶ τὴν ἀνακεφαλαίωσιν, ἐν ᾗ παραλαμβάνει τὸ κατὰ σύλληψιν. Ἀρχὴ δὲ ἐκεῖθεν « οὐκ ἔστ' ἐφ' ὅτῳ· » συναγωγὴν γὰρ ποιεῖται τῶν τε ἰδίων καὶ τῶν κοινῶν, ὅπερ ἐστὶ κατὰ σύλληψιν εἶδος.

556, 3. Οὐκ ἔστ' ἐφ' ὅτῳ] Σημείωσαι· ἐντεῦθεν εἴληπται τὸ οὐκ ἔστ' ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. BYTC.

556, 4. Ἐγὼ μόνος ἠδίκημαι] Ἐν τούτῳ τὸ ἰδιωτικόν. BST.

Ἀλλ' ἐπὶ μὲν τοῖς εἰς τὸν χορὸν] Ἐν τούτῳ τὸ δημόσιον, καὶ οὐκέτι λέγει τὸν χορηγόν, ἀλλὰ τὴν φυλήν. Δεῖ γὰρ ὡς ἐν ἐπιλόγοις μείζους εἶναι τὰς αὐξήσεις.

556, 6. Ἐπὶ δ' οἷς ἐμὲ ὕβρισεν] Ἐν τούτῳ τὸ δημόσιον. S. Ἐνδείκνυται τὸ ἀδίκημα καί φησιν ὅτι πάντα ἠδίκησε, τὴν φυλήν, τοὺς νόμους, τὴν τύχην τῆς πόλεως, τὸ δαιμόνιον τῆς ὁσίας, καὶ αὐτὴν τὴν ὁσίαν τὴν ἐφ' ὁλοκλήρου πόλεως. Τὸ γὰρ ὅσιον τέμνεται τὸ μέν τι εἰς [τὸ] εὐσεβές, ὅπερ ἐστὶ περὶ θεούς, τὸ δὲ εἰς τὸ ὅσιον, τὸ δὲ εἰς ὁλόκληρον πόλιν, τὸ δὲ εἰς ἕκαστον τῶν ἀνθρώπων, τὸ δὲ εἰς τοὺς τελευτήσαντας. Νῦν δὲ τὸ ὅσιον καὶ τὸ σεμνὸν οὐ τὸ ἀνθρώπινόν φησιν, ἀλλὰ τὸ θεῖον τὸ ἐφορῶν τὴν πανήγυριν.

556, 8. Ἐφ' ἅπασι δὲ τούτοις] Ἀθροισμὸν ποιεῖται πάντων, ἐξ ὧν δημόσιον τὸ ἀδίκημα. BSYP.

556, 12. Οὐχ ὡς ὑπὲρ ἡμῶν ὄντος μόνον τοῦ λόγου] Ἀνακεφαλαίωσις τοῦ κατὰ σύλληψιν, ὅτι καὶ ὕβρις καὶ ἀσέβεια τὸ πραχθέν. BY.

556, 13. Ἀλλ' ὡς ἐν αὐτῷ τῷ νόμῳ] Δοκῶν πεπαῦσθαι τῶν τοιούτων πάλιν ἄρχεται· τοῦτο γὰρ ἴδιον Δημοσθένους, τὸ πολλὰς εὑρίσκειν μεθόδους, ὡς τὰ ἰσχυρὰ λέγοντα συνεχῶς φεύγειν τὸ προσκορές.

556, 16. Καὶ τοὺς συνεξεταζομένους] Μέλλων μετ' ὀλίγον ἐκβάλλειν τοὺς συνηγόρους, ἐντεῦθεν ἤδη προδιαβάλλει, συνεθίζων τοὺς δικαστὰς ταῖς κατ' αὐτῶν βλασφημίαις. Συνεξεταζομένους δὲ τοὺς ἅμα αὐτῷ φαινομένους καὶ συνδιατρίβοντας.

556, 17. Ἀλλὰ καὶ δοκιμαστάς] Ἐπαινέτας καὶ κρίνοντας εἶναι καλὰ τὰ γινόμενα.

556, 18. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἐντεῦθεν

ἐστιν ἡ τῆς ποιότητος ἐξέτασις, ἥτις ἐστὶ καθόλου, ποταπὸς ὁ βίος τοῦ Μειδίου. Προεξήτασται μὲν ἤδη ἐκ τῆς ποιότητος, ἐν οἷς ἐπίορκον ἄπιστον ὠμὸν δύστροπον καὶ τὰ τοιαῦτα τὸν Μειδίαν ἀπέδειξεν. Ἀλλ' ἐκείνη μὲν ἡ ποιότης ἰδίαν εἶχεν ἐξέτασιν, ποταπὸς γέγονε Μειδίας περὶ αὐτὸν Δημοσθένην. Καὶ γὰρ τὰ περὶ τὸν Στράτωνα καὶ πάντα ταῦτα εἰς Δημοσθένην εἶχε τὴν ἀναφοράν. Νῦν δὲ καθολικὴν εἰσάγει ποιότητα, ποταπὸς περὶ πᾶσαν γεγένηται τὴν πόλιν Μειδίας. Ἐπειδὴ γὰρ σώζεταί τις ἢ δι' ἔλεον τῶν δικαστῶν, ἢ δι' αὐτὸ τὸ πρᾶγμα, ὃ μέλλει ὑφίστασθαι, μέγα ὂν καὶ ὑπερβάλλον τὴν συνήθειαν, ἢ δι' ἀξίωμα καὶ σεμνότητα, ὥστε δοκεῖν αἰδοῦς ἄξιος εἶναι, ἢ δι' ἐπιείκειαν καὶ μετριότητα, ἣν ἐπεδείξατο περὶ τὸν ἄλλον βίον, ἢ δι' ἃ λελειτούργηκε φθάνων, ἢ δι' ἃ προσδοκᾶται λειτουργήσειν, ἢ διὰ τοὺς συνηγοροῦντας, ἢ καὶ δι' ἄλλα πλείω, διὰ τοῦτο καθ' ἕκαστον ἐν τοῖς ἐπιλόγοις ἐπεξέρχεται, πᾶσαν αὐτοῦ σωτηρίας ἀφορμὴν περικόπτων. Πρῶτον οὖν ἐξετάζει ποταπὸς [περὶ] τοὺς ἄλλους.

Εἰ μὲν τοίνυν] Ἡ ποιότης ἡ ἐν ἐπιλόγοις κοινή. Ἀποδείκνυσι γὰρ ὁποῖον ἑαυτὸν ὁ Μειδίας καὶ πρὸς τοὺς ἄλλους ἀπέδειξεν. ΒΥ. Ἄλλως. Ἐντεῦθεν ἡ τῆς ποιότητος ἐξέτασις, ἥτις ἐστὶ κοινὴ τούτοις ἐν οἷς ἐπίορκον ἄπιστον ὠμὸν δύστροπον ἐπέδειξεν· ἀλλ' ἐκείνη μὲν ἡ ποιότης ἰδίαν ἐξέτασιν ἔχει, ποδαπὸς γέγονε Μειδίας περὶ τὸν Δημοσθένην· νῦν δὲ τὴν καθολικὴν εἰσάγει ποιότητα, ποδαπὸς περὶ σύμπασαν τὴν πόλιν γέγονεν. ΒΣΥ.

556, 22. Ἀτύχημ' ἂν ἐμαυτῷ] Ὅταν γὰρ περὶ τοὺς ἄλλους χρηστὸς ὢν φαῦλος περὶ ἡμᾶς μόνους φανῇ, δυστυχία σαφὴς τὸ γιγνόμενον.

556, 26. Νυνὶ δὲ τοσαῦτ' ἐστὶ τἄλλα] Ἀγανακτεῖν ὑπὲρ τοῦ δήμου προσποιεῖται ὡς δεινὰ πεπονθότος.

557, 2. Σὺ δεινότερον ἢ τῶν ἄλλων] Ἐν οἷς δοκεῖ φοβεῖσθαι μὴ διαφύγῃ, ἐν τούτοις μᾶλλον παροξύνει τοὺς δικαστάς. Τί γὰρ αὐτὸν ἀξιώσετε συγγνώμης, διότι πικρότερα πεπόνθασιν οἱ ἄλλοι ὑπὸ Μειδίου, ἀλλ' οὐ μᾶλλον ὀργισθήσεσθε διότι κατὰ πολλῶν γέγονε τοιοῦτος;

557, 6. Τό τ' ἐμὸν καὶ τὸ τούτου προστεθὲν] Μέτρον ἐλάμβανον ἐν τοῖς δικαστηρίοις ὕδατος οἱ ῥήτορες, οὗ πεπαυμένου ἐν τῷ ῥεῖν ἐπαύοντο λέγοντες, ἴσως, ἵνα μὴ φλυαρῶσιν, ἀλλὰ τῶν ἀναγκαίων ἔχωνται μόνων. Λέγει οὖν ὅτι τῷ λείποντί μου ὕδατι (πολὺ γὰρ ἐν τῷ λέγειν ἀνάλωται), εἰ προστεθείη αὖθις πᾶν τὸ μέτρον τό τ' ἐμοὶ δοθὲν καὶ ὃ δέδοται τῷ Μειδίᾳ, οὐκ ἂν ἐξαρκέσειε διηγουμένῳ μοι πάντα αὐτοῦ τὰ πλημμελήματα.

557, 9. Ὡς ἐμαυτῷ γέγραμμαι] Σύνηθες τοῦτο ποιεῖν Δημοσθένει, ὅταν πλῆθος ἐνδείξασθαι βούληται. Ὡς γὰρ μὴ δυνάμενος ἕκαστα μνημονεύειν ἐκ γραμματείου τὴν ἀνάμνησιν ποιεῖται. Ἔχει γὰρ ἐν ὑπομνήμασι συντόμως αὐτοῦ τὰ ἀδικήματα, ὡς καὶ ἐν ἀρχῇ (p. 522) εἶπεν ὅτι συνέλεξεν ἀφ' ὧν ὑμῖν ἀναγινώσκων ἐρῶ παντοδαπὰ κακουργήματα.

557, 14. Καὶ ὕβρεις πολλὰς] Τὴν γὰρ ἐξ Ἀρείου πάγου βουλὴν ὕβρισεν εἰπὼν « μέλλετε καὶ τετύφωσθε. »

Καὶ περὶ τοὺς οἰκείους κακουργήματα] Κακουργήματα λέγει τὰ κατὰ Κρατῖνον τὸν συνίππαρχον. Τοὺς γὰρ συνάρχοντας ὥσπερ οἰκείους νενομίκαμεν. Μικρὸν γὰρ ὕστερον ἐρεῖ ὡς ἵππαρχος ὢν πολλὰς κατὰ τῶν ἱππέων ἐποιεῖτο διαβολὰς συνὼν αὐτοῖς.

557, 15. Καὶ τόπος οὐδείς ἐστι] Τόπον νῦν λέγει οὐ Κεραμεικὸν οὐδὲ ἀγορὰν, ἀλλὰ κατὰ τοὺς διαλεκτικοὺς τὸ ἐπιχείρημα. Οὐδὲν γὰρ, φησὶν, ἐπιχείρημα οὐδὲ ἀφορμή τις ἀδικίας ἐστὶν, ἢ κακίας εἶδος, ὃ οὗτος παραλέλοιπεν.

557, 19. Τὸν ἀεὶ προστυχόντα αὐτῷ] Ἵνα μὴ ὡς ἀμυνόμενον τὸν ἠδικηκότα ποιῇ, ἀλλὰ τὸν ἀπαντῶντα ἁπλῶς βλάπτῃ.

557, 20. Καὶ παραλέλοιφ' ἕτερα] Ἵνα μὴ δόξῃ ὡς φιλοπράγμων ἅπαντα περιεργάζεσθαι ἀκριβῶς, δείκνυσι πολλὰ παραλιπεῖν.

557, 26. Οὐδὲν ἄξιον θανάτου] Οἷον ἄξιον γερῶν καὶ τιμῆς τοσαύτης, ὡς θανάτου τυχεῖν.

557, 27. Ἀλλ' εἰ καὶ μὴ φυλὴν ὅλην καὶ βουλὴν καὶ ἔθνος] Διὰ τὸν χορὸν καὶ τὴν βουλὴν τὴν Ἀρεοπαγιτικήν· εἶπε γὰρ « τετύφωσθε, » ὑβρίζων αὐτήν· ἔθνος δὲ νῦν τὸ τάγμα ἐμφαίνει τῶν ἱππέων. Ἴσως δὲ φοβούμενος μὴ ὡς ἱππάρχῳ βοηθήσουσι συστάντες οἱ ἱππεῖς, συγκρούειν πειρᾶται. Ἅπερ δὲ ἐν τῷ γραμματείῳ ἀνέγνω, ταῦτα πάλιν κατὰ σχετλιασμὸν λέγει καὶ ἀναμιμνήσκει.

558, 2. Περὶ δὲ τῶν συστρατευσαμένων ἱππέων] Βούλεται τοὺς συνηγόρους αὐτοῦ παρελέσθαι, καὶ ἐπειδὴ δέδοικε τὸ τάγμα τῶν ἱππέων, μὴ ὡς ἱππάρχῳ βοηθήσουσι, δείκνυσι κἀκείνους ὑβρισμένους ὑπὸ Μειδίου. Συστρατιώτην δὲ εἶπεν αὐτὸν καὶ οὐχ ἵππαρχον· ἐπειδὴ γὰρ καὶ οἱ ἵππαρχοι συστρατεύονται τοῖς ἱππεῦσιν, ἐκ τῆς κοινωνίας τῆς κατὰ τὴν στρατείαν αὐτὸν ὠνόμασε.

558, 6. Καὶ τὴν λοιδορίαν ἣν ἐλοιδορήθη Κρατίνῳ] Στρατηγὸς ἦν οὗτος τοῦ πεζοῦ. Τοῦ δὲ Μειδίου κατηγοροῦντος τῶν ἱππέων, ὁ Κρατῖνος, ἅτε καὶ αὐτὸς ἵππαρχος ὢν, ἀντέλεγε καὶ βοηθεῖν αὐτοῖς ἐπειρᾶτο· καὶ τοῦτον οὖν ὕβριζε..

558, 11. Καίτοι πότερ' εἰσὶν ὄνειδος, ὦ Μειδία] Τοῦτο σύνηθες Δημοσθένει, ὅταν ἐξέληταί τινα κατηγορούμενον, ἀντιπεριτρέπειν τῶν κατηγόρων τὰ ἐγκλήματα.

558, 12. Οἱ διαβάντες ἐν τάξει] Ὅταν μὴ ἔχῃ στρατιώτας ἐκ τροπαίων ἐπαινεῖν, τὴν γνώμην αὐτῶν θαυμάζει καὶ τὴν εὐταξίαν, ὥσπερ ἐν τῷ περὶ τοῦ στεφάνου μὴ ἔχων τοὺς ἐν Χαιρωνείᾳ σεμνύνειν ἐπὶ τοῖς κατορθώμασιν, ἀπὸ τῶν πρὸ τῆς μάχης αὐτοὺς ἐπῄνεσε, τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ.

558, 16. Ἐπ' ἀστράβης δὲ ὀχούμενος] Εἶδος καθέδρας, παρὰ τὸ μὴ στροβεῖσθαι μηδὲ στρέφεσθαι. Ἔστι δὲ ἐπὶ πλεῖστον εἰς ὕψος ἀνῆκον, ὥστε τῶν καθεζομένων ἀνέχειν τὰ νῶτα. Χρῶνται δὲ αὐτῷ μάλιστα αἱ γυναῖκες. Σκώπτει δὲ διὰ τούτου εἰς μαλακίαν καὶ ἀσθένειαν τὸν Μειδίαν. Εἶθ' ἵνα μὴ ἀντιπέσῃ « τί οὖν, εἰ κακωθεὶς ἐχρήσατο « ταύτῃ τῇ καθέδρᾳ; » προσέθηκεν « ἀργυρᾶς· » τὸ γὰρ ἠργυρῶσθαι τὴν καθέδραν δεῖγμα ἦν τοῦ ἐπιτηδεύοντος καὶ ἐντρυφῶντος τούτῳ τῷ εἴδει. Τὸ δὲ καὶ « ἐξ Εὐβοίας, » ὅτι μὴ εἰωθότων τῶν Ἀθήνησι τοιαύτας ἐργάζεσθαι αὐτὸς ἐξ Εὐβοίας ὠνήσατο. Ἡ δὲ δημώδης « ἐξ Ἀργούρας » ἔχει, ἀπὸ τόπου τῆς Εὐβοίας. Ἀλλὰ τὰ ἑξῆς δηλοῖ ὅτι μαλακίαν αὐτῷ καὶ τρυφὴν ὀνειδίζει, χλανίδας λέγων καὶ ἱμάτια τρυφερὰ καὶ σκεύη ἐπιτήδεια πρὸς ἀνειμένον βίον.

Ἐξ Ἀργούρας] Παρὰ Μενάνδρῳ ἀργυρᾶς. Β. Ἄργουρα πόλις Εὐβοίας. Ἀστράβη δὲ εἶδος καθέδρας. Κυμβίον δὲ εἶδος περικεφαλαίας ἢ εἶδος ἐκπώματος ἐπίμηκες καὶ στενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ, ὃ καλεῖται κυμβίον. Φέρων δὲ τὴν χρῆσιν τῆς λέξεως Ἡρωδιανὸς ἐν τῇ καθόλου φησί· ῥυτὰ καὶ κυμβία καὶ φιάλας. ΒΥΤΡ.

558, 17. Χλανίδας δὲ καὶ κυμβία καὶ κάδους] Χλανίδας μὲν τὰς Μιλησίας, κυμβία δὲ εἶδος ἐκπωμάτων, κάδος δὲ

γυναικεῖον ἀγγεῖον, ᾧ χρῶνται πρὸς τὰς ἀρύσεις τῶν ὑδάτων, ἢ τὰς νῦν σίτλας.

558, 18. Οἱ πεντηκοστολόγοι] Τὰ μὲν πολεμικὰ σκεύη οὐκ ἐτελώνουν, ὅσα δὲ ἦν εἰρηνικὰ καὶ πρὸς τρυφὴν συντελοῦντα κατεῖχον.

558, 19. Ταῦτα γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς] Ἐν καιρῷ τὸν οἰκεῖον εἰσήγαγεν ἔπαινον. Οἱ γενναιότεροι γὰρ ἐν τοῖς ὁπλίταις τάττονται. Οὐκοῦν οὐκ ἔστι λιποτάκτης ὁ Δημοσθένης, ἀλλὰ καὶ ἀνδρεῖος.

558, 20. Εἴ σε ἐπὶ τούτοις ἔσκωψεν] Εἷς τῶν ἱππέων κωμικώτερος ὢν ἀπέσκωψεν εἰς ταύτην αὐτοῦ τὴν τρυφήν.

558, 22. Εἰ μὲν γὰρ ἐποίεις ταῦτα, ὦ Μειδία] Διλημμάτῳ κέχρηται, οὗ τὸ μὲν πρῶτον μέρος ἀκολουθίαν ἔχει, τὸ δὲ δεύτερον σεσόφισται. Εἰ ταῦτα ἐποίεις, δικαίως καλῶς ἤκουες. Ὁ δὲ εἰς ἕτερον περιήγαγεν « εἰ δὲ μὴ « ποιοῦντός σου ἕτεροι ἀκούοντες ἐπέχαιρον, ἄξιος ἦσθα « διὰ τὸν ἄλλον βίον ταῦτα ἀκούειν. » Παρολκῇ γὰρ χρησάμενος τὴν ἀκολουθίαν ἐσοφίσατο.

559, 5. Καὶ τὸ δὴ σχετλιώτατον καὶ μέγιστον] Ὁ λέγων ἐπαύσατο, τοῦτο ὡς κοινὸν εἰσάγει. Τοσούτων, φησὶν, ἀνθρώπων ἀθρόως κατηγορεῖς. Λέγει δὲ τῶν ἱππέων, ὅπερ μέχρι νῦν ἐξήταζε. Τίς οὖν ἡ παραλλαγὴ τούτων; ὅτι ἐκεῖ μὲν ὀνομαστὶ τοὺς ἱππέας εἶπεν, ἐνταῦθα δὲ ἀορίστως πλῆθος ἀνθρώπων ὠνόμασεν.

559, 12. Τίς ὑμῶν ἐμοί τι σύνοιδεν] Ἅπερ ἔλεγεν ὁ Μειδίας, ταῦτα προλαβὼν αὐτὸς κατὰ ἀναίρεσιν εἰσήγαγεν, « ὅτι οὐδέ ἐστιν αὐτῷ συνήθη ταῦτα, » « ἐπεὶ δι' ἔχ« θραν καταψευδομαρτυροῦμαι· τοιοῦτον γὰρ οὐδὲν ἴστε « ὑμεῖς. »

559, 19. Οὐκ ἀκηκόασι δὲ νῦν] Δεινότητα ἔχει τὸ ἐπιχείρημα, εἴ γε μέμφονται τῷ κατηγόρῳ τινὲς ὡς οὐκ εἶπεν ἃ ἴσασιν αὐτοὶ τοῦ Μειδίου ἀδικήματα.

559, 20. Οὐδὲ πάνθ' ὅσα ἠδίκηνται] Ἄλλο βαρύτερον, ὅτι φοβοῦνται δημοσιεῦσαι οἱ πεπονθότες ἃ Μειδίας ἐποίησεν. Εἰ γὰρ ἐρεῖ ἕκαστος, πείσεταί τι δεινότερον ὁ φθεγγόμενος.

559, 25. Μηδὲν ἂν αὐτὸν ἐξ ἐπιδρομῆς παθεῖν] Ἐκ τοῦ εὐθέος εὐκόλως ἐπιδραμόντα. Πραγματείας γὰρ δεῖ πολλῆς, ἵνα διαρρήξῃ τῆς δυναστείας τὸ τεῖχος. Προβέβληνται γὰρ αὐτοῦ καὶ τειχίζουσιν αὐτόν.

559, 28. Μάτην γὰρ λοιδορήσεται] Δείκνυσιν ὁ Δημοσθένης ὅτι τὰς παρὰ τῶν πλουσίων ὕβρεις μάλιστα χρὴ χαλεπὰς νομίζειν. Ἐὰν γὰρ, φησὶ, περιαιρεθῇ τὰ ὄντα, κἂν ὑβρίζῃ, μάτην βοήσεται· τῶν γὰρ οἰκτρῶν καὶ τῶν ἀπερριμμένων, κἂν τὰ αἴσχιστα λέγωσι, καταφρονεῖν εἰώθαμεν.

560, 2. Νῦν δὲ οἶμαι τούτου προβέβληνται] Κατ' ὀλίγον αὐτοῦ περικόπτει τοὺς συνηγόρους, τοὺς μὲν ἱππέας τῷ τρόπῳ τῷ προειρημένῳ, τοὺς δ' ἄλλους διὰ τοῦ κακίζειν. Ἐπειδὴ γὰρ ἐγχωρεῖ τὸν Μειδίαν καὶ εἰς μαρτυρίαν τινὰς τούτων παραγαγεῖν, προδιαβάλλει τὴν ποιότητα αὐτῶν, μισθοφόρους καλῶν καὶ ἑταιρίαν τὸ κατ' αὐτοὺς, ἵνα μὴ διὰ τούτων λάβῃ χώραν ἡ μαρτυρία. Τίς γὰρ πιστεύσει τούτοις, οἳ κολακεύειν τὸν Μειδίαν εἰώθασι; κατὰ μικρὸν δὲ εἰς τυραννίδα ἀναφέρει τὸ πρᾶγμα· ὅπου γὰρ μισθοφόροι καὶ δορυφόροι, τὰ τῆς ὑπονοίας ἐγγύς.

560, 3. Εὐκτήμων ὁ κονιορτὸς] Ὃν ἐμισθώσατο κατήγορον.

560, 5. Μαρτύρων συνεστῶσα ἑταιρία] Ἁμιλλῶνται πρὸς τοὺς κατηγόρους οἱ μάρτυρες, οἱ μὲν ποιοῦνται γραφὴν, οἱ δὲ τὴν πίστιν σοφίζονται. Διὰ τοῦτο γὰρ καὶ « συνεστῶσα » εἶπεν, ἵνα μάθῃς τοῦ συγκροτήματος τὴν μανίαν. « Γράφου θαρρῶν, ὦ Τιμόκρατες, » βοῶσιν οἱ μάρτυρες, « κἂν δυσχεραίνῃς περὶ τὸν ἔλεγχον, ἐγὼ τῇ « μαρτυρίᾳ τοὺς δικαστὰς ἀπ' αὐτῶν. »

Φανερῶς μὲν οὐκ ἐνοχλούντων] Ἐφοβοῦντο γὰρ ψευδομαρτυρίας ἁλῶναι φανερῶς ἀναισχυντοῦντες.

560, 6. Σιγῇ δὲ τὰ ψευδῆ ῥᾷστ' ἐπινευόντων] Οἱ γὰρ ἔξωθεν σπουδάζοντες, ἐπειδὰν ὁ κατήγορος λέγῃ τὰ ἀδικήματα, λάθρα καὶ πόρρωθεν ἀνανεύουσι τοῖς δικασταῖς, ἐνδεικνύμενοι μηδὲν ἀληθὲς εἶναι τῶν λεγομένων. Ῥᾷστον δὲ τὸ τοιοῦτον καὶ ἀκίνδυνον.

560, 7. Οὓς μὰ τοὺς θεοὺς] Μισθοφόρους εἰπὼν ἐφοβήθη μὴ πρὸς τὸν μισθὸν ἀπίδωσιν οἱ δικασταὶ, ὡς εἰωθότος τοῦ Μειδίου χρήματα διδόναι τοῖς συναγωνιζομένοις. Ἵνα μὲν οὖν μὴ πρὸς τὸ κέρδος οἱ δικασταὶ χαυνωθῶσι, μεθ' ὅρκου τὴν ἄρνησιν ἐποιήσατο, μηδὲν ὠφελεῖσθαι παρ' αὐτοῦ τοὺς σπουδάζοντας. Καὶ ἄλλως προσπῖπτον ἀναιρεῖ· « Ἴσως ἐπανορθοῖ τὸν βίον αὐτοῖς, παραμυθεῖται τὴν ἔν« δειαν, διὸ καὶ αὐτοὶ σώζουσιν ὡς εὐεργέτῃ τὴν εὔνοιαν « ἐν ταῖς χρείαις διακονούμενοι. » Ἐκβάλλει τοίνυν δρκῳ τὴν δόξαν.

560, 8. Ἀλλὰ δεινοί τινές εἰσιν] Ἕτερον αἴτιον εἰσάγει καὶ πάθος, ἀλλὰ πεφύκασί τινες συνάπτειν ἑαυτοὺς τοῖς πλουσίοις καὶ κολακεύειν καὶ ὑπηρετεῖν εἰς ἃ βούλονται, ὃ δὴ καὶ φθείρεσθαι ὀνομάζει. Φθορὰ γὰρ τὸ ταῖς τῶν ἄλλων ἕπεσθαι γνώμαις, ὅθεν ἐπάγει ὡς οὐκ ἀνεκτὰ ταῦτα τοῖς ἐλευθερίοις καὶ μετρίοις τὰ συγκροτήματα. Ὑποπτεύεται γὰρ ταχέως. Τὸ δὲ συλλεχθέντες λέγει ἰσχυρότερον ἀποφαίνων τὸ δικαστήριον. Εἰ γὰρ καὶ ἰδίᾳ ὑμῶν ἕκαστος ἡττᾶται τῶν πλουσίων, ἀλλ' ὅταν εἰσίητε κρίνοντες κύριοι ὄντες τοῦ δικαστηρίου, κυριώτεροί ἐστε τοῦ διαφθεῖραι καὶ λῦσαι αὐτῶν τὴν δύναμιν.

560, 17. Τί δὴ τὰ καὶ τὰ πεπονθὼς] Ἐνήλλαξε διὰ τῶν λέξεων τὴν δύναμιν τῆς ἀντιθέσεως. Ὁ μὲν γὰρ Μειδίας ἐκείνως ἂν προήγαγεν « οὐδεὶς παρ' ἐμοῦ πέ« πονθε δεινὸν, οὐδὲ κατηγορῆσαί τις ἐτόλμησεν. » Ὁ δὲ τῷ μὲν μηδένα κατηγορηκέναι συνέδραμε, τὴν δὲ αἰτίαν ἐνήλλαξε. Θαυμάζειν γάρ φησι διὰ τί πολλοὶ παθόντες οὐ κατηγόρησαν. Καὶ πεποίηκεν οὐκ ἀντίθεσιν εἰσάγοντα μᾶλλον ἢ ὁμολογίαν καθ' ἑαυτοῦ τῶν ἀδικημάτων. Τεχνικώτατα δὲ πάλιν τὸν Μειδίαν λεληθότως ὁμολογοῦντα τὴν δυναστείαν ποιεῖ. Ὅθεν γὰρ ὀνειδίζῃ τῷ Δημοσθένει « ὅτι πολλοὺς καὶ ἄλλους ἠδίκησα καὶ κατὰ τοῦ δεῖνος « καὶ τοῦ δεῖνος ἐχώρησα, καὶ οὐδεὶς ἔλαβε δίκην παρ' « ἐμοῦ, οὐδεὶς ἐτόλμησε καθίσαι κατ' ἐμοῦ δικαστήριον, σὺ « μόνος ὑπερβαίνεις τὴν τάξιν, μετὰ τῶν νόμων ὁπλίζῃ, » τὴν δυναστείαν προβαλλόμενος, πῶς οὐ βεβαιοῖ σαφῶς τῆς τυραννίδος τοῖς οἰκείοις λόγοις τὴν μίμησιν;

560, 20. Ἀφίσταται τοῦ βοηθεῖν αὑτῷ] Οὐδεὶς, φησὶν, οὐδὲ βοηθεῖν ἑαυτῷ λοιπὸν ἰσχύει, τὸν Μειδίαν φοβούμενος. Εἶτα συνάπτει πολλὰς προφάσεις, δι' ἃς ἕκαστος τὴν ἡσυχίαν ἀσπάζεται, προσκρούειν αὐτῷ μὴ βουλόμενος.

560, 22. Καὶ γὰρ ἀσχολία καὶ ἀπραγμοσύνη] Ἀσχολία διὰ τὴν τύχην, ἀπραγμοσύνη διὰ τὸν τρόπον, καὶ τὸ μὴ δύνασθαι λέγειν διὰ τὴν φύσιν. Δι' ὧν δὲ αἰτίαν ἀποδίδωσι τοῖς ἠδικημένοις, ὅτι μὴ κατηγόρησαν, διὰ τούτων τὰ ἐναντία τῷ Μειδίᾳ περιάπτει, ὅτι φιλοπράγμων, ὅτι μηδενὶ σχολάζων, ὡς κοινὸς ἐχθρὸς τῇ πολιτείᾳ. Τὸν

δὲ κατάλογον τῶν ἀδικημάτων αὐτοῦ εἰπὼν τέλος τύραννον ἀπέφηνεν.

561, 1. Ἐπειδήπερ εἴληπται] Ἐπειδὴ ὑπὸ χεῖρα γέγονε καὶ εἴσω τῶν δικτύων γεγένηται.

561, 3. Λέγεται τοίνυν ποτὲ ἐν τῇ πόλει] Ἐφ' ἕτερον εἶδος μεταβέβηκε τῶν ἐπιλόγων, δι' οὗ πειρᾶται δεικνύναι μὴ ὄντα αἰδοῦς ἄξιον τὸν Μειδίαν· αἰδοῦς γὰρ τυγχάνει τις ἢ διὰ λαμπρότητα γένους ἢ διὰ στρατείας καὶ πράξεις οἰκείας ἢ διὰ φιλοτιμίαν τῶν περὶ τὴν πόλιν· ἃ, ὅτι οὐ προσῆν Μειδίᾳ, τὸν Ἀλκιβιάδην εἰσήγαγεν, οὐχ ἵνα συγκρίνῃ, ἀλλ' ἵνα ἀντεξετάζῃ καὶ ἵνα δείξῃ πρὸς τούτοις ὅτι, εἰ τηλικοῦτος ὢν Ἀλκιβιάδης οὐκ ἔτυχεν αἰδοῦς, πῶς [ἂν] τύχοι Μειδίας; BSY.

Λέγεται τοίνυν ποτὲ ἐν τῇ πόλει] Μεταβέβηκεν ἐφ' ἕτερον μέρος ἐπιλόγων, δι' οὗ πειρᾶται δεικνύναι μὴ ὄντα αἰδοῦς ἄξιον τὸν Μειδίαν. Ἐλέγετο γὰρ ἓν καὶ τοῦτο εἶναι τῶν δυναμένων ἀεὶ σώζειν τοὺς ἀδικοῦντας. Τῆς δὲ αἰδοῦς οὐχ ἓν εἶδος, ἀλλὰ τόποι πλείους. Αἰδοῦς γὰρ τυγχάνει τις ἢ διὰ λαμπρότητα γένους, ἢ διὰ στρατηγίας καὶ πράξεις οἰκείας, ἢ διὰ φιλοτιμίας τῶν περὶ τὴν πόλιν. Βουλόμενος οὖν εὐαφόρμως ἐξετάσαι μὴ προσόντα ταῦτα τῷ Μειδίᾳ τὸν Ἀλκιβιάδην συνεισήγαγεν, οὐχ ἵνα συγκρίνῃ πρὸς αὐτὸν τὸν Μειδίαν, ἀλλ' ἵνα ἐξετάσῃ τὰ Μειδίου ἀδικήματα, πρὸς δὲ τούτοις ἵνα δείξῃ κἀκεῖνο, ὅτι τηλικοῦτος ὢν Ἀλκιβιάδης οὐκ ἔτυχεν αἰδοῦς ἀδικήσας, πῶς οὖν αἰδεσθήσεσθε Μειδίαν, ᾧ μηδὲν τούτων πρόσεστιν;

561, 8. Καὶ οὐκ ἀπεικάσαι δήπου Μειδίαν] Θεραπεία διὰ τὸ τῶν προσώπων διάφορον. Παλαιὰν δὲ εὐδαιμονίαν εἶπεν, ὅτε εἶχον τῆς Ἑλλάδος τὴν ἡγεμονίαν.

561, 15. Πρὸς πατρὸς μὲν Ἀλκμαιωνιδῶν] Πρόφασιν ἑαυτῷ δίδωσι καὶ τὸ ἀντεξετάσαι τὸ Μειδίου γένος.

561, 16. Τούτους δέ φασιν ἀπὸ τῶν τυράννων] Ἑτέρας προφάσεως οὔσης, δι' ἣν ἐστασίασαν, ἄλλην εἶπεν ὁ ῥήτωρ. Ὁ δὲ Μεγακλῆς τῆς μιᾶς στάσεως, ὁ δὲ Ἱπποκράτης τοῦ Πεισιστράτου πατὴρ τῆς ἑτέρας. Ἐπῆραν δὲ οἱ στασιάζοντες, οἵ τε Παράλιοι καὶ οἱ Ὑπεράκριοι. Νικήσαντων δὲ τῶν Ἱπποκράτους καὶ Πεισιστράτου καὶ τυράννου καταστάντος τοῦ Πεισιστράτου φοβηθεὶς ὁ Μεγακλῆς συνῆψε τὴν θυγατέρα τῷ Πεισιστράτῳ. Χρωμένου δὲ αὐτῇ παρὰ φύσιν ἐκείνου προέμενος ὁ Μεγακλῆς τὴν θυγατέρα ἀφείλκυσε καὶ ᾤχετο αὐτὸς εἰς Δελφούς. Τότε δὲ ἐμπρησθέντος τοῦ νεὼ τοῦ Ἀπόλλωνος ἐκήρυξαν οἱ Δελφοὶ τὸν βουλόμενον μισθώσασθαι πρὸς κατασκευὴν τοῦ νεώ. Ὁ Μεγακλῆς οὖν ἐδέξατο, καὶ λαβὼν δέκα τάλαντα τρία μὲν ἀνάλωσεν εἰς τὴν κατασκευήν, ἐκ δὲ τῶν ἑπτὰ δύναμίν τινα συνήθροισε, καὶ πείσας Λακεδαιμονίους βοηθεῖν ἐπὶ τὰς Ἀθήνας Πεισίστρατον μὲν οὐκέτι ζῶντα κατέλαβεν, Ἱππίαν δὲ τὸν ἐκείνου παῖδα τυραννοῦντα ἐξέβαλεν.

561, 17. Ἐκπεσεῖν στασιάσαντας] Φιλοῦντες γὰρ τὴν δημοκρατίαν τοῖς Πεισιστρατίδαις ἀντέστησαν, καὶ οὕτως ἐφυγαδεύθησαν, εἶτα δανεισάμενοι χρήματα αὐτοὶ οἱ Ἀλκμαιωνίδαι συνήγαγον δύναμιν, καὶ ἐπιθέμενοι τοῖς τυράννοις καθεῖλον καὶ ἠλευθέρωσαν τὴν πόλιν.

561, 19. Πρὸς δὲ μητρὸς Ἱππονίκου] Καὶ τοῦτο ἔνδοξον τὸ γένος παρὰ τοῖς Ἀθηναίοις. Ἦν γὰρ Καλλίας μὲν ὁ προπάτωρ, ὁ δᾳδουχήσας Σαλαμῖνι (ἐν Ἐλευσῖνι?), Ἱππόνικος δὲ τούτου παῖς, οὗ παῖδες Καλλίας, ὁ τὴν θρυλουμένην εἰρήνην σπεισάμενος πρὸς τὸν Πέρσην, καὶ ἡ μήτηρ Ἀλκιβιάδου.

561, 20. Καὶ ταύτης τῆς οἰκίας] Τί παρενοχλῶ, φησί, διηγούμενος; ἴστε πόσοι τούτου τοῦ γένους, ταύτης τῆς ῥίζης ἀνεβλάστησαν ὄρπηκες.

561, 23. Θέμενος τὰ ὅπλα] Ὑπὲρ τῆς πόλεως ἀντιταξάμενος, εἰσβαλόντων Πελοποννησίων. Κατὰ Σικελίαν γὰρ ὄντων τῶν Ἀθηναίων, περὶ Σάμον καθόδου τυχὼν ἐκεῖ μετὰ τῶν στρατιωτῶν ἐπολέμησεν.

561, 24. Τρίτον δ' ἐν αὐτῇ τῇ πόλει] Ὅτε τὰς προσβολὰς ἐποιοῦντο πρὸς τὸ τεῖχος ἐκ Δεκελείας οἱ Λακεδαιμόνιοι.

561, 26. Ἔτι δ' ἱππέων Ὀλυμπίασιν] Λαμπρὸν αὐτὸν καὶ ἐν πολέμοις καὶ ἐν τοῖς κατὰ τὴν εἰρήνην ἀποφαίνει· σεμνὸν γὰρ ἦν καὶ τὸ νικᾶν Ὀλυμπίασιν. Ἔοικε δὲ δεικνύναι ὅτι καλῶς οὗτος τῷ πλούτῳ ἐχρῆτο.

561, 27. Καὶ στρατηγὸς ἄριστος] Εἰρήκαμεν ὅτι κατ' ἀμφοτέρους τοὺς καιροὺς παρέχει αὐτῷ τὰ πρωτεῖα.

562, 2. Φυγάδα ἐξέβαλον] Καίτοι οὐκ ἐποίησαν αὐτὸν οἱ Ἀθηναῖοι φυγάδα, ἀλλ' ἐπειδὴ κληθεὶς οὐχ ὑπήκουσε, κατεψηφίσαντο μηκέτ' εἶναι.

562, 12. Εἶρξεν Ἀγάθαρχον] Ζωγράφος οὗτος ὢν ἐφωράθη συνὼν τῇ παλλακίδι τοῦ Ἀλκιβιάδου, ὃν λαβὼν καθεῖρξε, καὶ κατὰ τοῦτο ἥμαρτε μὴ παραδοὺς τοῖς νόμοις, ἀπεσιώπησε δὲ τὸ ἁμάρτημα ὡς μικρόν, ἵνα μεῖζόν τι ὑποπτεύσωσιν οἱ δικάζοντες. Τὸ ἀμφισβητούμενον οὖν ὡς ὁμολογούμενον ἔθηκεν. Ἔχει γὰρ αὐτῷ συναγωνιζομένην τὴν κατάγνωσιν τοῦ δήμου. Τινὲς δὲ τὸ « εἶρξεν » οἷον ἐξέωσε τοῦ θεάτρου ὡς ἀσελγῆ. Διὸ καὶ εἶπεν « ὅπερ οὐδὲ ὀνειδίζειν ἄξιον. »

562, 14. Τοὺς Ἑρμᾶς περιέκοπτεν] Ἑρμῆς πέμματος εἶδος καὶ ἰδέα πόσεως ἐστι. Καὶ Ἑρμῆς πρὸς τῇ πυλίδι. Υ. Ἐν μιᾷ γὰρ νυκτὶ εὑρέθησαν οἱ Ἑρμαῖ περικοπέντες, καὶ ὑπωπτεύθη ὁ Ἀλκιβιάδης.

562, 16. Τὸ δ' ὅλως ἀφανίζειν ἱερὰν ἐσθῆτα] « Ἱερὰ » μόνον ἡ ἀρχαία ἔχει ἐμφαντικὴ οὖσα πολλῶν, οἷον, στεφάνων, ἐσθῆτος, αὐτῆς τῆς ἐν ἱερῷ πανηγύρεως, καὶ [γὰρ καὶ] ταύτην ὕβρισε· ἐπεὶ τό γε τὴν ἐσθῆτα προσθεῖναι πολλὴν ἔχει τὴν ἐλάττωσιν.

562, 19. Τίς ὢν] Ἀλκμαιωνίδης ὢν ἀπὸ Ἱππονίκου γνωριζόμενος.

Καὶ τίσι ταῦτ' ἐνδεικνύμενος;] Ὑπὸ τίνος ἠδικημένος; ποίου χορηγοῦ παροξύνοντος; ποίου ζωγράφου κεκινηκότος εἰς ἀγανάκτησιν;

562, 20. Πρὸς τὸ μὴ καλὸν μηδὲ θεμιτὸν] Καλὸν μὲν ἴσως πρὸς τοὺς ζῶντας, θεμιτὸν δὲ πρὸς τοὺς κατοιχομένους.

562, 21. Τοιούτων ἀνδρῶν οὖσιν ἀπογόνοις] Τῶν κεκολακότων τὸν Ἀλκιβιάδην.

562, 23. Καὶ μηδένα μηδαμόθεν] Μὴ ἀπὸ γένους, μὴ ἀπὸ στρατηγίας, μὴ ἀπὸ λόγων, μὴ ἀπὸ ἐπιεικείας.

562, 24. Ἢ χάριτός τινος] Ἐνταῦθα δείκνυσιν ὅτι οὐκ ἔστιν ἄξιος αἰδοῦς. Τὸ γὰρ « χάριτος » τοῦτο βούλεται σημαίνειν.

562, 25. Τῶν στρατηγιῶν] Ἀφορμὴν λαβὼν ἐκ τῶν κατὰ Ἀλκιβιάδην, ὅτι στρατηγὸς ἄριστος, ἀντεξετάζει τὴν στρατηγίαν τοῦ Μειδίου, οὐ κατὰ σύγκρισιν, ἀλλὰ κατὰ παράθεσιν. Διὸ καὶ εἶπεν, « ἀλλ' οὐδὲ καθ' αὑτὸν στρατιώτης, » πῶς οὖν αἰδοῦς ἄξιος;

562, 26. Μή τι τῶν ἄλλων ἡγεμὼν] Οὐκ ἀπέδειξε τὸ τῶν ἄλλων ἡγεμών· φθάνει γὰρ προαποδείξας ὅτι δειλὸς καὶ ἀσθενής

562, 29. Γένους ἕνεκα νὴ Δία] Τοῦτο συνῆπται τοῖς

παρασήμοις, πρὶν διορθωθῆναι τὸν λόγον· τὰ δὲ μέσα ἐνετέθη. Β. Τὸ ἕτερον μέρος αἰδοῦς, τὸ κατὰ τὴν εὐγένειαν, ἥντινα μὴ δυνάμενος φανερῶς διαβάλλειν ἔξωθεν διασύρει. Καὶ γὰρ ἦν εὐπατρίδης καὶ τοῦ δοκιμωτάτου γένους. Ἀλλὰ δι' ἐπήρειαν αὐτοῦ διαβάλλει τὸ γένος, ὥσπερ τὸ Αἰσχίνου καὶ τὸ Τιμοκράτους καὶ Ἀνδροτίωνος. Ἐπεὶ δὲ σεμνότατον τὸ γένος, καινοτέρῳ τρόπῳ μεθώδευσεν, ὅτι οὐκ ἔστιν ἐξ ἐκείνου τοῦ γένους, ἀλλ' ὑποβολιμαῖος, ἵνα μὴ φανερῶς διασύρων πολλοῖς τῶν δοκίμων προσκρούσῃ.

563, 1. Καὶ τίς οὐκ οἶδεν ὑμῶν τὰς ἀπορρήτους] Ἀπορρήτους μὲν τὰς λαθραίως γιγνομένας, ἐν τραγῳδίᾳ δέ· τὰς γὰρ ἐπισήμους ἐκθέσεις τῶν βρεφῶν αἱ τραγῳδίαι παρειλήφασιν. Ἀσαφὲς δὲ τοῦτο τὸ χωρίον καὶ πολλοῖς πράγματα παρέχον· αἴτιον δὲ τῆς ἀσαφείας τὸ διαστρέψαι τὴν τάξιν· τὰ γὰρ τελευταῖα πρῶτα τέθεικεν. Πρὶν γὰρ ἀποδεῖξαι πῶς ἐξετέθη, λέγει « ὥσπερ ἐν τραγῳδίᾳ. » Ἀνέστρεψε δὲ, ἵνα μὴ ἄνωθεν κατ' ἀκολουθίαν διηγούμενος ἀπιθανώτατον δόξῃ τὸ πρᾶγμα.

563, 3. Ἡ μὲν γὰρ ὡς ἀληθῶς μήτηρ] Τοιαύτη ἐστὶ πᾶσα τοῦ νοήματος ἡ πλοκή. Φρονιμωτάτη ἦν ἡ τεκοῦσα αὐτὸν μήτηρ. Συνειδυῖα γὰρ ὅτι ἐκ βαρβάρων γέγονε καὶ ὅτι φαῦλαι αἱ φύσεις αἱ τῶν βαρβάρων, ἀπέδοτο αὐτόν. Ἡ δὲ ὑποβαλλομένη μωροτάτη, ἥτις εἵλετο βάρβαρον ὠνήσασθαι, ἐξὸν Ἕλληνά τινα καὶ πολίτην. Πόθεν δὲ βάρβαρος; ὅτι ὠμός ἐστι καὶ ὑβριστής. Ἔστι δὲ ἐξ Ἀθηναίων μὲν τοιοῦτος οὐδεὶς, οἱ δὲ βάρβαροι φύσει ὑβρισταί. Διὸ καὶ εἶπεν « ἀλλὰ τὸ τῆς φύσεως ἀληθῶς βάρβαρον. » Εἰ μὲν οὖν ἐβούλετο σαφῶς εἰπεῖν, ἐκ ταύτης ἂν ἤρξατο τῆς ἀποδείξεως· ἐπειδὴ δὲ εὐθὺς ἐν ἀρχῇ λέγων ὅτι ἐκ τῶν ἔργων δείκνυται βάρβαρος, ὤφθη ἂν σοφιζόμενος, διὰ τοῦτο ἐνήλλαξεν, ἵνα ὡς ὁμολογούμενον εἰσαγάγῃ. Διὸ καὶ τῷ κατ' ἐρώτησιν ἐχρήσατο σχήματι « τίς γὰρ οὐκ οἶδεν; » ὅπερ ἁπάντων σχημάτων ἀληθῶς χώραν ἔχειν δοκεῖ. Διὰ τί δὲ οὐκ εἶπεν « ὥσπερ ἐν κωμῳδίᾳ; » πλείους γάρ εἰσιν ἐν ταῖς κωμῳδίαις ὑποβολιμαῖοι ἤπερ ἐν ταῖς τραγῳδίαις. Ὅτι, εἰ μὲν περὶ ἰδιώτου τινὸς ἔλεγεν, ἐχρῆν κωμῳδίαν εἰπεῖν· ἰδιωτικὰ γὰρ τὰ ἐκεῖ πρόσωπα· καὶ ἄλλως ἐπειδὴ γνωριμώτατα τὰ ἐν ταῖς τραγῳδίαις τοῖς πολλοῖς. Ἡρωϊκὰ γὰρ τὰ ἐκεῖ πρόσωπα καὶ βεβοημένα, καὶ ὅτι μᾶλλον περὶ τὰς τραγῳδίας ἢ τὰς κωμῳδίας ἐσπούδαζον Ἀθηναῖοι.

563, 5. Ὑποβαλομένη] Εἰσποιήσασα· ἐπὶ τῶν χαμαιρριφῶν παιδίων, ἅπερ ἑαυταῖς αἱ γυναῖκες ὑποβάλλονται. Β.

563, 6. Ἡ μὲν γὰρ ἀπέδοτο] Ταῦτα ἀπὸ τῶν συμβεβηκότων ἄν τις εἴποι λελέχθαι τῷ ῥήτορι. Ἐπεὶ πῶς ἔχει λόγον προεγνῶσθαι ταῦτα ταῖς γυναιξὶ, καὶ μάλιστα τῇ ὠνησαμένῃ; ἡ μὲν γὰρ τεκοῦσα τυχὸν τὸν σπείραντα φαῦλον ὄντα πως εἰδυῖα εἰκότως καταφρονήσασα ἔρριψεν, ἡ δὲ ἀναλαβοῦσα ποίαν ἠδύνατο γνῶσιν ἔχειν τῆς προαιρέσεως τοῦ βρέφους;

563, 15. Τοσούτων τοίνυν καὶ τοιούτων] Πάλιν ἐφ' ἕτερον μέρος τῆς αἰδοῦς ἐχώρησεν, ὅτι, εἰ καὶ μὴ διὰ γένος, τὰς γοῦν λειτουργίας καὶ τὰς ἐπιδόσεις ἄξιον αὐτοῦ αἰδεσθῆναι.

563, 20. Ὡς μὲν οὐ πολλὰ] Εὐμεθόδως καὶ τεχνικῶς εἰσάγει τοὺς φίλους αὐτοῦ ὁμολογοῦντας ὡς μεγάλα καὶ δεινὰ τῷ Μειδίᾳ τετόλμηται, ἵνα μὴ αὐτὸς ὡς ἐχθρὸς ὑποπτεύηται.

563, 23. Ὡς ἥλωκεν ἤδη καὶ κατεψήφισται] Αὐτοὺς τοὺς συνηγόρους αὐτοῦ κατεγνωκότας πεποίηκε καὶ περὶ τοῦ τιμήματος διαλεγομένους.

563, 25. Καὶ τριηραρχίας ἐρεῖ καὶ λειτουργίας] Ἄλλους περὶ τῶν λειτουργιῶν λέγοντας ποιεῖ, ἵνα αὐτὸς εὐαφόρμως ἔχῃ καὶ τὰς τοῦ Μειδίου σκῶψαι καὶ τὰς ἑαυτοῦ θαυμάσαι. Τὸ μὲν οὖν ἁπλῶς κατηγοροῦντα λέγειν τὰς ἑαυτοῦ φιλοτιμίας ἐπαχθὲς καὶ ἄκυρον, τὸ δὲ διασύροντα τὸν ἐχθρὸν προκρίνειν τὰ ἑαυτοῦ σφόδρα εὔκαιρον, ὅτι ἐξ ἀνάγκης αὐτὸ δοκεῖ ποιεῖν.

564, 9. Τὸ τοιαῦτα λέγειν, τουτέστι τὸ λειτουργεῖν] Ὅπερ αὐτὸς φοβεῖται δοκεῖν ἐπαχθὲς εἶναι, τοῦτο τῷ Μειδίᾳ περιτίθησιν.

564, 12. Ἀποκναίει] Ἀπολλύει, διαφθείρει. ΒΥΤ.

Ἀηδίᾳ δήπου] « Ἀηδίᾳ » εἶπε, διότι οἱ ἑαυτοὺς ἐπαινοῦντες ἀηδεῖς εἰσιν, « ἀναισθησίᾳ » δὲ, ὅτι μὴ λειτουργήσας μηδὲν, ὅμως σεμνύνεται.

564, 21. Ὅτε σύνδυο ἦμεν οἱ τριήραρχοι] Πολλαὶ περὶ τὰς τριηραρχίας ἐγίγνοντο μεταβολαὶ διὰ τὸ μέγεθος τοῦ ἀναλώματος, καὶ ὁτὲ μὲν σύνδυο ἦσαν, ὁτὲ δὲ σύντρεις, ὁτὲ δὲ ἑκκαίδεκα τριήραρχοι, ὁτὲ δὲ χίλιοι. Καὶ γοῦν Δημοσθένης ὕστερον δυοῖν τριήρων ἕνα τριήραρχον ἐποίησε. Καὶ ὁτὲ μὲν ἡ πόλις τὴν κατασκευὴν καὶ τοὺς ναύτας καὶ μόνον διὰ τὴν ναῦν ἐτριηράρχει, ὁτὲ δὲ σύμπαντα οἴκοθεν οἱ τριήραρχοι παρεῖχον. Τοῦτο οὖν φησιν, ὃ μέγιστον ἦν τὸ ἀνάλωμα τοῖς τριηραρχήσασι· σύνδυο γὰρ ἦμεν.

564, 27. Ὅτε πρῶτον μὲν διακοσίους] Καθεῖλε τὴν φιλοτιμίαν τὴν Μειδίου τῷ πλήθει τῶν συντελῶν, ἔστι δὲ σόφισμα τὸ ῥηθέν. Φησὶ γὰρ ὅτι παρὰ τῶν χιλίων καὶ διακοσίων εἰσπραττόμενοι τάλαντον ταλάντου μισθοῦσι τὴν τριηραρχίαν, ὡς μιᾶς τριήρους παρὰ τῶν τοσούτων γιγνομένης. Οὐκ ἔστι δὲ ἀληθές. Χίλιοι γὰρ καὶ διακόσιοι ἦσαν οἱ ταῖς τριηραρχίαις ἀφωρισμένοι. Τούτων δὲ λοιπὸν ἢ συνεκκαίδεκα τὴν τριήρη ἐπλήρουν, ἢ σύντρεις, ἢ ὅσοι δήποτε. Καταλιπὼν οὖν τὸ λέγειν ὅτι ναῦν ἑκκαιδέκατος παρέσχε, πάντας τοὺς ἐπὶ τριηραρχίας ἀφωρισμένους ὠνόμασεν, ὡς πάντων μίαν παρεχόντων.

565, 1. Πληρώματα] Ναύτας καὶ ἐπιβάτας καὶ σκεύη κατ' αὐτάς.

565, 8. Ἐξ ἀντιδόσεως] Οἷον κατὰ ἀνάγκην γεγονώς. Σκοπεῖτε δὲ ὅτι περὶ μὲν ἑαυτοῦ τὴν ἀντίδοσιν ἔκρυψε, τῷ δὲ Μειδίᾳ τὴν μνήμην ἐφύλαξεν.

565, 10. Εἱστίακα τὴν φυλὴν] Ὡς ἄλλης ταύτης οὔσης λειτουργίας. Καὶ δέδωκε θεώρημα, αὔξειν τὰς λειτουργίας, ἐπιόντα τοῖς κατὰ μέρος, ἵνα λίαν πολλαὶ δόξωσιν.

565, 11. Καὶ Παναθηναίοις κεχορήγηκα] Οὐχὶ τῶν Παναθηναίων γέγονε τὸ ἀνάλωμα, ἀλλ' ἵστασαν τῇ θεῷ χοροὺς ὥσπερ τῷ Διονύσῳ· τούτων οὖν ἐγένετο χορηγός. Ἀναγκαίως δὲ τοῦ χορηγοῦ τὴν φυλὴν ἑστιῶντος ὁ Δημοσθένης διελὼν εἶπεν.

565, 12. Ἴσον Φορμίωνι καὶ Λυσιθείδῃ] Οὗτοι οὐ κατὰ τοὺς Δημοσθένους καιροὺς ἐγένοντο, ἀλλ' ὁ Φορμίων μὲν ἐπὶ τῶν Πελοποννησιακῶν, Κάλλαισχρος δέ ἐστι Κριτίου πατήρ· ἀλλ' ἐπειδὴ καὶ οὗτοι γεγόνασι συμμορίας ἡγεμόνες, ὁμολογοῦνται δὲ πλουσιώτατοι γεγενῆσθαι, διὰ τοῦτο ἐκείνοις αὐτὸν εἴκασεν. Εἶθ' ἵνα μὴ ὑποκρούσῃ τις « οὐκοῦν πλούσιος, ὦ Δημόσθενες, » ἐπήνεγκεν εὐθέως « εἰσφέρων οὐκ ἀπὸ ὑπαρχούσης οὐσίας. » Καὶ ἔστι τοῦτο σόφισμα· φησὶ γὰρ ὅτι ὑπὸ τῶν ἐπιτρόπων ἀπεστερήμην.

Ἐνήλλαξε δὲ τὸν καιρὸν, ἵνα τὴν ἑαυτοῦ φιλοτιμίαν αὐξήσῃ. Τῶν γὰρ ἐπιτρόπων λεγόντων ὅτι εἰς τὴν συμμορίαν ἐξαναλώθη τὰ χρήματα λειτουργούντων ἡμῶν ὑπὲρ τῆς σῆς οἰκίας, Δημοσθένης φησὶν ὅτι ὅτε ἀπεστερήθην τῶν χρημάτων, τότε ἠρξάμην λειτουργεῖν.

565, 16. Καὶ ὧν δίκαιον ἦν με δοκιμασθέντα] Δοκιμασθέντα ἀντὶ τοῦ εἰς ἄνδρας ταχθέντα λαβεῖν τὰ πατρῷα παρὰ τῶν ἐπιτρόπων. Τότε γὰρ ἀπελάμβανε τὴν οὐσίαν, ὅτε τοὺς ἐφήβους ἐδοκίμαζον.

565, 21. Τίς οὖν ἡ λαμπρότης] Ἅπερ ὤκνησεν ἐξ ἀρχῆς, ὅτι διὰ τὴν περιφάνειαν καὶ τὴν λαμπρότητα δίκαιον αὐτὸν αἰδεσθῆναι, ταῦτα νῦν εἶπεν, ὅτε ἀπέδειξεν ὅτι μάτην ἔχουσι. Τοῦτο [δὲ] περιττότερον ἔχει ὁ περὶ τῶν λειτουργιῶν τόπος τῶν προειρημένων, ὅτι ἐν ἐκείνοις μὲν ἐκβάλλει τὴν αἰδῶ, ἐν τούτοις δὲ καὶ φθόνον αὐτῷ κατασκευάζει, οἷς πολλὰ χρήματα κεκτημένος εἰς μὲν τὴν πόλιν οὐδαμῶς, περὶ δὲ τὰς τρυφὰς τὰς ἑαυτοῦ φιλότιμός ἐστιν.

565, 24. Οἰκίαν ᾠκοδόμηκεν Ἐλευσῖνι] Τυραννικὸν τὸ ἔγκλημα καὶ τὸ τῆς πολιτείας ἦθος ἐκβαίνοντος. Οὐκ ἐᾷ γὰρ γίγνεσθαι τὴν θέαν, ἐπισκοτοῦσαν πᾶσι καὶ ἐφελκομένην τῶν ἄλλων τοὺς ὀφθαλμοὺς, ἢ τῷ ἀφαιρεῖσθαι τῷ ὕψει τῆς οἰκοδομίας.

565, 26. Κἂν ἄλλοσέ ποι βούληται] Ἢ πρὸς συγγενεῖς, ἢ εἰς χωρία, ἵνα μὴ δι' εὐσέβειαν, ἀλλὰ διὰ τρυφὴν μᾶλλον γίγνοιτο ἡ κτῆσις.

565, 27. Ἐπὶ τοῦ λευκοῦ ζεύγους τοῦ ἐκ Σικυῶνος] Καὶ τοῦτο τρυφῆς ὁμοῦ καὶ τυραννικῆς ἐννοίας τεκμήριον· τρυφῆς μὲν, ὅτι καὶ ζεῦγος καὶ λευκὸν, ὁπότε καὶ τὸ ἱπποτροφεῖν τότε χαλεπὸν, τυραννικὸν δὲ τὸ ἐκ Σικυῶνος· ἐτυραννεῖτο γὰρ ἡ πόλις ἐκείνη, οἱ δὲ πρῶτοι γενόμενοι τύραννοι ἐν Σικυῶνι λευκοῖς ἡμιόνοις ἐχρήσαντο. Οὐκοῦν συνήθειαν οὗτος κτᾶται πρὸς τοὺς τυράννους, ζεύγη παρ' αὐτῶν ὠνούμενος.

Καὶ τρεῖς ἀκολούθους] Οὐκ ἐξῆν παρὰ τοῖς Ἀθηναίοις ἀργὸν τρέφειν οἰκέτην, διόπερ οἱ μὲν αὐλοποιοὺς, οἱ δὲ μαχαιροποιοὺς εἶχον τοὺς δούλους, Μειδίας δὲ τοσούτους ἀργοὺς περιάγων τοὺς τυράννους μιμεῖται, δορυφορούμενος ὑπὸ τῶν οἰκετῶν.

565, 28. Διὰ τῆς ἀγορᾶς σοβεῖ] Τὸ ἔνθρυπτον αὐτοῦ καὶ βλακῶδες διαβάλλει. Τὴν ἀγορὰν θορυβῶν καὶ σοβῶν τοὺς ἀπαντῶντας. Τὸ δὲ « σοβεῖ » συνεχοῦς κινήσεως τεκμήριον, ἔνθεν καὶ σόβους τοὺς σατύρους παρὰ τὸ σοβεῖν· κινητικώτατον γάρ ἐστιν ἐν τοῖς ζῴοις· καὶ διὰ τοῦτο καὶ τουςσ ατύρους αὐτοὺς σόβας ἔχοντας γράφουσιν.

565, 29. Κυμβία καὶ ῥυτὰ καὶ φιάλας] Τρυφῆς ὑπερβαλλούσης σημεῖον τὸ καὶ τὰ εἴδη τῶν ἐκπωμάτων περιεργάζεσθαι. Ῥυτὰ δὲ ἐπιμήκη ποτήρια κερατοειδῆ, ἄνω μὲν εὐρυνόμενα, εἰς ὀξὺ δὲ λήγοντα.

566, 1. Ὥστε τοὺς παριόντας ἀκούειν] Οὐκοῦν ἐκκαλεῖται διὰ τούτων εἰς συμπόσια τοὺς βουλομένους, ἐκ συμποσίων [δ'] ἑταιρίαι καὶ συνωμοσίαι· μετὰ ταῦτα δὲ τυραννίς.

566, 5. Οὐ δὴ δεῖ τὰ τοιαῦτα] Ἔστι καὶ τούτων ἐνίοτε καιρὸς, ἀλλὰ τὸ ἀεὶ, φησὶ, ταῦτα τιμᾶν οὐ καλὸν, οὐδ' ἐπὶ ταῖς ἰδίαις φιλοτιμίαις σεμνύνεσθαί τινα συγχωρεῖν. Οἱ γὰρ πένητες εὐδαιμονίας καὶ αἰδοῦς ἀξίους νομίζουσιν οὐ τοὺς λειτουργοῦντας, ἀλλὰ τοὺς τρυφῶντας.

566, 8. Ἢ θεραπαίνας κέκτηται] Εἰς ἀσέλγειαν καὶ ὕβριν ἀποτείνεται, σκεύη δὲ εἶπε περὶ τῶν κάδων καὶ τῆς ἀστράβης.

566, 11. Ἀλλὰ νὴ Δία τριήρη] Διεῖλε τὰς λειτουργίας τὰς μὲν εἰς τὸ ἀναγκαῖον, τὰς δὲ εἰς τὸ ἑκούσιον, αἵτινες καὶ φιλοτιμίαι λέγονται. Διασύρας οὖν αὐτὸν εἰς ἐκείνας, βούλεται καὶ περὶ τῆς ἐπιδόσεως εἰπεῖν. Λυπεῖ δὲ αὐτὸν ἡ φιλοτιμία, καὶ διὰ τοῦτο ἀπέτεμεν αὐτὴν ἀπὸ τῶν ἄλλων λειτουργιῶν, ἵνα γυμνωθεῖσα καθ' ἑαυτὴν ἀσθενεστέρα φανῇ καὶ μηδὲ πρόσχωσι τῷ δοκοῦντι λαμπρῷ τοῦ Μειδίου. Πρὸς τούτοις καὶ τὴν φιλοτιμίαν καθεῖλεν ἐκ πλειόνων τόπων καὶ δείκνυσιν ὅτι οὐ φιλοτιμία τὸ γεγονὸς, ἀλλὰ τέχνη καὶ σόφισμα.

566, 12. Θρυλήσει] Συνεχῶς λέξει.

566, 18. Εἰ δὲ δὴ δειλίας καὶ ἀνανδρίας] Αὐτὴν τὴν ἐπίδοσιν οὐκ ἔχων μέμφεσθαι ἀπὸ τῶν παρακολουθούντων αὐτὴν καθαιρεῖ, καὶ παράγγελμα ἡμῖν παρέσχεν ὅπως δεῖ περὶ τῶν δοκούντων καλῶν ποιεῖθαι τὰς κατηγορίας. Αὐτὰ μὲν γὰρ οὐ προσήκει μέμφεσθαι (ἀναίσχυντον γάρ), ἀπὸ δὲ τῶν περιστατικῶν διαβάλλειν. Οὕτω γὰρ ἐνταῦθα ὁ ῥήτωρ ἐποίησεν, ἀπὸ τῆς αἰτίας φαυλίσας. Διὰ γὰρ τὸ δέος, φησὶν, ὤφθη φιλότιμος, ἀπὸ τῆς γνώμης μεθ' ἧς, ἀπὸ χρόνου πότε, ἀπὸ τῆς ἐκβάσεως τί τὸ συμβάν;

566, 21. Ἄνωθεν δὲ, βραχὺς γὰρ ἔσθ' ὁ λόγος] Βούλεται πάλιν τὴν ἐπίδοσιν τὴν ἑαυτοῦ τῇ ἐπιδόσει τοῦ Μειδίου συγκρῖναι, καὶ διὰ τοῦτο ἀναλαμβάνει τοὺς χρόνους, δοκῶν μὲν εὐκρινείας ἕνεκα τοῦτο ποιεῖν, τῇ δὲ ἀληθείᾳ ἐπὶ τὸν καιρὸν ἀναδραμεῖν βουλόμενος, ἐν ᾧ τὴν ἐπίδοσιν αὐτὸς πεποίηκε τούτων.

566, 22. Ἐγένοντο εἰς Εὔβοιαν ἐπιδόσεις] Ἀπαριθμεῖται πολλῶν ἐτῶν εἰσφορῶν καὶ ἐπιδόσεων καιροὺς, ἐν οἷς οὐ φαίνεται ἐνδείξας ἑαυτοῦ τὴν φιλοτιμίαν Μειδίας. Εἰ δὲ ἐν ἐκείνοις ἐπέδωκε, νυνὶ δὲ τοῦτο ἐποίησε, σκέπτεσθε τὴν αἰτίαν, δι' ἣν ἠναγκάσθη τοῦτο ποιεῖν. Πῶς ἐπέδωκεν; λέγε μοι, φησὶ, τὸν τρόπον τῆς ἐπιδόσεως.

566, 23. Τούτων οὐκ ἦν Μειδίας, ἀλλ' ἐγὼ] Τὸν σκοπὸν ἐξ ἀνάγκης ἐπλήρωσεν. Εἶπε γὰρ ὅτι οὐκ ἦν Μειδίας ὁ ἐπιδοὺς, ὥσπερ δὲ ἐπιζητοῦντος τοῦ ἀκροατοῦ, τίς οὖν ἦν, προσέθηκεν « ἀλλ' ἐγώ. »

566, 24. Καὶ συντριήραρχος ἦν μοι Φιλῖνος] Ὥσπερ προσθήκην τινὰ τὸν Φιλῖνον ἐποίησε, δευτέρου μνησθεὶς, ὡς αὐτοῦ μὲν ἐπιδόντος τὴν ναῦν, ἐκείνου δὲ ἁπλῶς συνεργοῦντος.

566, 26. Καίτοι τόν γε δὴ φιλότιμον] Πῶς αὐτὸς ἐν πάσαις μὴ ἐπιδοὺς ἕτερον μέμφεται; ὅτι πλείονα πεποίηται σπουδὴν δεῖξαι τὸν Μειδίαν μὴ ὄντα φιλότιμον, ἀλλ' ἐκείνου ἑαυτὸν φιλοτιμότερον.

566, 28. Τρίται τοίνυν αὗται] Οὐκοῦν, εἶπε, καὶ τὴν φιλοτιμίαν δι' ἐμὲ πεποίηκε. Τὴν γὰρ ἐμὴν δόσιν ἐμιμήσατο.

Ἐνταῦθα ἐπέδωκε] Ἀπὸ τοῦ τρόπου πειρᾶται διαβάλλειν. Τὸ γὰρ « πῶς » περὶ τὸν τρόπον θεωρεῖσθαι πέφυκεν.

566, 29. Πῶς; ἐν τῇ βουλῇ γιγνομένων] Οὐ διὰ φιλοτιμίαν ἐπέδωκεν· ἐχρῆν γὰρ ἐν ταῖς πρώταις ἐπιδόσεσιν ἐπιδοῦναι. Καὶ ἔστι τοῦτο ἀπὸ τοῦ χρόνου· δυνάμεθα γὰρ καθαιροῦντες λέγειν « οὐδὲν μέγα τὸ γιγνόμενον· « ἐχρῆν γὰρ αὐτὸν ἐν λιμῷ χαρίσασθαι μᾶλλον, ὅτι σύμ« πας ὁ δῆμος διεφθείρετο. »

567, 1. Παρὼν οὐκ ἐπεδίδου] Τὸ μὲν « παρών » πρόσκειται, ἵνα μὴ λέγῃ ὡς ἀπεδήμει, τὸ δὲ ἐν τῇ βουλῇ μὴ δεδωκέναι· οὔπω γὰρ προσέβαλλεν ὁ φόβος, τῆς ἀνάγκης τοῦ ἐξιέναι μὴ καταφανοῦς γενομένης. Ὅτε δὲ τοῦ

δήμου προβουλευσαμένη ἡ βουλὴ πέμπειν προσέταξε τοὺς ἱππέας, ὀξέως φθάσας καὶ τοὺς προέδρους, ἐπέδωκε τὴν ναῦν.

567, 6. Παρελθὼν ἐπέδωκεν] Ἀπὸ τῆς αἰτίας τοῦτο· ἵνα γὰρ φύγῃ τὸν κίνδυνον, διὰ τοῦτο ἐπέδωκεν. Τὴν ὑπερβολὴν δὲ ἔδειξε τοῦ φόβου· προὔλαβε γὰρ τὴν τῶν προέδρων παρουσίαν, ἵνα μὴ προελθόντες ἐκεῖνοι περὶ ἄλλων προθῶσι τὴν σκέψιν, καὶ οὕτως ἐκ τῆς ἐπιδόσεως ὁ Μειδίας ἀναγκασθῇ στρατεύεσθαι. Οἱ γὰρ πρόεδροι ἦσαν οἱ διὰ τοῦ κήρυκος λέγοντες τῷ δήμῳ, δοκεῖ ὑμῖν περὶ τούτου βουλεύσασθαι; καὶ χωρὶς ἐκείνων περὶ οὐδενὸς ὁ δῆμος ἐσκέπτετο.

567, 7. Τῷ δῆλον] Τίνι δῆλον καὶ πόθεν ἡ γνῶσις ὅτι φεύγων τὴν στρατείαν ἐπέδωκε καὶ οὐ διὰ φιλοτιμίαν;

567, 9. Τοῖς μετὰ ταῦτα πραχθεῖσι] Ἐπιδοὺς γὰρ τὴν ναῦν διὰ τὸν φόβον, ὡς εἶδεν ὅτι τέως προϊούσης τῆς σκέψεως ὁ δῆμος ἔγνω μὴ πέμπειν τοὺς ἱππέας, ἀλλ' ἦν ἀναβολὴ τῆς ἐξόδου, οὐκ ἐνέβη ἐπὶ τὴν ναῦν, ἀλλ' Αἰγύπτιόν τινα Πάμφιλον εὑρὼν ἐπίστευσε τὴν τριήρη. Μετὰ μικρὸν δὲ τοῦ στρατηγοῦ Φωκίωνος κρίναντος ἀποστεῖλαι κατὰ διαδοχὰς τοὺς ἱππέας ἐπὶ τὸν πόλεμον, ἣν δὲ αὐτὸς ὁ Μειδίας τότε φυγὼν τὸ μετὰ τῶν ἱππέων ἐξελθεῖν, ἐξέδραμεν ἐπὶ τὴν ναῦν καὶ προὔδωκε τὴν τάξιν, καὶ ἵππαρχος χειροτονηθεὶς τῆς ἀρχῆς παρημέλησεν.

567, 17. Μετεπέμπετο τοὺς ἐξ Ἀργούρας] Εἰ πλείους ἦσαν οἱ στρατηγοί, παρὰ χρόνον ἦρχον. Ἐλθόντος οὖν τοῦ καιροῦ ἐπὶ Φωκίωνα ὥστε ἄρχειν, μετεπέμψατο τοὺς ἱππέας, ἵνα αὐτῷ παραμένωσιν. Ἐκείνων οὖν ἀναχωρησάντων ἄλλους ἦν ἀναγκαῖον ἐξελθεῖν, ὧν ἦν ἵππαρχος ὁ Μειδίας.

567, 20. Λιπὼν τὴν τάξιν] Ταύτην τὴν φιλοτιμίαν εἰς λιποταξίαν κατέστησε, καὶ ὅπερ αὐτὸς ἐνεκαλεῖτο παρὰ Εὐκτήμονος, τοῦτο διαβάλλει τὸν Μειδίαν.

567, 21. Καὶ ὧν ἱππαρχεῖν ἠξίωσε] Πολλὰ τὰ ἄτοπα· πρῶτον μὲν ὅτι κατέλιπε τοὺς ἱππέας ἵππαρχος ὤν· καὶ τότε ὠνόμασεν αὐτὸν ἵππαρχον, ὅτε ὕβριν μᾶλλον ἢ τιμὴν προεξένει· τὸ δὲ ὕστερον, ὅτι καὶ αὐτὸς ἀξιώσας* κατέλιπε τούτους, ὧν αὐτὸς ἡγεῖσθαι παρεκάλεσεν.

567, 22. Εἰ δ' ἐν τῇ θαλάττῃ κίνδυνός τις] Καὶ ἐκεῖ ἔλιπεν ἂν τὴν τάξιν. Καὶ ταύτῃ διαβάλλειν αὐτὸν πειρᾶται, τῆς γνώμης αὐτοῦ στοχαζόμενος.

567, 23. Οὐ μὴν Νικήρατός γε] Ἵνα μὴ εἰς ἦθος καταφύγῃ, ἀναιρεῖ τοῖς παραδείγμασι, καὶ πολὺν κατέμιξεν ἔπαινον, εἰπὼν « ὁ ἀγαπητὸς, » οἷον ὁ ὅμοιος τῷ πατρί.

567, 25. Ὁ ἄπαις (ἀντίπαις?)] Ὁ νέος ἔτι καὶ παῖς.

Ὁ παντάπασιν ἀσθενής] Ὃς ὤφειλεν ἀπολογίαν ἔχων ἑτέρῳ διαδόχῳ διὰ τὴν ἀσθένειαν χρήσασθαι.

568, 4. Ἀλλὰ τὴν ἐκ τῶν νόμων τάξιν] Πόσῃ περιουσίᾳ τῆς τέχνης ἐχρήσατο; οὐ γὰρ μόνον οὐκ ἄξιον ἐπαίνου δείκνυσιν ἐπὶ τῇ φιλοτιμίᾳ, ἀλλὰ καὶ τιμωρίας ἄξιον.

568, 7. Πότερον τελωνείαν καὶ πεντηκοστὴν] Βούλει οὖν τῷ πραχθέντι παρὰ σοῦ δῶμεν ὄνομα πρόσφορον; μὴ κάλει αὐτὸ φιλοτιμίαν, ἀλλὰ λιποταξίαν καὶ τελωνείαν, ἐπειδὴ οἱ τελῶναι τοῦ πολεμεῖν εἶχον ἀτέλειαν. Διὰ γὰρ τοῦτο ἐπάγει « καινὴν ἐξεῦρε Μειδίας ἱππικήν τινα πεντηκοστήν. » Ὄντως γὰρ ξένην τελωνείαν καὶ οἷον ἀτέλειαν τοῦ ξυνιέναι τοῖς ἱππεῦσιν ἐξεύρηκε, τὴν ἐπίδοσιν τῆς τριήρους. Ἐπειδὴ γὰρ τὰ τέλη δίδοται χρημάτων ἕνεκα, οὐχὶ τοῦ φεύγειν τὰς στρατείας, εἰκότως προσέθηκε « καινήν τινα πεντηκοστήν. » Ὅμως δὲ, φησὶν, ἐξετάσωμεν αὐτοῦ καὶ τὴν ἐπίδοσιν τί ἡμᾶς ὠφέλησε. Καὶ ἔστιν οὗτος ἀπὸ τῆς ἐκβάσεως ὁ λόγος. Τῶν ἄλλων πεμπόντων μόνος οὗτος οὐ παρέπεμπεν· οὐκοῦν ἀνωφελὴς ἡ ἐπίδοσις, εἴπερ μὴ διεβίβαζε τὸν δῆμον.

568, 14. Ἐκ Στύρων] Χωρίον τῆς Εὐβοίας.

Χάρακας καὶ βοσκήματα] Ἀντιπίπτον ἔλυσε, τίνος οὖν ἕνεκεν λοιπὸν ἐπέδωκε τὴν ναῦν, ἐν ᾗ μὴ ἔμελλεν ἡμᾶς διακομίζειν; ὁ δέ φησιν ὅτι βοσκήματα καὶ ξύλα καὶ θυρώματα διεκόμιζε. Θυρώματα δὲ, σανίδας ἐπιτηδείας πρὸς θύρας. Θυρώματα δὲ εἶπεν ἐνδεικνύμενος τὸ μέγεθος, ὥστε πολλῶν χρήζειν θυρωμάτων.

568, 17. Εἰς τὰ ἔργα τὰ ἀργύρεια] Μεμίσθωτο γὰρ τὰ μέταλλα παρὰ τῆς πόλεως, ἃ ἦν τοῦ ἀργυρίου.

568, 18. Καὶ χρηματισμὸς, οὐ λειτουργία] Μετέθηκεν εἰς περιουσίας ἀφορμὴν ὁ Μειδίας τὴν λειτουργίαν, καὶ οἱ μὲν ἄλλοι δαπανῶσιν, αὐτὸς δὲ χρηματισμὸν καὶ πόρον ἐντεῦθεν περιποιεῖται. Ἐμπορίας οὖν ἕνεκεν, οὐ φιλοτιμίας, τὴν ναῦν ἐπέδωκεν.

568, 21. Ὅμως δὲ καὶ μάρτυρας ὑμῖν καλῶ] Ὅτι καὶ χάρακας καὶ βοσκήματα καὶ τὰ τοιαῦτα ἐκόμισεν. Οὐδὲν δὲ ἐκώλυε καὶ τοὺς πολίτας διαβιβασθῆναι. Κἀκεῖνο δὲ ἐστιν ὁμολογούμενον, ὅτι ξύλα ἐκόμισεν. Ἐκ τούτου συνάγει ὅτι τῶν ἀνθρώπων ἠμέλησεν.

569, 6. Οὐ συγκατέστησε τὸν στόλον] Ἀντὶ τοῦ οὐ συγκατεστόλισε, μᾶλλον [δ'] οὐκ ἀπέσωσεν. BY.

569, 8. Εἰ τοίνυν ὡς ἀληθῶς, ὦ ἄνδρες Ἀθηναῖοι] Τῷ κατὰ ἀντιπαράστασιν κέχρηται νοήματι μετὰ τὴν ἔνστασιν. Οὐ μόνον γὰρ εἰς τὰς λύσεις τῶν ἀντιθέσεων χρώμεθα αὐταῖς, ἀλλὰ καὶ ἐπὶ ἑτέρων νοημάτων, ὅταν τι βουληθῶμεν κατὰ περιουσίαν εἰσαγαγεῖν, ὅπερ καὶ ἐνταῦθα πεποίηκεν ὁ ῥήτωρ. Δείξας γὰρ διὰ τῆς ἐνστάσεως ὅτι οὐδὲν ἐλειτούργησε, χρῆται τῇ ἀντιπαραστάσει, ὅτι εἰ ἄξιος ἦν συγγνώμης ἐφ' οἷς ἐπλημμέλησε, καὶ ἑξῆς.

569, 15. Οἱ μὲν ναυμαχίας] Ἐκ τοῦ πρός τι ἐπιλογίζεται, καὶ οἷς ἐκεῖ κατ' ὄνομα ἐπεξῆλθεν Ἰφικράτει τε καὶ Χαβρίᾳ καὶ τοῖς ἄλλοις, τούτους νῦν ἐν τῷ καθόλου ἀορίστως περιέλαβε. Δεῖ γὰρ τὸν ἐπίλογον πάντα ἐπιλογίζεσθαι τὰ ἐν τοῖς ἀγῶσι τά τε ἐν προοιμίοις καὶ καταστάσεσιν.

569, 20. Ὅπου ἂν βούληται] Καὶ ἐν ἑταίροις καὶ ἐν θεάτροις. Ὃν δ' ἂν δύνηται τρόπον, τουτέστι πληγὰς ἐντείνων καὶ διαφθείρων καὶ στεφάνους ἀφανίζων.

569, 27. Ὅτι τοίνυν καὶ κεκόμισται χάριν] Ἅπερ ἂν ὁ Μειδίας εἰς τὸν τῆς αἰδοῦς παρέσχε τόπον, « ὅτι τετίμημαι πάρ' ὑμῶν, ὅτι τῆς Παράλου γέγονα ταμίας, ὅτι ἵππαρχος ἐχειροτονήθην, ἄτοπον οὖν τοῦ τοιούτου καταψηφίσασθαι διὰ πρόφασιν μικράν, » ταῦτα προλαμβάνων Δημοσθένης ἀναιρεῖ φάσκων ὅτι διὰ ταῦτα αὐτὰ οὐκ ἄξιος αἰδοῦς. Εἰ γὰρ διὰ λειτουργίας ἔτυχεν ἂν συγγνώμης, κεκόμισται δὲ ἀντὶ τούτων ἑτέρας τιμὰς, φαίνεται μηδὲν ὀφειλόμενον παρὰ τῆς πόλεως.

570, 3. Ἐχειροτονήσατε τοῦτον τῆς Παράλου ταμίαν] Οἱ μέν φασιν ὅτι Πάραλος ἐκλήθη ἀπὸ Παράλου παιδὸς τοῦ Περικλέους, οἱ δὲ ἀπὸ Παράλου τινὸς ἥρωος, οὗ καὶ ὁ παῖς ἦν Περικλέους ὁμώνυμος, οἱ δὲ διὰ τὸ πλεῖν τὴν παραλίαν, τουτέστι, τὴν Ἀσίαν καὶ τὸν Ἑλλήσποντον. Αὕτη γὰρ ἀπεστέλλετο πρὸς τοὺς συμμάχους, εἴ τι βούλοιντο σημαίνειν οἱ Ἀθηναῖοι. Ἦσαν δὲ τὸ μὲν πρῶτον ἱεραὶ δύο τριήρεις, ἥ τε Σαλαμινία, ἣν καὶ Δηλίαν ἐκάλουν, καὶ ἡ Πάραλος, ὕστερον δὲ καὶ ἄλλαι τρεῖς ἐγέ-

νοντο, Ἀντιγονὶς καὶ Πτολεμαῒς καὶ Ἀμμωνιὰς, ἐπειδὴ τῷ Ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον. Τούτων δὲ τῶν ἱερῶν τριήρων αὐτὴ ἡ πόλις ἐπεμελεῖτο καὶ χρήματα ἐδίδου τοῖς ταμίαις, ὥστε αὐτῶν ἐπιμελεῖσθαι καὶ παρέχειν ταχυναυτούσας. Καὶ τιμὴ ἦν τὸ τούτων τινὸς ἐπιμεληθῆναι.

570, 4. Ὄντα τοιοῦτον] Δεινόν τε καὶ μοχθηρόν.

570, 5. Καὶ πάλιν ἵππαρχον] Φθάσας ἤδη τὴν στρατηγίαν ταύτην αὐτοῦ διέβαλεν. Εἰκότως οὖν ἐπήνεγκε τὸ « δυνάμενον. » Εἰ γὰρ οὕτως ἐστὶν ἀσθενὴς ὥστε καὶ ἐπ' ἀστράβης ὀχεῖσθαι, δῆλον ὅτι ἀνεπιτήδειός ἐστι πρὸς τὸ στρατηγεῖν.

Ὀχεῖσθαι διὰ τῆς ἀγορᾶς] Ἔθος γὰρ ἦν ἐν ταῖς πομπαῖς προηγεῖσθαι τοὺς ἄρχοντας. Οὐ τῆς ἐπιστήμης οὖν χάριν οὐδὲ τῆς τέχνης τετίμηται· τοσοῦτον γὰρ ἀπέχει ταύτης ὥστ' οὐδ' ἐν εἰρήνῃ καλῶς ἐποχεῖσθαι τῷ ἵππῳ κατὰ τὴν ἀγοράν ποτε δεδύνηται.

570, 7. Ἱεροποιὸν] Τὸν ἐπισκοποῦντα τὰ θύματα, μὴ ἀδόκιμα καὶ πηρά. Βοώνην δὲ τὸν ὠνούμενον βοῦς εἰς τὰς ἑορτάς.

570, 8. Τὴν τῆς φύσεως κακίαν καὶ ἀνανδρίαν] Ἵππαρχον μὲν αὐτὸν χειροτονήσαντες τὴν δειλίαν ἐπηνωρθώσαντο, ἱεροποιὸν δὲ καὶ μυστηρίων ἐπιμελητὴν ἑλόμενοι τὴν πονηρίαν ἤμβλυναν.

570, 15. Κυζικηνῶν ἤπρασε πλεῖον ἢ πέντε] Ἐν τῷ συμμαχικῷ πολέμῳ ἐψηφίσαντο Ἀθηναῖοι λῄζεσθαι τοὺς θάλατταν πλέοντας, κἂν ἔμποροι ὦσι, τῶν πολεμίων. Παρατυχὼν οὖν ἐμπόροις Κυζικηνοῖς ἀφείλετο αὐτῶν ὡς πολεμίων τὰ χρήματα. Οἱ δὲ ἐλθόντες εἰς Ἀθήνας ἀπεδείκνυσαν αὐτοῖς φιλίαν ὑπάρχουσαν πρὸς τὴν πόλιν. Ὁ δὲ Μειδίας μέχρι τοσούτου ἀντεῖπεν, ἕως ἔπεισε μὴ ἀποδοῦναι αὐτοῖς τὰ χρήματα. Οἱ δὲ ἀπελθόντες ἀπέστησαν τὴν ἑαυτῶν πατρίδα. Κατ' ἄμφω οὖν τοὺς ἄνδρας ἠδίκησε, καὶ τὰ χρήματα λαβὼν καὶ εἰς ἔχθραν ἐμβαλών.

570, 17. Περιωθῶν] Περιάγων. B.

570, 18. Συγχέων] Κινῶν καὶ συνταράττων καὶ ἀναιρῶν, ἵνα μὴ ἀπαιτοῖτο τὰ χρήματα.

570, 21. Τοιούτους θεὶς νόμους] Οἱ μὲν τοὺς λόγους, οὓς εἶπε κατὰ τῶν ἱππέων, ἐκάλεσαν νόμους, οἱ δὲ τῇ ἀληθείᾳ ὑπέλαβον τεθεῖσθαι νόμους ὡς οὐ δεῖται ἱππέων ἡ πόλις· καταισχύνουσι γὰρ αὐτήν. Ἴσως δ' ἐποίησεν, ἵνα μὴ στρατεύηται.

Ἔξαρνος ἦν] Φοβηθεὶς γὰρ τὴν κατηγορίαν ἔρριψε καὶ ἀφῆκε τοὺς νόμους.

570, 23. Ὅτε τὴν ἐπὶ Θηβαίους ἔξοδον] Ἐγένετο γὰρ καὶ διὰ τὸν Πλούταρχον ἑτέρα.

570. 24. Δώδεκα τῆς πόλεως τάλαντα] Ἀντιπίπτον ἔλυσεν « οὐχ ἠδύνατο πλεῖν ἡ τριήρης τῷ μὴ λαβεῖν χρή-« ματα παρὰ τῆς πόλεως εἰς τὴν ἐπισκευήν. » Ὁ δὲ εἶπε, καὶ μὴν δώδεκα τάλαντα εἰλήφει, ὅσα οὐδεὶς ἕτερος.

570, 29. Τὴν ἱερὰν τριήρη παρεσκευάκει] Τοῦ διαπορθμεύειν ἐπὶ τὸν πόλεμον. Διοκλῆς δὲ στρατηγὸς ἦν ὁ λύσας τὸν πρὸς Θηβαίους πόλεμον ταῖς σπονδαῖς.

571, 1. Ἀλλ' ἵππον οὐκ ἐτόλμα] Οὐκοῦν εἰς μὲν τὰς ἰδίας τρυφὰς ὑπάρχει φιλότιμος, εἰς δὲ τὰς κοινὰς χρείας οὕτω μικρολόγος ὥστε μηδὲ ἵππον ὠνήσασθαι, καίτοι ἵππαρχον ὄντα.

571, 8. Βούλομαι τοίνυν] Τὴν ἡλικιότητα ἐπιλογίζεται. Ἐπειδὴ γὰρ ἐν ἐκείνῃ φησὶν ὁ Μειδίας ὅτι « τί γὰρ « γέγονε δεινὸν, καὶ τίς ποτε ἐπὶ τοιούτοις δημοσίαν δίκην « ὑπέμεινε, » διὰ τοῦτο ἐκεῖ μὲν τοῖς ἀγωνιστικοῖς ἐχρήσατο, ἐνταῦθα δὲ τοῖς ἐπιλογικοῖς ὅτι πολλῷ καὶ ἐλάττοσι τούτων δίκην ἔδοσαν. Ἔστι δὲ τῶν παραδειγμάτων τῶν ληφθέννων τὰ μὲν ὅμοια τοῖς πᾶσι, τὰ δὲ κατὰ τὴν ἔκβασιν μόνον. Καὶ τῶν ὁμοίων τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον. Ἐξήτακε γὰρ τοὺς πρώτους περὶ τὴν ἑορτὴν ἀδικήσαντας καὶ κολασθέντας, ὅπερ οἰκεῖόν ἐστι τῇ παρούσῃ ὑποθέσει * περὶ τὰ μυστήρια. Ἕτερος δὲ ὁ ἐν τοῖς Διονυσίοις. Ὁ μέντοι ῥήτωρ ὡς ὅμοιον συνελογίσατο τῷ κοινὸν καθ' ἑκάτερον εἶναι τὸ τῆς ἑορτῆς ὄνομα.

Καὶ ὅσων ἤδη καταχειροτονήσαντος] Χρησιμώτατα μέλλοντος ἀνίστασθαι τοῦ δικαστηρίου μνήμην ἀνακινεῖ τῶν ἡμαρτηκότων ἐν ταῖς ἑορταῖς καὶ κεκολασμένων, ἵνα ἐρεθισθῶσιν εἰς ἀγανάκτησιν.

571. 13. Πρῶτον μὲν τοίνυν, ἵνα πρώτης] Πρῶτον παράδειγμα ἀπὸ τοῦ ἐλάττονος. BSY.

571, 16. Τοῦ Θεσπιέως] Οἱ μὲν δῆμόν τινα ἐξέλαβον, ὡς τοῦ Εὐάνδρου Ἀθηναίου τυγχάνοντος, οἱ δὲ καὶ αὐτὸν ξένον ἐνόμισαν Θεσπιέα τῆς Βοιωτίας. Ἐξῆν γὰρ τοῖς ξένοις ἐμπόροις ὅπου ἐβούλοντο ποιεῖσθαι τὰς δίκας.

Καρός τινος] Ὑπερβολὴ ὅτι καὶ ξένος ἦν ὁ προβαλλόμενος καὶ ὅμως οὐ παρημέληται.

571, 21. Καταδικασάμενος] Ἄλλο καταδικάσας καὶ ἄλλο καταδικασάμενος. Τὸ μὲν γὰρ κυρίως ἐπὶ τῶν καταδικαζόντων δικαστῶν, τὸ δὲ ἐπὶ τῶν νικώντων τὰς δίκας καὶ αἰτίων γινομένων τοῦ καταδικασθῆναί τινα σημαίνει τὸ ῥητόν.

571, 23. Τοῖς μυστηρίοις ἐπιδημοῦντος] Ἴσως τὴν ἑορτὴν πρόβλημα καὶ ἀσφάλειαν ἡγησάμενος ἐτόλμησεν ὀφθῆναι, κἀκεῖνος ὡς ἐν ἄλλῳ μὴ εὑρίσκων καιρῷ κατέσχεν ὀργισθείς.

571, 26. Τοῦ δὲ προβαλλομένου] Ὡρμήσατε μὲν, φησὶ, θανάτῳ περιβαλεῖν· τοῦ δὲ κατηγόρου πεισθέντος καὶ ἀρκεσθέντος τιμωρίᾳ τοιαύτῃ, εἰ μὴ ὑπεύθυνος εἴη τῇ προτέρᾳ καταδίκῃ, ἣν ὑπέμεινεν ἡττηθεὶς τὴν ἐμπορικὴν δίκην τὸ πρότερον, συνδραμόντες ἠναγκάσατε αὐτὸν ἀποστῆναι καὶ μηκέτι ἀπαιτῆσαι τὸν Μένιππον.

571, 29. Καὶ προσετιμήσατε τὰς βλάβας] Καὶ πρὸς τῷ ἀφεῖναι τὴν καταδίκην καὶ ἀναγκάσαι ἀποστῆναι ταύτης τὸν Εὔανδρον, αἰτιασαμένου πάλιν τοῦ Μενίππου ὡς καὶ ἄλλας ὑπέστη βλάβας περὶ τὰ φορτία καὶ τὴν ἐμπορίαν διὰ τὴν κρίσιν Ἀθήνησι κατεχόμενος, προσετάξατε καὶ ταύτας αὐτὸν ἐκτῖσαι.

572, 2. Εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος] Οὐκοῦν τὸ ῥηθὲν παράδειγμα ἀπὸ τοῦ ἐλάττονος εἴληπται, εἴπερ τὰ ἰδιωτικὰ τῶν δημοσίων ἐλάττονα.

572, 3. Οὐδεμιᾶς ὕβρεως] Οὐ γὰρ ἐτύπτησεν αὐτὸν οὐδὲ ὕβρισεν, ἀλλὰ κατέσχε μόνον· τοῦτο δὲ οὐκ ἐξῆν. Διὸ καὶ ἐπάγει ἐπαινῶν ὡς καλῶς ἐγένετο· μάλα γὰρ ἀγαθὸν ἡ φυλακὴ τῶν νόμων.

572, 9. Ἕτερος ἀδικεῖν ποτ' ἔδοξεν] β' ἀπὸ τοῦ ὁμοίου· ἔστι δὲ ἀπὸ τῆς ἐκβάσεως ἀσθενές. BSY. Τοῦτο ὅμοιον μὲν κατὰ πάντα τοῖς παροῦσι· καὶ γὰρ καὶ περὶ τὰ Διονύσια καταχειροτονία γέγονεν· ἔστι δ' ὅμως σαθρότερον τῷ μὴ εἰσελθεῖν εἰς δικαστήριον τὴν κρίσιν. Ἔστιν οὖν ἀπὸ τῆς ἐκβάσεως ἀσθενές. Διὸ καὶ μέσον αὐτὸ τῶν δύο τέθεικε τῶν ἰσχυρῶν τοῦ τε κατὰ Εὔανδρον τὸν ζημιωθέντα (τοῖς) χρήμασι καὶ τοῦ κατὰ Κτησικλέα, τὸν θανάτῳ καταδικασθέντα.

572, 10. Παρεδρεύοντος ἄρχοντι τῷ υἱεῖ] Συμπονοῦν-

τος καὶ συμπαρόντος τῷ παιδὶ, μή πού τι ὡς νέος ἁμάρτῃ κατὰ τὴν ἀρχήν. Πάρεδροι γὰρ ἐδίδοντο τοῖς νεωτέροις, οἱ νῦν καλούμενοι συγκάθεδροι. Ἐπειδὴ γὰρ ὁ ἄρχων πάσας τὰς ὀρφανικὰς καὶ κληρικὰς ἐδίκαζεν, ἐνίοτε δὲ διὰ τὴν ἡλικίαν ἀπείρως εἶχε τοῦ διακρίνειν, ἐδίδοτο αὐτῷ πάρεδρος ὁ συνδοκιμάζων.

572, 12. Ἥψατο ἐξείργων] Ἔτυψέ τινα περὶ καθέδρας ἀμφισβητοῦντα, ἑτέρου προκαταλαβόντος.

572, 15. Εἰ κατελάμβανον, ἄνθρωπε, θέαν] Τουτέστιν εἰ καθέδραν ἀλλοτρίαν κατεῖχον.

Καὶ εἰ μὴ τοῖς κηρύγμασιν] Ἐκήρυττε γὰρ ὁ ἄρχων διὰ τοῦ κήρυκος εὐκοσμίαν ἔχειν ἐν τοῖς θεάτροις. Εἰ τοίνυν ἠπείθουν τῷ κηρύγματι καὶ ἠτάκτουν, φησί. Μιμεῖται γὰρ τοῦ προβαλλομένου τὰς φωνάς.

572, 16. Τίνος ἐκ τῶν νόμων εἶ κύριος] Τουτέστιν, οὐ σοὶ τῷ παρέδρῳ δεδώκασιν οἱ νόμοι τὸν ἀκοσμοῦντα ἐξείργειν, ἀλλὰ οὐδὲ αὐτῷ τῷ ἄρχοντι τοῦτο ἔξεστιν αὐτοχειρὶ ποιεῖν, ἀλλ' ἐπιτάττειν τοῖς ὑπηρέταις. Ζητήσειεν οὖν ἄν τις πῶς ἠγανάκτει ὁ ἄνθρωπος; διότι * ὑπὸ τῶν ὑπηρετῶν ἐξεβλήθη καταμαθόντων ἐκείνων ὅτι οὐδὲ ἀδικεῖ.

572, 17. Καὶ ὁ ἄρχων αὐτὸς] Ἀλλὰ πατὴρ εἶ, φησὶ, τοῦ ἄρχοντος. Οὐδ' οὗτος ὁ ἄρχων τύπτειν κύριος, ἀλλὰ προστάττειν τοῖς ὑπηρέταις, ἐπισχεῖν τὰ γινόμενα.

572, 18. Οὐδ' οὕτω πείθομαι ἐπιβολὴν ἐπιβάλλειν] Ἀλλ' ὑπομνήσαντι τῷ ὑπηρέτῃ οὐκ ἐπείσθην ἐξείργοντι. Ἐχρῆν σε ὡς μὴ πειθομένῳ ζημίαν ἐπειθεῖναι καὶ ὁρίσαι.

572, 23. Ἀλλ' ἐτελεύτησε πρότερον] Προὔλαβε τῇ τελευτῇ τὸ δικαστήριον.

572, 24. Ἑτέρου τοίνυν] Ὡς πρὸς τοὺς δικασθέντας τὸ « ἕτερον » εἴληφε νῦν, ἐπειδὴ περὶ τοῦ ἑνὸς εἶπεν ὡς προαπέθανεν, εἰ καὶ τὰ μάλιστα καὶ ἐπὶ τῶν τριῶν εὑρίσκεται τὸ ἕτερον.

572, 27. Ἀπεκτείνατε τοῦτον] Τοῦτό ἐστι τὸ ἰσχυρότατον παράδειγμα, διὸ καὶ τέθειται τελευταῖον. Καὶ γὰρ περὶ τὰ Διονύσια γέγονε, καὶ θανάτῳ κεκόλασται.

Ὅτι σκῦτος ἔχων] Οἱ πομπεύοντες τῷ Διονύσῳ κατὰ μίμησιν τῆς περὶ αὐτὸν θεραπείας ἐπόμπευον, οἱ μὲν τὸ τῶν Σατύρων σχῆμα σώζοντες, οἱ δὲ τὸ τῶν Βάκχων, οἱ δὲ τὸ τῶν Σειληνῶν ἐμιμοῦντο

573, 3. Ἁπάντων τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Διὰ τὸν Εὔανδρον, ὃς ἀπέστη τῆς δίκης, καὶ ταῦτα νικήσας, διὰ τὸ ἡμαρτηκέναι ἐν τῇ ἑορτῇ. Τὸ μέσον δὲ ἐσιώπησε, τὸν παρεδρεύοντα τῷ ἄρχοντι, διότι ἀσθενέστερον ἦν τὸ κατ' αὐτόν· οὐδὲ γὰρ ἔσχεν εἰπεῖν τιμωρίαν κατ' αὐτοῦ γεγονυῖαν οὐδεμίαν.

573, 6. Οὔτε γὰρ πομπεύων] Ἐν ᾧ καὶ συγγνώμη τις ἦν διὰ τὸ ἔθος, ὅτι καὶ σκῦτος ἔχων ἐπόμπευεν.

573, 7. Οὔτε δίκην ᾑρηκὼς] Οὔτε νικήσας δίκην· καὶ οὕτω γὰρ εἶχε συγγνώμην, ἔκδοτον λαβὼν καὶ ὑπεύθυνον ψήφῳ δικαστῶν.

Οὔτε παρεδρεύων] ὥσπερ ὁ πατήρ· καὶ τούτου γὰρ μέμνηται νῦν ἐν τῇ συναγωγῇ διὰ τὴν γνώμην.

573, 9. Ἀλλὰ Πύρρον, ὦ ἄνδρες Ἀθηναῖοι] ταῦτα τὰ παραδείγματα τοῖς μὲν πράγμασιν οὐκ ἔστιν ὅμοια (οὔτε γὰρ περὶ τὰ Διονύσια οὔτε περὶ τὴν ἑορτὴν ἠδίκησαν οἱ κολασθέντες), ἀλλὰ τῆς κολάσεως εἵνεκα μόνης παρελήφθη, ὅτι καὶ ἄλλοι τινὲς ἐπὶ πολλῷ μικροτέροις ἀδικήμασι μεγάλας ἔδοσαν δίκας. Ἐν τοῖς ἀνωτέρω δὲ μνημονεύσας τῶν περὶ τὴν ἑορτὴν ἠδικηκότων καὶ κολασθέντων, νῦν εἰς μέσον ἄγει καί τινας δόντας μὲν δίκας, ἐπ' ἄλλοις δὲ πλημμελήμασιν. Ἔστι δὲ ἀπὸ τοῦ ἐλάττονος τὰ ἐπιχειρήματα. Ἐτεοβουτάδην δὲ τὸν ἀληθῶς εὐγενῆ. Τὸ γὰρ ὄνομα ἀπὸ Βούτου τινὸς ἀρχαίου γέγονεν Ἀθηναίου, καὶ τὸ ἐτεὸν τὸ ἀληθές.

573, 10. Ἐνδειχθέντα] Κατηγορεῖται ὡς ἐν τοῖς δικασταῖς κληρωθεὶς οὐκ ἐξόν· ὡς ὀφείλων γὰρ χρήματα κοινὰ ἦν ἄτιμος.

573, 22. Ἐὰν δ' ἃ ποιῇ μὴ λέγῃ] Ὡς ἰσχυρότερα τὰ ἔργα τῶν λόγων, μείζονος ὀργῆς ἄξιοι τυχεῖν. Ἁπλῶς μὲν οὖν οὕτω δύναται τὰ ἔργα τῶν λόγων ἰσχυρότερα λέγεσθαι, καθόλου δὲ οὐδαμῶς. Πολλὰ γὰρ ἔργα λόγου ἐλαττοῦται, οἷον εὐθὺς ἐν τῷ παρόντι περιρρῆξαι τὴν ἐσθῆτα πολλῷ ἔλαττόν ἐστι τοῦ παράνομα γράφειν, διὸ οὐδὲ « γράφειν » εἶπεν, ἀλλὰ « λέγειν, » ἵνα οὕτως ἀσθενεστέρους δείξῃ τοὺς λόγους τῶν ἔργων.

573, 23. Οὐδὲν γὰρ ῥῆμα] Οὐ γὰρ τοσοῦτον ὀνόματα καὶ ῥήματα δύναται, ὅσον ἐν πράγμασιν ἀδικία Μειδίου.

574, 4. Ἃ τοίνυν οὐδενὸς τῶν εἰρημένων] Εἰσέβαλεν ἐντεῦθεν εἰς τὴν τοῦ ἐλέου ἐκβολὴν, καὶ κέχρηται προδιορθώσει, προσεχέστερον τὸν ἀκροατὴν ποιῆσαι βουλόμενος, ἐπειδὴ καὶ ἰσχυρότατον μέρος ἦν τῶν ἐπιλόγων ἡ τοῦ ἐλέου ἐκβολή. Ὄντος δὲ διπλοῦ τοῦ ἐλέου, διπλῆν ποιεῖ καὶ τὴν ἐκβολήν. Τὸν μὲν γὰρ ἔχουσιν οἴκοθεν οἱ δικασταὶ, καθ' ὃν πεφύκαμεν ἁπλῶς ἅπαντας τοὺς δυστυχοῦντας οἰκτείρειν, κἂν μηδὲν ἐκεῖνοι πρὸς ἡμᾶς οἰκτίσωνται καὶ ἐλεεινά τινα φθέγξωνται· τὸν δὲ αὐτοὶ κινοῦσιν οἱ δυστυχοῦντες, οἰκτιζόμενοι καὶ δακρύοντες καὶ τἄλλα ποιοῦντες, ὅσα κινεῖν εἰώθεν ἔλεον, κἂν ἡμεῖς παρ' ἑαυτῶν μὴ βουληθῶμεν ἐξ ἀρχῆς πρὸς αὐτοὺς ἐπικλασθῆναι. Πρῶτον μὲν οὖν ἐκβάλλει τὸν τῶν δικαστῶν ἔλεον, ὃν ἐκ φύσεως ἔχουσι πρὸς τὰ ἐλεεινὰ τῶν πραγμάτων.

574, 7. Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι] Συνδραμὼν, ὅτι φιλάνθρωπος ὁ δῆμος τῶν Ἀθηναίων, βούλεται πεῖσαι μόνῳ τῷ Μειδίᾳ μὴ μεταδοῦναι φιλανθρωπίας, καὶ κέχρηται τοῖς λογισμοῖς ὥσπερ ἐπὶ τῆς ἐκβολῆς τοῦ ἐλέου τοῦ κατὰ τὸν Στράτωνα.

574, 11. Ἐγὼ νομίζω] Αὕτη ἐστὶν ἡ τῆς ὅλης ὑποθέσεως ἐκβολὴ τοῦ ἐλέου.

574, 14. Ἔστι μέτριος καὶ φιλάνθρωπός τις] Καὶ εἶδος ἔθηκεν, οἷον, ἐγώ τις οὑτοσὶ μέτριός εἰμι.

574, 23. Οἶδα τοίνυν ὅτι τὰ παιδία ἔχων] Τοῦτό ἐστι τὸ ἕτερον μέρος τῆς τοῦ ἐλέου ἐκβολῆς, ὅπερ ἐστὶν ἀπὸ τῶν κρινομένων. Αὐτοὶ γὰρ εἰσιν οἱ μηχανώμενοι τὸν ἔλεον αὐτοῖς διά τε δακρύων καὶ λόγων ἐλεεινῶν καὶ τοῦ τὰ παιδία παράγειν. Ὁ τοίνυν ῥήτωρ καθ' ἕκαστον τῶν κινούντων ἔλεον ἕτερόν τι αὐτὸς ἀντιτίθησιν τὸ ἐκβάλλον τὸν ἔλεον, καὶ τὴν ταπεινότητα τοῦ σχήματος τὸν παρελθόντα βίον τοῦ Μειδίου πολλῷ δεινότερον τῆς παρούσης [ὑποκρίσεως] ἀντέθηκεν, ὥστε διὰ τὴν θρασύτητα μισῆσαι μᾶλλον ἢ διὰ τὴν παροῦσαν ταπεινότητα κατοικτεῖραι. Τοῖς δὲ παιδίοις τοῦ Μειδίου παιδία μὲν οὐκ εἶχεν ἀντιθεῖναι, ὥσπερ τὰ τοῦ Στράτωνος, τοὺς νόμους δὲ καὶ τὸν ὅρκον ἀντέθηκε, καὶ τὸ ἐξ ἀμφοτέρων κέρδος ἐξήτασεν.

574, 25. Καὶ ὡς ἐλεεινότατον ποιῶν ἑαυτὸν] Τὸ ὡς μόριον δηλοῖ καὶ τὸ πάνυ κατ' ἐπίτασιν, ἴσως δὲ νῦν τὸ ἐν σχήματι καὶ ὑποκρίσει δηλοῖ.

574, 28. Ὅτι μηδαμῶς δυνηθεὶς ταπεινὸς γενέσθαι] Κατὰ περιτροπὴν τὸ σχῆμα, ὁ δὲ νοῦς· εἰ μὲν τοιαύτην ἐδυστύχει φύσιν, ὥστε μηδ' ὅλως κάμπτεσθαι μηδὲ δύνασθαι ταπεινοῦσθαι καὶ ἐπιεικὲς ἐπιδέχεσθαι σχῆμα, τάχ'

ἂν εἶχέ τις, ἀνενεγκὼν ἐπὶ τὴν φύσιν αὐτοῦ τὴν αἰτίαν, ἐνδοῦναι καὶ μὴ σφόδρα ὀργίζεσθαι. Εἰ δὲ πέφυκε καὶ πρὸς ἕτερον μετασχηματίζεσθαι, εἴη ἂν λοιπὸν οὐ τῆς τύχης, ἀλλὰ τῆς γνώμης τὸ κατηγόρημα.

575, 6. Πάλιν ἐκεῖνος αὐτὸς ὃν ὑμεῖς] Τί τῷ σχήματι προσέχεις; τὴν ὅλην γνώμην ὑπόπτευε, ἀφ' ἧς ἡ ταπεινότης διὰ τὸν φόβον συμβέβηκεν. Ἂν φύγῃ τὸν κίνδυνον, ἐκεῖνον ὄψει τὸν ἀλαζόνα καὶ τύραννον.

575, 10. Ἐμοὶ παιδία οὐκ ἔστιν] Ἐκβολὴ καὶ τοῦτο ἐλέου ἀπὸ τῶν παίδων κατὰ παράθεσιν. Ἐκείνῳ παιδία δέδωκεν ἡ φύσις, ἐμοὶ δὲ οὐκ ἔστιν. Κατὰ τοῦτο οὖν ἔλαττον ἕξω καὶ ἀδικούμενος καὶ τῶν ἐχόντων παῖδας οἱ ἄπαιδες χεῖρον διατεθήσονται;

575, 15. Τοὺς νόμους ἔχοντά με] Τί σεμνύνῃ, Μειδία, προτείνων τοὺς παῖδας; ἔχω καλλίους δεικνύναι παῖδας, οὓς αἰσχύνεται πλέον τὸ δικαστήριον, δεικνύων τοὺς νόμους, καὶ καρποῦμαι τὴν εὔνοιαν.

575, 24. Καὶ ῥήτωρ ἐστὶν οὗτος ἴσως] Βούλεται δι' αὐτῆς τῆς ἐπιλογικῆς ἀντιθέσεως συγκροῦσαι τὸν Μειδίαν πρὸς τοὺς ῥήτορας, ὥστε αὐτῷ μὴ συνειπεῖν. Εἰ γὰρ Δημοσθένην κακῶς λέγει, δῆλον ὅτι καὶ αὐτούς. Πρὸς δὲ τούτοις καὶ ἄλλο συνανύει· ὥσπερ γὰρ ἐπὶ τῶν τῆς αἰδοῦς τόπων τὸν μὲν Μειδίαν ἐδείκνυε μὴ ἄξιον αἰδοῦς, ἑαυτὸν δὲ διὰ τὸ μᾶλλον λελειτουργηκέναι, οὕτω καὶ νῦν βούλεται αἰδεσιμώτατον ἑαυτὸν ἀποφῆναι διὰ τῆς τοῦ ῥήτορος προσηγορίας. Ἄξιος δὲ αἰδοῦς ὁ ῥήτωρ. Εἰδὼς δὲ πολλὰς οὔσας διαφορὰς ῥητόρων, καὶ τὸν μὲν ὄντα ἀληθῆ ῥήτορα, τὸν δὲ πολιτικόν, τὸν δὲ κολακικόν, τὸν δὲ ἐξ ἐμπειρίας, οἷον βούλεται καὶ τὸν Αἰσχίνην εἶναι, διὰ τοῦτο ἐπισημασίᾳ κέχρηται καί φησιν « εἰ μὲν ἐκεῖνον λέγει ῥήτορα τὸν συμβουλεύοντα τὰ κράτιστα, τουτέστι τὸν πολιτικόν, δέχομαι τὸ ὄνομα. Εἰ δὲ ἕτερον λέγει τὸν πρὸς χάριν δημηγοροῦντα, οὐκ ἂν εἴη ἐκεῖνος ῥήτωρ. » Οὐκοῦν ἐν τῷ εἰπεῖν « τὰ κράτιστα συμβουλεύων » καὶ τῶν συμβουλιῶν αὐτοῦ ὑπέμνησεν, ὥστε αἰδοῦς ἄξιος φανῆναι μᾶλλον. Ἀποσυλᾷ δ' ἐκ τούτων τοὺς συνηγόρους αὐτοῦ καὶ συγκρούει τοῖς ῥήτορσιν.

575, 28. Οἵους ἐνίους] Ἵνα μὴ πάντας πολεμίους ἑαυτῷ καταστήσῃ. Διὸ καὶ ἐλαττώσας τὴν ἀπὸ τῶν καθημένων ἐξεῦρε βοήθειαν εἰπὼν « καὶ ὑμεῖς δὲ ὁρᾶτε. »

576, 7. Καὶ οὐδενὶ μέμφομαι] Ἄλλη θεραπεία κατορθοῦσά τι χρήσιμον, ὡς οὐδέποτε ὑμῖν ὀχληρὸς ἐγενόμην, ὑπὲρ τῶν κρινομένων δεόμενος καὶ ἀξιῶν σωθῆναι. Καινότερον ὁρῶ τὸν Μειδίου τρόπον· κακίζει τοὺς ῥήτορας, διὰ ῥητόρων σώζεσθαι προθυμούμενος.

576, 12. Καίτοι πῶς ἐστι δίκαιον τοὔνομα μὲν τοῦτο] Ἐνταῦθα φανερῶς συνέκρουσε τοὺς ῥήτορας τῷ Μειδίᾳ, καὶ μᾶλλον αὐτοῦ συνηγόρους πεποίηκε. Φαίνεται γὰρ αὐτὸς μὲν ὑπὲρ τῶν δημοτέχνων ἀγανακτῶν, Μειδίας δὲ ὑβρίζων.

576, 15. Τάχα τοίνυν ἴσως καὶ τοιαῦτα] Μίαν οὖσαν ἐξ ἀρχῆς τὴν ἀντίθεσιν δίχα ἔτεμε πρὸς χρήσιμον. Ἦν γὰρ τοιαύτη· ῥήτωρ οὗτός ἐστι καὶ πάντα ἐσκεμμένα λέγει καὶ παρεσκευασμένα. Ὁ δὲ διεῖλεν αὐτὴν πρῶτον μὲν εἰς τὸ « ῥήτωρ ἐστίν, » ἵνα καὶ τὴν αἰδῶ παρὰ τῶν δικαστῶν ἑαυτῷ κινήσῃ, καὶ τοὺς ἄλλους ῥήτορας πρὸς τὸν Μειδίαν συγκρούσῃ. Δεύτερον δὲ τὸ ἄλλο μέρος ἔθηκε, τὸ ὅτι « ἐσκεμμένα γε πάντα λέγει. » Καὶ τῇ λύσει πάνυ ἐνδόξως ἐχρήσατο. Τοῦ γὰρ Μειδίου λέγοντος ὅτι σκέπτεται πάντα καὶ πρὸς τὸ μεῖζον ἐξαίρει τοὺς λόγους, ὁ Δημοσθένης φησὶν ὅτι ἐν αὐτῷ τῷ ἐσκέφθαι πολλάκις τὰ δίκαια ἔσκεμμαι. Ὁ γὰρ περὶ τῶν αὐτῶν συνεχῶς ἀνερευνῶν οὗτος καὶ τὴν ἀλήθειαν εὑρίσκει καὶ μεῖζον οὐδὲν λέγει τῶν ὄντων, εἰδὼς ὅτι ἐξελέγχεται. Μειδίας δὲ μηδὲν σκεπτόμενος διὰ τοῦτο θρασύτερός ἐστι καὶ μείζω τοῦ δέοντος.

Ὡς ἐσκεμμένα καὶ παρεσκευασμένα πάντα λέγω νῦν] Ἐκ τοῦ περὶ μεθόδου δεινότητος περὶ προσποιήσεως (Hermogen. vol. 3, p. 422)· « ἐν τῇ δικανικῇ, κἂν ἐσκεμμένος ἥκῃς, προσποιοῦ αὐτόθεν λέγειν, ὅτι ὁ δικαστὴς ὑποπτεύει τὸν ῥήτορα καὶ δέδοικε μὴ ἐξαπατηθῇ. » Ὁ δὲ Δημοσθένης ὁμολογήσας ἐσκέφθαι αἴτιον ὑπέφηνε Μειδίαν. ΒΥ.

576, 20. Γεγραφέναι μοι τὸν λόγον Μειδίαν] Πρόσφορον αὐτοῦ τῇ φύσει τὸ σκέπτεσθαι· διὸ καὶ ὁμολογεῖ, ὁ δὲ τὰς ἀφορμὰς δεδωκώς, φησίν, οὗτος τὸν λόγον συνέθηκεν.

576, 21. Ὁ γὰρ τὰ ἔργα παρεσχηκώς] Σημείωσαι· ὅρος εἰς πρότασιν προοιμίου. Β.

576, 23. Οὐδ' ὁ μεριμνήσας τὰ δίκαια] Ὁ μελετήσας τἀληθῆ κατηγορεῖν. Ρ. Καὶ τί, φησί, μέγα, εἰ Δημοσθένους καθάπτεται; καὶ ὁ δῆμος ἅπας μετὰ Δημοσθένους διαβληθήσεται.

576, 29. Οἶμαι τοίνυν αὐτὸν οὐδὲ τοῦ δήμου] Συγκρούσας αὐτὸν δικασταῖς καὶ ῥήτορσι καὶ τῇ ἐξ Ἀρείου πάγου βουλῇ καὶ ἱππεῦσι καὶ ὁπλίταις καὶ στρατηγοῖς βούλεται καὶ παντὶ τῷ δήμῳ συγκροῦσαι, καί φησιν ὅτι ἡγοῦμαι αὐτὸν καὶ τοῦ δήμου κατηγορεῖν. Πιθανὸν δὲ τὸ νόημα· εἰ γὰρ πᾶσι τοῖς προειρημένοις ἐλοιδορήθη καὶ οὐκ ἐφοβήθη τὴν πρὸς τούτους ἔχθραν, οὐδὲ τοῦ δήμου φείσεται.

577, 3. Ὡς ὅσοι δέον ἐξιέναι κατέμενον] Ὁ μὲν Μειδίας φάσκει μὴ τὸν ὄντως αὐτοῦ κατεψηφίσθαι, ἀλλὰ πῇ μὲν τοὺς ἀστρατεύτους, οἳ δέον ἐξιέναι εἰς τὸν πόλεμον κατέμενον ἐν τῇ πόλει, πῇ δὲ τοὺς λείποντας [τὰς] τάξεις. Οἱ γὰρ τεταγμένοι φρουρεῖν φυγόντες τὰ φρούρια τότε ἠκκλησίαζον, καὶ δὴ καὶ ξένοι τινὲς καὶ χορευταὶ τοῦ Δημοσθένους, οἳ παρ' αὐτοῦ τραφέντες κατεψηφίσαντό μου. Ὁ δέ, τὸν ὅλον δῆμον ὑβρίζει, φησί, χορευτὰς καὶ ξένους ἀποκαλῶν. Καὶ τί θαυμαστόν, φησί, λιποταξίου γραφὴν τὸν Μειδίαν κατ' ἐμοῦ κατασκευάζειν, ὁ τὸν δῆμον εἰς ἀστρατείαν ὀνειδίζων καὶ λιποτάκτην καλῶν; οἵ τε γὰρ ὀφείλοντες, φησίν, ἐξελθεῖν ἔμενον καὶ οἱ τὰ φρούρια φυλάττοντες τὴν φυλακὴν ἐκλελοίπεσαν. Φρούρια δὲ λέγει τὰ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. Πολέμου γὰρ τότε πρὸς Θηβαίους ὄντος διὰ τὴν Εὔβοιαν, ἀναγκαῖον ἦν τὰς ἐκ τῆς Βοιωτίας εἰσβολὰς παρὰ τῶν Ἀθηναίων φυλάττεσθαι.

ζον

577, 4. Ἐξεκκλησίασαν] Συνήθροιζον. Β.

577, 7. Ὡς ἴσασιν ὅσοι παρῆσαν ὑμῶν] Πῶς λέγων ὅτι πᾶς ὁ δῆμος κατεχειροτόνησε πάλιν φησὶν « ὅσοι παρῆσαν; » πρῶτον μὲν ὅτι οὐ πρὸς τὸν δῆμόν ἐστιν ὁ λόγος, ἀλλὰ πρὸς τοὺς δικαστὰς μέρος ὄντας τοῦ δήμου· οὐδὲν οὖν ἐκώλυέ τινας ἐξ αὐτῶν καὶ ἀπολελεῖφθαι· ἔπειτα ὅτι ἐνεχώρει τινὰς ἐκ τούτων εἶναι τῶν εἰς Εὔβοιαν στρατευσαμένων.

Ὥστε κακῶς λέγων] Οὐκοῦν σύνηθες αὐτῷ τὸν δῆμον ὑβρίζειν. Δι' ὧν γὰρ ἠπείλει τῷ θαρροῦντι μέρει καὶ ἐφόβει, διὰ τούτων ᾤετο τὸν ὅλον δῆμον καταδουλώσασθαι.

576, 11. Ἦ καὶ γελοῖα εἶναι] Διὸ καὶ γελοῖα νομιστέον τὰ νῦν δάκρυα· πῶς γὰρ ὁ πάντα [τὸν] δῆμον ὑβρίζων ὡς ταπεινὸς ἂν ἐλεοῖτο;

577, 12. Τί λέγεις, ὦ μιαρὰ κεφαλή;] Ὅρα πῶς ὑπεραγανακτεῖ τοῦ δήμου καὶ λοιπὸν εὐκαίρως ἀποτείνεται πρὸς τὸν Μειδίαν, « ὦ μιαρὰ κεφαλὴ » λέγων; πῶς γὰρ οὐ μιαρὰ κατὰ τῆς ἐνεγκούσης ποιουμένη τὰς ὕβρεις;

577, 22. Μεγάλην μεντἂν ἀρχὴν] Εἰ ἐν τῷ βίῳ πονηρὸς ὢν ὕβρισας ἀδεῶς, κρινόμενος δὲ τὰ τῶν ἐπιεικῶν ἕξεις, ἐλέου τυγχάνων, μεγάλην ἔσχες ἀρχὴν, ἢ μεγάλην ἤσκησας τέχνην ἐν οὕτω βραχεῖ χρόνῳ, ἐν τῷ κρίνεσθαι δηλονότι. Δύο δὲ τὰ ἐναντιώτατα φθόνος καὶ ἔλεος.

578, 3. Ὅτ' εἰς Ὄλυνθον διέβησαν] Τό « ὅτ' εἰς « Ὄλυνθον διέβησαν » τοιοῦτόν ἐστιν. Πλείους βοηθείας τοῖς Ὀλυνθίοις ἀπέστειλαν οἱ Ἀθηναῖοι κατὰ μέρος. Οἱ στρατιῶται οὖν ἐπὶ τῆς τελευταίας πυθόμενοι τὴν Ὄλυνθον ἡλωκέναι, πάλιν ὑπέστρεψαν καὶ πάλιν ἀπῆλθον εἰς τὴν Θράκην (Ἀττικήν?). Τούτων οὖν ὁ Μειδίας κατηγόρει.

578, 5. Πρὸς τοὺς ἐξεληλυθότας] Περὶ πάντων αὐτῶν πρὸς τῷ τέλει τὸ μῖσος ἐπισωρεύει. Καὶ γὰρ οὐδενὸς φείδεται, φησὶν, ἀλλὰ τοὺς μὲν εἰς τὸν πόλεμον ἐξιόντας διαβάλλει τὸν δῆμον ἀκροατὴν ποιησάμενος, τοῦ δ' αὖ δήμου κατηγορεῖ πρὸς τοὺς ἐξεληλυθότας διαλεγόμενος. Ἐπειδὴ δὲ πάντα τὸν δῆμον ἀθρόως ὑβρισμένον οὐ δύναται δεῖξαι, μερίζει κατὰ τοὺς καιροὺς καί φησιν, ὅτ' εἰς Ὄλυνθον διέβησαν, κατηγόρει τῶν διαβάντων.

578, 12. Ἐμοὶ νὴ τὸν Δία] Τοὺς θεοὺς τούτους ὡς τῶν ἄλλων ἐξοχωτάτους ὀμνύουσι, τὸν μὲν Ἀπόλλω λέγοντες Ἥλιον, τὴν δὲ Ἀθηνᾶν Σελήνην, τὸν δὲ Δία τὸν συνέχοντα τὸ πᾶν. Εἰσὶ δὲ καὶ παρὰ τοῖς Ἀθηναίοις μάλιστα οὗτοι τιμώμενοι, ὁ μὲν πατρῷος ὢν, ἡ δὲ ἐπώνυμος, ὁ δὲ πολιοῦχος καὶ βουλαῖος καὶ φράτριος καὶ φίλιος καὶ ἕρκειος.

578, 13. Εἰρήσεται γὰρ εἴτ' ἄμεινον εἴτε μή] Μέλλων ἀπορρήτους λόγους ἐξηγεῖσθαι διστάζειν προσποιεῖται. Λογοποιοῦντος γὰρ, φησὶ, Μειδίου, ὅτι διαλέλυται πρὸς μέ, πολλοὶ τῶν δοκούντων αὐτῷ λαλεῖν ἡδέως ἤχθοντο. Τὸ μὲν οὖν καταμηνύειν τοὺς φίλους ἄτοπον (ὡς γὰρ ἐν ἀπορρήτῳ τὴν ἔνδειξιν ἐποιοῦντο), τὸ δὲ πάντα σιωπᾶν ἀσύμφορον. Τί οὖν πεποίηκεν, ἵνα δείξῃ καὶ παρὰ τῶν οἰκείων αὐτὸν μισούμενον; τίνες δὲ οὗτοι σεσιώπηκεν, ἵνα μὴ προσκρούσῃ τοῖς εἰρηκόσιν. Ἐπειδὴ φαύλων ἀνθρώπων ἐστὶ τοῖς κακοῖς τῶν φίλων ἐφήδεσθαι, καὶ ὑπὲρ αὐτῶν ἀπολογίαν ἔνορκον προσέθηκεν εἰπὼν « καὶ νὴ Δία αὐτοῖς « πολλὴ συγγνώμη. » Τὴν γὰρ βαρύτητα τοῦ Μειδίου δυσχεραίνουσιν, εἴτε ἐπισπῶμαι εἰς ἔχθραν τοὺς εἰπόντας εἴτε μή.

578, 14. Ὡς ἀπήλλαγμαι, περιιὼν ἐλογοποίει] Ἀντὶ τοῦ ἐψεύδετο θρυλῶν καὶ λογοποιούμενος « ἐπείσατό μοι « Δημοσθένης, ἀπηλλάγην τῆς ἔχθρας, λέλυταί μοι τῶν « ἐγκλημάτων ὁ κίνδυνος. »

578, 15. Τῶν πάνυ τούτων λαλούντων] Ἵνα μή τις εἴποι « τί οὖν οἷς ἔχαιρον οἱ ἐχθροί; » προσέθηκε, « τῶν « πάνυ τούτων λαλούντων » καὶ « πάνυ ἡδέως. » Διὸ καὶ ὅρκου ἐδεήθη, μή τις ἀπιστήσῃ περὶ φίλων τοιαῦτα λέγοντι, καὶ πρὸς τῷ ὅρκῳ καὶ τὰς ἀπὸ τῶν πραγμάτων ἐπάγει κατασκευάς.

578, 17. Ἀλλὰ καὶ πλουτεῖ μόνος] Οὐχὶ μόνος πλούσιος Μειδίας, ἀλλ' ὅτι μόνον ἑαυτὸν λέγει πλούσιον. Ἐπαχθὲς δὲ τὸ τοιοῦτον.

578, 21. Ἂν ἀποφύγοι, τί ποιήσειν οἴεσθε] Μέγας ὁ προσδοκώμενος φόβος, ἂν μὴ σωφρονήσῃ ταῖς δίκαις, τὴν ἀκρόπολιν καταλήψεται.

Ἐξ ὅτου δὲ τοῦτ' ἂν εἰδείητε] Ὅθεν δὲ γνώσεσθε τίς ἔσται ἀποφυγὼν, ἐρῶ. Στοχάσασθε αὐτοῦ τῆς ἐσομένης γνώμης ἀπὸ τῶν ἤδη γεγενημένων.

578, 23. Τί γάρ ἐστιν ὅστις] Πανταχοῦ βούλεται μονομερῆ δεικνύναι τὴν κρίσιν.

578, 26. Οὐχ ἂν ἐπ' αὐτῷ τούτῳ κατέδυ] Ὅτι οὐ κατέδυ καὶ τὰ αὐτῷ ὅμοια εἰς τρία πρόσωπα συνήρμοσται. B. Εἰ πεποίηκεν αὐτὸν ἡ τοῦ παντὸς δήμου κατάγνωσις εὐλαβέστερον, ἐπαινέσετε· εἰ δὲ ἐξ ἐκείνου τοῦ χρόνου γέγονε χαλεπώτερος, τί τὸ ποιοῦν αὐτὸν ἔσται καλλίονα;

578, 27. Τόν γε δὴ μέχρι τῆς κρίσεως χρόνον] Ἕως ἂν πέρας ὁ κίνδυνος δέξηται. Ἔστω, τὸν πάντα βίον ἐπιτηδεῦσαι σωφροσύνην οὐ δύνασαι, καρτέρει μέχρι τῆς κρίσεως ἠρεμῶν, ἄγχε διὰ τὴν χρείαν τὴν τόλμαν, στῆσον λογισμῷ τῆς τιμωρίας τὸ θράσος, κρύψον τέως τὴν πονηρίαν τῷ φόβῳ, ἕως ἂν ἴδοις τὴν ἄδειαν.

579, 1. Χειροτονεῖταί τις; Μειδίας Ἀναγυράσιος προβέβληται] Ἢ αὐτὸν τὸν χειροτονούμενον πάντως αὐτός ἐστιν ὁ προβαλλόμενος, ἢ βουλομένων τινῶν ὑμῶν τινα χειροτονεῖν ἑαυτὸν ἀντ' ἐκείνου προβάλλεται. Δείκνυσι γὰρ αὐτὸν μηδαμοῦ μὲν παρὰ τοῦ δήμου ζητούμενον, ἑαυτὸν δὲ εἰς τὰς ἀρχὰς εἰσωθοῦντα.

579, 2. Πλουτάρχου προξενεῖ] Φίλος ἐστὶ καὶ εὔνους τῷ τυράννῳ. Καὶ γάρ τοι καὶ τὰ ἀπόρρητα οἶδεν, ἃ κατὰ τῆς Ἀττικῆς ἐκεῖνος βουλεύεται. Πρόξενοι δὲ ἐκαλοῦντο οἱ χειροτονούμενοι ὑπὸ τῆς πόλεως ἐπὶ τῷ τὰς πρεσβευούσας πόλεις ὑποδέχεσθαι, δορύξενοι δὲ οἱ ἐν πολέμοις φιλιωθέντες ἀλλήλοις, ἰδιόξενοι [δὲ] οἱ ἐξενωμένοι παρά τισιν. Ἐν δὲ τῷ εἰπεῖν ὅτι « Πλουτάρχου προξενεῖ » δύο κατορθοῖ ἅμα· εἰ γὰρ Πλουτάρχῳ συνέστη, οὐκοῦν φίλος τοῖς τυράννοις Μειδίας. Ἀλλὰ καὶ τὴν Εὔβοιαν ἀπέστησε Πλούταρχος, οὐκοῦν Μειδίας κοινωνὸς τῆς ἀποστάσεως.

579, 3. Τὰ ἀπόρρητα οἶδεν] Φανερώτερον τῆς τυραννίδος τὸ ἔγκλημα Εἰ γὰρ Πλούταρχος ἐχθρὸς ὢν τῆς πόλεως ἐπιβουλεύει τῷ δήμῳ, Μειδίας δὲ τὰ ἀπόρρητα ἐκείνου γινώσκει, μετὰ Πλουτάρχου ἄρα καταλαβεῖν βούλεται τὰ πράγματα.

Ἡ πόλις αὐτὸν οὐ χωρεῖ] Σύνηθες Δημοσθένει τοῦτο λέγειν ἐν ταῖς ὑπερβολαῖς, ὥσπερ καὶ ἐν Φιλιππικοῖς, « οὐθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ « τἀνθρώπου. »

579, 5. Ἢ ὅτι ἐγὼ πέπονθα οὐδὲν] Ἠθοποιΐᾳ κέχρηται, δι' ἧς αὐτὸν τὸν Μειδίαν δείκνυσι τὴν τυραννίδα σημαίνοντα. Τὸ γὰρ μὴ φοβεῖσθαι φάσκειν δίκας καὶ δικαστήρια τίνος ἑτέρου πλὴν τυράννου;

579, 7. Ὅς οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] Οὐδὲ μέχρι δόξης Μειδίας ἀνέχεται φοβεῖσθαι τὸν δῆμον, καίτοι τοῖς ἔργοις φοβούμενος.

579, 8. Τὸ δὲ μηδὲν φροντίζειν ὑμῶν] Διάνοιαν αὐτῷ τυραννικὴν περιέθηκεν.

579, 9. Τοῦτον οὐχ ἀπολωλέναι δεκάκις προσήκει] Τὸ μέγεθος τῆς τιμωρίας τοῖς ἐπιχειρήμασι τοῦ Μειδίου ηὔξησεν.

579, 11. Πλούσιος, θρασὺς καὶ μεγαλόφρων] Καὶ τὰς δοκούσας ἀρετὰς εἰς κακίαν μετέθηκεν ἡ τάξις τῶν ὀνομάτων. Ὁ μὲν γὰρ πλούσιος τῶν ἐμμέσων ἐστὶν, ἀλλ' ἡ θρασύτης προστεθεῖσα κακίαν αὐτὸ ἐποίησεν. Ὁμοίως τὸ μεγαλοφρονεῖν τῶν ἐπαινετῶν· οὕτως οὖν τινας καὶ μεγαλόφρονας καλοῦμεν· ἀλλὰ τὸ « βίαιος καὶ ἀναιδὴς » προστεθὲν οὐ μεγαλοφροσύνην, ἀλλὰ μᾶλλον ὑπερηφανίαν κα' ἀλαζονείαν τὸ πρᾶγμα πεποίηκεν.

579, 13. Ποῦ ληφθήσεται νῦν] Πικροτάτην ἔμφασιν δέδωκεν, ὅτι ποῦ δυνατὸν ἐπιληφθῆναι; ἐὰν γὰρ φθάσῃ κατασχὼν τὴν ἀκρόπολιν, ποῦ αὐτὸν ἔτι δυνήσεσθε λαβεῖν; φανερῶς μὲν οὖν ἐγκαλεῖν τὴν τυραννίδα οὐ δύναται διὰ τὸ ὑπερβάλλον τοῦ ἐγκλήματος· οἶδε γὰρ ὅτι καταλιπὼν ὁ δῆμος τὸ περὶ τῆς ὕβρεως ζητεῖν ἐπὶ τοὺς ἐλέγχους τοὺς περὶ τῆς τυραννίδος τραπήσεται. Μὴ ἔχων δὲ τούτους σαφεῖς παρασχέσθαι κινδυνεύσει διὰ τῶν ἐμφάσεων καὶ τῶν ὑπονοιῶν. Ὁμοῦ οὖν καὶ τὸ ἄληπτον ἑαυτῷ τηρεῖ καὶ τὸν ἐχθρὸν ἐπίφθονον καθίστησιν.

Ἀλλ' ἔγωγε εἰ μηδενὸς ἕνεκα] Πάντα τὰ προσόντα τῷ Μειδίᾳ καθελὼν καὶ πανταχόθεν ἀλυσιτελῆ δείξας τοῖς Ἀθηναίοις βούλεται καὶ τοὺς λόγους αὐτοῦ δεῖξαι χαλεποὺς καὶ ἐπαχθεῖς.

579, 15. Καὶ ἐν καιροῖς] Φαύλοις.

579, 17. Ἐὰν μέν τι τῶν δεόντων ἀπαγγελθῇ] Τὸ τυραννικὸν τῆς γνώμης αὐτοῦ πάλιν διαβάλλει· τὸ γὰρ μὴ συνήδεσθαι τοῖς ἀγαθοῖς τοῦ δήμου φθονοῦντός ἐστιν ἐπὶ ταῖς εὐπραγίαις, τὸ δὲ ἥδεσθαι κακοπραγούντων, τοῦτο ἴδιον τυράννου. Τὸ δὲ αὐτὸ καὶ περὶ Αἰσχίνου κατηγορεῖ, ἀλλ' ἐκείνου μὲν οὐχ ὡς αὐτοῦ βουλομένου κατασχεῖν τὴν ἀκρόπολιν, ἀλλὰ Φιλίππῳ περιποιῆσαι τὰ πράγματα· ταπεινότερον γὰρ τὸ πρόσωπον ἦν τοῦ ἐγκλήματος· Μειδίαν δὲ ὡς αὐτὸν μέλλοντα τυραννεῖν διαβάλλει.

579, 22. Καὶ τῆς σιωπῆς ἀπολαύων] Πάθος λέγει τῆς ἀνθρωπίνης φύσεως κοινόν. Πάντες γὰρ οἱ τοῖς κακοῖς πιεζόμενοι συστέλλονται πρὸς ἡσυχίαν καὶ σιωπᾶν ἀναγκάζονται, διὸ καὶ ὑμεῖς φέρετε καχιζόμενοι.

579, 24. Τοιοῦτοι γάρ ἐστε] Τόπος ἐστὶ τῆς ἐπαχθοῦς καὶ ὑβριστικῆς ἀποκρίσεως.

579, 25. Οὐδ' οἴεσθε δεῖν χρήματα εἰσφέρειν] Ἅπερ ἦν συνήθη πᾶσι τοῖς πλουσίοις λέγειν πρὸς τὸν δῆμον, ταῦτα μόνου κατηγορεῖ τοῦ Μειδίου. Εἰ γὰρ ἦσαν πταίσαντες κατὰ πόλεμον, τότε οἱ πλούσιοι ἐνεκάλουν τοῖς δημόταις, ὅτι ἡμεῖς μὲν τὰ καθ' ἑαυτοὺς πεποιήκαμεν, ἐτριηραρχήσαμεν, χρήματα εἰσενέγκαμεν, ὑμεῖς δὲ δηλονότι, οἱ μὴ θελήσαντες.

580, 3. Φανερὰν ἐπὶ καιροῦ καθιστὰς] Ὥστε κρύπτειν μὲν ἐν τοῖς καλοῖς καιροῖς τὴν δυσμένειαν, ἰδὼν δὲ πταίσασαν τὴν πόλιν εἰς μέσον ἄγει τὴν τέως λανθάνουσαν.

580, 6. Τοιοῦτος γὰρ εἶ, Μειδία, ὑβριστὴς γὰρ εἶ] Ὥσπερ ἐπὶ τοῦ Μειδίου χρησάμενος ἠθοποιΐᾳ ἑαυτοῦ δι' αὐτοῦ πεποίηκεν ἐπεμβαίνοντα τοῖς Ἀθηναίοις, οὕτω πάλιν καὶ τῶν δικαστῶν τῇ ὁμοίᾳ πλάσει ἐχρήσατο, ἵνα ποιήσῃ ταῦτα τοὺς δικαστὰς λέγοντας πρὸς τὸν Μειδίαν, ἅπερ αὐτὸς βούλεται. Μιμησώμεθα, φησὶ, κατὰ Μειδίου Μειδίαν, καὶ τοῖς αὐτοῖς λόγοις πρὸς τὸν πατέρα τῶν λόγων χρησώμεθα, τὸν αὐτὸν ἀποδιδόντες αὐτῷ προσήνεγκεν.

580, 11. Καὶ βοηθήσουσιν οἱ λέγοντες ὑπὲρ αὐτοῦ] Ἔστι μὲν τὸ κεφάλαιον εἰσηγμένον κατὰ ἀπόστασιν, ἔξεστι δὲ τὰ τοιαῦτα ἐν ἐπιλόγοις, διὰ τὸ εἶναι κομματικὰ καὶ ἀσύνδετα· ὅμως δὲ ὁ ῥήτωρ διὰ τοῦ συνδέσμου συνῆψεν αὐτὰ τοῖς φθάνουσιν· εἰ γὰρ καὶ τοῖς νοήμασιν ἀπέσχισται, τὰ γοῦν τῆς ἀκολουθίας σώζεται. Βούλεται δὲ ἐν τούτῳ περικόψαι τοὺς συνηγόρους τοῦ Μειδίου, κἀκεῖ δὲ πρῶτόν γε πρὸς τὸν Εὔβουλον ἀποτείνεται. Προέταξε δὲ τοῦτον τῶν ἄλλων συνηγόρων διὰ δύο προφάσεις, ὅτι τε πολὺ προέχει τῶν ἄλλων εἷς ὢν καὶ μᾶλλον ἐδεδοίκει τοῦτον ἢ σύμπαντας τοὺς ἄλλους, καὶ ὅτι πράγματα εἶχεν ἰδίᾳ διαλεχθῆναι χωρίσαντα τῶν ἄλλων περιουσιῶν τὸν λόγον.

580, 12. Οὐχ οὕτω τούτῳ χαρίσασθαι] Ἀντιπῖπτον ἔλυσε, πῶς ἀρτίως ἔλεγες μηδένα εἶναι φίλον τῷ Μειδίᾳ, καὶ νῦν τοὺς ἐνδοξοτάτους αὐτῷ φάσκεις συνηγόρους; « ὅτι « τούτῳ χαρίζεσθαι βούλονται, » καὶ τὸν ὅρκον προσέθηκεν, ἐπεὶ ἀπίθανον δοκεῖ τὸν συνηγοροῦντα μὴ εἶναι φίλον τοῦ συνηγορουμένου, ἀλλ' ἐπηρεάζειν ἐμοί.

580, 14. Ἄν τε ἐγὼ φῶ ἄν τε μὴ φῶ] Καλῶς κατὰ ἐνδοιασμὸν προσήγαγεν, ἵνα δείξῃ τὸν Εὔβουλον ὄντα τῆς ἔχθρας αἴτιον· εἰ γὰρ οὐχ ὁμολογεῖ ὁ Δημοσθένης ἔχθραν, πρόδηλον ὅτι Εὔβουλός ἐστιν ὁ τῆς ἔχθρας καταρχόμενος.

580, 15. Καὶ βιάζεται οὐκ ὀρθῶς] Ἀντιπῖπτον ὑπετέμετο, εἰ παθὼν παρὰ σοῦ κακῶς φυλάττει τὴν ἔχθραν; ὁ δὲ καὶ « βιάζεται » εἶπε καὶ « οὐκ ὀρθῶς. » Ἀμφότερα δὲ τοῦ κατάρχοντος καὶ ἀδικοῦντος.

580, 16. Ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχεῖν] Ἕτερον ἀντιπῖπτον ἔλυσε, διὰ τί οὖν βούλεται ἐχθρός σου εἶναι μηδὲν ὑπὸ σοῦ πεπονθώς; ὅτι λίαν ἐστὶν εὐτυχής. Καὶ δέδωκεν ἑτέραν ἔχθρας ἀφορμὴν τὴν εὐτυχίαν· οἱ γὰρ πλουτοῦντες βουλόμενοι τοῖς πένησιν ἐπηρεάζειν ὑβρίζουσί τε καὶ ἐπαχθεῖς γίνονται. Εἶτα καὶ ἄλλο κατώρθωσε τῷ λίαν εἰπεῖν εὐτυχεῖν· ἔδειξε γὰρ οὐ δι' ἀρετὴν εὐδοκιμοῦντα τὸν Εὔβουλον, ἀλλὰ διὰ τύχην.

580, 17. Ὅπου γὰρ ἐγὼ μὲν] Τὴν φήμην λέγει τὴν περὶ τοῦ φόνου· Εὔβουλος γὰρ ἦν ὁ κατηγορῶν τοῦ Ἀριστάρχου καὶ συναιτιώμενος τὸν Δημοσθένην. Ὁμοίως δὲ φανερῶς οὐκ εἶπεν, ἵνα μὴ πάλιν ὑπομιμνήσκῃ καθ' ἑαυτοῦ τὴν φήμην.

580, 19. Οὐδὲ ἀφιέντα ἀνίησεν] Δείκνυσιν ὅτι χάριν αὐτῷ μᾶλλον ὤφειλεν Εὔβουλος ὁμολογεῖν ὅτι ἀφῆκεν αὐτὸν, καὶ οὐκ ἀπῄτησε δίκην ἐφ' οἷς ἔπαθε παρ' αὐτοῦ κακῶς.

Ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγῶσι] Διέβαλλεν ὡς φιλοπράγμονα τὸν Εὔβουλον καὶ ἐργολάβον. Δυοῖν γὰρ θάτερον ἐκ τούτου συμβήσεται· ἢ γὰρ, ἵνα μὴ δόξῃ τοιοῦτος εἶναι, ἀποστήσεται τοῦ συνηγορεῖν τῷ Μειδίᾳ καὶ πληρωθήσεται ὁ σκοπὸς τῷ ῥήτορι, ἢ τολμῶν ἀναβαίνειν ὕποπτος ἔσται προδιαβεβλημένος ὑπὸ τοῦ ῥήτορος.

580, 20. Μηδὲ τῆς κοινῆς τῶν νόμων ἐπικουρίας] Οὐκοῦν τύραννός ἐστιν Εὔβουλος ὁ τὴν ἰσχὺν τῶν νόμων καταλύων.

580, 22. Καὶ μεῖζον ἢ καθ' ὅσον ἡμῖν ἑκάστῳ συμφέρει] Τὸ ὄνομα μόνον ἐσιώπησε τοῦ τυράννου· τὰς γὰρ πράξεις ἀνέθηκε, καὶ εἰς φόβον τοῦ μέλλοντος τὸν δῆμον κατέστησεν.

580, 23. Ἔτι τοίνυν παρῆν, ὦ ἄνδρες Ἀθηναῖοι] Ὅτε διὰ τῶν πραγμάτων ἠνίξατο τὸν τύραννον καὶ προδιέβαλε, τότε καὶ φανερῶς ἐπ' αὐτὸ τὸ ὄνομα κεχώρηκεν.

580, 25. Καὶ καλούμενος ὀνομαστὶ] Πολλὰ ὁμοῦ κατώρθωσε· καὶ γὰρ ὅτι Μειδίας ἑαυτοῦ κατέγνωκε, καὶ ὅτι οὐδεμίαν πρόφασιν ἔχει Εὔβουλος τούτῳ γε μὴ βοηθῆσαι· καὶ γὰρ ἐκλήθη, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ δεήσεως, καὶ παρῆν, καὶ ἐκαθέζετο, καὶ ἐθεώρει τὰ γιγνόμενα, καὶ ὅμως οὐκ ἀνέστη.

581, 2. Νῦν δὲ ὅτι προσκέκρουκεν ἐμοὶ] Δι' ὧν ὁ ῥήτωρ διαβάλλει τὴν αἰτίαν τῆς συνηγορίας, ἵνα μή τις ὑπολάβῃ ὅτι ἀδικουμένῳ βοηθεῖ, κατασκευάζει ὑπὸ τοῦ χρόνου τὴν ὑπόνοιαν. Ἄλλην δὲ ἀντ' ἄλλης πρόφασιν εἴρηκε. Τοῦ γὰρ Εὐβούλου δυναμένου λέγειν ὅτι « τότε μὲν οὐκ ἀνέ« στην. Ἐν δήμῳ γὰρ τεθορυβημένῳ τί πλέον ἂν ἤνυσα « συνηγορῶν; νῦν δὲ ἐμαυτὸν εἰς τὸ δικαστήριον ἐφύλαξα, »

ὁ ῥήτωρ ἄλλην πρόφασιν εἴρηκεν, ὅτι τότε μὲν οὐ συνεῖπε διὰ τὸ συνειδέναι ὅτι Μειδίας ἀδικεῖ, νῦν δὲ διὰ τὸ ἐπηρεάζειν ἐμοί.

581, 4. Μὴ γὰρ ἔστω μηδεὶς ἐν δημοκρατίᾳ] Καὶ ἐν τῷ κατ' Αἰσχίνου (p. 436, 7) σχεδὸν αὐταῖς λέξεσι περὶ Εὐβούλου εἴρηκε « μή μοι σωζέσθω μήδ' ἀπολλύσθω μη« δείς. »

581, 5. Τὸν δὲ μὴ δοῦναι δίκην] Μερισμῷ κέχρηται, βουλόμενος δεῖξαι δύναμιν μεγάλην Εὐβούλῳ προσοῦσαν. Εἰ γὰρ ἱκανός ἐστι τὸν μὲν ὑβρίζειν, τὸν δὲ ποιεῖν μὴ διδόναι δίκην, μέγας τίς ἐστι καὶ ἰσχυρός. Καίτοι περὶ ἑνὸς τοῦ Μειδίου ἀμφότερα εἴρηται. Ἐκεῖνος γάρ ἐστι καὶ ὁ ὑβρίσας καὶ ὁ μέλλων μὴ διδόναι δίκην ἐκ τῆς συνηγορίας τοῦ Εὐβούλου. Ἀλλ' εἰ μὲν ἑνικῶς ἦν προαγαγὼν, οὐ μεγάλα ἂν ἔδειξεν ἰσχύοντα τὸν Εὔβουλον· τί γὰρ παράδοξον ἕνα τῶν πολιτῶν ἐξελεῖν; νῦν δὲ καταμερίσας τὸ ἓν εἰς πλείονα τὴν δύναμιν ηὔξησε τοῦ Εὐβούλου.

581, 6. Ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν] Ἔδειξεν ἐκ τούτων ὅτι καὶ ἡ πρόφασις τῆς ἔχθρας παρ' Εὐβούλου γέγονεν· εἰ γὰρ προῄρηται κακῶς ποιεῖν, αὐτός ἐστι καὶ ὁ κατάρξας.

581, 7. Ὡς ἔγωγε μὰ τοὺς θεοὺς] Τὴν ὑποψίαν ἀρνεῖται· τὴν γὰρ κακόνοιαν ἀπέδειξε ματαίαν κατ' αὐτοῦ γεγενῆσθαι τὴν φήμην. Εἰκότως τοίνυν ἀγνοεῖν ὑπὲρ ποίας προφάσεως αὐτῷ πολεμεῖν ἔγνωκεν Εὔβουλος.

581, 8. Δύνασαι μὲν καὶ πολιτεύῃ] Τὸ μὲν δύνασαι τυραννικόν· δεδιὼς τὸ ἐγκαλέσαι τυραννίδα προσέθηκε « καὶ πολιτεύῃ, » ὥστε δυναστείαν εἶναι τὴν σὴν πολιτείαν.

Κατὰ τοὺς νόμους δ' ἥντινα βούλει] Παραγραφικῷ ἐπιχειρήματι κέχρηται. Οὐ δεῖ δὲ θαυμάζειν εἰ ἐν ἐπιλόγοις παραγραφικῶς πέπτωκεν. Οὐ γὰρ αὐτοῦ τοῦ ζητουμένου πράγματός ἐστι τὸ παραγραφικὸν, οἷον τῆς ὕβρεως, τῶν πληγῶν, τοῦ δημοσίου ἀδικήματος, ἀλλὰ τῶν ἔξωθεν παραλυπούντων τὴν ὑπόθεσιν. Ἐπειδὴ γὰρ βαρὺς Εὔβουλος συνηγορῶν τῷ Μειδίᾳ, χρῆται παραγραφικῷ πρὸς αὐτὸν, ὅτι « εἰ νομίζεις ἀδικεῖσθαί τι παρ' ἐμοῦ, γράφου καὶ κατηγόρει, μὴ μέντοι τοὺς ἤδη κατηγορηθέντας ἐξαιροῦ. »

582, 2. Κατὰ τὸ ἑτεροσχημάτιστον. S.

582, 9. Ὧν δ' ἐγὼ παρὰ τοὺς νόμους ὑβρίσθην] Φθόνον αὐτῷ κεκίνηκεν, εἴπερ ἔστιν ἐπ' ἐκείνῳ καὶ τοὺς ἤδη κρινομένους ἐκσώζειν· ὁμοῦ δὲ καὶ τοὺς δικαστὰς φιλονείκους πεποίηκε πρὸς τὸν Εὔβουλον. Εἰ γὰρ ἐκεῖνος ταύτην εἶχε τὴν ὑπόνοιαν ὥστε δύνασθαι τῆς τιμωρίας ἐξαιρεῖσθαι τοὺς κρινομένους, πρόδηλον ὅτι φιλονεικήσουσι καὶ καταγνώσονται τοῦ Μειδίου, ὥστε δεῖξαι παρ' αὐτοῖς οὖσαν τὴν δύναμιν τοῦ καὶ ἀφιέναι καὶ κολάζειν, οὐχὶ παρ' Εὐβούλῳ.

582, 14. Πέπεισμαι τοίνυν καὶ Φιλιππίδου] Πληρώσας τὸ μέρος τὸ κατὰ τὸν Εὔβουλον, ὅπερ ἦν ὡς καθ' ὑπεροχὴν, ἐπὶ τοὺς ἄλλους συνηγόρους κεχώρηκεν, οἵτινες καὶ ἥττονος ἀξιώματος μετέχουσι καὶ οὐχ ὁμοίως ἠθικὸν ἀπαιτοῦσι τὸν λόγον. BSYΓCV. Μετὰ τοὺς ἱππέας ἐξήτασε τοὺς περὶ Τιμοκράτην, τῇ διαβολῇ τῆς ποιότητος αὐτὴν τὴν μέλλουσαν παρ' αὐτῶν γίγνεσθαι μαρτυρίαν σαθρὰν ἀπεργαζόμενος. BSY.

582, 17. Ἀξιοῦντας δοθῆναι τὴν χάριν] Δριμέως πάνυ, οἷον, μὴ γὰρ οὐκ ἄξιος θανάτου Μειδίας, μὴ γὰρ οὐκ ἴσμεν ὡς εἰκότως ἀναρπάζοιτ' ἂν, ἀλλ' ἡμῖν δότε τὴν χάριν, ἡμῖν αὐτοῦ τὴν σωτηρίαν δωρήσασθε.

582, 20. Χρήματα δ' αὐτῷ] Τί δυσχεραίνετε πρὸς τὴν ψῆφον, ἣν οἱ νόμοι κομίζουσι λυπεῖ σε Μειδίας τῆς οὐσίας αὐτοῦ στερούμενος; ποίησον αὐτὸν καὶ μετὰ τὴν δήμευσιν πλούσιον, μετάδος αὐτῷ τῶν χρημάτων τῶν σῶν, ἵνα καὶ νόμιμος ὁ δικαστὴς φανῇ καὶ σὺ φίλος εὐνούστατος.

582, 21. Δόντων] Ἀντὶ τοῦ δότωσαν. S.

582, 26. Τὸ δοκεῖν τινες εἶναι δι' εὐπορίαν] Ἀρετὴν μὲν παρ' αὐτοῖς ἤ τι τῶν καλῶν οὐκ εὕροι τις ἄν, τῷ πλούτῳ δὲ καρποῦνται τὴν δόκησιν.

583, 6. Προβολὴ] Πρόσκλησις εἰς τὸ δικαστήριον. BY.

583, 7. Ἀπεχειροτόνησε] Ἀπεψηφίσατο. B.

Οὐκ ἂν ὁμοίως ἦν δεινὸν] Ἀναμιμνήσκει τούτων, ἵνα μείνωσιν ἐπὶ τῆς αὐτῆς γνώμης. Ἄτοπον γὰρ ἐξ ἀρχῆς μὲν χαλεπαίνειν, νυνὶ δὲ τοσούτων ἀποδειχθέντων ὀλιγωρεῖν.

583, 17. Βλεπαίου τοῦ τραπεζίτου] Ἡ γὰρ τέχνη τὴν ὑπόνοιαν ἐνεποίει.

583, 18. Ὡς τοῦτ' ἐκεῖνο] Ὃ πάλιν ἠλπίζομεν ποιήσειν Μειδίαν.

583, 20. Θοιμάτιον] Χιτωνίσκος μὲν τὸ κολόβιον, θοιμάτιον δὲ τὸ τριβώνιον.

583, 26. Ἐν ἱερῷ δὲ] Ὥστε τὸν τόπον διδάξαι τὸ δίκαιον.

584, 6. Καὶ τοὺς ἐπιδημήσαντας] Ὡς ἐν κοινῷ θεάτρῳ τῆς Ἑλλάδος φάσκει γεγενῆσθαι τὴν ὕβριν.

584, 14. Οὐδ' ὥσπερ Ἀριστοφῶν] Οὗτος φορολόγος ὢν κατέσχε παρ' αὐτῷ τὰς δεκάτας τῆς θεοῦ, ἀφ' ὧν ἔδει στεφάνους ποιῆσαι καὶ ἀναθεῖναι τῇ θεᾷ Ἀθηναίων. Κατηγορηθεὶς δὲ ὑπὸ Εὐβούλου φθάσας τὴν εἴσοδον ἀνέθετο τοὺς στεφάνους καὶ πέπαυται ἡ προβολή.

584, 16. Ἐκ τοῦ μηδὲν ὧν πεποίηκεν] Οὐ μὴν ὁ Μειδίας ἣν ἐπεδείξατο ὕβριν κατ' ἐμοῦ καὶ τὰς πληγὰς ἀνακαλέσασθαι δύναται.

584, 21. Οὐδ' ὕβριζε τῇ διανοίᾳ] Τῇ μὲν γὰρ χειρὶ τὸν Δημοσθένην, τῇ δὲ διανοίᾳ τοὺς πάντας. Ὅπου γὰρ ῥήτωρ ὢν ἐγὼ ἐπλήγην, τί ποιήσετε ὑμεῖς οἱ ἧττον ἢ ἐγὼ δίκην λαμβάνειν δυνάμενοι;

Τὸν πρῶτον μετὰ ταῦτα] Πρῶτον τῶν ἄλλων μετ' ἐμέ.

Ἀλλ' ὡς ἐκ πλείστου] Ἕως ἐστὶ πόρρω τῶν δεινῶν ἕκαστος φυλαττέσθω.

Ἐπειδὰν ἀναστῇ τὸ δικαστήριον] Τὸν τόπον ἀντὶ τῶν ἐν τῷ τόπῳ, ἔθος ἀρχαῖον.

Οὐδὲ μεταστρεφόμενος] Τοιοῦτοι γὰρ οἱ φοβούμενοι.

Συντεύξεται] Ἀντὶ τοῦ συνακολουθήσει ἢ μᾶλλον ὑπαντήσει. BY.

Ἐάν τε διακοσίους ἐάν τε χιλίους] Οὐ γὰρ διὰ τὸ πλῆθος, ἀλλὰ διὰ τοὺς νόμους ἰσχύουσιν.

Ἆρ' ἐάν τις ὑμῶν ἀδικούμενος] Περὶ κριτοῦ καὶ νόμων. B.

Ἀνακράγῃ] Λέγων, ὦ νόμοι.

Καὶ μήτε λειτουργίας] Διὰ τὴν τριηραρχίαν « μήτε δὲ ἄνδρα » διὰ τὸν Εὔβουλον λέγει, τὸ δὲ « μήτε τέχνην » διὰ τοὺς συνηγόρους καὶ τὴν ἀπάτην.

Καὶ μάλιστα τοῦ θεοῦ χάριν] Ἀναγκαίως πρὸς τῷ τέλει τοῦ λόγου τοῦ θεοῦ μέμνηται, ἐπειδήπερ τῶν ἀνθρωπίνων τὰ τῶν κρειττόνων ἐστὶ προτιμότερα.

XXII. ΚΑΤΑ ΑΝΔΡΟΤΙΩΝΟΣ.

Ἡ στάσις τοῦ λόγου πραγματική. Πᾶσα γὰρ κατηγορία νόμου ἢ ψηφίσματος ἤ τινος ἐγγράφου, περὶ μέλλοντος ἔχουσα τὴν σκέψιν, πραγματικὴν ποιεῖται τὴν στάσιν.

Βουλὴ οὖν ἐστιν ἐνταῦθα περὶ ἐκδάσεως τοῦ ψηφίσματος, τί ἄρα ἐκδήσεται ἐξ αὐτοῦ ὕστερον, εἴτε ἀγαθὸν εἴτε καὶ ἄλλως. Ἔστι δὲ λόγος δευτερολογία· ὁ γὰρ Εὐκτήμων εἰπὼν πρῶτος ἐν δευτέροις ὁ Διόδωρος λέγει. Διὸ οὔτε προοίμιον ἔχει ὁ λόγος οὔτε διήγησιν διὰ τοιαύτην αἰτίαν, ἐπειδήπερ ἀεὶ τὸ προοίμιον ἕνεκα θεραπείας τῶν ἀκροατῶν λέγεται, ἡ δὲ διήγησις ἕνεκα τοῦ διδάξαι τοὺς ἀκούοντας πῶς ἔχει τὸ τῆς ὑποθέσεως. Τοῦ οὖν πρώτου λέγοντος ἤδη καὶ θεραπεύσαντος τοὺς ἀκροατὰς διὰ τῶν προοιμίων καὶ διδάξαντος τὸ πρᾶγμα διὰ τῆς καταστάσεως, περιττόν ἐστιν ἔτι τὸν δεύτερον λέγοντα αὐτὰ πάλιν εἰπεῖν. Ἰστέον δὲ ὅτι δύο τρόποι εἰσὶ δευτερολογίας, ὅ τε ἐπὶ τῶν ἰδιωτικῶν ἀγώνων καὶ ὁ ἐπὶ τῶν δημοσίων. Γίνονται δὲ ἑκάτερος οὕτως· ἐπὶ μὲν τῶν ἰδιωτικῶν ὁ εἷς κατηγορεῖ τῶν διωκόντων, εἶτα ὁ φεύγων ἀπολογεῖται, εἶτα πάλιν ὁ ἕτερος κατήγορος κατηγορεῖ, εἶτα ὁ φεύγων πάλιν ἀπολογεῖται καὶ πρὸς τοῦτον. Ἐπὶ δὲ τῶν δημοσίων οἱ δύο ἐφεξῆς κατηγόρουν, εἶτα ὁ φεύγων πρὸς τὴν τῶν δύο κατηγορίαν ἀπελογεῖτο. AR.

Οὗτος ὁ λόγος μετὰ τοὺς Φιλιππικοὺς πρῶτός ἐστι τῶν δημοσίων. Ὁμολογεῖ δὲ τὴν ἔχθραν ὁ κατηγορῶν ὡς προαδικηθεὶς, τῇ κατηγορίᾳ ἀμυνόμενος Ἵνα δὲ μὴ δόξῃ μόνος ὡς φιλοπράγμων κατηγορεῖν, δείκνυσιν ὡς καὶ ἄλλον ἠδίκηκε. Προείρηκε γὰρ Εὐκτήμων, καὶ ἔστι δευτερολογία τοῦ Διοδώρου ὁ λόγος· ὅθεν καὶ ἡ κατάστασις ἐπιλέλοιπεν. Εἰδέναι δὲ χρὴ ὅτι ἐν οἷς μὲν ἂν ἐγχωρῇ λανθάνειν, ἀρνησόμεθα τὸ δι' ἔχθραν κατηγορεῖν· ἐν οἷς δὲ ἐπίδηλος ἡ δυσμένεια, τὸ ὁμολογεῖν πιθανώτερον, ἵνα μὴ ἁλῶμεν ἐν τοῖς φανεροῖς οὕτω ψευδόμενοι. Λέγει οὖν· νομοθέτης μοι γέγονεν Εὐκτήμων· πείθομαι τῇ γνώμῃ· ζηλῶ τὸν διδάσκαλον. Μεστὴ δὲ ἤθους ἡ πρότασις φαίνεται, διὰ τὸ ἐὰν ἄρα οἷός τε ὦ. Οὐ γὰρ εἶπε, θαρρῶ πάντως δίκην αὐτὸν εἰσπράξασθαι, ἀλλὰ πειράσομαι ἐὰν ἄρα οἷός τε ὦ. — Κατὰ παράθεσιν δὲ προῆκται τὸ προοίμιον. Ὅθεν ἐγένετο καὶ μακρότερον. Συγκρίνει γὰρ τοῖς γενομένοις κατ' Εὐκτήμονος ἅπερ αὐτὸς ἠδίκηται, καὶ φησὶν, οὗτος μὲν γὰρ εἰς χρήματα ἐπεδουλεύθη.

593, 1. Ὅπερ Εὐκτήμων] Ἡ στάσις πραγματική. — Ὅτι οὗτος ὁ λόγος μετὰ τοὺς Φιλιππικοὺς δεύτερός ἐστι τῶν δημοσίων. — Ὁμολογεῖ τὴν ἔχθραν ὁ κατηγορῶν, ὡς προαδικηθεὶς τῇ κατηγορίᾳ ἀμυνόμενος. B. Ἐνόμισάν τινες τοῦτο εἶναι προοίμιον· οὐκ ἔστι δὲ, δι' ἣν προείπαμεν αἰτίαν, ἀλλὰ προοιμιαστικῆς ἐννοίας, ἵνα μὴ ὥσπερ ἀποτόμως καὶ κατ' ἄκρας εὐθὺς εἰσδάλῃ εἰς τὰ κεφάλαια καὶ τοὺς ἀγῶνας. A.

593, 5. Συμβέβηκε] Τοῦτο ἐνόμισάν τινες εἶναι διήγησιν· οὐκ ἔστι δὲ, ἀλλ' ὥσπερ παραδιηγηματικόν. AR.

593, 8. Οὗτος μέν γε εἰς χρήματα ἐπεδουλεύθη] Ἐπειδὴ ὁ κλέπτων τὰ κοινὰ εἰς ζημίαν χρημάτων βλάπτεται καὶ τῆς οὐσίας ἐκπίπτει, διὰ τοῦτο οὕτως εἴρηκε, καὶ τὸ παρ' ὑμῖν ἀδίκως ἐκπεσεῖν, ὅτι ἐκδέδληται τῆς ἀρχῆς καὶ τῆς ἀπαιτήσεως τῶν εἰσφορῶν. Διὸ καὶ εἶπεν ἀδίκως.

593, 10 Οὐδὲ εἷς] Οὐδὲ τῶν φίλων δηλονότι. TC.

593, 11. Εἰ τὰ κατασκευασθέντα] Δείκνυσι τὴν συκοφαντίαν ἡ λέξις· κατασκευάζει γάρ τις τὰ μὴ ὄντα.

593, 12. Ἃ καὶ λέγειν ἂν ὀκνήσειε] Ὅρα τὴν μόθοδον τοῦ ἃ καὶ λέγειν ἄν. Δι' ὧν γὰρ ὀκνεῖ καὶ παραιτεῖται λέγειν, διὰ τούτων ὡς καθαρὸς ὑπάρχει βοᾷ. Τὸ δὲ πατέρα καὶ τὰ ἑξῆς κατὰ μέρος δεῖ προφέρειν, ἵνα ἐμφαίνῃ τὴν ἀτοπίαν. Τό τε γὰρ ἐγὼ καὶ τὸ ἐμαυτοῦ μάλιστα πολὺ σημαίνει τὸ σέβας· οὐδὲ ἄλλου μὲν πατέρα τολμῶντος ἀποκτεῖναι, τὸν ἐμαυτοῦ πῶς ἂν ἄρα ἐμίσουν; ἔχει γὰρ πολλὴν ἐπίτασιν τῆς αἰδοῦς.

593, 14. Κατασκευάσας] Τὸ μὲν κατασκευάσας ὕποπτον καὶ ὅμοιον τῷ προτέρῳ· τὸ δὲ περὶ τῆς ἀσεβείας τῆς εἰς τοὺς κατοιχομένους τοιοῦτον ἦν· οὐκ ἠδύνατο Ἀνδροτίων φόνου κατηγορίαν κατὰ τοῦ Διοδώρου ποιήσασθαι μὴ ὢν τοῦ πεφονευμένου συγγενής. Αὐτοῖς γὰρ μόνοις ἐπιτρέπουσιν οἱ νόμοι. Γράφεται οὖν τὸν ἀδελφὸν τοῦ ἀνῃρημένου, θεῖον ὄντα τοῦ Διοδώρου, ἀσεβείας, ὅτι συνδιατρίδει αὐτῷ διεφθαρκότι τὸν πατέρα, δέον ἐπεξελθεῖν ὑπὲρ ἀδελφοῦ τεθνηκότος Τὸ δὲ ὂν εἰ συνέδη ὡς πολλῶν καὶ τοιούτων ἐν τοῖς δικαστηρίοις πιστευομένων, κἂν μὴ ᾖ ἀληθῆ. Αὐτὸς δὲ ἐπικρίνει διὰ τοῦ οὐκ ἔστιν οὐδεμία, ὡς ἀποδεχόμενος τὰς πόλεις, εἰ μὴ δέξαιντο.

593, 22. Ἐγὼ τοίνυν ταῦτα] Ἐπειδὴ ἁλόντος τοῦ θείου καὶ αὐτὸς ἔμελλεν ἔνοχος ἔσεσθαι καὶ κινδυνεῦσαι, ἢ ὅτι συνεπόνει τῷ θείῳ γέροντί τε ὄντι καὶ δεομένῳ συνηγόρου. Ἔμφασιν δὲ ἔχει τὸ ἐγώ, οἷον ὁ ἰδιώτης καὶ ἄπειρος περιγέγονα τῷ δικαίῳ τοῦ τεχνίτου τούτου. Τὸ δὲ καὶ τὸν ἄλλον χρόνον, οἱονεὶ ἀθάνατος ἔσομαι τῷ προηδικηκότι κατήγορος. Δι' ὧν δὲ σφοδρῶς ἀγανακτεῖ, διὰ τούτων τὸ μέγεθος ὧν ὑπέστη δηλοῖ. Τὸ δὲ μεθ' ὑμῶν, οἷον μετὰ τῶν ἠδικημένων. Ἐπειδὴ δὲ εἶπεν, ἃ παρέλιπεν Εὐκτήμων ἐρῶ, ἵνα μὴ ἀντιπέσῃ ὅτι συνειδὼς ἄχρηστα παρέλιπεν, ἐπάγει ὅτι ὠφέλιμά ἐστιν ὑμῖν ἀκοῦσαι.

593, 23. Παρὰ μικρὸν] Σημειωτέον τὴν λέξιν, ὅτι ζήλῳ Θουκυδίδου μετερρυθμίσθη. Κἀκεῖνος γὰρ εἶπεν· « ἐνίκησαν παρὰ πολύ » ἀντὶ τοῦ κατὰ πολύ. Οὕτω καὶ ἐνταῦθα ἡ παρά πρόθεσις ἀντὶ τοῦ κατά ἐστίν. AR.

593, 24. Τὸ πέμπτον μέρος] Θεόφραστος ἐν τῷ περὶ νόμων φησὶν ὅτι πεντακοσίων ὄντων τῶν δικαστῶν εἰ ἔλαδε τὸ πλέον μέρος τῶν ψήφων ὁ κατηγορούμενος, οὐδὲν ἔπασχε δεινὸν, ἀλλ' ἀπελύετο· εἰ δὲ ὁ κατήγορος μὴ μετέλαδε τὸ ε' μέρος, ἀλλ' οἱ πλεῖστοι τῷ φεύγοντι ἐψηφίσαντο, πρὸς τῷ ἡττηθῆναι τὴν δίκην τὸν κατήγορον καὶ ἐζημιοῦτο χιλίαις δραχμαῖς, εἰ δὲ μετέλαδε τὸ πέμπτον, ἡττᾶτο μὲν, οὐ μὴν ἐζημιοῦτο. Ἐζητήθη δὲ διὰ τί ὁ Ἀνδροτίων μὴ μεταλαδὼν τὸ πέμπτον μέρος τῶν ψήφων οὐκ ἠτιμώθη, ἀλλὰ χρήματα ἔδωκε, καὶ ταῦτα Λυσίου λέγοντος. Λέγομεν ὅτι ὁ ἐν τρισὶ δικαστηρίοις ἡττώμενος ἐν διαφόροις πράγμασιν, οὗτος ὡς συκοφάντης ἠτιμοῦτο· ὁ δὲ ἐν ἑνὶ, ὥσπερ Ἀνδροτίων, ἐδίδου χιλίας, ὥς φησιν ὁ Γενέθλιος. AR. Οἱ μὴ μεταλαδόντες τὸ πέμπτον μέρος τῶν ψήφων κατετίθεσαν ἐπιτίμιον. Θεόφραστος ἱστορεῖ λέγων οὕτως· « Ἀθήνησιν οὖν ἐν τοῖς δημοσίοις ἀγῶσιν, « ἐὰν μὴ μεταλάδῃ τις τὸ πέμπτον μέρος, χιλίας ἀποτίνει, « καὶ ἔτι πρόσεστί τις ἀτιμία, οἷον τὸ ἐξεῖναι μήτε γρά« ψασθαι παρανόμων μήτε φαίνειν μήτε ἐφηγεῖσθαι. » AR. Ἔθος ἦν παρὰ τοῖς Ἀθηναίοις τὰς δίκας γυμνάζεσθαι πρῶτον παρὰ διαιτηταῖς τισι πρὸ τοῦ εἰσελθεῖν εἰς τὸ δικαστήριον. Τοῦτο δὲ ἐγίνετο, ἵνα μὴ συνεχῶς καθίζωσι δικαστήρια καὶ ἁπλῶς ἐνοχλῶσι τοῖς δικασταῖς. Εἰ δὲ μὴ πέρας ἔσχε παρ' ἐκείνοις, τότε εἰσῄει ἡ δίκη παρὰ τοῖς δικασταῖς. Πάλιν δὲ καὶ διὰ ταύτην τὴν αἰτίαν πάντα ἐποίουν πρὸς τὸ μὴ καθίζειν δικαστήρια, ἵνα μὴ πολλὰ χρήματα ἀναλίσκειν ἡ πόλις ἀναγκάζηται. Ἐλάμβανε γὰρ εἷς ἕκαστος τῶν δικαστῶν ἀπὸ τῆς πόλεως μισθὸν ὑπὲρ τοῦ δικάσαι τριώβολον, ὡς ἔχομεν καὶ παρ' Ἀριστοφάνει (Eq. 255) φράτορας τριωδόλου. AR.

594, 8. Ἐγὼ γὰρ εἰ μὲν ἑώρων] Ταῦτα προοίμια καί τινες ἔννοιαι πρὸ τῶν ἀγώνων διαβάλλουσαι τὸν Ἀνδροτίωνα ὡς ἀπατᾶν θέλοντα, ἵνα μὴ δοκῇ αὐτὸς τοῦτο ποιεῖν ὃ μέμφεται. Οἶδα τὴν τέχνην, οὐκ ἀγνοῶ τὴν ἀπάτην ᾗ μέλλει χρῆσθαι· διὸ προδιδάσκω, ἵνα φυλάξησθε. Εἰς τὸ αὐτό. Μετὰ τὸ προοίμιον ἄρχεται τῆς διαβολῆς τῶν Ἀνδροτίωνος λόγων. Κατάστασιν γὰρ ὁ λόγος οὐκ ἔχει διὰ τὸ γνωρίζεσθαι τὴν ὑπόθεσιν τοῖς ἀκούουσιν. Ἄξιον δὲ ἐπισημήνασθαι περὶ τῆς διαβολῆς ταύτης, ὅτι μέλλων αὐτὸς σοφίζεσθαι τὸν ἀκροώμενον, ἐκ τῆς τοῦ προσώπου ποιότητος τὴν ἐναντίαν ὑπόληψιν ἐργάζεται. Ἔχων γὰρ ἔνδοξον πρόσωπον καὶ γνώριμον ἐκ παιδείας τὸ ἀνταγωνιζόμενον, ἐξ αὐτοῦ λαβεῖν τὴν διαβολὴν ἐπεχείρησεν. Ἀπάγων γὰρ τὸν ἀκροατὴν τῆς καθ' ἑαυτοῦ ὑπονοίας τοῦτο ποιεῖ. Τίς γὰρ οὐκ ἂν ὑπολάβοι τῶν ἀκροατῶν τὸν ἱκανώτερον εἰπεῖν, μᾶλλον ἐξαπατῆσαι προελέσθαι ἢ τὸν ἄπειρον ἀγώνων καὶ λόγων;

594, 11. Ἁπλοῦν] Τὸ ἁπλοῦν τρία σημαίνει· ὡς ἐπὶ ἀριθμοῦ πρὸς ἀντιδιαστολὴν τοῦ διπλοῦ· καὶ ἁπλοῦν τὸ ἐκτὸς κακουργίας· πρὸς τούτοις σημαίνει καὶ τὸ σύντομον. AR.

594, 15. Πάντα τὸν βίον] Ὅρα τὸ πάντα τὸν βίον. Ἐπὶ τὴν προαίρεσιν μετάγει τὴν διαβολὴν ἀποστήσας τῆς τέχνης. Ὅλον γὰρ ἤλασε τὸν βίον εἰς τὸ κατορθῶσαι τῆς ἀπάτης τὴν τέχνην. Ἔστι γὰρ οὗτος τῶν Ἰσοκράτους ἑταίρων ἐπίσημος.

594, 17. Ὀμωμοσμένοις] Ἐγχειρεῖ ἀπὸ τούτου, ὅτι οἱ μέλλοντες δικάσειν ὤμνυον πρότερον δικαίως κρινεῖν, εἶτα ἔκρινον. Less.

594, 22. Ἔστι γὰρ εἷς μὲν] Εἰσβάλλει λοιπὸν ἐντεῦθεν εἰς τοὺς ἀγῶνας καὶ τὸ νόμιμον κεφάλαιον. FLYTP.

Ἔστι γὰρ] Ἐντεῦθεν ἄρχεται τοῦ νομίμου κεφαλαίου. A.

594, 24. Νόμος ἐστί, φησιν] ἐν τῷ « νόμος ἐστίν » ὅρα τὴν οἰκονομίαν τοῦ ῥήτορος. Οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων ταύτης προσδεῖται τῆς τάξεως, ἀλλ' ἡ δεινότης τοῦ ῥήτορος τὴν οὖσαν ἰσχὺν παρεκίνησεν, ἄχρηστον ἐκ τῆς θέσεως ἀποδείξασα. Οἷόν τι λέγω· πρὸς τὸν ὑπὸ τοῦ Διοδώρου προτεινόμενον περὶ τῶν νεῶν νόμον, Οὐκ ἐποιήσατο τὰς τριήρεις ἡ βουλή, τὴν δωρεὰν οὐ δύναται λαβεῖν, ἀπαντᾷ ὁ Ἀνδροτίων εὐθὺς πρὸς τοῦτο ὅτι νόμος ἐστὶν ἕτερος κελεύων, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι δωρεᾶς, διδόναι τὸν δῆμον τὴν χάριν, καὶ οὕτως ἔμελλεν ἰσόρροπος τῶν δύο νόμων ἡ μάχη γίγνεσθαι. Διὰ τοῦτο προϋφαρπάσας ὁ ῥήτωρ ἄχρηστον τὴν μνήμην ἀπέφηνεν. Ὅτι γὰρ μάτην ἐνταῦθα τέθειται καὶ διὰ τὴν εἰρημένην χρείαν, ἵνα μὴ ἀπαιτήσῃ δευτέραν ὁ ἀκροατὴς τοῦ νόμου διήγησιν, δῆλον ὅτι οὐδεμίαν ἀπάντησιν ἢ μάχην ἢ ἀντιλογίαν πεποίηται ΑΛΛΩΣ. Τουτό ἐστιν ὑφαρπάσαι τῶν ἀκροατῶν τὴν ὑπόθεσιν. Τὸν γὰρ νόμον, ὃν ἂν εἰκότως ἀντέθηκεν Ἀνδροτίων τῷ παρὰ Δημοσθένους, μεταθεὶς ἀντεξετάζει πρὸς τὸ ἔθος, οὐ τῆς φύσεως τῶν πραγμάτων τοῦτο δεχομένης, ἀλλὰ τῆς τοῦ ῥήτορος βίας μετακινούσης τὴν τέχνην Ὅρα γὰρ ἐκ παραθέσεως καὶ τὸ σόφισμα. Λεγέσθω δὲ ὁ παρὰ Δημοσθένους λόγος. Νόμος ἐστίν, ἐὰν μὴ ποιήσηται τὰς τριήρεις ἡ βουλή, μὴ λαμβάνειν τὸν στέφανον. Οὐκοῦν τοῦτον Ἀνδροτίων λύει, ἀντιθεὶς καὶ αὐτὸς ἕτερον κελεύοντα, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι δωρεᾶς, διδόναι τὸν δῆμον τὴν δωρεὰν αὐτῇ. Ἀλλ' ἵνα μὴ ἰσόρροπος γένηται τῶν δύο νόμων ἡ μάχη, διὰ τοῦτο ἀναγκαίως τὴν τάξιν αὐτῶν παρεκίνησε, τὴν δεινότητα καὶ τὴν τέχνην ἀντιθεὶς τῇ τοῦ γράμματος ἰσχύϊ· διὰ τοῦτο αἱ προδιαβολαὶ κατὰ Ἀνδροτίωνος, ἵνα Ἀνδροτίων ὁ σοφιζόμενος, ἀλλὰ μὴ ὁ Δημοσθένης, φαίνηται. Ὅτι δὲ σοφίσματος ἕνεκεν τέθειται καὶ ἄχρι τῆς μνήμης μόνον ὁ νόμος, ἵνα μηδὲ δευτέραν ἐξέτασιν ὁ ἀκροατὴς ἐπιζητῇ τοῦ αὐτοῦ νόμου, δῆλον ἐκ τοῦ μηδεμίαν ἀπάντησιν μηδὲ ἀντιλογίαν μήτε μάχην ἰσχυρὰν αὐτῷ γεγενῆσθαι πρὸς αὐτὸν τὸν νόμον.

594, 25. Ταῦτ' ἐπήρετο] Δεύτερον μέρος τῆς ἀντιθέσεως. Σεσόφισται δὲ οὐδὲν ἧττον ἢ τὸ πρότερον. Αὐτὸν γὰρ τὸν Ἀνδροτίωνα ὁμολογοῦντα παρέχει ἐπηρωτῆσθαι τὸν δῆμον καὶ χειροτονίαν γεγενῆσθαι, ἵνα πάλιν τοῦτο τὸ μέρος τῆς ἀντιθέσεως πρὸς λύσιν ἑτέρας ἀντιθέσεως λάβῃ. Μέλλει γὰρ ὕστερον τιθέναι, ἐγὼ δέ, εἰ μὲν ἔδωκα αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα· ἵνα φαίνηται Ἀνδροτίων ἐναντία λέγων αὐτὸς ἑαυτῷ, ἐνταῦθα μὲν ὅτι ἐπηρώτησεν ὁ ἐπιστάτης, ἑτέρωθι δὲ πάλιν ὅτι οὐκ ᾔτησεν. Αὐτὸς γὰρ ἐξελεγχθήσεται ὑπὸ τῶν οἰκείων ῥημάτων ᾐτηκώς, εἴπερ ἡ ἐρώτησις τρόπον τινὰ καὶ αἴτησις. Εἶτα ἡ λύσις ἐπῆκται οὐ πρός τι μέρος, ἀλλὰ πρὸς τὴν διάνοιαν ἅπασαν τῆς ἀντιθέσεως, εἰ κατὰ τὸν νόμον ἔγραφες, ταύτῃ μᾶλλον ἐχρῆν αὐτὸ γενέσθαι τὸ προβούλευμα· ἵνα δοκῇ πρὸς τὸν νόμον ἀπαντῶν ἀποκλείειν Ἀνδροτίωνα μνήμης τοῦ νόμου δευτέρας. Περιττὸς γὰρ δόξει τοῖς ἀκούουσιν, εἴπερ εἰς ἑτέραν χρείαν παραλαβὼν τὸν νόμον ἔτι μνησθείη τοῦ αὐτοῦ νόμου. Τὸ δὲ κατὰ νόμον προστέθειχεν ὁ ῥήτωρ ὡς ὑπὸ τοῦ Ἀνδροτίωνος λεγόμενον, ἵνα εὐπορήσῃ τῆς λύσεως. Φιλεῖ γὰρ τοῦτο ποιεῖν. Ἡ μέντοι λέξις πρὸς ὅλην τείνει τὴν διάνοιαν οὕτως, εἰ κατὰ νόμον ἔγραφες, ταύτῃ μᾶλλον ἐχρῆν γίνεσθαι προβούλευμα.

Ἐπήρετο] Ταῦτα ἠρώτησε, φησίν, ὁ ἐπιστάτης. Ἐπιστάτης δὲ λέγεται εἷς τῶν ι' προέδρων. Ἀφ' ἑκάστης δὲ φυλῆς τῶν ι' προεβάλλοντο ν' ἄνδρες καὶ ἐγίνοντο ὁμοῦ οἱ πάντες φ'. Εἶτα ἐκ τούτων τῶν φ' ἐπληροῦτο ἡ βουλὴ τῶν φ' Οἱ αὐτοὶ δὲ καὶ πρυτάνεις ἐγίνοντο, ἀεὶ τῶν ν' ἀνδρῶν τῶν ἀφ' ἑκάστης φυλῆς κλήρῳ κατὰ διαδοχὴν διοικούντων καθ' ἕκαστον μῆνα, καὶ ἐλέγοντο οἱ πρυτάνεις κυρίως αὐτοὶ οἱ ν' ἐν ἐκείνῳ τῷ μηνί, ἐν ᾧ ἐπρυτάνευον καὶ διῴκουν τὰ τῆς πόλεως. Ἀπὸ δὲ τῶν ν' πάλιν ὁ μείζων προεβάλλετο καὶ ἐκαλεῖτο πρόεδρος, ὡς εἶναι ἐκ τῶν ι' φυλῶν ι' προέδρους. Τούτων δὲ τῶν προέδρων εἷς ἕκαστος αὐτῶν κατὰ διαδοχὴν καθ' ἑκάστην ἡμέραν ἐγίνετο ἐπιστάτης. AR.

Ὁ ἐπιστάτης] Ἐπιστάτης ἄρχων τῶν πρυτάνεων, ὃς προσάγει τῷ δήμῳ τὰς κρίσεις καὶ δοκιμασίας τῶν κοινῶν. BLY.

594, 26. Διεχειροτόνησεν] Ἀντὶ τοῦ ἐσκέψατο. A.

594, 29. Αὐτὸ τοὐναντίον] Τὸ σχῆμα περιτροπή. A.

595, 4. Φήσει τοίνυν] Σεσόφισται ἡ παροῦσα ἀντίθεσις· ἔχειν μέντοι ἀκολουθίαν δοκεῖ πρὸς τὴν ἑτέραν. Ἐγκαλοῦντος γὰρ τοῦ Δημοσθένους, τί δήποτε ἀπροβούλευτον εἰσήνεγκας τὸ ψήφισμα; ἀκολούθως ἀποκρίνεται Ἀνδροτίων, ἔθος ἐστὶ τοιοῦτον· εἰς τὸ ἀπίθανον δὲ τρέπων τὸν λόγον, διοριστικώτερον αὐτὸν εἰσάγει λέγοντα τοῦτον ἁπάσας τὸν τρόπον εἰληφέναι τὰς βουλάς, εἶτα προστιθέντα τὸ καὶ οὐδεμιᾷ γεγενῆσθαι προβούλευμα πώποτε, ἵνα ὁ ἀκροατὴς ἐξ ὧν οἶδε τῷ λέγοντι μάχηται. Τίς γὰρ ἂν Ἀνδροτίωνος ἀνάσχοιτο λέγοντος, μηδεμιᾷ γεγενῆσθαι προβούλευμα ἐν τῷ παρεληλυθότι παντὶ χρόνῳ. Οὐ γὰρ

ἦν εἰκὸς, κειμένου νόμου ἀπροβούλευτον μηδὲν εἶναι ψήφισμα, πάσας τὰς βουλὰς, ὅσα πώποτε εἰλήφασιν, ἄνευ προβουλεύματος εἰληφέναι αὐτὸς εἰδὼς πολλάκις καὶ προβουλεύματα γεγραμμένα. Ἀλλ' εἰ μὲν τέθεικε τὴν ἀντίθεσιν λέγουσαν μετὰ τῆς ἀληθείας τὸ καί τινα εἰληφέναι βουλὴν ἤδη τοῦτον τὸν τρόπον, δύσλυτον ἂν αὐτὸς ἑαυτῷ κατεσκεύασε τὴν ἀντίθεσιν. Πῶς γὰρ ἂν ἔλυσεν; ἢ εἰ καὶ ἔλυσεν, οὐκ ἰσχυρῶς ἂν ἔλυσεν. Ἐπεὶ δὲ τοῦτο ᾔδει συμβὰν ἐπί τινων βουλῶν, διὰ τοῦτο ἐφ' ἅπαντα τὸν χρόνον ἤγαγε τὸν διορισμὸν καὶ ἐφ' ἁπάσας βουλὰς, λέγων μηδεμιᾷ γεγενῆσθαι προβούλευμα πώποτε, ἵν' ἐκ τῆς τῶν ἀκροατῶν μαρτυρίας ἐλεγχθῇ τὸ ἀπίθανον. Ὅθεν καὶ τεθάρρηκεν ἐν τῇ λύσει διορίσασθαι καὶ εἰπεῖν, ἐγὼ δὲ οἶμαι μὴ οὐχὶ λέγειν αὐτὸν ἀλήθειαν.

595, 4. Ἐγὼ δ' οἶομαι μὲν] Ἐνστάσει καὶ ἀντιπαραστάσει ἐνταῦθα κέχρηται, ἐνιστάμενος μὲν πρῶτον καὶ λέγων, μάλιστα μὲν ψεύδεται· οὐδεμίαν γὰρ νομίζω βουλὴν ἀπροβουλεύτως ἐστεφανῶσθαι. Εἶτα ἀντιπαραστάσει· εἰ δὲ καὶ δοίημεν τοῦτο ἀληθὲς εἶναι, ὡς σὺ λέγεις, οὐ καθ' ὃ καὶ ἄλλοι ἡμάρτησαν πρώην, ὀφείλεις καὶ σὺ ἀκολουθῆσαι τῇ ἐκείνων ἁμαρτίᾳ. AR.

595, 8. Οὐ μὴν] Ἐπειδὴ τοῦτο ᾔδει γεγενημένον ἐπί τινων βουλῶν καὶ ἤδη συμβεβηκὸς ἔθηκεν, ἐκ τῆς τῶν πραγμάτων φύσεως καταναγκασθεὶς, καὶ συγκρίνει τὸ ἐπί τινων ἔθος ἐνταῦθα τῷ νόμῳ, καὶ δείκνυσι τὸ γράμμα τῶν ἐθῶν ἰσχυρότερον, ὅτι εἰ καὶ γέγονεν, οὐκ ὀρθῶς πεπραγμένον φαίνεται.

Ἔστι μὲν ὡς ἀπὸ ἔθους ἡ ἀντίθεσις. Ἱκανῶς δὲ καὶ αὕτη διαβέβληται· τὸ γὰρ λέγειν ἁπάσας ἁπαξαπλῶς οὕτως εἰληφέναι τὰς βουλὰς ἀπίθανον τὸν λόγον ἐργάζεται· καὶ τὸ, οὐδεμιᾷ γεγενῆσθαι προβούλευμα πώποτε· ἡ γὰρ ὑπερβολὴ τὴν ἀπιστίαν ἐργάζεται τοῖς ἀκούουσιν· ἡ δὲ λύσις συγκρίνει τὸ ἔθος τῷ νόμῳ καὶ δείκνυσι τὸ γραφὲν τῶν ἐθῶν ἰσχυρότερον. FLYP.

595, 17. Ὥσπερ γὰρ, εἴ τις ἐκείνων προήλω] Στρογγύλον σχῆμα· τοῦτο κεῖται καὶ εἰς τὸν κατὰ Ἀριστοκράτους. B.

595, 18. Λύει ἀντιδιοριζόμενος. RS.

595, 23. Ὁ νόμος, φησὶν, οὐκ ἐᾷ] Αὕτη ἡ πρότασις τῆς ἀντιθέσεως. Ἔστι δὲ τετραμερὴς ἡ ἀντίθεσις. S. Εἰσβολὴ εἰς τὸν δεύτερον νόμον τὸν περὶ τῶν νεῶν. Ὁ νόμος, φησὶν, οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεάν. Ταύτῃ ἀκόλουθος ἦν ἐκείνη, ὥσπερ ἔφαμεν, ἡ λύσις, ἣν ἀπέρριψεν ἄνω ὁ ῥήτωρ, ὡς ἐπεσημηνάμεθα, ὅτι νόμος ἐστὶ κελεύων, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι, καὶ τὰ ἑξῆς Πεποίηκε δὲ τὸν Ἀνδροτίωνα ἐριστικώτερον ἐνταῦθα ἀπὸ τοῦ Δημοσθένους νόμου μαχόμενον, ἵνα ἀπαγάγῃ τὴν διάνοιαν καὶ τοῦ ἀντιδίκου καὶ τῶν ἀκροωμένων τῆς μνήμης τοῦ ἰσχυροτάτου νόμου. Ἔστι τοίνυν τετραμερὴς ἡ ἀντίθεσις. Ταύτης δὲ τὸ μὲν πρῶτον μέρος ἐστὶ κατὰ Ἀνδροτίωνος. Ὁμολογεῖ γὰρ μὴ ἐξεῖναι τῇ βουλῇ τὴν δωρεὰν αἰτῆσαι εἰ μὴ ποιήσαιτο τὰς τριήρεις. Καίτοι γε ἀπίθανον εἶναι δοκεῖ τό τινὰ αὐτὸν καθ' αὑτοῦ τὰ λυποῦντα λέγειν· ἀλλ', ἐπειδήπερ ἠβουλήθη τὸ οἰκεῖον ἰσχυρὸν ὁμολογούμενον καταστῆσαι, διὰ τοῦτο τῇ μαρτυρίᾳ τοῦ ἀντιδίκου χρῆται. Εἶτ', ἐπειδήπερ ἑώρα θαρροῦντα τὸν ἄνδρα τῇ τῶν λόγων τέχνῃ, ὄντα ἐριστικὸν—τοῦτο γὰρ προδιαβάλλων τὸν ἄνδρα εἴρηκε—, διὰ τοῦτο οὐκ ἀπεικὸς ἡγήσατο περιθεῖναι αὐτῷ καὶ λόγους ὁμολογοῦντας, ἵνα φαίνηται δεινὸς εἰπεῖν, ἐξ αὐτῶν τῶν ὁμολογουμένων δῆθεν περιγίνεσθαι φιλονεικῶν διὰ τὴν τέχνην. Τὸ δὲ δεύτερον μέρος ἐστὶ, δοῦναι δέ γε οὐδαμοῦ, φησὶ, κωλύει τὸν δῆμον. Τοῦτό ἐστιν ἐκ διανοίας τοῦ νόμου κατὰ τὸ παρειμένον, ᾧ χρώμενον ποιεῖ ἀντὶ τοῦ νόμου τὸν Ἀνδροτίωνα, διὰ τὴν ἑαυτῷ προσοῦσαν τέχνην. Σοφιστοῦ γὰρ τὰ μὲν κείμενα ἐᾶν, ἐκ δὲ τῶν μὴ κειμένων πειρᾶσθαι συλλογίζεσθαι. Τὸ δὲ τρίτον μέρος ἐστὶν, ἐγὼ δὲ, εἰ μὲν ἔδωκα αἰτούσῃ, καὶ τὰ ἑξῆς. Τὸ δὲ τέταρτον, εἰ δὲ μὴ πεποίημαι μνείαν περὶ τῶν νεῶν, καὶ τὰ ἑξῆς. Τὸ μὲν οὖν πρῶτον μέρος τῆς ἀντιθέσεως οὐ λύει· ὑπὲρ γὰρ ἑαυτοῦ καὶ οὐχ ὑπὲρ Ἀνδροτίωνος κεῖται. Ἀνδροτίωνος γὰρ ὁμολογοῦντος μὴ ἐξεῖναι τῇ βουλῇ τὴν δωρεὰν αἰτῆσαι, εἰ μὴ ποιήσαιτο τὰς τριήρεις, τί ἀντιλέγει πρὸς τοῦτο Δημοσθένης, πλὴν ὅτι ᾔτησε; τοῦτο δὲ πειρᾶται ἐξ αὐτῶν πάλιν τῶν Ἀνδροτίωνος λόγων ἀποδεικνύναι, ὅπερ ἦν τρίτον τῆς ἀντιθέσεως μέρος, ἐχόμενον τῆς πρώτης προτάσεως. Τὸ γὰρ τρίτον μέρος ὥσπερ κατασκευὴ τῆς προτάσεώς ἐστι. Τίς γὰρ ἡ πρότασις; ὁ νόμος οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεάν· ἡ δὲ τρίτη ἐστὶν, ἐγὼ δὲ, εἰ μὲν ἔδωκα αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα. Ταύτην τοίνυν τὴν πρότασιν πρώτην ἐπεχείρησε λῦσαι. Λύει δὲ πρῶτον μὲν ἀπὸ τῆς ποιότητος, ὅτι οἱ πρόεδροι τῆς βουλῆς ἦσαν καὶ ὁ ἐπιψηφίζων ἐπιστάτης τῶν τότε βουλευσάντων ἦν· εἶτα συλλογιστικῶς, εἰ δὲ ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν, δῆλοί εἰσι πραγματευσάμενοι τὴν δωρεάν· εἶτα ἀποδεικτικῶς ἐκ τῶν συμβεβηκότων, πρὸς τοίνυν τούτοις ἔστιν ἃ τοῦ Μειδίου κατηγοροῦντος· εἶτ', ἐπειδὴ καὶ αὐτὰ τὰ συμβεβηκότα ἐδεῖτο ἑτέρας πίστεως, ἐκ τῆς μαρτυρίας τῶν ἀκροατῶν ἐπιστώσατο. Πληρώσας δὲ ταύτην τὴν λύσιν ἐπανῆλθεν ἐπὶ τὸ δεύτερον μέρος τῆς ἀντιθέσεως, ὃ παρέλιπε μὲν διὰ τὸ συγγένειαν ἔχειν τὴν πρώτην πρότασιν τῆς ἀντιθέσεως πρὸς τὴν τρίτην, λύειν δὲ ἐνταῦθα πειρᾶται. Ἔστι τοίνυν ἀρχὴ τῆς λύσεως τοῦ δευτέρου μέρους τῆς ἀντιθέσεως, ὅτι δὲ οὐδὲ τὸν δῆμον ἐᾷ διδόναι, καὶ τὰ ἑξῆς. Πρόσκειται μέντοι γε ἡ αἰτία δι' ἣν τὸ δεύτερον μέρος τῆς ἀντιθέσεως οὐ κατὰ τὴν οἰκείαν τάξιν ἔλυσεν, ἀλλὰ τὸ τρίτον πρῶτον. Ἐπειδὴ γὰρ τὸ μὴ ἐξεῖναι δοῦναι τὸν δῆμον τὴν δωρεὰν οὐχ οἷός τε ἦν δεῖξαι μὴ πρότερον δείξας ὅτι ᾔτησεν ἡ βουλὴ, διὰ τοῦτο πρῶτον συστήσας ὅτι ᾔτησεν, ἐπήγαγε λοιπὸν τὸ μὴ ἐξεῖναι, ὅτι βιασθεὶς ἢ ἐξαπατηθεὶς ὁ δῆμος διὰ τῆς αἰτήσεως καὶ δέδωκε διὰ τοὺς αἰτήσαντας, οὐκ ἐξὸν διδόναι, καὶ οὐ δι' αὑτὸν δεδωκώς. Ὥστε τὸ « περὶ τοίνυν τοῦ νόμου τοῦ « διαρρήδην οὐκ ἐῶντος, » αὕτη ἡ παρὰ Δημοσθένους πρότασις. Ἡ δὲ ἑπομένη ἀντιπρότασις, ἣ καὶ ἀντίθεσίς ἐστιν, ἐντεῦθεν ἄρχεται· ὁ νόμος, φησὶν, οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεὰν, καὶ τὰ ἑξῆς. Χρὴ δὲ εἰδέναι ὅτι ὅταν τις αὐτὸς πρότερος παρέχηται λόγον, τούτῳ τὰ τῆς πίστεως δίχα διαιρεθήσεται· καὶ πρῶτον μὲν τὰς οἰκείας συστήσει προστάσεις, μετὰ ταῦτα δὲ καὶ τὰς λύσεις τὰς παρὰ τῶν ἀντιδίκων. Μᾶλλον δὲ ἑτέρως εἴπωμεν. Τετραπλῆ τις εὑρίσκεται ἡ τῶν ἀγώνων φύσις, ὅταν τις αὐτὸς πρῶτος ποιῆται τὸν λόγον. Ἓν μὲν γάρ ἐστι μέρος προηγούμενον, ἐν ᾧ τις πειρᾶται τὰς οἰκείας προτάσεις συνιστάναι· ἕτερον δὲ, ὅταν τὰ παρακολουθοῦντα ταύταις καὶ παρεπόμενα, ὡς ἀπίθανα ἢ ὡς ἐναντία, ἀναγκαζώμεθα διαλύειν, ὥστε ἰσχυρὰς γενέσθαι τὰς προτάσεις· καὶ τοῦτο γίνεται συστάσεως ἕνεκα τῶν ἡμετέρων λόγων. Ἐνταῦθα δὲ ἡ πλείων μάχη πρὸς τὰ ἀντιπαρατεινόμενα παρὰ Ἀνδροτίωνος εἰς ἀναίρεσιν τῶν προηγου-

μένων. Συναγωνίζεται οὖν τῷ Εὐκτήμονος λόγῳ· ὅταν γὰρ ἐκβάλλῃ τὰ πρὸς ἀναίρεσιν τῶν προηγουμένων παρὰ Ἀνδροτίωνος κομιζόμενα, ἄδηλος ἔσται ὑπὲρ τῶν οἰκείων προτάσεων διατεινόμενος. Τὸ δὲ « δοῦναι δέ γε » ἔστι τὸ ἐκ διανοίας τοῦ νόμου κατὰ τὸ παρειμένον, ᾧ χρώμενον ποιεῖ ἀντὶ νόμου τὸν Ἀνδροτίωνα, διὰ τὴν αὐτῷ προσοῦσαν τέχνην· σοφιστοῦ γὰρ τὸ τὰ μὲν κείμενα ἐᾶν, ἐκ δὲ τῶν μὴ κειμένων πειρᾶσθαι συλλογίζεσθαι.

595, 26. Ἐγὼ δὲ, εἰ μὲν ἔδωκα αἰτούσῃ] Ἐν τοῖς προάγουσιν ἔλεγε, ταῦτ' ἐπήρετο, φησὶν, ὁ ἐπιστάτης καὶ τὰ ἑξῆς. Ἐνταῦθα δέ φησιν, εἰ μὲν ἔδωκα αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα. Πῶς γὰρ ἐνδέχεται τὸν ὁμολογήσαντα ἐπὶ τῆς προτέρας ὅτι ἐπήρετο ὁ ἐπιστάτης καὶ διεχειροτόνησεν ὁ δῆμος, πάλιν ἐνταῦθα λέγειν, οὐκ ᾔτησα οὐδὲ παρὰ τὸν νόμον εἴρηκα; δεινότητος οὖν τοῦτο τὸ δεῖγμα καὶ μεθόδου τῆς περὶ τὰς ἀντιθέσεις. Διὰ τοῦτο τὴν μὲν μνήμην τοῦ [ἰσχυροτάτου] νόμου παρῆκεν. Πεποίηκε δὲ Ἀνδροτίωνα ἐριστικώτερον ἀπὸ τοῦ Δημοσθένους νόμου μαχόμενον, ἵνα ἀπαγάγῃ τὴν διάνοιαν καὶ τοῦ ἀντιδίκου καὶ τῶν ἀκροωμένων τῆς μνήμης τοῦ ἰσχυροτάτου νόμου. Ὁμολογοῦντα δὲ ἐνταῦθα ποιεῖ τὸν Ἀνδροτίωνα ὅτι οὐκ ἔξεστιν αἰτεῖν, ἵνα τοῦτο ἀποδείξας ἕλῃ αὐτόν. Καὶ ἔστι τὸ πρῶτον μέρος κατὰ τοῦ Ἀνθροτίωνος τῆς ἀντιθέσεως· ὁμολογεῖ γὰρ μὴ ἐξεῖναι τῇ βοκλῇ τὴν δωρεὰν αἰτῆσαι, εἰ μὴ ποιήσαιτο τὰς τριήρεις. Καίτοι γε ἀπίθανον εἶναι δοκεῖ τὸ τινὰ αὐτὸν καθ' αὑτοῦ τὰ λυποῦντα λέγειν· ἀλλ' ἐπειδήπερ ἐβουλήθη τὸ οἰκεῖον ἰσχυρὸν ὁμολογούμενον καταστῆσαι, διὰ τοῦτο τῇ μαρτυρίᾳ τοῦ ἀντιδίκου χρῆται. Ἐπειδὴ γὰρ ἑώρα θαρροῦντα τὸν ἄνδρα τῇ τῶν λόγων τέχνῃ, ὄντα ἐριστικὸν—τοῦτο γὰρ αὐτὸν προδιαβάλλων εἴρηκε—, διὰ τοῦτο οὐκ ἀπεικὸς ἡγήσατο παραθεῖναι αὐτῷ καὶ λόγους ὁμολογοῦντας, ἵνα φαίνηται ὁ δεινὸς εἰπεῖν ἐξ αὐτῶν τῶν ὁμολογουμένων περιγίγνεσθαι φιλονεικῶν διὰ τὴν τέχνην.

Εἴποι ἄν τις· τί γὰρ ἐν αὐτῷ ἦν τὸ δοῦναι; Λέγομεν ὅτι ἔδωκα λέγει ἀντὶ τοῦ αἴτιος ἐγενόμην τοῦ δοῦναι τὸν δῆμον τῇ βουλῇ τὸν στέφανον αἰτούσῃ. Ὅρα πῶς ἀφελῶς ἐνταῦθα περιέθηκε τὸ ῥῆμα τῷ Ἀνδροτίωνι τῷ εἰπεῖν ὅτι αἰτούσῃ, ἵνα δόξῃ ὥσπερ ἐναντία ἑαυτῷ λέγειν ὁ Ἀνδροτίων ἐν οἷς λέγει μετὰ μικρὸν ὅτι οὐκ ᾔτησα. AR.

595, 27. Εἰ δὲ μὴ πεποίημαι μνείαν] Τὸ ὅτι ᾔτησε πειρᾶται ἀποδεικνύναι, ὅπερ ἦν τρίτον τῆς ἀντιθέσεως μέρος. Καὶ πρῶτον δείκνυσιν ἀπὸ τῆς ποιότητος. S. Ἀνδροτίωνος ὁμολογοῦντος μὴ ἐξεῖναι τῇ βουλῇ τὴν δωρεὰν αἰτῆσαι, εἰ μὴ ποιήσαιτο τὰς τριήρεις, τί ἀντιλέγει πρὸς τοῦτο Δημοσθένης, εἰ μὴ ὅτι ᾔτησε; διόπερ τὸ μὲν ὁμολογούμενον παρὰ Ἀνδροτίωνος ὡς ἀναμφισβήτητον παρῆκε, τὸ δὲ ὅτι ᾔτησε πειρᾶται ἐξ αὐτῶν πάλιν τῶν Ἀνδροτίωνος ῥημάτων ἀποδεικνύναι. Ἦν μὲν οὖν ἡ πρώτη πρότασις, ὁ νόμος οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεάν· ἡ δὲ τρίτη ἐστὶν, ἐγὼ δὲ, εἰ μὲν ἔδωκα αἰτούσῃ, παρὰ τὸν νόμον εἴρηκα. Ταύτην τοίνυν τὴν πρότασιν πρῶτον ἐπεχείρησε λῦσαι. Λύει δὲ πρῶτον μὲν ἀπὸ τῆς ποιότητος, ὅτι οἱ πρόεδροι τῆς βουλῆς ἦσαν, καὶ ὁ ἐπιψηφίζων ἐπιστάτης τῶν τότε βουλευσάντων ἦν· εἶτα συλλογιστικῶς, εἰ δὲ ἠρώτων καὶ διαχειροτονίαν ἐδίδουσαν, δῆλοί εἰσι πραγματευσάμενοι τὴν δωρεάν. Τοῦτο δὲ ἦν ὃ κατεσκεύασεν ἐν τῇ κατ' ἀρχὰς ἀντιθέσει, ταῦτ' ἐπήρετο λέγων ὁ ἐπιστάτης, διεχειροτόνησεν ὁ δῆμος. Πρὸς δὲ τὸ, καίτοι τούς γε μὴ αἰτοῦντας, ἔστιν εἰπεῖν ὅτι συλλογιστικῶς ἀποφαίνει τὴν ἐρώτησιν ἀπὸ τοῦ τέλους. Εἰ γὰρ τὸ αἰτῆσαι διὰ τὸ λαβεῖν γίνεται, καὶ ἡ ἐρώτησις δὲ τούτου χάριν προῆκται, ὅμοιον ἄρα τῷ αἰτῆσαι τὸ ἐρωτῆσαι. Εἰ τοίνυν τὸ αἰτῆσαι νόμος κωλύει, ὅμοιον ἄρα ὂν καὶ τὸ ἐρωτᾶν κεκώλυκε.

596, 4. Διαχειροτονίαν] Διάσκεψιν συλλογιστικήν. RS.

596, 8. Πρὸς τοίνυν τούτοις] Ἐπειδὴ καὶ αὐτὰ τὰ συμβεβηκότα ἐδεῖτο ἑτέρας πίστεως, ἐκ τῆς μαρτυρίας τῶν ἀκροατῶν ἐπιστώσατο εἰπὼν, « καὶ ταῦτα οὐ παρ' ἐμοῦ δεῖ μανθάνειν τοὺς δικάζοντας ὑμᾶς, » καὶ τὰ ἑξῆς. Λύειν δὲ ἐνταῦθα πειρᾶται, « ὅτι οὐδὲ τὸν δῆμον ἐᾷ διδόναι ὁ νό- « μος μὴ ποιησαμένῃ τὰς ναῦς, καὶ τοῦτο ἐπιδείξω. » Ἐπειδὴ δὲ τὸ δοῦναι [οὐκ ἐξὸν] τὸν δῆμον τὴν δωρεὰν οὐχ οἷός τε ἦν δεῖξαι μὴ πρότερον δείξας ὅτι ᾔτησεν ἡ βουλὴ, διὰ τοῦτο πρῶτον συστήσας ὅτι ᾔτησεν, ἐπήγαγε λοιπὸν τὸ μὴ ἐξεῖναι, ὅτι βιασθεὶς καὶ ἐξαπατηθεὶς ὁ δῆμος διὰ τῆς αἰτήσεως, καὶ δεδωκὼς διὰ τοὺς αἰτήσαντας, οὐκ ἐξὸν διδόναι, καὶ οὐ δι' ἑαυτὸν δεδωκώς. Ἀπόδειξις δὲ τοῦ αἰτῆσαι αὐτούς. Εἰ γὰρ ἠξίωσεν ἡ βουλὴ μὴ ἀφαιρεθῆναι, ἠξίωσε πάντως λαβεῖν. Διὸ καὶ τὸν πόθον δηλῶν εἶπεν, ἀναπηδῶντες οὕτως ἐταράχθησαν, δεδιότες μὴ ἀφαιρεθῶσι τοῦ γέρως. Τὸ δὲ « ὅτι δὲ οὐδὲ τὸν δῆμον » ἔστιν ἄλλο μέρος τῆς ἀντιθέσεως, ἔνθα εἶπε, « δοῦναι δέ γε οὐδαμῶς κωλύει τὸν δῆμον. » Ἀναιρεῖ δὲ καὶ τοῦτο ἀναλόγως οὕτως, εἰ ὁμολογεῖται ὅτι αἰτεῖν κεκώλυται, πολλῷ πλέον ἀπείρηται τὸ δοῦναι, ὃ τοῦ αἰτεῖν ἐστιν ἰσχυρότερον.

596, 9. Ἀποδεικτικῶς ἀπὸ τῶν συμβεβηκότων. S.

596, 14. Πρὸς τὸ β' μέρος τῆς ἀντιθέσεως. S.

596, 23. Τὰς τριήρεις οὐ πεποίησαι] Ἐνταῦθα λοιπὸν ἀναιρεῖ ἐκ περιουσίας, ὅτι καὶ ἐν τοῖς ἄλλοις εἰ καλῶς ἡ βουλὴ βουλεύσει, μὴ ποιήσεται δὲ τὰς τριήρεις, οὐ λήψεται δικαίως τὸν στέφανον.

Ἀποστροφὴ ὡς ἀπὸ τοῦ νομοθέτου· τὸ δὲ σχῆμα μάχη. Τὸ δὲ « ὅπου δὲ αἰτεῖν οὐκ ἐᾷ, » τοῦτο οὐκέτι ὡς ἀπὸ τοῦ νομοθέτου, ἀλλ' ὡς ἀπ' αὐτοῦ τοῦ ῥήτορος. A.

596, 25. Ἄξιον τοίνυν] Τοῦτο τὸ ἐπιχείρημά ἐστι γνώμη νομοθέτου. Ἐξετάζει γὰρ γνώμην τοῦ νομοθέτου, δι' ἣν αἰτίαν καὶ τί σκοπῶν οὕτως ἔγραψε τὸν νόμον. Οὐ γάρ ἐστι κεφάλαιον. AR. Πρὸς τὸ δ' μέρος τῆς ἀντιθέσεως. S.

Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Τοῦτό ἐστι πρὸς τὸ τέταρτον μέρος τῆς ἀντιθέσεως, ἀλλ' ἕτερ' ἄττα λέγω, δι' ἃ τὴν βουλὴν στεφανῶ. Ἔστι δὲ τοῦτο τὸ μέρος τῆς ἀντιθέσεως ἄντικρυς πρὸς τὸν προκείμενον Ἀνδροτίωνος νόμον, τὸν κελεύοντα, ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι, δωρεὰν αἰτεῖν. Ἀλλ' ἐπειδὴ μέγιστα ἰσχύειν ἐδόκει τὸ γράμμα καὶ ἡ τοῦ νόμου φωνὴ, διὰ τοῦτο πρὸς τὸν Ἀνδροτίωνος λόγον μάχεται. Οὐχ ὅμοιον γὰρ ἦν νόμον νόμῳ μάχεσθαι καὶ νόμον Ἀνδροτίωνος φωνῇ καὶ λόγῳ. Τοῦ μὲν γὰρ ἡ ἰσχὺς ὁμοία, τοῦ δὲ ὁ λόγος πάμπολυ ἀσθενέστερος. Ἡ δὲ λύσις ἀπὸ τοῦ συμφέροντος. Ἔχει δὲ τὴν ἐργασίαν ἑκατέρωθεν, ἀπό τε τῶν ἐνδόξων καὶ τῶν ἐναντίων· ἐνδόξων μὲν, λαμπρότητος καὶ κατορθωμάτων, ἐν οἷς ἡ χρεία τῶν τριήρων δέδεικται ὅση, ἀδόξων δὲ, συμφορᾶς καὶ ἥττης τοῦ δήμου καὶ τῆς τῶν τριήρων σπάνεως. Θαυμάσαι δὲ ἄξιον τῆς δεινότητος τὴν ὑπερβολὴν, ὅτι πρὸς τὸν νόμον ἀπαντῶν καὶ ἀγωνιζόμενος, κρύπτει τὸν νόμον, πόρρω που κατατάξας αὐτὸν τοῦ παρόντος λόγου, ὅπως ὡς ἄοπλόν τινα καὶ ψιλὸν συμμάχων τὸν ἀντίδικον ἕλῃ. Ὃ τοίνυν ὡς προηγούμενον κεφάλαιον ἦν Ἀνδροτίωνος,

τοῦτο καθ' ὑπερβολὴν καὶ ὡς μέρος ποιησάμενος λόγου καθεῖλε τῇ οἰκείᾳ μεταχειρίσει· καὶ οὐκ ἀνεῖλε μόνον, ἀλλὰ καὶ διέλυσε, δεῦρο μὲν θεὶς ψιλοὺς τοὺς λόγους, ἑτέρωθι δὲ μεταστήσας τὸν νόμον.

597, 3. Θάτερα] Ἀντὶ τοῦ φαῦλα. A.

597, 4. Ἵνα μηδὲν εἴπω φλαῦρον] Τὸ φιλόπολι τοῦ ἀνδρός ἐστι θαυμάζειν, ὅτι καὶ λόγῳ μόνον δυστυχεῖν τὴν πόλιν οὐ βούλεται.

597, 8. Εἰ βούλεσθε] Τὸ σχῆμα ἀποκοπή. Λείπει γὰρ τὸ ἀκούσατε. A.

Οἱ τὰ προπύλαια καὶ τὸν παρθενῶνα] Προπύλαια λέγονται οἱ μέγιστοι πυλῶνες τῶν ἱερῶν. Παρθενὼν ναὸς ἐν τῇ ἀκροπόλει παρθένου Ἀθηνᾶς, περιέχων ἄγαλμα τῆς θεοῦ, ὅπερ ἐποίησε Φειδίας ὁ ἀνδριαντοπλάστης ἐκ χρυσοῦ καὶ ἐλέφαντος. Γ' γὰρ ἀγάλματα ἦν ἐν τῇ ἀκροπόλει τῆς Ἀθηνᾶς ἐν διαφόροις τόποις· ἓν μὲν ἐξ ἀρχῆς γενόμενον ἐξ ἐλαίας, ὅπερ ἐκαλεῖτο πολιάδος Ἀθηνᾶς, διὰ τὸ αὐτῆς εἶναι τὸν πόλιν. Δεύτερον δὲ τὸ ἀπὸ χαλκοῦ μόνον, ὅπερ ἐποίησαν νικήσαντες οἱ ἐν Μαραθῶνι. Ἐκαλεῖτο δὲ τοῦτο προμάχου Ἀθηνᾶς. Τρίτον ἐποιήσαντο ἐκ χρυσοῦ καὶ ἐλέφαντος, ὡς πλουσιώτεροι γενόμενοι, ἀπὸ τῆς ἐν Σαλαμῖνι νίκης, ὅσῳ καὶ μείζων ἡ νίκη· καὶ ἐκαλεῖτο τοῦτο παρθένου Ἀθηνᾶς. AR.

597, 11. Πάντες] Δηλονότι ὡς παῖδες ὄντες καὶ ἀπόγονοι ἐκείνων τῶν ταῦτα πραξάντων. A.

597, 17. Εἶεν] Παρακελευσματικὸν τὸ σχῆμα, ὡς ἀναμιμνησκομένου τὰ ἐφεξῆς, ἃ δόξει καὶ οὕτως σχεδιάζειν καὶ μὴ ἐσκεμμένως. AR.

597, 18. Ἑοράκατε] Πάλιν λείπει τὸ ἀκούσατε. A.

597, 25. Πόσα δεινὰ] Τὸ σχῆμα ὑπερβολὴ κατὰ παρένθεσιν. A.

597, 29. Παρέστησαν] Ἀντὶ τοῦ ἐχειρώθησαν, ἑάλωσαν. AL.

Τὸ ναυτικὸν] Ἐν Αἰγὸς Ποταμῷ ἐπιθέμενος ὁ Λύσανδρος ἔλαβεν αὐτὸ, ὡς ἤδη ἔγνωμεν πᾶσαν τὴν ἱστορίαν ἐν τῷ Εὐαγόρᾳ Ἰσοκράτους. Τότε γάρ ἐστιν, ὅτε καὶ ταῖς ἰδίαις χερσὶ κατηνάγκασεν ὁ Λύσανδρος τοὺς Ἀθηναίους κατασκάψαι τὰ ἴδια τείχη, καταλύσας αὐτῶν τὴν δύναμιν ἐν Αἰγὸς Ποταμῷ. Καὶ οὕτω πέρας ἔσχεν ὁ Πελοποννησιακὸς ὁ καὶ Δεκελεικὸς λεγόμενος πόλεμος, καὶ οἱ Λακεδαιμόνιοι κατέστησαν τῶν λ' ὀλιγαρχίαν ἐν ταῖς Ἀθήναις, ἐξ αὐτῶν τῶν Ἀθηναίων τινὰς ὀλιγαρχίᾳ χαίροντας. AR.

598, 2. Τὸν τελευταῖον] Ὁ γενόμενος περὶ Κέρκυραν, οὗ καὶ μέμνηται Ξενοφῶν ἐν τῇ ζ' (c. 6, 2) τῶν Ἑλληνικῶν. AR.

598, 4. Ὀρόβους] Ὄροβος εἶδος κριθῆς. B

Ἴστε ὀρόβους ὄντας ὠνίους] Ἐκ τούτου δηλοῖ ἐσχάτην ἀπορίαν· ὄροβος γὰρ εἶδος κριθῆς οὐδεμιᾶς τιμῆς ἄξιον, ὃν βόες ἐσθίουσι καὶ ἐρέπτουσι. P.

598, 20. Ἀκούω δ' αὐτὸν] Ἐπὶ μεταστατικὴν ἀντίθεσιν χωρεῖ. Μετάστασις δέ ἐστιν, ὅταν ἐγκαλούμενός τις περί τινος ἐγκλήματος ὁμολογῇ μὲν τὸ ἁμάρτημα γεγενῆσθαι, μεταφέρῃ δὲ αὐτὸ εἰς ἄλλον, ἐλευθερῶν ἑαυτὸν, ὥσπερ καὶ ἐνταῦθα εἰσάγει τὸν Ἀνδροτίωνα ἁμάρτημα μὲν γεγενῆσθαι τὸ μὴ ποιῆσαι τὰς τριήρεις ὁμολογοῦντα, μεταφέροντα δὲ τὴν αἰτίαν ἐπ' ἄλλον τινὰ, λέγων δὴ τὸν ταμίαν, τὸν ὥσπερ ἀποδέκτην τῶν χρημάτων τῶν ἀναλισκομένων τοῖς κατασκευάζουσι τὰς τριήρεις, φάσκων αὐτὸν δεξάμενον τὰ χρήματα πεφευγέναι. A.

Ἀκούω δὲ] Ἀντίθεσις δικαιολογικὴ Ἀνδροτίωνος, ὡς ἔχειν τὸν λόγον κεφάλαια δύο, τὸ νόμιμον καὶ τὸ δίκαιον. Ἔστι δὲ μεταστατικὴ, τὴν αἰτίαν ἀπὸ τῆς βουλῆς ἐπὶ τὸν ταμίαν μετάγουσα. Τινὲς δ' ᾠήθησαν ἐκ δυοῖν στάσεων συνεστηκέναι τὴν ἀντίθεσιν, μεταστάσεως καὶ συγγνώμης. Ἔοικε δὲ μεταστατικὴ τυγχάνειν μᾶλλον. Καὶ γὰρ καὶ ἐν τῷ περὶ στεφάνου τὰ περὶ Χαιρώνειαν ἀναφέρων ἐπὶ τὴν τύχην, οὐχὶ συγγνωμονικῶς, ἀλλὰ μεταστατικῶς ἔοικε τὰ λυποῦντα λύειν. Ὅθεν χαρακτηρίζειν ἂν εἴη λοιπὸν, τί μέν ἐστι συγγνώμη, τί δὲ μετάστασις. Ὅσα μὲν οὖν αὐτοὶ φαινόμεθα ποιοῦντες, εἰδότες μὲν ὅτι ἄτοπα, ὅμως δὲ ποιοῦντες, δι' ἀνάγκην ἰσχυροτέραν ἐπείγουσαν, ἢ καὶ κατὰ ἄγνοιαν ἄλλως ἢ δι' εὐήθειαν, ταῦτα ἂν εἴη συγγνώμης· ὅσα δὲ φαινόμεθα μήτε λέγοντες μήτε πράττοντες τῷ κωλύεσθαι ὑπό τινος κρείττονος, ἢ καὶ ἄλλου τινὸς ἑτέρου αἰτίου ἐν ᾧ τὰ τῆς ἐξουσίας ἐστὶν, ταῦτα ἂν εἴη τῆς μεταστάσεως. Τὸ δὲ πένθ' ἡμιτάλαντα ἀντὶ τοῦ πέντε παρὰ ἡμιτάλαντον, ὡς εἶναι τέτταρα καὶ ἥμισυ· καὶ τοῦτο συνίσταται ἐκ τοῦ σταθμοῦ παρ' Ἡροδότῳ.

Ἀκούω δ' αὐτὸν] Πρὸς μὲν τὰ προτεινόμενα παρὰ τοῦ Δημοσθένους οὐδένα λόγον ἡ ἀντίθεσις ἔχει, ὑπὲρ δὲ τοῦ Ἀνδροτίωνος ἔξωθεν τῶν προειρημένων πίστεων εἰσῆκται, σεσοφισμένη καὶ αὐτὴ τῶν προειρημένων οὐχ ἧττον· ὅρα γὰρ ὅτι καὶ ὁμολογεῖ δι' αὐτῆς Ἀνδροτίων τὸ δεῖν γίγνεσθαι τὰς ναῦς, καὶ τὸ συμφορᾷ κεχρῆσθαι τὴν βουλὴν περιπεσοῦσαν ἀβουλήτου ἀνδρὸς πονηρίᾳ. FLYP.

598, 23. Ἀποδρὰς ᾤχετο] Ἐκ παραλλήλου τὸ αὐτὸ σημαίνει. Τὸ δὲ ἰδίωμα Ἀττικόν. A.

598, 24. Καὶ τὸ πρᾶγμα ἀτύχημα] Πάλιν τοῦτο ὁ ῥήτωρ τῇ ἀντιθέσει προσέθηκεν, ἵνα ἐξ αὐτοῦ τὴν λύσιν ἐργάσηται λέγων· ἠγνόησας οὖν ὅτι συμφορᾶς οὐκ εἰσὶν, ἀλλὰ κατορθωμάτων οἱ στέφανοι. FLYTP. Ἡ λύσις ἠθικὴ μὲν ὡς ἐν χλευασμῷ, οὐδὲν δὲ ἧττον μεταληπτική. FLSYP.

598, 29. Οὔ φημι δίκαιον εἶναι] Πειρᾶται δεικνύναι τὸν ἀντίδικον λέγοντα αὐτῷ τἀναντία. Συγκρίνει δὲ τήν τε ἐκ τοῦ νομίμου πάλαι ῥηθεῖσαν ἀντίθεσιν καὶ ταύτην. Ἐν μὲν γὰρ ἐκείνῃ προείρηται κατὰ νόμον ἐστεφανῶσθαι τὴν βουλὴν, ἐν ταύτῃ δὲ, ὅτι προείλετο μὲν ποιῆσαι τὰς ναῦς, ἐκωλύθη δὲ ἀποδράντος τοῦ τῶν τριηροποιῶν ταμίου. Εἰκότως οὖν τὰς ἐναντιώσεις ἐθήρευσεν. Ἔστι δὲ οὐδὲν ἧττον καὶ τοῦτο σόφισμα. Τί γὰρ κωλύει τὸν Ἀνδροτίωνα ποτὲ μὲν δεικνύειν ὅτι κατὰ τὸν νόμον εἴληφεν ἐφ' ἑτέροις τὴν δωρεὰν, καὶ πάλιν περὶ τῶν τριήρων οὔσης τῆς μάχης μεθιστάναι τὴν αἰτίαν ἐπὶ τὸν ταμίαν;

599, 6. Χωρὶς δὲ τούτων] Τῇ ἐκβάσει λέγει πάλιν, καὶ ἀνακτέον τὴν ἔκβασιν εἰς τὸ συμφέρον. FLRSTYP.

599, 14. Πικρῶς καὶ ἁπλῶς] Πικρῶς ἐν τῷ κολάζειν, ἁπλῶς δὲ ἐν τῷ χωρὶς κακουργίας ἀκούειν.

Πικρῶς μὲν ἀντὶ τοῦ δικαίως, ἁπλῶς δὲ ἀντὶ τοῦ ἀπανουργεύτως. A.

599, 19. Ὅτι τοίνυν] Τετάρτῃ κέχρηται λύσει τῇ περιτροπῇ, οὐδὲν ἧττον καὶ αὐτῇ μεταστατικῇ. FLRS YTP.

599, 22. Τὸ δὲ « ἀνελοῦσα γὰρ ἡ βουλὴ τὸν νόμον τοῦτον » οὕτω συντάσσεται. Εἰ μὲν εἰς τὸ τοῦτον στίξωμεν, ἔσται ὁ νοῦς τοιοῦτος, ὑπερβᾶσα γὰρ ἡ βουλὴ τοῦτον τὸν νόμον, τὸν οὐκ ἐῶντα, εἰ μὴ γένοιντο αἱ τριήρεις, τιμᾶσθαι, ἐχειροτόνησεν αὑτὴν, ἀντὶ τοῦ ἐστεφάνωσεν ἑαυτήν. Ἐὰν δὲ στίξωμεν ἄχρι τοῦ τὸν νόμον, τοιοῦτόν ἐστι, καταφρονήσασα ἡ βουλὴ τοῦ νόμου κελεύοντος γνώμῃ

τοῦ δήμου χειροτονεῖσθαι τὸν ταμίαν, αὐτὴ ἑαυτῇ τοῦτον ἐχειροτόνησε καθ' ἑαυτήν φησι· καὶ ἔστιν αὕτη ἡ ἐξήγησις προσφυεστέρα μᾶλλον τῆς πρώτης, ὑπαιτίαν ποιοῦσα τὴν βουλήν.

599, 23. Ἔτι τοίνυν] Τὸ δίκαιον ἐνταῦθα πεπλήρωται κείμενον ἐν μέσῳ τῶν δύο μερῶν τοῦ νομίμου. Τὸ δὲ δευτέρον μέρος τοῦ νομίμου ἐντεῦθεν ἄρχεται, ὃ μόνον θεωρεῖται περὶ τὸ πρόσωπον. RS.

Ἔτι τοίνυν ἐπιχειρεῖ λέγειν] Τὸ δεύτερον μέρος τοῦ νομίμου ἐντεῦθεν ἄρχεται, ὃ μόνον θεωρεῖται περὶ τὸ πρόσωπον. FY. Τρίτος οὗτος νόμος ἄτιμον εἶναι λέγων τὸν Ἀνδροτίωνα, ὡς ἡταιρηκότα, ὃν ἐκεῖνος κατὰ μετάληψιν ἀνατρέπειν πειρᾶται. FYP.

Ἡ πρότασις παραγραφική· οὐκ ἐχρῆν σε ἡταιρηκότα γράφειν. Ἡ δὲ πρὸς ταύτην ἀντίθεσις, δυσφημεῖν προήρησαι καὶ ὑβρίζειν, ὅταν ταῦτα λέγῃς, Διόδωρε· εἰ γὰρ ἐξελέγχειν εἶχες, ἔδει πρὸς τοὺς θεσμοθέτας ἀπαντᾶν καὶ παρ' ἐκείνοις κατηγορεῖν. Οὐκοῦν ἡ μὲν πρότασις τοῦ Δημοσθένους παραγραφική, ἡ δὲ ἀντίθεσις ἡ παρὰ Ἀνδροτίωνος μεταληπτική. Ἡ δὲ λύσις τῆς ἀντιθέσεως ἡ παρὰ Δημοσθένους πάλιν μεταληπτική· ἡ γὰρ μετάληψις οὐκ ἀντιλήψει μόνον, ἀλλὰ καὶ μεταλήψει λύεται· εἰσάγει δὲ αὐτὴν ὁριστικῶς τεχνολογῶν περί τε λοιδορίας καὶ ἐλέγχου καὶ ὁριστικῶς περὶ ἑκατέρου διαλεγόμενος. Σόφισμα δὲ τὸ γιγνόμενον. Ἐπειδὴ γὰρ ἄντικρυς οὐκ ἔχει διελέγχειν οὐδὲ διαρρήδην δεικνύειν τοιοῦτον ὄντα τὸν Ἀνδροτίωνα, βούλεται διὰ τῶν σοφισμάτων δόξαν ἐλέγχων τοῖς ἀκούουσι παρασχεῖν. Ὅ τι μὲν γάρ ἐστιν ἔλεγχος καὶ λοιδορία λέγει, ὅτι δὲ οὐκ ἐλέγχει τὸν Ἀνδροτίωνα δῆλον. Ἐπάγει δὲ μετὰ ταῦτα καὶ ἐπαγγελίαν μεταληπτικὴν ἀπὸ τόπου καὶ χρόνου, δείξομεν, λέγων, τότε, οὐχὶ νῦν, καὶ ἐπαγγελοῦμεν τὴν κατηγορίαν πρὸς τοὺς θεσμοθέτας. Καὶ μεταβιβάζει τὸν ἔλεγχον ἐπὶ πρόσωπον ἀόριστον καὶ ἀπερίστατον, ἵνα τῷ δοκεῖν ἐγγὺς τῶν ἐλέγχων γινόμενος τὸν ἀκροατὴν συναρπάσῃ. Εἶτα συλλογιστικῶς λύων ἐπάγει, εἰ μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα ἀγωνιζομένου σοῦ ταῦτα κατηγοροῦμεν. Ὁ δὲ συλλογισμὸς σεσόφισται. Ἔδει γὰρ πρῶτον ἀποδεῖξαι, εἶτα συλλογίσασθαι. Νῦν δὲ μὴ ἀποδείξας ὡς δεδειχὼς συλλογίζεται. Εἶτα ἑτέραν ἐπάγει λύσιν μεταληπτικὴν, καὶ μὴν κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι ὁ τοὺς νόμους τιθεὶς, καὶ τὰ ἑξῆς, ἐνδεικνύμενος διὰ ταύτης ὅτι πανταχοῦ κατηγορεῖν ἔξεστιν.

599, 24. Ἑταιρήσεως] Πορνείας. B.

599, 28. Περὶ χιλίων ἐκινδυνεύομεν] Δηλονότι δραχμῶν. Ἐκράτησε γὰρ τοῦτο παρ' Ἀθηναίοις, λέγεσθαι ἀπροσδιορίστως τοῦτο καὶ νοεῖσθαι. A.

600, 1. Καὶ ἐνοχλεῖν, οὐ δικασταῖς] Συγκρούει τρόπον τινὰ τοῖς δικασταῖς αὐτὸν, εἴ γε παρ' αὐτοῖς οὐκ ἀνέχεται κρίνεσθαι. FLYT.

600, 5. Αἰτία μὲν γὰρ] Ἰστέον ὅτι τρία σημαίνει παρὰ τοῖς παλαιοῖς ἡ αἰτία· αὐτὴν τὴν αἰτίαν, ἣν νῦν λέγομεν ἀναπόδεικτον· αἰτίαν τὴν μέμψιν, ὅταν τις φίλον αἰτιᾶται ὡς κακῶς πεπραχότα· καὶ αἰτίαν τὴν πρόφασιν καὶ ἀφορμήν τινος γενομένην, ὡς ἐὰν εἴπωμεν ὅτι αἰτία τοῦ Τρωικοῦ πολέμου ἐγένετο ἡ ἁρπαγὴ τῆς Ἑλένης, ἤ τι τοιοῦτο. AR.

600, 9. Τεκμήρια] Τεκμήριόν ἐστι τὸ ἐπὶ πράγματος, οἷον παρέστηκέ τις νεοσφαγεῖ σώματι ἐπ' ἐρημίας καὶ ὑπονοεῖται ὡς φονεύς· εἰκὸς δὲ τὸ περὶ πρόσωπον, οἷον εἰκὸς τὸν συνεχῶς καλλωπιζόμενον κίναιδον εἶναι. A.

600, 10. Ἢ τὰ εἰκότα] Ὅρα ὅπως πατὴρ ὑπάρχει τῆς τέχνης, χαρακτῆρας ἡμῖν καταλιμπάνων, πόθεν ἂν γένοιτο ἐπὶ τῶν ἀδήλων ἡ πίστις. Τὰ μὲν οὖν τεκμήρια τὰ ἀπὸ τῶν πραγμάτων ἂν εἴη σημεῖα· εἰκότα δὲ καλεῖ τὴν ἑκάστου προσώπου ποιότητα καὶ δόξαν.

600, 20. Ἃ δ' οὗτος] Εἴη ἂν ἐκεῖνα λέγων, ἅπερ ἀπαιτῶν τὰς εἰσφορὰς ὁ Ἀνδροτίων ἐλοιδορεῖτο, δούλους καλῶν καὶ ἐκ πορνῶν. Ἐπαγγελία δέ ἐστι δίκη πρὸς δοκιμασίαν τοῦ βίου· καὶ ὁ Αἰσχίνης « ἐπήγγειλα αὐτῷ τὴν « δοκιμασίαν. » Συντρέχει δὲ ταῖς ἐπαγγελίαις λύων ὁ ῥήτωρ, φάσκων καὶ τοῦτο ποιήσομεν. Οὐ γὰρ ἔνεστιν ἀναστρέψαι.

600, 22. Ἐπαγγέλλειν] Ἐπαγγελία δοκιμασία ἔργου. B. Κατηγορεῖν. A. Ἀντὶ τοῦ κατηγορεῖν. L. a manu rec.

600, 24. Εἰ μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα] Εἰ μὲν γὰρ ἄλλο τι ἦν τὸ ἔγκλημα, οἷον παραπρεσβείας ἢ ἑτέρου, οὐχ ὁμοίως εἶχε χώραν ἡ μνήμη· νῦν δὲ συμφωνεῖ ἀμφότερα. Ἀκολουθεῖ γὰρ τῷ γεγραφέναι παράνομα καὶ τὸ βεβιωκέναι παρανόμως.

601, 4 Καὶ μὴν κἀκεῖνο] Αὕτη ἡ λύσις μεταληπτική. Ἐνδείκνυται δὲ διὰ ταύτης ὅτι πανταχοῦ κατηγορεῖν ἔξεστι. Δοκεῖ δέ μοι προφάσεις διὰ ταύτης αὐτῷ θηρεύειν, κατασκευάζων τὸ μὴ πάντως ἀνάγκην ἔχειν παρὰ τοῖς θεσμοθέταις κατηγορεῖν· καὶ ἵνα ἀξιόπιστος γένηται νομοθετῶν περὶ τούτου, ἀλλὰ μὴ φεύγειν ὑποληφθῇ, Σόλωνι περιτίθησι τὸν λόγον. Ποιεῖ δὲ τοῦτο δι' ἔνδειαν τῶν ἐλέγχων δηλονότι. Ἀλλ' ἐπειδήπερ εἰς τὸ ἔγκλημα ἐπηρέαστο μὲν αὐτὸς τοῦ φόνου τοῦ πατρὸς, ἐβούλετο δὲ ἀμύνεσθαι πικροτέρως διαβάλλων τὸν ἀντίδικον, διὰ τοῦτο προήχθη, καὶ κατέχεε μὲν τὴν βλασφημίαν, φεύγειν δὲ πειρᾶται τὸν ἀγῶνα καὶ τὴν ἄντικρυς μάχην, μηδαμόθεν ἔχων ἐναργῆ τὴν ἀπόδειξιν. Ὁρᾷς γοῦν ὅπως μετατιθεὶς εἰς ἄνδρα ἕτερον τὴν περὶ τούτου σύστασιν, καὶ τὸν κίνδυνον εἰς τὸν αὐτὸν ἐκεῖνον μεθίστησι, λέγων παρ' οὗ δίκην ἐστὶ λαβεῖν, ὡς κινδύνου μεγίστου παρομαρτοῦντος τῷ μὴ ἐλέγχοντι. Ὅθεν εὐλαβούμενος τὸν ἀγῶνα καὶ φεύγων προδήλως τὴν τῆς παραιτήσεως λύσιν τελευταίαν τέθεικεν, ἐνδεικνύμενος δι' αὐτῆς μήτε ἀναγκαῖον ἐξελέγχειν μήτε παρὰ τῶν νόμων ὡρίσθαι τὴν περὶ τούτων ἀνάγκην. Ἐν δὲ τῷ μέρει τούτῳ τῆς λύσεώς ἐστί τι τῶν ἀσαφῶν κατὰ τὴν ἐξαγγελίαν, μᾶλλον δὲ κατὰ τὴν ἱστορίαν τῆς πολιτείας, ἃ παρείληπται μὲν ὡς παράδειγμα, δεῖται δὲ τῆς διορθώσεως. Ἐν δὲ τῷ οὐχ ἑνὶ δέδωκε τρόπῳ σοφίζεται ὁ ῥήτωρ, ἃ περὶ κλοπῆς εἴρηται μόνης καὶ ἱεροσυλίας, ὡς κατὰ πάντων κείμενα λέγων, ἵνα ἀπὸ τῶν ὁμολογουμένων καὶ τὸ ἀμφισβητούμενον συναχθῇ.

601, 19. Ἄπαγε] Ἀντὶ τοῦ ἀπαγωγῇ χρῶ. Ἀπαγωγὴ δέ ἐστιν ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα παράδοσις. Τὸ δὲ ἔρρωσαι καὶ σαυτῷ πιστεύεις εἴληφε παράδειγμα πρὸς τὴν προκειμένην ὑπόθεσιν. Τοῦτο δὲ τὸ ἔρρωσαι καὶ τὸ ἑξῆς οὐ περὶ τῶν δικαίων καὶ ἐνταῦθα λέγει, πόθεν; ἀλλὰ περὶ τῆς ῥώμης καὶ τῆς τοῦ σώματος ἰσχύος. Ἀπάξει δὲ δηλονότι πρὸς τοὺς ἕνδεκα τοὺς ἐπὶ τῷ δεσμωτηρίῳ. Τὸ δὲ οὐδέτερον βούλει, τουτέστιν, οὔτε τὸν διαιτητὴν οὔτε τὴν πρὸς τοὺς ἕνδεκα ἄρχοντας ἀπαγωγήν. Γράφου πρὸς τοὺς θεσμοθέτας· κατοκνεῖς καὶ τοῦτο; ἐφηγοῦ, τουτέστιν, ὑπόδειξον τοῖς ἄρχουσιν. Εἰ δὲ παλιλλογήσας φαίνεται, οὐδὲν θαυμαστὸν καὶ διπλοῦν εἶναι τὸν λόγον. Τὸ μὲν γὰρ πρῶτον μέρος ὡς παρὰ Σόλωνος

ἐστιν, το δὲ δεύτερον, τὸ οὐδέτερον βούλει τούτων, ὡς παρὰ Δημοσθένους εἰσῆκται, ἵνα φαίνεται συνῳδὰ τῇ τοῦ νομοθέτου φθεγγόμενος γνώμῃ. Ἕτερόν τε παράδειγμα τίθησι λέγων τῆς ἀσεβείας κατὰ ταὐτά ἐστιν.

Οἷον τῆς κλοπῆς] Ὡς ἂν εἰ ἔλεγεν· οἷον περὶ τῆς κλοπῆς διέλθωμεν ὡς ὅτι πολλοὺς τρόπους δέδωκεν ὁ νομοθέτης περὶ ταύτης δικάσασθαι. Ἰστέον δὲ ὅτι τῶν δυσχερεστάτων σφόδρα καὶ τῶν ἀσαφῶν τὸ χωρίον. Οὐ γὰρ μόνον κατὰ τοῦτό ἐστι δυσχερές, διότι κατὰ λέξιν ἔχει τι ἀσαφὲς καὶ δοκοῦν ἀλλόκοτον, ἀλλ' ὅτι καὶ πολλαὶ ἐξηγήσεις φέρονται περὶ αὐτοῦ ἀνοίας μεσταί. Βουλομένου τοῦ ῥήτορος λέγειν περὶ ἰσχύος σωματικῆς ἐν τῷ λέγειν ἔρρωσαι (ἀντὶ τοῦ ἰσχυρὸς εἶ τῷ σώματι), ἄπαγε διὰ σαυτοῦ τὸν κλέπτην ἐν τῷ δεσμωτηρίῳ, εἶτα ἐπάγοντος εἰ δὲ ἀσθενὴς εἶ, τοῖς ἄρχουσιν ἐφηγοῦ—ἄρχοντες μὲν λέγονται πάντες οἱ μεταχειριζόμενοι ἀρχήν τινα· ὅμως ἀπροσδιορίστως ἄρχοντας ἐκάλουν τὴν ἀρχὴν τῶν δεσμοφυλάκων· αὕτη δὲ ἦν τὸν ἀριθμὸν ια' ἀνδρῶν—λέγει οὖν ὅτι, εἰ μὴ ἰσχύεις σεαυτῷ ἀπαγαγεῖν τὸν κλέπτην, ὡς ἰσχυροτέρου ὄντος σοῦ ἐκείνου, ἐφηγοῦ· ὅ ἐστι, προηγοῦ τῆς ὁδοῦ τοῖς ἄρχουσι τοῖς ια', καὶ δείκνυε αὐτοῖς τὸ οἴκημα, ὅπου συνέκλεισας αὐτόν. Φοβῇ καὶ τοῦτο, ἵνα μὴ καὶ ἐν τῷ ὑφηγεῖσθαι τοῖς ἄρχουσιν, ἐὰν μὴ δυνηθῇς ἀποδεῖξαι, καταθῇς τὰς χιλίας; κατηγόρει αὐτοῦ ἐν τῷ δικαστηρίῳ, ἢ γράφου, ὅ ἐστιν, ἐγγράφως αὐτοῦ κατηγόρει. Καταμέμφῃ σεαυτόν, ὅ ἐστιν, αἰτιᾷ σαυτὸν ὡς ἀτυχῆ καὶ μὴ ἔχοντα χρήματα πρὸς τὸ ἐκτῖσαι, ἐὰν μὴ ἀποδείξῃς; δικάζου κλοπῆς, καὶ οὐχὶ κινδυνεύσεις· τὸ γὰρ δικάσασθαι παρὰ διαιτητῇ ἀκίνδυνον ἦν. AR.

Ἄπαγε] Ἀπαγωγῇ χρῶ. Ἀπαγωγὴ δέ ἐστιν ἡ τῶν κακούργων πρὸς τοὺς ἕνδεκα παράδοσις. B.

601, 20. Ἐφηγοῦ] Ὑπόδειξον τοῖς ἄρχουσιν. B.

601, 21. Γράφου] Πρὸς τοὺς θεσμοθέτας δηλονότι. B.

601, 24. Οὐδέτερον βούλει τούτων] Πάλιν κἀνταῦθα πολλή τις ἐστιν ἀμφισβήτησις. Ζητοῦσι γάρ τινες πῶς δ' πράγματα εἰπών, οἷον τὸ ἀπάγειν, τὸ ἐφηγεῖσθαι, τὸ γράφεσθαι, τὸ δικάζεσθαι πρὸς διαιτητήν, εἶπεν οὐδέτερον, ἀεὶ τοῦ οὐδετέρου μὴ λεγομένου εἰ μὴ ἐπὶ δύο πραγμάτων, ὥσπερ λέγομεν τὸ ἑκάτερον καὶ τὸ ἀμφότερον. Οὐδὲν γὰρ τούτων δύναται ἐπὶ πολλῶν λέγεσθαι, εἰ μὴ μόνον ἐπὶ δύο. Ὅταν δὲ ἐπὶ πολλῶν θέλωμεν λέγειν, ἕκαστος λέγομεν. Τί οὖν ἐροῦμεν πρὸς τοῦτο; φάσκομεν ὅτι μάλιστα μὲν Ἀττικόν ἐστι λέγειν οὐ μόνον ἐπὶ δύο, ἀλλὰ καὶ πολλῶν. AR.

Γράφου] Πάλιν κἀνταῦθα ζητήσεως ἄξιον πῶς εἰπὼν ἄνω τὸ γράφου καὶ τὸ ἐφηγοῦ, ταῦτα πάλιν ἐπήνεγκεν. Λέγομεν ὅτι εἰς δύο συνελθόντων τῶν ἄνω τεττάρων πραγμάτων, εἴς τε τὸ γράφεσθαι ἐν τῷ δικαστηρίῳ καὶ εἰς τοὺς δεσμοφύλακας, διδάξας ἄνω ὡς περὶ δύο ὄντων πραγμάτων κατὰ τὸ ἀληθές, ἐνταῦθα ὥσπερ ἀνακεφαλαιοῦται καὶ ἐρωτᾷ ποῖον βούλεται τῶν ἤδη δύο εἰρημένων τὸ ἕτερον. Δεῖ δὲ ἐν ὑπερβιβασμῷ αὐτὸ νοῆσαι· οὐ βούλει δὲ τῶν β' ὧν εἶπε τὸ ἕν, τὸ γράφεσθαι; οὐκοῦν ἑλοῦ τὸ ἐφηγεῖσθαι, τὸ ἕτερον. Εἰ δὲ τοῦτο οὐ θέλεις, τὸ ἐφηγεῖσθαι, οὐκοῦν ἑλοῦ τὸ ἕτερον, τὸ γράφεσθαι. AR.

601, 25. Τῆς ἀσεβείας] Πληρώσας τὸ περὶ κλοπῆς παράδειγμα μετέρχεται καὶ ἐπὶ ἄλλο, εἰς τὸ περὶ τῆς ἀσεβείας κατὰ τὰ αὐτά. Εἴποι ἄν τις· καίτοι οὐκ ἔστιν ὅμοια τὰ παραδείγματα, τῆς ἀσεβείας ὥσπερ τῆς κλοπῆς· οὐδὲ γὰρ ἔχει διαιτητάς, οὐδὲ τὸ ἐφηγεῖσθαι. Λέγομεν ὅτι ὅμοια λέγει, καθὸ καὶ ἑκατέρῳ τρόπους δικῶν ἔχει διαφόρους.—Ἀπάγειν· πάλιν ὡς ἐπί τινα [ἀρχὴν] τὸ ἀπάγειν λέγει. Γράφεσθαι· ὡς ἀσεβῆ καὶ ἱερόσυλον. Πρὸς τοὺς Εὐμολπίδας· ἵνα ἐκεῖ αὐτὸν γράψηται. Πρὸς τὸν βασιλέα· ὁ γὰρ βασιλεὺς ἐπεμελεῖτο τῶν ἱερῶν πραγμάτων καὶ εἰσῆγε τὰς τῆς ἀσεβείας γραφὰς πρὸς τοὺς Εὐμολπίδας. AR.

Ἐφηγοῦ] Ὑπόδειξον τοῖς ἄρχουσιν. Y.

601, 26. Ἀπάγειν] Δηλονότι πρὸς τοὺς ἕνδεκα· τὸ δὲ γράφεσθαι πρὸς τοὺς θεσμοθέτας, παρ' ὧν εἰς τὸ δικαστήριον εἰσάγονται αἱ γραφαί· τὸ δὲ δικάζεσθαι πρὸς Εὐμολπίδας, τρίτον εἶδος τοῦτο δικαστηρίου, ἱερὸν δὲ γένος οἱ Εὐμολπίδαι, ἱερᾶται δὲ ἐν Ἐλευσῖνι, καὶ ἐπὶ τούτου πολλάκις ἐδικάζοντο ἀσεβείας οἱ βουλόμενοι. Τὸ δὲ γράφου, πρὸς τοὺς θεσμοθέτας δηλονότι.

601, 27. Φράζειν δὲ πρὸς τὸν βασιλέα] Ἵνα ὁ βασιλεὺς τὴν φάσιν λαβὼν (φάσις δὲ κατηγορίας ὄνομα) τοῖς θεσμοθέταις φανερὰν καταστήσῃ καὶ παρὰ τῶν θεσμοθετῶν γνωρισθῇ τοῖς δικάζουσι τὰ ἐγκλήματα. Ὁ δὲ βασιλεὺς εἷς καὶ αὐτὸς κατ' ἐνιαυτὸν ἄρχων τῶν ἐννέα καλουμένων, ὃς καὶ αὐτὸς ἐπεμελεῖτο τῶν ἱερῶν. Τὸ δὲ περὶ τῶν ἄλλων ἁπάντων φησίν, ὅτι ἐπειδὴ οὐκ εἶχε καὶ περὶ τῆς ἑταιρήσεως τὰ αὐτὰ διαλεχθῆναι, συνήρπασε τῷ κοινῷ συλλογισμῷ καὶ σύμπαντα τὰ λοιπά.

601, 29. Εἰ δή τις ὡς μὲν οὐχὶ κακοῦργος] Μεταληπτικόν. Τούτῳ παραπλήσιον ἐν τῷ α' τῶν Ὀλυνθιακῶν (p. 20, 14) « ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν « δειξάτω ἢ ὡς οὐκ ἀληθῆ ταῦτα λέγω ἢ ὡς οἱ τὰ πρῶτα « ἐξηπατημένοι τὰ λοιπὰ πιστεύσουσιν. » RS. Ἐπάγει τὸ μεταληπτικόν, εἶτά τι καὶ καινὸν εἶδος πίστεως εἰσάγει Δημοσθένης, ἀξιῶν παρὰ τοῦ ἀντιδίκου τὴν ἀπόδειξιν γίνεσθαι ὅτι μὴ πεποίηκε ταῦτα.

602, 3. Λαχεῖν] Ἀντὶ τοῦ κατηγορῆσαι λέγουσιν Ἀττικοί. AL.

602, 11 Ἐπαγγελία] Ἀντὶ τοῦ κατηγορία. AL.

Τὸ δὲ εἰ μὴ πεποίηκε ταῦτα, οὐχ ὅτι Εἰ μὴ ἡταίρηκεν, ἀλλ' Εἰ μὴ γέγραφεν ἡταιρηκώς, ὡς τοῦ τῆς ἑταιρήσεως πράγματος ἐξεληλεγμένου, λειπομένου δὲ τοῦ παρὰ Ἀνδροτίωνος ἀποδειχθῆναι, εἰ μὴ γέγραφεν. Ἐρωτᾷ γὰρ ὃ μὴ ἀρνήσασθαι δύναται. Οὐ γὰρ εἴωθε Δημοσθένης ἐρωτᾶν τὰ ἀμφίβολα. Ἐπεί τοι γε εἰ ἦν ἐρωτήσας εἰ μὴ ἡταίρησεν, ἀντέπεσεν ἂν παρὰ Ἀνδροτίωνος ὅτι οὐχ ἡταίρηκε, καὶ γέλως ἂν ἦν ἐρωτῶντος τὸν ἀντίδικον, εἴ γε ἠρώτα ὃ μὴ ἔμελλεν ὁμολογεῖν· ἀλλὰ δεῖξον, φησίν, εἰ μὴ παρὰ τοὺς νόμους γέγραφας· ὅτι γὰρ ἡταίρηκε δέδεικται. Τούτῳ τῷ σχήματι παραπλήσιόν ἐστι καὶ τὸ ἐν τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν εἰρημένων· « ἢ παρελθών τις « ἐμοί, μᾶλλον δ' ὑμῖν δειξάτω ὡς οὐκ ἀληθῆ ταῦτα ἐγὼ « λέγω· » εἰπὼν γὰρ ὅτι καταλυθήσεται αὐτίκα δὴ μάλα Φίλιππος, ἐπήγαγεν « ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ « ὑμῖν δειξάτω ὡς οὐκ ἀληθῆ ταῦτα ἐγὼ λέγω. » Οὐ γὰρ εἶπε, δειξάτω εἰ μὴ καταλυθήσεται Φίλιππος —τοῦτο γὰρ ἦν εὔηθες καὶ εἰπεῖν καὶ ἀκοῦσαι, οὐ δῆλων ὄντων τῶν ἐκβησομένων—, ἀλλὰ δειξάτω, φησίν, εἰ μὴ πολλοὺς ἐξηπάτηκεν. Οὐ γὰρ τὸ συμπέρασμα ἠρώτησεν ὃ κατεσκεύασε βιαίως ἐκ τῶν οἰκείων προτάσεων, ἀλλὰ περὶ τῶν ἀποδεδειγμένων ἐλέγχων καὶ τῶν Φιλίππῳ πεπραγμένων, ἃ φανερὰ καὶ ὁμολογούμενα τοῖς ἀκούουσιν ἐτύγχανεν. Ἀσφαλῶς οὖν καὶ οὗτος τὸ μὲν τῆς κλοπῆς καὶ τῆς ἀσεβείας διαρρήδην εἴρηκεν, ἀορίστως δὲ τὰ λοιπά.

602, 13. Οὐ γὰρ ἔξεστί σοι] Δηλονότι τὸ γράφειν, ὄντι ἡταιρηκότι. AL.

602, 17. Ἄξιον τοίνυν] Τὸ ἐπιχείρημα γνώμη νομοθέτου. Δευτέραν γὰρ ἔταξε τὴν γνώμην τοῦ νομοθέτου ἐν τῷ λόγῳ τούτῳ. AR.

Ἄξιον τοίνυν, ὦ ἄνδρες] Ἄλλην ἀκόλουθον ἐπήγαγε λύσιν ἐκ διανοίας τοῦ νομοθέτου, καὶ αὐτὴν ἀποφυγὴν ἔχουσαν τῶν ἀποδείξεων. Συστῆσαι γὰρ βούλεται διὰ τῆς διανοίας τοῦ Σόλωνος ὅτι οὐδὲ ἐκεῖνος κολάζει οὐδὲ ἐλέγχει, δηλονότι πανταχόθεν πεῖσαι τοὺς ἀκούοντας προθυμούμενος σιγὴν ἐπιτάττειν Ἀνδροτίωνι, οὐχὶ δὲ καλεῖν εἰς δικαστήριον, οὐδὲ τὸν κατήγορον ἀναγκάζειν πρὸς αὐτὸν διαγωνίζεσθαι περὶ τοῦ βίου, ἀλλὰ ἀναγκάζειν αὐτὸν σιωπᾶν. Τοῦτο γὰρ βεβουλῆσθαι τὸν νομοθέτην διὰ τὴν πολιτείαν. Ταῦτα δὲ τεκμήριά ἐστιν εὐσύνοπτα τοῦ μηδεμίαν ἀπόδειξιν ἔχειν τῆς ἑταιρήσεως. Λοιπὸν δι' ὧν ἐξετάζει τοῦ νομοθέτου τὴν διάνοιαν ὁ ῥήτωρ, μεθοδεύει ἄτιμον ποιῆσαι τὸν Ἀνδροτίωνα, δεικνὺς ὅτι οὐδὲν μέγα ὥρισεν εἰς τιμωρίαν αὐτοῖς ὁ Σόλων, οὐδὲ περὶ τούτου ἐσπούδασεν, ἀλλὰ τὸ σῶζον τὴν δημοκρατίαν ἐκύρωσεν. Εἶτα κατασκευάζει τὸ ἐπιχείρημα οὕτως, ἐν δημοκρατίᾳ ἰσονομίᾳ καὶ ἰσοτιμίᾳ, ὥστε καὶ τὸν πένητα καὶ δυσγενῆ καὶ εὐτελῆ παρρησιάζεσθαι κατὰ τῶν πλουσίων καὶ τῶν τὰ πρῶτα ἐχόντων· ἐν δὲ ὀλιγαρχίᾳ τοῖς διοικοῦσι τὰ κοινὰ καὶ ἄρχουσιν οὐδεὶς τῶν ἄλλων ἀντιβλέπειν ὡς δεσπόταις δυνήσεται. Οὐκοῦν οἱ βεβιωκότες αἰσχρῶς, τὸ ὀνειδίζεσθαι φοβούμενοι—τοῦτο γὰρ γένοιτ' ἂν ἐν δημοκρατίᾳ διὰ τὸ ἰσότιμον—, σπουδάσειαν κατὰ τὸ εἰκός, εὑρεθέντες πολλοί, ἢ πάντας ἀπεργάσασθαι πόρνους, οὕτω δημαγωγοῦντες αὐτούς, ἵνα τὸ ὅμοιον μὴ κακίζωσιν, ἢ μεταστῆσαι παντάπασι τὴν πολιτείαν, εἰδότες ὡς ὀλιγαρχίας γενομένης ἕξουσι τοῦ μὴ βλασφημεῖσθαι τὴν ἄδειαν.

602, 18. Ἄλλη] Ἀκόλουθος λύσις ἐκ διανοίας τοῦ νομοθέτου, ἀποφυγὴν ἔχουσα καὶ αὐτὴ τῶν ἀποδείξεων. S.

602, 28. Ἀλλὰ ταῦτα ἀπεῖπεν ὑπὲρ ὑμῶν] Ταράττει τὸν ἀκροατὴν τῷ κατασκευάζειν τὴν ὑπόνοιαν τῆς καταλύσεως τοῦ δήμου, καὶ συγχεῖ καὶ ταράττει τῷ φόβῳ τοὺς ἀκούοντας, ἵνα ὥσπερ τῆς δημοκρατίας κινδυνευούσης ἐξωσθῇ τῆς πολιτείας ὁ Ἀνδροτίων. Ὁ Σόλων, φησὶν, οὐκ ἐξήλεγξε τοὺς τοιούτους· οὐκοῦν οὐδὲ ὑμᾶς ἔλεγχον δεῖ ζητεῖν. Σοφίζεται δὲ ἐν τούτῳ. Ὁ γὰρ νομοθέτης ἐκβάλλει τοὺς ἐξελεγχθέντας ἡταιρηκέναι, καὶ διαλέγεται δηλονότι περὶ τῶν ἑαλωκότων. Ὅρα δὲ εἰς τὸ κἀκείνους ἤτοι καταλῦσαί γ' ἂν πειρᾶσθαι, ὅτι καὶ τούτῳ τῷ ἐννοήματι ἀκόλουθον ἦν εὐθὺς ἐπάγειν « ἢ προάγειν ἂν ὡς πο« νηροτάτους, ἵν' ὡς ὁμοιότατοι σφίσιν ὦσιν. » Ὁ δὲ πρὸ τῆς ἐπαγωγῆς τὴν προτέραν πρότασιν κατεσκεύασεν. Δύο γὰρ προτάσεων οὐσῶν, καὶ τῆς μὲν παραδόξου τυγχανούσης, τῆς ἤτοι καταλῦσαί γ' ἂν προέλοιντο τὸν δῆμον, τῆς δὲ ὅτι προαγαγεῖν ἅπαντας ὁμοίους αὐτοῖς εἶναι, τῆς παραδόξου προτάσεως τὴν ἴασιν ἐξεῦρε, τὴν αἰτίαν προσθεὶς, καὶ προωδοποίησε τὸ πιθανὸν τῇ δευτέρᾳ. Πῶς; ὅτι γνοὺς ὁ ἀκροατὴς ἐκ τῆς κατασκευῆς δι' ἣν αἰτίαν ἕλοιντο καταλῦσαι τὸν δῆμον, οὐκ ἔτι ζητήσει κἀπὶ τῆς δευτέρας τίνος ἂν ἕλοιντο ἕνεκα προάγειν αὐτοῖς ὁμοίους τοὺς πολίτας εἶναι, τὴν γνῶσιν ἔχων ἐκ τῶν προειρημένων ἀκριβῆ τῆς αἰτίας. Τοῦτο δὲ ποιεῖ, ὅτι καθόλου ἔγνωμεν δεῖν τὰς κατασκευὰς εὐθέως ἐπισυνάπτειν ταῖς ἀπιθάνοις λίαν καὶ παραδόξοις προτάσεσιν.

603, 5. Δεινούς] Δεινοὺς μὲν δυνατοὺς ἐν τῷ λέγειν, θρασεῖς δὲ διὰ τὸν τρόπον Τὸ δὲ τοιούτων ὀνειδῶν, οἵων μετέχει ὁ Ἀνδροτίων. Τὸ δὲ κἀκείνους ἀντὶ τοῦ ἡταιρηκότος. AR.

603, 7. Καταλῦσαι τὸ παράπαν τὸν δῆμον] Ἐνταῦθα δύο προτάσεις εἰσίν· ἡ μὲν παράδοξος, ὅτι καταλῦσαι προέλοιντο ἂν τὸν δῆμον, ἡ δὲ πιθανὴ, ὅτι προαγαγεῖν ἅπαντας ὁμοίους ἑαυτοῖς εἶναι. Ὁ δὲ ῥήτωρ αὐτόθεν ἐδεήθη κατασκευάσαι τὴν πρότασιν, πρὸ τοῦ τὴν β' προτεῖναι. Καθόλου γὰρ δεῖ τὰς κατασκευὰς εὐθέως ἐπισυνάπτειν ταῖς ἀπιθάνοις καὶ παραδόξοις προτάσεσιν, ἵνα διὰ τῆς ἀποδείξεως τῆς προτέρας συναρπάσωμεν τὸν ἀκροατὴν, ὡσπερεὶ πιθανῆς καὶ τῆς β'. AR.

603, 10. Τοὺς ἄρχοντας] Οὐχ ἁπλῶς λέγει ἄρχοντας, ἀλλὰ τοὺς προϊσταμένους τῶν πραγμάτων καὶ τοὺς δυναμένους τι, ὥσπερ νῦν ὁ Ἀνδροτίων δυνατός ἐστιν ἐν τῇ βουλῇ. AR.

603, 14. Ὀλιγωρήσας] Τοῦ συμβουλεύειν καὶ δημηγορεῖν, τοῦ νόμου αὐτὸν ἀπείργοντος. ALR.

603, 17. Περὶ μὲν τοίνυν τοῦ νόμου] Ὁ ΠΕΡΙ ΕΝΔΕΙΞΕΩΣ ΝΟΜΟΣ. A.

Ἐπὶ τὸν τέταρτον λοιπὸν ἀφίκετο νόμον, συντείνοντα μὲν καὶ αὐτὸν εἰς ἀτιμίαν, ἐκ δὲ τοῦ πατέρων χρέους γινόμενον. Σκεπτέον δὲ ὅτι πανταχῇ φησιν ὡς ὠφληκότος ἦν· τὸ δὲ νῦν ὀφείλειν ἔτι οὐ κατασκευάζει, ὡς εἶναι ὑπόνοιαν μὴ ἄρα ἐκτέτισται. Ἡ δὲ λύσις κἀνταῦθα μεταληπτικὴ, ὡς ἐπὶ τῆς ἑταιρήσεως. Ἔστι τοινυν ἡ πρότασις ὁμοίως κἀνταῦθα παραγραφικὴ, οὐκ ἔξεστι τῷ ἀτίμῳ γράφειν. Ἡ δὲ ἀντίθεσις μεταληπτικὴ, οὐκ ἐνδείκνυταί με, φησίν. Ἔνδειξις δέ ἐστιν ὄνομα δίκης κατὰ τῶν ὀφειλόντων μὲν τῇ πόλει, πολιτεύεσθαι δὲ διεγχειρούντων. Λέγεται δὲ ἔνδειξις καὶ κατὰ τῶν ἀνδροφόνων, ὅταν κατίωσιν ὅποι μὴ ἔξεστιν, ὡς φησιν ἐν τῷ κατὰ Ἀριστοκράτους, κατὰ τῶν τοὺς φεύγοντας ἐνδεικνύντων. Γίνεται δὲ ἔνδειξις καὶ κατὰ προδοτῶν· τοῦτο δὲ εἴρηται ἐν τῷ ἐνάτῳ τῶν Φιλιππικῶν (p. 126, 10)· « ἐνιαυτῷ δὲ πρότερον « τῆς ἁλώσεως ἐνέδειξε τὸν Φιλιστίδην. » Ταύτης τῆς ἀντιθέσεως μεταληπτικῆς οὔσης καὶ ἡ λύσις ἐστὶ μεταληπτικὴ ἀπὸ χρόνου καὶ ἀπὸ τρόπου· καὶ ἀπὸ χρόνου μὲν, τότε ποιήσομεν, οὐ μὰ Δί' οὐχὶ νῦν, ἀπὸ τρόπου δὲ, ὅτι ἐνδείξομεν· νῦν γὰρ οὐκ ἐνδεικνύουσιν, ἀλλὰ παρανόμων γράφονται. Διάφοροι δὲ οἱ τρόποι. Εἶτα πάλιν ἀπαιτεῖ τὰς ἀποδείξεις παρὰ Ἀνδροτίωνος· καὶ ἡ ἐρώτησις ἰσχυρὰ μὲν καὶ πιθανὴ, σεσόφισται δέ. Οὐ γάρ φησιν, ἀπόδειξον εἰ μὴ ὀφείλει ὁ πατὴρ, ἀλλ' εἰ μὴ ὤφειλεν, ἢ εἰ μὴ ἀπέδρα ἐκ τοῦ δεσμωτηρίου, περὶ τῶν ὁμολογουμένων καὶ προδήλων τὴν πρόκλησιν ποιούμενος· οὔτε γὰρ ἀποδεῖξαι δύναται Ἀνδροτίων ὅτι μὴ ὤφειλεν ὁ πατὴρ, οὔτε ὅτι οὐκ ἀποδρὰς ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου. Εἰ δὲ ἠρώτα καὶ προὐκαλεῖτο λέγειν, εἰ μὴ ὀφείλει, τάχα ἂν Ἀνδροτίων ηὐπόρησεν ἀποκρίσεως. Τὸ δὲ ἀλλ' ὅταν ᾖ προσῆκον τοιοῦτον· ὅτι οἱ νόμοι τὰ μείζω τῶν ἀδικημάτων προεξετάζεσθαι βούλονται, μετὰ ταῦτα δὲ τὰ ἐλάττω.

603, 26. Ἀνταπαιτεῖ τὰς ἀποδείξεις. S.

604, 2. Πεπλήρωται μὲν ἄχρι τούτου τὸ νόμιμον καὶ ἔθος, καὶ εἰσὶν οἱ σύμπαντες νόμοι ζ', δ' μὲν τοῦ κατηγόρου, γ' δὲ τοῦ φεύγοντος καὶ σὺν τούτοις τὸ ἔθος. Ἀντιθέσεις δὲ σύμπασαι τοῦ μὲν πράγματος δ', ἐνταῦθα δὲ τοῦ προσώπου β'. Μετὰ ταῦτα λοιπὸν εἰσάγει ἐπιλογικὴν ἀντίθεσιν ἀπὸ τοῦ δικαίου καὶ τῆς ἀξίας μετὰ τὸ ἐναντίον, ἀλλὰ δόξετε καταισχύνειν ὑμῶν αὐτῶν τὸ μέρος, εἰ τὸν

στέφανον ἀφαιρήσετε· μέρος γὰρ ἡ βουλὴ τοῦ δήμου. RS.

604, 7. Ἔστι γὰρ εἷς] Πληρώσας τοὺς ἀγῶνας διὰ τῶν δ' νόμων μετέρχεται ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους. AB.

604, 8. Μὴ πενταχοσίους ὑμῶν] Ἀντίθεσις ὡς ἐπιλογική, μετέχουσά τινος ἔτι καὶ πίστεως καὶ μάχης· ἔοικε δὲ ἀπὸ τοῦ δικαίου εἰλῆφθαι, ὅτι οὐ δίκαιον τοσούτους τῶν Ἀθηναίων ἀτιμάζεσθαι.

604, 13. Πλείους ἢ μυρίους τοὺς ἄλλους] Ἐπειδὴ δὲ ὁ ἀντίδικος τῷ πλήθει τῆς βουλῆς ἐπεχείρησε δυσωπῆσαι τοὺς δικαστάς, ἀντέθηκεν ὁ ῥήτωρ τοῖς πενταχοσίοις βουλευταῖς τοὺς μυρίους. Ἔστι τοίνυν, ὡς ἔφαμεν, ἐπιλογικὴ ἡ ἀντίθεσις ἀπὸ τοῦ δικαίου καὶ ἀπὸ τῆς ἀξίας κατὰ τὸ ἐναντίον· δόξετε καταισχύνειν ὑμῶν αὐτῶν τὸ μέρος, εἰ τὸν στέφανον ἀφαιρήσεσθε. Μέρος γὰρ ἡ βουλὴ τοῦ δήμου. Ὅτι δὲ ἔστιν ἐπιλογικὴ δῆλον· Οὐ γὰρ ἀνατρέπει τὰ παρὰ τῶν ἀντιδίκων προτεινόμενα, ἀλλὰ δυσωπεῖν ἐπιχειρεῖ τοὺς ἀκούοντας. Μέμικται δέ τι καὶ μεταστάσεως κατὰ τὴν ἀντίθεσιν· ἐκείνων ὁ ἀγών, οὐχ ἐμός. Τὸ μὲν οὖν ἀφελέσθαι τὴν δωρεὰν ἔνδειξίς ἐστι τοῦ τὴν δωρεὰν ἤδη δεδόσθαι, δι' ἣν αἰτίαν ἐφάσκομεν μὴ δεδυνῆσθαι τὸν Διόδωρον κατ' ἀρχὰς παραγράψασθαι Ἀνδροτίωνα· τὸ δὲ μὴ ὀνείδει περιβαλεῖν ἀπὸ τῆς ἀξίας εἴληπται, δυσωπητικῶς εἰσηγμένον. Ἡ δὲ λύσις μεταληπτικὴ σύμπασα ἀπὸ τοῦ συμφέροντος. Ἔστι γὰρ ὅτε ἑτέρου μὲν γένους ἡ ἀντίθεσις, ἑτέρου δὲ ἡ λύσις. Μεταληπτικὴ δὲ οὖσα οὐδὲν ἧττόν ἐστι κατὰ ἀντιπαράστασιν.

Πλείους ἢ μυρίους] Ἐπειδὴ διὰ τὸ πλῆθος τῆς βουλῆς δυσωπῆσαι τοὺς δικαστὰς ὁ Ἀνδροτίων ἐπεχείρει, ἀντιτίθησι καὶ αὐτὸς τῷ πλήθει ἕτερον πλῆθος πολὺ πλέον ἐκείνου, τοῖς φ' τοὺς μυρίους. AR.

604, 18. Ὄνειδος] Τοῦτο λοιπὸν ἐκ περιουσίας ἐπήνεγκε τὸ συμφέρον τῆς πόλεως προκρίνων, ὡσανεὶ ἔλεγε κατ' ἔνστασιν καὶ ἀντιπαράστασιν οὕτω· Μάλιστα μὲν οὐκ ἔστιν ὄνειδος τῇ βουλῇ, μόνῳ δὲ τῷ Ἀνδροτίωνι. Εἰ δὲ καὶ δοίημεν, μὴ μόνῳ αὐτῷ, ἀλλὰ καὶ πάσῃ τῇ βουλῇ, βέλτιόν ἐστι λυπῆσαι μίαν βουλὴν ἢ πᾶσαν βλάψαι τὴν πόλιν. AR.

604, 18. Τῷ γὰρ ἐστιν ὄνειδος] Κατασκευάζει δριμέως εἰς ὀλίγους τὴν μέμψιν, ἵνα μὴ πᾶσαν λυπήσῃ τὴν βουλήν, τὸ βραχὺ μέρος αὐτῆς αἰτιώμενος, τῇ τε ἐνστάσει καὶ ἀντιπαραστάσει τὴν μάχην ἐργαζόμενος.

604, 19. Σιωπῶντος — γράφοντος] Ἀντὶ τοῦ μὴ δημηγοροῦντος. A.

604, 26. Καταγνοῦσιν ἢ μὴ] Ἀντὶ τοῦ ἐὰν μὴ καταγνῶτε αὐτῶν ὡς ἁμαρτόντων, ἀλλὰ ἀπογνῶτε τῶν κατηγορουμένων, ὡς μὴ ἁμαρτησάντων. A.

605, 3. Ἐθάδων] Ἐθάδας ἐκάλουν τοὺς περὶ τὰ πράγματα σχολάζοντας καὶ κακουργοῦντας διὰ τὸ κερδαίνειν καὶ ἐργολαβεῖν. AL.

605, 5. Ἡ τοίνυν] Καὶ τοῦτο τὸ μέρος εἰς τὴν προειρημένην ἀντίθεσιν. Τὸ γὰρ συνηγορήσουσι τῇ βουλῇ καὶ βοηθήσουσι Φίλιππος καὶ Ἀντιγένης οὐδὲν ἕτερον δύναται ἢ ὅτι ταὐτὰ ἐροῦσιν Ἀνδροτίωνι. Ὥστε καὶ ἐκ τούτων βεβαιοῦσθαι τὸ καὶ ἐπιλογικὴν τὴν προειρημένην ἀντίθεσιν εἶναι. Ἐχώρισε δ' ἀλλήλων τὰ πρόσωπα, ἵν' ἔχοι διαλεχθεὶς πρὸς τὰς διαφόρους ποιότητας εὐμαρέστερον λῦσαι αὐτὸ τὸ διὰ τῆς ἀξίας ἀντιπῖπτον ἑκάστου τῶν συνηγόρων. Τὸ δὲ συνερεῖ τῇ βουλῇ Φίλιππος καὶ Ἀντιγένης ἔμφασιν ἔχει ὅτι οὐκ ἔχουσι μὲν οὐδὲν εἰπεῖν δίκαιον ὑπὲρ τοῦ ψηφίσματος ἀναβαίνοντες, ἴσως δέ τι τῇ βουλῇ συναγορεῦσαι πειράσοιντο. Εἰ δὲ εἰρήκει τῷ ψηφίσματι μέλλειν συναγορεύσειν αὐτούς, ταῖς αὐταῖς ἂν ἠγωνίσατο λύσεσιν αἷς καὶ πρότερον ἐχρήσατο. Ἔστι δὲ οὐκ ἐκβολὴ συνηγόρων· οὐ γὰρ τῷ κρινομένῳ συναγορεύουσιν, ἀλλ' ἑαυτοῖς. Ἀντιγραφεὺς δέ ἐστιν ὄνομα ἀξιώματος ἀντιγράφοντος ὑπὲρ τῆς βουλῆς πρὸς τὸν δῆμον ἐν οἷς ἂν δέηται. Τὸ δὲ δι' ἑαυτῶν εἶχον ἤνυσε τὸ μῖσος. Ὡς ἀνδραπόδοις ἐχρῶντο τοῖς ἄλλοις, ἑαυτοῖς τὸ κράτος φυλάσσοντες. Ὅρα δὲ σωφροσύνην μετὰ θυμοῦ σωζομένην ἐν τῷ ὅς μὲν ὑμῖν ἀδικεῖν δοκῇ. Οὐ γὰρ εὐθὺς τὴν τιμωρίαν ἐπήγαγεν, ἀλλὰ τὴν κρίσιν ἀφῆκε γενέσθαι πρότερον.

605, 7. Ἴσως] Καλῶς εἶπε τὸ ἴσως, καὶ οὐ πάντως, ἵνα ὥσπερ μέρος ἐπιεικείας αὐτοῖς μαρτυρήσας ἀποτρέψῃ αὐτοὺς τοῦ συνηγορεῖν. AR.

605, 16. Τὴν γραφὴν] Λέγει τὴν κατηγορίαν, ἣν εἰσήλθομεν κατὰ τοῦ Ἀνδροτίωνος. Ἀπογνῶτε λέγει ἐνταῦθα οὐχ ὥσπερ εἶπεν ἄνω ἐὰν ἀποδέξησθε, ἀλλ' ἀντὶ τοῦ ἐὰν μὴ καταγνῶτε, εἰδὼς τὴν αὐτὴν λέξιν διττῶς λεγομένην καὶ μεθαρμοζομένην πρὸς τὸν νοῦν τοῦ λεγομένου. Δέον εἰπεῖν ἀπογνῶτε τῆς γραφῆς, ἀπογνῶτε τὴν γραφὴν Ἀττικῶς εἶπεν. AR.

605, 25. Ἔτι τοίνυν Ἀρχίαν οἶμαι] Τόπον ἀπένειμεν οἰκεῖον ἐν τοῖς ἐπιλόγοις Ἀρχίᾳ διὰ τὸ διάφορον τῆς ἀξίας. Τὸ γὰρ ὡς ἐπιεικῆ δήλωσιν μὲν ἔχει τῆς ἀρετῆς τἀνδρὸς καὶ τῆς ὑπολήψεως ἣν παρ' Ἀθηναίοις κέκτηται. Βούλεται μέντοι διὰ τῶν ἐγκωμίων καὶ τῆς μαρτυρίας τοῦ ἀνδρὸς βεβαιῶσαι τὴν κατὰ τῆς βουλῆς κατηγορίαν, διὰ δὲ τῶν αὐτῶν ἐπαίνων τῆς συνηγορίας ἀποτρέψαι τὸν ἄνδρα. Διαλεκτικώτερος δὲ πρὸς αὐτὸν ὁ λόγος, ἐπειδὴ καὶ πεπαιδεῦσθαι καὶ φιλοσοφεῖν ὑπείληπται. Ἐχώρισε δὲ τοῦτον ἀπὸ τῶν ἄλλων, ἵν' ὡς ὄντα ἐπιεικῆ ταῖς ἀληθείαις μόνον ἐξελέγξῃ λαβών. Ἐπειδὴ δὲ καὶ πεπαιδεῦσθαι καὶ φιλοσοφεῖν ὑπείληπται, συλλογιστικώτερον αὐτῷ διαλέγεται. Τὸ δὲ οἶμαι τῷ συνερεῖν συναπτέον, ἵν' ᾖ ἀμφίβολον τὸ, ἐπιεικὴς ὢν συνερεῖ αὐτοῖς.

Ἔτι τοίνυν Ἀρχίαν] Καὶ οὗτος τῶν συνηγόρων. Ἐζήτησαν δέ τινες διὰ τί μὴ καὶ τοῦτον ὠνόμασε μετὰ τῶν ἄλλων τριῶν, ἐπειδήπερ οὗτος ὁ Ἀρχίας ἐλέγετο εἶναι φιλόσοφος, ὡς μαρτυροῦσι καὶ πάντες οἱ ἐξηγησάμενοι καὶ αὐτὸς ὁ ῥήτωρ διὰ τοῦ ἐπαγαγεῖν ὡς ἐπιεικῆ δεήσεσθαι· φιλόσοφον γάρ ἐστι τὸ προβάλλεσθαι τὴν ἐπιείκειαν. Ἐπειδὴ οὖν ἔμελλεν ὡς ἐκ φιλοσοφίας ὁρμώμενος συλλογιστικῶς κεχρῆσθαι τοῖς λόγοις, βούλεται ὁ ῥήτωρ ἀφορίσαι αὐτὸν τῶν ἄλλων, ἵνα σχολάσας πρὸς ἐκεῖνον καὶ αὐτὸς χρήσηται ταῖς πρεπούσαις κατασκευαῖς, ἵνα δείξῃ ὅτι καὶ ἐν τούτῳ αὐτοῦ περιγίνεται, ἐν ᾧ ἐκεῖνος μεγαλοφρονεῖ. Κέχρηται οὖν εὐθὺς συλλογιζόμενος [πρὸς] αὐτὸν τῷ διλημμάτῳ σχήματι, καὶ οὐχ ἁπλῶς διλημμάτῳ, ἀλλ' ὥσπερ κατὰ διαίρεσιν. Ἰστέον δὲ ὅτι καὶ φιλοσόφων λόγων ἐντὸς ἦν ὁ ῥήτωρ, ἀκροατὴς γεγονὼς Πλάτωνος. AR.

606, 10. Οἶμαι τοίνυν] Πάλιν ἐπιλογίζεται ἀπὸ τῆς τοῦ προσώπου ποιότητος. S. Ἄχρι μὲν τούτων ἀπὸ τῆς διπλῆς ποιότητος τῆς τε βουλῆς καὶ τῶν συνηγορούντων προσώπων, ὡς ἐν ἐπιλόγοις, αὐτῷ προκεχώρηται, ἑξῆς δὲ ἐπιλογίζεται πάλιν ἀπὸ τῆς Ἀνδροτίωνος αὐτοῦ ποιότητος· εἰσῆκται δὲ ἐν ἀντιθέσεως εἴδει, ἀλλὰ φθονοῦμαι, φησί, διὰ τὴν εὔνοιαν ἣν ἔχω περὶ τὴν πόλιν καὶ διὰ τὰς εἰσπράξεις ἃς ὑπὲρ ὑμῶν πεποίημαι. Ταύτην τὴν ἀντίθεσιν ἔλαβε μὲν ἀπὸ τῆς Ἀνδροτίωνος ποιότητος, διὰ τὸ ὑπάρχειν Ἀνδροτίωνι δυσμένειαν πρὸς Εὐκτήμονα ὑπὲρ τῶν

εἰσφορῶν· οὐ μὴν σαφῶς τὴν αἰτίαν ἐκτέθειται. Λύει δὲ τὴν ἀντίθεσιν τοῦτο μὲν μεταληπτικῶς, « οὐ περὶ τούτων « δικάσειν ὀμωμόκατε, ἀλλ' εἰ κατὰ τοὺς νόμους τὸ ψή- « φισμα εἶπε· » κατὰ τὸ μαχόμενον δὲ πάλιν « εἶθ' « ὅτι πάνδεινόν ἐστι κατηγορίαν ποιούμενον ὡς ἀδι- « κοῦσί τινες τὴν πόλιν » καὶ τὰ ἑξῆς. Τὸ δ' αὐτὸ τοῦτο καὶ ἀπὸ τοῦ ἐναντίου λέγεται· εἶδος γὰρ τοῦ ἐναντίου « καὶ τὸ μαχόμενον· εἶτα ἀπὸ συγκρίσεως, λέγων « εἰ « τοσούτου τιμᾶσθε τὴν πολιτείαν καὶ τοὺς νόμους καὶ « τὸ εὐορκεῖν· εἰ γὰρ ἀποψηφιεῖσθε » καὶ τὰ ἑξῆς. ἌΛΛΩΣ. Ἐντεῦθεν φανερῶς οἱ ἐπίλογοι, ἀπὸ τοῦ προσώπου δὲ τοῦ ἰδίου· δεῖ γὰρ στοχάζεσθαι καὶ τὸν κατήγορον τῆς τοῦ φεύγοντος ποιότητος. Οὔκουν ἐτόλμησεν Ἀνδροτίων εἰπεῖν, ταῦτά μοι περιγέγονε, καὶ τὴν κατηγορίαν συνεστήσατο Διόδωρος, ὅτι ὕβρισται παρ' ἐμοῦ καὶ ἠδίκηται, φόνου μὲν ἐγκληθεὶς τοῦ πατρὸς, ἐξελεγχθεὶς δὲ οὐδαμῶς ἀνῃρηκέναι τὸν ἑαυτοῦ πατέρα. Εὔηθες γὰρ ὡς ἀληθῶς Ἀνδροτίωνα καθ' ἑαυτοῦ τούτοις κεχρῆσθαι τοῖς λόγοις, ἄλλως τε καὶ αὐτοῦ Διοδώρου εἰπόντος ἐν τῷ προοιμίῳ διὰ τοῦτο κατηγορεῖν, ἵνα ἀμύνηται τὸν σεσυκοφαντηκότα. Διὰ τοῦτο ταύτην παραλιπὼν εἰκότως ἔθηκε τὴν ἀμφισβητήσιμον. Τὸ γὰρ περὶ τῶν εἰσφορῶν λαμπρὸν μὲν ἦν Ἀνδροτίωνι, ὕποπτον δὲ τοῖς ἀκούουσιν. Ὅθεν τὴν μὲν αἰτίαν τοῦ ἀγῶνος ἐκ τοῦ οἰκείου προσώπου σεσίγηκε· τὴν δὲ ἀπὸ τοῦ Εὐκτήμονος ἐμπίπτουσαν εἴληφεν. Ἄλλως τε καὶ οἶδεν Ἀνδροτίωνα μέγιστον δοκοῦντα φρονεῖν ἐπὶ ταῖς εἰσπράξεσιν· ἵν' ὁ μὲν μεγαλαυχούμενος ταῖς εἰσπράξεσιν, ὁ δὲ καθαιρῶν φαίνηται.

Αὐτὸν] Τὸν Ἀνδροτίωνα λέγει. A. et rec L.

606, 12. Ὀλίγους] Εἶπε τοὺς πλουσίους, πρὸς ἀντιδιαστολὴν τῶν πενήτων. A. et rec. L.

606, 15. Τῶν μὴ τιθέντων] Τῶν μὴ καταβαλλομένων τὰ χρήματα. A.

606, 18. Λύει τὴν ἀντίθεσιν μεταληπτικῶς. S.

606, 24. Εἰσφορὰν] Ὅτι τὸ εἰκοστὸν τῆς οὐσίας κατεβάλλοντο ἐν ταῖς εἰσφοραῖς οἱ Ἀθηναῖοι. AB.

606, 25. Εἶτα ἀπὸ συγκρίσεως. Ἡ δὲ σύγκρισις πῶς; εἰ τοσούτου δεῖ τιμᾶσθαι τὴν πολιτείαν καὶ τοὺς κειμένους νόμους καὶ τὸ εὐορκεῖν. S.

606, 28. Τὰς ἀπὸ Ναυσινίκου] Ὡσανεὶ ἔλεγεν ἐπὶ ταῖς εἰσφοραῖς ταῖς γενομέναις ἐπὶ Ναυσινίκου ἄρχοντος. A. et rec. L.

Παρ' ἴσως] Τὸ παρά ἀντὶ τοῦ κατά ἐστιν ἐνταῦθα. A. et rec. L.

607, 18. Βούλομαι] Παρέκβασις ἐντεῦθεν. Παρεκβαίνειν γὰρ δοκεῖ τῆς ὑποθέσεως, λέγων ἅπερ πρῴην ἔπραξεν ὁ Ἀνδροτίων. Ἔστι δὲ ἡ παρέκβασις καὶ αὐτὴ μέρος τῶν ἐπιλόγων. AR.

Βούλομαι δὲ] Ἐντεῦθεν ἄρχεται ἡ παρέκβασις, δοκοῦσα μὲν κοινωνεῖν τοῖς ἀρτίως ἐξητασμένοις περὶ τῆς ποιότητος Ἀνδροτίωνος, πολὺ δὲ δήπου κεχωρισμένη. Τὰ μὲν γὰρ τῆς ἀντιθέσεως τῆς ἀπὸ τῆς ποιότητος εἰς δυσώπησιν καὶ εἰς διαβολὴν τῆς κατηγορίας προτείνεται παρὰ Ἀνδροτίωνος, τὰ δὲ ἐντεῦθεν τοῦ ἐκατηγόρου ἐστὶν ὡς προηγούμενόν τι κεφάλαιον, ὃ οὐ πρὸς ἀντίθεσιν τίθεται, ἄλλως δὲ ἔχει διαβολὴν τῆς ποιότητος, ὥσπερ τι προηγούμενον κεφάλαιον εἰσαχθέν. Καὶ ὁ μὲν Ἀνδροτίων δι' ὧν ἔλεγε διέβαλλε τὴν κατηγορίαν, ὁ δὲ διὰ τῆς παρεκβάσεως ἀντιδιαβάλλει τὴν πολιτείαν. ἌΛΛΩΣ. Ἐπαγγέλλεται δύο πολιτεύματα ἐρεῖν, ἃ συμπεριείληφε. Τῷ μὲν δοκεῖν ἁπλοῖς ὀνόμασι, τῇ δὲ ἀληθείᾳ πλείω σημαίνουσιν ἢ κατὰ περιοχήν. Περιοχὴ δέ ἐστι πλειόνων ἐνδόξων ἢ τῶν ἐναντίων ἐν πράξει μιᾷ ἀθροισμός. Τὸ μὲν γὰρ ἀναιδῆ σωματικόν ἐστι καὶ τῆς ἐν τῷ δήμῳ θρασύτητος ἣν ἐπεδείκνυτο εἰσπραττόμενος, σημαντικὸν δὲ καὶ τῶν δημηγοριῶν ἃς κατὰ τῶν ἀνακειμένων στεφάνων ἐδημηγόρει· τὸ δὲ τῆς θρασύτητος ἐμφανίζει μὲν τὴν κατὰ τοῦ δήμου γεγενημένην ὕβριν, πλήττει δὲ καὶ εἰς τὸν ἐκ τοῦ ἐμφανοῦς ἱεροσυλίαν· ὁ δὲ κλέπτης δύο κλοπῶν περιεκτικόν ἐστιν ὄνομα, τῆς τε ἀπὸ τῶν εἰσπράξεων καὶ στεφάνων· ὁ δὲ ὑπερήφανος [δηλοῖ] τὸν ὀλιγαρχικόν· μικρὸν γὰρ πρόσθεν διέβαλε τοὺς ἡταιρηκότας εἰς ὀλιγαρχίαν, ἵνα κἀνταῦθα διὰ τοῦ τρόπου τῆς πολιτείας τὴν ὑπόνοιαν ταύτην πιστούμενος φαίνηται.

607, 24. Καὶ πρῶτον μὲν, ἐφ' ᾧ μέγιστον] Πέφυκε τὰ ἐγκώμια ὧν ἂν ἐθέλῃ διαβάλλειν εἰς κατηγορίαν περιτρέπειν, καὶ τὰς ἐνδόξους πράξεις εἰς διαβολὴν καὶ ἐγκλήματα, ἵνα μὴ μόνον μὴ σεμνύνωνται, ἀλλὰ καὶ ὡς ὑπὲρ ἐγκλημάτων ἀπολογεῖσθαι καταναγκάζωνται· ποιεῖ δὲ τοῦτο ἐκ τῶν περιστατικῶν, ἀπὸ τῶν περὶ τοῦ πράγματος, ἀπὸ τῶν ἐν αὐτῷ τῷ πράγματι, ἀπὸ τοῦ τρόπου, ἀπὸ τῆς αἰτίας, ἀπὸ τῆς γνώμης. Μέμνηται δὲ ἐνταῦθα Εὐκτήμονος, φυλαξάμενος κατὰ τὴν ἀντίθεσιν τὴν ἐκ τοῦ προφανοῦς μάχην. Ὅτε γὰρ ἐκίνει Ἀνδροτίων τὸν λόγον, ὅτι διὰ τὰς εἰσπράξεις ταῦτα αὐτῷ γέγονεν, ἐδύνατο μὲν ἐπιμνησθῆναι τοῦ κατὰ τὸν Εὐκτήμονα· οὐ μὴν εἴρηκεν, ἀλλ' ἑκὼν παρῆκεν, ἵνα μὴ δοκῇ βεβαιοῦν τὴν παρὰ Ἀνδροτίωνος κινουμένην ὑπόνοιαν. Οὐκοῦν οὐ τέθεικεν εἰδικῶς τὴν ἀντίθεσιν, οὐδὲ εἶπεν ὅτι μνησικακῶν Εὐκτήμων διὰ τὴν εἴσπραξιν τὴν κατηγορίαν ταύτην ἐνεστήσατο, ἀλλὰ καθόλου περὶ τῶν πολιτῶν, ἵνα συγκρούων αὐτὸν κἀκεῖ τῷ δήμῳ φαίνηται, ἐνταῦθα δὲ αὐτὸς ἐφ' ἑαυτοῦ τὴν εἴσπραξιν ἐξετάζων καιρὸν σχῇ μνησθῆναι καὶ τοῦ Εὐκτήμονος. Τὸ μὲν γὰρ ἐκ μάχης ἔχει τὴν ὑποψίαν· τὸ δὲ καθαρεῦον τῆς ὑποψίας, ὅταν αὐτὸ καθ' αὐτὸ ἐξετάζηται, φέρει πλείω διαβολὴν τοῖς φεύγουσιν. Ὑπέσχετο μὲν οὖν τὸν Εὐκτήμονα δείξειν ἔχοντα τὰς ὑμετέρας εἰσφοράς· οὐ μὴν ἀπέδειξεν.

608, 1. Καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν] Διὰ τοῦ ψηφίσματος παύσας τὴν ἀρχὴν τὴν κλήρῳ συμβᾶσαν. LYTP.

Καταλύσας] Οὐκ εἶπεν ἐλέγξας, ἀλλὰ καταλύσας, ὡς ἐπὶ τυράννου. A. et rec. L.

Κληρωτὴν] Ἐζήτησάν τινες τί δήποτε ὥσπερ ἐπαινεῖ τὴν κληρωτὴν ἀρχὴν, καίτοι τῆς δοκιμαστῆς ἀμείνονος οὔσης. Λέγομεν ὅτι, ἐάν τις κατὰ τὸ ἀληθὲς σκοπήσῃ, εὑρήσει τὴν κληρωτὴν βελτίονα τῆς δοκιμαστῆς, καθὸ ἡ κληρωτὴ καὶ δοκιμαστὴ, ἡ δὲ δοκιμαστὴ μόνον ἦν δοκιμαστή. Εἰ γάρ τις ἀπὸ κλήρου ἐγένετο ἄρχων, ἀνάγκη ἦν τοῦτον δοκιμάζεσθαι, εἰ ἄξιός ἐστι τοῦ ἄρχειν· εἰ δὲ ᾑρέθη καὶ ἐχειροτονήθη ἀπὸ μόνης δοκιμασίας, οὐ χρεία ἦν ἔτι τοῦ κλήρου. AR.

608, 3. Παρέδυ] Τὸ παρέδυ ὡς ἐπὶ κακούργου τινὸς καὶ λῃστοῦ εἶπεν. A. et rec. L.

Δημηγορίας δ' ἐπὶ τούτοις ποιούμενος] Ἐνταῦθα ἡ ἀναίδεια καὶ τὸ θράσος. Εἶτα ἐπήγαγε τὸ μεταληπτικὸν ὡς πρὸς ἀντιπῖπτον. Οὐκ ἐχρῆν εἰσπράττειν, φήσειεν ἄν τις· καὶ μάλα ἐχρῆν, ἀλλ' ὡς οἱ νόμοι προστάττουσιν. Εἶτα ἕτερον ἀντιπῖπτον μεταληπτικὸν, ἀλλὰ φιλανθρωπότεροι τῆς χρείας καὶ τῶν καιρῶν ἦσαν οἱ νόμοι. Τὸ δὲ διὰ τὸν καιρὸν, ἢ διὰ τὸν καιρὸν ὅστις ἦν τότε καιρὸς--

πόλεμος γὰρ ἦν καὶ χρεία χρημάτων—, ἢ διὰ τὸν καιρὸν μέση, καὶ ἐπακτέον ἑξῆς ὅσην τότε ἔχων ἐξουσίαν, ἀντὶ τοῦ πολλήν.*

608, 4. Πομπεῖα] Σκεύη τὰ εἰς τὰς πομπάς. B. Ἀπὸ τοῦ πομπεύειν, θυμιατήρια καί τινα τοιαῦτα. A. et rec. L.

608, 7. Κατέχων] Ἀντὶ τοῦ ἰσχύων. A.

608, 8. Διὰ τὸν καιρὸν, ὅς ἦν τότε] Ἀντὶ τοῦ διὰ τὸν πόλεμον. A.

608, 12. Ἠργολάβει] Τοῦτο μετὰ τῆς αἰσχύνης καὶ συγκρουστικόν. LYTP. Ἐργολαβεῖν γὰρ παρὰ Δημοσθένει καὶ τοῖς ἄλλοις ἐστὶ τὸ ἐπὶ φλαύροις καὶ ἀδίκοις μισθὸν λαμβάνειν. P.

608, 13. Τοὺς ἕνδεκα γράψας ἀκολουθεῖν] Τὸ μὲν ἐπιχείρημα δοκεῖ πως ἐναντίον εἶναι τῷ κατὰ Τιμοκράτους· ἐνταῦθα μὲν γὰρ τὴν πρᾳότητα θαυμάζει, ἐκεῖ δὲ τὴν φιλανθρωπίαν ἐκβάλλει. Τοῦ συμφέροντος δὲ ἀεὶ πανταχοῦ γινόμενος λέγει ἃ λέγει· καὶ γὰρ ἐνταῦθα μὲν αἰτιᾶται τὴν τοῦ Ἀνδροτίωνος πονηρίαν καὶ τὴν προπέτειαν, ἐν ἐκείνῳ δὲ συγκρίνων νόμον νόμῳ τὸν χρησιμώτερον μᾶλλον τεθαύμακεν. Εἶτα βούλεται διὰ τοῦ παραδείγματος τοῦ κατὰ τοὺς τριάκοντα ἑνὶ τούτων τῶν τρόπων τὸν Ἀνδροτίωνα δεῖξαι κεχρημένον. Τὸ δὲ ἦγεν ἐπὶ τὰς τῶν πολιτῶν οἰκίας ὡς ἐπὶ στρατοπέδου εἴρηκε, τὸ βαρὺ τοῦ πράγματος διὰ τῶν ἑξῆς ἐμφαίνων. Διὸ καὶ δεσμωτήριον ἀποκαλεῖ τὰς οἰκίας. Τῶν ἄλλων δὲ ἕνεκα, ἤτοι τῶν ἀδυνάτων καὶ πενήτων· ὅθεν ἐπάγει, τοῦτο γάρ ἐστι δημοτικόν.

Τοὺς ἕνδεκα γράψας] Καὶ τὸν τρόπον περιέχει, καὶ τὸ φορτικὸν τῆς εἰσπράξεως, καὶ τὴν ὕβριν τὴν εἰς τοὺς ἄρχοντας ἀκολουθοῦντας, ἐν ᾧ καὶ τὸ τῆς ὀλιγαρχίας ἐνδέδεικται. Εἶτ' ἐπειδήπερ οὐκ ἔχει τὴν εἴσπραξιν αἰτιᾶσθαι, τὸν τρόπον διαβάλλει καὶ τὴν ποσότητα τῶν χρημάτων, λέγων τοσούτων χρημάτων ἀντὶ τοῦ βραχέων, τοῦτον τὸν τρόπον εἰσπραχθέντων, ἀντὶ τοῦ μετὰ παρανοίας καὶ ὕβρεως.

608, 25. Εἰς τὴν πολιτείαν εἰσαγομένων] Ὅτι ὀλιγαρχικήν τινα πολιτείαν ἀντὶ δημοκρατίας εἰσήγαγεν.

609, 4. Τότε τοίνυν ὡς ἔστιν ἀκοῦσαι] Ἵνα μή τις αἰτιάσηται ὡς ψευδόμενον, ἐπὶ τὴν ἀκοὴν ἀναφέρων φεύγει τὴν μέμψιν.

609, 5. Οὐδεὶς ἐστιν ὅστις ἀπεστερεῖτο] Ἀπὸ μέρους τινὸς πειρᾶται χαλεπώτερον τῶν τριάκοντα ἀποφῆναι τὸν Ἀνδροτίωνα. Καὶ ἔστιν ὁ τρόπος τοιοῦτος· ἐκεῖνοι τοὺς φαινομένους ἐπὶ τῆς ἀγορᾶς ἐφόνευον, τοὺς δὲ κρυπτομένους οὐ περιειργάζοντο, ἀλλ' εἴων σώζεσθαι λανθάνοντας· ὁ δέ γε Ἀνδροτίων καὶ τοὺς οἴκοι κατακεκρυμμένους ἀνιχνεύων ἐδέσμευε. Κατὰ τοῦτο ἄρα ὑπερεβάλλετο τοὺς τυράννους.

609, 14. Ἢ τέγος ὡς τοὺς γείτονας] Τέγος τὸ τοῦ δώματος ὑπέρτερον μέρος. Διασκευὴ δὲ τοῦτο δεινοποιοῦσα τὰ γενόμενα, ὦ γεῖτον, οὐκ ἀδικῆσαι θέλων ἐπιβαίνω τῶν σῶν, Ἀνδροτίωνος βιαζομένου τετάραγμαι, φεύγω τὴν θύραν, σῶσον αὐτὸς γοῦν τὸν ὁμόφυλον. Τὸ δὲ « ἢ « ἄλλα ἀσχημονοίη » νόει πάντα ἃ ποιοῦσιν οἱ φωραθῆναι φοβούμενοι, γυναικῶν ὑποκρινόμενοι φωνήν τε καὶ σχῆμα, θεράποντες εἶναι δοκοῦντες τὰ τῶν δούλων μεταχειριζόμενοι, καὶ τὰ ἄλλα ἁπλῶς. Εἰπὼν δὲ καὶ ταῦθ' ὑπὸ τῆς αὐτοῦ γυναικὸς ὁρῷτο ποιῶν, θαυμαστέος φαίνεται ὁ ῥήτωρ· δεινὸς γὰρ καὶ ἐν ἀπόροις εὑρεῖν ἀφορμάς. Ἵνα γὰρ μή τις εἴποι, ἀλλ' οὐδεὶς ἑώρα ταῦτα ποιοῦντα καὶ τὸ δεινὸν ἔλαττον ἦν, ὅρα πῶς οἴκοθεν αὐτῷ προσπορίζει τὸν μάρτυρα, πικρότατον ἔλεγχον ἀπὸ τῆς γυναικὸς ἐξευρών.

609, 19. Ἣν ὡς ἐλεύθερος ἠγγυήσατο] Θέασαι τὸν κατήγορον. Ἀπὸ τῶν ῥημάτων ἐξηπάτησάς με, φήσειεν ἂν ἡ γυνή· ὡς ἐλεύθερος συνήφθης, νῦν δὲ ἀπεδείχθης ἀνδράποδον· πολίτην ᾤμην ἔχειν καὶ Ἀθηναῖον ἐκάλουν τὸν ἄνδρα, ἔλαθον δὲ, ὡς ἔοικεν, οἰκέτην δυστυχήσασα σύνοικον. Καὶ τὰ τοιαῦτα ἔξεστιν ἐργάζεσθαι. Ἐπειδὴ δὲ οὐκ εἶχεν ἕτερον μάρτυρα παραστήσασθαι τῶν ἀτόπων, ἐξεῦρεν ἀπὸ τῆς γυναικὸς αὐξῆσαι τὴν δείνωσιν· ἀπὸ τῆς τύχης, ὅτι ἐλεύθερος ὢν δούλων ὑπέμεινε πάθη· ἀπὸ τῆς ποιότητος τοῦ δράσαντος, ὃν οὐδ' ὑπὲρ ἑαυτοῦ δίκην ἐᾷ λαβεῖν τὰ πεπραγμένα καὶ βεβιωμένα· ἀπὸ τρόπου τῆς εἰσπράξεως μεταληπτικῶς· εἶτα ἀπὸ διαφόρων προσώπων, ὅτι ἔδει τὰ κτήματα ἀπογράφειν, ἀλλὰ μὴ τὰ σώματα ποιεῖν κακῶς.

609, 20. Ὁ δὲ τούτων αἴτιος Ἀνδροτίων εἴη] Αὔξησιν τῶν δεινῶν ἀπὸ τῆς τοῦ δεδρακότος ἔχει ποιότητος. Ὁ ἡταιρηκὼς τοὺς σωφρονοῦντας ἠδίκει, καὶ προὐπηλάκιζεν ἀνὴρ, κἂν ἀδικῆται, στέργειν ὀφείλων τὴν τύχην, ἐπιβοᾶσθαι τοὺς νόμους ἀδυνατῶν, ὑπὸ τῆς ἀτιμίας ἐπεξελθεῖν οὐ δυνάμενος, ἐν ἡσυχίᾳ στένων, ἀγαπῶν εἰ μὴ προσλάβοι τι δεύτερον.

609, 26. Τίνος οὖν ἕνεκ' ἀφεὶς] Διδάσκει τρόπον ἕτερον εὐπρεποῦς ἀπαιτήσεως. Ἀπογράφειν ἔδει τὰ κτήματα ὡς δημόσια τῶν μὴ θελόντων εἰσενεγκεῖν.

609, 28. Ἔδεις δὲ καὶ ὕβριζες πολίτας ἀνθρώπους] Σοφῶς πάνυ ἐπὶ μὲν τῶν πολιτῶν τὸ ὕβριζες εἴρηκεν, ὅ ἐστι τοῖς Ἀθηναίοις ἀφόρητον· ἐπὶ δὲ τῶν μετοίκων τοὺς ταλαιπώρους ὠνόμασεν, ὃ τῇ ταπεινότητι τῆς τύχης ὑπῆρχεν ἀκόλουθον. Αὐτίκα γοῦν εἰ μεταλλάξειας, οὐκ ἔθ' ὁμοίως ἕξει καλῶς.

Ἔδεις] Ἀντὶ τοῦ ἐδέσμευες, ἀπὸ τοῦ θέματος τοῦ δέω, εἶτα ἔδεον ἔδεες ἔδεις. AR.

610, 18. Ἀνθρώπους πόρνας] Ἵνα κἀκ τῶν ὀνομάτων κωμῳδήσῃ τὸν Ἀνδροτίωνα· εἶτα ἀπὸ τῆς μάχης. Τὸν μὲν ἑαυτοῦ πατέρα ᾤετο δεῖν δημοσίᾳ δεθέντα ἐπὶ χρήμασιν [ἀποδρᾶναι], τοὺς δὲ ἄλλους πολίτας ὑβρίζειν, Ἀνδροτίωνος οὐκ εἰσφορὰς ὀφλήσαντος, ἀλλὰ δημόσια νενοσφισμένου. Εἶτα αὔξησιν ἐπήγαγεν οἴκοθεν εἰς τὸ δεσμωτήριον ἕλκεσθαι. Τὸ μὲν γὰρ ἐξ ἀγορᾶς ἔχει παραμυθίαν, τὸ δὲ οἴκοθεν δεινότερον ἔχει τὸ κατηγόρημα καὶ πιστοῦται τὰς ἐπὶ τῶν γυναικῶν ὕβρεις.

610, 19. Καίτοι εἴ τισιν ἄρα δοκοῦσιν ἐπιτήδειαι] Οὔτε κατατρέχει φανερῶς οὔτε συνηγορεῖ καθαρῶς· τὸ μὲν γὰρ ἐπαχθέστερον καὶ ἄγριον, τὸ δὲ ἡδομένου τῷ τοιούτῳ βίῳ. Τὸ δὲ δεῖν βοηθεῖν ἐπὶ τὸ σχῆμα τῆς πολιτείας ἀνενήνοχεν.

611, 3. Εἷς τῶν πολιτῶν τὸν] Ἴσως αἰνίττεται ὡς Ἀνδροτίωνος οὐκ ἀνεχομένου ἄλλας ἢ ἄλλους πορνεύοντας· ζηλοτυπεῖ γάρ τις τὸν ὁμότεχνον. FLYTP.

611, 8. Προαγῶνας] Προαγῶνές εἰσι λόγοι οἱ προευτρεπίζοντες ἡμῖν τῶν δικαστῶν τὴν ἀκοήν· ἀγὼν γὰρ ἡ κρίσις.

Προπαροξυτόνως ἀναγνωστέον· ἡ σύνθεσις γὰρ τῶν δύο λέξεων πάλιν ἀνέπεμψε τὸν τόπον· προαγῶνες δὲ λέγονται οἱ πρὸ τοῦ ἀγῶνος λόγοι οἱ ἐν τῷ δήμῳ λογοποιούμενοι παρά τινος· ἀγὼν γὰρ ἡ κρίσις. Οἷον εἰ, ὅταν τις προ-

ορᾶταί τινα αὐτῷ δίκην μέλλουσαν γίνεσθαι, περιέρχοιτο καὶ λέγοι ἀπροσποιήτως· τινές μοι φθονοῦσιν ἐν τῇ πόλει διὰ τόδε τὸ πρᾶγμα, ἵνα, ὅταν γένηται ἡ δίκη, λέγῃ ὅτι οὐ προέλεγον ὅτι τινές μοι φθονοῦσι καὶ βούλονταί μοι ἐπιβουλεῦσαι; AR.

611, 9. Τῆσδε τῆς γραφῆς ἐτόλμα λέγειν] Προδιαβολὴν τοῦτο τοῦ σύμπαντος βίου λαμβάνει, ἵνα φαίνηται Ἀνδροτίων ἐκ πολλοῦ προειδὼς ὅτι πάντως ἐγκληθήσεται διὰ τὴν ὑπερβολὴν τῶν τολμημάτων· ὥστε τὸ προλέγειν αὐτὸν ἀεὶ συνειδότος ἦν ὅτι ἠδίκει. Τὸ δὲ οὐ σοὶ ῥητέαι, οἱονεὶ ὄντι αἰσχρῷ πλέον τῶν διαβεβλημένων. Ἢ οὕτως· οὐ σοὶ ῥητέαι, ὄντι γε ἀνθρώπῳ καὶ ὑποκειμένῳ ταῖς συμφοραῖς.

611, 11. Ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες] Ἀπόδειξις τοῦ Ἀνδροτίωνα οὐ διὰ τὰς εἰσπράξεις, ἀλλὰ διὰ τὴν πονηρίαν καὶ ὕβριν μισεῖσθαι, ἐξ ἐπαγωγῆς. P.

612, 3. Ἕκτον μέρος] Οἱ πολῖται εἰσέφερον τὸ εἰκοστὸν μέρος, οἱ δὲ μέτοικοι τὸ ἕκτον. AR.

612, 15. Εἴτε γὰρ ἦσαν] σχῆμα διλήμματον. A.

612, 18. Ἔτι τοίνυν ἐκ τῶνδε ἀκριβέστερον] Ἀπόδειξις ἐκ συγκρίσεως τοῦ διὰ τὸν τρόπον τῆς εἰσπράξεως, ἀλλὰ μὴ διὰ τὰς εἰσπράξεις μισεῖσθαι. RSTCV. Εἰ γὰρ διὰ τὰς εἰσπράξεις, ἐμισήθη ἂν καὶ ὁ Σάτυρος· ἀλλὰ διὰ τὸν αὐτοῦ τρόπον καὶ τὰ ὑβρίσματα. RS.

612, 21. Σάτυρος δὲ ὁ τῶν νεωρίων ἐπιμελητὴς] Οἱονεὶ ὁ τοὺς τόπους καθαίρων, δι' ὧν ἀνέλκονται αἱ τριήρεις· ἢ τῶν νεῶν αὐτῶν τὴν φροντίδα πεπιστευμένος. Ἐν οἷς θεωρεῖται τὸ τῆς ἐνστάσεως· οὐ διὰ τὰς εἰσπράξεις μεμίσηται· πόθεν; ἐμισήθη γὰρ ἂν καὶ ὁ Σάτυρος· ἀλλὰ διὰ τὸν αὐτοῦ τρόπον καὶ τὸ ὕβρισμα. ἌΛΛΩΣ. Πάλιν κατασκευάζει ὅτι οὐ διὰ τὴν πόλιν, ἀλλὰ διὰ τὴν ὠμότητα τοὺς πολεμίους ἐκτήσατο. Ἐκ συγκρίσεως γὰρ ἀποδείκνυσι διὰ τὸν τρόπον, ἀλλ' οὐ διὰ τὰς εἰσπράξεις μισεῖσθαι. Εἶτα ἐπιχείρημα μεταληπτικόν· εἰ ὑπὲρ τῆς πόλεως ἐποιεῖτο τὴν εἴσπραξιν, ἔδει τῶν κλεπτόντων στρατηγῶν καὶ ῥητόρων κατηγορεῖν. Ἀλλὰ μὴν οὐ φαίνεται τοῦτο ποιῶν· οὐχ ὑπὲρ ὑμῶν ἄρα τὴν εἴσπραξιν ἐποιήσατο. Εἶτ' ἐπειδήπερ στοχαστικὸς κατὰ τοὺς ῥήτορας καὶ τοὺς στρατηγοὺς ἐδόκει ὁ τόπος, ἐπήγαγεν εὐθὺς τὴν ἀπόδειξιν, εἰπὼν « οἳ παρὰ τούτοις κέκρινται. » Τὸ δὲ τοὺς αὐτοὺς τούτους εἶπεν, ἵνα μὴ εἴποι ὅτι ἐκεῖνοι μὲν εὐγνώμονες ἦσαν, οἱ δ' ἐμοὶ ἀναισχυντότεροι οὐχ ὡς ἐκεῖνοι. Τὸ δὲ ἴσως μόριον νῦν ἀντὶ τοῦ γάρ κεῖται, καὶ ἔστιν ἡ φράσις Ἀττική· καὶ γὰρ ἐκεῖνο εἰδόσιν ὑμῖν ὅμως ἐρῶ.

613, 12. Ὅτι τοίνυν ὅλως] Ἄλλο ἐπιχείρημα σαλεῦον αὐτοῦ τὴν ἔννοιαν, ἐφ' οἷς λέγει, δι' ὑμᾶς πολεμοῦμαι. Ἐκήδετο τῆς πόλεως, τοὺς ἁρπάζοντας μᾶλλον τὰ κοινὰ ἢ κλέπτοντας ἀπῄτει, οὐ τοὺς ὀλίγα ἔχοντας καὶ φειδομένους.

613, 27. Οἳ παρὰ τούτοις κέκρινται] Ἵνα μὴ ἀντιπέσῃ, Ἀλλ' εἰ καὶ ἠδίκησαν ἔλαθον, ἐπάγει κέκρινται. Εἶτα ἕτερον ἀντιπῖπτον, ἀλλ' ἐκρίθησαν μέν, ἠφείθησαν δέ· ἵνα μὴ συκοφαντεῖν φαίνηται τὰ τῆς κρίσεως, ἐπήγαγε τὴν λύσιν, ὧν οἱ μὲν τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν. Εἶτα, ἐπειδή τινες καὶ συκοφαντούμενοι θνήσκουσιν ἀδίκως, αὐτοὺς ἑαυτῶν ἐποίησε καταγινώσκοντας τῷ πεφευγέναι τὴν κρίσιν.

613, 29. Ἐξητάσθης] Ἐφάνης. P.

614, 1. Οὕτως ὢν θρασὺς καὶ λέγειν δεινὸς] Ἑτέρα λυποῦντος διόρθωσις. Ἵνα μὴ ἀντιπέσῃ, ἀλλ' ἐκεῖνοι μὲν ἠδίκουν πεντακόσιοι, ἐγὼ δὲ κατηγορεῖν οὐκ ἠδυνάμην ἐπιεικὴς ὢν καὶ δειλός· διὰ τοῦτο εἶπεν, οὕτως ὢν θρασὺς καὶ λέγειν δεινός.

614, 6. Ὑφαιροῦνται] Κλέπτουσι. P.

614, 7. Δι' ἀπληστίαν δὲ τρόπων διχόθεν] Ἢ ἀπὸ τῶν εἰσφορῶν τῶν συμμάχων ἢ πρὸς τῷ μὴ εἰσφέρειν καὶ ὑφαιροῦνται τὰ κοινά.

614, 8. Οὔτε γὰρ ῥᾷον πολλοῖς] Πρεπῶδές ἐστι τῇ δημοκρατίᾳ τὸ μᾶλλον περιεργάζεσθαι τὰ ἀδικήματα τῶν ὀλίγων ἤπερ τῶν πολλῶν. AR.

Οὔτε γὰρ ῥᾷον] Αὕτη ἀναίρεσεις αἰτίων λέγεται· τὰς ἄλλας ἀναιροῦντες μίαν ἣν βουλόμεθα καταλείπομεν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὔτε εὐκολώτερόν ἐστι πολλοῖς ἀνθρώποις προσκρούειν ὀλίγα ἀδικοῦσι, καὶ μᾶλλον ἐπιθετέον τοῖς ὀλίγοις μέν, πλείονα δὲ ἐξαμαρτάνουσιν· οὔτ' αὖ ὡς δημοτικὸν περιείργασαι μὲν τὰ τῶν πενήτων κακά, παρεῖδες δὲ τὰ τῶν πλουσίων. Τοὐναντίον γὰρ μᾶλλον ἔπρεπεν.

614, 12. Οἶδεν ἵνα] Αὕτη ἐστὶν ἡ ἀληθὴς αἰτία, ἣν καταλείπει. FLYP.

614, 18. Ὁμοῦ μετοίκους Ἀθηναίους δέων] Ἵνα παντὶ τῷ πλήθει συγκρούων φαίνηται , ὑπέμνησε τῶν εἰς ἅπαντας γεγενημένων ὕβρεων· τοῦτο πεποίηκε καὶ ἐν τῷ κατὰ Μειδίου, συγκρούων ἅπασι τοῖς ἔθνεσι τῆς πόλεως τὸν Μειδίαν, ἱππεῦσιν, Ἀρειοπαγίταις, δήμῳ· τοῦτο κἀν τῷ κατ' Αἰσχίνου, συγκρούων Αἰσχίνην τῷ Χάρητι, πρὸς ὃν αὐτὸς μὲν ὁ δῆμος οὐκ εἶχεν οἰκείως, οἰκειώσασθαι δὲ βουλόμενος τῷ μὲν ἀντιδίκῳ προσέκρουσεν, αὐτῷ δὲ προσήγαγεν.

614, 21. Εἰ μάτην τὸ δεσμωτήριον] Τί παρενοχλεῖτε τὴν πόλιν; οἴκησις ὑμῖν ἀποδέδοται πρόσφορος. Τὸ δεσμωτήριον καταλάβετε τοῦτο, ὃ δι' ὑμᾶς οἱ πατέρες ᾠκοδομήκασιν.

Καταφαίην ἂν] Μία λέξεις ἀντὶ τοῦ ναί, ὁμολογῶ καὶ συντίθεμαι, ὅτι μάτην ᾠκοδομήθη τὸ δεσμωτήριον. Ἀλλαχοῦ κατὰ διαίρεσιν εὑρίσκομεν ἀναγινωσκόμενον τοῦτο καὶ διαλυόμενον εἰς δύο λέξεις, ὅταν καὶ β' πράγματα θέλῃ σημᾶναι τὸ κῶλον· ἐνταῦθα δὲ ἕν ἐστι. AR. et rec. L. Κατάφασις, ὁμολογία. Y.

Ἐρωτῶντί σοι περὶ τοῦ δεσμωτηρίου σφόδρα ἂν ἀποκριναίμην ὡς μάτην ᾠκοδόμηται, τό γε τοῦ σοῦ πατρὸς μέρος· οὐ γὰρ ἴσχυσε φυλάττειν αὐτόν, ἀλλὰ γέλως ὤφθη φυγόντος αὐτοῦ τὸ δεσμωτήριον.

614, 23. Ἐξορχησάμενος Διονυσίων] Κακῶς τῇ πομπῇ καὶ τῇ πανηγύρει χρησάμενος· ἔθους γὰρ ὄντος ἀνίεσθαι τότε διὰ τὴν ἑορτήν, εἶτα ἐμβάλλεσθαι, διὰ τὸν δρασμὸν ἐνύβρισε τοῖς Διονυσίοις.

Ἐξορχησάμενος] Φυγών, ἀποδράς. B. Ἔθος ἦν παρὰ τοῖς Ἀθηναίοις ἐν τοῖς Διονυσίοις καὶ ἐν τοῖς Παναθηναίοις τοὺς δεσμώτας ἀφίεσθαι τοῦ δεσμοῦ ἐν ἐκείναις ταῖς ἡμέραις παρασχόντας ἐγγυητὰς πρὸς τὸ μὴ φυγεῖν, ἵνα καὶ τὸ εὐσεβὲς γένηται πρὸς τὸ θεῖον καὶ ἀσφαλὲς ὑπάρχῃ τοῖς χρεωστουμένοις μὴ φευγόντων τῶν δεσμωτῶν, ἀλλὰ μετὰ τὰς ἡμέρας τῆς ἑορτῆς πάλιν ἐμβαλλομένων εἰς τὸ δεσμωτήριον. Λέγει οὖν ὅτι ἐν ἐκείναις ταῖς ἡμέραις ὁ πατὴρ τοῦ Ἀνδροτίωνος ὡς ἄδειαν ἔχων ἐκ τοῦ δεσμοῦ ἀπέδρα. Τὸ δ' ἐξορχησάμενος ὡς πρὸς τὴν πανήγυριν ἔπαιξεν, ἐπειδήπερ ἐν ταῖς ἑορταῖς ἔθος ἐστὶν ὀρχεῖσθαι, ἀντὶ τοῦ προσέπαιξε τῇ πανηγύρει καὶ χλεύης ἀφορμὴν ταύτην ἐποιήσατο, ἵνα καὶ ἀσεβῆ αὐτὸν δείξῃ. AR.

Αὐταῖς πέδαις] Δεδεμένους ἐν πέδαις ἔχων τοὺς πόδας LYT.

614, 28. Ἄλλα δ' ἴσθ' ἃ καλῶς διώκηκεν] Ἀντὶ τοῦ· ἐὰν συγκριθῇ τὰ μέλλοντα λέγεσθαι πρὸς τὰ εἰρημένα, οὐδαμῶς μέλλει νομίζεσθαι ἄξιος εἶναι μίσους ἐν τοῖς προειρημένοις. Οὕτω γὰρ μείζονα ἢ ἅπερ μέλλω ἐπιφέρειν περὶ αὐτοῦ τῶν προειρημένων. AR.

615, 4. Τὴν καλὴν] Κατ' εἰρωνείαν A.

615, 13. Τὴν δημόσιον] Δημόσιον λέγει τὸν ταῖς βασάνοις ὑποκείμενον. Διὸ καὶ δοῦλον καλεῖ. FLYTCP.

616, 1. Ταῖς χοινικίσι] Χοινικὶς τοῦ τροχοῦ ἐν ᾧ στρέφεται ὁ ἄξων. BFYTCP. Χοινικίδας καλεῖ τὰς βάσεις αὐτάς, ἔνθα ἦσαν κείμενοι οἱ στέφανοι. Χοινικίδες δὲ ἐκαλοῦντο, ἐπειδὴ σχῆμα. Ἔσωζον χοινίκων, τῶν μέτρων τοῦ σίτου. AR. et rec. L.

616, 3. Ἀριστεῖον] Γέρας ὑπὲρ τῆς ἀριστείας· ὡς γὰρ τῶν πολέμων προστάτιν ἐτίμων τοῖς δώροις τὴν πόλιν. FLYTCP.

616, 27. Δι' ἐκεῖνον] Διὰ τὸν Τιμοκράτην συνηγοροῦντα· κρινομένῳ γὰρ συμπαρῆν. FLYTCP.

616, 29. Σκαιὸς] Μῶρος καὶ ἀπαίδευτος. Διαβάλλων αὐτὸν εἰς κακίαν ἐν τοῖς προειρημένοις βούλεται αὐτὸν ἐν τοῖς ἐπιλόγοις καὶ εἰς ἀπαιδευσίαν καὶ ἄνοιαν κωμῳδῆσαι. AR.

617, 19. Παρθενὼν] Ὁ νεὼς τῆς παρθένου. LYTC.

Νεώσοικοι] Τὸ ναύσταθμον. B.

Οὐχ ἀμφορίσκοι δύο] Ἀμφορίσκοι εἰσὶν ἀγγεῖα, ὡς ἔξεσται τινές· χρυσίδες δὲ χρυσαῖ φιάλαι. FLYTCP.

XXIII. ΚΑΤΑ ΑΡΙΣΤΟΚΡΑΤΟΥΣ.

621, 1. Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ μήτε ἰδίας ἔχθρας ἐμὲ μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκράτους κατηγορήσοντα τουτουὶ] Διπλοῦς ὁ λόγος, καθάπερ καὶ ὁ κατὰ Τιμοκράτους. Ἔχει γὰρ διπλῆν ὑπόθεσιν τὴν τῶν παρανόμων τὴν κρινομένην· ἔχει δὲ καὶ ἑτέραν ἐπεισενηνεγμένην τὴν κατὰ τὴν Χερρόνησον. Ἔστι δ' ὡς ἂν εἴποι τις, κατὰ τὴν ὁμοιότητα, ἀνταγώνισμα ὁ παρὼν λόγος τῷ περὶ τοῦ στεφάνου λόγῳ. Ἀλλ' ἐκεῖ μέν, ὅτι ἄξιός ἐστι τῆς δωρεᾶς ὁ Δημοσθένης ἀγωνίζεται Κτησιφῶν, ἐνταῦθα δὲ Εὐθυκλῆς Ἀριστοκράτην ἐγράψατο, φάσκων παράνομον εἶναι τὸ ψήφισμα, καὶ ὅτι οὐκ ἄξιός ἐστι τῆς δωρεᾶς ὁ Χαρίδημος. Δηλοῦνται δὲ ἡ στάσις ὅτι πραγματική ἐστιν ἔγγραφος, εἰ δεῖ κυρωθῆναι τὸ ψήφισμα, ἢ μή. Εἰσὶ δὲ τοῦ λόγου κεφάλαια τρία, τὸ δίκαιον, τὸ νόμιμον καὶ τὸ συμφέρον. Καὶ τὸ μὲν δίκαιον καὶ νόμιμον ἐνέπεσε κυρίως ἐκ τῆς ὕλης τῶν πραγμάτων, τὸ δὲ συμφέρον ἐκ περινοίας τοῦ ῥήτορος. Καὶ κατηγορεῖ τῷ μὲν νομίμῳ κατὰ τοῦτον τὸν τρόπον, ὅτι δέκα νόμους παρέβη, ὧν οἱ μὲν ἑπτὰ φονικοί, οἱ δὲ τρεῖς πολιτικοί· τῷ δὲ δικαίῳ, ὅτι πολλάκις ὁ Χαρίδημος ἠδίκησε τὴν πόλιν, καὶ οὐ δίκαιον δοῦναι αὐτῷ τὴν τοιαύτην δωρεάν. Τίθησι δὲ καὶ τὸ συμφέρον ἐκ περινοίας τοῦ ῥήτορος οὕτως, ὅτι σκοπήσατε οἵῳ τρόπῳ παρελήφθη καὶ ποίῳ ἐδόθη ἡ Χερρόνησος· δῆλον ὅτι ἐλήφθη τοῦ Κότυος βασιλεύοντος, ἐδόθη δὲ μερισθείσης τῆς βασιλείας εἰς τρεῖς. Νῦν οὖν ὑμῶν παρεχόντων τῷ Χαριδήμῳ τὴν τοιαύτην δωρεάν, ἐὰν βουληθῇ ὁ Κερσοβλέπτης τοῖς ἄλλοις πολεμῆσαι βασιλεῦσιν, οὐχ ἕξει τὸν ἐναντιούμενον· ὁ γὰρ Ἀθηνόδωρος Ἀθηναῖος ὢν οὐκ ἐθελήσει φονεῦσαι τὸν Χαρίδημον διὰ τοὺς Ἀθηναίους· πάλιν ὁ Σίμων καὶ ὁ Βιάνωρ, σύμμαχοι ὄντες ἤτοι πολῖται, οὐδ' αὐτοὶ ἐθελήσουσι Χαρίδημον διαχρήσασθαι. Εἰ δ' οὗτοι μὴ ἐναντιωθῶσι τοῦ Χαριδήμου στρατηγοῦντος τῷ Κερσοβλέπτῃ, ἐρημωθέντων τῶν ἄλλων βασιλέων καὶ φονευομένων, γενήσεται μονοκράτωρ ὁ Κερσοβλέπτης, καὶ οὐδὲν αὐτὸν κωλύσει λαβεῖν τὴν Χερρόνησον. Οὐκ ἔστιν οὖν τοῦτο τὸ κεφάλαιον ἐκ τῆς ὕλης τῶν πραγμάτων κυρίως, ἀλλὰ τοῦ φεύγοντός ἐστι λέγοντος ὅτι συμφέρει ὑμῖν τὸ λαβεῖν τὴν Ἀμφίπολιν, καὶ πολλὰ τοιαῦτα. Ὅτι δὲ ἐκ περιεργίας τοῦ ῥήτορος ἐνέπεσε τὸ κεφάλαιον, δῆλον ἐκ τοῦ κατὰ Κτησιφῶντος Αἰσχίνου. Τοιαύτης γὰρ οὔσης κἀκεῖ [τῆς] ὑποθέσεως, ὁ μὲν Αἰσχίνης διὰ πενίαν συνέσεως καὶ δεινότητος ἔνδειαν οὐκ εὐπόρησε θεῖναι τὸ συμφέρον, ἀλλὰ τὴν ἁπλῆν ἠγωνίσατο, ὡς ἁπλούστερος· ὁ δὲ Δημοσθένης ὡς Δημοσθένης καὶ ἔξωθεν προσεπενόησεν ἐκ τῆς τέχνης καὶ τῆς δεινότητος συμμαχίαν λαβεῖν· διὰ τοῦτο καὶ τρίτον κεφάλαιον ἐκίνησεν ἐν τῷ λόγῳ τὸ συμφέρον. Προοίμια δὲ τοῦ λόγου ἐστὶ τρία, τὸ μὲν πρῶτον ἐκ τοῦ πράγματος, ὅτι μεγάλα τὴν πόλιν ἀδικουμένην ὁρῶν τὸν ἀγῶνα τοῦτον ἐνεστησάμην· ἐν ᾧ καὶ τὴν ἔχθραν τὴν πρὸς Χαρίδημον μὲν κρύπτει, ἔχειν δὲ ἀηδῶς πρὸς τὸν Ἀριστοκράτην διορίζεται, ἐξ οὗ βλαβήσεσθαι ἔμελλεν οὐδέν· ἐπειδὴ γὰρ ὁ μὲν προφανὴς ἀγὼν πρὸς Ἀριστοκράτην, ὁ δὲ κρυπτόμενος πρὸς Χαρίδημον, διὰ τοῦτο τὸ μὲν κρύπτει ὡς ἀνύποπτον, περὶ δὲ τοῦ ἐμφανοῦς διαλέγεται. Τὸ δὲ δεύτερον ἐκ προσώπου τοῦ λέγοντος εἴληπται, Ἐπειδήπερ ἰδιώτης τυγχάνων πρᾶγμα τηλικοῦτον δείξειν ἐπαγγέλλομαι, προσήκει πάντας ὑμᾶς συναγωνίσασθαί μοι· τοῦτο δέ φησι διὰ τὸ φοβεῖσθαι ὅτι ἰδιώτης τυγχάνων πρὸς δημαγωγοὺς καὶ στρατηγὸν ἀγωνίζεται· πόρρωθεν γὰρ αὐτῷ τὸ ἀνύποπτον κατασκευάζει διὰ τῆς δοκούσης ἁπλότητος. Τὸ δὲ τρίτον ἀπὸ προσώπου τοῦ Χαριδήμου, δι' ὅνπερ ὁ λόγος· δέδοται γὰρ ἡμῖν θεώρημα λύειν τὰ ἀντιπίπτοντα πάντα ἀπὸ τῆς ἀξίας, ἐπειδὴ κατὰ ἐνδόξου προσώπου τοὺς λόγους ποιούμεθα· τοῦτο καὶ Ἀριστείδης ἐν τῷ Περικλεῖ πεποίηκεν. Ἔστι δ' ἐν μέσῳ τοῦ προοιμίου τοῦ τρίτου συστροφή τις ἐνθυμηματική, « εἰ μὲν δὴ τοῦτο μέγιστον Ἀριστοκράτης » καὶ τὰ ἑξῆς. Ἐπειδὴ γὰρ κατ' ἀρχὰς τοῦ προοιμίου διέβαλε τὴν ὑπόληψιν Χαριδήμου, ἐφοβήθη μὴ τὴν ἐξ ἀκολουθίας ἀπόδειξιν τῆς δυσνοίας ὁ ἀκροατὴς ζητήσῃ, ἣν ἔλυσε, νῦν μὲν σπεύδειν ἐπὶ τὸ κατὰ Χερρόνησον προσποιησάμενος, ὕστερον δ' ἐρεῖν τὴν δύσνοιαν ἐπαγγειλάμενος. Ἐπειδὴ δὲ ἔμελλεν ὁ ἀκροατὴς θαυμάζειν τί δήποτε ψηφίσματος κατηγορίαν ποιούμενος παρανόμου, Χερρονήσου κατὰ τοὺς ἀγῶνας μέμνηται, ἐν καταστάσει προδιατίθησι τὸν ἀκροατὴν οἰκείαν ὑπολαμβάνειν τῷ ἀγῶνι τὴν μνήμην τῆς Χερρονήσου, ὅλον τὸν ἀγῶνα δι' αὐτῆς διαβάλλων καὶ ὕποπτον καθιστάς. Καὶ ἔστιν ὥσπερ προκατασκευὴ τοῦ συμφέροντος. Ἡ κατάστασις δὲ λαμβάνεται ποτὲ μὲν ἐκ γνώμης ποτὲ δὲ ἐκ διηγήσεως. Ἐπειδὴ δ' ἔμελλεν ἀκούσας ὁ ἀκροατὴς περὶ τῆς Χερρονήσου ἐπιζητεῖν εὐθὺς τὰς ἐντελεστέρας ἀποδείξεις, διὰ τοῦτο φεύγων, εἶτα μὴ προσποιούμενος φεύγειν, δίδωσιν αἵρεσιν πότερόν ποτε τὸ νόμιμον ἀκοῦσαι βούλονται πρῶτον ἢ τὸ δίκαιον ἢ τὸ συμφέρον. Ἐπειδὴ γὰρ ἦν αὐτῷ ἰσχυρὸν τὸ νόμιμον καὶ οἰκειότερον μᾶλλον τῇ γραφῇ, διὰ τοῦτο καὶ ἀναγκαῖον ἡγήσατο τούτῳ πρώτῳ χρήσασθαι. Ἀμέλει γοῦν, ὡς οὐκ ἀντειπόντος τοῦ ἀκροατοῦ ἢ ἐπιζητήσαντος κατὰ τὴν ἐπαγγελίαν τῆς

γραφῆς, εἶπε (p. 626, 20) « περὶ τοῦ νομίμου βούλεσθε πρῶτον; τοῦτο ἐροῦμεν· » καὶ ἐπειδὴ ἔμελλεν ἀντιπίπτειν ἐκ τοῦ νόμου ὅτι ξένος Χαρίδημος, καὶ διὰ τοῦτο ἐγράφη τιμή τις αὐτῷ ἰδίᾳ ἐν τῷ ψηφίσματι—ὁ γὰρ κατὰ τῶν φονικῶν θεσμὸς κατὰ τῶν πολιτῶν ἐδόκει κεῖσθαι—, διὰ τοῦτο ἐδεήθη πρὸς τὴν λύσιν τοῦ ἀντικειμένου προκατασκευῆς, συνεθίζων τὸν ἀκροατὴν ὅτι πολίτης καὶ ὑπὲρ πολίτου ὁ λόγος, τῷ μὲν δοκεῖν χαριζόμενος αὐτῷ τὴν ἐκ τῆς μετουσίας τιμὴν, τῇ δὲ ἀληθείᾳ τὸ κεφάλαιον ποιῶν ἰσχυρότερον· ὅσῳ γὰρ [ὡς] ὑπὲρ πολίτου, τοσούτῳ μᾶλλον ἀγανακτήσουσιν οἱ ἀκούοντες, εἰ πολίτῃ μετέχοντι τῆς ἐκ τῶν νόμων ἐπικουρίας ξένην τις ἔγραψε δωρεάν. TCV. (*)

621, 1. Μηδεὶς ὑμῶν] Διαλύεται τὴν ἔχθραν ὁ κατήγορος. BY.

621, 3. Μήτε μικρὸν δρῶντά τι καὶ φαῦλον ἁμάρτημα] Ὅρα ὅπως ἐν ἀρχῇ τοῦ λόγου, ὡς ἐπιεικής, ἐπὶ μικροῖς ἁμαρτήμασιν οὐκ ἄν ποτε προελθεῖν εἰς τὴν κατηγορίαν διϊσχυρίζεται· τοῦτο γάρ ἐστιν ἐν ᾧ λέγει « μηδὲ μικρὸν δρῶντά τι καὶ φαῦλον ἁμάρτημα· » τὸ γὰρ φαῦλον ἐνταῦθα ἐπὶ τοῦ εὐτελοῦς καὶ μικροῦ κεῖται, διὸ καὶ καλῶς ἐπήγαγεν αὐτῷ τὸ ἁμάρτημα, τῷ ὀνόματι δεικνὺς τὸ εὐκαταφρόνητον.

621, 6. Ἀλλ' εἴπερ ἄρα ὀρθῶς] Διπλασιασμὸς κώλου. BY. Ἐγὼ, φησὶν ὁ ἰδιώτης, εἰ μὴ σφάλλομαι λογισμῷ τοῦ πρέποντος.

621, 7. Καὶ μὴ παρακρουσθέντας] Ἃ γὰρ μὴ πόλεμος ἀφαιρεῖται, φησὶ, ταῦτα ῥήτωρ ὢν ἅπαντα τοῖς πολεμίοις χαρίζεται. Διὰ δὲ τοῦ πάλιν ἀναμιμνήσκει τῆς ἐπὶ Κότυος ἐπηρείας, ἡνίκα τὴν Χερρόνησον ἥρπασεν.

622, 9. Εἰκότως δ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἠθικὸν σφόδρα τουτὶ τὸ προοίμιον ἐκ προσώπου τοῦ λέγοντος, ὅτι καίπερ ὢν ἰδιώτης καθέστηκε καὶ μέλλει πρὸς δημαγωγοὺς καὶ στρατηγὸν ἀγωνίζεσθαι. Ὁ δὲ νοῦς τοιοῦτος, εὐλογώτερον ἄν, οἶμαι, τὰς ἀκοὰς παράσχοιτε, ἐπειδήπερ, δυναστείαν οὔτε ἀπὸ τῶν κοινῶν τῆς διοικήσεως ἔχων οὔτε ἀπὸ τῆς τῶν λόγων δεινότητος, ἐπαγγέλλομαι τοσοῦτον κακὸν ἀναστεῖλαι.

622, 14. Ὅσον ἐστὶν ἐν ὑμῖν] Ἤτοι ὅσον δύνασθε. B.

622, 21. Οὐδὲ σκοπεῖν ἐπέρχεται] Οὐδὲ εἰς νοῦν ἔρχεται. P. Ἐπιτιμήσαντι τρόπον τινὰ ἀντέπιπτε, πῶς οὖν λέγεις καὶ ἀπαντᾷς εἰς τὸ δημόσιον, καίτοι ἀπράγμων ὢν ὡς ὁμολογεῖς; διόπερ ἐδεήθη καὶ ὅρκου σφοδροτέρου.

622, 28. Οὐκ ἀγνοῶ μὲν οὖν] Λύσις ἐστὶν ἀναγκαίως ἐνταῦθα τοῦ ἀντιπίπτοντος ἐκ τῆς τοῦ Χαριδήμου ποιότητος καὶ τῆς ἀξίας· διὸ καὶ τὸ οἴονται κείμενον διαβάλλει τὴν κρίσιν· καὶ τὸ εὐεργέτην νομίσαι τῆς πόλεως βαρὺ καὶ οὐ φορητὸν, * τῆς τηλικαύτης καὶ ὄντως ἐνδόξου πόλεως ἄνδρα οὕτως εὐτελῆ καλεῖν εὐεργέτην τὴν καὶ θεοὺς εἰπεῖν εὐεργετήσασαν καὶ ὑποδεξαμένην καὶ κρίνασαν.

623, 2. Δυνηθῶ πρὸς ὑμᾶς εἰπεῖν] Ἵνα, ἐὰν μὴ πείσῃ, τῆς ἑαυτοῦ τὸ αἴτιον ἀδυναμίας φανῇ, μὴ τῆς τῶν πραγμάτων ἀσθενείας.

623, 3. Οἴομαι δείξειν] Τὸ οἴομαι πρὸς τὴν ἰδιωτείαν ἀκόλουθον· τὸ δὲ δείξειν καὶ τὰ ἑξῆς εἰρημένα τῷ θαρρεῖν τοῖς πράγμασιν ἁρμόττει.

623, 5. Εἰ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι] Τουτό τινες ὑπὸ τοῦ σχήματος τῆς ἁρμονίας ἀπατηθέντες, τέταρτον ᾠήθησαν προοίμιον· ἔστι δὲ συστροφή τις ἐνθυμηματικὴ, τὴν αἰτίαν ἔχουσα τοιαύτην· ἐπειδὴ γὰρ τὸν Χαρίδημον ἐν τῇ προτάσει τοῦ προοιμίου διαβέβληκεν, ἐνεχώρει δὲ τοὺς ὑπὲρ αὐτοῦ λέγοντας ῥήτορας εὐθὺς ἀπαιτῆσαι τὴν ἀπόδειξιν πῶς ἐγένετο δύσνους; ἀνεβάλλετο τὴν περὶ τούτου τέως πίστιν, κατασπεύδειν τὸ περὶ τὴν Χερρόνησον ὑποκρινόμενος, τῷ μείζονι τὸ ἔλαττον ὑποκλέπτων· διὸ καὶ εἶπεν « ἀνάγκη « δὲ πρῶτον ἁπάντων εἰπεῖν καὶ δεῖξαι » καὶ ἑξῆς ὡς ἀνάγκης ἐπιτεθείσης φαίνοιτο λέγων, οὐ πρὸς ἀπέχθειαν. Ἔστι δὲ τοῦτο τὸ νόημα προκαταρκτικὸν, εἰπεῖν καὶ δεῖξαι, οὕτως ἄρα ἡ χρεία κατεπείγει. Καὶ ἐν καταστάσει γὰρ μερικῶς ἀγωνιστέον καὶ δεικτέον.

623, 17. Ἔστι τοίνυν] Ἐγκατάσκευός ἐστιν ἡ διήγησις· λέγει γὰρ οὕτως ὁ τεχνικός (Hermag. t. 3, p. 94 W.) « ὅταν σύντομος ᾖ καὶ πολιτικὴ ἡ διήγησις, τῷ ἐγκατα- « σκεύῳ χρησόμεθα τρόπῳ, ταῖς αἰτίαις κατασκευάζοντες « αὐτὴν, ἵνα γένηται ῥητορικωτέρα τῇ προσθήκῃ τῶν αἰ- « τιῶν, εἰς κατασκευὴν βοηθουμένη. » BY.

Ἔστι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἡ κατάστασις ἐντεῦθεν ἀπὸ λογισμοῦ τοῦ συμφέροντος.

623, 22. Τοῦτο τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Τὸ θεραπεύεσθαι τὴν πόλιν παρὰ τῶν βασιλέων.

623, 23. Βουλόμενοί τινες παῦσαι] Οὐ μόνον τὸν Ἀριστοκράτην, ἀλλὰ καὶ ἄλλους τινὰς ὑπαινίττεται· διὰ δὲ ἀπέχθειαν παραιτεῖται τοὺς ἄλλους λέγειν.

624, 12. Ἀγώγιμον] Οἱ μὲν εἰρήκασιν ἐπὶ κρίσει· ὁ δὲ ῥήτωρ ἐκ τῆς ἀσαφείας εἰς ὃ ἐβούλετο μετήγαγεν, ἐπὶ θανάτῳ λέγων. Ζητήσειε δ' ἄν τις τίνος χάριν τῆς καταστάσεως ἁπλουστάτης οὔσης κατὰ φύσιν καὶ ἀκατασκεύου, ὁ ῥήτωρ ταύτην ἐναγώνιον εἰργάσατο. Φαμὲν ὅτι ἐπειδὴ περὶ μελλόντων ἔλεγεν — εἴπομεν γὰρ ὅτι ἐκ τοῦ συμφέροντος ἐγένετο —, τὸ δὲ μέλλον ἐν ἀδήλῳ τὴν φύσιν ἔχει, σαθρὸν δὴ ὑπάρχον καὶ ἐν ἀφανεῖ τυγχάνον, δι' ἀποδείξεως πειρᾶται τοῦτο δεικνύειν καὶ τὸ ἀληθὲς εὑρίσκειν.

625, 19. Οὐ τοίνυν ἐκ τούτων μόνον δῆλον] Ἀπόδειξις τῶν εἰρημένων. Τὴν μὲν οὖν κατάστασιν δι' ἐνθυμημάτων ἐπεραίωσε, ταύτην δὲ τὴν ἀπόδειξιν ἀπ' αὐτοῦ τοῦ ψηφίσματος.

Καὶ παραβὰς τὸ τί πράττοντα] Τὸ ἀσαφὲς μερικῶς ἐξετάζει, ἀναφέρεται δὲ εἰς τὸ συμφέρον. Τὸ γὰρ ἀσαφὲς βλάβην κομίζει, ὅπερ ἴδιον τοῦ συμφέροντος.

625, 28. Κατὰ τούτων] Τῶν ἐχθρῶν.

626, 8. Ὡς μὲν τοίνυν ἕνεκεν ἐρρέθη τὸ προβούλευμα] Συμπέρασμα τῆς καταστάσεως. Εἰ δέ τις ζητήσειε πῶς τὴν τῶν κεφαλαίων τάξιν ἤμειψε· κατὰ φύσιν γὰρ τὸ δίκαιον τοῦ συμφέροντος προτέτακται, ὅτι τὸ μὲν περὶ τῶν παρεληλυθότων, τὸ δὲ περὶ τῶν μελλόντων· τί δὴ παρέλιπε τὸ τῇ φύσει πρῶτον; ἐροῦμεν ὅτι τὸ μὲν τῇ φύσει πρῶτον δίκαιον, ἐν ᾧ ἦν ὁ βίος αὐτοῦ, τετήρηκεν ὕστερον, ἵνα ὁ ἀκροατὴς ἀκούων τὰς πράξεις αὐτοῦ καὶ ἀγανακτήσας ἐνέγκῃ τὴν ψῆφον, τὸ δὲ νόμιμον προτέτακται, ἐπειδήπερ αὐτῷ πολὺ ἰσχύει. Ἔστι γὰρ αὐτοῦ τεχνικὸν παράγγελμα, τὰ ἰσχυρὰ προτάττειν καὶ μὴ τῇ τάξει ἕπεσθαι, ἀλλ' ὡς ἔχει καλῶς.

626, 13. Ὑπεσχημένον τρία ἐπιδείξειν] Πῶς μηδὲν ἐπαγγειλάμενος φησὶν ὑπεσχημένον; φαμὲν ὅτι ἐν τῇ γραφῇ εἶπεν ὅτι κατηγοροῦμεν τοῦ ψηφίσματος ὡς παρανόμου, ὡς ἀδίκου, ὡς ἀσυμφόρου. Τὰ οὖν ἐν τῇ γραφῇ ἐπῆλθεν. Ὡς δὲ ὁ λόγος ἔχει τὰ κεφάλαια, οὕτως ἐκτέ-

(*) Ex iisdem codicibus TCV petita sunt scholia quibus sigla non adscribuntur

θειται, οὐχ ὡς ἡ τάξις ἀπαιτεῖ, δι' ὃν προείπομεν λόγον.

626, 15. Τρίτον δὲ ὡς ἀνάξιός ἐστι] Τὸ δίκαιον· τὸ γὰρ ἀνάξιος εἰς τοῦτο ἀναφέρεται.

626, 17. Αἵρεσιν ὑμῖν δοῦναι] Ἐπειδὴ γὰρ ἀπῄει ἐκ τῆς καταστάσεως διδαχθεὶς ὁ ἀκροατὴς τὸ συμφέρον, οὐκ ἐβούλετο δὲ αὐτοῖς τοῦτο πρῶτον εἰπεῖν, ὡς εἴπομεν, διὰ τὴν οἰκονομίαν, δίδωσιν αὐτοῖς αἵρεσιν, καὶ ἐνδοὺς τὴν σκέψιν ἁρπάζει τὴν ἐπίκρισιν, ἵνα δόξῃ ἕπεσθαι αὐτοῖς καὶ κατὰ ἀνάγκην τοῦτο ποιεῖν καὶ τῷ πόθῳ ἐκείνων ἐξακολουθεῖν.

626, 28. Ἀλλὰ ποιησάσθω τὴν ἀκρόασιν ὡδὶ] Κυρίως ἐφ' ἑκάστου κεφαλαίου τὸ ῥῆμα ἔχεις· ἐπὶ μὲν τῶν νόμων τὸ λέγω, ὡς ἁπλοῦ τοῦ νόμου τυγχάνοντος, ἐπὶ δὲ τοῦ δικαίου τῶν ἀδικημάτων τὸ ἐλέγχω, ἐπὶ δὲ τοῦ συμφέροντος τὸ ἐξετάσω· λογισμῷ γὰρ τὸ μέλλον εὑρίσκεται.

627, 15. Ἔσονται δὲ βραχεῖς περὶ πάντων οἱ λόγοι] Ἐπειδὴ γὰρ τρία ἦν κεφάλαια, ἐπιτεινομένους καὶ μακροὺς ὑπέφαινε τοὺς λόγους· διὰ τοῦτο παραμυθεῖται αὐτοὺς λέγων, βραχεῖς ἔσονται οἱ λόγοι.

627, 21. Δικάζειν—καὶ τραύματος ἐκ προνοίας] Ἐξέτασις ἐντεῦθεν τοῦ νομίμου, καὶ παράθεσις τιθεμένων τῶν νόμων καὶ τοῦ ψηφίσματος.

627, 27. Εἰ σκέψαισθε ἐν τίνι τάξει] Προθεραπεία. Ἐπειδὴ γὰρ ἔδει τῶν νόμων μνησθῆναι οἳ περὶ τῶν πολιτῶν προστάττουσι, ξένος δὲ οὗτος ἦν, ἵνα μὴ ἀντιπέσῃ αὐτῷ, Ἀλλ' οὗτος ξένος, οἱ δὲ νόμοι περὶ πολιτῶν διαλέγονται, προοικονομεῖ τοῦτο καὶ ποιεῖ αὐτὸν πολίτην, ἵνα οὕτως αὐτὸν ἐξετάσῃ.

628, 2. Τὴν γὰρ τοῦ δήμου δωρεὰν] Κολακεύει τὸν δῆμον· ἅμα δὲ καὶ δείκνυσιν ὡς οὐκ ἐχθρὸς αὐτῷ, ὥσπερ καὶ ἐν προοιμίοις εἴρηκε « μηδεμιᾶς ἰδίας ἔχθρας [ἕνεκα]. » Εἰ γὰρ ἦν, φησίν, ἐχθρὸς, οὐκ ἂν πολίτην αὐτὸν πεποίηκα· οὐδὲν δὲ κωλύει ἐν οἷς χρεία καὶ ἐπαινεῖν τὸν ἐχθρὸν, ἵνα ἀνύωμεν ἕτερον ὃ βουλόμεθα.

628, 8. Ἃ δ' οὐδ' ἡμῖν τοῖς γένει πολίταις] Καλῶς τὸ παρὰ τοὺς νόμους. Ἵνα γὰρ μή τις εἴπῃ, ἀλλ' εἰ πλεῖστα εὐεργετήκει, [οὐκ] ὀφείλει καὶ πλειόνων τιμῶν τυγχάνειν; διὰ τοῦτο παρὰ τοὺς νόμους. Οὐδὲ γὰρ παρὰ τούτους πράττειν καλόν.

628, 26. Καὶ τὰ τοιαῦτα πάντα] Παραιτεῖται λέγειν τὰ εἴδη τῶν κακουργιῶν, ἢ διὰ τὸ δύσφημον, ἢ ἵνα μὴ δοκῇ διὰ τὸ πράττειν εἰδέναι.

628, 27. Πρὸ μὲν τοῦ κρίσιν γενέσθαι] Ὅτι τὸ πρὸ τῆς κρίσεως λέγεται αἰτία· ὅτι τὸ μετὰ τὸν ἔλεγχον ἀδίκημα. BY.

630, 17. Ὡς αὐτὸν] Τοῦτ' ἔστι πρὸς αὐτὸν, ὥσπερ καὶ κατωτέρω ὡς θεσμοθέτας πρὸς θεσμοθέτας. P.

631, 13. Καὶ μὴν ἔν γε τῷ ποιεῖν ἀγώγιμον] Τῷ ἀγωγίμῳ πανταχοῦ σοφίζεται.

Τοὺς ἐφέτας] Ἐφέτης ὁ δικαστής. B.

633, 26. Μὴ προδήλου τῆς ἐπιούσης τύχης οὔσης ἑκάστῳ] Εἰς ἔλεον ἤγαγε τὸν λόγον, ἵνα δείξῃ τὴν ἀδικίαν ἐκείνου.

633, 29. Ἔκδοτον] Προδεδομένον. B.

635, 2. Οὐδέτερον ποιεῖν] Ἀντὶ τοῦ ἕτερον δὲ παρὰ ταῦτα μὴ ποιεῖν. BY.

635, 6. Καὶ μὴ νομίσητε εὔηθες τὸ ἐρώτημα] Ἐπειδὴ ἀπαιτεῖ αὐτὸν περὶ τῶν μελλόντων ἀποκρίνασθαι. Ὅσον δὲ εἰς ἀτοπίαν ἄγει τὸν λόγον, πλέον τοῦ Ἀριστοκράτους καθάπτεται. Τὸ δ' ἢ καὶ ἄλλως πως τελευτήσει, ἤτοι ἰδίῳ θανάτῳ.

635, 17. Τίνα γάρ σοι λέλοιπεν ὅρον τῷ γράμματι] Τῷ ψηφίσματι. Διασύρει δὲ γράμμα προσειπών. Καίτοι γε τούτῳ προσθεὶς, οἷον τῷ ἀτόπῳ.

635, 25. Ὡς ἐπὶ πάντων, οὐκ ἐπὶ τῶν φονικῶν μόνον] Ἔθος τῷ Δημοσθένει κατασκευάζειν οὐκ ἐξ ὧν λέγει, ἵνα μὴ δόξῃ διὰ τὸ ἴδιον συμφέρον ἐκ δεινότητος ποιεῖν τοῦτο, ἀλλ' ἐξ ἑτέρων, ἵνα ἡ φύσις οὕτως ἔχειν δόξῃ τοῦ πράγματος.

635, 27. Ἄρχων χειρῶν ἀδίκων] Τοῦτ' ἔστιν ἄρχειν πληγῶν ἐκ τῆς ἀψιμαχίας, ἤτοι προκατάρχοντα, καὶ μὴ τιμωρούμενον, πλήττειν ἀδίκως. P.

637, 11. Ὑπειπὼν] Ὑπαγορεύσας. B.

638, 9. Φέρε, ἂν δέ τι συμβῇ τοιοῦτον] Ἀντιπίπτοντος λύσις ἐκ τῆς ποιότητος τοῦ Χαριδήμου. Ἐπειδὴ γὰρ ἰδιωτῶν μᾶλλον ἢ στρατηγῶν τὸ μοιχεύειν, διὰ τοῦτο καὶ ἰδιώτην αὐτὸν ποιεῖ. TCV. Ἐπειδὴ στρατηγοὺς μοιχεύοντας χαλεπὸν τιμωρεῖσθαι, διὰ τοῦτο ἀπηλλαγμένον αὐτὸν ἐξουσίας καὶ στρατηγίας ποιεῖ. P.

638, 10. Ἤδη τῳ καὶ ἄλλῳ] Ἵνα μή τις εἴποι, ἀλλ' οὐκ ἀπαλλαγήσεται τῆς στρατηγίας, ὅδε εἶπεν ὅπερ καὶ ἄλλῳ συνέβη στρατηγῷ τυγχάνοντι, ἵνα τῷ κοινῷ βεβαιώσῃ τὸ ἴδιον.

639, 21. Εἶτ' οὐ δεινὸν, ὦ γῆ καὶ θεοὶ] Σχετλιασμὸς ἐν καιρῷ. Καλὸν γὰρ ἐν τῇ ὑπερβολῇ τῶν δεινῶν ἐπικαλεῖσθαι τοὺς κρείττονας.

640, 20. Οὓς οὐ παραγεγράμμεθα] Παρεσημειωσάμεθα. Τὸ γὰρ σχῆμα περιληπτικόν. Ὅταν γὰρ πλειόνων εὐπορῶμεν, τότε τούτῳ τῷ σχήματι χρώμεθα.

641, 1. Προστεταγμένα τοῖς νόμοις] Παρὰ τῶν νόμων ταχθέντα. Συμπέρασμα δὲ λοιπὸν τοῦ νόμου, καὶ μετ' αὐξήσεως τῶν εἰρημένων τὸ συμπέρασμα. Ζητήσειε δ' ἄν τις πῶς ἐξετάζων τὸ νόμιμον κεφάλαιον οὐχ ὑφ' ἓν αὐτὸ ἐργάζεται, ἀλλὰ καὶ μερίζει εἰς δύο καὶ παρεμβάλλει ἕτερα, οὐκ εἰωθὼς οὐδαμῇ τοῦτο ποιεῖν, ἀλλὰ διόλου πᾶν οὗ ἂν ἄρξηται κεφαλαίου, ἕως ἂν τελεσθῇ, ἐξεργάζεσθαι; φαμὲν οὖν ὅτι ἐπειδὴ καὶ τὸ ψήφισμα οὐχ ὑφ' ἓν ἐξήτασεν, ἀλλὰ κατὰ μέρος, πρὸς μὲν τὸ ἐξετασθὲν μέρος τοὺς νόμους οὓς παρέβη τέθεικε, πρὸς δὲ τὸ ἑξῆς πάλιν ὁμοίως προσφέρει τοὺς νόμους· καὶ εἰκότως οὐδὲν ἄλλο παρενέβαλεν ἐκτὸς τοῦ κεφαλαίου, ἀλλὰ καὶ τῶν ἐθῶν. Εἰς δύο γὰρ τέμνεται τὸ νόμιμον, εἴς τε ἄγραφον καὶ νόμιμον ἔγγραφον, ἵνα δόξῃ ὅλον ἓν εἶναι.

641, 7. Βούλομαι δ' εἰπεῖν διὰ βραχέων] Τί τὸ χρήσιμον περὶ τῶν δικαστηρίων λέγει, τῶν νόμων προεξητασμένων; ἐπειδὴ ἔθει πολλοὶ κεκράτηνται νόμοι, βουλόμενος ἐπιδεῖξαι ὅτι πάντες εἰσὶ κύριοι, ἐξετάζει τὰ δικαστήρια, δεικνὺς κατὰ τούτους πάντα συγκροτούμενα. BSY.

641, 12. Ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Χαρίδημον ἐποιησάμεθα] Προοιμιάσατο περὶ τοῦ ἔθους πρότερον, ἵνα οὕτω περὶ τοῦ προοιμίου ἑξῆς ἀντιπέσῃ, ἀλλὰ ταῦτα τὰ ἔθη παρὰ τοὺς πολίτας ἐστίν· ὅθεν ἐπήγαγεν εὐθὺς, « ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Χαρίδημον ἐποιησάμεθα « πολίτην. » Ἡ μὲν οὖν πρώτη τοῦ νομίμου παντὸς λύσις, ὅτι ξένος Χαρίδημος· ἡ δὲ δευτέρα κατὰ τὸ ἔθος ἐν τῷ νομίμῳ, ὅτι πολίτην μὲν αὐτὸν ἐποιησάμεθα Χαρίδημον· οὐ μὴν οὐδὲ τῶν ἀπορρήτων οὐδὲ τῶν ἱερῶν καὶ τῶν ὁσίων αὐτῷ μεταδεδώκαμεν, ἴδια γὰρ ταῦτα τῶν ἐγχωρίων ἐστίν.

641, 21. Τοῦτο μὲν τοίνυν τὰ παλαιὰ] Σημείωσαι· περὶ τοῦ ἐν Ἀρείῳ πάγῳ δικαστηρίου. Β.

643, 9. Εἴθ' ἥρωες, εἴτε θεοὶ] Οὐ γὰρ διαβεβαιοῦται τίς ἦν, ὡς τὸ πιθανὸν τῷ λόγῳ σώσηται, ὥσπερ καὶ ἐν τούτῳ τῷ λόγῳ εἴρηται ἀλλαχοῦ (p. 774, 18) εὕρημα μὲν καὶ δῶρον θεῶν.

643, 17. Τούτων] Τῶν ἐν τοῖς δικαστηρίοις.

644, 16. Τρίτον δ' ἕτερον] Σημειωτέον ἕτερον ἐπὶ τοῦ τρίτου λεχθέν· οὐ καλῶς δὲ εἶπεν. Ἐπὶ γὰρ δυοῖν μόνον λεκτέον ἕτερον, ἐπὶ δὲ τριῶν ἄλλο. Οὐκοῦν σπανίως εἴρηκε τοῦτο, καὶ οὐ χρὴ κακόζηλον ὃν μιμεῖσθαι.

644, 20. Δοκοῦσι γάρ μοι] Περὶ δικαίου φόνου. Β.

644, 25. Ἀποφυγγάνει] Ἀθωοῦται. Β.

645, 3. Ἔκδοτον] Προδεδομένον. Β.

Ἆρά τις ἡμῖν ἔτι λοιπός ἐστι] Πρὸς τὸν γραμματέα φησίν. Ἵνα γὰρ μὴ δοκῇ κακουργεῖν ὡς προμελετήσας, τούτου χάριν προσποιεῖται τὴν ἄγνοιαν, ἵνα τοὺς νόμους, οὕσπερ ἐπάγει, δοκῇ παραχρῆμα εὑρίσκειν.

649, 29 Βούλομαι τοίνυν ὑμῖν καὶ ἓν ἢ δύο] Πληρωθέντος τοῦ μέρους τοῦ νομίμου, ἐπάγει πάλιν ἕτερον ἔθος προηγούμενον, καὶ τοῦτο ὡς νόμιμον. Τὸ γὰρ ἔθος τοῦ νομίμου κεφαλαίου μέρος παρὰ τοῖς τεχνίταις νενόμισται· δι' οὗ πιστοῦται τὸ πάντας ἠκολουθηκέναι, κατὰ τοῦτο τὸ ἔθος τῷ τῶν νόμων βουλήματι ἐν ταῖς δόσεσι τῶν δωρεῶν. Λαμβάνει δὲ τὴν ἀρχὴν τὸ ἔθος ἀπὸ τούτου, « βούλομαι « τοίνυν ὑμῖν καὶ ἓν ἢ δύο ψηφίσματα » καὶ ἑξῆς. Πληρώσας δὲ καὶ τὸ ἔθος, δι' οὗ τὸ νόμιμον ἐβεβαίωσε, τίθησι λοιπὸν τὰς ἀντιθέσεις ἐκ τοῦ νομίμου· πρῶτον μὲν τὴν ἀπὸ τοῦ ῥητοῦ. Γέγραφε γὰρ ὁ Ἀριστοκράτης, « ἐάν τις « ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω. » Κατηγόρησε δὲ Δημοσθένης, ἤτοι Εὐθυκλῆς, ὡς ἐλλιπῶς ἔγραψε καὶ ἀσαφῶς, μὴ προσθεὶς ποῦ καὶ ἐπὶ τίνι ἀγώγιμος. Πρὸς τοῦτο ἀντίθεσιν ἐκ τῆς διανοίας ἀνθυποτείνεται Ἀριστοκράτης λέγων ἐπὶ κρίσιν γεγραφηκέναι ἄγεσθαι τὸν ἀνδροφόνον κατὰ τὸ ἑπόμενον. Ὁ Δημοσθένης δὲ τοῦτο οὐ δέχεται τὸ κατὰ διάνοιαν ὡς ἑπόμενον, φάσκων μηδὲ γεγραφέναι διαρρήδην ἐπὶ κρίσιν ἄγεσθαι τὸν ἀνδροφόνον ἀγώγιμον· καὶ ἡ ἐξέτασις αὐτῷ τῶν νόμων γέγονεν ὑπὲρ τῶν ἀνδροφόνων μᾶλλον. Αἰτιᾶται δὲ ἐλλιπῶς ἔχειν τὸ ψήφισμα κατὰ μέρη δύο· ἓν μὲν ὅτι γράψας ἀγώγιμον, ἔπειθ' ὅτι γράψας « ἐὰν δέ τις πόλις « ἀφέληται ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. » Οὐ προσέγραψε πάλιν διὰ τί ἔκσπονδος, δέον προσγράψαι ὅτι, εἰ μὴ ἐκδίδωσιν ἐπὶ κρίσιν, ἑξῆς ἔθηκεν ἀντίθεσιν ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα· προβούλευμα γάρ ἐστιν. Ὁ νόμος δὲ ἐπέτεια κελεύει τὰ τῆς βουλῆς εἶναι ψηφίσματα. Ἰστέον δὲ ὅτι τῶν προσταττομένων καὶ κυρουμένων ὑπὸ τῆς βουλῆς ψηφισμάτων τὰ μὲν ἄχρι αὐτῆς ἵστατο τῆς βουλῆς, τὰ δὲ καὶ εἰς τὸν δῆμον ἐπέμπετο. Ὅσα μὲν οὖν ἴδια τῆς βουλῆς ψηφίσματα ἦν, ταῦτ' ἦν ἐπέτεια καὶ συνανῃρεῖτο τῇ βουλῇ μετὰ ἐνιαυτὸν παυομένῃ· ὅσα δὲ ἀπὸ τῆς βουλῆς ἔδει πρὸς τὸν δῆμον πεμφθῆναι καὶ τὸ κῦρος παρ' αὐτοῦ λαβεῖν, ταῦτα οὐκ ἦν ἐπέτεια. Τὸ τοίνυν γραφὲν Ἀριστοκράτει ψήφισμα ἐκυρώθη μὲν ὑπὸ τῆς βουλῆς, ἔδει δὲ αὐτὸ κυρωθῆναι καὶ ὑπὸ τοῦ δήμου· τῆς δὲ γραφῆς δοθείσης μετέωρον ἔμεινε. Σοφιζόμενος δὲ ὁ ῥήτωρ φησὶν αὐτὸ ἄκυρον εἶναι, προβούλευμα γὰρ εἶναι. Ὅτι μὲν οὖν προβούλευμά ἐστιν, ἀληθές· ὅτι δὲ ἄκυρον, οὐκ ἀληθές. Τὸ δὲ ἄκυρον διχῶς λέγεται. Ἤτοι γὰρ τὸ παντελῶς ἀνῃρημένον καὶ διαγεγραμμένον, ἢ τὸ ὀφεῖλον μὲν κυρωθῆναι, οὐδέπω δὲ κυρωθέν. Ταύτην τὴν ὁμωνυμίαν λαβὼν εἰς χορηγίαν σοφίσματος, ἐθάρρησεν εἰπεῖν ἄκυρον εἶναι τὸ ψήφισμα. Εἶτα τὴν εἰδικὴν πρότασιν προτάξας τῇ καθόλου κατασκευάζειν πειρᾶται, λέγων, « ὁ νόμος δὲ ἐπέτεια κελεύει « τὰ τῆς βουλῆς εἶναι ψηφίσματα » Ἡ μὲν οὖν καθόλου πρότασις ἀληθής· ἐνιαύσια γὰρ ὡς ἀληθῶς τῆς βουλῆς τὰ ψηφίσματα. Τὸ δὲ ἄκυρον εἶναι τὸ ψήφισμα, ὁμωνύμως [λέγεσθαι] ἐδείκνυμεν· προβούλευμα γάρ ἐστιν ὁμοίως ὁμώνυμον, ὡς πάντα τὰ εἰσιόντα εἰς τὴν βουλὴν ψηφίσματα.

650, 26. Οὐκ ἀγνοῶ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἀντίθεσις ἀπὸ τοῦ νομίμου ἐκ τοῦ ῥήτορος τῆς διανοίας. Ἐπειδὴ γὰρ αὐτὸς ὡς ἐφ' ὁμολογουμένοις ἔλαβεν αὐτὸν ἀγώγιμον ἐπὶ θανάτῳ, ὁ δὲ Ἀριστοκράτης ἔφασκεν, [οὐκ,] ἀλλ' ἐπὶ κρίσει, λύει τὴν ἀντίθεσιν ἀπαντήσας αὐτῷ ἐκ τοῦ ἑτέρου μέρους τοῦ ψηφίσματος, ὅτι καὶ τὸν ἀφελόντα ἔκσπονδόν φησιν εἶναι, οὐκ, [ἐὰν μὴ παράσχῃ] ἐπὶ κρίσιν, ἀλλὰ κἂν δικαίως ἀφέλῃ. Ἐπειδὴ δὲ οὐκ εἶχεν ἀπὸ τῆς γνώμης τοῦ Ἀριστοκράτους λῦσαι καὶ στοχάσασθαι τῆς ἐκείνου προαιρέσεως, ἀπὸ τοῦ ἑτέρου ῥητοῦ λέλυκεν οὗ αὐτὸς γέγραφεν.

651, 15. Ὡς ἄκυρόν ἐστι τὸ ψήφισμα. Προβούλευμα γάρ ἐστιν] Ἄλλη ἀντίθεσις ὡς ἀπὸ Ἀριστοκράτους· ἔστι δὲ ὑπὸ τοῦ ῥήτορος πεπλασμένη—ὥσπερ ἂν οὐδεὶς ἑκὼν ὁμολογήσειεν ἀδικεῖν—, ἵνα τῇ οἰκείᾳ γλώττῃ καταγνωσθῇ ὥσπερ ἡττημένος, ἀπὸ τῶν πρώτων ὁμολογῶν ἄκυρον εἶναι τὸ ψήφισμα, πῶς ἀκυροῦν τὸ προβούλευμα σοφίζεται. Οὐ γὰρ πάντα ἐπαινεῖ αὐτοῦ· ἀλλ' ἃ μὲν ἡ βουλὴ ἐκύρου χωρὶς τοῦ δήμου, ἕως ἦρχεν, ἐπεκράτει καὶ ἦν ὄντως ἐπέτεια· τὰ δὲ ὑπὸ τοῦ δήμου γιγνόμενα καὶ πλείονα μένει χρόνον, ἐπειδήπερ τὰ προβουλεύματα τῆς βουλῆς οὐκ εἰσήγετο εἰς τὸν δῆμον, ἀλλ' ἦν κύρια καὶ χωρὶς τοῦ δήμου. Ἦν δὲ ἐπέτεια, ἀντὶ τοῦ ἐπ' ἐνιαυτόν. Ὡς πρὸς τὴν βουλὴν δὲ ἔλαβεν ὅτι οὐκ ἦν κύριον, καὶ μή πως εἰσαχθῇ εἰς τὸν δῆμον· τὸ δ' ὅτι ἐπέτεια, ὡς πρὸς τὰ ψηφίσματα τοῦ δήμου, ἐψεύσατο. Ἄκυρον μὲν γὰρ διὰ τὸ μήπω κυρῶσαι τὸν δῆμον, οὐ μὴν ἄκυρον πάντῃ ὡς ἐνιαύσιον· παραμένει γὰρ πολλάκις καὶ πολὺν χρόνον.

652, 11. Οὐ τοίνυν οὐδ' ἐκεῖνό με] Ἀντίθεσις πάλιν ἀπὸ τοῦ ἔθους. Ἔστι γὰρ διχῶς τὸ νόμιμον, καὶ ἔγγραφον καὶ ἄγραφον· καὶ ἔνθα ἂν εὑρίσκηται [τά τε ἔγγραφα καὶ] τὰ ἄγραφα νόμιμα, πάντως πρῶτα ἔσται τὰ ἔγγραφα καθόλου· ὡς δὲ πανταχοῦ εἴωθε ποιεῖν ὁ ῥήτωρ, ἐν τῇ θέσει τὴν ἀντίθεσιν διαβάλλει, ἵνα σαθρὰν ἀποδείξῃ αὐτὴν τῷ ἔχοντι. Ἁπλῆν δὲ ἀντὶ τοῦ ἄνευ δόλου, καθαρὰν, δικαίαν. Παραγωγὰς δὲ ἀπάτας, παρὰ τὸ παράγειν ἐκ τῆς ἀληθείας τὴν γνώμην.

652, 23. Οὐκ ἄρ' εὐορκοῦσι] Θεραπεία τοῦ μὴ συγκρούειν τοῖς δικασταῖς. Ἐπειδὴ γὰρ ἀπέδειξε κεχυρωμένα τινὰ παρανόμως, τοῦτο δ' ἦν ἀπὸ τῶν δικαστῶν, λύει τὸ ἔγκλημα ἀγνοίᾳ τὴν συγγνώμην δωρούμενος.

652, 26. Ἡ δὲ τῆς γνώμης δόξα] Ἡ ὑπόνοια, καὶ τὸ οὕτως ὡς ἔφησαν νομίσαι δίκαιον· πρὸς εὐκρίνειαν δὲ τοῦ λόγου ὁρίζεται τί τὸ ἐπιορκῆσαι, ἵνα εὐμαθέστερον τὸν ἀκροατὴν ἐργάσηται.

653, 2. Εἰ γὰρ ἠγνόησέ τε] Τὴν γὰρ ἄγνοιαν μέρος συγγνώμης οἱ παλαιοὶ ἐποιοῦντο.

653, 9. Μηδὲ ὡς ἕτεροι δικάσαντες] Ἐξαπατηθέντες.

653, 17. Οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς νόμους] Ἔθος πᾶσι τοῖς παλαιοῖς ἐπὶ τῶν αὐτῶν νοημάτων καὶ

τοῖς αὐτοῖς κεχρῆσθαι ῥήμασιν, ἵνα μὴ δοκοῖεν ἀπειρόκαλοι εἶναι ἐναλλαγῇ τῆς φύσεως. Εἶπεν οὖν καὶ ἐν τῷ κατὰ Ἀνδροτίωνος τὸ αὐτό.

653, 25. Ἤδη δέ τιν' εἶδον, ὦ ἄνδρες Ἀθηναῖοι] Τοῦ συμφέροντος ἐντεῦθεν ἀναίρεσις, ὅτι οὐδὲ συμφέρει, ἵνα μὴ διὰ τὸ χρήσιμον κυρώσητε.

654, 26. Ἵνα δὲ μὴ πάνυ θαυμάζῃ] Ἀντιπῖπτον λύει· εἴποι γὰρ ἄν τις, ἀλλ' οὐ διαμένει τὰ γεγραμμένα ἐν τῷ ψηφίσματι, οὐ γὰρ οὕτως ἰσχύει. Ὁ δὲ κατασκευάζει ὅτι πολλὰ δύναιτο τὸ ψήφισμα, ἐκ παραδειγμάτων.

655, 23. Ἂν οὖν εἴπωσιν ἡμῖν] Ἐπειδὴ γὰρ ὁ λόγος θρασύτερος, ἄλλῳ περιάπτει προσώπῳ, ἵνα μὴ αὐτὸς ἀφ' ἑαυτοῦ ταῦτα λέγειν δοκῇ, ἕτερος δὲ εἴη ὁ φθεγγόμενος.

657, 1. Ἀκούω τοίνυν αὐτοὺς] Πρότασις. B. Ἀντίθεσις, ὅτι οὐ βουλήσεται τὰ ἐπιβλαβῆ, ἀλλὰ τὰ ὠφέλιμα. Κατεσκεύασε δὲ τὴν ἀντίθεσιν ἀπό τε γνώμης τοῦ Κερσοβλέπτου καὶ τῆς τῶν προσόδων ποσότητος. Οὐκοῦν δυνήσεται μὲν τὴν γνώμην λῦσαι τῇ κατὰ τῶν τυράννων διαβολῇ καὶ τῷ τὸ ἦθος εἶναι τοῦ Χαριδήμου βάρβαρον, τὴν δὲ ποσότητα ἀπὸ τῆς ὑπαρχούσης φύσει τοῖς τυράννοις πλεονεξίας.

657, 2. Ὃν καὶ πρότερόν ποτε Ἀριστόμαχος] Ὥσπερ οἱ φιλιππίζοντες [τὰ τοῦ Φιλίππου,] οὕτω καὶ οὗτος τὰ τῶν Θρᾳκῶν ἐφρόνει. Τὴν δὲ ἀντίθεσιν ἐκ τοῦ προσώπου τοῦ Ἀριστομάχου σαθροτέραν ἀποδείκνυσι κατασκευάσας αὐτήν. Ὅταν γὰρ ᾖ δύσλυτος ἡ ἀντίθεσις, τῷ δοκεῖν κατασκευάζομεν, ἵνα λύσεως ἀφορμὰς ἐντεῦθεν πορίσωμεν.

Οὐκ ἔστιν] Ὑποφορά. B.

657, 13. Ἐγὼ δ' οὐκ ἀπορῶ μὲν εἰπεῖν] Ἡ λύσις ἐντεῦθεν, οὐκ ἀκόλουθος δὲ τῇ ἀντιθέσει. Ἐπειδὴ δὲ ἐκεῖνοι ἔφασαν μὴ βούλεσθαι ἂν αὐτὸν, ἐκ λογισμῶν τινῶν πρὸς τοῦτο ἀπήντησε τὸ θέλειν, εἰ μὴ τῇ κατὰ τῶν τυράννων διαβολῇ λύσας καὶ τῷ τὸν Χαρίδημον εἶναι τὸ ἦθος βάρβαρον. Τὴν δὲ ποσότητα, ἀπὸ τῆς ἐν τῇ φύσει τῶν δυναστευόντων πλεονεξίας ἐκ παραδειγμάτων καὶ παραθέσεως αὐτὴν λύει.

658, 2. Τοῦ μὲν ἡγουμένου] Κατασκευάσας μερικῶς ἐκ τῶν παραδειγμάτων, λοιπὸν ἐκ τῶν καθόλου συμπεραίνει τὸν λόγον. Τὸ οὖν εὐτυχεῖν προηγεῖται, ἐπειδὴ ἐκ θεῶν τις αὐτὸ κέκτηται.

658, 9. Καὶ τί δεῖ Φίλιππον λέγειν] Ἀποδείξας ὅτι εὐτυχία [οὐ] μετὰ τοῦ εὖ φρονεῖν παραγίνεται διὰ τοῦ Φιλίππου, ἵνα μή τις εἴποι, ἀλλὰ Μακεδὼν καὶ ἅμα τούτου γνώμη αἰτία τυγχάνει, διὰ τοῦτο ἐκ τῶν προσεχῶν ἐκ Κότυος ἀποδεικνύει. Μάλιστα γὰρ εἰς αὐτὸν χαλεπῶς εἶχον οἱ Ἀθηναῖοι. Τινὰ γὰρ αἰχμάλωτον ἐν τῷ πότῳ εἰσήγαγεν, ἐπιθεὶς αὐτῷ τὰ τῆς Πολιάδος παράσημα, καὶ ὑβρίζων αὐτὸν σαφῶς δὴ τοὺς Ἀθηναίους ὕβριζε. Σωφρόνως δὲ εἶπεν ὁ ῥήτωρ εἰς αὐτὸν ὑβρίζων· ὁ γὰρ εἰς ἑαυτὸν ἁμαρτάνων ἑαυτὸν ἔβλαπτεν.

659, 17. Ὅτι τοίνυν ὅλως οὐδ' ὑγιαινόντων] Τοῦ συμφέροντος λογισμός. Τὸ γὰρ ἄδοξον καὶ ἔνδοξον εἰς τοῦτο ἀναφέρεται, διχῶς γὰρ τὸ συμφέρον, τὸ μὲν ἐκ τῶν πραγμάτων, τὸ δὲ ἐκ τῆς δόξης. Τοῦτο οὖν ἐκ τῆς δόξης, ὅτι χωρὶς τοῦ βλάπτειν τὰ πράγματα καὶ τὴν ὑπόληψιν λυμαίνεται.

659, 23. Καὶ μὴν καὶ χρυσοῖς στεφάνοις] Ἡ ἀντίθεσις στοχαστική· Ἀλλ' οὐκ ἂν ἕλοιτο ἀδικῆσαι τοὺς τιμῶντας καὶ χρυσοῖς στεφάνοις αὐτὸν στεφανώσαντας. Ἀλλ' εἰ καὶ θείημεν τὸν Χαρίδημον καὶ γεγενῆσθαι περὶ ἡμᾶς σπουδαῖον καὶ εἶναι καὶ ἔσεσθαι, καὶ μηδέποτε ἄλλην γνώμην ἢ ταύτην σχήσειν, οὐδὲν μᾶλλον ἔχει ταῦτα αὐτῷ καλῶς ψηφίσασθαι.

659, 29. Ἔκδοτον] προδεδομένον. B.

660, 28. Ἀλλ' ἄχρι τούτου καὶ φιλεῖν οἶμαι] Εἰρηκὼς τὸ κατὰ μέρος ἐπήγαγε τὸ καθόλου· καὶ τοῖς παραδείγμασι πείσας, τῷ ἐνθυμήματι καθόλου ὄντι βεβαιοῖ τὰ λεχθέντα. Ἐπειδὴ δὲ παλαιῶν πραγμάτων ἦν μνησθεὶς καὶ διὰ τὸν χρόνον ἔσβεστο ἡ μνήμη, διὰ τοῦ Φιλίππου τοῖς νεωτέροις πράγμασιν αὐτοὺς εἰς πίστιν ἄγει. Καιρὸν δὲ τὸ μέτρον· μέτρον γὰρ τὸν καιρὸν πολλάκις λέγομεν.

661, 27. Ἀλλ' ὡς οὐδὲ πιστὸς εἰς τὸν ἔπειτα χρόνον] Τὸ μέλλον στοχαστικῶς πιστοῦται. Ἐπεὶ γὰρ τὸ συμφέρον ἐν τῷ μέλλοντι, ἀφανὲς δὲ, διὰ τοῦτο ἐκ τῶν πραχθέντων τὴν πίστιν δίδωσιν.

664, 12. Καὶ γὰρ ἐκεῖνο νομίζω] Λογισμὸς ἐκ τοῦ συμφέροντος.

664, 18. Ἔστι γὰρ φίλων ἀγαθῶν] Ἐνθυμήματι καθολικῷ τὰ λεχθέντα ἐπισφραγίζεται.

664, 25. Ὡς εἰ καὶ βάρβαρος καὶ ἄπιστος] Ἀντιπῖπτον λύει, ἀλλ' οὐκ ἀδικήσει Χαρίδημον, εἰ καὶ βάρβαρος. Λύει δὲ αὐτὸ ἐκ τοῦ παραδείγματος.

665, 8. Καὶ μὴν εἰ μήτε φύσει πιστὸς ὁ Κερσοβλέπτης] Συλλογὴ τῶν εἰρημένων. Διαφέρει δὲ τῆς ἀνακεφαλαιώσεως ἡ συλλογὴ, ὅτι ἡ μὲν ἀνακεφαλαίωσις πάντων τῶν ἐπιχαίρων ἔχει τὴν ὑπόμνησιν, ἡ δὲ συλλογὴ τῶν ἀρτίως λεχθέντων μόνον.

665, 15. Ὅτι τοίνυν ἄνευ] Διττὸν τὸ συμφέρον, τό τε ἐν πράξεσι καὶ [τὸ] ἐν δόξῃ.

665, 25. Ὅτι πάντες οἱ ξεναγοῦντες] Ξενικὰ στρατεύματα ἔχοντες, πάντως δὲ τῷ καθολικῷ παραδείγματι κέχρηται, ἵνα μὴ, ὡς ἐχθρὸς ὢν αὐτοῦ δόξῃ διαβάλλειν αὐτόν.

665, 26. Ἄρχειν ζητοῦσιν] Ἵνα καὶ φοβήσῃ τοὺς ἄρχοντας, ὅτι ἕτερον τὴν ἡγεμονίαν ἁρπάσαι φαντάζονται.

666, 6. Πῶς γὰρ οὐκ αἰσχρὸν] Ἐπιχείρημα ἐκ τοῦ ἐλάττονος. Εἰ γὰρ, φησὶ, κατηγορεῖς τῶν ἐλάττω πλημμελούντων, πῶς μείζονα αὐτὸς ἐτάζων οὐκ εἶ μεμπτότερος;

666, 15. Καὶ γεγονός τι πρᾶγμα] Τοῦτο ἐκ τῆς τοῦ ὁμοίου παραθέσεως.

667, 22. Βούλομαι τοίνυν ἤδη καὶ τὰ πεπραγμένα] Τοῦ δικαίου μέρος αἱ πράξεις· ὅπερ μετὰ τὸ νόμιμον καὶ τὰ ἔθη τάξαι δέον· ἀλλ' ἐπειδὴ ᾔδει τὸ τοῦ Χαριδήμου πρόσωπον ἐπὶ τὸ βέλτιον ὑπειλημμένον, τὸ συμφέρον προτάξας ἀνάγκην εἶναι δεῖν ἐπέθηκε, καὶ τούτων ἀκούειν ἀνέχεσθαι· πρὸ γὰρ τοῦ συμφέροντος ἀπίθανος ἂν ἦν κατὰ τοῦ Χαριδήμου λέγων. BSY.

667, 22. Βούλομαι τοίνυν ἤδη] Ἐξέτασις λοιπὸν τοῦ δικαίου. Διὰ τί δὲ ἐν τῷ τέλει ἔταξεν αὐτό; λέγομεν ὅτι, ἐπειδὴ ὑπελήπτο ὡς εὔνους, βουλόμενος λύειν ταύτην τὴν ὑπόνοιαν, ἵνα ὁ ἀκροατὴς ἀνιστάμενος μὴ ἐπιλάθηται ὧν ἀρτίως ἤκουσεν. Εἰ γὰρ ἐξ ἀρχῆς ἦν γιγνόμενον, οὐκ ἂν ὁμοίως ὑπὸ τῶν δικαστῶν ἠκούετο ἐναντιουμένων αὐτῶν τῇ γνώμῃ, ὡς οὐκ ὢν τοιοῦτος οἷος νομίζεται. Ἀλλ' ἐνδέδωκεν αὐτοῖς, καὶ πείσας ἐν τοῖς πρώτοις, εὐμαρέστερον τούτου δέξασθαι πεποίηκε τὴν ἐξέτασιν. Ἤρξατο μὲν οὖν ἐκ προοιμίου. Τίθησι δ' εὐθὺς ἀνθυποφορὰν πρὸ τοῦ

κεφαλαίου, ὑπιδόμενος αὐτοῦ τὸ ἀπίθανον· ἀλλ' εἰ τοιοῦτος ἦν, οὐκ ἂν πολίτην αὐτὸν ἐποιησάμεθα, οὐδ' ἂν χρυσῷ στεφάνῳ ἐστεφανώσαμεν. Ἔθος δὲ τῷ Δημοσθένει μετὰ τὴν εἴσοδον τῶν κεφαλαίων τιθέναι ἀντιθέσεις, ὡς κἀνταῦθα πεποίηκεν, ἵνα ἀκολούθως μετὰ τὴν ἐπαγγελίαν τοῦ δεῖξειν αὐτὸν πονηρὸν ἀντιπέσοι, πῶς οὖν ἔλαθε τοιοῦτος ὢν ἡνίκα ἐστεφανοῦτο καὶ ἐπῃνεῖτο καὶ πολιτείας ἐτύγχανε; ἡ λύσις μεταστατική· διὰ τοὺς παρ' ἡμῖν ῥήτορας. Ὑπτιότητος δὲ περιπιπτούσης ἐν τοῖς διηγήμασι διὰ τὸ περὶ πάλαι γεγονότων ἀδικημάτων λέγειν, ἵνα μὴ τὸν λόγον ἱστορικὸν ἐργάσηται, τοῖς σχήμασι καὶ ταῖς τομαῖς, ταῖς τε ἐξαλλαγαῖς καὶ ταῖς ἀποστάσεσι καὶ ταῖς παραλείψεσι, παραμυθεῖται τὸ ὕπτιον. Πανταχοῦ δὲ συμπλέκει τὰ πρόσωπα, τό τε τοῦ Χαριδήμου καὶ τοῦ Κερσοβλέπτου, ἵνα γένηται πίστις τῆς διαβολῆς· τὸ δὲ ἕτερον τοῦ ἑτέρου συστατικὸν, τοῦ μὲν Χαριδήμου Κερσοβλέπτης, τοῦ δὲ Κερσοβλέπτου Χαρίδημος· καὶ Χαρίδημος μὲν ὅτι, ὡς Ἀθηναίων εἷς ὢν, οἰκεῖος ἦν καὶ εὔνους ἐκείνῳ καὶ τῆς παρανοίας τῆς Κερσοβλέπτου προσθήκη, Κερσοβλέπτης δὲ ὅτι πονηρὸς καὶ βάρβαρος καὶ τὸ σύμπαν πλεονέκτης καὶ τύραννος.

668, 4. Εἰ τὰ τηλικαῦτα οὕτως ἐξηπάτησθε] Ἀκόλουθον ἦν εἰπεῖν, ὅτι δείξω οὐκ ὄντα εὔνουν εἰς ὑμᾶς αὐτὸν, ἀλλ' ἐξαπατηθέντες ὑμεῖς ἐνομίσατε αὐτὸν τοιοῦτον. Ἐπειδήπερ οὖν τραχὺ τὸ λέγειν ἐξηπάτησθε, καὶ αὐτὸς λοιπὸν ἐπιβεβαιῶν τὸ λεγόμενον, εἰκότως, φησὶν, ἐξηπάτησθε. Ἐπιτιμήσας δὲ λύει, τὴν αἰτίαν λέγων τῆς ἀπάτης. Προθεραπεία δὲ τοῦ δικαίου.

668, 23. Ὅσα μὲν δὴ στρατιώτης] Ἀρχὴ τοῦ δικαίου.

669, 13. Μισθουμένου] Ἐπὶ μισθῷ λαμβάνοντος, ἢ λαμβάνειν βουλόμενος. P.

669, 15. Οὐ μισθοῖ] Οὐκ ἐπὶ μισθῷ παραδίδωσι τῷ Τιμοθέῳ. P.

669, 16. Ὃν ἀκριβῶς ᾔδει] Ἵνα γὰρ μὴ ἀντείπῃ, ἀλλὰ πρὸς φίλον ηὐτομόλησεν, ὁ δὲ καὶ ἐχθρὸν προσέθηκε.

670, 13. Πολλαχόσε ἄλλοσε μισθῶσαι] Ἵνα μὴ ἀντιπέσῃ ὅτι δικαίως πρὸς τοῦτον ἑαυτὸν ἐμίσθωσεν· οὐ γὰρ ἧκεν ἀλλαχοῦ, χρείαν δὲ εἶχεν ὁ στρατηγὸς χρημάτων· διὰ τοῦτο εἶπεν, ἐνῆν ἀλλαχοῦ μισθοῦν, ἀλλ' οὐκ ἠβουλήθη.

670, 22. Μᾶλλον δ' οὐχὶ πρὸς ὑμᾶς] Ἵνα δόξῃ ἀποσχεδιάζειν καὶ μὴ κακουργεῖν, ὑποκρίνεται ἄγνοιαν. Δέον γὰρ εἰπεῖν ἔπεμψε πρὸς τὸν δεῖνα, ὁ δὲ εἶπε πρὸς ὑμᾶς, ἵνα αὐτοὺς ἐπιλάθηται. Τῇ γὰρ ἀληθείᾳ οὐ πρὸς αὐτοὺς, ἀλλὰ πρὸς Κηφισόδοτον τὴν ἐπιστολὴν ἔπεμψεν. Οὗτος δὲ ἦν στρατηγὸς Ἀθηναίων, ἐχθρὸς δὲ Ἰφικράτους καὶ Κότυος.

671, 1. Ὡς ὑμῖν ἀπ' ἀρχῆς κέχρηται] Ἐπειδὴ γὰρ πολλάκις διὰ χρείαν τινὲς καὶ οἷς οὐ βούλονται ἐναντιοῦνται, καὶ ποσῶς ἔχει τὸ τοιοῦτον συγγνώμην, λέγει ὅτι ἐξ ἀρχῆς καὶ μέχρι νῦν κακόνους.

671, 6. Ὀλιγωρήσας τῶν ὅρκων] Πλήττει τοὺς Ἀθηναίους, λέγων, εἰ τῶν θεῶν κατεφρόνησε, πόσῳ μᾶλλον τῶν φίλων;

671, 23. Εἶτ' αὐτὸς συνιεὶς] Ποιήσας ὃ ἐβούλετο συντρέχει, ἵνα μὴ φιλονεικῶν οἴηται μωρίᾳ τοῦτο ποιεῖν· σιωπᾷ δὲ, ἵνα μὴ τραχύτερος εἶναι δοκῇ.

671, 27. Εἶθ' ὅ τι δήποτε] Ἀποσιώπησις. Ἠθέλησε δ' εἰπεῖν εὐήθειαν, ἤ τι τοιοῦτο· ηὐλαβήθη δὲ οὐκ ἐν καιρῷ παῤῥησιάζειν. P.

672, 12. Διαβιβᾶτε] Ἀντὶ τοῦ διαβιβάσετε. P.

672, 24. Ἐκ γὰρ Ἀβύδου] Σηστός. B.

680, 14. Τὸ πρῶτον ἠδίκει Κηφισόδοτον] Συλλογὴ τῶν εἰρημένων ἄνω καὶ κάτω· διὰ γὰρ τῶν δύο ἀρχῶν καὶ τὸ μέσον συμπεριλαμβάνεται, δηλοῖ δὲ καὶ τὸ πανταχοῦ.

680, 27. Εἰ μὴ δι' ἡμᾶς καὶ ταύτην] Τοῦτ' ἔστιν, εἰ μὴ ἡμεῖς ταύτην τὴν γραφὴν ἐποιησάμεθα. P.

681, 18. Τῷ τόπῳ τῆς Εὐβοίας] Ἥπερ καταντικρὺ τῆς Βοιωτίας νῆσος τυγχάνει καὶ χρησιμεύει πρὸς τὴν κτῆσιν τῆς Βοιωτίας τῷ βουλομένῳ ὑφ' ἑαυτὸν ἔχειν αὐτήν· εἰσὶ γὰρ καταντιπέραν ἀλλήλων, ἡ μὲν νῆσος, ἡ δὲ ἤπειρος. Οὕτω καὶ τῷ βουλομένῳ Χεῤῥόνησον ἔχειν ἡ Καρδιανῶν πόλις λυσιτελεῖ· διὰ γὰρ αὐτῆς ἀπὸ τῆς Θρᾴκης βαδίζειν ἔστιν ἐπὶ τὴν Χεῤῥόνησον· ἡ δὲ ἔκφρασις ἐξ ὁμοίου παραθέσεως καὶ ἀπὸ γνωρίμου τόπου ἐπὶ τὸν ἄγνωστον.

684, 9. Ἔστι τοίνυν αὐτοῖς τοιοῦτος λόγος] Ἀντιπῖπτον ἀπὸ τοῦ συμφέροντος. Μετέβη γὰρ πάλιν ἐφ' ἑτέραν ἀντίθεσιν· πάλιν δὲ κἀνταῦθα συζυγίαν τῶν προσώπων ποιεῖται. Μέγα γὰρ αὐτῷ συμβάλλεται πρὸς σύστασιν τῶν οἰκείων λογισμῶν ἡ ἀθρόα τῶν προσώπων παράληψις. Γίνεται γὰρ τοῦ ἑτέρου τὸ ἕτερον ἐλεγκτικόν. Ἐγκατάσκευος δὲ ἡ ἀντίθεσις, ἵνα ἐκ τῆς κατασκευῆς τὴν λύσιν λάβῃ. Περὶ γὰρ συμμαχίας καὶ βοηθείας ἡ κατασκευή· λόγος δὲ αὐτοῦ ἀντίῤῥησις.

684, 18. Ἐγὼ δ' ἡγοῦμαι τοῦτον τὸν λόγον] Ἐκ διαφορᾶς ἡ λύσις κατὰ ἀντιπαράστασιν. Λέγει γὰρ, εἰ ἐκινδύνευσεν ὁ Κερσοβλέπτης καὶ Χαρίδημος πολεμίων, εἶτα ἐγράφετε βοήθειαν αὐτῷ, ἐγὼ δὲ ἐκώλυον ἀναλογιζόμενος καὶ φέρων εἰς μέσον ὅσα ὑμᾶς ἠδίκησεν, εὔκαιρον ἂν ἦν ἀπολογούμενον φάσκειν ὡς οὐ δεῖ μνησικακεῖν. Τινὲς δὲ τοιούτου μὲν μηδενὸς ὄντος κινδύνου, βουλόμενοι δὲ μείζονα ποιῆσαι, αὐξῆσαί τε αὐτὸν σπουδάζοντες, ἄδειαν καὶ ἐξουσίαν τοῦ πράττειν τοῖς ἐκείνου στρατηγοῖς παρ' ὑμῶν πραγματεύονται. Τὸ δὲ πληθυντικῶς εἰπεῖν τοὺς ἐκείνου στρατηγοὺς, καίτοι γε ἑνὸς ὄντος τοῦ Χαριδήμου, χαλεπὴν ἐμποιεῖ τὴν ὑπόνοιαν.

685, 6. Ὁ μὲν ἕνεκα τοῦ κακόν τι ποιεῖν] Ὁρίζεται λοιπὸν τί ἐστι τὸ μνησικακεῖν, καὶ φησὶν ὅτι ὁ ἐρωτῶν τὰ τινὸς ἀδικήματα, ὥστε τι βλάπτειν καὶ ἀμύνεσθαι αὐτὸν, μνησικακεῖ· ὁ δὲ μνημονεύων οὐκ ἐπὶ τῷ κακοποιεῖν, ἀλλ' ἐπὶ τῷ φυλάξασθαι τὴν ὁμοίαν πεῖραν, σωφρονεῖ.

685, 9. Ἴσως τοίνυν καὶ τοιαύτην τινὰ ἐροῦσιν] Ἀντίθεσις πάλιν ἀπὸ τοῦ συμφέροντος ἐχομένη τῆς προτέρας ἀντιθέσεως. Ἐπῆκται δὲ τοῦτον τὸν τρόπον. Ἄνω γὰρ εἰπὼν ὡς οὐ δεῖ μνησικακεῖν εἰ καὶ ποτὲ ἠδίκησε, νῦν προστίθησιν, εἰ καὶ ἀληθῶς εὖ ποιεῖν ὑμᾶς νυνὶ προῄρηται. Ἵνα δὲ μὴ τῷ τῆς εὐποιΐας δελεασθῶσιν οἱ ἀκούοντες τοῖς ὀνόμασι καὶ ταῖς λέξεσιν, ὅρα πῶς διαβέβληκεν αὐτά. Πρῶτον μὲν ἴσως εἰπὼν καὶ διστάζοντα ποιήσας· εἶτα καὶ ὑπόνοιαν, οὐ πιστὸν φήσας εἶναι τὸ πρᾶγμα· καὶ τὸ ὡρμηκότα δὲ ἄλογον καὶ εὐμετακίνητον γνώμην ἐμφαίνει. Οἱ γὰρ μὴ κρίναντες καὶ μελετήσαντες, ἀλλ' ἐκ προπετείας ὁρμήσαντες, ἀθρόως καὶ μεταβάλλονται. Οὐ μὴν ἀλλὰ καὶ τοῦ βουλομένου τι ποιεῖν ἀγαθὸν συνέστειλε τὴν ἐλπίδα· οὐ γὰρ εἶπεν ἀγαθὰ πολλὰ, ἀλλὰ τὶ ἀγαθόν.

685, 13. Ἐγὼ δ', ὦ ἄνδρες Ἀθηναῖοι, θεάσασθε] Καλῶς αὐτοὺς εἰς κοινωνίαν ἄγει τῶν λογισμῶν, καὶ οὐκ αὐτὸς ἰδίᾳ τὰ δοκοῦντα ἀποφαίνεται. Ἀνυστικώτερον μὲν γὰρ τοῦτο, φιλονεικότερον δὲ [ἐκεῖνο].

685, 19. Ἐπειδὴ δὲ καὶ φενακίζων] Ἐκ τοῦ ἐναντίου

λοιπόν. Εἰ γὰρ καὶ μεγάλα ἐπιδείξεται ἀγαθὰ, οὐδ' οὕτως ἐπιορκητέον, πόσῳ γε μᾶλλον ἀπατῶντι καὶ μηδὲν ἀληθὲς πράττοντι ἢ λέγοντι μὴ προσεκτέον. Ὠφελήσει γὰρ τὸ καταψηφίζεσθαι οὕτως. Ἢ γὰρ ἀποστήσεται τοῦ ἀπατᾶν, μαθὼν ὡς λαθεῖν οὐ δυνήσεται, ἢ τῇ ἀληθείᾳ πρὸς ὑμᾶς οἰκείως ἂν διατεθείη.

685, 23. Ἢ, εἴπερ αὐτῷ βουλομένῳ] Τοῦτ' ἔστιν, ἤ, εἴπερ αὐτὸς βούλεται πρὸς ὑμᾶς οἰκείως ἔχειν. P.

685, 28. Ἄξιον τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Πλείστην οἰκειότητα ἔχει πρὸς τὴν ὑπόθεσιν ἡ παρέκβασις τοῖς παραδείγμασι τοῖς ἐπὶ τῶν προγόνων χρωμένη. Διδάσκει γὰρ μὴ δεῖν τοσαύτας παρέχειν δωρεὰς, καὶ ὅσοι πολῖται τύχοιεν ὄντες καὶ ὅσοι ξένοι, ἵνα ἐξ ἀμφοτέρων δείξῃ τὸ μὴ δοῦναι καλόν. Ἐν οἵᾳ γὰρ αὐτὸν μερίδι τάξεις, ἁμαρτάνεις διδούς.

686, 4. Πρῶτον μὲν τοίνυν ἐκεῖνοι Θεμιστοκλέα] Προέταξε τὸ τῶν πολιτῶν ἀναγκαίως μέρος καὶ τάγμα ὡς προτιμότερον.

686, 9. Οὐκ ἄρα τοῖς ἀγαθόν τι ποιοῦσιν] Ἵνα μή τις ὑπολάβοι λέγειν αὐτὸν ἀχαρίστους εἶναι τοὺς προγόνους, θαρσῶν ἀπαντᾷ· εἶτα κρατύνει τῇ κατασκευῇ τὸ ῥηθὲν, καὶ φοβούμενος τοὺς ἀπιστοῦντας ἐφέλκεται εἰς συγκατάθεσιν εἰπὼν, σωφρονοῦσιν ἀνθρώποις. Καὶ πρὸς ἀλήθειαν βελτίοσιν οὖσι ταῦτα ἀρέσκειν μᾶλλον ἢ χαλκῆν εἰκόνα καὶ τὰς λοιπὰς δωρεάς.

686, 28. Τὰς δὲ τῶν ξένων πῶς] Πληρώσας τὸ περὶ τῶν πολιτῶν μέρος καὶ δείξας ἐν αὐτῷ πολλὴν οὖσαν τῶν νῦν πρὸς τὰ παλαιὰ διαφορὰν, ἐπάγει τοὺς ξένους.

687, 27. Ἀριοβαρζάνην ἐκεῖνον] Τὴν πίστιν τῶν εἰρημένων ἐκ παραδειγμάτων ἔδειξεν. Ἀριοβαρζάνην τὸν Πέρσην τιμήσαντες οὐκ ἔστησαν μέχρι τούτου τὴν χάριν, ἀλλὰ καὶ Φιλίσκον καὶ Ἀγαυόν. Ἀπορῶν δὲ πρᾶξιν ἄτοπον εἰπεῖν αὐτῶν, ἀπὸ τῆς γνώμης διαβέβληκε μισαθηναιοτάτους εἰπών.

688, 2. Πάλιν Τιμοθέου] Ἑτέρα παραδείγματος ἀπόδειξις, ὅτι δι' αὐτὸν τετίμηται Φρασιηρίδης καὶ Πολυσθένης, ὧν ἡ διαβολὴ καὶ ἀπὸ τύχης οὐδὲ ἐλευθέρους καὶ ἀπὸ τρόπου ὀλεθρίους.

688, 20. Ἀλλὰ καὶ τοῦτ' ἐξελήλυθεν ἐκ τῆς πόλεως] Σφόδρα ἐμφαντικῶς εἶπεν, οἱονεὶ ἀπεδήμησε καὶ κατέλειψε τὴν πόλιν. Λέγω δὲ τοὺς ἁμαρτάνοντας [κολάζειν ·] εἶτα πάλιν παράθεσις καὶ περὶ τούτου τῶν προγόνων, ὡς καὶ περὶ τοῦ τιμᾶν ἐποίησεν ἀνωτέρω.

690, 17. Καίτοι πηλίκον τί ποτ' ἂν στενάξαιεν] Ἐντεῦθεν λοιπὸν οἰκεῖος τῆς ὑποθέσεως, ἐπίλογος, μετὰ βαρύτητος καὶ σφοδρότητος ἐν τύπῳ ἐλεεινολογίας.

690, 23. Ἀλλ' οὐ τοῦτ' ἐστὶ τὸ δεινὸν] Τὸ σχῆμα ἐπανάληψις ἐπὶ διαβολῇ προσώπου. ΒΥ.

690, 26. Πῶς γὰρ οὐκ αἰσχρὸν Αἰγινήτας μὲν] Τὸ ἐπιχείρημα ἀπὸ τῶν προσόδων καὶ τοῦ ἀδόξου.

691, 21. Ὅτι τί; ποίας ἔλαβε ναῦς;] τῆς ποιότητος τοῦ Χαριδήμου διαβολή. Ποίας γὰρ ἔλαβε ναῦς καὶ τὰ ἑξῆς. Τρίτον δὲ μέρος εἴργασται τῆς ἀνακεφαλαιώσεως ἐπιλογικόν. Ἐν ᾧ τῶν εἰρημένων ἐν τῷ νομίμῳ συντόμως ἀναμιμνήσκει τοὺς δικαστὰς, ὥστε φέρειν εὐθὺς τὴν ψῆφον οὐκ ἐπιλελησμένους.

XXIV. ΚΑΤΑ ΤΙΜΟΚΡΑΤΟΥΣ.

Ἡ ὑπόθεσις τοῦ λόγου αὕτη· Μαύσωλος, τῆς Καρίας σατράπης, ὑπήκοος ὢν τῷ βασιλεῖ τῶν Περσῶν, βουλόμενος αὐτὸν πρὸς πλείονα εὔνοιαν ἑλκύσαι, ἐπεχείρησε καταδουλώσασθαι αὐτῷ τὰς τρεῖς ταύτας νήσους, Χίον καὶ Ῥόδον καὶ Κῶν· εἶτα μαθόντες οἱ Ἀθηναῖοι ἔπεμψαν πρέσβεις ἐγκαλοῦντες αὐτῷ· ἦσαν δὲ οἱ πεμφθέντες Ἀνδροτίων, Γλαυκέτης, Μελάνωπος. Οὗτοι περιτυχόντες ἐν τῷ πλῷ Ναυκρατιτικῷ πλοίῳ ἥρπασαν τὰ χρήματα. AR.

Ὑποθέσεις εἰσὶ τοῦ λόγου δύο· μία μὲν ὅτι διὰ τοὺς πρέσβεις γέγραπται· ἑτέρα δὲ ὅτι ὑπεναντίος τοῖς νόμοις καὶ ἐπιζήμιος καὶ ἄδικος· ὥστε εἰ ἠδύνατο ἐκφυγεῖν ὁ Τιμοκράτης τὴν αἰτίαν τοῦ μὴ διὰ τοὺς πρέσβεις γεγραφέναι, ἀλλ' οὖν γε τὸ μὴ πονηρὸν εἶναι οὐ διαφεύξεται. Καὶ ἡ μὲν ὑπόθεσις αἰτίας, δι' ἣν ἔθηκε τὸν νόμον, στοχαστική· ζητεῖται γὰρ εἰ διὰ τούτους ἔθηκεν ἢ οὔ· ἡ δὲ κατὰ τὸν νόμον πραγματική· καθόλου γὰρ πᾶσα κατηγορία ῥητοῦ πραγματικὴν ἀπεργάζεται στάσιν. Ἔστι τοίνυν τοῦ λόγου τούτου κεφάλαια τέτταρα· ἓν μὲν τὸ νόμιμον, δεύτερον δὲ τὸ δίκαιον, τρίτον δὲ τὸ συμφέρον, ὅτι ἐπιζήμιος, τέταρτον τὸ δυνατὸν, ὅτι καὶ ἀδυνάτους ἐπιτάττει πράξεις. Ἀπὸ τῶν κεφαλαίων τοίνυν τῶν προειρημένων ἔστιν ἰδεῖν ὅτι ἡ κρινομένη ὑπόθεσις ἐστὶν αὕτη ἡ ἐν τοῖς κεφαλαίοις. Τὴν γὰρ κατὰ τῶν πρέσβεων ὑπόθεσιν ἐν τῇ καταστάσει καὶ παρεκβάσει τέθεικε διαβολῆς ἕνεκα δηλονότι. Ἐπειδὴ γὰρ ὁ νόμος δοκεῖ φιλανθρωπότατος εἶναι σφόδρα, τῶν δεσμῶν ἀφιείς, τούτου ἕνεκεν ἀντέθηκε πλεῖστα μὲν καὶ ἄλλα, μάλιστα δὲ τὰ δύο ταῦτα, τήν τε ὑπόθεσιν τὴν κατὰ τοὺς πρέσβεις, ἵνα τῇ ὑπονοίᾳ ταύτῃ τὸν ἀκροατὴν ἐν ὑποψίᾳ δοὺς κατὰ τοῦ ἀντιδίκου ἐμπλήσῃ ὡς δι' αἰσχροκερδίαν τεθεικότος ὑπὲρ ῥητόρων καὶ πολιτευομένων ἁρπάσαι τὰ κοινὰ προαιρουμένων, καὶ τὸ ἀσύμφορον, ἐν ᾧ ὅτι ἀποστερῆσαι τὴν πόλιν ἁπάντων τῶν ὀφλημάτων βούλεται, καὶ τὸ ἄδικον, ἐν ᾧ ὅτι ἀναξίοις δεσμώταις τὴν χάριν δίδωσιν. Πρὸς δὲ τὸ δυνατὸν, ὅτι, εἰ καὶ ἐβουλόμεθα, οὐκ ἦν δυνατόν. Ἀναιροῦνται γὰρ τῆς πολιτείας οἱ κανόνες. Μὴ ἀγνοῶμεν ὅτι τὸ μὲν νόμιμον κεφάλαιον ἐντελέστατα εἴργασται, τὸ δὲ δίκαιον καὶ τὸ συμφέρον καὶ τὸ δυνατὸν ἀλλήλοις συμπλέκεται. Καὶ τὸ μὲν συμφέρον ἐν τούτοις ἐστὶ τὸ προηγμένον· κατασκευάζεται δὲ διά τε τοῦ ἀδίκου καὶ τοῦ ἀδυνάτου· πᾶν γὰρ ἄδικον καὶ ἀσύμφορον. Τῷ δ' αὐτῷ καὶ περὶ τοῦ ἀδυνάτου βιάζεται χρῆσθαι λόγῳ· ὃ γὰρ ἀδύνατον, φησὶ, τοῦτο δὴ καὶ ἀσύμφορον· καὶ ἐπειδὴ Τιμοκράτης πολύς ἐστι τῇ φιλανθρωπίᾳ τοῦ νόμου χρώμενος, αὕτη δὲ ἐπὶ τὸ δίκαιον ἀναφέροιτο ἄν, διὰ τοῦτο καὶ Δημοσθένης πανταχοῦ τῷ ἀσυμφόρῳ κέχρηται, δεικνὺς ἐπιβλαβῆ καὶ ἐπιζήμιον τυγχάνοντα τῇ πόλει τὸν νόμον. Υ.

700. 1. Τοῦ μὲν ἀγῶνος, ὦ ἄνδρες Ἀθηναῖοι] Ἠτιάσαντο τοῦ προοιμίου τινὲς τὴν ἀμέλειαν τὴν περὶ τὴν ἀνταπόδοσιν τοῦ συνδέσμου. Φασὶ γὰρ προκεῖσθαι τὸν μέν, μὴ ἀποδεδόσθαι δὲ τὸν ἀντακολουθοῦντα σύνδεσμον τοῦτον, τὸν δέ. Ἡ δὲ πλάνη αὕτη γεγένηται διὰ τὸ ἀνεπίστημον τῶν προτάσεων, καὶ διὰ τὸ μετὰ τὴν πρότασιν τοῦ προοιμίου παρεμβεβλῆσθαι διὰ μέσου πρὸς αὔξησιν τῆς ἀτοπίας καὶ ὕστερον ἐπενεχθῆναι τὸν ἀνταποδιδόμενον σύνδεσμον. Υ. Τίς δὲ ἡ πρότασις τοῦ προοιμίου; αὐτὸς ἑαυτῷ γέγονεν αἴτιος τῆς παρούσης κατηγορίας. Ἡ δὲ κατασκευὴ τῆς προτάσεως· « χρημάτων γὰρ οὐκ ὀλίγων ἀποστερῆσαι βου-

« λόμενος τὴν πόλιν, ἵνα αὐτὸς ἀργύριον λάβῃ, ταῦτα γράφειν ἐτόλμησε. Ταύτης δὲ τὸ μέρος τῆς κατασκευῆς πρὸς τῷ τέλει τοῦ προοιμίου κεῖται « ὥστε οὗτος μὲν ἔχει « παρ' ἐκείνων ἀργύριον. » Εἶθ' ἡ ἀνταπόδοσις « ἐμοὶ δὲ « ἐν χιλίαις ὑπὲρ ὑμῶν ὁ κίνδυνος. » Οὐκοῦν ἡ μὲν πρότασις αὕτη, Αὐτὸς αὑτῷ τοῦ παρόντος ἀγῶνος Τιμοκράτης αἴτιος· εἶτα ἡ κατασκευή, Χρημάτων γὰρ ἀποστερῆσαι τὴν πόλιν βουλόμενος· ἡ δὲ τῆς κατασκευῆς αἰτία πορρωτάτω κειμένη τὴν ἀσάφειαν ἐποίησεν, Ἵν' ἀργύριον λάβῃ, τοῦτον τὸν νόμον εἰσήνεγκε. Διὰ μέσου δὲ ὅσα ποιοῦσι τὴν αὔξησιν « οὔτ' ἐπιτήδειον οὔτε δίκαιον· » εἶτ' ἐπειδήπερ ἐφοβήθη, τῶν αὐξητικῶν προτάσεων τούτων μὴ νῦν ἀπαιτηθῇ τὴν ἀπόδειξιν, πραγματικωτέραν οὖσαν ἐν τῇ ὑποθέσει, ὑποσχέσεσι τοῦτο παραμυθησάμενος καὶ ἑτέραν αὔξησιν πάλιν ἐπενεγκὼν ὅτι τὴν ὑμετέραν ψῆφον, ἣν ὀμωμοκότες φέρετε, λύει καὶ ποιεῖ τοῦ μηδενὸς ἀξίαν· καὶ τὸ ἐκ ταύτης πάλιν ἀντιπῖπτον λύσας, Οὐχ ἵνα τὴν πόλιν ὠφελήσῃ—οὐ γὰρ ἦν ὑπερθέσθαι τὰς ἀποδείξεις, τοῦδε τοῦ ἀντιπίπτοντος—, ἐπάγει πάλιν ἑτέραν λύσιν παρὰ τὴν κατ' ἀρχὰς κατασκευὴν, ἀκόλουθον τῇ τοῦ προοιμίου προτάσει, Αὐτὸς ἑαυτῷ τοῦ παρόντος ἀγῶνος αἴτιος Τιμοκράτης ἀποστερῆσαι βουληθεὶς ὑμᾶς καὶ ἑτέρων χρημάτων, ἃ πολὺν χρόνον ἐξεκαρπώσαντο ἤδη τινὲς, τουτέστιν οἱ πρέσβεις. Εἶθ' ἡ αἰτία τελευταία, « ὥστε οὗτος μὲν ἔχει « ἀργύριον παρ' ἐκείνων, » συμφώνως ἔχουσα πρὸς τὴν πρότασιν, ὥστε αὐτὸς ἑαυτῷ τοῦ παρόντος ἀγῶνος αἴτιος ἂν εἴη. Ἀργύριον γὰρ λαβὼν νόμον εἰσήνεγκε παρὰ πάντας τοὺς νόμους οὔτ' ἐπιτήδειον οὔτε δίκαιον. Διὰ τί δὲ τελευταίαν τὴν αἰτίαν ἔθηκε τῆς αἰσχροκερδίας, καὶ οὐ συνῆψεν αὐτὴν τῇ προτάσει εὐθύς; ὅτι ἀπίθανος ἦν ἄνευ τῆς αὐξήσεως τῆς « παρὰ πάντας τοὺς νόμους. » Οὐδεὶς γὰρ ἂν ἐπίστευσεν ἁπλῶς εἰληφέναι τὸν νομοθέτην ἀργύριον· ῥηθείσης δὲ τῆς εἰς τὴν πόλιν βλάβης, ῥᾳδίως ἔμελλεν ὁ ἀκροατὴς πιστεύειν μὴ προῖκα ταῦτα γεγράφθαι τῷ νομοθέτῃ. Οὕτω φαίνεται διὰ μακροῦ τὸν σύνδεσμον ἀνταποδούς. YTCV. Καὶ ἔστι μὲν ὡς ἀληθῶς περισκελεστέρα ἡ τάξις τῶν νοημάτων, καὶ πρὸς τὴν Θουκυδίδειον ἀπαγγελίαν ἔχει τὴν ἅμιλλαν, σώζει μέντοι γε τὴν ἀκολουθίαν ἔντεχνον καὶ σὺν ἐπιστήμῃ τὸ προοίμιον. Εἰ δὲ εὐκρινῆ τὸν λόγον ἐποίησεν ἐκτιθέμενος τὰς αἰτίας, ὕπτιος ἂν αὐτῷ ὁ λόγος καὶ ἱστορικὸς ἐγένετο, ἢ καὶ ἐξαγώνιος, ἀλλ' οὐ προοιμιακός. Δεῖ γὰρ ἄγαν συνεστράφθαι καὶ ὥσπερ ἐν πνεύματι κύκλον τινὰ τὸ προοίμιον εἶναι. Ἠναγκάσθη τοίνυν δουλεῦσαι μᾶλλον τῇ τοῦ προοιμίου τέχνῃ ἢ τῇ τῶν πραγμάτων εὐκρινείᾳ, ἡγούμενος τὴν μὲν εὐκρίνειαν τῶν αἰτιῶν καὶ τῶν ἐγκλημάτων ἀκώλυτον ἔσεσθαι αὐτῷ θᾶττον εἰς τὸν ἀγῶνα, τὴν δὲ τοῦ προοιμίου τέχνην εἰ διαφθείρειεν, μὴ ἂν ἔτι σωθήσεσθαι. Y.

Εἴληπται τὸ ἐννόημα τοῦ προοιμίου ἐκ διαβολῆς τοῦ προσώπου, κατασκευαζομένης διὰ τῆς ἐπιφορᾶς τοῦ νόμου, λεχθησομένης ἐν τοῖς κεφαλαίοις; ὅτι παράνομος καὶ ἀσύμφορος καὶ ἄδικος. Τὸ δὲ ὡς αἴτιός ἐστιν αὐτὸς ἑαυτῷ Τιμοκράτης, παροξυντικὰς μὲν, ἀπαριθμητικὰς δὲ τὰς αἰτίας ἔχει. Πρῶτον μὲν ὅτι χρημάτων διττῶν ἀποστερῆσαι βούλεται τὴν πόλιν· τοῦτο μὲν ὧν ὀφείλουσιν οἱ δεσμῶται, τοῦτο δὲ ὧν χρεωστοῦσιν οἱ πρέσβεις. Δεύτερον δὲ, ὅτι παράνομον καὶ ἄδικον. Τρίτον δὲ, ἵνα λάβῃ ἀργύριον. Ἀλλ' ἐπειδὴ τὴν εὐκρίνειαν ταύτην καὶ ἀπαρίθμησιν τῶν αἰτιῶν εἰ ἐποιεῖτο ἐκτιθέμενος τὰς αἰτίας, ὕπτιος ἂν αὐτῷ ὁ λόγος καὶ ἱστορικὸς ἐγένετο ἢ καὶ ἐξαγώνιος, οὐ προοιμιακὸς—δεῖ γὰρ ἄγαν συνεστράφθαι καὶ ὥσπερ ἐν πνεύματι κύκλον τινὰ τὸ προοίμιον εἶναι—, ἠναγκάσθη δουλεῦσαι μᾶλλον τῇ τοῦ προοιμίου τέχνῃ ἢ τῇ τῶν πραγμάτων εὐκρινείᾳ. Δωροδοκίαν δὲ ἐπικαλῶν, οὐ πρὸς ἀπόδειξιν τῆς παρανομίας αὐτὴν ἔλαβεν, ἀλλὰ τὴν δωροδοκίαν ἐκ τῆς παρανομίας συνέστησεν, ἵνα μὴ τὸ πάρεργον χαλεπώτερον τοῦ ἔργου γένηται· ᾔδει γὰρ ὅτι δειχθείσης διὰ τῶν ἀγώνων τῆς παρανομίας τὰ τῆς δωροδοκίας αὐτόθεν καὶ ἄνευ μακρᾶς ἀποδείξεως πιστευθήσεται. Ἐπειδὴ δὲ κατεκρίθη μὲν Ἀνδροτίων ὀφείλειν τὰ χρήματα, ἔδει δὲ αὐτὸν ἢ ἐκτῖσαι ἢ μέλλοντα πρὸς τὴν ἔκτισιν περιπεσεῖν τῷ δεσμῷ, διὰ τοῦτο ἐπήγαγεν εἰπὼν ὅτι « ἄκυρα ποιεῖ τῶν προστιμημάτων τὰ δικαστήρια, » τουτέστιν, οὐκ ἐᾷ κυρίαν γενέσθαι τὴν ψῆφον τὴν τοῦ δεσμοῦ. TCV.

Τοῦ μὲν ἀγῶνος] Ἐπειδὴ τὰ προοίμια χαίρουσιν ἀεὶ τοῖς συνδέσμοις, τὸ ἐναντίον δὲ οἱ ἐπίλογοι, διὰ τοῦτο προσέθηκε τὸν μὲν ἕνεκεν μόνης προοιμιακῆς ἐννοίας· περιττοῦ δὲ ὄντος τούτου, ἄλλον τάξαι σύνδεσμον περιττὸν ἦν. ATCV.

700, 3. Αἴτιός ἐστιν] Οἱ μὲν γὰρ ἄλλοι πάντες οἱ φεύγοντες αἰτιῶνται τὸν κατήγορον ὡς αἴτιον ὄντα τοῦ ἀγῶνος, τοῦ δὲ ἀγῶνος τοῦ παρόντος οὐκ ἔστιν αἴτιος ὁ κατήγορος, ἀλλ' ὁ φεύγων. ATCV.

Πλὴν αὐτὸς αὑτῷ] Δέδωκε γὰρ τοιαύτην καθ' ἑαυτοῦ πρόφασιν, πονηρὸν νόμον εἰσφέρων. Ἕως δὲ τούτου ἡ πρότασις τοῦ προοιμίου. Εἶτα κατασκευὴ τῆς προτάσεως, « χρημάτων γὰρ οὐκ ὀλίγων » καὶ ἑξῆς, ἵνα μή τις εἴπῃ, τί οὖν εἰ ὀλίγον καὶ οὐ μέγα τῇ πόλει τὸ βλάβος; φησὶν οὐκ ὀλίγων, ἵνα μὴ εὐκαταφρόνητα δόξῃ εἶναι TCV. Διὰ τὸ πονηρὸν νόμον εἰσενηνοχέναι. BY.

700, 4. Χρημάτων γὰρ] Ἡ κατασκευὴ τοῦ προοιμίου. Ἐξ αὐτοῦ δὲ νοεῖται καὶ τὸ συμπέρασμα ἐν τῇ ἐπαγωγῇ. AYTCV.

700, 6. Οὔτ' ἐπιτήδειον] Ἀντὶ τοῦ οὐ συμφέροντα. Διὰ δὲ τοῦ οὔτε δίκαιον αἰνίττεται τὰ τρία κεφάλαια, τό τε νόμιμον καὶ τὸ συμφέρον καὶ τὸ δίκαιον. TCV.

700, 9. Τάχα δὴ καθ' ἕκαστον] Σημαίνει τὸ τάχα καὶ τὸ μετὰ μικρὸν καὶ τὸ ταχέως. TCV. Τὸ τάχα ἀντὶ τοῦ ταχέως. A.

700, 10. Καὶ προχειρότατον] Οἷον ἐν ἑτοίμῳ. Συγκρούει γὰρ οὕτως τοὺς δικαστὰς, δι' ὧν λέγει « ὑμῶν τὴν « ψῆφον λύει. » Ὃν γὰρ ὑμεῖς δεσμεύετε διὰ νόμου, τοῦτον ἀφίησι. Προχειρότατον δὲ, ἵνα μὴ δόξῃ κακούργως πεποιηκέναι, ἀλλ' ὡς γνώριμον ἅπασι λέγοιτο. TCV.

700, 14. Οὐχ ἵνα κοινῇ τι τὴν πόλιν ὠφελήσῃ] Ἵνα μὴ ἀντιπέσῃ αὐτῷ, τί οὖν εἰ ὠφελεῖ τὸ κοινόν: ἀναιρεῖ αὐτὸ, λέγων ὅτι οὐ τούτου χάριν, ἀλλὰ τοῦδε. TCV. Τὸ σχῆμα ἐξ ἀναιρέσεως καὶ καταθέσεως. A.

700, 18. Ἀλλ' ἵνα τὸν πολὺν χρόνον] Ἀσαφὲς μὲν, σημαίνει δὲ ὅτι περὶ τῆς διπλασίας καὶ τῆς ἐκκαρπώσεως τῶν χρημάτων αἰτιᾶται τοὺς πρέσβεις. Τὸ μὲν γὰρ κεφάλαιον ἀπέδοσαν, τὴν δὲ ἐκκάρπωσιν τῶν χρημάτων ἣν ἔσχον εἰς ὅλον ἔτος ὀφείλουσιν. Ἀλλ' ἀναληπτέον τὸν λόγον. Τὸ δέ γε ῥᾷον ἀντὶ τοῦ ἀσφαλές. TCV.

701, 1. Ἐν χιλίαις ὑπὲρ ὑμῶν ἔσθ' ὁ κίνδυνος] Ὅτι λέγων ὑπὲρ ὑμῶν, ἐὰν ἡττηθῶ, ζημιοῦμαι. BY. Φησὶ γὰρ ὅτι ἐὰν ἡττηθῶ, ὡς συκοφάντης παρέχω τὰς χιλίας. Ὁ δὲ Τιμοκράτης, εἰ καὶ ἐζημιώθη, οὐ πάνυ τι ἐφρόντιζεν, εὐπορῶν δοῦναι ἐξ ὧν ἔλαβε παρὰ τῶν περὶ τὸν Ἀν-

δροτίωνα. Ὑπὲρ ὧν λέγει. Ὁ δὲ Διόδωρος ἂν ἡττηθῇ, οὐκ ἔχει τὴν πόλιν παρέχουσαν ὑπὲρ αὐτοῦ, ὑπὲρ ἧς καὶ αὐτὸς ποιεῖται τὸν λόγον. ARTCV.

701, 2. Εἰώθασι μὲν οὖν οἱ πολλοὶ] Τὸ μὲν πρότερον προοίμιον διαβολὴν ἔχει τοῦ προσώπου αὐξανομένην, διὰ τῆς ἀτοπίας τοῦ νόμου καὶ τῆς ὑποσχέσεως· τὸ δὲ νῦν προοίμιον αὐτοῦ τοῦ πράγματος αὔξησιν παρέχει καὶ διαβολὴν αὐτοῦ τοῦ νόμου, καὶ ἐγκώμιον τῆς χρείας τῶν νόμων τῶν κειμένων ἐπὶ τοῖς δεσμοῖς. Καὶ εἴργασται κατὰ αὔξησιν συγκριτικῶς. Αἵρεσιν γὰρ περιέχει, πότερον βούλονται τὸν Τιμοκράτους νόμον ἢ τοὺς πάλαι κειμένους. RY. Τὸ δεύτερον προοίμιον προσοχὴν ἐργάζεται· αὔξει γὰρ τὴν ὑπόθεσιν, καταλύεσθαι φάσκων ὑπὸ τοῦ Τιμοκράτους τὴν πολιτείαν· εἰ γὰρ οἱ τὰ πάντα σώζοντες νόμοι δι' ἑνὸς τούτου μόνου λυθήσονται, πῶς οὐ προσήκει τοῦτον μὲν ἀφανίζειν, τοὺς δὲ τῆς σωτηρίας αἰτίους φυλάττειν; τινὲς μὲν ἐβουλήθησαν τὸ δεύτερον προοίμιον ἔχειν διὰ τοῦ ἑξῆς προοιμίου συμπέρασμα· οἱ δ' ἔφασαν αὐτὸ ἔχειν χωρὶς τοῦ ἑξῆς ἐν ἑαυτῷ συμπεπληγμένον τὸ συμπέρασμα. TCV.

Εἰώθασι μὲν οὖν] Προοίμιον δεύτερον. Τὸ δὲ εἴπερ τοῦτο τινὶ, τοῦτο εἰς τὸν Ἰσοκράτην αἰνίττεται, ἐπειδὴ κἀκεῖνος οὕτως ἐλογίσατο ἐν τῷ προοιμίῳ τῷ περὶ τῆς εἰρήνης. Εἶτα, ἐπειδὴ διδάσκαλος ἦν αὐτοῦ, προσέθηκεν ὅτι προσηκόντως εἴρηται ἐκείνῳ. ATCV.

701, 9. Τὸ δὲ, τῶν γὰρ ὄντων ἀγαθῶν, κατασκευὴ τοῦ προοιμίου· κατασκευάζει γὰρ πῶς σπουδῆς ἄξιά ἐστι τὰ παρ' αὐτοῦ νῦν λεγόμενα, καὶ δεῖ προσέχειν αὐτῷ τοὺς δικαστάς. ATCV.

701, 11. Αἰτιώτερον] Καλῶς τὸ συγκριτικόν· εἰσὶ γὰρ καὶ ἄλλαι δύο αἰτίαι τοῦ τὴν δημοκρατίαν καὶ τὴν ἐλευθερίαν φυλάττεσθαι, οἷον, τὸ καλῶς βουλεύεσθαι, τὸ προκινδυνεύειν τῆς πατρίδος, πλέον δὲ τούτων οἱ νόμοι σωζόμενοι. ARTCV.

701, 17. Τὸ μὲν οὖν πρᾶγμα] Τοῦ τρίτου προοιμίου ἀρχή· ἡ ἀρχὴ τῆς προοιμιακῆς ἐννοίας. Διὸ καὶ αἰτίας ἐστὶν ἀπόδοσις. Διαφέρει δὲ τοῦ προοιμίου, τῷ τὸ μὲν ἐκ κατασκευῆς καὶ προτάσεως καὶ συμπεράσματος, τὴν δὲ προοιμιακὴν ἔννοιαν μόνον διηγεῖσθαι τὴν αἰτίαν δι' ἣν ἦλθεν ἐπὶ τὸ πρᾶγμα· καὶ τὸ μὲν προοίμιον συνεστραμμένον καὶ ὀλίγον, ἡ δὲ ἁπλουστέρα καὶ διὰ πλειόνων, οὐ πάντοτε δὲ οὐδὲ τὸ προοίμιον ἔχει κατασκευὴν καὶ συμπέρασμα, ἀλλ' ὡς ἀπαιτεῖ ἡ χρεία οὕτω ποιητέον. Ἰστέον δὲ ὅτι ἐν τούτῳ τῷ λόγῳ τρισὶ προοιμίοις κέχρηται· τῷ μὲν ἀπὸ τοῦ φεύγοντος, τῷ δὲ ἀπὸ τοῦ πράγματος, τῷ δὲ ἀπὸ τοῦ κατηγόρου. Μετὰ δὲ ταῦτα προκατασκευαῖς κέχρηται δυσί· καὶ ἡ μὲν πρώτη ἐστὶν αὕτη· « ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι· » ἡ δὲ δευτέρα ἄρχεται οὕτως· « τοῦ δὲ πράγματος οὐκ ἔτ' ὄντος ἀμφισβητησίμου. » Διπλῇ δὲ προκατασκευῇ κέχρηται, ἐπειδὴ καὶ ἡ ἐπείσακτος ὑπόθεσις δίχα διῄρηται· καὶ ἡ μέν ἐστι κοινὴ κατὰ τῶν πρέσβεων, ἡ δὲ ἰδία κατὰ Ἀνδροτίωνος. Διὰ τοῦτο καὶ ἡ προκατασκευὴ δίχα διῄρηται, καὶ τὸ μέν τι αὐτῆς ἐστι κατὰ Ἀνδροτίωνος διὰ τὴν μέλλουσαν βλασφημίαν ὡς δεινὰ πεπονθότι συγγνώμην νέμειν, εἰ προαχθείη κατὰ Ἀνδροτίωνος λέγειν τι τῶν ἀτοπωτέρων διὰ τὰ κατ' αὐτοῦ σκευωρηθέντα ἐγκλήματα, τὸ δέ ἐστι κατὰ τῶν πρέσβεων. Ῥητορικώτατα κέχρηται ταῖς προκατασκευαῖς, ἵνα φαίνηται διὰ τούτων συνάπτων τῇ κρινομένῃ ὑποθέσει τάς τε διαβολὰς Ἀνδροτίωνος καὶ τὴν κατὰ τῶν πρέσβεων κατηγορίαν. Ἔμελλε γὰρ ὁ ἀκροατὴς θαυμάζειν, τί δήποτε νόμου κατηγορίαν ἀπαγγειλάμενος, πρέσβεων ἐνθάδε μέμνηται καὶ Ἀνδροτίωνα βλασφημεῖ· ἵνα δὲ τῇ τοῦ νόμου ὑποθέσει οἰκειώσῃ τὴν τῶν πρέσβεων, διὰ τῆς δευτέρας προκατασκευῆς τὸν ἀκροατὴν διατίθησι μὴ νομίζειν ἀλλοτρίαν εἶναι τοῦ παρόντος ἀγῶνος τὴν κατὰ τοὺς πρέσβεις ὑπόθεσιν. Ἔστι δὲ μετὰ τὰς προκατασκευὰς καὶ προκαταστατικὸν, ἐν ᾧ προσεπαγγέλλεται καὶ τὴν κατάστασιν ἐρεῖν. Ἔχεται δὲ ἤδη τῆς καταστάσεως. Ποῖον οὖν ἐστι τὸ προκαταστατικόν; ἐξ ἀρχῆς οὖν τὰ πραχθέντα δίειμι πρὸς ὑμᾶς. Προλέγει γὰρ καὶ προαναφωνεῖ τὴν περιοχὴν ὅλην, ἥτις ἐστὶ τῆς καταστάσεως ἀρχή. Ἀρχὴ δὲ τῆς καταστάσεως ἐνθένδε· « ψήφισμα εἶπεν ἐν ὑμῖν Ἀριστοφῶν ἑλέσθαι ζητητάς. » Διὰ δὲ τῆς καταστάσεως οἰκειοῖ τὴν ἐπεισαχθεῖσαν ὑπόθεσιν τῇ τοῦ νόμου κατηγορίᾳ. Καὶ διατίθησι διὰ τῆς καταστάσεως τὸν ἀκροατὴν καὶ προκατασκευάζει δι' ὑπονοίας ἔχειν τὸν γεγραφότα τὸν νόμον ὡς ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκέτου καὶ Μελανώπου γεγραφότος. Ἔχει δέ τι καὶ ἐγκατάσκευον ἡ κατάστασις ἐν τοῖς τέλεσιν· ἵνα γὰρ μὴ ἀπίθανος γένηται διηγούμενος ὅτι τῶν πρέσβεων ἕνεκα τὸν νόμον ἔθηκεν, ἐπήγαγε καὶ ἀπόδειξιν εὐθὺς εἰπὼν « μαρτυρεῖ δὲ ὅτι ταῦθ' « οὕτως ἔχει τοὔργον αὐτό. » Y.

Ἰσοκρατικὴ ἡ ἔννοια καὶ ἀπὸ τοῦ Ἀρχιδάμου μετῆκται, καὶ ἀφελέστερον εἴρηται τῆς παρ' Ἰσοκράτει κειμένης. Ἐκεῖ μὲν γὰρ ὁ λέγων καὶ ἐγγὺς ἀλαζονεύεται· ἐνταῦθα δὲ ὁ λέγων κολάζει τὸ πρᾶγμα τῇ προσθήκῃ τῇ ὥς γε ἐμαυτὸν πείθω. Ὁ γὰρ οὐκ ἐφ' ἑαυτὸν μόνον ἄγων τὴν κρίσιν καὶ ἐνδοιάζων ἔτι καὶ μετὰ τοσαύτης ἐπιεικείας καὶ μετριότητος, ἀπήλλακται τοῦ δοκεῖν φορτικὸς εἶναι τοῖς ἀκούουσιν· ὁ δὲ ἀνέδην μαρτυρίᾳ τῶν πάντων περὶ ἑαυτοῦ καταχρώμενος ἄνευ τῆς ἐκ τοῦ λόγου κολάσεως, οὐκ ἐκφεύγει τὸ μὴ δοκεῖν εἶναι τοῖς ἀκούουσι φορτικός. Οὐ μὴν ἀλλ' ἔχοι τις ἂν εἰπεῖν καὶ ὑπὲρ Ἰσοκράτους αἰτίας εὐλόγους, ὅτι βασιλέως παῖς ὁ λέγων, καὶ βασιλεὺς μετὰ μικρὸν [ἐσόμενος] εἰς πόλεμον παροξύνων, καὶ εἰκότως φρυάττεται. Τρισὶ δὲ προοιμίοις ἐν τούτῳ τῷ λόγῳ κέχρηται· τῷ μὲν ἀπὸ τοῦ φεύγοντος, τῷ δὲ ἀπὸ τοῦ πράγματος, τῷ δὲ ἀπὸ τοῦ κατηγόρου. TCV.

701, 18. Ὡς ἐν κεφαλαίῳ] Ὡς ἐν συντόμῳ. ATCV.

701, 20. Ὥς γ' ἐμαυτὸν πείθω] Ἠθικὸς ὁμοῦ καὶ ἐπιεικὴς ὁ λόγος. Οὐ γὰρ μόνον οὗτος ἐφ' ἑαυτὸν ἄγει τὴν κρίσιν, ἀλλὰ καὶ ἐνδοιάζων ἀπήλλακται τοῦ δοκεῖν εἶναι φορτικός. RYTCV.

701, 23. Ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσέκρουσα ἀνθρώπῳ] Παραδιήγησις· παραδιηγεῖται γὰρ διὰ ποίαν αἰτίαν ἦλθεν ἐπὶ τοῦτον τὸν ἀγῶνα. ATCV. Καὶ ἀρχὴ τῆς προκατασκευῆς διατιθεῖσα τοὺς ἀκούοντας συμπάσχειν αὐτῷ πεπονθότι δεινὰ, καὶ συγγνώμην, εἰ λέγοι τι κατ' Ἀνδροτίωνος ἀμυνόμενος, νέμουσα. Προσέκρουσα δὲ, περιέπεσον καὶ ἤχθρευσα καὶ συνέρραξα. Ἐπειδὴ δὲ ἀντέπιπτε, τί οὖν εἰ πολεμεῖ σοι κακῶς πεπονθώς; ὁ δέ φησι, καὶ ἡ πόλις μετ' ἐμοῦ προσέκρουσεν, ἀντὶ τοῦ, εἰς μάχην καὶ μῖσος ἦλθε διὰ τὴν πονηρίαν, κἀγὼ οὐ δι' ἐμαυτὸν, ἀλλ' ἡ φύσις αὐτοῦ κινεῖ τὴν ἔχθραν πρὸς ἅπαντας. TCV.

702, 10. Τὸν δὴ εἰς τὰ τοιαῦτα καταστήσαντά με] Πρόσκειται τὸ ἀδίκως, ἵνα μὴ λέγῃ τις, ἀλλ' εἰ εὐλόγως ἐπέθετό σοι; διὸ καὶ φησὶν ὅτι, ὅσον μὲν ἧκεν εἰς ἐκεῖνον, ἀπωλόμην, ἐσώθην δὲ δι' ὑμᾶς· διὸ καὶ ἀμύνομαι αὐτὸν

δικαίως ἐν καιρῷ. Πληρώσας δὲ τὴν πρώτην κατασκευὴν ἐπισυνάπτει καὶ τὴν δευτέραν, δι' ἧς τῇ κρινομένῃ ὑποθέσει ἡ ἐπιοῦσα συνάπτεται· κρίνεται μὲν γὰρ ἡ τοῦ νόμου καὶ προηγεῖται, ἐπεισάγεται δὲ ἡ τῶν πρέσβεων. Διπλῆ οὖν ἡ προκατασκευή, ἅτε δὴ καὶ διπλῆς οὔσης τῆς ὑποθέσεως. Εἶτα ἐπάγει τι προκαταστατικὸν, ἐν ᾧ ἐπαγγέλλεται θήσειν τὴν κατάστασιν. TCV.

702, 12. Ἠδικηκότα πᾶσαν τὴν πόλιν] Ἡ γὰρ πόλις ἐλάμβανε τὸ διπλοῦν, ἡ δὲ Ἀθηνᾶ τὸ δέκατον, οἱ δὲ ἐπώνυμοι τὸ πεντηκοστὸν — ἐπώνυμοι δὲ ἐκαλοῦντό τινες ἀνδριάντες ἡρώων, ἐξ ὧν ἐκαλοῦντο καὶ αἱ δέκα φυλαὶ ἐπ' ὀνόματι τούτων—, εἰς ἰδίας τινὰς θυσίας. Τὰ δὲ ὀνόματα τῶν ἡρώων ταῦτα, Ἀθηναίων ὄντων ἐκτὸς Αἴαντος τοῦ Σαλαμινίου, Πανδίων, Ἐρεχθεὺς, Κέκροψ, Αἰγεὺς, Οἰνεὺς, Λέων, Αἴας, Ἀκάμας, Ἀντίοχος, Ἱπποθόων. ATCV.

702, 21. Τοῦ δὲ πράγματος οὐκ ἔτ' ὄντος ἀμφισβητησίμου] Ἐνταῦθά ἐστιν ἡ προδιήγησις· οἰκονομεῖ γὰρ τὴν μέλλουσαν διήγησιν γίγνεσθαι αὐτοῦ. Τοῦ πράγματος δὲ, τουτέστι τοῦ λαβεῖν τὴν πόλιν τὰ χρήματα. Διπλῆ δὲ ἡ ὑπόθεσις. Καὶ ἡ μέν ἐστι πρὸς τὰ μέλλοντα λέγεσθαι εἰς διαβολὴν κατὰ Ἀνδροτίωνος, ἡ δὲ πρὸς αὐτὴν τὴν ἐπεισαχθεῖσαν ὑπόθεσιν, ἥτις δίχα διῄρηται, καὶ ἡ μέν ἐστι κοινὴ κατὰ τῶν πρέσβεων, ἡ δὲ ἰδία κατ' Ἀνδροτίωνος. Διὰ τοῦτο καὶ ἡ προκατασκευὴ δίχα διῄρηται, καὶ τὸ μέν τι αὐτῆς ἐστι κατ' Ἀνδροτίωνος διὰ τὴν μέλλουσαν βλασφημίαν, τὸ δὲ κατὰ τῶν πρέσβεων. TCV.

702, 24. Δικαστηρίοιν δυοῖν] Ἐν τοῖς μεγάλοις καὶ ἐσπουδασμένοις πράγμασι συνήρχοντο ἐκ δύο δικαστηρίων, πληροῦντες ἀριθμὸν χιλίων καὶ ἑνός. Διὰ τοῦτο δὲ ὁ εἷς προσετίθετο ἀεὶ τοῖς δικασταῖς, ἵνα μὴ ἴσων γενομένων τῶν ψήφων ἐξ ἴσης ἀπέλθωσιν οἱ δικαζόμενοι, ἀλλ' ἐκεῖνος δόξῃ νικᾶν, ᾧ ἂν ὁ εἷς προστεθῇ. ATCV.

703, 7. Ἐξ ἀρχῆς οὖν ἐν βραχέσι] Ἔννοια προκαταρκτική· προλέγει δὲ καὶ προαναφωνεῖ τὴν περιοχὴν ὅλην, ἥτις ἐστὶ τῆς καταστάσεως ἀρχή. TCV.

703, 10. Ψήφισμα εἶπεν ἐν ὑμῖν] Ἐνταῦθα εἰσβάλλει εἰς αὐτὴν τὴν διήγησιν. ATCV. Ἡ ἀρχὴ τῆς καταστάσεως ἐνθένδε. Ζητητὰς δὲ τοὺς ἄρχοντας τοὺς ζητοῦντας καὶ ἀνερευνῶντας τίς ὀφείλει τῇ πόλει χρήματα, ἢ τοῖς ἱεροῖς. RYTCV.

703, 14. Ἀρχέβιος καὶ Λυσιθείδης] Οὗτοι γὰρ τριήραρχοι ἦσαν. Τούτους δὲ ἐμήνυσε τὰ χρήματα ἔχειν, ἀποκρυπτόμενος δηλῶσαι τὴν ἔχθραν τὴν πρὸς τοὺς πρέσβεις. RYTCV. Ναυκρατιτικὰ δὲ, ὅτι ἐκ τῆς Ναυκράτεως τῆς κατ' Αἴγυπτον, ἥτις καὶ νῦν οὕτω καλεῖται. ATCV. Ἔχει δέ τι ἐγκατάσκευον ἡ κατάστασις ἐν τοῖς τέλεσιν. Ἵνα γὰρ μὴ ἀπίθανος γένηται διηγούμενος, ὅτι τῶν πρέσβεων ἕνεκα τὸν νόμον ἔθηκεν, ἐπήγαγε καὶ ἀπόδειξιν εὐθὺς εἰπὼν, « μαρτυρεῖ ὅτι ταῦθ' οὕτως ἔχει τοὔργον αὐτό. » Οὐ δεῖ γὰρ, φασὶν, ἁπλῆν τὴν διήγησιν εἶναι καὶ καθαρὰν ἀποδείξεων, ἐὰν μὴ προσδέχηται αὐτὴν ὁ ἀκροατὴς, ἢ προσδέχηται μὲν, μὴ πιστεύῃ δέ. TCV. Ζητοῦσι δέ τινες πῶς ἐνταῦθα πραγματικῆς οὔσης τῆς στάσεως ἔστι διήγησις· ἀεὶ γὰρ ἡ πραγματικὴ περὶ μελλόντων ἔχει τὴν σκέψιν, ἡ δὲ διήγησις γεγονότων ἐστὶν ἀφήγησις. Λέγομεν ὅτι ἐν τῇ συμβουλῇ πραγματικῆς οὔσης τῆς στάσεως εἰκότως ἐλλείπει ἡ διήγησις· οἶδε γὰρ ὁ ἀκροατὴς περὶ τίνος συνῆλθεν. Ἐν δὲ τῷ δικανικῷ λόγῳ ἀγνοοῦσιν οἱ δικασταὶ τὸ πρᾶγμα. Οὐκοῦν οὐδὲν ἄτοπον καὶ ἐνταῦθα δικανικοῦ ὄντος τοῦ λόγου, τάξαι διήγησιν. ATCV. Τὸ δὲ ἔλαβεν ἀντὶ τοῦ ἐσύλησε. Διαφέρει δὲ ἡ τριήρης τοῦ πλοίου, τῷ τὴν μὲν εἶναι πολεμίαν, τὸ δὲ φορτηγὸν καὶ ἐμπορικόν. ARTCV. Ἀπεχειροτονήσατε δὲ ἀντὶ τοῦ κατεψηφίσασθε. ATCV.

703, 25. Τοὺς νόμους ἀνέγνω] Τοὺς κελεύοντας τὰ τῶν πολεμίων χρήματα τῆς πόλεως εἶναι. RY.

703, 28. Ἀναπηδήσας Ἀνδροτίων] Διαβάλλει τὸν τρόπον ὡς τυραννικώτερον· τὸ γὰρ ἠγανάκτουν καὶ ἐβόων τὴν αὐτὴν ποιεῖ ὑπόνοιαν. Διαδικασία δέ ἐστιν ὄνομα δίκης περὶ χρημάτων ἢ περὶ κτημάτων. TCV.

704, 8. Ἐὰν δὲ ἀμφισβητῆταί τι] Ἐπίκρισις. B.

704, 9. Διαδικασία] Ἐστὶν ὄνομα δίκης περὶ ἀμφισβητουμένου τινὸς πράγματος. A.

704, 12. Ἀπέφυγεν] Φεύγειν, εὐθύνεσθαι. Ἀποφεύγειν, ἀπευθύνεσθαι. BY.

704, 22. Ἀνάγκη δὲ πρῶτον] Ἐξέτασις τοῦ νομίμου τελεία ἐντεῦθεν. Κατὰ δύο γὰρ τρόπους, κατά τε τὸ πρόσωπον καὶ τὸν νόμον, ἡ τελεία ἐξέτασις γίνεται. Ἐξετάζει οὖν καὶ τὸν θέντα καὶ τὸν τεθέντα νόμον. YTCV.

Ἀνάγκη δὲ πρῶτον ὑπομνῆσαι χρόνους] Τὸ νόμιμον κεφάλαιον. — Περὶ χρόνου νομοθεσίας. B.

Τοὺς χρόνους] Τὸ παρανόμως καὶ οὐχ ὡς κελεύουσιν οἱ νόμοι. Τὸν δὲ καιρὸν, ὅτι ἐν πανηγύρει. Y.

705, 6. Τῶν μὲν γὰρ χρημάτων] Διὰ τούτων ἐμφανίζει ὅτι ἐκτέτισται μὲν τὰ ἁπλᾶ τῶν χρημάτων, ἐκτέτισται δὲ οὐκ ἐν ἐκείνοις τοῖς χρόνοις. RY.

705, 8. Βούλομαι δὴ μικρὰ διεξελθὼν] Ὥσπερ πρὸ τῆς καταστάσεως εἰώθαμεν τοῖς ἀκούουσι προλέγειν ἐννόημα, σημαῖνον τὴν δύναμιν τῆς καταστάσεως, οὕτω καὶ πρὸ τῶν ἀγώνων, ὥσπερ καὶ τὰ προοίμια πρὸ πάσης τῆς ὑποθέσεως. YTCV. Τὸ δὲ προαγωνιστικὸν τοῦτ' ἐννόημα διπλοῦν ἐστιν, ἐπειδήπερ διπλοῦν τὸ νόμιμον. Καὶ τὸ μὲν σημαντικόν ἐστι τοῦ περὶ τὸ πρόσωπον νομίμου, τὸ δὲ τῆς κατηγορίας τοῦ νόμου. Εἰς δύο γὰρ διαιρεῖται τὸ νόμιμον, εἴς τε πρόσωπον καὶ εἰς πρᾶγμα. Τοῦ μὲν οὖν περὶ τὸ πρόσωπον προεκκειμένη ἔννοια· τὸ γὰρ « καθ' οὓς εἰσιν αἱ τοιαίδε γραφαὶ, » σημαντικόν ἐστι τῆς κατὰ τοῦ προσώπου κατηγορίας. Ἡ δὲ δευτέρα ἔννοια προαναφωνεῖ τὴν τοῦ νόμου κατηγορίαν καὶ τὸ δεύτερον τοῦ νομίμου μέρος. Τί γάρ φησι; « περὶ αὐ- « τοῦ τοῦ νόμου λέγειν ὃν γέγραμμαι. » Τοῦτο δέ ἐστιν ὅτι πορεύσομαι μετὰ τὴν τοῦ προσώπου κατηγορίαν ἐπὶ τοὺς ἐλέγχους τοῦ νόμου· ἀρχὴ δὲ τοῦ κατὰ τοῦ προσώπου νομίμου « ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν τοῖς οὖσι « νόμοις ἡμῖν κυρίοις διωρισμένα ἀκριβῶς καὶ σαφῶς « πάνθ' ὅσα δεῖ ποιεῖν. » Ἐν δὲ τούτῳ παντὶ τῷ νομίμῳ τὸ πρόσωπον καὶ τὴν κακοτεχνίαν διαβάλλει τοῦ Τιμοκράτους, καὶ ὅπως ἐπιβουλεύσας τὸν νόμον τέθεικε διὰ τοὺς πρέσβεις. Πληρώσαι δὲ τοῦτο τὸ μέρος προοιμιάζεται πάλιν περὶ τοῦ κατὰ τὸ πρᾶγμα νομίμου « ὅτι μὲν « τοίνυν οὐδὲν ὧν προσήκει καὶ κελεύουσιν οἱ νόμοι « πεποίηκεν, εἰς τὰ προειρημένα ἄν τις σκοπῶν γνοίη. » Τοῦτο γὰρ προοιμιακή τίς ἐστιν ἔννοια, ἐπισφραγιζομένη μὲν τὰ προειρημένα, προκαταρκτικὴ δὲ τῶν ἑξῆς. Δεῖ γὰρ τὰς ἐν μέσῳ τῶν λόγων προοιμιακὰς ἐννοίας συμπεράσματα μὲν περιέχειν τῶν προειρημένων κεφαλαίων καὶ μερῶν, προκαταρκτικὰς δὲ τῶν μελλόντων ῥηθήσεσθαι. Εἶτα μέλλων ἅπτεσθαι τοῦ δευτέρου μέρους προαναγινώσκει νόμον τὸν ἐπιτρέποντα αὐτῷ κατηγορεῖν τῶν ὑπεναν-

τίων τοῖς πάλαι κειμένοις τιθεμένων νόμων. Ἄρχεται δὲ καθαρῶς αὐτῆς τῆς τοῦ νόμου κατηγορίας, ἐνθένδε (p. 712, 13)· « ἵνα δὲ εἰδῆτε παρ' οἵους νόμους οἷον οὗτος εἰσή« νεγκεν, ἀναγνώσεται πρῶτον μὲν ὑμῖν τὸν νόμον, » ἀπ' αὐτῆς τῆς ἀναγνώσεως τοῦ Τιμοκράτους νόμου τῆς κατηγορίας ἀρχόμενος. Ἐνδιέτριψε δὲ τῇ κατασκευῇ καὶ ταῖς ἀποδείξεσι τοῦ νόμου τοῦ κελεύοντος ἐξεῖναι κατηγορεῖν τῶν ὑπεναντίον εἰσφερόντων νόμον, ἐπειδὴ τεθάρρηκε τούτῳ τῷ μέρει καὶ προσποιεῖται λαμπρῶς ἰσχύειν· ἐμποιεῖ γὰρ διὰ τῆς διατριβῆς ταύτης τοῖς ἀκούουσιν ἔννοιαν ὅτι οὐκ ἂν πλείονα λόγον ἐποιήσατο μὴ ἔχων ἰσχυρὰν τὴν ἀπόδειξιν τὸν Τιμοκράτους νόμον ὑπεναντίον τοῖς κειμένοις εἶναι, πολλὰ δ' ἀνύειν αἱ τοιαῦται προκαταστάσεις δύνανται. Κἂν γὰρ ἀσθενέσteραι τυγχάνωσιν αἱ ἀποδείξεις, οἰήσεται ὁ ἀκροατὴς διὰ τὴν οἰκείαν ἀσθένειαν μὴ συνεῖναι μόνον, ἐὰν ἐξηπατημένος ταῖς ἐπαγγελίαις τυγχάνῃ. Ἔστιν οὖν πραγματικώτατον τοῦτο τὸ μέρος πολλὴν ἔχον δεινότητα, καὶ γὰρ καθολικώτερον αὐτὸ προήγαγεν· τοῦτο δέ ἐστι τοῦ μερικοῦ καὶ ἰδικοῦ πιθανώτερον. Καὶ αὔξει δι' αὐτοῦ τὰ ἐκ τῆς ὑπεναντιότητος τῶν νόμων ἀδικήματα, ἵνα τὸν ἀκροατὴν ταῖς ἐπαγγελίαις τῶν ἀποδειχθησομένων ἐκπλήξῃ καὶ ὑπαγάγηται τοὺς ἀκούοντας τοῖς ἐπαίνοις καὶ ταῖς τιμαῖς ταῖς παρὰ Σόλωνος. Υ.

705, 13. Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι] Πληρώσας τὴν διήγησιν εἰσβάλλει ἐντεῦθεν ἐπὶ τὸ νόμιμον κεφάλαιον· καὶ τούτου πρῶτον ἐπὶ τὸ παράνομον· ἑξῆς δὲ αὐτοῦ τάττει τὸ ἐναντίον τοῖς νόμοις. ATCV.

705, 18. Ἀλλὰ προστάττει, πρῶτον μὲν ἐκθεῖναι] Ἔκθεσις αὐτοῦ ἔμπροσθε τῶν ἐπωνύμων. Β. Τὰ περιστατικὰ θέλει ἐνταῦθα εἰπεῖν, τὸ πρόσωπον, τὸν τρόπον, τὸν τόπον, τὸν χρόνον. Χρόνον, τὴν τρίτην ἐκκλησίαν· πρόσωπον, τοὺς περὶ Ἀνδροτίωνα· τόπον, πρόσθεν τῶν ἐπωνύμων· τρόπον δέ, ὅτι τοιῶσδε δεῖ ταῦτα ποιεῖν. ARTCV.

705, 19. Πρόσθεν τῶν ἐπωνύμων] Ἐπώνυμοι, ἥρωες τῶν φυλῶν ἐπώνυμοι· Ἐρεχθεὺς Πανδίονος, Πανδίων Ἐριχθονίου, Ἀκάμας Θησέως, Αἴας Τελαμῶνος, Αἰγεὺς Αἰγικόρεω, Κέκροψ αὐτόχθων, Ἱπποθῶν Ποσειδῶνος, καὶ ἑτέρας μιᾶς· δέκα γὰρ ἦσαν φυλαί. ΒΥ.

705, 20. Μετὰ ταῦτα ἐπὶ πᾶσι] Ἔκθεσις αὐτοῦ τοῖς πᾶσιν, ὥστε εἶναι κοινόν. Β.

705, 21. Πρὸς τούτοις] Λύσις τῶν ἐναντίων νόμων. Β.

706, 1. Ὡς παρὰ πάντας τοὺς νόμους ἐνομοθέτει] Τοῦ προσώπου αὕτη ἡ ἐξέτασις. TCV.

706, 4. Ἀρχὴ τοῦ κατὰ προσώπου νομίμου. S.

706, 7. Ἐπιχειροτονία] Ἐπιχειροτονία ἐστὶν ἡ διάσκεψις ὅ τι δεῖ ποιεῖν περὶ τῶν νόμων. Ἐν τῇ πρώτῃ δὲ πρυτανείᾳ ἐν τῷ πρώτῳ μηνί· ἰστέον γὰρ ὅτι κατὰ μῆνα τρεῖς ἐκκλησίας ἐποιοῦντο, βουλευόμενοι περὶ τῶν ἐν τῇ πόλει πραγμάτων, πλὴν εἰ μὴ ἄρα ἀνάγκη τις κατέλαβε πολέμου, ὥστε καὶ περὶ ἐκείνου ἄλλην ἐκκλησίαν ποιῆσαι πλέον τῶν ὡρισμένων. Καὶ ἐγίνετο ἡ πρώτη ἑνδεκάτῃ τοῦ μηνός, ἡ δὲ δευτέρα περὶ τὴν εἰκάδα, ἡ δὲ τρίτη περὶ τὴν τριακοστήν. Πρυτάνεις δὲ τοὺς πεντήκοντα, οὓς εἴπομεν ἀεὶ προβαλλομένους ὑπὲρ τῆς ἰδίας φυλῆς καὶ πρυτανεύοντας τὸ μέρος αὐτῶν τοῦ ἐνιαυτοῦ. ARTCV.

706, 8. Πρυτανείας] Πρυτανεία, χρόνος· ψῆφον, βουλήν. ΒΥ.

706, 10. Περὶ τῶν βουλευτικῶν] Περὶ τῆς βουλῆς τῶν πεντακοσίων, εἰ δεῖ λαμβάνειν αὐτὴν στέφανον, ἐὰν ποιήσηται τὰς τριήρεις. Δεύτερον περὶ τῶν δημοσίων πραγμάτων. ARTCV.

706, 12. Ἐννέα ἄρχουσιν] Ἄρχοντες ἐννέα ἐλέγοντο οἱ ἓξ θεσμοθέται, οἵτινες εἰσῆγον τὰς τῶν παρανόμων γραφάς, εἶτα εἷς βασιλεύς, περὶ οὗ ἔγνωμεν ἐν τῷ κατ' Ἀνδροτίωνος τί ἦν αὐτῷ ἔργον, εἶτα ὁ πολέμαρχος, ὅστις ἐπεμελεῖτο τοῦ τρέφεσθαι ἐκ τοῦ δημοσίου τοὺς παῖδας τῶν ἀποθανόντων γενναίως ἐν τῷ πολέμῳ, εἶτα ὁ ἄρχων ὁ ἐνιαύσιος, ὅστις ἐπεμελεῖτο τῶν χηρῶν καὶ τῶν ὀρφανῶν καὶ ἄλλων τινῶν. Τὸ δὲ ἀποχειροτονηθέντων ἀντὶ τοῦ ἀποδοκιμασθέντων. ARTCV.

706, 20. Τοὺς δὲ προέδρους] Τοὺς δέκα τοὺς πρωτεύοντας τῶν πεντακοσίων. Τὸ δὲ « οἳ ἂν τυγχάνωσιν » εἶπε διὰ τὸ ἄδηλον τοῦ κλήρου. Ἐν ταύτῃ τῇ ἐκκλησίᾳ δέ, ὅ ἐστιν ἐν τῇ τρίτῃ, ὥσπερ καὶ κατωτέρω. Πρὸ δὲ τῆς ἐκκλησίας, τουτέστι τῆς τρίτης. Χρηματίζειν δέ, τουτέστιν ὑποβάλλειν· ἔγνωμεν γὰρ ὅτι οἱ μὲν πρυτάνεις συνῆγον τὴν ἐκκλησίαν, οἱ δὲ πρόεδροι ὑπέβαλλον περὶ τίνος συνῆλθον. Ἱερὰ δὲ τὰς θυσίας φησίν. ARTCV.

706, 25. Τῶν ὀμωμοκότων ἡλιαστικὸν ὅρκον] Ἀντὶ τοῦ τῶν ἤδη ὀμοσάντων τὸν ὅρκον τῶν Ἡλιαστῶν, ὡσανεὶ ἔλεγεν, ἵνα ὦσιν ἀπὸ δικαστῶν ἤδη γεγενημένων. Ἰστέον δὲ ὡς ὅτι ἡ Ἡλιαία λέγεται αὐτὸς ὁ τόπος τοῦ μεγάλου δικαστηρίου καὶ τὸ ἄθροισμα αὐτῶν τῶν ἐκεῖσε δικαζόντων. Ἡλιαία δὲ ἐκλήθη ὁ τόπος παρὰ τὸ ἐκεῖσε ἁλίζεσθαι καὶ συναθροίζεσθαι τὸ πλῆθος τῶν δικαστῶν. Τὸ γὰρ α εἰς η μεταβέβληται ὡς καὶ πολλαχοῦ. Τινὲς δὲ λέγουσιν ἐκ τοῦ ὕπαιθρον εἶναι τὸν τόπον καὶ τὸν ἥλιον ἐκεῖ ἔνδον προσβάλλειν. Κατὰ τὰ προγεγραμμένα δέ, κατὰ τοὺς νόμους ἤδη τοὺς κειμένους. Τὸ δὲ χιλίας δραχμάς, ἄξιον ζητῆσαι διὰ τί οὕτως ἀνώμαλον οἱ νόμοι ἔταξαν τὴν ζημίαν κατά τε τῶν πρυτάνεων καὶ τῶν προέδρων. Καὶ λέγομεν ὅτι βαρύτερόν ἐστιν ὅλως τὸ μὴ συνάξαι τὸν δῆμον εἰς ἐκκλησίαν τοῦ μὴ ὑποβάλλειν· διὸ ἐπὶ τῶν πρυτάνεων τῶν μὴ συναγόντων τὸ πλέον ἔταξαν. ARTCV.

707, 13. Εἰς λεύκωμα] Οἷον ὥσπερ ἐν πυξίῳ. Τὸ δὲ ἕως ἡ ἐκκλησία γένηται, δηλονότι ἡ τρίτη. Τὸ δὲ αἱρεῖσθαι κατὰ κοινοῦ τὸ κελεύειν, ὅ ἐστι χειροτονεῖν. Τὸ δὲ τοὺς συναπολογησομένους, τοὺς μέλλοντας ἀγωνίζεσθαι ὑπὲρ τῶν μελλόντων λύεσθαι· εἰκὸς γὰρ ὅτι βελτίους ἦσαν τοῦ εἰσαγομένου καὶ χρείᾳ τῶν λεγόντων ὑπὲρ αὐτῶν ἐνομίζοντο εἶναι φαῦλοι. ARTCV.

707, 17. Ἑκατομβαιῶνος] Ἀπριλλίου. Β. Οὗτος γὰρ ἦν ὁ πρῶτος μήν, ὅτε καὶ ἡ πρώτη πρυτανεία ἐγίνετο τῇ ἑνδεκάτῃ, ὅ ἐστι τῇ πρώτῃ ἐκκλησίᾳ· προηυτρέπιζον γὰρ ἐκ τῆς πρώτης ἐκκλησίας τοὺς μέλλοντας ἀπολογεῖσθαι ὕστερον ὑπὲρ τῶν ἀποδοκιμαζομένων νόμων ἐν αὐτῇ τῇ πρώτῃ ἐκκλησίᾳ· καὶ μαθόντες ἐν ταύτῃ τῇ πρώτῃ πόσοι ἀπεδοκιμάσθησαν νόμοι πρὸς αὐτοὺς ἐχειροτόνουν καὶ τοὺς ἀπολογουμένους. Πέντε δὲ ἄνδρας καθ' ἕκαστον νόμον ἐχειροτόνουν. Εἰσοιστέος δὲ ἀντὶ τοῦ εἰσενεκτέος. Ἐν δὲ τῷ μεταξὺ λέγει τῆς πρώτης ἐκκλησίας καὶ τῆς τρίτης. ARTCV.

708, 13. Ἀφειμένης τῆς βουλῆς] Ἀντὶ τοῦ, ὅτε πάντες ἐν τῇ ἑορτῇ ἀφειμένοι ἦσαν, καὶ οὐδεὶς συνήρχετο εἰς ἐκκλησίαν τῆς βουλῆς. ARTCV.

708, 17. Τὸ νικῆσαν] Ἐμφαντικῶς κατ' εἰρωνείαν. ARTCV.

708, 18. Συνταξάμενοι] Ἀντὶ τοῦ φρατριάσαντες καθ' ὑμῶν. ACDGRTV.

Καὶ οὐδὲν ἐκ ταυτομάτου] Οἷον, οὐχ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς κακουργίας. ACDGRTV.

708, 19. Λαβὲ τὸ ψήφισμα] Τὸ ψήφισμα λέγει ὅπερ ἔγραψεν ὁ Ἐπικράτης, φίλος ὢν τοῦ Τιμοκράτους, λέγων, ἐπειδὴ ἐγγύς ἐστι τὰ Παναθήναια, συναχθῶμεν ἐπὶ τῷ σκέψασθαι περὶ αὐτῶν· ὡς δὲ συνήχθησαν, τότε εἰσήγαγεν ὁ Τιμοκράτης τὸν νόμον, ἵνα μὴ γνωσθῇ τὸ πρᾶγμα. Εἰ γὰρ καὶ τὰ δύο ἐποίησεν ὁ Τιμοκράτης, ὕποπτος ἂν ἐγίνετο. Τὸ δὲ λαβὲ Ἀττικῶς ὀξύνεται. ACDGRTV.

708, 22. Ἐπὶ τῆς Πανδιονίδος] Δεῖ ὑποστίξαι εἰς τὸ πρώτης, ἵνα τὸ ἑνδεκάτῃ καθ' ἑαυτὸ νοήσωμεν, ἵνα ᾖ ὁ νοῦς οὗτος· ἐπὶ τῆς Πανδιονίδος πρώτης πρυτανείας τῇ ἑνδεκάτῃ αὐτῆς, ὅ ἐστιν ἑνδεκάτῃ αὐτοῦ τοῦ μηνός. Εἰ δὲ [μὴ,] οὐδὲ ἐνταῦθα καλῶς προσέθηκε τὴν φυλὴν τὴν Πανδιονίδα, ἐπειδὴ ἔτυχε τότε αὐτὴν κληρωθῆναι πρώτην πρυτανεῦσαι. Ἀνωτέρω δὲ ἐπειδὴ τὴν ἐπιχειροτονίαν τῶν νόμων ἀνεγίνωσκεν, εἰκότως οὐχ ὥρισε ποίας πρυτανευούσης πρώτης, ἐπειδὴ ἄδηλον ἦν, ὡς εἴπομεν, ποία κληροῦται ἀεὶ κατὰ τὸν πρῶτον μῆνα πρώτη πρυτανεῦσαι. Τὸ δὲ κατὰ πολλὴν ἡσυχίαν, ὃ εἶπεν ἄνω, ἀφειμένης τῆς βουλῆς ἐν τῇ πανηγύρει. ADGRTV.

709, 15. Ἢ τὸν ἐν τοῖς νόμοις] Οἱ μὲν γὰρ νόμοι ἐκέλευον ἀναμεῖναι τὴν τρίτην ἐκκλησίαν· τὸ δὲ ψήφισμα τὸ Ἐπικράτους τῇ δωδεκάτῃ τοῦ μηνὸς ἐκέλευε ποιεῖν ἐκκλησίαν. ACDGRTV.

709, 21. Εἰδότα τοὺς νόμους] Ἵνα μὴ πάλιν καταφύγοι εἰς ἄγνοιαν, ὡσανεὶ ἔλεγε πρὸς τὸ γινώσκειν αὐτὸν τοὺς νόμους. ACDGRTV.

709, 29. Αὐτὴν δὲ μὴ τετυχηκέναι] Τὴν πόλιν. Τὸ δὲ ἀλλ' ἐν αὐτῇ τῇ ἱερομηνίᾳ, ὅρα τὴν δριμύτητα τοῦ ῥήτορος, πῶς τὸ κατὰ τὸν χρόνον ἁπλοῦν ἔγκλημα δοκοῦν εἰς διπλοῦν περιέστησε, δεικνὺς ὅτι οὐ μόνον παρέβη τὸν ὡρισμένον, ἀλλὰ καὶ ἱερομηνίας οὔσης ἐνομοθέτησεν, ἵνα ἐξ ἀμφοτέρων ἀδικῶν Τιμοκράτης φαίνηται, καὶ ὑπὲρ ὧν οὐκ ἐποίησεν, ὅ ἐστι μὴ φυλάσσων τὸν χρόνον τῆς τρίτης ἐκκλησίας, καὶ ὑπὲρ ὧν ἐποίησεν ἐν Κρονίοις τολμήσας. ACDGRTV.

710, 12. Ἀνάγνωθί μοι λαβὼν τουτονὶ] Ἐζήτησαν διὰ τί τὸν Τιμοκράτους νόμον οὐ πρῶτον ἀνέγνω, εἶτα τοὺς παλαιούς; φαμὲν ὅτι φιλάνθρωπος δοκεῖ εἶναι, διὰ τοῦτο προαναγινώσκει τοὺς ἀρχαίους νόμους, ἵνα ὕστερον ἡ διαβολὴ χώραν ἔχῃ. Ἐξετάσας δὲ τὸ κατὰ τὸ πρόσωπον νόμιμον, καὶ τὸ κατὰ τὸν νόμον ἐξετάζει. TCV.

710, 14. Γράφεσθαι] Ἀντὶ τοῦ κατηγορεῖσθαι. A.

710, 17. Τῶν δὲ νόμων τῶν κειμένων] Περὶ ἀντινομίας. B.

711, 1. Ἠκούσατε μὲν τοῦ νόμου] Περὶ θέσεως νόμου. B. Ὅρα ὅπως τὴν ἀτοπίαν τὴν ἐκ τῶν ἐναντιωμάτων προδιαβάλλει, καὶ τὸ κῦρος δὲ τῶν πραγμάτων καὶ τὴν ἅπασαν ἐξουσίαν ἄγων ἐπὶ τὸν δικάζοντα ἐμπίπλησιν αὐτὸν φρονήματος. Καὶ ἔστιν ὥσπερ προπαρασκευὴ σύμπασα τοῦ τόπου ἡ ἐργασία. Εἶτα ὑπάγει τὸ κατὰ τὸν Τιμοκράτην τοῖς καθόλου εἰπὼν « ταῦτα πάντα Τιμοκράτης καλῶς καὶ « δικαίως κείμενα ἐξήλειψεν. » Εἶτα ἀθρόα τὰ ἐγκλήματα αὐτοῦ κατὰ ἀπαρίθμησιν καὶ ἄρνησιν εἰσήγαγε. Χάριεν δὲ τὸ κατὰ ἀναίρεσιν σχῆμα τοῦ λόγου· οὐ παραναγνοὺς, οὐ λύσας, οὐ δοὺς αἵρεσιν, οὐκ ἄλλο ποιήσας τῶν προσηκόντων οὐδέν. RY.

Πολλῶν δὲ καλῶν κειμένων νόμων] Δεῖ μὴ μόνον τιθέναι τὰ ῥήματα τῶν νόμων, ἀλλὰ καὶ ἐγκωμιάζειν πρὸς σύστασιν μείζονα. TCV.

711, 7. Μετ' εὐσεβείας] Πρῶτον τὸ περὶ τῆς εὐορκίας τῶν δικαστῶν παρείληφεν, ἵνα οἰκεῖον ἀποφήνῃ τῶν δικαζόντων τὸν νόμον, καὶ οὕτως ὡς περὶ οἰκείου πείσῃ συναγωνίζεσθαι· τοῖς γὰρ οἰκείοις ἅπαντες συμπράττειν πεφύκαμεν. ACDGRTV.

711, 11. Οὔτ' ἀμφοτέροις] Εἰ γὰρ ψηφιζόμενοι τὸν νόμον ἐν τῷ ἑτέρῳ δοκεῖτε ἐπιορκεῖν μὴ κἀκείνῳ ψηφιζόμενοι, εἴ γε καὶ οἱ δύο νόμοι κύριοί εἰσιν. ACDGRTV.

711, 14. Ἡ γνῶσις συμβαίνει] Ἀντὶ τοῦ ἡ κρίσις, ὅ ἐστι, συμβαίνει τὴν κρίσιν ὑμῶν παραβαίνειν τὸν ἕνα νόμον, καὶ ταῦτα ὄντα κύριον. ACDGRTV.

711, 24. Ὁ κἀγὼ νυνὶ] Ὅρα πῶς ἀξιοπίστως εἰς μίαν τῶν φυλακῶν ἑαυτὸν ἔταξεν ὁ ῥήτωρ. ACDGRTV.

711, 25. Ἀπαλλάξῃ] Παραπείσῃ, μεταποιήσῃ. BY.

712, 1. Διαφθείρας] Μεταποιήσας. Y.

712, 3. Ἐφ' ἑκάστην ἀπαντᾷ] Καλῶς εἶπε τὸ ἀπαντᾷ, ὡς ἐπὶ ἐμποδίσματός τινος καὶ προβόλου. Διὸ καὶ ἐμμένων τῇ τροπῇ ἐπήγαγε καὶ τὸ βαδίζειν. ACDGRTV.

712, 7. Ὅσον ἦν ἐπὶ τούτῳ] Ἐπειδὴ κατὰ τὸ ἀληθὲς οὐκ ἠφάνισεν οὐδὲ ἐξήλειψε, προσέθηκε τὸ « ὅσον ἧκεν « εἰς τοῦτον. » ACDGRTV.

712, 9. Οὐ παραναγνοὺς, οὐ λύσας, οὐ δοὺς αἵρεσιν] Οὐ παραναγνοὺς τοῦτον ἐκείνῳ, οὐ λύσας τὸν ἐναντίον, οὐ δοὺς αἵρεσιν πότερον τοῦτον ἢ ἐκεῖνον βούλεσθε; χάριεν δὲ τὸ κατὰ ἀναίρεσιν σχῆμα τοῦ λόγου, οὐ παραναγνοὺς, οὐ λύσας, καὶ ἑξῆς. Ἔστι δὲ τὸ εἶδος τοῦτο τοῦ σφοδροτέρου καὶ ἐπιφορικωτέρου μᾶλλον. Ἀθρόα δὲ τὰ ἐγκλήματα εἰσήγαγε, πυκνῇ χρησάμενος τῇ κατὰ ἄρνησιν ἀπαριθμήσει καὶ μακροτέρᾳ. TCV.

Παραναγνοὺς] Οὐ παραθεὶς τὸν νόμον τὸν ἑαυτοῦ τοῖς ἄλλοις νόμοις οἷς ἔμελλεν ἐναντιοῦσθαι, ὅπερ ποιοῦσιν οἱ εἰσφέροντες καινὸν νόμον, διὸ καὶ ἐπάγει οὐ λύσας. AR.

712, 10. Ὡς μὲν οὖν ἔνοχος τῇ γραφῇ] Ἐντεῦθεν πάλιν προοιμιάζεται σαφῶς περὶ αὐτοῦ τοῦ νομίμου, καθ' ὃ μέρος ἀποδείξει τὸν νόμον ἐναντίον τοῖς πάλαι κειμένοις. Ἀεὶ δὲ κατὰ μέσον τὸν λόγον αἱ προοιμιακαὶ ἔννοιαι συμπεράσματα μὲν περιέχουσι τῶν προειρημένων καὶ μνήμην, ἐπαγγελίας δὲ τῶν ἑξῆς, ὥσπερ καὶ ἡ παροῦσα διάνοια φαίνεται, εὐκρίνειαν δὲ καὶ σαφήνειαν παρέχουσι τοῖς κεφαλαίοις. RY.

712, 13. Ἵνα δὲ εἰδῆτε] Ἀπ' αὐτῆς τῆς ἀναγνώσεως τοῦ Τιμοκράτους νόμου τῆς κατηγορίας ἀρχόμενος, ἐνδιέτριψε τῇ κατασκευῇ καὶ τοῖς ἀποδείξεσι τοῦ νόμου τοῦ κελεύοντος ἐξεῖναι κατηγορεῖν τῶν ὑπεναντίον εἰσφερόντων νόμον, ἐπειδὴ τεθάρρηκε τούτῳ τῷ μέρει καὶ προσποιεῖται λαμπρῶς ἰσχύειν. Ἐμποιεῖ γὰρ διὰ τῆς διατριβῆς ταύτης τοῖς ἀκούουσιν ἔννοιαν ὅτι οὐκ ἂν πλείονα λόγον ἐποιήσατο, μὴ ἔχων ἰσχυρὰν τὴν ἀπόδειξιν τὸν Τιμοκράτους νόμον ὑπεναντίον τοῖς κειμένοις. TCV.

Εἰδῆτε] Ὅταν ἐπὶ τοῦ γινώσκειν λαμβάνηται, καὶ διὰ τῆς διφθόγγου γράφεται ἡ πρώτη συλλαβὴ καὶ παροξύνεται· ὅταν δὲ ἐπὶ τοῦ θεάσασθαι, διὰ τοῦ ι γράφεται καὶ προπαροξύνεται. AR.

713, 3. Περὶ δὲ τῶν ὠνουμένων]. Ὠνουμένων ἐνταῦθα λέγει, οὐκ ἀγοραζόντων, ἀλλὰ μισθουμένων· οὐδεὶς γὰρ τὰ τέλη τὰ δημόσια ἠγόραζεν. Ἐκλεγόντων δὲ, ἐπιτεταγμένων τινῶν ἀπαιτεῖν τὰ τέλη· οὐ γὰρ λέγει αὐτοὺς τοὺς

τελώνας. Ἰστέον δὲ ὅτι ἐγγυητὰς παρεῖχον οἱ τελῶναι ἐξ ἀρχῆς, ἵνα ἕως τῆς ἐνάτης πρυτανείας εἰ μὴ καταβάλοιεν, τὰ διπλᾶ ἀνάγκην ἔχοιεν ἢ οὗτοι ἢ ἐκεῖνοι καταβαλεῖν. Καὶ γὰρ καὶ πάντες οἱ χρεωστοῦντες τοῦτο ἐποίουν· ὡς εὐθὺς [ὅσοι] ἐχρεώστουν τῇ πόλει, ἀνάγκην εἶχον δοῦναι ἐγγυητὰς, ὅτι πρὸ τῆς ἐνάτης πρυτανείας καταβαλοῦσι, καὶ ἔμενον ἄτιμοι, ἕως οὗ κατέβαλον. Εἰ δὲ παρεγένετο ἡ ἐνάτη πρυτανεία καὶ μὴ κατέβαλον, τότε καὶ ἐδεσμοῦντο καὶ τὰ διπλᾶ κατέβαλον, καὶ ἐγγυητὰς οὐκέτι ἐξῆν αὐτῆς παρασχεῖν περὶ τῶν διπλῶν. Ἅπερ νῦν βούλεται λῦσαι ὁ Τιμοκράτης, λέγων μὴ ἐγγυητὰς παρέχειν ἐξ ἀρχῆς, ἀλλ' ἐν τῇ ἐνάτῃ πρυτανείᾳ, ἵνα ἐν αὐτῷ τῷ μηνὶ ὅλῳ δυνηθῶσι καταβαλεῖν καὶ μὴ τὰ διπλᾶ, ἀλλὰ ἁπλᾶ. Ἐὰν δὲ, φησὶ, μὴ καταβάλωσι μηδὲ ἐν τῇ ἐννάτῃ πρυτανείᾳ, τότε δεσμεῖσθαι. ACDGRTV.

713, 9. Ἀκηκόατε μὲν τοῦ νόμου] Ἐντεῦθεν ἄρχεται τοῦ νομίμου προθεὶς τὸν Τιμοκράτους νόμον, πρὸς ὃν ἀγωνίζεται. Οὐκ ἀθρόως δὲ προβάλλει πάντα τὸν νόμον· ταραχῶδες γὰρ τὸ τοιοῦτον καὶ ἄτακτον· ἀλλὰ δύο λόγους ἐξετάζειν πειρᾶται. Εἰ δὲ πλείους αἱ προτάσεις ἐν τοῖς δύο λόγοις, οὐδὲν θαυμαστόν· ἔχονται γὰρ ἀλλήλων. Καὶ τὰς μὲν ἐννοίας ὁλοκλήρους ἔλαβε, πρὸς ἃς ἀγωνίζεσθαι βούλεται. Κατὰ μέρος δὲ κινήσει τὰς προτάσεις. Νυνὶ δὲ τέθεικε τοῦ Τιμοκράτους μέρη δύο, διότι καὶ πρὸς ταῦτα μόνα ἐν τῷ νομίμῳ κεφαλαίῳ διαγωνίσασθαι βούλεται. Κινεῖ δὲ τοὺς ἅπαντας ἐν τῷ νομίμῳ νόμους ἐννέα, ὧν εἷς μὲν ἐστιν ὁ κρινόμενος, ὀκτὼ δὲ οἱ ἐναντίως ἔχοντες. Τῶν δὲ δύο μερῶν ἓν μέν ἐστι τὸ « καὶ εἴ τινι τῶν ὀφειλόντων « δεσμοῦ προστετίμηται, ἢ τὸ λοιπὸν προστιμηθῇ. » Δεύτερον δὲ τὸ περὶ τῶν τελωνῶν. Ἀλλὰ τὸ μὲν κατὰ τοὺς τελώνας καὶ διὰ βραχέων ἐν τῷ κεφαλαίῳ ἐξετάζει καὶ πρὸς ὀλίγον, τὸ δὲ προτιμήσεως τοῦ δεσμοῦ διαιρεῖ κεφάλαιον εἰς προτάσεις πλείονας, καὶ ὅτι παρανομώτατον καὶ ὑπεναντίον τοῖς νόμοις ἐλέγχειν πειράσεται. RY.

713, 19. Διοκλῆς εἶπεν] Ὄνομα νομοθέτου τινός. ACDGRTV.

Πρὸ Εὐκλείδου] Εὐκλείδης ἄρχων ἐγένετο παρ' Ἀθηναίοις μετ' ὀλίγον χρόνον τῶν τριάκοντα. Ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί εἶπε τοὺς Εὐκλείδου νόμους καὶ τοὺς μετ' αὐτὸν ἄρχειν δεῖν καὶ κυρίους εἶναι· λέγομεν, ἐπειδήπερ, ὡς εἴπομεν, μετ' ὀλίγον χρόνον τῶν τριάκοντα οὗτος ἐγένετο· μεταξὺ δὲ αὐτοῦ καὶ τῶν τριάκοντα, ἐν ἐκείνῳ τῷ ὀλίγῳ χρόνῳ δημοκρατία ἦν παρὰ Ἀθηναίοις, καὶ μετ' αὐτὸν πάλιν διόλου. Διὰ τοῦτο οὖν εἶπε τοὺς πρὸ αὐτοῦ καὶ μετ' αὐτόν. ACDGRTV.

713, 29. Καλῶς ἐχόντων] Παρέχεται νόμον σεσοφισμένον πρὸς τὴν πρώτην πρότασιν. Ἡ δὲ πρώτη πρότασις « εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται. » Ὁ δὲ ἀνεγνωσμένος νόμος προστάττει τοὺς νόμους κυρίους εἶναι ἀφ' ἧς ἂν ἡμέρας τεθῶσι. Οὐκοῦν καὶ ὁ Τιμοκράτους νόμος κύριός ἐστιν ἀπὸ τῆς τήμερον ἡμέρας δηλονότι. Εἰ δὲ μέμνηται ὁ Τιμοκράτους νόμος τῶν πρὸ ἑαυτοῦ δεδεμένων, μέμνηται καὶ ὁ νῦν ἀναγινωσκόμενος, καὶ ὁ παρὰ Δημοσθένους νόμος· ἀμφότεροι γὰρ οἱ νόμοι τῶν πρὸ ἑαυτῶν μέμνηνται· ὁ μὲν τῶν πρὸ ἑαυτοῦ δεθέντων, ὁ δὲ τῶν πρὸ ἑαυτοῦ πάλαι γραφέντων νόμων. RY.

713, 24. Πλὴν εἴ τῳ χρόνος προσγέγραπται] Τοῦτο μέμφονταί τινες, ὅτι τὸν Τιμοκράτους νόμον μεμφόμενος αὐτὸ τοῦτο νῦν ἀποδέχεται τοῦ παλαιοῦ νόμου. Λέγομεν ὅτι ἀλλ' ἐπὶ τοῦ μέλλοντος εἶπεν ὁ Δημοσθένης, ὁ δὲ Τιμοκράτης καὶ περὶ τοῦ παρελθόντος. Καὶ ἐπαινεῖ τὴν αἰτίαν ὁ ῥήτωρ, δι' ἣν τινες χρόνον προσγράφουσι τοῖς ἰδίοις νόμοις, τὴν ἀνάγκην προσθείς. ACDGRTV.

714, 8. Ἐπὶ τούτοις] Ὅ ἐστιν ἐπὶ τοῖς πράγμασι τούτοις τοῖς λέγουσι περὶ τοῦ νομοθετεῖν. ACDGRTV.

714, 26. Λέγε ἄλλον νόμον] Σοφιστικῶς εἰσῆκται καὶ οὗτος ὁ νόμος. Πῶς γὰρ ἂν ἐναντίος ὁ Τιμοκράτους φαίνοιτο νόμος τοῦ νῦν ἀναγινωσκομένου νόμου; εἰ μὲν γὰρ ἐκέλευε μηδένα καταβάλλειν τῶν ὀφειλόντων μηδὲν, ἐναντίος ἂν ἦν προδήλως τῷ νῦν ἀναγινωσκομένῳ νόμῳ· εἰ δὲ καταναγκάζει τοὺς ὀφείλοντας δι' ἐγγυητῶν ἀποτίνειν τὰ ὀφλήματα, δῆλός ἐστι συνῳδὰ προστάττων τούτῳ τῷ νόμῳ. Πλέον δέ τι ἔχει ὁ δεύτερος νόμος τοῦ προτέρου· ἐπὶ μὲν γὰρ τοῦ προτέρου περὶ τοῦ χρόνου διελέγετο, αἰτιώμενος τὸν Τιμοκράτην ὅτι περὶ τῶν παρεληλυθότων νομοθετεῖ, ὁ δὲ δεύτερος αἰτιᾶται ὅτι καὶ ἐγγυητὸς καθιστάναι κελεύει· ὥστε ἑκάτερον τῶν νόμων περὶ διαφόρων προτάσεων ἐξητάσθαι, τὸ μὲν περὶ τοῦ χρόνου, τὸ δὲ περὶ τῆς τῶν ἐγγυητῶν καταστάσεως. RY.

714, 28. Μηδὲ περὶ τῶν ἀτίμων] Τὸ ἐναντίον τοῦ ἀτίμου ἐπίτιμος. Κατὰ κοινοῦ δὲ τὸ κελεύει ὁ νόμος. ACDGRTV.

715, 8. Περὶ ἀφέσεως — ἢ τάξεως] Ἄλλο καλεῖ ἄφεσιν καὶ ἄλλο καλεῖ τάξιν. Ἄφεσιν μὲν οἷον ὅταν τι ὁ χρεωστῶν * * * προφασίζηται πενίαν καὶ βούληται παρακαλέσαι τὸν δῆμον μὴ περὶ παντελοῦς ἀπαλλαγῆς τοῦ χρέους, ἀλλὰ περὶ μέρους, ἵνα μέρος μὲν καταβάλῃ, τὸ δὲ ἄλλο μέρος συγχωρηθῇ. Τοῖς οὖν περὶ τούτων, φησὶ, παρακαλοῦσι μὴ ἐξεῖναι τοὺς προέδρους τούτοις χρηματίζειν (ἐκκλησίαν), ἤγουν ὑποβάλλειν τῷ δήμῳ. Τὰ δύο γὰρ σημαίνει ἡ λέξις, καὶ τὸ πράττειν καὶ τὸ ὑποβάλλειν. ACDGRTV.

715, 9. Ἑξακισχιλίων] Οὐ λέγει δικαστῶν, ἀλλὰ ἐκ τοῦ δήμου τινῶν, μιμουμένων δικαστάς. Διὸ καὶ ἐπάγει τὸ οἰκεῖον τῶν δικαστῶν, τὸ κρύβδην. ACDGRTV.

715, 13. Οὐ προτεθέντος] οὐ συναχθείσης ἐκκλησίας [ὑπὸ] τῶν περὶ τὸν Τιμοκράτην. ACDGRTV.

715, 20. Ἐν παραβύστῳ] Ἀντὶ τοῦ λάθρα. Ἀπὸ τῆς μεταφορᾶς τῶν παραπληρωμάτων τῶν ἐμβαλλομένων ἐν ταῖς οἰκοδομίαις ἔνδον καὶ κρύφα τοῦ φαινομένου. Βῦσαι τὸ στόμα τῶν ῥητόρων. ACDGRTV.

715, 28. Τοὺς χρόνους ἀναμείναντα] Δηλονότι τὴν τρίτην ἐκκλησίαν. ACDGRTV.

716, 3. Γνώμῃ διαμαρτὼν] Ὅ ἐστιν ἐκ λήθης τοῦτο ποιεῖν καὶ ἐκ τοῦ ἐκκρουσθῆναι. ACDGRTV.

716, 5. Ἐμβαλεῖν] Ἐμφαντικὴ ἡ λέξις ὡς ἐπὶ λῃστοῦ τινος βουλομένου λάθρα ἐμβαλεῖν καὶ φυγεῖν. Παρενέβαλεν οὖν ὁ Τιμοκράτης τὸν αὐτοῦ νόμον, τὸν μὴ ὄντα νόμον, τοῖς οὖσι κυρίοις. ACDGRTV.

716, 9. Ἀλλὰ γὰρ αὐτίκα ἐρῶ] Ὑπερτίθεται εἰς ὕστερον εἰπεῖν εἴτε ἄκων εἴτε ἑκὼν τοῦτο ἐποίησεν. Τοῦτο γὰρ ὕστερον τοῦ νομίμου ὀφείλει τάξαι· νῦν γὰρ περὶ τοῦ ὅλως εἰ ἔννομός ἐστιν αὐτοῦ ὁ νόμος πρόκειται αὐτῷ δεῖξαι. ACDGRTV.

716, 10. Τὸν ἑξῆς νόμον] Ἰστέον ὅτι οὗτος ὁ νόμος οὐκ ἔστιν ἄλλος παρὰ τὸν προειρημένον, ἀλλὰ μέρος αὐτοῦ. Βουλόμενος δὲ ὁ ῥήτωρ δεῖξαι τὸν Τιμοκράτην ὥσπερ πολλοὺς παραβεβηκότα νόμους, μερίζει τὸν ἕνα εἰς δύο, ὥσπερ καὶ ἐν ἄλλοις. ACDGRTV.

716, 21. Ἔργον] Ἀντὶ τοῦ δυσχερές. A. Δυσχερὲς

παρὰ τὸ τοὺς ἐν ἔργῳ ἀεὶ ὄντας μοχθεῖν. TCV. Σοφιστικὸν κἀνταῦθα πάλιν τὸ ἐπιχείρημα· ὁ μὲν γὰρ νόμος ὁ τοῦ Τιμοκράτους κελεύει τοὺς ὀφείλοντας ἐγγυητὰς καθιστάναι, ἕως ἂν ἐκτίσωσιν· οὑτοσὶ δὲ προστάττει μηδὲν ἱκετεύειν περὶ ἀφέσεως ἐγκλημάτων. RYTCV. Ἡ δὲ ἐργασία παρὰ τὴν διάνοιαν τοῦ νομοθέτου γέγονεν. Ὅταν μὲν γὰρ ἀμφίβολος καὶ ἀσαφὴς ᾖ καθ' ὁμωνυμίαν ἢ κατὰ τὸ ἐλλεῖπον ἢ κατὰ τὸ ἀπροσδιόριστον, τὸ τηνικαῦτα ἐξετάζει τὴν διάνοιαν τοῦ νόμου· ὅταν δὲ ὁ μὲν νόμος σαφὴς τυγχάνῃ, παράδοξος δὲ ἄλλως ἢ διὰ φιλανθρωπίαν οὐκ ἐν δέοντι δοκοῦσαν γίνεσθαι ἢ δι' ὠμότητα ὑπερβάλλουσαν, τηνικαῦτα τεχνικῶς ἐξετάζει τὴν διάνοιαν τοῦ γεγραφότος· ὅπερ ἐνταῦθα Δημοσθένης ποιῶν φαίνεται. Ἐπειδὴ γὰρ ἐδόκει παντελῶς ἀπάνθρωπον εἶναι τὸ μὴ ἐξεῖναι ἱκετεύειν, λέγει τὴν αἰτίαν δι' ἣν ἀπεῖπεν. TCV.

716, 25. Ἤδει τὴν φιλανθρωπίαν] Ἐπειδήπερ ἔχει ὁ νόμος μή τινα ἱκετεύειν, ἵνα μὴ ὁ νόμος δοκῇ εἶναι ἀπάνθρωπος, διὰ πλειόνων κατασκευάζει ὡς διὰ τὴν βλάβην ἀνεῖλε τὴν ἄκραν φιλανθρωπίαν. TCV.

717, 10. Οἱ νόμοι μὲν] Καλῶς ἐπὶ μὲν τοῦ Τιμοκράτους ἐπίταγμα εἶπεν, ὅπερ ἦν τυράννου· ἐπὶ δὲ τῶν νόμων τὸ κουφότερον πρόσταγμα, ἵνα ἐκεῖνος ὡς τύραννος εἶναι δοκῇ, δίχα τινῶν ἰδιωτῶν, τοῦ μὲν κατηγοροῦντος, τοῦ δὲ φεύγοντος. TCV.

717, 12. Εἰ τοίνυν ἱκετεύειν] Δοκεῖ ἄτοπον εἶναι τὸ συναγόμενον· εἰ γὰρ ἅπαντες οἱ νόμοι προστάττουσιν, ὡς αὐτός φησι, πῶς ἄτοπον [ἂν] εἴη νόμον ἐπίταγμα ἔχοντα εἰσφέρειν; λύεται δὲ οὕτως. Περὶ οὗ φησι μὴ ἐξεῖναι ἱκετεύειν, περὶ τούτου μηδὲ δεῖν νομοθετεῖν, εἴπερ οἱ νόμοι πρόσταγμα ἔχουσιν. Οὐ τοίνυν αἰτιᾶται τὸν Τιμοκράτους νόμον ὡς ἔχοντα πρόσταγμα· πάντων γὰρ νόμων τὸ προστάττειν ἐστίν· ἀλλ' ὅτι περὶ τούτων νενομοθέτηκε περὶ ὧν ἱκετεύειν οὐκ ἔξεστιν. RY.

717, 19. Ὅσων δίκην] Δίκην καλεῖ τὴν περὶ ἐγκλημάτων, οἷον περὶ μοιχείας. Εὔθυνα δὲ ἀπολογία ὧν τις δημοσίᾳ πιστευθεὶς διῴκησεν, οἷον πρεσβείαν ἢ ἱερωσύνην. Περὶ δὲ τοῦ τόνου τῆς εὐθύνης ἤδη εἴπομεν ὅτι προπαροξύνεται. ACDGRTV.

Ὅσων δίκη πρότερον] Εἰ μὲν περὶ τῶν αὐτῶν ἔμελλε χρηματίζειν ὅ τε δῆμος ὧν ἐχρημάτισε καὶ τὸ δικαστήριον, ἄτοπον ἂν εἴη· εἰ δὲ τὸ μὲν δικαστήριον ἐχρημάτισε περὶ τοῦ πότερον ἠδίκησεν ὁ δεῖνα ἢ οὔ, ὁ δὲ δῆμος χρηματίζει περὶ ἐγγυητῶν τοῦ προστιμήματος, δῆλον ὅτι περὶ διαφόρων οἱ χρηματισμοὶ καὶ τὸ σόφισμα ὁ ῥήτωρ ἐκ τούτων εἴληφε. RY.

717, 23. Ἐώντων] Ἀντὶ τοῦ ἐάτωσαν. Ἀττικὴ δὲ ἡ φράσις. ACDGRTV.

718, 4. Ὁ δὲ ἔγραψε τοῖς προέδροις] Οἱ γὰρ πρόεδροι ἐν τῷ δήμῳ εἰσῆγον, οἱ δὲ ἄρχοντες οἱ θεσμοθέται ἐν τῷ δικαστηρίῳ. ACDGRTV.

718, 7. Τὰς δίκας καὶ τὰς διαίτας] Ἰστέον ὅτι ἐνταῦθα καταχρηστικῶς καλεῖ τὰς δίκας τὰς κριθείσας ἐν τῷ δικαστηρίῳ, εἴτε δημοσίας εἴτε ἰδιωτικάς, διαίτας δὲ τὰς παρὰ τοῖς διαιτηταῖς πέρας λαβούσας. ACDGRTV.

718, 8. Τὰς δίκας] Πῶς οὐ βούλεται κυρίας εἶναι τὰς δίκας ὅς γε εἴσπραξιν ἐπιτάττει τοῖς ὀφείλουσιν ἐκ δικαστηρίου; εἰ μὲν γὰρ τελέως τὸν δεσμὸν ἀφῃρεῖτο, δίκαια ἐγκαλῶν ὁ Δημοσθένης ἔδοξεν ἄν· εἰ δὲ πρὸς μὲν χρόνον ἀνίησι, μετὰ ταῦτα δὲ δεῖσθαι προστάττει, δῆλός ἐστι σύμφωνα μᾶλλον ἢ ἐναντία νομοθετῶν. RY.

718, 12. Ὁπόσα δ' ἐπὶ] Δοκεῖ οὗτος ὁ νόμος μέρος εἶναι τοῦ προκειμένου. Εἰ γὰρ ὁ μὲν πρότερος ἔχει τὰς δίκας καὶ τὰς αἰτίας ἐν δημοκρατουμένῃ τῇ πόλει κυρίας εἶναι, οὑτοσὶ δὲ περιέχει τὰ ἐπὶ τῶν τριάκοντα πραχθέντα πάντα ἄκυρα εἶναι, πῶς οὐ πρόδηλός ἐστι μέρος ὑπάρχων τοῦ προκειμένου; ὅμως δὲ ὡς ἕκτον αὐτὸν ἐξήτασε νόμον. Λέγει δὲ ἐναντίον εἶναι τούτῳ τὸν Τιμοκράτους· ὁ μὲν γὰρ ἀναιρεῖ τὰ ἐπὶ τῶν τριάκοντα, φησίν, ὁ δὲ τὰ ἐπὶ τῆς δημοκρατίας· καὶ ἔστι τοῦτο σόφισμα. Πῶς γὰρ φαίνεται ὁ Τιμοκράτους νόμος ἀναιρῶν τὰ ἐπὶ τῆς δημοκρατίας, ὅς γε καὶ βεβαιοῖ τὰ γνωσθέντα ὑπὸ τῶν δικαστηρίων; RY.

718, 14. Ἐπίσχες] Πρὸς τὸν γραμματέα λέγει, οἷον ὅτι· ἐπίσχες τὴν ἀνάγνωσιν. Οὔτε γὰρ χρεία ἐστὶ τὸν πάντα ἀναγνῶναι νόμον, ἀλλὰ τὰ συμβαλλόμενά αὐτοῦ πρὸς τὸν νῦν ἀγῶνα. Εἰσὶ δὲ αὗται προσποιήσεις ῥητορικαί. Καὶ γὰρ πολλάκις καὶ μηδὲν ἔτι ἔχοντος τοῦ νόμου προσποιεῖται κωλύειν τὸν γραμματέα, ἵνα δόξῃ χαρίζεσθαι τοῖς δικασταῖς, φεύγων τὸ μῆκος τοῦ λόγου. ACDG RTV.

718, 25. Πότερον τὰ δικαστήρια] Κατ' ἐρώτησιν λαμβάνει ὧδε τὸ σχῆμα τὸ διλήμματον. ACDGRTV.

719, 4. Μηδὲ νόμον] Ἕβδομος οὗτος νόμος. Ἐκδέχεται δὲ ὁ ῥήτωρ τὴν διάνοιαν τοῦ νόμου πρὸς τὸ αὐτῷ συμφέρον. Ὁ μὲν γὰρ νόμος βούλεται σημαίνειν διὰ τοῦ « κατὰ πάντων τῶν πολιτῶν » τὸ συμφέρον πάσῃ τῇ πόλει, ὁ δὲ ποσότητα ἀντὶ ποιότητος μεταλαμβάνει, τουτέστιν ἀριθμῷ κατὰ πάντων. Ἐὰν τοῦτο ἀληθὲς ᾖ ὅ φησι Δημοσθένης, οὔτε νόμοι τεθήσονται ἰδίᾳ περὶ τῶν δεσμωτῶν, οὔτε περὶ κλοπῆς ἢ ἱεροσυλίας, ἤ τινος ἄλλου τῶν ἐγκλημάτων. Ὁ δὲ Τιμοκράτης διὰ τοῦτο προσέθηκε « πλὴν « τῶν περὶ τῶν τελωνῶν. » Ἐπειδὴ ἀναγκαῖόν ἐστι τοὺς τελώνας καταβάλλειν. Διότι οὐκ ἴδια καταβάλλουσιν, ἀλλὰ λαβόντες δημόσια. RY.

719, 12. Χεῖρον] Τὸ χεῖρον ἐνταῦθα οὐ λέγει κακόν, ἀλλὰ ἔλαττον. ACDGRTV.

719, 14. Πλὴν περὶ τῶν τελωνῶν] Ὁ μὲν Τιμοκράτης πάλιν καὶ ἐν τούτῳ καλῶς γράφων ἔλεγε περὶ τούτων μὴ ἐγγυητὰς εἶναι, ἀλλ' εὐθὺς ἀπαιτεῖσθαι, ἐπειδὴ τέλη ἀπῄτουν καὶ ἅπερ ἐλάμβανον παρεῖχον, οἱ δὲ ἄλλοι οὐκέτι ὁμοίως. Ὁ δὲ ῥήτωρ πάλιν ὡς κατήγορος σοφίζεται. ATCV.

Σοφίζεται διὰ τοῦ δεσμοῦ, καὶ λέγει, κακῶς τοὺς τελώνας ἐχώρισεν ὡς μάλα ἀδικοῦντας, καίτοι ἄλλους ἀφίησι τοῦ δεσμοῦ μείζονα πλημμελήσαντας. Οὐχ οὕτω δὲ εἶχε. Τιμοκράτης γὰρ εἰρήκει τοὺς περὶ ὀφλημάτων δεδεμένους μετ' ἐγγυητῶν λελύσθαι· ὁ δὲ σοφίζεται τῷ δεσμῷ καὶ τῇ ὁμωνυμίᾳ, πάντας λέγων λύεσθαι τοὺς δεσμωθέντας ἁπλῶς. Ἐπειδήπερ γὰρ τοὺς τελώνας ἀναγκαῖον ἦν καταβάλλειν ἢ δεδέσθαι τὸν ἐνιαυτὸν καθ' ὃν ἐμισθώσαντο τὰ τέλη, διὰ τοῦτο προσέθηκε « πλὴν περὶ « τῶν τελωνῶν. » Ἀναγκαῖον γάρ ἐστι τοὺς τελώνας καταβάλλειν, διότι οὐκ ἴδια καταβάλλουσιν, ἀλλὰ λαβόντες δημόσια, τοὺς δὲ ἐκ προστιμημάτων τυγχάνειν ἀνέσεως· ἔμελλον γὰρ καταβάλλειν οὐχ ἃ εἰλήφασιν, ἀλλ' ἅπερ ἐκ τῶν ἰδίων ὤφειλον. TCV.

719, 23. Ἢ οἱ μὴ καθαρὰς τὰς χεῖρας ἔχοντες] Οἷον οἱ φονεῖς. A. Οἱ ἀνδροφόνοι οἷς οὐκ ἐξῆν εἰσιέναι εἰς τὰ ἱερά. TCV. Τοῦτο καὶ πρὸς αὐτὸν καὶ πρὸς Ἀνδροτίωνα λέγει, ὅτι καθαρὰς μὲν ἔχω ἀεὶ τὰς χεῖρας, κατασκευάζει δὲ τοῦτο καὶ διὰ τοῦ ἐναντίου. Εἰ γὰρ κατατρέχει τῶν

μὴ καθαρὰς ἐχόντων τὰς χεῖρας, δῆλός ἐστι παρεσκευασμένος καθαρὰς ἔχειν τὰς χεῖρας ἀεὶ ὥστε μὴ εἶναι εἰκὸς τὸν οὕτως ἔχοντα γνώμης τὸν πατέρα κτεῖναι. Πρὸς Ἀνδροτίωνα δὲ ὅτι τὸν πατέρα ἐκάκωσε περιιδὼν αὐτὸν ἐν τῷ δεσμωτηρίῳ πολλὰς πενταετηρίδας. RY.

719, 24. Οἷς ἅπασιν οἱ μὲν ὑπάρχοντες νόμοι] Σοφίζεται κἀνταῦθα. Οὐ γὰρ τοὺς προδιδόντας κελεύει λύεσθαι ὁ Τιμοκράτους νόμος, οὐδὲ τοὺς ἀνδροφόνους οὐδὲ τοὺς κακώσαντας τοὺς γονέας, ἀλλὰ τοὺς ἐπ' ὀφλήμασι δεδεμένους. Τὸ δὲ σόφισμα διὰ τῆς ὁμωνυμίας. Ὁ γὰρ δεσμὸς κατὰ πάντων ἐστίν· οὐ μὴν ἐπειδήπερ λύει πρὸς χρόνον τοῖς ὀφείλουσι τοὺς δεσμούς, ἤδη καὶ πάντα δεσμώτην λύει· RYTCV.

720, 4. Ἐξωσθήσομαι] Ἀντὶ τοῦ ἔξω τοῦ καιροῦ γενήσομαι τοῦ ὕδατος καταναλωθέντος. Y.

720, 16. Σιωπήσομαι] Ἀντὶ τοῦ οὐκέτι μου ἐν τούτῳ χρεία ἐστὶ τοῦ κατηγόρου. Ἔνθα γὰρ αὐτὸς ἑαυτοῦ Τιμοκράτης κατηγορεῖ, καὶ τὴν ἐμὴν τάξιν ἀναπληροῖ. ATCV.

720, 19. Εἰσαγγελίαν] Ἐμφανισμόν, μήνυσιν. A. Εἰσαγγελία δέ ἐστιν ὄνομα δίκης κατὰ τῶν καταλυόντων τὴν δημοκρατίαν καθ' οἷον δήποτε τρόπον. ATCV.

721, 3. Λέγε αὐτοῖς αὐτὸ τοῦτο πάλιν] Ἐπειδὴ αὐτό ἐστι τὸ ἰσχυρόν, πολλάκις αὐτὸ λέγει, τὸ δεδέσθω ἕως ἂν ἐκτίσῃ. TCV. Δοκοῦσιν ἐναντίοι πως ἀλλήλοις οἱ νόμοι. Τάχα δὲ οὐκ εἰσὶν ἐναντίοι· κελεύει μὲν γὰρ ὁ πρότερος δεδέσθαι, ἕως ἂν ἐκτίσωσι, καὶ ὁ δεύτερος κελεύει ὁμοίως δεδέσθαι, ἀλλ' ὁ μὲν διηνεκῶς δεδέσθαι κελεύει, ὁ δὲ δεδέσθαι μὲν καὶ αὐτὸς οὐδὲν ἧττον προστάττει, μέχρι δέ τινος διαπιστεύειν αὐτοὺς ἄνεσιν βούλεται, καὶ τοῦτον ὑπ' ἐγγυηταῖς αὐτοῖς εἶναι τὸν χρόνον. Ὥστε οὐκ ἂν εἴη ἐναντίος· ἐναντίον γὰρ τὸ ἀναιρετικὸν τοῦ ἑτέρου. Εἰ δὲ οὐκ ἀναιρεῖ τὸν περὶ τῶν δεσμῶν πάλαι κείμενον νόμον, τῷ καὶ αὐτὸς προστάττειν δεσμὸν οὐκ ἂν εἴη ἐναντίος. AYTCV.

721, 10. Κατηγορεῖ Τιμοκράτης Τιμοκράτους] Ὡσανεὶ ἔλεγε· Τιμοκράτης Τιμοκράτους κατηγορεῖ, ἀντιθεὶς τῷ νόμῳ τὸν νόμον· καὶ περιττὸς ὁ κατήγορος. A.

721, 11. Καίτοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι] Ἐντεῦθεν ἄρχεται τῶν ἐπιλογικῶν τοῦ νόμου· ἐλήφθησαν δὲ ἀπὸ γνώμης. Ἐπειδὴ γὰρ μετὰ τὸν ἔλεγχον ἐζήτει μαθεῖν ὁ ἀκροατὴς τὴν αἰτίαν δι' ἣν προήχθη τοιοῦτον γράψαι νόμον, φοβηθεὶς μὴ ἐπὶ τὸ συμφέρον τρέψεται, συνῆψε τὸ αἰσχρὸν τὸ ἀπὸ τῆς μισθαρνίας, ἵνα τὸν ἀκροατὴν αὐτῷ δύσνουν κατασκευάσας παρασκευάσῃ μηδὲ τοὺς ὑπὲρ τοῦ συμφέροντος εὐνοϊκῶς δέξασθαι λόγους. TCV.

Καίτοι τίνος ἂν] Ἐντεῦθεν ἄρχεται τῶν ἐπιλογικῶν τοῦ νόμου· ἀγωνιστικώτερον δὲ προήχθησαν καὶ ἐλήφθησαν ἀπὸ γνώμης· ἔχουσι δὲ ἀναφορὰν πρὸς τὸ προοίμιον. Καὶ γὰρ ἐν τῷ πρώτῳ προοιμίῳ φησὶν αὐτὸν δι' ἀργύριον προαχθῆναι νομοθετῆσαι, καὶ ἐν τοῖς ἐπιλόγοις τούτοις διαβάλλει τὴν γνώμην ὁμοίως, ὡς ἐπ' ἀργυρίῳ γεγραφότος τὸν νόμον. Τῶν δὲ τόπων τῶν ἐν τοῖς ἐπιλόγοις ὁ μὲν ἀπὸ τοῦ ἀκολούθου κατασκευάζεται, ὅτι ἀκόλουθόν ἐστι τὸν τὰ τοιαῦτα νενομοθετηκότα καὶ πολλῷ τολμῆσαι δεινότερον. Ὁ δὲ δεύτερος « ὥσπερ τοίνυν, ὦ ἄνδρες Ἀθη- « ναῖοι, » ἀπὸ τοῦ ὁμοίου. Ὅμοιον γάρ ἐστι τοὺς κακουργοῦντας ἐπ' αὐτοφώρῳ λαβεῖν καὶ Τιμοκράτην ἐπ' αὐτοφώρῳ γράφοντα αὐτῷ τἀναντία. RY.

721, 13. Ὅστις ἐναντία] Ὃ θέλει εἰπεῖν, τοιοῦτόν ἐστιν· εἰ διὰ κέρδος, φησίν, ᾑρετίσατο ἐναντία ἑαυτῷ θεῖναι, τῶν νόμων κελευόντων μὴ δεῖν ἄλλοις ἐναντία γράφειν, τί ἂν προσεδοκᾶτε αὐτὸν ποιεῖν, εἰ μηδὲ ἐκωλύετο ὑπὸ τῶν νόμων τὰ ἐναντία γράφειν; ACDGRTV.

721, 15. Τοῖς ἄλλοις] Ἀντὶ τοῦ τοῖς ἤδη νομοθετήσασιν. ACDGRTV.

721, 16. Ὥσπερ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι] Ἀπὸ τοῦ ὁμοίου· ὅμοιον γάρ ἐστι τοὺς κακουργοῦντας ἐπ' αὐτοφώρῳ λαβεῖν, καὶ Τιμοκράτην ἐπ' αὐτοφώρῳ γράφοντα αὐτῷ τἀναντία· προοιμιάζεται δὲ λοιπὸν περὶ τοῦ συμφέροντος ἐνταῦθα. TCV.

721, 18. Τοὺς ὁμολογοῦντας] Οὐ διὰ τῆς φωνῆς, ἀλλ' ἐξ αὐτῶν τῶν πραγμάτων. ACDGRTV.

721, 22. Θάτερον] Ἕτερον τιθεὶς ἐναντίον τῷ προτέρῳ νόμῳ τῷ αὐτοῦ. AR.

721, 23. Ὅτι μὲν τοίνυν] Καὶ παρὰ τούτους ἡ ἀνακεφαλαίωσις ἐν μέσῳ λαμβάνεται. ACDGRTV. Προοιμιάζεται λοιπὸν περὶ τοῦ δευτέρου κεφαλαίου, τουτέστι τοῦ συμφέροντος. Ἐντεῦθεν παρὰ τοὺς προειρημένους λέγει τοὺς περὶ τοῦ προσώπου, παρὰ τούτους δὲ τοὺς νόμους, τοὺς περὶ πράγματος. Ὅπερ δὲ λέγομεν πολλάκις, δεῖν τὰς ἐν μέσοις τοῖς λόγοις εἰρημένας προοιμιακὰς ἐννοίας ποιεῖν συμπεράσματα καὶ προκαταρκτικὰς ἐννοίας, τοῦτο φυλάσσουσα καὶ ἡ παροῦσα φαίνεται τάξις. Εἶτα ἐξαιρέσεσιν αἰτιῶν κέχρηται, λέγων ὅτι οὐ τολμήσει λέγειν ὡς οὐκ ἐναντίος, οὐδὲ ἄπειρος καὶ ἰδιώτης, οὐδὲ συγγνώμης ἄξιος. Ἄρχεται δὲ τῆς ἐξαιρέσεως « θαυμάζω δὲ αὐτοῦ. » Ἀεὶ δὲ αἱ ἐξαιρέσεις τοῦ νομίμου κεφαλαίου τυγχάνουσιν. RY.

Ὅτι μὲν τοίνυν καὶ παρὰ τούτους] Τοὺς περὶ τοῦ πράγματος δηλονότι. Εἶτα ἐξαιρέσεσιν αἰτιῶν κέχρηται, λέγων ὅτι οὐ τολμήσει λέγειν ὡς οὐκ ἐναντίος, οὐδὲ ἄπειρος καὶ ἰδιώτης, οὐδέ τι συγγνώμης ἄξιος. Πρέποι δ' ἂν ἡ ἐξαίρεσις τῷ καταφορικῷ λόγῳ καὶ τῷ τόπῳ τῆς γνώμης καὶ τῆς βουλήσεως. Ἄρχεται δὲ τῆς ἐξαιρέσεως ἀπὸ τοῦ « θαυμάζω δὲ αὐτοῦ. » Ἀεὶ δὲ αἱ ἐξαιρέσεις τοῦ νομίμου μόνου κεφαλαίου τυγχάνουσι. Κέχρηται δὲ ταύταις, ἵνα ἀπαγάγῃ αὐτοὺς τῆς περὶ τὸ συμφέρον ἐννοίας. Διόπερ αὔξων ἀπὸ τῆς ἡλικιότητος τὸ ἀδίκημα, φησίν, οὐκ ἦν ἄπειρος νόμων, οὐκ ἦν ἰδιώτης ὁ Τιμοκράτης· οὐχ ἱκανοῦ ὄντος αὐτῷ τοῦ συμφέροντος πρὸς ἀπολογίαν τῷ τολμήσαντι ὑπεναντίον γράψαι τοῖς νόμοις, οὐδ' εἰ μυρία κατείποι συμφέροντα. Ἐν δὲ τῷ οὐδ' ὑπὲρ συγγενῶν χαριεντισμὸς πάλιν ἐστίν. Ἐπιτήδειον δὲ καὶ συμφέροντα ἐκ παραλλήλου λέγει τὸ αὐτό. ATCV.

722, 12. Οἶμαι δὴ πάντας ὑμᾶς] Ἄρχεται μὲν τοῦ συμφέροντος ἐντεῦθεν, τίθησι δὲ τὰ ἐπιχειρήματα ἐξ ὧν τοὺς τόπους τοῦ συμφέροντος λήψεται. Ἔστι δὲ τὰ ἀνωτάτω τρία· ἓν μέν, ὅτι δεῖ τὸν νόμον εἶναι ἁπλοῦν καὶ μίαν ἔχειν διάνοιαν· τοῦτο δέ ἐστιν ἀπὸ τοῦ ἀσαφοῦς. Δεύτερον δέ, ὅτι δεῖ τὸν νόμον δυνατὰς ἔχειν τὰς πράξεις· τοῦτο δὲ τὸ δυνατὸν καὶ τὸ ῥᾴδιον ἅμα ἐστί. Τρίτον δέ, ὅτι δεῖ τὸν νόμον μηδενὶ τῶν ἀδικούντων διδόναι συγγνώμην. Ἤδη δέ ἐστι τοῦτο τὸ δίκαιον, ὅπερ ἰδίᾳ εἰσάξει μετὰ τὸ συμφέρον, συντελοῦν δὲ τὴν κατασκευὴν τοῦ συμφέροντος. Διὰ τί οὖν τὸ προηγούμενον Τιμοκράτους, τοῦτ' ἔστι τὸ δίκαιον, οὕτω συνέπλεξε, μᾶλλον δὲ προσέρριψε τῷ συμφέροντι; μάλιστα μὲν ἵνα κατασκευαστικὸν τὸ ἄδικον τοῦ ἀσυμφόρου γένηται, ὡς βούλεται ὁ Δημοσθένης· ἔπειθ' ἵνα προειπὼν κλέψῃ τοῦ δικαίου τὴν εἰ-

σοδον καὶ μὴ ἀναγκασθῇ τὰ ἰσχυρὰ τοῦ ἀντιδίκου ἐκ προσοχῆς εἰσάγων καὶ κατὰ τὸ ἀφανὲς παραστῆσαι αὐτὰ δὶς τοῖς ἀκούουσι· χρὴ γὰρ τὰ ἡμέτερα μὲν ἐκ τοῦ προφανοῦς, τὰ δὲ ἰσχυρὰ τῶν ἀντιδίκων κατὰ τὸ λεληθός· ἄτεχνον γὰρ ὑπὲρ ἐκείνων ποιεῖν ἃ ποιοῦντες ἐκεῖνοι λυποῦσι. Ταῦτα μὲν οὖν περὶ τῶν ἐμπιπτόντων ἐν τῷ λόγῳ κεφαλαίων. Περὶ δὲ τῆς διαιρέσεως ἤδη λεκτέον. Τὸ μὲν οὖν πρότερον ἐπιχείρημα τοῦ συμφέροντος ἔχει μάχην πρὸς αὐτὴν τὴν ἀμφίβολον διάνοιαν τοῦ νόμου, ἔχει δὲ καὶ τὸ δυνατὸν καὶ δίκαιον μάχην πρὸς τὴν ἀντίθεσιν· ἡ γὰρ ἀντίθεσις, ἀλλὰ δεῖ φιλανθρώπους εἶναι τοὺς νόμους· ἡ δὲ λύσις, εἰ δυνατὸν φιλανθρωπεύεσθαι καὶ συγχωροῦσιν αἱ τῆς πόλεως χρεῖαι. Προείληφε μέντοι τῇ θέσει τὸ δυνατὸν τὴν ἀντίθεσιν· ἐπῆκται δὲ τῆς ἀνθυποφορᾶς τὸ δίκαιον, ὡς ὕστερον δείξομεν. Εἰ δίκαιον τοῖς μεγάλα τὴν πόλιν ἀδικοῦσι μεταδιδόναι φιλανθρωπίας. RY.

Οἶμαι δὴ πάντας ἂν ὑμᾶς] Τὸ ἁπλῶς ἀντὶ τοῦ σαφῶς καὶ μὴ πανούργως. Ἐπειδὴ δὲ διαφόρως ἐξηγοῦνται τὸν νόμον αὐτός τε καὶ Τιμοκράτης, καὶ δύναται φέρειν ὁ Τιμοκράτης πρὸς ἕκαστον τῶν προτεινομένων ὑπὸ τοῦ ῥήτορος, ἀπὸ τοῦ λείποντος λύων κατὰ τὸ ἑπόμενον τῆς διανοίας, περὶ τούτου διαλέγεται, λέγων μὴ μίαν εἶναι διάνοιαν τοῦ νόμου, ἀλλὰ πολλὰς καὶ διαφόρους, καὶ τοῦτο εἶναι τῶν ἀσυμφόρων. Λέγει δὲ ταῦτα αἰνιττόμενος ὅτι πολλὰ μὲν ἐλλιπῶς εἴρηται, ἀντιθήσει δὲ πρὸς τὰ κατ' ἔλλειψιν ὁ Τιμοκράτης, λέγων ὅτι ὡς ὁμολογούμενα παρῆκα, προλαμβάνων, φησὶ, διαφόρους εἶναι τὰς διανοίας, ὥστε ταύτῃ τυγχάνειν ἀσύμφορον. Λείπεται δὲ τὸ σκοπεῖν τίσι μὲν τεθάρρηκε κεφαλαίοις Δημοσθένης, τίσι δὲ Τιμοκράτης. Οὐκοῦν δῆλόν ἐστιν ὅτι Δημοσθένης μὲν τῷ νομίμῳ καὶ τῷ συμφέροντι, Τιμοκράτης δὲ τῇ φιλανθρωπίᾳ, ἀνάγεται δὲ εἰς τὸ δίκαιον ἡ φιλανθρωπία. Ὅταν μὲν ὁ Δημοσθένης θαρρῇ τοῖς νόμοις, ἀνάγκην ἕξει ἀποκρίνασθαι Τιμοκράτης ὅτι « ἀκόλουθα τοῖς νόμοις γέγραφα· » ἔστι γὰρ λέγων « οὐδὲ δήσω Ἀθηναίων οὐδένα. » Ὅταν δὲ τὸ συμφέρον προτείνῃ Δημοσθένης, πάλιν δεικνὺς οἷα ἡ πόλις βλαβήσεται, τότε ἐρεῖ ὁ Τιμοκράτης ἐξ ἀνάγκης ἀποκρινόμενος ὅτι μᾶλλον τότε ἀποτίσουσιν· εὐπορήσουσι [γὰρ] καὶ καταναγκάσουσιν οἱ ἐγγυηταὶ καὶ συνευπορήσουσι· καὶ ἄνω δὲ καὶ κάτω θρυλήσει τὸ δίκαιον, ὅτι φιλάνθρωπον ἔθηκα νόμον, εἰ περὶ τῶν ἀδυνάτων ἔθηκα, βοηθοῦντα τοῖς πένησιν. Ἓν μέντοι γινώσκομεν τοῦ Τιμοκράτους νόμου, τὸ πρῶτον μέρος. Παύσας δὲ τὴν ἀνάγνωσιν μάχεται πρὸς τὸ ῥητόν. Ἔστι δὲ τὸ, « καὶ « εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προστετίμηται κατὰ νό« μον ἢ κατὰ ψήφισμα [ἢ] τὸ λοιπὸν προστιμηθῇ. » Ὅτε μὲν οὖν ἐχρῆν ἀγωνίζεσθαι πρὸς τὸ νόμιμον, ἐκεῖ τὸν νόμον πρὸς τοὺς νόμους ἀντεξήτασεν· ὅτι δ' ἔδει τὸν νόμον ἐξετασθῆναι εἰ συμφέρων ἐστὶ, τότε αὐτὸν ἐφ' ἑαυτοῦ μόνον ἀναγινώσκει τὸν νόμον. Οὕτως οὐ πᾶσα μάχη πρός τι ῥητὸν νομικὸν ποιεῖ ζήτημα, ὅπερ διωρίσατο Μητροφάνης καὶ Ἑρμογένης, εἴπερ κἀνθάδε μάχη μὲν πρὸς τὸ ῥητόν ἐστι, ὑπὲρ δὲ τοῦ συμφέροντος αἱ ἀποδείξεις. Αἰτιᾶται τοίνυν τὸ καὶ περὶ τῶν παρεληλυθότων καὶ περὶ τῶν μελλόντων διειλέχθαι τὸν νομοθέτην σοφιζόμενος. Ὁ μὲν γὰρ Τιμοκράτης παραχωρῶν τοῖς δικαστηρίοις κρίνειν περὶ τῶν ἀμφισβητημάτων καὶ καταγινώσκειν δεσμὸν, ὕστερον περὶ τοῦ δεσμοῦ διαλέγεται, ὁ δὲ Δημοσθένης κυριώτερον αὐτὸν ἀξιοῦν λέγει τῶν δικαστηρίων γίγνεσθαι. Ἐπειδὴ δὲ συμβαίνει δεθῆναι καὶ τοὺς μηδέπω κεκριμένους, ἀπαχθέντας δὲ πρὸς τοὺς ἕνδεκα, ἢ διὰ προδοσίαν ἢ δι' ἄλλο τι τῶν μεγίστων ἀδικημάτων, διὰ τοῦτο ἀπὸ τῆς ὁμωνυμίας τοῦ δεσμοῦ τὸ σόφισμα ἔλαβεν, ἀλλὰ λέξει ὁ Τιμοκράτης ἀφεῖσθαι τοῦ δεσμοῦ, δηλονότι τοὺς μετὰ κρίσιν δεθέντας· ὁ δὲ Δημοσθένης λαμβάνει τὸν πρὸ τῆς κρίσεως. Ἵνα οὖν τὴν χώραν τοῦ σοφίσματος φαίνηται παρὰ τοῦ νόμου λαμβάνων, τοῦ νόμου τὴν ἀσάφειαν ᾐτιάσατο. Καὶ ἔστιν ὁ τόπος τοῦ ἐπιχειρήματος ἐκ τῆς ἀσαφείας κατὰ τὸ ἀπροσδιόριστον, ὅτι « οὐ δίκαια νενομο« θέτηκε περὶ τῶν παρεληλυθότων καὶ τῶν μελλόντων· » Τούτῳ δὲ οὐκ ἂν ἠδυνήθη χρήσασθαι τῷ τόπῳ μὴ πρότερον αἰτιασάμενος τοῦ γράμματος τὴν ἀσάφειαν. TCV.

722, 12. Οἶμαι ἅπαντας ὁμολογῆσαι] Σημείωσαι· τοῦ Θεολόγου. B.

722, 14. Ἁπλῶς] Τὸ ἁπλῶς ἀντὶ τοῦ σαφῶς καὶ μὴ πανούργως. A.

722, 16. Ἔπειτα εἶναι δυνατὰς τὰς πράξεις] Περὶ νόμου. B.

722, 21. Εἰ γὰρ δημοτικόν τις] Αὕτη ἰσχυρὰ ἀντίθεσις τοῦ Τιμοκράτους. Ἐπειδὴ οὖν ἰσχύει ἐν αὐτῇ, ὡς ἐν ἀντιπίπτοντος μέρει αὐτὸ λέγει, ἐπὶ τὸ ἔλαττον ἄγων, ὅτι « τοῖς μέλλουσι κρίνεσθαι, ἀλλ' οὐ τοῖς ἤδη κριθεῖσιν, « ὁ νόμος ὁ παλαιὸς δίδωσι τὴν φιλανθρωπίαν. » Ἔπειτα δὲ καὶ μεταληπτικόν· καὶ γὰρ λέγει « οὐ πάντη ἀναιρῶ « τὴν πρᾳότητα. » Ἐπεὶ ἔδοξεν αὐτῷ τραχύς τις, ἔδει λέγειν οὕτως, ἀλλ' οὐχὶ ὡς σὺ λέγεις. Ἀλλ' ἡ μετάληψις αὕτη τὸ μὲν πρῶτον ἐκβάλλει, τὸ δὲ δεύτερον εἰσάγει. Τῶν δὲ δύο νόμων ἐναντίων ὄντων δεῖ ἕνα πάντως εἶναι παράνομον, καὶ δεῖ ἐκβάλλειν αὐτόν. TCV.

723, 3. Ἀπὸ τῆς πρώτης συλλαβῆς] Ὑπερβολικῶς εἴρηται. Οὐ γὰρ εἶπε τὰ ῥήματα ἢ τὴν διάνοιαν μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην συλλαβήν. ACDGRTV.

723, 10. Ἐπὶ τῆς Πανδιονίδος πρώτης καὶ τὰ ἑξῆς· εἶτα ἐπάγει· « ἐπίσχες αὐτίκα γάρ. » Τὸ μὲν οὖν ἐπιχείρημα, ὅτι ἀσύμφορος ὁ νόμος, ἡ δὲ αἰτία, ὅτι ἀσαφής. Οἱ δὲ εἰς τὸ ἐπιχείρημα τοῦτο, πῶς ἐστιν ἀσαφής, εἰσὶ τόποι δέκα· ὧν πρῶτός ἐστιν οὗτος, μάχεται δὲ πρὸς τὸ ῥητόν· ἔστι δὲ « καὶ εἴ τινι τῶν ὀφειλόντων δεσμοῦ προσ« τετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα. » Αἰτιᾶται τοίνυν καὶ τὸ περὶ τῶν παρεληλυθότων καὶ περὶ τῶν μελλόντων διειλέχθαι τὸν νομοθέτην, κἀνταῦθα σοφιζόμενος. Ὁ μὲν γὰρ Τιμοκράτης παραχωρῶν τοῖς δικασταῖς κρίνειν περὶ τῶν ἀμφισβητημάτων καὶ καταγινώσκειν δεσμὸν ὕστερον περὶ τοῦ δεσμοῦ διαλέγεται, ὁ δὲ Δημοσθένης τὸν Τιμοκράτην κυριώτερον αὐτὸν ἀξιοῦν λέγει τῶν δικαστηρίων γίνεσθαι· Ὁ δὲ τόπος ὁ περὶ τῶν ἀνομοίων, τὰ αὐτὰ γέγραφε κατὰ τὸ ἀπροσδιόριστον. Δεῖ γὰρ ἕτερα περὶ ἑκατέρου. φησὶ γὰρ αὐτὸν χρῆναι νομοθετῆσαι περὶ τῶν μηδέπω κεκριμένων, ἀλλὰ μὴ περὶ τῶν τέλος εἰληφότων. Τί γάρ φησι; « πῶς γὰρ οὐ δεινὸν τῶν αὐτῶν « ἠξιωκέναι δικαίων τοὺς ἐξεληλεγμένους καὶ τοὺς μηδ' εἰ « κρίσεως ἐργάσονταί τι δήλους; » εἰ μὲν οὖν ἐνομοθέτει Τιμοκράτης ἐγγυητὰς διδόναι τοὺς μηδέπω μὲν κεκριμένους, ὡς ἐλεγχθέντας δὲ ὀρθῶς αἰτιᾶται ὁ ῥήτωρ· εἰ δὲ περὶ τῶν ἐξεληλεγμένων καὶ ἐξελεγχθησομένων, τί φαίνεται ἀδικῶν Τιμοκράτης; ἀλλ' ἐπειδήπερ συμβαίνει πολλάκις δεθῆναι καὶ τοὺς μηδέπω κεκριμένους, ἀπαχθέντας δὲ πρὸς τοὺς ἕνδεκα, ἢ διὰ προδοσίαν ἢ δι' ἄλλο τι τῶν μεγίστων ἀδικημάτων, διὰ τοῦτο ἀπὸ τῆς ὁμωνυμίας τοῦ δεσμοῦ τὸ σόφισμα ἔλαβεν. Ἔστιν οὖν ὁ τόπος τοῦ ἐπιχειρήματος

ἐκ τῆς ἀσαφείας κατὰ τὸ ἀπροσδιόριστον ἀπὸ τοῦ τρόπου εἰλημμένος, ὅτι οὐκ ἔδει τὰ αὐτὰ περὶ τῶν παρεληλυθότων καὶ τῶν μελλόντων νομοθετεῖν. RY.

723, 12. Μυρρινούσιος] Δεῖ ὑποστίξαι ἐν τῷ Μυῤῥινούσιος, ἵνα τὸ « Τιμοκράτης εἶπεν » ἀπόλυτον καθ' ἑαυτὸ λάβωμεν. ACDGRTV.

723, 27. Περὶ μὲν δὴ μελλόντων] Κατὰ συγχώρησιν δέδωκε τοῦτο τεχνικῶς, ἵνα διὰ τούτων δείξῃ τὸ περὶ τῶν παρελθόντων νομοθετεῖν ὡς ἄτοπον. Τοῦτο καὶ ἐν τῇ κατ' Ἀριστοκράτους πεποίηκε· συγχωρήσας γὰρ τῷ Χαριδήμῳ πολίτην εἶναι, ἐκ τούτου πλέον αὐτὸν ἔβλαψεν. ACDGRTV.

724, 2. Ὥσπερ ἂν εἴ τις ἐάσας] Τῇ εἰς ἄτοπον ἀπαγωγῇ καθ' ὑπόθεσιν, ὅτι ἀπέραντον ἔσται τὸ κακόν. TCV.

724, 17. Καὶ μὴν κἀκεῖθεν] Δεύτερος τόπος οὗτός ἐστι κατὰ ἀντεξέτασιν· ἐν ᾧ ἀντεξετάζει τὴν δημοκρατίαν πρὸς τὴν ὀλιγαρχίαν. Καὶ ὁ μὲν πρότερος τόπος ἀποδεικτικὸς, ὁ δὲ δεύτερος παροξυντικός. RY.

725, 2. Καὶ οὐ τοῦτο μόνον] Καὶ οὗτος ὁ τόπος ἀπὸ τοῦ τρόπου· ἀλλ' οἱ μὲν δύο πρότεροι τόποι περὶ μίαν ῥῆσιν ἠσχόληνται τοῦ νόμου, τὴν λέγουσαν « καὶ εἴ τινι « δεσμοῦ προστετίμηται· » αἰτιᾶται γὰρ ἐν ἐκείνοις ὅτι περὶ τῶν παρεληλυθότων νομοθετεῖ· ὁ δὲ τρίτος, ὅτι περὶ τῶν μελλόντων. Καὶ οὗτος δὲ ἀπὸ τρόπου συγκρουστικῶς· τί γάρ φησι; ἐχρῆν νομοθετῆσαι μηδὲ δεσμοῦ προστιμᾶν, ἀλλ' ἐγγυητὰς καθιστάναι· ὁ δὲ συγκρούσας τοὺς δικαστὰς τοῖς ἑαλωκόσιν, αὐτὸς ἐνδείκνυται ὅτι τούτων ἐστὶν ἰσχυρότερος· οὓς γὰρ ἐκεῖνοι δέουσιν, οὗτος ἀφίησι. RY.

725, 6. Καίτοι χρῆν αὐτὸν, etc.] Ἐχρῆν αὐτὸν νομοθετῆσαι μὴ προστιμᾶν δεσμοῦ τοῖς καθιστᾶσιν ἐγγυητὰς, καὶ μὴ μετὰ τὴν προστίμησιν καὶ κατάγνωσιν τῶν δικαστῶν, τηνικαῦτα κελεῦσαι διὰ τοῦ νόμου ποιεῖν τὴν διεγγύησιν, μετὰ τὸν δεσμόν. BSY.

Εἴ τὸ δεδέσθαι δεινὸν] Ἐπειδὴ οὐδὲν ἐδόκει ἄτοπον καταστήσαντι τοῦ δεσμοῦ ἐγγυητὰς, ἐπάγει τι συγκρουστικὸν, βουλόμενος αὐτὸν συγκροῦσαι τῷ δήμῳ. Τὸ δὲ « μηδενὶ προστιμᾶν » ἐχρῆν αὐτὸν, φησὶ, γράφειν, μηδὲ ὅλως τινὰ δεσμεῖσθαι, ἐὰν παράσχῃ ἐγγυητάς. ACDGRTV.

725, 8. Μὴ προλαβόντα] Κατὰ κοινοῦ πάλιν τὸ ἐχρῆν. Τὴν δὲ πρόθεσιν δεῖ ὑπερβιβάσαι πρὸς τὸ κατεγνωκότας, ἵνα ᾖ οὕτως· οὐδὲ ἐχρῆν αὐτὸν, λαβόντα ὑμᾶς ἤδη προκατεγνωκότας τινὸς τὸν δεσμὸν, τότε λέγειν ὡς δεῖ καταστῆναι ἐγγυητάς. ACDGRTV.

725, 15. Καὶ τὰς τῶν ὀμωμοκότων] Οὐκ εἶπε δικαστάς· ἰσχυρότερος γὰρ ὁ δῆμος τῶν δικαζόντων. Ἀλλ' ἵνα μὴ φαίνηται ἐρωτῶν εἰ δεῖ τὸν δῆμον ἰσχυρότερον εἶναι τῶν νόμων, οἵπερ εἰσὶν οἱ δικάζοντες, [τῷ] ἀπὸ τῆς ποιότητος μᾶλλον ἐχρήσατο. Ὀμωμοκότας γὰρ εἶπε τοὺς δικαστὰς, ἀνωμότους δὲ τὸν δῆμον, ἵνα καὶ τὸ ἄλογον Τιμοκράτους ὀφθῇ. Δικασταὶ μὲν γὰρ καὶ ὀμόσαντες ἐψηφίσαντο τὸν δεσμὸν, ὁ δὲ διὰ τοῦ δήμου τῇ ἐγγυήσει λύει τὸν δεσμόν. TCV.

Ὀμωμοκότων] Οὐκ εἶπε δικαστὰς καὶ δῆμον· ἰσχυρότερον γὰρ ὁ δῆμος τῶν δικαζόντων. Ἀλλ' ἵνα μὴ φαίνηται τὸν δῆμον ποιῶν ἀσθενέστερον τῶν δικαζόντων, ὅπερ ἄτοπον, τοὺς ὀμωμοκότας ἀντεξήτασε τοῖς ἀνωμότοις· ἐνταῦθα γὰρ τὸ ἄτοπον· οἱ μὲν γὰς ὀμωμοκότες εἰσὶν οἱ δικασταὶ, ὁ δὲ δῆμός ἐστιν ἀνώμοτος. RY. Τοῖς ἀνωμότοις δὲ λέγει τοῖς νῦν δικασταῖς. Καὶ διὰ τί αὐτοὺς καλεῖ ἀνωμότους; καθὸ εἰσιόντες οἱ δικασταὶ περὶ ἐκείνου τοῦ πράγματος ὤμνυσαν, περὶ οὗ ἡ κρίσις ἦν, οὐ μέντοι περὶ τῶν ἤδη κριθέντων. Τοῦτο οὖν θέλει εἰπεῖν, ὅτι παρακελεύεται ὑμᾶς λῦσαι τὰ πρώην γενόμενα, περὶ ὧν οὔτε εἰσήλθετε οὔτε γιγνώσκετε, ἄλλων ὀμοσάντων περὶ ἐκείνων δικαστῶν. ACDGRTV.

725, 18. Ὥστ' εἴπερ ὑμῶν] Ἄλλος τόπος ἀπὸ τῆς ἑκάστου διαθέσεως, ἧς ἕκαστος ἡμῶν ἔχει περὶ ἑαυτοῦ. Ἕκαστος γὰρ βούλεται τὴν οἰκείαν γνῶσιν κυρίαν εἶναι. Ὁ δὲ τόπος οὗτος παροξυντικὸς, τοῦ πρὸ αὐτοῦ ὄντος συγκρουστικοῦ κατὰ ἀντεξέτασιν, πότερον κυρίαν εἶναι δεῖ τὴν ψῆφον τῶν ὀμωμοκότων ἢ τῶν ἀνωμότων. RYTCV.

725, 25. Ἀλλ' οὐδὲ ἃ δίκαια ὡρίσατο] Δημοσθενικῆς βίας τὸ νόημα, τὸ περιτρέπειν τοῦ ἀντιδίκου τὸ ἰσχυρὸν εἰς τοὐναντίον. Ὁ γὰρ Τιμοκράτης ὡς φιλάνθρωπον εἰσάγων τὸν νόμον εἶπε τὴν ἄφεσιν τοῦ δεσμοῦ, εἰ καταστήσειαν ἐγγυητὰς, ὁ δὲ ῥήτωρ βιαίως ἀνατρέπει τοῦτο, λέγων ὅτι τῇ ἀληθείᾳ οὐδὲ ἐγγυητὰς βούλεται παρασχεθῆναι, ἀλλὰ ἀπατῆσαι ὑμᾶς. ACDGRTV.

726, 4. Ἐνθυμεῖσθε] Καὶ οὗτος δὲ ἀπὸ τοῦ ἐλλείποντος· κέχρηται δὲ τούτῳ τῷ τρόπῳ εἰς τὰ προειρημένα μέρη τούτου τοῦ νόμου ἑτέρως. Ἐκεῖνοι μὲν γὰρ ἦσαν πρὸς τὰ γεγραμμένα, οὗτος δὲ ἀπὸ τῶν παρειμένων καὶ ἐλλειπόντων περὶ τὸ αὐτὸ μέρος τοῦ νόμου· ὅθεν καὶ τὴν προειρημένην ῥῆσιν ἅπασαν ἥνωσεν, ἐξ ἀρχῆς πάλιν λαβών. Τί γάρ φησιν; « ἐνθυμεῖσθε ἀπὸ τοῦ δικαστηρίου καὶ τῆς κα« ταγνώσεως οἷ διεπήδησεν. » Οὐκοῦν τὸ κατ' ἔλλειψιν αἰτιᾶται τοῦ νόμου. Ἔδει γὰρ τὸν ἡττηθέντα παραδοθῆναι τοῖς ἕνδεκα, ἕως ἂν ἐγγυητῶν εὐπορήσῃ. Ἀλλ' ἐπειδὴ ἠδύνατο πρὸς τοῦτο λέγειν ὁ Τιμοκράτης ὅτι ὡς ὁμολογούμενον τοῦτο παρῆκα, διὰ τοῦτο προλαβὼν διέβαλε τοῦ νόμου τὴν ἀσάφειαν, εἰπὼν ὅτι τοῖς μὲν ἔξεστι ταυτὶ, τοῖς δὲ ταυτὶ περὶ αὐτοῦ γινώσκειν. RY.

726, 8. Τοῖς ἕνδεκα] Ἕνδεκα λέγει ἀντὶ τῶν δεσμοφυλάκων. Ἐξέκλεψεν οὖν, φησὶ, τὸν δεσμὸν, τῷ μὴ δεδέσθαι παρὰ τοῖς ἕνδεκα καὶ φυλάττεσθαι, ἕως ἂν ἐγγυητὰς παράσχῃ ἐν τῷ δήμῳ, ἵνα ἐν τοσούτῳ δυνηθῇ φυγεῖν. ACDGRTV.

726, 9. Μετὰ ταῦτα καθιστάναι τοὺς ἐγγυητὰς] Ἐκ μεταλήψεως οὗτος ὁ τόπος. Μετέλαβε γὰρ ὄνομα ἀντὶ ὀνόματος· δέον γὰρ αὐτὸν, φησὶν, εἰπεῖν τὸ τίμημα καὶ τὸ γινόμενον, ὁ δὲ τὸ ἀργύριον ὃ ὦφλε, φησὶν, εἶπε. Καὶ τοῦτο ἀναφέροιτο ἂν ἐπὶ τὴν αὐτὴν ἀσάφειαν. RY.

726, 22. Ἐνταυθοῖ] Ὅτι ἐνταῦθα καὶ ἐνταυθοῖ λέγεται, οὐ μὴν ἐνταυθί. ATCV.

726, 26. Ἀντὶ μὲν τοῦ τιμήματος] Τίμημα καλεῖ αὐτὸ τὸ προστιμηθὲν αὐτῷ ἐκ τοῦ χρόνου τῆς ἐνάτης πρυτανείας, ὥστε καταβαλεῖν διπλᾶ, ἀργύριον δὲ αὐτὸ τὸ κεφάλαιον καὶ τὸ ἀρχαῖον. ATCV.

727, 3. Τὸ γεγραμμένον] Αὐτὸ τὸ ἀρχαῖον. ATCV.

727, 9. Μετὰ ταῦτα τοίνυν] Ἕβδομος τόπος οὗτος ἐστίν. Ὅτι δὲ ἐφ' ἕτερον μέρος μεταβαίνει τοῦ νόμου δῆλον. Τὸ μὲν γὰρ ἐν τῇ τῶν ῥημάτων μεταθέσει εἴη ἂν τοῦ προεξητασμένου· τὸ κατὰ τοὺς προέδρους καὶ τὴν ἐπιχειροτονίαν αὐτῶν, εἴη ἂν τοῦ ἑβδόμου. Στρέφεται δὲ περὶ μίαν λέξιν, διότι εἶπεν ὁ Τιμοκράτης καθιστάναι τοὺς ἐγγυητὰς ὅταν βούληται. Ἴσως δὲ δύναται τὸ « ὅταν « βούληται ἕκαστος » τῷ ἀπαλλαγῆναι τῶν δεινῶν. RY.

727, 16. Φαύλους ἀνθρώπους] Εὐτελεῖς κατὰ τὴν τύχην. A.

727, 17. Οὓς] Ἀντὶ τοῦ οὕστινας ἐγγυητάς. ATCV.

Ἐὰν ἀποχειροτονήσητε] Ἀντὶ τοῦ ἀποδοκιμάσητε καὶ μὴ δέξησθε αὐτοὺς, ἢ μὴ ὄντας ἱκανοὺς εἰς τὸ ἐγγυήσασθαι ἀπαλλάξητε. ATCV.

727, 24. Τῷ δὲ καταστήσαντι] Ὄγδοος τόπος οὗτός ἐστι. Πάλιν ἐνταῦθα ἐπέμεινεν ἐπὶ τοῦ κακουργήματος. Ἔστι δὲ οὗτος ὁμοίως ἀπὸ τῆς αὐτῆς μεταλήψεως, ὅτι ὄνομα ἀντ' ὀνόματος ἔγραψεν. RY.

728, 1. Ἐὰν δὲ μὴ καταβάλῃ] Ἀποτείνεται μὲν ἀπὸ τούτου πρὸς τὴν μέλλουσαν ἀντίθεσιν. Τοῦ γὰρ Τιμοκράτους μέλλοντος προβάλλεσθαι τὴν φιλανθρωπίαν καὶ τὸ ἀδείας τινὸς τυγχάνειν τοὺς ὀφείλοντας, αὐτὸς προαναιρεῖται τοῦτο, ἀντιθεὶς τὸ νενομοθετῆσθαι δεσμὸν παρὰ τοῦ αὐτοῦ περὶ τῶν αὐτῶν. Ἀλλ' ἐπειδὴ τοῦτο δοκεῖ τὴν ὑποψίαν ἀναιρεῖν τὴν κατὰ Τιμοκράτους, κελεύοντος δεῖσθαι τοὺς ὀφείλοντας ἐὰν μὴ ἐκτίσωσιν, οὗτος δῆλός ἐστιν οὐ χαριζόμενος τοῖς ὀφείλουσιν. Ἔνατον εἴληφε τόπον, ἀπὸ τοῦ περιουσίας τόπου· τὸν γὰρ μὴ δεθέντα τὴν ἀρχὴν μηδὲ ὄντα ἐν δεσμοῖς τίς, φησὶν, ἐγγυήσεται; καὶ ἔστι μὲν ὁ τόπος ἀπὸ μάχης, ὅτι ἐναντία νενομοθέτηκεν οἷς προβάλλεται ἐκ τοῦ περιουσίας, εἰ ὅλως μὴ ὑπόκειται ὁ δεθησόμενος. Δέδωκε αὐτῷ τὴν ἀφορμὴν τοῦ σοφίσματος ὁ μικρῷ πρόσθεν ἐξητασμένος τόπος ἀπὸ τῆς ἐλλείψεως. Ἔχων οὖν ἀπὸ τούτου τοῦ τόπου τὸ μὴ εἰρῆσθαι δεῖν αὐτὸν δεδέσθαι, εἰκότως ὡς μὴ κατὰ ὑποκειμένου δείκνυσι τὴν ἄλλως γεγραφότα τὰ Τιμοκράτους ῥήματα· διαλέγεται γὰρ περὶ δεσμοῦ οὐχ ὑποκειμένων τῶν δεθησομένων. RY.

728, 6. Ἐὰν δὲ μὴ] Πειρᾶται λῦσαι αὐτοῦ τὴν δόξαν, ἣν ἔχειν νομίζεται παρὰ τοῖς πολίταις, ὡς φιλάνθρωπον εἰσάγων νόμον. Ἔστι δὲ ὥσπερ λύσις ἀντιπίπτοντος. Ἵνα μή τις εἴπῃ « ἰδοὺ οὖν, καὶ αὐτὸς κελεύει εἶναι δε« σμόν, » ἐπάγει ὅτι « τῷ ὀνόματι μόνον καταλιμπάνει « ὑμῖν τὴν τιμωρίαν τοῦ δεσμοῦ, τῷ λέγειν ὡς δεῖ δε« σμεῖσθαι, τῇ δὲ ἀληθείᾳ καὶ τῷ ἔργῳ ἀφαιρεῖται, παρέ« χων καιρὸν φυγῆς τοῖς μὴ βουλομένοις καταβαλεῖν, ὡς εἶπεν ἄνω· « ἀλλ' ὁ τὸν καιρὸν ἐκκλέψας. » Κατὰ κοινοῦ δὲ τὸ ᾤετο δεῖν. ATCV.

Ἀλλὰ τὸν καιρὸν ἐκκλέψας] Ἐκκλέψας τὸν ἠδικηκότα καὶ τὴν παράδοσιν αὐτοῦ τοῖς ἕνδεκα, διὰ τὸ τὸν τούτου νόμον κελεύειν ἐν τῷ δήμῳ καθιστάναι τοὺς ἐγγυητὰς, ἀδύνατον δὲ εἶναι αὐθημερὸν ἐκκλησίαν ἅμα καὶ δικαστήριον γενέσθαι, ὡς ἄνω εἴρηται. P.

728, 11. Καὶ παρ' ἀκόντων] Ἀντὶ τοῦ καὶ ὑμῶν μὴ βουλομένων ἔδωκεν ἄφεσιν τοῦ δεσμοῦ. ATCV.

728, 14. Ὁ δὲ πολλῶν ὄντων] Δέκατος οὗτός ἐστιν εἰς τὸ ἐπιχείρημα τῆς ἀσαφείας. Ἔστι δὲ ἀπὸ τοῦ ἐλλείποντος καὶ οὗτος. Ἐλλείπει γὰρ τῷ νόμῳ τὸ μὴ διειλέχθαι περὶ τῶν μὴ καθιστάντων τοὺς ἐγγυητάς. Σεσόφισται δὲ καὶ οὗτος. Εἰ γὰρ μὴ καταστήσει τοὺς ἐγγυητὰς, δηλονότι μένει δεδεμένος. Ὁ δὲ τὸ κατὰ ἔλλειψιν λαβὼν πρὸς τὸ ἑαυτοῦ συμφέρον κατεσκεύασεν, ἀποδεικνὺς ὅτι οὐ δεθήσεται τὴν ἀρχὴν οὐδείς. Οὐκοῦν οὐδὲ καταστήσει τοὺς ἐγγυητάς· εἶθ' ὃ παρελέλειπτο ἐν τοῖς ἔμπροσθεν ἀπὸ τῶν προέδρων, τοῦτο ἐνταῦθα ἐξήτασεν, ὅτι τοῖς μὲν προέδροις ἀνάγκην ἐπέθηκεν εἰσαγαγεῖν τοὺς ἐγγυητὰς εἰς τὸν δῆμον, τοῖς δὲ ὀφείλουσιν οὐδεμίαν ἀνάγκην προσάγει. RY.

728, 26. Τοῦ δὲ μὴ καταστήσαντος οὐκ ἔνι δήπουθεν] Πῶς γὰρ ὁ μὴ καταστήσας ἐγγυητὰς μέλλει ἔχειν ἐγγυητάς; οὐκοῦν, φησὶ, κατὰ τοῦ μὴ καταστήσαντος ἐγγυητὰς οὐδὲν ἔγραψε. Τὸ δὲ καθίζουσιν ἀντὶ τοῦ καθίστανται. ATCV.

729, 2. Καίτοι πῶς ἂν ἀσυμφορώτερος] Ἐντεῦθεν ὁ ἐπίλογος ἄρχεται. Ἐπιλογίζεται δὲ ἀνακεφαλαιούμενος τῶν ῥηθέντων ἐπιχειρημάτων τὴν δύναμιν. TCV. Συμπεραίνει τὸ συμφέρον κεφάλαιον. Δεύτερον δὲ ὥσπερ ἀνακεφαλαιοῦται τὰ εἰρημένα. Εἰ δέ τις ζητήσοι διὰ τί ἐν μέσῳ τῷ λόγῳ ἀνακεφαλαίωσιν ἔταξεν—ἴδιον γάρ ἐστι τῶν ἐπιλόγων τὸ ἀνακεφαλαιοῦσθαι—λέγομεν ὅτι αὕτη λέγεται ἀνακεφαλαίωσις μερικὴ ἑνὸς ἑκάστου κεφαλαίου, οὐ τελέως αὐτοῦ τοῦ λόγου καὶ τῶν ἀγώνων. ACDGRTV.

729, 14. Ὅτι τοίνυν ὅλην συγχεῖ] Ἔτι τοῦ συμφέροντός εἰσιν οἱ λόγοι. TCV.

Ὅτι τοίνυν ὅλην συγχεῖ] Πληρώσας τοὺς δέκα τόπους ἐπιλογίζεται τὸ πρῶτον ἐπιχείρημα. Ἐπιλογίζεται δὲ ἀνακεφαλαιούμενος τῶν δέκα τόπων τὴν δύναμιν. Y. Πληρώσας τὸν ἐπίλογον μεταβαίνει πάλιν ἐπ' ἄλλην ἐξέτασιν τοῦ συμφέροντος, ἐντεῦθεν ἀποδεικνὺς ἀδύνατον τὸ προστεταγμένον ὑπὸ τοῦ νόμου. Οὐ μὴν ἀγνοητέον ὅτι τὸ δυνατὸν ἐπὶ τὸ συμφέρον ἔχει τὴν ἀναφοράν. Ὁπόσοις δὲ κέχρηται τόποις ἐπὶ τοῦ κατὰ τὸ δυνατὸν ἐπιχειρήματος πάλιν ἐπισκεψόμεθα. Ἔστι τοίνυν ὁ πρῶτος τόπος ἀπὸ τρόπου κατὰ τὸ ἔνδοξον, τίνι τρόπῳ καὶ τίνι κανόνι τῆς πολιτείας χρώμενοι τὰ πολλὰ καὶ καλὰ καὶ μεγάλα κατεργάζονται τρόπαια, καὶ κατὰ γῆν στρατεύονται καὶ κατὰ θάλατταν ναυμαχοῦσι. Τῷ γράφειν ψηφίσματα, φησὶ, νόμους περὶ εἰσφορᾶς, περὶ τριηραρχιῶν, τῷ τοὺς μὴ πειθομένους τοῖς νόμοις μηδὲ τοῖς ψηφίσμασι κολάζεσθαι πληρουμένων τῶν δικαστηρίων καὶ δεσμὸν καταγινωσκόντων τῶν ἀκοσμούντων. Εἰ δὲ οὗτος τῶν δεσμῶν ἄνεσιν, ἀνατρέπει τὸν τρόπον τῆς πολιτείας. Ἀνατρέπων δὲ τὸν τρόπον καὶ τοὺς κανόνας, διαφθείρει τὴν δόξαν τῆς πόλεως. RY.

729, 15. Φιλοτιμίας] Φιλοτιμίαν τὴν δόξαν λέγει. A.

730, 7. Ἀλλὰ μὴ τὸ προσῆκον ποιῇ] Παραχρῆμα καταβάλλων τὰ χρήματα. TCV.

730, 8. Ἐροῦμεν νὴ Δία τοῖς Ἕλλησιν] Ἡ χάρις μετὰ θυμοῦ μεμιγμένη. Τοιοῦτος γάρ ἐστιν ὁ ῥήτωρ. Διαλύει τὰς ἐξ ἀπάτης διαβολὰς καὶ διαφυγὰς, τῷ μὴ δυνήσεσθαί τι ποιῆσαι τῶν δεόντων. Ἐνάτην δὲ πρυτανείαν τὸν ἔνατον μῆνα λέγει. TCV.

730, 23. Ἔτι τοίνυν, ὦ ἄνδρες] Τόπος δεύτερος οὗτος τοῦ δυνατοῦ ἀπὸ τῆς χρείας περὶ τὰ ἱερὰ καὶ ὅσια. Ἀναφέροιτο δ' ἂν ἐπὶ τὸ ἀναγκαῖον, ὅτι ἀνάγκη δεσμεύειν τοὺς ὀφείλοντας ἱερὰ καὶ ὅσια χρήματα, ἵνα θύηται τὰ ἱερὰ καὶ μεταλαμβάνωσιν οἱ δικάζοντες καὶ ἐκκλησιάζοντες καὶ βουλεύοντες τῶν τεταγμένων μισθῶν ὑπὸ τῶν νόμων. Καὶ ἔστιν ὁ μὲν πρότερος τόπος τοῦ ἐνδόξου, εἶτα ἀπὸ τοῦ ἀναγκαίου. RY.

731, 4. Τῶν ἐκ τῶν τελῶν χρημάτων τῇ διοικήσει] Τῇ διοικήσει μὲν οὖν λέγει τῇ δαπάνῃ καὶ τοῖς ἀναλώμασι. Προσκαταβλήματα δὲ, τοῦτ' ἔστι τὰ ὀφείλοντα προσκαταβληθῆναι εἰς ἀναπλήρωσιν τῶν ἀναλωμάτων· ἀπὸ μὲν γὰρ τῶν τελῶν τῶν ἀπὸ τῶν λιμένων καὶ τῆς ἀγορᾶς ἀνηλίσκετο εἰς τὰ ἱερὰ καὶ εἰς τὸ δικαστικὸν καὶ εἰς τὸ βουλευτικὸν καὶ τοὺς ἱππέας καὶ τὰ τοιαῦτα. Ἐπεὶ δὲ οὐκ ἐπήρκει ταῦτα τὰ χρήματα, πολλάκις προσετίθετο καὶ ἔξωθεν ἕτερα παρά τινων ὀφειλόντων, ἃ ἐκάλουν προσκαταβλήματα. RY.

Τῶν ἐκ τῶν τελῶν] Κυρίως μὲν τέλη ἐπὶ τῶν λιμένων λέγεται, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν προσόδων τῆς χώρας. ACDGRTV.

731, 5. Τὰ προσκαταβλήματα] Οἷον, αὐτὰ τὰ προστιμήματα τοῖς χρεωστοῦσι καὶ μὴ βουλομένοις καταβάλλειν ἕως τῆς ἐνάτης πρυτανείας, οἳ, ὡς ἤδη ἔγνωμεν, κατέβαλλον τὰ διπλᾶ. Διὸ καὶ προσκαταβλήματα λέγεται διὰ τὸ καταβάλλειν. ACDGRTV.

731, 13. Ὀκτὼ] Ἀντὶ τοῦ πρυτανείας. A.

731, 15. Οὐ δικάσει τὰ δικαστήρια] Οὐ μόνον οἱ δικασταὶ ἐλάμβανον μισθὸν, ἀλλὰ καὶ ἡ βουλὴ καὶ ὁ δῆμος, ἐξ ὧν ἐπιφέρει « ἀλλὰ ἀμισθὶ ταῦτα ποιήσομεν. » ATCV.

731, 19. Ἀλλὰ νὴ Δί' ἀμισθὶ ταῦτα] Οὐκ ἔστι τοῦτο ἀντίθεσις, ἀλλὰ νόημα ἐν ἀντιθέσεως σχήματι κείμενον, ἵνα χλευαστικῶς διαλεχθῇ πρὸς τὸν Τιμοκράτην, ἵνα παροξύνῃ τοὺς ἀκούοντας, εἰ μέλλοιεν δικάζειν ἄμισθοι. Y. Ἀντιπῖπτον, ἀλλὰ, εἰ καὶ μὴ χρήματα ἔσται, τὰ δικαστήρια ποιήσομεν καὶ χωρὶς μισθοῦ. Ἔστι δὲ οὐ τῇ φύσει ἀντιπῖπτον· Οὐ γὰρ ἄν τις εἴποι καθ' ἑαυτῶν τῶν δικαστῶν, ἀλλ' ὡς τοῦ Τιμοκράτους τοῦτο ἀπαιτοῦντος· καὶ ἔστι συγκριτικόν. Τῷ γὰρ νὴ Δία πανταχοῦ ὁ ῥήτωρ ἐπὶ διασυρμῷ χρῆται, [οἷον] « ἀλλὰ νὴ Δία τὰ πατρῷα καὶ « παππῷα. » TCV.

731, 23. Χρῆν γὰρ] Οὐκ ἔστιν ἕτερος τόπος οὗτος, ἀλλὰ τοῦ αὐτοῦ κατασκευαστικὸς ἀπὸ τρόπου. Τί δ' ἂν ἔδει σε προσθεῖναι τῷ σεαυτοῦ νόμῳ, Τιμόκρατες; τὰς ἀπαιτήσεις πάσας κατὰ τοὺς ὑπάρχοντας περὶ ἑκάστου γίνεσθαι νόμους, καὶ εἰ γέγραπται ἔν τινι ψηφίσματι ἢ νόμῳ εἶναί τινα εἴσπραξιν κατὰ τῶν δεινῶν, ταύτην εἶναι κυρίαν καθὼς ὀφείλει εἶναι κυρία. Λέγει δὲ ταῦτα διὰ τὸ γραφῆναι ἐν τῷ ψηφίσματι Εὐκτήμονος γενέσθαι μὲν διαδικασίαν τοῖς πρέσβεσι πρὸς τοὺς τριηράρχους, τοὺς δὲ ἡττηθέντας, εἴ τις μὴ ἀποδιδοίη, εἰσπράττεσθαι κατὰ τοὺς νόμους τοὺς τελωνικούς. RY.

731, 29. Νῦν δὲ κύκλῳ φεύγων] Ἀντὶ τοῦ πανταχόθεν. Τοὺς τελωνικοὺς δὲ τοὺς περὶ τελῶν καὶ τελωνῶν. TCV.

732, 3. Διὰ ταῦτα οὐ προσέγραψε τοῦτο] Ἐπειδὴ δεσμὸν ἠπείλει ὁ τῶν τελωνικῶν νόμος. ATCV.

732, 6. Ἱππέας] Καὶ γὰρ καὶ οἱ ἱππεῖς μισθὸν ἐλάμβανον ἐν εἰρήνῃ ὑπὲρ τοῦ τρέφειν τοὺς ἵππους. TCV.

732, 10. Οὐ τοίνυν μόνον τὰ δικαστήρια] Πόρρωθεν ἤδη λύων τὴν ἀντίθεσιν ταῦτα εἴρηκεν. Εἰ γάρ φησι Τιμοκράτης φιλάνθρωπον εἶναι τὸν νόμον, σκοπείτω ὅτι φιλάνθρωπον τοῖς ἀστρατεύτοις, τοῖς πατραλοίαις καὶ κακούργοις ἐποίησε, βλαβερὸν δὲ τοῖς ἱεροῖς, τῷ δήμῳ, ταῖς ἐκκλησίαις. Ἔστι δὲ οὗτος ὁ τόπος ἀπὸ τοῦ ἀδόξου, ἤτοι ἀπὸ τοῦ αἰσχροῦ· ὡς γὰρ βούλει, λέγε. RY.

732, 11. Ἀλλὰ καὶ τοῖς ἀδικοῦσι] Οὐχ ὅτι ὑπὲρ τούτων τέθεικεν, ἀλλ' ἀπὸ τοῦ δεσμοῦ καὶ τοῦ καταδικάζεσθαι πολλάκις χρήματα τούτους, ἠδυνήθη σοφίσασθαι. Διὸ καὶ ἐπάγει τοῦτο, ἐπειδὴ σοφισμοῦ πλῆρες ἐδόκει εἶναι τὸ ῥῆμα· τὰς γὰρ ὑπαρχούσας ἐκ τῶν νῦν καὶ τὰ ἑξῆς. ACDGRTV.

732, 17. Λεγόντων γὰρ τῶν νόμων] Περὶ κλοπῆς. B.

732, 25. Καὶ γὰρ εἰ φορτικώτερον] Σημείωσαι· ὁμολογία τοῦ τολμήματος. B.

Λεγόντων γὰρ τῶν νόμων] Σφάλλει ὡς τοῦ νομίμου εἶναι· οὐκ ἔστι δὲ, ἀλλὰ λέγει ὅτι Σόλων τὸ καὶ τὸ λέγει ὡς τὸ συμφέρον βλέπων, ὁ δὲ οὐ μιμεῖται αὐτὸν, ἀλλ' ἀσυμφόρως γέγραφε τὸν νόμον. Ἀπολογίαν δὲ ποιεῖται καὶ ὑπὲρ αὐτοῦ τοῦ Διοδώρου, ὅτι δι' ὧν βούλεται ἰσχυροὺς εἶναι τοὺς κατὰ τῶν πατραλοιῶν νόμους, δῆλός ἐστι παρεσκευασμένος τοὺς γονέας τιμᾶν· ὥστε μάτην αὐτὸν σεσυκοφαντῆσθαι ὑπὸ Ἀνδροτίωνος, ὡς τὸν πατέρα ἀνῃρηκότα. TCV.

732, 28. Ἵνα ἐν Ἅδου τοῖς ἀσεβέσι] Οἷον τοῖς περὶ τὸν Τάνταλον καὶ τὸν Τιτυὸν καὶ τὸν Ἰξίονα. Ἐπειδὴ οὖν ᾔσθετο ὡς ὅτι τὰ τοιαῦτα τολμηρὰ ποιητικῆς μᾶλλόν ἐστιν, ἀλλ' οὐ ῥητορικῆς, ὥσπερ συγγνώμην ᾔτησεν εἰπών· « καὶ γὰρ εἰ φορτικώτερον· » ὅ ἐστιν ἀνόητον, ὥς φησιν Ἀθανάσιος. ACDGRTV. Ὀφείλει, φησὶ, μάλιστα διὰ τοῦτο ἀποθανεῖν, ἵνα ἐκεῖ θεὶς τοῦτον τὸν νόμον, τοὺς κακούργους τιμωρίας λύσῃ, ἡμᾶς δὲ ἐάτω ζῆν ὡς πολιτευόμεθα. TCV.

733, 6. Ποδοκάκη] Βασανιστήριόν τί ἐστιν ὄργανον, εἰς ὃ στρεβλοῦταί τις, δεσμούμενος τοὺς πόδας καὶ τὰς χεῖρας. Τοῦτο καλεῖται καὶ ποδοστράβη. ACDGRTV.

733, 9. Περὶ τοῦ τιμήματος] Ὅ ἐστι περὶ τῆς τιμωρίας. ACDGRTV.

733, 14. Ἐὰν δ' ἁλῷ] Εἴποι ἄν τις, πῶς λέγει « ἐὰν ἁλῷ, » καίτοι προειπὼν ὅτι « εἰσαγόντων αὐτὸν εἰς τὴν Ἡλιαίαν. » Πῶς δὲ ἐδύναντο αὐτὸν εἰσαγαγεῖν, μὴ κατασχεθέντος αὐτοῦ; λέγομεν ὅτι τὸ « ἐὰν ἁλῷ » ἐνταῦθα λέγει οὐκ, ἂν κατασχεθῇ, ἀλλ', ἐὰν ἁλῷ διὰ τῆς κρίσεως ποιήσας ἐφ' ᾧπερ συνελήφθη. Τὸ δὲ παθεῖν ἢ ἀποτῖσαι ἀντὶ τοῦ παθεῖν εἰς τὸ σῶμα, ἀποτῖσαι δὲ χρήματα. ACDGRTV.

733, 16. Ὅμοιός γε] Τοῦ αὐτοῦ τόπου τοῦ ἀδόξου καὶ τοῦτο κατὰ ἐξέτασιν ἐκ διαφορᾶς Τιμοκράτους καὶ Σόλωνος. Ἄχρι μὲν οὖν τούτων ἐπλήρωσε τῶν δύο ἐπιχειρημάτων τοὺς τόπους, τοῦ τε ἀσαφοῦς καὶ τοῦ ἀδυνάτου. RY.

Ὅμοιός γε, ὦ ἄνδρες Ἀθηναῖοι, Σόλων ὁ νομοθέτης] Κατὰ ἀντεξέτασιν ἐκ διαφορᾶς Τιμοκράτους καὶ Σόλωνος, ἵνα ἐκ τῆς δόξης τοῦ προσώπου δείξῃ αὐτὸν πλέον παρανομώτατον. Ἀντίθεσιν δὲ οὐδεμίαν ἐνταῦθα πρὸς τὸ συμφέρον ἔθηκεν· οὐ γὰρ ἐλυσιτέλει αὐτῷ παραθραῦσαι τοῦ οἰκείου κεφαλαίου τὴν ἰσχύν. Ὅταν δὲ ἐκ τῆς ποιότητος τοῦ Τιμοκράτους λογίζηται, τότε κινήσει τὴν ἀντίθεσιν λέγων ὡς ἄτοπον ἔγραψας, ὅπως μηδεὶς Ἀθηναίων δεθήσεται, καὶ αὐτὸς πείσεταί τι κακόν. TCV.

733, 18. Βελτίους ποιεῖ] Οὐκ εἶπε κολάζει, καίτοι ἐν τοῖς προειρημένοις περὶ κολάσεως διεξερχόμενος, ἀλλὰ βελτίους ποιεῖ, σωφρονισμὸν εἰπὼν τὴν κόλασιν· ὥστε τὴν Τιμοκράτους δοκοῦσαν φιλανθρωπίαν βλαβερὰν εἶναι, τὴν δὲ Σόλωνος τιμωρίαν οὐ κόλασιν, ἀλλ' ὠφέλειαν. ACDGRTV.

733, 26. Τὰ μὲν ἄλλα ἐῶ] Τὸ σχῆμα ἀποκοπή. A.

Οἳ καὶ ζῶντας ἀναγκάζουσι] Περὶ παίδων. B.

734, 5. Βούλομαι τοίνυν] Ἀνακεφαλαίωσις πάλιν τέλειος τῶν δύο κεφαλαίων, τοῦ τε νομίμου καὶ τοῦ συμφέροντος. ACDGRTV. Εἰ δέ τις ζητήσει τίνος ἕνεκα τὸ δίκαιον παρέλιπεν, ἐροῦμεν, οὐ παρῆκεν, ἀλλ' ἐπειδὴ πάνυ ἦν ἰσχυρὸν, φανερῶς μὲν αὐτὸ οὐ τίθησι, κατασπείρει δὲ αὐτὸ πανταχοῦ. TCV.

Βούλομαι τοίνυν ὑμῖν] Ἐπιλογίζεται πρῶτον ἐξ ἀνακεφαλαιώσεως καὶ ἀναμνήσεως τῶν προειρημένων κατὰ ἀπαρίθμησιν, πρῶτον καὶ δεύτερον καὶ τρίτον λέγων. Ἐν δὲ τούτοις διεῖλε τὸ περὶ πρόσωπον νόμιμον καὶ τὸ περὶ τὸ πρᾶγμα, τοῦ δὲ συμφέροντος τὰ δύο ἐπιχειρήματα καὶ

τοὺς τόπους εἰπεῖν παρῃτήσατο. Εἶτα μετὰ τὴν ἀνακεφαλαίωσιν ἄλλο εἶδος συγγνώμης ὑφείλετο. Ἐπιβουλεύων γάρ, φησί, καὶ οὐ γνώμης διαμαρτάνων ἔγραψεν. Ἐπὶ τούτοις τίθησι λοιπὸν τὴν ἀπὸ τοῦ δικαίου ἀντίθεσιν, προδήλως μὲν οὐ τιθείς· οὐδὲ γὰρ γυμνῶς συνέφερε· πόθεν οὖν ἡ ἀρχὴ τῆς ἀντιθέσεως; θαυμάζω δέ, ὦ ἄνδρες δικασταί, τῆς ἀναιδείας αὐτοῦ. Θαύμασον δὲ τὴν μεταχείρισιν ὅτι πρὸ τῆς θέσεως ἡ λύσις, καὶ συμπέπλεκται τῇ ἀντιθέσει τὸ ἐναντίωμα. Τί γάρ φησιν; ὁ μετὰ Ἀνδροτίωνος ἀπανθρωποτάτως ἂν χρησάμενος τοῖς πολίταις, ὁ μηδένα ἔλεον περὶ αὐτοὺς ἐπιδειξάμενος, οὗτος τοὺς κλέπτας καὶ τοὺς τὰ ἱερὰ χρήματα κατέχοντας φιλανθρωπεύεσθαι λέγει. Καὶ ἔτι ἑτέρωθί που τοῦ λόγου παρέδειξε τὴν ἀντίθεσιν. Τί γάρ φησι; καὶ οὕτω πρὸς τὸ πλῆθος προσενήνεκται. Οὐκοῦν τὸ μὲν νόμιμον προηγούμενόν ἐστι κεφάλαιον, καὶ τὸ συμφέρον ὁμοίως προηγούμενον τῷ Δημοσθένει, τὸ δὲ δίκαιον εἰσῆκται κατὰ τὸ Τιμοκράτει ἑπόμενον, ἀντιπροτεινόμενον παρὰ τοῦ ἀντιδίκου. Ὃ δὲ προηγούμενόν ἐστι τῷ Δημοσθένει κεφάλαιον, Τιμοκράτει ἑπόμενον πάλιν, τό τε νόμιμον καὶ τὸ συμφέρον. Θαυμαστῆς δὲ οὔσης τῆς κατὰ τὴν ἀντίθεσιν μεθόδου, ἔτι θαυμασιωτέρα ἡ κατὰ τὴν λύσιν μέθοδος. Ἄρχεται δὲ ἀπὸ συγκρίσεως κατὰ ἀντεξέτασιν. Τίνες οὖν μᾶλλον ἀδικοῦσι τὴν πόλιν, καὶ τίνες δικαιότεροι καταβάλλειν εἰσίν, οἱ διὰ πενίας κλέψαντες, ἢ οἱ πρέσβεις αἱρεθέντες καὶ πλούσιοι ὄντες, εἶτα ὑφελόμενοι; καὶ τοῦτο δὲ δεῖ εἰδέναι, ὅτι φοβούμενος τὴν ἀπὸ τοῦ δικαίου ἐφομαρτοῦσαν ἀπανθρωπίαν (πικροῦ γὰρ τὸ διορίζεσθαι τοὺς ἀδικοῦντας δίκην διδόναι) οὐκ ἀπὸ τοῦ οἰκείου προσώπου τὸ κεφάλαιον τοῦτο ἐργάζεται, ἀλλὰ παρὰ πᾶν τὸ κεφάλαιον ἄνω καὶ κάτω τὸν Σόλωνα θρυλεῖ, καὶ ὅτι πικρῶς κατὰ τῶν ἀδικούντων νομοθετεῖ· ἀξιόπιστος γὰρ ὁ Σόλων. RY.

734, 7. Πρῶτον μὲν παρὰ τοὺς νόμους] Τουτό ἐστι τὸ τοῦ νομίμου προσώπου· τὸ δὲ δεύτερον τοῦ νόμου αὐτοῦ. TCV.

734, 9. Τρίτον δὲ] Ἰστέον ὅτι οὐ λέγει ἐνταῦθα περὶ τοῦ τρίτου κεφαλαίου, ὅ ἐστι τοῦ δικαίου, ἀλλὰ περὶ τοῦ συμφέροντος. Τρίτον δὲ αὐτὸς ἐκάλεσεν ἐνταῦθα τὸ συμφέρον, οὐ πρὸς τὴν τάξιν τῶν κεφαλαίων, ἀλλὰ πρὸς τὴν διαίρεσιν. Τὸ γὰρ νόμιμον κεφάλαιον εἰς δύο διεῖλεν, εἴς τε τὸ παράνομον καὶ τὸ ἐναντίον τοῖς νόμοις. Οὐκοῦν ὡς πρὸς τὰ δύο μέρη τοῦτο εἶπε τρίτον· ἐπεὶ πρὸς αὐτὴν τὴν φύσιν τοῦ νομίμου κεφαλαίου πάλιν δεύτερον λέγει τὸ συμφέρον. ATCV.

734, 20. Πανταχόθεν μὲν τοίνυν] Ἄλλο εἶδος ἐπιλόγου ἀπὸ τῆς γνώμης τοῦ τεθεικότος τὸν νόμον ἐργάζεται, ἵνα τὰ τῆς συγγνώμης ἀφέληται. S.

734, 24. Οὐδὲ γὰρ οὐδ' ἄκων] Εἰ μὲν ἐκ προνοίας τέθεικεν, εἰ κατὰ ἄγνοιάν τι καλὸν ἀπὸ τύχης γράψαι· ἐπειδὴ δὲ ἐκ μελέτης, οὐδὲν ἔχει καλῶς. Τὸ γὰρ οὐδὲ ἄκων ἀναίρεσις μὲν συγγνώμης, λύσις δὲ λάθρα τοῦ δικαίου οὗ ἔχει προσφέρειν Τιμοκράτης. Οὐ φανερῶς δὲ αὐτὸ τίθησιν, ἐπειδὴ ἴσχυε ταύτῃ. TCV. Ὁ ἄκων καλόν τι ποιήσας οὐκ ἐπαινεῖται· οὐδὲ γὰρ σπουδαῖος διὰ τοῦτο λέγεται· χωρὶς γὰρ προαιρέσεως οὐκ ἔστιν ἡ ἀρετή· οὐδεὶς δὲ ἄκων πράττων ἐκ προαιρέσεως πράττει. Ὅμως εἰ Τιμοκράτης, ὁ τὸν νόμον ἐκ προαιρέσεως ἀνεπιτήδειον καὶ παράνομον τεθεικώς, εἴ τι ἐν αὐτῷ ἄκων ὀρθῶς ἔγραψεν, εἰ μὴ ἐπαίνου, ἀλλά γε συγγνώμης ἄξιος κρινέσθω. P.

734, 28. Θαυμάζω δὲ] Ἐντεῦθεν ἡ ἀπὸ τοῦ δικαίου ἀντίθεσις. Ἥτις καταγίνεται καθαρῶς εἰς τὴν καταδρομὴν τῶν περὶ τὸν Ἀνδροτίωνα, ἣν ἔφησεν ὁ Μένανδρος δευτέραν εἶναι ὑπόθεσιν. Ὅρα δὲ ὅτι πρὸ τῆς θέσεως ἡ λύσις καὶ συμπέπλεκται τῇ ἀντιθέσει τὸ ἐναντίωμα. RY.

735, 10. Ὅτι αἱ λύσεις τῆς ἀντιθέσεως τὸ δίκαιον κεφάλαιον ἔχουσιν. Οὐκοῦν φανερὰ γέγονεν ἡ διαίρεσις καὶ μάλα τηλαυγής, ὅτι τὸ μὲν ἀσύμφορον αὐτῶν κατεσκεύασται δι' ἐπιχειρημάτων δύο, τοῦ τε ἀσαφοῦς καὶ τοῦ ἀδυνάτου, μετὰ ταῦτα δὲ τέθειται ἡ ἀπὸ τοῦ δικαίου ἀντίθεσις, μᾶλλον δίκαιον φιλανθρωπεύεσθαι τοὺς ἐνδεεῖς τῶν πολιτῶν. Εἶτα ἐπῆκται τὸ δίκαιον πρὸς λύσιν τῆς ἀντιθέσεως, ὃ κεῖται ὡς κεφάλαιον προηγούμενον. Οὐκοῦν τὸ μὲν νόμιμον προηγούμενον κεφάλαιον καὶ τὸ συμφέρον, τὸ δὲ δίκαιον εἰσῆκται κατὰ τὸ ἑπόμενον πρὸς λύσιν τῆς ἀντιθέσεως. S.

735, 16. Εἰ μέν τις] Ἐντεῦθεν ἡ κατὰ τὴν λύσιν μέθοδος. Καὶ ἔστι πρῶτος τόπος οὗτος συγκριτικῶς ληφθεὶς ἀπὸ τοῦ μείζονος. RY.

Εἰ μέν τις ἀγορανόμος] Ἀπὸ συγκρίσεως ἄρχεται κατὰ ἀντεξέτασιν, τίνες μᾶλλον ἀδικοῦσι τὴν πόλιν, ἀστυνόμοι καὶ δικασταὶ κατὰ δήμους γιγνόμενοι, διὰ πενίαν καὶ ἀπαιδευσίαν καὶ ἀπειρίαν δόξαντες ἐν ταῖς εὐθύναις κεκλοφέναι, ἢ πρέσβεις αἱρεθέντες ὑπὸ τοῦ δήμου πλούσιοι, ὑφῃρημένοι ἱερὰ καὶ ὅσια χρήματα καὶ πολὺν χρόνον ἐκκεκαρπωμένοι; ἄξιον δὲ ζητῆσαι τοῦ τόπου τὸ δοκοῦν ὑφορμεῖν. Φησὶ γὰρ τοὺς μὲν πρέσβεις βοηθεῖσθαι τῷ νόμῳ, τοὺς δὲ ἀστυνόμους καὶ δικαστὰς κατὰ δήμους γενομένους μὴ βοηθεῖσθαι. Καίτοι γε, εἰ ὁ νόμος τὸν δεσμὸν ἀφίησιν, ὁμοίως τοῖς πᾶσιν ἀφίησι. Πῶς οὖν οἷόν τε τοῖς μὲν βοηθεῖν, τοῖς δὲ οὐ βοηθεῖν αὐτόν; εἰ μή τις λέγοι ὅτι οὐκ ἀφαιρεῖ τὴν δεκαπλασίαν τῶν ἀστυνόμων. Ἀλλὰ καὶ τοῦτο σαθρόν. Ποῦ τοίνυν τὸ σόφισμα; ὅτι οὐ περὶ τοῦ δεσμοῦ διαλέγεται, ἀλλὰ περὶ τοῦ πότεροι δικαιότεροί εἰσιν ἐκτιννύναι, οἱ πρέσβεις ἃ ὑφῄρηνται, ἢ οἱ ἀστυνόμοι καὶ οἱ ἀγορανόμοι τὴν δεκαπλασίαν διότι ἔκλεψαν. Οὐ περὶ τοῦ νόμου γὰρ διαλέγεται, ἀλλ' αὐτὸ καθ' ἑαυτὸ ἐξετάζει μόνον τὸ δίκαιον, τίνες δικαιότεροι καταβάλλειν εἰσίν, οἱ διὰ πενίαν κλέψαντες, ἢ οἱ πρέσβεις αἱρεθέντες καὶ πλούσιοι ὄντες, εἶτα ὑφελόμενοι. Ὃ δὲ ἄγαμαι τῆς μεθόδου, τοῦτο προσθήσω· φοβούμενος γὰρ τὴν ἀπὸ τοῦ δικαίου ἐφομαρτοῦσαν ἀπανθρωπίαν — πικροῦ γὰρ τὸ διορίζεσθαι τοὺς ἀδικοῦντας δίκην διδόναι —, οὐκ ἀπὸ τοῦ οἰκείου προσώπου τὸ κεφάλαιον λέγει, ἀλλ' ἄνω καὶ κάτω Σόλωνα θρυλεῖ· τοῦτον γὰρ ἀφ' ἑαυτοῦ τοῦτο νομοθετοῦντα πᾶς ἄν τις ὠμὸν ὑπέλαβεν εἶναι. Διόπερ ἀπὸ τῆς ποιότητος τοῦ Σόλωνος ἐργάζεται· ἀξιόπιστος γάρ ἐστιν ὁ Σόλων καὶ ἐπισημότερος. Ἔστι δ' ἀγορανόμος ὁ ἐπόπτης τῶν ὠνίων τῆς ἀγορᾶς, ἀστυνόμος δὲ ὁ ἐπὶ τοῦ εἶναι καθαρὰν τὴν πόλιν ἀσχολούμενος, ὁ παρ' ἡμῖν πατήρ. TCV.

Ἀγορανόμος] Ὁ τῆς ἀγορᾶς τῶν ὠνίων ἐπιμελούμενος, ὃν τινες καλοῦσι λογιστὴν ἢ ἔφορον. Ἀστυνόμος δ' ὁ τῶν δημοσίων ἐπιμελούμενος καὶ τοῦ καθαρὰν εἶναι τὴν πόλιν, ὃν καλοῦσί τινες πατέρα τῆς πόλεως. AR.

Ἢ δικαστὴς κατὰ δήμους γενόμενος] Ἐγίγνοντο γὰρ κατὰ δήμους, οἷον ἐν τοῖς Παιανιεῦσι καὶ ἐν ἄλλοις δήμοις, δικασταί. Ὤφειλες οὖν πρὸ τούτου, εἴπερ ᾤου δεῖν εἶναι φιλάνθρωπος, καὶ ἐπὶ τούτων θεῖναι τὸν νόμον. Ταῦτα δὲ πάντα λέγει ἀναιρῶν τὸ ἰσχυρὸν τοῦ ἐναντίου

καὶ τὸ δίκαιον, ἵνα δείξῃ αὐτὸν οὐ διὰ φιλανθρωπίαν νομοθετήσαντα, ἀλλὰ διὰ τούτους. TCV.

735, 18. Χρόνον πολὺν] Οὐχ ἁπλῶς τοῦτο λέγει, ἀλλὰ βούλεται σημᾶναι τὴν ἐνάτην πρυτανείαν, ἵνα δείξῃ αὐτοὺς διὰ τούτου χρεωστοῦντας τὰ διπλᾶ. ATCV.

735, 21. Καίτοι γ' ὁ Σόλων] Δεύτερος τόπος οὗτος ἀπὸ τοῦ ἐλάττονος. Ὁρᾷς γὰρ ὅτι περὶ ἐλαττόνων κλεμμάτων ὁ Σόλων μεγίστην τιμωρίαν ὥρισεν. RY.

Ἄλλη ἀναίρεσις τῆς φιλανθρωπίας. Ἰδοὺ γὰρ ὁ Σόλων, φιλανθρωπότερος αὐτοῦ ὢν, κολάζει τοὺς ἀδικοῦντας· οὗτος δὲ ἄφεσιν, ὡς ἐπιδείξομεν. Ἔστι δὲ ὁ τόπος οὗτος τῆς ἀπὸ τοῦ ἐλάττονος συγκρίσεως, τοῦ πρὸ τούτου ὄντος ἀπὸ τοῦ μείζονος. Οἰκεῖος δὲ τῶν τόπων ἑκάτερος. Ἐπειδὴ γὰρ περὶ ἀνδρῶν πρέσβεων κεκλοφότων ποιεῖται τὸν λόγον, ἀναγκαίως καὶ τοῖς παραδείγμασιν οἰκείοις κέχρηται. Ὁρᾷς γὰρ ἐνταῦθα ὅτι περὶ τῶν ἐλαττόνων κλεμμάτων μεγίστας τιμωρίας ὁ Σόλων ὥρισε. TCV.

735, 28. Εἰ μέν τις μεθ' ἡμέραν] Περὶ κλοπῆς. B. Μεθ' ἡμέραν λέγει ἀντὶ τοῦ ἐν ἡμέρᾳ. ATCV.

Νύκτωρ] Ἐν νυκτὶ μείζονα τὴν τιμωρίαν ἔδειξεν, ἐπειδήπερ μεῖζόν ἐστι τὸ ἔγκλημα τῆς νυκτός. Ἐν γὰρ ἡμέρᾳ δύναταί τις καὶ βοηθοὺς καλέσαι ἑαυτῷ, ἐν δὲ νυκτὶ οὐκέτι. ACDGRTV.

736, 3. Ὧν αἱ ἀπαγωγαί εἰσιν] Ἀντὶ τοῦ καθ' ὧν αἱ ἀπαγωγαί εἰσιν, ἵνα δηλώσῃ τῶν ὑπὲρ τῶν πεντήκοντα δραχμῶν· οἱ γὰρ κλέπτοντες ἧττονα τῶν πεντήκοντα δραχμῶν ἧττονα ἔπασχον. ACDGRTV.

736, 6. Ἐκ Λυκείου] Τρία ταῦτα γυμνάσια παρὰ τοῖς Ἀθηναίοις. Ἦν δὲ καὶ ἱερὰ, ἐπὶ μὲν τοῦ Λυκείου λυκοκτόνου Ἀπόλλωνος, ἐπὶ δὲ τοῦ Κυνοσάργους τοῦ Ἡρακλέους, ἐπὶ δὲ τῆς Ἀκαδημείας αὐτοῦ τοῦ Ἀκαδήμου τοῦ ἥρωος, ἐξ οὗ καὶ ὁ τόπος ἐκλήθη. Ἐκλήθησαν δὲ οὕτως διὰ τοιαύτας αἰτίας. Ἡ μὲν Ἀκαδήμεια ἀπὸ ἥρωός τινος Ἀκαδήμου κτίσαντος τὸν τόπον, ἔνθα καὶ διατριβὴν εἶχεν ὁ Πλάτων. Ὁ δὲ τόνος τῆς εὐθείας τῆς Ἀκαδημείας προπαροξύνεται, ἐπειδὴ καὶ ἡ εὐθεῖα τοῦ Ἀκαδήμου, ἐξ οὗ ἐκλήθη, προπαροξύνεται. Τὸ δὲ Κυνόσαργες ἀπὸ τοῦ ποτε θυόντων τῷ Ἡρακλεῖ κύνα λευκὸν ἁρπάξαι τὰ μηρία τοῦ ἱερείου καὶ ἀποθέσθαι αὐτὰ εἰς τὸν τόπον τοῦτον, ἔνθα ἐστὶ τὸ γυμνάσιον. Ἡ δὲ εὐθεῖα τὸ Κυνόσαργες καὶ αὐτὴ προπαροξύνεται· ἡ σύνθεσις γὰρ πάλιν ἀνέπεμψε τὸν τόνον. Τὸ δὲ Λύκειον λυκοκτόνου Ἀπόλλωνος, ἢ ὅτι νόμιος ὁ θεὸς νομίζεται ἀπὸ τοῦ θητεῦσαι Ἀδμήτῳ καὶ ἀνάγκη ἦν ἀνελεῖν ὡς νόμιον τοὺς λύκους τοὺς ἐχθροὺς ὄντας ταῖς ποίμναις. Ἢ ὅτι λύκων ποτὲ ἐπελθόντων τῇ πόλει τῇ τῶν Ἀθηναίων καὶ πολλοὺς αὐτῶν ἀναιρούντων ἔχρησεν ὁ θεὸς θύειν μάλιστα ἐν τῷ τόπῳ, καὶ λοιπὸν ἐκ τῆς ὀσμῆς ἀπώλλυντο οἱ λύκοι, καὶ ἐκ τούτου χάριν ὁμολογοῦντες οἱ Ἀθηναῖοι τῷ Ἀπόλλωνι ἱερὸν ἐκεῖσε αὐτοῦ κατεστήσαντο, καλέσαντες αὐτὸ λυκοκτόνου Ἀπόλλωνος. ACDGRTV.

736, 7. Ληκύθιον] Ἀγγεῖον, ὅπερ οἱ ποιμένες ἐγκρεμῶσι τῇ ζώνῃ. B.

736, 21. Ἀλλὰ ταῦτα μὲν διπλάσια] Ἀπὸ κοινοῦ ᾤετο δεῖν. P.

736, 29. Καίτοι ἔγωγ' ᾤμην] Τρίτος οὗτος τόπος ἀπὸ τοῦ τρόπου κατὰ τὸ ἐναντίον. Ὁρᾷς γὰρ ὅτι περὶ τρόπου διαλέγεται ὅπως ἐχρῆν αὐτὸν νενομοθετηκέναι. RYTCV.

737, 16. Καίτοι, ὦ Τιμόκρατες] Τέταρτος τόπος οὗτος ἀπὸ τοῦ ἴσου κατὰ τὴν ἀξίαν· ἐνταῦθα γὰρ περὶ ἰσότητος καὶ τῆς κατ' ἀξίαν ἑκάστου τιμωρίας ποιεῖται τὸν λόγον. RYTCV.

737, 25. Τοῖς λείπουσι τὰς τάξεις] Ὅτι λιποτάκτης οὐ λέγεται. A.

Οὐ γὰρ δὴ ἐρεῖ γε] Ἀντιπίπτοντος λύσις. Ἔλεγον γὰρ πολλάκις ὅτι οὐχ οὕτω δεῖ κολάζειν σφοδρῶς, ἀλλ' ἠπιώτερον. Λύει δὲ αὐτὸ, οὐ πάντως δὲ τοῦτο ἔφασκεν, ἀλλ' ὡς αὐτὸς βούλεται, οὕτως εἰσάγει. Σημείωσαι δὲ ἐν τῷ, « τοῖς λιποῦσι τὰς τάξεις, » φασὶν οἱ παλαιοὶ ὅτι λιποτάκτης συνθέτως οὐ λέγεται· ἢ γὰρ ἂν ἔλεγεν οὕτως. TCV.

738, 8. Διαφέρει δὲ] Τὸ διαφέρει ἀντὶ τοῦ ὑπερβάλλει· καίτοι οὔτε ἔκλεψας οὔτε ἱεροσύλησας. Ἀλλὰ ὁριστικῶς τοῦτο ποιεῖ· αὐτὸς γὰρ τοῦτο φάσκει ἱεροσυλίας, τὸ μὴ δοῦναι τὰ χρήματα τῆς θεοῦ. RY. Τὸ διαφέρει ὑπερβάλλει· δεινότερον γὰρ ἀποφαίνει. Τινὲς καὶ ἐπὶ τῆς διαφορᾶς τὸ διαλλάττειν. Καίτοι γε οὔτε ἔκλεψαν οὔτε ἱεροσύλησαν, ἀλλὰ ὁριστικῶς τοῦτο ποιεῖται. Αὐτὸς γὰρ τοῦτο φάσκει ἱεροσυλίαν, τὸ μὴ δοῦναι τὰ χρήματα τῆς θεοῦ. Τὸ μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς, τὸ δὲ ἀπὸ τοῦ τέλους γίνεται. Ὁ μὲν οὖν ἐκ τοῦ ἱεροῦ, ἀπὸ τοῦ τέλους ποιεῖ· ὁ δὲ μὴ ἀφεὶς ὅλως, ἀπὸ τῆς ἀρχῆς. TCV.

738, 10. Οἶμαι δὲ, νὴ τὸν Δία] Ἄλλος τόπος πρῶτος ἀπὸ τοῦ μείζονος· ᾧ καὶ τόπος ἕτερος ἐπηκολούθησεν ἀπὸ τοῦ ἐλάττονος. Ἀντακολουθοῦσι γὰρ ἀλλήλοις οἱ τόποι· τοῦ δὲ λέγοντος κρίνειν ἐστὶ περὶ τῆς τάξεως. RY.

738, 11. Οὐκ ἀπὸ ταυτομάτου] Εἴποι ἄν τις· οὐκοῦν οὐκ ἄξιοι ἐγκλήματος οἱ περὶ τὸν Ἀνδροτίωνα, εἴ γε οὐχ οὗτοι αἴτιοι, ἀλλ' ἡ θεός. Λέγομεν ὅτι τοῦ τοιούτου πρῶτος ἡμῖν Ὅμηρος γεγένηται, εἶτα Πλάτων, διδάσκοντες ἡμᾶς ὅτι ἐπειδὰν ὁρῶσιν οἱ θεοί τινα πονηρὸν, ἐμβάλλουσιν αὐτῷ τοιαύτην τινὰ ἐπιθυμίαν, πρὸς τὸ δι' αὐτῆς δοῦναι τὴν τιμωρίαν ὑπὲρ ὧν ποιῶν ἐλάνθανεν· ὥσπερ τὸν Πάνδαρον ἐπίορκον ὄντα ἀνέπεισεν ἡ Ἀθηνᾶ παρασπονδῆσαι, ὅθεν καὶ κατὰ τῆς γλώττης τέτρωται. ACDGRTV.

738, 14. Ἀκρωτήρια] Ἀκρωτήρια τῆς Νίκης τῶν πτερῶν τὰ ἄκρα· ἢ αὐτὰς τὰς πτέρυγας· νίκην δὲ τὴν Ἀθηνᾶν ὠνόμαζον οἱ παλαιοί. RY. Ἀκρωτήρια λέγει οἱονεὶ τὰ πτερά· οὕτω γὰρ γράφεται ἡ Νίκη. Τινὲς δὲ ἐξηγοῦνται, Νίκης Ἀθηνᾶς εἶναι ἄγαλμα ἐν τῇ ἀκροπόλει. Ταύτης δὲ τὰς πτέρυγας χρυσᾶς οὔσας ἐπεχείρησάν τινες κακοῦργοι ἀφελέσθαι, καὶ ἀπώλοντο αὐτοὶ ὑφ' ἑαυτῶν οἱ κακοῦργοι στασιάζοντες πρὸς αὐτοὺς τίς πλέον λάβοι ἀπὸ τῆς κλοπῆς, ἐμβαλούσης αὐτοῖς τοῦτο τῆς Ἀθηνᾶς, ἤλεγξαν ἑαυτούς. Ἄλλοι δέ φασιν, ἕκαστος τῶν κακούργων ἐφιλονείκει τὸ πλέον λαβεῖν· οἱ μὲν γὰρ αὐτῶν ἔλεγον αὐτοῖς προσήκειν τὸ πλέον λαβεῖν, ὅτι αὐτοὶ τοὺς ἑτέρους ἐβάσταξαν πρὸς τὸ εἰσελθεῖν ἐν τῷ ἱερῷ, οἱ δὲ ἔλεγον· ἀλλ' ἡμεῖς εἰσελθόντες πλείονι κινδύνῳ ἐξηταζόμεθα· ἡμᾶς γὰρ δέος ἦν ἔνδον ὄντας μᾶλλον ἁλῶναι ἤπερ ὑμᾶς τοὺς ἔξω. ACDGRTV.

738, 18. Βούλομαι δ' ὑμῖν] Οὗτος ὁ τόπος ἀπὸ τοῦ ἐλάττονος· καὶ οἱ μὲν πρῶτοι τέσσαρες τόποι κατὰ Τιμοκράτους εἰσὶ τοῦ νομοθέτου, ὁ δὲ μετ' αὐτοὺς ἑξῆς πάλιν ἀπὸ τοῦ μείζονος κατὰ Ἀνδροτίωνος. Οὗτος δὲ ὁ νῦν ῥηθεὶς ἀπὸ τοῦ ἐλάττονος κατὰ Τιμοκράτους. Καὶ ὁ μὲν κατὰ Ἀνδροτίωνος, ὅτι μέγιστα τετόλμηκεν, ὁ δὲ κατὰ Τιμοκράτους, ὅτι πικρότατα μὲν κατὰ τῶν τελωνῶν γέγραφε, κατὰ δὲ τῶν μέγιστα ἠδικηκότων τιμωρίας οὐ γέγραφε. RY.

Ὡς ἐν προοιμίῳ ἐπεσημήνατο αὐτὸν ἐμβαλεῖν εἰς τοῦτο. Αἱ αὐξήσεις δὲ ὁμοίως ἐκ τοῦ αὐτοῦ. Προσποιεῖται δὲ ἀποσχεδιάζειν, ἵνα μὴ δόξῃ ἐσκεμμένως αὐτὰ λέγειν. Παραλιπόντι δὲ ἡ βελτίων γραφή· ὃ παραλέλειπταί μοι, ὅπως ἂν δόξῃ διὰ τὸ μέγεθος λέγειν καὶ μὴ παραλιμπάνειν τηλικοῦτο πρᾶγμα. TCV.

Πάλιν αἱ προσποιήσεις αὗται ῥητορικαί εἰσιν, προσποιεῖσθαι ἐν τῷ μεταξὺ αὐτοσχεδιάζειν, ἵνα φύγῃ τὴν τῆς πανουργίας ὑποψίαν. AR.

738, 28. Καίτοι εἰ μὲν ἐλάττω] Ἀντιπῖπτον ὡς ἐν ὑποθέσει, ἀλλ' ἧττον ἀδικοῦσιν. Οὐκοῦν καὶ μαίνεσθαι ὁμολογήσεις. TCV.

739, 3. Ἄξιον τοίνυν] Ἔστι καὶ οὗτος ὁ τόπος ὁμοίως κατ' Ἀνδροτίωνος, ἀναμιμνήσκων ὧν ἐτόλμα τὰς εἰσπράξεις ποιούμενος. TCV.

Τρίτος οὗτος τόπος ἀπὸ τοῦ ἐναντίου. Ὅτι γὰρ οὐ τὰ αὐτὰ φρονοῦσι τῷ δήμῳ οἱ ῥήτορες, ἀλλὰ τἀναντία, συνίστησι· μάχεται δὲ πρὸς τὰς δύο ἀντιθέσεις διὰ τούτου μάλιστα τοῦ τόπου, τῇ τε ἀπὸ τοῦ δικαίου καὶ τοῦ συμφέροντος. Ἐπειδὴ γὰρ τούτῳ κέχρηται Τιμοκράτης τῷ λόγῳ φάσκων ὑπὲρ τῶν ἀδυνάτων καὶ πολλῶν γεγραφέναι, προκαταλαμβάνει ἐπαίνοις τὸν ἀκροατὴν καὶ θαυμάζει τὴν καρτερίαν καὶ τὴν μεγαλοφροσύνην αὐτῶν, ὅτι οὐκ ἄχθονται ἐπὶ τοῖς κατ' αὐτῶν ὡρισμένοις κολαστηρίοις, μόνον οὐκ ἐνάγων τὸν ἀκροατὴν φιλοτιμούμενον ἐπὶ τῇ μεγαλοφροσύνῃ· καὶ ἐπάνεισι πρὸς Τιμοκράτην, συνεθίζων πάλιν τὸν ἀκροατὴν ὅτι οὐχ ὑπὲρ τῶν πολλῶν ὁ νόμος, ἀλλ' ὑπὲρ τῶν πρέσβεων. Ἔστι δὲ καὶ οὗτος ὁ τόπος κατὰ Ἀνδροτίωνος. Εἶτα ἐπάγει λέγων « καὶ προπηλακίζουσιν ὑμᾶς ἰδίᾳ τοῖς λόγοις, » ταῦτα αἰνιττόμενος πρὸς Ἀνδροτίωνα καὶ ἀναμιμνήσκων ὧν ἐτόλμα τὰς εἰσπράξεις ποιούμενος. Τὸ δὲ διχόθεν μισθοφορῆσαι σημαίνει, ἐάν τις λαχὼν δικάζειν ὑπὲρ δύο δικαστηρίων μισθοφορήσῃ. Ἔστι γὰρ ὅτε λαχών τις δικάζειν ἀφικνεῖται πρὸς τὸν [τὸν] μισθὸν διανέμοντα, καὶ παρὰ μὲν τοῦ δεῖνος λαμβάνει ὡς εἰς τὴν ἡλιαίαν κεκληρωμένος, παρὰ δὲ τοῦ δεῖνος ὡς εἰς τὸ τρίγωνον. RY.

739, 6. Ἐάν τις ἢ διχόθεν] Ἐκ δύο τεχνῶν, ἢ ἐκ δύο δικαστηρίων· συνέβαινε γὰρ δύο γίνεσθαι ἐν τῇ αὐτῇ ἡμέρᾳ. Ἵνα οὖν μὴ ᾖ ὥσπερ ἐργασία, κωλύει τοῦτο. Δύο τέχνας μετιέναι πάλιν κωλύει, διὰ τὸ μηδεμίαν κατορθοῦν ἐν τῷ τὴν γνώμην μερίζεσθαι. TCV.

Ἐκκλησιάζῃ] Ἀντὶ τοῦ εἰσέρχηταί τις ἐκ τῶν πενήτων ἄτιμος γενόμενος ἐν τῇ ἐκκλησίᾳ, λαβεῖν βουλόμενος χρήματα ὡς ἐκκλησιάζων. ACDGRTV.

739, 12. Οὗτοι δ'] Ἀντὶ τοῦ οἱ ῥήτορες οἱ περὶ τὸν Τιμοκράτην. Ὅρα δὲ πῶς ἐνταῦθα δηλοῖ ὅτι ἰδιώτης ἐστὶν ὁ Διόδωρος, διότι τῶν ῥητόρων ἐνταῦθα κατατρέχει· οὐ γὰρ ἂν ὁ Δημοσθένης ταῦτα ἔλεγεν. ACDGRTV.

739, 24. Ἀλλὰ νὴ Δί'] Κατ' ἐρώτησιν· ἔστι δὲ ἀνθυποφορὰ ἐκ τοῦ ἀπρεποῦς. ATCV.

Ἀλλὰ νὴ Δία αἰσχρὸν] Τόπος τέταρτος ἀπὸ τοῦ ἴσου, τὴν μὲν γένεσιν ἔχων ἀπὸ τοῦ αἰσχροῦ καὶ τοῦ ἀδόξου, κατασκευαζόμενος δὲ τῷ ἴσῳ. Ὅμοιον γὰρ καὶ ἴσον ἐστὶ δεθῆναι καὶ τοῦτον καὶ τὸν αὐτοῦ πατέρα. Προσεκτέον δὲ πανταχοῦ τῷ κεφαλαίῳ τῷ δικαίῳ, ὅτι κατὰ τῶν πρέσβεων προενήνεκται, ἵνα μὴ δοκῇ προσκρούειν πρὸς ἅπαντας, λέγων δεῖν πικροὺς τίθεσθαι τοὺς νόμους κατὰ τῶν ὀφειλόντων. Οὐ μόνον δὲ τὸ κατὰ Ἀνδροτίωνος, ἀλλὰ καὶ τὸ κατὰ Γλαυκέτην καὶ Μελάνωπον τοῦ αὐτοῦ ἂν εἴη τόπου. Κατασκευάζει γὰρ διὰ τούτων ὅτι ἄξιοι τῶν δεσμῶν καθ' ὧν τετολμήκασιν. Εἶτα ἐπειδήπερ ἀντέπιπτεν ἀπὸ τῆς τῶν προσώπων ποιότητος ὥσπερ ἀνθυποφορά τις, ἐπάγει λύσεις ἰσχυροτέρας, ὅτι πολλοὶ πολλάκις ἐδέθησαν τούτων οὐ χείρονες. RY.

740, 1. Πολλὰς πεντετηρίδας] Οὐχ ἁπλῶς τοῦτο εἶπεν, ἀλλ' ἐπειδὴ κατὰ πέντε ἔτη ἤγετο τὰ Παναθήναια, τότε δὲ ἐξῆν ἀφεῖσθαι τοῦ δεσμοῦ τοὺς δεσμώτας διὰ τὴν πανήγυριν, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Ἀνδροτίωνος. Δέον δὲ εἰπεῖν πεντετηρίδα, εἶπε πληθυντικῶς ἐπὶ τὸ ἐπαχθέστερον φέρων τὸν λόγον. ACDGRTV.

740, 4. Τὰ ἐν τῇ ἡλικίᾳ] Ἤγουν τὰ ἐν τῇ νεότητι, ἵνα πάλιν σκώψῃ αὐτὸν εἰς κιναιδίαν. ATCV.

740, 11. Οὐδ' εἰ πάνυ πολλὰ ἔχω περὶ κλοπῆς λέγειν] Τῷ κατὰ παράλειψιν σχήματι κέχρηται· ὅπου γὰρ εἰπεῖν οὐδὲν ἔχομεν, δεῖ μόνον αἰνίττεσθαι. TCV.

740, 15. Καὶ συνέδρου] Σύνεδροι λέγονται οἱ συνεδρεύοντες ἀντὶ τῆς πόλεως ἐν ἄλλαις πόλεσι καὶ αὐτῆς τὰ δίκαια λέγοντες· αὐτὸς οὖν σύνεδρος γενόμενος προδέδωκε τὰ δίκαια, χρήματα λαβών· ἐν δὲ τούτων ἡ προδοσία. RY.

740, 17. Ἀπίτισε] ὑπερβὰς τὴν προθεσμίαν. V.

740, 18. Εἰς Αἴγυπτον] Περὶ τῆς οὐσίας φιλονεικήσας ὅτι ἀπέστη βασιλέως Αἰγυπτος. Λέγει δὲ ὅτι ἐπρέσβευσεν οὐκ ἐφ' οἷς ἐπέμφθη. RY.

740, 25. Εἰς Δεκέλειαν αὐτομολήσας] Ἔοικεν οὗτος αἰχμάλωτος ὑπὸ τῶν ἐν Δεκελείᾳ Πελοποννησίων γεγενῆσθαι· εἰ γὰρ ἦν αὐτομολήσας, οὐκ ἂν ἔζησεν ὑπ' Ἀθηναίων ὕστερον ἐπανελθών. Ὁ δὲ ῥήτωρ πάλιν ὡς κατήγορος τὸ ἐκ τύχης συμβὰν εἰς τὴν προαίρεσιν αὐτοῦ ἀνάγει. BR.

Εἰς Δεκέλειαν] Δεῖ νοῆσαι τοῦτον πάνυ γεραίτατον, εἴ γε λέγει αὐτὸν γεγενῆσθαι ἐν τῷ τέλει τοῦ Πελοποννησιακοῦ πολέμου καὶ νῦν ζῆν ἐν τοῖς Φιλιππικοῖς χρόνοις. AR.

Παίδων καὶ γυναικῶν] Ἰστέον ὅτι βουλόμενος βιαιότερον ποιῆσαι τὸν λόγον τοῦτο εἶπεν· ὡμολογημένον γὰρ ἐστιν ὅτι καὶ τὰ τῶν παίδων καὶ τὰ τῶν γυναικῶν αὐτῶν ἦν πάλιν· ἀλλ' ἵνα τὴν ἁρπαγὴν αὐτοῦ δηλώσῃ, τοῦτο εἶπε. Δεῖ δὲ λαβεῖν κατὰ πάντων τούτων κοινὸν τὸ οὗτός ἐστιν. AR.

741, 1. Τῷ ἁρμοστῇ κατατιθεὶς] Ἁρμοστῇ τῷ ἄρχοντι τῶν Λακεδαιμονίων. Ἡ δὲ Δεκέλεια χωρίον τῆς Ἀττικῆς, ὅπερ ἐτείχισαν οἱ Λακεδαιμόνιοι κατὰ τῆς πόλεως. Πολλοὶ οὖν ηὐτομόλουν, ὅσοι ἦσαν τῆς ἐκείνων γνώμης. Γέροντα δὲ αὐτὸν πάνυ λέγει· περὶ γὰρ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου γέγονε τοῦτο. Ἁρμοστὴς δὲ λέγεται παρὰ τὸ ἁρμόττειν τὰ ἤθη τῶν ὑποκειμένων πόλεων πρὸς τὴν πολιτείαν τῶν Λακεδαιμονίων. RY.

Ἁρμοστῇ] Τῷ Λακωνικῷ ἄρχοντι τῷ ὄντι ἐκεῖσε. Ὅτι οἱ ἐν τῇ Δεκελείᾳ ἁρμοσταὶ συνεχώρουν τοὺς αὐτῶν στρατιώτας λαμβάνειν ὧν κλέπτουσι παρὰ τῶν Ἀθηναίων τὰ ἐννέα μέρη καὶ αὐτοῖς καταβάλλειν μόνον τὸ δέκατον, ὅ ἐστι τῇ πόλει τῶν Λακεδαιμονίων, ἵνα διὰ τούτων καὶ πολλοὺς παροξύνωσι καὶ προθύμως δῃοῦν καὶ συλᾶν τὰ τῶν Ἀθηναίων. AR.

Τούτων ἀκριβῶς] Ἀντὶ τοῦ ὑπὲρ ὧν ἐσύλα ἐξ ὑμῶν. ACDGRTV.

Ἀκριβῶς] Οὐ ψευδόμενος. Y.

741, 2. Ἀποστερῶν — τῶν ὑμετέρων πολεμίων] Τῶν Αἰγυπτίων, ὧν καὶ τὰ χρήματα ἦν· εἶπε γὰρ ἄνω· ἀπεψηφίσασθε μὴ φίλον εἶναι. RY.

741, 6. Τόν τε δίφρον] Ἐπὶ τούτου καθίζετο ὁ Ξέρξης

ἐν τῷ Αἰγιάλεῳ ὄρει τῆς Ἀττικῆς, θεωρῶν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. ACDGRTV.

Ἀκινάκην] Ὄνομα ξίφους Περσικοῦ. ACDGRTV.

741, 7. Δαρεικοὺς] Ὄνομα νομίσματος παρὰ τοῖς Πέρσαις.

741, 9. Ἀλλὰ τἄλλα οὐ βίαιος] Πληρώσας τοὺς κατὰ τῶν προσώπων τόπους ἐπάγει ἐννόημα ὡς ἂν εἴποι τις ἐπιλογικόν. Y.

741, 15. Ἐγὼ μὲν γὰρ οἶμαι οὐδὲν] Πάλιν ἐνταῦθα εἰπὼν τὸν μὲν οὐκ ἐπήγαγε, τὸν δὲ, διὰ τὸ ὡμολογημένον εἶναι ὅπερ ἔμελλεν ἐπιφέρειν. Ἔμελλε γὰρ ἐπάγειν; νομίζω δὲ καὶ ὑμῖν τοῦτο συνδοκεῖν. Τὸ « ἐγὼ μὲν γὰρ οἶμαι οὐδὲν » πρὸς τὸ ἄνω ἐστὶ, πρὸς τὸ « τί κωλύσει « ἅπαντας εἶναι πονηρούς; » ACDGRTV..

741, 19. Οὐδὲ γὰρ οἱ τῆς ξενίας] Πολλοὶ γὰρ ἔσθ' ὅτε ξένοι ὄντες ἐνεγράφοντο αὐτοὺς ὡς πολίτας παρὰ γνώμην τῶν Ἀθηναίων, καὶ ἦν γραφὴ ξενίας. RY. Εἴ τις ἥλω παρὰ τοῖς Ἀθηναίοις ὑποκρινόμενος εἶναι πολίτης, μὴ ὢν Ἀθηναῖος κατὰ τὸ ἀληθὲς, καὶ τὰ αὐτὰ ποιῶν τοῖς πολίταις, πρὸ μὲν κρίσεως ᾤκει τὸ δεσμωτήριον, ἁλοὺς δὲ ἐν τῇ κρίσει ὕστερον ἐπωλεῖτο. ACDGRTV.

741, 20 Τῶν ψευδομαρτυριῶν] Εἰώθασι γὰρ καὶ μάρτυρας παρέχειν οἱ κατήγοροι· πολλάκις δὲ καὶ κατ' ἔχθραν τοῦτο ποιοῦσι καὶ συκοφάντας παρέχουσι. RY.

741, 26. Καίτοι] Λύσις ἀντιπίπτοντος. S.

742, 15. Τῶν ἐκ Πειραιῶς] Τῶν βουλομένων δημοκρατεῖσθαι τὴν πόλιν. Οἱ γὰρ δημοτικοὶ κατέλαβον τὸν Πειραιᾶ τῶν τριάκοντα κατασχόντων τὴν πόλιν. Ἡ δὲ Φυλὴ τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος. RY. Ὃ ἐστι τῶν δημοτικῶν τῶν φυγόντων τὴν πόλιν ἐπὶ τῶν τριάκοντα καὶ καταλαβόντων Φυλήν. ATCV.

742, 16. Ἔπειτα] Τόν τε Ἀγύρριον καὶ Φιλέψιον ὁ Ἀριστοφάνης ὡς ἐχθροὺς αὐτοῦ σκώπτει ἐν τῷ Πλούτῳ. ACDGRTV.

742, 23. Καλλίστρατος] Οὗτός ἐστιν ὁ ῥήτωρ, οὗ ζηλωτὴς ἐγένετο ὁ Δημοσθένης, περὶ οὗ ἔφη ἐρωτηθεὶς ὁ Δημοσθένης, τίς ἀμείνων ῥήτωρ, σὺ ἢ Καλλίστρατος; ἐγὼ μὲν γραφόμενος, Καλλίστρατος δὲ ἀκουόμενος. Ἦν γὰρ ἐπιδεικτικὸς σφόδρα ὁ Καλλίστρατος. Ὅθεν καὶ ἀκούσας αὐτοῦ ἐπιδεικνυμένου ὁ Δημοσθένης εἰς ἐπιθυμίαν ἦλθε λόγων, ὡς εἰρήκαμεν ἐν τῷ βίῳ αὐτοῦ. ACDGRTV.

743, 1. Ταμίαι] Οἱ μὲν φασὶν ὅτι ἔκλεψαν ἀπὸ τῶν χρημάτων αὐτοὶ, οἱ δ' ὅτι τὰ χρήματα τῆς πόλεως κείμενα ἐν τῷ ὀπισθοδόμῳ καλουμένῳ τισὶ δανεῖσαι τραπεζίταις τοὺς ταμίας. Ἀπορησάντων οὖν τῶν τραπεζιτῶν εἰς ἀπορίαν ἐλθόντες οἱ ταμίαι ἐνέπρησαν τὸν τόπον, ἵνα τῷ πυρὶ τὴν ἀπώλειαν λογίσωνται. Καὶ οὗτοι οὖν ἐδεσμεύθησαν ἕως ὅτε ἐκρίθησαν καὶ οἱ τῶν ἄλλων θεῶν. Καὶ οὗτοι γὰρ οἱ ταμίαι συνεσχέθησαν, μή ποτε αὐτοὶ ἐνέπρησαν. Ἦν δὲ ὁ ὀπισθόδομος τὸ ὄπισθεν τῆς θεοῦ, ὅπου ἦν καὶ τὰ χρήματα. RY. Ἰστέον ὅτι χρήματα καὶ τῶν ἄλλων ἱερῶν τῶν θεῶν καὶ τῆς Ἀθηνᾶς ἔκειτο ἔν τινι οἰκήματι ὀπίσω τῆς ἀκροπόλεως, τῷ καλουμένῳ ὀπισθοδόμῳ, καὶ ἦσάν τινες τεταγμένοι ταμίαι ἐπὶ τῇ φυλακῇ τούτων. Ποτὲ οὖν πολλῶν χρημάτων ἀνενεχθέντων ἐκεῖσε ἔδοξε τοῖς ταμίαις ὥστε λάθρα τῆς πόλεως δανεῖσαι ταῦτα τοῖς τραπεζίταις, ἵν' αὐτοὶ κερδάνωσιν ἐκ τούτου. Ὡς δὲ τοῦτο ἐποίησαν, ἔτυχεν ὕστερον ἀνατραπῆναι τὰς τραπέζας. Ἔδοξεν οὖν αὐτοῖς ἐμπρῆσαι τὸν ὀπισθόδομον, ἵνα δόξῃ τὰ χρήματα ὑπὸ τοῦ πυρὸς ἀναλωθῆναι καὶ μὴ ὑπ' αὐτῶν. ATCV.

743, 4. Καὶ οἱ περὶ τὸν σῖτον ἀδικεῖν] Οἷον ὥσπερ οἱ παρὰ Λεύκωνος. Εἶχον ἀτέλειαν οἱ σιτηγοῦντες Ἀθήναζε. Ἀπήρχοντο πολλάκις ἀλλαχοῦ καὶ ἐπώλουν αὐτόν. Καὶ οὗτοι οὖν δίκας ἐδίδοσαν. Νόμος γὰρ ἦν ἀπείργων μὴ ἀλλαχοῦ σιτηγεῖν εἰ μὴ εἰς Ἀθήνας. Y.

Καὶ οἱ περὶ τὸν σῖτον] Ἐξηγοῦνται περὶ ἐμπόρων τινῶν Ἀθηναίων, ὅτι ἥλωσαν σιτηγοῦντες εἰς ἄλλον λιμένα παρὰ τὸν τῶν Ἀθηναίων νόμον. Νόμος δὲ ἦν παρὰ Ἀθηναίοις τιμωρεῖσθαι τὸν Ἀθηναῖον ναύκληρον σιτηγοῦντα ἀλλαχοῦ, ἐπειδὴ λεπτόγεως ἦν ἡ Ἀττική. ACDGRTV.

743, 10. Διὰ τοὺς ἑαλωκότας] Ἐκεῖνοι μὲν ἐν αἰτιάσει ὄντες ἐδέθησαν, οὗτοι δὲ ἑαλωκότες οὐ σωθήσονται. RY.

743. 15. Μὴ τοίνυν ἐάσητε] Ἄλλον τόπον ἐπάγει κατὰ τοῦ νομοθέτου ἐκ παραδείγματος. Καὶ ὥσπερ παραδειγμάτων τὴν ἀνθυποφορὰν ἔλυσε τῶν παλαιῶν ἐκείνων ἀνδρῶν ποιησάμενος μνήμην, οὕτω κἀνταῦθα κατὰ τοῦ νομοθέτου ἐν τῷ αὐτῷ κεφαλαίῳ τῷ δικαίῳ κατηγορίαν ποιεῖται, τῇ μὲν τέχνῃ ἐπιλογικὴν τοῦ κεφαλαίου, τῇ δὲ ἀληθείᾳ καὶ αὐτὴν οὐδὲν ἧττον ἀγωνιστικήν. RY.

743, 16. Ἀλλὰ μνησθέντες ὅτι Εὔδημον] Συνάπτει τὸν κατὰ τοῦ νομοθέτου τόπον ἐκ παραδείγματος· καὶ ἔστιν ἐπιφορικώτερος ὁ λόγος μετὰ τὸ δίκαιον κεφάλαιον. Τὸ δ' « ἐνθυμήθητε τί ποτ' ἂν » καθ' ὑπόθεσιν ἡ ἔννοια. Βούλεται γὰρ ἐκ τῶν ἤδη γεγονότων δίκας αὐτὸν εἰσπράξασθαι. TCV.

743, 21. Ἀντιτιμωμένου] Ἤδη ἔγνωμεν ὅτι ἐν τῷ λόγῳ τῆς τιμωρίας προσετίμα ὁ διώκων, εἶτα ἐξῆν τῷ φεύγοντι ἀντιτιμῆσαι αὐτῷ ὅτι τοῦδέ εἰμι ἄξιος. Λοιπὸν παρὰ τῷ δικαστῇ ἦν ἡ κρίσις τοῦ ἀνασχέσθαι ἢ οὔ. ACD GRTV.

743, 23. Ἐκεῖνο] Καθ' ὑπόθεσιν ἔννοια· βούλεται γὰρ ἐκ τῶν ἤδη γεγονότων δίκας αὐτὸν εἰσπράξασθαι. A.

743, 25. Εἴ οὗτος εἷς ὢν ἐπρέσβευσεν.] Ὁ Τιμοκράτης· εἰ γὰρ ἐνταῦθα τοιαῦτα δρᾶν ἐπεχείρησε, τί ἂν ἐποίησεν, εἰ μόνος ἐπρέσβευσεν; RY.

743, 28. Βούλονται δ' ὑμῖν] Παραδιήγησις. B. Οἱ ἐπίλογοι. AC. Ἐπιλογικὸν παράδειγμα. S.

744, 5. Ὥστε ἄν τις βούληται] Εὖ γε τῆς ἀκριβείας. B.

744, 9. Ἐπισπασθέντος] Ἐφελκυσθέντος. BY.

744, 22. Καὶ τοῦτον μόνον λέγονται] Πάνυ εὔλογος καὶ δίκαιος ἦν οὗτος ὁ νόμος· ὄντος γὰρ τοῦ ἀγαπητοῦ ὀφθαλμοῦ τῷ ἔχοντι ἀντὶ δυοῖν, ὁ αὐτὸν ἀποβάλλων δύο ἀποβάλλειν φαίνεται. P.

745, 4. Οὐκ ἂν φθάνοι] Ἀντὶ τοῦ τάχιστα δουλεύσοι τοῖς θηρίοις τούτοις τὸ πλῆθος. Y.

745, 9. Ἵνα δὲ καὶ περὶ ἐκείνου] Ἐπιλογισάμενος τὸ δίκαιον κεφάλαιον, διὰ τῶν τόπων τῶν κατὰ τοῦ νομοθέτου, προδιαβαλὼν, ἵνα μηδὲ ἀξιόπιστος γένηται τῇ ἀντιθέσει χρώμενος, ἐπάγει λοιπὸν τὴν ἀπὸ τοῦ νομίμου ἀντίθεσιν μετὰ τὴν διαβολὴν, περὶ ἧς ἤδη καὶ προοιμιάζεται « ἵνα δὲ καὶ περὶ ἐκείνου εἴπω τοῦ νόμου » καὶ τὰ ἑξῆς. Παρατηρητέον δὲ τὸ θεώρημα, ὅτι, ἂν εὐλαβῆται τινὰς ἀντιθέσεις ὡς ἰσχυρὰς, τότε τάττει μὲν αὐτὰς τελευταίας, ὡς παρὰ φαῦλον τὸ κατ' αὐτὰς ποιούμενος, τῇ ἀμελείᾳ δὲ καὶ τῷ καιρῷ τῆς θέσεως ἐνδείκνυται δῆθεν αὐτῶν τὴν ἀσθένειαν. Καὶ οὐ τοῦτο ποιεῖ μόνον, ἀλλὰ καὶ τῷ τῆς ἀπαγγελίας σχήματι τὴν ὀλιγωρίαν καὶ καταφρόνησιν αὐτῶν ὁμοίως ἐμφανῆ καθίστησιν. Καθαιρεῖν γάρ πως εἴωθε καὶ τοῖς σχήμασιν. Ὅρα δὲ ὅπως· « ἵνα δὲ καὶ « περὶ ἐκείνου εἴπω τοῦ νόμου, » ὡς παρέργου τινὸς μεμ-

νημένος καὶ τὸ ἐκ περιουσίας ἐμφανίζων. Ἔστι δὲ ἡ ἀντίθεσις ἀπὸ τοῦ νομίμου κεφαλαίου· ἣν εἰ μὲν ἔθηκεν ἐν τῷ νομίμῳ κεφαλαίῳ, καθεῖλεν ἂν τὸ οἰκεῖον νόμιμον καὶ ἰσχυρότερον τὸ Τιμοκράτους ἐποίησεν. Ἐπεὶ δὲ τελευταίαν ἔθηκε καὶ μετὰ τοσαύτην διαβολὴν τοῦ νόμου, λέλυκεν αὐτῆς τὴν ἰσχύν. Μάλιστα δὲ γέγονεν αὐτῆς μεγίστη λύσις τὰ ἐκ τῶν δεθέντων παραδείγματα, οἷς ἐχρήσατο ἐν τῷ δικαίῳ μετὰ τὴν ἀνθυποφοράν. Εἰ γὰρ ἦν νόμος μὴ δεῖν, πῶς ἐδέθησαν ἂν οἱ τοσοῦτοι; οὕτω δὴ μεγάλα ἡμῖν συμβάλλονται οἱ καιροὶ τῶν ἀντιθέσεων. Καὶ οὐ δεῖ πάντως ἐν τῷ νομίμῳ ἀπὸ τοῦ νόμου τιθέναι, εἰ μὴ χρεία καταναγκάζοι, ἐν ᾗ τὰς ἀπὸ τοῦ νομίμου ἐν τῷ νομίμῳ καὶ τὰς ἀπὸ τοῦ δικαίου ἐν τῷ δικαίῳ. Καὶ ὅταν μὴ λυμαίνωνται, ἀλλ' ὅπου μέλλει λυσιτελεῖν τῷ λέγοντι. Οὕτως ὑπερβέβηκεν ὁ ῥήτωρ τῇ οἰκείᾳ φύσει τὴν τέχνην, οὐ τῇ τέχνῃ δουλεύων, ἀλλὰ τὸ οἰκεῖον συμφέρον τέλος ἡγούμενος. RYS.

Ἵνα δὲ καὶ περὶ ἐκείνου εἴπω τοῦ νόμου] Ὡς παρέργου τινὸς ὄντος καὶ ἐκ παρέργου· καθαιρεῖ γὰρ καὶ τίθησι καὶ τῷ τῆς ἐπαγγελίας σχήματι. Τὰ γοῦν ἰσχυρὰ εἰ ἐτέθειτο ἐν τῷ νόμῳ κεφάλαια, πολλὴν αὐτῷ τὴν μάχην ἐποίει. Ἐνταῦθα [δὲ] πολλὰς εὗρε τὰς λύσεις ἀπὸ τῶν ἐν τῷ δικαίῳ παραδειγμάτων. Οὐ γὰρ ἐνεχώρει, τοιούτου κειμένου τοῦ νόμου λέγοντος « οὐ δήσω τῶν Ἀθηναίων οὐδένα, » τοσούτους δεθῆναι καὶ στρατηγοὺς καὶ ῥήτορας. Ἔστι δὲ ἀπὸ τῆς τοῦ ῥητοῦ διανοίας. TCV.

745, 12. Οὐδὲ δήσω Ἀθηναίων οὐδένα] Τοῦτο προάγει ὁ Τιμοκράτης ὡς νόμον παλαιὸν συμφωνοῦντα ᾧ αὐτὸς ἔγραψε. Ὁ δὲ Δημοσθένης λύει, λέγων ὅτι ὁ μὲν Τιμοκράτης λέγει αὐτὸν εἶναι νόμον, οὐκ ἔστι δὲ νόμος, ἀλλ' ὅρκος τῶν βουλευτῶν. Ὁ γὰρ νόμος, φησί, παραγγέλματα ἔχει καθολικά, οἷον τόδε μὲν ποιεῖν, τόδε δὲ μὴ ποιεῖν. Τὸ δὲ « οὐ δήσω Ἀθηναίων οὐδένα » οὐκ ἔστιν ὥσπερ φωνὴ νόμου, ἀλλ' ἀνθρώπου τινὸς ταῦτα λέγοντος. Ἐζήτησαν δέ τινες διὰ ποίαν αἰτίαν οὐκ ἔταξε ταύτην τὴν ἀντίθεσιν ἐν τῷ παρανόμῳ κεφαλαίῳ· ἐκεῖ γὰρ ὀφείλει ταχθῆναι. Λέγομεν ὅτι ἐκεῖ εἰ ἐτέθη, ὑπὲρ τοῦ Τιμοκράτους ἂν ἐτίθετο· ἰσχυρὰ γὰρ ἦν ἀντίθεσις. Ἐνταῦθα δὲ μετὰ τοὺς ἀγῶνας καὶ μετὰ τὰς ἀποδείξεις τοῦ δειχθῆναι βλαβερὸν τὸν νόμον τὸν Τιμοκράτους σαθροτέρα ἐγίνετο ἐν τοῖς ἐπιλόγοις ταττομένη. Καὶ οὕτως οὔτε ἐδόκει αὐτὴν φεύγειν ὡς ἄπορον καὶ δύσλυτον, καὶ πάλιν διὰ τῶν ἐπιλόγων εὐτελῆ αὐτὴν ἐπιδείκνυσι. ACDGRTV.

745, 13. Τὸ αὐτὸ τέλος τελοῦντας] Τῶν τριῶν ἐγγυητῶν ἐχόντων τὴν ἴσην οὐσίαν ἐκείνῳ, ᾧπερ ἐγγυῶνται, ἵνα ἔσωνται ἱκανοὶ οἱ τρεῖς ἐγγυήσασθαι αὐτόν. ACDGRTV.

Τὴν ἴσην ἔχοντας περιουσίαν, εἴ γε ἐν τῷ τελεῖν ὡς εἶχε περιουσίας ἕκαστος τὸ ἴσον ἐτέλει. RY.

745, 15. Ἐγγυησάμενος] Ἔδει γὰρ τοὺς τελώνας παρέχειν ἐγγυητὰς τῶν μισθωμάτων. RY.

745, 16. Ἢ ἐκλέγων] Ἕτερος μὲν ὁ μισθούμενος, ἕτεροι δὲ οἱ ἐκλέγοντες· οἷς ἐπίστευσεν ὁ τελώνης τὴν ἐκλογήν, ἔχων αὐτοὺς ὑποτεταγμένους. RY.

745, 17. Οὐ γὰρ αὐτὰς ἐρῶ ὅτι Ἀνδροτίων] Λύει τὴν ἀντίθεσιν κατὰ ἔνστασιν εὐθύς, « οὐ γὰρ ἐρῶ ὅτι αὐτὸς « Ἀνδροτίων ἦγε καὶ ἔδει τούτου τοῦ νόμου κειμένου, » μάρτυρα αὐτὸν Ἀνδροτίωνα παρεχόμενος τοῦ μὴ τὴν ἀντίθεσιν ἰσχυρὰν εἶναι. Ταυτὸν γάρ ἐστιν εἰπεῖν πρὸς Ἀνδροτίωνα καὶ πρὸς τὸν νόμον. Λύει δὲ καὶ κατὰ ἀντιπαράστασιν εὐθὺς μετὰ μικρόν, « οὗτος γάρ, ὦ ἄνδρες « δικασταί, οὐκ ἐπὶ τοῖς κεκραμένοις κεῖται, ἀλλ' ἐπὶ « τοῖς ἀκρίτοις. » Εἶτα τῇ διανοίᾳ τοῦ νομοθέτου « ἵνα μὴ « διὰ τὸ δεδέσθαι χεῖρον ἀναγκάζοιντο ἀγωνίζεσθαι, ἢ « καὶ παντάπασιν ἀπαράσκευοι εἶεν. » Μετὰ ταῦτα πάλιν λύει ἐν τῷ κατὰ μάχην ἐναντίῳ, « οὔτε γάρ, ὦ ἄνδρες « δικασταί, τιμᾶν ἐξῆν ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι, εἴπερ « μὴ ἐξῆν ἄλλους ἢ τοὺς ἐπὶ προδοσίᾳ τῆς πόλεως ἁλι« σκομένους. » Εἶτα ἑτέρα ἔνστασις, ᾗ πάλιν κέχρηται μεταληπτικῇ· « ἔπειτα δέ, ὦ ἄνδρες δικασταί, τοῦτο τὸ γράμμα αὐτὸ μὲν καθ' αὑτὸ οὐκ ἔστι νόμος. » Δείκνυσι γὰρ οὐ τοῦ δικαστηρίου, ἀλλὰ τῆς βουλῆς ὄντα τὸν ὅρκον. Καὶ θαυμάσαι ἄξιον τί δή ποτε φήσας τοῦ βουλευτικοῦ ὅρκου εἶναι, τὸ « οὐδὲ δήσω Ἀθηναίων οὐδένα, » τὸν μὲν ὅρκον τῶν βουλευτῶν οὐκ ἀναγινώσκει, τὸν δὲ ἡλιαστῶν ὅρκον παρέχεται, ὃν οἱ δικάζοντες ὤμνυον. Ἔστι δὲ καὶ ἀπὸ τῶν λύσεων διαφόρως ἐχουσῶν ἄλλως ὑποπτεῦσαι τὸ προκείμενον. Πῇ μὲν γὰρ λέγει τοῦτο γεγράφθαι περὶ τῶν μηδέπω ἠγωνισμένων, ἀλλ' οὐ περὶ τῶν κεκριμένων, πῇ δὲ ὅτι τῆς βουλῆς ὅρκος ἐστίν. Οὑτωσὶ ῥητορεύεσθαι τὸ χωρίον φαίνεται. RY.

745, 20. Οὗτος γάρ, ὦ ἄνδρες Ἀθηναῖοι] Κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν ἐνταῦθα λύει. Ἰστέον δὲ ὅτι πρώτην ἔταξε τὴν ἀντιπαράστασιν, δευτέραν δὲ τὴν ἔνστασιν, διὰ τὸ ἀναιδὲς μᾶλλον. ACDGRTV.

745, 23. Ἀπαράσκευοι] Μὴ ἔχοντες ἐν τῷ κατέχεσθαι συνήγορον. TCV.

745, 29. Ἔνδειξις] Ἡ ἔνδειξις δίκη ἐστὶ κατὰ τῶν ἀτίμων καὶ πολιτευομένων· ἡ δὲ ἀπαγωγὴ ἐπὶ τῶν κλεπτῶν. ACDGRTV.

746, 8. Ἔπειτα δ'] Ἐνταῦθά ἐστιν ἡ ἔνστασις. ACDGRTV.

746, 9. Αὐτὸ μὲν καθ' αὑτὸ] Ὡσανεὶ ἔλεγεν, ἐξ αὐτῆς τῆς φωνῆς ἔξεστι στοχάσασθαι ὅτι οὐκ ἔστι νόμος. ACDGRTV.

746, 18. ΟΡΚΟΣ ΗΛΙΑΣΤΩΝ] Ἰστέον ὅτι καὶ τὸν ὅρκον τοῦτον τῶν ἡλιαστῶν ἐν τοῖς ἐπιλόγοις τέθεικεν ὡς ἐπιλογικὸν μᾶλλον ὄντα, ἀλλ' οὐ τῆς ὑποθέσεως αὐτῆς μέρος ὄντα καὶ τῶν ἀγώνων. ACDGRTV.

746, 19. Καὶ τὰ ψηφίσματα] Ἰστέον ὅτι ψηφίσματα ἐνταῦθα λέγει τὰ παλαιὰ τὰ νομισθέντα εἶναι καλά. ACDGRTV.

746, 24. Χρεῶν ἀποκοπὰς] Οὐδὲ νομοθετῆσαι περὶ τῶν ἰδιωτικῶν χρημάτων, ὥστε μὴ ἀπολαμβάνειν τοὺς ἰδιώτας τὰ χρέα, ἅπερ ἐδάνεισαν· τοῦτο γὰρ τυραννίδος ἐστίν. ACDGRTV.

Ἀναδασμὸν] Οἷον ἀναμερισμόν. Τοῦτο γὰρ εἴωθε γίνεσθαι ἐν ταῖς ἀτακτούσαις δημοκρατίαις. Οἱ γὰρ πένητες πολλάκις καθ' ἑαυτοὺς γινόμενοι στασιάζουσι πρὸς τοὺς πλουσίους, λέγοντες ὡς οὐ δίκαιόν ἐστι τούτους μὲν ἔχειν γῆν πολλήν, αὐτοὺς δὲ μή, ἀλλὰ δίκαιον εἶναι καὶ αὐτοῖς ἐξ ἴσου μερίσασθαι τὴν γῆν καὶ οἰκίας. ACDGRTV.

746, 26. Οὐδὲ τοὺς μένοντας] Οὐδὲ τοὺς μένοντας, φησίν, ἐν τῇ πόλει καὶ μὴ ἡμαρτηκότας παρανόμως ἐκ τῆς πόλεως ἐκβαλῶ. ACDGRTV.

746, 29. Οὔτ' ἄλλον οὐδένα] Ἠδύνατο γάρ τις μὴ ἁμαρτάνειν αὐτός, ἄλλον δὲ ὁρῶν ἀδικοῦντα περιορᾶν. Ὅπερ ἐστὶν ἀληθέστερον ἀδικεῖν, ὥς φησιν ὁ Θουκυδίδης. ACDGRTV.

747, 2. Τοῦ ἱερομνήμονος] Ἱερομνήμων ἐλέγετο ὁ πεμπόμενος σύνεδρος εἰς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως.

Ὥστ' ἄρχειν ὑπεύθυνον ὄντα] Νόμος ἦν δὶς τὸν αὐτὸν μὴ ἄρχειν ἐν τῷ αὐτῷ ἐνιαυτῷ μὴ δόντα εὐθύνας τῆς πρώτης ἀρχῆς, μηδὲ ἄρχειν τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν, διὰ τοιαύτην αἰτίαν, ἵνα μὴ οἱ βουλόμενοι κατηγορεῖν τοῦ ἄρχοντος, προσδοκῶντες αὐτὸν πάλιν ἄρχειν τὴν αὐτὴν ἀρχὴν, ἀναγκάζοιντο σιωπᾶν πολλάκις, ὄντες τῆς αὐτῆς ἀρχῆς ὑπηρέται οἱ δυνάμενοι αὐτοῦ κατηγορεῖν διὰ τὸ συνειδέναι οἷς ἔπραξεν. ACDGRTV.

747, 3. Κυαμεύονται] Κυάμοις γὰρ τὸ παλαιὸν ὥσπερ κλήροις ἐδήλουν τὴν γνώμην οἱ δικάζοντες. RY. Κληροῦνται· κύαμον γὰρ ἐκάλουν τὸν κλῆρον αὐτὸν καὶ τὴν ψῆφον [ἐκ] τοῦ λαμβάνειν αὐτοὺς ἐπὶ τὸ ἄρχειν. Ἦσαν δὲ αὗται ποτὲ μὲν τετρημμέναι καὶ ἄτρητοι, ποτὲ δὲ μέλαιναι καὶ λευκαί. Αἱ μὲν τετρημμέναι καὶ μέλαιναι ἦσαν καταψηφιζόμεναι· φασὶ δέ τινες τῶν ἐξηγησαμένων ὅτι ἀπὸ χοιρείων ὀστῶν αὗται ἐγίνοντο· αἱ δὲ λευκαὶ καὶ ἄτρητοι ἦσαν αἱ σώζουσαι. ACDGRTV.

747, 4. Καὶ κήρυκος καὶ πρεσβείας] Ἀντὶ τοῦ τῶν οὕτως εὐτελῶν· εὐτελῶν δὲ πρὸς τὰς ἄλλας ἀρχὰς τὰς μεγάλας. Ἰστέον δὲ ὅτι ἄλλος ἦν ὁ κῆρυξ τοῦ δήμου καὶ ἄλλος ὁ τοῦ πολέμου, ὁ προηγούμενος τῶν πρέσβεων πρὸς τὸ αὐτοὺς σπείσασθαι εἰρήνην πρὸς τοὺς πολεμίους, βαστάζων καὶ σύμβολον τὸ κηρύκιον. ACDGRTV.

747, 8. Οὔτ' ἄλλος ἐμοί] Ἔστι γὰρ πολλάκις μὲν αὐτὸν μὴ λαμβάνειν τινὰ διὰ τὸν ὅρκον, ὑποβάλλειν δὲ ἢ ἄνδρα ἢ γυναῖκα λαμβάνειν ὑπὲρ αὐτοῦ, ἢ δι' ἄλλης τέχνης ἢ μηχανῆς. ACDGRTV.

747, 20. Ὡς μὲν οὖν ἔξεστι] Παρασχόμενος τὸν ὅρκον καὶ ἀναγνοὺς καὶ πιστωσάμενος διὰ τῶν ἐγγράφων πίστεων ἐπιλογίζεται ἑξῆς. Πρῶτον μὲν ἀπὸ τοῦ πράγματος· ἔστι γὰρ οὗτος κοινὸς τόπος κατὰ τῶν φαύλων νόμων ἐκ πηλικότητος. Πληρώσας δὲ τὸν κατὰ τοῦ νόμου τόπον, ἄρχεται τοῦ κατὰ τοῦ προσώπου τόπου. Καὶ ἔστιν ἑκάτερος ἐπιφορικὸς, ὅ τε προειρημένος καὶ οὗτος ἐν ἐπιλόγοις. Ὁ δὲ κατὰ τοῦ προσώπου τόπος ἐντεῦθεν ἄρχεται. « Ὅτι « τοίνυν καὶ τέχνῃ κακῶς ἐνεχείρησε ποιεῖν ἄξιόν ἐστιν « ἀκοῦσαι. » Ὁ δὲ τόπος ἀπὸ τῆς γνώμης, τίνι διανοίᾳ καὶ γνώμῃ τὸν νόμον τέθεικεν· ὃ ὑπόλοιπον συνάπτει τὴν παρέκβασιν λόγοις ἐπιφορικοῖς κατ' Ἀνδροτίωνος κειμένοις. Καὶ ἵνα μὴ ἀθρόως ἐπὶ τὴν καταφορὰν ταύτην ἔλθῃ, μηδὲ ἀπαρτήσῃ τὸν κατὰ Ἀνδροτίωνος λόγον τῆς ὑποθέσεως, ἀλλ' ἐκ προσαγωγῆς δυνατὸν προσιέναι δοκῇ, ὀλίγῳ πρότερον προῳκονόμησεν εἰπὼν « καίτοι ἀνερωτῶντός τινος « αὐτὸν » καὶ τὰ ἑξῆς. Καὶ μετὰ ταῦτα ἐπήγαγε τὴν παρέκβασιν. Καὶ πρῶτον μὲν, ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν ἐξετάσωμεν αὐτοῦ. RY.

748, 15. Ἐκφύοι] Ἐνέμεινε τῇ τροπῇ τοῦ σπέρματος, ὡσανεὶ ἔλεγε· μὴ καταβάλωμεν, φησὶ, σπέρμα τοιοῦτον πονηρίας, εἰ καὶ μὴ μέλλει ἀναβλαστῆσαι πώποτε καὶ αὐξῆσαι. ACDGRTV.

748, 16. Ὅτι τοίνυν καὶ τέχνῃ κακῶς ἐνεχείρησε] Μετὰ τὴν τοῦ πράγματος καταφορὰν μεταβέβηκεν ἐπὶ τὴν τοῦ προσώπου· ὁ δὲ τόπος ἀπὸ τῆς γνώμης τοῦ γράψαντος, ὅτι οὐχ ὡς ἔτυχεν ἐποίησεν ὑμᾶς κακῶς, ἀλλὰ μετὰ τέχνης καὶ σκεψάμενος εἰς τοῦτο. TCV.

748, 23. Εὗρεν οὖν τοῦτο] Νομίζεται γὰρ τὸ νομοθετεῖν ὑπὲρ τῆς πόλεως εἶναι· ὅμως εἰσὶ καὶ παρανόμων γραφαί. Ἀλλ' οὖν γε αὐτὸ καθ' ἑαυτὸ τὸ νομοθετεῖν νομίζεται καλόν τι εἶναι. ACDGRTV. Καίτοι ἐνίοτε οἱ νομοθετοῦντες οὐδὲν τῶν τοὺς νόμους καταλυόντων διαφέρουσιν, ὡς δηλοῦσιν αἱ τῶν παρανόμων γραφαὶ, καὶ οἱ ὑπὲρ τῆς πόλεως νομοθετοῦντες καὶ νόμους τῇ πολιτείᾳ συμφέροντας καὶ συμφώνους γράφοντες μόνοι ὡς ἀληθῶς νομοθετοῦσιν· ὅμως τὸ νομοθετεῖν αὐτὸ καθ' ἑαυτὸ τοῦ λῦσαι νόμους ἤδη κειμένους κρεῖττον. P.

749, 2. Πρόεδρος] Πρόεδρος ὁ τὴν προεδρίαν ἔχων ἐν τῷ δήμῳ καὶ προσάγων αὐτῷ τὴν πεῦσιν. RY.

Ἐπεψήφισεν] Ἡ διάσκεψιν προσήγαγεν· ἢ ἐπεκύρωσε τὴν ψῆφον. RY.

749, 9. Τιμοκράτει χαρίσασθαι] Ἐκβολὴ τῶν συνηγόρων αὐτοῦ. Τὸ δὲ ἐφ' ὑμᾶς ἀντὶ τοῦ καθ' ὑμῶν τοιαῦτα ἠθέλησε γράψαι παράνομα. TCV.

749, 16. Τετυφῶσθαι] Μαίνεσθαι, ἀπὸ τοῦ δαίμονος τοῦ Τυφῶνος τοῦ μανέντος κατὰ τῶν θεῶν. RY.

749, 18. Σχολὴν ἄγοντα ἐσκέφθαι περὶ πάντων] Ἀντὶ τοῦ σχολάσαντα καὶ ἀργήσαντα ἀπὸ τῶν ἄλλων πραγμάτων, ἵνα σκέψηται ταῦτα. Ὅρα πῶς αὐτῷ φθόνον συνάγει διὰ τούτων. ACDGRTV.

749, 21. Τοῦ μὲν εἰ καλεῖ] Τοῦ Τιμοκράτους. Ibid.

749, 22. Τοῦ δ' εἰ πάρεισι] Τοῦ Ἀνδροτίωνος. Ibid.

Συναπολογήσεται] Βούλεται ὥσπερ ἐκβολὴν ἐνταῦθα ποιήσασθαι συνηγόρων. Διὰ τί δὲ οὐκ ἔστιν ἀκριβὴς ἐκβολὴ συνηγόρων, ἤδη εἴπαμεν ἐν τῷ κατὰ Ἀνδροτίωνος. Ibid.

749, 25. Ὅμως δὲ καὶ περὶ τῶν ἐκείνῳ] Παρέκβασις πάλιν ἐπὶ τὰ πολιτεύματα Ἀνδροτίωνος. Ibid.

750, 2. Καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ] Ἐπλήρωσε τὴν ἐπιφορὰν τὸν αὐτὸν τρόπον ὅνπερ καὶ ἐν τῷ κατ' Ἀνδροτίωνος. TCV. Ἐζήτηται διὰ ποίαν αἰτίαν τὰ αὐτὰ μέλλει ἐπιφέρειν, ἅπερ εἶπεν ἐν τῷ κατὰ Ἀνδροτίωνος. Οἱ μὲν λέγουσιν· οὐχ οἱ αὐτοὶ ἦσαν δικασταὶ, καὶ οὐδὲν ἦν ἄτοπον διὰ τοὺς μὴ ἀκηκοότας ἐκεῖνα πάλιν τὰ αὐτὰ λέγειν ἐνταῦθα· ἄλλοι δὲ λέγουσιν ὅτι ἠθέλησεν ἐνδείξασθαι ὁ Διόδωρος ὅτι ἰδιώτης ἐστὶ καὶ οὐκ ἠδυνήθη ἄλλως σκέψασθαι τὰ αὐτά. Βέλτιον δὲ λέγειν μᾶλλον τὴν αἰτίαν ἣν εἴπαμεν ἐν τοῖς Φιλιππικοῖς. Ibid.

750, 21. Προσαγωγεῖ] Συνεργῷ, προξένῳ εἰς τὸ λαβεῖν ἢ κλέπτειν τὰ δημόσια, ἢ περιποιεῖν αὐτῷ κέρδη. RY. Ἀντὶ τοῦ δηλάτορι, ἀπὸ τοῦ προσαγαγεῖν αὐτῷ καὶ ὑποβάλλειν τινὰς ἀπαιτῆσαι ἀδίκως. Τὸ δὲ ἀποδέκτας ἀντὶ τοῦ ὑποδεχομένους τὰ χρήματα. ACDGRTV. Οἱ γὰρ παλαιοὶ οὕτως ἐκάλουν ὑποδέκτας. Τινὲς δὲ τοὺς ταμίας φασίν. R.

753, 6. Θρασύτητος καὶ πονηρίας ἔργα] Ὑψηλῶς εἴρηται καὶ γνωμικῶς. Y.

754, 14. Οὔτε γὰρ ῥᾷον πολλοῖς] Ὑπεξαίρεσις τῶν αἰτιῶν. B.

754, 20. Καὶ μὴ τὸν χρόνον εἰ πολύς ἐστιν] Οἶδεν ὁ ῥήτωρ παλαιὰ πράγματα ἐγκαλῶν, τὰ τῶν εἰσφορῶν καὶ ἃ προείρηκεν. Ἐπειδὴ οὖν ἀνέκυπτεν αὐτῷ παραγραφικὸν ἀπὸ χρόνου, διὰ τοῦτο ἀναγκάζεται λῦσαι αὐτό. ACDGRTV.

754, 27. Οὔκουν] Τὸ οὔκουν παροξύνεται, ἐπεὶ πάλιν ἐπὶ ἀρνήσεώς ἐστιν. Ibid.

754, 29. Ὑμῖν αὐτοῖς χαρίσασθαι] Τῷ θυμῷ καὶ τῇ ὀργῇ προθύμως ὑπείκειν καὶ ἀκολουθεῖν. P.

755, 3. Ταῦτα μόνον] Κατὰ ταῦτα μόνον. Ἔξεστι δὲ σὺν ἐρωτήσει ἀναγινώσκειν, καὶ χωρὶς εἰρωνικῶς. P.

755, 14. Φήσας δὲ ἀποῤῥεῖν τὰ φύλλα τῶν στεφάνων] Παίζει. Χρυσῶν γὰρ ὄντων τῶν στεφάνων, ὡς περὶ ἄνθους τοῦτο ἔλαβε. Σαπροὺς δὲ παλαιούς, σαθρούς, σεσηπότας. TCV.

755, 19. Τὸν δημόσιον] Τὸν ἀπογραφόμενον τὰ δημόσια· ὥσπερ νῦν λέγομεν ταβουλάριον. RY.

756, 23. Καὶ οὐ τὸ σῶμα ἡταιρηκότος] Ὁριστικῶς καὶ σοφιστικῶς τοῦτο ποιεῖ. Εἰ γὰρ τὸ σῶμα κωλύεται, πολλῷ μᾶλλον τὸ ὄνομα. TCV.

757, 7. Ὁ δὲ παρακάθηται καὶ οὐ καταδύεται τοῖς πεπραγμένοις] Νῦν περὶ Ἀνδροτίωνος λέγει, ὅπερ εἶπεν ἐν τῷ κατ' Ἀνδροτίωνος περὶ τοῦ Τιμοκράτους. ACDGRTV.

758, 7. Τοὺς ἐχθροὺς κρατοῦντες] Ἀντὶ τοῦ τῶν ἐχθρῶν· ἀρχαϊσμὸς δέ ἐστι. Y.

758, 14. Ἀλλ' Ἀνδροτίων ὑμῖν] Σχῆμα ἐπανάληψις, ἐπὶ προσώπου διαβολῆς. B.

758, 17. Χερνίβων καὶ κανῶν] Τῶν πρὸς τὴν θυσίαν ἁρμοζόντων· λέγει δὲ ταῦτα ἐν οἷς νίπτονται οἱ σπένδοντες. RY.

758, 24. Οἶδα ὅτι ὡς μὲν οὐκ ἀσύμφορος] Πληρώσας τὴν ἐπιφορὰν τίθησι τὴν πολυθρύλητον ἐκείνην ἀντίθεσιν, δι' ἣν ἀσύστατος ὁ λόγος ὑπείληπται. Πρῶτον μὲν οὖν ἄξιον θαυμάσαι ὅτι μέλλων τιθέναι τὴν ἀντίθεσιν ἀνεκεφαλαιώσατο τὴν μνήμην τῶν ἰσχυρῶν, τοῦ παρανόμου, τοῦ ἀσυμφόρου, τοῦ ἀδίκου, ἵνα δείξῃ ὅτι ταῦτα ἦν τὰ κρινόμενα καὶ περὶ τούτων ἡ ψῆφος, οὐχὶ δὲ τὸ κατὰ τοὺς πρέσβεις. Διὰ τοῦτο δὲ καὶ τελευταίαν τὴν ἀντίθεσιν τέθεικεν, ἵνα καὶ τῷ τόπῳ ἐνδείξηται αὐτῆς τὸ ἐξαγώνιον. Ὅτι δὲ ἐξαγώνιος ἡ ἀντίθεσις αὐτὸς διαῤῥήδην ἡμᾶς ὁ ῥήτωρ ἐδίδαξεν εἰπών, « ἀλλὰ μὴ περὶ τούτων οἰσόντων « ἡμῶν τὴν ψῆφον. » Καὶ ἑτέρωθι (p. 759, 10) δὲ λέγει « μὴ λέγε τὴν ἔκτισιν· (οὐδὲν γὰρ ἐπικοινωνεῖ τῷ νόμῳ « τῷδε:) ἀλλ' ὡς ἐπιτήδειός ἐστι καὶ καλῶς ἔχων ὁ νόμος, « τοῦτο δίδασκε· τοῦτο γάρ ἐστιν ὑπὲρ οὗ σὺ μὲν εἰσενεγ- « κεῖν φῄς, ἐγὼ δὲ γέγραμμαι. » Ὥστε πανταχόθεν ἐστὶ καταφανὲς ὅτι διαβολῆς ἕνεκα τὴν κατὰ τῶν πρέσβεων ὑπόθεσιν εἴληφε. RY.

Οἶδα δ' ὅτι ὡς μὲν οὐκ ἀσύμφορός ἐστιν ἡμῖν ὁ νόμος] Μέλλων τιθέναι τὴν ἀντίθεσιν ἀνεκεφαλαιώσατο τὴν μνήμην τῶν ἰσχυρῶν, τοῦ παρανόμου, τοῦ ἀσυμφόρου, τοῦ ἀδίκου, ἵνα δείξῃ ὅτι ταῦτα ἦν τὰ κρινόμενα καὶ περὶ τούτων ἡ ψῆφος, οὐχὶ δὲ τὸ κατὰ τοὺς πρέσβεις. Ἐπειδὴ δὲ κινοῦσι τὸν περὶ τῶν πρέσβεων λόγον ὅτι ἐκτετίκασι τὰ χρήματα λέγοντες, ἐνδείκνυται ὅτι ἐκ περιουσίας τούτῳ χρῆται τῷ λόγῳ τῷ κατὰ τοὺς πρέσβεις. Διὰ τοῦτο τελευταίαν καὶ τὴν ἀντίθεσιν τέθεικεν, ἵνα καὶ τῷ τόπῳ ἐνδείξηται αὐτῆς τὸ ἐξαγώνιον. Καὶ ὅτι ἐξαγώνιος ἡ ἀντίθεσις αὐτὸς ἐδίδαξεν ὁ ῥήτωρ εἰπών, « ἀλλὰ μὴ περὶ « τούτων οἰσόντων ὑμῶν τὴν ψῆφον, » καὶ ἑτέρωθι, « μὴ « λέγε τὴν ἔκτισιν· (οὐδὲν γὰρ ἐπικοινωνεῖ τῷ νόμῳ « τῷδε), ἀλλ' ὡς ἐπιτήδειός ἐστι καὶ καλῶς ἔχων ὁ νό- « μος, τοῦτο δίδασκε. » Πανταχόθεν οὖν καταφανὲς ὅτι διαβολῆς ἕνεκα τὴν κατὰ τῶν πρέσβεων ὑπόθεσιν εἴληφεν. Εἰ δὲ τῆς γραφῆς δοθείσης ἐν τῷ μεταξὺ φαίνονται καταβεβληκότες, οὐδὲν τοῦτο τῇ ὑποθέσει λυμαίνεται· διαβολῆς γὰρ ἕνεκα εἴληπται, ὥσπερ ἔφην. Εἰ δὲ ἐκτετίκασι τὸ κεφάλαιον, καὶ δεῖ πρὸς τοῦτο διαγωνίζεσθαι, ὑπεύθυνοι καθεστήκασιν ἐπὶ τῇ διπλασιάσει. Περίεργον δὲ ζητεῖν ἴσως πότερον ὀφείλουσιν ἢ τελέως ἀπηλλαγμένοι φαίνονται τοῦ ὀφλήματος· οὐδὲ γὰρ διὰ τοῦτο ἡ κρίσις, οὐδὲ διὰ τοῦτο γέγονεν ἡ γραφή. Ἐπειδὴ δὲ ἀπέδειξεν ἐν τῷ δικαίῳ κεφαλαίῳ οὐχὶ τοὺς ἀδυνάτους δεθέντας, ἀλλὰ τοὺς μάλιστα στρατηγούς τε καὶ ῥήτορας καὶ δημαγωγούς, εἰκότως ἐθάρρησε προσθεῖναι τὴν κατασκευὴν τῇ ἀντιθέσει, ἵνα ὁ Τιμοκράτους λόγος ἐλέγχηται. Εἰ γὰρ ὁ μὲν Τιμοκράτης φησὶν ὑπὲρ τῶν ἀδυνάτων εἶναι τὸν νόμον, φαίνονται δ' οὐχ οἱ ἀδύνατοι δεθέντες πολλάκις, ἀλλ' οἱ μάλιστα δυνατώτατοι, πῶς οὐκ ἂν αὐτὸς γένοιτο ὁ ἀκροατὴς ἀνταγωνιστὴς τούτῳ τῷ λόγῳ; οἶδε δὲ μετὰ τὰς λύσεις τὰς ἀντιθέσεις τιθέναι. TCV.

758, 27. Αὐτὸν] Ὁ Τιμοκράτης. A. Τινὲς βούλονται ἐντεῦθεν εἶναι τοὺς ἐπιλόγους, ἐπειδή, φασίν, ἐν τῷ πρὸ αὐτοῦ κώλῳ ἐπελογίσατο τὰ τρία κεφάλαια. ACDGRTV. Εἰσῆκται δὲ ὡς ἐν διασυρμῷ. « Ἀκούω δὲ λέγειν αὐτὸν ὡς ἐκτέτισται, » οἱονεὶ παράδοξον λόγον καὶ ἄτοπον καὶ οὐδαμοῦ τοῖς ζητουμένοις ἀκόλουθον. Διὸ καὶ περιτρέπει αὐτῷ τὸν λόγον. Ὁμολογοῦντα γὰρ ἐποίησεν ὅτι διὰ τοὺς πρέσβεις ἔθηκε τὸν νόμον, ἐπαγαγὼν ὡς ἔνοχός ἐστι τῇ παρανομίᾳ μὴ ἐπὶ πᾶσι γεγραφὼς τὸν νόμον, ἀλλ' ὀλίγοις χαρισάμενος. Ὅθεν ἐπισημαίνεται πρὸς τοὺς δικαστάς, ἀναμιμνήσκων τοὺς ὅρκους καθ' οὓς αὐτοὶ δικάζειν ὀμωμόκασι. Λύει γάρ, φησί, τοὺς νόμους καὶ μετὰ τῶν νόμων τὰ δικαστήρια. TCV.

Ὡς ἐκτέτισται τὰ χρήματα] Τινὰς λέγουσιν ἐκ τούτου νομίζεσθαι τὸν λόγον ἀσύστατον. Εἰ γὰρ ἐκτέτισται τὰ χρήματα καὶ ὁμολογεῖ καὶ ὁ Δημοσθένης ἐνταῦθα τοῦτο αὐτό, οὐκοῦν περιττῶς κατηγορεῖ. Λέγομεν, πρῶτον μὲν καὶ αὐτὸς ὁ ῥήτωρ ἐπισημαίνεται τοῦτο, ὅτι οὐ περὶ τούτων ἐστὶν ὁ ἀγὼν νῦν, ἀλλὰ περὶ τοῦ εἴτε ἐννόμως ἐγράφη ὁ νόμος ὁ Τιμοκράτους εἴτε παρανόμως. ACDGRTV.

759, 3. Οὐδὲ καθ' ἓν] Ἀντὶ τοῦ οὐδὲ ὅλως. ATCV. Εἰ μὲν γὰρ ὑπὲρ τούτων] Τὸ διλήμματον πάλιν σχῆμα. ATCV.

759, 15. Καίτοι καὶ τοῦτ' οὐκ ἀπορήσαιμι] Ὅρα πῶς τὴν λύσιν ἐκ τῶν τριῶν παρείληφεν, ἀπὸ τοῦ αἰτίου, ἀπὸ τοῦ συνέχοντος, καὶ ἀπὸ τοῦ κρινομένου. ACDGRTV.

Καίτοι καὶ τοῦτο οὐκ ἀπορήσαιμ' ὧν] Ἐκ περιουσίας καὶ τῆς λεγομένης ἐκτίσεως ἐπιλαμβάνεται κακούργως αὐτὴν καὶ παρανόμως γεγενῆσθαι φάσκων· αἰνίττεται δὲ ὡς αὐτὸ μὲν τὸ ἁπλοῦν καταβεβλήκασι, τὸ δὲ τῆς διπλασίας ἀπεστέρησαν. RY.

759, 20. Οἶμαι τοίνυν αὐτὸν] Ἀντίθεσις ἀπὸ τοῦ συμφέροντος ἐπιλογικὴ μικτὴ ἀπὸ τῆς τοῦ λέγοντος ποιότητος καὶ τοῦ κεφαλαίου. Τοῖς αὐτοῖς δὲ θεωρήμασιν χρῆται οἷς καὶ ἐπὶ τῆς πρὸ αὐτῆς ἀντιθέσεως. S. Τὸ ἀναίσχυντον αὐτοῦ δείκνυσιν. ATCV. Ἔστι μὲν ἀπὸ τοῦ συμφέροντος ἡ ἀντίθεσις, ἀπέῤῥιψε δὲ αὐτὴν ἐνταῦθα ἀπὸ τοῦ τόπου τοῦ οἰκείου κλέψας, καὶ οὐκ ἔθηκεν ἐν τῷ κεφαλαίῳ, ἵνα μὴ δεηθῇ πλείονος μάχης, ἰσχυρὰν ποιήσας. Ὡς δὲ ἐπιλογικῇ ἐχρήσατο προτάξας αὐτῆς τὴν ὄντως ἐξαγώνιον τὴν περὶ τῶν πρέσβεων, ἵνα σαθρὰν ἐκ τῆς συμπλοκῆς ἀπεργάσηται. Μαθὼν γὰρ ὁ ἀκροατὴς ὅτι τῶν περὶ τὸν Ἀνδροτίωνα χάριν ἔθηκε τὸν νόμον, οὐκέτι αὐτὸν ὡς φιλάνθρωπον ἐπαινέσει, ἀλλὰ ψεῦδος ἡγήσεται τὸ εἰ ἔγραψεν ὅπως μηδεὶς δεθήσεται Ἀθηναίων. Ἐφάνη γὰρ διὰ τοὺς πρέσβεις τὸν δεσμὸν ἀνελών. Παρατήρει δὲ καὶ τὴν λέξιν ὅπως ἔχει, « οἶμαι « τοίνυν αὐτὸν οὐδ' ἐκείνων ἀφέξεσθαι τῶν λόγων, » ὡς χαλεποῦ καὶ ἀναισχύντου ὄντος τοῦ πράγματος. RYTCV.

759, 23. Καὶ ὅτι τοὺς νόμους ὡς πρᾳοτάτους] Καὶ τοῦτο τὸ μέρος ἤδη φθάσας ὁ ῥήτωρ προδιωκήσατο, ἀποδείξας οὐ

πένητας, ἀλλὰ στρατηγοὺς καὶ δημαγωγοὺς καὶ ῥήτορας τοὺς ὑπομένοντας τὸν δεσμὸν, ὥστε τούτοις τοῦ νόμου τὴν φιλανθρωπίαν ἐργάζεσθαι· φροντίζει γὰρ οὐ τῶν ἀδυνάτων, ἀλλὰ τῶν διὰ τὰς κατὰ τοῦ κοινοῦ βλάβας δεσμουμένων. RYTCV. Εἶτα ἐπάγει λύσεις οὐδὲν καινὸν ἐχούσας παρὰ τὰς προειρημένας ἔμπροσθεν· οὕτως οἶδε καὶ μετὰ τὰς λύσεις τὰς ἀντιθέσεις τιθέναι· αἱ δὲ λύσεις ἐκ διαφορᾶς κατὰ διαίρεσιν. Δύο γὰρ εἴδη νόμων φησὶν, ἓν μὲν καθ' ὃ συμβάλλομεν ἀλλήλοις καὶ συναλλάττομεν, οὓς πρᾴους εἶναι δεῖ, ἕτερον δὲ καθ' ὃ πολιτευόμεθα, καθ' ὃ δημαγωγοὶ μᾶλλον ἔνοχοι τοῖς δήμοις ἂν γένοιντο. Οὐ γὰρ οἱ πένητες, ἀλλ' οἱ δυνατοὶ πολιτεύονται, ἵνα σοφίσηται. Διὰ τοῦτο τοίνυν τῇ διαιρέσει κέχρηται. Οὐ γὰρ μόνοι οἱ πολιτευόμενοι περιπίπτουσι δεσμοῖς, ἀλλὰ καὶ ἕτεροι μὴ πολιτευόμενοι. Θαρρεῖ δὲ τοῖς λόγοις διότι ἀποδέδεικται, ὡς ἔφην ἐν τῷ κεφαλαίῳ τῷ δικαίῳ, τοὺς πολιτευομένους δεθέντας μᾶλλον ἢ τοὺς ἰδιώτας. Ζητήσειε δ' ἄν τις διὰ τί τὸν ἐπίλογον τὸν ἀπὸ τοῦ συμφέροντος κατ' ἀντίθεσιν εἰσήγαγε καὶ οὐ καταφορικῶς. Καὶ φήσομεν ὅτι οὐ πάντη διαβέβληται ὁ Τιμοκράτους νόμος, ἀλλ' ἔχει πρὸς αὐτὸν εὔνοιαν ὁ ἀκροώμενος· ἣν οὐκ ἔστιν ἄλλως λῦσαι τὸν διαβάλλοντα μὴ ἀγωνιστικοῖς χρώμενον λόγοις. Διὰ ταῦτα τοῦ ἀγωνιστικοῦ εἴδους ἐδεήθη καὶ ἐν τοῖς ἐπιλόγοις μᾶλλον. Φιλοῦσι γὰρ αἱ ὑπολήψεις τῶν ἀκροατῶν ἀγώνων δεῖσθαι, ὡς εἰ μέλλοιμεν ἐξαιρεῖν ἀντικειμένας ἡμῖν, καὶ ἐν προοιμίοις καὶ ἐπιλόγοις πάντως ἀγωνιούμεθα. Ἔστι τοίνυν διμερὴς ἡ ἀντίθεσις, καὶ τὸ μέν ἐστιν αὐτῆς ἐκ τῆς τοῦ προσώπου ποιότητος, τὸ δὲ ἐκ τοῦ νόμου. Τὸ μὲν οὖν κατὰ τὸν νόμον ἤδη λέλυκε, τὸ δὲ κατὰ τὴν τοῦ προσώπου ποιότητα ἐντεῦθεν ἄρχεται « καὶ λογίζεσθε πρὸς « ὑμᾶς αὐτούς. » Εἶτα χρῆται ἐξαιρέσεσιν αἰτιῶν, λέγων, οὔτε γὰρ συγγενὴς οὔτ' ἀναγκαῖος ἦν σοι τούτων οὐδείς. Καὶ ἐπάγει εὐθὺς τὴν ἐκβολὴν τοῦ ἐλέου, δι' ὧν δείκνυσιν αὐτὸν πολλὰ καὶ δεινὰ διαθέντα τὸν δῆμον, ἡνίκα τὴν εἴσπραξιν ἐποιεῖτο μετὰ Ἀνδροτίωνος, ἵνα μνησθέντες ὧν ἔπαθον μὴ μεταδῶσιν ἐλέου ἀσελγήναντι. Τέλος δὲ ἐπιθεὶς τῇ τοῦ ἐλέου ἐκβολῇ καταφοράν τινα ποιεῖται τῆς τοῦ προσώπου ποιότητος. RY. Ἔστι δὲ σοφισμός· οὐδὲν γὰρ ἐκώλυε καὶ δεσμώτας καὶ ἰδιώτας διά τινα πλημμελήματα δεθέντας τῆς τοῦ νόμου πρᾳότητος ἀπολαῦσαι. Θαρρεῖ δὲ τῷ λόγῳ, διὰ τὸ ἐπὶ τῶν πολιτευομένων τῶν περὶ Θρασύβουλον ἀποφήνασθαι χώραν ἔχειν τὸν δεσμόν. Τὸ δὲ πρᾴους καὶ μετρίους, τοὺς λόγους οὓς λέγει ὁ Τιμοκράτης. Εἰς δύο δὲ μεμέρισται τὰ τῶν πόλεων, εἴς τε ἰδιωτικὰ καὶ δημόσια. TCV.

759, 26. Πρὸς δὲ τοὺς τοιούτους λόγους] Πρὸς τοὺς λόγους, οὓς λέγει ὁ Τιμοκράτης. A.

760, 10. Δύο εἴδη] Ὅτι εἰς δύο μεμέρισται τὰ τῶν πόλεων, εἴς τε ἰδιωτικὰ καὶ δημόσια. A. Λύσις ἐκ διαφορᾶς κατὰ διαίρεσιν. S.

761, 1. Κεφάλαιον δ' ὑμῖν ὃ μνημονεύσετ' ἐρῶ] Ἐν βραχεῖ τὴν τοῦ νόμου ποιότητα διαβάλλει, κακίαν εἶναι μεγίστην τὴν τῶν δύο χρόνων συναγωγὴν ἰσχυριζόμενος. Ὅπερ ἐστὶ καὶ ὁμολογούμενον καὶ εὔκολον εἰς μνήμην διὰ τὸ σύντομον. Εἶτα ἔρχεται ἐπὶ τὴν τοῦ προσώπου ποιότητα, τὴν ἐξέτασιν ἐπάγων οὕτως. TCV.

761, 9. Μήτ' ἄλλος μηδεὶς] Τῶν συνηγορούντων αὐτῷ. ACDGRTV.

761, 10. Διμερὴς ἐστιν ἡ ἀντίθεσις. Καὶ τὸ μὲν αὐτῆς τῆς τοῦ προσώπου ποιότητος, τὸ δὲ τῆς τοῦ νόμου ποιότητος. Τὸ δὲ κατὰ τὴν τοῦ προσώπου ποιότητα ἐντεῦθεν ἄρχεται « καὶ λογίζεσθε πρὸς ὑμᾶς αὐτούς, » καὶ τὰ ἑξῆς. Ὅτι δὲ καὶ πρὸς ἐκβολὴν ἐλέου ἡ ἀντίθεσις τίθεται δείκνυται τὰ νῦν. Ἐξαιρέσει γὰρ αἰτιῶν χρησάμενος ἐπήγαγεν εὐθὺς τὴν ἐκβολὴν τοῦ ἐλέου δι' ἣν δείκνυσιν αὐτὸν καὶ πολλὰ καὶ δεινὰ διαθέντα τὸν δῆμον ἡνίκα τὴν εἴσπραξιν ἐποιήσατο μετ' Ἀνδροτίωνος, ἵνα μνησθέντες ὧν ἔπαθον μὴ μεταδῶσιν ἐλέου τῷ μὴ ἐλεήσαντι. Τέλος δ' ἐπιθεὶς τῇ τοῦ ἐλέου ἐκβολῇ καταφοράν τινα ποιεῖται τῆς τοῦ προσώπου ποιότητος, δι' ἧς οὐδὲν ἧττον ἐκβάλλει τὸν ἔλεον οὕτω λέγων, « ὃ τοίνυν ἔμοιγε δοκεῖ μάλιστα. » S.

761, 11. Καὶ λογίσασθε πρὸς ὑμᾶς αὐτοὺς] Ὅπερ ἐλέγομεν πρὸ βραχέος ὅτι πρὸς ἐκβολὴν ἐλεεινολογίας ἡ αἰτίας θέσις τέθειται, τοῦτο νῦν δείκνυται. Ἐξαιρέσει γὰρ αἰτιῶν χρησάμενος καὶ εἰπὼν « οὔτε γὰρ συγγενὴς « οὔτ' ἀναγκαῖος ἦν σοι τούτων οὐδείς, » ἐπήγαγεν αὐτοῖς τὴν ἐκβολὴν τοῦ ἐλέου δι' ὧν δείκνυσιν αὐτὸν πολλὰ καὶ δεινὰ διαθέντα τὸν δῆμον ἡνίκα τὴν εἴσπραξιν ἐποιεῖτο μετὰ Ἀνδροτίωνος, ἵνα μνησθέντες ὧν ἔπαθον μὴ μεταδῶσιν ἐλέου τῷ ἀσελγεῖ. Τίς γὰρ ἂν ἐλεήσειε τὸν ἀσελγῶς καὶ ὠμῶς ἐν ταῖς εἰσφοραῖς τοῖς πολίταις χρησάμενον; TCV.

761, 17. Οἰκεῖος] Ἀντὶ τοῦ φίλος. AR.

761, 20. Οὔτε γὰρ τὰ τούτων] Τὰ τούτων, οὐ τὰ αὐτῶν ἔλαβον, φησὶ, καὶ οὐκ εὐθὺς ἀπητοῦντο, ἀλλὰ μετὰ χρόνον πλεῖστον, ὥσθ' ἱκανὸν κέρδος αὐτοῖς ὑπάρξαι τὸν ἄνω χρόνον. RY.

Τὰ τούτων] Τὰ χρήματα τῶν πολιτῶν, ἅπερ ὀφείλει ἡ πόλις διπλᾶ λαβεῖν ἀπὸ τῶν περὶ τὸν Ἀνδροτίωνα. ACDG RTV. Τούτων, τῶν δικαστῶν τῶν ἐκ δήμου συνισταμένων, δεικτικῶς. P.

761, 23. Μόλις ἄκοντας] Εἰ γὰρ ἦσαν κἂν μετὰ τὸν χρόνον ἑτοίμως καὶ ἑκόντες αὐτὰ καταβαλόντες, εἶχον ἄν τινα συγγνώμην ἐπιεικείας. Νῦν δὲ καὶ τρίτον ὑπ' ἀναισχυντίας ἀνέμειναν δικαστήριον. RY.

Ποιεῖν γάρ ἐστιν τουτό γε] Ἀντὶ τοῦ καταβάλλειν μετὰ τοσοῦτον χρόνον· προβάλλονται λέγοντες, δεινόν ἐστιν εἰ δεθήσονται. ACDGRTV.

Δεινὰ γὰρ ποιεῖν ἐστιν] Ὁρίζεται τῶν πραγμάτων τὰς φύσεις ἀκριβῶς οὐκ ἐῶν σφάλλεσθαι τοὺς δικάζοντας, τί μὲν τὸ παθεῖν, τί δὲ τὸ ποιεῖν κακῶς προσήκει νομίζειν. RY.

761, 25. Οὔτ' ἄλλως πρᾶος] Ἵνα μὴ δόξῃ δι' ὑπερβολὴν ἡμερότητος καὶ τοὺς ἀδικοῦντας ἐλεεῖν οἷα συμβαίνει πολλάκις, καὶ τοῦτο ἀναιρεῖ μετὰ τοῦ συγκροῦσαι φάσκων, μὴ γὰρ νικᾷς φιλανθρωπίᾳ τὸν δῆμον, μὴ εἰς ἔλεον πάντων τῶν Ἀθηναίων ὑπάρχεις αὐτὸς ἑτοιμότερος; μόνος σὺ παρὰ τοὺς ἄλλους οἰκτεῖραι τούτους διέγνωκας; RYTCV.

762, 3. Ἀλλὰ θύρας ὑφαιρεῖν καὶ στρώματα] Διὰ τῆς διασκευῆς εἰς ὄψιν ἄγει τὴν χαλεπότητα. Τὸ δὲ ὑποσπᾶν οὐ μόνον ἐστὶν ἀποσπᾶν, ἀλλὰ λαθραίως καὶ κακούργως λαμβάνειν, ὥστε μηδ' ἐν τοῖς ἀπολωλόσι λογίζεσθαι. TCV.

762, 4. Καὶ διάκονον ἥ τις ἐχρῆτο] Εὗρεν ὄνομα μόνον πρὸς ἄμφω συντελοῦν εἴς τε τὴν ὑπηρεσίαν τῶν χρειῶν καὶ εἰς τὴν τῆς μίξεως ὑπηρεσίαν πάνυ εὐπρεπῶς· Σινώπην δὲ καὶ Φανοστράτην αἰνίττεται ἀνθρώπους πόρνας. RYTCV.

Καὶ διάκονον] Τὴν πόρνην, ἀπὸ τοῦ διακονεῖν ταῖς

ἡδοναῖς· ἵνα αἰνίττηται εἰς τὰς περὶ Σινώπην καὶ Φανοστράτην, ὧν ἐμνήσθη ἐν τῷ κατ' Ἀνδροτίωνος. ACDGRTV.

762, 6. Ἐπάσχεθ' ὑμεῖς] Τοὺς δικαστὰς προσφωνεῖ. P.

762, 10. Πράττοντας] Ἀντὶ τοῦ εἰσπράττοντας. ACDGRTV.

762, 14. Τὸν λόγον ἐγγράψαι] Τὸν λόγον λέγει, οἷον αὐτὰς τὰς εὐθύνας, περὶ ὧν ἔμελλεν ἀπαιτεῖσθαι, τί εἰσέπραξε καὶ ἐκ τίνος. ACDGRTV.

762, 15. Προῖκα γὰρ οὐδὲν ὠφελούμενος] Ὥσπερ κατασκευή ἐστι τοῦ προειρημένου, ὅτι ἔγραψε. Προῖκα γάρ, φησί, μηδὲν ὠφελούμενος εἵλετο πολεμεῖν ὑμῖν καὶ μάχεσθαι πᾶσι τοῖς νόμοις καὶ τῷ ἑαυτοῦ τῷ προτέρῳ. TCV.

762, 18. Ὃ τοίνυν ἔμοιγε δοκεῖ] Ἤδη τέλος ἐπιθεὶς τῇ τοῦ ἐλέου ἐκβολῇ καταφοράν τινα ποιεῖται τῆς τοῦ προσώπου ποιότητος, δι' ἧς οὐδὲν ἧττον ἐκβάλλει τὸν ἔλεον, ἐνθένδε ἀρξάμενος « ὃ τοίνυν ἔμοιγε δοκεῖ. » Τί τοίνυν διὰ τούτων ἐργάζεται; μῖσος αὐτῷ κινεῖ καὶ ὑποψίας ἀτόπου τοὺς ἀκούοντας πίμπλησι, πονηρίας ὑπόνοιαν, αἰσχροκερδίαν καὶ ἄλλα τινά. Πῇ μὲν γὰρ φθόνον κινεῖ μετὰ τὴν ἐλέου ἐκβολήν, πῇ δὲ μῖσος· μῖσος μὲν ὡς ἐνθάδε, φθόνον δὲ ὡς ἐν τῷ Μειδίου, « καὶ διὰ τῆς ἀγορᾶς σοβεῖ, τρεῖς « ἀκολούθους ἢ τέτταρας αὐτὸς ἔχων. » Ἔστι δ' ὅτε παραλαμβάνονται οἱ δύο τόποι περὶ ἓν πρόσωπον. Χρὴ δὲ τὸν μέλλοντα χρῆσθαι δοξαστικὸν εἶναι. RYTCV.

762, 23. Ταῦτα δ' ἐστὶ τί;] Οἷον εἰς ἃ ἀνάλωσεν. A.

762, 26. Καίτοι ὅστις] Αὔξει τῆς αἰσχροκερδίας τὸ πάθος, ὅπου καὶ καθ' ἑαυτοῦ τυφλώττων ποιεῖ. Τοῦ γὰρ νόμου παραπέμποντος ἐπ' αὐτόν, εἰ τελευτήσειεν ὁ πατήρ, τὴν ἀτιμίαν, κέρδος ἡγεῖται τὸ μὴ παρέχειν τέως, δηλῶν ὡς τοῦ μὲν οὐδ' ἡντινοῦν ποιεῖται φροντίδα, ὅλος δὲ τῆς φιλοχρηματίας καθέστηκε. RY.

Κληρονομήσειν τῆς ἀτιμίας] Νόμος γὰρ ἦν, εἴ τις ὀφείλων πρὸ τῆς ἐκτίσεως τελευτήσει, τοὺς παῖδας ἀποδιδόναι τὸ ὄφλημα, εἰ δὲ μή, καὶ αὐτοὺς ἀτίμους εἶναι, ἕως ἂν ἀποδῶσιν. ACDGRTV.

762, 29. Καὶ τὸν μὲν πατέρα οὔτ' ἐλεεῖς] Ἱκανῶς ἀπὸ τοῦ πατρὸς διαβέβληκε τὸν τρόπον. Εἰ γὰρ οὐκ οἰκτείρει πατέρα, πῶς ἄν τις ὑπολάβοι διὰ φιλανθρωπίαν τὴν περὶ τοὺς ἄλλους γεγραφέναι τὸν νόμον; εἶθ' ἵνα μή τις ὑπολάβοι ὡς δι' ἀπορίαν τοῦτο ποιεῖ, ταχέως ἐπάγει τοὺς ποικίλους τῶν κερδῶν τρόπους, ἀπὸ τῶν εἰσφορῶν, ἀπὸ τῶν ψηφισμάτων, ἀπὸ τῶν νόμων, ὧν γράφεις, φησί. Καὶ πάλιν ἵνα μή τις ὑπολάβοι ὡς πολὺ τὸ ἀργύριόν ἐστι τοῦ ὀφλήματος καὶ οὐ δύναται ἐκτῖσαι, προστίθησι « διὰ « μικρὸν ἀργύριον μὴ μετέχειν τῆς πόλεως, » οἶκτον ὑπὲρ τοῦ πατρὸς κεκινηκώς. TCV.

763, 5. Ἑτέρους δ' ἐλεῆσαί τινας φῄς] Οὓς οὐ συνῆψεν ἡ φύσις, ἀλλ' ἁπλῶς ἀλλοτρίους καὶ οὐ προσήκοντας· καὶ ἵνα μὴ νομίσῃ τις ὡς ἄρα χαλεποῦ τοῦ πατρὸς τυχὼν τοιοῦτος ὤφθη περὶ αὐτόν, τὴν ἀδελφὴν προστίθησιν, ὑφ' ἧς διὰ τὴν ἀσθένειαν τῆς φύσεως παθεῖν οὐδ' ὁτιοῦν ἔμελλε κακόν. « Πέπρακε γὰρ αὐτήν, οὐκ ἐκδέδωκεν. » Εἰκὸς δὲ τὴν ἀδελφήν, ἢ πεπεισμένην ἢ πόθῳ κατειλημμένην, ἑκοῦσαν ἀκολουθῆσαι τῷ ξένῳ· καὶ γὰρ ὑποφαίνει τινὰ τοιαύτην ὁ ῥήτωρ ὑπόνοιαν ἐν οἷς λέγει « βουληθέντι λα« βεῖν αὐτήν. » TCV.

Ἀλλὰ νὴ Δία τὴν ἀδελφήν] Οὐχ ἁπλῶς [κατὰ] ταῦτα πάντα διαβάλλει αὐτὸν ἐκ τοῦ ἔξωθεν βίου, μᾶλλον δὲ ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἐν ὅλοις τοῖς λόγοις ἀεὶ τοῦτο ποιεῖ ὁ ῥήτωρ, ἀλλ' ἐπειδὴ ἔγνω ὅτι τινὲς τῶν κρινομένων, εἰ καὶ ἁλίσκονται ἐν τῇ κρίσει, ἀλλ' οὖν γε πολλάκις προβαλλόμενοι τὸν ἔξωθεν αὐτῶν βίον δύνανται σωθῆναι, εἰκότως ἐξεῦρεν ὁ ῥήτωρ τὸ καὶ τὸν ἄλλον αὐτοῦ βίον ἐν τοῖς ἐπιλόγοις διαβάλλειν, ἵνα μὴ εἰς τοῦτον καταφεύγωσιν. ACDGRTV.

763, 8. Οὐκ ἐκδέδωκεν] Ἀντὶ τοῦ πρὸς γάμον οὐκ ἐκδέδωκεν ὡς ἐλευθέραν, ἀλλ' ὡς δούλην πέπρακεν. Εἶτα ἐπιφέρει, πῶς αὐτὴν ἐπώλησε καὶ τίνι. ACDGRTV.

763, 12. Καὶ νῦν ἐστιν ἐν Κερκύρᾳ] Ὥσπερ σχετλιάζοντος, διότι ἐπὶ ξένης ἐκδέδοται ἀστὴ οὖσα, τοῦ νόμου τοῦτο ἀπείργοντος· τὸ δὲ ἐπ' ἐξαγωγῇ τὸ πραθῆναι ἔξω τῆς πόλεως. ACDGRTV.

763, 13. Ἐπ' ἐξαγωγῇ] Πωλήσει. B.

Ὃς οὖν τὴν μὲν ἀδελφήν] Συναγωγὴ πάντων τῶν παραλειφθέντων πρὸς τὴν τοῦ ἤθους διαβολήν. TCV.

763, 19. Καὶ μὴν ὅτι μὲν προσήκει] Σύγκρισις ἀπὸ τοῦ ἐλάττονος· ἔλαττον γὰρ ὁ κλέπτης καὶ λωποδύτης τοῦ πονηρὸν εἰσφέροντος νόμον ἀδικεῖ. Ἕνα μὲν ἢ δύο συλᾷ, εἶτα τὴν ἑαυτοῦ δόξαν καταισχύνει μόνην ὁ κλέπτης· ὁ δὲ γράφων, φησί, τὸν φαῦλον νόμον καὶ πᾶσι λυμαίνεται καὶ τὴν αἰσχύνην εἰς ὅλην καταχεῖ τὴν πόλιν, ὅτι καὶ δόγμα πάντων εἶναι δοκεῖ κυρωθεὶς ὁ νόμος. TCV.

Καὶ μὴν—] Πληρώσας τὴν καταφορὰν τῆς τοῦ προσώπου ποιότητος πάλιν καταχρῆται τόποις συγκριτικοῖς πρὸς τὴν αὔξησιν· πεφύκασι γὰρ αἱ συγκρίσεις αὔξειν ἅπαντα λόγον, καὶ οὐκ ἐπιδεικτὸν μόνον, ἀλλὰ καὶ δικανικὸν καὶ συμβουλευτικόν, καὶ πᾶσαν ἁπλῶς πολιτικὴν ὑπόθεσιν. Ἡ δὲ σύγκρισις ἐνταῦθα ἀπὸ τοῦ ἐλάττονος· ἔλαττον γὰρ ὁ κλέπτης καὶ λωποδύτης τοῦ πονηρὸν εἰσφέροντος νόμον ἀδικεῖ. RY.

764, 6. Γνοίη δ' ἄν τις] Δεύτερος τόπος οὗτος ἀπὸ τοῦ μείζονος. Κατασκευάζει γὰρ ὅτι τυράννων ἐζήλωσε γνώμην. Ὥσπερ γὰρ ἐκεῖνοι λύουσι τοὺς δεσμώτας, ἵνα σχῶσι πρὸς τὴν ἐπιθυμίαν συμπράττοντας, τὸν αὐτὸν τρόπον καὶ οὗτος δι' ὧν ἔλυσε τὸν δεσμὸν τὰ τῶν τυράννων μεμίμηται. RYTCV.

764, 9. Οἱ καταλύοντες τὸν δῆμον] Οἱ βουλόμενοι, φησί, καταλῦσαι τὴν δημοκρατίαν, τοὺς δεσμώτας λύουσιν, ἵνα ἔχωσιν αὐτοὺς πρὸς συμμαχίαν τοῦ καταλύειν τοὺς νόμους καὶ τὴν πολιτείαν ἐξ οὗπερ ἐδέθησαν. ACDGRTV.

764, 20. Καὶ μὴν εἰ αὐτίκα δὴ μάλα] Αὕτη λοιπὸν ἀπὸ τοῦ ἴσου ἡ σύγκρισις· διεσκεύασται δὲ διὰ πλειόνων διὰ τὸ πιθανόν. TCV. Τρίτος δὲ οὗτος τόπος ἐστί· παρεσκεύασται δὲ διὰ πλειόνων διὰ τὸ πιθανόν, ἵνα ἐπαγάγῃ « νῦν τοίνυν ἔχετε τοῦτον μετὰ προσθήκης. » Οὐ γὰρ λάθρα τοῦτο πεποίηκεν, ἀλλὰ φανερῶς. Καὶ οὐκ ἀνέῳξε μόνον, ἀλλὰ καὶ καθαιρεῖ καὶ τὰ δεσμωτήρια καὶ τὰ δικαστήρια. RY.

765, 6. Ὅτι πολλοὶ τῶν Ἑλλήνων] Λογισμὸς ἀπὸ τοῦ ἐνδόξου· σεμνὸν γὰρ τὸ ζηλοῦν ἡμῶν τὰ νόμιμα τοὺς πολλοὺς τῶν Ἑλλήνων. Ὅταν τοίνυν φαύλους τινὲς εἰσφέρωσι νόμους, ἀναιροῦσι τὴν φιλοτιμίαν, τῆς πόλεως τὴν μίμησιν ἐκκόπτοντες. TCV.

765, 9. Ὅτι τοὺς νόμους ἅπαντες] Σημείωσαι· τί ἐστι νόμος. B.

760, 15. Καὶ μὴν εἰ Σόλωνα καὶ Δράκοντα] Ἰστέον ὅτι ὁ μὲν Σόλων ἐγένετο ἐπὶ τῶν χρόνων τῶν τυράννων ἐν ταῖς Ἀθήναις πρὸ τῶν Περσικῶν χρόνων, ὁ δὲ Δράκων πρὸ αὐτοῦ ἑπτὰ καὶ τεσσαράκοντα ἔτεσιν, ὥς φησιν ὁ Διόδωρος. ACDGRTV. Ἐπιχείρημα ἀπὸ τοῦ ἐναντίου· εἰ γὰρ τοὺς τεθεικότας ἀρίστους νόμους σέβειν καλὸν, μισεῖν ἀνάγκη τοὺς εἰσενεγκόντας ἐκ τῶν ἐναντίων τοὺς βλάπτοντας. TCV.

765, 23. Βούλομαι τοίνυν κἀκεῖνο] Πρὸς τῷ τέλει πάνυ συμφερόντως ὁπλίζει κατὰ τοῦ Τιμοκράτους τὸν Σόλωνα. Ἐπειδὴ γὰρ αὐτὸς περὶ δεσμοῦ διαλεγόμενος ἐδόκει λυπεῖν, προσπεριλαμβάνει τὴν δόξαν τοῦ Σόλωνος εἰς βοήθειαν, πρὸς ἣν ἀντιτείνειν οὐ δυνήσονται, ἄνωθεν δημοτικὴν πιστεύοντες εἶναι. TCV.

765, 25. Λέγεται γὰρ τοῖς δικασταῖς] Περὶ νομίσματος. B.

766, 1. Φῆσαι] Ἀντὶ τοῦ συνθέσθαι, ὅτι καλῶς ἔχει ὁ νόμος ὁ περὶ τοῦ νομίσματος. Κατὰ κοινοῦ δὲ πάλιν τὸ λέγεται. A.

766, 2. Ἀργύριον μὲν] Ἀπὸ τοῦ ἥττονος τὸ ἐπιχείρημα. ACDGRTV.

766, 4. Δεῖν δὴ τοὺς δικαστὰς] Περὶ φθορᾶς νόμου. B.

766, 5. Νόμισμα, τοῦτο διαφθείρει] Ἀντὶ τοῦ δεῖ κολάζειν ἐκεῖνον, εἴ τις διαφθείρει τὸ νόμισμα ἐκεῖνο, ὅπερ ἐστὶ τῆς πόλεως, ἀλλ' οὐχ ἐκεῖνον τὸν διαφθείροντα τὸ τῶν ἰδιωτῶν. Εἰσὶ γὰρ καὶ ἰδιωτικοὶ νόμοι, οἷον μὴ λαμβάνειν πολλοὺς τόκους, καὶ ἄλλοι τοιουτότροποι· ἀλλ' οὐχ οὗτοι καταλύειν εἰσὶν ἱκανοὶ τὴν πόλιν, ἀλλ' οἱ δημόσιοι. ACDGRTV.

766, 20. Ἢ μικρὰν ἢ μεγάλην] Μικρὰν μὲν, ἐὰν καταλύωνται, μεγάλην δὲ, ἐὰν σώζωνται. ACDGRTV.

767, 8. Ὄφελος εἴη] Δηλονότι, ἐὰν μὴ σώζωνται οἱ νόμοι. ACDGRTV.

767, 9. Δι' οὗ] Νόμου, ὃν ἔγραψεν ὁ Τιμοκράτης. ACDGRTV.

767, 10. Ὑπάρχουσιν αἱ τιμωρίαι] Οἷον τοῖς βουλομένοις ἐμμένειν αὐτῷ καὶ μὴ ποιοῦσιν, ὥσπερ οἱ παλαιοὶ νόμοι κελεύουσιν. ACDGRTV.

767, 15. Ὡς πλείστους] Προδιδάσκειν ὡς πλείστους ἀδικεῖν ὑμᾶς. P.

XXV. ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ Α.

770, 1. Πάλαι καθήμενος] Ὁρικὴ ἡ στάσις· ἔχει δὲ κεφάλαια ὅρον, ἀνθορισμὸν, γνώμην νομοθέτου. BLY.

770, 4. Ὑπερδιατεινόμενον] Ἄγαν διισχυριζόμενον. SY.

770, 14. Ἐρραψῳδηκότας] Πεφλυαρηκότας. SY.

770, 19. Πολλῶν δὲ λόγων εἰρημένων] Δεύτερον προοίμιον. BY.

771, 29. Τοῦτο] Ἀντὶ τοῦ τὴν ἄδειαν ταύτην. Y.

772, 2. Βουλοίμην δ' ἂν] Τοπικὴ καταφορά. BY.

772, 7. Ὧν τὰ μὲν ἄλλα ἐάσω] Ἀποσιώπησις. L. Περὶ ἀποσιωπήσεως. BY.

773, 20. Ὁ ποιήσας] Ὁ κατηγορῶν τῶν ἄλλων.

773, 21. Καὶ παθὼν ἀπέρχεται] Καὶ αὐτὸς κατηγορηθήσεται ὑπ' ἄλλων. Y.

774, 17. Μάλισθ' ὅτι πᾶς ἐστι νόμος] Τί ἐστι νόμος. B. Τί ἐστιν ὅρος νόμου. L.

775, 25. Τὰς ἕνας ἀρχὰς] Ἀρχαὶ αἱ παρῳχημέναι. — Ἕνας, τὰς τριακάδας. Νέας, τὰς νουμηνίας. BLY.

776, 17. Κιγκλίδας] Θύρας τοῦ δικαστηρίου. L.

779, 21. Τοῦτο περισκελῶς δοκεῖ πεφρακέναι. Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὀφείλομεν, φησὶ, μάλιστα μὲν εὔχεσθαι μὴ γενέσθαι καιρὸν, εἰ δ' ἄρα γένοιτο τοιοῦτος καιρὸς ὥστε δεῖν ἀλλήλους συκοφαντεῖν, ἐὰν ἀπορήσωμεν τούτων τῶν συκοφαντούντων καὶ τῶν ὑπηρετησαμένων, εὐτύχημά ἐστι τῆς πόλεως· μὴ ἔχοντες γὰρ τοὺς ὑπουργοῦντας οὐ δυνάμεθα ἀλλήλους κακῶς δρᾶσαι· ἐὰν δὲ οὗτος ὁ Ἀριστογείτων ὑπάρξῃ τότε, τί οὐκ ἂν ποιήσαι ὁ μάλιστα ἔχθραν ἔχων πρὸς τὸν δῆμον; Y.

779, 27. Οὐχ ὁρᾶτε ὅτι τῆς φύσεως αὐτοῦ] Σημείωσαι· περὶ ἀπονοίας. B.

780, 6. Ἀντὶ τοῦ τῇ ἀγνοίᾳ τοῦτον ὑπελθεῖν. Y.

781, 6. Ἄλλων τὸν Δημοσθένη γραψαμένων ὁ Ἀριστογείτων συγκατηγόρει. Y.

781, 18. Τὸν σκυλόδεψον] Ὁ βυρσεύς. Y.

782, 16. Φθάνοι] Ἀντὶ τοῦ τάχιστα ἂν κατακοπήσεται. Y.

784, 7. Εἰ δὲ κάπηλος] Ἐπειδὴ δὲ, φησὶ, τὰς συκοφαντίας πιπράσκει ὥσπερ κάπηλος, τί τοῦτον παροξύνεις; ὥσπερ γὰρ, ἐὰν μὴ τέμνῃ, μάχαιρα οὐ χρησιμεύει μαγείρῳ, οὕτω καὶ συκοφάντης μὴ ἐπεξιὼν, ἀλλὰ πιπράσκων τὰ πράγματα, ἄχρηστος τῇ πόλει. Y.

784, 8. Παλιγκάπηλος] Ὁ μεταπράτης. B.

784, 22. Καὶ ὑποσχόμενος φησὶν εἰσαγγέλλειν τὸν Δημοκλέα καὶ πάντας ἀνασείσας καὶ ἀνακινήσας, ὁρᾶτε τί ἐποίησεν· ἀντὶ τοῦ ἐπώλησε τὴν εἰσαγγελίαν. YL.

785, 4. Μοσχεύητε] Ἀντὶ τοῦ ἀνατρέφητε. Κατὰ μεταφορὰν τῶν γεωργῶν τῶν παρὰ τὸ ὕδωρ τιθέντων τὰ φυτὰ, ἐπὶ τὸ θᾶττον αὔξεσθαι. Y.

785, 14. Κοπρώνων] Κοπρίαι ἦσαν παρὰ τοῖς Ἀθηναίοις, αἵτινες καθ' ἕκαστον ἔτος ἐκαθαίροντο. Καί τινες ἐπιστάται ἐφειστήκεισαν. Y.

785, 24. Οἱ πάντες Ἀθηναῖοι] Πάντας τοὺς ἐν τῇ πόλει λέγει, οὐ μὴν τοὺς ἐπιχωρίους. YL.

786, 9. Εἰς γὰρ ἐκεῖνα τὰ ἐργαστήρια συνιόντες οἱ πολῖται ὡμίλουν. Y.

787, 9. Ἐξαγωγῇ] Ἀντὶ τοῦ ἐπὶ τῷ πραθῆναι. Y.

787, 15. Ἀντὶ τοῦ τῇ παλλακίδι. Y.

788, 5. Οἱ γὰρ μέτοικοι αὐτοὶ δι' ἑαυτῶν οὐκ ἐχρημάτιζον, ἀλλὰ προστάτας τινὰς εἶχον, δι' ὧν ἐχρημάτιζον. Y.

788, 19. Τὸ μικρὸν συμβόλαιον. Y.

788, 23. Νεωστὶ συνεληλυθώς. Y.

789, 9. Δημιουργὸς] Ἀντὶ τοῦ ἐργάτης. Y.

789, 24. Ἀντὶ τοῦ συσκευάζονται καθ' ὑμῶν. Y.

790, 2. Ἀποστασίου] Αὕτη δίκη ἐστὶ κατὰ τῶν ἀπελευθέρων, τούτῳ τῷ τρόπῳ γινομένη· εἴ τις ἦν ἐλευθερώσας οἰκέτην καὶ ὤφθη πρὸ τοῦ χρόνου ἀναχωρήσας σου τῆς οἰκίας, ἐγράφου αὐτὸν ἀχαριστίας, καὶ εἰ ἥλω, δίκην ὑπεῖχεν. Ἀπροστασίου δὲ δίκη κατὰ τῶν μετοίκων τῶν μὴ ἐχόντων πολίτας προστάτας. Τὴν μητέρα οὖν τοῦ Ἀριστογείτονος ὡς δούλην ἁλοῦσαν ἐπωλήσατε. Y.

790, 20. Δακτυλοδεικτεῖτε] Ὁ διαβεβλημένος ὑπὸ τῶν χειρῶν καὶ τῶν δακτύλων. Y.

790, 25. Ὁ δ' ἀναιδὴς ἐκ τίνος] Περὶ ἀναιδοῦς. B.

791, 11. Εἴ τινες ἦσαν δανείζοντες χρήματα καὶ εἰς ὑποθήκην λαμβάνοντες οἰκίας ἢ ἀγροὺς, ἐποιοῦντο τοῦτο· ἐνέγραφον ἐν σανίδι ὅτι ὅδε παρὰ τοῦδε ἔλαβεν ἐν ὑποθήκῃ

τὸ χωρίον, καὶ ἔστησαν τὴν σανίδα ἐν τοῖς ὅροις, ὑπὲρ τοῦ μὴ ἀγνοοῦντά τινα πάλιν εἰς ὑποθήκην ἑτέραν λαμβάνειν. YL.

792, 16. Ἐγκυκλίων] Τῶν συνήθων. Y.

793, 16. Φάσεις] Φάσις ἦν τὸ φαίνειν τοὺς περὶ τὰ μέταλλα ἀδικοῦντας, ἢ περὶ τὸ ἐμπόριον κακουργοῦντας, ἢ περὶ τὰ τέλη τῶν δημοσίων τινὰς νοσφιζομένους ἢ συκοφαντοῦντας. Ἐφαίνοντο δὲ πρὸς τὸν ἄρχοντα. Κοινῶς δὲ φάσεις ἐκαλοῦντο πᾶσαι αἱ μηνύσεις τῶν λανθανόντων ἀδικημάτων. Ἐδίδοσαν δὲ ἐν γραμματείῳ γράψαντες τὴν φάσιν, τό θ' ἑαυτῶν καὶ τὸ τοῦ κρινομένου ὄνομα προσγράψαντες καὶ τίμημα ἐπιγραψάμενοι. Ὁ δὲ ἄρχων παρεδίδου τὴν κρίσιν δικαστηρίῳ. Καὶ τὸ μὲν τιμηθὲν ἐγίνετο τῶν ἀδικουμένων, εἰ καὶ ἄλλος ὑπὲρ αὐτῶν φήσειεν· ὁ δὲ μὴ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων τὴν ἐπωβελίαν προσωφλίσκανεν· ἦν δὲ ἕκτον τοῦ τιμήματος. YL.

Ἀπαγωγὰς] Ἀπαγωγή ἐστιν ὅταν τις ὃν ἔστιν ἐνδείξασθαι μὴ παρόντα, τοῦτον ἐπ' αὐτοφώρῳ λαβὼν ἀπάγῃ. Ὁ δὲ κίνδυνος ἐν χιλίαις. Y.

Ἐνδείξεις] Ἔνδειξις δὲ ἦν πρὸς τὸν ἄρχοντα ὁμολογουμένου ἀδικήματος μήνυσις, οὐ κρίσεως, ἀλλὰ τιμωρίας δεομένου. Ὁ δὲ ἐνδεικνύμενος ἐν γραμματείῳ πρὸς τὸν ἄρχοντα τὴν ἔνδειξιν ἀποφέρει, ἵνα ὑπεύθυνος ᾖ τῆς ψευδοῦς ἐνδείξεως. Y.

793, 26. Θεωρίδα] Ὄνομα κύριον· ἥτις καὶ μάντις ἦν. L.

799, 20. Φυσιογνωμονήσουσι] Ἀπὸ τῆς ὄψεως γνώσονται. BY.

XXVI. ΚΑΤΑ ΑΡΙΣΤΟΓΕΙΤΟΝΟΣ B.

800, 2. Ἐπίτιμος] Ἐπίτιμος· νῦν ἔντιμος, ἀνεύθυνος. B.

801, 24. Τὸ γὰρ τιμωρησόμενον] Τὸ ἐκδικησόμενον. BY.

805, 17. Καὶ γὰρ ταῦτα οὕτω σκαιός ἐστι] Περὶ βουλευτοῦ. B.

808, 11. Τῶν γὰρ πόλεων ταύτας] Περὶ κριτοῦ καὶ νομοθέτου. B.

XXIX. ΠΡΟΣ ΑΦΟΒΟΝ.

850, 19. Ἐξομνύειν] Ὁ γὰρ μάρτυς ἀναγκάζεται καὶ περὶ τῶν οὐκ εἰδότων ἐξόμνυσθαι. B.

XXX. ΠΡΟΣ ΟΝΗΤΟΡΑ Α.

872, 12. Πιθακνῶν] Πιθάκνη, μικρὸς πίθος. A.

XXXII. ΠΡΟΣ ΖΗΝΟΘΕΜΙΝ.

884, 16. Ἔπραττε] Σημείωσαι τὴν τοῦ ἔπραττε λέξιν. Ζήτει καὶ μικρῷ πρόσθεν καὶ ἑτέρας τοῦ αὐτοῦ παρασημειώσεις συχνάς. S.

888, 5. Σημείωσαι τὴν τοῦ προσήκειν λέξιν ἐνταῦθα. S.

888, 11. Σημείωσαι κἀνταῦθα τὴν λέξιν τοῦ ἔπραττεν. S.

889, 21. Ἵν', ἐὰν μὲν αὐτῷ ποιῶσιν] Σημείωσαι· τῆς Ὁμήρου συντάξεως. B.

XXXIV. ΠΡΟΣ ΦΟΡΜΙΩΝΑ.

. . . σημείωσαι ὅτι τὸ τῆς ἀνεψιᾶς ὄνομα καὶ ἐπὶ τῆς ἐξαδέλφης λαμβάνεται. S.

922, 8. Ἡγεῖσθε γὰρ τοὺς τοιούτους] Σημείωσαι· ἐπίκρισις. B.

XXXV. ΠΡΟΣ ΛΑΚΡΙΤΟΝ.

927, 4. Σῦλαι] Συλλήψεις. B.

929, 20. Διοπεύων] Ὀπιπτεύων τὰ κατὰ τὴν ναῦν, οἷον δίοπός τις ὤν, ἤγουν κατασκοπῶν. B.

933, 12. Ἐκ Παντικαπαίου] Παντικάπαιον ὄνομα πόλεως. B.

XXXVII. ΠΡΟΣ ΠΑΝΤΑΙΝΕΤΟΝ.

967, 18. Ἦν δὲ τοῦ δανείσματος] Τάλαντον ἄρα ξ' μναῖ· ἡ δὲ μνᾶ μ' στατήρων. B.

968, 1. Ἐλαφηβολιῶνος μηνὸς] Σεπτεμβρίου. B.

976, 27. Διείρηκεν] Διήρηκέν ἐστιν, ἤτα, ἀντὶ τοῦ διεχώρισεν. B.

XXXVIII. ΠΡΟΣ ΝΑΥΣΙΜΑΧΟΝ.

984, 1. Δεδωκότων] Σημείωσαι· ἀπὸ τῆς παραγραφῆς τὸ προοίμιον τὸ πρῶτον· τὸ δεύτερον ἀπὸ τῆς εὐθυδικίας. B.

991, 4. Αἰδέσηται] Ἀντὶ τοῦ πεισθῇ. B.

XL. ΠΡΟΣ ΒΟΙΩΤΟΝ B.

1022, 23. Ὑπὲρ] Σημείωσαι· ἡ ὑπὲρ ἀντὶ τῆς κατά· ὡς καὶ παρ' Ὁμήρῳ (Iliad. Z, 524) « ὅθ' ὑπὲρ σέθεν » ἀντὶ τοῦ κατά. B.

LIV. ΚΑΤΑ ΚΟΝΩΝΟΣ.

1256, 1. Ὑβρισθεὶς] Ἀπὸ τεσσάρων δεῖ λαμβάνειν τὰ προοίμια· ἀπὸ ἑαυτοῦ, ὡς ὧδε ὁ Δημοσθένης· « ὑβρισθείς, ὦ ἄνδρες Ἀθηναῖοι. » Ἀπὸ τοῦ ἀντιδίκου, ὡς ἐν τῷ κατὰ Μειδίου· « τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες. » Ἀπὸ τῶν δικαστῶν, ὡς Ἰσοκράτης ἐν τῷ Πλαταϊκῷ « εἰδότες ὑμᾶς, ὦ « ἄνδρες δικασταί, καὶ τοῖς ἀδικουμένοις βοηθεῖν εἰθισμέ« νους. » Ἀπὸ τοῦ πράγματος, ὡς Λυκοῦργος ἐν τῷ κατὰ Αὐτολύκου· « πολλῶν καὶ μεγάλων ἀγώνων εἰσελη« λυθότων οὐδέποτε περὶ τηλικούτου δικάσοντες ἥκετε. » AR.

1257, 4. Ἐξῆλθον ἔτος τουτὶ τρίτον] Τοῦτο λέγεται ἁπλῆ διήγησις ὑπὸ Ἑρμογένους (vol. 3, p. 94 W.)·

ἀπλῇ γὰρ ἐχρήσατο ὁ ῥήτωρ τῇ διηγήσει, ἐπειδὴ, ὅτε αὐτομάτως ἰσχύουσι τὰ πράγματα, ἰσχυρῶν οὐ δεῖται λόγων. B.

LV. ΠΡΟΣ ΚΑΛΛΙΚΛΕΑ.

1278, 4. Χλῆδον] Χλῆδον λέγει τὸ πλῆθος τῆς ἰλύος τὸ τῶν καθαρμάτων καὶ τῶν ἀποψημάτων. Καὶ ἡ τῶν ποταμῶν πρόσχωσις καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χλῆδος καλεῖται νῦν. Ἴσως ὁ ῥήτωρ λέγει ὅτι χοῦν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίου σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκε. AR.

1278, 27. Δίκην ἀτίμητον] Ἀτίμητος ἀγὼν, ἐφ' ᾧ τίμημα ὡρισμένον ἐκ τῶν νόμων οὐ κεῖται, ἀλλ' οἱ δικάζοντες ἐτιμῶντο τί δεῖ παθεῖν ἢ ἀποτῖσαι· ὁ δὲ τιμητὸς, ᾧ πρόσεστιν ἀπὸ τῶν νόμων ὡρισμένον τὸ τίμημα. AR.

1281, 27. Πρόκλησις] Εἰώθεσαν, ὅτε δικάζοιντο τινὲς, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας ἢ θεράποντας εἰς βάσανον ἢ εἰς μαρτυρίαν τοῦ πράγματος, καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι. Τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον ὠνομάζετο πρόκλησις. R.

LVI. ΚΑΤΑ ΔΙΟΝΥΣΟΔΩΡΟΥ.

1296, 8. Τὰ μὲν οὖν] Ἀνακεφαλαίωσις τῶν λεχθέντων. P.

LVII. ΠΡΟΣ ΕΥΒΟΥΛΙΔΗΝ.

Argum. 1298, 15. Ἐτίτθευσεν ἡ μήτηρ] Τουτέστι τιτθὴ ἐγένετο καὶ τροφός. Ἄλλο δὲ σημαίνει θητεύειν· λέγεται γὰρ θητεύειν τὸ ἐπὶ μισθῷ ἐργάζεσθαι. P.

1299, 10.. Μάλιστα μὲν εἰ δυνατὸν] Σημείωσαι· ἐπίκρισις. B.

1299, 17. Πρὸς τὰς ἀποψηφίσεις] Τὸ καταδικάζειν τινὰ μὴ εἶναι πολίτην. B.

1312, 24. Ἐτίτθευσεν] Ἐτρόφει. A.

1317, 28. Ἁπάσαις] Ταῖς φυλαῖς δηλονότι. P.

1318, 29. Ἐκκολάψαντες] Ὀρθῶς γέγραπται ἐκκολάψαντες παρὰ τὸ ἐκκολάπτω, ὃ σημαίνει ἐξορύξαντα ἀπαλεῖψαι. Θουκυδίδης ἐν πρώτῳ· « τὸ μὲν οὖν ἐλεγεῖον οἱ « Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς τότε τῆς τρίποδος τοῦ« το. » P.

1319, 27. Ἡρία] Μνήματα. A. Ἡρία, τάφοι παρὰ τὴν τοῖς νεκροῖς ἐπιχεομένην ἔραν, τουτέστι γῆν. P.

LVIII. ΚΑΤΑ ΘΕΟΚΡΙΝΟΥ.

1326, 15. Ὀλίγον φροντίσειεν] Τοῦτ' ἔστιν ὀλιγωρήσειεν. P.

1330, 18. Ἐποίησε] Δηλονότι ἀποχειροτονεῖσθαι. P.

1330, 19. Αὐτῶν] Τῶν ἀρχόντων. P.

1333, 2. Πολλὰς ἑτέρας] Δίκας ἢ γραφάς. P.

1335, 5. Πλύνοντας] Βλασφημοῦντας καὶ κακῶς λέγοντας. P.

LIX. ΚΑΤΑ ΝΕΑΙΡΑΣ.

Ἡ στάσις τοῦ λόγου στοχαστική. Περὶ γὰρ οὐσίας τὸ ζήτημα καὶ οὔτε περὶ ἰδιότητος οὔτε περὶ ποιότητος. Λέγει δὲ Θεόμνηστος. Διαγράφονται δέ τινες καὶ τοῦτον τὸν λόγον ὡς οὐ γνήσιον. Y.

1348, 7. Ἀφίδναζε] Εἰς Ἄφιδναν. Ἔστι δὲ Ἄφιδνα δῆμος Ἀττικῆς, Λεοντίδος φυλῆς. P.

1354, 4. Κλητεύσω] Κλητῆρες καὶ κλητεύειν. Κλητῆρες οἱ ἄνδρες, δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισιν. Ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας τῆς προκλήσεως· κλητεῦσαι δέ ἐστι τὸ κλητῆρα γενέσθαι. Λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούσωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις· καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι. BY.

1356, 8. Ἐπὶ Κωλιάδι] Κωλιὰς ἐπιθαλασσία ἄκρα τῆς Ἀττικῆς. BY.

1360, 19. Συνεῖναι δ' ἑκατέρῳ] Περὶ πορνείας ἀναιδοῦς. B.

LX. ΕΠΙΤΑΦΙΟΣ.

1388, 1. Ἐπειδὴ τοὺς] Τὸ προοίμιον ἐξ ὑπολήψεως ὁμολογουμένης τῆς εὐνοίας ὑπὲρ τοῦ ἀπολογουμένου περὶ τῶν δημοσίᾳ τὴν πόλιν εὐεργετησάντων. B.

1391, 28. Πρότερον] Τὸν Λυσίαν λέγει. Αὐτὸς γὰρ ἐπιτάφιον εἰς αὐτοὺς ἐποίησεν. B.

1393, 16. Προσέστη τοῖς ἀκούουσι] Τοῦτ' ἔστιν, ἐνοχλεῖ καὶ λυπεῖ τοὺς ἀκούοντας. B.

1394, 3. Ἔστι γὰρ] Κοινοὶ καὶ καθολικοὶ λόγοι εἰς πίστωσιν ἐλήφθησαν τοῦ ἐγκωμιάζοντος. B.

LXI. ΕΡΩΤΙΚΟΣ.

1412, 21. Τὰ παντελῶς ἐπιπολῆς] Τοῦτ' ἔστι τὰ φανερὰ, τὰ ἐπιφανῆ, τὰ εὐχερῆ. P.

LXII. ΠΡΟΟΙΜΙΑ.

(E cod. P.)

1418, 1. Εἰ μὲν περὶ κ. τ. λ.] Φιλιππικοῦ α' προοίμιον.

1418, 10. Ἐπειδὴ δ' —] Τὰ λοιπὰ οὐ συμφωνεῖ τοῖς ἐν Φιλιππικῷ εἰρημένῳ οὖσι.

1419, 21. Οὐχὶ ταὐτὰ γινώσκειν —] Ὀλυνθιακοῦ γ' προοίμιον. Ὀλίγα δέ τινα ἐνθένδε ἐκεῖσε μετήνεκται.

1420, 21. Ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθ. —] Ὀλυνθιακοῦ α' προοίμιον. Ἔστι δέ τις διαφορά.

1425, 15. Παρὰ μὲν γὰρ τῶν] Οἱ κωλυόμενοι ὑφ' ὑμῶν λέγειν ἄλλοι μὲν χρήσιμόν τι ἐνθυμηθέντες λέγειν σιωπῶσι· καὶ οὕτω παρὰ τούτων οὐδὲν λεγόντων ἀποστερεῖσθε τὸ ποιεῖν ἐκεῖνο, ὃ ἐντεθύμηνται, χρήσιμον ὄν. Ἄλλοι δὲ ἀφέντες ἃ τυγχάνουσιν ἐγνωκότες καὶ ἃ προὐμελέτησαν, χρήσιμα ὑμῖν ὄντα, ἀναγκάζονται τὰ ὑμῖν ἡδέα ποιεῖν συμβουλεύειν.

1433, 10. Εἰς οὓς ἂν ἥκωσι] Οὗτοι, εἰς οὓς ἥκωσιν αἱ πράξεις, τῶν πράξεων κύριοι καθίστανται.

1426, 13. Ὡς εὔνους] Ὡς εὔνους ἐπὶ τῇ πόλει ἢ τῇ πολιτείᾳ.

1438, 26. Τοῖς δόξασι] Τοῖς ἐγνωσμένοις. Σύντασσε δὲ ταῦτα τῷ ῥήματι ἀνεροῦσιν.

1440, 7. Ἔπειτ' οὐκ ἀθυμητέον] Τὰ ἑπόμενα μικρόν τι παρηλλαγμένα ἐκ τοῦ προοιμίου τοῦ πρώτου κατὰ Φιλίππου λόγου ἐστί.

1446, 26. Τοῦτο χρὴ πράττειν] Μὴ ἐθέλειν ἀκούειν.

1448, 19. Ὧν οἱ πλεῖστοι τῶν παρ' ὑμῶν] Ὧν, στρατηγῶν, τῶν ἐκπλεόντων παρ' ὑμῶν.

1448, 22. Τούτους] Δηλαδὴ τοὺς ἡμετέρους φίλους. Ἴσως παρέλκει τὸ τούτους.

1452, 28. Οὐ γὰρ ἴσος πόνος καὶ ἱδρὼς] Τὸ Ἡσιόδειον βλέπει

τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι κ. τ. λ.

1453, 22. Ἔστι μὲν οὖν χαλεπὸν] Ἔν τισιν ἀντιγράφοις τετυπωμένοις τὰ ἑπόμενα κεχώρισται τῶν προηγουμένων οὐκ ὀρθῶς· μέρος γάρ ἐστι τοῦ προοιμίου Ὅσην μὲν, ὦ ἄνδρες Ἀθηναῖοι.

1460, 1. Ὁμοιότατα, ὦ ἄνδρες Ἀθ. —] Ταῦτα κεῖται ἐν τῷ Ὀλυνθιακῷ τρίτῳ οὐ πάνυ πόρρω τοῦ τέλους.

1460, 28. Συνεχεῖς οἵδε] Οἱ ἄδικοι καὶ πονηροί.

LXIII. ΕΠΙΣΤΟΛΑΙ.

1465, 20. Προποθεὶς] Ἤγουν προδοθεὶς, παρὰ τὸ προπίνειν.

1466, 17. Καὶ τοῦθ' ὅπως μὴ ψεύσεται] Καὶ δράτω ὅπως μὴ ψεύσεται τοῦτο, ὅ τι ἂν ὑποσχόμενος εἴη, μηδὲ ἀναδύσεται, φήσας ἐξηπατῆσθαι ἢ πεισθῆναι διὰ τὸ παρακρουσθῆναι.

1469, 17. Εἰδεῖν] Ἀντὶ τοῦ εἰδείησαν.

1470, 8. Ἐξητασμένος] Ἠριθμημένος, παραγενόμενος.

1476, 1. Οὐ γὰρ ἂν καὶ τοιοῦτον] Τοῦτ' ἔστιν, οὐ γὰρ ἂν ἐκρίνετέ τι δίκαιον εἶναι, μὴ τοιούτου δοκοῦντος καὶ ὑμῖν.

1483, 1. Ἐγκαθέτων] Ἐγκάθετος· δόλιος, κατάσκοπος.

1488, 16. Δεδουλωκέναι] Φίλιππον ὑμᾶς. Ἤτοι ἀναγνωστέον, δεδουλῶσθαι, ἤγουν δεδουλευκέναι.

INDEX

ORATORUM ET ORATIONUM.

INDEX

NOMINUM ET RERUM.

A.

B.

C.

D.

E.

F.

G.

H.

I.

J.

M.

N.

O.

Q.

R.

S.

U.

V.

X.

14
18